A προσέχουσι· τὴν μὲν γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτημάτων προσευχήν τε καὶ δέησιν ἀνύσιμον μὲν ποιεῖ μετὰ τὴν ἀποχὴν τῶν κακῶν ἡ πίστις καὶ ἡ κατάνυξις, ἀνήνυτον δὲ ἡ ἀπόγνωσις καὶ ἡ πώρωσις. Τὴν δὲ ὑπὲρ ὧν εὖ παρὰ Θεοῦ πεπόνθαμεν εὐχαριστίαν εὐπρόσδεκτον μὲν ἡ ταπείνωσις ποιεῖ, καὶ τὸ μὴ κατεπαίρεσθαι τῶν οὐκ ἐχόντων, ἀπρόσδεκτον δὲ ἡ ἐπὶ τούτοις ἔπαρσις, ὡς οἰκείᾳ σπουδῇ καὶ γνώσει προσγινομένοις, καὶ ἡ πρὸς τοὺς μὴ κεκτημένους κατάκρισις. Ἅπερ ἀμφω νοσῶν, ὁ Φαρισαῖος, παρ' ἑαυτοῦ καὶ τῶν οἰκείων λόγων ἐλέγχεται· ἀναβὰς γὰρ εἰς τὸ ἱερὸν, εὐχαριστήσων, οὐ δεησόμενος, ἔπαρσιν καὶ κατάκρισιν ἀφρόνως τε καὶ ἀθλίως τῇ πρὸς Θεὸν εὐχαριστίᾳ κατέμιξε. «Σταθεὶς γὰρ, φησὶν, οὗτος πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· Ὁ B Θεὸς, εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί.» Τὸ στῆναι τὸν Φαρισαῖον οὐ τὴν δουλικὴν παράστασιν, ἀλλὰ τὴν ἀπηρυθριασμένην ἀνάτασιν δηλοῖ, τὴν ἀντικειμένην τῷ μηδὲ τοὺς ὀφθαλμοὺς θαῤῥοῦντι πρὸς οὐρανὸν ὑπὸ ταπεινώσεως ἆραι. Εἰκότως δὲ πρὸς ἑαυτὸν ὁ Φαρισαῖος προσηύχετο· οὐ γὰρ ἀνέβαινε πρὸς τὸν Θεὸν, εἰ καὶ οὐκ ἐλάνθανε τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ ἐπιβλέποντα τὰ ἔσχατα τῶν ἀβύσσων. Ἡ αὐτοῦ τοιαύτη προσευχή· Εὐχαριστῶ σοι γὰρ, εἰπὼν, οὐκ ἐπήνεγκεν, ὅτι δωρεὰν, ὡς ἀσθενῆ πρὸς ἀντιπαράταξιν, ἐλεήσας ἔδωκάς μοι τὴν ἀπὸ τῶν τοῦ πονηροῦ παγίδων ἐλευθερίαν· ἀνδρεῖον γάρ ἐστι κατὰ ψυχὴν, ἀδελφοὶ, C τὸ κρατηθέντα ταῖς τοῦ ἐχθροῦ πάγαις, καὶ περιπεσόντα τοῖς βρόχοις τῆς ἁμαρτίας, δυνηθῆναι τῇ μετανοίᾳ διαφυγεῖν. Διὰ τοῦτο προνοίᾳ μείζονι τὰ καθ' ἡμᾶς διευθύνεται, καὶ πολλάκις μικρὸν ἢ μηδὲν σπουδάσαντες, πολλῶν καὶ μεγάλων παθῶν ἀνώτεροι σὺν Θεῷ διεμείναμεν, συμπαθῶς κουφισθέντες διὰ τὴν ἡμετέραν ἀσθένειαν· καὶ δεῖ τῆς δωρεᾶς ἐπιγνώμονας ἡμᾶς εἶναι, καὶ ταπεινοῦσθαι τοῦ παρασχόντος ἐνώπιον, ἀλλὰ μὴ ἐπαίρεσθαι. Ὁ δὲ Φαρισαῖος, Εὐχαριστῶ σοι, φησὶν, ὁ Θεός· οὐχ ὅτι ἔλαβον βοήθειάν τινα παρὰ σοῦ, ἀλλ' ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων· ὡς ἂν οἴκοθεν καὶ παρ' ἑαυτοῦ, καὶ ἐξ οἰκείας ἔχων δυνάμεως τὸ μὴ εἶναι ἅρπαξ, καὶ μοιχὸς καὶ ἄδικος, εἴπερ ἄρα οὐκ ἦν· οὐ γὰρ προσεῖχεν ἑαυτῷ, ἵνα δίκαιος εἴη D πιστεύεσθαι περὶ ἑαυτοῦ λέγων, ἀλλὰ πάντας μᾶλλον ἔβλεπεν ἢ ἑαυτὸν, καὶ πάντας, ὢ τῆς ἀπονοίας! ἐξουδενῶν, ἕνα μόνον ᾤετο δίκαιον εἶναι καὶ σώφρονα, ἑαυτόν· «Οὐκ εἰμὶ γὰρ, φησὶν, ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ Τελώνης.» Τῆς ἀνοίας, εἶπεν ἄν τις πρὸς αὐτόν· καὶ εἰ πλὴν σοῦ πάντες ἄδικοί τε καὶ ἅρπαγες, τίς ὁ τὴν ἁρπαγὴν καὶ τὴν κάκωσιν ὑφιστάμενος; τί δὲ καὶ ὁ Τελώνης οὗτος; καὶ ἡ τούτου κατ' ἐξοχὴν προσθήκη; οὐχ εἷς ὢν ἁπάντων μετὰ τῶν λοιπῶν καὶ οὗτος τῇ παρὰ σοῦ κοινῇ, καὶ ὡς εἰπεῖν οἰκουμενικῇ κατακρίσει συμπεριείληπται; ἢ διπλασίας ἔδει τούτῳ τῆς καταδίκης, ὡς ὑπὸ τοὺς Φαρισαϊκοὺς σοὺς ὀφθαλμοὺς, εἰ καὶ μακρὰν ἑστῶτι; ἄλλως τε καὶ τελώνην μὲν ὑπάρχοντα φανερῶς,

Digitized by Google

ἄδικον ᾔδεις ὄντα, μοιχὸν δὲ πόθεν; ἢ σὲ τοῦτον ἀδικεῖν ἀνεύθυνον, ἐπειδήπερ οὗτος ἄλλους ἠδίκει; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν, ἀλλ' οὗτος μὲν φέρων ἐν ταπεινῷ τῷ φρονήματι τὴν 8 σὴν ὑπερήφανον κατηγορίαν, καὶ τῷ Θεῷ προσφέρων σὺν αὐτομεμψίᾳ τὴν ἱκεσίαν, ἀφεθήσεται παρ' αὐτοῦ δικαίως τῆς ὑπὲρ ὧν αὐτὸς ἠδίκησε καταδίκης· σὺ δὲ καταδικασθήσῃ δικαίως, ὑπερηφάνως ἐκείνου τε καὶ πάντων ἀνθρώπων κατηγορῶν, καὶ μόνον ἁπάντων σεαυτὸν δικαιῶν. Οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί.

A condemnaberis superbe illum omnesque homines accusans, teque omnium solum justificans. Non sum sicut cæteri hominum, raptores, injusti, adulteri.

Ταῦτα τὰ ῥήματα καὶ τὴν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς πάντας ἀνθρώπους ὑπεροψίαν τοῦ Φαρισαίου παρίστησι· πρὸς δὲ καὶ τὸ κατεψευσμένον τῆς αὐτοῦ συνειδήσεως· τούς τε γὰρ ἀνθρώπους κοινῇ πάντας ἐξουδενεῖ φανερῶς, καὶ τὴν τῶν κακῶν ἀποχὴν οὐ τῇ τοῦ Θεοῦ, ἀλλὰ τῇ καθ' ἑαυτὸν δυνάμει προσμαρτυρεῖ. Εἰ δὲ εὐχαριστεῖν φησιν, ἀλλὰ τάχα διὰ τοῦτο, καὶ πλὴν αὐτοῦ πάντας ἀνθρώπους ἀκολάστους εἶναι νομίζει καὶ ἀδίκους καὶ ἅρπαγας, ὡς μηδενὶ, πλὴν αὐτῷ, ἀξιοῦντος τοῦ Θεοῦ τὴν ἀρετὴν παρασχεῖν. Ἀλλ' εἰ πάντες οἱ λοιποὶ τοιοῦτοι, τὰ τοῦ Φαρισαίου τούτου προκεῖσθαι τούτοις πᾶσι πρὸς διαρπαγὴν ἐχρῆν. Οὐ φαίνεται δὲ οὕτως· ἐπάγει γὰρ αὐτὸς, ὅτι « Νηστεύω δὶς τοῦ Σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι. » Οὐχ ὅσα κέκτηται φησὶν ἀποδεκατοῦν, ἀλλ' ὅσα κτᾶται, τὰς προσθήκας καὶ τὰς ἐπαυξήσεις τῆς οἰκείας περιουσίας διὰ τούτου δηλῶν· οὐκοῦν εἶχε μὲν ἅπερ ἐκέκτητο, προσελάμβανε δὲ ἀνεπηρεάστως ἅπερ ἐδύνατο· πῶς οὖν χωρὶς αὐτοῦ πάντες ἥρπαζον καὶ ἠδίκουν; Οὕτως αὐτέλεγκτόν ἐστι καὶ αὐτεπίβουλον ἡ κακία! οὕτως ἐστὶ συγκεκραμένον ἀεὶ τὸ ψεῦδος τῇ ἀπονοίᾳ! Τὴν μὲν οὖν ἀποδεκάτωσιν εἰς παράστασιν ἐκ περιουσίας τῆς οἰκείας δικαιοσύνης προήγαγε· πῶς γὰρ ἅρπαξ ἔσται τῶν ἀλλοτρίων ὁ ἀποδεκατῶν τὰ οἰκεῖα; Τὴν δὲ νηστείαν εἰς τὴν τῆς σωφροσύνης ἐπίδειξιν· ποιητικὴ γὰρ ἁγνείας ἡ νηστεία ἐστίν. Ἔστω τοίνυν, σώφρων ὑπάρχεις καὶ δίκαιος, εἰ δὲ βούλει, καὶ σοφὸς, καὶ νουνεχὴς καὶ ἀνδρεῖος καὶ εἴ τι τοιοῦτον ἕτερον· εἰ μὲν παρὰ σεαυτοῦ λαβὼν ἔχεις, καὶ μὴ παρὰ τοῦ Θεοῦ, τί καταψεύδῃ καὶ τοῦ τῆς προσευχῆς σχήματος, καὶ εἰς τὸ ἱερὸν ἀναβαίνεις καὶ εὐχαριστίας μάτην λέγεις; εἰ δὲ παρὰ Θεοῦ λαβὼν ἔχεις, οὐκ ἔλαβες ἵνα κομπάζῃς, ἀλλ ἵνα πρὸς οἰκοδομὴν τοῖς ἄλλοις ὑπάρχῃς εἰς δόξαν τοῦ παρασχόντος. Χαίρειν οὖν ὡς ἀληθῶς ἔδει σὺν ταπεινώσει, καὶ εὐχαριστεῖν καὶ τῷ δόντι, καὶ δι' οὓς ἔλαβεν· οὐ γὰρ ὑπὲρ ἑαυτῆς μᾶλλον ἢ διὰ τοὺς ὁρῶντας ἡ λαμπὰς λαμβάνει τὸ φῶς. Σάββατον δέ φησιν ὁ Φαρισαῖος οὐ τὴν ἑβδόμην ἡμέραν, ἀλλὰ τὴν ἑβδομάδα τῶν ἡμερῶν, ὧν τὰς δύο νηστίμους ἄγων μεγαλαυχεῖ, ἀγνοῶν ὅτι αὗται μὲν ἀνθρώπιναι ἀρεταὶ, ἡ δὲ ὑπερεφανία δαιμονιώδης· διὸ καὶ ἀχρειοῖ ταύτας καὶ συγκατασπᾷ συζυγεῖσα, κἂν ἀληθεῖς ὦσι, πόσῳ μᾶλλον εἰ κεκιβδηλευμέναι;

Quæ verba Pharisæi superbiam tum erga Deum tum erga omnes homines proferunt, necnon ejus conscientiæ fallaciam; omnes enim homines communi despectu palam contemnit, et suam a malis abstinentiam non Dei sed suiipsius robori attribuit. Se gratias agere dixit, sed statim hac via B omnes, se excepto, homines dissolutos cogitat et raptores et injustos, quasi si Deus nemini nisi illi virtutem præbere dignetur. Sed si omnes cæteri tales essent, Pharisæi bona omnibus ad rapiendum esse obnoxia oportebat. Quod tamen non videtur, nam ipse addit: « Jejuno bis in Sabbato, decimas do omnium quæ possideo. » Non omnium quæ possedit, dixit se decimas dedisse, sed omnium quæ possidet suarum incrementa copiarum et augmenta istis verbis declarans. Igitur ex una parte jam non habebat ea quæ possederat, et ex alia sine offensa adjiciebat quæcunque poterat; quomodo ergo omnes præter eum furabantur et injustitias committebant? Tantum semetipsam damnat, tantum sibi insidiatur malitia! tantum semper amentiæ commiscetur C mendacium! Decimarum solutionem in testimonium superabundantis suæ justitiæ produxit; nam quomodo raptor alienorum decimas solvens propriorum? Jejunium vero in ostensionem temperantiæ attulit, pater enim castitatis est jejunium. Esto, temperans es et justus, et si volueris, sapiens, prudens, generosus, necnon alia similia. Si hæc quidem a te accepta habes et non a Deo, quare fingis orationis formam, et in templum ascendis, et gratiarum actiones frustra agis? Si vero a Deo acceptis gaudes, non accepisti ut glorieris, sed ut ad ædificationem aliis sis in gloriam exhibentis. Igitur quam verissime oportebat te cum humilitate gaudere, et gratias largitori fundere propter eos quorum gratia accepisti, nam non tam propter se quam propter aspicientes D lampas lucem accipit. Sabbatum dixit Pharisæus, non diem septimam, sed dierum hebdomadam quorum duos jejunos se egisse jactat, nesciens quoniam virtutes quidem hominum sunt, superbia autem dæmonum; ideo illas irritas facit et immista deturbat si veræ sint, quanto magis si falsæ.

Ἀλλ' ὁ μὲν Φαρισαῖος τοιαῦτα. « Ὁ δὲ Τελώνης μακρόθεν ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς πρὸς τὸν οὐρανὸν ἆραι, ἀλλ' ἔτυπτεν εἰς τὸ ἑαυτοῦ στῆθος, λέγων· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. » Ὁρᾶτε τὴν ταπείνωσιν ὅση, καὶ τὴν πίστιν καὶ τὴν αὐτομεμψίαν; Ὁρᾶτε τὴν ἄκραν συστολὴν τῆς τε διανοίας καὶ τῶν αἰσθήσεων, ἅμα δὲ καὶ τὴν συντριβὴν τῆς καρδίας τῇ προσευχῇ τοῦ Τελώνου

Ita quidem Pharisæus. « Publicanus autem a longe stans, nolebat nec oculos ad cœlum levare: sed percutiebat pectus suum, dicens: Deus, propitius esto mihi peccatori. » Videtisne quanta humilitas et fides et propria objurgatio? Videtisne summam cogitationum sensuumque pressuram, simulque cordis contritionem orationi hujus Publicani conjunctam? Nam cum ascendisset in tem.

Digitized by Google

plum ut suorum dimissionem peccatorum flagitaret, A pulchras secum adduxit ad Deum conciliaturas: fidem quæ non confundit, irreprehensibilem sui ipsius objurgationem, nequaquam despiciendam cordis contritionem, exaltantem humiliationem. Optime orationi coaptavit circumspectionem. A longe enim cum esset, non dixit stans, sicut de Pharisæo; sed cum esset, admodum status demissionem his verbis declarans, simulque orationis suppliciumque verborum indefessam iterationem; nam nihil aliud proferens et excogitans, ad se tantum et ad Deum attendit, vocibus brevem multoties in ipsam convertens postulationem, quæ est utilissima orationis forma.

τούτου συγκεχραμένην; ἀναβὰς γὰρ εἰς τὸ ἱερὸν ὑπὲρ τῆς τῶν οἰκείων ἁμαρτημάτων ἀφέσεως δεησόμενος, καλὰς ἐπηγάγετο μεθ' ἑαυτοῦ τὰς μεσιτευούσας πρὸς τὸν Θεὸν, τὴν ἀκαταίσχυντον πίστιν, τὴν ἀκατάκριτον αὐτομεμψίαν, τὴν μὴ ἐξουδενωμένην συντριβὴν τῆς καρδίας, τὴν ὑψοῦσαν ταπείνωσιν. Συνῆψε δὲ καὶ τῇ προσευχῇ τὴν προσοχὴν ἄριστα. Μακρόθεν γὰρ, φησὶν, ἑστὼς ὁ Τελώνης οὗτος· οὐκ εἶπε σταθεὶς ὡς ἐπὶ τοῦ Φαρισαίου, ἀλλ' ἑστὼς· τὴν ἐπὶ πολὺ παράτασιν τῆς στάσεως διὰ τούτου δηλῶν, ὁμοῦ δὲ καὶ τὸ ἐπίμονον τῆς δεήσεως καὶ τῶν ἱλαστηρίων ῥημάτων· μηδὲν γὰρ **9** ἕτερον μήτε προτιθεὶς, μήτε διανοούμενος, ἑαυτῷ μόνῳ προσεῖχε καὶ τῷ Θεῷ, αὐτὴν ἐφ' ἑαυτὴν στρέφων καὶ πολυπλασιάζων μόνην τὴν μονολόγιστον δέησιν, ὅπερ ἀνυσιμώτατόν ἐστι προσευχῆς εἶδος.

Igitur manens, ait, a longe Publicanus nolebat B nec oculos ad cœlum elevare. Ipse status constantiam simul et demissionem significat, nec est solum vilis servi, sed etiam rei comparentis habitus. Demonstrat animam a peccato liberam, remotam adhuc a Deo, quia nondum habet ad eum per opera præsentiam, sed ad appropinquandum paratam per abstinentiam a malis, et jam per bona consilia. Sic ergo stans a longe Publicanus nolebat nec oculos ad cœlum elevare, hoc modo istoque habitu semetipsum vituperare et objurgare patefaciens; indignum enim se ducebat et cœlo et templo terrestri. Ideo in porticu quidem stabat, ad cœlum vero prospicere non audebat, quanto minus ad Deum cœli? Sed vehementi compunctione C motus pectus suum percutiebat, exinde se plagis dignum proponens, gravesque gemitus et planctus hinc emittens, necnon caput quasi condemnatus inclinans, se peccatorem appellabat, et misericordiam cum fide implorabat dicens: « Deus, propitius esto mihi peccatori. » Nam credidit dicenti: « Dixi, Confitebor adversum me injustitiam meam Domino, et tu remisisti impietatem cordis mei [30]. » Verum quid addidit? « Descendit iste justificatus, ait Dominus, ab illo; quia omnis qui se exaltat humiliabitur, et qui se humiliat exaltabitur. » Nam cum reipsa arrogantia sit diabolus, isti etiam proprium superbia malum, ideo vincit et immista dejicit omnem humanam virtutem: ita humilitas erga Deum bonorum est virtus angelorum, et vincit D humanum quodlibet vitium offendenti supervenieus; humilitas enim est currus quo ad Deum ascenditur per nubes illas quæ efferre debent ad Deum futuros cum Deo in infinita sæcula, prout prædixit Apostolus: « Rapiemur, inquit, in nubibus obviam Domino in aera, et sic semper cum Domino erimus [31]. » Est enim quasi quædam nubes humilitas pœnitentiæ conjuncta, lacrymarum fontes ex oculis educens, dignosque ex indignis efficiens necnon Deo ad quem ducit conjungens gratis justificatos per intentionis sanctitatem.

Μακρόθεν οὖν, φησὶν, ὁ Τελώνης ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἆραι. Αὕτη ἡ στάσις καὶ στάσις ἦν ὁμοῦ καὶ ὑπόπτωσις, καὶ οὐκ εὐτελοῦς δούλου μόνον, ἀλλὰ καὶ καταδίκου παράστασις. Ἐμφαίνει δὲ καὶ τὴν ἀφειμένην τῆς ἁμαρτίας ψυχὴν, μακρὰν μὲν οὖσαν ἔτι Θεοῦ, διὰ τὸ μήπω τὴν δι' ἔργων ἔχειν πρὸς αὐτὸν παῤῥησίαν, ἐγγίζειν δὲ προσδόκιμον οὖσαν Θεῷ, διὰ τὴν ἀποχὴν τῶν κακῶν, καὶ τὴν ἀγαθὴν ἤδη πρόθεσιν. Οὕτως οὖν μακρόθεν ὁ Τελώνης ἑστὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἆραι, τῷ τρόπῳ καὶ τῷ σχήματι τὴν οἰκείαν κατάγνωσιν καὶ αὐτομεμψίαν ἐπιδεικνύμενος· ἀνάξιον γὰρ ἑαυτὸν ἡγεῖτο καὶ τοῦ οὐρανοῦ καὶ τοῦ κατὰ τὴν γῆν ἱεροῦ. Διὸ τοῦ μὲν ἐπὶ τῶν προθύρων εἱστήκει, πρὸς δὲ τὸν οὐρανὸν οὐδὲ ἀτενίζειν ἐτόλμα, πόσῳ μᾶλλον πρὸς τὸν τοῦ οὐρανοῦ Θεόν; Ἀλλ' ὑπὸ τῆς σφοδρᾶς κατανύξεως τύπτων τὸ ἑαυτοῦ στῆθος, καὶ πληγῶν ἑαυτὸν ἄξιον παριστὰς ἐντεῦθεν, βαρυπενθῶν καὶ τοὺς στεναγμοὺς ἀναπέμπων ἐκεῖθεν, καὶ τὴν κεφαλὴν ὡς κατάκριτος κλίνων, ἁμαρτωλὸν ἐκάλει, καὶ τὸν ἱλασμὸν πιστῶς ἐπεζήτει, λέγων· « Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· » ἐπίστευσε γὰρ τῷ λέγοντι· « Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. » Τί δὴ τὸ ἐπὶ τούτοις; « Κατέβη οὗτος δεδικαιωμένος, φησὶν ὁ Κύριος, ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Ὡς γὰρ αὐτόχρημα τῦφός ἐστιν ὁ διάβολος, καὶ ἴδιόν ἐστι τούτῳ ἡ ὑπερηφάνεια κακὸν, διὸ καὶ νικᾷ καὶ συγκατασπᾷ συμμιγεῖσα πᾶσαν ἀρετὴν ἀνθρωπίνην, οὕτως ἡ πρὸς τὸν Θεὸν ταπείνωσις ἀγγέλων τῶν ἀγαθῶν ἐστιν ἀρετὴ, καὶ νικᾷ πᾶσαν ἀνθρωπίνην κακίαν, ἐπιγενομένην τῷ πταίσαντι· ὄχημα γάρ ἐστιν ἡ ταπείνωσις τῆς πρὸς τὸν Θεὸν ἀναβάσεως, κατὰ τὰς νεφέλας ἐκείνας, αἳ μέλλουσιν ἀνοίσειν πρὸς τὸν Θεὸν τοὺς ἐσομένους εἰς ἀπείρους αἰῶνας μετὰ Θεοῦ, καθάπερ ὁ Ἀπόστολος προεφήτευσεν· « Ἁρπαγησόμεθα γὰρ, φησὶν, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. » Οἷον γάρ τίς ἐστι νεφέλη καὶ ἡ ταπείνωσις, διὰ μετανοίας συστᾶσα, καὶ τὰς τῶν δακρύων λιβάδας ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσα, καὶ τοὺς ἀξίους ἐκ τῶν

[30] Psal. XXXI, 5. [31] I Thess. IV, 16

Digitized by Google

ἀναξίων ἐξάγουσα, καὶ ἀνάγουσα καὶ τῷ Θεῷ συνιστᾶσα δωρεὰν δεδικαιωμένους διὰ τὴν εὐγνωμοσύνην τῆς προαιρέσεως.

Ἀλλ' ὁ μὲν Τελώνης κακοτέχνως σφετεριζόμενος A τὰ ἀλλότρια πρότερον, τῆς κακοτεχνίας ἀφιέμενος ὕστερον, καὶ μὴ δικαιῶν ἑαυτὸν, δεδικαίωται· ὁ δὲ Φαρισαῖος τῶν ἄλλοις προσηκόντων μὴ ἀντεχόμενος, καὶ δικαιῶν ἑαυτὸν κατακέκριται. Οἱ δὲ καὶ τῶν ἄλλοις προσηκόντων μὴ ἀπεχόμενοι, καὶ δικαιοῦν ἐπιχειροῦντες ἑαυτοὺς, τί πείσονται; Ἀλλὰ τούτους μὲν ἀφῶμεν, ἐπεὶ καὶ ὁ Κύριος, ὡς ἄρα μὴ λόγῳ καταπεισθεὶς. Ἔστι δ' ὅτε καὶ ἡμεῖς ταπεινούμεθα προσευχόμενοι, καὶ ἴσως οἰόμεθα τοῦ Τελώνου κομίζεσθαι τὸ δικαίωμα· οὐκ ἔχει δὲ οὕτως· ἐκεῖνο γὰρ δεῖ σκοπεῖν, ὅτι παρὰ τοῦ Φαρισαίου κατὰ πρόσωπον ὁ Τελώνης καὶ μετὰ τὸ ἐκστῆναι τῆς ἁμαρτίας ἐξουθενούμενος, καὶ αὐτὸς ἑαυτὸν ἐξουθενῶν κατεδίκαζε μὴ μόνον οὐκ ἀντιλέγων, ἀλλὰ καὶ συνηγορῶν ἐκείνῳ καθ' **10** ἑαυτοῦ. Ὅταν οὖν καὶ αὐτὸς τὴν ἐν χερσὶ B κακίαν ἀφεὶς, τοῖς δ' αὐτὴν ἐξουθενοῦσι καὶ λοιδοροῦσιν οὐκ ἀντιλέγῃς, ἀλλὰ συγκαταδικάζων σαυτὸν, ὡς ὄντα τοιοῦτον, διὰ προσευχῆς ἐν κατανύξει πρὸς μόνον καταφεύγεις τὸν ἐκ Θεοῦ ἱλασμὸν, ἴσθι σεσωσμένος Τελώνης ὤν· πολλοὶ γὰρ φασὶν ἑαυτοὺς ἁμαρτωλοὺς καὶ λέγομεν ἴσως καὶ ἔχομεν· ἀτιμία δὲ καρδίαν ἐδοκίμασεν· ὥσπερ γὰρ ὁ μέγας Παῦλος πόῤῥω τῆς φαρισαϊκῆς μεγαλαυχίας ἐστὶ, καίτοι πρὸς τοὺς ἐν Κορίνθῳ γλώσσαις λαλοῦντας γράφων· « Εὐχαριστῶ τῷ Θεῷ μου πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν. » Ἵνα γὰρ ἐκείνους καταστείλῃ, κατὰ τῶν μὴ τὸ χάρισμα κεκτημένων ἐπαιρομένους, τοιαῦτα γράφει ὁ ἀλλαχοῦ πάντων περίψημα ἑαυτὸν εἶναι λέγων.

Ὥσπερ οὖν ὁ Παῦλος ἐκεῖνα γράφων, πόῤῥω τῆς C φαρισαϊκῆς μεγαλαυχίας ἐστὶν, οὕτως ἐστὶ καὶ τὰ τοῦ Τελώνου ῥήματα λέγειν, καὶ ταπεινολογεῖν κατ' ἐκεῖνον, καὶ μὴ δικαιωθῆναι καθάπερ ἐκεῖνος· δεῖ γὰρ τοῖς τελωνικοῖς ῥήμασι προσεῖναι καὶ τὴν ἀπὸ τῶν κακῶν μετάθεσιν, καὶ τὴν ἐν τῇ ψυχῇ διάθεσιν, καὶ τὴν κατάνυξιν, καὶ τὴν ὑπομονὴν ἐκείνου· ἐπεὶ καὶ ὁ Δαβὶδ ἔργοις δεῖν ἔδειξε τὸν ὑπεύθυνον ἑαυτὸν παρὰ Θεῷ λογιζόμενον καὶ μετανοοῦντα δικαίαν ἡγεῖσθαι καὶ φορητὴν τὴν παρ' ἑτέρων εἰς αὐτὸν ὕβριν καὶ ἀτιμίαν. Μετὰ γὰρ τὴν ἁμαρτίαν κακῶς ἀκούων παρὰ τοῦ Σεμεεὶ, πρὸς τοὺς ἀμύνεσθαι βουλομένους ἔλεγεν· « Ἄφετε αὐτὸν καταρᾶσθαί με, ὅτι Κύριος εἶπεν αὐτῷ καταράσασθαι τὸν Δαβὶδ, » τὴν ἀπὸ τοῦ Θεοῦ διὰ τὴν εἰς αὐτὸν ἁμαρτίαν συγχώρη- D σιν, ἐκείνου πρόσταγμα λέγων εἶναι· καίτοι δεινῇ τότε καὶ μεγάλῃ συμφορᾷ προσεπάλαιεν ὁ Δαβὶδ, ἄρτι τοῦ Ἀβεσσαλὼμ ἐπαναστάντος αὐτῷ. Καὶ δὴ μετ' ὀδύνης οὐ φορητῆς ἄκων τὴν Ἱερουσαλὴμ ἀπολιπὼν, ἐπεὶ πρὸς τὴν ὑπώρειαν τοῦ Ἐλαιῶνος ἔφθασε φεύγων, τὸν Σεμεεὶ προσθήκην εὗρε τῆς συμφορᾶς, λίθοις αὐτὸν βάλλοντα, καὶ ἀφειδῶς ἐπαρώμενον, καὶ ἀναιδῶς καθυβρίζοντα, καὶ ἄνδρα αἱμάτων ἀποκαλοῦντα, καὶ ἄνδρα παράνομον, οἱονεὶ τὸ περὶ τὴν Βηρσαβεὲ καὶ τὸν Οὐρίαν ἄγος εἰς ὀνειδισμὸν

Sed Publicanus quidem prius aliena perverse invadens, postea pravitate relicta, nec semetipsum justificans, justificatur; Pharisæus autem aliorum bona non retinens et semetipsum justificans condemnatur. Verum alienis non abstinentes et semetipsos justificare contendentes, quid patientur? At istos quidem omittamus, cum dixerit Dominus se non verbis suaderi. Nos vero pariter humiliamur deprecantes, et similiter putamus Publicani referre justificationem; ita tamen non accidit, nam considerare oportet quoniam a Pharisæo secundum faciem etiam postquam a peccato surrexisset contemptus, semetipsum etiam despiciens condemnavit, non tantum cum minime contradiceret, sed et cum illi contra se conveniret. Quando igitur tuam in manibus dimittens malitiam aliis te propter eam contemnentibus et irridentibus non contradicis, sed te et tu ipse damnans ut talem, per orationem in compunctione ad solam Dei refugis misericordiam, scito te, etsi Publicanum, salvum esse. Nam multi dicunt se peccatores, et dicimus pariter et habemus; dedecus autem cor probavit. Licet enim magnus Paulus procul a pharisaica jactantia versaretur, attamen ad Corinthios linguis loquentes scribens: « Gratias, inquit, ago Deo meo quod omnium vestrum lingua loquor [22]. » Nam ut illos dejiciat adversus eos qui talia charismata non possidebant inflatos, talia scribit qui ubique se omnium peripsema esse dixit.

Igitur quemadmodum Paulus illa scribens, procul a pharisaica jactantia manet, ita potest quis verba Publicani dicere, et secundum istum se humiliare, et tamen nequaquam sicut ille justificari. Oportet enim Publicani verbis attendere, necnon ejus a malis conversionem, ejus in anima consilia, ejus compunctionem et constantiam imitari. Ideo David operibus monstravit eum qui sibi Deum infensum cogitat vereque pœnitet debere justa tolerandaque ducere aliorum contra se convicia et contemptum. Nam post peccatum dura a Semei audiens, eis qui ulcisci volebant respondit: « Dimittite eum ut maledicat mihi; Dominus enim præcepit ei ut maledicat David [23]; » Dei propter peccatum ejus permissionem, illius mandatum esse dicens; et tamen diræ immanique calamitati obluctabatur David, Absalom nuper adversus eum insurgente. Et quidem cum dolore intolerabili invitus Jerusalem relinquens, postquam ad clivum Olivarum pervenisset aufugiens, infortunii incrementum Semei invenit, lapides in eum mittentem, et contumeliose lædentem, et impudenter maledicentem, et virum sanguinum appellantem, virumque Belial, velut ejus scelus super Bethsabee et super Uriam in opprobrium regis ante oculos revocan-

[22] I Cor. XIV, 18. [23] II Reg. XVI, 10.

Digitized by Google

tem. Et non semel tantum aut bis conviciatus, lapidibusque et probris præ lapidibus valde gravioribus lacessens provocavit; sed ambulabat, ut scriptum est, rex et omnes socii ejus per viam cum eo, et Semei per jugum montis ex latere contra illum gradiebatur, maledicens et mittens inde lapides adversus eum, acervo regem opprimens. Vindicantibus autem rex non carebat. Abisai ergo princeps malitiæ, cum talia ferre non posset, dixit ad David: « Quare maledicit canis hic mortuus Domino meo regi? Vadam et amputabo caput ejus [34]. » Rex autem repressit eum et pueros ejus, ad eos dicens: « Sinite eum, si forte respiciat Dominus in humiliatione mea et reddat mihi bonum pro ista maledictione [35]. »

Quod tunc quidem perfectum est et in opus evenit, ostenditur autem etiam per hanc de Publicano et Pharisæo parabolam, semper in justitiam adimpletum. Nam qui se vere putat æternæ damnationis dignum, quomodo non generose sustinebit non despectum solum, sed et damnum et morbum et omnem, ut ita dicam, afflictionem et calamitatem? Qui talem exhibuerit patientiam, cum sit vere debitor et reus, leviori damnatione necnon opportuna et cessatura liberatur ab illa vere gravi et nequaquam toleranda pœna; nam ex his nunc urgentibus malis cœpimus per patientiam nobis divinam conciliare bonitatem. Ideo unus ex castigatis a Deo dixit: Disciplinam Domini sustinebo, quoniam peccavi contra eum. Utinam nos cum misericordia, non autem in ira et furore Domini castigatos, ista Dei disciplina non interficiamur, sed secundum Psalmistam in finem erigamur, gratia et benignitate Domini nostri Jesu Christi, cui omnis gloria, honor et adoratio cum æterno ejus Patre, et sanctissimo, bonoque et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A τοῦ βασιλέως ὑπ' ὄψιν ἄγοντα. Καὶ οὐδὲ ἅπαξ ἢ δὶς ἐπαρασάμενος, καὶ λίθοις καὶ λίθων πληκτικωτέροις ῥήμασι βαλὼν ἀπήλλαξεν· ἀλλ' ἐπορεύετο, φησὶν, ὁ βασιλεὺς καὶ πάντες οἱ ἄνδρες αὐτοῦ μετ' αὐτοῦ, καὶ Σεμεεὶ ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους, ἐχόμενος αὐτοῦ, καταρώμενος καὶ λίθοις βάλλων ἐκ πλαγίου, καὶ τῷ χοῒ πάσσων τὸν βασιλέα. Οὐκ ἠπόρει δὲ τῶν κωλυσόντων ὁ βασιλεύς. Ἀβεσσὰ γοῦν ὁ στρατηγὸς μὴ ἀνασχόμενος πρὸς τὸν Δαβὶδ εἶπεν· « Ἵνα τί καταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν Κύριόν μου τὸν βασιλέα; Διαβήσομαι δὴ, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ. » Ὁ δὲ βασιλεὺς ἐπέσχεν αὐτὸν, καὶ τοὺς παῖδας αὐτοῦ, πρὸς αὐτοὺς εἰπών· « Ἄφετε αὐτὸν, ὅπως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου, καὶ ἐπιστρέψοι μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ. »

B Ὃ καὶ τότε μὲν ἐτελέσθη καὶ εἰς ἔργον ἐξέβη, δείκνυται δὲ καὶ διὰ τῆς κατὰ τὸν Τελώνην τούτου καὶ τὸν Φαρισαῖον παραβολῆς, ὑπὸ τῆς δικαιοσύνης ἀεὶ τελούμενον· ὁ γὰρ ὑπεύθυνον ἑαυτὸν ἀληθῶς αἰωνίου κολάσεως λογιζόμενος πῶς οὐκ ἂν ὑπομείνῃ γενναίως, οὐκ ἀτιμίαν μόνον, ἀλλὰ καὶ ζημίαν καὶ νόσον, καὶ πᾶσαν, ὡς εἰπεῖν, δυσπραγίαν καὶ κάκωσιν; Ὁ δὲ τοιαύτην ὑπομονὴν ἐνδεικνύμενος, ὡς χρεώστης οὕτω καὶ ὑπεύθυνος ὤν, δι' ἐλαφροτέρας καταδίκης καὶ προσκαίρου καὶ λυομένης λυτροῦται τῆς ὄντως βαρείας ἐκείνης **11** καὶ ἀφορήτου κολάσεως· ἔστι δ' ὅτε καὶ τῶν νῦν ἐπικειμένων δεινῶν, ἀρχὴν ἐντεῦθεν λαμβανούσης τῆς δι' ὑπομονὴν οἷον ἐποφειλομένης θείας χρηστότητος· διὸ καί τις τῶν
C ὑπὸ Θεοῦ παιδευομένων ἔφη· Παιδείαν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. Γένοιτο δὲ καὶ ἡμᾶς μετ' ἐλέους, ἀλλὰ μὴ ἐν ὀργῇ καὶ θυμῷ Κυρίου παιδευομένους, τῇ παιδείᾳ τοῦ Θεοῦ μὴ κατενεχθῆναι, ἀλλὰ κατὰ τὸν Ψαλμῳδὸν ἀνορθωθῆναι εἰς τέλος· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA III.

*In parabolam Domini de salute Filii prodigi [36].*

« Erit fames, ait propheta Jerusalem lugens, non fames panis et aquæ, sed fames audiendi verbum Domini [37]. » Fames est privatio simul et desiderium cibi necessarii. Est etiam aliquid fame ista pejus et acerbius, quando quis privatus rebus ad salutem necessariis, suam non sentit miseriam nec salutis desiderium percipit. Nam esuriens et non habens circuit quærens alicubi cibum panis, et si mucido frusto occurrat vel ex milio compositum, cineraceumve panem aut quid aliud ex lautioribus escarum speciebus aliquis ei præbeat, tantum gaudet quantum prius carens dolebat. Item qui spirituali fame laborat, id est, privatione simul et desiderio dapum necessariarum, circuit quærens habentem a Deo doctrinæ gratiam; et si invenerit,

## ΟΜΙΛΙΑ Γ'.

*Εἰς τὴν κατὰ τὸν σεσωσμένον Ἄσωτον τοῦ Κυρίου παραβολήν.*

« Ἔσται ποτὲ λιμὸς, τὴν Ἱερουσαλὴμ ἀποκλαιόμενος εἶπεν ὁ Προφήτης, οὐ λιμὸς ἄρτου καὶ ὕδα-
D τος, ἀλλὰ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου. » Λιμὸς δέ ἐστι στέρησις ἅμα καὶ ὄρεξις τροφῆς ἀναγκαίας. Ἔστιν οὖν καὶ τοῦ λιμοῦ τούτου χεῖρον καὶ ἀθλιώτερον, ὅταν τις στέρησιν ἔχων τῶν ἀναγκαίων πρὸς σωτηρίαν, ἀνεπαισθήτως ἔχῃ τῆς συμφορᾶς, ὄρεξιν οὐκ ἔχων πρὸς σωτηρίαν. Ὁ γὰρ πεινῶν καὶ οὐκ εὐπορῶν περιέρχεται ζητῶν ποῦ τρύφος ἄρτου· κἂν εὐρωτιώσης ἐπιτύχῃ μάζης, ἢ κεγχρίαν τούτῳ τις ἄρτον, ἢ πιτυρίαν, ἤ τι ἄλλο τῶν τῆς τροφῆς εὐτελεστέρων εἰδῶν παράσχῃ, χαίρει τοσοῦτον, ὅσον ἀποτυγχάνων ὠδυνᾶτο πρότερον. Καὶ ὁ πνευματικὸν τοίνυν ἔχων λιμὸν, τουτέστι, στέρησίν τε ἅμα καὶ ὄρεξιν πνευματικῶν βρωμάτων, περιέρχεται

[34] II Reg. XVI, 9. [35] ibid. 10. [36] Luc. XV, 11 seqq. [37] Amos VIII, 11.

Digitized by Google

ζητῶν τὸν ἔχοντα παρὰ Θεοῦ τῆς διδασκαλίας τὸ χάρισμα· κἂν εὕρῃ, μετ' εὐφροσύνης τρέφεται τὸν ἄρτον τῆς πνευματικῆς ζωῆς, ὅς ἐστιν ὁ σωτήριος λόγος, οὗ μηδὲ ἀποτυχεῖν ἔστι τὸν εἰς τέλος ζητοῦντα· « Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται, » εἶπεν ὁ Χριστός.

Ἀλλ' εἰσί τινες, οἳ τῇ πολυημέρῳ κατὰ νοῦν ἀτροφίᾳ καὶ τὴν τοῦ τρέφεσθαι ὄρεξιν ἀπεβάλοντο· διὸ οὐδὲ τῆς ζημίας λαμβάνουσιν αἴσθησιν, κἂν ἔχωσι τὸν διδάσκοντα, καὶ πρὸς αὐτὴν τὴν τῆς διδασκαλίας ἀκρόασιν δυσχεραίνουσι· κἂν μὴ ἔχωσιν, οὐ ζητοῦσι τὸν διδάξοντα, τοῦ ἀσώτου πολὺ ἁμαρτωλότερον ἄγοντες βίον. Ἐκεῖνος γὰρ εἰ καὶ ἐστερήθη μακρυνθεὶς τοῦ κοινοῦ τροφέως καὶ πατρὸς καὶ δεσπότου, ἀλλὰ λιμῷ περιέπεσεν ἰσχυρῷ, καὶ τῆς στερήσεως ἐπαισθόμενος, μετενόησε καὶ ἐπανῆλθε καὶ ἐπεζήτησε, καὶ πάλιν ἔτυχε τῆς θείας καὶ ἀκηράτου τροφῆς, καὶ τοσοῦτον ἀπήλαυσε διὰ τῆς μετανοίας τῶν τοῦ Πνεύματος χαρισμάτων, ὡς καὶ ἐπίφθονον αὐτὸν γενέσθαι τοῦ πλούτου. Μᾶλλον δὲ ἀναλαβόντες ἄνωθεν διατρανώσωμεν πρὸς τὴν ὑμετέραν ἀγάπην τὴν ἐν Εὐαγγελίοις ταύτην τοῦ Κυρίου παραβολήν· ἐπεὶ καὶ σήμερον ἔθος ἀναγινώσκεσθαι ταύτην ἐπ' ἐκκλησίας.

**12** « Ἄνθρωπός τις, φησὶν, εἶχε δύο υἱούς. » Ἑαυτὸν ἄνθρωπον παραβολικῶς ἐνταῦθά φησιν ὁ Κύριο , καὶ θαυμαστὸν οὐδέν. Εἰ γὰρ ἀληθῶς ἄνθρωπος ἐγένετο διὰ τὴν ἡμετέραν σωτηρίαν, τί θαυμαστὸν, εἰ ὡς ἀνθρώπων ἕνα προτίθησιν ἑαυτὸν διὰ τὴν ἡμετέραν ὠφέλειαν, ὁ καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀεὶ κηδεμὼν, ὡς ἀμφοτέρων δεσπότης καὶ ποιητής; ὃς μόνος ἀγάπης εἰς ἡμᾶς ἔργα καὶ κηδεμονίας ὑπερβαλλούσης καὶ πρὸ τοῦ γενέσθαι ἡμᾶς ἀπεδείξατο· πρὸ ἡμῶν γὰρ βασιλείας ἡμῖν ἡτοίμασε κληρονομίαν αἰώνιον, ὡς αὐτός φησιν, ἀπὸ καταβολῆς κόσμου. Πρὸ ἡμῶν ὑπὲρ ἡμῶν τοὺς ἀγγέλους ἐποίησε διακόνους ἀποστελλομένους, ὡς ὁ Παῦλος φησὶ, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Πρὸ ἡμῶν δι' ἡμᾶς παντὶ τῷ αἰσθητῷ τούτῳ κόσμῳ τὸν οὐρανὸν περιέτεινεν οἷόν τινα σκηνὴν ἅπασι κοινὴν καὶ ὁμότιμον ἀνεγείρας ἡμῖν ἐν τῇ παροδικῇ ζωῇ ταύτῃ, τὸν αὐτὸν ἀεικίνητον καὶ πολυκίνητον, ὡς ἂν ἀντιρρόπως κινούμενος αὐτὸς ἑαυτὸν κατὰ χώραν ἐπέχῃ· ἀεὶ δὲ κινούμενον ἐν ἑαυτῷ καὶ τὴν πληθὺν τῶν ἄστρων συμπεριφέροντα, ἵν' ἡμεῖς ὁμοῦ τε διδασκώμεθα τὸ παροδικὸν τῆς ἡμετέρας ζωῆς, καὶ πάντων ἀπολαύωμεν τῶν κατ' αὐτὸν, ἄλλοτε ἄλλων ὑπὲρ κεφαλῆς ἡμῶν γενομένων. Δι' ἡμᾶς πρὸ ἡμῶν τὸν μέγαν ἐποίησε φωστῆρα εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός· καὶ ἔθετο αὐτούς τε καὶ τοὺς ἄλλους ἀστέρας ἐν τῷ στερεώματι, συγκινουμένους καὶ ἀντικινουμένους αὐτῷ, συνιόντας τε καὶ παραλλάσσοντας πολυειδῶς, ἵν' ὦσιν ἡμῖν εἰς σημεῖα, καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτούς· ὧν οὐδενὸς χρῄζει οὔτε ἡ νοερὰ φύσις ὑπὲρ αἴσθησιν οὖσα, οὔτε ἡ τῶν ἀλόγων ζώων

A cum gaudio vescitur pane spiritualis vitæ qui est salutis verbum quod non potest non invenire perseveranter quærens. « Omnis enim qui petit accipit, et qui quærit invenit, et pulsanti aperietur [38], » ait Christus.

Sed sunt qui diuturna mentis inedia escarum appetentiam amiserunt; ideo nec exitii sensum experiuntur, et etiamsi doctorem habeant, doctrinæ auditum ægre patiuntur; et si non habeant doctorem, non quærunt, pluribus quam prodigus filius peccatis oneratam agentes vitam. Ille enim equidem indigebat remotus a communi nutritore et patre et domino, sed in vehementem famem B incidit, et privationem sentiens, pœnituit, et reversus quæsivit, et rursus invenit divinam puramque ab omni mistura escam, et tantum gavisus est per pœnitentiam gratiis spiritualibus ut dives etiam illi invideret. Melius vero altius resumptam ad charitatem vestram explanemus istam in Evangeliis Domini parabolam, cum hæc soleat in ecclesiis ad memoriam hodie revocari.

« Homo quidam habuit duos filios, » dicit Dominus. Seipsum hominem per parabolam hic ait Dominus, et nihil quod stupeas : si enim vere homo factus est propter nostram salutem, quid mirum C si ut unum hominem seipsum proponit propter nostram utilitatem, qui semper de anima et de corpore curat, tanquam utriusque Dominus et conditor, qui solus charitatis erga nos opera et singularis sollicitudinis, etiam priusquam essemus exhibuit? Nam ante nos regni nobis paravit æternam hæreditatem, ut ipse dixit, a constitutione mundi. Ante nos pro nobis angelos fecit in ministerium missos, inquit Paulus, propter eos qui hæreditatem cupiunt salutis [39]. Ante nos pro nobis circa totum sensibilem istum mundum extendit cœlum tanquam tabernaculum omnibus commune, et pari pretio charum illud nobis in hac transeunti vita erigens continuo varioque motu præditum, ita ut librato examine motum semetipsum in propria D regione retineat; semper autem motum in se ipso et plenitudinem astrorum secum circumferens, ut nos simul discamus fugitivam hanc esse vitam, et omnibus quæ sub eo sunt utamur, aliter aliis capitibus nostris superpositis. Ante nos pro nobis magnum creavit lumen ut præesset diei, et lumen minus ut præesset nocti, et posuit illa sicut et alia sidera in firmamento, motu tum simili tum contrario illi acta, et multiformiter cum eo vel contra eum volutata, ut sint nobis in signa et in tempora et in tempestates, quorum nullo indiget nec spiritualis natura cum sit supra sensum, nec animalium rationis expertium cum non nisi secundum sensum

[38] Luc. xi, 10. [39] Hebr. i, 14.

Digitized by Google

vivat. Propter nos ergo facta sunt qui sensibus A quidem fruimur et commodis aliis et pulchritudine eorum quæ videmus, mente vero per sensum ista signa percipimus. Ante nos pro nobis terram stabilivit, mare extendit, copiose super illud aerem diffudit, et super aerem sapientissime suspendit ignis naturam ut nimium inferiorum frigus circumdando coerceat, et suum calorem immodicum in supernis regionibus manens reprimat; si vero animalia mente orbata his indigent propter naturæ temperamentum, et ipsa in servitutem hominis ante nos facta sunt, prout psalmista cecinit David.

Istum ergo universum mundum propter corporis nostri constitutionem Creator noster, priusquam nos condidisset, e nihilo eduxit. Sed propter emen- B dationem morum et viam ad salutem quid non fecit conditor boni amator? Ipsum omnem mundum sensibilem quasi speculum eorum quæ supra mundum sunt, operatus est, ut per spiritualem ejus contemplationem quasi per quamdam mirabilem scalam ad ista perveniamus. Indidit nobis legem innatam quasi lineam inflexibilem, et judicem erroris immunem doctoremque ab omni mendacio vacuum, propriam scilicet cuique conscientiam, ita ut si in nobis ipsis cogitatione versemur, nullo doctore ad intelligentiam boni indigemus; si vero sensu optime ad exteriora mentem applicemus, invisibilia Dei operibus intellecta conspiciuntur, inquit Apostolus [39]. Virtutum igitur doctrina per naturam et crea- C tionem adaperta, angelos fecit custodes; Patres et prophetas duces suscitavit, ostendit signa et prodigia quæ ad fidem adducant, dedit nobis legem scriptam auxiliantem tum legi spirituali nostræ naturæ inditæ, tum doctrinæ quam a creatione accepimus. Tandem, cum omnia contempsissemus, o nostra quanta negligentia! o nos ex adverso diligentis generositas simul et sollicitudo! seipsum nobis propter nos dedit, et divinitatis divitiis in nostram humilitatem effusis, suscepta nostra natura, et pro nobis factus homo, doctor nobis adfuit; et ipse nos docet magnitudinem suæ benignitatis tum opere tum verbis eam patefaciens, simulque ad imitandam misericordiam et ad fugiendam cordis duritiem obedientes adducens. Sed cum amor non so- D leat in curatoribus divitiarum, necnon in pastoribus gregum, ac propriarum opum possessoribus tantus inesse quantus conjunctis secundum carnem et sanguinem, præsertim ex istis, patribus erga suos liberos, hinc ut suam manifestaret benignitatem, semetipsum dixit omnium nostrum Patrem, et cum pro nobis homo factus fuerit, nos per divinum baptisma receptamque in eo divini Spiritus gratiam nos regeneravit.

A κατ' αἴσθησιν μόνην ζῶσι. Δι' ἡμᾶς οὐκοῦν γέγονε, τοὺς αἰσθήσει μὲν ἀπολαύοντας τῆς τε ἄλλης χρείας καὶ τοῦ κάλλους τῶν ὁρωμένων, νῷ δὲ δι' αἰσθήσεως τῶν τοιούτων σημείων ἔχοντας. Δι' ἡμᾶς πρὸ ἡμῶν γῆν ἐθεμελίωσεν, ἐφήπλωσε θάλασσαν, πλουσίως ἐπ' αὐτὰ τὸν ἀέρα ἐξέχεε, καὶ ὑπὲρ τοῦτον ἀνῆψε περαιτέρω πανσόφως τὴν πυρὸς φύσιν, ἵνα καὶ τοῦ ψύχους τῶν κάτω θραύῃ τὴν ἀμετρίαν περιημμένον, καὶ τὴν οἰκείαν ἀμετρίαν ἐπὶ χώραν μένῃ κατέχον· εἰ δὲ καὶ τὰ ἄλογα τῶν ζώων τούτων χρῄζει πρὸς σύστασιν, ἀλλὰ καὶ ταῦτα εἰς δουλείαν τῶν ἀνθρώπων ἐγένετο πρὸ ἡμῶν, ὡς καὶ ὁ προφήτης ψάλλει Δαβίδ.

Τοῦτον μὲν οὖν τὸν σύμπαντα κόσμον διὰ τὴν τοῦ σώματος ἡμῶν σύστασιν ὁ πλάσας ἡμᾶς πρὸ τῆς B ἡμῶν πλάσεως ἐκ τοῦ μὴ ὄντος παρήγαγε. Πρὸς δὲ βελτίωσιν ἠθῶν καὶ ὁδηγίαν πρὸς ἀρετὴν τί οὐκ ἐποίησεν ὁ φιλάγαθος δεσπότης; αὐτὸν τὸν Αἰσθητὸν πάντα κόσμον, οἷόν τι κάτοπτρον ἀπειργάσατο τῶν ὑπερκοσμίων, ἵνα διὰ τῆς κατ' αὐτὸν πνευματικῆς θεωρίας, ὡς διά τινος θαυμασίας κλίμακος πρὸς ἐκεῖνα φθάνωμεν. Ἐνέθηκεν ἡμῖν ἔμφυτον νόμον, οἷόν τινα στάθμην ἀπαρέγκλιτον, καὶ κριτὴν ἀνεξαπάτητον, καὶ διδάσκαλον ἀπαραλόγιστον τὴν οἰκείαν ἐν ἑκάστῳ συνείδησιν, ἂν ἐν ἡμῖν αὐτοῖς γενώμεθα τῇ διανοίᾳ, διδασκάλου ἑτέρου πρὸς τὴν τοῦ ἀγαθοῦ κατανόησιν οὐ δεησόμεθα· ἂν ἔξω τῇ αἰσθήσει καλῶς διαπορθμεύσωμεν τὸν νοῦν, τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται, φησὶν ὁ Ἀπό- C στολος. Τῇ φύσει οὖν καὶ τῇ κτίσει τὸ διδασκαλεῖον ἀνοίξας τῶν ἀρετῶν, ἀγγέλους ἐπέστησε φύλακας, Πατέρας καὶ προφήτας εἰς ποδηγίαν ἀνήγειρεν, ἔδειξε σημεῖα καὶ τέρατα πρὸς πίστιν ἀνάγοντα, ἔδωκεν ἡμῖν τὸν γραπτὸν νόμον, **13** βοηθοῦντα τῷ παρὰ τῆς λογικῆς ἡμῶν φύσεως νόμῳ καὶ τῇ παρὰ τῆς κτίσεως διδασκαλίᾳ. Τέλος, ἐπεὶ πάντων ἠλογήσαμεν, ὢ καὶ τῆς ἡμῶν ῥᾳθυμίας! καὶ τῆς τοῦ διαφερόντως ἡμᾶς φιλοῦντος μακροθυμίας ὁμοῦ καὶ κηδεμονίας! ἑαυτὸν ἡμῖν ἔδωκεν ὑπὲρ ἡμῶν, καὶ τὸν τῆς θεότητος κενώσας πλοῦτον εἰς τὴν ἡμετέραν ἐσχατιὰν, τὴν ἡμετέραν προσλαβόμενος φύσιν, καὶ καθ' ἡμᾶς γεγονὼς ἄνθρωπος, διδάσκαλος ἡμῶν ἐχρημάτισε· καὶ αὐτὸς ἡμᾶς διδάσκει περὶ τοῦ μεγέθους τῆς ἰδίας φιλανθρωπίας, ἔργῳ καὶ λόγῳ ταύ- D την ὑποδεικνὺς, ἅμα καὶ πρὸς μίμησιν ἐνάγων τῆς συμπαθείας, καὶ τῆς ἀσυμπαθοῦς γνώμης ἀπάγων τοὺς ὑπακούοντας. Ἐπεὶ δὲ φίλτρον ἐγγίνεται μὲν καὶ τοῖς ἐπιμεληταῖς τῶν πραγμάτων, ὡς καὶ τοῖς τῶν προβάτων ποιμέσιν, ἔτι δὲ καὶ τοῖς δεσπόταις οὖσι τῶν ἰδίων κτημάτων, οὐ τοσοῦτον δὲ ὅσον τῆς καθ' αἷμα καὶ συγγένειαν προσῳκειωμένοις καὶ τούτων μᾶλλον πατράσι πρὸς παῖδας τοὺς ἑαυτῶν, ἀπὸ τούτων ποιεῖται τῆς οἰκείας φιλανθρωπίας τὴν ἔνδειξιν, ἄνθρωπον λέγων ἑαυτὸν καὶ Πατέρα πάντων ἡμῶν· ἐπεὶ καὶ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος, καὶ διὰ τοῦ θείου βαπτίσματος καὶ τῆς ἐν αὐτῷ τοῦ θείου Πνεύματος χάριτος ἡμᾶς ἀνεγέννησεν.

Homo ergo quidam, ait Jesus, habuit duos filios;

Ἄνθρωπος οὖν τις, φησὶν, εἶχε δύο υἱούς· τὴν

[39] Rom. I, 20.

γὰρ μίαν φύσιν εἰς δύο διεῖλεν ἡ τῆς γνώμης διαφορὰ, καὶ τοὺς πολλοὺς εἰς δύο συνῆξεν ἡ τῆς ἀρετῆς καὶ τῆς κακίας διαστολή· καὶ ἡμεῖς γάρ ἐστιν ὅτε καὶ τὸν καθ' ὑπόστασιν ἕνα διπλοῦν φαμεν, ὅταν ἔχῃ τὴν τοῦ ἤθους διπλόην, καὶ τοὺς πολλοὺς ἕνα πάλιν, ἡνίκα πρὸς ἀλλήλους συνᾴδουσι. « Προσελθὼν οὖν ὁ νεώτερος υἱὸς εἶπε τῷ πατρί· » εἰκότως νεώτερος· νεωτερικὴν γὰρ καὶ ἀφροσύνης γέμουσαν προσάγει τὴν ζήτησιν. Καὶ ἡ ἁμαρτία δὲ, ἣν ἐνενόει τὴν ἀποστασίαν ὠδίνων, νεωτέρα ἐστὶν, ὑστερογενὲς εὕρημα γενομένη τῆς κακῆς ἡμῶν προαιρέσεως· ἡ δὲ ἀρετὴ παλαιγενής ἐστιν, ἐξ ἀϊδίου μὲν ἐν τῷ Θεῷ οὖσα, τῇ δὲ ἡμετέρᾳ τὴν ἀρχὴν παρὰ Θεοῦ κατὰ χάριν ἐντεθεῖσα ψυχῇ. Καὶ προσελθὼν, φησὶν, ὁ νεώτερος υἱὸς εἶπε τῷ πατρί· « Δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. » Βαβαὶ τῆς ἀφροσύνης! οὐ προσέπεσεν, οὐχ ἱκέτευσεν, ἀλλ' ἁπλῶς εἶπε· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὡς ὀφειλὴν ἀπαιτεῖ παρὰ τοῦ πᾶσι κατὰ χάριν διδόντος. Δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, τὸ κατὰ νόμους ἐμοὶ προσῆκον, τὴν κατὰ τὸ δίκαιον ἡμετέραν μερίδα. Καὶ τίς νόμος, καὶ πόθεν δίκαιον ὀφειλέτας εἶναι τοῖς παισὶ τοὺς πατέρας; Τοὐναντίον μὲν οὖν μᾶλλον τοῖς πατράσιν ὀφείλειν τοὺς παῖδας καὶ ἡ φύσις αὐτὴ παρίστησιν, ἐξ ἐκείνων τὸ εἶναι λαβόντας. Ἀλλὰ καὶ τοῦτο τοῦ νεωτερικοῦ φρονήματος.

A unam enim naturam in duo disjunxit diversa æstimatio, et plerosque in duobus conjunxit virtutis et vitii distinctio. Ita nobis accidit ut unam personam dicamus duplicem propter morum duplicitatem, et rursus multos unum, quando sibi invicem consentiunt. « Accedens ergo adolescentior filius dixit patri; » recte adolescentior, nam puerilem et stultitia refertam producit postulationem. Peccatum quoque quod cogitavit qui apostasiam molitur, recentius est, pessimæque prælationis nostræ recentius inventum; virtus autem primogenita est, ab æterno quidem in Deo manens, nostræ vero animæ in principio a Deo per gratiam infusa. Accedens, ait, adolescentior dixit patri: « Da mihi portionem substantiæ quæ me contingit. » O stultitia! non oravit, B non flagitavit, sed mere dixit, nec hoc tantum, sed quasi debitum exigit ab eo qui omnibus gratis donat. Da mihi portionem substantiæ quæ me contingit, quæ mihi per leges tribuitur, quæ ex jure nobis partitur. Et qua lege? quo jure patres filiorum debitores sunt constituti? Nonne econtra patrum debitores esse liberos natura ipsa ostendit, cum ex eis vitam acceperint? Sed ista quoque mentem juvenilem manifestant.

Τί οὖν ὁ βρέχων ἐπὶ δικαίους καὶ ἀδίκους, ὁ ἀνατέλλων τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς; Διεῖλεν αὐτοῖς, φησὶ, τὸν βίον. Ὁρᾷς ὅτι ἀνενδεὴς ἐστιν ὁ ἄνθρωπος καὶ πατὴρ οὗτος; Οὐ γὰρ ἂν τοῖς δυσὶ μόνοις διεῖλεν, οὐδὲ εἰς δύο μόνον, ἀλλὰ καὶ τρίτην ἂν ἑαυτῷ τοῦ βίου παρακατέσχε μερίδα. Ὁ δὲ, ὡς Θεὸς, καθάπερ καὶ ὁ προφήτης φησὶ Δαβὶδ, μὴ χρείαν ἔχων τῶν παρ' ἡμῖν ἀγαθῶν, τοῖς δυσὶ παισὶ τούτοις μόνοις διεῖλε, φησὶ, τὸν βίον, τουτέστι τὸν κόσμον ἅπαντα· διαιρεῖται γὰρ, ὥσπερ ἡ μία φύσις τῇ διαφόρῳ γνώμῃ, οὕτος ὁ εἷς κόσμος τῇ διαφόρῳ χρήσει· ὁ μέν φησι πρὸς τὸν Θεὸν, « Ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου·» καὶ, « Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε·» καὶ, « Μεσονύκτιον ἐξηγειρόμην·» καὶ, « Ἐκέκραξα ἐν ἀωρίᾳ·» καὶ, « Ἐπήλπισα ἐπὶ τοὺς λόγους σου·» καὶ, « Εἰς τὰς **14** πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, » τουτέστι τὰς πρὸς ἡδυπάθειαν κινουμένας ὀρέξεις τῆς σαρκὸς ἀπέτεμνον· ὁ δὲ διημερεύει ἐν οἴνῳ, καὶ σκοπεῖ ποῦ πότος γίνεται, καὶ συνδιανυκτερεύει ταῖς ἀσέμνοις καὶ ἀθέσμοις πράξεσι, καὶ ταχύνει πρὸς ἀφανεῖς δόλους, ἢ φανερὰς ἐπιβουλὰς καὶ χρημάτων ἁρπαγὰς, καὶ μελέτας πονηράς. Ἆρ' οὐ διεῖλον οὗτοι τὴν μίαν νύκτα, καὶ τὸν ἕνα ἥλιον, καὶ πρὸ τούτων τὴν ἰδίαν φύσιν, ἀσυμφώνως ἀλλήλοις καταχρησάμενοι; Ὁ δὲ Θεὸς ἀδιαιρέτως διεῖλε πᾶσι πᾶσαν τὴν κτίσιν, προθεὶς εἰς χρῆσιν τὴν κατὰ βούλησιν.

Quid ergo ille qui facit pluviam cadere super justos et injustos, et solem oriri super malos et bonos? Divisit illis substantiam. Videsne quantum nulla re indigeat homo et pater iste? Aliter enim non duobus solis, nec in duas tantum partes divisisset, sed tertiam sibimetipsi substantiæ portionem reservasset. Ille autem, quatenus Deus, prout pro- C pheta David dixit [60], bonorum nostrorum non egens, solis istis duobus filiis divisit, inquit, substantiam, id est mundum universum; nam sicut natura una diverso signo dividitur, ita et iste mundus usu diverso. Alius quidem ad Deum dixit: « Tota die extendi manus meas ad te [61]; » et: « Septies in die laudem dixi tibi [62]; » et: « Media nocte e lecto surgebam [63]; » et: « Clamavi in caligine [64]; » et: « Speravi in verba tua [65]; et: « In matutino interficiebam omnes peccatores terræ [66], » id est, ad voluptatem motas cupiditates amputabam. Alius autem diem agit in vino, considerat unde veniat potus, pernoctat in lascivis illicitisque operibus, et properat ad occultas fraudes vel ad apertas insidias, D ad rapinam copiarum, ad pravas molitiones. Nonne isti non diviserunt eamdem noctem, eumdem solem, et ante ista propriam naturam, cum non inter se in usu consenserint? Deus vero pariter omnibus divisit creaturas, has in usum prout voluerint, tradens.

« Καὶ μετ' οὐ πολλὰς ἡμέρας, φησὶ, συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακράν. » Πῶς οὐκ εὐθὺς, ἀλλ' οὐ μετὰ πολλὰς, ἤτοι μετ' ὀλίγας ἀπεδήμησεν ἡμέρας; Ὁ πονηρὸς ὑπο-

« Et non post multos dies, ait, congregatis omnibus, adolescentior filius peregre proficiscitur. » Cur non statim, sed non post multos dies, seu post paucos dies profectus est? Perversus seductor dia-

[60] Psal. xv, 2. [61] Psal. LXXXVII, 10. [62] Psal. cxviii, 164. [63] ibid. 62. [64] Psal. cxix, 1. [65] Psal. cxviii, 42. [66] Psal. c, 8.

Digitized by Google

bolus non simul modum agendi proprium et peccatum supponit, sed aliquandiu multa arte fallaciter suadet, susurrans et dicens nobis : Tu etiam pro tuo judicio vivens, nec audiens Ecclesiam Dei, nec aures præbens doctrinæ Ecclesiæ, poteris a temetipso officia conspicere, nec a bono amoveri. Quando autem quemdam a sacris hymnis averterit, cum suaserit ne sacros doctores audiat, longinquum adhuc eum facit a divina vigilantia, pravis eum operibus tradens ; Deus enim ubique præsens est ; unum est a bono discrimen, malum in quo per peccatum peregre a Deo proficiscimur : « Non enim permanebunt injusti ante oculos tuos », dixit ad Deum David.

Elongatus ergo ita, et in regionem longinquam profectus adolescentior filius : « Ibi, ait, dissipavit substantiam suam vivendo luxuriose. » Quomodo igitur dissipavit substantiam suam ? Ante omnia substantia et divitiæ nostræ naturales anima nostra sunt. Quandiu in salutaribus moribus permanemus, recollectam eam habemus ad seipsam, ad primum et excelsissimum Spiritum, Deum ; sed cum fores cupiditatibus aperuimus, statim dissipatur errans omni hora circa carnalia et terrena, circa multiformes voluptates turbulentasque de istis cogitationes. Cogitatio sunt illius divitiæ quæ in ipsa sedem habet, et dijudicat melius a pejore quandiu maneat ipsa præceptis consiliisque obediens Patris cœlestis ; si vero insaniat, illa quoque dissipatur in fornicationem et intemperantiam, in utramque malitiæ partem divisa. Quod videre est de omni nostra virtute et potentia, quæ veræ sunt divitiæ nostræ ex multimoda malitia, si in ipsam inclinetur, dissipatæ. Mens enim vi suæ naturæ desideria dirigit ad unum et verum Deum, solum bonum, solum desiderabile, solum voluptatem ab omni dolore innoxiam largientem. Mente vero laxata, animæ virtus ad veram charitatem excidit a bono vere appetendo, et ad varias voluptatis concupiscentias pertrahitur, unde dissipatur ad desiderandas dapes non necessarias, hinc immodesta corpora, unde non bonas opes seu inanem et turpem gloriam distracta concupiscit. Et sic extenuatus miser homo, necnon ad varias de istis cogitationes divulsus, nec solem ipsum nec aerem, communes omnibus divitias jucunde aspirat nec conspicit.

Ipsa mens nostra a Deo non amota suscitat iram in nobis contra solum diabolum, et utitur animæ generositate contra malas cupiditates, contra principes tenebrarum, contra spiritus malitiæ. Si vero non amplectatur divina mandata ejus cujus militiæ nomen dedit, dimicat adversus proximos ; sævit adversus cives, bacchatur adversus eos qui stultis jus concupiscentiis non consentiunt, et homicida

A φήτης διάβολος οὐχ ἅμα τὴν ἰδιοῤῥυθμίαν καὶ τὴν ἁμαρτίαν ὑποτίθεται, ἀλλὰ κατὰ μικρὸν ὑποκλέπτει πανούργως, ὑποψιθυρίζων ἡμῖν καὶ λέγων· Καὶ σὺ κατὰ σεαυτὸν ζῶν, καὶ μὴ σχολάζων τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, μηδὲ τὸ οὖς ὑπέχων τῷ διδασκάλῳ τῆς Ἐκκλησίας, δύνασαι καὶ παρὰ σεαυτοῦ συνορᾷν τὸ δέον, καὶ μὴ μακρυνθῆναι τοῦ ἀγαθοῦ. Ὅταν δέ τινα τῆς ἱερᾶς ὑμνῳδίας ἀποσχοινίσῃ, καὶ τῆς πρὸς τοὺς ἱεροὺς διδασκάλους ὑπακοῆς, μακρὰν αὐτὸν ποιεῖ καὶ τῆς θείας ἐπισκοπῆς, τοῖς ἔργοις αὐτὸν τοῖς πονηροῖς παραδούς· ὁ γὰρ Θεὸς πανταχοῦ πάρεστιν· ἕν ἐστι τὸ μακρὰν τοῦ ἀγαθοῦ, τὸ κακὸν, ἐν ᾧ διὰ τῆς ἁμαρτίας γινόμενοι μακρὰν ἀποδημοῦμεν Θεοῦ· « Οὐ γὰρ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου, » ὁ Δαβὶδ πρὸς τὸν Θεόν B φησι.

Μακρυνθεὶς οὖν οὕτω, καὶ εἰς χώραν ἀποδημήσας μακρὰν οὖσαν ὁ υἱὸς ὁ νεώτερος, « Ἐκεῖ διεσκόρπισε, φησὶ, τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. » Πῶς οὖν διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ; Πρὸ πάντων οὐσία καὶ περιουσία ἡμῶν ἔμφυτος ὁ νοῦς ἐστιν ὁ ἡμέτερος. Ἕως μὲν οὖν τοῖς τῆς σωτηρίας τρόποις ἐμμένομεν, συνηγμένον αὐτὸν ἔχομεν πρὸς ἑαυτὸν, καὶ τὸν πρῶτον καὶ ἀνωτάτω νοῦν τὸν Θεόν· ἡνίκα δ' ἂν τοῖς πάθεσι θύραν ἀνοίξωμεν, εὐθὺς σκορπίζεται, πλανώμενος πᾶσαν ὥραν περὶ τὰ σαρκικά τε καὶ γήϊνα, περὶ τὰς πολυμόρφους ἡδονὰς, καὶ τοὺς ἐπὶ ταύταις ἐμπαθεῖς λογισμούς. Αὐτοῦ ἐστιν ἡ φρόνησις πλοῦτος, παραμένουσα τούτῳ καὶ διακρίνουσα C τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος, μέχρις ἂν καὶ αὐτὸς παραμένῃ ταῖς ἐντολαῖς καὶ συμβουλαῖς ὑπείκων τοῦ ἀνωτάτου Πατρός· τούτου δὲ ἀφηνιάσαντος, κἀκείνη σκορπίζεται εἰς πορνείαν καὶ ἀφροσύνην, τὰς παρ' ἑκάτερον μέρος κακίας μεριζομένη. Τοῦτο δ' ἂν ἴδοις καὶ ἐπὶ πάσης ἀρετῆς ἡμῶν καὶ δυνάμεως, αἵ εἰσιν ἡμέτερος ὄντως πλοῦτος, ὅς τῆς κακίας οὔσης πολυσχεδοῦς, ὅτ' ἂν πρὸς αὐτὴν ἐκκλίνῃ, σκορπίζεται· αὐτὸς γὰρ ὁ νοῦς τείνει τὴν ἐπιθυμίαν πρὸς τὸν ἕνα καὶ ὄντως ὄντα Θεὸν, τὸν μόνον ἀγαθὸν, τὸν μόνον ἐφετὸν, τὸν μόνον ἀμιγῆ πάσης ὀδύνης τὴν ἡδονὴν παρέχοντα. Τοῦ νοῦ δὲ μαλακισθέντος, ἡ πρὸς τὴν ὄντως ἀγάπην τῆς ψυχῆς δύναμις ἐκπίπτει τοῦ ὄντως ὀρεκτοῦ, καὶ πρὸς τὰς ποικίλας ὀρέξεις τῆς ἡδυπαθείας διασπωμένη, σκορπίζεται ἐν- D τεῦθεν πρὸς ἐπιθυμίαν βρωμάτων οὐκ ἀναγκαίων, ἐκεῖθεν πρὸς ἐπιθυμίαν **15** σωμάτων οὐκ εὐσχημόνων, ἑτέρωθεν πρὸς ἐπιθυμίαν οὐκ εὐχρήστων χρημάτων, ἄλλοθεν πρὸς ἐπιθυμίαν τῆς κενῆς καὶ ἀδόξου δόξης μεθελκομένη. Καὶ οὕτω κατακερματιζόμενος ὁ ἄθλιος ἄνθρωπος, καὶ ταῖς ποικίλαις περὶ ταῦτα φροντίσι κατατεινόμενος, οὐδὲν τὸν ἥλιον αὐτὸν οὐδὲ τὸν ἀέρα, τὸν κοινὸν πᾶσι πλοῦτον, ἡδέως ἀναπνεῖ τε καὶ θεωρεῖ.

Αὐτὸς ὁ νοῦς ὁ ἡμέτερος μὴ ἀποστὰς τοῦ Θεοῦ, διεγείρει τὸν ἐν ἡμῖν θυμὸν κατὰ μόνου τοῦ διαβόλου, καὶ χρῆται τῇ τῆς ψυχῆς ἀνδρίᾳ κατὰ τῶν πονηρῶν παθῶν, κατὰ τῶν ἀρχόντων τοῦ σκότους, κατὰ τῶν πνευμάτων τῆς πονηρίας. Ἂν δὲ μὴ προσέχῃ ταῖς θείαις ἐντολαῖς τοῦ καθοπλίσαντος αὐτὸν δεσπότου, μάχεται τοῖς πλησίον, μαίνεται κατὰ τῶν ὁμοφύλων, ἀποθηριοῦται κατὰ τῶν μὴ συναινούντων

Digitized by Google

ταῖς αὐτοῦ παραλόγοις ὀρέξεσι, καὶ ἀνθρωποκτόνος A φεῦ! ἄνθρωπος γίνεται, οὐ μόνον τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁμοιωθεὶς, ἀλλὰ καὶ τοῖς ἑρπετοῖς καὶ ἰοβόλοις τῶν ζώων, σκορπίος, ὄφις, γέννημα ἐχιδνῶν γεγονὼς, ὁ ἐν υἱοῖς Θεοῦ τεταγμένος. Εἶδες πῶς διεσκόρπισε καὶ ἀπώλεσε τὴν οὐσίαν αὐτοῦ; «Καὶ δαπανήσας, φησὶ, πάντα ὁ νεώτερος υἱὸς, ἤρξατο ὑστερεῖσθαι.» Εἰς λιμὸν ἐμπεσὼν, ἀλλ' οὔπω πρὸς ἐπιστροφὴν ἔβλεψε· καὶ γὰρ ἦν ἄσωτος· διὸ «Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.»

Τίνες δὲ οἱ τῆς μακρὰν οὔσης τοῦ Θεοῦ χώρας πολῖται καὶ πολιτάρχαι; Πάντως οἱ δαίμονες· ὑφ' ὧν πορνοβοσκὸς, καὶ ἀρχιτελώνης, καὶ ἀρχιληστὴς, καὶ στασιάρχης κατέστη ὁ υἱὸς τοῦ οὐρανίου Πατρός· B πᾶν μὲν γὰρ πάθος διὰ τὴν ἄκραν ἀκαθαρσίαν ὁ χοιρώδης αἰνίττεται· χοῖροι δέ εἰσιν οἱ τῷ βορβόρῳ τῶν παθῶν τούτων ἐγκυλινδούμενοι, ὧν ἐκεῖνος προστὰς, ὡς καθ' ἡδυπάθειαν ὑπερέχων αὐτῶν, οὐκ ἠδύνατο χορεσθῆναι ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, τουτέστι κόρον τῆς οἰκείας ἐπιθυμίας λαβεῖν οὐκ ἠδύνατο. Πῶς ἡ τοῦ σώματος φύσις οὐκ ἀρκεῖ τοῦ ἀκολάστου ὑπηρετεῖν ταῖς ὁρμαῖς; Ὁ χρυσὸς ἢ ὁ ἄργυρος, τῷ φιλοχρύσῳ καὶ φιλαργύρῳ προσγεγονὼς, τὴν ἔνδειαν ηὔξησε, καὶ καθ' ὅσον ἂν πολὺς ἐπιρρεύσῃ, κατὰ τοσοῦτο πλείονος ἐπιθυμεῖν παρεσκεύασεν· ὁ κόσμος ἅπας μόλις, τάχα δὲ οὐδὲ μόλις ἀρκέσει πλεονέκτῃ καὶ φιλάρχῳ ἑνί. Ἐπεὶ οὖν πολλοὶ μὲν οὗτοι, κόσμος δὲ εἷς, πῶς ἄρα δυνή- C σεταί τις αὐτῶν τῆς οἰκείας ἐπιθυμίας κόρον εὑρεῖν; Οὕτω τοίνυν καὶ ὁ τοῦ Θεοῦ ἀποστατήσας ἐκεῖνος οὐκ ἠδύνατο χορτασθῆναι· οὐδὲ γὰρ ἐδίδου τις, φησὶ, τὸν κόρον αὐτῷ· τίς γὰρ ἂν καὶ ἔδωκεν; ὁ Θεὸς ἀπῆν, οὗ καὶ τῇ θέᾳ μόνῃ κόρος ἀνεπαχθὴς τῷ ὁρῶντι προσγίνεται, κατὰ τὸν εἰπόντα· «Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου.» Ὁ διάβολος οὐκ ἐθέλει κόρον παρασχεῖν τῶν αἰσχρῶν ἐπιθυμιῶν, ἐπεὶ μεταβολὴν τῆς πρὸς αὐτὰ σχέσεως ἐν τοῖς τρεπτοῖς ὁ κόρος ἐργάζεσθαι πέφυκεν· εἰκότως οὖν οὐδεὶς ἐδίδου τὸν κόρον αὐτῷ.

Μόλις ποτὲ τοίνυν ἐφ' ἑαυτοῦ γενόμενος ὁ ἀποσκιρτήσας τοῦ πατρὸς ἐκεῖνος, καὶ οἷ κακῶν ἔφθασεν ἐννοήσας, ἀπεκλαύσατο ἑαυτὸν, λέγων· «Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ D λιμῷ ἀπόλλυμαι.» Τίνες οἱ μίσθιοι; οἱ διὰ τῶν τῆς μετανοίας ἱδρώτων καὶ τῆς ταπεινώσεως οἷά τινα μισθὸν ἐπανακαλούμενοι τὴν σωτηρίαν. Υἱοὶ δέ εἰσιν οἱ διὰ τὴν πρὸς αὐτὸν ἀγάπην ταῖς αὐτοῦ ἐντολαῖς ὑποτασσόμενοι· καθάπερ καὶ ὁ Κύριος εἶπεν· «Ὁ ἀγαπῶν με τὰς ἐντολάς μου τηρήσει.» Τῆς οὖν υἱοθεσίας ὁ νεώτερος ἀποπεσὼν υἱὸς, καὶ τῆς ἱερᾶς πατρίδος ἐκπεσὼν ἑκὼν, καὶ λιμῷ περιπεσὼν, καταγινώσκει ἑαυτοῦ καὶ ταπεινοῦται, καὶ μετανοεῖ λέγων· «Ἀναστὰς πορεύσομαι, καὶ προσπεσοῦμαι τῷ πατρὶ, καὶ ἐρῶ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου.» Καλῶς ἄρα τὴν ἀρχὴν **16** ἐλέ-

heu! fit homo, non tantum jumentis insipientibus comparatus, sed etiam repentibus et venenatis animalibus, scorpio, serpens, genimen viperarum factus, qui inter filios Dei numerabatur. Vidistine quomodo dissipavit et perdidit substantiam suam? «Et postquam omnia consummasset adolescentior filius, cœpit egere.» In famem incidit, sed nondum ad reditum respexit; erat enim dissolutus: ideo, «Abiens adhæsit uni civium illius regionis. Et misit illum in villam suam ut pasceret porcos.»

Ἀλλ' οὐ τοῦτο μόνον, ἀλλὰ « Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· » ὡς γὰρ οἱ ἐκ δεξιῶν ζωὴν ἕξουσι, καὶ περισσὸν ἕξουσι, B ζωὴν μὲν τῷ συνεῖναι Θεῷ, περισσὸν δὲ τῷ καὶ υἱοὶ διατελεῖν καὶ κληρονόμοι τῆς αὐτοῦ βασιλείας, οὕτως οἱ ἐξ εὐωνύμων τῆς ἀληθινῆς ζωῆς ἀποτυχόντες, τὸ μακρυνθῆναι Θεοῦ, καὶ περισσότερον ἕξουσι κακὸν, τὸ δαίμοσι συντετάχθαι, καὶ πυρὶ παραδοθῆναι κολάζοντι. Οἷον δὲ τὸ πῦρ ἐκεῖνο, ὃ καὶ τῶν σωμάτων ἅπτεται, καὶ τῶν λογικῶν ἐν σώμασί τε ὄντων καὶ οὐκ ἐν σώμασι πνευμάτων, ὀδυνῶν ἅμα καὶ παρακατέχον ἀθάνατα, δι' οὗ καὶ τὸ καθ' ἡμᾶς πῦρ ταχήσεται, κατὰ τὸ γεγραμμένον; « Στοιχεῖα καυσούμενα τήκεται. » Ὅση δὲ τῆς ὀδύνης προσθήκη τὸ τῆς ἀπολυτρώσεως ἀπροσδόκητον; καὶ γὰρ ἄσβεστον ἐκεῖνο τὸ πῦρ. Τί δὲ αὖθις ἡ βιαία φορά; καὶ γὰρ ποταμὸς, φησὶν, ἕλκων ἐκεῖνο τὸ πῦρ, ὡς ἔοικεν, ἀεὶ πορρωτέρω φέρον Θεοῦ· διὸ οὐδὲ, Πορεύθητε, C εἶπεν, ἀλλὰ, Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· καὶ γὰρ ὑπὸ τῶν πτωχῶν ἐκ πολλοῦ κεκατήρασθε· κἂν εἴπερ ἔφερον ἐκεῖνοι, ἀλλ' ὑμεῖς κατάρας ἄξιοι. Πορεύεσθε δὲ, φησὶ, πρὸς αὐτοὺς εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον οὐχ ὑμῖν, ἀλλὰ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· οὐ γὰρ ἐμόν ἐστι τοῦτο προηγούμενον θέλημα, οὐκ εἰς τοῦτο ὑμᾶς ἐποίησα, οὐκ ἐφ' ὑμᾶς ἡτοίμασα τὴν πυράν· διὰ τοὺς ἀμετάβλητον ἔχοντας τῆς κακίας τὴν ἕξιν δαίμονας προανεκαύθη τὸ ἄσβεστον πῦρ, οἷς ὑμᾶς συνῆψεν ἡ κατ' ἐκείνους ἀμετανόητος γνώμη. **24** Αὐθαίρετος οὖν ὑμῖν ἐστιν ἡ μετὰ τῶν πονηρῶν ἀγγέλων συμβίωσις· « Ἐπείνασα γὰρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνὸς, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ D ἐν φυλακῇ ἤμην, καὶ οὐκ ἐπεσκέψασθέ με· » ὡς γὰρ ἡ ἀγάπη, ἀδελφοί, καὶ τὰ τῆς ἀγάπης ἔργα πλήρωμα τῶν ἀρετῶν ἐστι, οὕτω τὸ μῖσος καὶ τὰ τοῦ μίσους ἔργα, ὁ ἀσυμπαθὴς τρόπος, ἡ ἀμετάδοτος γνώμη, πλήρωμά ἐστι τῆς ἁμαρτίας· καὶ καθάπερ τῇ φιλανθρωπίᾳ ἕπονται καὶ σύνεισιν αἱ ἀρεταὶ, οὕτω τῇ μισανθρωπίᾳ αἱ κακίαι· διὰ τοῦτο καὶ ἀπὸ ταύτης μόνης καταδικάζονται.

Volebam quidem dicere nullum majus odii signum quam fratri superfluas anteponere divitias; sed video nequitiam majus invenientem hujus odii indicium; sunt enim qui non tantum non misericordiam faciunt ex eis quibus abundant, sed et aliena rapiunt. Cogitent ergo ex maledictione contra non misericordes prolata quid obtinebunt, quid

Ἐβουλόμην μὲν οὖν εἰπεῖν ὡς οὐδὲν μεῖζον δεῖγμα μίσους, ἀλλ' ἢ τὸ προτιμᾷν τοῦ ἀδελφοῦ τὸ περιττεῦον ἀργύριον· ἀλλ' ὁρῶ τὴν κακίαν καὶ μεῖζον εὑροῦσαν δεῖγμα τῆς μισανθρωπίας· εἰσὶ γὰρ οἱ μὴ μόνον οὐκ ἐλεοῦσιν ἐξ ὧν εὐποροῦσιν, ἀλλὰ καὶ σφετερίζονται τὰ ἀλλότρια. Συλλογιζέσθωσαν οὖν ἐκ τῆς πρὸς τοὺς μὴ ἐλεοῦντας ἀποφάσεως,

[68] II Petr. III, 12.

Digitized by Google

τίνος οὗτοι τεύξονται, καὶ τί πείσονται, καὶ οἵας ἀπερινοήτου τε καὶ ἀφορήτου καταδίκης ἄξιοι, καὶ ἀποστήτωσαν τῆς ἀδικίας, καὶ διὰ τῶν τῆς μετανοίας ἔργων ἐξιλεωσάσθωσαν τὸ θεῖον. Ἐκεῖνοι δὲ ἀποκριθήσονται τηνικαῦτα λέγοντες· « Κύριε, πότε σε εἴδομεν πεινῶντα, ἢ διψῶντα, ἢ ξένον, ἢ γυμνὸν, ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; » Ὁρᾶτε καὶ αὐτὸ τὸ ἔσχατον κακὸν τὴν ὑπερηφανίαν τῷ ἀσυμπαθεῖ συνεζευγμένην τρόπῳ, ὥσπερ καὶ τῇ συμπαθείᾳ τὴν ταπείνωσιν; Οἱ δίκαιοι διὰ τὴν εὐποιΐαν ἐγκωμιαζόμενοι ταπεινοῦνται μᾶλλον, οὐ δικαιοῦσιν ἑαυτούς. Οὗτοι διὰ τὴν ἀσπλαγχνίαν κατηγορούμενοι παρὰ τοῦ ἀψευδοῦς, οὐ προσπίπτουσι ταπεινωθέντες, ἀλλ' ἀντιλέγουσι καὶ δικαιοῦσιν ἑαυτούς· διὸ καὶ ἀκούσουσιν, « Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε· » καὶ οὕτως ἀπελεύσονται, φησὶ, « οὗτοι μὲν εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. »

Ἐλεήσωμεν οὖν ἡμᾶς αὐτοὺς, ἀδελφοὶ, διὰ τοῦ πρὸς τοὺς ἀδελφοὺς ἐλέους· κτησώμεθα διὰ τῆς συμπαθείας τὴν συμπάθειαν· εὖ ποιήσωμεν ἵνα πάθωμεν εὖ· ὁμοία μὲν ἡ ἀντίδοσις· εὐποιΐα γὰρ καὶ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος καὶ συμπάθεια, οὐκ ἴση δὲ τῇ ἀξίᾳ καὶ τῷ μέτρῳ τῆς ὑπεροχῆς· σὺ μὲν γὰρ παρέχεις ἐξ ὧν ἄνθρωπος ἔχει, καὶ ἐφ' ὅσον ἄνθρωπος εὐεργετῆσαι δύναται, ἀντιλαμβάνεις δὲ παρὰ τῶν θείων καὶ ἀκενώτων θησαυρῶν ἑκατονταπλασίονα καὶ τὴν αἰώνιον ζωὴν, καὶ εὐεργετῇ ἐξ ὧν καὶ ὅσον ὁ Θεὸς εὐεργετῆσαι δύναται· « Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. » Σπεύσωμεν οὖν ἵνα τοῦ πλούτου τῆς χρηστότητος ἐπιτύχωμεν· ὀλίγων ἀργυρίων κληρονομίαν αἰώνιον ἀγοράσωμεν· φοβηθῶμεν τὴν κατὰ τῶν ἀνηλεῶν ἀπόφασιν ἀρτίως, ἵνα μὴ ὑπ' αὐτῆς ἐκεῖ κατακριθῶμεν· μὴ φοβηθῶμεν μὴ πτωχοὶ γενώμεθα διδόντες ἐλεημοσύνην· καὶ γὰρ ἀκούσομεν παρὰ Χριστοῦ· « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν βασιλείαν. » Φοβηθῶμεν, καὶ πάντα πράξωμεν ἵνα μὴ φανῶμεν ἔξω τῆς πρὸς τὸν Θεὸν ἀγάπης διὰ τῆς ἀσπλαγχνίας· « Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, πῶς ἀγαπήσει, φησὶν ὁ Εὐαγγελιστὴς, τὸν Θεὸν ὃν οὐχ ἑώρακεν; » ὁ δὲ μὴ ἀγαπῶν τὸν Θεὸν πῶς συνέσται αὐτῷ; ὁ δὲ μὴ συνὼν αὐτῷ πορευθήσεται ἀπ' αὐτοῦ· ὁ δὲ πορευόμενος ἀπ' αὐτοῦ εἰς τὴν γέενναν ἐμπεσεῖται πάντως.

Ἀλλ' ἡμεῖς ἀγάπης ἔργα ἐπιδειξώμεθα εἰς τοὺς
25 ἡμετέρους ἐν Χριστῷ ἀδελφοὺς, ἐλεοῦντες τοὺς πενομένους, ἐπιστρέφοντες τοὺς πλανωμένους, ἣν ἂν εἴποις πλάνην τε καὶ πενίαν, ἐκδικοῦντες τοὺς ἀδικουμένους, ἐπιῤῥωννύντες τοὺς ἐν ἀσθενείᾳ κατακειμένους, εἴτε διὰ τῶν αἰσθητῶν τοῦτο πάσχοντας ἐχθρῶν τε καὶ νοσημάτων, εἴτε διὰ τῶν ἀοράτων πονηρῶν πνευμάτων καὶ τῶν τῆς ἀτιμίας παθῶν, ἐπισκεπτόμενοι τοὺς ἐν φυλακῇ καθειργμένους, ἀλλὰ καὶ ἀνεχόμενοι τῶν εἰς ἡμᾶς πταιόντων, καὶ

A patientur, quali incogitabili simulque intolerabili digni damnatione fient, et ab injustitia recedant, et per opera pœnitentiæ Deum sibi propitium reddant. Hi vero tunc respondebunt dicentes: « Domine, quando te vidimus esurientem aut sitientem, alienum, aut nudum, aut infirmum, aut in carcere, et non ministravimus tibi? » Videtis malum extremum superbiam duris visceribus conjugatam, sicut misericordiæ humilitatem? Justi propter beneficentiam laudati magis humiliantur, nec semetipsos justificant; isti propter dura viscera ab eo qui non mentitur damnati, non humiliati procidunt, sed contradicunt et semetipsos justificant. Ideo audiunt: « Amen dico vobis, quotiescunque non fecistis uni
B ex minimis istis, mihi non fecistis »; et sic, inquit, discedent « illi quidem in supplicium æternum, justi autem in vitam æternam. »

Igitur, fratres, misereamur nostri per misericordiam erga fratres; miserationem per commiserationem assequamur; bene faciamus, ut bene habeamus; æqua enim est retributio; insuper beneficentia, benignitas, charitas, pietas et misericordia, valde deficiunt a dignitate et mensura nimiæ mercedis. Tu quidem largiris ex his quæ habet homo, et quantum homo præbere potest, dum in mercedem recipis centuplum æternamque vitam a divinis necnon inexhaustis thesauris, ex quibus tantum
C accipis quantum Deus potest largiri: « Quæ oculus non vidit, nec auris audivit, nec in cor hominis ascendit [61]. » Studeamus ergo ut divitias bonitatis obtineamus, paucis opibus æternam emamus hæreditatem; timeamus nuper auditam contra non misericordes maledictionem, ne ibi ab ea damnemur, absit ut timeamus ne eleemosynam dando pauperes fiamus; et audiemus a Christo: « Venite, benedicti Patris mei, percipite regnum. » Timeamus, omniaque patremus ut non ostendamur extra charitatem Dei per cordis duritiem, nam « Qui non diliget fratrem suum quem videt, quomodo diliget, ait evangelista, Deum quem non vidit [62]? » Qui autem Deum non diligit, quomodo cum eo erit? Qui vero cum eo non est, elongabitur ab eo; sed qui ab eo elongatur,
D in gehennam prorsus incidet.

Nos autem charitatis opera erga nostros in Christo fratres ostendamus, inopum miserentes, convertentes aberrantes, quemcunque dicas errorem, quemcunque inopiam, læsos offendentes, confirmantes in infirmitate jacentes, sive ex sensibilibus adversariis et morbis istud patiantur, sive ex invisibilibus perversis spiritibus et turpibus concupiscentiis, visitantes in carcere detrusos, sed etiam offendentes nos tolerantes, et aliis invicem nobis indulgentes, si quis habet querelam adversus ali-

[61] I Cor. II, 9. [62] Joan. IV, 20.

Digitized by Google

quem, sicut Christus nobis pepercit, et uno verbo A omni modo, omnibus operibus et verbis quibus poterimus, ostendamus mutuam charitatem, ut a Deo charitatem consequamur et ille nobis benedicat, necnon percipiamus promissum nobis, nobisque præparatum cœleste æternumque regnum a constitutione mundi, quam nos omnes obtinere donetur gratia et benignitate Domini nostri Jesu Christi, cui simulque Patri et sancto Spiritui honor et gloria in sæcula sæculorum. Amen.

## HOMILIA V.

*In præsentationem Domini et Dei et Salvatoris nostri Jesu Christi; necnon de castimonia vitioque ei contrario.* B

Illam quidem protoparentis maledictionem et condemnationem omnes eamdem et communem præter Christum sortiti sumus, ab uno protoparente in omnes diffusam, velut a radice generis transmissam et natura in hæreditatem acceptam; singuli autem per ea quæ ipsi proprie faciunt vel vituperationem vel laudem in propriam personam a Deo attrahunt, contra communem illam maledictionem et condemnationem, necnon miseram sortem a principio in ipsum et per ipsum in posteros descendente nihil patrare possunt. Sed venit Christus naturæ liberatus qui communem maledictionem in benedictionem convertit pariter communem, nocen- C temque nostram naturam ex intemerata Virgine susceptam, et sibimetipsi novam in personam accommodatam veteris seminis non participem, innoxiam et justificatam ostendit, ita ut ab ipso secundum Spiritum generati omnes deinde extra illam maledictionem contra protoparentes prolatam permaneant. Quid ergo gratiæ non largitus est nostrarum singulis personarum, quis propriorum remissionem delictorum ab eo non obtinet? Cum ipse non personam a nobis, sed naturam nostram renovaverit susceptam, huic ipse secundum suam personam adunatus, et ita qui omnes omnino vult salvos fieri, pro omnibus cœlos inclinans descendit, et operibus, verbis et passionibus suis omnem patefecit viam salutis, et postea in cœlum conscendit, D ibi fideles adducens. Igitur non naturæ tantum quam ipse a nobis sumpsit per indivisam adunationem, sed etiam singulis in ipsum credentibus perfectam præbuit liberationem, quod quidem fecit nec facere cessavit per seipsum Patri satisfaciens, et ad obedientiam unumquemque nostrum adducens, omnemque nostram sanans inobedientiam.

Propterea divinum mandavit baptisma, et leges instituit salutares, et pœnitentiam prædicavit omnibus, propriumque tradidit corpus et sanguinem. Non enim natura sola, sed etiam uniuscujusque credentium persona et baptismum suscipit, et secundum divina regitur mandata, et deifici panis potusque fit particeps. deo nos quidem Christus

χαριζόμενοι ἀλλήλοις, εἴ τις πρός τινα ἔχει μομφήν, ὡς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν· καὶ ἁπλῶς παντὶ τρόπῳ καὶ πᾶσιν ἔργοις τε καὶ λόγοις, οἷς ἔχομεν, ἐπιδειξώμεθα τὴν πρὸς ἀλλήλους ἀγάπην, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ἐπιτύχωμεν ἀγάπης, καὶ εὐλογηθῶμεν παρ' αὐτοῦ, καὶ κληρονομήσωμεν τὴν ἐπηγγελμένην ἡμῖν καὶ δι' ἡμᾶς ἡτοιμασμένην οὐράνιον καὶ αἰώνιον βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ Ε'.

*Εἰς τὴν Ὑπαπαντὴν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ᾗ καὶ περὶ σωφροσύνης καὶ τῆς ἀντιθέτου ταύτῃ κακίας.*

Τὴν μὲν προγονικὴν ἐκείνην ἀράν τε καὶ καταδίκην κοινήν τε καὶ τὴν αὐτὴν ἅπαντες εἴχομεν πρὸ Χριστοῦ, ἐξ ἑνὸς τοῦ προπάτορος ἐπὶ πάντας χυθεῖσαν, ὡς ἐκ ῥίζης τοῦ γένους ἀναδιδομένην καὶ τῇ φύσει συγκεκληρωμένην· ἕκαστος δὲ δι' ὧν αὐτὸς ἰδίως ἔπραττεν, ἢ τὴν μέμψιν ἢ τὸν ἔπαινον εἰς τὴν ἰδίαν ὑπόστασιν παρὰ Θεοῦ ἐπεσπᾶτο, πρὸς ἐκείνην τὴν κοινὴν ἀράν τε καὶ καταδίκην, καὶ τὸν ἄνωθεν πρὸς αὐτὸν καὶ δι' αὐτοῦ πρὸς τοὺς ἑξῆς καταβαίνοντα πονηρὸν κλῆρον πράττειν ἔχων οὐδέν. Ἀλλ' ἦλθε Χριστὸς ὁ τῆς φύσεως ἐλευθερωτὴς, ὁ τὴν κοινὴν ἀρὰν εἰς εὐλογίαν μετάγων κοινὴν, καὶ τὴν ὑπεύθυνον ἡμῶν φύσιν ἀναλαβὼν ἐξ ἀκηράτου Παρθένου, καὶ ταύτην ὑποστήσας ἑαυτῷ καινὴν, παλαιοῦ μὴ μετασχοῦσαν σπέρματος, ἀνεύθυνον αὐτὴν καὶ δεδικαιωμένην ἀπέδειξεν, ὡς καὶ τοὺς ἐξ αὐτοῦ κατὰ πνεῦμα γεννωμένους ἔπειτα πάντας τῆς προγονικῆς ἐκείνης ἀρᾶς καὶ καταδίκης μένειν ἐκτός. Τί οὖν οὐχὶ καὶ τῶν ὑποστάσεων ἡμῶν ἑκάστῃ τῆς αὐτοῦ μεταδίδωσι χάριτος, οὐδὲ τῶν ἰδίων ἕκαστος πλημμελημάτων λαμβάνει παρ' αὐτοῦ τὴν ἄφεσιν; ἐπειδήπερ οὐχ ὑπόστασιν αὐτὸς παρ' ἡμῶν, ἀλλὰ τὴν ἡμετέραν ἀναλαβὼν ἐκαινούργησε φύσιν, ἑνωθεὶς αὐτῇ κατ' ἰδίαν ὑπόστασιν· καὶ πῶς, ὃς πάντας τελείως θέλει σωθῆναι, καὶ ὑπὲρ πάντων κλίνας οὐρανοὺς κατῆλθε, καὶ δι' ἔργων καὶ λόγων καὶ παθημάτων οἰκείων πᾶσαν ὑποδείξας σωτηρίας ὁδὸν εἰς οὐρανοὺς ἐπανῆλθεν, ἕλκων ἐκεῖσε τοὺς πειθομένους. Οὐκοῦν οὐ τῇ φύσει μόνον ἣν αὐτὸς παρ' ἡμῶν ἔσχε καθ' ἕνωσιν ἀδιάσπαστον, ἀλλὰ καὶ τῶν εἰς αὐτὸν πιστευόντων ἑκάστῳ παράσχοι τελείαν τὴν ἀπολύτρωσιν· ὃ δὴ καὶ πεποίηκε, καὶ ποιῶν οὐ διέλιπε, δι' ἑαυτοῦ τῷ Πατρὶ καταλλάττων, **26** καὶ πρὸς ὑπακοὴν ἡμῶν ἐπανάγων ἕκαστον, καὶ πᾶσαν ἡμῶν παρακοὴν ἐξιώμενος.

Διὰ ταῦτα τοίνυν καὶ βάπτισμα ἐνετείλατο θεῖον, καὶ νόμους ἔθηκε σωτηρίους, καὶ μετάνοιαν ἐκήρυξε πᾶσι, καὶ τοῦ οἰκείου μετέδωκε σώματός τε καὶ αἵματος· οὐ γὰρ ἁπλῶς ἡ φύσις, ἀλλ' ἡ ἑκάστου τῶν πιστευόντων ὑπόστασις καὶ τὸ βάπτισμα δέχεται, καὶ κατὰ τὰς θείας ἐντολὰς πολιτεύεται, καὶ τοῦ θεουργοῦ ἄρτου καὶ τοῦ ποτηρίου ἐν μεθέξει γίνε-

Digitized by Google

ται. Διὰ τούτων μὲν οὖν ὑποστατικῶς ἡμᾶς ὁ Χριστὸς ἐδικαίωσε, καὶ πρὸς ὑπακοὴν τοῦ ἀνωτάτου Πατρὸς ἐπανήγαγεν· αὐτὴν δὲ τὴν φύσιν ἣν παρ' ἡμῶν προσλαβόμενος ἐκαινούργησεν, ἡγιασμένην καὶ δεδικαιωμένην καὶ τῷ Πατρὶ διὰ πάντα ὑπήκοον οὖσαν ἔδειξε, δι' ὧν αὐτὸς ταύτῃ καθ' ὑπόστασιν ἡνωμένος, κατ' αὐτὴν ἔπραξέ τε καὶ ἔπαθεν· ὧν ἐστι καὶ ἡ τούτου σήμερον ἑορταζομένη παρ' ἡμῖν εἰς τὸ ἱερὸν τὸ παλαιὸν ἐκεῖνο πρὸς καθαρισμὸν ἀνάβασις ἢ ἀναβίβασις, καὶ ἡ τοῦ θεολήπτου Συμεὼν ὑπάντησις, καὶ ἡ τῆς διὰ βίου τῷ ἱερῷ προσανεχούσης Ἄννης ἐξομολόγησις. Μετὰ γὰρ τὴν ἐκ Παρθένου τοῦ Σωτῆρος γέννησιν, καὶ τὴν κατὰ νόμους ὀκταήμερον περιτομήν, καθάπερ ὁ εὐαγγελιστὴς Λουκᾶς φησιν· « Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, κατὰ γὰρ νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου. » Περιτέμνεται κατὰ τὸν νόμον, ἀνάγεται κατὰ τὸν νόμον, παρίσταται κατὰ τὸ γεγραμμένον ἐν νόμῳ Κυρίου, προσάγεται θυσία κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου.

A hypostatice justificavit et ad obediendum Patri altissimo adduxit, ipsam vero naturam quam a nobis acceptam renovavit, sanctificatam et justificatam, et Patri super omnia parentem manifestavit, per quæ ipse illi secundum personam adunatus, secundum illam fecit et passus est, ex quibus est hodie celebrata a nobis in templum illud antiquum ad purgationem ascensio seu potius asportatio, et Simeonis divino Spiritu ducti occursus et Annæ per vitam in templo conversantis confessio. Nam post Salvatoris ex Virgine nativitatem et post dies octo secundum legem, factam circumcisionem prout dixit Lucas evangelista : « Postquam impleti sunt dies purgationis eorum, secundum legem Moysis tulerunt eum in Jerusalem ut sisterent eum Domino, B sicut scriptum est in lege Domini. » Circumciditur secundum legem, adducitur secundum legem, sistitur sicut scriptum est in lege Domini, offertur sacrificium sicut dictum est in lege Domini.

Ὁρᾶτε ὅτι διὰ πάντων ὑπήκοος τῷ νόμῳ γίνεται ὁ τοῦ νόμου ποιητὴς καὶ δεσπότης; Τί διὰ τούτων ἀπεργαζόμενος; ὑπήκοον ἐν πᾶσι τῷ Πατρὶ τὴν ἡμετέραν φύσιν ποιούμενος, καὶ τὴν κατ' αὐτὴν ἡμῶν παρακοὴν ἐξιώμενος, καὶ τὴν δι' αὐτὴν ἀρὰν εἰς εὐλογίαν μετασκευάζων· ὡς γὰρ ἐν Ἀδὰμ ἅπασα ἦν ἡ φύσις ἡμῶν, οὕτω καὶ ἐν Χριστῷ· καὶ ὡς διὰ τοῦ ἐκ γῆς Ἀδὰμ πάντες οἱ ἐξ ἐκείνου τὸ εἶναι λαβόντες εἰς γῆν ἀπεστράφημεν, καὶ εἰς ᾅδου φεῦ! κατηνέχθημεν, οὕτω διὰ τοῦ ἐξ οὐρανοῦ Ἀδάμ, κατὰ τὸν Ἀπόστολον, πάντες εἰς οὐρανὸν ἀνεκλήθημεν, καὶ τῆς ἐκεῖ δόξης καὶ χάριτος ἠξιώθημεν· μυστικῶς μέντοι νῦν· « Κέκρυπται γάρ, φησίν, ἡ ζωὴ ἡμῶν σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. Ὅταν δὲ ὁ Χριστὸς φανερωθῇ κατὰ τὴν δευτέραν αὐτοῦ ἐπιφάνειαν καὶ παρουσίαν, τότε καὶ ὑμεῖς πάντες φανερωθήσεσθε ἐν δόξῃ. » Πάντες τίνες; οἱ τῷ Χριστῷ υἱοποιηθέντες ἐν πνεύματι, καὶ πνευματικὰ τούτου τέκνα διὰ τῶν ἔργων ἀποδεικνύμενοι. Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήγαγον αὐτὸν παραστῆσαι τῷ Κυρίῳ. Τίνων αὐτῶν; περὶ τῶν τεκόντων, ἅμα δὲ καὶ τῶν ἐκ συνδυασμοῦ τικτομένων ὁ τοῦ νόμου λόγος, ὡς δεομένων καθάρσεως· ἐπεὶ καὶ ὁ Ψαλμῳδός φησιν· « Ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· » ὅπου δὲ οὐ τεκόντες, ἀλλὰ τεκοῦσα ἦν μόνη, καὶ αὕτη παρθένος, καὶ παιδὸς τόκος ἀσπόρως συλληφθέντος, πάντως οὐκ ἦν χρεία καθαρισμοῦ, ἀλλ' ὑπακοῆς ἦν ἔργον καὶ τοῦτο, ἐπαναγαγούσης τὴν παρακούσασαν φύσιν, καὶ τῆς διὰ τὴν παρακοὴν ἀπαγούσης εὐθύνης. Ὅτε οὖν ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήγαγον αὐτὸν παραστῆσαι τῷ Κυρίῳ, ἀναθεῖναι, φανερὸν ποιῆσαι πρωτότοκον ὄντα, καθὰ γέγραπται ἐν νόμῳ Κυρίου· « Ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται. »

Videtisne quoniam per omnia legi fit obediens legis factor et Dominus? Quid per hæc operatus est? Docilem in omnibus Patri nostram efficit naturam, nostram per eam sanat inobedientiam, et maledictionem propter eam prolatam in benedictionem convertit; nam sicut in Adam tota erat natura nostra, ita et in Christo; et sicut per Adam, terrestrem omnes qui ab eo vitam accepimus, in terram conversi sumus et in infernum heu! dimissi, ita per C Adam cœlestem, prout dixit Apostolus [66], omnes in cœlum revocati sumus, necnon cœlestis gloriæ et gratiæ dignati; mystice tamen nunc : « Nam abscondita est, inquit, vita nostra cum Christo in Deo. Sed cum Christus apparuerit in secunda sui manifestatione secundoque adventu, tunc et vos omnes apparebitis cum ipso in gloria [67]. » Quinam omnes? qui Christo filii in Spiritu facti fuerint, et spirituales ejus liberi per opera sint manifestati. Quando impleti fuerunt dies purgationis eorum, tulerunt eum ut sisterent Domino. Quorumnam eorum? de puerperis simulque de genitis ex coitu lex sermonem habet ut purgatione indigentibus ; ideo ait Psalmista : « In iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea [68]. » D Hic vero nequaquam generantes, sed mater erat sola, et ipsa virgo, et pueri partus sine semine concepti ; nullo modo opus erat purgatione, sed hoc quoque opus erat obedientiæ qua rebellis reparatur natura, qua inobedientiæ reatus solvitur. Quando ergo impleti sunt dies purgationis eorum, tulerunt eum ut sisterent Domino, et offerrent, et ostenderent eum esse primogenitum, sicut scriptum est in lege Domini : « Omne masculinum quod aperit vulvam, sanctum Domino vocabitur [69]. »

[66] I Cor. xv, 48, 49. [67] Coloss. iii, 3. [68] Psal. l, 7. [69] Exod. xiii, 2.

Digitized by Google

A Et vere iste solus est qui vulvam quando conceptus fuit adaperuit sine coitu generatus ex solo verbo et signo Dei quod in aure Virgo per angelum accepit. Quomodo igitur lex : Omne, inquit, masculinum aperiens vulvam? Quemadmodum multi dicuntur prophetæ, christique multi, sicut per Psalmistam dicit Deus : « Nolite tangere christos meos, et in prophetis meis nolite malignari [76]; » unus autem est Christus, unusque solus iste Propheta, Ita omne primogenitum dicitur quidem vulvam aperire, vere autem aperiens iste solus est sanctus Israel. Tulerunt ergo, inquit, et « ut offerrent hostiam, sicut dictum est in lege Domini, par turturum aut duos pullos columbarum. » Par quidem turturum, dum parentum castitatem manifestabat, B quamdam habebat rationem ad conjunctos sub lege matrimonii, duo vero pulli columbarum, cum matrimonium nesciant, recte patefaciunt Virginem, et hujus Virginis partum et Virginem perpetuo manentem. Et vide quam apta sit lex; nam de turturibus par quidem dixit, quatenus matrimonio conjunctos significantibus, de pullis autem ab isto abstinuit vocabulo; jugum enim nesciebant et mater et filius. Verum lex quidem a longe prænuntians partum virginalem ita vaticinabatur, et ita illum prius describebat; isto autem mirabiliter genito et hodie in templum asportato, alios turtures aliosque columbarum pullos magis congruos paravit Spiritus sanctus. Quosnam istos? Simeon et Annam, quos sive pullos columbarum quis diceret, C quia in omni malitia infantes, sive turtures propter summam castimoniam recte etiam appellaret.

Καὶ μὴν οὗτος μόνος ἐστὶν ὁ μήτραν ἐν τῷ συλληφθῆναι **27** διανοίξας, ἀσυνδυάστως κυοφορηθεὶς διὰ μόνου προσρήματος καὶ μηνύματος Θεοῦ, ὅπερ εἰς ἀκοὴν ἡ Παρθένος δι' ἀγγέλου ἐδέξατο. Πῶς οὖν ὁ νόμος, Πᾶν ἄρσεν, φησί, διανοῖγον μήτραν; Ὥσπερ πολλοὶ λέγονται προφῆται καὶ πολλοὶ χριστοί, ὡς διὰ τοῦ Ψαλμῳδοῦ λέγει ὁ Θεός· « Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε· » εἷς δέ ἐστιν ὁ Χριστός, καὶ εἷς ὁ μόνος Προφήτης οὗτος, οὕτω καὶ πᾶν μὲν πρωτότοκον λέγεται διανοίγειν μήτραν, ὁ δὲ ἀληθῶς διανοίξας οὗτός ἐστιν ὁ μόνος ἅγιος τοῦ Ἰσραήλ. Ἀνήγαγον δέ, φησί, καί, « Τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. » Τὸ μὲν οὖν τῶν τρυγόνων ζεῦγος, ὑπεμφαῖνον τῶν τεκόντων τὸ σῶφρον, εἶχέ τινα λόγον πρὸς τοὺς νόμῳ γάμου συνεζευγμένους, οἱ δὲ δύο νεοσσοὶ τῶν περιστερῶν ἀπειρόγαμοι ὄντες σαφῶς προεδήλουν τὴν Παρθένον, καὶ τὸν ἐκ τῆς Παρθένου ταύτης τεχθέντα, καὶ Παρθένον εἰς τέλος ὄντα. Καὶ ὅρα τοῦ νόμου τὸ ἀκριβές· ἐπὶ μὲν γὰρ τῶν τρυγόνων ζεῦγος εἶπεν, ὡς αἰνιττομένων τοὺς γάμῳ συνεζευγμένους, ἐπὶ δὲ τῶν νεοσσῶν ἐφυλάξατο τοῦτο· ἀπειρόζυγος γὰρ καὶ ἡ τεκοῦσα καὶ ὁ τεχθείς. Ἀλλ' ὁ μὲν νόμος πόῤῥωθεν προκαταγγέλλων τὸν παρθενικὸν τόκον τοιαῦτα χρησμῳδεῖ, καὶ διὰ τοιούτων τοῦτον προϋπογράφει· αὐτοῦ δὲ τοῦ παραδόξως τεχθέντος νῦν εἰς τὸ ἱερὸν ἀναχθέντος, ἑτέρας τρυγόνας καὶ ἄλλους περιστερῶν νεοσσοὺς πρεπωδεστέρους ἡτοίμασε τὸ Πνεῦμα τὸ ἅγιον. Τίνας τούτους; Συμεὼν καὶ τὴν Ἄνναν, οὕς, εἴτε νεοσσοὺς περιστερῶν εἴποι τις, διὰ τὸ πρὸς κακίαν παντάπασι νηπιῶδες, εἴτε τρυγόνας διὰ τὸ τῆς σωφροσύνης ἀκήρατον, εὐλόγως ἐρεῖ.

Simeon quidem, ut abundanti sermone evangelica verba percurramus, cum justus esset et timoratus, responso a sancto Spiritu accepto, nunc quoque ab eo ductus venit in templum, et occurrens in ulnas accepit illum cœlestem simul et terrenum puerulum, ipsi quasi Deo offerens hymnum et orationem, in pace a vinculo corporis flagitans solvi, illumque lumen esse salutare omnibus prænuntians, in ruinam illum positum esse infidelium et in resurrectionem credentium in ipsum firme confitens. D Deinceps Virginem et Matrem pueruli allocutus, eam prædixit ex dolore super cruce filii matrem secundum naturam infantis Dei Hominis manifestandam, et revelaturam ex cordibus incertas de hoc mysterio cogitationes; nam pulchre testatus est Simeon veram mystici hujus infantis matrem ex dolore propter passionem filii, et ex vehementi illius propter hanc causam tristitia et compassione. Anna vero prophetissa, vidua Phanuel usque ad annos octoginta quatuor, jejuniis et precibus se consecrans, a templo minime discedens, divino Spiritu tunc potissimum afflante, gratias Deo agebat, et redemptionem adesse exspectantibus annuntiabat,

Ἀλλ' ὁ μὲν Συμεών, ἵνα κατ' ἐπιδρομὴν τὰ εὐαγγελικὰ διέλθωμεν ῥήματα, δίκαιος ὢν καὶ εὐλαβής, προκεχρηματισμένος τε ὑπὸ Πνεύματος ἁγίου, καὶ νῦν ὑπὸ τούτου κεκινημένος ἦλθεν εἰς τὸ ἱερόν, καὶ ὑπήντησε καὶ ἐνηγκαλίσατο τοῦτο τὸ οὐράνιον καὶ ἐπίγειον βρέφος, αὐτῷ προσάγων ὡς Θεῷ τόν τε ὕμνον καὶ τὴν ἱκεσίαν, ἐν εἰρήνῃ τε λυθῆναι τοῦ σώματος ἱκετεύων, καὶ σωτήριον αὐτὸ φῶς εἶναι καταγγέλλων τοῖς πᾶσιν, εἰς πτῶσίν τε τοῦτο τεθεῖσθαι τῶν ἀπιστούντων, καὶ εἰς ἀνάστασιν τῶν εἰς αὐτὸ πιστευόντων ἰσχυριζόμενος. Εἶτα καὶ τῇ Παρθένῳ καὶ Μητρὶ τοῦ βρέφους προσδιελέξατο, ἐκ τῆς περὶ τὸν σταυρὸν τοῦ παιδὸς ὀδύνης μητέρα κατὰ φύσιν φανερωθήσεσθαι δεικνὺς τοῦ νῦν θεανθρώπου βρέφους, καὶ τοὺς ἀμφιβόλους περὶ τούτου λογισμοὺς ἀποκαλύψασαν ἐκ τῶν καρδιῶν ἀπαλείψειν· καὶ ὁ Συμεὼν γὰρ τὴν γνησίαν τοῦ ἀμφιβόλου παιδὸς μητέρα ἐκ τῆς περὶ τὸ πάθος τοῦ παιδὸς ὀδύνης καὶ τῆς ἐπ' αὐτὸ σφοδρᾶς λύπης καὶ συμπαθείας καλῶς ἐτεκμήρατο. Προφῆτις δὲ Ἄννα ἡ τοῦ Φανουὴλ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων οὖσα, νηστείαις τε καὶ δεήσεσι προσκειμένη, καὶ τοῦ ἱεροῦ μηδαμῶς ἀφισταμένη, θείῳ Πνεύματι τηνικαῦτα μᾶλλον γενομένη

[76] Psal. civ, 15.

Digitized by Google

κάτοχος εὐχαρίστει τῷ Θεῷ, καὶ τὴν λύτρωσιν παραγενομένην τοῖς προσδεχομένοις εὐηγγελίζετο, ταύτην εἶναι δεικνῦσα τὸ βρέφος τοῦτο. Τοιαύτας λογικὰς τρυγόνας πρὸς ὑπαντὴν προέπεμψεν εἰς τὸ ἱερὸν ἀνιόντι τῷ Χριστῷ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἔδειξεν ἡμῖν ὁποίους εἶναι δεῖ τοὺς εἰσδεχομένους Χριστὸν, καὶ ὁποίους εἶναι δεῖ, καὶ ὁποίας τὰς ἐξ ἀνδρῶν τε τὸν βίον ἀπολιπούσας καὶ τοὺς τὰς ὁμοζύγους ἀποβαλόντας. Χήρα γὰρ ἦν ἡ τοῦ Φανοὺλ αὕτη Ἄννα, ἀλλὰ καὶ προφῆτις· πῶς; ὅτι τῶν κοσμικῶν καὶ βιωτικῶν ἀποστᾶσα φροντίδων οὐκ **28** ἀφίστατο τοῦ ἱεροῦ· ὅτι νηστείαις καὶ ἀγρυπνίαις καὶ προσευχαῖς καὶ ψαλμῳδίαις συνδιημερεύουσα καὶ διανυκτερεύουσα τὸν βίον εἶχεν ἄμωμον· διὸ καὶ τὸν Κύριον, ᾧ δι' ἔργων ἐλάτρευεν, εἰκότως ἐπεγίνωσκεν ἐλθόντα, καθὰ καὶ ὁ ψαλμῳδὸς Προφήτης πρὸς αὐτόν φησιν· « Ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με. »

A illum esse indicaus hunc puerulum. Tales spirituales turtures ad occursum præmisit in templum ascendenti Christo Spiritus sanctus, et monstravit nobis quales oporteat esse Christum exspectantes, et quales debeant esse tum virorum consortium relinquentes, tum conjugatas dimittentes. Illa enim Anna Phanuel erat vidua, sed prophetissa: tamen quare? Quia mundi vitæque relictis sollicitudinibus, a templo non discedebat; quia jejuniis, vigiliis, obsecrationibus et psalmis die et nocte indulgens vitam agebat immaculatam; ideo Dominum cui per opera ministrabat, merito agnovit venientem, prout Propheta Psalmistes ad eum dixit: « Psallam, et intelligam in via immaculata, quando venies ad me [71]. »

B Τοιαύτας εἶναι δεῖ καὶ τοιούτους τοὺς ἐκ τοῦ γάμου διὰ τῆς ἐντίμου χηρείας πρὸς τὸν παρθενικὸν βίον ἐγγίζειν ἢ καὶ συμβιοῦν αἱρουμένους. Ἐὰν οὖν τῆς δευτέρας συζυγίας ὡς χαμαιζήλου παντάπασιν ὑπερείδες, ἀπρὶξ ἔχου μοι τῆς προθέσεως, κατ' ἴχνος βάδιζε τῶν ἐξ ἀρχῆς καὶ διὰ τέλους ἀγάμων. Ἦν ὅτε καὶ Πέτρος πενθερὰν ἔσχεν, ἀλλ' Ἰωάννου τοῦ παρθένου πρὸς τὸ ζωαρχικὸν μνῆμα προσδραμόντος οὐκ ἀπελείφθη· ἔστι δὲ ἐφ' ὧν καὶ ἐπανῆλθε, διὸ καὶ κορυφαῖος τῶν κορυφαίων ὑπὸ τοῦ κοινοῦ δεσπότου κατέστη. Πρὸς τοιοῦτον ὕψος ἀνάγει πόθος ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ πνεῦμα μετενεχθείς. Σὺ δὲ ὅρα, μὴ τῆς μὲν ἀποσχόμενος ὡς πανδήμου, τῆς δὲ μὴ ἐφικόμενος ὡς δυσεφίκτου, παραῤῥυῆς καὶ λάθης καταπεσὼν, ὡς μήτε τῶν κατὰ νόμον, μήτε τῶν ὑπὲρ νόμον, ἀλλὰ τῶν παρανόμων ἐχόμε- C νος. Εἰ δὲ τοὺς ἐν χηρείᾳ ὄντας, ἂν μὴ σωφρονῶσι, κατακρίτους ἀποφαινόμεθα, κἂν δευτέροις ἐννόμως ὁμιλήσωσι γάμοις, οὐ παντάπασιν ἀμέμπτους ἡγούμεθα· εἶπεν ἂν ὁ Παῦλος, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· πόσῳ μείζονος ἄξιοι καταδίκης οἱ τῆς ἐννόμου συζυγίας τὴν παράνομον ἡδονὴν προτιμῶντες; καὶ οἱ γυναιξὶ συνοικοῦντες, καὶ τῆς πορνείας οὐκ ἀπεχόμενοι; Πορνείας, ἣ καὶ τὸν παγκόσμιον ἐκεῖνον ἐπήνεγκε κατακλυσμὸν, καὶ αὐτοῖς τοῖς υἱοῖς Θεοῦ κληθεῖσι τὴν ἀρχὴν, καὶ τοῖς Σοδομίταις ἐπήνεγκε τὸν οὐρανόθεν ἐμπρησμὸν, καὶ τοῖς Ἰσραηλίταις τὴν ὑπὸ τῶν Μωαβιτῶν ἧτταν, καὶ τὸν πολυάνθρωπον ἐκεῖνον φόνον, καὶ νῦν ἡμῖν, οἶμαι, τὰς ὑπὸ τῶν ἐθνῶν ἥττας καὶ πολυειδεῖς ἔσωθέν τε καὶ D ἔξωθεν κακώσεις καὶ συμφοράς. Υἱοὺς δὲ Θεοῦ τοὺς ἀπογόνους Ἐνὼς πρώτους ἐκάλεσεν ἡ Γραφὴ, ὃς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου. Οὗτος δὲ ἦν υἱὸς Σὴθ, οὗ τὸ γένος διΐστατο τοῦ διὰ τὸν Κάϊν ἐπαράτου γένους, καὶ διῆγον ἐν σωφροσύνῃ, καὶ δι' αὐτοὺς ἔτι τότε ἵστατο ὁ κόσμος, ἕως κατὰ τὸ γεγραμμένον, ἰδόντες τὰς θυγατέρας τῶν ἀνθρώπων, τουτέστι τὰς ἐκ τοῦ γένους τοῦ Κάϊν ὅτι καλαὶ, καὶ τοῦ πορνικοῦ κάλλους ἡττηθέντες ἔλαβον αὐτοῖς ἀπὸ πασῶν ὧν ἐξελέξαντο, καὶ ἔμαθον τὰ ἔργα αὐ-

B Tales oportet esse qui e matrimonio per honorabilem viduitatem ad virginalem vitam accedere et conversari præsumunt. Si ergo secundas nuptias tanquam humiliantes vehementer despexeris, firmiter tuo adhæreas consilio, et vestigia sequere eorum qui a principio usque ad finem virgines remanserunt. Petrus quidem socrum habebat, et tamen Joanni virgini ad vivificum monumentum accurrenti non defuit, sed et iterum reversus est, coryphæus coryphæorum a communi Domino constitutus est. Ad tantum apicem erigit desiderium a carne in spiritum translatum. Tu vero cave ne ab uno, quia vulgare, amotus, aliud autem quasi supra vires positum non appetens, delabaris, et lapsus tui illas immemor, non secundum legem, nec supra legem, C sed contra legem agendo. Si in viduitate degentes, si caste non vivant, damnatos prædicamus, et si, quando licite ad secundas nuptias convolaverint, eos tamen non omnino irreprehensibiles judicamus, dicente Paulo quoniam primam fidem negarunt [72], quanto magis damnatione digni, qui legitmo conjugio illicitam anteponunt voluptatem? qui cum mulieribus habitantes, a fornicatione tamen non abstinent? Fornicatione, inquam, quæ universum illum induxit cataclysmum in ipsos Dei filios primum appellatos, necnon in Sodomitas cœlestem induxit ignem, et in Israelitas cladem ex parte Moabitarum, illamque multorum cædem virorum, et etiamnunc, me judice, in nos adducit a gentibus clades atque multiformes calamitates et ærumnas tum D internas tum externas. Dei filios primo Enos posteros vocavit Scriptura, qui primus cœpit invocare nomen Domini. Hic vero erat filius Seth, cujus genus discernebatur a maledicta Cain progenie; et in castimonia degebant, et per eos tunc adhuc stabat mundus, usquedum, sicut scriptum est, videntes filias hominum, id est, generis Cain, quoniam essent pulchræ et fornicatoria pulchritudine, ab omnibus acceperunt quas elegerunt, et didicerunt opera earum, et abundavit malitia super ter-

[71] Psal. c, 2. [72] I Tim. v, 12.

A ram, et venit diluvium, et omnes abstulit; et nisi Noe et casti Noe filii inventi fuissent super terram (patet eos caste vixisse, nam unius uxoris unusquisque vir erat, cum qua introivit in arcam), nulla relicta fuisset radix et origo ad novi mundi regenerationem.

τῶν, καὶ ἐπληθύνθη ἡ κακία ἐπὶ τῆς γῆς, καὶ ἦλθεν ὁ κατακλυσμὸς, καὶ ἦρεν ἅπαντας· καὶ εἰ μὴ Νῶε τότε, καὶ οἱ τοῦ Νῶε υἱοὶ σωφρονοῦντες εὑρέθησαν ἐπὶ τῆς γῆς, δῆλον δέ· καὶ γὰρ μιᾶς γυναικὸς ἕκαστος ἦν ἀνὴρ, μεθ' ἧς καὶ εἰσῆλθεν εἰς τὴν κιβωτόν· οὐδ' ἂν ὑπελείφθη ῥίζα τις καὶ ἀρχὴ πρὸς δευτέρου κόσμου γένεσιν.

Videtisne quomodo propter fornicarios olim mundus iste periisset, nisi propter pudicos constitisset? Qui nec etiam præsenti mundo digni, quia illam immunditiam operati sunt, quomodo a futuro non ejicientur, igni gehennæ traditi, quia carnalium igni voluptatum minime restiterunt, nisi nunc per pœnitentiam studeant illum exstinguere, et ab illo exortas sordes lacrymis abluere? Et istud non B ignorant, quoniam nisi per pœnitentiam studeant cupidini obsistere, in pejora prolapsi probrosis secundum naturam tradentur, quæ obscenæ quidem concupiscentiæ sunt genimina, ignis autem gehennæ occupat quo apprehenduntur protervi in supplicium æternum. Quis non novit Sodomitas eorumque turpem protervitatis combustionem et recentiorem in ipsos ignis pluviam et perniciem? Sæpius urbs tota ex uno procace viro passa est, sicut Sichemitis a filiis Jacob omnino interemptis accidit, cum Dinam Jacob filiam Sichem rapuisset. Sed ut anteriora legi omittamus, lex ipsa nonne sponsam nisi virgo inveniretur lapidari jubet? fornicatam sacerdotis filiam igne comburi? Nonne prohibet ne fornicationis pretium in templum Domini afferatur? C Et Israelitis impudice a Moabitis filiabus perditis, nonne opus gladii in una die fuerunt tres et viginti millia virorum? Ideo magnus Paulus ad nos dixit: « Nolite fornicari, sicut quidam ex ipsis fornicati sunt, et ceciderunt in una die viginti tria millia [73]. » Talis ante legem et in lege et per legem fuit fornicationis multa.

Ὁρᾶτε ὅτι διὰ τοὺς πορνεύοντας πάλαι ἂν ἀπώλετο ὁ κόσμος οὗτος, εἰ μὴ διὰ τοὺς σωφρονοῦντας ἵστατο; Οἱ δὲ μηδὲ τοῦ παρόντος ἄξιοι κόσμου, ὡς ἀκοσμίαν τοῦτον ἀπεργαζόμενοι, πῶς οὐχὶ καὶ τοῦ μέλλοντος αἰῶνος ἐξωσθήσονται τῷ πυρὶ τῆς γεέννης παραδοθέντες, ὡς μὴ τῷ πυρὶ τῶν σαρκικῶν ἡδονῶν ἀντισχόντες, εἰ μὴ νῦν διὰ μετανοίας αὐτὸ μὲν ἀποσβέσουσι σπεύσαντες, τοὺς δὲ προγεγονότας ἐντεῦθεν μολυσμοὺς τοῖς δάκρυσιν ἀπονίψονται; Καὶ τοῦτο δὲ μὴ ἀγνοείτωσαν, ὡς ἐὰν μὴ ἀντιστῶσι σπεύσαντες διὰ τῆς μετανοίας τῷ πάθει, χείροσι προϊόντες παραδοθήσονται τοῖς παρὰ φύσιν αἰσχροῖς, ἃ πορνικῆς μὲν ἐστιν ἐπιθυμίας γεννήματα, **29** ἕλκει δὲ τῆς γεέννης ἐνταῦθα τὸ πῦρ' ὡς ἐντεῦθεν συναρπάσον τοὺς ἀκολάστους εἰς αἰώνιον κόλασιν. Τίς οὐκ οἶδε τοὺς Σοδομίτας καὶ τὴν παρανομωτέραν ἐκείνων πορνείας ἔκκαυσιν, καὶ τὸν καινότερον τοῦ πυρὸς ἐπ' αὐτοὺς ὄμβρον καὶ τὴν ἀπώλειαν; Πολλάκις δὲ καὶ σύμπασα πόλις ἑνὸς ἀνδρὸς ἀσελγοῦς ἀπήλαυσεν, ὡς ἐπὶ τῶν Σικίμων ὑπὸ τῶν Ἰακὼβ παίδων ἄρδην ἀφανισθέντων ἐγένετο, τοῦ Συχὲμ τὴν τοῦ Ἰακὼβ θυγατέρα Δεῖναν ἁρπάσαντος. Ἀλλ' ἵνα τοὺς πρὸ τοῦ νόμου νῦν ἀφῶμεν, αὐτὸς ὁ νόμος οὐ τὴν νυμφευομένην, μὴ εὑρεθείσης ἐν αὐτῇ παρθενίας, λιθοβολεῖσθαι προστάττει; τὴν δὲ πεπορνευμένην ἱερέως θυγατέρα οὐ πυρὶ κατακαίεσθαι; μίσθωμα δὲ πόρνης οὐκ ἀπαγορεύει τῷ ναῷ Κυρίου προσφέρεσθαι; τῶν δὲ Ἰσραηλιτῶν πορνικῶς ταῖς Μωαβίτισι συμφθαρέντων ἔργον μαχαίρας ἐν μιᾷ ἡμέρᾳ τρεῖς πρὸς ταῖς εἴκοσι χιλιάδες ἀνδρῶν ἐγένοντο; Διὸ καὶ Παῦλος ὁ μέγας πρὸς ἡμᾶς φησι· « Μὴ πορνεύετε, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. » Τοιαῦτα καὶ πρὸ νόμου, καὶ ἐν νόμῳ, καὶ διὰ νόμου τὰ τῆς πορνείας εἰσὶν ἐπιτίμια.

Quid vero nos carnem jussi crucifigere cum vitiis et concupiscentiis, qui rursus labimur in ea propter quæ venit ira Dei in filios diffidentiæ? Qui incitamur ad mortificanda membra nostra quæ sunt super terram, fornicationem, immunditiam, libi- D dinem, concupiscentiam malam, qui ad hortationem minime attendimus? Nonne timebimus, sero saltem, iram divinam quæ nobis et sursum et deorsum tum præsentia tum æterna supplicia comminatur? Nonne verebimur manifestationem in carne solis justitiæ Christi, et sicut in die honeste ambulabimus? Nonne pavebimus Apostoli minas et argumenta et consilia? Ait enim: « Nescitis quoniam templum Dei estis, et Spiritus Dei habitat in vobis? si quis templum Dei violaverit, perdet illum Deus [74]. » Et rursum: « Manifesta sunt opera carnis, quæ sunt fornicatio, immunditia, impudi-

Τί δὲ ἡμεῖς οἱ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις ἐπιταττόμενοι, καὶ πάλιν τοῖς αὐτοῖς περιπίπτοντες, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας; οἱ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς παραινούμενοι, πορνείαν, ἀκαθαρσίαν, πάθος κακὸν καὶ τὴν ἐπιθυμίαν, καὶ τῆς παραινέσεως οὐκ ἐπιστρεφόμενοι; Οὐ φοβηθησόμεθα ὀψέποτε γοῦν εἰ μηδὲν ἄλλο, τὰς γοῦν θεομηνίας, τὰς κάτωθεν, τὰς ἄνωθεν, τὰς ἐκβάσας, τὰς ἠπειλημένας ἐκείνας καὶ αἰωνίους; Οὐκ αἰδεσθησόμεθα τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, καὶ ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσομεν; Οὐ φρίξομεν τὰς ἀποστολικὰς ἐπεξελεύσεις καὶ ἀποφάσεις καὶ παραινέσεις; « Οὐκ οἴδατε, λέγοντος, ὅτι ναός ἐστε Θεοῦ, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. » Καὶ πάλιν· « Φα-

[73] I Cor. x, 8. [74] I Cor. iii, 16.

Digitized by Google

νερά ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι πορνεία, A ἀκαθαρσία, ἀσέλγεια καὶ τὰ ἑξῆς, ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. » Καὶ πάλιν· « Τοῦτό ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. » Καὶ πάλιν· « Τοῦτό ἐστι τὸ θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ἡμῶν, ἀπέχεσθαι ἡμᾶς ἀπὸ τῆς πορνείας· οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐπὶ ἁγιασμῷ· τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν δόντα τὸ Πνεῦμα τὸ ἅγιον αὐτοῦ εἰς ἡμᾶς. » Καὶ τίς ἂν ἑξῆς καταλέξῃ τὰς εἰς τοῦτο πάσας τῶν τε ἀποστόλων καὶ τῶν προφητῶν φωνάς; Τοῖς μέντοι σωφρονοῦσι, καὶ διὰ τοῦτο τελοῦσιν εἰς τὰ μέλη τοῦ Χριστοῦ τί παραγγέλ- B λει ὁ Ἀπόστολος; « Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις. » Ἐπειδὴ γὰρ ἐκεῖνοι παρ' ἑαυτῶν οὐκ ἐντρέπονται, παραινεῖ τοῖς ἄλλοις ἐκτρέπεσθαι καὶ ἐντρέπειν αὐτοὺς, λέγων πρὸς αὐτούς· « Ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. » Ὁρᾷς ὅτι κοινὸν μόλυσμά ἐστι τῆς Ἐκκλησίας ὁ πορνείᾳ ἐγκαλινδούμενος, καὶ διὰ τοῦτο δεῖ πάντας τοῦτον ἀποτροπιάζεσθαι καὶ ἐξελαύνειν; Αὐτὸς δὲ ὁ Παῦλος καὶ τῷ Σατανᾷ παρέδωκε τὸν ἐν Κορίνθῳ πορνεύσαντα, καὶ οὐκ ἐκύρωσε πρὸς αὐτὸν ἀγάπην, οὐδὲ προσελάβετο τοῦτον, **30** μέχρις ὅτου τὴν μετάνοιαν ἱκανῶς ἐπεδείξατο. Σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν ἀπὸ τῶν τοσούτων κακῶν, ὦ ἄνθρωπε, τῶν μὲν παρόντων, τῶν C δὲ μελλόντων, καὶ τούτων διττῶν ἔν τε τῷ μέλλοντι, κἂν τῷ παρόντι αἰῶνι. Τὸ γὰρ Ἡσαῦ γένος ἀπόβλητον, ἐπειδὴ πόρνος καὶ βέβηλος ἐκεῖνος ἦν, καὶ ὁ Ῥοβοὰμ ἀφαιρεῖται τῆς βασιλείας τὸ πλεῖστον, ἐπεὶ γυναικομανής· εἴπερ τις ὁ τοῦτον γεννήσας Σολομῶν ἀπεβίω μὴ τοῦτο παθὼν αὐτὸς διὰ τὸν Δαβίδ, ὃς καὶ τὸ προστριβὲν ἅπαξ ἄγος δακρύων λιβάσι καὶ τοῖς ἄλλοις τῆς μετανοίας ἔργοις διαρκῶς ἀπετρίψατο.

Φεύγετε τὴν πορνείαν, ἀδελφοὶ, πάλιν ὁ Ἀπόστολος ἐγκελεύεται. Εἰ Σαμψὼν ταύτην ἔφευγεν, οὐκ ἂν τῆς Δαλιδᾶς ταῖς χερσὶ κρατηθεὶς μετὰ τῆς ἐν τῇ κεφαλῇ τριχὸς καὶ τὴν ἰσχὺν ἀφῃρέθη, οὐκ ἂν ἐξεκόπη τοὺς ὀφθαλμοὺς, οὐκ ἂν τοῖς ἀλλοφύλοις κακῶς τὸ ζῆν συναπέῤῥηξεν. Εἰ ταύτην ἔφευγον οἱ ὑπὸ D Μωσέως στρατηγοῦντος καὶ νομοθετοῦντος ἀγόμενοι, οὐκ ἂν ἔθυσαν τῷ Βεελφεγὼρ, οὐδ' ἂν ἔφαγον θυσίας νεκρῶν, οὐδ' ἂν ἔπεσον ὅσοι πεπτώκασιν. Εἰ ταύτην ἔφευγε Σολομῶν, οὐκ ἂν ἀπέστη ἀπὸ Θεοῦ τοῦ βασιλεύσαντος αὐτὸν καὶ σοφίσαντος, οὐδ' ἂν εἰδώλοις ναοὺς ἀνήγειρεν. Ὁρᾶτε ὅτι καὶ πρὸς ἀσέβειαν ἐκφέρει τὸ τῆς πορνείας πάθος τὸν ἄνθρωπον; Οὐδὲ τοὺς ἐν Βαβυλῶνι πρεσβυτέρους κριτὰς τὸ τῆς Σωσάννης κάλλος ἐξαπατῆσαν, ἐθριάμβευσεν ὕστερον, καὶ ταῖς τῶν λίθων συνεκάλυψε βολαῖς, εἰ τὸ μῖσος πόῤῥωθεν ἔφευγον, καὶ μὴ καθ' ἑκάστην ταύτην ἀκολάστως παρετήρουν πρότερον. Οὐδ' Ὀλοφέρνης ἐκτραχηλισθεὶς ἄθλιος ἔκειτο, εἰ μὴ πρότερον τὸ σανδάλιον Ἰουδὴθ, κατὰ τὸ γεγραμμένον, ἥρπασεν

A citia et his similia quæ prædico vobis, sicut prædixi, quoniam qui talia agunt, regnum Dei non possidebunt [75]. » Et iterum: « Hæc est voluntas Dei sanctificatio vestra, ut abstineatis a fornicatione; non enim vocavit nos Deus in immunditiam, sed in sanctificationem. Itaque qui spernit, non hominem spernit, sed Deum; qui etiam dedit Spiritum suum sanctum in nobis [76]. » Et rursus: « Hæc scitote intelligentes quod omnis fornicator aut immundus, aut avarus quod est idolorum servitus, non habet hæreditatem in regno Christi et Dei [77]. » Et quis inde numeraret omnes de istis apostolorum et prophetarum voces? Castis quidem et ideo perfectis inter membra Christi quid prædicat Apostolus? « Scripsi vobis in epistola ne B commisceamini fornicariis [78]. » Nam cum illi non ex se erubescant, hortatur alios ut illos pudore suffundendo convertant, ad eos dicens: « Si is qui frater nominatur est fornicator, cum hujusmodi nec cibum sumite [79]. » Vides quoniam communis immunditia est Ecclesiæ qui fornicatione constringitur? Ipse Paulus Satanæ tradidit Corinthium fornicatum, nec confirmavit in eum charitatem, nec rursus eum accepit nisi postquam suam satis manifestasset pœnitentiam. Salvans salva tuam animam a tantis malis, o homo, tum præsentibus tum futuris quæ quidem duplicia manent et in futuro et in præsenti mundo. Esau enim genus rejectum fuit, postquam ille fornicator et protervus C factus est; et Roboam majori regni parte exutus est, postquam mulierosus, si quis unquam, Salomon ejus pater a vita discessisset, quod ipse non passus est propter David qui patratum semel facinus lacrymarum rivis aliisque pœnitentiæ operibus copiose abluit.

Fugite fornicationem, fratres, rursus mandat Apostolus. Si Samson eam fugisset, non in manibus Dalilæ devictus simul cum capitis coma fortitudinem perdidisset, nec eruti ejus oculi, nec cum alienigenarum vita suam etiam misere eripuisset. D Si eam fugissent qui sub Moyse duce et legislatore agebantur, non sacrificassent Beelphegor, nec manducassent sacrificia mortuorum, nec cecidissent sicut ceciderunt. Si eam fugisset Salomon, non discessisset a Deo a quo regnum et sapientiam acceperat; nec idolis templum erexisset. Videtisne quomodo ad impietatem fornicationis libido hominem inducit? Nec Babylonis seniores judices Susannæ pulchritudo jam seductos posterius triumphasset, neque lapidum obtexisset ictibus, si odiosam illam passionem procul fugissent, nec eam singulis diebus proterve prius observassent. Nec Holophernes humi prostratus misere jacuisset, nisi prius Judith sandalia, sicut scriptum est, ejus cepissent oculos, ejusque pulchritudo animam illius

[75] Gal. v, 19. [76] I Thess. iv, 3. [77] Ephes. v, 5. [78] I Cor. v, 9. [79] I Cor. v, 11.

vulnerasset. Propterea Job dixit: « Pepigi fœdus cum oculis meis ut ne cogitarem quidem de virgine [60], » quanto minus de procaci muliere sive soluta sive conjugata? O theophile, vel cœlibatum vel matrimonium secundum divinam voluntatem exerce. Bibe aquas de cisternis tuis, seu ut aptius loquar, de cisterna tua, et moderate; ab omni autem impuro potu abstine. Stygis aqua ad fluentum Acherontis pertingit, lethifero viru repletur, veneni violentiam refert, nam in laqueos, vel potius in abyssos inferni solet attrahere. Fuge mel a labiis fornicatorum stillans, recogitatum enim turpem mortem stimulare natum est, quæ est elongatio a Deo; ad quem dixit David: « Perdidisti omnes qui fornicantur abs te [61]. » Oportet igitur cor purum servare vel immundum purgare, et sic perpetuo incorruptum manere molles arcendo voluptates, cujus corpus templum Dei per Spiritum factum est, et Spiritus Dei habitat in eo, et ad acquirendam puritatem et sanctimoniam incumbere, necnon ad fugam fornicationis omnisque obscœnitatis, ut cum incorruptibili sponso in castis cubiculis per æterna sæcula omnes congaudeamus, obsecrante pro nobis ea quæ in virginitate illum, salutem nostram, genuit, semper virgine et irreprehensibili et supra omnes glorificata Matre: nunc et semper et in sæcula sæculorum. Amen.

A ὀφθαλμὸν αὐτοῦ, καὶ τὸ κάλλος αὐτῆς ἠχμαλώτευσε ψυχὴν αὐτοῦ. Διὰ τοῦτο ὁ Ἰὼβ φησι· « Διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ συνήσω ἐπὶ παρθένον· » πόσῳ μᾶλλον ἐπὶ ἄσεμνον γύναιον ἀπολελυμένον ἢ συνημμένον; Η μονίαν ἄσκει, ὦ οὗτος, θεοφιλῆ, ἢ συζυγίαν θεόσδοτον. Πίνε ὕδατα ἀπὸ σῶν φρεάτων, οἰκειότερον δὲ νῦν εἰπεῖν, ἀπὸ σοῦ μόνου φρέατος, καὶ τοῦτο σωφρονικῶς, ἀπέχου δὲ παντελῶς νόθου πόματος· στυγός ἐστιν ὕδωρ, ποταμοῦ τυγχάνει ῥεῖθρον Ἀχέροντος, ἰοῦ θανατηφόρου γέμει, δηλητηρίου δύναμιν κέκτηται· εἰς γὰρ πέταυρον ᾅδου, μᾶλλον δὲ τοὺς μυχοὺς αὐτοὺς τοὺς πιόντας κατασπᾷν πέφυκε. Φεῦγε τὸ ἀπο χειλέων πορνικῶν μέλι· σεσοφισμένον γάρ ἐστι θάνατον πορνικὸν ἐπαλεῖφον, ὅς ἐστιν ὁ ἀπὸ τοῦ Θεοῦ χωρισμός· πρὸς ὃν B φησιν ὁ Δαβίδ· « Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. » Ἀνάγκη γοῦν καθαρεύειν, ἢ γοῦν καθαίρεσθαι, καὶ οὕτως ἀμίαντον μένειν διηνεκῶς ταῖς ἐνδεδουέναις ἡδοναῖς ἀρκούμενον, οὗ τὸ σῶμα ναὸς Θεοῦ διὰ τοῦ Πνεύματος γέγονε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν αὐτῷ, καὶ πρὸς κτῆσιν μὲν ἁγνείας καὶ σωφροσύνης σπεύδειν, πορνείας δὲ καὶ πάσης ἀκαθαρσίας ἀποφυγὴν, ἵνα τῷ ἀφθάρτῳ νυμφίῳ ἐν ταῖς ἀκηράτοις παστάσι συνδιαιωνίζωμεν πάντες συνευφραινόμενοι, πρεσβείαις τῆς ἐν παρθενίᾳ τεκούσης αὐτὸν εἰς ἡμῶν σωτηρίαν, ἀειπαρθένου καὶ παναμώμου καὶ ὑπερδεδοξασμένης Μητρός· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA VI.

*Ejusdem homilia exhortatoria ad jejunium, in qua etiam mundi origo breviter perstringitur; dicta fuit feria quarta primæ hebdomadis.*

Multus est et in malitia callidus, atque multiformis seu potius versutissimus, spiritualis perversissimusque serpens. Scit quomodo incipientia eludat nostra proposita, bonamque operationem. Si autem nequeat illa a principio impedire, alios impendit dolos quibus ea jam tentata comprimat, etiam si illa nondum perfecta in medio comprimere non possit, adhuc alia sophismata, artesque alias novit, quibus etiam perfecta reddit vacua et inutilia, imo damnosa eis qui non tota mente attendunt. Idcirco primo laborem et difficultatem virtutis profert, et inde animum dejicit, desperationem ducit tanquam molesta et impossibilia tentantibus qui non poterunt propositum ad exitum adducere. Insuper diffidentiam gignit de præmiis a Deo certantibus promissis.

Nos vero, fratres, per virilitatem animi, per fortitudinem et fidem, laqueos istos transgrediamur, mente reputantes quod nec terra sine labore jucundos fert fructus, nec anima sine luctis spiritualibus quidquam Deo gratum et salutare assequetur;

C

## 31 ΟΜΙΛΙΑ Ϛʹ (1).

*Προτρεπτικὴ πρὸς νηστείαν· ἐν ᾗ καὶ περὶ τῆς τοῦ κόσμου γενέσεως ὡς ἐν ἐπιτόμῳ.*

Πολύς ἐστιν εἰς κακίαν εὐμήχανός τε καὶ πολυτροπώτατος, μᾶλλον δὲ παμμήχανος ὁ νοητὸς καὶ ἀρχέκακος ὄφις. Ἔχει δι' ὧν ἀρχομένην ἐμποδίζει τὴν πρόθεσιν ἡμῶν καὶ τὴν πρᾶξιν τὴν ἀγαθήν· ἂν δὲ μὴ δυνηθῇ τὴν ἀρχὴν ἐμποδίσαι ταύτην, ἄλλας ἐπίσταται μηχανὰς, δι' ὧν ἀχρειοῖ ταύτην ἐνεργουμένην· ἂν δὲ μηδὲ τελουμένην ἀχρειῶσαι ταύτην περὶ τὰ μέσα που δυνηθῇ, πάλιν ἕτερα σοφίσματα καὶ τρόπους ἑτέρους οἶδε, δι' ὧν καὶ τελειωθεῖσαν ἐκκενοῖ ταύτην καὶ ἀκερδῆ καθίστησι, μᾶλλον δὲ καὶ ἐπιζήμιον τοῖς μὴ πάνυ προσέχουσι. Καὶ πρῶτον D μὲν τὸ ἐπίπονον καὶ δυσκατόρθωτον ὑποδείκνυσι, καὶ ῥαθυμίαν ἐντεῦθεν ἡμῖν ἐμποιεῖ καὶ ἀνελπιστίαν, ὡς δυσκόλοις καὶ ἀδυνάτοις ἐπιχειροῦσι, διὸ μηδὲ δυνησομένοις εἰς ἔργον ἐνεγκεῖν τὴν πρόθεσιν· ἔτι δὲ καὶ ἀπιστίαν ἐντίκτει τῶν ἐπηγγελμένων παρὰ Θεοῦ τοῖς ἀγωνιζομένοις βραβείων.

Ἀλλ' ἡμεῖς, ἀδελφοὶ, διὰ τῆς κατὰ ψυχὴν ἀνδρίας καὶ προθυμίας καὶ πίστεως, τῆς παγίδος ταύτης ὑπεραρθῶμεν, ἐπὶ νοῦν λαβόντες ὡς οὔτε γῆ χωρὶς καμάτων εὐχρήστους ἀναδίδωσι τοὺς καρποὺς, οὔτε ψυχὴ χωρὶς ἀγώνων πνευματικῶν θεοφιλές τι καὶ

[60] Job xxxi, 1. [61] Psal. lxxii, 27.

(1) Hanc homiliam cum aliis novem ex cod. Mosquens. jam ediderat Chr. Frid. Matthæi, Mosquæ 1776, 8°. Edit. Patr.

Digitized by Google

A συνφέρον κτήσεται. Καὶ γῆν μὲν οὐκ ἐπιτηδείαν πρὸς γεωργίαν ἔστιν εὑρεῖν· ψυχὴ δὲ λογικὴ πᾶσα πρὸς ἀρετήν ἐστιν εὐφυής. Ἐπεὶ δὲ καὶ διὰ τὴν προγονικὴν καταδίκην πόνῳ καὶ μόχθῳ ζῆν κατεκρίθημεν, καὶ τοῦτο διαφυγεῖν οὐκ ἔνι, ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, τὸ ἀκουσίως προσὸν ὡς ἑκούσιον τῷ Θεῷ προσενέγκωμεν, ἀντιδῶμεν τῶν μονίμων τὰ πρόσκαιρα, καὶ τῶν δεινῶν ἀντιληψόμεθα τὰ χρηστότατα, πορισμὸν τῆς αἰωνίου ἀνέσεως τὸν πρόσκαιρον πόνον ἀπεργαζόμενοι· ὑπὲρ ἀρετῆς γὰρ ἐνταῦθα πονοῦντες τῆς ἐπηγγελμένης ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἀναπαύσεως πάντως ἐπιτευξόμεθα. Καὶ γὰρ πιστὸς ὁ ἐπαγγειλάμενος, ὃς καὶ βοηθὸς ἐστιν ἕτοιμος τοῖς ὑπελθοῦσιν ἑτοίμως τὸν ἀγῶνα τῆς ἀρετῆς· τούτου δὲ βοηθοῦντος τοῦ τὰ πάντα B ἰσχύοντος, τί τῶν ἁπάντων οὐκ ἀνύσιμον ἔσται; Ἀλλ' ὅταν ταῦτα ἐνθυμηθέντες προθύμως ἐπιβαλλώμεθα τοῖς ἔργοις τῆς ἀρετῆς, εἰδὼς ἐκεῖνος ὁ πονηρὸς ὅτι τὸ καλὸν οὐ καλὸν, ὅταν μὴ καλῶς γένηται, σπουδάζει πείθειν ἡμᾶς μὴ κατὰ θεάρεστον σκοπὸν ἐκτελεῖν τὴν τοῦ καλοῦ ἐργασίαν, μηδὲ πρὸς τὸν ἐκ τοῦ Θεοῦ ἔπαινον, ἀλλὰ πρὸς τὸν ἐξ ἀνθρώπων ὁρᾷν, ἵνα καὶ οὕτω τῆς παρὰ Θεοῦ μισθαποδοσίας καὶ τῶν πνευματικῶν καὶ οὐρανίων ἀποστερήσῃ γερῶν. Ἡμεῖς δὲ καὶ ταύτην αὐτοῦ τὴν σπουδὴν ἄπρακτον ἀποδείξωμεν, τῶν τε ἀποκειμένων τοῖς θεαρέστως ζῶσιν ἀμοιβῶν τὸ μέγεθος, καὶ τὸ τῆς ἀνθρωπαρεσκείας ῥυτιδανὸν λογισάμενοι, μὴ μόνον πρὸς ἐκεῖνο τὸ μέλλον τῆς θείας δόξης μέγεθος συγκρινόμενον, ἀλλ' οὐδὲ πρὸς κάκωσιν καὶ τῆξιν σαρκὸς ἀξιόλογον ὄν. C

Ἀλλὰ καὶ μετὰ τὴν κατ' αὐτοῦ ταύτην νίκην ὁ ἀρχέκακος ἐκεῖνος ἡμῖν ὑπορύττει τὴν ὑπερηφανίαν, οἷόν τι τελευταῖον καὶ πονηρότατον βάραθρον, οἰήσεως λογισμοὺς ὑποβάλλων, καὶ μεγαλαυχεῖν ἡμᾶς πείθων, ὡς οἰκείᾳ δυνάμει καὶ περινοίᾳ τὴν
32 ἀρετὴν κατορθώσαντας. Ἀλλ' ἡμεῖς ἐπιμνησθῶμεν τῆς αὐτοαληθείας λεγούσης, ὅτι «Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν[88]·» καὶ οὕτως ἀποκρουώμεθα τὰς τοῦ πονηροῦ πολυειδεῖς μηχανὰς, καὶ ἐργαζόμενοι, καὶ καλῶς ἐργαζόμενοι τὸ καλὸν, καὶ σὺν ταπεινώσει τῇ προσηκούσῃ, γινώσκοντες ὅτι καθάπερ εἴ τις ἐν ἀγγείῳ μύρον πολύτιμον κεκτημένος, κἂν αὐτὸ χέῃ ἐπὶ τῆς κόπρου, κἂν τὴν κόπρον βάλλῃ εἰς τὸ ἀγγεῖον, ὁμοίως τὸ μύρον ἠχρείωσε καὶ ἀπώ- D λεσεν, οὕτω καὶ τὴν ἀρετὴν, κἂν ἀπώσηταί τις καὶ ἀφ' ἑαυτοῦ ἀποῤῥίψῃ διὰ τῆς ἀπραξίας, κἂν ἀναμίξῃ τῇ πράξει ταύτης τὴν πονηρίαν, ἑκατέρωθεν ὁμοίως ἀχρειοῖ καὶ ἀπόλλυσι. Καὶ ταῦτα νῦν λέγω πρὸς τὴν ὑμετέραν ἀγάπην διὰ τὸν τῆς νηστείας καιρὸν, ἵνα τοῦτον ἄμικτον πάσης κακίας ἑαυτοῖς συντηρήσωμεν· καὶ γὰρ τὸν ἐν τῷ Εὐαγγελίῳ Φαρισαῖον ἐκεῖνον, καίτοι νηστεύοντα δὶς τοῦ Σαββάτου τὸν ἅπαντα χρόνον, οὐδὲν ὠφέλησεν ἡ νηστεία· μεμιγμένην γὰρ εἶχε τὴν ὑπερηφανίαν καὶ τὴν πρὸς τὸν πλησίον κατάκρισιν. Οὐ μὴν διὰ τοῦτο οὐκ ἔστιν ὠφέλιμος ἡ νηστεία; τοῖς γὰρ θεαρέστως καὶ ὡς προσῆκε ταύ-

[88] Joan. xv, 5.

A quin etiam terra ad culturam idonea non invenitur, omnis autem anima rationalis ad virtutem natura sua disponitur. Præterea cum vi originalis maledictionis ad vitam in ærumnis et laboribus transigendam contra nos lata sit sententia, quam effugere non possumus, faciamus itaque de necessitate virtutem, libenter pro Deo perferamus quod repugnanter gravat; temporalibus duratura emamus, et pro adversis gratissima recipiemus, sempiternæ quietis comparationem labore transeunte operantes. Illic enim propter virtutem laborantes, promissum futuro sæculo otium prorsus inveniemus, nam fidelis est qui repromisit, qui paratus est adjuvare virtutis certamina fortiter aggredientes. Illo autem adjuvante qui omnia confirmat, num erit quidquam quod B peragere non poterimus? Sed si talia mente reputantes virtutum opera aggrediamur, sciens ille malignus bonum non esse bonum si non bene fiat, conatur nos avertere ne propter pium finem boni operationem perficiamus, scilicet non ea voluntate ut a Deo laudemur, sed ut ab hominibus cernamur, sic quoque nos divina retributione et spiritualibus æternisque spoliet præmiis. Nos vero ejus conatus efficiamus irritos, ex una parte præmiorum quæ pie viventes exspectant magnitudinem, ex alia hujus æstimationis vanitatem volventes quæ non modo ad magnitudinem gloriæ a Deo venturæ comparari nequit, sed nec digna quæ carnis doloribus et deliquio acquiratur.

C

Ille autem perversitatis princeps iterum devictus, iterum superbiam velut ultimum et periculosissimum gurgitem subjicit, omnia proferens argumenta quibus confidentiam suggerat, et jactantiam suadeat, perinde ac si propria virtute et judicio virtutem exercuissemus. Nos vero memores simus ipsius Veritatis dicentis: «Sine me nil potestis facere[88];» sicque effugiamus multiformes maligni dolos et bonum bona operatione operantes, cum illa quæ decet humilitate, cogitantes quod quemadmodum, si quis in vasculo unguentum pretiosum, sive in stercus effundat, sive stercus in vasculum immittat, unguentum pariter corrumpitur et perit; ita et virtus sive D eam per desidiam cum contemptu ejiciamus, sive ejus exercitio malitiam immisceamus, jam ad nihil prodest et pessum it. Et hæc quidem propono caritati vestræ propter jejunii tempus, ut illud sine ulla malitiæ immissione peragamus. Etenim illi Evangelii Pharisæo, licet bis toto anno per sabbatum jejunaret, nihil omnino profuit jejunium. Conjunctam enim jejunio habebat superbiam et temeraria de proximo judicia. Num igitur jejunium nullius est utilitatis? Sed quanti sit lucri pie et decenter illud prosequentibus monstraverunt non tantum Moyses et Elias, sed etiam Dominus. Moyses quidem, cum multorum dierum in monte

A agens jejunium (ista, quæso, attendite, adhærete hodie, adjuvante tempore, Moysi in montem ad Deum ascendenti ut ejus præeuntis exemplo conscendentes aliquando Christo adjungamur, eunti non quidem in montem, sed in cœlum, unde nobis certantibus auxiliatur), Moyses, inquam, observato quadraginta dierum jejunio, in facie, non in ænigmate, ut scriptum legitur, Deum videt, cum illo conversatur et colloquitur, sicut amicus cum amico confabulatur, a Deo docetur et ipse deinde docet omnes suos contribules quod Deus est qui semper est, qui ad nihilum non tendit, sed vocans ea quæ non sunt tanquam ea quæ sunt, et ea quæ non sunt ad esse provocans, nec in interitum unquam lapsurus, qui spiritu et mera voluntatis virtute B universam innumerorum visibilium creationem e nihilo eduxit. Scriptura enim: « In principio, dicit, Deus creavit cœlum et terram [83], » non omnino vacuam nec omnis misturæ expertem. Nam aquis terra immiscebatur et utraque gravis erat aere, omnibusque animalium plantarumque generibus; cœlum vero plenum luminibus ignibusque in quibus totum constabat. Sic igitur creavit Deus in principio cœlum et terram tanquam materiam omnium formarum capacem, qui potentia universum terrarum orbem fert procul docte redarguens eos qui autumarent materiam a se ipsa accepisse exsistentiam. Deinde ad ornamentum mundi, proprium cuique et convenientem ordinem ipsi præsentium, C et mundum conficientium in sex diebus absolvit, singulis sola voluntate discretis, velut ex thesauris absconditis educens congestorum species, quas secundum symmetriam et perfectionem et naturam discriminatas coadunat, aliis propter alia, singulis propter totum, et toto propter singula ordinatis; circa terram immotam, velut circa centrum circumponit ad instar circuli excelsi, et sapienter conjungit cœlum quod quietem nescit, ut idem mundus semper maneat mobilis simul et volubilis. Nam irrequietis et volubilibus circulatim circumpositis corporibus, necesse erat immobile mediam tenere regionem quasi contrario pondere motus stabilitate libretur ita ut instar cylindri mundus suam sphæram nunquam transgrediatur.

D Igitur universi finibus extrinsecus ab optimo opifice dispositis, totum illum mundum mirum in modum stabilivit et movit. Sed inter illos fines singula iterum convenienter distribuit, alia quidem ordinat ad regiones excelsas occupandum, ubi convolvuntur per altissimos mundi limites non minus ordine quam temporis diuturnitate admiratione digna, quatenus levia et celeria et ad utilitatem inferiorum versatilia ita centro sapienter coaptata ut frigoris acerbitatem sufficienter temperare queant, necnon proprii caloris vim in suis regionibus con-

την ἐργαζομένοις, ὅσον ἐστὶ τὸ ὄφελος, ἔδειξεν ὁ Μωϋσῆς, ὁ Ἠλίας, αὐτὸς ὁ Κύριος· Μωϋσῆς μὲν γὰρ πολυήμερον νηστείαν ἄγων. Ἀλλὰ διεγείρατε, παρακαλῶ, τὴν ὑμετέραν διάνοιαν, καὶ συνανυψώσατε νῦν, τοῦ καιροῦ διδόντος, ταῖς τοῦ Μωϋσέως ἐπ' ὄρους πρὸς Θεὸν ἀναβάσεσιν, ἵνα δι' αὐτῶν καθ' ὁδὸν αὖθις ἐπαναβαίνοντες συνανυψωθῆτε Χριστῷ, μηκέτι πρὸς ὄρος, ἀλλὰ πρὸς οὐρανὸν ἀνιόντι καὶ ἡμᾶς συναπαίροντι. Μωϋσῆς μὲν οὖν τεσσαρακονθήμερον νηστείαν ἐπ' ὄρος ἄγων, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων, κατὰ τὸ γεγραμμένον, ὁρᾷ Θεόν· καὶ ὁμιλεῖ τούτῳ καὶ προσλαλεῖ, καθάπερ εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον, καὶ μανθάνει παρὰ Θεοῦ, καὶ διδάσκει πάντας περὶ αὐτοῦ, ὡς αὐτός ἐστιν ὁ ἀεὶ ὤν, καὶ πρὸς τὸ μὴ ὂν οὐκ ἰών, ἀλλὰ καὶ τὰ μὴ ὄντα ὡς ὄντα καλῶν, καὶ ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν, καὶ πρὸς τὸ μὴ ὂν διαπεσεῖν οὐκ ἐῶν. Ὡς πρῶτον μὲν νεύματι καὶ θελήματι μόνῳ τὴν αἰσθητὴν κτίσιν σύμπασαν ἀθρόαν ἐξ οὐκ ὄντων προήγαγεν· « Ἐν ἀρχῇ γάρ, φησίν; ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· » οὐ διάκενον πάντως, οὐδ' ἄνευ πάντῃ τῶν μεταξὺ πάντων· ὕδατι μὲν γὰρ ἀναμὶξ ἦν ἡ γῆ, κυοφόρον δὲ ἑκάτερον ἀέρος τε καὶ τῶν κατ' εἶδος ζώων τε καὶ φυτῶν, ὁ δὲ οὐρανὸς τῶν διαφόρων φώτων τε καὶ πυρῶν, ἐν οἷς τὸ σύμπαν ὑφέστηκεν. Οὕτως οὖν ἐποίησεν ὁ Θεὸς ἐν ἀρχῇ τὸν οὐρανὸν καὶ τὴν γῆν, οἷόν τινα ὕλην πανδεχῆ καὶ δυνάμει τὰ πάντα φέρουσαν, καλῶς πόῤῥωθεν ἀποῤῥαπίζων τοὺς καθ' ἑαυτὴν προϋφεστηκέναι τὴν ὕλην κακῶς νομίζοντας. Εἶτα καλλιεργῶν καὶ τὸν κόσμον ἐπικοσμῶν, τὴν οἰκείαν ἑκάστῳ καὶ προσήκουσαν τάξιν τῶν προσόντων αὐτῷ καὶ συμπληρούντων τὸν αὐτοῦ κόσμον ἐν ἓξ ἡμέραις διένειμε, διακρίνων ἕκαστον προστάγματι μόνῳ, καὶ καθάπερ ἐκ θησαυρῶν ἀποθέτων ἐξάγων εἰς εἶδος τὰ ἐντεθέντα· διατιθείς τε καὶ συντιθεὶς ἐναρμονίως ἄκρως καὶ προσφυῶς ἄλλο πρὸς ἄλλο τούτων, ἕκαστόν τε πρὸς πάντα, καὶ πρὸς ἕκαστον ἅπαντα. Καὶ τῇ μὲν ἀκινήτῳ γῇ καθάπερ τινὶ κέντρῳ περιτιθεὶς ἀνωτάτῳ κύκλῳ, καὶ συνδῶν πανσόφως διὰ τῶν μέσων τὸν ἀεικίνητον οὐρανὸν, ἵν' ὁ αὐτὸς διαμένῃ κόσμος ἑστὼς ὁμοῦ καὶ κινούμενος· πάντῃ γὰρ κύκλῳ τῶν ἀεικινήτων καὶ ταχυκινήτων ἄγαν σωμάτων περιτεθέντων, τὸ ἀκίνητον ἐξ ἀνάγκης τὴν μέσην ἔλαχε χώραν, ἀντίῤῥοπον τῇ κινήσει τὴν στάσιν ἔχον, ὡς 33 μὴ μεταχωρεῖν κυλίνδρου δίκην τὴν παγκόσμιον σφαῖραν.

Τοιαύτην δὴ νείμας ὁ ἀριστοτέχνης τῶν τοῦ παντὸς περάτων ἑκατέρῳ τὴν θέσιν, τὸν σύμπαντα τοῦτον εὐκόσμως ὡς εἰπεῖν κόσμον καὶ ἔπηξε καὶ ἐκίνησε· τῶν δὲ μεταξὺ τῶν περάτων τούτων διανέμει πάλιν τὸ προσῆκον ἑκάστῳ, καὶ τὰ μὲν ἄνω τάττει, καὶ μετεωροπολεῖν ἐπιτάττει, καὶ συμπεριπολεῖν τῷ ἀνωτάτω τοῦ παντὸς ὅρῳ ταυτῶς καὶ κοσμίως εὖ μάλα τὸν ἀεὶ χρόνον, ὅσα κοῦφα καὶ δραστικὰ πρὸς τὸ χρήσιμον τῶν ὑποκειμένων ἐστί· τοσοῦτον ὑπερανεστηκότα τοῦ μέσου συνετῶς ἄγαν, ὡς καὶ τὴν ἐν τούτῳ τοῦ ψύχους ἀμετρίαν ἀποχρώντως

[83] Gen. I, 1.

Digitized by Google

θραύειν ἔχειν περιημμένα, καὶ τὴν οἰκείαν τῆς θερμότητος ἀμετρίαν ἐπὶ χώρας κατέχειν. Ἐπέχειν δέ πως καὶ τὴν ἀμετρίαν τῆς φορᾶς τῶν ἀνωτάτω περάτων ἀντιστρόφως ἰδίως αὐτὰ κινούμενα, καὶ κατέχειν ἐπὶ χώρας κἀκεῖνα διὰ τῆς ἀντιστρόφου περιστροφῆς, ἡμῖν τε παρέχειν ἐνιαυσιαίων πολυωφελεῖς διαφορὰς ὡρῶν, χρονικῶν τε διαστημάτων μέτρα, καὶ τοῦ κτίσαντος καὶ τάξαντος καὶ κοσμήσαντος Θεοῦ τοῖς συνιεῖσι γνῶσιν. Τὰ μὲν οὖν ἐν μετεώρῳ καὶ ἀνωτέρω πολυστρόφως οὕτω περιχορεύειν διττῶς ἐφῆκε, κάλλους τε παγκοσμίου χάριν καὶ ὠφελείας πολυειδοῦς· τὰ δ' ἄλλα κάτω καὶ περὶ τὸ μέσον ἔθηκεν, ὅσα βάρος ἔχει καὶ παθητὰ τὴν φύσιν ἐστὶ, γίνεσθαί τε καὶ ἀπογίνεσθαι πέφυκε, διακρινόμενά τε καὶ συγκρινόμενα, καὶ πάσχοντα μᾶλλον μεταβάλλειν πρὸς εὐχρηστίαν, κατὰ κόσμον ὑποτεθεὶς καὶ ταῦτα καὶ τὸν πρὸς ἄλληλα λόγον, ἵν' ἑτοίμως ἔχῃ καλεῖσθαι κόσμος τὸ πᾶν.

Οὕτω δὴ πρῶτόν τι τῶν ὄντων ἐν τῇ κτίσει παρήχθη, καὶ μετὰ τὸ πρῶτον ἕτερον, καὶ μεταξὺ πάλιν ἄλλο καὶ ἐφεξῆς, καὶ μετὰ πάντα ὁ ἄνθρωπος, ὃς τιμῆς τῆς παρὰ Θεοῦ καὶ προμηθείας ἠξίωται μείζονος, καὶ πρὶν ἢ πλασθῆναι καὶ μετὰ τὴν πλάσιν, ὡς καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον πρὸ αὐτοῦ γενέσθαι δι' αὐτὸν, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν εὐθὺς ἀπὸ καταβολῆς κόσμου δι' αὐτὸν ἑτοιμασθῆναι πρὸ αὐτοῦ, καὶ βουλὴν περὶ αὐτοῦ προηγήσασθαι, καὶ χειρὶ Θεοῦ καὶ κατ' εἰκόνα πλασθῆναι Θεοῦ, καὶ μὴ τὸ πᾶν σχεῖν ἐκ τῆς ὕλης ταύτης καὶ τοῦ κατ' αἴσθησιν κόσμου, καθάπερ τὰ ἄλλα τῶν ζώων, ἀλλὰ τὸ σῶμα μόνον, τὴν δὲ ψυχὴν ἐκ τῶν ὑπερκοσμίων, μᾶλλον δὲ παρ' αὐτοῦ τοῦ Θεοῦ δι' ἐμφυσήματος ἀποῤῥήτου, ὡς μέγα τι καὶ θαυμαστὸν, καὶ τοῦ παντὸς ὑπερέχον, καὶ τὸ πᾶν ἐποπτεῦον, καὶ τοῖς πᾶσιν ἐπιστατοῦν, καὶ Θεοῦ γνωστικὸν ἅμα καὶ δεκτικὸν παντὸς μᾶλλον τῆς ὑπεραναψικισμένης τοῦ τεχνίτου μεγαλειότητος ἀποτέλεσμα. Ἐντεῦθεν καὶ παράδεισον ἐνδιαίτημα σχεῖν, ἐξαιρέτως ὑπὸ Θεοῦ καὶ τοῦτον πεφυτευμένον, καὶ θείας θέας καὶ ὁμιλίας ἐκεῖ τυγχάνειν αὐτοπροσώπου, καὶ συμβουλὴν ἐν τούτῳ καὶ ἐντολὴν παρὰ Θεοῦ λαβεῖν, νηστείαν ἐντελλομένην τὴν ἐκεῖ πρέπουσαν, ὡς ἂν ταύτην κατέχων καὶ συντηρῶν, ἀθάνατος καὶ ἀκάματος καὶ ἄλυπος διαμένῃ τὸν ἀεὶ χρόνον.

Ὁ δὲ τῆς ἐντολῆς ταύτης καὶ συμβουλῆς τὴν ἐπιβουλὴν, φεῦ! τοῦ ἀρχεκάκου ὄφεως ἑκὼν προτιμήσας, καταλύσας τὴν ἐντεταλμένην νηστείαν, τῆς μὲν ἀειζωίας τὸν θάνατον, τοῦ δὲ τῆς ἀκηράτου τρυφῆς χωρίου τὸ πολυπαθὲς καὶ πολυσυμφορώτατον χωρίον τοῦτο τῆς ἁμαρτίας ἀντιλαμβάνει, μᾶλλον δὲ τὸν ᾅδην καὶ τὸν ἐκεῖ κατακρίνεται ζόφον. Καὶ διέμεινεν ἂν ἡ φύσις ἡμῶν ἐν τοῖς καταχθονίοις ὑπὸ τὰς καταδύσεις ἐκείνου τοῦ τὴν ἀρχὴν ἀπατήσαντος ὄφεως, εἰ μὴ ὁ Χριστὸς ἐλθὼν, καὶ διὰ νηστείας ἀρξάμενος εἰς τέλος κατήργησε τὴν αὐτοῦ τυραννίδα, καὶ ἡμᾶς ἐλευθέρωσέ τε καὶ ἀνεζώωσεν, ὃ καὶ Μωϋσῆς προηγόρευσεν· ἐκεῖ γὰρ μ' νηστεύων ἐπὶ τοῦ ὄρους πλάκας δέχεται θεοτεύκτους, καὶ νόμον αὖθις δακτύλῳ Θεοῦ γεγραμμένον πλαξὶ δευτέραις, καθ' ὃ ἐκπαιδεύων τηνικαῦτα λαὸν ἱερὸν πάντα τὰ τοῦ Χριστοῦ προϋπέγραψεν ἔργῳ καὶ προϋπέδειξεν, ἐλευθε-

A tinere, simulque alia contrario motu impulsa extremorum limitum nimium cohibere impetum, et ipsa in plagis suis oppositi incursus libramento coercere, nobis vero præbere gratas anni tempestatum temporisque spatiorum mensuras, quibus mirabiliter et creatoris et ordinatoris et ornatoris Dei intelligentibus dant cognitionem. Alia ergo in excelso aere duplici impulsu versatilia universi decoris et multiformis utilitatis gratia, ad varios motus describendos composuit; alia vero in medio, cum essent gravia et natura possibilia, stabilivit, quæ discreta et coadunata necnon ad mutationem pro commodo propensa, pulcherrime inter se ordinavit ita ut universum jure debeat vocari mundus.

B Igitur quoddam creatum in principio apparere cœpit, post primum alterum, et rursus post hoc tertium, et sic deinceps, et post omnia homo, qui a Deo honoris et providentiæ majoris dignatus est, ita ut ante eum prius crearit, et creatum ad eum ordinarit istum universum mundum, insuper condito propter ipsum mundo, propter eumdem præpararit regnum cœlorum; in omnibus eum speciali voluntate intendens, et dignatus sit divina sua manu ad suam imaginem eum creare, non quidem adeo ut totus constaret ex ista materia et ex isto mundo sensibili, sicut cætera animalia, sed corpore tantum, animam autem ab eis quæ supra mundum sunt reciperet, seu potius ab ipso Deo per ineffabilem insufflationem velut quid magnum et mirabile C et ipso universo cui præest præstantius et omnibus superexcellens, Deique tam cognoscendi quam possidendi vel etiam demonstrandi capax, uno verbo, velut opus supereminentis artificis sapientiæ absolutissimum. Insuper dedit ei pro domicilio paradisum ab ipso Deo plantatum, divinaque contemplatione et conversatione necnon ipso vultu gaudere, et a Deo consilia recipere: injunctum enim habuit jejunium quantum ejus conditio ferre poterat, quod quandiu servaret et adimpleret, a morte et labore pœnisque jugiter maneret immunis.

Ille autem, consiliis mandatisque divinis, heu! perversissimum serpentem libenter postpositis, et fracto jejunio, pro vita æterna mortem, pro inte- D gerrimæ voluptatis habitaculo hanc damnosissimam et ærumnis fecundam peccati regionem accepit, imo ad infernum et ejus caliginem damnatus fuit. Et remansisset natura nostra in subterraneis sub potestate serpentis a principio mendacis, nisi Christus veniens et per jejunium opus suum incipiens æternum evertisset ejus tyrannidem et sic nos liberasset, prout prædixerat Moyses. Hic enim in monte jejunans tabulas accepit ab ipso Deo conditas, et simul legem Dei digito in duabus tabulis conscriptam secundum quam populum illico instituens omnia circa Christum eventura opere præfiguravit et præmonstravit, qui generis Abraham, sicut postea generis humani liberator factus est et Salvator.

Digitized by Google

Elias etiam per dies quadraginta jejunus Deum in monte conspicit, non jam in flamma, ut antea populi Israelitici legatus, sed propter jejunium majori ac per ignem contemplatione dignus habitus in sono tenuis auræ transeuntis conspicit Dominum, factus testis Dominicæ vocis dicentis: «Spiritus est Deus et eos qui adorant eum, in spiritu et veritate oportet adorare [24].» Nam vox quidem veritatem et veritatis prædicationem quæ omnes fines terræ penetravit, aura autem transiens Spiritum gratiamque præfiguravit. Præterea Elias ex ea quam jejunii venia habuit visione virtutem accepit ungendi succedentem prophetam, cui duplicem quo donatus ipse fuerat, relinqueret gratiam, sursumque a terra assurgendi idque in signum visibile futuræ Christi a terra in cœlum ascensionis. Ipse autem Christus, postquam in eremo jejunasset, vi vincit communem tentatorem, hujusque potestate in homines erepta, et destructa in æternum ejus tyrannide, nostram liberat naturam, illumque tradit ludibrio eis qui secundum suum Evangelium vivere volunt, implet prædictiones prophetarum et in eis quæ apud prophetas typice reipsa acciderant, operibus gratiam et veritatem justificat.

ρωτῆς καὶ σωτὴρ ἀναφανεὶς τοῦ Ἀβραμιαίου γένους, ὡς τοῦ ἀνθρωπίνου γένους ὁ Χριστὸς ὕστερον. Ἠλίας δὲ τεσσαρακονθήμερον καὶ αὐτὸς νηστεύσας, Θεὸν ἐπ' ὄρους ὁρᾷ, οὐκ ἐν πυρὶ, καθάπερ πρότερον ἡ γερουσία τοῦ Ἰσραὴλ, ἀλλὰ διὰ τῆς θεαρέστου νηστείας ὑπερβὰς τὴν ἐν πυρὶ θέαν, ἐν φωνῇ λεπτῆς αὔρας διερχομένης ὁρᾷ τὸν Κύριον, ἐγγυτέρω τῆς δεσποτικῆς φωνῆς γεγονώς· «Πνεῦμα λεγούσης ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν Πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν·» ἡ μὲν γὰρ φωνὴ τὴν ἀλήθειαν καὶ τὸ τῆς αὐτοαληθείας κήρυγμα τὸ πάντα περιηχῆσαν τὰ πέρατα· ἡ δὲ διερχομένη αὔρα τὸ πνεῦμα καὶ τὴν χάριν προδιετύπωσεν. Ἀλλὰ καὶ δύναμιν ὁ Ἠλίας ἐκ τῆς ἐν τῇ νηστείᾳ θέας λαμβάνει προφήτην ἀντ' αὐτοῦ χρίσαι, καὶ διπλῆν αὐτῷ παρασχεῖν τὴν ἣν αὐτὸς ἐκέκτητο χάριν, καὶ μετέωρος ἀπὸ γῆς ἀρθῆναι, πάντως εἰς τύπον σαφῆ τῆς ὕστερον ἀπὸ γῆς εἰς οὐρανὸν γενομένης τῆς Χριστοῦ ἀναλήψεως. Ὁ δὲ Χριστὸς αὐτὸς νικᾷ κατὰ κράτος ἐπ' ἐρημίας νηστεύων τὸν κοινὸν πειραστὴν, καὶ τὸ τούτου κατ' ἀνθρώπων ἀφελόμενος κράτος, καὶ καθελὼν εἰς τέλος τὴν αὐτοῦ τυραννίδα, τὴν ἡμετέραν φύσιν ἐλευθεροῖ καὶ προτίθησι τοῦτον εἰς παίγνιον πᾶσι τοῖς κατὰ τὸ Εὐαγγέλιον αὐτοῦ ζῆν ἐθέλουσι, καὶ τελειοῖ τὰς προρρήσεις τῶν προφητῶν, καὶ τοῖς παρ' ἐκείνων τυπικῶς προγεγονόσι δι' ἔργων τὴν χάριν ἐπιγράφει καὶ τὴν ἀλήθειαν.

Videte jejunii munera et qualibus et quantis nos illustravit. Sed etiam ex ejus contrario, id est ex gula et intemperantia æstimate illius utilitatem. Præteritis enim duabus hebdomadibus, luxus et intemperantia in urbe grassabantur, unde tumultus et clamores et luctæ et dissidia et cantus meretricii et saltationes satanicæ et risus impudentes; ista autem hebdomade jejunium omnia condecoravit, et dimissis sumptuosis studiis vanitatis compressisque tot inanibus ventris gratia curis, nos ad opera pœnitentiæ contulit et suasit acquirere non cibum pereuntem, sed cibum manentem in vitam æternam!

Ὁρᾶτε τῆς νηστείας τὰ δῶρα, καὶ διὰ τίνων καὶ τίνων καὶ ὅσων ἡμᾶς ἠξίωσεν; Ἀλλὰ καὶ ἀπὸ τοῦ ἐναντίου ταύτης, ὅ ἐστιν ἡ ἀδδηφαγία καὶ ἡ ἀκρασία, πάρεστιν ὁρᾷν τὴν ταύτης ἀλήθειαν· ταῖς γὰρ παρελθούσαις δυσὶν ἑβδομάσιν, ἡ ἀδδηφαγία καὶ ἡ ἀκρασία μάλιστα κατεκράτει τῆς πόλεως, καὶ εὐθὺς ταραχαὶ καὶ κραυγαὶ καὶ μάχαι καὶ θόρυβοι, καὶ ᾄσματα πορνικὰ, καὶ χορεύματα σατανικὰ, καὶ ἀσεμνοὶ γέλωτες· ἐπὶ δὲ τῆς ἑβδομάδος ταύτης ἡ νηστεία παραφανεῖσα πάντα μετεσκεύασεν ἐπὶ τὸ σεμνότερον, καὶ τῶν πολυδαπάνων φροντίδων τῆς ματαιότητος ἐκβαλοῦσα, καὶ παύσασα τὸν μόχθον τὸν διὰ τῆς καταργουμένης γαστρὸς, μετέστησεν ἡμᾶς εἰς τὰ τῆς μετανοίας ἔργα, καὶ ἀνέπεισεν ἐργάζεσθαι μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν αἰώνιον.

Ubi nunc tot irrationabilium occisiones animalium? ubi dapum fumus et omnis generis cupediæ, et coquorum artificia? Ubi vias percurrentes et clamoribus obscœnis aerem fœdantes? Ubi personantes et cantibus exhilarantes domos et mensas, ubi recumbentes et plaudentes, et sono fistulæ tympanorumque sese immodicis potibus inebriantes? Ubi diem noctemque in conviviis transigentes? Ubi speculantes compotationum occasiones et se ipsos invicem attrahentes ad ebrietatem et ad turpes ebrietatis effectus? Omnia recedunt mala, omnia superveniunt bona, ubi habitat jejunium. Loco obscœnarum cantionum os nunc sacrum modulatur psalmum, pro cachinnis dissolutis tristitia salutaris et lacrymæ, pro inordinatis cursibus et circuitibus communis omnibus concursus in sanctam Dei Ecclesiam. Nam sicut ex ventris ingluvie numerosa noc-

Ποῦ νῦν αἱ τῶν ἀλόγων ζώων σφαγαὶ καὶ αἱ κνίσσαι, καὶ αἱ παντοδαπαὶ καρυκεῖαι, καὶ αἱ τῶν μαγείρων σπουδαί; ποῦ οἱ περιτρέχοντες τὰς ὁδοὺς, καὶ φωναῖς ἀνάγνοις τὸν ἀέρα μιαίνοντες; ποῦ δὲ περικτυποῦντες καὶ περιαυλοῦντες τοὺς οἴκους καὶ τὰς τραπέζας, καὶ οἱ ἀνακείμενοι καὶ συνεπικροτοῦντες, καὶ μετὰ τυμπάνων καὶ αὐλῶν τῶν προκειμένων ἀκρατῶς ἐμφορούμενοι; ποῦ οἱ διημερεύοντες καὶ διανυκτερεύοντες ἐν συμποσίοις, οἱ κατασκοποῦντες ποῦ πότος γίνεται, οἱ συμπαραλαμβάνοντες ἀλλήλους ἐπὶ τὴν μέθην, καὶ τὰ ἐκ τῆς μέθης αἰσχρά; Πάντα οἴχεται τὰ κακὰ, πάντα ἀντεισήχθη τὰ ἀγαθὰ, τῆς νηστείας ἐνδημησάσης. Ἀντὶ τῶν βδελυρῶν ᾀσμάτων ψαλμὸς νῦν ἱερὸς διὰ στόματος ᾄδεται· ἀντὶ τῶν ἀσέμνων γελώτων κατάνυξις νῦν σωτηριώδης καὶ δάκρυα γίνεται· ἀντὶ τῶν ἀτάκτων δρόμων καὶ περιδρόμων κοινὸς ἅπασι

[24] Joan. IV, 24.

Digitized by Google

δρόμος· εἰς ἐπὶ τὴν ἱερὸν τοῦ Χριστοῦ Ἐκκλησίαν. Ὥσπερ γὰρ ἡ γαστριμαργία τὸν πολυπληθῆ τῶν **35** ἁμαρτημάτων ἑσμὸν βλαστάνει, οὕτως ἡ νηστεία ῥίζα πάντων τῶν ἀρετῶν ὑπάρχει, καὶ ἀρχὴ τῶν θείων ἐντολῶν. Ὄντως ἡ ἀκρασία παλαιόν ἐστιν ὁμοῦ καὶ νέον κακόν, εἰ καὶ τῆς ἀντιῤῥόπου νηστείας μηδὲ κατὰ χρόνον προέχει. Διὰ τὴν ἐν παραδείσῳ τῶν προπατόρων ἡμῶν ἀκρασίαν, καὶ τὴν ἐκεῖ τῆς προγενεστέρας νηστείας ὑπεροψίαν, θάνατος εἰς τὸν κόσμον εἰσῆλθε, καὶ ἐβασίλευσεν ἡ ἁμαρτία συνεπαγομένη τὴν καταδίκην τῆς ἡμῶν φύσεως ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ. Διὰ τὴν ἐν τῇ καθ' ἡμᾶς οἰκουμένῃ τῶν ἐξ Ἀδὰμ ἀκρασίαν, καὶ τὴν τῆς προτέρας σωφροσύνης ὑπεροψίαν ὁ κατακλυσμὸς ἐπῆλθε πάσῃ τῇ γῇ. Τί γάρ φησι τηνικαῦτα πρὸς τὸν Νῶε ὁ Θεός; «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διὰ τὸ εἶναι αὐτοὺς σάρκας.» Τί δὲ τῶν κατασεσαρκωμένων ἔργον; οὐ γαστριμαργία καὶ μέθη καὶ τρυφή, καὶ τὰ ἐκ τούτων κακά; Διὰ τὴν ἐν Σοδόμοις ἐξάγιστον σπατάλην καὶ ἀκρασίαν οὐρανόθεν αὐτοῖς ὁ ἐμπρησμὸς κατηνέχθη· «Τοῦτο γάρ, φησὶν Ἰεζεκιὴλ ὁ προφήτης, τὸ ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων.» Ἀπὸ γὰρ τῆς σπατάλης ταύτης καὶ τὴν φύσιν ἀγνοήσαντες εἰς τὰς παρὰ φύσιν ἐξωλίσθησαν μίξεις. Τί τὸν τοῦ Ἰακὼβ Ἡσαῦ πρωτότοκον ὄντα τῶν πρωτοτοκίων ἐστέρησε καὶ τῆς πατρικῆς ἐξέβαλεν εὐχῆς; οὐ λαγνεία καὶ βρώματος παράλογος αἴτησις; Τί τοὺς υἱοὺς Ἠλεὶ τοῦ ἀρχιερέως θανάτῳ κατεδίκασε, καὶ συναποῤῥῆξαι τοῦτον βιαίως τῇ ἀγγελίᾳ τοῦ θανάτου τῶν παίδων τὴν ζωὴν ἐποίησε, μὴ μετ' ἐπιμελείας τούτους παιδεύοντα τῆς προσηκούσης; οὐχ ἡ τῶν κρεῶν ἐκ τῶν λεβήτων οὐ κατὰ καιρὸν ἀφαίρεσις καὶ χρῆσις; Ἀλλὰ καὶ τὸ τῶν Ἑβραίων ἅπαν γένος, ὅτε Μωϋσῆς ἐπὶ τοῦ ὄρους ὑπὲρ αὐτῶν ἐνήστευε, καθ' ἑαυτῶν ἀεὶ τρυφῶντες, φαγόντες καὶ πιόντες ἀνέστησαν παίζειν, κατὰ τὸ γεγραμμένον, καὶ τὸ παίγνιον αὐτοῖς εἰδώλου ἦν προσκύνησις· τότε γὰρ ἐνηργήθη αὐτοῖς τὰ τῆς μοσχοποιίας.

Οὕτως οὐ μόνης ἁμαρτίας, ἀλλὰ καὶ ἀσεβείας ἡ τρυφὴ παραιτία. Οὐκοῦν καὶ ἡ νηστεία καὶ ἡ ἐγκράτεια, οὐ πρὸς ἀρετὴν μόνον, ἀλλὰ καὶ πρὸς θεοσέβειαν λυσιτελοῦσι· δεῖ γὰρ προσεῖναι τῇ νηστείᾳ τὴν ἐγκράτειαν· διατί; Ὅτι καὶ ὁ τῶν εὐτελῶν βρωμάτων κόρος κωλύει τὸ καθάσιον πένθος, καὶ τὴν κατὰ Θεὸν ἐν τῇ ψυχῇ λύπην καὶ τὴν κατάνυξιν, ἥτις ἀμεταμέλητον μετάνοιαν εἰς σωτηρίαν κατεργάζεται· ἄνευ γὰρ συντετριμμένης καρδίας οὐκ ἔστιν ἀληθῶς ἐπιλαβέσθαι τῆς μετανοίας. Συντρίβει δὲ τὴν καρδίαν καὶ πενθεῖν ποιεῖ τὰς οἰκείας ἁμαρτίας ἡ τῆς τροφῆς καὶ τοῦ ὕπνου καὶ τῶν αἰσθήσεων κατὰ Θεὸν συστολή. Καθάπερ οὖν ὁ ἐν τῷ Εὐαγγελίῳ πλούσιος ἐκεῖνος, εἰπὼν ἑαυτῷ, Φάγε, πίε, εὐφραίνου, ἄξιον ἑαυτὸν ὁ ἄθλιος ἐποίησε τῆς αἰωνίου φλογός, ἀνάξιον δὲ καὶ τῆς παρούσης ζωῆς, οὕτως ἡμεῖς, ἀδελφοί, ἀντιστρόφως εἴπωμεν ἡμῖν αὐτοῖς ἐγκρατεύεσθαι καὶ νηστεύειν, ἐγρηγορέναι τε καὶ συστέλλεσθαι, καὶ ταπεινοῦσθαι καὶ κακοπαθεῖν ὑπὲρ τῆς σωτηρίας ἡμῶν· οὕτω γὰρ καὶ τὴν παροῦσαν ζωὴν καλῶς καὶ θεοφιλῶς διανύσομεν,

A ceatorum turba pullulat, ita jejunium radix omnium virtutum manet et principium explendorum Dei mandatorum. Vere intemperantia vetus et simul novum est malum, licet tempore nequaquam contrarium præcesserit jejunium. Per primorum parentum in paradiso intemperantiam et prioris jejunii contemptum, mors intravit in mundum, regnavit peccatum quod adduxit naturæ nostræ damnationem, ab Adamo usque ad Christum. Per intemperantiam posterorum Adami in eadem ac nos tellure commorantium, et per contemptum prioris sapientiæ diluvium incubuit super omnem terram. Quid enim in illa hora dixit Dominus ad Noe: Non permanebit Spiritus meus in hominibus istis quia caro sunt? Quænam carnalium opera? nonne vo- B racitas et ebrietas et voluptates et mala ex eis nascentia? Propter nefandam Sodomorum luxuriam et intemperantiam cœlestis ipsos invasit flamma. Hoc enim dixit Ezechiel propheta: «Ecce iniquitas Sodomorum: saturabantur in abundantia panis [38].» Nam propter saturitatem, obliti ipsius naturæ legum in concubitus contra naturam exarserant. Quia Jacob Esau natu majorem primogenitura spoliavit, patrisque benedictione frustravit? Nonne edacitas et cibi stulta petitio? Quid filios Heli summi pontificis ad necem damnavit et ab ipso, nuntiata filiorum morte, vi vitam eripuit, qui in eis educandis negligens fuerat? Nonne quia carnibus ex lebetibus furtim sublatis istis vesci non erubescebant? Sed etiam tota Hebræorum na- C tio, dum Moyses in monte ipsorum gratia jejunaret, ipsi epulantes manducantes et bibentes, ut scriptum est [39], surrexerunt ludere; et ludus eis erat idoli adoratio, tunc enim in vitulo conflatili sese contaminaverunt.

Itaque non peccati tantum, sed etiam impietatis causa est luxuria. Ideo pariter jejunium et temperantia non virtuti tantum, sed etiam pietati prodest et religioni; jejunium enim cum temperantia conjunctum esse debet, quare? Quia lautarum dapum saturitas impedit piacularem tristitiam, necnon Deo gratum animæ mœrorem et compunctionem quæ pœnitentiam in salutem stabilem convertit. Nam ubi D abest cor contritum, nunquam vera concipitur pœnitentia. Cor autem conterit et affligit de peccatis propriis epularum et somni, et delectabilium religiosa privatio. Perinde ac ille dives in Evangelio dicens animæ suæ: Manduca, bibe, lætare [40], seipsum æterna pœna reddidit dignum, indignum vero vel vita præsenti, ita nos, fratres, econtrario exerceamus temperantiam et jejunium, vigilias et contritionem, humilitatem et dolores ut nostram salutem assequamur. Sic enim vitam præsentem justam et piam degendo, æternam vitam sortiemur, quam nos omnes consequi concedat gratia et benignitas Domini nostri Jesu Christi, cui sit gloria, fortitudo, ho-

[38] Ezech. xvi, 49. [39] Exod. xxxii, 6. [40] Luc. xii, 19.

Digitized by Google

nor et adoratio simul cum æterno ejus Patre et vivificante Spiritu, nunc et in sæcula sæculorum. Amen.

A καὶ τὴν αἰώνιον εὐζωΐαν κληρονομήσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA VII.

### *Altera de jejunio.*

Dulce quidem oculis maris tranquilli spectaculum, jucundaque luce fulgentis atque micantis, lævique superficie oculos demulcentis. Sed multo suavius non tantum videre, verum etiam alloqui Ecclesiam secundum Deum congregatam, a tumultibus amotam, necnon divina luce mystice splendentem qua oculos perstringit, manibus visuque simul, tum mente tum omnibus erectis sensibus. Cum ergo mihi Spiritus gratia istud hodie desiderabile largita est spectaculum, vobis omnibus in hoc templo Dei et in istis ei proximis omnino objectis gradibus præsentibus, datur vos cernere quasi ligna quædam non hujus mundi, secus decursus aquarum Spiritus plantata; igitur pro viribus ego quoque illis per tales aquas irrigandis incumbam vobis quasi patentem aream patefaciendo artes quibus non solum jejunium, sed et obsecrationes vestras salutis nostræ inimicus omnimode conatur inutilia facere.

## 38 ΟΜΙΛΙΑ Ζʹ.

### *Ἑτέρα, Περὶ νηστείας.*

Ἡδὺ μὲν ὀφθαλμοῖς θέαμα γαληνιῶσα θάλασσα, καὶ φωτὶ φαιδρῷ λαμπομένη καὶ λαμπρυνομένη, καὶ τῷ λείῳ τῆς ἐπιφανείας πρὸς τὴν αὐγὴν ἀντιλάμπουσα· πολλῷ δὲ τερπνότερον οὐχ ὁρᾷν μόνον, ἀλλὰ καὶ προσλαλεῖν Ἐκκλησίᾳ κατὰ Θεὸν ἠθροισμένῃ, θορύβων ἀπηλλαγμένῃ, καὶ τῷ θείῳ φωτὶ μυστικῶς καταλαμπομένῃ, καὶ πρὸς τὴν ἐκεῖθεν αὐγὴν ἀνεπτερωμένῃ, B καὶ χεῖρας ἀνατεταμένῃ καὶ ὀφθαλμοὺς αἴσθησίν τε πᾶσαν καὶ τὴν διάνοιαν. Ἐπεὶ δή μοι τοίνυν ἡ τοῦ Πνεύματος χάρις ταύτην σήμερον ἐχαρίσατο τὴν ἐπέραστον θέαν, καὶ πάρεστε πάντες ὑμεῖς συνδιανυκτερεύοντες καὶ συνδιημερεύοντες ἐν τῷ ναῷ τοῦ Θεοῦ, καὶ τῇ κατ' αὐτὸν νῦν ὑμῶν ἀνελλιπεῖ προσεδρείᾳ, πάρεστιν ὁρᾷν ὑμᾶς, καθάπερ ὑπερκόσμιά τινα δένδρα, παρὰ τὰς διεξόδους πεφυτευμένα τῶν ὑδάτων τοῦ Πνεύματος· φέρε καὶ αὐτὸς συνεργήσω πρὸς δύναμιν ταῖς ἐκεῖθεν ἀρδείαις, καὶ καθάπερ ἅλω ἀνοίξας, ὑμῖν ἐμφανέστερον ἀποδεικνύντες, δι' ὧν οὐ τὴν νηστείαν μόνον, ἀλλὰ καὶ τὴν προσευχὴν ἡμῶν ὁ πολέμιος τῆς σωτηρίας ἡμῶν ἐπιχειρεῖ παντοδαπῶς ἀχρειοῦν.

Est ergo, fratres, alia saturitas et ebrietas prava, quæ non a cibis nec a potibus provenit neque ex deliciis quas in his inveniunt, sed ex ira contra proximum, ex odio, ex simultate et ex malis inde productis. De quibus Moyses in cantico dixit: « Fel draconum vinum eorum, et venenum aspidum insanabile [88]. » Propterea etiam Isaias propheta dixit: « Væ vobis qui ebrii estis absque vino [89]. » Et rursum idem hortatur dicens: « Nolite ad lites jejunare [90]. » Verum talibus jejunantibus velut a Domino dixit: « Si contorqueas quasi circulum caput tuum, non istud vocabitis jejunium acceptum, et si multiplicaveritis orationes vestras, non vos exaudiam; et si extenderitis manus vestras ad me, avertam oculos meos a vobis [90*]. » Quam igitur ex odio ebrietatem præcipuam divinæ aversionis causam producere diabolus tentat orantibus et jejunantibus, et injuriarum memoriam subjicit, et cogitationes movet ad iracundiam; et ad maledictionem linguam stimulat illos tales apponendo qualem David describit virum in iniquitate obsecrantem; dicens: « Injustitiam tota die cogitabat, lingua ejus quasi gladius acutus [91], » a quibus erui Deum exorat dicens: « Libera me, Domine, ab homine malo, a viro iniquo erue me; qui acuerunt linguam suam quasi serpentis, venenum aspidum sub labiis eorum [92]. »

Ἔστιν οὖν, ἀδελφοί, καὶ ἄλλη πλησμονὴ καὶ μέθη πονηρά, ἥτις οὐκ ἀπὸ τῶν βρωμάτων οὐδὲ ἀπὸ τῶν C πομάτων γίνεται καὶ τῆς ἐν τούτοις τρυφῆς, ἀλλ' ἀπὸ τῆς εἰς τὸν πλησίον ὀργῆς, καὶ τοῦ μίσους, καὶ τῆς μνησικακίας, καὶ τῶν ἀπὸ τούτων τικτομένων κακῶν· περὶ ὧν καὶ ὁ Μωϋσῆς ἐν τῇ ᾠδῇ φησι, « Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος. » Δι' ἃ καὶ ὁ προφήτης Ἡσαΐας φησίν· « Οὐαὶ οἱ μεθύοντες ἄνευ οἴνου· » καὶ πάλιν ὁ αὐτὸς παραγγέλλει λέγων· « Μὴ εἰς μάχας νηστεύετε. » Ἀλλὰ καὶ πρὸς τοὺς οὕτω νηστεύοντας ὡς ἀπὸ τοῦ Κυρίου φησίν· « Ἐὰν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν ὑμῶν, οὐκ εἰσακούσομαι ὑμῶν· καὶ ὅταν ἐκτείνητε τὰς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. » Ταύτην οὖν τὴν ἀπὸ τοῦ μίσους μέθην, τὴν παντὸς μᾶλλον τῆς θείας ἀποστροφῆς αἰτίαν, ἐμποιεῖν ὁ D διάβολος ἐπιχειρεῖ τοῖς προσευχομένοις τε καὶ νηστεύουσι, καὶ τῶν αἰτιαμάτων ὑποβάλλει τὴν μνήμην, καὶ τοὺς λογισμοὺς κινεῖ πρὸς μνησικακίαν, καὶ πρὸς καταλαλιὰν ὀξύνει τὴν γλῶσσαν, τοιούτους εἶναι παρασκευάζων, οἷον ὁ Δαβὶδ ὑπογράφει τὸν ἐν κακίᾳ εὐχόμενον, λέγων· « Ἀνομίαν ὅλην τὴν ἡμέραν ἐλογίσατο, ἡ γλῶσσα αὐτοῦ ὡσεὶ ξυρὸν ἠκονημένον »· καὶ ἀφ' ὧν ῥυσθῆναι προσεύχεται πρὸς τὸν Θεόν, λέγων· « Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με· οἵτινες ἠκόνησαν τὴν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. »

Nos autem, fratres, in tempore jejunii et orationis,

Ἀλλ' ἡμεῖς, ἀδελφοί, ἐν τῷ καιρῷ τῆς νηστείας

[88] Deut. XXXII, 33. [89] Isa. XXVIII, 1. [90] Isa. LVIII, 3. [90*] Isa. I, 13-15. [91] Psal. LI, 2. [92] Psal. CXXXIX, 1.

Digitized by Google

καὶ τῆς προσευχῆς, παρακαλῶ, εἴ τί ποτε κατά τινος ἢ ἀληθῶς ἔχομεν, ἢ νομίζομεν ἔχειν, ἀφῶμεν, καὶ τῆς ἀγάπης ὅλοι γενώμεθα, κατανοοῦντες μᾶλλον ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, καὶ ὑπὲρ ἀλλήλων λέγοντές τε καὶ ἐν ἑαυτοῖς λογιζόμενοι, καὶ διανοούμενοι καλὰ ἐνώπιον Θεοῦ καὶ **37** ἐνώπιον ἀνθρώπων, ἵνα νηστεύωμεν τὴν ἐπαινετὴν νηστείαν καὶ ἄμωμον, καὶ τὰ κατ' αὐτὴν αἰτήματα ἡμῶν πρὸς τὸν Θεὸν εὐπρόσδεκτα γένηται, καὶ ὡς πατέρα τοῦτον κατὰ χάριν πρεπόντως ἐπικαλώμεθα, καὶ πρὸς αὐτὸν μετὰ παῤῥησίας λέγειν ἔχωμεν· « Πάτερ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Ἄλλη πάλιν τῇ παρ' ἡμῶν προσευχῇ καὶ τῇ νηστείᾳ, παρὰ τοῦ ταῖς ψυχαῖς ἡμῶν ἐπιβουλεύοντος, ἀχρειώσις ἡ οἴησις ἐπιγίνεται, ἣν καὶ ὁ Φαρισαῖος ἐκεῖνος B ἔχων, νηστεύων καὶ προσευξάμενος, ἀπεπέμφθη κενός. Ἀλλ' ἡμεῖς εἰδότες, ὅτι ἀκάθαρτος καὶ ἀπρόσδεκτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος, καὶ πολλῶν καὶ μεγάλων ὄντας ὀφειλέτας ἡμᾶς αὐτοὺς τῷ Θεῷ, καὶ τῆς ὀφειλῆς ὀλίγον ἀποδιδόντας ἐξεπιστάμενοι, τῶν μὲν ὄπισθεν ὡς μηδένα ἐπιλανθανώμεθα, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι, νηστεύωμεν καὶ προσευχώμεθα μετὰ συντετριμμένης καρδίας καὶ αὐτομεμψίας καὶ ταπεινώσεως, ἵνα ᾖ καθαρὰ καὶ θεάρεστος ἡμῶν ἡ νηστεία, καὶ ἡ ἐν τῷ ναῷ τοῦ Θεοῦ προσεδρία τε καὶ παράστασις. Ἕτερος τοῦ πονηροῦ τρόπος, ἀκερδῆ τὸν τῆς νηστείας καὶ προσευχῆς κόπον ἡμῖν ἐργαζόμενος, τὸ πείθειν ἡμᾶς διὰ κενοδοξίαν ταῦτα καὶ μεθ' ὑποκρίσεως πράττειν. C Διὸ παραγγέλλει πάλιν ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ λέγων· « Εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. »

Ταῦτα δέ φησιν, οὐ τὰς ἐν τῷ ναῷ συνάξεις καὶ προσευχὰς καὶ ψαλμῳδίας παραιτεῖσθαι κελεύων· οὐ γὰρ ἂν ὁ ψαλμῳδὸς Προφήτης πρὸς αὐτὸν ἔλεγεν· « Ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε, » καί· « Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε· ἐξομολογήσομαί σοι ἐν ἔθνεσιν· » καί, « Ἀποδώσω σοι τὰς εὐχάς μου, ἐνώπιον τῶν φοβουμένων σε, Κύριε· » καὶ πρὸς ἡμᾶς· « Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, » καί· « Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν, καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ Θεοῦ D ἡμῶν. » Ἀλλὰ πρὸς ἑτέροις ὑψηλοτέροις ἃ νῦν ὁ καιρὸς λέγειν οὐ παρέχει χώραν, καὶ τοῦτο διδάσκων ἐστὶν ὁ Κύριος, ὅτι ἡ κατὰ μόνας ἐν τοῖς ἡμῶν οἴκοις, κἂν τοῖς κοιτῶσιν αὐτοῖς εἰς προσευχὴν διέγερσις τὴν ἐπ' ἐκκλησίας συνίστησι πρὸς τὸν Θεόν, καὶ ἡ ἔνδον κατὰ διάνοιαν τὴν διὰ τῶν χειλέων· ὁ γὰρ τότε προσεύχεσθαι βουλόμενος, ἡνίκ' ἂν εἰς τὸν τοῦ Θεοῦ ναὸν παραγένηται, οἴκοι δὲ κἂν ταῖς ὁδοῖς καὶ ταῖς ἀγοραῖς μηδεμίαν φροντίδα προσευχῆς ποιούμενος, οὐδ' ἡνίκα πάρεστι τῷ τοῦ Θεοῦ ναῷ ἀληθῶς ὑπάρχει προσευχόμενος. Ταῦτα δείκνυσι καὶ ὁ μετὰ τὸ εἰπεῖν, « Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, »

A hortor, si quid forte contra aliquem vere habemus vel habere putamus, dimittamus, ut charitatis toti efficiamur, potius nos observantes ad æmulationem charitatis operumque bonorum et de fratribus mutuo dicentes necnon in nobismetipsis cogitantes perpendentesque bona coram Deo et hominibus, ut jejunemus laudabile et irreprehensibile jejunium, et petitiones nostræ acceptabiles fiant apud Deum, et illum tanquam patrem secundum gratiam decenter invocemus, et ei confidenter dicere possimus : « Pater, dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris. » Iterum ex alio capite oratio et jejunium nostrum vafritie illius qui nostris animis insidiatur, vana fiunt, scilicet ex præsumptione qua infectus ille Pharis B sæus, licet jejunaret et oraret, vacuus rejectus fuit. Nos vero scientes quoniam immundus et minime acceptabilis Domino sit omnis corde sublimis, nosque multorum et ingentium debitores esse apud Deum, et nos nonnisi parvam partem ejus quod debebamus solvisse penitus rati, quæ retro sunt quasi nihilum obliviscamur, ad ea vero quæ præ nobis sunt tendentes, jejunemus et obsecremur cum contrito corde, cum nostra ipsorum objurgatione, cum humilitate, ut pure Deoque jucunde jejunemus, et in templo Dei assistentes sedeamus.

Aliud maligni artificium quo nobis inutilem reddit jejunii orationisque laborem in eo ponitur ut nobis suadeat ista per vanam gloriam et cum hypo- C crisi perpetrare. Ideo rursum admonet Dominus in Evangelio, dicens : « Intra in cubiculum tuum, et clauso ostio, ora Patrem tuum in abscondito, et Pater tuus qui videt in abscondito reddet tibi in manifesto [93]. »

Hæc autem dixit, non quia juberet arceri conventus, obsecrationes et psalmodias ; non enim psalmista Propheta ad eum dixisset : « In medio ecclesiæ laudabo te [94], » et : « Confitebor tibi in populis, Domine ; confitebor tibi in gentibus [95] ; » et : « Reddam tibi vota mea, in conspectu timentium te, Domine [96]. » Ad nos vero : « In ecclesiis benedicite Deo [97] ; » et : « Venite, adoremus et procidamus ante Deum, ploremus coram Domino Deo nostro [98]. » D Sed alia non minus sublimia dicendi tempus locum non præbet ; Dominus vero sic docet quia oratio privatim in domibus et in cubiculis exercita ad orationem in ecclesia ad Deum fundendam inducit, sicut obsecratio mentis ad obsecrationem per labia proferendam stimulat ; nam si quis orationem intendens propterea in templum Dei ingreditur, si domo vel in viis vel in plateis nullo modo de obsecrando curat, non quia in templo Dei præsens est, in veritate deprecabitur. Quod ostendit postquam dixisset : « Paratum cor meum, Deus, » addendo : « Cantabo et psalmum dicam in gloria mea [99]. » Et alias : « Si memor fui tui super stratum meum, in

[93] Matth. vi, 6. [94] Psal. xxi, 23. [95] Psal. lvi, 10, [96] Psal. xxi, 26. [97] Psal. lxvii, 27. [98] Psal. xciv, 6. [99] Psal. lvi, 8.

Digitized by Google

matutinis meditabor in te [1]; » sed etiam ; « Cum jejunatis, nolite fieri sicut hypocritæ tristes; exterminant enim facies suas ut appareant hominibus jejunantes ; amen dico vobis quia receperunt mercedem suam. Tu autem, cum jejunas, unge caput tuum et faciem tuam lava, ne videaris hominibus jejunans, sed Patri tuo qui est in abscondito, et Pater tuus qui videt in abscondito reddet tibi in manifesto [2]. »

A ἐπενεγκών· « Ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου, » καὶ ἀλλαχοῦ· « Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. » Ἀλλὰ καί· « Ὅταν νηστεύητε, φησί, μὴ γίνεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τὸν μισθὸν αὐτῶν· σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψον, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ. »

O supra omnem spem benignitas! futuram enim venturi judicii sententiam suamque negationem per hæc verba modo Dominus nobis manifestavit, ut nos meliorem sortem meliusque suffragium obtineamus. Nam illis qui propter vanam gloriam, non propter ipsum vivunt, vocibus nuper probatis loquitur : Accipite mercedem vestram in vita vestra, sicut Abraham ad illum in flammis divitem dicebat : « Accepisti bona in vita tua [3]. » Iis autem qui ad eum in exercenda virtute aspiciunt, reddet, ait, in manifesto, id est in universali illo theatro, benedictionem et hæreditatem et gaudium reddet et delicias puras atque perennes, a quibus ille qui nullum vult decidere, verum vult omnes salvari et ad agnitionem veritatis venire, nunc, ut dixit, ostendit illam intemeratam et immutabilem hæreditatem declarans ibi solos esse Dei filios humanamque gloriam despicientes. Propterea sermonem simul de utrisque produxit, dicens : « Pater tuus qui videt in abscondito reddet tibi in manifesto, » ut inanis quidem et humanæ gloriæ contemptores sibi filios et hæredes ostendat atque faciat, alios vero non tales a filiorum dignitate, nisi resipiscant, ejiciat.

Βαβαὶ τῆς ἀνεικάστου φιλανθρωπίας! τὴν γὰρ ἐπὶ τῆς μελλούσης κρίσεως ἐσομένην διάκρισίν τε καὶ **38** ἀπόφασιν αὐτοῦ διὰ τῶν ῥημάτων τούτων ἀρτίως ἡμῖν ὁ Κύριος ἐφανέρωσεν, ἵν' ἡμεῖς τῆς B κρείττονος ψήφου τε καὶ μοίρας ἐντεῦθεν ἐπιλαβώμεθα. Πρὸς μὲν γὰρ τοὺς κατὰ κενοδοξίαν καὶ μὴ κατ' αὐτὸν ζῶντας ἐρεῖ τότε πάντως τοῖς νῦν εἰρημένοις ἀκολούθως· Ἀπολάβετε τὸν μισθὸν ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν, ὡς καὶ ὁ Ἀβραὰμ πρὸς τὸν ἐν τῇ φλογὶ πλούσιον ἐκεῖνον ἔλεγεν· « Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. » Τοῖς δὲ πρὸς αὐτὸν βλέπουσιν ἐν τῷ πρὸς ἀρετὴν ἀσκεῖν ἀποδώσει ἐν τῷ φανερῷ, φησί, τουτέστιν ἐν τῷ παγκοσμίῳ ἐκείνῳ θεάτρῳ, εὐλογίαν καὶ κληρονομίαν καὶ τρυφὴν ἀντιδώσει, καὶ ἀπόλαυσιν ἀκήρατον καὶ διαιωνίζουσαν· ἧς μηδένα θέλων ἀποτυχεῖν ὁ θέλων πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, φανεροῖ νῦν, ὡς ἔφην, τὴν ἀδέκαστον ταύτην καὶ ἀμετάθετον C ψῆφον, υἱοὺς εἶναι Θεοῦ μόνους ἐνταῦθα δεικνὺς τοὺς τῆς ἀνθρωπίνης δόξης ὑπερορῶντας; Διὰ τοῦτο γὰρ καὶ τὸν λόγον ἐνικῶς προήγαγεν ἐπ' ἀμφοτέρων, εἰπών· « Ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ· » ἵνα τοὺς μὲν καταφρονητὰς τῆς κενῆς καὶ ἀνθρωπίνης δόξης υἱοποιητούς τε καὶ συγκληρονόμους αὐτοῦ δείξῃ καὶ ποιήσῃ ἑαυτῷ· τοὺς δὲ μὴ τοιούτους ἐκβάλλῃ τῆς υἱοθεσίας, εἰ μὴ μεταμεληθεῖεν.

Talia autem dixit Dominus, ne in oculos hominum intendentes dum oramus et jejunamus, a quibus nulla in istis utilitas, jejunii quidem et orationis laborem patiamur, mercede vero spoliemur. Caput autem ungere, ut dixit, et faciem lavare nihil aliud est quam pallorem præferre, necnon sordidum et spurcum caput habere, ut ex instituto jejunio necnon ex corporis despectu ista perpeti videantur et sic ab hominibus laudem consectentur; talia enim D ostentantes faciebant Pharisæi ; ideo jure ab Ecclesia Christi alieni facti sunt, quibus ne similes fiamus prohibet Dominus. Sed si caput animæ anagogico sensu quis dicat mentem ut ducem et ejus faciem imaginationem, in qua potentiarum circa perceptiones sensuum versantium fixa sistitur sedes, decet nos jejunantes oleo caput ungere, scilicet misericordem facere mentem nostram, et faciem seu vim imaginativam lavare a spurcis et impuris cogitationibus, et ira et ab omni nequitia. Tale enim et ita perfectum jejunium non omnes tantum

Τοιαῦτα δέ φησιν ὁ Κύριος, ἵνα μὴ πρὸς τοὺς τῶν ἀνθρώπων ὀφθαλμοὺς ὁρῶντες οἱ προσευχόμενοι καὶ οἱ νηστεύοντες, παρ' ὧν οὐδὲν ἐπὶ τούτοις ὄφελος, τὸν μὲν τῆς νηστείας καὶ τῆς προσευχῆς κόπον ὑπομένωμεν, τοῦ δὲ μισθοῦ στερώμεθα. Ἀλείφειν δὲ τὴν κεφαλήν φησι καὶ νίπτειν τὸ πρόσωπον, τουτέστι μὴ ὠχριᾷν ἐπιτηδεύειν, μηδὲ αὐχμηρὸν εἶναι καὶ κατάξηρον τὴν κεφαλήν, ὡς ἐξ ἐπιτεταμένης νηστείας καὶ τῆς ἐπὶ τὸ σῶμα καταφρονήσεως δοκεῖν τοιαῦτα παθεῖν, καὶ οὕτω τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον θηρᾶσθαι· τοιαῦτα γὰρ φαντιῶντες ἐποίουν οἱ Φαρισαῖοι· διὸ καὶ τῆς κατὰ Χριστὸν Ἐκκλησίας δικαίως ἠλλοτριώθησαν, οἷς ἡμᾶς ἀφομοιοῦσθαι καθάπαξ ἀπαγορεύει ὁ Κύριος. Εἰ δὲ καὶ κεφαλὴν τῆς ψυχῆς ἀναγωγικῶς τις ἐρεῖ τὸν νοῦν ὡς ἡγεμονικόν, καὶ πρόσωπον τὸ ταύτης φανταστικόν, ἐν ᾧ τῶν κατὰ τὰς αἰσθήσεις ἐνεργειῶν ἔμμονός ἐστιν ἡ ἕδρα, καλὸν νηστεύοντας ἡμᾶς ἀλείφειν ἐλαίῳ τὴν κεφαλήν, τουτέστιν ἐλεήμονα ποιεῖν τὸν ἡμέτερον νοῦν καὶ τὸ πρόσωπον ἡμῶν,

[1] Psal. LXII, 7. [2] Matth. VI, 16-18. [3] Luc. XVI, 25.

Digitized by Google

δηλονότι τὸ φανταστικὸν, νίπτειν ἀπὸ αἰσχρῶν καὶ A ἀκαθάρτων λογισμῶν καὶ θυμοῦ καὶ πονηρίας πάσης· ἡ γὰρ τοιαύτη καὶ οὕτως ἐκτελουμένη νηστεία, οὐ τὰ πονηρὰ πάθη πάντα μόνον, καὶ σὺν τούτοις τοὺς ἐφόρους καὶ δημιουργοὺς τῶν τοιούτων παθῶν φυγαδεύει καὶ καταισχύνει δαίμονας, ἀλλὰ καὶ τοῖς ἀγγέλοις ἐγκαταλέγει τοὺς νηστεύοντας, πρὸς αὐτοὺς ἐπιστρέφουσα ἐκείνους, καὶ φύλακας εἶναι τούτων παρασκευάζουσα, καὶ βοηθεῖν ἀναπείθουσα καὶ συμπράττειν αὐτοῖς. Οὕτω τοῖς τρισί ποτε νεανίαις ἐπὶ τῆς Βαβυλῶνος ἐγκρατείᾳ τε καὶ νηστείᾳ κεκοσμημένοις, συνὼν ἐν μέσῃ φλογὶ καὶ ὁ τέταρτος ἑωρᾶτο, περιέπων ἀσινεῖς καὶ δροσίζων παραδόξως αὐτούς. Οὕτω πολυήμερον νηστείαν ἄγοντι τῷ Δανιὴλ ἄγγελος ἐπέστη σοφίζων αὐτὸν, καὶ προκαταγγέλλων αὐτῷ τὰ μέλλοντα. Οὕτως B ἄλλοτε προσευχῇ καὶ νηστείᾳ στόματα λεόντων φιμώσαντι προφήτην διαέριον ἐκόμισεν ἄγγελος ἐκ πολλοῦ διαστήματος τροφὴν ἐπιφερόμενον. Οὕτω καὶ ἡμῖν πνευματικὴν ἅμα καὶ σωματικὴν νηστείαν ἀσκοῦσι καὶ προσευχομένοις ἀγγέλων ἀγαθῶν συνεργείᾳ τὸ πῦρ τῆς σαρκικῆς ἐπιθυμίας κατασβεσθήσεται, καὶ ὁ θυμὸς ὡς λέων **39** ἡμερωθήσεται, καὶ προφητικῆς ἐν μεθέξει γενησόμεθα τροφῆς, τῇ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι καὶ πίστει καὶ τῇ κατὰ νοῦν θεωρίᾳ, καὶ ἐξέσται ἡμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ.

pravas cupiditates, sed etiam instigatores simul et machinatores earum cum eis fugat dæmonas ignominiaque confundit, insuper jejunantes in numerum angelorum conscribit, quos ad illos convertit necnon eorum custodes efficit, illisque succurrere et auxiliari suadet. Sic olim tribus pueris in Babylone temperantia et jejunio conspicuis interesse in flammis quartus videbatur intactos illos custodiens mireque irrigans. Sic diuturnum agenti jejunium Daniel astitit angelus qui ei sapientiam tribuebat futuraque pandebat. Sic alias eidem ora leonum obturanti prophetam ex longinquo discrimine cibum afferentem angelus per aera transtulit. Ita et nobis spirituale simul et corporale jejunium exercentibus et orantibus, bonorum ope angelorum, carnalis concupiscentiæ ignis exstinguetur, irague quasi leo mitigabitur, et prophetarum cibi seu futurorum spei bonorum et fidei et contemplationis secundum mentem obtentæ participes efficiemur, atque dabitur nobis super aspidem et basiliscum ambulare necnon super omnem inimici virtutem.

Ἡ δὲ μὴ τοιαύτη καὶ οὕτως ἐκτελουμένη νηστεία πρὸς τοὺς πονηροὺς ἀγγέλους μᾶλλον τὴν συγγένειαν ἔχει· καὶ γὰρ τούτων ἐστὶν ἡ ἀτροφία μετ' ὀργῆς καὶ μίσους καὶ ὑπερηφανίας καὶ τῆς πρὸς τὸν Θεὸν ἀντιθέσεως, πρὸς οὓς ἡμεῖς ὡς δοῦλοι καὶ ὑπηρέται τοῦ ἀγαθοῦ ἀντικείμεθα· « Οὐ γὰρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, φησὶν ὁ Ἀπόστολος, C ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. » Οὐκοῦν ἁπλῶς ἡμῖν διὰ νηστείας πρὸς αὐτοὺς ἡ ἀντίθεσις, ἀλλὰ χρῄζομεν πρὸς φυλακὴν ἡμετέραν καὶ τοῦ θώρακος τῆς δικαιοσύνης, καὶ τῆς περικεφαλαίας τῆς σωτηρίου ἐλεημοσύνης, καὶ τοῦ θυρεοῦ τῆς πίστεως· ἔτι δὲ καὶ τῆς ἱκανωτάτης πρὸς ἄμυναν μαχαίρας τοῦ Πνεύματος, ἥτις ἐστὶν ὁ πρὸς ἡμᾶς τοῦ Θεοῦ σωτήριος λόγος· οὕτω γὰρ ἀγωνισόμεθα τὸν καλὸν ἀγῶνα, καὶ τὴν πίστιν βεβαίαν τηρήσομεν, καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσομεν, καὶ νικηταὶ διὰ πάντων ἀναφανέντες αὐτοῦ τῶν οὐρανίων καὶ ἀκηράτων ἐπιτευξόμεθα στεφάνων, τοῖς ἐν οὐρανοῖς ἀγγέλοις ἀϊδίως D συνευφραινόμενοι, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Verum non tale nec ita perfectum jejunium ad angelos malos magis propinquitatem habet; horum enim est consumptio, cum ira et odio et superbia et contra divinam voluntatem oppositione, adversus quos nos tanquam servi et ministri boni domini contendimus: « Non enim est nobis lucta adversus carnem et sanguinem, ait Apostolus, sed adversus principatus et potestates, contra rectores tenebrarum sæculi hujus, contra spiritualia nequitiæ [1]. » Quam luctam certo non per jejunium tantum sustinemus, sed etiam ad custodiam nostram utimur lorica justitiæ, et galea salutaris eleemosynæ necnon clypeo fidei, et insuper aptissimo ad ulciscendum gladio Spiritus qui est salutare Dei ad nos verbum; sic certabimus bonum certamen, fidemque firmam servabimus, et omnia maligni tela exstinguemus ignita, et victores per omnia conspecti cœlestes et sanctas consequemur coronas, cum angelis perenniter in cœlis congaudentes, in ipso Christo Domino nostro, quem decet omnis gloria, virtus, honor et adoratio cum æterno ejus Patre ac sanctissimo necnon bono et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ Η'.

*Περὶ πίστεως· ἐν ᾗ καὶ τῆς κατ' εὐσέβειαν ὁμολογίας ἔκθεσις.*

Πιστεύομεν εἰς τὸν Θεὸν, καὶ πιστεύομεν τῷ Θεῷ· ἕτερόν ἐστιν ἑκάτερον τούτων. Πιστεύειν μὲν γὰρ ἐστι τῷ Θεῷ τὸ τὰς παρ' αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίας βεβαίας καὶ ἀληθεῖς ἡγεῖσθαι· πιστεύειν δὲ εἰς

## HOMILIA VIII.

*De fide piaque fidei confessione.*

Credimus Deo et credimus in Deum, utrumque horum variam habet significationem. Etenim Deo quidem credere intellige ejus promissiones nobis factas firmas et veras habere, dum credere in

[1] Ephes. vi, 12.

Digitized by Google

Deum est recte de eo cogitare. Nos vero oportet utrumque habere et circa utrumque in veritate stare, et ita conversari ut tam firmiter credamus quam si nostris vidissemus oculis, et fideles coram Deo, ad quem fides nostra, inveniamur, et propter fidem ita ab ipso justificemur; dixit enim Scriptura: « Credidit Abraham Deo, et reputatum est ei in justitiam [5]. » Quomodo ergo Abraham per fidem justificatus est? Accepit a Deo promissionem quoniam in semine ejus quod Isaac fuit benedicendæ essent omnes tribus Israel; deinde a Deo jubetur sacrificare Isaac adhuc puerum per quem solum promissio effectum sortiri debebat; ad quod nihil contradicens pater filium sua manu immolare properabat, et tamen illam per eum promissionem firmam et tutissimam censebat. Videtisne quanta sit fides justificans? Verum nobis quoque promisit Christus vitæ æternæ, et deliciarum et gloriæ et regni hæreditatem, deinde mandavit paupertatem colere, jejunia exercere, perfectam in contritione vitam agere, paratos nos esse ad mortem, nosmetipsos crucifigere cum vitiis et concupiscentiis nostris. Si ergo istis incumbamus, istique divinæ promissioni credamus, sic credemus Deo secundum Abraham, et reputabitur nobis in justitiam.

Videte etiam prædictorum consequentias; nam non tantum præclara testimonia et exhibitio fidei Abraham in eo stetit ut filio Isaac occidendo acquiesceret, sed etiam in causa fuit cur meruerit suo semine Christum generare, per quem benedictæ fuerunt omnes tribus terræ, et impleta est promissio; illi enim qui propter Deum proprium et unigenitum filium dederat, Deus quodammodo debuit propter eum et promissionem ad eum factam proprium et unigenitum suum reddere Filium. Ita et in nobis sanctimonia, justitia, humilitas, adversorum undequaque urgeant patientia, bonorum largitio quæ propter divina mandata exercentur, vel corporis in jejuniis et vigiliis debilitatio, et uno verbo semetipsum cum vitiis et concupiscentiis crucifigere non modo testantur nos Christi promissionibus credere, sed Deum quodammodo debitorem faciunt reddendi nobis æternam sanctamque vitam, et delicias, et gloriam et regnum.

Ideo ipse, oculis in discipulos suos circumactis, dicebat: « Beati pauperes, quoniam vestrum est regnum cœlorum; Beati qui lugent; Beati misericordes; Beati qui persecutionem patiuntur propter justitiam [6]. » Et: « Væ divitibus; væ eis qui rident; væ saturatis; væ vobis si omnes benedixerint homines [7]. » Qui ergo non ad beatudines sed ad maledictiones Domini spectaverit, quomodo, dicite mihi, credet se Deo credere? « Ostende mihi, dixit Jacobus, fidem tuam ex operibus tuis. Quis sapiens? ostendat ex conversatione operationem suam [8]. »

A τὸν Θεὸν τὸ περὶ αὐτοῦ φρονεῖν ὀρθῶς. Δεῖ δὲ καὶ ἀμφότερα ἡμᾶς ἔχειν, καὶ κατ' ἀμφότερα ἡμᾶς ἀληθεύειν, καὶ οὕτως ἔχειν, ὥστε καὶ πιστεύεσθαι παρὰ τῶν ἀσφαλῶς ὁρώντων, καὶ πιστοὺς ἐνώπιον εἶναι τοῦ πρὸς ὃν ἡ πίστις Θεοῦ, καὶ ὡς πιστοὺς οὕτω παρ' αὐτοῦ δικαιοῦσθαι· « Ἐπίστευσε γὰρ ὁ Ἀβραὰμ τῷ Θεῷ, φησί, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. » Πῶς οὖν ὁ Ἀβραὰμ πιστεύσας ἐδικαιώθη; Ἔλαβε παρὰ Θεοῦ ἐπαγγελίαν ἐν τῷ σπέρματι αὐτοῦ, ὅπερ ἦν ὁ Ἰσαὰκ, εὐλογηθήσεσθαι πάσας τὰς φυλὰς τοῦ Ἰσραήλ· εἶτα ὑπὸ τοῦ Θεοῦ προστάττεται, παῖδα ἔτι ὄντα, θῦσαι τὸν Ἰσαὰκ δι' οὗ μόνου τὴν ἔκβασιν σχήσειν ἔμελλεν ἡ ἐπαγγελία· καὶ μηδὲν ἀντειπὼν ὁ πατὴρ, αὐτόχειρ γενέσθαι τοῦ παιδὸς ἠπείγετο, καὶ τὴν δι' αὐτοῦ ταύτην ἐπαγγελίαν βεB βαίαν καὶ ἀδιάπτωτον ἡγεῖτο. **40** Βλέπετε τὴν δικαιοῦσαν πίστιν ὁποία; Ἀλλ' ἐπηγγείλατο καὶ ἡμῖν ὁ Χριστὸς ζωῆς ἀϊδίου καὶ τρυφῆς καὶ δόξης καὶ βασιλείας κληρονομίαν, εἶτα προσέταξε πτωχεύειν, νηστεύειν, εὐτελῶς καὶ τεθλιμμένως ζῆν, ἑτοίμους εἶναι πρὸς θάνατον, σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἐὰν οὖν πρὸς ταῦτα σπεύδωμεν, καὶ τῇ ἐπαγγελίᾳ ἐκείνῃ τοῦ Θεοῦ πιστεύωμεν, οὕτως ἐπιστεύσαμεν τῷ Θεῷ κατὰ τὸν Ἀβραὰμ, καὶ λογισθήσεται ἡμῖν εἰς δικαιοσύνην.

Καὶ ὁρᾶτε τὴν ἀκολουθίαν τῶν προτεθέντων· οὐ μόνον γὰρ ἰσχυρὰ μαρτυρία καὶ παράστασις τῆς τοῦ Ἀβραὰμ πίστεως ἐγένετο τὸ συγκατατεθῆναι πρὸς σφαγὴν τὸν Ἰσαὰκ προθεῖναι, ἀλλὰ καὶ αἴτιον C ὑπῆρξε τοῦτο τοῦ τὸν Χριστὸν ἐκ σπέρματος αὐτοῦ τεχθῆναι, δι' οὗ εὐλογήθησαν πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐπληρώθη ἡ ἐπαγγελία· τῷ γὰρ δόντι διὰ τὸν Θεὸν τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον υἱὸν ὀφειλέτης οἷον ὁ Θεὸς ἐγένετο, δι' αὐτὸν καὶ τὴν πρὸς αὐτὸν ἐπαγγελίαν ἀντιδοῦναι τὸν ἑαυτοῦ μονογενῆ τε καὶ γνήσιον Υἱόν. Οὕτω δὴ καὶ ἐν ἡμῖν ἡ διὰ τὰς ἐντολὰς τοῦ Θεοῦ σωφροσύνη καὶ δικαιοσύνη καὶ ταπείνωσις ὑπομονή τε τῶν ὁπωσδήποτε κακούντων, καὶ διάδοσις τῶν ὑπαρχόντων, ἥ τε τοῦ σώματος ἐν νηστείαις καὶ ἀγρυπνίαις κακοπάθεια, καὶ ἁπλῶς τὸ σταυροῦν ἑαυτοὺς σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, οὐ μόνον παράστασίς ἐστι τοῦ ἀληθῶς ἡμᾶς πιστεῦσαι ταῖς ἐπαγγελίαις τοῦ Χριστοῦ, ἀλλὰ καὶ ὀφειλέτην οἷον τὸν Θεὸν καθίστησι D τοῦ τὴν ἀΐδιον καὶ ἀκήρατον ἡμῖν ζωὴν καὶ τρυφὴν καὶ δόξαν καὶ βασιλείαν ἀντιδοῦναι.

Διὸ καὶ αὐτὸς πρὸς τοὺς μαθητὰς αὐτοῦ βλέπων ἔλεγε· « Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· Μακάριοι οἱ πενθοῦντες· Μακάριοι οἱ ἐλεήμονες· Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· » καὶ, « Οὐαὶ οἱ πλουτοῦντες, οὐαὶ οἱ γελῶντες, οὐαὶ οἱ ἐμπεπλησμένοι, οὐαὶ ὅταν καλῶς πάντες εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι. » Ὁ τοίνυν μὴ πρὸς τὰ μακαριζόμενα βλέπων, ἀλλὰ πρὸς τὰ παρὰ τοῦ Κυρίου ταλανιζόμενα, πῶς, εἰπέ μοι, πιστευθήσεται πιστεύειν τῷ Θεῷ; « Δεῖξόν μοι, φησί, τὴν πίστιν σου ἐκ τῶν ἔργων σου· καὶ τίς

[5] Rom. IV, 3. [6] Matth. V, 3 seqq. [7] Luc. VI, 24, 26. [8] Jac. II, 18; III, 13.

Digitized by Google

σοφὸς, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα A αὐτοῦ. » Ὅτι μὲν οὖν ἀληθῶς πιστεύομεν τῷ Θεῷ, τουτέστιν ἀληθεῖς καὶ βεβαίας, καὶ ὅσον οὔπω παρεσομένας γινώσκομεν τὰς αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίας ἢ καὶ ἀπειλὰς, διὰ τῶν ἡμετέρων ἀγαθῶν ἔργων δείκνυται καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως. Ὅτι δὲ ὀρθῶς πιστεύομεν εἰς τὸν Θεὸν, τουτέστι καλῶς καὶ ἀσφαλῶς καὶ εὐσεβῶς φρονοῦμεν περὶ αὐτοῦ, πόθεν ἡμῖν ἡ παράστασις; Ἀπὸ τῆς πρὸς τοὺς θεοφόρους Πατέρας ἡμῶν ὁμολογίας. Ὥσπερ δὲ τὸ ἀψευδῶς πιστεύειν τῷ Θεῷ οὐ μόνον ἔχει τὴν ἀπὸ τῶν τῆς σαρκὸς παθῶν καὶ τὴν ἀπὸ τῶν τοῦ πονηροῦ παγίδων ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν ἐμπαθῶν ἀνθρώπων, θελγόντων καὶ συγκαθελκόντων εἰς τὰς οὐ καλὰς ἡδονὰς, οὕτω καὶ τὸ πιστεύειν ὀρθῶς εἰς τὸν μόνον ἀληθῆ Θεὸν οὐ μόνον B ἔχει τὴν ἀπὸ τῆς ἀγνοίας καὶ τὴν ἀπὸ τῶν ὑποβολῶν τοῦ ἀντικειμένου ἐναντίωσιν, ἀλλὰ καὶ τὴν ἀπὸ τῶν δυσσεβῶν ἀνθρώπων κλεπτόντων καὶ συγκατασπώντων εἰς τὴν οἰκείαν ἀπώλειαν. Καὶ βοήθεια δὲ μεγίστη πρόσεστιν ἐφ' ἑκατέρας πίστεως, οὐ μόνον παρ' αὐτοῦ τε τοῦ Θεοῦ καὶ τῆς ἐξ αὐτοῦ δεδομένης ἡμῖν γνωστικῆς δυνάμεως, ἀλλὰ καὶ παρὰ τῶν ἀγαθῶν ἀγγέλων, καὶ τῶν θεοσεβῶν καὶ ζώντων κατὰ Θεὸν ἀνθρώπων.

Igitur si Deo quidem vere credimus, id est, si veras et firmas et nunquam lapsuras ejus ad nos promissiones vel minas cognoscimus, per bona opera nostra et per observationem divinorum præceptorum ostendemus. Si vero recte in Deum credimus, seu si pulchre et tute et pie de eo cogitamus, unde nobis probatio? Ex nostra ad divos Patres convenientia. Quemadmodum vero firme Deo credere, non solum nos a vitiis carnalibus et a retibus maligni avertit, sed etiam a corruptoribus et illecebrosis viris in voluptates turpissimas trahentibus, ita in solum Deum verum recte credere non solum nos ab ignorantia et suggestionibus inimici avertit, verum etiam ab impiis et fallacibus viris in propriam perniciem proripientibus. Maximum autem in utraque fide datur adjutorium non solummodo ab ipso Deo et ab ipsa nobis tributa cognoscendi potentia, sed etiam ab angelis bonis et piis hominibus secundum Deum viventibus.

41 Διὰ τοῦτο καὶ ἡ πνευματικὴ καὶ κοινὴ μήτηρ καὶ τροφὸς ἡμῶν, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, σήμερον ἀριδηλότερον ἅμα καὶ κοινότερον τήν τε ἀνακήρυξιν ποιεῖται τῶν ἐπ' εὐσεβείᾳ καὶ ἀρετῇ λαμψάντων, καὶ τῶν πανιέρων κατ' αὐτοὺς συνόδων, καὶ τῶν κατ' αὐτὰς θείων δογμάτων, καὶ τὴν ἀποκήρυξιν κεφαλαιωδέστερον τῶν σπουδαστῶν τῆς δυσσεβείας, καὶ τῶν πονηρῶν κατ' αὐτοὺς σπουδασμάτων C τε καὶ φρονημάτων, ἵνα τούτους μὲν ἡμεῖς ἀποτρεπόμενοι, τοῖς δὲ κατὰ Θεὸν φρονήσασιν ἑπόμενοι πιστεύωμεν εἰς ἕνα Θεὸν, Πατέρα, Υἱὸν καὶ Πνεῦμα ἅγιον, ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ τὰ πάντα γέγονεν, ὅς ἐστι πρὸ πάντων καὶ ἐπὶ πάντων καὶ ἐν πᾶσι καὶ ὑπὲρ τὸ πᾶν, Μονὰς ἐν Τριάδι, καὶ Τριὰς ἐν Μονάδι, ἀσυγχύτως ἑνουμένη, καὶ ἀμερίστως διαιρουμένη. Μονὰς ἡ αὐτὴ καὶ Τριὰς παντοδύναμος· Πατὴρ ἄχρονος καὶ ἄναρχος καὶ ἀΐδιος, μόνος αἰτία καὶ ῥίζα τῆς ἐν Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένης θεότητος· οὐ μόνος δημιουργὸς, ἀλλὰ μόνος ἑνὸς Υἱοῦ Πατὴρ, καὶ Πνεύματος ἁγίου προβολεύς· ἀεὶ ὢν, καὶ ἀεὶ ὢν Πατὴρ, καὶ ἀεὶ ὢν Πατήρ τε καὶ προβολεύς· οὗ Υἱὸς εἷς συναΐδιος αὐτῷ καὶ κατὰ χρόνον συνάναρχος· οὐκ ἄναρχος δὲ, ὡς D γεννήτορα καὶ ῥίζαν καὶ πηγὴν καὶ ἀρχὴν ἔχων τὸν Πατέρα, ἐξ οὗ μόνου πρὸ πάντων τῶν αἰώνων ἀσωμάτως, ἀπαθῶς, ἀῤῥεύστως, γεννητῶς προῆλθεν, ἀλλ' οὐ διῃρέθη· Θεὸς ὢν ἐκ Θεοῦ, οὐκ ἄλλος μὲν, καθὸ Θεὸς, ἄλλος δὲ καθὸ Υἱός· ἀεὶ ὢν, καὶ ἀεὶ ὢν Υἱὸς, καὶ ἀεὶ πρὸς τὸν Θεὸν ἀσυγχύτως ὤν· λόγος ζῶν, φῶς ἀληθινὸν, ἐνυπόστατος σοφία, αἰτία καὶ ἀρχὴ τῶν γεγονότων πάντων, ὡς δι' αὐτοῦ πάντων γεγονότων· ὃς ἐπὶ συντελείᾳ τῶν αἰώνων, καθάπερ οἱ προφῆται προηγόρευσαν, ἑαυτὸν ἐκένωσε, μορφὴν τὴν καθ' ἡμᾶς δι' ἡμᾶς λαβὼν, καὶ ἐκ ἀειπαρθένου Μαρίας εὐδοκίᾳ τοῦ Πατρὸς, καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος κυηθεὶς καὶ γεννηθεὶς, καὶ ὡς ἀληθῶς ἐνανθρωπήσας γέγονεν ὅμοιος ἡμῖν κατὰ

Propterea spiritualis communisque mater et nutrix nostra Christi Ecclesia clariore simulque nova prædicatione hodie commendat eos qui pietate et virtute effulserunt, necnon sanctissima horum consilia divinaque dogmata in istis proclamata, et summatim abnegat eos qui impietati indulserunt, pravaque eorum studia et consilia, ut nos ab istis aversi, doctrinas vero quæ sunt secundum Deum secuti, credamus in unum Deum, Patrem et Filium et Spiritum sanctum, ex quo, per quem, in quo omnia facta sunt, qui est super omnia, ante omnia, et in omnibus, Unitas in Trinitate, Trinitas in Unitate, sine confusione adunata, et sine divisione distincta. Unitas eadem et Trinitas omnipotens. Pater æternus, sine tempore, sine principio, solus causa et radix divinitatis in Filio sanctoque Spiritu inhabitantis; non solus creator mundi, sed solus unius Filii Pater, et Spiritus sancti principium, qui semper est, semperque est Pater, semperque est Pater et principium; cujus unus Filius ipsi coæternus qui ad instar Patris principium secundum tempus non habet, sed principium habet, prout genitorem et radicem et fontem et principium habet Patrem, ex quo solo ante omnia sæcula sine corpore, sine labore, continuo, per modum generationis processit, sed non abstractus est. Deus de Deo, non alius quidem quatenus Deus, alius autem quatenus Filius; qui semper est, semperque est Filius, semperque est apud Deum inconfusibiliter; Verbum vivum, lumen verum, sapientia substantialis, causa et principium omnium quæ facta sunt, quia per ipsum facta sunt omnia; qui, completis sæculis, sicut prophetæ prædixerant semetipsum exinanivit, formam nostram propter nos accipiens, necnon ex Maria semper virgine, Patris beneplacito, et cooperatione Spiritus sancti, conceptus et genitus, et quia vere homo factus, similis

Digitized by Google

nobis fuit per omnia absque peccato, remanens quod erat Deus verus in una persona etiam post incarnationem; operans divina omnia ut Deus, et humana omnia ut homo humanisque passionibus subjacens inculpatis; impassibilis quidem et immortalis et æternus ut Deus, libenter autem propter nos secundum carnem passus ut homo, et crucifixus, et mortuus, et sepultus, et tertia die resurgens, et per mortem suamque resurrectionem destruens eum qui habebat mortis imperium, atque post resurrectionem conspectus, et in cœlum assumptus, sedensque ad dexteram Patris, honoris et throni sicut divinitatis particeps nostrum effecit lutum, cum quo iterum venire in gloria debet judicare vivos et mortuos ad vitam reduces virtute ejus præsentiæ, et reddere unicuique secundum opera ejus.

Illud a nobis assumptum corpus sensile et circumscriptum cognoscentes, mente fingimus pieque adoramus, necnon Virginem ejus genitricem et eos qui illi perfecte placuerunt. Cujus passionum symbola et in primis crucem honoramus et adoramus quasi tropæa divina contra communem inimicum elata. Cujus memoriam singulis diebus, prout mandavit, facientes, et divinissima sacra facimus, et istorum sumus participes. Sicut ille docuit ante omnia baptizamur et baptizamus in augusto et adorando nomine Patris et Filii et Spiritus sancti. Nam ex æterno Patre qui principium non habet, sanctus quoque procedit Spiritus, qui non secus ac Pater et Filius æternus est prout tempus non habet, habet autem principium quatenus ipse quoque radicem et principium et causam habet Patrem ex quo ante omnia sæcula sine labore per modum continuæ processionis exivit, non tamen a Patre Filioque separatus, sed a Patre procedens et in Filio quiescens; inconfusam habens unionem, et indivisam distinctionem. Ipse etiam Deus de Deo, non alius quidem quatenus Deus, alius autem Paracletus, quatenus Spiritus propria persona subsistens, ex Patre habens principium, et a Filio missus in primitias vitæ æternæ et arrhas futurorum semperque durantium bonorum; qui etiam est causa omnium quæ facta sunt, quia in ipso omnia facta sunt. Qui idem est ac Pater et Filius, et non alius nisi quod Pater principium non habet, Filius vero generatione processit. Missus est a Filio ad proprios discipulos, id est, manifestatus; nam quomodo aliter mitteretur qui ubique præsens est, qui a mittente non discedit? Ideo non a Filio tantum, sed etiam a Patre mittitur, et a semetipso venit. Opus enim commune missio, seu manifestatio, Patris et Filii et Spiritus. Manifestatur autem non secundum substantiam; nam nemo vidit Deum nec enarravit, sed secundum gratiam et virtutem et operationem quæ communis est Patri et Filio et Spiritui. Etenim unicuique propria cujusque hypostasis et quæ ad hyposta im pertinent, communia autem non solum invisibilis

A πάντα, χωρὶς ἁμαρτίας, μείνας ὅπερ ἦν Θεὸς ἀληθινὸς ἐν μιᾷ ὑποστάσει καὶ μετὰ τὴν ἐνανθρώπησιν· ἐνεργῶν τὰ θεῖα πάντα ὡς Θεὸς, καὶ τὰ ἀνθρώπινα πάντα ὡς ἄνθρωπος, καὶ τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑποκείμενος πάθεσιν· ἀπαθὴς μὲν καὶ ἀθάνατος ὢν καὶ διαμένων ὡς Θεὸς, ἑκὼν δὲ δι' ἡμᾶς σαρκὶ παθὼν ὡς ἄνθρωπος, καὶ σταυρωθεὶς, καὶ θανὼν, καὶ ταφεὶς, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστὰς, καὶ διὰ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως αὐτοῦ καταργήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου· καὶ μετὰ τὴν ἀνάστασιν ἐπιφανεὶς, καὶ εἰς τὸν οὐρανὸν ἀναληφθεὶς, καὶ καθίσας ἐκ δεξιῶν τοῦ Πατρὸς, ὁμότιμον καὶ ὁμόθρονον, ὡς ὁμόθεον ποιήσας τὸ ἡμέτερον φύραμα, μεθ' οὗ πάλιν φυράματος ἥξειν μετὰ δόξης μέλλει κρῖναι ζῶντας καὶ νεκροὺς,
B πρὸς ζωὴν ἐπανελθόντας τῇ δυνάμει τῆς αὐτοῦ παρουσίας, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Τοῦτο καὶ ἡμεῖς τὸ παρ' ἡμῶν αὐτοῦ πρόσλημμά τε καὶ φύραμα αἰσθητόν τε καὶ περιγραπτὸν εἰδότες, εἰκονίζομεν καὶ προσκυνοῦμεν εὐσεβῶς, καὶ τὴν αὐτὸν ἐν παρθενίᾳ τεκοῦσαν, καὶ τοὺς αὐτῷ τελείως εὐαρεστήσαντας. Τούτου τὰ τῶν παθῶν σύμβολα, καὶ μάλιστα τὸν σταυρὸν, καὶ τιμῶμεν καὶ προσκυνοῦμεν ὡς τρόπαια θεῖα κατὰ τοῦ κοινοῦ πολεμίου. Τούτου τὴν ἀνάμνησιν ὁσημέραι κατὰ τὴν αὐτοῦ ἐντολὴν ποιούμενοι, καὶ ἱερουργοῦμεν τὰ θειότατα, καὶ μετέχομεν τούτων. Τούτου κατὰ τὴν παραγγελίαν πρὸ πάντων βαπτιζόμεθά τε καὶ βαπτίζομεν εἰς ἓν ὄνομα σεπτόν τε καὶ προσκυνητὸν
C τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ἐκ γὰρ τοῦ ἀϊδίου καὶ ἀνάρχου Πατρὸς καὶ τὸ ἅγιον ἐκπορεύεται Πνεῦμα, συνάναρχον μὲν ὂν Πατρί τε καὶ Υἱῷ ὡς ἄχρονον, οὐκ ἄναρχον δέ, ὡς καὶ αὐτὸ ῥίζαν καὶ ἀρχὴν καὶ 42 αἰτίαν ἔχον τὸν Πατέρα, ἐξ οὗ πρὸ πάντων τῶν αἰώνων ἀῤῥεύστως, ἀπαθῶς, ἐκπορευτῶς, προῆλθεν ἀδιαίρετον ὂν Πατρός τε καὶ Υἱοῦ, ὡς ἐκ Πατρὸς προερχόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον· ἀσύγχυτον καὶ τὴν ἕνωσιν ἔχον καὶ ἀμέριστον τὴν διαίρεσιν. Θεὸς ὂν καὶ αὐτὸ ἐκ Θεοῦ, οὐκ ἄλλος μὲν καθὸ Θεὸς, ἄλλος δὲ Παράκλητος, καθὸ Πνεῦμα ἅγιον αὐθυπόστατον, ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχον, καὶ δι' Υἱοῦ πεμπόμενον, εἰς ἀπαρχὴν ζωῆς αἰωνίου, καὶ ἀῤῥαβῶνα τῶν μελλόντων καὶ ἀεὶ μενόντων ἀγαθῶν· αἴτιον καὶ αὐτὸ
D τῶν γεγονότων πάντων, ὡς ἐν αὐτῷ πάντων γεγονότων. Τὸ αὐτὸ καὶ ἀπαράλλακτον Πατρί τε καὶ Υἱῷ, χωρὶς τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως. Ἐπέμφθη δὲ παρὰ τοῦ Υἱοῦ πρὸς τοὺς οἰκείους μαθητὰς, τουτέστι πεφανέρωται· πῶς γὰρ ἂν ἄλλως ἐπέμφθη τὸ πανταχοῦ παρὸν, καὶ τοῦ πέμποντος μὴ χωριζόμενον; Διὸ μὴ μόνον παρὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ παρὰ τοῦ Πατρὸς πέμπεται, καὶ παρ' ἑαυτοῦ ἔρχεται· κοινὸν γὰρ ἔργον ἡ ἀποστολὴ, δηλονότι ἡ φανέρωσις, Πατρὸς, Υἱοῦ καὶ Πνεύματος. Φανεροῦται δὲ οὐ κατὰ τὴν οὐσίαν· οὐδεὶς γάρ ποτε Θεοῦ φύσιν ἢ εἶδεν, ἢ ἐξηγόρευσεν, ἀλλὰ κατὰ τὴν χάριν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρὸς, Υἱοῦ καὶ Πνεύματος· ἴδιον μὲν

Digitized by Google

γὰρ ἑκάστῳ τούτων ἡ ἑκάστου ὑπόστασις, καὶ τὰ A περὶ αὐτὴν ὑποστατικῶς θεωρούμενα· κοινὰ δὲ αὐτῶν οὐχ ἡ ἀνέκφαντος καὶ ὑπερώνυμος καὶ ἀμέθεκτος οὐσία μόνον, ἀλλὰ καὶ ἡ χάρις καὶ ἡ δύναμις, καὶ ἡ ἐνέργεια, καὶ ἡ λαμπρότης, καὶ ἡ ἀφθαρσία, καὶ ἡ βασιλεία καὶ πάντα, καθὰ κοινωνεῖ, καὶ κατὰ χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις ὁ Θεός· μήτε διὰ τὸ μεριστὸν καὶ διάφορον τῶν ὑποστάσεων, μήτε διὰ τὸ μεριστὸν καὶ ποικίλον τῶν θείων δυνάμεών τε καὶ ἐνεργειῶν τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτων. Οὕτω πιστεύωμεν εἰς ἕνα Θεὸν ἐν μιᾷ τρισυποστάτῳ καὶ παντοδυνάμῳ θεότητι, καὶ τοὺς ἐν τοιαύτῃ πίστει τῷ Θεῷ εὐαρεστήσαντας ἀνακηρύττωμεν. Τοὺς δὲ μὴ οὕτω πιστεύοντας, ἀλλ' ἰδίας αἱρέσεως ἄρξαντας, ἢ τοῖς ἄρξασιν εἰς τέλος ἐπακολουθήσαντας, ἀποβαλλώ- B μεθα. Τοῦτο δὲ ἐστε γινώσκοντες, ἀδελφοί, ὅτι τὰ πονηρὰ πάθη καὶ τὰ δυσσεβῆ δόγματα δι' ἀλλήλων εἰσάγεται, λαβόντα χώραν ὑπὸ τῆς τοῦ Θεοῦ δικαίας ἐγκαταλείψεως.

et incommunicabilis et super omne nomen natura, sed et gratia, et virtus, et operatio, et splendor, et incorruptibilitas, et regnum et cætera omnia per quæ communicatur et conjungitur Deus angelis et hominibus, qui neque numero et distinctione personarum, neque numero et diversitate divinarum potentiarum et operationum ab unitate et plenitudine sua deficit. Ita credamus in unum Deum in una omnipotenti deitate tribus personis subsistente, et eos qui Deo per talem fidem placuerunt alta voce laudemus. Ita autem non credentes et eos qui proprias hæreses proferunt seu proferentes perseveranter consequuntur, rejiciamus. Hoc vero scitote, fratres, quoniam passiones pravæ et impia dogmata alia ab aliis inferuntur locum accipientia ex justa Dei defectione.

Ὅτι μὲν οὖν διὰ τῆς δυσσεβείας ὁ πολυπληθὴς ἐσμὸς τῆς ἁμαρτίας λαμβάνει χώραν, ὁ μέγας Παῦλος ἡμᾶς ἐδίδαξε, γράφων περὶ τῶν Ἑλλήνων· « Καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, ἀλλὰ γνόντες τὸν Θεὸν, οὐχ ὡς Θεὸν ἐδόξασαν, ἢ ηὐχαρίστησαν, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν ποιεῖν τὰ μὴ καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ, καὶ τοῖς ἑξῆς. » Ὅτι δὲ διὰ τῆς ἁμαρτίας ἡ δυσσέβεια πάλιν εἰσάγεται, διὰ πολλῶν τῶν τοῦτο παθόντων ἀθλίως ἐστὶν ἡ παράστασις. Σολομὼν ἐκεῖνος ἐκδοὺς ἑαυτὸν ταῖς σαρκικαῖς ἡδοναῖς, εἰς εἰδωλολατρείαν ἐξωλίσθεν. Ἱεροβοὰμ κατ' ἄκρας ἡττηθεὶς φιλαρχίας ταῖς χρυσαῖς δαμάλεσιν ἔθυσεν. Ὁ προδότης Ἰούδας φιλαργυρίαν νοσήσας περιέπεσε τῇ θεοκτονίᾳ. Διὰ C ταῦτα τοίνυν, ἐπεὶ καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρὰ καὶ ἀσύστατος, καὶ τὰ ἔργα χωρὶς τῆς πίστεως μάταια καὶ ἀνόνητα, συνῆψεν ἡ τοῦ Πνεύματος χάρις σήμερον ἐν τῷ σεπτῷ τῆς νηστείας καιρῷ καὶ τῆς κατ' ἀρετὴν ἀσκήσεως τὴν ἀνακήρυξιν τῶν ὀρθοτομούντων τὸν λόγον τῆς εὐσεβείας, καὶ τὴν ἀποκήρυξιν τῶν μὴ ὀρθοτομεῖν ἑλομένων, ὡς ἂν ἡμεῖς συνημμένως ἐπ' ἄμφω σπεύδοντες, καὶ τὴν πίστιν διὰ τῶν ἔργων **43** ἐπιδειξώμεθα, καὶ τῶν πόνων τὸ κέρδος διὰ τῆς πίστεως κομισώμεθα.

Peccati quidem innumerum examen ex impietate locum accipere, magnus Paulus nos docuit de Græcis scribens: « Sicut non probaverunt Deum habere in notitia, sed cum cognovissent Deum, non sicut Deum glorificaverunt, aut gratias egerunt, tradidit illos Deus in reprobum sensum, ut faciant ea quæ non conveniunt, repletos omni iniquitate, fornicatione, avaritia, et cæteris *. » Impietatem vero vicissim per peccatum induci, non pauci istud experti misere probaverunt. Salomon ille carnis voluptatibus indulgens in idololatriam irrepsit. Jeroboam summa victus avaritia aureis sacrificavit vitulis. Traditor Judas divitiarum amore ægrotans in deicidium illapsus est. Propterea, cum fides sine operibus mortua sit et dissentanea, operaque sine fide vana et nullius pretii digna, conjunxit gratia Spiritus hac die in sacro jejunii tempore quo ad virtutem exercentur, et prædicationem eorum qui rectam pietatis rationem acceperunt et rejectionem eorum qui ab illa deflectere maluerunt, ut nos ambobus mente studentes, et fidem operibus comprobemus, et laborum lucra per fidem referamus.

Μὴ μόνον δὲ δι' ἀλλήλων εἰσάγεται τὰ πονηρὰ πάθη καὶ ἡ δυσσέβεια, ἀλλὰ καὶ ἀλλήλοις ἐοίκασι· καὶ ἵνα βραχύ τι πρὸς τὴν ὑμετέραν ἀγάπην εἴπω, περὶ τῶν ἐφ' ἡμῶν ἀναφανέντων ἑτεροδόξων, καθάπερ ὁ Ἀδὰμ ἀπὸ παντὸς ἐσθίειν ξύλου τοῦ ἐν τῷ D παραδείσῳ παρὰ τοῦ Θεοῦ λαβὼν ἐξουσίαν, οὐκ ἠρκέσθη πᾶσιν ἐκείνοις, ἀλλὰ τῇ τοῦ ἀρχεκάκου ὄφεως συμβουλῇ πεισθεὶς, ἀπὸ τοῦ ξύλου ἔφαγεν, οὗ μόνου προσετάχθη μὴ ἅψασθαι· οὕτω καὶ τῶν ἐν τῷ Θεῷ ἀγαθῶν, καὶ ὄντως ἀγαθοπρεπῶν δωρεῶν, εἰς μέθεξιν ὑπ' αὐτοῦ προκειμένων τοῖς βουλομένοις, κατὰ τὸν εἰπόντα· Πάντα ὅσα ὁ Θεὸς καὶ ὁ διὰ τῆς χάριτος τεθεωμένος ἔσται, χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος. Εἰσὶν οἱ καὶ αὐτῆς τῆς ὑπερουσίου οὐσίας

Verum non tantum aliæ ab aliis inducuntur cupiditates pravæ et impietas, sed etiam sibi invicem sunt similes, quod brevi sermone ad vestram charitatem dicam, de eis qui a fide apud nos erraverunt; sicut Adam, licentia a Deo accepta edendi de omni ligno quod erat in paradiso, his omnibus non contentus fuit, sed vaferrimi serpentis consilio persuasus ex ligno manducavit quod solum ne tangeret prohibitum erat; ita de bonis Dei vereque egregiis donis in quorum partem omnes qui volunt venire possunt, secundum eum qui dixit: Omnia quæ Dei sunt per gratiam ejus communicantur, præter ejus substantialem exsistentiam. Sunt autem qui nos etiam hujus supersubstantialis essentiæ docent esse participes,

Rom. I, 21 28.

Digitized by Google

et posse eam apto appellare nomine prædicant, perversissimum imitati serpentem, sicut ille Dei opera, ita isti sanctorum verba male intelligunt et a sensu avertunt. Sed nos accepta a Domino potestate ambulandi super serpentem et scorpionem, et super omnem inimici potestatem, omni ejus molitione et aggressione contra pietatem piamque conversationem feliciter contritis, illiusque in omnibus victores, cœlestes et intemeratas justitiæ coronas consequemur in ipso Christo, judice integro et mercedum largitore, quem decet omnis gloria et honor et adoratio cum æterno ejus Patre et sanctissimo, bono et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

## HOMILIA IX.

*In tempore jejunii et orationis.*

Finis quidem divinorum dogmatum, horumque meditationis et operosæ exsecutionis veritas est et laus certa cum divis Patribus nostris consona et consentanea; agendæ vero virtutis istud non est finis, sed potius principium, quæ nisi ad congruentem finem perveniat, assecuta erit majoris causam condemnationis. Ait enim: « Qui cognovit voluntatem Domini et non fecit, vapulabit multis [9]. » Inde non sufficit, ad rationem virtutis, hujus intelligentia et veritas, sed finis ejus est bonum. Igitur si conspiciamus homines in bonis cognitis conversantes, istaque ad opus deducentes, bonosque per opera perfectos, nec delinquentes contra rectam rationem quam in mente habent, sane non longam haberemus orationem de justitia, de castitate, de temperantia aliisque similibus. Quis enim nescit unumquodque horum esse pulchrum, et in primis vitam temperantem quæ ex omnium experientia probatur animis corporibusque simul admodum prodesse? Sed cum plerique sciant, nimiumque sciant concupiscentiam et iram pulchræ illi præstare cognitioni; (dixit enim Apostolus: « Video aliam legem in membris meis repugnantem legi mentis meæ, et captivantem me in lege peccati quæ est in membris meis [10]), » ideo sæpe vos, fratres, verbo hortamur ut recta et pura intentione exercitium boni complectamini qua ad optimum harum cognitionum finem attingatis. « Intellectus enim bonus, inquit David, omnibus facientibus eum [11]. » Et: « Justitia ejus in filios filiorum, his qui servant testamentum ejus et memores sunt mandatorum ejus ad faciendum ea [12]. » Et Paulus: « Non auditores legis justi erunt apud Deum, sed factores legis justificabuntur [13]. » Et utrorumque Dominus: « Si hæc scitis, beati eritis si faciatis ea [14]. »

Igitur apprehendamus operibus, fratres, pretiosa jejunii et temperantiæ commoda, comprobemus no-

μετέχειν ἡμᾶς διδάσκουσι, καὶ δύνασθαι κυρίως ὀνομάζειν αὐτὴν ἐπαγγέλλονται, καὶ τὸν ἀρχέκακον ὄφιν μιμούμενοι, ὡς ἐκεῖνος τὰ τοῦ Θεοῦ, οὕτως αὐτοὶ τὰ τῶν ἁγίων ῥήματα παρεξηγοῦνται καὶ διαστρέφουσιν. Ἀλλ' ἡμεῖς καὶ δύναμιν παρὰ τοῦ Κυρίου λαβόντες πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, πᾶσαν τὴν αὐτοῦ μηχανὴν καὶ πάλην τήν τε κατὰ τῆς εὐσεβείας καὶ τῆς κατ' εὐσέβειαν πολιτείας εὐχερῶς συντρίψαντες, καὶ νικηταὶ διὰ πάντων αὐτοῦ φανέντες, τῶν οὐρανίων καὶ ἀκηράτων τῆς δικαιοσύνης στεφάνων ἐπιτευξόμεθα, ἐν αὐτῷ Χριστῷ τῷ ἀδεκάστῳ κριτῇ, καὶ δοτῆρι τῶν ἀντιδόσεων· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ Θ'.

*Ἐν τῷ καιρῷ τῆς Νηστείας καὶ Προσευχῆς.*

Τέλος μὲν θείων δογμάτων καὶ τῆς περὶ ταῦτα φιλοπονίας καὶ θεωρίας ἀλήθεια καὶ ἀσφαλὴς δόξα, καὶ πρὸς τοὺς θεοφόρους ἡμῶν Πατέρας σύμφωνος καὶ ὁμόλογος· τῆς δὲ πρακτικῆς ἀρετῆς οὐ τοῦτο τέλος ἐστὶν, ἀρχὴ δὲ μᾶλλον· ἥτις ἂν μὴ πρὸς τὸ κατάλληλον ἔλθῃ τέλος, καὶ μείζονος καταδίκης πρόξενος ἔσται τῷ κτησαμένῳ· « Ὁ γὰρ εἰδὼς, φησὶ, τὸ θέλημα τοῦ Κυρίου καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. » Οὕτως οὐκ ἀρκεῖ πρὸς λόγον πρακτικῆς ἀρετῆς ἡ περὶ ταύτην ἐπιστήμη τε καὶ ἀλήθεια, ἀλλὰ τέλος ἐστὶ ταύτης τὸ ἀγαθόν. Εἰ μὲν οὖν ἑωρῶμεν τοὺς ἀνθρώπους ἐμμένοντας τοῖς ἐγνωσμένοις καλοῖς, καὶ εἰς ἔργον ἄγοντας ταῦτα, καὶ ἀγαθοὺς ἀποτελουμένους διὰ τῶν ἔργων, ἀλλὰ μὴ πλημμελοῦντας παρ' ὃν ἔχουσιν ὀρθὸν λόγον ἐν ταῖς ψυχαῖς, οὐκ ἂν ἡμεῖς πολὺν ἐποιούμεθα λόγον περὶ δικαιοπραγίας, περὶ σωφροσύνης, περὶ ἐγκρατείας, καὶ τῶν τοιούτων· τίς γὰρ οὐκ οἶδεν, ὅτι καλὸν τούτων ἕκαστον, καὶ μάλιστα ἐγκρατὴς βίος, ὃς καὶ διὰ πείρας ἑκάστοτε δείκνυται **44** ψυχαῖς ὁμοῦ τε καὶ σώμασιν ὠφελιμώτατος ὤν; Ἐπεὶ δὲ ἴσασι μὲν οἱ πλεῖστοι, καὶ καλῶς ἴσασιν, ἀλλ' ἐπιθυμία καὶ θυμὸς ἐπικρατεῖ τῆς καλῆς ἐπιστήμης· « Βλέπω γὰρ, φησὶν ὁ Ἀπόστολος, ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου· » διὰ τοῦτο συνεχῶς τὴν ἀπὸ τοῦ λόγου παράκλησιν προσάγομεν ὑμῖν, ἀδελφοὶ, ὡς ἂν διαναστήσωμεν τῷ ἀδιαστρόφῳ καὶ ὀρθῷ λογισμῷ τὴν τοῦ ἀγαθοῦ πρᾶξιν ἐπιτιθέναι, ὡς τὸ τῆς ἐν τοῖς τοιούτοις γνώσεως τέλος ἀγαθὸν ἐπιφέρουσαν· « Σύνεσις ἀγαθὴ, φησὶν ὁ Δαβὶδ, πᾶσι τοῖς ποιοῦσιν αὐτήν. » Καί· « Ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. » Καὶ ὁ Παῦλος· « Οὐχ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. » Ὁ δὲ ἀμφοτέρων Κύριος, « Εἰ ταῦτα οἴδατε, φησὶ, μακάριοί ἐστε, ἐὰν ποιῆτε αὐτά. »

Ἀψώμεθα οὖν καὶ δι' ἔργων, ἀδελφοὶ, τοῦ καλοῦ τῆς νηστείας καὶ ἐγκρατείας χρήματος· πιστωσώ-

[9] Luc. xii, 47. [10] Rom. vii, 23. [11] Psal. cx, 10. [12] Psal. cii, 17. [13] Rom. ii, 13. [14] Joan. xiii, 17

Digitized by Google

μεθα τὴν ἀγαθὴν περὶ ταῦτα διάθεσιν· δείξωμεν A ἐνεργῶς τοὺς καρποὺς αὐτῶν ὁποῖοι· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἀλλὰ καὶ τὸν γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· « Νόει ἃ λέγω, » φησὶν ὁ Ἀπόστολος. Τῶν μὲν γὰρ ἄλλων ἀρετῶν ἑκάστη ἢ ψυχὴν ἢ σῶμα καθαίρει τε καὶ κοσμεῖ· μᾶλλον δὲ ψυχῆς ἕν γέ τι μέρος ἢ σώματος, ὡς προσευχὴ καὶ ἐπιστήμη τὸν νοῦν, τὸν θυμὸν ἡ πραότης, τὴν ἐπιθυμίαν ἡ σωφροσύνη. Ἡ δὲ νηστεία καὶ ἡ ἐγκράτεια τὰς μὲν τοῦ σώματος ἐπαναστάσεις κοιμίζει, τὴν λύσσαν τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ἀπομαραίνει, αἰθρίαν δὲ τῇ διανοίᾳ καθαρὰν ἐμποιεῖ καὶ οἷον ἀνέφελον, ἀποκαθαίρουσα ταύτην τῶν ἐκ τοῦ πλήθους τῶν βρωμάτων ἀνιόντων ἀτμῶν, καὶ τῆς ἀπὸ τούτων ἀχλύος. Διὰ νηστείας καὶ ἐγκρατείας ὁ ἔξω ἄνθρωπος φθείρεται· B ὅσῳ δὲ οὗτος φθείρεται, τοσοῦτον ὁ ἐντὸς ἀνακαινίζεται κατὰ τὸν Ἀπόστολον. Παχεῖα γαστὴρ, εἰπέ τις, λεπτὸν οὐ τίκτει νοῦν· οὐκοῦν ἡ διὰ νηστείας καὶ ἐγκρατείας λεπτυνομένη καὶ τὸν νοῦν ἐξ ἀνάγκης λεπτύνει.

Οὕτω πᾶν καλὸν καὶ ἀγαθὸν διὰ ταύτης κατορθοῦται καὶ τελειοῦται. Διπλοῦν ἐστι περιτείχισμα ἡ νηστεία καὶ ἡ ἐγκράτεια· καὶ ὁ ἐν ταύταις βιῶν εἰρήνης ἀπολαύει πολλῆς, ὡς τῆς Ἱερουσαλὴμ ὢν ἐντός. Ἱερουσαλὴμ γὰρ εἰρήνη ἑρμηνεύεται. Τούτῳ δὲ πολεμεῖ τῷ τείχει ὁ τοῦ Βαβυλωνίου ἄρχοντος ἀρχιμάγειρος· κἂν οὐχ εὕρῃ τοὺς ἐντὸς ἀντεχομένους τῶν τειχῶν καρτερῶς, καθαιρεῖ ταῦτα, προσαγαγὼν ὡς ἑλεπόλεις τὰ τῆς ὀψαρτυτικῆς μαγγανεύ- C ματα. Εἰ δὲ οἱ ἐπὶ τῶν τειχῶν τούτων οὐ μόνον περιφρονοῦσι τὰ ποικίλα τῶν ὄψων, ἀλλὰ καὶ τὸν ἄρτον ἐπὶ τὸ εὐτελέστερον ἔτι μάττουσιν, αὐτοὶ μᾶλλον δι' ἐγκρατείας ἀνατρέπουσι καὶ τὴν σκηνὴν Μαδιάμ· τοιοῦτον γάρ τι προτυποῖ καὶ ἡ κατὰ τὸν Γεδεὼν ἱστορία· « Ἰδοὺ γὰρ, φησὶ, μερὶς ἄρτου κριθίνου, κυλιομένη ἐπὶ τὴν παρεμβολὴν Μαδιάμ. » Δῆλον δὲ ὁ κρίθινος ἄρτος τῶν ἐπιστρατευσάντων μετὰ Γεδεὼν τὴν καὶ ἐπὶ τῶν ἀναγκαίων τροφῶν εὐτέλειαν καὶ ἐγκράτειαν· « Καὶ ἦλθε, φησὶ, μέχρι τῆς σκηνῆς Μαδιὰμ καὶ ἐπάταξεν αὐτὴν καὶ κατέστρεψε. » Σκηνὴ δ' ἂν εἴη πάντως ὑπὸ μάζης κριθίνης καταστρεφομένη ἡ μαιμάσσουσα τοῦ τε λαιμοῦ καὶ τῆς κοιλίας ἐπιθυμία, **45** ἧς τὸ μαργαίνον ἀφαιρεῖται νηστεία καὶ λιτὴ προσγινομένη D τράπεζα. Δανιὴλ ὁ τῶν ἐπιθυμιῶν ἀνὴρ οὐ τὸν δράκοντα μόνον διὰ μάζης ἀνεῖλε τὸν Θεὸν, ὧν Θεὸς ἡ κοιλία, καὶ ὁ ἔχων τὴν ἰσχὺν ἐπὶ τῇ ὀσφύϊ καὶ ἐπ' ὀμφαλοῦ γαστρὸς, ἀλλ' ἐπὶ πολλὰς ἑβδομάδας μὴ φαγὼν ἄρτον ἐπιθυμιῶν, μήτε οἶνον πιὼν, καινοτέρας ὁράσεις εἶδε, καὶ ἀρχαγγέλου ἐπιστασίαν ἐδέξατο.

Ὁ μὲν οὖν Δανιὴλ οὕτω· ὁ δὲ ἐπιθυμητὴς λαὸς καὶ ἀχάριστος, οἱ λέγοντες, Τίς ψωμιεῖ ἡμᾶς κρέα; νῦν ἡ ψυχὴ ἡμῶν κατάξηρος· μετὰ τὸ φαγεῖν κρέα ἕως ἐξῆλθεν ἐκ τῶν μυκτήρων αὐτῶν, ἐπατάχθησαν πληγὴν μεγάλην σφόδρα· « Ἐθυμώθη γὰρ, φησὶν, εἰς τὸν λαὸν ὁ Θεὸς, καὶ ὁ κόρος αὐτοῖς εἰς χολέραν

stras de istis bonas dispositiones, ostendamus effectibus quanti sint horum fructus, nam ex fructu cognoscitur arbor. Virum agricolam oportet primum de fructibus percipere. « Intellige quæ dico, » ait Apostolus [15]. Etenim aliarum quidem virtutum unaquæque vel animam vel corpus purgat et exornat, vel potius quamdam animæ aut corporis partem, ut oratio et scientia mentem, cor dulcedo, concupiscentiam castitas. Jejunium autem et abstinentia corporis sedat rebelliones, iræ furores impetusque concupiscentiæ debilitat, cœlumque serenum fere nulla nube obductum in mentem infundit, illam expurgans a vaporibus ex multitudine ciborum orientibus, ortaque ex istis caligine. Per jejunium et abstinentiem homo exterior destruitur, qui quantum destruitur, tantum interior renovatur prout dixit Apostolus. Venter crassus, ait quidam, non subtilem gignit mentem; ergo jejunio et abstinentia extenuatus, animam quoque subtilem efficit.

Ita omne bonum et pulchrum jejunio temperatum perficitur. Duplex est munimentum: jejunium et abstinentia, et in istis vivens pace multa gaudet, quatenus Jerusalem civis. Jerusalem enim pax interpretatur. Hunc autem murum aggreditur Babylonici principis archimagirus, et nisi cives inveniat validis mœnibus firmatos, ista evertit, impellens quasi arietes magiræ artificia. Verum si mœnibus istis inclusi sobrie non tantum variis dapibus utantur, sed etiam panem parcius frangant, ipsi magis temperantia subvertunt tabernaculum Madian; hoc enim præsignabat Gedeonis historia: « Ecce scriptum est, subcinericius panis ex hordeo volvebatur in castra Madian [16]. » Monstrabat panis hordeaceus Gedeonis militum etiam in escis necessariis sobrietatem et temperantiam. « Et pervenit, inquit, usque ad tabernaculum Madian, et percussit illud et subvertit [17]. » Tabernaculum penitus pane hordeaceo eversum esset concupiscentia gulæ et ventre grassata, cujus jejunium mensaque sobrie apposita vehementes tollit cupiditates. Daniel, vir desideriorum, non tantum draconem massa abstulit Deum eorum quibus Deus venter est et cujus fortitudo in lumbis ejus et in umbilico ventris ejus [18], sed etiam per multas hebdomades non manducans panem desideratum, nec bibens vinum, miras visiones vidit, et archangeli adventu donatus fuit.

Ita quidem Daniel; protervus autem et ingratus populus dicebat: « Quis dabit nobis ad vescendum carnes [19]? » Sed postquam manducassent carnes, donec exirent per nares, vehementem valde passi sunt plagam; dixit enim: « Iratus est Deus in populum suum, et saturitas eorum facta est in con-

[15] II Tim. II, 6. [16] Judic. VII, 13. [17] ibid. [18] Job XL, 11. [19] Num. XI, 4.



Digitized by Google

sumptionem [19]. » Concupiscentiæ monumenta in hoc loco narrata excitaverunt divinam in eos iracundiam, quam conspicientes, fugiamus ingluviem; apprehendamus temperantiam, amplectamur istos jejuniorum dies, quibus animæ obediens corpus efficitur, cor vero ad Deum ascendens allevatur. Joannes gratiæ præcursor locustis et melle silvestri per vitam vescebatur. Petrus sallitis, olivis, lupinis paucisque utebatur oleribus. Quid necessarium est Paulum memorare, qui de seipso dixit: « In fame et siti et jejuniis multis [20]. » Tibi autem non tota vita est quadraginta jejunii dierum intervallum; et singulis diebus sol ad occasum flexus tibi jejunii finem assignat. Nonne fere omnibus facilis et accommodata hæc abstinentia? modo sit etiam congruens cœna; nam sic moderate abstinens et moderate comedens non multum jejunis cedet. Times carnis dolores, jejuniumque fugis quasi tabem adducens; sed contrarium est; nam saturitas podagram, obesitatem aliosque morbos magis solet generare; jejunium vero sanitatem gignit; unde non tantum fornicator in proprium corpus peccat, sed helluo quoque in suum corpus delinquit quod cachecticum et morbidum reddit.

A ἐγένετο. » Καὶ τὰ ἐν ἐκείνῳ τῷ τόπῳ λεγόμενα μνήματα τῆς ἐπιθυμίας ἀναστήλωσίς ἐστι τῆς ἐπ' ἐκείνους θείας ὀργῆς, πρὸς ἣν βλέποντες, φύγωμεν τὴν γαστριμαργίαν, ἀσπασώμεθα τὴν ἐγκράτειαν, περιπτυξώμεθα τὰς νηστίμους ἡμέρας ταύτας, ὡς εὐήκοον τῇ ψυχῇ ποιούσας τὸ σῶμα, καὶ τὸν νοῦν κουφιζούσας πρὸς Θεὸν ἀνατρέχοντα. Ἰωάννης ὁ τῆς χάριτος Πρόδρομος ἀκρίσι καὶ μέλιτι ἀγρίῳ διὰ βίου ἠρκεῖτο. Πέτρος ἁλμάσιν, ἐλαίαις καὶ θέρμοις καὶ λεπτοῖς λαχάνοις ἐχρῆτο μόνοις. Τί δεῖ τὰ τοῦ Παύλου λέγειν; ὃς περὶ ἑαυτοῦ καὶ τοῦτό φησιν, ὡς « Ἐν λιμῷ καὶ δίψῃ ἐν νηστείαις πολλάκις. » Σοὶ δὲ οὐ βίος ὅλος τῶν τεσσαράκοντα ἡμερῶν ἐστι τὸ τῆς νηστείας διάστημα, καὶ περιγράφει σοι καθ' ἑκάστην ἡμέραν τὴν ἐπὶ ταύτῃ νηστείαν ἡ τοῦ ἡ- B λίου πρὸς δύσιν ἐπίνευσις. Ἆρ' οὐ ῥᾳδία σχεδὸν πᾶσι καὶ σύμμετρος ἡ ἐπὶ τοσοῦτον ἀσιτία ἐστί; μόνον ἔστω καὶ ἡ σίτησις σύμμετρος· οὕτω γὰρ μετρίως ἀσιτῶν καὶ μετρίως σιτούμενος, οὐ κατὰ πολὺ τῶν ἀτροφούντων ἀπολειφθήσῃ. Φείδου τυχὸν τῆς σαρκὸς, καὶ φεύγεις τὴν νηστείαν, ὡς τηκεδόνα φέρουσαν, ἀλλὰ τοὐναντίον ἐστίν· ὁ κόρος γὰρ ποδάγρας καὶ καρηβαρίας καὶ νόσους ἑτέρας γεννᾷν μᾶλλον πέφυκεν· ἡ δὲ νηστεία μήτηρ ἐστὶν ὑγείας· καὶ ὥς ἔοικεν, οὐ μόνον ὁ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει, ἀλλὰ καὶ ὁ γαστριμαργῶν εἰς τὸ ἴδιον πλημμελεῖ σῶμα, καχεκτικὸν αὐτὸ καὶ νοσερὸν ἐργαζόμενος.

Verum cum omnibus sensibus intemperantia committatur, omnibus imponamus continentiam. Si escis quidem abstines, oculos autem habes ad luxuriam in penetralibus animæ perpetrandam, ad vanam curiositatem, ad fascina propensos; si aurem opprobriis, lascivis carminibus, malisque susurris plenam; si alios sensus similibus noxiis læsos, quid tibi proderit jejunium? Nihil omnino; nam aliud propter alterum fugis vitium, cui per prius aditum in anima patefacis. Cum enim constemus nos ex anima et corpore compositi, non corpore tantum sed et mente (quæ ipsa quasi plura habet membra alterius modi, scilicet vim vegetativam, concupiscibilem et irascibilem appetitum atque rationem), illud verum est jejunium quod ad omnes potentias extenditur, omnes purgat, omnesque sanat; dulcis enim, fratres, et benigna animæ per jejunium curatio; et propterea Patres nostri in diebus istis illud nobis præceperunt.

Ἐπεὶ δὲ διὰ πασῶν τῶν αἰσθήσεων ἡ ἀκρασία τελεῖται, πάσαις ἐπιστήσωμεν τὴν ἐγκράτειαν. Εἰ δὲ νηστεύεις μὲν βρωμάτων, τὴν δὲ ὄψιν ἔχεις προαγωγὸν εἰς τὴν ἐν τῷ ταμείῳ τῆς ψυχῆς σου μοιχείαν, καὶ περιεργίαν, καὶ βασκανίαν· τὴν δὲ ἀκοὴν δε- C κτικὴν ὕβρεων, καὶ πορνικῶν ᾀσμάτων, καὶ ψιθυρισμῶν οὐ καλῶν, καὶ τὰς ἄλλας αἰσθήσεις τῶν καταλλήλως βλαπτόντων, τί τὸ ὄφελος τῆς νηστείας; πάντως οὐδέν· ἣν γὰρ δι' ἑτέρας φεύγεις κακίαν, κάθοδον αὐτῇ δίδως δι' ἄλλης εἰς τὴν ψυχήν· συνθέτων γὰρ ὄντων ἡμῶν ἐκ ψυχῆς λέγω καὶ σώματος, οὐ τοῦ σώματος μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς πολυμελοῦς οὔσης (ἕτερον τρόπον ἔχει γὰρ καὶ αὕτη καθάπερ μέλη τὸ θρεπτικὸν, τὸ ἐπιθυμητικὸν, τὸ θυμικόν τε καὶ λογιστικὸν), ἐκείνη ἐστὶν ἀληθὴς νηστεία, ἡ διὰ πάντων διήκουσα καὶ πάντα καθαίρουσά τε καὶ θεραπεύουσα· πραεῖα γάρ ἐστιν, ἀδελφοὶ, καὶ φιλάνθρωπος ἡ διὰ νηστείας τῆς ψυχῆς ἰατρεία· καὶ διὰ τοῦτο καὶ οἱ Πατέρες ἡμῶν διὰ τῶν ἡμερῶν τούτων ταύτην ἡμῖν ἐπέθηκαν.

Igitur si istud stulte effugiamus, vindices pœnæ, scissiones, adustiones nos comprehendent, quoniam Christus membrum putridum amputabit, ignique tradet inexstinguibili vindictam daturam æternam. Nam sicut, quia non jejuneveramus in paradiso, in hanc vitam multis pœnis refertam sumus immissi, ita, nisi hic jejunemus, et sobrie pro viribus vivamus, in inexstinguibilem et intolerabilem illum incidemus infernum. Sed convertimini, filii revertentes, ait prophetia [21]: Nihil tam efficax ad misericordiam ab eis qui convertuntur assequendam

D Ἐὰν οὖν ταύτην ἡμεῖς ἀφρόνως ἐκφύγωμεν, αἱ κολαστικαὶ ποιναὶ, καὶ τομαὶ, καὶ καύσεις ἡμᾶς ἐκδέξονται, ὅτε Χριστὸς τὸ ἀθεράπευτον διχοτομήσει, καὶ τῷ ἀσβέστῳ πυρὶ παραδώσει δίκην ὑφέξοι αἰώνιον. Ὡς γὰρ μὴ νηστεύσαντες ἐν τῷ παραδείσῳ εἰς τὸν πολυώδυνον τοῦτον βίον ἐῤῥίφθημεν, οὕτως ἐνταῦθα **46** μὴ νηστεύσαντες, μηδὲ ἐγκρατῶς ζήσαντες κατὰ δύναμιν, εἰς τὴν ἄσβεστον καὶ ἀφόρητον ἐκείνην ἐμπεσούμεθα γέενναν. Ἀλλ' ἐπιστρέψατε υἱοὶ ἀφεστηκότες, ἡ προφητεία φησίν· οὐδὲν οὕτω συνεργὸν πρὸς ἐξιλασμὸν τοῖς ἐπιστρέφουσιν ὡς ἡ νη-

[19] Num. xi, 20. [20] II Cor. xi, 27. [21] Jerem. iii, 14.

Digitized by Google

στεία ἐστὶν, ὡς ἐκ τῆς τῶν Νινευϊτῶν ἐπιστροφῆς A ἐδιδάχθημεν· οὐδὲν οὕτω νεκροποιὸν ὡς ἡ γαστριμαργία ἐστί· καὶ δείκνυσιν ὁ περὶ τοῦ ἀσώτου ἐπιστρέψαντος εἰπών· « Οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησεν, ἀπολωλὼς ἦν, καὶ εὑρέθη· » συώδη γὰρ βίον ἠσπάσατο, καὶ συῶν ἥδετο βορβόρῳ, παρασυνεβλήθη τούτοις, καὶ ὡμοιώθη αὐτοῖς, τὴν πρὸς Θεὸν ὁμοίωσιν ἀποθέμενος. Κατὰ δὲ τὸν μέγαν Ἰὼβ οὐ κτήνεσιν ὡμοιώθη μόνον, ἀλλὰ καὶ τοῖς ἐν ὑδρηλοῖς χωρίοις παντελῶς ἀναισθήτοις, βουτόμῳ τε καὶ παπύρῳ καὶ τῷ καλάμῳ, ἐν οἷς καὶ κοιμᾶται ὁ παμφάγος Λευϊαθάν. Ἐν γὰρ τοῖς ὑγροβίοις τὸ νοητὸν τοῦτο κῆτος ἐπαναπαύεται. Ἣν ὑγρότητα ὁ Δαβὶδ ἀπελαύνων διὰ τῆς ἐγκρατείας τῆς οἰκείας ζωῆς, « Ἐξηράνθη, φησὶν, ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν, B τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. » Διὸ καὶ τὴν τῆς δεξιᾶς τοῦ Ὑψίστου ἠλλοιοῦτο ἀλλοίωσιν, αὐτῷ ἑαυτὸν ὅλον ἀναθέμενος, καὶ ἑαυτὸν διὰ παντὸς ἐνώπιον αὐτοῦ προορώμενος καὶ τὴν τῆς οἰκείας καρδίας μελέτην, ἐκεῖνον διὰ παντὸς ἔχων ἐνώπιον.

Τοῦτο δὴ καὶ ἡμεῖς, ἀγαπητοὶ, μιμησώμεθα, καὶ μὴ μόνον τῆς ὑγρᾶς καὶ διακεχυμένης ζωῆς ἑαυτοὺς ἀποστήσωμεν, ἀλλὰ καὶ τὴν ἡμετέραν νηστείαν καὶ ψαλμῳδίαν καὶ προσευχὴν, ὡς αὐτοῦ παρόντος καὶ ἐφορῶντος τοῦ Θεοῦ ποιώμεθα· εἰδότες, ὡς οὔτε νηστεία, οὔτε ψαλμῳδία, οὔτε προσευχὴ σώζειν ἡμᾶς καθ' ἑαυτὰ δύναται, ἀλλὰ τὸ ἐνώπιον ἐκτελεῖσθαι ταῦτα τοῦ Θεοῦ· οὕτω γὰρ οἱ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες ἁγιάζουσιν ἡμᾶς, ὡς ὁ ἥλιος θερμαίνει C τὰ ὑπ' αὐτοῦ καταλαμπόμενα. Ἐνώπιον δὲ ταῦτα γίνεται Θεοῦ, ὅταν ἀτενῶς ἡ διάνοια ἐκείνῳ ἐνορᾷ, καὶ διὰ τὸ πρὸς αὐτὸν ὁρᾷν καὶ νηστεύῃ καὶ ψάλλῃ καὶ προσεύχηται· ὅταν γὰρ ἐν τῇ προσευχῇ καὶ ψαλμῳδίᾳ ποτὲ μὲν ὁ νοῦς συντείνηται πρὸς τὸν Θεὸν, ποτὲ δὲ διαπίπτῃ καὶ μετεωρίζηται, δεῖ νοεῖν, ὡς οὔπω ἀνεθήκαμεν ἑαυτοὺς ὅλους τῷ Θεῷ, οὐδὲ ἐν τῷ νόμῳ Κυρίου πᾶς ὁ σκοπὸς τῶν πραττομένων ἐφ' ἡμῶν ἐστι· διὰ τοῦτο καθ' ὅσον τῶν τῆς δικαιοσύνης ἔργων ἀποπίπτομεν, κατὰ τοσοῦτον ἐνώπιον τῶν τοῦ Θεοῦ ὀφθαλμῶν παραμένειν οὐ δυνάμεθα· « Οὐ γὰρ διαμενοῦσι, φησὶ, παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. » Ὅμως μέντοι τετραυματισμένοι κείμενοι, τὸν δυνάμενον μάλαγμα καὶ καταδέσμους ἐπιθεῖναι τοῖς συντρίμμασιν ἡμῶν ἐπικαλώμεθα Κύριον.

Μὴ τοίνυν ἀνήσωμεν, παρακαλῶ, νηστείαις καὶ D εὐχαῖς καὶ δάκρυσι, καὶ πᾶσι τρόποις αὐτὸν ἐπιβοώμενοι, μέχρις ἂν ἐγγίσῃ καὶ ἰάσηται ἡμᾶς· δείξωμεν καὶ δι' ἔργων νυμφίον πλουτοῦντες Χριστὸν, καὶ τοῦτον ἀποδημοῦντα νῦν ἀφ' ἡμῶν, καὶ ἐν τοῖς ἐπουρανίοις κρυπτόμενον δι' ἐλπίδος ἀπεκδεχόμενοι· « Ὅταν γὰρ, φησὶν, ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν. » Ὅθεν δῆλον ὡς ἐν ἐγκρατείᾳ τε καὶ νηστείᾳ παντὸς εἶναι τοῦ βίου χρὴ τοὺς ἀπὸ Χριστοῦ καλουμένους, μετ' ἀγαθῆς ἐλπίδος τὴν αὐτοῦ προσδοκῶντας φρικτὴν παρουσίαν. Νηστεύσωμεν δὲ μᾶλλον ἐν ταύταις ταῖς ἡμέραις, καὶ παν-

quam est jejunium, ut didicimus ex Ninivitarum conversione; nihil ita mortem operatur ut ingluvies, ut ostendit qui de filio prodigo revertente dixit: « Iste filius meus mortuus erat, et resurrexit; perierat, et inventus est [23]; » porcinam enim vitam amplexus erat, et porcorum luto gaudebat, quibus aggregatus est et assimilatus, sua ad Deum amissa similitudine. Secundum magnum Job, non solum comparatus est jumentis insipientibus, sed etiam locis humentibus omni sensu carentibus, junco, calamo, arundini, in quibus vorax quiescit Leviathan. Et vero in istis humentibus locis fictum istud cete inhabitat. Quem mollitiei humorem per suam vitæ temperantiam damnans David: « Aruit, inquit, tanquam testa virtus mea, sicut cremium aruerunt; genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum [24]. » Ideo immutavit mutationem dextera Excelsi, seipsum totum ad eum applicans, in omnibus et etiam in meditatione cordis in conspectu illius ambulans, illumque habens ante oculos in omnibus operibus suis.

Hunc ergo nos, dilecti, imitemur, et non tantum a molli lataque vita nos arceamus, sed etiam jejunium, psalmodiam et orationem quasi sub oculis et in conspectu Dei exerceamus, scientes quoniam nec jejunium, nec psalmodia, nec oratio sua virtute nos salvare possunt, sed quia in conspectu Dei perfecta fuerint; ita enim oculi Domini inspicientes nos sanctificant, sicut sol res ab eo illuminatas calefacit. Hæc autem fiunt in conspectu Dei cum constanter mens nostra ad eum spectat, dumque cum aspicit, jejunat, psallit et orat. Nam si, dum in oratione et jejunio ad Deum intendatur, tunc incerta dilabatur, putare oportet nos adhuc non totos ad Deum attolli, nec in lege Domini totum esse nostrorum operum finem; ideo quantum ab operibus justitiæ decidimus, tantum ante oculos Dei permanere non possumus. « Non enim, inquit, permanebunt injusti ante oculos tuos [25]. » Verum saucii jacentes eum qui potest delinimenta et ligaturas plagis imponere, invocemus Dominum.

Neque dimittamus, obsecro, illum jejuniis, precibus, lacrymis omnibusque modis clamantes, donec adveniat nosque sanet; operibus monstremus nos divite sponso gaudere Christo, illumque nunc a nobis peregre profectum, et cœlestibus absconditum spe firma opperiri. Ait enim: « Cum auferetur sponsus ab eis, tunc jejunabunt [26]. » Unde patet in abstinentia et jejunio totam debere vitam transigere vocatos a Christo, cum bona spe horrendo ejus præstolantes judicio. Sed præsertim jejunemus in his diebus, et omnino nos ad bonos mores informemus, exspectantes anniversariam diem resur-

[23] Luc. xv, 24. [24] Psal. cvii, 16. [25] Psal. v, 5. [26] Matth. ix, 15.

Digitized by Google

rectionis Christi, ut puri puro ejus passionem colamus, et consequamur illam quam passione emit Dominus immortalem beatamque vitam, quam nos omnes obtinere concedat gratia et benignitas Domini nostri Jesu Christi, quem decet omnis gloria, honor et adoratio cum æterno ejus Patre, et sanctissimo, bonoque et vivificante Spiritu. nunc et semper, et in sæcula sæculorum. Amen.

A τοίως ἡμᾶς αὐτοὺς εὐτρεπίσωμεν, ἀπεκδεχόμενοι καὶ τὴν ἐπέτειον ἡμέραν τῆς **47** τοῦ Χριστοῦ ἀναστάσεως, ἵνα καθαροὶ καθαρῶς καὶ τὰ πάθη τούτου δοξάσωμεν, καὶ τύχωμεν τῆς δι' αὐτῶν ἡμῖν ὑπὸ τοῦ Κυρίου πραγματευθείσης ἀθανάτου καὶ μακαρίας ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA X.

*Secunda sanctæ quadragesimæ Dominica habita, materiam habens Paralyticum a Domino in Capharnaum sanatum [87], et contra eos qui indecenter secum invicem confabulantur in sacris ad ecclesiam conventibus.*

Ipsa Domini verba seu potius summam evangelicæ prædicationis tanquam procemium hodie ad vestram charitatem proferam: «Pœnitentiam agite; appropinquavit enim regnum cœlorum [88].» Et non tantum appropinquavit, verum etiam est in nobis; «Regnum enim cœlorum in vobis est [89],» iterum ait Dominus. Et non tantum est in nobis, sed etiam non multo post suam manifestat veritatem destruens omnem principatum et potestatem et virtutem iis solis qui secundum Deum vivunt pieque hic conversantur adversariam. Igitur cum regnum cœlorum appropinquavit necnon in nobis est, et mox suam ostendit præsentiam, nosmetipsos per opera pœnitentiæ dignos ejus efficiamus, nobis vim inferamus, pravas consuetudines malosque mores amputantes; regnum enim cœlorum vim patitur et violenti rapiunt illud. Æmulemur divorum nostrorum Patrum patientiam, humilitatem, ipsamque fidem: «Quorum intuentes exitum conversationis imitamini fidem [90].» Mortificemus membra nostra quæ sunt super terram, fornicationem, immunditiam, libidinem, concupiscentiam malam et avaritiam, et præsertim his in sacris jejunii diebus. Nam propterea præoccupans spiritus gratia de futuro Dei horribili judicio nos edocuit, et deinde Adami exilium memoravit, necnon postea firmissimam fidem patefecit nobis ut illud formidantes, hanc autem deflentes, fide vero roborati, nosmetipsos erigamus, nec indulgeamus intemperantiæ, neque ventre insaturabili januas omnibus vitiis speriamus, vel latus præbeamus, necnon in plateis et foro erremus, cum voluptate, ut ita dicam, pessumdati. Verum in veram vitam deducentem angustam tritamque diligentes viam, cujus principium primumque stadium est jejunium istam jejunii dierum quadragesimam constantes transigamus.

## ΟΜΙΛΙΑ Ι'.

B *Τῇ δευτέρᾳ Κυριακῇ τῆς ἁγίας Τεσσαρακοστῆς, ὑπόθεσιν ἔχουσα τὸν ἐν Καπερναοὺμ ἰαθέντα παρὰ τοῦ Κυρίου Παράλυτον· καὶ πρὸς τοὺς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατὰ τὴν ἐκκλησίαν ἱεραῖς συνάξεσιν.*

Αὐτὰς τὰς δεσποτικὰς φωνὰς, μᾶλλον δὲ τὸ κεφάλαιον αὐτὸ τοῦ εὐαγγελικοῦ κηρύγματος, σήμερον ἐρῶ προοιμιαζόμενος πρὸς τὴν ὑμετέραν ἀγάπην· «Μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν·» καὶ οὐχ ἤγγικε μόνον, ἀλλὰ καὶ ἐν ἡμῖν ἐστιν· «Ἡ γὰρ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι» πάλιν ὁ Κύριος εἶπε. Καὶ οὐχ ἐν ἡμῖν ἐστι μόνον, ἀλλὰ καὶ μετ' οὐ πολὺ περιφανέστερον παραγίνεται, καταργήσουσα πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν μόνοις τοῖς κατὰ Θεὸν ζῶσι, καὶ θεαρέστως ἐνταῦθα βεβιωκόσιν. Ἐπεὶ τοίνυν ἡ βασιλεία τοῦ Θεοῦ καὶ ἤγγικε καὶ ἐν ἡμῖν ἐστι, καὶ μετ' οὐ πολὺ παραγίνεται, ποιήσωμεν διὰ τῶν τῆς C μετανοίας ἔργων ἑαυτοὺς αὐτῆς ἀξίους· βιάσωμεν ἡμᾶς αὐτοὺς, τὰς πονηρὰς ἀνακόπτοντες προλήψεις καὶ συνηθείας· βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. Ζηλώσωμεν τῶν θεοφόρων ἡμῶν Πατέρων τὴν ὑπομονὴν, τὴν ταπείνωσιν, τὴν πίστιν αὐτήν· «Τούτων γὰρ, φησὶν, ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν.» Νεκρώσωμεν τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν, καὶ μάλιστα κατὰ τὰς ἱερὰς ταύτας τῆς νηστείας ἡμέρας· διὰ τοῦτο γὰρ προλαβοῦσα ἡ τοῦ Πνεύματος χάρις, περὶ τῆς μελλούσης τοῦ Θεοῦ φρικωδεστάτης κρίσεως ἐδίδαξεν ἡμᾶς· εἶτα καὶ τῆς ἐξορίας τοῦ D Ἀδὰμ ὑπέμνησε· καὶ μετὰ τοῦτο τὴν ἀσφαλεστάτην πίστιν ὑπέδειξεν ἡμῖν, ἵνα τῷ ἐξ ἐκείνης φόβῳ, καὶ τῷ ἐπὶ ταύτης θρήνῳ, τῆς τε πίστεως ἀσφαλῶς ἀντεχώμεθα, καὶ συστέλλωμεν ἡμᾶς αὐτοὺς, καὶ μὴ ἐκδιδῶμεν τῇ ἀκρασίᾳ, μηδὲ διὰ τῆς ἀπλήστου γαστρὸς πᾶσι τοῖς πάθεσι θύραν ἀνοίγωμεν, καὶ χώραν παρέχωμεν, καὶ τῆς εὐρυχώρου καὶ πλατείας ὅλοι γινώμεθα, μεθ' ἡδονῆς ὡς εἰπεῖν ἀπολλύμενοι. Ἀλλὰ τὴν εἰς ζωὴν αἰώνιον ἀπάγουσαν στενὴν καὶ τεθλιμμένην ὁδὸν ἀγαπήσαντες, ἧς ἀρχὴ καὶ πρῶτον στάδιον ἡ νηστεία ἐστὶ, τὴν τεσσαρακοστὴν τῶν νηστίμων ἡμερῶν ταύτην μετ' εὐτονίας ἀνύσωμεν.

Nam si omnia tempus habent, ut dixit Salomon, si propria omnibus hora, item si quis opportunum quærit tempus ad exercitium virtutis, ecce adest

Εἰ γὰρ, ὥσπερ καιρὸς τῷ παντὶ πράγματι, κατὰ τὸν Σολομῶντα, καὶ τοῖς πᾶσιν ὁ χρόνος, οὕτω καὶ καιρόν τις ἐπιτήδειον ζητεῖ πρὸς ἐργασίαν τῆς ἀρε-

[87] Marc. II, 1 seqq. [88] Matth. III, 2 [89] Luc. XVII, 21. [90] Hebr. XIII, 7.

Digitized by Google

τῆς, ἡμερῶν 48 οὗτός ἐστιν ὁ καιρὸς, ἡ τεσσαρακοστὴ A τῶν ἡμερῶν αὕτη. Εἰ δὲ καὶ πᾶς ὁ τῶν ἀνθρώπων βίος πρὸς σωτηρίας πορισμόν ἐστιν ἐπιτήδειος, πολλῷ μᾶλλον ὁ καιρὸς οὗτος τῆς νηστείας ἐστίν· ἐπεὶ καὶ ὁ ἀρχηγὸς καὶ χορηγὸς τῆς σωτηρίας ἡμῶν Χριστὸς ἀπὸ νηστείας ἐποιήσατο τὴν ἀρχὴν, καὶ ἐν τῷ σταδίῳ ταύτης τὸν δημιουργὸν τῶν παθῶν, παντοίως προσβαλόντα, κατεπάλαισε καὶ κατῄσχυνε διάβολον· ὥσπερ γὰρ ἡ τῆς γαστρὸς ἀκρασία τῶν ἀρετῶν ἀναιρέτις οὖσα γεννήτρια τῆς ἐμπαθείας ἐστὶν, οὕτω καὶ ἡ ἐγκράτεια τοὺς ἐκ τῆς ἀκρασίας μολυσμοὺς ἀναιροῦσα γεννήτρια τῆς ἀπαθείας ἐστίν. Εἰ δὲ μήπω τὰ πάθη ἐν ἡμῖν ὄντα προξενεῖ τε καὶ προεξένησεν ἡ ἀκρασία, πῶς ὄντα οὐκ αὐξήσει τε καὶ στηρίξει, ὥσπερ ἡ νηστεία μειώσει ταῦτα καὶ ἀφανίσει; Συζυγεῖς δὲ ἀλλήλαις εἰσὶν ἥ τε νηστεία καὶ ἡ ἐγκράτεια, κἂν ἄλλοτε ἄλλη τοῖς συνετῶς μετιοῦσιν εὐκαίρως πλεονεκτῇ.

illud tempus, ipsa dierum quadragesima. Si vero tota hominum vita ad salutem assequendam est opportuna, quanto magis istud jejunii tempus? Ideo princeps et dux salutis nostræ Christus a jejunio illam inchoavit, et dum jejunium transigeret, vitiorum artificem, omni modo irruentem, devixit et ignominia suffudit diabolum; nam sicut ventris intemperantia, dum virtutes evertit, mater est perturbationis, ita temperantia dum incontinentiæ sordes abstergit, mater est tranquillitatis. Si vero dum vitia nondum animam occupant, hæc inducit et inducet intemperantia, quomodo, si jam occuparunt, non augebit et roborabit, sicut jejunium ea diminuta tollet. Verum inter se conveniunt jejunium et temperantia, etsi alterum alias eis qui caute prosequuntur antecellat.

Ταύτας οὖν καὶ ἡμεῖς ἀρτίως ἀλλήλων μὴ διαζεύξωμεν, ἀλλὰ τῇ μὲν σεπτῇ μεταξὺ πεντάδι τῶν τῆς ἑβδομάδος ἡμερῶν μᾶλλον ἀντεχώμεθα τῆς νηστείας, Σαββάτου δὲ καὶ Κυριακῆς τῇ ἐγκρατείᾳ μᾶλλον ἢ τῇ νηστείᾳ προσέχωμεν, ὡς ἂν συνετῶς ἀκροώμεθα τῶν εὐαγγελικῶν ῥημάτων, ἃ σήμερον ἀπαγγελεῖ τὴν τοῦ παραλύτου θαυμαστὴν ἴασιν, οὐ τὴν ἐν Ἱεροσολύμοις, ἀλλὰ τὴν ἐν Καπερναοὺμ ὑπὸ τοῦ Κυρίου γεγενημένην. Τῷ γὰρ καιρῷ ἐκείνῳ φησὶν ὁ θεηγόρος Μάρκος, « Εἰσῆλθε πάλιν ὁ Ἰησοῦς εἰς Καπερναοὺμ δι' ἡμερῶν. » Ταύτην δὲ τὴν Καπερναοὺμ ἰδίαν πόλιν τοῦ Κυρίου ὁ Ματθαῖος φησι· τὰ γὰρ κατὰ τὸν παράλυτον τοῦτον κἀκεῖνος ἱστορῶν, « Ἦλθε, φησὶν, ὁ Ἰησοῦς εἰς τὴν ἰδίαν πόλιν· » μετὰ γὰρ τὸ βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ ὑπὸ Ἰωάννου, καὶ τὸ Πνεῦμα οὐρανόθεν ἐπ' C αὐτὸν καταπτῆναι, εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος πρὸς πεῖραν ἐξάγεται, καὶ μετὰ τὸ νικῆσαι τὸν πειραστὴν ἐπανελθὼν ἐγγὺς Ἰορδάνου περιῄει διδάσκων, καὶ ὑπὸ τοῦ Βαπτιστοῦ πολλαχῶς μαρτυρούμενος, μέχρις ὅτου ὁ Ἰωάννης ὑπὸ Ἡρώδου κατάκλειστος γέγονε. Τότε δὲ, ὡς ὁ Ματθαῖός φησιν, « Ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν. »

B Ista igitur nos a se invicem ne separemus caveamus, sed per sacros hebdomadis quinos dies, nos jejunio muniamus, Sabbato autem et Dominica temperantiæ magis quam jejunio incumbamus, ut intelligentes audiamus evangelica dicta, quæ hodie memorant mirabilem paralytici sanationem non in Jerusalem sed in Capharnaum a Domino peractam. In illo enim tempore, ait divus evangelista Marcus: « Iterum intravit Capharnaum post dies aliquot. » Quam Capharnaum urbem Domini civitatem Matthæus dixit; nam ipse quoque de illo paralytico enarrans: « Venit, inquit, Jesus in civitatem suam [21]. » Et vero postquam a Joanne in Jordane baptizatus esset, et Spiritus a cœlo in eum volitans requievisset, in desertum a spiritu ad tentationem ductus est, et, victo tentatore, reversus circa Jordanem inambulabat docens, testimonio a Baptista pluries accepto, usquedum Joannes ab Herode in carcerem conjectus fuisset. Tunc, sicut dixit Matthæus: « Secessit in Galilæam, et relicta civitate Nazareth, venit et habitavit in Capharnaum maritima [22]. »

Ἐξήρχετο οὖν ἀπ' αὐτῆς εἴς τε τὰς ἐρήμους προσευχῆς χάριν, καὶ εἰς τὰς τῶν γειτόνων κωμοπόλεις κηρύσσων, καὶ πάλιν ἐπανήρχετο πρὸς αὐτήν. Διὰ τοῦτο Ματθαῖος μὲν ὁ εὐαγγελιστὴς ἰδίαν εἶπε ταύτην πόλιν αὐτοῦ· ὁ δὲ Μάρκος, « Εἰσῆλθε, φησὶ, πάλιν εἰς Καπερναοὺμ δι' ἡμερῶν. Καὶ ἤκουσαν ὅτι εἰς οἶκόν ἐστι, καὶ εὐθέως συνήχθησαν πολλοὶ, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· » τὴν D γὰρ διατριβὴν ὡς ἐπὶ πλεῖστον ἐκεῖ ποιούμενος διὰ πολλῶν καὶ μεγάλων καὶ θαυμάτων καὶ λόγων ἐπεγνώσθη μειζόνως, διὸ καὶ ἐποθεῖτο διαφερόντως. Ὡς οὖν ἤκουσαν ὅτι πάρεστι πάλιν, πανδημεὶ συνέδραμον· ὡς δὲ ὁ Λουκᾶς φησι, καὶ ἀπὸ πάσης πόλεως ἦσαν οἱ συνελθόντες, ἐν οἷς καὶ Γραμματεῖς ἦσαν καὶ Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, καὶ ἐλάλει αὐτοῖς, φησὶ, τὸν λόγον· οὗτος γὰρ ἦν αὐτῷ προηγούμενον ἔργον, ὃ καὶ παραβολικῶς ἐδήλωσεν εἰπών·

Igitur ab ista civitate in desertum orandi gratia egressus est, vicinosque vicos circuibat prædicans, et rursus ad ipsam rediit. Ideo Matthæus quidem evangelista hanc civitatem Domini vocavit; Marcus autem dixit: « Iterum intravit Capharnaum post dies. Et auditum est quod in domo esset, et statim convenerunt multi, ita ut non caperet neque ad januam; » nam cum ibi frequentius habitaret, per miracula magna et multa perque sermones melius noscebatur, ideoque ibi præcipue desiderabatur. Cum ergo audissent quoniam iterum adesset, ex omni parte confluxerunt. Erant autem, inquit Lucas, ex omni civitate convenientes, in quibus Scribæ, Pharisæi, legisque doctores, et loquebatur eis verbum; ipse enim per excellentiam erat ille quem per parabolam manifestavit dicens: « Exiit qui seminat seminare semen suum [23], » id est, doctrinæ

[21] Matth. IX, 1. [22] Matth. IV, 12. [23] Luc. VIII, 5.

sermonem; et « Veni, inquit, vocare peccatores ad pœnitentiam; » vocatio autem per verbum doctrinæ. Quod et Paulus ostendens dixit: « Fides ex auditu, auditus autem per verbum Dei [10]. »

Igitur Dominus omnibus pariter nulloque partium studio loquebatur verbum pœnitentiæ, evangelium salutis, verba vitæ æternæ, et omnes quidem audiebant, omnes autem non obediebant; omnes enim auditu visuque pulchra, virtutem vero non omnes diligimus. Scire quidem necessaria in primis desiderare solemus, ideo sacram plerique doctrinam non tantum libenter audiunt, sed etiam multo honore digna hæc verba existimant prout majori minorive scientia fruuntur, credendis omnibus parati. Verum ad adducendos in opus hos sermones, et fidem ex istis perfectam percipiendam, sapientia bonaque necessaria sunt consilia quæ non facile inveniuntur, præsertim in eis qui semetipsos justificant, qui oculis suis sunt sapientes, quales erant Scribæ et Pharisæi inter Judæos. Propterea tunc manentes verbum quidem audiebant, perfectaque signa videbant; sed magis blasphemabant quam laudabant eum qui tam operibus quam verbis bona eis tribuebat. Docente enim Domino, et omnibus vel saltem plerisque, arrectis auribus, verba gratiæ ex ipsius ore procedentia accipientibus; « Venerunt, inquit, ferentes paralyticum qui a viris quatuor portabatur; et cum non possent offerre eum illi præ turba, nudaverunt tectum ubi erat, et patefacientes submiserunt grabatum in quo paralyticus jacebat. » Videntur ista ex fide ferentium patrata fuisse, fortassisque putas Dominum horum fidei contentum deinde paralytico sanitatem dedisse; mihi autem veritas non videtur istis consonare. Equidem Dominus, cum archisynagogi filium sanaret, non fidem ab eo exegit, nec a Chananæa muliere, nec a Jairæ filia, fidei eorum qui pro ipsis accesserant contentus, sed harum quidem alia erat mortua, alia vero ex Chananæis insensata, puer autem non aderat, dum iste præsens erat atque rationis compos, licet corpore paralyticus esset. Ideo censeo magis ex fide bonaque spe illius ferentes fidem in Dominum accepisse, et accedere ausos esse, et a paralytico suasos portasse et in tectum sustulisse, necnon coram Domino dimisisse. Non enim ista, eo invito, fecissent, sed ille potius, mente nequaquam paralyticus, ea quæ fidei adversabantur objecta superavit. Laudis enim humanæ amor Pharisæos a fide in Dominum amovebat; ideo ad eos dicebat: « Quomodo vos potestis in me credere, qui gloriam ab hominibus accipitis, et gloriam quæ a solo Deo est, non quæritis [11]? »

« Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ, » δηλονότι τὸν τῆς διδασκαλίας λόγον· καὶ, « Ἦλθον, φησὶ, καλέσαι τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· » ἡ δὲ κλῆσις διὰ τοῦ λόγου τῆς διδασκαλίας. Τοῦτο καὶ ὁ Παῦλος δηλῶν ἔλεγεν· « Ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. »

Ἐλάλει μὲν οὖν ὁ Κύριος ἅπασι κοινῶς καὶ ἀνεπιφθόνως τὸν λόγον τῆς μετανοίας, τὸ Εὐαγγέλιον
**49** τῆς σωτηρίας, τὰ ῥήματα τῆς αἰωνίου ζωῆς· καὶ πάντες μὲν ἤκουον, οὐ πάντες δὲ ὑπήκουον· φιλήκοοι μὲν γὰρ καὶ φιλοθεάμονές ἐσμεν ἅπαντες, φιλάρετοι δὲ οὐχ ἅπαντες· πρὸς μὲν γὰρ τὸ ποθεῖν εἰδέναι πρὸ τοῖς ἄλλοις καὶ τὰ σωτήρια πεφύκαμεν ἅπαντες· διὸ καὶ τῆς ἱερᾶς διδασκαλίας οἱ πλείους οὐ μόνον ἡδέως ἀκούουσιν, ἀλλὰ καὶ φιλοκρινοῦσι τοὺς λόγους, ὅπως ἂν ἕκαστος ἀγνοίας ἢ συνέσεως ἔχῃ, πρὸς τὸ δοκοῦν ἐξετάζοντες. Πρὸς δὲ τὸ εἰς ἔργον ἄγειν τοὺς λόγους, ἢ καὶ πίστιν ἐξ αὐτῶν καρποῦσθαι λυσιτελοῦσαν, εὐγνωμοσύνης δεῖ καὶ ἀγαθῆς προαιρέσεως, ἥτις οὐ ῥᾳδίως εὑρίσκεται, καὶ μάλιστα ἐν τοῖς δικαιοῦσιν ἑαυτοὺς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμοσιν· ὁποῖοί τινες ἦσαν οἱ Γραμματεῖς καὶ Φαρισαῖοι τῶν Ἰουδαίων. Διὸ καὶ τότε παραμένοντες ἤκουον μὲν τοῦ λόγου, καὶ τὰ τελούμενα σημεῖα ἑώρων, ἐβλασφήμουν δὲ μᾶλλον ἢ ἐπῄνουν τὸν δι' ἔργων καὶ λόγων εὐεργετοῦντα. Διδάσκοντος γὰρ τοῦ Κυρίου, καὶ πάντων, ἢ τῶν πλείστων ἑστῶσιν ὠσὶν ὑποδεχομένων τοὺς λόγους τῆς χάριτος τοὺς ἐκπορευομένους ἐκ τοῦ στόματος αὐτοῦ, « Ἔρχονται, φησὶ, τινὲς πρὸς αὐτὸν, παραλυτικὸν φέροντες αἰρόμενον ὑπὸ τεσσάρων, καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράββατον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. » Ἔστι μὲν τῆς τῶν αἰρόντων πίστεως εἶναι νομίσαι τὸ πραχθὲν ἅπαν, καὶ τῇ πίστει τούτων ἀρεσθέντα τὸν Κύριον δοῦναι τῷ παραλύτῳ τὴν ἑξῆς ἴασιν· ἐμοὶ δὲ δοκεῖ μὴ οὕτως ἔχειν τὸ ἀληθές· εἰ γὰρ καὶ τὸν παῖδα τοῦ ἀρχισυναγώγου θεραπεύων ὁ Κύριος οὐκ ἐζήτησε τὴν παρ' αὐτοῦ πίστιν, οὐδ' ἀπὸ τῆς θυγατρὸς τῆς Χαναναίας, ἢ τῆς Ἰαείρου, τῇ πίστει τῶν ὑπὲρ αὐτῶν προσελθόντων ἀρκεσθεὶς, ἀλλὰ τούτων ἡ μὲν τεθνηκυῖα ἦν, ἡ δὲ τῆς Χαναναίας ἔκφρων, ὁ δὲ παῖς οὐδὲ παρῆν· ὁ δὲ παράλυτος οὗτος παρῆν καὶ λογισμοῦ κύριος ἦν, εἰ καὶ τὸ σῶμα παράλυτος ἦν. Διό μοι δοκεῖ μᾶλλον ἐκ τῆς εὐελπιστίας καὶ πίστεως τούτου καὶ τοὺς αἴροντας τὴν εἰς τὸν Κύριον πίστιν εἰσδέξασθαι, καὶ θαῤῥῆσαι προσελθεῖν, καὶ τῷ παραλυτικῷ τούτῳ πειθομένους αἴρειν καὶ ἀναφέρειν ἐπὶ τὸ στέγος, καὶ χαλᾷν ἐκεῖθεν τοῦ Κυρίου ἐνώπιον· οὐ γὰρ ἂν ἄκοντος ἐκεῖνοι ταῦτα ἔπραττον, καὶ τὸ ἐπιτεταμένον τῆς παραλύσεως οὐ τὸν λογισμὸν, ἀλλὰ τὰ ἐπιπροσθοῦντα καὶ προσιστάμενα τῇ πίστει μᾶλλον εἰκότως διέλυσε. Δόξης γὰρ ἀνθρωπίνης ἔρως τοὺς Φαρισαίους ἀπῆγε τῆς πρὸς τὸν Κύριον πίστεως· διὸ καὶ πρὸς αὐτοὺς ἔλεγε· « Πῶς δύνασθε πιστεύειν εἰς ἐμὲ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες; »

[10] Rom. x, 17. [11] Joan. v, 44.

Digitized by Google

Ἄλλους δὲ πάλιν ἀγροὶ καὶ γάμοι καὶ βιωτικῶν φροντίδες ἔργων ἀπεῖργον τῆς προσελεύσεως, ἃ πάντα παρέλυσεν οἷον καὶ ἀφεῖλε τῶν τοῦ παραλύτου λογισμῶν ἡ τοῦ σώματος πάρεσις· καὶ διὰ τοῦτο τοῖς ἁμαρτάνουσιν ἡ νόσος ἐστὶν ὅτε κρείττων τῆς ὑγείας, ἐστὶν ὅτε συνεργεῖ τούτοις πρὸς σωτηρίαν. Καὶ τὰς μὲν ἐμφύτους πρὸς κακίαν ὁρμὰς ἀμβλύνει, τὸ δὲ χρέος τῶν ἡμαρτημένων διὰ τῆς κακώσεως οἷον ἀποδιδοῦσα δεκτικοὺς ποιεῖ πρῶτον μὲν τῆς κατὰ ψυχὴν ἰατρείας, ἔπειτα καὶ τῆς τοῦ σώματος, καὶ μάλισθ' ὅταν ὁ νοσῶν συνεὶς ἰατρείαν οὖσαν παρὰ Θεοῦ τὴν πληγὴν φέρῃ γενναίως καὶ μετὰ πίστεως προσπίπτῃ Θεῷ, καὶ δι' ἔργων ὅπως ἂν ἔχῃ δυνάμεως ἐπικαλῆται τὸν ἱλασμόν· ὃ καὶ ὁ παράλυτος δι' ἔργων ὡς εἶχεν ὑπέδειξε, καὶ ὁ Κύριος ἔργοις τε καὶ λόγοις αὐτοῖς παρέστησεν, εἰ καὶ οἱ Φαρισαῖοι μὴ συνιδεῖν δυνηθέντες, **50** ἐβλασφήμουν καὶ διεγόγγυζον· « Ἰδὼν γάρ, φησιν, ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, τοῦ τε κλινοπετοῦς καταφερομένου, καὶ τῶν ἐκ τοῦ στέγους χαλώντων, λέγει τῷ παραλυτικῷ· « Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. » Ὢ μακαρίας προσηγορίας! τέκνον ἀκούει καὶ υἱοποιεῖται τῷ οὐρανίῳ Πατρί, καὶ προσκολλᾶται τῷ ἀναμαρτήτῳ Θεῷ, ἀναμάρτητος παραχρῆμα καὶ αὐτὸς γεγονὼς διὰ τῆς τῶν ἡμαρτημένων ἀφέσεως, καὶ ὡς ἂν ἐπακολουθήσῃ καὶ ἡ τοῦ σώματος ἀνακαίνισις, τὴν ψυχὴν πρότερον ἀνωτέραν λαμβάνει τῆς ἁμαρτίας παρὰ τοῦ γινώσκοντος, ὅτι τὴν ἀρχὴν τῆς ψυχῆς ἀποπεσούσης τοῖς βρόχοις τῆς ἁμαρτίας, αἵ τε νόσοι τῷ σώματι καὶ ὁ θάνατος ἐπηκολούθησε κατὰ τὴν αὐτοῦ δικαιοκρισίαν.

A Verum alios agri, nuptiæ, vitæ sollicitudines ab accedendo avertunt quæ omnia quodam modo solvit et amovit a paralytici mente corporis debilitas, et ideo peccatoribus morbus sanitate melior est, eosque ad salutem adjuvat. Naturalis quidem ad malitiam impetus hebetat, peccatorumque vinculo per nequitiam inducto quasi rejecto ad accipiendam primo animæ, deinde corporis salutem disponit, præcipue si ægrotans intelligens sanitatem a Deo esse plagas generose sufferat, cum fide ante Deum procumbat, et bonis operbus misericordiam imploret; quod paralyticus operibus, quibus potuit, ostendit; et Dominus verbis operibusve adfuit, etsi Pharisæi, cum ista mentis oculo cernere non possent, blasphemantes murmurarent. Ait enim B Evangelista : « Cum vidisset Jesus fidem illorum, tam ejus qui jacens ferebatur, quam a tecto dimittentium, dixit paralytico : « Fili, remittuntur tibi peccata tua. » O beata allocutio! filius, audit, et inter filios a Patre cœlesti accipitur, et Deo in quo peccatum non est, adhæret, ipse illico per remissionem peccatorum sine peccato efficitur; atque ut sequatur corporis renovatio, prius anima peccato vitiata renovatur ab eo qui optime noscit quoniam anima a principio in retibus peccati illapsa, morbi corporis, morsque secundum justam ejus sententiam supervenerunt.

Ἀλλ' οἱ Γραμματεῖς ἀκούσαντες, « Διελογίζοντο, φησίν, ἐν ἑαυτοῖς, τί οὗτος λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός; » Ὁ δὲ Κύριος ὡς ποιητὴς τῶν καρδιῶν, καὶ τοὺς ἀφανεῖς τῶν καρδιῶν λογισμοὺς τῶν Γραμματέων ἐπιστάμενος, πρὸς αὐτούς φησι· « Τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν τῷ παραλυτικῷ, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, Ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου καὶ περιπάτει; » Τοῖς Γραμματεῦσιν ἐδόκει ὡς ἀδυνατῶν ὁ Κύριος ἰάσασθαι τὸν παράλυτον, πρὸς τὸ ἀφανὲς κατέφυγε, τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, ἣν λόγῳ μόνῳ εἰπεῖν, καὶ ταῦτα δεσποτικῶς οὕτω καὶ προστακτικῶς βλάσφημον μέν, ἀλλ' εὔκολον καὶ τοῦ βουλομένου παντός. Διὸ καὶ πρὸς αὐτοὺς ὁ Κύριος· Εἰ λόγους ἐβουλόμην λέγειν καινούς, μὴ τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ἔχοντας, ἐπίσης εὔκολον ἦν ἑκάτερον ἔργου φάναι χωρὶς καὶ τὴν ἔγερσιν τοῦ παραλυτικοῦ, καὶ τὴν ἄφεσιν τῶν ἡμαρτημένων αὐτῷ· ἵνα δὲ γνῶτε ὡς οὐκ ἄπρακτός ἐστιν ὁ ἐμὸς λόγος, οὐδ' ὡς ἀδυνατῶν τῆς νόσου τὴν ἴασιν παρασχεῖν, εἰς τὴν ἄφεσιν τῆς ἁμαρτίας κατέφυγον, ἀλλ' ἐξουσίαν ἔχω θεϊκὴν ἐπὶ τῆς γῆς, ὡς Υἱὸς ὁμοούσιος τῷ ἐν τοῖς οὐρανοῖς Πατρί, εἰ καὶ ὁμοούσιος ὑμῖν τοῖς ἀχαρίστοις κατὰ σάρκα γέγονα, τότε λέγει τῷ παραλυτικῷ· « Σοὶ λέγω, ἔγειραι καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου· καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράββατον, ἐξῆλθεν ἐναντίον πάντων. »

C Quibus auditis : « Cogitaverunt Scribæ, inquit, in cordibus suis : Quid hic sic loquitur? blasphemat. Quis potest dimittere peccata, nisi solus Deus? » Dominus autem ut conditor cordium, et occultas in corde Pharisæorum cogitationes cognoscens, ad eos dixit : « Quid ista cogitatis in cordibus vestris? quid est facilius dicere paralytico : Dimittuntur tibi peccata, an dicere : Surge, tolle grabatum tuum et ambula? » Putabant Scribæ Dominum, cum non posset paralyticum sanare, ideo ad occulta confugisse, remissionem scilicet peccatorum, quam uno verbo proferre Domini auctoritate non tantum blasphematorium sed etiam cuicunque, si voluerit, facillimum. Propterea ad eos Dominus : Si verba vellem nova dicere, quæ ab exsecutione non sortirentur effectum D paris erat commodi tam paralytici sanationem quam ejusdem peccatorum remissionem declarare; sed ut sciatis verbum meum non vacuum manere, nec me, quia impossibile est ægris sanitatem reddere, ad remissionem peccatorum confugisse, sed divinam habere potestatem super terram, ut Filium Patri cœlesti consubstantialem, licet vobis etiam ingratis secundum carnem factum consubstantialem, tunc dixit paralytico : « Tibi dico, surge, tolle grabatum tuum, et vade in domum tuam. Et statim surrexit ille, et sublato grabato, abiit coram omnibus. »

Ἀντίκειται καὶ ὁ λόγος καὶ τὸ θαῦμα τοῦτο τοῖς

Quæ verba et miracula simul cum scribarum co-

gitationibus consonat, et ab eis discrepat; nam neminem inter homines a semetipso posse peccata dimittere verum esse demonstrat. Istud autem Pharisæorum falsum et absurdum, infirmum hominem esse Christum, et non Deum omnipotentem. Quod enim nemo vidit, nec audivit, nunc apparuit iste Deus et homo, duplicem habens naturam et operationem, et loquens secundum nos ut homo, faciens vero quæ voluerit solo verbo, unoque jussu ut Deus, et testificans per opera quoniam ipse est a principio, per quem omnia secundum Psalmistam: « Dixit et facta sunt, ipse mandavit, et creata sunt [88]; » ideo verbum ejus statim subsecutus est effectus. Nam extemplo surrexit paralyticus « et, sublato grabato, abiit coram omnibus, ita ut mirarentur omnes. » Equidem offensarum dimissio etiam ab hominibus contra quos offensa fuerit perpetrata, verbo sæpius perficitur; morbum vero, et ita tum jussu soloque verbo fugare solius est Dei. Propterea Evangelista animadvertit dicens: omnes videntes mirari, Deumque honorificare, portenti hujus auctorem, seu potius præclara et mirabilia facientem quorum non est numerus, dicentes: « Quia nunquam sic vidimus. » Hi quidem ita sermone laudem tribuentes, et miraculum majus antecedentibus ostendentes, dicebant: « Nos nunquam sic vidimus. » Nos vero qui talia fari non possumus: vidimus enim multa multumque hoc miraculo majora, non a Christo tantum, sed etiam ab ejus discipulis, posterisque successoribus sola nominis Christi invocatione perfecta; nos ergo, fratres, eum operibus jam nunc honorificemus, hortamentum ad virtutem ab hoc miraculo pia mente percipientes; quicunque enim voluptatibus indulget, paralyticus est, in lecto libidinis jacens, necnon debilitatis qua in eo caro afficitur. Si vero suasus evangelicis adhortationibus propria peccata confessus superaverit debilitatem exinde animæ supervenientem, a quatuor sequentibus ad Dominum fertur suiipsius vituperatione, peccatorum confessione, pollicitatione a malo postea abstinendi, et oratione ad Deum facta. Verum ista ad Deum nequeunt admovere, nisi tectum nudent, tegulas et lutum aliamque materiam dejicientes. Porro tectum in nobis est mentis intelligentia, quia omnibus in nobis præest; hoc vero multam habet superpositam quasi materiam, scilicet ad vitia et ad terrestria propensionem. Igitur quando ista propensio a quatuor prædictis ferentibus, soluta excutitur, tunc vere possumus dimitti, id est, vere humiliari, et provolvi, et ad Deum accedere, necnon ab eo flagitare et consequi sanitatem.

A τῶν Γραμματέων διαλογισμοῖς, ἔστι δ' ὡς καὶ συμφωνεῖ· ὅτι μὲν γὰρ οὐδεὶς ἀνθρώπων παρ' ἑαυτοῦ δύναται ἀφιέναι ἁμαρτίας, ἀληθὲς εἶναι δείκνυσιν. Ἐκεῖνο δὲ τῶν Φαρισαίων ψευδὲς καὶ ἀσύνετον, ὅτι ψιλός ἐστιν ἄνθρωπος ὁ Χριστὸς, ἀλλ' οὐ Θεὸς παντοδύναμος· ὃ γὰρ οὐδέποτέ τις εἶδεν, οὐδὲ ἤκουσε, νῦν ἀνεφάνη Θεὸς καὶ ἄνθρωπος αὐτὸς, διττὴν καὶ τὴν φύσιν ἔχων καὶ τὴν ἐνέργειαν, καὶ λαλῶν μὲν καθ' ἡμᾶς ὡς ἄνθρωπος, ποιῶν δὲ ὅσα θέλει λόγῳ καὶ προστάγματι μόνῳ ὡς Θεός· καὶ διὰ τῶν ἔργων πιστούμενος, ὅτι καὶ τὴν ἀρχὴν αὐτὸς τὰ πάντα κατὰ τὸ ψαλμικόν· « Εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν· » διὸ καὶ νῦν τῷ λόγῳ τούτου παραχρῆμα τὸ ἔργον ἐπηκολούθησεν· ἠγέρθη γὰρ εὐθὺς ὁ παραλυτικὸς, « Καὶ B ἄρας τὸν κράββατον ἐξῆλθεν ἐναντίον πάντων· ὥστε ἐξίστασθαι πάντας. » Ἡ μὲν γὰρ τῶν πταισμάτων ἄφεσις καὶ παρὰ τῶν ἀνθρώπων εἰς οὓς ἄν τις πταίσῃ πολλάκις διὰ λόγου τελεῖται, νόσον δὲ, καὶ ταῦτα τοιαύτην φυγαδεῦσαι προστάγματι καὶ λόγῳ μόνῳ μόνου Θεοῦ. Διὰ τοῦτο καὶ ὁ Εὐαγγελιστὴς ἐπισημαίνεται λέγων ἐκστῆναι πάντας τοὺς ἰδόντας, καὶ δοξάζειν τὸν Θεόν· αὐτὸν πάντως 51 τὸν τοῦ παραδόξου τούτου ποιητὴν, μᾶλλον δὲ τὸν ἔνδοξα ποιοῦντα καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμὸς, λέγοντας· « Ὅτι οὐδέποτε οὕτως εἴδομεν. » Ἀλλ' ἐκεῖνοι μὲν οὕτω λόγῳ τὴν δόξαν ἀποδιδόντες, καὶ τὸ θαῦμα μεῖζον τῶν προγεγονότων ἐπιδεικνύντες, ἔλεγον, Οὐδέποτε οὕτως εἴδομεν. Ἡμεῖς C δὲ οἱ μὴ τοῦτο λέγειν ἔχοντες νῦν· εἴδομεν γὰρ πολλὰ καὶ μείζω τούτου πολλῷ, οὐ παρὰ Χριστοῦ μόνον, ἀλλὰ καὶ τῶν αὐτοῦ μαθητῶν, καὶ τῶν ἑξῆς διαδόχων, καὶ μόνῃ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπικλήσει τελούμενα· ἡμεῖς οὖν, ἀδελφοὶ, δι' ἔργων αὐτὸν ἀρτίως δοξάσωμεν, ὑπόδειγμα πρὸς ἀρετὴν ἀναγωγικῶς καὶ τὸ θαῦμα τοῦτο λαμβάνοντες· ἕκαστος γὰρ τῶν ταῖς ἡδοναῖς προσκειμένων παραλυτός ἐστι τὴν ψυχὴν ἐπὶ κλίνης τῆς ἡδυπαθείας καὶ τῆς ἐν ταύτῃ κατὰ σάρκα δοκούσης ἀνέσεως κείμενος. Ἀλλ' ὅταν πεισθεὶς ταῖς εὐαγγελικαῖς παραινέσεσιν, ἐξομολογούμενος θριαμβεύῃ τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ τὴν ἐντεῦθεν τῆς ψυχῆς αὐτῷ γενομένην παράλυσιν, ὑπὸ τῶν τεσσάρων τούτων αἰρόμενος φέρεται πρὸς τὸν Κύριον, τῆς οἰκείας καταγνώσεως, D τῆς τῶν προημαρτημένων ἐξαγορεύσεως, τῆς εἰς τὸ ἑξῆς πρὸς ἀποχὴν τῶν κακῶν ὑποσχέσεως, καὶ τῆς πρὸς τὸν Θεὸν δεήσεως. Ἀλλ' οὐ δύναται ταῦτα προσεγγίσαι τῷ Θεῷ, ἂν μὴ τὸν ὄροφον ἀποστεγάσωσι, τὰς κεράμους καὶ τὸν χοῦν καὶ τὴν ἄλλην ὕλην διαρρίψαντες. Ὄροφος δέ ἐστιν ἐν ἡμῖν τὸ λογιστικὸν τῆς ψυχῆς, ὡς τῶν ἐν ἡμῖν πάντων ὑπερκείμενον· ἔχει δὲ τοῦτο πολλὴν ὥσπερ ὕλην ἐπικειμένην τὴν πρὸς τὰ πάθη καὶ τὰ γήϊνα σχέσιν. Ὅταν οὖν ἡ σχέσις αὕτη διὰ τῶν προειρημένων τεσσάρων λυθῇ καὶ ἀποτιναχθῇ, τότε ὡς ἀληθῶς δυνάμεθα χαλασθῆναι, τουτέστιν ἀληθῶς ταπεινωθῆναι καὶ προσπεσεῖν καὶ προσεγγίσαι τῷ Κυρίῳ, καὶ αἰτῆσαι καὶ λαβεῖν παρ' αὐτοῦ τὴν ἴασιν.

Sed quando facta sunt ista pœnitentiæ opera? quando venit Jesus in civitatem suam, id est, quando

Γίνεται δὲ ταῦτα τὰ τῆς μετανοίας ἔργα πότε; ὅτε ἦλθεν ὁ Ἰησοῦς ἐπὶ τὴν ἰδίαν πόλιν, τουτέστι

[88] Psal. xxxii, 9.

A μεθὸ διὰ σαρκὸς ἐπεδήμησε τῷ κόσμῳ, ὅς αὐτοῦ ἐστιν ἴδιος ὡς ὑπ' αὐτοῦ κτισθείς, καθάπερ καὶ ὁ Εὐαγγελιστὴς περὶ αὐτοῦ φησιν, ὅτι· «Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ.» Διὸ καὶ ὁ παραλυτικὸς νοῦς μετὰ πίστεως οὕτω προσπεσὼν, τέκνον εὐθὺς ἀκούει παρ' αὐτοῦ, καὶ τὴν ἄφεσιν καὶ τὴν ἴασιν λαμβάνει· καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δύναμιν προσλαμβάνει τὸν κράββατον αἴρειν, καὶ φέρειν ἐφ' ᾧ κατέκειτο. Κράββατον δὲ νοήσεις τὸ σῶμα ᾧ πρόσκειται, καὶ δι' οὗ τῶν ἔργων ἀντέχεται τῆς ἁμαρτίας, ὁ ταῖς σαρκικαῖς ὀρέξεσιν ἑπόμενος νοῦς. Μετὰ δὲ τὴν ἴασιν ἄγων ἐστὶ τὸ σῶμα καὶ φέρων ὡς ὑποχείριον ὁ ἡμέτερος νοῦς, καὶ δι' αὐτοῦ τοὺς καρποὺς καὶ τὰ ἔργα τῆς μετα- B νοίας ἐπιδεικνύμενος, ὡς καὶ τοὺς ὁρῶντας δοξάζειν τὸν Θεὸν, βλέποντας εὐαγγελιστὴν σήμερον τὸν χθὲς τελώνην, ἀπόστολον τὸν διώκτην, θεολόγον τὸν λῃστὴν, υἱὸν τοῦ οὐρανίου Πατρὸς τὸν πρώην τοῖς χοίροις ἐνδιαιτώμενον· εἰ δὲ βούλει, καὶ ἀναβάσεις ἐν καρδίᾳ διατιθέμενον, καὶ πορευόμενον ἀπὸ δόξης εἰς δόξαν, τὸ προκόπτειν ἑκάστης ἡμέρας ἐπὶ τὸ κρεῖττον. Διὸ καὶ ὁ Κύριος πρὸς τοὺς οἰκείους φησίν· «Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.» Τοῦτο δέ φησιν, οὐκ ἐπιδείκνυσθαι κελεύων, ἀλλὰ θεοφιλῶς πολιτεύεσθαι· καθάπερ δὲ τὸ φῶς ἀπραγματεύτως ἐφέλκεται τοὺς ὀφθαλμοὺς τῶν C ὁρώντων, **52** οὕτως ἡ θεοφιλὴς πολιτεία μετὰ τῶν ὀφθαλμῶν ἐπισπᾶται καὶ τὴν διάνοιαν. Καὶ καθάπερ πάλιν ἐπὶ τοῦ ἡλιακοῦ φωτὸς οὐ τὸν μετέχοντα τῆς λαμπρότητος ἐπαινοῦμεν ἀέρα, ἀλλὰ τὸν ἔχοντα καὶ παρέχοντα τὴν αὐγὴν τῆς λαμπρότητος ἥλιον, κἂν τὸν ἀέρα ὡς φωτεινὸν ἐπαινέσωμεν, πόσῳ μᾶλλον τὸν ἥλιον; οὕτω καὶ ἐπὶ τοῦ διὰ τῶν ἔργων τῆς ἀρετῆς ἐπιδεικνυμένου τὴν τοῦ ἡλίου τῆς δικαιοσύνης λαμπρότητα· ἐνάγει γὰρ οὗτος εὐθὺς ὁρώμενος πρὸς τὴν δόξαν τοῦ ἐν οὐρανοῖς Πατρὸς, τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ. Καὶ ἵνα τὰς μείζους τῶν ἀρετῶν παραλείπω νῦν ἐγὼ, ὅταν ἐπὶ τῆς ἱερᾶς ἐκκλησίας σὺν ὑμῖν τῷ Θεῷ παριστάμενος, στραφεὶς ἴδω τοὺς μετὰ συνέσεώς τε καὶ κατανύξεως ἀναπέμποντας τοὺς πρὸς Θεὸν ὕμνους καὶ τὰς δεήσεις, ἢ D σιωπῶντά τινα καὶ σύννουν ἑστῶτα καὶ ἀκροώμενον, καὶ ὑπὸ μόνης τῆς θέας εὐθὺς ἔνθους γίνομαι, καὶ θυμηδίας πληροῦμαι, καὶ δοξάζω τὸν ἐν οὐρανοῖς πατέρα Χριστὸν, οὗ χωρὶς οὐδὲν οὐδεὶς δύναται ποιεῖν τῶν καλῶν, καὶ δι' οὗ πᾶν ἀνθρώποις τὸ κατορθούμενον.

per carnem in mundum peregrinatus est qui proprium ipsius est prædium quia ad ipso factus est, prout Evangelista de ipso dixit: «In propria venit et sui eum non receperunt; quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri, his qui credunt in nomine ejus [37].» Ideo et mens paralytica ita cum fide procumbens statim audit se nomine filii appellari, veniamque simul cum sanitate accipit, et insuper vires quoque capit grabatum tollendi, et auferendi in quo jacebat. Grabatum vero intelliges, corpus in quo jacet, et per quod opera peccati perpetrat qui carnis impetus sequitur animus. Sed post sanationem, non ducit tantum sed etiam tollit corpus quasi instrumentum anima nostra, et ejus ope fructus et opera pœnitentiæ exprimit ita ut videntes Deum glorificent, conspicientes hodie evangelistam qui heri Publicanus, apostolum qui persecutor, theologum qui prædator, filium Patris cœlestis qui pridie cum porcis conversabatur, denique si placuerit, cernentes ascensus in corde disponentem, euntem a gloria in gloriam, singulis diebus in melius procedendo. Propterquod Dominus ad discipulos dixit: «Sic luceat lux vestra coram hominibus, ut videant opera vestra bona et glorificent Patrem vestrum qui in cœlis est [38].» Quæ dixit, non quasi juberet nos instanter, sed pie conversari; sicut lux sine labore oculos intuentium inflectit, ita pia conversatio simul cum oculis mentem pellicit. Rursus quemadmodum de solis lumine non aerem splendoris participem laudamus, imo eum qui fulgoris jubar habet et partitur solem, et si aerem quia lucidus laudaverimus, quanto magis solem? ita de eo qui per opera virtutis manifestat solis justitiæ splendorem; iste enim, statim ac conspectus fuit, adducit ad gloriam Patris qui est in cœlis, solis justitiæ Christi. Et ut majores omittam virtutes, quando in sancta Ecclesia vobiscum Deo adstans, conversus video eos qui cum intelligentia et compunctione hymnos orationesque ad Deum mittunt, vel quemdam in meditatione cordis stantem, necnon in silentio audientem, ad hoc solum spectaculum veluti spiritu Dei afflatus, animoque repletus, glorifico qui in cœlis est Christum Patrem, sine quo nemo quidquam boni potest operari, et per quem hominibus omnia recta prosperaque adveniunt.

Ἀλλὰ τί νῦν ἐροῦμεν πρὸς τοὺς μήτε σιωπῶντας ἑστῶτας, μήτε συμψάλλοντας, ἀλλὰ συντυγχάνοντας ἀλλήλοις, καὶ τὴν λογικὴν ἡμῶν πρὸς τὸν Θεὸν λατρείαν κοσμικῇ τινι λογολεσχίᾳ συμφύροντας, καὶ μήτε αὐτοὺς ἀκούοντας τῶν ἱερῶν καὶ θεοπνεύστων λόγων, καὶ τοὺς θέλοντας ἀκούειν κωλύοντας; Ἕως πότε, ὦ οὗτοι, χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις, ὁ Θεσβίτης ἂν εἶπεν Ἠλίας, ἅμα θέλοντες ἐπὶ προσευχὴν συνεῖναι, καὶ λόγους ἀκαίρους τε

Sed quid dicimus ad eos qui neque in silentio adstant, neque psallunt, sed inter se confabulantur, et spirituali nostræ ad Deum adorationi mundanam commiscent loquacitatem; qui non solum non audiunt sacros sermones divino spiritu inspiratos, sed etiam eos qui audire volunt cohibent? Usquequo, qui tales estis, claudicatis in duas partes? Thesbites dixisset Helias, qui simul vultis orationi et importunis terrenisque sermonibus indulgere, qui nedum

[37] Joan. I, 11. [38] Matth. V, 16.

Digitized by Google

alterum, ut fas est, ædificetis, alia ab aliis evertitis, seu potius invicem evertimini? Usquequo ab istis vanitatis verbis non abstinebitis, sed domum orationis domum mercationis, et turbarum facietis? domum in qua verba vitæ æternæ audiuntur tum ex nobis qui a Deo cum spe inconfusibili vitam poscimus æternam, tum a parte Dei largientis eis qui ex tota anima et tota mente illum obsecrantur, non autem iis qui, ut ita loquar, non totam linguam ad orationem convertunt. Non per ignem nunc a nobis, fratres, sicut a Moyse, ad Deum sacrificium, sed per verbum offertur. Tunc etiam Deus quidem sacrificium igne oblatum accepit, ignem vero extraneum afferentes, qui cum Core adversus Moysen insurrexerunt, igne sacro sponte in ipsos erumpente, consumpti sunt.

A καὶ γηΐνους, καὶ μηδ' ἕτερον ὡς εἰκὸς κατορθοῦντες, ἀλλὰ δι' ἀλλήλων συμφθείροντες ἄλληλα, μᾶλλον δὲ αὐτοὶ δι' ἀλλήλων φθειρόμενοι; Ἕως πότε κἀνταῦθα τῶν ῥημάτων τῆς ματαιότητος οὐκ ἀφέξεσθε, ἀλλὰ τὸν οἶκον τῆς προσευχῆς οἶκον ἐμπορείας, ἢ ἐμπαθείας λόγον ποιήσετε; οἶκον ἐν ᾧ ῥήματα ζωῆς αἰωνίου καὶ λέγεται καὶ ἀκούεται· τὰ μὲν παρ' ἡμῶν, αἰτούντων παρὰ Θεοῦ μετ' ἐλπίδος ἀκαταισχύντου τὴν ζωὴν τὴν αἰώνιον, τὰ δὲ παρὰ τοῦ Θεοῦ, διδόντος τοῖς ἐξ ὅλης τῆς ψυχῆς καὶ διανοίας αἰτοῦσιν αὐτὴν, ἀλλ' οὐχὶ τοῖς μηδὲ τὴν γλῶσσαν ὡς εἰπεῖν ὅλην πρὸς τὴν αἴτησιν στρέφουσιν. Οὐ διὰ πυρὸς νῦν ἡμῖν ἡ θυσία πρὸς τὸν Θεὸν, ἀδελφοὶ, καθάπερ ἐπὶ Μωσέως, ἀλλὰ διὰ λόγου τελεῖται. Τότε τοίνυν ἡνίκα πυρὶ τὴν θυσίαν ἀναφερομένην ὁ Θεὸς ἐδέ- B χετο, πῦρ προσενεγκόντες ἀλλότριον ἔξωθεν οἱ μετὰ Κορὲ κατὰ Μωσέως ἐπαναστάντες ὑπὸ τοῦ ἱεροῦ πυρὸς αὐτομάτως ἐφορμήσαντος αὐτοῖς κατεφλέχθησαν.

Timeamus et nos ne alienos sermones in istud spirituale Dei thuribulum, Ecclesiam dico, inferentes, ab ipsis Dei sermonibus damnemur, nosmetipsos horrendæ sententiæ damnationisque reos efficientes. Amen, obsecro, timeamus, et usquedum Deo cum metu assistamus, orationes offeramus. Hinc autem egressi ostendamus nostram in melius morum conversionem, lucris, maxime injustis, nequaquam devicti; juramenta, præsertim de mendacio, fugientes; a turpibus verbis abstinentes, quanto magis a probrosis operibus, a maledictione, a dolo, a superbia; omne membrum, sensum omnem secundum divinam temperantiam moderantes, necnon verbo metuque divino corpus ferentes seu magis attollentes, minime vero corporis titillationibus ad pravas turpesque concupiscentias abjecti et humiliati, a Paulo discentes et cognoscentes quoniam, si secundum carnem vivamus, moriemur, si vero spiritu opera carnis mortificaverimus, in sæcula vivemus. Inde ad gloriam Dei omnes qui non conspicient, adducemus, qui noscent domum istam Christum in suis adytis ferre, a quo spiritualis exstinguitur debilitatio, qui jubet sensus perceptionesque corporis ad ipsum spiritali piaque discretione ferre et attollere, non autem ab eis stulte ferri et dimitti, qua via ascendamus ad veram domum nostram, cœlestem dico et supernam regionem ubi regnat Christus hæres et testator noster, cui gloria, virtus, honor et adoratio cum æterno ejus Patre necnon sanctissimo bonoque et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

Φοβηθῶμεν δὴ καὶ ἡμεῖς, μὴ λόγους ἔξωθεν ἀλλοτρίους τῷ λογικῷ τούτῳ τοῦ Θεοῦ θυσιαστηρίῳ, τῇ Ἐκκλησίᾳ λέγω, προσάγοντες ὑπὸ τῶν ἐν αὐτῇ θείων λόγων εἰς τέλος κατακριθῶμεν, τῆς ἀπευκταίας φωνῆς καὶ καταδίκης ἑαυτοὺς ἀξίους ἐντεῦθεν ἀπεργασάμενοι. Ναὶ φοβηθῶμεν, παρακαλῶ, καὶ μέχρις ἂν ὦμεν ἐνταῦθα μετὰ φόβου τῷ Θεῷ παριστάμενοι τὴν ἱκεσίαν προσάγωμεν· ἐξελθόντες δὲ τῶν ὧδε, τὴν ἐντεῦθεν ἐπὶ τὸ κρεῖττον τῶν τρόπων μεταβολὴν ἐνδειξώμεθα, κερδῶν οὐχ ἡττώμενοι, καὶ μάλιστα τῶν ἀδίκων· ὅρκους φεύγοντες, καὶ μάλιστα τοὺς ἐπὶ ψεύδει· αἰσχρῶν ἀπεχόμενοι ῥημάτων, C πόσῳ δὴ μᾶλλον τῶν κατὰ ταῦτα πραγμάτων, καταλαλιᾶς, δόλου, μεγαλαυχίας· πᾶν μέλος, πᾶσαν αἴσθησιν νῷ παιδαγωγοῦντες θεόφρονι, καὶ φέροντες σὺν λόγῳ καὶ φόβῳ θείῳ τὸ σῶμα καὶ ἀναφέροντες, ἀλλ' οὐχ ὑπὸ τοῦ σώματος πρὸς τὰς αὐτοῦ χαμερπεῖς καὶ βδελυρὰς ὀρέξεις καταφερόμενοί τε καὶ κατεχόμενοι, παρὰ τοῦ Παύλου μαθόντες τε καὶ γινώσκοντες, ὡς εἰ μὲν κατὰ σάρκα ζῶμεν, μέλλομεν ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος **53** θανατοῦμεν, εἰς αἰῶνας ζησώμεθα. Καὶ νῦν πρὸς δόξαν Θεοῦ κινήσωμεν πάντας τοὺς ὁρῶντας ἡμᾶς, ἐπιγνόντας ὡς ὁ οἶκος οὗτος τὸν Χριστὸν ἐν ἑαυτῷ φέρει, τοὺς κατὰ ψυχὴν παραλύτους σφίγγοντα καὶ κελεύοντα τὰς σωματικὰς αἰσθήσεις καὶ ἀντιλήψεις πνευματικῇ καὶ θεοφιλεῖ διανοίᾳ D πρὸς αὐτὸν αἴρειν τε καὶ ἀνάγειν, ἀλλ' οὐχ ὑπ' αὐτῶν ἀσυνέτως φέρεσθαί τε καὶ καταφέρεσθαι· καὶ οὕτως ὑπάγειν εἰς τὸν ὄντως ἡμέτερον οἶκον, τὸν οὐρανὸν λέγω καὶ τὸν ὑπερουράνιον χῶρον, ἔνθα νῦν Χριστὸς ὁ κληρονόμος καὶ κληροδότης ἡμῶν· ᾧ πρέπει δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XI.

### *In gloriosam ac vivificam crucem Domini Nostri Jesu Christi.*

Crux Christi ab antiquis generationibus mystice fuit prænuntiata, et præfigurata; et nemo unquam

## ΟΜΙΛΙΑ ΙΑ' (1).

### *Εἰς τὸν τίμιον καὶ ζωοποιὸν Σταυρόν.*

Ὁ τοῦ Χριστοῦ σταυρὸς προανεκηρύττετο καὶ προετυποῦτο μυστικῶς ἐκ γενεῶν ἀρχαίων, καὶ οὐ-

(1) Hanc cum sequenti primus edidit Chr Frid. Matthæius, p. 22 et 60.

Digitized by Google

δεὶς ποτε κατηλλάγη τῷ Θεῷ χωρὶς τῆς τοῦ σταυροῦ δυνάμεως· μετὰ γὰρ τὴν προγονικὴν ἐκείνην ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ διὰ τοῦ ξύλου παράβασιν ἡ μὲν ἁμαρτία ἀνέζησεν, ἡμεῖς δὲ ἀπεθάνομεν καὶ πρὸ τοῦ σωματικοῦ θανάτου τὸν τῆς ψυχῆς ὑποστάντες θάνατον, ὅς ἐστιν ὁ ἀπὸ τοῦ Θεοῦ ταύτης χωρισμός· ὃ δὲ ἐζῶμεν μετὰ τὴν παράβασιν, τῇ ἁμαρτίᾳ ἐζῶμεν, καὶ τῇ κατὰ σάρκα ζωῇ· ἡ δὲ ἁμαρτία τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται, καὶ οἱ ἐν σαρκὶ ζῶντες Θεῷ ἀρέσαι οὐ δύνανται. Ἐπεὶ τοίνυν, ὡς καὶ ὁ Ἀπόστολός φησιν, « Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός· » ὁ δὲ Θεὸς πνεῦμά ἐστι, καὶ αὐτοαγαθότης καὶ ἀρετή, καὶ τούτου κατ' εἰκόνα καὶ ὁμοίωσιν τὸ πνεῦμά ἐστι τὸ ἡμέτερον, καθ' ἃ καὶ διὰ τῆς ἁμαρτίας ἠχρείωται, πῶς ἦν δυνατὸν ἀνανεωθῆναί τινα τῶν ἁπάντων καὶ φιλιωθῆναι τῷ Θεῷ ἐν πνεύματι μὴ καταργηθείσης τῆς ἁμαρτίας καὶ τῆς κατὰ σάρκα ζωῆς; Τοῦτο δέ ἐστιν ὁ τοῦ Χριστοῦ σταυρὸς, ἡ τῆς ἁμαρτίας κατάργησις. Διὸ καί τις τῶν θεοφόρων ἡμῶν Πατέρων ἐρωτηθεὶς παρά τινος τῶν ἀπίστων, εἴπερ εἰς τὸν ἐσταυρωμένον πιστεύει, Ναί, φησὶν, εἰς τὸν τὴν ἁμαρτίαν σταυρώσαντα. Φίλοι δὲ Θεοῦ πολλοὶ τῶν πρὸ νόμου καὶ μετὰ νόμον, μήπω τοῦ σταυροῦ φανέντος, ὑπ' αὐτοῦ τοῦ Θεοῦ μεμαρτύρηνται, καὶ ὁ βασιλεὺς καὶ προφήτης Δαβὶδ, ὡς πάντως ὄντων τότε τῷ Θεῷ φίλων, « Ἐμοὶ δὲ, φησὶ, λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός. » Πῶς οὖν εἰσιν οἱ πρὸ τοῦ σταυροῦ φίλοι τοῦ Θεοῦ ἐχρημάτισαν; ἐγὼ ὑμῖν ὑποδείξω, ἐάν μοι φιλόθεον καὶ φιλήκοον οὖς ὑπόσχητε.

Ὥσπερ μήπω παραγενομένου τοῦ ἀνθρώπου τῆς 34 ἁμαρτίας, τοῦ υἱοῦ τῆς ἀνομίας, τοῦ Ἀντιχρίστου λέγω, ὁ ἠγαπημένος τῷ Χριστῷ φησι Θεολόγος· « Καὶ νῦν, ἀγαπητοὶ, ὁ Ἀντίχριστός ἐστιν· » οὕτω καὶ ὁ σταυρὸς ἦν ἐν τοῖς προγενεστέροις καὶ πρὸ τοῦ τελεσθῆναι· ὁ γὰρ μέγας Παῦλος σαφέστερον ἡμᾶς διδάσκων, πῶς καὶ μήπω παραγενόμενος ἐν ἡμῖν ἐστιν ὁ Ἀντίχριστος, φησίν· « Ὅτι τὸ μυστήριον αὐτοῦ ἐνεργεῖται ἐν ἡμῖν. » Οὕτω δὴ καὶ ὁ σταυρὸς τοῦ Χριστοῦ μήπω γεγονὼς ἐν τοῖς προπάτορσιν ἦν· τὸ γὰρ μυστήριον αὐτοῦ ἐνηργεῖτο ἐν αὐτοῖς· καὶ ἵνα νῦν ἀφῶ τὸν Ἄβελ, τὸν Σὴθ, τὸν Ἐνὼς, τὸν Ἐνὼχ, Νῶε τε καὶ τοὺς μέχρι Νῶε τῷ Θεῷ εὐηρεστηκότας, καὶ εἴ τις ἐγγὺς μετ' αὐτοὺς, ἄρξομαι δὲ ἀπὸ Ἀβραὰμ, ὃς πατὴρ ἐχρημάτισε πολλῶν ἐθνῶν, τῶν μὲν Ἰουδαίων ἐκ σαρκὸς, ἡμῶν δὲ ἐκ πίστεως. Ἵν' οὖν ἐκ τούτου τοῦ κατὰ πνεῦμα πατρὸς ἡμῶν ἄρξωμαι καὶ αὐτῆς τῆς κατ' αὐτὸν ἀγαθοῦ ἀρχῆς καὶ τῆς πρώτης παρὰ Θεοῦ κλήσεως, τίνα πρώτην ἀφῆκε φωνὴν πρὸς αὐτὸν λαλήσας ὁ Θεός; « Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω. » Τὸ γοῦν μυστήριον τοῦ σταυροῦ ἐν ἑαυτῇ φέρει αὕτη ἡ φωνή· τοῦτο γάρ ἐστιν ἄντικρυς ὁ Παῦλος ὁ καυχώμενος ἐν τῷ σταυρῷ λέγει ὅτι· « Ἐμοὶ ὁ κόσμος ἐσταύρωται. » Κατὰ γὰρ τὸν φυγόντα τὴν πατρίδα

A In gratiam Dei rediit nisi per virtutem crucis. Post originalem illam in paradiso Dei per lignum transgressionem revixit quidem peccatum, nos autem mortui sumus, animæ prius quam corporis mortem subeuntes, quæ est animæ aversio a Deo. Quod si adhuc post prævaricationem viximus non nisi peccati et carnis vita eramus viri; peccatum autem legi Dei non subjacet; non enim potest: sic et viventes secundum carnem Deo placere non possunt. Nam cum, ut dicit Apostolus [36], caro concupiscit adversus spiritum, et spiritus adversus carnem, Deusque sit spiritus et ipsa bonitas ipsaque virtus, anima autem nostra ad ejus similitudinem facta vitietur per peccatum, quomodo fieri posset ut quis ex omnibus B renovetur et in spiritu Dei amicitiam recuperet, nondum deletis peccato et carnali conversatione? Hoc fuit opus crucis Christi, in qua reperitur peccati abolitio. Quamobrem unus ex nostris Patribus Dei spiritu plenis ab infideli quodam interrogatus an crederet in Crucifixum: Certo, inquit, credo in eum qui peccatum crucifixit. Amici quidem Dei, quorum non parvus erat numerus tum ante tum post legem, cruce nondum manifestata ab ipso Deo acceperunt testimonium, et David propheta et rex qui sane e Dei amicis tum temporis erat «Mihi autem, ait, nimis honorificati sunt amici tui, Deus [37]. » Quomodo ergo esse poterunt qui ante crucem Dei amici vocarentur? En ego vobis indicabo, si mentem piam et obedientem mihi præ-C beatis.

Quem ad modum, ubi ante adventum hominis peccati, filii iniquitatis, nempe Antichristo inquam dilectus Christo Theologus ait: « Charissimi, jam nunc Antichristus venit, » et crux erat apud priscos multo prius quam compleretur. Magnus enim Paulus diserte nos docens quomodo nondum ad nos advenit Antichristus, dicit tamen quod ejus mysterium jam operatur in nobis; ita quoque licet nondum fulgeret crux Christi, tamen apud proavos erat; ejus enim mysterium jam in ipsis perficiebatur. Omissis enim Abel, Seth, Enos, Henoch, Noe et patribus usque ad Noe et si alii qui Deo placuerunt, incipiam ab Abraham qui appellatus fuit pater D multarum gentium, Judæorum quidem ex carne, noster autem ex fide. Agedum, ab isto patre nostro spirituali et ab ejus piæ conversationis principio, ab ejus prima a Deo vocatione incipiam: quamnam primam vocem protulit Deus eum affatus: « Egredere de terra tua, et de cognatione tua, et veni in terram quam monstrabo tibi. » Porro talis loquela secum fert crucis mysterium. Quod aperte ostendit Paulus qui in cruce gloriabatur dicens: « Mihi mundus crucifixus est [38]. » Qui enim fugit patriam et mundum in perpetuum, illi patria secundum carnem et mundus interremptus est et abolitus: hoc autem est vera crux.

[36] Galat. v, 17. [37] Psal. CXXXVIII, 17. [38] Galat. vi 14.

Digitized by Google

ἢ τὸν κόσμον ἀμεταστρεπτὶ, ᾗ κατὰ σάρκα πατρὶς καὶ ὁ κόσμος ἐνεκρώθη καὶ κατήργηται· καί τοῦτό ἐστιν ὁ σταυρός.

Ad Abraham, autem priusquam impiorum societatem fugisset: Egredere, ait Deus, de terra, et de cognatione tua, et vade in terram non quidem in terram quam tibi dedero, sed quam tibi monstravero. Ad Moysen autem, postquam fugisset ex Ægypto montemque ascendisset, quid dixit primo facta ad eum vox Dei? « Solve calceamenta pedum tuorum. » Aliud hoc est crucis mysterium prius arctissime subsequens. Quamvis, ait, ex Ægypto exivisti, Pharaonis obsequio renuntiasti, Pharaonis filiæ filius vocari parvi fecisti, et quantum in te erat, mundus perversi famulatus solutus fuit et evacuatus, sed adhuc oportet te ad hæc addere, quid ergo? Solve calceamenta pedum tuorum; relinque pellicea quibus indutus es vestimenta, quæ operantur peccatum et te a terræ sancta arcent. Solve ergo ista pedum tuorum calceamenta, hoc est: noli amplius secundum carnem in peccato vivere; destruatur et interimatur vita Deo adversa, necnon cogitationes carnis, et lex in membris pollens, quæ repugnat legi mentis et captivat nos in lege peccati, jam non vigeat, nec operetur, virtute Dei visionis interfecta. Nonne hoc crucem dixeris? Crux est enim, ut secundum divum Paulum loquar [39-40], crucifigere carnem suam cum vitiis et concupiscentiis.

A Ἀλλὰ πρὸς μὲν τὸν Ἀβραὰμ μήπω φυγόντα τὴν μετὰ τῶν ἀθέων συναυλίαν, Ἔξελθε, φησὶν, ἐκ τῆς γῆς σου, καὶ δεῦρο εἰς γῆν, οὐχ ἣν ἂν σοι δώσω, ἀλλ' ἣν ἂν σοι δείξω, ὡς δι' ἐκείνης ἄλλης γῆς πνευματικῆς δεικνυμένης. Πρὸς δὲ τὸν Μωϋσέα, μετὰ τὸ φυγεῖν τὴν Αἴγυπτον, καὶ τὸ ὄρος ἀναβῆναι, τί φησιν ἡ πρὸς αὐτὸν πρώτη τοῦ Θεοῦ φωνή; « Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου. » Ἄλλο τοῦτο τοῦ σταυροῦ μυστήριον, τῷ προτέρῳ προσφυῶς ἑπόμενον. Εἰ γὰρ καὶ τῆς Αἰγύπτου, φησὶν, ἐξῆλθες, καὶ τὴν Φαραὼ θεραπείαν ἀφῆκας, καὶ τὸ καλεῖσθαι υἱὸς τῆς θυγατρὸς Φαραὼ παρεῖδες, καὶ ὅσον τὸ εἰς σὲ ἧκον ὁ κόσμος ἐκεῖνος τῆς πονηρᾶς θεραπείας ἐλύθη καὶ κατήργηται, ἀλλὰ δεῖ σε καὶ B προσθεῖναι, τί τοῦτο; Λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ἀποθέσθαι τοὺς δερματίνους χιτῶνας οὓς ἐνέδυσας, καὶ ἐν οἷς ἐνεργεῖ ἡ ἁμαρτία, καὶ τῆς ἁγίας ἀποδιαστέλλει γῆς. Λῦσαι οὖν τοῦτο τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ταυτὸν δὲ εἰπεῖν, μηκέτι κατὰ σάρκα καὶ τῇ ἁμαρτίᾳ ζῆθι, ἀλλὰ καταργηθήτω καὶ νεκρωθήτω ἡ ἀντικειμένη τῷ Θεῷ ζωὴ καὶ τὸ φρόνημα τῆς σαρκὸς, καὶ ὁ ἐν τοῖς μέλεσι νόμος, ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς, καὶ αἰχμαλωτίζων τῷ νόμῳ τῆς ἁμαρτίας, μηκέτι ἐπικρατείτω, μηδὲ ἐνεργείτω, τῇ δυνάμει τῆς θεοπτίας νεκρούμενος. Ἆρ' οὐ τοῦτό ἐστιν ὁ σταυρός; Σταυρὸς γάρ ἐστι πάλιν κατὰ τὸν θεῖον Παῦλον εἰπεῖν, τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

Dixit ergo Deus, « Solve calceamenta pedum tuorum: nam terra in qua stas, terra sancta est [41]. » Pandebat Moysi iste sermo per crucem in terra sanctificationem post manifestationem Domini et Dei et Salvatoris nostri Jesu Christi futuram. Tunc enim Moyses futuram Christi præsentiam prævidit, quando conspexit illud rubi in igne rorescentis admirabile spectaculum. Nihilo minus rerum divinarum contemplatio crucis etiam est mysterium, priori illo mysterio majus. Ambo enim ista mysteria declarant, et magnus Paulus, et divi Patres nostri: ille quidem non dicens tantum: Mundus mihi crucifixus est, sed et adjiciens: Et ego mundo; hi vero dum nos monent ne in crucem pro cruce ascendere festinemus; quæ ambo sunt utraque crucis sermones et mysteria. Igitur juxta prius crucis mysterium, quod nihil est aliud ac fuga mundi, a parentibus carnalibus separatio, siquidem pietatem et religiosam impediunt conversationem et corporis exercitatio, quæ, ut ait Paulus, parum prodest, per hæc, inquam, mundus nobis crucifixus est sicut et peccatum, cum ista sic effugiamus. Secundum posterius crucis mysterium nosmetipsi crucifixi sumus mundo et ejus cupiditatibus, cum ista nos effugiant. Non possunt illa omnino nos fugere nec in nobis rationaliter operari, nisi Deum contemplemur. Nam quando virtutis exercitio ad istam contemplationem accedimus, quando interiorem

Λῦσαι οὖν, φησὶ, τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ἡ γὰρ γῆ ἐφ' ἣν σὺ ἕστηκας γῆ ἁγία ἐστίν· ἐδήλου δὲ αὐτῷ ὁ λόγος τὸν μετὰ τὴν ἐπιφάνειαν τοῦ Κυρίου C καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μέλλοντα ἐπὶ τῆς γῆς διὰ τοῦ σταυροῦ ἔσεσθαι ἁγιασμόν· τότε γὰρ ὁ Μωϋσῆς τὴν τότε μέλλουσαν παρουσίαν τοῦ Χριστοῦ προεώρα, πρὸς τὸ μέγα θέαμα ἐκεῖνο βλέπων, τὴν ἐν πυρὶ δροσιζομένην βάτον· ὥστε καὶ ἡ ἐν Θεῷ θεωρία τοῦ σταυροῦ μυστήριόν ἐστι, τοῦ προτέρου ἐκείνου μυστηρίου μεῖζον. Δύο γὰρ εἶναι ταῦτα καὶ ὁ μέγας Παῦλος καὶ οἱ θεῖοι 55 Πατέρες ἡμῶν αἰνίττονται· ὁ μὲν μὴ μόνον λέγων, ὅτι Ὁ κόσμος ἐμοὶ ἐσταύρωται, ἀλλὰ προστιθεὶς, ὅτι Κἀγὼ τῷ κόσμῳ· οἱ δὲ, παραγγέλλοντες ἡμῖν μὴ σπεύδειν ἀναβαίνειν ἐπὶ τὸν σταυρὸν πρὸ τοῦ σταυροῦ, ὡς δύο πάντως ὄντων τῶν λόγων καὶ τῶν μυστηρίων τοῦ σταυροῦ. Κατὰ μὲν οὖν τὸ πρῶτον τοῦ σταυροῦ μυστήριον, ὅπερ ἐστὶν ἡ φυγὴ D τοῦ κόσμου καὶ ἡ τῶν κατὰ σάρκα συγγενῶν διάζευξις, εἴπερ πρὸς εὐσέβειαν καὶ τὸν κατ' αὐτὴν ἐμποδίζουσι βίον, καὶ ἡ σωματικὴ ἐργασία, ἣν καὶ πρὸς ὀλίγον ὠφέλιμον εἶναί φησιν ὁ Παῦλος. Κατὰ ταῦτα γοῦν ὁ κόσμος ἡμῖν σταυροῦται καὶ ἡ ἁμαρτία, φυγόντων ἡμῶν ἐκ τούτων. Κατὰ δὲ τὸ δεύτερον τοῦ σταυροῦ μυστήριον, ἡμεῖς σταυρούμεθα τῷ κόσμῳ καὶ τοῖς πάθεσιν, αὐτῶν φευγόντων ἐξ ἡμῶν. Οὐκ ἔνι δὲ τελείως ἐξ ἡμῶν αὐτὰ φυγεῖν, μὴ ἐν ἡμῖν ἐνεργεῖν λογιστικῶς, ἂν μὴ ἐν

[39-40] Galat. v, 24. [41] Exod. III, 5.

Digitized by Google

θεωρίᾳ τοῦ Θεοῦ γενώμεθα· ὅταν γὰρ διὰ τῆς A πρακτικῆς προσδῶμεν τῇ θεωρίᾳ, καὶ τὸν ἐντὸς ἡμῶν ἄνθρωπον καλλιεργῶμεν καὶ ἀνακαθαίρωμεν, ἀναζητοῦντες τὸν ἡμῖν αὐτοῖς κεκρυμμένον θεῖον θησαυρὸν, καὶ ἀναθεωροῦντες τὴν ἐντὸς ἡμῶν οὖσαν βασιλείαν τοῦ Θεοῦ, τότε ἡμεῖς σταυρούμεθα τῷ κόσμῳ καὶ τοῖς πάθεσι. Θέρμη γάρ τις ἐγγίνεται τῇ καρδίᾳ διὰ τῆς μελέτης ταύτης, ὡς μυίας τοὺς πονηροὺς ἀποσοβοῦσα λογισμοὺς, καὶ πνευματικὴν εἰρήνην καὶ παράκλησιν ἐμποιοῦσα τῇ ψυχῇ, καὶ τὸν ἁγιασμὸν τῷ σώματι παρέχουσα, κατὰ τὸν εἰπόντα· « Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. » Καὶ τοῦτό ἐστιν, ὃ καί τις τῶν θεοφόρων ἡμῶν Πατέρων ἐδίδαξεν ἡμᾶς λέγων· Πᾶσάν σου σπουδὴν ποίησον, ἵνα ἡ ἔνδον σου ἐργασία κατὰ Θεὸν ᾖ, καὶ νικήσεις B τὰ ἔξω πάθη. Πρὸς τοῦτο καὶ ὁ μέγας Παῦλος ἡμᾶς προτρεπόμενος, « Πνεύματι περιπατεῖτε, φησὶ, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. » Διὸ καὶ ἀλλαχοῦ παραγγέλλει γράφων· « Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, » ὡς τοῦ θεωρητικοῦ τὸ ἐπιθυμητικὸν ἐπιῤῥωννύντος καὶ περιέποντος, καὶ τὰς σαρκικὰς ἐπιθυμίας ἀποσοβοῦντος· ὁ γὰρ μέγας Πέτρος ἡμῖν ὑποδείκνυσιν ἐμφανέστερον, τίς ἡ ὀσφὺς αὕτη, καὶ τίς ἡ ἀλήθεια. « Ἀναζωσάμενοι γὰρ, φησὶ, τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες τελείως, ἐλπίσατε ἐπὶ τὴν ἐπιφερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. »

Ἐπεὶ τοίνυν τὰ πονηρὰ πάθη καὶ τὸν κόσμον τῆς ἁμαρτίας οὐκ ἔνι τελείως ἐξ ἡμῶν φυγεῖν, καὶ μὴ ἐν ἡμῖν ἐνεργεῖν λογιστικῶς, εἰ μὴ ἐν θεωρίᾳ τοῦ Θεοῦ γενοίμεθα, διὰ τοῦτο σταυροῦ μυστήριόν C ἐστι καὶ ἡ τοιαύτη θεωρία, σταυροῦσα τῷ κόσμῳ τοὺς ἑαυτῆς ἠξιωμένους. Οὕτως οὖν καὶ ἡ κατὰ Μωϋσῆν ἐκείνη τῆς καιομένης βάτου θεωρία σταυροῦ μυστήριον ἦν, τοῦ κατὰ τὸν Ἀβραὰμ ἐκείνου μυστηρίου μεῖζον καὶ τελειότερον. Ἆρ' οὖν Μωϋσῆς μὲν ἐμυήθη τὸ τοῦ σταυροῦ τελειότερον μυστήριον, Ἀβραὰμ δὲ οὔ; Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Ἀλλὰ τότε μὲν ἐπ' αὐτῇ τῇ κλήσει μεμύηται· ὕστερον δὲ μετὰ τὴν κλῆσιν καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, κἂν ἡμῖν ἀρτίως ὁ καιρὸς περὶ πάντων λέγειν οὐ δίδωσιν. Ἐγὼ δὲ ὑμῖν τῆς θαυμασιωτέρας ὑπομνήσω τούτου θεοπτίας, ὅτε καὶ τὸν ἕνα Θεὸν σαφῶς τρισυπόστατον ἐθεάσατο, μήπω κηρυττόμενον οὕτως· « Ὤφθη γὰρ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ· καὶ ἀναβλέψας, εἶδε· καὶ ἰδοὺ τρεῖς ἄνδρες, καὶ προσέδραμεν αὐτοῖς. » Ἰδοὺ τὸν ὀφθέντα ἕνα Θεὸν τρεῖς D ἑώρα. Ὤφθη γὰρ αὐτῷ, φησὶν, ὁ Θεός· καὶ ἰδοὺ τρεῖς ἄνδρες, καὶ τοῖς τρισὶ προσδραμὼν αὖθις, ὡς **56** ἑνὶ ὡμίλει, λέγων· « Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μὴ παρέλθῃς τὸν παῖδά σου. » Καὶ αὐτοὶ δὲ οἱ τρεῖς ὡς εἷς ὄντες, πρὸς αὐτὸν διαλέγονται. Εἶπε γὰρ, φησὶ, πρὸς Ἀβραάμ· Ποῦ Σάῤῥα ἡ γυνή σου; Ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου. » Ὡς δὲ ἀκούσασα ἡ γραῦς ἐγέλασε Σάῤῥα, « Εἶπε Κύριος, Τί ὅτι ἐγέλασε Σάῤῥα ἡ γυνή σου;

hominem adornamus emundatum, scrutantes divinum thesaurum in nobismetipsis absconditum et intuentes regnum Dei quod intra nos est, tunc vere mundo et ejus cupiditatibus crucifixi sumus. Namque fervor quidam per meditationem in corde æstuat, quo ut muscas cogitationes pravas expellit unde pax et consolatio spiritualis animæ infunditur et corpus sanctificationis particeps efficitur, sicut ait Psalmita: « Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis. » Hoc est quod docuit nos unus ex Patribus divina mente repletis dicens: Omni studio incumbe ut interior tua exercitatio sit secundum Deum, et superabis cupiditates forinsecus urgentes. Insuper magnus Paulus ad nos conversus: « Spiritu, inquit, ambulate, et desideria carnis ne perficiatis [42]. » Propterea etiam alibi nos admonet scribens: « State ergo succincti lumbos vestros in veritate [43], » quia meditatione veritatis bona desideria roborata coluntur, carnisque concupiscentiæ reprimuntur. Quæ magnus Petrus nobis lucidius exponit ostendens quinam sint hi lumbi, quænam veritas; « Succinctis, ait, lumbis mentis vestræ, jejunantes perfecte sperate in eam quæ offertur vobis gratiam in revelationem Jesu Christi [44]. »

Cum igitur perversæ cogitationes necnon mundus peccati non possunt a nobis omnino abscedere, nec ullo modo in nobis operari, nisi Dei contemplationi vacemus, proinde mysterium crucis vocabo talem meditationem, qua mundo crucifiguntur qui digni sunt habiti. Sic porro illa qua Moyses fuit dignus habitus rubi ardentis nec tamen combusti visio nihil aliud erat quam ipsum crucis mysterium, supra indicatum, eo quo Abraham potitus est mysterio longe majus et perfectius. Numquid ergo Moyses plenius quem Abraham fuit crucis mysterio initiatus? Quonam ista argumento nituntur? Equidem per priorem suam vocationem Abraham non fuit initiatus; post vocationem autem non semel aut bis, sed multoties ita ut tempus nobis de omnibus disserere non suppeteret. Ego vero vobis revocabo in memoriam visionem illam qua in tribus personis mysterium nondum clare manifestatum conspexit. Deus enim ei apparuit in convalle Mambre: «Cum elevans oculos vidit, et ecce tres viri, et cucurrit in occursum eorum. » Ecce unus apparet Deus et tres vidit; nam ait Scriptura: « Apparuit ei Deus, et ecce tres viri, et tribus illico occurrens quasi cum uno colloquitur dicens: Domine, si inveni gratiam in oculis tuis, ne transeas servum tuum. » Ipsi autem tres quasi unus ad eum colloquuntur. Dixit enim, ut fertur, ad Abraham: Ubi est Sara uxor tua? Revertens veniam ad te hoc eodem tempore, post annum, et habebit filium Sara uxor tua. » Ecce unus Deus, et tres personæ, et

[42] Galat. v, 16. [43] Ephes. vi, 14. [44] I Petr. i, 13.

Digitized by Google

ipsæ tres unus Dominus, nam scriptum est: « Dixit Dominus [45]. »

Et sic Abraham crucis mysterio fuit initiatus. Ipse vero Isaac ejus cujus necem significabat erat figura, usque ad mortem sicut et Christus patri obediens factus; suffectusque in ejus locum aries ipsum Dei agnum pro nobis in occisionem traditum repræsentabat, et vepres inter quas cornibus hærebat aries, typus erant crucis mysterii. Quamobrem arbustum illud Sabech, hoc est arbor remissionis vocabatur, sicut crux lignum redemptionis. In Jacob etiam Isaaci filio relucet crucis mysterium; nam ligno et aqua greges suos multiplicavit. Lignum igitur crucem præfigurabat, aqua autem divinum baptisma, quod in se continet crucis mysterium, dicente Apostolo: « In morte Christi baptizati sumus [46]. » Christus quoque ligno et aqua, id est cruce et baptismate, greges spirituales in terra sibi multiplicavit. Insuper Jacob tum quando adoravit summitatem virgæ, tum quando nepotibus suis benedixit, manibus transmutato ordine impositis, crucis adhuc figuram evidentiorem ostendit. Præterea parentibus a principio ad finem obediens factus, et ideo dilectus et benedictus, sed et propter ista Esau invisus, omni tentatione fortiter tolerata, per totam vitam crucis mysterium operatus est. Quapropter dixit Deus: « Jacob dilexi, Esau autem odio habui [47]. »

A Ἰδοὺ ὁ εἷς Θεὸς τρεῖς ὑποστάσεις, καὶ αἱ τρεῖς αὗται εἷς Κύριος· Εἶπε γάρ, φησί, Κύριος.

Ἐν μὲν οὖν τῷ Ἀβραὰμ οὕτω τὸ μυστήριον ἐνηργεῖτο τοῦ σταυροῦ. Ὁ δὲ Ἰσαὰκ αὐτὸς ἦν τοῦ ἐν αὐτῷ προσηλωθέντος τύπος, ὑπήκοος ὡς καὶ ὁ Χριστὸς μέχρι θανάτου τῷ πατρὶ γενόμενος· καὶ ὁ ἀντιδοθεὶς αὐτῷ κριὸς αὐτὸν τὸν τοῦ Θεοῦ ἀμνὸν τὸν ὑπὲρ ἡμῶν εἰς σφαγὴν δοθέντα προεδήλου· καὶ τὸ φυτόν, ἐν ᾧ ὁ κριὸς ἐδέδετο, τὸ μυστήριον εἶχε τοῦ τύπου τοῦ σταυροῦ, διὸ καὶ φυτὸν Σαβὲκ, τουτέστι φυτὸν ἀφέσεως ὠνομάζετο, ὡς καὶ σταυρὸς ξύλον σωτηρίου. Καὶ ἐν Ἰακὼβ δὲ τῷ τοῦ Ἰσαὰκ υἱῷ τὸ μυστήριον καὶ ὁ τύπος ἐνήργει τοῦ σταυροῦ· ξύλῳ γὰρ καὶ ὕδατι τὰ ποίμνια ἑαυτῷ ἐπλήθυνε. Τὸ μὲν οὖν ξύλον τὸ σταυρικὸν προετύπου ξύλον· τὸ δὲ ὕδωρ B τὸ θεῖον βάπτισμα, ὃ ἐν ἑαυτῷ ἔχει τὸ τοῦ σταυροῦ μυστήριον. « Εἰς γὰρ τὸν θάνατον τοῦ Χριστοῦ ἐβαπτίσθημεν, » φησὶν ὁ Ἀπόστολος. Καὶ ὁ Χριστὸς δὲ ξύλῳ καὶ ὕδατι, τῷ σταυρῷ καὶ τῷ βαπτίσματι, τὰ λογικὰ ποίμνια ἐπὶ τῆς γῆς ἑαυτῷ ἐπλήθυνεν. Ὁ δὲ Ἰακὼβ καὶ ὅτε πρὸς τὸ ἄκρον τῆς ῥάβδου προσεκύνει, καὶ ὅτε τοὺς ἐγγόνους εὐλόγει, ἐναλλὰξ τὰς χεῖρας θείς, τὸν σταυροῦ τύπον ἔτι σαφέστερον ὑπέφηνεν. Ἀλλὰ καὶ τοῖς πατράσιν ἐξ ἀρχῆς μέχρι τέλους ὑπήκοος ὤν, καὶ ἀγαπητὸς καὶ εὐλογητὸς διὰ τοῦτο, ἀλλὰ καὶ μισητὸς τῷ Ἡσαῦ διὰ ταῦτα· καὶ οὕτω πάντα πειρασμὸν γενναίως ὑποφέρων, διὰ παντὸς τοῦ βίου τὸ μυστήριον εἶχε τοῦ σταυροῦ ἐνεργούμενον. Διὸ καὶ ὁ Θεὸς ἔλεγε· « Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. »

Talia, fratres, etiam apud nos contingunt. Etenim qui patrum secundum spiritum et secundum carnem dictis obtemperat, juxta mandatum Apostoli dicentis: « Filii, obedite parentibus vestris [48], » hic a Deo, quatenus configuratus in istis dilecto Dei Filio, diligitur; qui autem parere renuit, tanquam alienus ab illa cum dilecto Filio similitudine, in odium Dei venit. Quæ sapiens expandit Salomon dicens non de Jacob et Esau tantum, sed omnino et in omnibus: « Filius obediens erit in vitam, autem inobediens in perditionem [49]. » Nonne Jacob filio obedientiæ majus adhuc crucis mysterium contigit, contemplatio, inquam, per quam plenius homo crucifigitur moriturque peccato et virtuti vivit? Ipse de sua visione et salute reddit testimonium; ait enim: « Vidi Dominum facie ad faciem, et salva facta est anima mea [50]. »

C Τοιοῦτόν τι γίνεται καὶ ἐφ' ἡμῶν, ἀδελφοί. Ὁ μὲν γὰρ ὑποτασσόμενος τοῖς τε κατὰ πνεῦμα πατράσι κατὰ τὴν ἀποστολικὴν ἐντολὴν τὴν λέγουσαν· « Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν »· ὁ τοιοῦτος, ὡς ἀφωμοιωμένος κατὰ τοῦτο τῷ ἀγαπητῷ Υἱῷ τοῦ Θεοῦ, καὶ παρὰ τοῦ Θεοῦ ἀγαπᾶται· ὁ δὲ παρακούων, ὡς ἀλλότριος τοῖς πρὸς τὸν ἀγαπητὸν ὁμοιώσεως, καὶ παρὰ τοῦ Θεοῦ μισεῖται. Καὶ τοῦτο δεικνὺς ὁ σοφὸς Σολομῶν, ὡς οὐκ ἐπὶ τοῦ Ἰακὼβ μόνον καὶ Ἡσαῦ, ἀλλὰ καὶ διὰ παντὸς καὶ ἐπὶ πάντων γίνεται· « Υἱός, φησίν, ὑπήκοος ἔσται εἰς ζωήν· ὁ δὲ παρήκοος εἰς ἀπώλειαν. »

Ἀλλ' ὁ τῆς ὑπακοῆς υἱὸς Ἰακὼβ ἆρ' οὐχὶ καὶ τοῦ μείζονος ἔτυχε μυστηρίου τοῦ σταυροῦ, τῆς θεοπτίας λέγω, καθ' ἣν τελεώτερον σταυροῦται καὶ D ἀποθνήσκει ὁ ἄνθρωπος τῇ ἁμαρτίᾳ, καὶ ζῇ τῇ ἀρετῇ; Καὶ μὴν αὐτὸς ἑαυτῷ μαρτυρεῖ καὶ τὴν θεωρίαν καὶ τὴν σωτηρίαν· « Εἶδον γάρ, φησί, τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. »

Ubi sunt qui plausu comprobant turpes ineptias heterodoxorum apud nos versantium? Audiant: Ecce Jacob vidit faciem Dei, et tamen non vita tantum non privatus est, sed etiam, ipso teste, salus data est; quamvis Deus ipse dicat: « Nemo faciem meam videbit, et vivet [51]. » Numquid forte sunt duo Dii, quorum unus faciem habet sub aspectum sanctorum cadentem, alter vero nullius oculis conspiciendam? Apage tantam impietatem! Sed Dei facies

Ποῦ εἰσιν οἱ στοιχοῦντες ἔτι ταῖς τῶν ἐφ' ἡμῶν ἀναφανέντων κακοδόξων βδελυραῖς λογολεσχίαις; Ἀκουέτωσαν, ὅτι ὁ Ἰακὼβ τὸ πρόσωπον εἶδε τοῦ Θεοῦ· καὶ οὐ μόνον οὐκ ἀφῄρηται τὸ ζῆν, ἀλλ' ὡς αὐτός φησι, καὶ σέσωσται, καίτοι τοῦ Θεοῦ λέγοντος, « Οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται. » Ἆρ' οὖν δύο Θεοί, ὁ μὲν εἷς ἔχων πρόσωπον τῇ ὁράσει τῶν ἁγίων ὑποπίπτον, ὁ δὲ ἕτερος πρόσωπον ἔχων ὑπὲρ πᾶσαν ὅρασιν; Ἄπαγε τῆς δυσσεβείας!

[45] Gen. XVIII, 1 seqq. [46] Rom. VI, 3. [47] Malach. I, 3. [48] Ephes. VI, 1. [49] Prov. XXIX, 27. [50] Gen. XXXII, 30. [51] Exod. XXXIII, 20.

Digitized by Google

ἀλλὰ πρόσωπον μὲν τοῦ Θεοῦ ὁρώμενόν 57 ἐστιν ἡ κατὰ τὴν ἐπὶ τοὺς ἀξίους ἐπιφάνειαν ἐνέργεια καὶ χάρις τοῦ Θεοῦ. Τοῦ αὐτοῦ δὲ πρόσωπον μηδέποτε ὁρώμενον, ἡ ὑπὲρ πᾶσαν ἔκφανσιν καὶ ὅρασιν ἔσθ' ὅτε λέγεται φύσις τοῦ Θεοῦ· οὐδεὶς γάρ ἐστιν ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου κατὰ τὸ γεγραμμένον, καὶ Θεοῦ φύσιν ἢ εἶδεν, ἢ ἐξηγόρευσεν. Οὕτως ἡ ἐν Θεῷ θεωρία καὶ τὸ θεῖον τοῦ σταυροῦ μυστήριον οὐ τὰ πονηρὰ πάθη μόνον καὶ τοὺς δημιουργοὺς τούτων δαίμονας ἀπελαύνει τῆς ψυχῆς, ἀλλὰ καὶ τὰς κακοδόξους δόξας καὶ τοὺς ταύταις συνηγόρους ἐξελέγχει καὶ ἀπωθεῖται τῶν περιβόλων τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας, καθ' ἣν ἡμῖν ἐχαρίσθη νῦν ἑορτάζειν καὶ διατρανοῦν τὴν τοῦ σταυροῦ πρὸ τοῦ σταυροῦ θείαν ἐν τοῖς Πατράσι χάριν καὶ ἐνέργειαν.

B Ὥσπερ οὖν ἐν μὲν τῷ Ἀβραὰμ τὸ μυστήριον ἐνήργει τοῦ σταυροῦ, ὁ δὲ αὐτοῦ υἱὸς ἦν τύπος τοῦ σταυρωθέντος ὕστερον, οὕτω πάλιν ἐν μὲν τῷ βίῳ παντὶ τοῦ Ἰακὼβ τὸ μυστήριον ἐνήργει τοῦ σταυροῦ, Ἰωσὴφ δὲ ὁ υἱὸς τοῦ Ἰακὼβ αὐτὸς ἦν τύπος καὶ μυστήριον τοῦ σταυρωθησομένου μετὰ ταῦτα θεανθρώπου Λόγου· φθόνῳ γὰρ καὶ αὐτὸς ἤχθη πρὸς σφαγὴν, καὶ ὑπὸ τῶν κατὰ σάρκα συγγενῶν, ὑπὲρ ὧν πρὸς αὐτοὺς παρὰ τοῦ πατρὸς ἐπέμφθη, ὡς καὶ ὁ Χριστὸς ὕστερον. Εἰ δὲ οὐκ ἐσφάγη, ἀλλὰ πέπραται ὁ Ἰωσὴφ, θαυμαστὸν οὐδέν· οὐδὲ γὰρ Ἰσαὰκ ἐσφάγη· καὶ γὰρ οὐκ αὐτοὶ ἦσαν ἡ ἀλήθεια, ἀλλὰ τύπος τῆς μελλούσης ἀληθείας. Εἰ δὲ δεῖ κἂν τούτοις τὸ διπλοῦν συνιδεῖν μυστήριον τοῦ διπλοῦ τὴν φύσιν Ἰησοῦ, τὸ μὲν ἀχθῆναι πρὸς σφαγὴν τὸ κατὰ C σάρκα πάθος τοῦ θεανθρώπου προϋπέφηνε, τὸ δὲ μηδὲν παθεῖν, τῆς θεότητος τὸ ἀπαθές. Τοῦτ' αὐτὸ ἂν εὕροις καὶ ἐπὶ Ἰακὼβ καὶ Ἀβραάμ· εἰ γὰρ καὶ ἐπειράσθησαν, ἀλλ' ἐνίκησαν, ὃ σαφῶς καὶ ἐπὶ τοῦ Χριστοῦ γέγραπται. Τεσσάρων οὖν ὄντων τῶν ἐπ' ἀρετῇ καὶ εὐσεβείᾳ περιβεβοημένων πρὸ τοῦ νόμου, οἱ μὲν δύο Ἀβραὰμ καὶ Ἰακὼβ ἐν τοῖς περὶ τὸν βίον τὸ μυστήριον εἶχον τοῦ σταυροῦ ἐνεργούμενον· οἱ δὲ δύο Ἰσαὰκ καὶ Ἰωσὴφ, αὐτοὶ τὸ τοῦ σταυροῦ μυστήριον θαυμασίως προανεφώνησαν. Τί δὲ πάλιν ὁ πρῶτος παρὰ τοῦ Θεοῦ τὸν νόμον δεδεγμένος καὶ μεταδοὺς τοῖς ἄλλοις Μωϋσῆς, οὐ ξύλῳ μὲν καὶ ὕδατι πρὸ τοῦ νόμου σέσωσται αὐτὸς, ἡνίκα ἐξετέθη τοῖς τοῦ Νείλου ῥεύμασιν ἐν θήβῃ ἀφεθεὶς, ξύλῳ δὲ καὶ ὕδατι τὸν Ἰσραηλιτικὸν ἔσωσε λαὸν, τῷ μὲν ξύλῳ τὸν σταυρὸν προφαίνων, τῷ δὲ ὕδατι τὸ θεῖον βάπτισμα; καθάπερ καὶ Παῦλος ὁ τῶν μυστηρίων ἐπόπτης φανερῶς φησιν, ὅτι· « Πάντες εἰς Μωσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ· » ὃς καὶ πρὸ τῆς θαλάσσης καὶ τῆς ῥάβδου ταύτης μαρτυρεῖ αὐτῷ, ὡς τὸν Χριστοῦ σταυρὸν ἑκουσίως ὑπομείναντα. « Κρείττω γὰρ, φησὶν, ἡγήσατο τῶν ἐν Αἰγύπτῳ θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ. » Ὀνειδισμὸς δὲ τοῦ Χριστοῦ παρὰ τῶν ἀφρόνων ὁ σταυρός· καθὼς πάλιν αὐτὸς ὁ Παῦλος περὶ τοῦ Χριστοῦ φησιν, ὅτι ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας. Προϊὼν δὲ ὁ Μωϋσῆς καὶ τὸν τύπον αὐτοῦ καὶ τὸ σχῆμα τοῦ

A conspici potest, quæ nihil est aliud ac divina gratia et operatio in sanctis manifestata; et simul conspici nequit, scilicet divina natura supra omnem manifestationem, supra omnem intuitionem posita. Nemo stetit in persona et essentia Domini, sic ut scriptum est, divinam naturam nemo vidit unquam nec enarravit. Sic Dei contemplatio et divinum crucis mysterium non modo pravas cupiditates et auctores earum dæmones arcet ab anima, sed etiam falsas opiniones cum earum patronis arguit et expellit a sinu sanctæ Christi Ecclesiæ, juxta quam hodie nos juvat celebrare et illustrare patribus olim a Deo factam crucis procul ante crucem gratiam et operationem.

Sicut igitur in Abraham operabatur crucis mysterium, ejus autem filius Isaac erat aliquando crucifigendi figura, ita rursus tota vita Jacob operatum est mysterium crucis; Joseph vero filius Jacob ipse erat typus et mysterium Verbi incarnati postea crucifigendi. Nam ipse quoque invidia ad occisionem ductus est, ductus autem ab ejus fratribus secundum carnem, pro quibus et ad quos a patre missus fuerat, sicut et Christus postea. Quod si Joseph occisus non fuit, sed venditus, nihil in hoc mirum, nec enim Isaac occisus fuit. Et vero ipsi non erant veritas sed venturæ figura veritatis. Si autem in istis quoque conspicere debemus mysterium duplex duplicis in Christo naturæ; per hoc quidem quod ad occisionem ducti sunt, passionem secundum carnem Dei hominis præfiguraverunt; per hoc autem quod passi non sunt, divinitatis impassibilitatem, hoc etiam reperire est in Abraham et Jacob: tentationem sustulerunt, sed victoriam reportaverunt, sicut clare de Christo fuit scriptum. Igitur ex quatuor illis qui ante legem virtute et pietate claruerunt antesignanis, duo quidem, Abraham et Jacob, in vita sua experti sunt crucis mysterium; duo vero, Isaac et Joseph, crucis mysterium mirabiliter præfiguraverunt. Nonne rursus Moyses, qui primus a Deo accepit et aliis legem tradidit, non ligno et aqua ante legem ipse salutem consecutus, quando in Nili alveis in cista fuit expositus et postea ligno et aqua populum Israeliticum salvavit, ligno quidem crucem, aqua vero D divinum baptisma præmonstrans. Propterea Paulus mysteriis initiatus luculenter dixit: « Omnes in Moysen baptizati sunt in nube [52]. » Idem etiam apostolus de mari et de virga testimonium perhibet Moysi tanquam Christi crucem exspectanti dicens: « majores divitias æstimavit thesauro Ægyptiorum improperium Christi [53]. » Porro stultis improperium Christi crux est, prout rursus ipse Paulus de Christo dixit: « Quoniam sustinuit crucem confusione contempta [54]. » Præcursor adhuc Moyses typum et ipsam crucis formam salutemque ab ipso typo ortam apertissime præmonstravit. Nam erecta virga, manus ipse in eam extendit, sicque in modum

[52] I Cor. x, 2. [53] Hebr. x, 26. [54] Hebr. xii, 2

Digitized by Google

crucis in virga seipsum componens, regem Amalec penitus profligavit. Præterea serpente æneo in formam signi transversi posito, et ita in crucis figuram erecto, palam jussit serpentibus percussos ex Judæis, in ipsum tanquam in Salvatorem conspicere, quo facto serpentum morsus sanavit.

A σταυροῦ καὶ τὴν δι' αὐτοῦ τοῦ τύπου σωτηρίαν προανέδειξε σαφέστατα· τὴν γὰρ ῥάβδον ὀρθίαν στήσας, τὰς χεῖρας αὐτοῦ ἐπ' αὐτὴν ἐξέτεινε, καὶ οὕτω σταυρικῶς ἐπὶ τῆς ῥάβδου σχηματίσας ἑαυτὸν, Ἀμαλὴκ ἄρδην κατετροποῦτο τοιοῦτος ὁρώμενος. Ἀλλὰ καὶ τὸν χαλκοῦν ὄφιν θεὶς ἐπὶ σημείου πλάγιον, καὶ οὕτω τὸν σταυροῦ τύπον ἀναστηλώσας παῤῥησίᾳ, τοὺς ὀφιοδήκτους τῶν Ἰουδαίων βλέπειν πρὸς αὐτὸν ὡς ὄντα σωτήριον ἐπέταττε, καὶ οὕτω τὰ τῶν ὄφεων δήγματα ἰᾶτο.

Deficeret me tempus si narrare vellem de Josue, et post ipsum de judicibus, et prophetis, de David ejusque posteris qui crucis mysterio operantes fluvios coercuerunt, solem stare fecerunt, impiorum civitates everterunt, fortes facti sunt in bello, castra ceperunt exterorum, ferri aciem effugerunt, ignis vim deleruni, leonum ora obturarunt, reges arguerunt, quinquaginta duces combusserunt, mortuos resuscitaverunt, cœlum verbo clausum verbo aperuerunt, steriles et rursus fecundas nubes effecerunt. Etsi enim Paulus dicit fidem tanta operatam esse, sed fides potens est ad salutem; quare credentibus cuncta sunt possibilia. Ita prorsus crux Christi: verbum enim crucis, ut iterum secundum Paulum loquar [35], pereuntibus stultitia est; nobis salvis autem virtus Dei. Sed ut prætereain omnes qui ante legem et sub lege exstiterunt, nonne Dominus ipse per quem omnia et in quo omnia, priusquam pateretur ait: « Qui non bajulat crucem suam et sequitur me, non est me dignus [36]. » Videtisne quomodo antequam crux compingeretur, in cruce stabat salus? Sed et quando discipulis diserte propriam passionem ei mortem in cruce tolerandam prædiceret Dominus, Petrus vero talia audire ægre ferret, sed sciens eum habere potestatem deprecaretur dicens: « Absit a te, Domine, non erit tibi hoc [37]; » illum increpavit Jesus tanquam humana non divina cogitantem; et convocata turba cum discipulis suis dixit eis: « Si quis vult venire post me, abneget semetipsum et tollat crucem suam, et sequatur me. Qui enim voluerit animam suam salvam facere, perdet eam; qui autem perdiderit animam suam propter me et Evangelium, salvam faciet illam [38]. » Igitur convocat turbam cum discipulis, et tunc testificatur et profitetur illas magnas et mirabiles non hominum quidem, sed Dei sententias, ut monstraret se non a discipulis tantum a se electis tanta exigere, sed a singulis in eum credentibus. Christum quidem sequi dicit nihil aliud esse ac secundum ipsius Evangelium vivere, omnem virtutem et pietatem proferre, sectatorem vero semetipsum denegare et crucem tollere nisi, necessitate vocante, nec sibi parcere, imo paratum esse ad perferendam pro virtute et pro veritate divinorum dogmatum mortem turpissimam. Magnum sane et mirabile est semetipsum denegare, et in ultimum dedecus mortemque tradere, nec tamen absonum. Nam reges terræ quoque non dignantur, comites recipere quando bellum faciunt, nisi quos viderint

Ἐπιλείψει δέ με ὁ χρόνος διηγούμενον περὶ 58 Ἰησοῦ καὶ τῶν μετ' αὐτὸν, οἳ τῷ μυστηρίῳ τοῦ σταυροῦ ἐνεργούμενοι, ποταμοὺς ἀνέκοψαν, ἥλιον ἔστησαν, ἀσεβῶν πόλεις κατηδάφισαν, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων, ἔφυγον στόματα μαχαίρας, ἔσβεσαν δύναμιν πυρὸς, ἔφραξαν στόματα λεόντων, βασιλεῖς ἤλεγξαν, πεν- B τηκοντάρχους ἐτέφρωσαν, νεκροὺς ἤγειραν, οὐρανὸν ἔστησαν λόγῳ, καὶ πάλιν ἔλυσαν, ἀγόνους τε καὶ πάλιν γονίμους τὰς ἐν αὐτῷ νεφέλας ἀπεργασάμενοι· εἰ γὰρ καὶ τὴν πίστιν ἐνηργηκέναι ταῦτά φησιν ὁ Παῦλος, ἀλλ' ἡ πίστις δύναμίς ἐστιν εἰς σωτηρίαν· διὸ καὶ πάντα δυνατὰ τῷ πιστεύοντι. Τοιοῦτον δὲ πάντως καὶ ὁ τοῦ Χριστοῦ σταυρὸς τοῖς πιστεύουσιν· « Ὁ γὰρ λόγος ὁ τοῦ σταυροῦ, πάλιν κατὰ Παῦλον εἰπεῖν, τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν. » Ἀλλ' ἵνα καὶ τοὺς πρὸ νόμου καὶ τοὺς ὑπὸ νόμον ἀφῶμεν πάντας, αὐτὸς ὁ Κύριος δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, οὐ πρὸ τοῦ σταυροῦ ἔλεγεν, « Ὅστις οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, C οὐκ ἔστι μου ἄξιος »; Ὁρᾶτε πῶς καὶ πρὸ τοῦ τὸν σταυρὸν παγῆναι σταυρὸς ἦν ὁ σώζων; Ἀλλὰ καὶ ἡνίκα τοῖς μαθηταῖς παῤῥησίᾳ προέλεγε τὸ ἑαυτοῦ πάθος, καὶ τὸν διὰ τοῦ σταυροῦ θάνατον ὁ Κύριος, ὁ δὲ Πέτρος ἀκούων οὐκ ἠνέσχετο, ἀλλ' εἰδὼς αὐτὸν ἔχοντα τὴν ἐξουσίαν ἐδεῖτο λέγων· « Ἵλεώς σοι, Κύριε, οὐ μὴ ἔσται σοι τοῦτο, » αὐτῷ μὲν ἐπετίμησεν ὡς ἀνθρωπίνως, ἀλλ' οὐ θείως φρονοῦντι κατὰ τοῦτο· προσκαλεσάμενος δὲ τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· « Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθήτω μοι· ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. » Προσκαλεῖται μὲν οὖν καὶ τὸν D ὄχλον σὺν τοῖς μαθηταῖς, καὶ τότε διαμαρτύρεται καὶ παραγγέλλει ταῦτα τὰ μεγάλα καὶ ὑπερφυῆ καὶ ὄντως οὐκ ἀνθρώπων, ἀλλὰ Θεοῦ φρονήματα, ἵνα δείξῃ μὴ παρὰ τῶν ἐγκρίτων αὐτοῦ μόνον μαθητῶν τὰ τοιαῦτα ἀπαιτῶν, ἀλλὰ καὶ παρὰ παντὸς τοῦ εἰς αὐτὸν πιστεύοντος. Τὸ δὲ ἀκολουθεῖν Χριστῷ δηλοῖ τὸ ζῆν κατὰ τὸ Εὐαγγέλιον αὐτοῦ, πᾶσαν ἀρετὴν καὶ εὐσέβειαν ἐνδεικνυμένους· τὸ δὲ τὸν θέλοντα ἀκολουθεῖν ἀπαρνήσασθαι ἑαυτὸν, καὶ αἴρειν τὸν σταυρὸν αὐτοῦ, τὸ μηκέτι καιροῦ καλοῦντος ἑαυτοῦ φείδεσθαι, ἀλλ' ἕτοιμον εἶναι πρὸς τὸν ὑπὲρ ἀρετῆς καὶ τῆς ἀληθείας τῶν θείων δογμάτων ἐν ἀτιμίᾳ θάνατον. Τοῦτο δὲ εἰ καὶ μέγα ἐστὶ καὶ ὑπερφυὲς, τὸ ἀρνη-

[35] I Cor. I, 18. [36] Luc. XIV, 27. [37] Matth. XVI, 22. [38] Marc. VIII, 34.

Digitized by Google

σασθαί τινα ἑαυτὸν, καὶ εἰς ἐσχάτην ἀτιμίαν καὶ θάνατον προδοῦναι, ἀλλ' οὐχ ἀπεικός· οἱ γὰρ βασιλεῖς τῆς γῆς οὐκ ἄν ποτε ἀκολουθεῖν ὀπίσω αὐτῶν δέξαιντο, καὶ ταῦτα πρὸς πόλεμον ἰόντες, τοὺς μὴ ἑτοίμους ὄντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. Τί οὖν θαυμαστὸν, εἰ καὶ ὁ βασιλεὺς τῶν οὐρανῶν τῇ γῇ δι' ἐπαγγελίας ἐπιδημήσας, πρὸς ἀντιπαράταξιν τοῦ κοινοῦ τοῦ γένους πολεμίου τοιούτους ζητεῖ τοὺς ὀπίσω αὐτοῦ ἀκολουθοῦντας; Ἀλλ' οἱ μὲν βασιλεῖς τῆς γῆς οὐκ ἔχουσιν ἀναζωοῦν τοὺς τῷ πολέμῳ τεθνηκότας, οὐδ' ἀνταποδοῦναί τι σχεδὸν τοῖς προκινδυνεύσασιν αὐτῶν· τί γὰρ ἂν ὁ μηκέτ' ὢν λάβοι παρ' αὐτῶν; Ἀλλὰ καὶ τούτοις, εἴπερ ὑπὲρ εὐσεβῶν ὁ θάνατος, ἐν τῷ Κυρίῳ ἐλπίς ἐστιν· οὕτως δὲ ὁ Κύριος ζωὴν ἀντιδίδωσιν αἰώνιον τοῖς ἐν τῷ ἀκολουθεῖν αὐτῷ προκινδυνεύσασι.

A paratos ad mortem pro se tolerandam, quid mirum, quod Rex cœlorum per incarnationem in terris morans, ad dimicandum adversus communem humani generis hostem tales asseclas requirat? At at reges terræ non possunt ad vitam revocare in bello interemptos, vel remunerari eos qui vitæ discrimen pro ipsis adiverunt. Quid enim is qui esse desiit posset ab ipsis accipere? Sed etiam istis ubi justa de causa moriuntur, spes in Domino manet. Dominus autem vitam retribuit æternam eis qui eum sequendo pericula subierunt.

Καὶ οἱ μὲν βασιλεῖς τῆς γῆς ὑπὲρ αὐτῶν ἑτοίμους εἶναι ζητοῦσι πρὸς θάνατον τοὺς αὐτοῖς ἀκολουθοῦντας, **59** ὁ δὲ Κύριος αὐτὸς μὲν ἑαυτὸν εἰς θάνατον ἔδωκεν ὑπὲρ ἡμῶν, ἡμᾶς δὲ οὐχ ὑπὲρ αὐτοῦ, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἑτοίμους εἶναι παραγγέλλει πρὸς θάνατον· καὶ τοῦτο δεικνὺς ὡς ὑπὲρ ἡμῶν ἐστιν αὐτῶν ἐπάγει· « Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτὴν, ὃς δ' ἂν ἀπολέσῃ αὐτὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν. » Τί ἐστι τοῦτο, Ὃς ἂν θέλῃ σῶσαι, ἀπολέσει, καὶ ὃς ἂν ἀπολέσῃ, σώσει; Διπλοῦς ἐστιν ὁ ἄνθρωπος, ὁ ἐκτὸς, τὸ σῶμα λέγω, καὶ ὁ ἐντὸς ἡμῶν ἄνθρωπος, ἡ ψυχὴ δηλονότι. Ὅταν οὖν ὁ ἐκτὸς ἡμῶν ἄνθρωπος προδῷ ἑαυτὸν εἰς θάνατον, ἀπόλλυσι τὴν ἑαυτοῦ ψυχὴν χωριζομένην αὐτοῦ· ὁ γοῦν ὑπὲρ τοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου οὕτως ἀπολέσας αὐτὴν ὄντως σώσει καὶ κερδήσει ταύτην, ζωὴν οὐράνιον καὶ αἰώνιον ταύτῃ προξενήσας, καὶ ἐν τῇ ἀναστάσει τοιαύτην κομισάμενος, καὶ δι' αὐτῆς καὶ αὐτὸς τοιοῦτος, καὶ κατὰ σῶμα λέγω, γεγονὼς οὐράνιος καὶ αἰώνιος. Ὁ δὲ φιλόψυχος, καὶ μὴ οὕτω ταύτην ἑτοίμως ἔχων ἀπολέσαι, διὰ τὸ ἀγαπᾷν τὸν πρόσκαιρον αἰῶνα τοῦτον, καὶ ὅσα τοῦ αἰῶνος τούτου, ζημιώσει τὴν ψυχὴν αὐτοῦ τῆς ὄντως ζωῆς ἀποστερήσας, καὶ ζημιωθήσεται αὐτὸς αὐτὴν, σὺν ἑαυτῷ ταύτην φεῦ! τῇ αἰωνίῳ κολάσει παραδούς· ὃν καὶ ὁ πανοικτίρμων Δεσπότης οἷον ἀπολοφυρόμενος, καὶ τοῦ δεινοῦ τὸ μέγεθος ἐπιδεικνὺς, « Τί γὰρ, φησὶν, ὠφελήσει ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; » οὐδ' ἄλλο τι τῶν ἐν τῷ αἰῶνι τούτῳ δοκούντων τιμίων καὶ τερπνῶν, ἃ τοῦ σωτηρίου προέκρινε θανάτου. Τί δ' ἂν ἐν τούτοις εὑρεθείη καὶ τῆς λογικῆς ψυχῆς ἀντάλλαγμα, ἧς ὁ κόσμος ἅπας οὗτος οὐκ ἔστιν ἀντάξιος;

B Et reges terræ asseclas non quærunt nisi quos ad mortem propter se oppetendam paratos invenerint; Dominus vero se ipsum in mortem tradidit pro nobis, nos autem non propter se, sed propter nosmetipsos ad mortem procinctos esse hortatur. Quod declarare volens adjicit: « Qui voluerit animam suam salvam facere, perdet eam[59]; qui autem perdiderit animam suam propter me et propter Evangelium, salvam habebit eam. » Quid istud: qui salvum facere voluerit, perdet, et qui perdiderit, salvam faciet eam? Duplex est homo; unus exterior, id est corpus, alter interior, scilicet anima. Quod si homo interior seipsum in mortem tradit, perdit suam animam eo orbatam. Unde qui eam propter Dominum et Evangelium perdiderit, vere eam lucri faciet, C vitam cœlestem æternamque ipsi largiens, eamque in resurrectionem adducturus, et ipse per eam, dico etiam secundum corpus, factus cœlestis et æternus. Qui autem animam suam diligit, ut eam perdere nolit, propterea quod nimis amat præsens sæculum et res hujus sæculi, damnabit animam suam, quam vera vita spoliabit; eam ipse et cum illa semetipsum suppliciis addicet, illam, heu! sempiternæ damnationi tradens; quem et misericordissimus Dominus quasi lugens de periculi immanitate monuerat dicens: « Quid prodest homini si mundum universum lucretur, animæ vero suæ detrimentum patiatur? vel quam dabit homo compensationem pro anima sua[60]? » Non enim descendet cum eo gloria ejus, nec D aliud quidquam ex honoribus et voluptatibus quæ hoc sæculo tanti æstimatur, quæ salutari morti proposuit. Qualem in istis invenire putas commutationem pro spirituali anima ad quam totus hic mundus flocci habendus est?

Εἰ οὖν καὶ τὸν κόσμον ὅλον εἷς ἄνθρωπος ἐδύνατο κερδῆσαι, ἀδελφοὶ, οὐδὲν ἂν ἦν ὄφελος αὐτῷ τὴν οἰκείαν ψυχὴν ζημιουμένῳ· πόσον ἐστὶ τὸ δεινὸν, πολλοστημόριον ἐλάχιστον ἕκαστος ἀπὸ τοῦ κόσμου τούτου κτήσασθαι δυνάμενος, εἰ τῇ πρὸς τὸ ἐλάχιστον τοῦτο προσπαθείᾳ τὴν οἰκείαν ζημιωθήσεται ψυχὴν, μὴ προαιρούμενος αἱρεῖν τοῦ σταυροῦ καὶ τὸν τύπον καὶ τὸν λόγον, καὶ ἀκολουθεῖν τῷ δοτῆρι

Si ergo unus homo posset totum mundum lucrari, hoc nihil ei prodesset animæ detrimentum perpesso; quanto pejus est, ubi vix quisque potest vel minimam et angustissimam terræ partem comparare, si per nimium amorem erga illud exiguum animæ suæ detrimentum patiatur, quia non prætulit typum et rationem crucis, vitæque sequi auctorem. Crux enim est typus adorabilis et istius typi ratio-

[59] Matth. XVI, 25. [60] ibid. 26.

Jam præfatum hujus typi mysterium ejusque rationem charitati vestræ supra explicavimus, seu potius illa pro nobis Paulus explanavit, Paulus inquam, qui in cruce gloriabatur nec prædicabat se aliquid scire nisi Dominum Jesum et hunc crucifixum[59]. Quid ergo ait iste? «Crux est crucifixisse carnem cum vitiis et concupiscentiis.» Num arbitramini de luxu epularum et de ventris libidinibus solum eum talia profiteri? Quare igitur ad Corinthios scribit: «Cum sit inter vos zelus et contentio, adhuc carnales estis et secundum hominem ambulatis[60]?» Ita ut qui gloriam et divitias amat, qui solam stare vult suam propriam voluntatem, quem juvat vincere in contentionibus, hic carnalis est et secundum carnem ambulat. Hæ enim sunt contentionum causæ, ut ait Jacobus Dei frater: «Unde bella et lites in vobis? nonne ex concupiscentiis vestris quæ militant in membris vestris[61]?» Et addit: Zelatis et non potestis adipisci; litigatis et belligeramini[62]. Hoc igitur est crucifigere carnem suam cum vitiis et concupiscentiis quæ inhabilem reddunt hominem ad omne quod Deo displicet. Si vero corpus deprimit animam, et ad ima detrudit, studeamus ut illud invitum in altitudinem crucis extollamus. Tale quoddam dico: Dominus dum in terra versaretur, pauperem vitam vixit, nec vixit tantum, sed et prædicavit dicens: «Si quis non renuntiat omnibus quæ possidet, non potest meus esse discipulus[63].»

A τῆς ζωῆς! Σταυρὸς γάρ ἐστιν αὐτός τε ὁ προσκυνητὸς τύπος, καὶ ὁ τοῦ τύπου τούτου λόγος. Ἀλλ' ἐπεὶ προηγήσατο ὁ λόγος καὶ τὸ μυστήριον αὐτοῦ τοῦ τύπου, καὶ ἡμεῖς τοῦτο πρότερον ἐξηγησόμεθα πρὸς τὴν ὑμετέραν ἀγάπην· μᾶλλον δὲ πρὸ ἡμῶν καὶ τοῦτο Παῦλος ἐξηγήσατο· Παῦλος καυχώμενος ἐν τῷ σταυρῷ, ὁ μηδὲν εἰδέναι κρίνων, εἰ μὴ Κύριον Ἰησοῦν καὶ τοῦτον ἐσταυρωμένον. Τί οὖν φησιν ἐκεῖνος; «Σταυρός ἐστι τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.» Οἴεσθε περὶ τῆς τρυφῆς καὶ τῶν ὑπογαστρίων τοῦτο μόνον εἰπεῖν παθῶν; πῶς οὖν γράφει τοῖς Κορινθίοις, ὅτι, «Ἐπεὶ ἔριδες ἐν ὑμῖν εἰσιν, ἔτι σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;» Ὥστε καὶ ὁ δόξης ἐρῶν, ἢ τὸ οἰκεῖον ἁπλῶς θέλημα στῆσαι θέλων, B καὶ οὕτω νικᾷν φιλονεικῶν, σαρκικός ἐστι, καὶ κατὰ σάρκα περιπατεῖ· διὰ γὰρ ταῦτα καὶ ἔριδες, ὡς καὶ Ἰάκωβος ὁ ἀδελφόθεός φησιν· «Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν ἐκ τῶν ἡδονῶν ὑμῶν, τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; Ζηλοῦτε καὶ οὐ δύνασθε ἐπιτυχεῖν, μάχεσθε καὶ πολεμεῖτε.» Τοῦτο οὖν ἐστι τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὸ ἀνενέργητον γενέσθαι τὸν ἄνθρωπον πρὸς πᾶν τὸ ἀπαρέσκον Θεῷ· εἰ δὲ καὶ τὸ σῶμα κατασπᾷ καὶ βιάζεται, ἀλλ' αὐτὸν ἕκαστον **60** ἀνέχειν ἐναγωνίως τοῦτο πρὸς τὸ ὕψος τοῦ σταυροῦ· οἷον τί λέγω; ἐπὶ γῆς γενόμενος ὁ Κύριος ἀκτήμονα βίον ἔζησε, καὶ οὐκ ἔζησε μόνον, ἀλλὰ καὶ ἐκήρυξε λέγων· «Εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς αὐτῷ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής.»

At nemo indignetur, fratres, obtestor, audiens nos sine ulla dissimulatione annuntiantes bonam Dei voluntatem et beneplacentem et perfectam, nec ægre ferat ista mandata arbitratus quasi impossibilia; sed primum secum reputet quoniam regnum cœlorum vim patitur, et violenti rapiunt illud. Audiat Petrum apostolum Christi antesignanum dicentem: «Christus passus est pro nobis, nobis relinquens exemplum ut sequamur vestigia ejus[64].» Deinde animo reputet quod etsi omnis discipulus vere magistri debitor manet quandiu non omnia solvit, si tamen modeste offerat quod potest et præstantius judicat, pro reliquo autem sese humiliat coram eo, per istam demissionem misericordiam colligit et defectum supplet. Si quis ergo in se deprehendat divitiarum justo majorum concupiscentiam, sciat istam carnalem esse et crucis inimicam, propter hoc enim movetur; nam qui cruci affixus est, non potest ad talia moveri. Igitur oportet talem in crucis altitudinem attolli, ne præceps datus seipsum divellat a Christo qui in ipso crucifixus est.

C Ἀλλὰ μηδεὶς δυσανασχετείτω, ἀδελφοί, παρακαλῶ, ἀκούων ἡμῶν ἀπαγγελλόντων ἀνυποστόλως τὸ ἀγαθὸν τοῦ Θεοῦ θέλημα καὶ εὐάρεστον καὶ τέλειον, μηδὲ δυσχεραινέτω τὰ παραγγέλματα δυσέφικτα οἰόμενος, ἀλλὰ πρῶτον μὲν ἐκεῖνο ἐννοείτω, ὅτι βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν, καὶ ἀκουέτω Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων τοῦ Χριστοῦ, ὅτι· «Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ.» Ἔπειτα καὶ τοῦτο δικαίως προσλογιζέσθω, ὅτι μαθὼν ἕκαστος ἀληθῶς ὅσον ὀφείλει τῷ Δεσπότῃ, ὅταν οὐκ ἔχῃ τὸ πᾶν ἀποδοῦναι, τὸ μὲν σὺν μετριοφροσύνῃ προσάγει, ὅσον δήπου δύναται καὶ προαιρεῖται, πρὸς δὲ τὸ λεῖπον πάλιν ταπεινοῦται ἐνώπιον αὐτοῦ, καὶ διὰ D τῆς τοιαύτης ταπεινώσεως ἕλκων τὴν συμπάθειαν ἀναπληροῖ τὴν ἔλλειψιν. Εἴ τις οὖν ὁρᾷ τὸν λογισμὸν αὐτοῦ πλούτου καὶ πολυκτημοσύνης ὀρεγόμενον, γνώτω ὅτι ὁ λογισμὸς οὗτος σαρκικός ἐστι, καὶ διὰ τοῦτο κινεῖται· ὁ γὰρ τῷ σταυρῷ προσηλωμένος οὐ δύναται πρὸς τοιοῦτόν τι κινεῖσθαι. Χρεία οὖν ἀναβιβάσαι τοῦτον ἐπὶ τὸ ὕψος τοῦ σταυροῦ, ἵνα μὴ αὐτὸς αὐτὸν κάτω ῥίψας χωρίσῃ τοῦ σταυρωθέντος ἐν αὐτῷ Χριστοῦ.

Quomodo ergo poterit hunc in altitudinem crucis elevare? Dico: sperans in Christum rectorem omnium et nutritorem procul a se omne lucrum injustitiæ projiciat. Quod si possideat opes juste ac-

Πῶς οὖν ἄρξεται τοῦτον ἀναβιβάζειν ἐπὶ τὸ ὕψος τοῦ σταυροῦ; ἐλπίσας εἰς Χριστὸν τὸν χορηγὸν καὶ τροφέα τοῦ παντός, παντὸς μὲν τοῦ ἐξ ἀδικίας ἀποσχέσθω πόρου, ᾧ δὲ ἀπὸ δικαιοσύνης ἔχει πορισμῷ,

[59] I Cor. II, 2. [60] I Cor. III, 3. [61] Jac. IV, 2. [62] ibid. 2. [63] Luc. XIV, 2 [64] I Petr. II, 21.

Digitized by Google

μηδὲ τούτῳ λίαν προσκείμενος, καλῶς αὐτῷ χρήσθω, κοινωνοὺς ἐφ' ὅσον ἐστὶ τοὺς ἐνδεεῖς προσλαμβανόμενος. Ὥσπερ γὰρ ἀρνεῖσθαι τὸ σῶμα καὶ αἴρειν τὸν σταυρὸν αὐτοῦ, τῆς ἐντολῆς κελευούσης, ἔχουσιν ὅμως τοῦτο οἱ τοῦ Θεοῦ καὶ κατὰ Θεὸν ζῶντες· μὴ λίαν δὲ αὐτῷ προσκείμενοι, χρῶνται μὲν αὐτῷ πρὸς τὸ δέον συνεργῷ, ἂν δ' ὁ καιρὸς καλῇ, καὶ τοῦτο προσδιδόναι ἕτοιμοι· οὕτω καὶ ἐπὶ τῶν σωματικῶν κτημάτων καὶ χρειῶν ποιῶν τις, ὅταν μὴ δύνηταί τι μεῖζον, εὖ ἂν καὶ θεαρέστως ἔχοι.

Πάλιν βλέπει τις ἐν ἑαυτῷ βιαιότερον κινούμενον τὸν τῆς πορνείας λογισμὸν, γνώτω ὅτι οὔπω ἐσταύρωσεν ἑαυτόν. Πῶς οὖν σταυρώσει; φευγέτω τὰς περιέργους θέας τῶν γυναικῶν, καὶ τὰς μὴ ἀνηκούσας πρὸς αὐτὰς συνηθείας τε καὶ ἀκαίρους διαλέξεις, μειούτω τὰς τρεφούσας τὸ πάθος ὕλας, ἀποσχέσθω πολυποσίας, οἰνοφλυγίας, ἀδδηφαγίας, πολυυπνίας· μιγνύτω τῇ ἀποχῇ ταύτῃ τῶν κακῶν τὴν ταπεινοφροσύνην, ἐν συντριβῇ καρδίας τὸν Θεὸν κατὰ τοῦ πάθους ἐπικαλούμενος, καὶ τότε καὶ αὐτὸς ἐρεῖ· Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα διὰ τῆς ἐν ταπεινώσει προσευχῆς, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ὁ τόπος αὐτοῦ. Πάλιν ἐνοχλεῖ ὁ τῆς φιλοδοξίας λογισμός; σὺ ἐν συγκλήσει καὶ συγκαθεδρίᾳ μνημόνευε τῆς τοῦ Κυρίου ἐν Εὐαγγελίοις περὶ τούτου συμβουλῆς· ἐν ὁμιλίαις μὴ ζήτει τῶν ἄλλων ὑπερέχων φαίνεσθαι, τὰς ἀρετὰς ἐφ' ὅσον ἔχεις ἐν κρυπτῷ ποίει, πρὸς Θεὸν μόνον ὁρῶν, καὶ παρ' αὐτοῦ μόνου ὁρώμενος, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. Εἰ δὲ καὶ μετὰ τὸ κόψαι σε τὰ αἴτια ἑκάστου τῶν παθῶν, πάλιν ἐνοχλεῖ **61** ἔνδοθεν ὁ λογισμὸς, μὴ φοβηθῇς· στεφάνων γὰρ γίνεταί σοι πρόξενος, ἐπεὶ ἐνοχλῶν οὐ πείθει, οὐδὲ ἐνεργεῖ, ἀλλὰ κίνημά ἐστι νεναρκωμένον, ὡς νικώμενον ὑπὸ τοῦ σοῦ κατὰ Θεὸν ἀγῶνος. Τοιοῦτός ἐστιν ὁ τοῦ σταυροῦ λόγος· τοιοῦτος δὲ ὢν, οὐ μόνον ἐν τοῖς προφήταις πρὸ τοῦ τελεσθῆναι, ἀλλὰ καὶ νῦν μετὰ τὸ τελεσθῆναι μυστήριόν ἐστι μέγα καὶ ὄντως θεῖον. Πῶς; ὅτι κατὰ μὲν τὸ φαινόμενον δοκεῖ προξενεῖν ἀτιμίαν ἑαυτῷ ὁ εὐτελίζων ἑαυτὸν, καὶ ταπεινῶν ἐν πᾶσι, καὶ πόνον καὶ ὀδύνην ὁ τὰς σωματικὰς φεύγων ἡδονὰς, καὶ ὁ διδοὺς τὰ ὄντα πτωχείας ἑαυτῷ αἴτιος καθίστασθαι, διὰ δὲ τῆς τοῦ Θεοῦ δυνάμεως ἡ πτωχεία αὕτη καὶ ἡ ὀδύνη καὶ ἡ ἀτιμία δόξαν αἰώνιον καὶ ἡδονὴν ἀνέκφραστον καὶ πλοῦτον ἀδαπάνητον γεννᾷ καὶ κατὰ τὸν παρόντα καὶ κατὰ τὸν μέλλοντα ἐκεῖνον κόσμον. Καὶ τοὺς μὴ τοῦτο πιστεύοντας, καὶ τὴν πίστιν δ' ἔργων ἐπιδεικνυμένους τοῖς ἀπολλυμένοις συντάττει, καὶ αὐτοῖς τοῖς Ἕλλησιν, ὁ Παῦλος· « Κηρύσσομεν γὰρ, φησὶ, Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον διὰ τὴν πρὸς τὸ σωτήριον πάθος ἀπιστίαν, Ἕλλησι δὲ μωρίαν, ὡς μηδὲν τῶν προσκαίρων προτιμῶσι, διὰ τὴν πρὸς τὰς θείας ἐπαγγελίας πάντως ἀπιστίαν· ἡμῖν δὲ τοῖς κλητοῖς Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. »

A quisitas, ne ipsis nimium inserviat, sed bene eis utatur ad inopes pro viribus adjuvandos. Sicut enim divinus legislator jubet corpori renuntiare et crucem suscipere, illud tamen observant qui Deo et secundum Deum vivunt: ipsi non nimis inservientes, eo utuntur tanquam adjutorio, parati etiam, si id exigat tempus, ei renuntiare; ita qui bene utitur divitiis et lucris terrestribus, si plus facere non queat, bene et pie vivere videtur.

Rursum qui videt in seipso agitari luxuriæ animum, sciat quod se nondum crucifixit. Quomodo ergo se crucifiget? Fugiat damnosos mulierum aspectus, earumque futilia colloquia, et vanas confabulationes. Imminuat materias quibus pascitur B carnis concupiscentia; comprimat potationes, vinolentiam, ingluviem, somnolentiam, nec tantum sic a malis abstineat, sed addat humilem spiritum; in contritione cordis, Dei contra passiones auxilium imploret, et tunc ipse quoque dicet: Vidi impium superexaltatum et elevatum sicut cedros Libani, et transivi aliquantum post, et ecce non erat, et per orationem humilem quæsivi, et non est inventus in me locus ejus. Rursus molestat inanis gloriæ ambitio; tu vero animo intentus, stansque ante tribunal tuæ conscientiæ, in mentem evangelica revoca consilia a Domino data: in conversatione nolite aliis majores videri; virtutem, quantum potes, in abscondito exerce, ad Deum solum intendens, et a Deo solo C conspectus, et Pater tuus, qui videt in abscondito, reddet tibi in aperto. Deinde, si avulsis singularum cupiditatum incitamentis, rursus earum interius molestant illecebræ, noli timere; coronam tibi impertiet, quia molestando non suadent nec crescunt, sed potius torpescunt tuo brachio secundum Deum dimicante superata. Talis ejus est crucis sermo, et ut talis, non tantum prophetis priusquam perficeretur, sed etiam post perfectum, magnum est mysterium vereque divinum. Quare? quia si ex specie judicas, videtur quidem sibimetipsi dedecus parare qui se reprimit et in omnibus humiliat, laborem et dolorem, qui sensuum fugit voluptates, et qui sua bona abnuit, paupertatem comparaturus. Dei autem virtute ipsa paupertas et dolor et dedecus D gloriam æternam et voluptatem inenarrabilem et divitias inexhaustas generant, et pro præsente et pro futuro sæculo. Hæc non credentes, nec fidem per opera manifestantes damnandis et ipsis gentilibus adnumerat Paulus dicens: « Prædicamus Christum crucifixum, Judæis quidem scandalum, quia non credunt in passionem salutiferam; gentilibus vero stultitiam, quia nihil rebus terrestribus præponunt, nec ullo modo credunt in divina Evangelia; nobis autem electis Christum Dei virtutem et Dei sapientiam [63]. »

[63] 1Cor. 1, 23.

Hoc est ergo Dei sapientia et virtus, seipsum per infirmitatem vincere, per humilitatem exaltari, per paupertatem ditari. Sed non sermo tantum et mysterium crucis, sed et ipse typus divinus et adoratione dignus, signum est sacrum et salutare et venerandum, per quod innumera et ineffabilia hominum ex Deo natorum bona sanctificantur et perficiuntur, maledictio et damnatio tolluntur, metus et mors auferuntur, æterna vita et benedictio tribuuntur, salutis lignum, sceptrum regiæ potestatis, divinæ tropæum victoriæ in hostes tum visibiles, tum invisibiles, quidquid insanientes blasphemeut filii infidelitatis. Non enim ipsis contigit Apostoli votum [66], ut possent comprehendere cum omnibus sanctis quæ sit latitudo et longitudo, et sublimitas et profundum, quoniam per crucem Domini tota illius per carnem adventus manifestatur dispensatio, et ejus prorsus comprehenditur mysterium; ad omnes enim limites extenditur, omnia complectitur, et quæ supra sunt et quæ infra, et quæ circum stant, et quæ intersunt. Causam vero interserentes propter quam oportebat ipsos quoque, si intelligentiam haberent crucem, nobiscum adorare, aversantur Regis gloriæ symbolum, quod ipse etiam Dominus jamjam in illud ascensurus aperte sui ipsius propriam appellat gloriam et exaltationem. In futuro enim ejus adventu manifestandus, venturum prænuntiat signum illud Filii hominis cum potestate et majestate magna. Sed, aiunt, Christus in eo confixus occubuit, propterea nec videre patimur instrumentum et lignum, super quo occisus est. Chirographum autem nobis adversum quod nobis conscripsit per ejus in ligno inobedientiam manus primi parentis, in quo affixus fuit? quomodo e medio ablatus est, ita ut rursus in benedictionem apud Deum redierimus? In quo principatus et potestates spirituum malitiæ qui adversus nostram naturam ex ligno inobedientiæ occupaverunt locum, ejecit Christus et penitus amovit, et triumphans confudit, unde et nos libertatem accepimus? In quo maceries separationis fuit destructa, inimicitia Dei abolita et perempta, in quo reconciliati sumus cum Deo, et pacem cum ipso per Evangelium recuperavimus? Nonne in cruce, et per crucem? Audiant Apostolum ad Ephesios scribentem: « Christus est pax nostra, qui fecit utraque unum et medium parietem maceriæ solvens, inimicitias in carne sua, ut duos condat in semetipso in unum novum hominem, faciens pacem, et reconciliet ambos in uno corpore Deo per crucem interficiens inimicitias in semetipso [67]. « Vos, cum mortui, Colossensibus scribit, essetis in delictis et præputio carnis vestræ, convivificavit cum illo, donans nobis omnia delicta, delens quod erat contrarium nobis, et ipsum tulit de medio, affigens illud crucis, et exspolians principatus et potestates, traduxit confidenter, palam triumphans illos in semetipso [68]. »

A Τοῦτο οὖν ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις, τὸ δι' ἀσθενείας νικῆσαι, τὸ διὰ ταπεινώσεως ὑψωθῆναι, τὸ διὰ πτωχείας πλουτῆσαι. Οὐ μόνον δὲ ὁ λόγος τοῦ σταυροῦ καὶ τὸ μυστήριον, ἀλλὰ καὶ ὁ τύπος θεῖος καὶ προσκυνητὸς, σφραγὶς ὢν ἱερὰ καὶ αἰδέσιμος, ἁγιαστική τε καὶ τελεστικὴ τῶν ἐκ Θεοῦ τῷ γένει τῶν ἀνθρώπων ὑπηργμένων ὑπερφυῶν καὶ ἀποῤῥήτων ἀγαθῶν, ἀρᾶς καὶ καταδίκης ἀναιρετικὴ, φθορᾶς καὶ θανάτου καθαιρετικὴ, ζωῆς ἀϊδίου καὶ εὐλογίας παρεκτικὴ, ξύλον σωτήριον, σκῆπτρον βασίλειον, θεῖον κατ' ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων τρόπαιον, κἂν αἱρετικῶν παῖδες ἀπαρέσχωνται φρενοβλαβῶς· οὐ γὰρ ἐπέτυχον τῆς ἀποστολικῆς εὐχῆς, ἵνα ἐξισχύσωσι καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ ὕψος B καὶ βάθος· ὅτι ὁ τοῦ Κυρίου σταυρός ἐστι πᾶσαν ἐμφαίνων τῆς ἐν σαρκὶ τούτου παρουσίας τὴν οἰκονομίαν, καὶ τὸ κατ' αὐτὴν ἅπαν ἐμπεριέχων μυστήριον, καὶ πρὸς πάντα τείνων τὰ πέρατα, καὶ πάντα περιλαμβάνων, τὰ ἄνω, τὰ κάτω, τὰ πέριξ, τὰ μεταξύ. Προβαλλόμενοι δέ τινα πρόφασιν, δι' ἣν καὶ αὐτοὺς ἔδει μεθ' ἡμῶν, εἴπερ νοῦν εἶχον, προσκυνεῖν αὐτὸν, ἀποτροπιάζονται τοῦ βασιλέως τῆς δόξης τὸ σύμβολον, ὃ καὶ αὐτὸς φανερῶς ὁ Κύριος ὕψος μὲν καὶ δόξαν ἑαυτοῦ καλεῖ, μέλλων ἀναβαίνειν ἐπ' αὐτό· κατὰ δὲ τὴν μέλλουσαν αὐτοῦ παρουσίαν καὶ ἐπιφάνειαν ἐλεύσεσθαι προκαταγγέλλει τὸ σημεῖον τοῦτο τοῦ Υἱοῦ τοῦ ἀνθρώπου μετὰ δυνάμεως καὶ δόξης πολλῆς· ἀλλ' ἐν αὐτῷ, C φησὶν, ὁ Χριστὸς προσηλωθεὶς ἀπέθανε, καὶ διὰ τοῦτο οὐδ' ὁρᾷν ἀνεχόμεθα τὸ σχῆμα καὶ τὸ ξύλον ἐν ᾧ τεθανάτωται. Τὸ δὲ καθ' ἡμῶν χειρόγραφον, ὃ γέγονεν ἡμῖν διὰ τῆς ἐπὶ τὸ ξύλον παρακοῆς, ἐκτεταμένης τῆς τοῦ προπάτορος χειρὸς, ἐν τίνι προσηλώθη; Καὶ διὰ τίνος ἐκ μέσου γέγονε καὶ ἠφανίσθη, καὶ οὕτω πρὸς τὴν ἀπὸ τοῦ Θεοῦ εὐλογίαν ἐπανήλθομεν; ἐν τίνι δὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τῶν πνευμάτων τῆς πονηρίας, αἳ κατὰ τῆς ἡμετέρας φύσεως ἐκ τοῦ ξύλου τῆς παρακοῆς χώραν ἔλαβον, ὁ Χριστὸς ἀπεξεδύσατο, καὶ τελέως ἀπώσατο, καὶ θριαμβεύσας κατῄσχυνε, καὶ οὕτως ἡμεῖς τὴν ἐλευθερίαν ἀντελάβομεν; ἐν τίνι τὸ μεσότοιχον τοῦ φραγμοῦ λέλυται, καὶ ἡ πρὸς 62 τὸν Θεὸν ἡμῶν ἔχθρα κατήργηται καὶ τεθανάτωται; καὶ D διὰ τίνος ἀποκατηλλάγημεν πρὸς τὸν Θεὸν, καὶ τὴν πρὸς αὐτὸν εἰρήνην εὐηγγελίσθημεν; οὐχ ἐν τῷ σταυρῷ, καὶ διὰ τοῦ σταυροῦ; Ἀκουέτωσαν τὰ τοῦ Ἀποστόλου, τοῖς μὲν Ἐφεσίοις γράφοντος· « Ὁ Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ· » Κολοσσαεῦσι δὲ, « Νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν συνεζωοποίησεν ἡμᾶς ἐν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ' ἡμῶν

[66] Ephes. III, 18. [67] Ephes. II, 14. 15. [68] Coloss. II, 14, 15.

Digitized by Google

χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ, καὶ ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ θριαμβεύσας αὐτὰς ἐν αὐτῷ. » Οὐ τιμήσομεν οὖν ἡμεῖς, οὐδὲ χρησόμεθα τῷ θείῳ τούτῳ τροπαίῳ τῆς κοινῆς τοῦ γένους ἐλευθερίας, ὃ καὶ μόνον φαινόμενον, τὸν μὲν ἀρχέκακον ὄφιν φυγαδεύει καὶ θριαμβεύει καὶ καταισχύνει, τὴν ἧτταν καὶ τὴν θραῦσιν ἀνακηρύττον αὐτοῦ, δοξάζει δὲ καὶ μεγαλύνει Χριστὸν, τὴν αὐτοῦ νίκην ἀναφαῖνον τῷ κόσμῳ; Καὶ μὴν εἴπερ ὁ σταυρὸς παροπτέος, ὡς ἐν αὐτῷ τοῦ Χριστοῦ τὸν θάνατον ὑπομείναντος, οὐδ' ὁ θάνατος ἔσται σεπτὸς καὶ σωτήριος· πῶς οὖν, κατὰ τὸν Ἀπόστολον, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Πῶς δὲ καὶ τῆς B ἀναστάσεως αὐτοῦ ἐσόμεθα, εἴπερ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ; Ἄλλως εἰ μὲν εἰς ἦν ὁ προσκυνῶν σταυροῦ σχῆμα, μὴ ἐπιγεγραμμένον ἔχον τὸ Δεσποτικὸν ὄνομα, δικαίως ἂν ἐνεκαλεῖτο παρὰ τὸ δέον ποιῶν· ἐπεὶ δὲ ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, τοῦτο δὲ τὸ προσκυνητὸν ὄνομα ὁ σταυρὸς ἐπιφέρει, πόσης παραφροσύνης μὴ κάμπτειν γόνυ τῷ σταυρῷ τοῦ Χριστοῦ; Ἀλλ' ἡμεῖς καὶ τὰς καρδίας σὺν τοῖς γόνασι κλίναντες, δεῦτε προσκυνήσωμεν μετὰ τοῦ ψαλμῳδοῦ καὶ προφήτου Δαβὶδ εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ, καὶ οὗ αἱ συνεκτικαὶ τοῦ παντὸς ἐξηπλώθησαν χεῖρες, καὶ οὗ τὸ ζωαρχικὸν δι' ἡμᾶς ἐξετάθη σῶμα· καὶ προσκυνοῦντες ἐν πί- C στει καὶ ἀσπαζόμενοι δαψιλῆ τὸν ἐκεῖθεν ἁγιασμὸν καὶ ἀρυώμεθα καὶ φυλάττωμεν, ὡς ἂν καὶ κατὰ τὴν ὑπερδεδοξασμένην μέλλουσαν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, αὐτὸν προηγούμενον ἰδόντες ἐν δόξῃ ἀγαλλιασώμεθα καὶ σκιρτήσωμεν ἄληκτα, τῆς ἐκ δεξιῶν στάσεως, καὶ τῆς ἐπηγγελμένης μακαρίας φωνῆς καὶ εὐλογίας ἐπιτυχόντες, εἰς δόξαν τοῦ κατὰ σάρκα δι' ἡμᾶς σταυρωθέντος Υἱοῦ τοῦ Θεοῦ. Ὅτι αὐτῷ πρέπει δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A Et nos non illustraremus honoribus, non laudibus coleremus illud tropæum communis humani generis salutis, quod etiam solo aspectu perversissimum serpentem fugat et devincit et ignominia confundit, ipsius cladem et contritionem prædicat, Christum vero glorificat et magnificat, ejusque victoriam mundo patefacit? Sane etiam; nam si crux esset contemptibilis, quia Christus in ea mortem subiit, mors ipsius nec esset veneranda nec salutifera; quomodo ergo, teste Apostolo, in morte Christi baptizati sumus? quomodo si complantati facti sumus similitudini mortis ejus, simul et resurrectionis erimus? Insuper etsi colens crucis signum non inscriptum habens nomen Dominicum, merito judi- B caretur ultra debitum facere; verum cum in nomine Jesu omne genu flectatur cœlestium, terrestrium et infernorum, cumque illud nomen adorabile crucis inscriptum habeat, quantæ erit insipientiæ coram cruce Christi genu non flectere? Nos vero corda cum genibus flectentes hodie adorabimus cum Psalmista et Propheta de loco canente: ubi steterant pedes ejus; ubi, dicemus, manus orbis creatrices expansæ sunt; ubi fons vitæ corpus pro nobis affixum fuit. Et in fide adorantes et amplectentes, plenam inde hauriamus sanctificationem quam custodiamus ita, ut, adventante cum potestate magna illa futura Domini et Dei et Salvatoris nostri Jesu Christi manifestatione, illum cum gloria procedentem cernentes, jubilemus et indesinenter exsulte- C mus accepta pro meritis retributione, illaque beata voce promissa et benedictione fruentes in gloriam pro nobis crucifixi secundum carnem Filii Dei, quem decet gloria cum ejus æterno Patre, et sanctissimo necnon bono et vivificante Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

## 63 ΟΜΙΛΙΑ ΙΒ'.

*Ἐν τῇ τετάρτῃ τῆς ἁγίας Τεσσαρακοστῆς Κυριακῇ, ὑπόθεσιν ἔχουσα τὸ κατ' αὐτὴν ἀναγινωσκόμενον Εὐαγγέλιον· ἐν ᾗ καὶ περὶ τῆς ἐπιμελείας τῶν ἔνδον λογισμῶν.*

Πολλάκις πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ μάλιστα κατὰ τὰς ἱερὰς ταύτας ἡμέρας, περὶ νηστείας καὶ προσευχῆς εἰπὼν, οἵοις δεξιοῦνται δώροις τοὺς ἐραστὰς, καὶ πόσων ἀγαθῶν γίνονται πρόξενοι τοῖς χρωμένοις, ὃ διὰ τῆς σήμερον ἀναγινωσκομένης ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου φωνῆς μάλιστα προσμαρτυρεῖται ταύταις, οὔπω ταῖς φιλοθέοις ὑμῶν ἀκοαῖς τε καὶ ψυχαῖς ἐναπέθηκα. Τί δέ ἐστι τοῦτο; μέγα καὶ τὸ πάντων ὡς εἰπεῖν μέγιστον· πρὸς γὰρ τοῖς ἄλλοις καὶ ἐξουσίαν δύνανται παρέχειν κατὰ πνευμάτων πονηρῶν, ὥστε αὐτὰ ἐκβάλλειν καὶ ἀπελαύνειν, καὶ τοὺς δαιμονῶντας τῆς αὐτῶν ἐπηρείας ἐλευθεροῦν. Τῶν γὰρ μαθητῶν πρὸς τὸν Κύριον εἰπόντων περὶ τοῦ ἀλάλου καὶ κω-

## HOMILIA XII.

*In Evangelium quartæ in sacra Quadragesima Dominicæ, et in necessitatem suis invigilandi cogitationibus.*

D Pluries et præsertim in his diebus sacris ad vestram charitatem de jejunio et oratione sermonem habens quantis donis fideles dignantur quantaque bona utentibus impertiuntur, quod in hodierno Evangelio vox Domini istis operibus testimonium perhibet nondum auribus animisque vestris Deo amicis submisi. Quid ergo? Magnum quoddam et omnium, ut ita dicam, maximum. Etenim præter alia jam dicta potestate gaudent pravis dæmonibus oblectandi, ita ut eos ejiciant et arceant, et correptos ab eorum violentia liberos efficiant. Dicentibus enim ad eum discipulis de dæmonio muto et surdo: « Quare nos non potuimus ejicere illud? respondit Dominus: « Quia hoc genus in nullo potest prodire nisi

Digitized by Google

in oratione et jejunio [69]. » Ideo illico post orationem in monte et divini vultus manifestationem descendens vadit ad locum ubi erat homo ab illo dæmone vexatus. Nam electos discipulos, ut scriptum est [70], assumens, ascendit in montem orare, et resplenduit sicut sol. Et ecce apparuerunt cum ipso loquentes Moyses et Elias, qui ferme ex omnibus hominibus studiosissime exerciti jejunio et oratione ostendunt in eo quod per orationem adsunt quantum inter se conveniunt et consonant jejunium et oratio, adeo ut cum oratione quæ et ipsa Dominum affatur, colloqui videatur jejunium. Si enim vox sanguinis occisi Abel clamat ad Dominum prout ipse, teste Moyse, ad Cain dixit [71], quanto magis omnes corporis partes, omnia membra jejunio laborantia clamabunt ad Dominum, et jejunantis orationi convenientia seu aliquo modo et ipsa deprecantia, merito eam jucundiorem reddent et probabunt libenter toleratam jejunii fatigationem. Ideo postquam orasset et divinitus resplenduisset, descendens e monte Dominus ad turbam et discipulos pergit, quibus allatus est ille dæmonium habens, ut sicut in illo monte monstraverat jejunii et orationis bravium non modo magnum sed quam maximum (ostendit enim eorum bravium esse divinum splendorem), ita descendens monstraret illorum mercedem esse potestatem adversus dæmones. Cum igitur in præsenti sacrorum jejuniorum Dominica soleamus in Ecclesia hujus miraculi evangelicam relationem lectitare, age, istam narrationem altius resumamus.

A φοῦ δαιμονίου, ὅτι Ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτὸ, πρὸς αὐτοὺς ὁ Κύριος ἔφη· « Τοῦτο τὸ γένος οὐκ ἐκπορεύεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. » Καὶ τάχα διὰ τοῦτο μετὰ τὴν ἐπ' ὄρους προσευχὴν καὶ τὴν κατ' αὐτὴν ἐμφάνειαν τῆς θεϊκῆς αὐγῆς, καταβὰς εὐθὺς ἐπὶ τὸν τόπον ἔρχεται ἔνθα ὁ τῷ δαίμονι ἐκείνῳ κάτοχος ἦν. « Τοὺς γὰρ ἐγκρίτους τῶν μαθητῶν, φησὶ, παραλαβὼν ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἔλαμψεν ὡς ὁ ἥλιος· καὶ ἰδοὺ ὤφθησαν αὐτῷ συλλαλοῦντες Μωϋσῆς καὶ Ἠλίας, » οἱ μάλιστα σχεδὸν πάντων ἀνθρώπων τὴν προσευχὴν καὶ τὴν νηστείαν ἀσκήσαντες· δεικνύντι καὶ διὰ τῆς ἐν τῇ προσευχῇ παρουσίας αὐτῶν τὸ τῆς προσευχῆς καὶ τῆς νηστείας συνῳδὸν καὶ φιλάλληλον, ὡς καὶ συλλαλεῖν οἷον τῇ προσευχῇ τὴν νηστείαν ὁμιλοῦσῃ πρὸς Κύριον. B Εἰ γὰρ φωνὴ αἵματος παθόντος Ἄβελ βοᾷ πρὸς Κύριον, καθάπερ αὐτὸς πρὸς τὸν Κάϊν φησὶν, ὡς διὰ Μωσέως ἐμάθομεν, πάντως καὶ τὰ τοῦ σώματος μέρη καὶ μέλη πάντα τῇ νηστείᾳ κακοπαθοῦντα βοήσει πρὸς Κύριον, καὶ τῇ προσευχῇ συλλαλήσαντα τοῦ νηστεύοντος, καὶ οἷον συμπροσευξάμενα, δικαίως εὐπροσδεκτοτέραν ταύτην ἐργάσεται, καὶ δικαιώσει τὸν ἑκουσίως ὑφιστάμενον τῆς νηστείας τὸν πόνον. Μετὰ δὴ τὸ προσεύξασθαι καὶ λάμψαι θείως, καταβὰς ἐκ τοῦ ὄρους ὁ Κύριος, ἔρχεται πρὸς τὸν ὄχλον καὶ τοὺς μαθητὰς, οἷς προσηνέχθη ὁ τὸ δαιμόνιον ἔχων ἐκεῖνος, ἵν' ὥσπερ ἔδειξεν ἐπ' ὄρους ἐκεῖνο νηστείας καὶ προσευχῆς ὑπάρχον βραβεῖον, οὐ μέγα μόνον, ἀλλὰ καὶ ὑπὲρ C τὸ μέγα· καὶ γὰρ ἔδειξεν ἆθλον οὖσαν τούτων τὴν θείαν λαμπρότητα· οὕτω καταβὰς ἐπιδείξει τούτων ἔπαθλον οὖσαν καὶ τὴν κατὰ δαιμόνων ἰσχύν. Ἀλλ' ἐπεὶ κατὰ τὴν παροῦσαν τῶν ἱερῶν νηστειῶν κυριώνυμον ἡμέραν ἐπ' ἐκκλησίας ἔθος τὰ περὶ τοῦ θαύματος ἀναγινώσκεσθαι τούτου, φέρε τὴν αὐτὸ καταγγέλλουσαν εὐαγγελικὴν ῥῆσιν ἄνωθεν ἐπέλθωμεν ἅπασαν.

Scriptum est enim . Veniente Jesu ad discipulos et ad turbam circumstantem et interrogante, quis esset sermo ad invicem, respondens unus de turba dixit : « Magister, attuli filium meum ad te habentem spiritum mutum, qui ubicunque eum apprehenderit allidit eum et spumat et stridet dentibus et arescit [72]. » Cur ergo spumabat ille et stridebat dentibus et arescebat? Quem corripuerit diabolus primo et magis quam cætera corporis membra ejus dolet cerebrum, nam isto quasi inde nascatur animalis spiritus, tanquam curru utitur dæmon et ex eo velut ex arce toti minatur corpori. Dolente cerebro quidam inde fluxus prodit inflatilis et pituitosus, in nervos et corporales artus, obturatis animalium spirituum transitibus. Hinc motu, laniatu, impetu involuntario omnia membra quibus imperat voluntas, allic untur, et in primis maxillæ quæ propius ad membrum prius dolorosum inhærent. Sed humore multo magis ac magis in corpore irrigato, propter humorum fluxum et cerebri proximitatem, cum vi organorum immediate commotorum æger anhelitus spirare nequeat, sed contra humoris multitudine mistim perfusa ægrotantibus nascitur spuma. Iudo

Ἐλθόντι γοῦν, φησὶ, τῷ Ἰησοῦ πρὸς τοὺς μαθητὰς καὶ τοὺς αὐτοῖς συμπαρόντας, καὶ ἐρωτήσαντι, τίς ὁ πρὸς ἀλλήλους λόγος, ἀποκριθεὶς 64 εἷς ἐκ τοῦ ὄχλου εἶπε· « Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σὲ ἔχοντα πνεῦμα ἄλαλον, καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτὸν καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ καὶ ξηραίνεται. » Πῶς οὖν ἤφριζεν οὗτος καὶ ἔτριζε τοὺς ὀδόντας καὶ ἐξηραίνετο; Τοῦ δαιμονῶντος πρῶτόν τε καὶ μᾶλλον τῶν ἄλλων μορίων τοῦ σώματος ὁ ἐγκέφαλος πάσχει· τῷ γὰρ ἐν D τούτῳ ψυχικῷ πνεύματι ὡς ὀχήματι χρῆται ὁ δαίμων, καὶ ἀπὸ τούτου, καθάπερ ἐξ ἀκροπόλεώς τινος καταδυναστεύει παντὸς τοῦ σώματος· τοῦ δὲ ἐγκεφάλου πάσχοντος, σύῤῥοιά τις ἐκεῖθεν ἀφίεται φυσσώδης ὁμοῦ καὶ φλεγματώδης ἐπὶ τὰ νεῦρα καὶ τοὺς μῦας τοῦ σώματος, τοῦ ψυχικοῦ πνεύματος τὰς διεξόδους ἐμφράττουσα· καὶ κλόνος ἐντεῦθεν καὶ ῥῆξις καὶ κίνησις ἀπροαίρετος πᾶσι τοῖς προαιρετικοῖς μορίοις ἐγγίνεται, μάλιστα δὲ ταῖς γνάθοις, ὡς μάλιστα πλησιαζούσαις τῷ πρωτοπαθήσαντι μορίῳ. Πολλοῦ δὲ τοῦ ὑγροῦ μᾶλλον ἐπὶ τὸ στόμα καταφερομένου διά τε τὸ χώρημα τῶν πόρων καὶ τὴν πρὸς τὸν ἐγκέφαλον ἐγγύτητα, τῆς τε

[69] Matth. xvii, 18, 19. [70] ibid. 1 seqq. [71] Gen. iv, x, seqq. [72] Marc. ix, 16, 17.

Digitized by Google

ἀναπνοῆς ἀθρόας διεκπνεῖσθαι μὴ δυναμένης διὰ A τὴν τῶν ὀργάνων ἄτακτον συγκίνησιν, ἀλλὰ καὶ τῷ πλήθει τοῦ ὑγροῦ συναναφυρομένης ὁ ἀφρὸς ἐπιγίνεται τοῖς πάσχουσιν. Οὕτως ἤφριζέ τε καὶ ἔτριζε τοὺς ὀδόντας, δεινῶς προσαρασσομένους καὶ μανικῶς ἐπιθηγομένους ὁ δαίμων ἐκεῖνος. Ἐξηραίνετο δὲ μετὰ ταῦτα ὑπὸ τῆς σφοδροτέρας ἐπηρείας τοῦ δαιμονίου· καθάπερ γὰρ ὑπὸ τῆς θέρμης τῆς ἡλιακῆς ἀκτῖνος οἱ ἀτμοὶ κινούμενοι, ἂν αὕτη σφοδροτέρα ᾖ, ὑπ' αὐτῆς πάλιν καὶ ἀφανίζονται τελέως διαφορηθέντες, οὕτω καὶ ὑπὸ τῆς τοῦ δαίμονος ἐπηρείας ἡ τῶν σπλάγχνων ὑγρότης ἐκδιδομένη, ἂν ἐκείνη σφοδροτέρα ᾖ, μετ' οὐ πολὺ δαπανᾶται καὶ ἡ τῆς σαρκὸς ἔμφυτος ἰκμὰς, καὶ ὁ δαιμονῶν ἐκεῖνος καταξηραίνεται.

Ὁ δὲ τοῦ δαιμονῶντος πατὴρ προσετίθει πρὸς τὸν Κύριον, λέγων, ὅτι εἶπε τοῖς μαθηταῖς ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν· ὁ δὲ Κύριος οὐ πρὸς αὐτὸν μόνον, ἀλλὰ καὶ πρὸς πάντας ἀποτεινόμενος, B « Ὦ γενεὰ, φησὶν, ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι, ἕως πότε ἀνέξομαι ὑμῶν; » Δοκεῖ μοι τοὺς τηνικαῦτα παρόντας τῶν Ἰουδαίων ἀφορμῆς λαβομένους, τῷ μὴ δυνηθῆναι τοὺς μαθητὰς ἐξελάσαι τὸν δαίμονα, μὴ μέτριά τινα βλασφημῆσαι· τί γὰρ ἂν οὐκ εἶπον ἀφορμῆς λαβόμενοι οἱ, καὶ τῶν θαυμάτων τελουμένων, τῆς βλασφημίας οὐκ ἀφιέμενοι; Τοὺς οὖν γογγυσμοὺς τούτων εἰδὼς ὁ Κύριος, πόρρωθεν ἐξελέγχει καὶ καταισχύνει τούτους, οὐ διὰ λόγων μόνων πληκτικωτέρων, ἀλλὰ καὶ δι' ἔργων τε καὶ λόγων φιλανθρωπίας γεμόντων· προστάττει γὰρ λέγων· Φέρετέ μοι αὐτὸν ὧδε, καὶ ἤνεγκαν, καὶ ἰδὼν τὸν Κύριον τὸ δαιμόνιον ἐσπάραξε τὸν ἄνθρωπον, καὶ πεσὼν ἐκυλίετο ἀφρίζων· συνεχωρεῖτο γὰρ φανερὰν ποιῆσαι τὴν ἰδίαν κακίαν. Ὁ δὲ Κύ- C ριος ἐπηρώτα τὸν πατέρα τοῦ παιδός· « Πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; » Ταύτην δὲ τὴν ἐρώτησιν ὑπὸ φιλανθρωπίας ποιεῖται ὁ Κύριος, πρὸς πίστιν καὶ τὴν μετὰ πίστεως δέησιν ἐνάγων αὐτόν· τοσοῦτο γὰρ ἀπεῖχε τοῦ πιστεύειν ὁ ἄνθρωπος οὗτος, ὡς μηδὲ ὑπὲρ τῆς σωτηρίας τοῦ παιδὸς ἱκετεύειν· διὸ οὐδὲ τοὺς μαθητὰς ἱκέτευεν ὅλως· « Εἶπον γὰρ, φησὶν, αὐτοῖς ἵνα αὐτὸ ἐκβάλωσιν· » οὐ προσέπεσεν, οὐχ ἱκέτευσεν, οὐκ ἐδεήθη. Ἀλλ' οὐδὲ τοῦ Κυρίου φαίνεταί πω δεηθείς· διὰ τοῦτο ἀφεὶς ὁ Κύριος ἐλεεινῶς πρὸ τῶν ὀφθαλμῶν τούτου τὸν παῖδα κείμενον, αὐτὸς ἐκείνῳ προσδιαλέγεται, τὸν χρόνον τοῦ πάθους ἐρωτῶν, καὶ τὴν αἴτησιν αὐτοῦ
65 ἐκκαλούμενος· ὁ δὲ ἀποκρίνεται « Παιδιόθεν· » D καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτὸν, καὶ ἐπάγει· « Ἀλλ' εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. »

Ὁρᾶτε τὴν ἀπιστίαν τοῦ ἀνδρὸς ὅση; ὁ γὰρ λέγων, Εἰ δύνασαι, πάντως ἔδειξε μὴ πιστεύων αὐτὸν δύνασθαι. Ὁ δὲ Κύριος εἶπε τὸ, « Εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι· » τοῦτο δέ φησιν οὐχ ὡς ἀγνοῶν ἐκείνου τὴν ἀπιστίαν, ἀλλὰ κατὰ μικρὸν ἔτι προβιβάζων αὐτὸν εἰς πίστιν, καὶ ἅμα δεικνὺς, ὅτι καὶ τὸ μὴ τοὺς μαθητὰς ἐκβαλεῖν τὸν δαίμονα ἡ τούτου ἀπιστία γέγονεν αἰτία. Σκόπει δὲ τὸν Εὐαγγελιστήν· οὐ γὰρ εἶπε τὸν Κύριον πρὸς τὸν πατέρα τοῦ παιδὸς εἰπεῖν, Εἰ δύνασαι πιστεῦσαι, ὡς ἀεὶ σχεδὸν τὴν πίστιν ἀπαιτοῦντος τοῦ Κυρίου

spumabat et stridebat dentibus et arescebat inter se invicem misere collisis et furenter conflictatis. Sicut æstuantibus solis radiis vapores excitantur; si calidiores fiant, ab eisdem prorsus exhausti absorbentur; ita viscerum humores dæmonii insultu commoti si violentior fiat, cum illis plane consumuntur nativi carnis humores, unde et ille dæmonio possessus arescebat.

Quem pater ejus attulit coram Domino inquiens quod petiisset a discipulis ut illud ejicerent et non potuissent; Dominus autem non ad ipsum solum, sed ad omnes conversus : « O generatio, ait, incredula, quandiu apud vos ero? Quandiu vos patiar? » Mihi videtur Judæos ibi præsentes ex eo quod discipuli non potuissent ejicere dæmonium, exemplum sumpsisse, ut immodice blasphemarent. Quid enim non dixissent, exinde sumpta occasione, qui, perfectis miraculis, toto ore blasphemabant? Murmura igitur eorum conviciaque a longe videns Dominus arguebat et confundebat eos non tantum per acerbas vituperationes, sed etiam per verba, per opera benignitatis plena. Nam adjicit dicens : « Afferte illum ad me. Et attulerunt eum. » Et cum Dominum vidisset dæmonium, statim conturbavit hominem, et elisus in terram volutabatur spumans; sinebatur enim suam manifestare nequitiam. Dominus vero interrogavit patrem pueri : « Quantum temporis est ex quo ei hoc accidit? » Quam interrogationem ex humanitate facit Dominus ad fidem miraculorum matrem et post fidem ad orationem eum adducens; tantum enim abfuerat, ut homo ille crederet ut pro salute pueri ne deprecaretur quidem. Ideo nec discipulos ullo modo deprecatus est; ait enim : « Dixi illis ut ejicerent illum. » Non ad pedes procubuit, non exoravit, non deprecatur, sed nec etiam Dominum implorasse nullibi videtur. Propterea relinquens Dominus coram oculis misere jacentem, ipse cum patre colloquitur de morbi tempore sciscitans, et illum ad orandum invitans. Qui respondit hoc puero ab infantia accidisse, et frequenter in ignem et in aquas misisse ut eum perderet, et addit : Si quid potes, adjuva nos misertus nostri.

Videtisne incredulitatem hominis istius magnam? Nam dicens : Si potes, ostendit se nihil credere illum posse. Ait autem Dominus : « Si potes credere, omnia possibilia sunt. » Quod dixit non quasi ejus incredulitatis ignarus, sed paulatim eum ad fidem pedetentimque adducens, et simul monstrans quod si discipuli non potuerant dæmonem ejicere, hujus causa erat ipsius incredulitas. Evangelistam vero inspicite. Non ait Dominum ad patrem pueri dixisse : « Si potes credere » quasi fere semper fidem inquirat Dominus ab iis qui sanationes fla-

Digitized by Google

gitabant; animarum siquidem Dominus et protector ardebat studio eas per fidem sanandi. Pater vero pueri, ut audivisset suam fidem sequi sanationem, cum lacrymis aiebat : « Credo, Domine, adjuva incredulitatem meam. » Videtisne hanc eximiam morum commutationem? Non solum credidit filium fore sanandum, sed etiam Dominum posse si vellet ejus subigere incredulitatem. Turba vero ad hæc verba concurrente, comminatus est, ait, Dominus spiritui immundo dicens illi : « Surde et mute spiritus, ego præcipio tibi, exi ab homine et amplius ne introeas in eum. »

Mihi nonnisi ægre ejiciendum et expellendum videtur hoc dæmonium; nam vi istius comminationis et jussu non amplius intrandi tenax manifestatur dæmonis adhæsio. Crediderim equidem quod sine tali jussu, semel ejectus, iterum fuisset ingressus. Magna potestate in hunc hominem dominabatur; mordicus adhærebat, mutum et surdum erat ita ut natura non posset nimio ejus furori ministrare et proinde in indolentiam fere plenam viribus exhaustis laberetur. Ideo exclamans et multum discerpens eum exiit ab eo; et homo factus est sicut mortuus, ita ut multi dicerent ipsum mortuum. Clamor non impedit quin mutum fuerit dæmonium. Nam sermo vox est cogitationis significativa, clamor autem nulla vi significandi gaudet. Sinit Dominus dæmonium taliter discerpere hominem ut mortuus jacere videretur ad manifestandam coram omnibus totam illius malignitatem. Jesus autem tenens manum hominis elevavit eum, et surrexit ea ratione ostendens quoniam duplicem habet potestatem : manu enim assumere creatæ est potestatis prout nobis inest, sed erigere hominem malorum sensus expertem nonnisi ad increatam, ad divinam, ad vivificantem pertinet potestatem. Discipulis vero postea secreto interrogantibus quare non potuissent illud ejicere, respondit : Hoc dæmonium in nullo potest exire nisi in jejunio et oratione. Dicunt quidam orationem et jejunium debere a patiente factitari; quod non ita; nam qui pravo spiritu possidetur et ut talis ejus instrumentum et in illius potestate positus, quomodo precaretur et propter se utiliter jejunaret? Censeo intemperantiæ fuisse illud tetrum dæmonium quod in ignem quandoque mittit correptum. Tales enim sunt alieni vesanique amores. Quandoque in aquas etiam eum injicit per ingluviem, per nimios potus, per multas compotationes. In his versatur illud mutum surdumque dæmonium. Divina enim non facile patitur audire vel dicere qui talis dæmonii instigationibus movetur. Sed simul qui pravum spiritum inhabitantem ipsum non habet, ejus autem suasionibus inducitur, si de conversatione fortiter statuat, adhuc libero fruitur arbitrio, sed oratione et jejunio indiget ut per jejunium corpus refrenet, et ejus rebelles impetus coerceat, per orationem vero præconceptiones et incitantes

A παρὰ τῶν τὰς ἰάσεις ἐπιζητούντων· καὶ τῶν ψυχῶν γὰρ ὑπάρχων δεσπότης καὶ κηδεμὼν, ἐσπούδαζε καὶ ταύτας ἰᾶσθαι διὰ τῆς πίστεως· ἀλλ' ὁ τοῦ παιδὸς πατὴρ ἐκεῖνος, ὡς ἤκουσε τῇ αὐτοῦ πίστει τὴν ἴασιν ἀκολουθεῖν, μετὰ δακρύων ἔλεγε· « Πιστεύω, Κύριε· βοήθει μου τῇ ἀπιστίᾳ. » Βλέπετε προκοπὴν ἠθῶν ἀρίστην; οὐ μόνον γὰρ ἐπίστευσε περὶ τῆς τοῦ παιδὸς ἰάσεως, ἀλλ' ὅτι δύναται ὁ Κύριος ἐκνικῆσαι καὶ τὴν αὐτοῦ ἀπιστίαν, εἴπερ ἐθελήσει. Τοῦ δὲ ὄχλου ἐπὶ τοῖς λόγοις τούτοις συντρέχοντος, ἐπετίμησε, φησὶν, ὁ Κύριος τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ· « Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐτοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. »

Παγχάλεπον τὸ δαιμόνιον τοῦτο δοκεῖ καὶ ἰταμώ- B τατον εἶναι· τό τε γὰρ σφοδρὸν τῆς ἐπιτιμήσεως, καὶ ἡ παραγγελία τοῦ μηκέτι εἰσελθεῖν τὴν ἰταμότητα τοῦ δαιμονίου παρίστησι· χωρὶς γὰρ ταύτης, ὡς ἔοικε, καὶ ἐκβληθὲν ἐπανέστρεψεν ἄν. Πολλὴν δὲ καὶ χώραν ἔσχεν ἐν τῷ ἀνθρώπῳ, καὶ δυσαποσπάστως εἶχε, καὶ κωφὸν καὶ ἄλαλον ἦν, ὡς μὴ ἀρκούσης τῆς φύσεως ὑπηρετεῖσθαι τῇ ὑπερβολῇ τῆς ἐκείνου μανίας, διὸ καὶ πασχούσης ἀναισθησίαν σχεδὸν τελείαν· ἐπεὶ, « Καὶ κράξαν, φησὶ, καὶ πολλὰ σπαράξαν αὐτὸν, ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ νεκρὸς, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν. » Ἡ κραυγὴ δὲ οὐκ ἀντίκειται πρὸς τὸ ἄλαλον εἶναι τὸ δαιμόνιον· ἡ μὲν γὰρ λαλιὰ φωνή ἐστι σημαντικὴ νοήματός τινος, ἡ δὲ κραυγὴ ἄσημός ἐστι φωνή· ἀφίεται δὲ τὸ δαιμόνιον καὶ σπαράξαι ἐπὶ τοσοῦτον τὸν ἄνθρω- C πον, καὶ ὡσεὶ νεκρὸν διαθεῖναι, ἵνα φανερὰ γένηται πᾶσα ἡ κακία αὐτοῦ. Ὁ μέντοι Κύριος τῆς χειρὸς τοῦ ἀνθρώπου λαβόμενος ἤγειρεν αὐτὸν καὶ ἀνέστη, δεικνὺς ἐντεῦθεν ὅτι πολλὴν ἔχει τὴν ἐνέργειαν· τὸ μὲν γὰρ τῇ χειρὶ λαβέσθαι κτιστῆς ἦν ἐνεργείας τῆς καθ' ἡμᾶς· τὸ δὲ ἀναστῆσαι τοῦτον ἀπαθῆ κακῶν τῆς ἀκτίστου καὶ θείας καὶ ζωαρχικῆς ἐνεργείας. Τῶν δὲ μαθητῶν ἐρωτησάντων ἔπειτα κατ' ἰδίαν, « Διατί οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτὸ, » πρὸς αὐτοὺς εἶπεν, ὅτι τοῦτο τὸ δαιμόνιον « Ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. » Φασὶ μὲν οὖν τινες τὴν προσευχὴν ταύτην καὶ τὴν νηστείαν παρὰ τοῦ πάσχοντος γίνεσθαι δεῖν· οὐκ ἔχει δὲ οὕτως· ὁ γὰρ ἐνεργούμενος ὑπὸ πονηροῦ D πνεύματος, καὶ ταῦτα τοιούτου, ὄργανον ὢν ἐκείνου, καὶ καταδυναστευόμενος ὑπ' ἐκείνου, πῶς ἂν ἢ προσεύξαιτο, ἢ νηστεύσει ἑαυτῷ λυσιτελῶς; Δοκεῖ δὲ τῆς ἀκολασίας εἶναι τὸ πάνδεινον δαιμόνιον τοῦτο, ὃ ποτὲ μὲν εἰς πῦρ ῥίπτει τὸν ἁλόντα· τοιοῦτοι γάρ εἰσιν οἱ ἀλλόκοτοι καὶ δυσέρωτες ἔρωτες· ποτὲ δὲ εἰς ὕδατα καταβαπτίζων αὐτὸν διὰ τῆς ἀδδηφαγίας, καὶ τῶν ἀμέτρων καὶ πολλῶν πότων καὶ συμποσίων. Ἔστι δὲ καὶ ἐν τοῖς τοιούτοις κωφὸν καὶ ἄλαλον τὸ δαιμόνιον τοῦτο· οὔτε γὰρ ἀκούειν οὔτε λαλεῖν εὐχερῶς ὑπομένει τὰ θεῖα ὁ ταῖς ὑποβολαῖς τοῦ τοιούτου δαιμονίου πειθόμενος· ἀλλ' ὅμως μὴ τὸ πονηρὸν 66 αὐτὸ πνεῦμα ἐνψκισμένον τις ἔχων, ἀλλὰ ταῖς ὑποβολαῖς ἐκείνου φερόμενος, ὅταν ἀνακύψῃ πρὸς ἐπιστροφήν· ἔχει γὰρ ἔτι τὸ αὐτεξούσιον·

Digitized by Google

προσευχῆς δεῖται καὶ νηστείας· ἵνα διὰ μὲν τῆς νηστείας χαλινώσῃ τὸ σῶμα καὶ κατασβέσῃ τὰς ἐπαναστάσεις αὐτοῦ, διὰ δὲ τῆς προσευχῆς τὰς ἐν τῇ ψυχῇ προλήψεις καὶ τοὺς ἐρεθίζοντας πρὸς τὸ πάθος ἀργήσῃ καὶ κατευνάσῃ λογισμούς, καὶ οὕτω τοῦ πάθους περιγένηται, τὴν σατανικὴν ἐν προσευχῇ καὶ νηστείᾳ προσβολὴν καὶ ἐπήρειαν ἀπελάσας. Ὅταν δὲ οὐχ ὑπὸ τῆς τοῦ δαίμονος ὑποβολῆς ἐνεργῆται, ἀλλ' αὐτὸν ἐκεῖνον ἔνοικον ἔχῃ, οὔτε κατ' ἀνθρώπους ἔτι πάσχει, οὔτε αὐτός τι δύναται παρ' ἑαυτοῦ πρὸς ἴασιν πράττειν, ἀλλ' ὅπερ ἂν ἐκεῖνος ἔπραξεν, εἴπερ νοῦν ἐλεύθερον εἶχε, τοῦτο παρὰ τῶν ἐλευθέρων, μᾶλλον δὲ καὶ Πνεύματι θείῳ κατόχων, πραττόμενον ὑπὲρ αὐτοῦ τὰ μέγιστα συντελέσει πρὸς τὴν τοῦ δαίμονος ἐκβολήν.

A ad libidinem reprimat arceatque cogitationes, et sic libidinem devincat, satanicis in jejunio et oratione tentationibus et insultibus propulsatis. Sed si quis non modo instigatione dæmonis agitur, verum ipsum inhabitantem habet, is jam non secundum homines patitur, nec quidquam ipse potest a se ad sanandum facere, sed quodcunque ipse fecit, si libera mente polluit, a liberis et præsertim ab eis qui spiritu Dei aguntur pro ipso patratum maxime inserviet ad dæmonem expellendum.

Ἀλλὰ τὸ μὲν δαίμονας ἀπελαύνειν οὔτε ἀπαιτούμεθα, κἂν ἀπελάσαι δυνηθῶμεν, οὐδὲν ἡμῖν ὄφελος, ἀτημέλητον βίον ἔχουσι· «Πολλοὶ γάρ, φησίν, ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; Καὶ ἐρῶ πρὸς αὐτούς, Οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.» Οὐκοῦν πολλῷ κερδαλεώτερον τὸ τῆς πορνείας πάθος, καὶ τῆς ὀργῆς, καὶ τοῦ μίσους, καὶ τῆς ὑπερηφανείας ἀπελάσαι τῆς ψυχῆς τοῦ δαιμόνια ἐκβάλλειν· οὐκ ἀρκεῖ γὰρ τῆς σωματικῆς ἁμαρτίας ἀπηλλάχθαι μόνης, ἀλλὰ δεῖ καὶ τὴν ἔνδον οἰκουροῦσαν τῆς ψυχῆς καθαίρειν ἐνέργειαν· ἐκ γὰρ τῆς καρδίας ἡμῶν οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί, πλεονεξίαι καὶ τὰ ἑξῆς· ταῦτα δέ ἐστι τὰ κινοῦντα τὸν ἄνθρωπον· καὶ «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ·» τοῦ γὰρ σώματος ἀπρακτοῦντος ἔνι λογιστικῶς τὴν ἁμαρτίαν ἐνεργεῖσθαι. Τῆς δὲ ψυχῆς ἔνδον διὰ προσευχῆς καὶ προσοχῆς καὶ μνήμης θανάτου, καὶ τῆς κατὰ Θεὸν λύπης, καὶ τοῦ πένθους, ἀναιρούσης τὴν προσβολὴν τοῦ πονηροῦ, συμμεταλαμβάνει καὶ τὸ σῶμα τῆς ἁγιωσύνης, τὴν ἀπραξίαν τῶν κακῶν κτησάμενον· καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ Κύριος, ὅτι οὐχ ὁ τὸ ἔξωθεν τοῦ ποτηρίου καθάρας, οὗτος καὶ ἔσωθεν ἐκάθηρεν, ἀλλὰ ποιήσατε τὸ ἐντὸς τοῦ ποτηρίου καθαρόν, καὶ οὕτως ἔσται καθαρὸν ὅλον· πᾶσαν γὰρ σπουδὴν ποιήσας, ἵνα ἡ ἔνδον σου ἐργασία κατὰ Θεὸν ᾖ, νικήσεις τὰ ἔξω πάθη· ἐὰν γὰρ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι, καὶ ἐὰν ἡ ζύμη, καὶ τὸ φύραμα· «Πνεύματι γάρ, φησὶν ὁ Παῦλος, περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.»

Nos autem dæmones ejiciendi facultatem non postulamus, etsi illud ejicere possimus, nobis enim B non expedit qui tam tepidam exigimus vitam. Scriptum est enim : « Multi dicent mihi in illa hora : Domine, nonne in nomine tuo prophetavimus, et in nomine tuo ejecimus dæmonia ? et ego respondebo illis, Nequaquam novi vos, discedite a me qui operamini iniquitatem [73]. » Multo ergo utilius est studere ut impudicitiam, iracundiam, odium et superbiam ab anima expellamus, quam dæmonia ejicere. Nam non sufficit ab omni carnali peccato solum eximi, sed oportet etiam interiores animæ purgare facultates. De corde enim nostro cogitationes malæ prodeunt, adulteria, fornicationes, homicidia, furta, avaritia, cæteræque iniquitates ; hæc sunt quæ communicant hominem [74]. » Et : « Qui viderit mulierem ad concupiscendam eam, jam mœchatus est C eam in corde suo [75]. » Inerte enim corpore, adhuc licet in anima operari iniquitatem ; sed anima interius per orationem, diligentiam mortisque memoriam, per tristitiam quæ est secundum Deum, et per dolorem maligni spiritus tentationes propellente, corpus etiam ejus sanctitatis fit particeps et a malo vacare discit. Hoc est quod ait Dominus : Non qui mundat quod intus est calicis, facit illud exterius mundum, sed facite quod intus est calicis mundum, et sic erit mundum totum. Etenim si toto studio incumbas ut intimæ operationes tuæ sint secundum Deum, superabis externas cupiditates. Si enim radix sancta, et rami ; si fermentum incorruptum, item et massa. « Spiritu ambulate, ait Paulus [76], et D desideria carnis ne perficiatis. »

Διὸ καὶ τὴν Ἰουδαϊκὴν περιτομὴν οὐκ ἀνεῖλεν ὁ Χριστός, ἀλλ' ἐτελείωσεν· αὐτὸς γάρ ἐστιν ὁ λέγων· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι.» Πῶς οὖν ἐπλήρωσεν αὐτόν; Σφραγὶς ἦν ἐκεῖνος καὶ δεῖγμα καὶ συμβολικὴ διδασκαλία τῆς ἐν τῇ καρδίᾳ τῶν πονηρῶν λογισμῶν περιτομῆς, πρὸς ἣν Ἰουδαῖοι μὴ σπουδάζοντες, καὶ παρὰ τῶν προφητῶν ὡς ἀπερίτμητοι τὴν καρδίαν ὠνειδίζοντο, καὶ παρὰ τοῦ βλέποντος εἰς τὴν καρδίαν ἐμισοῦντο, καὶ εἰς τέλος ἀπόβλητοι γεγόνασιν· ἄνθρωπος γὰρ εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν ὁρᾷ· καὶ ἐὰν ῥυπαρῶν

Propterea Judaicam circumcisionem Jesus non abstulit, sed perfecit. Ipse enim dixit : « Non veni solvere legem, sed adimplere [77]. » Quomodo adimplevit ? Signum erat illa et indicium et symbolica doctrina circumcisionis pravarum cogitationum in corde patrandæ, cui Judæi tunc non studentes a prophetis tanquam incircumcisi corde objurgabantur, et ei qui intuetur cor invisi in finem rejecti sunt. Nam homo secundum faciem judicat, Deus autem intuetur cor [78]. Quod si cor sordidis et pravis cogitationibus feteat, divina indignatione homo iste

[73] Matth. VII, 23. [74] Marc. VII, 23. [75] Matth. V, 28. [76] Galat. V, 16. [77] Matth. V, 17. [78] I Reg. XVI, 7.

Digitized by Google

fit dignus. Ideo rursum Apostolus nos hortatur ut sine ira, sine mala blateratione Deum precemur. Et Dominus nos docens ut ad illam spiritualem cordis circumcisionem toto animo incumbamus, beatos prædicat mundos corde, et pauperes spiritu; cujus munditiæ mercedem Dei contemplationem promittit, paupertatis vero pretium regnum cœlorum annuntiat. Pauperes dixit qui inopia et necessitate premuntur. Quos non omnes beatos dicit, sed pauperes spiritu, id est qui externa bona ita per internam cordis humilitatem et rectam intentionem disponunt. Non cædem solam et iram prohibet, jubet nos dimittere et toto corde nos offendentibus nec a nobis oblatum accipit donum, nisi antea reconciliemur iramque deponamus.

A ἡ πονηρῶν αὕτη λογισμῶν γέμῃ, τῆς θείας ἀποστροφῆς ἄξιος ὁ ἄνθρωπος γίνεται ἐκεῖνος. Διὸ καὶ πάλιν ὁ Ἀπόστολος παραινεῖ χωρὶς ὀργῆς καὶ διαλογισμῶν ἡμᾶς ποιεῖσθαι τὰς εὐχάς. Σπουδάζειν δὲ ἡμᾶς ὁ Κύριος διδάσκων εἰς **67** τὴν ἐν πνεύματι τῆς καρδίας περιτομὴν, μακαρίζει μὲν τοὺς καθαροὺς τῇ καρδίᾳ, καὶ τοὺς πτωχοὺς τῷ πνεύματι. Καὶ τῆς μὲν καθαρότητος ταύτης τὴν θεοπτίαν ἔπαθλον εἶναι διατείνεται, τοῖς δὲ πτωχοῖς τὴν τῶν οὐρανῶν βασιλείαν ἐπαγγέλλεται· πτωχοὺς δέ φησι τοὺς ἐν ἐνδείᾳ καὶ εὐτελείᾳ ζῶντας. Οὐχ ἁπλῶς δὲ τοὺς τοιούτους μακαρίζει, ἀλλὰ τοὺς ἐν πνεύματι τοιούτους, τουτέστι τοὺς διὰ τὴν ἔνδον αὐτῶν καὶ ἐν καρδίᾳ ταπείνωσιν καὶ ἀγαθὴν προαίρεσιν, οὕτω καὶ τὰ ἔξω διαθέντας. Ἀπαγορεύει δὲ οὐ τὸν φόνον μόνον, ἀλλὰ καὶ τὴν ὀργὴν, καὶ ἀφιέναι τοῖς εἰς ἡμᾶς πταίουσιν ἀπὸ τῶν καρδιῶν προστάττει, καὶ οὐ τὸ παρ' ἡμῶν προσφερόμενον δέχεται δῶρον, ἐὰν μὴ προδιαλλαγῶμεν, καὶ τὴν ὀργὴν ἀφῶμεν.

Ita etiam de lascivis libidinibus. Pulchrioris formæ intuitionem et concupiscentiam ex ea in corde exortam damnat tanquam adulterium. Et generalius adhuc discurrens hæc dicit: « Si lumen quod est in te, scilicet mens et cogitatio, tenebræ sunt, caligantibus eis quæ obscuritate universum dirigunt, quanto magis et ipsæ tenebræ, id est corpus et sensus, quæ ex semetipsis spiritualem lucem non habent qua enascitur veritas et acquiritur animæ tranquillitas. Si autem lumen quod est in te est mundum, carnalibus non obscuratum phantasiis, lucidus eris in anima totus, quandiu facis istius splendore illuminaberis. Hæc est cordis in spiritu circumcisio, per quam Dominus perfecit legalem in corde circumcisionem, quæ data est Judæis, ut priorem significaret. Illis autem istam consequi non studentibus, circumcisio eorum, ut inquit Paulus [79], præputium facta est, et alienati sunt a Deo, qui non in faciem, id est in externas carnis justificationes, sed in cor intuetur, seu in invisibiles et nobis intimos cogitationum motus.

B Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πορνικῶν παθῶν· καὶ αὐτὴν γὰρ τὴν ἐκ περιέργου θέαν καὶ τὴν ἐξ αὐτῆς ἐπιθυμίαν ἐν καρδίᾳ μοιχείαν οὖσαν ἀπεφήνατο· καὶ καθολικώτερον ἔτι περὶ τούτων διαλαμβάνων φησίν· « Εἰ τὸ φῶς τὸ ἐν σοὶ, τουτέστιν ὁ νοῦς καὶ ἡ διάνοια, σκότος ἐστὶ, τῶν ἀλαμπῶν προσβολῶν τῶν ἀρχόντων τοῦ σκότους γέμοντα, πόσῳ μᾶλλον τὸ σκότος; ἡ δηλαδὴ τὸ σῶμα καὶ ἡ αἴσθησις, ἅτινα παρ' ἑαυτῶν οὐκ ἔχει φέγγος νοερὸν, γεννητικὸν ἀληθείας τε καὶ ἀπαθείας. Ἐὰν δὲ τὸ ἐν σοὶ φῶς καθαρὸν ᾖ, τῶν σαρκικῶν φρονημάτων οὐκ ἐπισκοτούντων, ἔσῃ φωτεινὸς κατὰ ψυχὴν ὅλως, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Τοιαύτη ἡ τῆς καρδίας ἐν πνεύματι περιτομὴ, δι' ἧς ἐπλήρωσεν ὁ Κύριος τὴν κατὰ νόμον ἐν σαρκὶ περιτομὴν, ἥτις C ἐδόθη τοῖς Ἰουδαίοις ὡς ἐκείνην σημαίνουσα, καὶ πρὸς ἐκείνην ἐνάγουσα, μὴ κτήσασθαι δὲ ταύτην σπουδασάντων, ἡ περιτομὴ, καθά φησι Παῦλος, αὐτῶν ἀκροβυστία γέγονε, καὶ ἀπηλλοτριώθησαν τοῦ μὴ βλέποντος εἰς πρόσωπον Θεοῦ, τουτέστιν εἰς τὰ φανερὰ τῆς σαρκὸς δικαιώματα, ἀλλὰ εἰς τὴν καρδίαν ὁρῶντος, εἰς τὰ ἀφανῆ δηλαδὴ καὶ ἐν ἡμῖν τῶν λογισμῶν κινήματα.

Intendamus ergo et nos, obsecro, ab omni sorde corda nostra purgemus, ne cum reprobis illis corruamus. Si enim qui per Moysen dictus est sermo factus est firmus, et omnis prævaricatio et inobedientiæ accepit justam mercedis retributionem, quomodo nos effugiemus, si tantum neglexerimus salutem? Quæ cum initium accepisset enarrari per Dominum ab eis qui audierunt, in nos confirmata est, contestante Deo signis et portentis et variis virtutibus et Spiritus sancti distributionibus [80]. Timeamus ergo cordium renumque serutatorem, nobis propitium reddamus ultionum Dominum, inhabitare faciamus in nobis pacem, sanctificationem et orationem compunctioni admistam, quibus deficientibus; nemo videbit Dominum; desideremus in firmitate spei visionem illam promissam mundis corde, et omnia ita facitemus, ut illam consequamur cum

Προσέχωμεν οὖν καὶ ἡμεῖς, ἀδελφοὶ, παρακαλῶ, καὶ καθάρωμεν ἀπὸ παντὸς μολυσμοῦ τὰς ἑαυτῶν καρδίας, ἵνα μὴ τοῖς κατακριθεῖσιν ἐκείνοις συμπαραῤῥυῶμεν· εἰ γὰρ ὁ διὰ Μωσέως λαληθεὶς νόμος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκ- D φευξόμεθα, τῆς ἡμετέρας ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι παρὰ τοῦ Κυρίου, διὰ τῶν ἀκουσάντων πρὸς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος ἁγίου μερισμοῖς; Φοβηθῶμεν οὖν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· ἐξιλεωσώμεθα τὸν τῶν ἐκδικήσεων Κύριον· ἐνοικίσωμεν ἡμῖν αὐτοῖς τὴν εἰρήνην, τὸν ἁγιασμὸν, τὴν ἐν κατανύξει προσευχὴν, ὧν χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· ποθήσωμεν ἐν πληροφορίᾳ πίστεως τὴν ἐπηγγελμένην ἐκείνην θέαν τοῖς καθαροῖς τὴν καρ-

[79] Rom. II, 25. [80] Hebr. II, 4.

Digitized by Google

δ!ạν, καὶ πάντα πράξωμεν, ἵνα ταύτης τύχωμεν, μεθ᾽ ἧς ἐστιν ἡ αἰώνιος ζωὴ, τὸ ἀκήρατον κάλλος, ὁ ἀδαπάνητος πλοῦτος, ἡ ἀναλλοίωτος καὶ ἀπέραντος τρυφὴ καὶ δόξα καὶ βασιλεία· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ· ᾧ μόνῳ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, εἰς ἀπεράντους αἰῶνας. Ἀμήν.

A qua æterna est vi.., intemerata pulchritudo, inexhaustæ divitiæ, i..mutabiles et perennes deliciæ, et glori.., et reg..um quæ nos omnes obtinere contingat in ipso rege sæculorum Christo, cui soli omnis gloria, honor e adoratio cum æterno ejus Patre et vivificante Spiritu in sæcula sæculorum. Amen.

## 68 ΟΜΙΛΙΑ ΙΓ᾽.

*Τῇ πέμπτῃ Κυριακῇ τῶν νηστειῶν ἐν ᾗ καὶ περὶ ἐλεημοσύνης.*

Εἰσί τινα μέρη θαλάσσης, ἃ κητώδη μεγάλα θηρία τρέφουσιν· οἱ γοῦν ἐν αὐτοῖς πλέοντες κώδωνας ἐκκρεμῶσι τῶν πλοίων, ἵνα διὰ τῆς ἠχοῦς τούτων ἐκπληττόμενα φεύγωσι τὰ θηρία. Καὶ ἡ θάλασσα δὲ τοῦ ἡμετέρου βίου πολλὰ καὶ δεινότερα τρέφει θηρία, τὰ πονηρὰ πάθη λέγω, καὶ τοὺς ἐφόρους αὐτῶν πονηροτέρους δαίμονας· ἐπιπλεῖ δὲ τὴν θάλασσαν ταύτην οἷά τις ναῦς ἡ τοῦ Θεοῦ Ἐκκλησία, καὶ ἀντὶ κωδώνων ἔχει τοὺς πνευματικοὺς διδασκάλους, ἵνα διὰ τῆς ἱερᾶς ἠχοῦς τῆς τούτων διδασκαλίας τοὺς νοητοὺς ἀποτρέπηται θῆρας. Καὶ τοῦτ᾽ ἄρα τυποῦσα καὶ ἡ τοῦ Ἀαρὼν στολὴ, κώδωνας εὐήχους εἶχε παρηρτημένους, καὶ θέσπισμα ἦν ἀκουστὴν εἶναι τὴν φωνὴν αὐτῶν ἐν τῷ τὸν Ἀαρὼν λειτουργεῖν. Ἡμεῖς δὲ εἰς τὸ πνεῦμα τὸ γράμμα καλῶς μεταφέροντες, ἠχήσωμεν ὑμῖν ἀρτίως πνευματικῶς, καὶ μάλιστα κατὰ τὸν τῆς νηστείας καιρὸν, ᾧ φανερὰ καὶ ἀφανῆ θηρία δεινῶς ἐπιτίθεται· φανερὰ μὲν γαστριμαργία καὶ μέθη καὶ τὰ τοιαῦτα· ἕτερα δὲ ἀφανῶς ὑφεδρεύοντα, κενοδοξία καὶ ὑπερηφανία καὶ οἴησις καὶ ὑπόκρισις. Ὁ αὐτὸς δέ ἐστιν ἦχος καὶ φυγαδευτήριον τῶν τοιούτων θηρίων, καὶ φυλακτήριον τῶν τὴν νηστείαν ἀσκούντων.

Ἔστιν οὖν νηστεία καὶ ἀκρασία ἐναντία ἀλλήλοις, ὡς ἡ ζωὴ καὶ ὁ θάνατος. Καὶ ἡ μὲν νηστεία ἐντολή ἐστι ζωῆς, συνηλικιῶτις οὖσα τῆς ἀνθρωπίνης φύσεως ἐν τῷ παραδείσῳ ὑπὸ τοῦ Θεοῦ τῷ Ἀδὰμ δοθεῖσα τὴν ἀρχὴν, εἰς φυλακὴν τῆς ἐγγενομένης αὐτῷ παρὰ τοῦ αὐτοῦ Θεοῦ ζωῆς τε καὶ θείας χάριτος. Ἡ δὲ ἀκρασία συμβουλή ἐστι θανάτου σώματός τε καὶ ψυχῆς, ὑπὸ τοῦ διαβόλου τῷ Ἀδὰμ ἐν τῷ παραδείσῳ διὰ τῆς Εὔας δοθεῖσα δολίως εἰς ἔκπτωσιν τῆς ζωῆς, καὶ ἀπαλλοτρίωσιν τῆς ἐκ Θεοῦ θείας χάριτος· ὁ Θεὸς γὰρ θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων. Τίς οὖν ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, καὶ χάριν εὑρεῖν τὴν ἐν τῷ Θεῷ καὶ παρὰ Θεοῦ; φυγέτω τὴν θανατηφόρον ἀκρασίαν καὶ προσδραμέτω τῇ θεοποιῷ νηστείᾳ καὶ ἐγκρατείᾳ, ἵν᾽ ἐπανέλθῃ χαίρων εἰς τὸν παράδεισον. Μωσῆς τε τεσσαρακονθήμερον νηστεύων ἐπ᾽ ὄρους, εἰς ὕψος θεοπτίας ἀνέπτη, καὶ πλάκας θεοσεβείας ἐδέξατο· ὁ δὲ τῶν Ἑβραίων δῆμος κάτω μεθύοντες, εἰς ἀσέβειαν κατωλίσθησαν, καὶ εἴδωλον ἐχώνευσαν μόσχου τοῦ Αἰγυπτίου Ἄπιδος θεὸν ὅμοιον. Καὶ εἰ μὴ Μωϋσῆς ἔστη πρὸς τὸν Θεὸν, διὰ τοῦ ἀνηλεοῦς ἐκ τῶν ὁμογενῶν φόνου ἐξιλασάμενος πρότερον, οὐκ ἂν ὅλως ἐφείσατο αὐτῶν ὁ Θεός. Εἰ γοῦν καὶ ἡμεῖς τοῦ ἐλέους τοῦ Θεοῦ χρῄζομεν, μὴ μεθυσκώμεθα

## HOMILIA XIII.

*In quinta jejuniorum Dominica, qua etiam tractat de eleemosyna.*

Sunt quædam maris partes quæ cete, ingentes bestias, enutriunt; qui ergo in illis navigant tintinnabula navibus alligant, ut horum sono perterritæ fugiant bestiæ. Mare autem vitæ nostræ multas et B truciores nutrit bestias, malas dico cupiditates et harum artifices pejores dæmonas; hoc vero mare trajicit quasi navis Ecclesia Dei, et pro tintinnabulis habet spiritales doctores, ut per sacrum horum doctrinæ sonum invisibiles abigat bestias. Quod præfiguravit Aaron vestis clare sonantibus circumdata tintinnabulis, et solemne erat eorum audiendam esse vocem dum Aaron sacra administraret. Nos autem in spiritum litteram recte transferentes modo vobis perstrepemus spiritaliter, præsertim in hoc jejunii tempore, quo tum visibiles tum invisibiles aggrediuntur bestiæ; visibiles quidem, gula et ebrietas, et similia; aliæ vero invisibiliter insidiantes, inanis gloria, superbia, præsumptio et si- C mulatio. Idem autem sonus latebræ simul est talium bestiarum, et custodia eorum qui jejunium exercent.

Sibi ergo invicem adversantur jejunium et intemperantia, sicut vita et mors. Jejunium quidem mandatum habet vitæ, naturæ humanæ ætate æquale a Deo in paradiso Adam in principio traditum in custodiam ipsi inditæ ab eodem Deo vitæ divinæque gratiæ. At intemperantia molitur mortem animæ et corporis a diabolo per Evam in paradiso fraude Adam tradita, ut a vita decideret et alienus a Deo divinaque gratia efficeretur; Deus enim mortem non fecit, nec lætatur in perditione vivorum. Igitur D quis est homo qui velit vitam et gratiam a Deo et coram Deo invenire? Lethiferam fugiat intemperantiam, et currat ad vivificum jejunium et ad temperantiam, ut in paradisum gaudens revertatur. Moyses quadraginta dies in monte jejunans ad apicem contemplationis advolavit et tabulas a divina pietate accepit; populus autem Hebræorum ad ebrietatem et impietatem lapsus idolum conflavit Deum in similitudinem vituli Ægyptii Apidis. Et nisi Moyses stetisset coram Deo, quem prius placavit ne sine misericordia gentem suam disperderet, nequaquam Deus eis pepercisset. Igitur si nos quoque pietate divina utimur, caveamus ne vino inebriemur, ne saturitate gravemur, in quibus luxuria et impietas. Elias etiam Deum vidit, sed prius ipse

Digitized by Google

quoque per jejunium emundatus. Daniel quoque aspectu Dei gavisus est, necnon unius ex archangelis, a quo futurorum notitiam obtinuit, sed prius per totas viginti dies panem non comedit. Alius vero propheta interfectus est, quia manducavit contra mandatum Dei. Noscitis omnes Esau filium Isaac, qui propter ventris ingluviem a primogenitis paternaque decidit benedictione. Caveamus et nos ne ventri indulgentes a promissa illa benedictione et hæreditate Patris cœlestis decidamus. Nec tres pueros ignoratis, qui jejunio dediti per fornacem in Babylone contra eos septuplum succensam incombustis pedibus corporibusque ambulaverunt; nos quoque si verum exerceamus jejunium, similiter ardores carnis conculcantes exstinguemus, et futuram for acem intacti transibimus, quando uniuscujusque opus ignis probabit. Quid oportet referre prophetarum Dominum qui, carne assumpta, propter nos factus homo, ut modum nobis monstraret diabolum vincendi, jejunans in omnibus eum vicit omnimoda tentatione aggredientem, necnon discipulis suis de muto surdoque dæmone dixit: « Hoc genus dæmoniorum non ejicitur nisi per orationem et jejunium. »

A οἴνῳ, μηδὲ κόρῳ βαρυνώμεθα, ἐν οἷς ἐστιν ἡ ἀσωτία καὶ ἡ ἀσέβεια. Θεόπτης καὶ ὁ Ἠλίας, ἀλλὰ προκαθαρθεὶς καὶ οὗτος διὰ νηστείας. Ἔτυχε καὶ Δανιὴλ θεοπτίας, καὶ τῶν ἀρχαγγέλων ἑνὸς ὀπτασίας, τὴν τῶν μελλόντων γνῶσιν αὐτῷ παρέχοντος, ἀλλὰ πρότερον ἐφ' ἡμέρας ὅλας εἴκοσι διαμείνας ἄσιτος. Πεφόνευται καὶ προφήτης ἕτερος ὑπὸ λέοντος, ἀλλὰ φαγὼν παρὰ γνώμην Θεοῦ. Γινώσκετε πάντως Ἡσαῦ τὸν τοῦ Ἰσαὰκ, ὃς ὑπὸ γαστριμαργίας τῶν τε ἄλλων πρωτοτοκίων, καὶ τῆς πατρικῆς ἐξέπεσεν εὐχῆς. Φοβηθῶμεν μὴ καὶ ἡμεῖς τῇ γαστριμαργίᾳ ταύτῃ προσέχοντες ἐκπέσωμεν τῆς ἐπηγγελμένης ἐκείνης εὐλογίας καὶ κληροδοσίας τοῦ ἀνωτάτου Πατρός. Οὐδὲ τοὺς τρεῖς παῖδας ἀγνοεῖτε, οἱ νηστείᾳ προσκείμενοι, τὴν ἑπταπλασίως κατ' αὐτῶν ἐν Βαβυ- B λῶνι κάμινον ἐκκαυθεῖσαν ἀφλέκτοις ποσὶ καὶ σώμασι **69** κατεπάτησαν· ἐὰν καὶ ἡμεῖς ἀληθινὴν νηστείαν ἀσκήσωμεν, καὶ τὴν ἐνταῦθα πύρωσιν τῆς σαρκὸς καταπατήσομέν τε καὶ σβέσομεν, καὶ τὴν μέλλουσαν κάμινον ἀζήμιοι διαπεράσομεν, ὅταν ἑκάστου τὸ ἔργον τὸ πῦρ δοκιμάσῃ. Τί δεῖ λέγειν τὸν τῶν προφητῶν Κύριον; ὃς σάρκα λαβὼν, καὶ δι' ἡμᾶς γενόμενος ἄνθρωπος, ὑποδεικνὺς ἡμῖν τὸν τρόπον τῆς κατὰ τοῦ διαβόλου νίκης, νηστεύων διὰ πάντων ἐνίκησε τοῦτον, πάντα κατ' αὐτοῦ κινήσαντα πειρασμόν· καὶ πρὸς τοὺς οἰκείους μαθητὰς περὶ τοῦ ἀλάλου καὶ κωφοῦ δαιμονίου ἔλεγε· « Τοῦτο τὸ δαιμόνιον οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Eia, fratres, ostendamus vobis quale sit Deo gratum verumque jejunium. Hoc enim estote scientes quoniam non ipsum propter se corporis jejunium laudamus, sed quia ad alia animæ utiliora contribuit; nam corporalem exercitationem ad modicum utilem esse divus ait Apostolus. Ideo divi quoque Patres nostri ex experientia loquentes diuturna non probant jejunia, sed laudabilius judicant semel tantum in die manducare, non autem satiari, et hoc dicunt secundum modum rationemque jejunium; quod etiam monet Scriptura, non servire ventris voracitati, neque gulæ voluptati, sed naturalem cibi appetitum remittere, escam autem tantam et talem esse ut robori et temperamento enutriti corporis conveniat, ejusque sanitati quantum potest conservandæ sufficiat. Etenim infirmum secundum infirmitatis gradum de dapibus appositis in mensura manducare, si necessariis supervacua et inutilia non adjiciat; si nutritionem quærat, non voluptatem; si potum, non ebrietatem; si usum moderatum, non superfluitatem et intemperantiam, et abusum, nequaquam tollit utentis sanctitatem.

Ἀλλὰ φέρε δείξωμεν ὑμῖν, ἀδελφοὶ, τίς ἐστιν ἡ θεάρεστος νηστεία καὶ ἀληθής· τοῦτο γὰρ ἴστε γινώσκοντες, ὡς οὐκ αὐτὴν δι' ἑαυτὴν τὴν σωματικὴν ἐπαινοῦμεν νηστείαν, ἀλλ' ὡς ἐνεργοῦσαν πρὸς C ἕτερα ψυχωφελέστερα· τὴν γὰρ σωματικὴν ἐργασίαν πρὸς ὀλίγον ὠφέλιμον εἶναι καὶ ὁ θεῖος Παῦλός φησι. Διὸ καὶ οἱ διὰ πείρας λαλοῦντες θεοφόροι Πατέρες οὐκ ἀποδέχονται τὰς πολυημέρους νηστείας, ἀλλὰ δοκιμώτερον κρίνουσι τὸ καθ' ἡμέραν ἐσθίειν ἅπαξ, καὶ μὴ χορτάζεσθαι· καὶ τοῦτό φασι σύμμετρον καὶ μετὰ λόγου νηστείαν· ὃ καὶ ἡ Γραφὴ λέγει, τὸ μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας, καὶ τῇ τοῦ λαιμοῦ ἡδονῇ, ἀλλὰ τῆς μὲν ὀρέξεως ἐγκειμένης ἔτι τῆς τροφῆς ἀφίεσθαι, τὴν δὲ ποιότητα ταύτης καὶ ποσότητα κατάλληλον εἶναι τῇ δυνάμει καὶ διαθέσει τοῦ τρεφομένου σώματος, πρὸς τὸ καὶ τὴν ὑγείαν αὐτοῦ κατὰ τὸ δυνατὸν συντηρεῖσθαι· τὸ γὰρ καταλλήλως τῇ ἀσθενείᾳ συμμέτρως ἐσθίειν ἀπὸ τῶν δεδομένων βρωμάτων τὸν ἀσθενῆ, μὴ προστιθέντα D τοῖς ἀναγκαίοις τὰ λίαν περιττὰ καὶ λυσιτελῆ, καὶ τὸ τὴν τροφὴν ἐπιζητεῖν, ἀλλ' οὐ τὴν τρυφὴν, καὶ τὴν πόσιν, ἀλλ' οὐ τὴν μέθην, καὶ τὴν σύμμετρον χρῆσιν, ἀλλ' οὐ τὴν ἀμετρίαν καὶ τὴν ἀκρασίαν καὶ τὴν παράχρησιν, οὐκ ἀφαιρεῖται τοῦ κεχρημένου τὴν ἁγιότητα.

Ita quidem principium veri Deoque grati jejunii, finis vero propter quem imperatum fuit et a Christianis laudatum, animæ est purgatio. Nam quid prodest a corporeis cibis abstinere, carnalibus autem cogitationibus et concupiscentiis turgere? Quæ utilitas ei qui a vino abstinet sitimque comprimit, si inebrietur non a vino, secundum prophetam dicentem: Væ ebriis non a vino; si anima ferveat ira et in-

Ἡ μὲν οὖν ἀρχὴ τῆς ἀληθοῦς καὶ θεαρέστου νηστείας τοιαύτη, τὸ δὲ τέλος δι' ὃ νενομοθέτηται, καὶ ἐτιμήθη Χριστιανοῖς ἡ τῆς ψυχῆς ἐστι κάθαρσις· τίς γὰρ ὠφέλεια σωματικῆς ἀπέχεσθαι βρώσεως, τῶν δὲ σαρκικῶν ἡττᾶσθαι φρονημάτων τε καὶ παθῶν; Τί τὸ ὄφελος οἴνου ἀπέχεσθαι, καὶ δίψει πιέζεσθαι, καὶ μεθύειν δὲ οὐκ ἀπὸ οἴνου, κατὰ τὸν λέγοντα· Οὐαὶ οἱ μεθύοντες οὐκ ἀπὸ οἴνου, καὶ θυμῷ

Digitized by Google

καὶ βασκανίᾳ τὴν ψυχὴν ταράττεσθαι; Τί τὸ ὄφελος λαμπρᾶς τραπέζης ἀπέχεσθαι, καὶ τὴν ψυχὴν ἀταπείνωτον εἶναι, καὶ τὴν μὲν σάρκα ἠλλοιῶσθαι δι' ἔλαιον, μὴ ταπεινωθῆναι δὲ τὴν ψυχὴν ἐν νηστείᾳ κατὰ τὸν Δαβίδ; Τί τὸ ὄφελος ἀπαλλαγῆναι μὲν τῆς ἐκ τῶν πολλῶν βρωμάτων ἀναθυμιωμένης ὁμίχλης, φροντίσι δὲ καὶ λογισμοῖς ματαίοις ἀχρειοῦσθαι τὸν ἡμέτερον νοῦν, καὶ συναχρειοῦσθαι τὰς πρὸς τὸν Θεὸν προσευχάς; Διὰ τοῦτο καλὴ νηστεία ἡ τελουμένη πρὸς μαρασμὸν τῆς ἐπιθυμίας, πρὸς ταπείνωσιν τῆς ψυχῆς, πρὸς μίσους μετα οἴησιν, πρὸς θυμοῦ σβέσιν, πρὸς μνησικακίας ἀπάλειψιν, πρὸς διανοίας καὶ προσευχῆς ἐργασίαν καὶ καθαρότητα. Εἰ δὲ εὐπορεῖς, ἔστω σοι καὶ τὸ περιττεῦον τῆς τροφῆς εἰς τὴν τῶν ἀπορούντων παραμυθίαν. Ἐὰν οὕτω νηστεύῃς, οὐ μόνον συμπάσχων ἔσῃ καὶ συννεκρούμενος, ἀλλὰ καὶ συνανιστάμενος καὶ συμβασιλεύων Χριστῷ εἰς αἰῶνας τοὺς ἀπεράντους· σύμφυτος γὰρ γεγονὼς διὰ τῆς τοιαύτης νηστείας τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, καὶ τῆς ἀναστάσεως κοινωνὸς ἔσῃ, καὶ τῆς ἐν αὐτῷ ζωῆς κληρονόμος. Ὁ νηστεύων, ἐὰν μὲν πειράζηται, νικᾷ τὸν **70** πειράζοντα· ἐὰν δὲ μὴ πειράζηται, συντηρεῖ τὴν εἰρήνην τῆς ψυχῆς καὶ τοῦ σώματος, ὑπωπιάζων κατὰ Παῦλον τὸ σῶμα καὶ δουλαγωγῶν, δειλιῶντα μήπως ἀδόκιμος γένηται· εἰ δὲ Παῦλος δειλιᾷ, πόσῳ μᾶλλον ἡμᾶς προσῆκεν; Ὁ γοῦν νηστεύων δουλαγωγεῖ τὸ σῶμα καὶ δόκιμον ποιεῖ τὴν ψυχήν, ὁ δὲ καταπιαίνων τὴν μετ' ὀλίγον φθαρησομένην σάρκα, μὴ ἐσθίων διὰ τὸ ζῆν, ἀλλὰ μᾶλλον ζῶν ἵν' ἐσθίῃ καθάπερ τὰ παρ' ἡμῶν ἑτοιμαζόμενα πρὸς σφαγήν, καὶ προστιθεὶς τοῖς ἀναγκαίοις τὰ περιττὰ ἵνα λιπαίνῃ τὸ σῶμα, ἢ πρὸς ἐπιθυμίας οὐ καλὰς διεγείρῃ, ἢ ἁπλῶς οὕτω πρὸς φιληδονίαν τὴν ἐν τοῖς σώμασιν, οὐδὲν ἄλλο πάντως ἢ τοῖς σκώληξιν ἑτοιμάζει δαψιλεστέραν τροφήν.

A vidia? Quid prodest a lauta mensa abstinere, animam autem esse superbam; et carnem quidem immutari propter oleum, animam autem minime in jejunio secundum David humiliari? Quæ utilitas, si ab odore plurium dapum commistarum arceamur, si mens nostra curis cogitationibusque vanis vana fiat, vanæque nostræ ad Deum postulationes? Ideo bonum est jejunium quod perficitur ad debilitandam concupiscentiam, ad humiliandam animam, ad sanandum odium, ad exstinguendam iracundiam, ad delendam malorum memoriam, ad meditationem orationemque exercendas et purgandas. Si opibus abundas, sint tibi ciborum residua ad adjuvandos pauperes. Si ita jejunaveris, non tantum cum Christo passus et mortuus, sed etiam cum eodem resurges et per B infinita sæcula regnabis; complantatus enim factus similitudini mortis ejus, simul et resurrectionis eris particeps, vitæque in ipso hæres. Jejunans, si tentetur, vincit tentatorem; si vero non tentetur, servat pacem animæ et corporis, domans corpus exemplo Pauli et in servitutem redigens, timens ne reprobus efficiatur; si enim Paulus timet, quantum et nos magis timere decet? Igitur jejunans corpus in servitutem redigit, probatamque facit animam; compotans autem carnem jamjam consumendam delectat minime manducans ut vivat, sed potius vivens ut manducet, sicut animalia a nobis ad occisionem pasta, necessariis addens supervacua, ut corpus incrassatum ad concupiscentias non bonas excitetur, C vel uno verbo ad voluptatem in corporibus jacentem, nihil omnino aliud quam pinguiorem vermibus præparat escam.

Καλῶς ἄρα καὶ ὁ προφήτης ψάλλει Δαβίδ· « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; » Νηστεύων οὖν καὶ μετ' ἐγκρατείας τρεφόμενος, μὴ ἀποτιθέμενος εἰς τὴν αὔριον ἔσο τὰ περιττά, ἀλλ' ὥσπερ ὁ Κύριος πτωχεύσας, ἡμᾶς ἐπλούτησεν, οὕτω καὶ σὺ πεινῶν ἑκουσίως, χόρτασον τὸν ἀκουσίως λιμώττοντα, καὶ ἔσται σου ἡ νηστεία καθάπερ περιστερὰ κάρφος ἐλαίας φέρουσα, καὶ τῇ ψυχῇ σου τὴν ἐκ τοῦ κατακλυσμοῦ λύσιν εὐαγγελιζομένη· « Ἐὰν γὰρ ἀνέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, ὁ μέγας φησὶν Ἡσαΐας, καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία. » Εἰ δὲ μὴ τὰ οἰκεῖα διδόναι βούλει, κἂν τῶν ἀλλοτρίων ἀπέχου, καὶ μὴ κάτεχε παρὰ σεαυτῷ τὰ μὴ σά, καθαρπάζων καὶ πλουτῶν ἔστιν ὅτε καὶ παρὰ τῶν πενεστέρων ἀδίκως, ἵνα μὴ παρ' αὐτοῦ τοῦ Προφήτου δικαίως ἀκούσῃς· « Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην ἐγώ, λέγει ὁ Κύριος, οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, ἔσται σοι νηστεία δεκτή, ἀλλὰ λῦε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλ-

Pulchre ergo propheta cecinit David: « Quæ utilitas in sanguine meo, dum descendo in corruptionem [81]? » Igitur jejunans modiceque vescens, noli tardare a relinquendis inutilibus, sed quemadmodum Dominus propter nos factus egenus nos ditavit, ita et tu libenter esuriens satia invita fame confectum, tuumque erit jejunium quasi columba ramum olivæ afferens et animæ tuæ cessationem diluvii feliciter D annuntians. « Si abstuleris de medio tui catenam, et desieris extendere digitum, et loqui quod non prodest; cum obtuleris, ait magnus Isaias, esurienti panem animæ tuæ et animam afflictam repleveris, tunc orietur in tenebris lux tua, et tenebræ tuæ erunt sicut meridies [82]. » Si vero tua dare non volueris, saltem ab alienis abstine, noli apud te retinere quæ tua non sunt, cave ne pauperum bonis injuste raptis ditescas, ne juste a propheta audias: « Non tale jejunium ego elegi, dicit Dominus, noli contorquere quasi circulum caput tuum, et erit jejunium tuum acceptabile, dissolve colligationes impietatis; solve fasciculos ramorum deprimentes, omnem scripturam injustam dirumpe; tunc erumpet quasi mane lumen tuum, et sanitas tua citius orietur,

[81] Psal. XXIX, 11. [82] Isa. LIX, 1.

et anteibit faciem tuam justitia tua, et gloria Domini colliget te [83]. » A

λεγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ πορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. »

Quod si de tuis, et quidem superfluis, inopi non dederis, noli saltem ista possidere in detrimentum inopis; hos quidem omnium Dominus Christus a sinistris stantes in ignem mittens iisdemque maledicens, non ut raptores damnat, sed quia bona pauperi non communicant. Raptores ergo et iniqui non resurgent in judicio et vadimonio, sed in sententia et damnatione, cum etiam in his terris isti ex tota anima Deo non astiterint, ut videtur: « Qui enim devorant plebem meam, sicut escam panis, Dominum non invocaverunt. » Dives, cujus ager fertilis, bysso et purpura indutus, minime quia commisit in- B justitiam, sed quia possessa non divisit, jure condemnatur; communes enim sunt ex communibus horreis Dei bonorum thesauri. Quomodo igitur avarus usurpans communia, etsi non ut ille ea quæ patet alterius esse occupet? Igitur alter quidem, sicut servus nequam ejectionem, heu! horrendam patietur, alter vero pejora et terribiliora tolerabit, horumque neuter pœnam fugere poterit, nisi pauperes excipiant; unus quidem optime administrabit commissa sibi a Deo, alter vero dissipabit male congregata. Magnus Paulus Thessalonicensibus proavis nostris scribens de fraternitate dixit: « Non necesse habemus scribere vobis: ipsi enim vos a Deo moniti estis ut diligatis invicem [84]. »

Εἰ μὴ δίδως τοίνυν ἐκ τῶν σῶν πένητι, καὶ ταῦτα περιττῶν ὄντων, κἂν μὴ κτῶ ταῦτα κατὰ τοῦ πένητος· καίτοι ὁ πάντων δεσπότης Χριστὸς τοὺς τῆς ἀριστερᾶς μερίδος εἰς τὸ πῦρ ἀποπέμπων καὶ καταρώμενος, οὐ καταδικάζει τούτους ὡς ἅρπαγας, ἀλλ' ὡς μὴ μεταδόντας τῷ δεομένῳ. Οὐκοῦν οἱ ἅρπαγες καὶ οἱ ἄδικοι οὐδὲ ἀναστήσονται εἰς παράστασιν καὶ κρίσιν, ἀλλ' εἰς καταδίκην εὐθὺς μείζονα καὶ κατάκρισιν· ἐπεὶ κἀνταῦθ' ὡς ἔοικεν οὗτοι οὐδέποτε ὅλως ἐκ ψυχῆς τῷ Θεῷ παρέστησαν· « Οἱ γὰρ ἐσθίοντες, φησί, τὸν λαόν μου ἐν βρώσει ἄρτου, τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο. » Ὁ πλούσιος οὗ εὐφόρησεν ἡ χώρα, καὶ ὁ πορφύραν καὶ βύσσον ἐνδεδυμένος, οὐχ ὡς ἀδικήσαντές τινα, ἀλλ' ὡς μὴ μεταδόντες τῶν ἐκείνοις κτηθέντων δικαίως καταδικάζονται· κοινὰ γὰρ ἐκ κοινῶν ταμείων τῶν τοῦ Θεοῦ κτισμάτων τὰ θησαυρίσματα. Πῶς οὖν οὐ πλεονέκτης ὁ ἐξιδιούμενος τὰ κοινά, κἂν οὐχ ὡς ἐκεῖνος ὁ τὰ φανερῶς ἀλλότρια σφετεριζόμενος; Οὐκοῦν ὁ μὲν ὡς κακὸς δοῦλος ὑποστήσεται φεῦ! τὴν φρικώδη διχοτομίαν, ὁ δὲ τὰ δεινότερα καὶ φρικωδέστερα πείσεται, καὶ οὐδ' ἕτερος αὐτῶν δυνήσεταί ποτε ταῦτα διαφυγεῖν, ἂν μὴ τοὺς πτωχοὺς δεξιώσωνται· καὶ ὁ μὲν καλῶς οἰκονομήσει τὰ πεπιστευμένα τούτῳ παρὰ Θεοῦ, ὁ δὲ καλῶς σκορπίσει τὰ κακῶς συναχθέντα. Παῦλος ὁ μέγας Θεσσαλονικεῦσι φιλαδελφίας φησίν· « Οὐ χρείαν ἔχετε γράφειν ὑμῖν

71 γράφων τοῖς ἡμῶν πάντως προγόνοις, περὶ τῆς αὐτοὶ γὰρ θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾷν ἀλλήλους. »

Igitur cum Dominus ad quosdam dixerit: « Si filii C Abraham estis, opera Abraham facite [85], » timeamus et nos illam vocem non tunc quidem ad nos prolatam, sed in horrenda, quod avertat Deus, die expromendam, quando potius ex conformitate operum judicabitur propinquitas, quando omnes, tum qui paupertatem seu saltem pauperes in Christo amaverint, tum gloriæ contemptores, tum temperantiæ amatores, omnes denique qui evangelica oracula non audiverint tantum, sed etiam fecerint, secundum orationis communis Patris modo singulari unum erunt; ait enim: « Da ut omnes unum sint, sicut et nos unum sumus [86]; » quando acutissimus ensis spiritus separabit hominem a patre, filiam a matre, et alienos faciet moribus discrepantes; si enim jam his in terris ista fiunt, quanto magis ibi ubi qui scit D omnia sibi virtute non conformatos negabit dicens: « Nescio vos. » Nam non habent, ut videtur, imaginem Patris cœlestis: non fuerunt misericordes, ut Pater communis, bona egentibus communia non fecerunt, sicut ille omnes bonorum suorum participes fecit; proximis non fuerunt officiosi, eos qui a longe stabant propinquos per humanitatem non fecerunt, cujus discrepantiæ causa nec illos scit nec in domum introducit optimus. Quod si iste talis, cum ipso

Τοῦ Κυρίου τοίνυν πρός τινας εἰρηκότος· « Εἰ τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν· » φοβηθῶμεν καὶ αὐτοὶ τὸν λόγον τοῦτον, οὐκ ἐνταῦθα μὲν πρὸς ἡμᾶς λεγόμενον, ἀλλ' ἐπὶ τῆς φρικτῆς, ὃ μὴ γένοιτο, ῥηθησόμενον ἡμέρας, ἡνίκα μᾶλλον ἀπὸ τῆς ὁμοιότητος τῶν πεπραγμένων ἡ συγγένεια κρίνεται, ἡνίκα πάντες οἱ τὴν ἐν Χριστῷ πτωχείαν, εἰ δ' οὖν ἀλλὰ τοὺς πτωχούς γοῦν ἠγαπηκότες, οἱ καταφρονηταὶ τῆς δόξης, οἱ τῆς ἐγκρατείας ἐρασταί, οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων οὐκ ἀκροαταὶ μόνον, ἀλλὰ καὶ ποιηταί, κατὰ τὴν τοῦ κοινοῦ χάριτι Πατρὸς εὐχὴν ὑπερφυῶς ἓν ἔσονται· « Δὸς γάρ, φησίν, αὐτοῖς ἵνα πάντες ἓν ὦσι, καθὼς ἡμεῖς ἕν ἐσμεν· » ἡνίκα φανερῶς ἡ κριτικωτάτη μάχαιρα τοῦ Πνεύματος διχάσει ἄνθρωπον κατὰ τοῦ πατρός, καὶ θυγατέρα κατὰ τῆς μητρός, καὶ ἀλλοτρίους ποιήσει τοὺς ἀνομοίους τοῖς τρόποις· εἰ γὰρ ἐνταῦθα, πόσῳ μᾶλλον ἐκεῖ, ὅπου καὶ ὁ πάντα εἰδὼς πρὸς τοὺς μὴ κατ' ἀρετὴν ὡμοιωμένους, « Οὐκ οἶδα ὑμᾶς, » ἀποφαίνεται; Οὐ γὰρ ἔχουσιν, ὡς ἔοικε, τὴν εἰκόνα τοῦ ἐπουρανίου· οὐκ ἐγένοντο οἰκτίρμονες ὡς ὁ κοινὸς Πατήρ· οὐ κοινὰ τὰ ὄντα τοῖς δεομένοις ἐποιήσαντο, καθάπερ ἐκεῖνος τῶν οἰκείων ἀγαθῶν δωρεὰν μετέδωκεν ἅπασιν· οὐ τοῖς πλησίον ἐγένοντο χρηστοί, οὐ τοὺς μακρὰν διὰ

[83] Isa. LVIII, 5-8. [84] I Thess. IV, 9. [85] Joan. VIII, 39. [86] Joan. XVII, 22.

Digitized by Google

τῆς εὐποιίας πλησίον ἐποίησαν· διὰ ταύτην ἄρα τὴν A ἀνομοιότητα οὔτε οἶδεν, οὔτε εἰσοικίζει τοὺς τοιούτους ὁ ἀγαθός. Εἰ δὲ οὗτος οὕτως, καὶ οἱ κατ' αὐτὸν ἐνταῦθα ζήσαντες, κἀκεῖ συμβασιλεύσοντες, τὰ αὐτὰ δήπου τοῖς μὴ παραπλησίοις τὴν ἀρετὴν τῶν καθ' αἷμα προσῳκειωμένων ἐροῦσιν· ἢ ἂν εἴπῃ τις, Παῖς ἐγὼ σὸς, πατὴρ αὐτὸς ἦν, ἀδελφός ἔγωγε· ἀλλ' ὁ μὲν φεῦ! ἀκούσει, ὡς Ἀδελφὸς οὐ λυτροῦται· ὁ δὲ, Πατὴρ οὐδεὶς, εἰ μὴ εἷς ὁ Θεός· ὁ δ', Εἰ τέκνον ἦς ἐμὸν, μιμητὴς ἂν ἦς ἐμὸς, νῦν δ'; ἐκείνου τοῦ πατρὸς εἶ, οὗ καὶ τῶν ἐπιθυμιῶν ἐργάτης. Ἄπιθι τούτῳ συνδιαιωνίσων· ἐγὼ γὰρ οὐκ οἶδά σε· πάντα γὰρ ὅσα τοῦ Θεοῦ ἐμὰ, σὺ δ' οὐ τοῦ Θεοῦ· τοὐμὸν καὶ τὸ σὸν ἀπελήλαται τῶν ὧδε, ὃ καὶ εἰς τὸν ἐπιλελοιπότα βίον ἐκεῖνον ἡμεῖς ἐμισήσαμεν· διὸ καὶ τῆς βασιλείας ταύτης κληρονόμοι γεγόναμεν. B Ὅπου τοῦτο τὸ κατὰ τοὺς θείους Πατέρας ψυχρὸν ῥῆμα, δεσμὸς ἀγάπης ἀπῆν, καὶ ὁ Χριστὸς ἀπελήλαται· οὓς τὸ πάθος ἐκράτει τοῦτο, καὶ τότε φιλαυτίαν, φιλαργυρίαν, μισαδελφίαν, καὶ πᾶν εἶδος κακίας αὐτοῖς προὐξένει, καὶ νῦν αὐτοὺς καταισχύνει.

Φοβηθῶμεν οὖν, ἀδελφοὶ, τὰ τοιαῦτα, παρακαλῶ· φρικτὰ γὰρ ὄντως. Οἰκονομήσωμεν τὰ καθ' ἡμᾶς, ὡς Θεῷ φίλον· ἀφήσωμεν ἵνα ἀφεθῶμεν, ἐλεήσωμεν ἵνα πολλαπλασίως ἐλεηθῶμεν· εἰς ἑαυτὸν γὰρ ὁ δι' ἡμᾶς πτωχεύσας τὴν ἐλεημοσύνην ἀναδεχόμενος, μεγαλόδωρος ὢν, πολυπλασιάζει τὴν ἀμοιβήν· ἢ τοίνυν ἔστω τις κατ' ἐκεῖνον πτωχὸς, καὶ σὺν ἐκείνῳ ζήσεται, ἢ κοινωνείτω τοῖς δι' ἐκεῖνον πτωχοῖς, καὶ διὰ τούτων σωθήσεται. Κτησώμεθα σπλάγχνα οἰκτιρμῶν· δῶμεν οἴκοθεν τεκμήριον τῆς πρὸς τὸν ἀδελφὸν ἀγάπης, καὶ τῆς πρὸς τὸν κοινὸν Πατέρα καὶ δεσπότην εὐνοίας· καιρὸν δὲ τῶν C νηστίμων τούτων ἡμερῶν εὐπροσδεκτότερον οὐχ εὑρήσει τις· πρὸς τὰ τοιαῦτα· τῇ γὰρ νηστείᾳ συνάψας τὸν ἔλεον, πᾶν ἁμάρτημα ἀπαλείψει, καὶ μετὰ παῤῥησίας τὰ σωτήρια προσκυνήσει πάθη, καὶ τῇ ἀναστάσει Χριστοῦ συνευφρανθήσεται, καὶ τῆς αἰωνίας ἀπολυτρώσεως τεύξεται· ἧς γένοιτο
72 πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

etiam viventes ibique regni participes eadem suis ex cognatis secundum virtutem absimilibus dicent: Si quis dixerit: Ego filius tuus sum, pater tuus eram, ego frater, alius quidem misere audiet, quia frater fratrem non liberat; alius vero: Pater nullus, nisi solus Deus; alius autem: Si filius meus esses, mei imitator esses, nunc vero illius es patris, cujus voluntates fecisti; cum isto in æternum recede, ego enim nescio te, nam omnia quæ sunt Dei mea sunt, tu autem Dei non es. Meum tuumque revocata sunt a terrenis quæ nos propter futuram hanc vitam odio habuimus; ideoque hujus regni hæredes facti sumus. Quoties hac duritate in sanctos Patres invecti sunt, vinculum eis defuit charitatis, Christusque ab eis rejectus fuit; quos ista cupiditas turpi sui amore, avaritia, fratrum odio, omnique malorum genere deturpavit, nunc quoque illos ignominia suffundit.

Hæc ergo, fratres, obsecro, timeamus; vere enim sunt horrore plena. Nostra administremus, sicut Deum juvat; dimittamus, ut dimittatur nobis, misericordiam faciamus, ut multipliciter misericordiam consequamur. Qui enim propter nos egenus factus est, eleemosyna accepta, cum in donis sit magnificus, mercedem multiplicabit; igitur estote secundum eum egeni, et cum eo vivetis; vel vestra illis qui ejus exemplo pauperes sunt communia facite, et propter hoc salvi eritis. Assequamur viscera misericordiæ; demus pignus nostræ erga fratres charitatis, nostræque erga communem Patrem et Dominum pietatis, nullum acceptabilius istis jejunii diebus tempus ad talia invenire poteritis: nam qui jejunio misericordiam adjunxerit, omne peccatum absterget, necnon cum fiducia salutarem adorabit passionem, et in resurrectione Christi congaudebit, et æternam redemptionem obtinebit, quam nobis omnibus consequi donetur in ipso Christo Deo nostro, cui omnis gloria, honor, adoratio cum æterno ejus Patre et sanctissimo atque bono et vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

## ὉΜΙΛΙΑ ΙΔ' (1).

*Εἰς τὸν Εὐαγγελισμὸν τῆς πανυπεράγνου δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

D

Ὁ μὲν ψαλμῳδὸς Προφήτης ἀπαριθμούμενος τὰ τῆς κτίσεως εἴδη, καὶ τὴν ἐν αὐτοῖς σοφίαν τοῦ Θεοῦ καθορῶν, τοῦ θαύματος ὅλως γεγονὼς, μεταξὺ γράφων ἐξεβόησεν· « Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας. » Ἐμοὶ δὲ νῦν τίς ἐφαρμόσει λόγος πρὸς ὕμνον ἐξαγγέλλειν πειρωμένῳ πρὸς δύναμιν τὴν διὰ σαρκὸς ἐπιφάνειαν τοῦ τὰ πάντα κτίσαντος Λόγου; Εἰ γὰρ θαύματος γέμει τὰ ὄντα, καὶ τὸ ἐκ μὴ ὄντων ταῦτα προελθεῖν εἰς τὰ ὄντα θεῖον καὶ πολυύμνητον, πόσῳ θαυμα-

## HOMILIA XIV.

*In Annuntiationem immaculatæ Dominæ nostræ Deiparæ semperque Virginis Mariæ.*

Psaltes propheta, enumerans varia creationis opera, et in ipsis sapientiam Dei considerans, totus admiratione raptus inter scribendum exclamavit: « Quam magnificata sunt opera tua, Domine, omnia in sapientia fecisti [91]! » Mihi autem quis hodie in hymnum consonabit sermo tentanti pro viribus prædicare illius quod omnia creavit Verbi in carne adventum? Si enim ea quæ sunt plena sunt miraculo, si ea quæ non sunt, transire in esse, est divinum et maxime celebrandum, quanto mirabilius

[91] Psal. XCI, 6.

(1) Hæc cum sequente decima quinta exstat ap. Matthaium, p. 71 et 81.

et divinius et magis a nobis necessario concinendum A creaturam aliquam fieri Deum et non modo Deum, sed illum qui est vere Deus, et ita, etsi natura nostra exciderit ab illa dignitate, in qua creata est, propterea ad infima terræ merito dejecta? Nam hoc est magnum et divinum, ineffabile necnon rationi impervium, naturam nostram conjungi et per eam nobis impertiri in melius conversionem, adeo ut sanctis angelis et ipsis prophetis licet in Spiritu futura prævidentibus incomprehensum omnino maneat mysterium, quod fuit a sæculis absconditum. Sed cur has res memoro antequam factæ sunt? Hoc revera contigit, sed non in eo quod contigit, bene vero quomodo contigerit remanet mysterium credendum quidem, mente autem non complectendum, adorandum, sed non curiosius inquirendum, B et credendum et adorandum in solo Spiritu: « Nemo enim potest dicere Dominum Jesum nisi in Spiritu sancto; » et Spiritus est in quo adoramus, et in quo oramus, ut ait Apostolus.

Quod non hominibus tantum sed et angelis et ipsis archangelis inperscrutabile sit istud mysterium, docte exprimit hæc dies a nobis celebrata. Nam archangelus quidem nuntiavit Virgini conceptionem; illa autem cupiente discere modum et ad eum dicente: « Quomodo fiet istud, quoniam virum non cognosco? » archangelus cum nullo modo posset mysterium explanare, ipse quoque ad Deum C confugit: « Spiritus, dicens, sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi [88]. » Etenim perinde ac si quis quæreret a Moyse quomodo ex terra homo, quomodo ex luto ossa et nervi et caro, quomodo sententia ex sensus expertibus, vel quomodo ex costa Adami ipsi similis, quomodo os extensum et distributum et aptatum fuit et adunatum; quomodo ex osse viscera et varii humores et cætera omnia. Perinde ergo ac si quis a Moyse ista inquireret, nihil amplius diceret nisi quod Deus cepit limum a terra, creavitque Adam, et tulit unam de costis Adam et Evam formavit; factorem quidem dixit, modum autem quo facta sunt non dixit. Ita et Gabriel quod ex Spiritu sancto et D virtute Altissimi sine semine formandus puer esset equidem dixit, sed quomodo non dixit. Si enim ulterius de Elisabeth commemorans quoniam in senio et sterilitate conceperit, nihil amplius habuit dicendum nisi quod non est impossibile apud Deum omne verbum, qua ratione potuisset patefacere modum quo virgo conceptura esset et paritura? Amplius quidem habetur archangeli ad Virginem sermo, sed majore adhuc mysterio arcanus. Ait enim: « Spiritus sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi. » Quare? Quia quod nascetur nec propheta nec merus homo ut Adam, sed vocabitur Filius Dei, et Salvator et Liberator

σιώτερον καὶ θειότερον, καὶ παρ' ἡμῶν ὑμνεῖσθαι ἀναγκαιότερον, τὸ γενέσθαι τι τῶν ὄντων Θεὸν, καὶ οὐχ ἁπλῶς Θεὸν, ἀλλὰ τὸν ὄντως ὄντα Θεὸν, καὶ ταῦτα τὴν μηδὲ φυλάξαι δυνηθεῖσαν, ἢ βουληθεῖσαν, τὸ καθ' ὃ γέγονεν ἡμετέραν φύσιν, καὶ διὰ τοῦτο δικαίως εἰς τὰ κατώτατα τῆς γῆς ἀπωσθεῖσαν; Τοσοῦτο γὰρ μέγα καὶ θεῖον, ἀπόῤῥητόν τε καὶ ἀνεννόητον, τὴν ἡμετέραν φύσιν γενέσθαι ὁμόθεον, καὶ δι' αὐτῆς ἡμῖν χαρισθῆναι τὴν ἐπὶ τὸ κρεῖττον ἐπάνοδον, ὡς καὶ τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις, καὶ αὐτοῖς τοῖς προφήταις, καίτοι διὰ Πνεύματος ὁρῶσιν, ἀνεπίγνωστον ὄντως μένειν, ἀπὸ τοῦ αἰῶνος ὑπάρχον κεκρυμμένον μυστήριον· καὶ τί λέγω πρὶν εἰς πέρας ἐλθεῖν; Καὶ γεγονὸς γὰρ, οὐχ ὅτι γέγονεν, ἀλλ' ὅπως γέγονε πάλιν μυστήριον μένει, πιστευόμενον, ἀλλ' οὐ γινωσκόμενον, προσκυνούμενον, ἀλλ' οὐ πολυπραγμονούμενον, καὶ προσκυνούμενόν τε καὶ πιστευόμενον διὰ μόνου τοῦ Πνεύματος· « Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ· » καὶ τὸ Πνεῦμά ἐστι δι' οὗ προσκυνοῦμεν καὶ δι' οὗ προσευχόμεθα, φησὶν ὁ Ἀπόστολος.

Ὅτι δὲ μὴ τοῖς ἀνθρώποις μόνον, ἀλλὰ καὶ τοῖς ἀγγέλοις καὶ τοῖς ἀρχαγγέλοις αὐτοῖς ἀπερινόητόν ἐστι τὸ μυστήριον τοῦτο, παρίστησι σαφῶς καὶ τὸ παρ' ἡμῶν ἑορταζόμενον σήμερον. Εὐηγγελίσατο μὲν γὰρ ὁ ἀρχάγγελος τῇ Παρθένῳ τὴν σύλληψιν· τῆς δὲ μαθεῖν ζητούσης τὸν τρόπον, καὶ πρὸς αὐτὸν εἰπούσης· « Πῶς ἔσται μοι τοῦτο; ἐπεὶ ἄνδρα οὐ γινώσκω· » μηδαμῶς ἔχων ὁ ἀρχάγγελος ἑρμηνεῦσαι τὸν τρόπον, ἐπὶ τὸν Θεὸν καὶ οὗτος κατέφυγε· « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. » Ὥσπερ γὰρ εἰ καὶ τὸν Μωϋσῆν ἤρετό τις, Πῶς ἐκ γῆς ἄνθρωπος; πῶς ἐκ χώματος ὀστᾶ καὶ νεῦρα καὶ σάρξ; πῶς αἰσθητήρια **73** ἐξ ἀναισθήτου, ἀλλὰ καὶ ἐκ τῆς Ἀδαμιαίας πλευρᾶς πῶς πάλιν ἄνθρωπος; πῶς τὸ ὀστοῦν ἐξετάθη καὶ διῃρέθη καὶ ἡνώθη καὶ συνεδέθη; πῶς ἐκ τοῦ ὀστοῦ σπλάγχνα καὶ χυμοὶ διάφοροι, καὶ τἄλλα πάντα; Ὥσπερ οὖν εἴ τις ταῦτα τὸν Μωϋσῆν ἠρώτα, εἶπεν ἂν οὐδὲν πλέον, πλὴν ὅτι ὁ Θεός ἐστιν ὁ χοῦν λαβὼν ἀπὸ τῆς γῆς καὶ ποιήσας τὸν Ἀδὰμ, καὶ μίαν τῶν πλευρῶν λαβὼν καὶ τὴν Εὔαν ἐργασάμενος, καὶ τίς μὲν ὁ ποιήσας, εἶπε· τὸν δὲ τρόπον πῶς ἐκεῖνα γέγονεν οὐκ εἶπεν· οὕτω καὶ ὁ Γαβριὴλ, ὅτι μὲν τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἡ τοῦ Ὑψίστου δύναμις τὸν ἄσπορον ἐργάσονται τόκον, εἶπε· τὸ δὲ πῶς οὐκ εἶπεν. Εἰ γὰρ περὶ τῆς Ἐλισάβετ προλαβὼν μνησθεὶς, ὅτι συνέλαβεν ἐν γήρᾳ καὶ στεῖρα οὖσα, πλέον ἔσχεν εἰπεῖν οὐδὲν, πλὴν ὅτι οὐκ ἀδυνατήσει τῷ Θεῷ πᾶν ῥῆμα, πῶς ἂν ἐπὶ τῆς ἐν παρθενίᾳ συλλαβούσης καὶ τεκούσης ἔσχεν εἰπεῖν τὸν τρόπον; Ἔχει δὲ ὅμως καὶ πλέον τὸ πρὸς τὴν Παρθένον τοῦ ἀρχαγγέλου λεγόμενον, ἀλλ' εἰς μυστηρίου μείζονος λόγον· « Ἐπελεύσεται γὰρ, φησὶ, Πνεῦμα ἅγιον ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. » Διατί; ὅτι καὶ τὸ γεννώμενον οὐ προφήτης, οὐδ'

[88] Luc. I, 35.

A ἁπλῶς ἄνθρωπος ὡς ὁ Ἀδὰμ, ἀλλ' υἱὸς Ὑψίστου κληθήσεται, καὶ σωτὴρ καὶ ῥύστης ἀνθρώπων γένους, καὶ βασιλεὺς αἰώνιος. Καθάπερ γὰρ τοὺς ἀπὸ κορυφῆς ὄρους ἐκπεσόντας λίθους, καὶ μέχρι τῶν ἐσχάτων τῆς ὑπωρείας κινουμένους, πολλοὶ διαδέχονται κρημνοὶ, οὕτως ἡμᾶς ἀπὸ τῆς ἐν τῷ παραδείσῳ θείας ἐντολῆς, καὶ τῆς κατ' αὐτὸν μακαρίας διαίτης ἐκπεσόντας, καὶ μέχρις ᾅδου καταφερομένους, πολλὰ διεδέξαντο δεινά. Οὐ γὰρ ἀκάνθας καὶ τριβόλους μόνον αἰσθητὰς ἀνέτειλεν ἡ γῆ κατὰ τὴν εἰς τὸν προπάτορα κατάραν, ἀλλὰ πολλῷ μᾶλλον ταῖς πολυειδέσι τῶν πονηρῶν παθῶν ἀκάνθαις καὶ ταῖς δειναῖς τριβόλοις τῆς ἁμαρτίας ἐνεσπάρημεν. Οὐδὲ τὴν λύπην μόνην ἐκείνην ἔσχε τὸ ἡμέτερον γένος, ἣν ἡ προμήτωρ ἐκληρώσατο B διὰ τῆς πρὸς αὐτὴν κατάρας, ἐν λύπαις τίκτειν καταψηφισαμένης, ἀλλὰ καὶ πᾶς ὁ βίος ἡμῶν ὀδύνη καὶ λύπη γέγονε σχεδόν. Ἐπεὶδε μέντοι φιλανθρώπως ἐφ' ἡμᾶς ὁ πλάσας ἡμᾶς Θεὸς διὰ σπλάγχνα ἐλέους αὐτοῦ, καὶ κλίνας οὐρανοὺς κατῆλθε, καὶ προσλαβόμενος ἐκ Παρθένου ἁγίας τὴν ἡμῶν φύσιν ἀνεκαίνισε καὶ ἐπανήγαγε, μᾶλλον δὲ ἀνήγαγεν εἰς θεῖον καὶ οὐράνιον ὕψος. Τοῦτο δὴ βουληθεὶς καταπρᾶξαι, μᾶλλον δὲ τὴν προαιώνιον αὐτοῦ βουλὴν εἰς τέλος ἀγαγεῖν σήμερον, πέμπει τὸν ἀρχάγγελον Γαβριὴλ, ὡς ὁ εὐαγγελιστής φησι Λουκᾶς· « Εἰς Ναζαρὲτ πρὸς Παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσὴφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, καὶ ὄνομα τῆς Παρθένου Μαριάμ. »

Πρὸς Παρθένον μὲν οὖν τὸν ἀρχάγγελον ὁ Θεὸς πέμπει, καὶ ταύτην μένουσαν παρθένον, οἰκείαν ποιεῖται μητέρα διὰ μόνου προσρήματος· ἐπειδήπερ, εἴπερ ἐκ σπέρματος συνελήφθη, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος, οὐδ' ἀναμάρτητος ἦν καὶ τῶν C ἁμαρτόντων σωτήρ· ἡ γὰρ τῆς σαρκὸς πρὸς γένεσιν κίνησις, ἀνυποτάκτως ἔχουσα πρὸς τὸν ἡγεμονεύειν τῶν ἐν ἡμῖν παρὰ Θεοῦ τεταγμένον νοῦν, οὐκ ἐκτὸς παντάπασιν ἁμαρτίας ἐστί· διὸ καὶ ὁ Δαβὶδ ἔλεγεν· « Ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. » Εἰ γοῦν ἐκ σπέρματος ἦν ἡ τοῦ Θεοῦ σύλληψις, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος, οὐδὲ τῆς καινῆς καὶ μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός· τοῦ γὰρ παλαιοῦ κόμματος ὢν, καὶ κληρονόμος ἐκείνου τοῦ πταίσματος, οὐκ ἂν ἠδυνήθη τὸ πλήρωμα ἐν ἑαυτῷ φέρειν τῆς ἀκηράτου θεότητος, καὶ πηγὴν ποιῆσαι τὴν σάρκα τοῦ
74 ἁγιασμοῦ ἀνεξάντλητον· ὡς καὶ τῶν προπατόρων ἐκείνων τὸν μολυσμὸν ἀποπλῦναι περιουσίᾳ D δυνάμεως, καὶ τοῖς ἑξῆς ἀρκεῖν πρὸς ἁγιασμὸν ἅπασι. Διὰ τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος ἦλθε καὶ ἔσωσεν ἡμᾶς, συλληφθεὶς καὶ σαρκωθεὶς ἐν μήτρᾳ Παρθένου, καὶ μείνας ἀναλλοιώτως Θεός.

Ἔδει δὲ καὶ μάρτυρα τὴν Παρθένον ἔχειν τῆς ἀσπόρου συλλήψεως, καὶ συλλήπτορα πρὸς τὰ κατ' οἰκονομίαν τελεσθησόμενα. Τίνα ταῦτα; Τὴν ἐπὶ Βηθλεὲμ ἄνοδον, ἔνθα καὶ ὁ παρὰ τῶν οὐρανίων ἀγγέλων καταγγελλόμενός τε καὶ δοξαζόμενος τόκος)· τὴν εἰς τὸ ἱερὸν ἔλευσιν, ἔνθα παρὰ Συμεὼν καὶ

generis humani, et Rex in æternum. Nam sicut a culmine montis decidentes lapides non unus recipit abyssus ad imum collis ruentes, ita et nos a præcepto quod Deus in paradiso imposuit et a felici paradisiaca conversatione usque ad infernum delapsos multa susceperunt discrimina. Non enim spinas tantum et vepres sensiles terra protulit secundum maledictum in primum parentem datum, sed multo magis multiformes pravarum passionum spinas et asperas peccati vepres experti sumus; nec illam solum pœnam dedit genus nostrum quam prima mater ex imprecatione in eam prolata sortita est, ad pariendum in doloribus condemnata, sed vita nostra fere tota facta est ærumna et dolor. Sed postquam ad nos benignus creator noster in visceribus misericordiæ suæ inclinatis cœlis descendit, accepta in utero sanctæ Virginis natura nostra, hanc renovavit et reduxit, seu potius adduxit ad divinam et cœlestem excelsitatem. Quod cum perficere vellet, vel potius a sæculo prædestinatum hodie ad finem perducere, mittit Gabriel archangelum, sicut ait Lucas evangelista, ad Nazareth ad virginem desponsatam viro cui nomen erat Joseph de domo et de familia David, et nomen Virginis Maria.

Mittit ergo Deus archangelum ad Virginem quam, servata virginitate, suam efficit matrem per solam allocutionem, quoniam si ex semine conceptus fuisset, non homo novus esset nec peccato immunis, neque peccatorum salvator; motus enim carnis ad generationem, inordinate tendens ad mentem a Deo dispositam ita nostris præsit facultatibus, non est sine quocunque peccato. Ideo dicebat David: « In iniquitatibus conceptus sum, et in peccatis concepit me mater mea [80]. » Igitur si ex semine facta fuisset Domini conceptio, non esset homo novus nec novæ nulloque modo veteraturæ vitæ dux et antesignanus. Nam veteris collisionis particeps et illius hæres peccati non potuisset in se immaculatæ divinitatis ferre plenitudinem et carnem facere fontem sanctificationis inexhaustum, necnon illorum primorum parentum maculam præstantia virtutis abluere, et omnibus eorum posteris ad sanctitatem sufficere. Ipse vero Dominus venit conceptus et incarnatus in utero Virginis, impollutus remanens Deus.

Oportebat etiam Matrem habere testem suæ sine semine conceptionis et adjutorem in omnibus domestice peragendis. Quænam ista? Iter ad Bethleem ubi puer ab angelis erat annuntiandus et celebrandus; templi aditus in quo Simeon et Anna vitæ mortisque Dominum testantur infantulum,

[80] Psal. L, 7.

procul ab Herode fuga in Ægyptum, et ab Ægypto reditus secundum sanctas prophetias, et alia quæ nunc enumerare non expedit. Propterea conjux acceptus est Joseph, et angelus missus est ad virginem desponsatam viro cui nomen erat Joseph. Hæc autem verba : de domo et de familia David, de duobus intelliges; amborum enim et virginis et Joseph a David ducebatur origo. «Et nomen Virginis Mariæ,» quod interpretatur *Domina*. Connotat vox ista et Virginis dignitatem et virginitatis firmitatem nunquam jam defecturæ, et illud quod est in eius vita ab aliis discrepans et ab omnibus inquirendum et, ut ita dicam, ex nulla unquam parte vituperandum. Nam vere et principaliter Virgo totalem et omnimodum habuit puritatis principatum, Virgo potens corpore et anima, animæque facultatibus necnon omnibus corporis sensibus nullo inquinamento pollutis, et ista firmiter et principaliter, et ut ita dicam, sicut Dominam decet, et ex omni parte inviolabiliter in omni tempore, velut porta clausa, opes inclusas, liber signatus oculis occulta custodit scripta. Ideo de ipsa scriptum est : «Hic est liber signatus... et ipsa porta clausa erit, et nemo intrabit per eam.»

Rursus altero titulo etiam Domina est Virgo, quatenus per dignitatem omnium regina, quoniam eum qui natura est mundi Dominus in utero virginali concepit et divinitus peperit. Adhuc etiam Domina est non modo quia a servitute immunis, et divinæ dominationis particeps, sed etiam quia fons et radix generis humani liberationis præsertim in partu tam læto quam ineffabili. Viro enim conjugata potius est dominata quam domina, præsertim in pœnoso dolorosoque partu secundum illam in Evam maledictionem : «In dolore paries filios;... sub viri potestate eris et ipse dominabitur tibi;» qua maledictione Virgo Mater genus humanum liberatura econtra salutem ab angelo et benedictionem accipit. Nam scriptum est : Ingressus angelus dixit ad Virginem : Ave, gratia plena, Dominus tecum, benedicta tu in mulieribus. Non statim futurum prænuntiat ei dicens : Dominus tecum, sed quod invisibiliter videt in ea jam perfectum præmittit, eam quasi sedem divinarum humanarumque gratiarum intelligens, et omnibus adornatam divini Spiritus charismatibus, gratia plenam proprie prædicavit. Insuper illam quæ quasi jam in ea recubantem conceperit eum in quo sunt omnes thesauri conspiciens, prævidensque ejus graviditatem dolore immunem et partum labore liberum, jure ad gaudium invitavit, et solam benedictam et glorificatam in mulieribus merito indicavit. Si enim attendas quanta gloria gaudeat Virgo Deipara, nulla est alia glorificata quantacunque laude ornetur.

Quæ cum vidisset Virgo, timens ne seductor

A τῆς Ἄννης ζωῆς καὶ θανάτου κύριος μαρτυρεῖται τὸ βρέφος· τὴν εἰς Αἴγυπτον ἐξ Ἡρώδου φυγὴν, καὶ τὴν ἐξ Αἰγύπτου κατὰ τὰς ἱερὰς προῤῥήσεις ἐπάνοδον, καὶ τἄλλα ὅσα νῦν καταλέγειν οὐκ εὐχερές. Διὰ ταῦτα μνήστωρ ὁ Ἰωσὴφ παρελήφθη, καὶ ὁ ἄγγελος ἐπέμφθη πρὸς Παρθένον μεμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσήφ. Τὸ δὲ ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ ἐπ' ἀμφοτέρων νοήσεις· ἄμφω γὰρ ἥ τε Παρθένος καὶ ὁ Ἰωσὴφ εἰς Δαβὶδ τὸ γένος ἀνέφερον. «Καὶ τὸ ὄνομα, φησὶ, τῆς Παρθένου Μαριάμ·» τοῦτο δὲ ἑρμηνεύεται Κυρία. Παρίστησι δὲ καὶ τὸ ἀξίωμα τῆς Παρθένου, καὶ τὸ βέβαιον τῆς παρθενίας, καὶ εἰς τὸ ἐξηλλαγμένον αὐτῆς τοῦ βίου, καὶ διὰ πάντων ἠκριβωμένον, καὶ ὡς εἰπεῖν παναμώμητον· κυρίως γὰρ οὖσα φερωνύμως παρθένος, πᾶσαν εἶχε τὴν τῆς
B ἁγνείας παντελῆ παγκτησίαν, παρθένος οὖσα καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τὰς τῆς ψυχῆς δυνάμεις, καὶ τὰς τοῦ σώματος αἰσθήσεις πάσας μολυσμοῦ παντὸς ὑπεραναχισμένας πλουτοῦσα· καὶ τοσοῦτο κυρίως τε καὶ βεβαίως, καὶ ὡς εἰπεῖν κεκυρωμένως, καὶ τοῖς πᾶσιν ἀσύλως τὸν ἅπαντα χρόνον, ὥσπερ ἡ κεκλεισμένη πύλη τὰ ἐντεθησαυρισμένα, καὶ τὸ ἐσφραγισμένον βιβλίον ὀφθαλμοῖς ἄψαυστα τηρεῖ τὰ ἐγγεγραμμένα· ἐπεὶ καὶ περὶ αὐτῆς γέγραπται, «Τοῦτό ἐστι τὸ ἐσφραγισμένον βιβλίον, καὶ αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς.»

Ἀλλὰ καὶ Κυρία πάλιν ἕτερον τρόπον ἡ Παρθένος κατὰ τὴν ἀξίαν, ὡς δεσπόζουσα πάντων, ἅτε τὸν φύσει τοῦ παντὸς Δεσπότην ἐν παρθενίᾳ συλ-
C λαβοῦσά τε καὶ τεκοῦσα θείως. Ἔτι γε μὴν Κυρία καὶ ὡς οὐκ ἐλευθέρα μόνον δουλείας, καὶ κυριότητος θείας ἐπειλημμένη, ἀλλὰ καὶ ὡς πηγὴ καὶ ῥίζα τῆς τοῦ γένους ἐλευθερίας, καὶ μάλιστα μετὰ τὸν ἀπόῤῥητον καὶ χαρμόσυνον τόκον· ἡ γὰρ ἀνδρὶ συζυγεῖσα κυριευομένη μᾶλλόν ἐστιν ἢ κυρία, καὶ μάλιστα μετὰ τὸν περίλυπον καὶ κατώδυνον τόκον, κατὰ τὴν πρὸς τὴν Εὔαν ἀρὰν ἐκείνην· «Ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει·» ἧς ἀρᾶς ἡ Παρθενομήτωρ ἐλευθεροῦσα τὸ ἀνθρώπινον γένος, τὴν χαρὰν δι' ἀγγέλου καὶ τὴν εὐλογίαν ἀντιλαμβάνει· εἰσελθὼν γὰρ, φησὶν, ὁ ἄγγελος, εἶπε πρὸς τὴν Παρθένον· «Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ·
D εὐλογημένη σὺ ἐν γυναιξίν.» Οὐ τὸ μέλλον ὁ ἀρχάγγελος προκαταγγέλλει πρὸς αὐτὴν λέγων, Ὁ Κύριος μετὰ σοῦ, ἀλλ' ὅπερ ἀοράτως ἑώρα τηνικαῦτα τελούμενον ἐξαγγέλλει. Καὶ χωρίον μὲν ταύτην θείων καὶ ἀνθρωπίνων χαρισμάτων κατανοῶν, καὶ διὰ πάντων κεκοσμημένην τῶν χαρισμάτων τοῦ θείου Πνεύματος, κεχαριτωμένην ἐτύμως ἀνηγόρευσεν. Ἔνοικον δὲ λαβοῦσαν ἤδη κατιδὼν τὸν ἐν ᾧ τούτων ἁπάντων οἱ θησαυροὶ, καὶ προκαθορῶν τὴν ἄλυπον κυοφορίαν, καὶ τῶν ἄνευ ὠδίνων ἐσόμενον τόκον, προσευηγγελίσατο ταύτῃ **75** χαίρειν, καὶ μόνην εὐλογημένην εἶναι καὶ δεδοξασμένην εἰκότως ἐν γυναιξὶ διετείνατο· τῇ γὰρ ὑπερβολῇ τῆς κατὰ τὴν θεομήτορα Παρθένον δόξης οὐκ ἔστι τις ἑτέρα δεδοξασμένη, κἂν ἐδοξάσθη.

Ἀλλ' ἡ Παρθένος ἰδοῦσα καὶ φοβηθεῖσα μή τις

Digitized by Google

ἀπατηλὸς ἄγγελος ᾖ, κλέπτων τὰς κατὰ τὴν Εὔαν ἀπερισκέπτους, τὸν ἀσπασμὸν ἀνεξετάστως οὐ παρεδέξατο· καὶ τὴν συνάφειαν, ἣν οὗτος εὐηγγελίζετο, πρὸς Θεὸν μήπω καθαρῶς γνοῦσα, ἐταράχθη, φησὶν, ἐπὶ τῷ λόγῳ αὐτοῦ, ἀπρὶξ ὡς εἰπεῖν καὶ κατάκρας τῆς παρθενίας ἀντεχομένη· « Καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. » Διὰ τοῦτο καὶ ὁ ἀρχάγγελος πάραυτα λύει τὸν θεοφιλῆ τῆς κεχαριτωμένης Παρθένου φόβον, πρὸς αὐτὴν εἰπών· « Μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. » Τίνα χάριν; Ἥτις μόνῳ δυνατὴ τῷ τὰ ἀδύνατα δυναμένῳ, καὶ μόνῃ σοὶ τετηρημένη πρὸ τῶν αἰώνων· « Ἰδοὺ γὰρ, συλλήψῃ ἐν γαστρί· » σύλληψιν γὰρ, φησὶν, ἀκούουσα, μηδεμίαν ὑπολογίζου τῆς παρθενίας παρατροπὴν, μηδὲ διὰ τοῦτο δυσχέραινε καὶ ταράττου· τοῦτο γὰρ τὸ, Ἰδοὺ συλλήψῃ, τηνικαῦτα πρὸς τὴν Παρθένον οὖσαν λεγόμενον, σύνδρομον τηνικαῦτα τῇ παρθενίᾳ τὴν σύλληψιν ὑποδεικνύει· « Ἰδοὺ οὖν συλλήψῃ, φησὶ, καὶ τέξῃ υἱόν· » ἔχουσα γὰρ ὥσπερ νῦν ἔχεις, καὶ μένουσα τὴν παρθενίαν ἀδιαλώβητος, ἔμβρυον ἕξεις, καὶ τέξῃ τὸν τοῦ Ὑψίστου Υἱόν· τοῦτο γὰρ καὶ Ἡσαΐας προορῶν ἐκ πολλῶν ἐτῶν προέλεγεν· « Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· » καὶ ὅτι « Προσῆλθον πρὸς τὴν προφῆτιν. » Πῶς οὖν ὁ προφήτης προσῆλθε πρὸς τὴν προφῆτιν; Ὡς νῦν ὁ ἀρχάγγελος πρὸς αὐτήν· ὃ γὰρ νῦν οὗτος εἶδε, τοῦτο ἐκεῖνος προεῖδέ τε καὶ προεῖπεν. Ὅτι δὲ προφῆτις, προφητικὴν ἔχουσα χάριν ἡ Παρθένος, ἡ ἐν Εὐαγγελίῳ πρὸς Θεὸν ᾠδὴ ταύτης παραστήσει τῷ βουλομένῳ. Προσῆλθεν οὖν, φησὶν, ὁ Ἡσαΐας πρὸς τὴν προφῆτιν, τῷ προβλεπτικῷ πάντως πνεύματι, καὶ ἐν γαστρὶ ἔλαβε, πρὶν ἐλθεῖν τῶν ὠδίνων τὸν πόνον ἐξέφυγε, καὶ ἔτεκεν ἄρσεν. Ὁ δὲ ἀρχάγγελος νῦν πρὸς αὐτήν· « Τέξῃ, φησὶν, υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν (ὃ ἑρμηνεύεται Σωτήρ)· οὗτος γὰρ ἔσται μέγας. » Εἶπεν ἂν Ἡσαΐας πάλιν· « Θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. » Τούτῳ συνῳδὰ νῦν καὶ ὁ ἀρχάγγελός φησιν· « Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται. »

esset angelus qui Evam simulatione deceperat, non illico salutationem acceptavit, nec qualis esset illa cum Deo prænuntiata societas omnino cognoscens, turbata est, ut scriptum est, in sermone ejus, totis viribus et ut ita dicam mordicus ad virginitatem adhærens, et interrogavit qualis esset ista salutatio. Propterea archangelus statim solvit pium Virginis gratia plenæ timorem ad eam dicens : « Ne timeas, Maria, invenisti enim gratiam apud Dominum. » Qualem gratiam? Quæ soli impossibilium capaci possibilis est. « Ecce enim in utero concipies. » Verum ideo noli contristari nec conturbari. Nam vix illud : « Ecce concipies, » Virgini dixit, cum statim cum virginitate conciliari conceptionem demonstrat. « Ecce igitur, inquit, concipies, et paries filium. » Etenim manebis sicut nunc es, et integra virginitate, prolem habebis, et paries Altissimi Filium. Hæc sunt quæ præcognita Isaias a multis annis prædixit : « Ecce Virgo habebit in utero et pariet filium [90]; » et addit : « Accessi ad prophetissam [91]. » Quomodo ergo propheta accessit ad prophetissam? Sicut hodie archangelus ad ipsam; quod enim iste hodie dixit, ille prævidit et prædixit. Quod et Virgo sit prophetissa prophetiæ gratia gaudens, ejus evangelicum ad Deum canticum cuilibet volenti manifestat. Accessit ergo, ut ipse ait, Isaias ad prophetissam (præscio omnino spiritu), et in utero concepit, et ante parturitionis labores, enixa est, et peperit masculum. Archangelus autem hodie ad eam : « Paries, inquit, filium et vocabis nomen ejus Jesum, id est, Salvator. Hic erit magnus ; » rursus dixisset Isaias : « Admirabilis, consiliarius, Deus fortis, Dominus, princeps pacis, pater futuri sæculi [92]. » Cui nunc consonat archangelus dicens : Hic magnus erit, et Filius Altissimi vocabitur.

Πῶς δὲ οὐκ εἶπεν, Ἔστι μέγας καὶ Υἱὸς Ὑψίστου, ἀλλ', Ἔσται καὶ κληθήσεται; ὡς περὶ τοῦ κατὰ Χριστὸν ἀνθρωπίνου ποιούμενος τὸν λόγον, ἅμα καὶ δηλῶν, ὅτι καὶ γνωσθήσεται τοῖς πᾶσι, καὶ ὑπὸ τούτων τοιοῦτος ὑπάρχων κηρυχθήσεται, ὡς καὶ τὸν Παῦλον ὕστερον λέγειν ἔχειν· « Ὁ Θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ· » ἀλλὰ καὶ, « Δώσει, φησὶν, αὐτῷ Κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· » οὗ δὲ ἡ βασιλεία εἰς αἰῶνας οὖσα πέρας οὐκ ἔχει, ὁ Θεός ἐστιν αὐτός. Ἀλλὰ καὶ πατέρα τὸν Δαβὶδ οὗτος ἔχει, οὐκοῦν καὶ ἄνθρωπός ἐστιν ὁ αὐτὸς, ὡς εἶναι τὸν τεχθησόμενον Θεὸν ὁμοῦ καὶ ἄνθρωπον, υἱόν τε ἀνθρώπου, καὶ Υἱὸν Θεοῦ, παρὰ Θεοῦ καὶ Πατρὸς, ὡς ἄνθρωπον τὴν ἀδιάδοχον βασιλείαν λαμβάνοντα, ὡς εἶδε καὶ προανεκήρυξεν ὁ Δανιήλ· « Ἐθεώρουν

Quare non ait : Est magnus et Filius Altissimi; bene vero, Erit et vocabitur? Quia non nisi de humanitate Christi sermonem habet, simul declarans quia ab omnibus cognoscetur et ab eis ut talis prædicabitur. Ita et Paulus postea aperte dixit : « Deus manifestatus est in carne, prædicatus in gentibus, creditus in mundo [93]. » Sed addit angelus : « Dabit ei Dominus Deus sedem David patris ejus, et regnabit in domo Jacob in æternum, et regni ejus non erit finis. » Cujus quidem regnum finem non habet, hic est Deus. Ipse autem et David patrem habet; igitur idem est etiam homo, ita ut pariendus sit Deus simul et homo, Filius Dei et hominis, accepta a Deo et a Patre regia potestate quam nemini successori relinquet, sicut vidit et præcinit Daniel dicens : « Aspiciebam donec throni positi sunt, et Antiquus dierum sedit, et ecce cum nubibus cœli quasi Filius hominis veniebat, et usque

[90] Isa. VII, 14. [91] Isa. VIII, 13. [92] Isa. IX, 6. [93] I Tim. III, 16.

Digitized by Google

ad antiquum dierum pervenit, et dedit ei potestatem et honorem et regnum; ejus regnum æternum, et potestas ejus alteri non derelinquetur [84]. »

A γάρ, φησίν, ἕως οὗ θρόνοι ἐτέθησαν καὶ παλαιὸς ἡμερῶν ἐκάθισε· καὶ ἰδοὺ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ μέχρι τοῦ

76 παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ τιμὴ καὶ ἡ ἐξουσία· καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ βασιλεῖ ἑτέρῳ οὐχ ὑπολειφθήσεται. »

Certe regnabit super thronum David, et regnabit in domo Jacob, cum Jacob quidem sit omnium qui Deum verentur patriarcha, David autem pius omnium regum primus regnaverit, a Deo acceptus in figuram Christi qui patriarchalem et regiam potestatem in unum cœlestem et æternum principatum conjunxit. Virgo vero gratiosissima, auditis tam novis tamque divinis ab angelo ad ipsam sermonibus: « Dominus tecum,... et ecce concipies;...» et habebis Filium regnantem in æternum Altissimi Filium: « Quomodo, ait, fiet istud? quoniam virum non cognosco; » licet spiritualem nimis corporalibusque passionibus superiorem mihi nuntium afferas, tamen mihi loqueris in utero conceptionem, et graviditatem et partum quæ conceptionem sequentur; quomodo ergo mihi erit istud, quoniam virum non cognosco? Sic fatur Virgo, non quia nondum credebat, sed quia discere quantum poterat, quomodo res fieret, concupiscebat. Propterea archangelus ad eam: « Spiritus, ait, sanctus superveniet in te, et virtus Altissimi obumbrabit tibi; ideo et quod nascetur sanctum vocabitur Filius Dei. » Jam quidem sancta es, inquit, o Virgo, plenaque gratia, Spiritus tamen sanctus superveniet in te per amplius sanctificationis incrementum, instruens et præparans in te Dei operationem, et virtus Altissimi obumbrabit tibi simul corroborans, vique obumbrationis et societatis in te informans humanitatem, seu ut ita dicam, illud quod noscetur sanctum, Dei Filium, Altissimi virtutem humana forma indutam. Nam ecce Elisabeth cognata tua, licet in sterilitate tota vita transacta, nunc in senectute ex sola Dei voluntate filium concepit, « quia non erit impossibile apud Deum omne verbum. » Quid igitur post talia Virgo gratiosissima cui nulla propter suam cum Deo conjunctionem conferri potest? Iterum ad Deum currit et per orationem ad ipsum intendit, archangelum affata: Si Spiritus, ut ais, sanctus superveniet in me qui meam naturam purificet et confirmet ad recipiendum salutarem partum, si virtus Altissimi me obumbrabit ad efformandum in me secundum humanitatem illum qui est in forma Dei, et effingendam sine semine prolem, si quod nascetur erit sanctum, et Filius Dei et Deus et rex sempiternus, non est enim impossibile apud Deum omne verbum: « Ecce ancilla Domini, fiat mihi secundum verbum tuum. » Et discessit angelus ab ea relinquens in utero illius corpori conadunatum omnium conditorem, et per istam conjunctionem cui ministravit largitus mundo salutem. Ita sane Isaias per ea quæ vidit et

Καθίσει δὲ ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακώβ· ἐπειδήπερ ὁ μὲν Ἰακὼβ πατριάρχης τῶν θεοσεβῶν ἐστιν ἁπάντων, ὁ δὲ Δαβὶδ πρῶτος ἁπάντων θεοσεβῶς ὁμοῦ καὶ θεαρέστως εἰς τύπον ἐβασίλευσε Χριστοῦ· ὃς πατριαρχίαν τε καὶ βασιλείαν εἰς μίαν οὐράνιον καὶ αἰώνιον συνήγαγεν ἀρχήν. Ἡ δὲ κεχαριτωμένη Παρθένος τῶν οὕτως ἐξαισίων καὶ θείων ὡς ἤκουσε τοῦ ἀρχαγγέλου πρὸς αὐτὴν ῥημάτων, ὅτι Ὁ Κύριος μετὰ σοῦ, καὶ
B ἰδοὺ συλλήψῃ, καὶ υἱὸν ἕξεις, τὸν βασιλεύοντα τῶν αἰώνων τοῦ Ὑψίστου Υἱόν· « Πῶς ἔσται μοι, φησὶ, τοῦτο; ἐπεὶ ἄνδρα οὐ γινώσκω. » Εἰ γὰρ καὶ πνευματικὸν ἄγαν, καὶ σαρκικῶν παθῶν ὑπερανῳκισμένον μοι κομίζεις τὸ εὐαγγέλιον, ἀλλὰ σύλληψίν μοι λέγεις ἐν γαστρὶ, καὶ κύησιν καὶ τόκον, καὶ τὸ ἰδοὺ προστίθης ἐπὶ τῆς συλλήψεως· πῶς οὖν ἔσται μοι τοῦτο; ἐπεὶ ἄνδρα, φησὶν, οὐ γινώσκω. Τοῦτο δέ φησιν ἡ Παρθένος οὐκέτ' ἀπιστοῦσα, μαθεῖν δὲ τὸ πρᾶγμα κατὰ τὸ δυνατὸν ὡς ἔχει ζητοῦσα· διὰ τοῦτο καὶ ὁ ἀρχάγγελος πρὸς αὐτὴν, « Πνεῦμα, φησὶν, ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ· » ἁγία μὲν γὰρ εἶ σὺ, φησὶ,
C καὶ κεχαριτωμένη, Παρθένε· Πνεῦμα δὲ πάλιν ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, δι' ἁγιασμοῦ προσθήκης ὑψηλοτέρας, ἑτοιμάζον καὶ προκαταρτίζον τὴν ἐν σοὶ θεουργίαν· καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι, συνεπιῤῥωννῦσά τε ἅμα καὶ διὰ τῆς ἐν σοὶ ἐπισκιάσεως καὶ συναφείας ἑαυτῇ μορφοῦσα τὴν ἀνθρωπότητα, ὡς εἶναι τὸ γεννώμενον ἅγιον, Υἱὸν Θεοῦ, δύναμιν Ὑψίστου μεμορφωμένην κατ' ἄνθρωπον· ἰδοὺ γὰρ καὶ Ἐλισάβετ ἡ συγγενής σου στεῖρα τὸν ἅπαντα διανύσασα βίον, νῦν ἐν γήρᾳ, Θεοῦ βουληθέντος, παραδόξως κυοφορεῖ, ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Τί οὖν ἡ κεχαριτωμένη πρὸς ταῦτα Παρθένος, καὶ τὴν σύνεσιν θεία καὶ ἀπαράμιλλος; Πάλιν πρὸς τὸν Θεὸν τρέχει, καὶ δι' εὐχῆς πρὸς αὐτὸν ἀνατείνεται, πρὸς τὸν ἀρχάγγελον
D λέγουσα· Εἰ Πνεῦμα, καθὰ φῂς, ἅγιον ἐπελεύσεται ἐπ' ἐμὲ, τὴν ἐμὴν φύσιν ἔτι καθαῖρον καὶ ἐνισχύον δέξασθαί με τὸ σωτήριον κύημα· εἰ δύναμις Ὑψίστου ἐπισκιάσει μοι, μορφοῦσα κατ' ἄνθρωπον ἐν ἐμοὶ τὸν ἐν μορφῇ Θεοῦ ὄντα, καὶ δημιουργοῦσα λοχείαν ἄσπορον· εἰ τὸ γεννώμενον ἅγιον καὶ Υἱὸς Θεοῦ, καὶ Θεὸς καὶ βασιλεὺς αἰώνιος· οὐ γὰρ ἀδυνατεῖ παρὰ τῷ Θεῷ πᾶν ῥῆμα· « Ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. » Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος, λιπὼν ἐν τῇ γαστρὶ ταύτης σώματι συνημμένον τὸν τοῦ παντὸς ποιητὴν, καὶ διὰ τῆς ἐν αὐτῇ ταύτης συναφείας, ᾗ διηκόνησε, προξενήσας τῷ κόσμῳ τὴν σωτηρίαν. Οὕτω δὲ καὶ Ἡσαΐας δι' ὧν ἤδη καὶ μακαρίως ἠξιώθη παθεῖν ἐν-

[84] Dan. vii, 9, 13, 14.

Digitized by Google

ἀργῶς προὐπέγραψεν· οὐ γὰρ ἀμέσως ἑώρακε τὸν Σεραφεὶμ ἐκ τοῦ κατ' οὐρανὸν νοητοῦ θυσιαστηρίου τὸν ἄνθρακα λαβόντα· διὰ γὰρ τῆς λαβίδος τοῦτον ἔλαβεν ὁ Σεραφεὶμ, δι' ἧς καὶ τῶν αὐτοῦ χειλέων ἥψατο, τὴν κάθαρσιν διδούς. Τοῦτο δ' ἦν τὸ τῆς λαβίδος ἐκείνῳ τῷ μεγάλῳ θεάματι ταυτὸν, ὃ Μωσῆς ἑώρακε, βάτον ἐκ πυρὸς ἡμμένην καὶ μὴ κατακαιομένην. Τίς δ' οὐκ οἶδεν, ὡς ἡ Παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καὶ αὕτη ἡ λαβίς ἐστιν, ἐν ἑαυτῇ τὸ θεῖον πῦρ ἀπυρπολύτως συλλαβοῦσα, κἀνταῦθα διακονήσαντος ἀρχαγγέλου τῇ συλλήψει, καὶ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου δι' αὐτῆς συνάψαντος **77** τῷ ἀνθρωπείῳ γένει, καὶ διὰ τῆς ἀποῤῥήτου ταύτης συναφείας ἡμᾶς περικαθάραντος; Οὐκοῦν ἡ παρθενομήτωρ αὕτη μόνη μεθόριόν ἐστι κτιστῆς καὶ ἀκτίστου φύσεως, καὶ αὐτὴν εἴσονται τοῦ ἀχωρήτου χώραν ὅσοι δὴ γινώσκουσι Θεὸν, καὶ αὐτὴν ὑμνήσουσι μετὰ Θεὸν ὅσοι τὸν Θεὸν ὑμνοῦσιν. Αὕτη καὶ τῶν πρὸ αὐτῆς αἰτία, καὶ τῶν μετ' αὐτὴν προστάτις, καὶ τῶν αἰωνίων πρόξενος. Αὕτη τῶν προφητῶν ὑπόθεσις, τῶν ἀποστόλων ἀρχὴ, τῶν μαρτύρων ἑδραίωμα, τῶν διδασκάλων κρηπίς. Αὕτη τῶν ἐπὶ γῆς ἡ δόξα, τῶν κατ' οὐρανὸν ἡ τερπνότης, τὸ πάσης κτίσεως ἐγκαλλώπισμα. Αὕτη καταρχὴ καὶ πηγὴ καὶ ῥίζα τῆς ἀποκειμένης ἡμῖν ἐν οὐρανοῖς ἐλπίδος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ταῖς αὐτῆς ὑπὲρ ἡμῶν πρεσβείαις εἰς δόξαν τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντος, καὶ ἐπ' ἐσχάτων αἰώνων ἐξ αὐτῆς σαρκωθέντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A pati feliciter dignatus est perlucide diu ante eventum scripserat. Non enim vidit Seraphim ipsum a cœlesti quod excogitavit thuribulo carbonem sine instrumento accipientem, nam accepit forcipe Seraphim illum carbonem teligitque prophetæ labia quibus munditiam attulit. Ab ista forcipe non discrepabat magnum illud spectaculum quod viderat Moyses: rubum flamma ardentem nec tamen consumptum. Jam quis non intelligat quoniam illa Mater Virgo rubo et forcipe præfigurabatur, cum in utero divinum ignem sine ullo detrimento conceperit, conceptioni etiam ministrante archangelo qui humano generi conjunxit illum qui in ipsa tollit peccata mundi, et nos ista ineffabili coadunatione mundavit? Igitur illa virgo simul et mater B sola est quasi confinis inter creatam et increatam naturam; ipsam scient capientem eum qui capi non potest quicumque Deum cognoscunt, ipsam post Deum concinent quicunque Deum concinunt. Ipsa est etiam per quam mundus tum ante tum post eam beneficia recepit; ipsa æterna gaudia largitur; ipsa prophetiarum materia, apostolorum regina, martyrum fulcimentum, doctorum sedes. Ipsa terrenorum gloria, cœlestium lætitia, universæ creationis ornamentum. Ipsa principium et radix nos manentis spei cœlestis quam nos omnes consequi donetur illius pro nobis supplicationibus in gloriam illius ante sæcula a Patre geniti, et novissimis sæculis ex ipsa incarnati Jesu Christi Domini nostri C cui omnis gloria, honor et adoratio nunc et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ ΙΕ'.

*Ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν Βαΐων.*

« Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, » διὰ τοῦ Ἡσαΐου εἶπεν ὁ Θεός. Καλὸν οὖν σήμερον τὸ ἀποστολικὸν ἐκεῖνο πρὸς τὴν ὑμετέραν ἀγάπην εἰπεῖν· « Ἰδοὺ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ ἡμέρα σωτηρίας· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· » ἐγγίζει γὰρ ἡ τῶν σωτηρίων τοῦ Χριστοῦ παθημάτων ἀνάμνησις, καὶ τὸ καινὸν καὶ μέγα καὶ πνευματικὸν Πάσχα, τὸ τῆς ἀπαθείας βραβεῖον, τὸ τοῦ μέλλοντος αἰῶνος προοίμιον, καὶ προκηρύττει τοῦτο Λάζαρος, ἐκ τῶν ᾅδου κευθμώνων ἐπανελθὼν, καὶ φωνῇ καὶ προστάγματι μόνῳ Θεοῦ, τοῦ ζωῆς ἔχοντος καὶ θανάτου τὴν ἐξουσίαν, τετραήμερος ἐκ νεκρῶν ἀναστάς. Καὶ προανυμνοῦσι παῖδες καὶ λαὸς ἄκακος ἐπιπνοίᾳ τοῦ θείου Πνεύματος τὸν ἐκ θανάτου λυτρούμενον, τὸν ἐξ ᾅδου ψυχὰς ἀνάγοντα, τὸν ψυχῇ καὶ σώματι ζωὴν ἀΐδιον χαριζόμενον. Εἴ τις οὖν ἐθέλει ζωὴν, ἡμέρας ἰδεῖν ἀγαθὰς, παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ, καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον· ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιησάτω

## HOMILIA XV.

*Dicta in Dominica Palmarum.*

« Tempore accepto exaudivi te, et in die salutis adjuvi te, » dixit per Isaiam Dominus [95]. Juvat ergo hodie ad vestram charitatem istud apostolicum affari: « Ecce nunc tempus acceptabile, ecce nunc dies salutis, abjiciamus opera tenebrarum et induamur arma lucis, tanquam in die honeste ambulemus [96]. » Appropinquat enim salutarium Christi passionum memoria, accedit novum et magnum et spi- D rituale Pascha, pacis pretium, futuri sæculi pignus; hoc proclamat Lazarus e medio sepultorum in inferno surgens, et voce soloque jussu Christi vitæ et mortis imperio gaudentis quatriduanus ex mortuis revocatus; procinunt pueri et innocens turba Spiritu Dei afflata mortis victoriam, animarum ex inferno suscitatorem, animæ et corpori vitam æternam largientem. Si quis vult vitam, diligit dies videre bonos, prohibeat linguam suam a malo, et labia ejus ne loquantur dolum, divertat a malo et faciat bonum [97]. » Malum ventris servitus, et ebrietas, et dissolutio, malum auri cupido, avaritia et injustitia, malum vana gloria, confidentia et superbia. Diver-

[95] Isa. XLIX, 8. [96] II Cor. VI, 2; Rom. XIII, 12. [97] Psal. XXXIII, 13, 15.

Digitized by Google

iat ergo quicunque ab istis malis et operetur bona. A Quænam? Temperantiam, jejunium, castitatem, justitiam, eleemosynam, generositatem, charitatem, humilitatem, ut digne participes simus immolati pro nobis agni Dei, et inde sumamus arrhas immortalitatis quas in nobis servemus cum firma spe nobis in cœlis promissæ hæreditatis. Sed nonne perarduum est bonum, virtutesque nonne vitiis difficiliores? Ego ita non sentio. Plures enim tolerat labores ebriosus quam vir bene ordinatus, plures flagitiosus quam recte compositus, plures divitias appetens quam sufficienti contentus, plures gloriam qua induatur ambiens quam in obscuritate degens. Verum cum propter nostram mollitiem nobis difficiliores videantur virtutes, vi nosmetipsos frangamus: « Regnum cœlorum, ait Dominus, vim B patitur, et violenti rapiunt illud [98]. »

τὸ ἀγαθόν. Κακὸν οὖν γαστριμαργία καὶ μέθη καὶ ἀσωτία· κακὸν φιλαργυρία, πλεονεξία καὶ ἀδικία· κακὸν κενοδοξία, θρασύτης καὶ ὑπερηφανία. Ἐκκλινάτω οὖν πᾶς ἀπὸ τῶν τοιούτων κακῶν, καὶ ἐργαζέσθω τὰ ἀγαθά. Τίνα ταῦτα; Τὴν ἐγκράτειαν, τὴν νηστείαν, τὴν σωφροσύνην, τὴν δικαιοσύνην, τὴν ἐλεημοσύνην, τὴν μακροθυμίαν, τὴν ἀγάπην, τὴν ταπείνωσιν, ἵνα μεταλάβωμεν ἀξίως τοῦ τυθέντος ὑπὲρ ἡμῶν ἀμνοῦ τοῦ Θεοῦ, καὶ λάβωμεν ἐντεῦθεν τὸν ἀῤῥαβῶνα τῆς ἀφθαρσίας, καὶ φυλάξωμεν παρ' ἑαυτοῖς εἰς πληροφορίαν τῆς ἐν οὐρανοῖς ἡμῖν ἐπηγγελμένης κληρονομίας. Ἀλλὰ δυσάνυστον τὸ ἀγαθὸν, καὶ αἱ ἀρεταὶ 78 δυσκολώτεραί εἰσι τῶν κακιῶν. Ἐγὼ μὲν οὐχ ὁρῶ τοῦτο, καὶ γὰρ πλείους αὐτόθεν ὑφίσταται πόνους ὁ μέθυσος καὶ ἀκρατὴς τοῦ ἐγκρατοῦς, καὶ ὁ ἀκόλαστος τοῦ σωφρονοῦντος, καὶ ὁ σπεύδων πλουτεῖν τοῦ ἐν αὐταρκείᾳ ζῶντος, καὶ ὁ δόξαν ἑαυτῷ περιθέσθαι ζητῶν τοῦ ἐν ἀφανείᾳ διάγοντος. Ἀλλ' ἐπεὶ διὰ τὴν ἡμετέραν ἡδυπάθειαν δυσκολώτεραι ἡμῖν φαίνονται αἱ ἀρεταὶ, βιασώμεθα ἡμᾶς αὐτούς· « Βιαστὴ γάρ ἐστι, φησὶν ὁ Κύριος, ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. »

Igitur sedulitate et diligentia opus est nobis illustribus et ingloriis, gubernantibus et gubernatis, divitibus et mendicis, ut pravas cupiditates ab animis nostri amoveamus et istorum loco ordinem virtutum inseramus. Etenim agricola et sutor et structor et sartor et textor, omnes omnino qui frontis sudore suarumque manuum labore sibi cibum comparant, si concupiscentiam divitiarum et gloriæ et mollitiei ab anima coerceant, vere beati sunt. Tales enim sunt pauperes quorum est regnum cœlorum. Ideo Dominus de illis: « Beati, C inquit, pauperes spiritu [99]. » Pauperes autem sunt spiritu qui spiritu seu animo modesto nec gloriæ nec voluptatum cupiditate irretito, libenter paupertatem amplectuntur, vel eam, si involuntaria sit, libenter sufferunt. Divites vero et deliciis affluentes et caducam ambientes gloriam, qui ista prorsus explent desideria, acerbioribus concupiscentiis inservient et in strictiores et plures et asperiores diaboli laqueos incident. Nam ditescendi concupiscentiam ditatus non dimittit, sed potius auget, plura quam prius expetens. Sic et voluptuosus et avarus et flagitiosus et dissolutus, expletis suis concupiscentiis, illas potius accendunt, sed nunquam repudiant. Principes autem virique illustres potestate accepta D plura peccata majoresque perpetrant injustitias.

Σπουδῆς οὖν ἡμῖν πᾶσι χρεία καὶ προσοχῆς, ἐνδόξοις τε καὶ ἀδόξοις, ἄρχουσι καὶ ἀρχομένοις, πλουσίοις καὶ πένησιν, ὥστε τὰ πονηρὰ πάθη ταῦτα τῆς οἰκείας ἀπώσασθαι ψυχῆς καὶ ἀντεισοικίσαι ταύτῃ τὸν τῶν ἀρετῶν κατάλογον. Καὶ ὁ γεωργὸς γὰρ καὶ ὁ σκυτοτόμος καὶ ὁ οἰκοδόμος καὶ ὁ ῥάπτης καὶ ὁ ὑφαντὴς, καὶ ἁπλῶς πᾶς ὁ δι' οἰκείων πόνων καὶ τῆς ἀπὸ τῶν χειρῶν ἐργασίας ποριζόμενος τὸ ζῆν, ἐὰν τὴν ἐπιθυμίαν τοῦ πλούτου καὶ τῆς δόξης καὶ τῆς τρυφῆς ἀπὸ τῆς οἰκείας ἐκβάλωσι ψυχῆς, ὄντως μακάριοι· οὗτοι γάρ εἰσιν οἱ πτωχοὶ, ὧν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· διὸ καὶ διὰ τοὺς τοιούτους ὁ Κύριος, « Μακάριοι, φησὶν, οἱ πτωχοὶ τῷ πνεύματι. » Πτωχοὶ δέ εἰσι τῷ πνεύματι οἱ διὰ τὸ ἀκόμπαστον καὶ ἀφιλόδοξον καὶ ἀφιλήδονον τοῦ ἑαυτῶν πνεύματος, ἤτοι τῆς ψυχῆς, ἢ ἑκούσιον καὶ τὴν ἐκτὸς ἔχοντες πτωχείαν, ἢ γενναίως ταύτην φέροντες, κἂν ἀκούσιος ᾖ. Οἱ δὲ πλουτοῦντες καὶ εὐπαθοῦντες, καὶ τῆς προσκαίρου δόξης ἀπολαύοντες, καὶ ἁπλῶς οἱ τῶν τοιούτων ἐπιθυμηταὶ τυγχάνοντες, δεινοτέροις πάθεσι περιπαρήσονται, καὶ εἰς μείζους καὶ πλείους καὶ δυσχερεστέρας ἐμπεσοῦνται παγίδας τοῦ διαβόλου· τὴν γὰρ ἐπιθυμίαν τοῦ πλουτεῖν ὁ πλουτήσας οὐκ ἀποτίθεται, ἀλλ' αὔξει μᾶλλον, πλειόνων ἢ πρότερον ὀρεγόμενος. Οὕτω καὶ ὁ φιλήδονος, καὶ ὁ φίλαρχος, καὶ ὁ ἄσωτος, καὶ ὁ ἀκόλαστος, αὔξουσι μᾶλλον ταύτας, ἀλλ' οὐκ ἀποβάλλονται. Οἱ δὲ ἄρχοντες καὶ οἱ ἔνδοξοι προσλαμβάνουσι καὶ δύναμιν ὥστε μείζους ἐκτελεῖν ἀδικίας καὶ ἁμαρτίας.

Ideo difficile est principem salvari et divitem in regnum Dei intrare. Unde Dominus: « Quomodo, ait, vos potestis credere qui gloriam ab invicem accipitis, et gloriam quæ a Deo est non quæritis [1]? » Sed nemo turbetur si opulentus, si illustris, si princeps sit. Potest enim talis si velit gloriam Dei quærere et sibimetipsi vim inferre, ita ut disrupta ad malum propensione, magnas exerceas virtutes, magna arceas vitia, non a semetipso tantum recta

Διὰ τοῦτο δύσκολόν ἐστιν ἄρχοντα σωθῆναι, καὶ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. « Καὶ πῶς, φησὶ, δύνασθε πιστεύειν εἰς ἐμὲ, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ μὴ ζητοῦντες; » Ἀλλὰ μὴ θορυβείσθω εἴ τις εὔπορος ἢ ἔνδοξος ἢ ἄρχων ἐστί· δύναται γὰρ οὗτος, ἐὰν θέλῃ, τὴν δόξαν τοῦ Θεοῦ ζητεῖν, καὶ βιάζεσθαι ἑαυτὸν, ὥστε τὴν πρὸς τὰ χείρω ῥοπὴν ἀνακόπτειν, μεγάλας ἀρετὰς ἐργάσα-

[98] Matth. xi, 12. [99] Matth. v, 3. [1] Joan. v, 44.

σθαι, καὶ μεγάλα; ἀπώσασθαι κακίας, οὐκ ἀφ' ἑαυτοῦ μόνον, ἀλλὰ καὶ ἀπὸ πολλῶν ἑτέρων τῶν μὴ βουλομένων· καὶ γὰρ δύναται μὴ μόνον δικαιοπραγεῖν καὶ σωφρονεῖν, ἀλλὰ καὶ τοὺς ἀδικεῖν καὶ ἀκολασταίνειν βουλομένους κωλύειν πολυτρόπως, καὶ μὴ μόνον εὐπειθῆ παρέχειν ἑαυτὸν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ καὶ τοῖς κήρυξιν αὐτοῦ, ἀλλὰ καὶ τοὺς ἀπειθεῖν βουλομένους ὑποτάσσειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ τοῖς κατὰ Χριστὸν προεστηκόσι ταύτης, μὴ μόνον διὰ τῆς δυνάμεως καὶ ἐξουσίας ἧς ἔλαχε παρὰ Θεοῦ, ἀλλὰ καὶ τὸ τύπος γίνεσθαι τοῖς ὑποδεεστέροις ἐν πᾶσιν ἀγαθοῖς· ἐξομοιοῦται γὰρ τῷ ἄρχοντι τὸ ἀρχόμενον. Σπουδῆς οὖν χρεία καὶ βίας καὶ προσοχῆς πᾶσι μὲν, οὐκ ἐπίσης δέ· τοῖς γὰρ ἐν δόξῃ καὶ πλούτῳ καὶ ἀρχῇ καθεστῶσι, καὶ τοῖς περὶ λόγους καὶ περὶ τὴν κτῆσιν τῆς κατ' αὐτοὺς σοφίας ἐσπουδακόσιν, εἴπερ σωθῆναι βούλοιντο, πλείονος χρεία βίας τε καὶ σπουδῆς, ἐπεὶ καὶ πεφύκασιν εἶναί πως δυσπειθέστεροι.

**79** Τοῦτο δὴ καὶ ἀπὸ τῶν χθὲς καὶ σήμερον ἀναγνωσθέντων Εὐαγγελίων τοῦ Χριστοῦ γίνεται καταφανές· τοῦ γὰρ ἐπὶ Λαζάρῳ τελεσθέντος θαύματος, καὶ Θεὸν εἶναι τὸν ποιήσαντα περιφανῶς παραστήσαντος, ὁ μὲν λαὸς ἀνεπείσθησαν καὶ ἐπίστευσαν, οἱ δὲ τηνικαῦτα ἄρχοντες, οἱ γραμματεῖς δηλονότι καὶ Φαρισαῖοι, τοσοῦτον ἀπέσχον τοῦ πεισθῆναι, ὡς καὶ κατ' αὐτοῦ μανῆναι μᾶλλον, καὶ ὑπὸ φρενοβλαβείας θανάτῳ παραδοῦναι βουλεύεσθαι τὸν, καὶ δι' ὧν εἶπε, καὶ δι' ὧν ἔπραξε, ζωῆς καὶ θανάτου Κύριον ἀναφανέντα· οὐ γὰρ ἔχει τις εἰπεῖν, ὅτι τὸ τοὺς οἰκείους ὀφθαλμοὺς ἄνω τότε τὸν Χριστὸν ἐπᾶραι καὶ εἰπεῖν· Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου, ἐμπόδιον αὐτοῖς ἐγένετο πρὸς τὸ ἴσον εἶναι νομίσαι τοῦτον τῷ Πατρί· ἐπιφέρει γὰρ αὐτὸς ἐκεῖ πρὸς τὸν Πατέρα λέγων· « Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. » Ἵνα γὰρ ὁμοῦ τε Θεὸν γνῶσι τοῦτον, καὶ ἐκ τοῦ Πατρὸς ὄντα, καὶ κατ' οὐδὲν ὑπεναντίον, ἀλλὰ κατὰ γνώμην τοῦ Πατρὸς τὰ θαύματα ἐργαζόμενον, ἦρε μὲν ἐνώπιον πάντων τοὺς ὀφθαλμοὺς αὐτοῦ πρὸς τὸν Πατέρα, ἐκεῖνα δὲ εἶπε πρὸς αὐτὸν, ἅπερ ἴσον ἀποδείκνυσι τὸν ἐπὶ γῆς εἰπόντα τῷ ἀνωτάτῳ καὶ κατ' οὐρανὸν Πατρί· ὥσπερ γὰρ μέλλοντος τὴν ἀρχὴν πλάττεσθαι τοῦ ἀνθρώπου βουλὴ προηγήσατο, οὕτω καὶ νῦν ἐν τῷ Λαζάρῳ, τοῦ ἀνθρώπου μέλλοντος ἀναπλάττεσθαι βουλὴ προηγεῖται. Ἀλλ' ἐκεῖ μὲν τοῦ Πατρὸς πρὸς τὸν Υἱὸν ἐν τῷ μέλλειν πλάττεσθαι τὸν ἄνθρωπον εἰπόντος, Ποιήσωμεν ἄνθρωπον, αὐτὸς ὁ Υἱὸς ἤκουσε τοῦ Πατρὸς, καὶ οὕτως ὁ ἄνθρωπος εἰς τὸ εἶναι παρήχθη· ἐνταῦθα δὲ νῦν ἀκούει τοῦ Υἱοῦ εἰπόντος ὁ Πατὴρ, καὶ οὕτως ὁ Λάζαρος ἐζωώθη. Ὁρᾶτε τὴν ὁμοτιμίαν καὶ τὴν ὁμοβουλίαν ὅση; Τὸ μὲν γὰρ σχῆμα τῆς προσευχῆς διὰ τὸν περιεστῶτα γέγονεν ὄχλον, τὰ δὲ ῥήματα οὐ προσευχῆς ἦν, ἀλλὰ δεσποτείας καὶ αὐτοκρατορίας· Λάζαρε, δεῦρο ἔξω, καὶ εὐθὺς ὁ τετραήμερος νεκρὸς

A electione, sed etiam ab aliis multis etiam invitis. Nam potest non tantum justitiam et castimoniam colere, sed etiam qui injuste et dissolute vivere vellet multimode castigare; sed nec etiam iniquitatem modo e solio ejicere, verum adhuc justitiam in eo constituere, nec tantum se ipsum docilem præbere in obediendo Evangelio Christi, ejusque præconibus, sed etiam contumaces submittere Christi Ecclesiæ, ejusque secundum Christum præpositis, quæ non solum utendo potestate et jure a Deo acceptis, sed etiam se minus bonis in exemplum dando obtinebit. Nam tales subditi quales principes. Sedulitate ergo et violentia et diligentia opus est, omnibus quidem, sed non æqualiter. Qui enim gloria et divitiis et potestate superinduuntur, B et circa litteras et comparandam illam quam judicant sapientiam studiose versantur, si salvari velint, magis necessariam habent vim et diligentiam, cum natura sint indocilioris ingenii.

Quod ex hesterno necnon ex hodierno Evangelio evidenter patet. Etenim perfecto super Lazarum miraculo quo Christus se Deum clare probaverat, populus quidem persuasus credidit, principes autem, id est Scribæ et Pharisæi, tantum aberat ut crederent, ut contra ipsum furerent, et insani eum tradere morti intenderent qui et dictis et factis sese vitæ mortisque Dominum manifestaverat. Nam quis autumaret ex eo quod Christus, elevatis sursum oculis, dixerit: « Pater, gratias ago C tibi, » prohibuisse ne Patri æqualis putaretur? Explicat enim ipse Patrem affatus: « Ego autem sciebam quia semper me audis, sed propter populum qui circumstat dixi, ut credant quia tu me misisti[a]. » Ut enim pariter Deum esse cognoscant, illum et a Patre procedentem et in nullo minorem, sed secundum assensum miracula operari, elevavit quidem coram omnibus oculos ad Patrem, talia vero ad ipsum dixit quæ ostenderent in terris loquentem regnanti in excelsis et in cœlis Patri æqualem. Enimvero sicut in principio, cum jamjam creandus esset homo, consilium præcedit, ita in Lazaro cum homo rursus esset formandus. Illic autem Pater ad Filium de jam creando homine dixit: « Faciamus hominem[b]; » Filius vero Patrem au- D divit, et sic homo in vitam processit. Hic autem Filium loquentem audit Pater, et sic Lazarus in vitam rediit. Videte honoris et consilii paritatem. Formam quidem orationis propter circumstantem turbam adhibuit; verba autem orationis non sunt, sed imperii et plenæ potestatis: « Lazare, veni foras[c], » et statim, defunctus quatriduanus illi vivus adfuit: utrum viventis imperio an vivificantis oratione? Exclamavit voce magna, et hoc propter circumstantes, poterat enim vi non tantum vocis modicæ, sed etiam simplicis voluntatis resuscitare licet valde distans et quamvis lapis impositus esset. Sed ad tumulum accessit et circumstantibus sermonem habuit, et tu-

[a] Joan. xi, 41, 42. [b] Gen. i, 26. [c] Joan. xi, 43.

Digitized by Google

lerunt lapidem, et fœtorem senserunt, et voce magna clamavit et vocavit Lazarum, et sic eum ad lucem reddidit, ut propriis oculis, viderunt enim tumulum adstantes, propria perceptione, senserunt mortui fœtorem, nam quatriduanus erat, proprio tactu, suis enim manibus primo lapidem ex monumento sustulerunt, deinde vincula quibus corpus ligabatur, et sudarium, quo velabatur facies solverunt, et propriis auribus, Domini enim vox omnium auribus personavit, omnes intelligerent et crederent quoniam ipse est vocans ea quæ non sunt tanquam ea quæ sunt [5], portans omnia verbo virtutis suæ et omnia in principio solo verbo in esse adducens.

ζῶν αὐτῷ παρέστη· ἆρα προστάγματι ζωοῦντος τοῦτο, ἢ δι' εὐχῆς ζωοποιοῦντος; Ἐφώνησε δὲ φωνῇ μεγάλῃ, καὶ τοῦτο διὰ τοὺς περιεστῶτας· ἐδύνατο γὰρ μὴ μετρίᾳ φωνῇ μόνον, ἀλλὰ καὶ βουλήματι μόνῳ τοῦτον ἀναστῆσαι, ὥσπερ καὶ μακρὰν ἀπέχων, καὶ τοῦ λίθου ἐπικειμένου· ἀλλὰ καὶ ἐπέστη τῷ τάφῳ, καὶ εἶπε τοῖς περιεστῶσι, καὶ ἦραν αὐτοὶ τὸν λίθον καὶ ᾔσθοντο τῆς δυσωδίας, καὶ φωνῇ μεγάλῃ ἐφώνησε καὶ ἐκάλεσε, καὶ οὕτως ἀνέστησεν αὐτὸν, ἵνα καὶ διὰ τῆς οἰκείας ὁράσεως· αὐτοὶ γὰρ ἑώρων ἐφισταμένῳ τῷ τάφῳ· καὶ διὰ τῆς οἰκείας ὀσφρήσεως· αὐτοὶ γὰρ ᾔσθοντο τῆς δυσωδίας τοῦ νεκροῦ, τεταρταῖος γὰρ ἦν· καὶ διὰ τῆς ἑαυτῶν ἁφῆς, δι' ἧς αὐτοὶ ταῖς οἰκείαις χρησάμενοι χερσὶ, πρῶτον μὲν ἦραν τὸν λίθον ἐκ τοῦ μνημείου, ὕστερον δὲ τὸν ἐπὶ τοῦ σώματος δεσμὸν καὶ τὸ ἐπὶ τῇ ὄψει σουδάριον ἔλυσαν· καὶ διὰ τῶν οἰκείων ὤτων τῆς τοῦ Κυρίου φωνῆς ἐπὶ τὰς πάντων ἀκοὰς φθανούσης, συνῶσι πάντες καὶ πιστεύσωσιν, ὅτι αὐτός ἐστιν ὁ καλῶν τὰ μὴ ὄντα ὡς ὄντα, ὁ φέρων πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ὁ καὶ πάντα τὴν ἀρχὴν ῥήματι μόνῳ ἐκ μὴ ὄντων τὰ ὄντα ποιήσας.

Populus ergo simplex propter talia sic ei credidit ut non solum silens habuerit fidem, sed et præco factus sit opere et lingua ejus divinitatis. Etenim Lazaro e somno quatriduano excitato, Dominus nactus asinum quem paraverant discipuli, sicut evangelista Matthæus narrat [6], in ipso sedens Hierosolyma ingreditur, prout prophetaverat Zacharias dicens: « Noli timere, filia Sion, ecce rex tuus venit tibi justus et Salvator; ipse mansuetus et sedens super subjugalem et pullum asinæ [7]. » Quibus verbis ostendit propheta quod prædictus erat rex ipse qui solus Rex Sion jure appellatur. Ait enim: Rex tuus non est ex conspectis metuendus, nec austerus, nec nefarius, satellites stipatoresve non habet, nec peditum vel equitum turbam adducit, nec avare degit, nec tributa aut vectigalia exigit nec servitutes aut officia non minus vilia quam noxia. Sed ejus insignia humilitas, paupertas et parcimonia; asino insidens ingreditur, hominum vero comitatu utitur nullo. Ideo justus solus iste rex et salvans in æquitate, et ipse mansuetus: propriam enim habet mansuetudinem. Unde et Dominus de seipso dixit: « Discite a me quia mitis sum et humilis corde [8]. » Ille ergo qui Lazarum resuscitaverat, rex super asinum sedens, sic Hierosolyma ingreditur, omnes autem turbæ, fere omnes pueri, viri, seniores, prostratis vestimentis et acceptis ramis palmarum quæ sunt victoriæ signum, tanquam vitæ auctori mortisque victori occurrerunt, quem adorabant et deducebant non extra tantum, sed etiam intra sanctorum mœnia una voce concinentes: « Hosanna filio David! Hosanna in excelsis! » Hoc quidem hosanna hymnus est ad Deum missus; interpretatum enim idem sonat ac « Salva Domine. » Illud autem quod additur: in excelsis, ostendit eum non in terris tantum nec modo ab hominibus, sed et in excelsis ab angelorum choris celebrari. Nec tantum illum sic concinentes Deum prædicant, sed etiam pravis consiliis et contra Deum propositis

Ὁ μὲν οὖν ἄκακος λαὸς οὕτω διὰ πάντων ἐπίστευσαν αὐτῷ, ὡς μὴ μόνον σιγῇ τὴν πίστιν ἔχειν, ἀλλὰ καὶ κήρυκες γενέσθαι δι' ἔργων τε καὶ λόγων τῆς αὐτοῦ θεότητος. Μετὰ γὰρ τὴν τοῦ Λαζάρου τετραήμερον ἔγερσιν, ὀνάριον εὑρὼν ὁ Κύριος, ὃ προητοίμασται παρὰ τῶν μαθητῶν, ὡς ὁ εὐαγγελιστὴς Ματθαῖός φησιν, ἐπ' αὐτοῦ καθίσας, τὰ Ἱεροσόλυμα **80** εἰσῄει κατὰ τὴν προφητείαν Ζαχαρίου, προειρηκότος· « Μὴ φοβοῦ, θύγατερ Σιὼν, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πρᾷος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου. » Ἐδείκνυ δὲ διὰ τῶν λόγων τούτων ὁ προφήτης, ὅτι ὁ προφητευόμενος οὗτος βασιλεὺς, ὃς καὶ μόνος ὄντως τῆς Σιὼν ὑπάρχει βασιλεύς· Ὁ βασιλεύς σου γὰρ, φησὶν, οὐκ ἔστι φοβερὸς ἀπὸ τῶν ὁρωμένων, οὐδὲ βαρύς τις καὶ κακοποιὸς, ὑπασπιστὰς καὶ δορυφόρους ἐπαγόμενος, ἢ πεζῶν καὶ ἱπποτῶν ἐπισυρόμενος πλῆθος, πλεονεξίᾳ τε συζῶν, καὶ τέλη καὶ φόρους ἀπαιτῶν, καὶ δουλείας καὶ ὑπηρεσίας ἀγεννεῖς τε καὶ ἐπιβλαβεῖς· ἀλλὰ τὸ ἐπίσημον αὐτοῦ ταπείνωσίς ἐστι, καὶ πτωχεία καὶ εὐτέλεια· ὄνῳ γὰρ ἐποχούμενος εἰσῄει, ἀνθρώπινον ὄγκον ἐπαγόμενος οὐδένα. Διὰ τοῦτο δίκαιος μόνος οὗτος βασιλεὺς, καὶ σώζων ἐν δικαιοσύνῃ, καὶ αὐτὸς πρᾷος ὡς ἰδιαιτάτην ἔχων τὴν πραότητα· καὶ γὰρ καὶ αὐτὸς ὁ Κύριος περὶ ἑαυτοῦ φησι· « Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. » Ὁ μὲν οὖν τὸν Λάζαρον ἐκ νεκρῶν ἀναστήσας βασιλεὺς ὄνῳ ἐπικαθήμενος εἰσῄει τηνικαῦτα τὰ Ἱεροσόλυμα· οἱ δὲ λαοὶ πάντες, εὐθὺς σχεδὸν, παῖδες, ἄνδρες, πρεσβῦται, τά τε ἱμάτια ὑποστρωννύντες, καὶ βάϊα λαβόντες ἐκ φοινίκων, ἅπερ ἐστὶ νίκης σύμβολα, ὡς ζωοποιῷ καὶ νικητῇ θανάτου γεγονότι προσυπήντων, προσέπιπτον, προέπεμπον αὐτόν· οὐκ ἐκτὸς μόνον, ἀλλὰ καὶ ἐντὸς τῶν τοῦ ἱεροῦ περιβόλων συμφώνως ᾄδοντες, Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Τὸ μὲν οὖν ὡσαννὰ ὕμνος ἐστὶ πρὸς Θεὸν ἀναπεμπόμενος· ἑρμηνευόμενον γὰρ, Σῶσον δὴ, Κύριε, φησί· τὸ δὲ ἐν

[5] Rom. IV, 17. [6] Matth. XXI, 1 seqq. [7] Zachar. IX, 9. [8] Matth. XI, 29.

Digitized by Google

τοῖς ὑψίστοις προσκείμενον δείκνυσιν οὐχ ἐπὶ γῆς A αὐτὸν μόνον, οὐδ' ὑπὸ τῶν ἀνθρώπων μόνον, ἀλλὰ καὶ ἐν τοῖς ὑψίστοις ὑπὸ τῶν οὐρανίων ἀγγέλων ἀνυμνούμενον. Οὐ μόνον δὲ ἀνυμνοῦσιν αὐτὸν οὕτω καὶ θεολογοῦσιν, ἀλλὰ καὶ τῇ κακοβούλῳ καὶ θεομάχῳ γνώμῃ τῶν Γραμματέων καὶ Φαρισαίων, καὶ πρὸς τὰς φονικὰς αὐτῶν προφάσεις διὰ τῶν ἑξῆς ἐναντιοῦνται· οἱ μὲν γὰρ φρενοβλαβῶς ἔλεγον περὶ αὐτοῦ· « Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ἐπειδὴ σημεῖα πολλὰ ποιεῖ, ἐὰν ἀφῶμεν καὶ μὴ θανατώσωμεν αὐτὸν, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν καὶ τὸ ἔθνος. » Ὁ δὲ λαὸς, τί φησιν; « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ· » διὰ μὲν οὖν τοῦ λέγειν, « Εὐλογημένος ὁ B ἐρχόμενος ἐν ὀνόματι Κυρίου, » ὑπεδείκνυον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτὸν ὄντα, καὶ ἐν τῷ ὀνόματι τοῦ Πατρὸς αὐτὸν ἐλθόντα, ὡς καὶ αὐτὸς ὁ Κύριος περὶ ἑαυτοῦ φησιν· « Ὅτι ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω. » Διὰ δὲ τοῦ λέγειν, « Εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρὸς ἡμῶν Δαβίδ, » ὑπεδείκνυον ταύτην εἶναι τὴν βασιλείαν, εἰς ἣν μέλλουσι κατὰ τὴν προφητείαν πιστεύειν καὶ τὰ ἔθνη, καὶ μάλιστα οἱ Ῥωμαῖοι. Οὗτος γὰρ ὁ βασιλεὺς οὐ μόνον ἐλπὶς ἐστι τοῦ Ἰσραὴλ, ἀλλὰ καὶ προσδοκία τῶν ἐθνῶν κατὰ τὴν προφητείαν Ἰακὼβ, « Δεσμεύων πρὸς ἄμπελον τὴν ὄνον αὐτοῦ, » τουτέστι τὸν ὑποκείμενον ἐξ Ἰουδαίων αὐτῷ λαόν· καὶ τῇ ἕλικι τῆς ἀμπέλου τὸν πῶλον τῆς ὄνου αὐτοῦ. Ἕλιξ δὲ τῆς ἀμπέλου εἰσὶν οἱ τοῦ Κυρίου μαθηταὶ, πρὸς οὓς ὁ Κύριος ἔλεγεν· « Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. » Τῇ οὖν ἕλικι ταύτῃ συνέδησεν ὁ Κύριος **81** ἑαυτῷ τὸν πῶλον τῆς ὄνου αὐτοῦ, τουτέστι τὸν ἐξ ἐθνῶν νέον Ἰσραὴλ, οἱ κατὰ χάριν υἱοὶ γεγόνασι τοῦ Ἀβραάμ. Εἰ τοίνυν καὶ τῶν ἐθνῶν ἐλπὶς ἐστιν ἡ βασιλεία αὕτη πῶς φασιν, Εἰς αὐτὴν πιστεύσαντες ἡμεῖς, τοὺς Ῥωμαίους φοβηθησόμεθα;

Scribarum et Pharisæorum sicut et prætextis ab eis allatis adversari non cessarunt. Stulte enim de illo dicebant: « Homo iste non ex Deo est; et quia multa facit signa, si dimittimus eum sic et non interficiamus, omnes credent in eum, et venient Romani et tollent nostrum locum et gentem [9]. » Populus vero quid dixit? « Benedictus qui venit in nomine Domini. Benedictum quod venit regnum patris nostri David! » Per hæc verba: « Benedictus qui venit in nomine Domini, » monstrabant eum ex Deo ut Patre esse, et in nomine Patris venire, sicut Dominus de semetipso dixit: « Ego veni in nomine Patris mei [10], » et: « Ex Deo exivi et venio [11]. » Sed per ista: Benedictum quod venit regnum patris nostri David, ostenderunt illud esse regnum in B quod secundum prophetiam credituræ sunt gentes et in primis Judæi. Ille enim Rex non tantum spes Israel, sed et exspectatio populorum, prout prædixerat Jacob, alligans ad vitem asinum suum, id est ipsi submissam Judæorum gentem, et palmiti vitis pullum asini ipsius. Vitis rami sunt discipuli ad quos Dominus dixit: « Ego sum vitis, vos autem palmites [12]. » His ergo ramis alligavit sibi Dominus pullum sui ipsius asini seu novum ex gentibus Israel, qui secundum prophetiam facti sunt Abrahæ filii. Si ergo rex iste spes est gentium, quomodo dixerunt: Si in ipsum credamus, nos punient Romani?

Οὕτω μὲν οὖν οἱ μὴ τὰς φρένας ἀλλὰ τῇ κακίᾳ C νηπιάζοντες, ἐμπνευσθέντες ὑπὸ τοῦ ἁγίου Πνεύματος ἀπηρτισμένον καὶ τέλειον ἀνέπεμψαν τῷ Κυρίῳ ὕμνον, μαρτυροῦντες ὅτι τετραήμερον νεκρὸν ὄντα τὸν Λάζαρον ὡς Θεὸς ἐζωοποίησεν. Οἱ δὲ Γραμματεῖς καὶ Φαρισαῖοι τὰ τοιαῦτα θαυμάσια ἰδόντες καὶ τοὺς τοιούτους παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας· Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ἠγανάκτησαν, καὶ πρὸς τὸν Κύριον ἔλεγον· Οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; ὅπερ μᾶλλον ἔδει πρὸς αὐτοὺς εἰπεῖν τηνικαῦτα τὸν Κύριον, ὅτι Οὐ βλέπετε, οὐδ' ἀκούετε, οὐδὲ συνίετε; Διὸ καὶ αὐτὸς ἐντρέπων αὐτοὺς μεμφομένους, ὡς ἀνεχόμενον τῆς Θεῷ μόνον πρεπούσης ὑμνῳδίας, Ναὶ, φησὶν, ἀκούω τῶν παρ' ἐμοῦ σοφιζομένων ἀοράτως, καὶ περὶ ἐμοῦ τοιαῦτα φθεγγομένων· ἐὰν δὲ καὶ οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. D Ὑμεῖς δὲ οὐδέποτε ἀνέγνωτε ἐκεῖνο τὸ προφητικὸν, ὅτι « Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτήσω αἶνον; » Καὶ γὰρ καὶ τοῦτο μεγίστου θαύματος ἦν, τὸ τοὺς ἰδιώτας καὶ παῖδας καὶ ἀμαθεῖς θεολογεῖν τελείως τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα Θεὸν, ἀγγελικὸν ἐπὶ στόματος ἀναλαβόντας ὕμνον· ὡς γὰρ οἱ ἄγγελοι ἐπὶ τῇ γεννήσει τοῦ Κυρίου

Sic ergo illi non mente, sed nequitia parvuli, Spiritu Dei afflati, perfectum ultimumque Domino cantabant hymnum testantes quoniam quatriduanum mortuum ad vitam ut Deus revocavit. Scribæ vero ac Pharisæi talia signa intuiti, illos tamen pueros clamantes in loco sancto et dicentes: Hosanna filio David! indignati Domino dixerunt: Nonne audis quæ isti dicunt? Potuisset potius Dominus illis dicere: Nonne videtis, nec auditis nec intelligitis? Ideo conversus ad illos qui eum exprobrarent ex eo quod hymnum solo Deo debitum acciperet: Utique, ait, audio invisibiliter apud me disserentes et talia de me proclamantes; si vero hi tacuerint, lapides clamabunt. Nonne unquam cognovistis illud propheticum: « Ex ore infan- D tium et lactentium perfecisti laudem? » Ingentis hoc erat miraculi infantes pueros et ignaros vere Deum dicere qui pro nobis Deus fuerat incarnatus angelicum ore hymnum accipientes. Nam sicut angeli, nato Domino concinuerant: « Gloria in excelsis Deo, et in terra [13], » etc., ita isti eodem ingredient e ad eumdem proferebant hymnum: « Hosanna in excelsis. »

[9] Joan. XI, 47, 8. [10] Joan. V, 43. [11] Joan. XVI, 27, 28. [12] Joan. XV, 5. [13] Luc. II, 14.

Digitized by Google

ἔψαλλον· Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς· οὕτω καὶ οὗτοι νῦν ἐπὶ τῇ εἰσόδῳ τούτου τὴν αὐτὴν ἀναπέμπουσιν ὕμνον, λέγοντες· « Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. »

Nos quoque, fratres, malitia parvuli simus, juvenes et seniores, rectores pariterque recti, ut a Deo corroboremur et tropæum struamus et symbola gestemus victoriæ non super pravis tantum cupiditatibus, sed et super hostibus tam visibilibus quam invisibilibus reportatæ, et Verbi gratiam inveniamus qua in tempore adjuvemur. Tener enim pullus super quem Dominus sedere non dedignatus est, cum unus esset, gentes præfigurabat Christo submittendas ex quibus omnes nos sumus principes et subjecti. Igitur sicut non est in Christo neque masculus neque femina, neque Græcus neque Judæus, sed unum omnes, secundum divum Apostolum [14], ita in eodem non est neque princeps neque subditus, sed omnes sunt per eamdem gratiam unum sumus per fidem quæ est in ipso et in unum corpus efficimur Ecclesiæ ipsius, unum caput habentes quod est Christus, et in unum Spiritum irrigati sumus gratia sanctissimi Spiritus, et unum omnes baptisma accepimus, et una in omnibus spes, et unus nobis Deus, qui est super omnia et per omnia et in omnibus nobis. Nos ergo invicem diligamus et sufferentes adjuvemus tanquam mutua membra. Signum enim quo cognoscimur illius esse discipuli, ut ait ipse Dominus [15], est charitas, et paterna hæreditas quam mundum relinquens nobis reliquit est charitas, et ultima quam dedit nobis ad Patrem ascendens hortatio charitatem ad invicem confirmat. Studeamus ergo paternam illam sequi hortationem, nec ejus abjiciamus hæreditatem, nec regnum quod dedit nobis, ne simul ejus filiationem et benedictionem et doctrinam rejiciamus et a promissa spe excidamus et sic spiritualis sponsi odium incurramus. Sicut autem ante salutiferam passionem, Domino terrenam hanc ingrediente Jerosolymam, vestimenta sternebant non solum populus, sed et veri gentium principes, Domini dico apostoli, ita et nos sternamus nativa nostra vestimenta, seu carnem nostram ejusque desideria spiritui subjiciamus ut non tantum digni efficiamur videre et adorare salutares Christi passiones et sanctam ejus resurrectionem, sed etiam de ejus societate gaudeamus. Si enim, ait Apostolus, complantati sumus similitudini mortis ejus, simul et resurrectionis erimus. Quam nos omnes consequi concedat gratia et benignitas Domini et Dei Salvatoris nostri Jesu Christi quem decet omnis gloria, honor et adoratio cum æterno ejus Patre vivificante Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A Ἀλλὰ νηπιάσωμεν καὶ ἡμεῖς, ἀδελφοί, τῇ κακίᾳ, νέοι τε καὶ πρεσβῦται, ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι, ἵνα ἐνδυναμωθῶμεν ὑπὸ τοῦ Θεοῦ, καὶ τρόπαιον στήσωμεν, καὶ τὰ τῆς νίκης σύμβολα βαστάσωμεν, μὴ κατὰ τῶν πονηρῶν παθῶν μόνον, ἀλλὰ καὶ κατὰ τῶν ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, καὶ λόγου χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· ὁ γὰρ νέος πῶλος, ᾧ δι' ἡμᾶς ἐποχεῖσθαι κατηξίωσεν ὁ Κύριος, εἷς ὤν, τὴν πρὸς αὐτὸν ὑποταγὴν προετύπου τῶν ἐθνῶν, ἐξ ὧν ἡμεῖς ἐσμεν ἅπαντες ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι. Ὡς οὖν ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστιν ἄρσεν, οὐ θῆλυ, οὐχ Ἕλλην, οὐχ Ἰουδαῖος, ἀλλ' ἓν εἰσι πάντες κατὰ τὸν θεῖον Ἀπόστολον, οὕτως ἐν αὐτῷ οὐκ ἔστιν οὔτε ἄρχων, οὔτε ἀρχόμενος, ἀλλὰ πάντες B διὰ τῆς αὐτοῦ χάριτος ἕν ἐσμεν τῇ πίστει τῇ εἰς αὐτόν, καὶ εἰς ἓν σῶμα τελοῦμεν τῆς αὐτοῦ Ἐκκλησίας, κεφαλὴν μίαν ἔχοντες αὐτόν, καὶ ἓν πνεῦμα ἐποτίσθημεν διὰ τῆς τοῦ παναγίου Πνεύματος χάριτος, καὶ ἓν πάντες βάπτισμα ἐλάβομεν, καὶ μία ἐν πᾶσιν ἡ ἐλπίς, καὶ εἷς ἡμῖν Θεός, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν. Ἀγαπῶμεν οὖν ἀλλήλους καὶ ἀνεχόμεθα καὶ κηδόμεθα ἀλλήλων, ἅτε μέλη ὑπάρχοντες ἀλλήλων· τὸ γὰρ σημεῖον τῆς ἡμῶν πρὸς ἐκεῖνον μαθητείας, ὡς αὐτὸς ὁ Κύριος εἶπεν, ἡ ἀγάπη ἐστί· καὶ ἡ πατρικὴ κληρονομία ἣν ἡμῖν ἀφῆκε μεταβαίνων ἐκ τοῦ κόσμου τούτου, ἡ ἀγάπη ἐστί· καὶ ἡ τελευταία ἣν ἔδωκεν ἡμῖν εὐχὴ πρὸς τὸν οἰκεῖον Πατέρα ἀναβαίνων, τὴν πρὸς ἀλλήλους ἀγάπην ἡμῶν ἐπιστηρίζει. Σπεύδωμεν C οὖν τῆς πατρικῆς εὐχῆς ἐπιτυχεῖς εἶναι, καὶ μὴ ἀποβαλλώμεθα τὴν παρ' αὐτοῦ κληρονομίαν, μηδὲ τὸ σημεῖον, ὃ ἔδωκεν ἡμῖν αὐτός, ἵνα μὴ καὶ τὴν υἱοθεσίαν καὶ τὴν εὐλογίαν καὶ τὴν πρὸς αὐτὸν μαθητείαν ἀποβαλώμεθα, καὶ τότε τῆς ἐπικειμένης ἐκπέσωμεν ἐλπίδος, καὶ ἀποκλεισθῶμεν **82** τοῦ πνευματικοῦ νυμφῶνος. Καθάπερ δὲ πρὸ τοῦ σωτηρίου πάθους ἐπὶ τὴν κάτω Ἱερουσαλὴμ τῷ Κυρίῳ εἰσελαύνοντι τὰ ἱμάτια ὑπεστρώννυον οὐχ ὁ λαὸς μόνον, ἀλλὰ καὶ οἱ τῶν ἐθνῶν ὄντως ἄρχοντες, οἱ τοῦ Κυρίου λέγω ἀπόστολοι· οὕτω καὶ ἡμεῖς ἄρχοντες ὁμοῦ καὶ ἀρχόμενοι ὑποστρώσωμεν τὰ ἡμῶν αὐτῶν ἔμφυτα ἱμάτια, τὴν ἡμετέραν σάρκα, καὶ τὰ κατ' αὐτὴν θελήματα ὑποτάσσοντες τῷ πνεύματι, ἵνα D μὴ μόνον καταξιωθῶμεν ἰδεῖν καὶ προσκυνῆσαι καὶ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος καὶ τὴν ἁγίαν ἀνάστασιν, ἀλλὰ καὶ τῆς πρὸς αὐτὸν κοινωνίας καταπολαύσωμεν· « Εἰ γὰρ σύμφυτοι, φησὶν ὁ Ἀπόστολος, γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, δῆλον ὅτι καὶ τῆς ἀναστάσεως ἐσόμεθα· » ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[14] Rom. x, 12. [15] Joan. xiii, 34.

Digitized by Google

## ΟΜΙΛΙΑ ΙϚʹ.

A

*Περὶ τῆς κατὰ σάρκα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομίας, καὶ τῶν δι' αὐτῆς κεχαρισμένων τοῖς ὡς ἀληθῶς εἰς αὐτὸν πιστεύουσι· καὶ ὅτι πολυτρόπως ὁ Θεὸς δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τὸν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ. Ῥηθεῖσα τῷ ἁγίῳ καὶ μεγάλῳ Σαββάτῳ.*

Ὁ τοῦ Θεοῦ προαιώνιος καὶ ἀπερίληπτος καὶ παντοκράτωρ Λόγος καὶ Υἱὸς παντοδύναμος ἐδύνατο πάντως καὶ χωρὶς τῆς οἰκείας ἐνανθρωπήσεως ῥύσασθαι τὸν ἄνθρωπον τῆς θνητότητος καὶ τῆς δουλείας τοῦ διαβόλου· πάντα γὰρ φέρει τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καὶ πάντα ὑπόκειται τῇ τούτου θεϊκῇ ἐξουσίᾳ, καὶ πάντα δύναται, κατὰ τὸν Ἰὼβ, ἀδυνατεῖ δὲ τούτῳ οὐδέν· B τῇ γὰρ τοῦ κτίστου ἐξουσίᾳ κτίσματος ἀντιβλέψαι ἰσχὺς οὐ δύναται, καὶ τοῦ Παντοκράτορος ἰσχυρότερον οὐδέν. Ἀλλ' ὁ καὶ πρὸς τὴν ἡμετέραν φύσιν καὶ ἀσθένειαν ἁρμοδιώτερος, καὶ τῷ δρῶντι πρεπωδέστατος τρόπος οὗτος ἦν, ὁ διὰ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ, ὡς καὶ τὸ δίκαιον ἔχων μεθ' ἑαυτοῦ, οὗ χωρὶς οὐδὲν ὑπὸ Θεοῦ τελεῖται· « Δίκαιος γὰρ ὁ Θεὸς, καὶ δικαιοσύνας ἠγάπησε, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ, » κατὰ τὸν ψαλμῳδὸν Προφήτην. Ἐπεὶ δὲ καὶ τὴν ἀρχὴν ὁ ἄνθρωπος ἐγκαταλειφθεὶς ὑπὸ Θεοῦ δικαίως, ὡς αὐτὸς πρῶτος ἐγκαταλιπὼν αὐτὸν, καὶ τῷ ἀρχεκάκῳ προσδραμὼν ἑκὼν, καὶ τἀναντία σὺν δόλῳ συμβουλεύοντι πεισθεὶς δικαίως ἐκείνῳ παρεδόθη, καὶ οὕτω φθόνῳ C τοῦ πονηροῦ, καὶ συγχωρήσει δικαίᾳ τοῦ ἀγαθοῦ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν· ὃς ἐξ ὑπερβαλλούσης **83** τοῦ ἀρχεκάκου κακίας καὶ διπλασίως ἐγένετο· οὐχ ὁ φυσικὸς γὰρ μόνος, ἀλλὰ καὶ ὁ βίαιος αὐτοῦ προξενοῦντος τελεῖται.

## HOMILIA XVI.

*De dispensatione incarnationis Domini nostri Jesu Christi, et de gratiis per eum vere in ipsum credentibus concessis; necnon quia Deus cum posset multimode hominem a dæmonis tyrannide liberare potius hac usus est dispensatione. Quæ sancto majoreque Sabbato habita fuit.*

Æternum et incircumscriptum necnon præpollens Dei Verbum omnipotensque Filius poterat omnino et absque propria incarnatione hominem a morte et servitute eruere: omnia enim portat verbo virtutis suæ, et omnia divinæ ejus potestati subjecta sunt; omnia potest, secundum Job [16], nihilque ipsi est impossibile, etenim conditoris potestati creaturæ robur obluctari nequaquam potest, nihilque omnipotente validius. Sed ad naturam infirmitatemque nostram magis accommodatus, et agenti maxime consentiens erat hic modus, scilicet Verbi Dei incarnatio quatenus justitiam secum habens, sine qua nihil a Deo perficitur: « Justus enim Dominus, et justitiam dilexit, et iniquitas in eo non est [17], » ut cecinit Psalmistes propheta. Verum cum in principio homo juste a Deo derelictus quia ipse prior illum reliquerat, et ad malignum libenter currens, dolose insidianti credens jure traditus fuit, ita invidia diaboli justaque Dei permissione mors in mundum intravit, quæ ex immani perversissimi malitia multiplici modo accidit; nam non solum mors e natura eveniens, sed etiam nex violenta, ipso adjuvante, perpetratur.

Ἐπεὶ οὖν σὺν δίκῃ τῇ τοῦ διαβόλου δουλείᾳ καὶ τῇ θνητότητι παρεδόθημεν, ἔδει πάντως καὶ τὴν πρὸς ἐλευθερίαν καὶ ζωὴν ἐπάνοδον τοῦ ἀνθρωπίνου γένους σὺν δίκῃ παρὰ τοῦ Θεοῦ τελεσθῆναι. Μὴ μόνον δὲ ὁ ἄνθρωπος θείᾳ δικαιοσύνῃ τῷ φθονήσαντι παρεδόθη, ἀλλὰ καὶ αὐτὸς ὁ διάβολος τὴν μὲν δικαιοσύνην ἀφ' ἑαυτοῦ ἀπώσατο, γεγονὼς δὲ ἀδίκως τῆς ἐξουσίας καὶ τῆς αὐτοκρατορίας, μᾶλλον δὲ τῆς τυραννίδος ἐραστὴς, τῇ δικαιοσύνῃ μαχόμενος, τῇ δυνάμει κατὰ τοῦ ἀνθρώπου ἐχρήσατο. Ἤρεσε γοῦν τῷ Θεῷ πρῶτον D τῇ δικαιοσύνῃ καταβληθῆναι τὸν διάβολον, ἧπερ αὐτὸς διατελεῖ μαχόμενος· ὕστερον δὲ τῇ δυνάμει, διὰ τῆς ἀναστάσεως καὶ τῆς μελλούσης κρίσεως· αὕτη γὰρ ἀρίστη τάξις, προηγεῖσθαι τὴν δικαιοσύνην τῆς δυνάμεως, καὶ τοῦτο θείας ὡς ἀληθῶς καὶ ἀγαθῆς δεσποτείας, ἀλλ' οὐ τυραννίδος ἔργον τῇ δικαιοσύνῃ τὴν δύναμιν ἕπεσθαι. Καθάπερ γὰρ ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος φθόνῳ καὶ μίσει καθ' ἡμῶν ἐπήρθη, οὕτως ὁ ἀρχηγὸς τῆς ζωῆς ὑπερβολῇ φιλανθρωπίας καὶ ἀγαθότητος ὑπὲρ ἡμῶν ἐκινήθη· καὶ ὡς ἐκεῖνος ἀδίκως ἠράσθη τῆς ἀπωλείας τοῦ Θεοῦ πλάσματος, οὕτως ἐνδίκως ὁ πλάσας ἠράσθη τῆς σωτηρίας τοῦ πλαστουργήματος· καὶ ὡς ἐκεῖνος ἀδικίᾳ καὶ δόλῳ

Igitur cum jure ac merito diaboli servituti mortique traditi fuissemus, omnino oportebat humani generis ad libertatem et vitam reditum jure a Deo perfici. Verum non homo tantum divina justitia invidenti traditus fuit, sed diabolus etiam justitiam quidem ab se ipso amovit, factus autem inique potestatis et dominationis seu potius tyrannidis amator, justitiam impugnans, fortitudine contra hominem usus est. Placuit ergo Deo prius per justitiam diabolum dejicere, ipsa quæ facit evertens, posterius vero per potentiam in die resurrectionis futurique judicii; quæ ratio optima est: justitiam potestatem præcedere, et hoc vere divinæ bonæque dominationis, non autem tyrannidis opus: potestatem sequi justitiam. Nam quemadmodum ille qui est a principio homicida, invidia et odio adversus nos intumuit, ita princeps vitæ eximia benignitate et bonitate pro nobis motus fuit; et sicut ille inique perditione creaturæ Dei delectatus est, ita juste conditor gavisus est salute plasmatis; et sicut ille injustitia et dolo victoriam sibi hominisque ruinam operatus est, ita liberator in justitia et sapientia perpetuam malignissimi cladem,

[16] Job XLII, 2. [17] Psal. X, 8.

Digitized by Google

propriæque creaturæ renovationem patravit. Igitur prius Deus omisit quod poterat, ut quod oportebat prius efficeret. Exinde præclarior facta est justitia ab eo qui insuperabilem potestatem habet præposita, homines vero discere oportebat justitiam nunc per opera in tempore mortalitatis proferre, ut in tempore immortalitatis, potestate accepta, jam non amittendam possideant.

A τὴν νίκην ἑαυτῷ καὶ τὴν τοῦ ἀνθρώπου πτῶσιν κατέπραξεν, οὕτως ὁ ἐλευθερωτὴς ἐν δικαιοσύνῃ καὶ σοφίᾳ τὴν ἧτταν εἰς τέλος τοῦ ἀρχεκάκου καὶ τὴν ἀνακαίνισιν τοῦ οἰκείου ἐξείργασται πλάσματος. Παρέλιπεν οὖν ὁ Θεὸς πρότερον ὅπερ ἠδύνατο, ἵν' ὅπερ ἐχρῆν ἐνεργήσῃ πρότερον. Περιφανεστέρα δὲ κἀντεῦθεν ἡ δικαιοσύνη γέγονε προκριθεῖσα παρὰ τοῦ δύναμιν ἀήττητον ἔχοντος· διδαχθῆναι δὲ καὶ τοὺς ἀνθρώπους ἔδει τὴν δικαιοσύνην ἐνταῦθα δι' ἔργων ἐν τῷ καιρῷ τῆς θνητότητος ἐπιδείκνυσθαι ἵν' ἐν τῷ καιρῷ τῆς ἀθανασίας τὴν δύναμιν λαβόντες, ἀναπόβλητον ἔχωσι.

Præterea oportebat victorem, victa natura, devinci. Ideo oportebat et necessarium erat hominem nasci peccati expertem. Hoc autem erat impossibile. Nemo enim, ait Scriptura, sine peccato, etsi una dies vita illius; et: «Quis potest dicere: Mundum est cor meum [10]? Et nullus sine peccato nisi Deus. Ideo Verbum, de Deo Deus, ex illo quidem ab æterno procedens, exsistens autem in illo; nam quis Deum sine Verbo excogitare posset? necnon unus cum eo Deus: etenim solis jubar lumen alterum præter solem non facit, neque solis radius alius est sol præter eum qui solus splendescit. Ideo solus sine peccato Filius Dei et Verbum Filius hominis factus est, secundum divinitatem immutabilis, secundum humanitatem irreprehensibilis. «Qui, sicut prædixit Isaias [11], peccatum non fecit, nec inventus est dolus in ore ejus.» Qui insuper solus in iniquitatibus non fuit conceptus, nec in peccatis utero gestatus, prout in Psalmis David de semetipso, seu potius de quolibet homine testatus est. Nam carnis erectio cum sit contra voluntatem aperteque legi mentis obsistens, etsi a continentibus in servitutem vi redigatur et propter solam generationem prolis intendatur, prolatam tamen a principio damnationem patitur, cum corruptio sit et dicatur, necnon ad corruptionem omnino generet, vehemensque fiat motus viri minime scientis honorem quem nostra a Deo obtinuit natura, jumentis vero assimilati.

Πρὸς δὲ τούτοις ἔδει καὶ ὑπὸ τῆς νικηθείσης φύσεως νικηθῆναι τὸν νικήσαντα, καὶ καταςοφισθῆναι τὸν κατασοφισάμενον. Διὰ τοῦτο ἔδει τε καὶ ἀναγκαῖον ἦν ἄνθρωπον γενέσθαι ἁμαρτίας ἄγευστον B ἐσόμενον. Τοῦτο δὲ τῶν ἀδυνάτων ἦν· «Οὐδεὶς γάρ, ἡ Γραφή φησιν, ἀναμάρτητος, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ·» «καί, «Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν;» Καὶ οὐδεὶς ἀναμάρτητος εἰ μὴ εἷς ὁ Θεός. Διὰ ταῦτα ὁ ἐκ Θεοῦ Θεὸς Λόγος, ἐξ ἐκείνου μὲν ἐξ ἀϊδίου ὤν, ἀλλὰ καὶ ἐν ἐκείνῳ· οὐ γάρ ἐστιν οὐδ' ἐννοῆσαί ποτε Θεὸν ἄλογον· καὶ σὺν ἐκείνῳ, εἷς Θεὸς ὑπάρχων· οὐδὲ γὰρ τὸ ἡλιακὸν ἀπαύγασμα φῶς ἕτερον παρὰ τὸν ἥλιον, οὐδὲ ἡ τοῦ ἡλίου ἀκτὶς ἕτερός ἐστιν ἥλιος παρὰ τὸν ἕνα. Διὰ ταῦτα τοίνυν ὁ μόνος ἀναμάρτητος Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ Υἱὸς ἀνθρώπου γίνεται, κατὰ τὴν θεότητα ἄτρεπτος, κατὰ τὴν ἀνθρωπότητα ἄμεμπτος· «Ὅς, καθάπερ φθάσας Ἡσαΐας προεμαρτύρησεν, ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐ- C τοῦ.» Καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὃς μόνος ἐν ἀνομίαις οὐ συνελήφθη, οὐδ' ἐν ἁμαρτίαις ἐκυήθη, καθάπερ ἐν Ψαλμοῖς ὁ Δαβὶδ περὶ ἑαυτοῦ, μᾶλλον δὲ παντὸς ἀνθρώπου μαρτυρεῖ. Ἡ γὰρ τῆς σαρκὸς ἐπανάστασις ἀκούσιος οὖσα, καὶ ἀντιστρατευομένη φανερῶς τῷ νόμῳ τοῦ νοός, εἰ καὶ παρὰ τῶν σωφρονούντων βίᾳ δουλαγωγεῖται, καὶ πρὸς παιδοποιίαν μόνον ἀνίεται, ἀλλὰ τὴν ἀπ' ἀρχῆς ἐπάγεται καταδίκην, φθορὰ οὖσά τε καὶ λεγομένη, καὶ πρὸς φθορὰν πάντως γεννῶσα, **84** καὶ τοῦ μὴ συνειδότος τὴν τιμήν, ἣν ἡμῶν ἡ φύσις ἔλαχε παρὰ Θεοῦ, ἀλλὰ τοῖς κτήνεσιν ὁμοιωθέντος ἐμπαθὴς ὑπάρχουσα κίνησις.

Propterea non tantum Deus factus est homo, sed etiam ex sancta Virgine, et Virgine fœdis ex carne cogitationibus longe præcellente secundum prophetas natus est cujus conceptionem sancti Spiritus obumbratio, non carnis creavit erectio; annuntiatio fidesque Deum inhabitare fecit, minime assensa neque tentata voluptatis concupiscentia. Ista enim penitus ablata, oratione et gaudio Spiritali: «Ecce ancilla Domini, fiat mihi secundum verbum tuum [12],» ait ad nuntium angelum Virgo intemerata, quæ, cum concepisset, peperit; ita ut victor diaboli, homo Deusque simul, traheret naturam tantum a genere, minime vero peccatum, solus ex omnibus non in iniquitate conceptus, neque in peccatis ventre gestatus, voluptate scilicet et passione carnis turpibusque cogitationibus naturæ ex transgres-

ε'. Διὰ τοῦτο οὐ μόνον Θεὸς ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐκ Παρθένου ἁγίας, καὶ μεμολυσμένων λογισμῶν D τῶν ἐκ τῆς σαρκὸς ἀνωτέρας κατὰ τοὺς προφήτας γεννᾶται Παρθένου, ἧς τὴν σύλληψιν ἁγίου Πνεύματος ἐπέλευσις, οὐ σαρκὸς ἐπήνεγκεν ὄρεξις· εὐαγγελισμὸς καὶ πίστις Θεοῦ ἐνδημίας, ἀλλ' οὐ συγκατάθεσις καὶ πεῖρα ἐμπαθοῦς ἐπιθυμίας προσείληφε· ταύτης γὰρ παντελῶς ἀπῳκισμένης, προσευχῇ καὶ θυμηδίᾳ πνευματικῇ· «Ἰδοὺ γὰρ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου,» πρὸς τὸν εὐαγγελιστὴν ἄγγελον ἡ ἄσπιλος Παρθένος ἔφη, συλλαβοῦσά τε γεγέννηκεν· ὡς ἂν ὁ τοῦ διαβόλου νικητής, ἄνθρωπος θεάνθρωπος ὤν, τοῦ γένους μόνον, ἀλλ' οὐχὶ καὶ τῆς ἁμαρτίας ἕλκῃ τὴν ῥίζαν· μόνος ἁπάντων οὐκ ἐν ἀνομίαις συλληφθείς, οὐδ' ἐν ἁμαρτίαις κυηθείς, ἡδονῇ δηλαδὴ σαρκὸς καὶ πάθει,

[10] Prov. xx, 9. [11] Isa. LIII, 9; I Petr. II, 22. [12] Luc. I, 38.

Digitized by Google

καὶ ῥυπαροῖς λογισμοῖς τῆς ἐκ τῆς παραβάσεως μεμιασμένης φύσεως· ὡς ἂν ᾖ καὶ κατὰ τὸ πρόσλημμα τελείως καθαρὸς καὶ ἀμόλυντος, καὶ μὴ κατ' αὐτὸ δι' αὐτὸν καθαρσίων δεόμενος, ἀλλὰ δι' ἡμᾶς τὰ πάντα σοφῶς δεχόμενος· καὶ οὕτω νέος ὄντως Ἀδὰμ χρηματίσῃ, καὶ διαμείνῃ νέος ὄντως καὶ εὐσθενής, μηδαμῶς παλαιούμενος, καὶ τὸν παλαιὸν Ἀδὰμ ἐν ἑαυτῷ καὶ δι' ἑαυτοῦ ἀνακτίσῃ, καὶ εἰς ἀεὶ συντηρήσῃ νέον, δυνατὸς ὢν εἰς ἅπαν ἀποσείσασθαι τὴν παλαίωσιν. Κἀκεῖνος γὰρ ὁ πρῶτος Ἀδὰμ ἀμόλυντος τὴν ἀρχὴν ἐκτίσθη παρὰ Θεοῦ, καὶ νέος ἦν, μέχρις ἑκὼν τῷ διαβόλῳ πεισθεὶς, καὶ πρὸς τὰς τῆς σαρκὸς ἡδονὰς ἐκτραπεὶς, καὶ τῷ μολυσμῷ τῆς ἁμαρτίας ὑποπεσὼν πεπαλαίωται, καὶ πρὸς τὸ παρὰ φύσιν ἐξέπεσε.

Διὰ τοῦτο οὐ χειρὶ μόνον ὁ Δεσπότης ἀνακαινίζει παραδόξως αὐτὸν, ἀλλὰ καὶ κατέχει τοῦτον παρ' ἑαυτῷ, οὐχ ἀναλαβόμενος μόνον καὶ τοῦ πτώματος τὴν ἀνθρωπίνην ἐξάρας φύσιν, ἀλλὰ καὶ περιβαλλόμενος ἀφράστως, καὶ συναφθεὶς ἀδιαιρέτως ταύτῃ καὶ τεχθεὶς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, ἐκ γυναικὸς μὲν, ἵνα τὴν ὑπ' αὐτοῦ πλασθεῖσαν ἐκείνην, καὶ τῇ τοῦ πονηροῦ συμβουλῇ κλαπεῖσαν ἀναλάβηται φύσιν, ἐκ παρθένου δὲ ταύτης ἵνα καινὸν ποιήσῃ τὸν ἄνθρωπον· εἰ γὰρ ἐκ σπέρματος ἦν, οὐκ ἂν ἦν καινὸς ἄνθρωπος· οὐκ ἂν τῆς καινῆς καὶ μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός τε καὶ χορηγός· οὐδ' ἂν ἐδυνήθη, τοῦ παλαιοῦ κόμματος ὤν, τὸ πλήρωμα ἐν ἑαυτῷ δέξασθαι τῆς ἀκηράτου θεότητος, καὶ πηγὴν ποιῆσαι τὴν σάρκα τοῦ ἁγιασμοῦ ἀνεξάντλητον, ὡς καὶ τῶν προπατόρων ἐκείνων τὸν μολυσμὸν ἀποκλῦναι περιουσίᾳ δυνάμεως, καὶ τοῖς ἑξῆς ἀρκεῖν πρὸς ἁγιασμὸν ἅπασι. Διὰ τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος οὕτως εὐδόκησε δι' ἔλεος ἡμᾶς σῶσαι καὶ ἀναπλάσαι, μείνας μὲν ἀναλλοιώτως Θεὸς, προελθὼν δὲ τέλειος καθ' ἡμᾶς ἄνθρωπος.

Γεννᾶται τοιγαροῦν ἐκ Παρθένου ἁγίας ὁ μόνος ἐξ αἰῶνος ἀνυπεύθυνος ἄνθρωπος, ὁ μόνος μηδαμόθεν ὢν τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος. Καὶ πρὶν ἢ γνῶναι τὸ κακὸν ἐκλέγεται τὸ ἀγαθὸν, κατὰ τὴν προφητείαν· καὶ βιοῖ βίον παντάπασιν ἀναμάρτητον, μηδὲ κατ' αὐτὸν εὑρεθεὶς σὺν δίκῃ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος, ἐπεὶ μηδ' αὐτὸς τὸν Θεὸν, ὡς ὁ πρῶτος Ἀδὰμ, παραβὰς ἐγκατέλιπε, πάσης ἐντολῆς θείας, παντὸς νόμου θείου πληρωτὴς γενόμενος, κἀντεῦθεν καὶ τῆς τοῦ διαβόλου δουλείας δικαίως ἐλεύθερος. Καὶ οὕτω νικᾶται παρὰ ἀνθρώπου ὁ τὴν ἀρχὴν τὸν ἄνθρωπον νικήσας διάβολος· **85** καὶ ὁ τὴν κατ' εἰκόνα Θεοῦ νικήσας φύσιν καὶ διὰ τοῦτο μεγαλαυχῶν καταβάλλεται τῆς ἐπάρσεως, καὶ ὁ ἄνθρωπος ἀναπλάττεται τοῦ κατὰ ψυχὴν καὶ ὄντως θανάτου· θανάτου, ὃν ἀπέθανεν εὐθὺς τοῦ ἀπηγορευμένου ξύλου γευσάμενος· θανάτου, ὃς ἠπείληται πρὸ τῆς παρακοῆς τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ ὑπὸ Θεοῦ πρὸς αὐτοὺς εἰπόντος· « Ἧ ἂν ἡμέρᾳ φάγησθε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· » τὸν γὰρ τῆς σαρκὸς

A sione pollutæ; ut esset secundum totam vim vocis purus et impollutus, et ideo non egens propter se piaculis, sed propter nos omnia sapienter accipiens et inde vere novus Adam vocaretur, necnon remaneret et vere novus et fortis, nullatenus exoletus, et veterem Adam in seipso atque per seipsum renovaret, in perpetuum juventutem conservaret qui potens est omnem expellere vetustatem. Ille enim primus Adam intemeratus a principio per Deum creatus est et novus erat, donec libenter diabolo credens et ad voluptates carnis conversus, sorde peccati lapsus consenuit et in probrosa contra naturam decidit.

B Ideo non manu tantum Dominus mirabiliter illum renovat, sed et hunc in semetipso continet, non solum apprehendens et naturam humanam a lapsu erigens, sed etiam eam inenarrabiliter comprehendens, ipsi indivisibiliter adunatus natusque Deus simul et homo ex muliere quidem, ut illam a se conditam et maligni insidiis delusam apprehenderet naturam, ex muliere autem virgine, ut novum faceret hominem. Si enim e semine fuisset, non esset novus homo, nec novæ neque unquam veteraturæ vitæ dux et auctor, nec potuisset, cum ex vetere panno fuisset, plenitudinem purissimæ divinitatis in se recipere et fontem sanctificationis inexhaustum carnem efficere, ita ut copia virtutis C patrum sordes ablueret, et posteris omnibus ad sanctificationem sufficeret. Propterea non angelus, non homo, sed ipse Dominus sic judicavit nos per misericordiam salvare et rursum creare, manens quidem Deus impollutus, procedens vero homo secundum nos perfectus.

Nascitur ergo ex Virgine sancta solus a sæculo innocens homo, solus nullo modo dignus qui a Deo derelinqueretur; et priusquam sciat reprobare malum et eligere bonum, secundum prophetiam [21], vitam vivit omni ex parte irreprehensibilem; qui jure ac merito non meritus est ut a Deo desereretur, cum ipse Deum, sicut primus Adam, trans- D grediens non deseruerit, omnis mandati divini, omnis legis divinæ factor, et proinde juste liber a diabolica servitute. Ita vincitur ab homine qui ab initio hominem vicit diabolus; qui naturam ad imaginem Dei conditam fœdaverat, et propterea fastu elatus a jactantia dejicitur, et reviviscit homo vera animæ morte mortuus, morte qua, gustato fructu prohibito occubuit, morte quam comminatus erat Deus Adam et Evæ priusquam contumaces fuissent, dicens ad eos: « In quocunque die comederitis ex ea, morte moriemini [22]. »; etenim post inobedientiam ad mortem corporis damnati sumus, Deo propterea ad Adam dicente: « Terra

[21] Isa. VII, 15. [22] Gen. II, 17.

Digitized by Google

ea et in terram reverteris [22]. » Nam quemadmodum A anima corpus derelinquente et ab eo discedente, corporis mors est, ita Deo animam deserente et ab ea recedente, mors est animæ quæ alio modo manet immortalis; fœda quidem et inanis fit elongata a Deo, et quidem magis quam corpus mortuum, verum non dissolvitur sicut illud post mortem, quia a coagmentatione non habet quod exsistat.

θάνατον μετὰ τὴν παρακοὴν κατεκρίθημεν, ἡνίκα τοῦ Θεοῦ πρὸς τὸν Ἀδὰμ εἰπόντος, ὅτι· « Γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. » Καθάπερ γὰρ ἡ τοῦ σώματος παρὰ τῆς ψυχῆς ἐγκατάλειψις, καὶ ὁ ταύτης ἀπ' αὐτοῦ χωρισμὸς θάνατός ἐστι τοῦ σώματος, οὕτω καὶ ἡ τῆς ψυχῆς παρὰ Θεοῦ ἐγκατάλειψις, καὶ ὁ ἐξ αὐτῆς τούτου χωρισμὸς θάνατός ἐστι ψυχῆς τρόπον ἕτερον ἀθανάτου μενούσης· αἰσχρὰ μὲν γὰρ γίνεται καὶ ἀχρεία χωρισθεῖσα Θεοῦ, καὶ μᾶλλον ἢ τὸ σῶμα τὸ νεκρὸν, οὐ διαλύεται δὲ καθάπερ ἐκεῖνο μετὰ τὴν νέκρωσιν, ὅτι μηδ' ἐκ συνθέσεως ἔχει τὴν ὕπαρξιν.

Quod etiam videre est in corporibus anima carentibus: horum enim simplicissima diutius constant. Propterea rationalis anima a Deo elongata non tantum ab innata ad bonum vi elanguere cœpit, sed et ipsa vi suæ ad pejora propensionis violentiam accipit, usquedum misera ista sic solutis B moribus vivens, jam nunc discessu e corpore, deinde vero tempore judicii cum corpore indissolubili et intolerabili vinculo tradatur æternæ damnationi quam præparavit Deus diabolo et angelis ejus; mortui enim omnes isti, siquidem ad malitiam alacres, propter quam jure a Deo veræ vitæ derelicti fuerunt. Quam mortem cum prior subiisset Satan, utpote juste a Deo infidelitatis causa derelictus, nos illius participes accepit ad infidelitatem insidiosis consiliis captos; sed Christus nostram ab hac morte naturam liberavit per humanam conversationem suam omni obedientia operibus exhibita. Verum omnino oportebat non humanam solum naturam in seipso susceptam, sed etiam genus humanum immortali- C tati commendare, et ad communicationem hujus vitæ adducere quæ ipsi corpori in tempore vitam æternam largietur, sicut illa mors animæ mortem corpori ipsi induxit. Ideo hanc dispensationem declarari admodum erat necessarium et utilissimum, necnon ejus conversationem ad imitationem proponi. Nam homini sicut angelis bonis Deus ad imitandum proponebatur conspiciendus.

Ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν καθάπαξ ἀψύχων σωμάτων· τὰ γὰρ ἐν τούτοις ἁπλούστερα μονιμώτερα. Διὰ τοῦτο ἡ λογικὴ ψυχὴ μὴ μόνον ἀργίαν πάσχει τῆς πρὸς τὸ ἀγαθὸν ἐνεργείας χωρισθεῖσα Θεοῦ, ἀλλὰ καὶ ἐνεργὸς καθ' ἑαυτῆς γίνεται τῇ πρὸς τὰ χείρω ῥοπῇ, μέχρις ἂν οὕτως ἀνεπιστρόφως ἡ ἀθλία βιοῦσα, νῦν μὲν τῷ τοῦ σώματος χωρισμῷ, ἐν τῷ καιρῷ δὲ τῆς κρίσεως μετὰ σώματος τῷ ἀλύτῳ καὶ ἀφορήτῳ δεσμῷ παραδοθῇ τῆς αἰωνίου κολάσεως, ἣν ὁ Θεὸς ἡτοίμασε τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· νεκροὶ γὰρ καὶ οὗτοι πάντες, εἰ καὶ τὴν κακίαν εἰσὶν ἐνεργοὶ, δι' ἣν καὶ δικαίως ἐγκατελείφθησαν ὑπὸ Θεοῦ τῆς ὄντως ζωῆς. Ταύτην τὴν νέκρωσιν πρῶτος ὑποστὰς ὁ Σατὰν, ὡς ἐγκαταλειφθεὶς δικαίως ὑπὸ Θεοῦ δι' ἀπείθειαν, κοινωνοὺς ἡμᾶς αὐτῆς προσελάβετο, διὰ τῆς κακοβούλου συμβουλῆς συγκατασπάσας πρὸς τὴν ἀπείθειαν· ἀλλ' ἐλυτρώσατο τὴν ἡμετέραν φύσιν ὁ Χριστὸς ἐκ τῆς νεκρώσεως ταύτης, κατὰ τὸν ἀνθρώπινον βίον ἑαυτοῦ, δι' ἔργων ἐπιδειξάμενος πᾶσαν εὐπείθειαν. Ἔδει δὲ πάντως μὴ τὴν ἀνθρωπίνην φύσιν μόνην ἐν αὐτῷ τὸ εἶναι λαβοῦσαν, ἀλλὰ καὶ τὸ ἀνθρώπινον ἀπαθανατίσαι γένος, καὶ ποδηγῆσαι πρὸς τὴν μέθεξιν τῆς ζωῆς ταύτης, τῆς καὶ τῷ σώματι κατὰ καιρὸν προξενούσης τὴν ζωὴν τὴν αἰώνιον, ὡς καὶ ἡ νέκρωσις ἐκείνη τῆς ψυχῆς καὶ τῷ σώματι τὸν θάνατον προεξένησε. Διὸ καὶ φανερωθῆναι τὴν οἰκονομίαν ταύτην ἀναγκαιότατόν τε ἦν ὁμοῦ καὶ λυσιτελέστατον, καὶ προτεθῆναι τὴν αὐτοῦ πολιτείαν εἰς μίμησιν· ἦν γὰρ ὅτε καὶ τῷ ἀνθρώπῳ καθάπερ καὶ τοῖς ἀγαθοῖς ἀγγέλοις ὁ Θεὸς εἰς μίμησιν προὔκειτο καθορώμενος. Ἐπεὶ δὲ τῆς ἐποψίας ἐκείνης διαπεπτώκαμεν κάτω που ῥίψαντες ἑαυτοὺς, ἐξ ὑπερβαλλούσης φιλανθρωπίας ἡμῖν συγκαταβαίνει Θεὸς τοῦ ὕψους, μηδαμῶς ἐκστὰς τῆς οἰκείας θεότητος· καὶ συμπολιτευσάμενος ἡμῖν, ἑαυτὸν εἰς ὑπόδειγμα τῆς πρὸς ζωὴν ἐπανόδου προτίθησιν.

Præterea doctor noster factus est, sermone viam D quæ ducit ad vitam demonstrans, et claris miraculis doctrinæ sermonem confirmans. Ita quidem justificatur natura humana quatenus non ex seipsa pravitatem habet; justificatur et Deus, quoniam nullius iniquitatis auctor est vel factor. Etenim nisi coæternum Patri incarnatum fuisset Verbum, natura visum esset peccatum esse in homine, nam nemo a sæculo sine peccato fuit homo, imo contigisset vituperium in creatorem conferri, quasi non bonorum creator, vel ipse non bonus esset. Insuper judex fuisse injustus convictus fuisset, quasi non juste damnasset hominem qui ex se damnationis dignus exstiterat. Propterea humanam naturam sus-

Οὐ μόνον δὲ, ἀλλὰ καὶ διδάσκαλος ἡμῶν γίνεται, λόγῳ τὴν πρὸς τὴν ζωὴν φέρουσαν ὑποδεικνὺς, καὶ θαύμασι μεγίστοις τὸν τῆς διδασκαλίας λόγον πιστούμενος. Καὶ δικαιοῦται μὲν οὕτως ἡ ἀνθρωπίνη φύσις, ὡς μὴ παρ' ἑαυτῆς ἔχουσα τὴν πονηρίαν, δικαιοῦται δὲ καὶ ὁ Θεὸς, ὡς μηδεμιᾶς κακίας αἴτιος καὶ ποιητὴς ὤν· εἰ μὴ γὰρ ὁ συναΐδιος τοῦ Πατρὸς ἐνηνθρώπησε Λόγος, φύσει ἂν ἔδοξεν εἶναι ἡ ἁμαρτία ἐν τῷ ἀνθρώπῳ· οὐδεὶς γὰρ ἐξ αἰῶνος ἀναμάρτητος ἐγένετο ἄνθρωπος, καὶ συνέβαινεν ἐπὶ **86** τὸν κτίστην ἀναφέρεσθαι τὴν μέμψιν, ὡς οὐκ ἀγαθῶν ὄντα κτίστην, οὐδ' ἀγαθὸν αὐτὸν ὄντα. Ἔτι δὲ καὶ κριτὴν ἄδικον, ὡς μὴ δικαίως καταδικάσαντα τὸν ὑπ' αὐτοῦ γεγονότα καταδίκης ἄξιον ἄνθρωπον. Διὰ

[22] Gen. III, 19.

τοῦτο ἀναλαμβάνει τὴν ἀνθρωπίνην φύσιν Θεὸς, ἵνα A δείξῃ τοσοῦτον ἁμαρτίας οὖσαν ἐκτὸς, καὶ τοσοῦτο κεκαθαρμένην, ὡς καὶ ἑνωθῆναι τούτῳ δύνασθαι καθ' ὑπόστασιν, καὶ συνδιαιωνίζειν αὐτῷ ἀδιαιρέτως· καὶ οὕτως ἔργῳ πᾶσιν ἀνακηρύττεσθαι, ὅτι ὁ Θεὸς ἀγαθός τε καὶ δίκαιος, ἀγαθῶν τε ποιητὴς, καὶ δίκης δικαίας ἔφορος. Τοῦ μὲν γὰρ Σατὰν καὶ τῶν συναποστάντων ἀγγέλων ἐξ οὐρανοῦ πεσόντων, ἦν ἐκ τῶν φυλαττόντων τὴν ἑαυτῶν τάξιν ἀγγέλων κατανοεῖν, ὅτι οὐ φύσει τὸ κακὸν ἐν ἀγγέλοις, φύσει δὲ μᾶλλον τὸ ἀγαθὸν ἐν αὐτοῖς, καὶ φύσις ἐστὶν ἀγαθότητος ὁ κτίσας αὐτοὺς, παρ' οὗ καὶ ὁ Σατὰν ὑπὸ ζόφον αἰώνιον δίκῃ δικαίᾳ κατεδικάσθη, ὡς δημιουργὸς αὐτὸς ἑαυτῷ τῆς κακίας γενόμενος τῇ ἐκτροπῇ τοῦ καλοῦ. Ἀδὰμ δὲ πεσόντος τῇ τοῦ καλοῦ πρὸς τὸ κακὸν ἐκτροπῇ, οὐδεὶς ὑπελείφθη πρὸς τὸ κακὸν B ἄτρεπτος, οὐδὲ μετὰ τὸν Ἀδὰμ ἀνεφάνη.

Διὰ τοῦτο νέος Ἀδὰμ ἀνεφάνη Χριστὸς, ὃς κατὰ τὸν Ἡσαΐαν ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ διενοήθη, πολλῷ μᾶλλον οὐδὲ ἐλάλησεν· οὐδὲ γὰρ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Οὐκ εἶπεν, ἐκ τοῦ στόματος, ἀλλ', ἐν τῷ στόματι, ἵνα καὶ τὸ τῶν λογισμῶν ἄμωμον ὑποσημήνῃ, ὡς καὶ ἀλλαχοῦ φησιν, ὅτι πρὶν ἢ γνῶναι τὸ κακὸν, ἐξελέξατο τὸ ἀγαθόν. Καὶ οὕτως ἐδικαιώθη ὁ Θεὸς, ὡς εἴρηται, καὶ ἀνεδείχθη ὄντως ἀγαθὸς, καὶ ἀγαθῶν ἔργων ποιητὴς, ἀναμαρτήτου γεγονότος ἀνθρώπου, καὶ ἀναφανείσης ἐν Χριστῷ τῆς ἐνυπηργμένης ὑπ' αὐτοῦ καθαρότητος τῇ ἀνθρωπίνῃ φύσει. Ἐπεὶ οὖν ἔδει φανερωθῆναι καὶ παῤῥησίᾳ προτεθῆναι τὴν ἀπόῤῥητον ταύτην οἰκονομίαν, πέμπεται Ἰωάννης C ἐκ τῆς ἐρημίας ὁ φερωνύμως Πρόδρομος ὑπὸ τοῦ Θεοῦ, βαπτίζων τοὺς προσιόντας καὶ παραγγέλλων ἑτοίμους εἶναι πιστεύειν εἰς τὸν ἐρχόμενον, ὅν φησι καὶ βαπτίσειν αὐτοὺς ἐν Πνεύματι ἁγίῳ καὶ πυρί· ἀλλὰ καὶ μείζονα ἑαυτοῦ τοσοῦτον εἶναι, ὅσον τὸ Πνεῦμα τὸ ἅγιον ὑπερέχει τοῦ ὕδατος· Δεσπότην γὰρ εἶναι τοῦτον μαρτυρεῖ καὶ τοῦ παντὸς ποιητὴν, καὶ ἐξουσιαστὴν τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων· καὶ τούτου λογικὸν γεώργιον τοὺς ἀνθρώπους εἶναι πάντας, καὶ τοῦ τοιούτου γεωργίου τὸ πτύον, τὰς λειτουργικὰς δυνάμεις δηλαδὴ, ἐν τῇ χειρὶ καὶ τῇ ἐξουσίᾳ ἔχειν ἑαυτοῦ τὸν ἐρχόμενον. Οὐ μόνον δὲ δι' ἑαυτοῦ τοιοῦτον εἶναι μαρτυρεῖ τὸν ἐρχόμενον ὁ τοῦ Κυρίου Πρόδρομος, ἀλλὰ καὶ τὸν Ἡσαΐαν ὑποφαίνει προανακηρύξαντα Κύριον αὐτὸν, ἑαυτὸν δὲ ὑπηρέ- D την πεμφθέντα εἰς τὸ προκηρύξαι τὴν ἐκείνου ἔλευσιν, καὶ προτρέψασθαι τοὺς πειθομένους ἑτοιμασθῆναι πρὸς ὑποδοχὴν, λέγων· « Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. »

Μαρτυρεῖ δὲ τοῦτον, ὅτι καὶ πρὸ τοῦ συλληφθῆναι αὐτὸν καὶ γενέσθαι ἦν· « Ἔμπροσθεν γάρ μου γέγονε, φησὶν, ὅτι πρῶτός μου ἦν· » καίτοι ἡ σύλληψις αὐτοῦ καὶ ἡ γέννησις ὕστερον μετὰ τὴν Ἰωάννου ἦν. Εἰ οὖν πρῶτος, οὐ κατὰ σάρκα δὲ ἦν, πρὸ τῆς σαρκὸς οὐκοῦν ἦν. Προϊὼν δὲ καὶ ἀμνὸν τοῦ Θεοῦ εἶναι τοῦτον μαρτυρεῖ, τὴν ἁμαρτίαν αἴροντα τοῦ κόσμου, προκαταγγέλλων τὴν ὑπὲρ ἀφέσεως τῶν

cepit Deus, ut monstraret illam adeo extra peccatum, adeoque puram esse ut sibi conjungi posset secundum personam, necnon indivisibiliter cum ipso in æternum regnare; atque operibus inde omnibus prædicaretur quia Deus bonus est et justus, bonorum creator, justique auctor judicii. Equidem Satan et angelis defectionis sociis e cœlo delapsis, erat ex angelis suum ordinem custodientibus perpendere malum natura angelis non inesse, sed potius bonum, necnon eorum creatorem natura bonitatem esse e quo Satan ad æternas tenebras justa sententia damnatus fuit, quia ipse sibi mali auctor esset sua a bono aversione. Cum autem Adam ad malum conversus e bono cecidisset, nullus inventus est post Adam quin ad malum converteretur.

Ideo novus Adam surrexit Christus, qui secundum Isaiam peccatum non fecit, nec cogitavit, quanto magis non locutus est, nam non est inventus dolus in ore ejus. Non dixit : ex ore, sed, in ore ejus, ut significaret cogitationes ipsas extra culpam esse, sicut alibi dixit quoniam, priusquam sciret malum, elegit bonum. Et sic justificatus est Deus ut prædicaretur et ostenderetur vere bonus, necnon bonorum factor operum, cum homo sine peccato factus fuerit, et fuisset in Christo sanctitas ab ipso naturæ humanæ adunata. Igitur cum oporteret proferri palamque proponi ineffabilem istam dispensationem, ex deserto mittitur a Deo Joannes cognominatus Præcursor, qui accedentes baptizet et hortetur ut parati sint in eum qui venit credere qui, ait, « Baptizabit eos in Spiritu sancto et igne [21] : » docens insuper eum sibi tantum præcellere quantum Spiritus sanctus aquæ præstat. Illum enim Dominum esse testatur omniumque conditorem, angelorum et hominum dominatorem; hujus agrum spiritalem omnes homines esse, ejusque agri ventilabrum, publicas scilicet potestates, in manu sua habere eum qui venit. Non solummodo per se testatur tantum esse eum qui venit Domini Præcursor, verum etiam Isaiam designat qui prius ipsum Dominum prædicaverit; se autem ministrum proclamat missum ad annuntiandum ejus adventum, hortandosque fideles ut corda ad recipiendum pararent, dicens : « Ego vox clamantis in deserto; Parate viam Domini [22]. »

Hinc insuper testatur priusquam conceptus vel etiam natus fuisset exstitisse. Ait enim : « Qui post me venturus est ante me factus est, quia prior me erat [23], » etsi ejus conceptio nativitasque easdem Joannis consecutæ fuissent. Si ergo prior, non quidem secundum carnem, sed ante carnem erat. Attendens etiam Jesum Dei Agnum esse testatur quo tollitur peccatum mundi, prænuntians hostiam victi-

[21] Matth. III, 11. [22] Luc. III, 4. [23] Joan. I, 15.

Digitized by Google

niamque pro remissione peccatorum nostrorum immolandam. Insuper eumdem testatur esse Altissimum, a cœlo descendisse, neque finem habere qui Spiritum a Patre non in mensura accepit. In ipsum quidem credentibus vitam pollicetur æternam, infidelibus vero ineluctabilem Dei minatur iram. De semetipso respondet a propriis interrogatus discipulis : « Illum oportet augeri, me autem minui [27]. » Et ostendens propter quam causam non ipse solus, sed et omnia ei tantum sunt inferiora quantum terra cœlestibus : « Qui desursum venit, inquit, super omnes est [28]; » ab omnibus segregatus, et paternam servans excellentiam tanquam filius dilectus. Et rursus : « Pater diligit Filium, et omnia dedit in potestate ejus. Qui credit in Filium, habet vitam æternam; qui autem incredulus est Filio, non videbit vitam, sed ira Dei manet super eum. »

A ἁμαρτιῶν ἡμῶν αὐτοῦ θυσίαν καὶ σφαγήν. Ἀλλὰ καὶ αὐτὸν εἶναι μαρτυρεῖ τὸν Ὕψιστον, καὶ ἐξ οὐρανοῦ τοῦτον καταβῆναι, καὶ ἀπειροδύναμον εἶναι, ὡς οὐκ ἐκ μέτρου λαβόντα τὸ Πνεῦμα **87** παρὰ τοῦ Πατρός. Καὶ τοῖς μὲν εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται ζωὴν αἰώνιον, τοῖς δὲ ἀπειθοῦσιν ἀπειλεῖ τὴν τοῦ Θεοῦ ἀναπόδραστον ὀργήν· ἀποκρίνεται γὰρ περὶ αὐτοῦ, παρὰ τῶν οἰκείων μαθητῶν ἐρωτηθείς, ὅτι « Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι. » Καὶ δεικνὺς τίνος ἕνεκεν ἐκείνου μὴ μόνον αὐτὸς, ἀλλὰ καὶ τὰ πάντα ἐλάττω, καθόσον ἡ γῆ τοῦ ὑπερουρανίου. « Ὁ ἄνωθεν, φησὶν, ἐρχόμενος ἐπάνω πάντων ἐστίν· » ἐξῃρημένος πάντων, καὶ τὴν πατρῴαν ὑπεροχὴν ἀποσῴζων, ὡς υἱὸς ἀγαπητός. Καὶ πάλιν· « Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέ-B δωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν Υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν. »

Inde ad baptismum venit Jesus ad exercendam obedientiam in eum qui Joannem misit, sicut ipse dixit : « Sic decet nos implere omnem justitiam [29]; » quod fecit ad suam manifestationem; insuper, ut salutiferam arriperet viam, et certum faceret sequentibus baptizatisque, sicut ipse subostendit et patefecit, quoniam datur Spiritus sanctus, necnon per semetipsum baptismum institueret remedium, emundans nostras ex libidinosa nativitate vitaque ortas sordes; ipse enim quatenus homo emundatione haud indigebat ex impolluta Virgine natus, et per totam vitam peccati immunis, sed quia propter nos natus est, etiam propter nos purificatur. Igitur a Joanne baptizatur, et ascendenti ab aqua ipsi adaperiuntur cœli, et ecce vox Patris hinc auditur : « Hic est Filius meus dilectus, in quo mihi complacui [31]; » et sicut columba in ipsum descendit Spiritus Dei indicantis qualis sit ille qui a cœlo testimonium accipit. Ita quidem manifestatur ille, ut verus Filius; manifestatur et in cœlis Pater quasi verus Pater; manifestatur etiam Spiritus sanctus procedens quidem in esse a Patre, sed super naturalem Patris Filium requiescens; inhabitat vero aquæ baptismatis gratia ipsius, et Patris ejus et Spiritus, ut postea instar illius baptizandis insita hos divinitus regeneret et mirabiliter refectos renovet, ita ut cum jam ex vetere Adam non sint, inde nequaquam maledictionem trahant, verum e novo Adam nativitate accepta, hinc benedictionem habeant, et jam desinant esse filii carnis, Deique fiant filii qui non ex sanguine, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo per Jesum Christum nati sunt.

Ἔρχεται γοῦν καὶ ὁ Χριστὸς πρὸς τὸ βάπτισμα, τοῦτο μὲν διὰ τὴν πρὸς τὸν πέμψαντα τὸν Ἰωάννην εὐπείθειαν, ὡς καὶ αὐτὸς εἶπεν· « Οὕτω γὰρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην »· τοῦτο δὲ διὰ τὴν οἰκείαν φανέρωσιν· πρὸς δὲ, καὶ ὥστε τῆς σωτηρίου ποδηγίας ἀπάρξασθαι, καὶ πιστώσασθαι τοῖς ἑπομένοις καὶ βαπτιζομένοις, ὡς αὐτὸς ὑπέδειξε καὶ προσέταξεν, ὅτι Πνεῦμα ἅγιον δίδοται, καὶ δι' ἑαυτοῦ τὸ βάπτισμα κατασκευάσαι καθαρτικὸν φάρμακον τῶν ἐν ἡμῖν ἐντακέντων μολυσμάτων ἐξ ἐμπαθοῦς γενέσεως καὶ βιώσεως· εἰ γὰρ καὶ αὐτὸς οὐδ' ὡς ἄνθρωπος ἐδεῖτο καθάρσεως, ἐξ ἀμολύν-C του γεννηθεὶς Παρθένου, καὶ βιοὺς πάσης ἁμαρτίας ἐκτὸς, ἀλλ' ἐπεὶ δι' ἡμᾶς ἐγεννήθη, δι' ἡμᾶς καὶ καθαίρεται. Βαπτίζεται τοίνυν παρὰ τοῦ Ἰωάννου, καὶ ἀνιόντι ἀπὸ τοῦ ὕδατος ἀνοίγονται αὐτῷ οἱ οὐρανοὶ, καὶ φωνὴ τοῦ Πατρὸς ἐξάκουστος ἐκεῖθεν γίνεται· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· » καὶ ὡς περιστερὰ ἐπ' αὐτὸν κατέρχεται τὸ Πνεῦμα τοῦ Θεοῦ, δεικνύντος τοῖς παροῦσι τὸν μαρτυρούμενον ἄνωθεν. Καὶ φανεροῦται μὲν οὕτως ἐκεῖνος Υἱὸς ὢν ἀληθινός· φανεροῦται δὲ ὁ ἐν τοῖς οὐρανοῖς Πατὴρ, Πατὴρ ὑπάρχων ἀληθής· φανεροῦται δὲ τὸ Πνεῦμα τὸ ἅγιον, προϊὸν μὲν καθ' ὕπαρξιν ἐκ τοῦ Πατρὸς, ἐπαναπαυόμενον δὲ τῷ γνησίῳ τοῦ Πατρὸς Υἱῷ· ἐγκατοικίζεται δὲ τῷ ὕδατι τοῦ βαπτίσματος ἡ D χάρις ἑαυτοῦ, καὶ τοῦ Πατρὸς αὐτοῦ, καὶ τοῦ Πνεύματος· ὡς ἂν τοῖς κατ' αὐτὸν ἔπειτα βαπτιζομένοις προσφυομένη ἀναγεννᾷ τούτους θείως καὶ ἀνακαινίζῃ καὶ ἀναπλάττῃ μυστικῶς ὡς μηκέτι ἐκ τοῦ παλαιοῦ Ἀδὰμ ὄντας, ἐκεῖθεν ἕλκειν τὴν ἀρὰν, ἀλλ' ἐκ τοῦ νέου Ἀδὰμ τὴν γέννησιν σχόντας, τὴν εὐλογίαν ἐντεῦθεν ἔχειν, μηκέτι τέκνα σαρκὸς ὄντας, ἀλλὰ τέκνα Θεοῦ, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ ἐγεννήθησαν.

Nam etsi ad exercitium, ad experimentum, ad correctionem, ad apprehensionem exitu hujus sæculi gravescenti pondere carnis corruptæ premantur, invisibiliter tamen Christum induti sunt, ita

Κἂν γὰρ ἔτι πρὸς γυμνασίαν, πρὸς δοκιμὴν, πρὸς διόρθωσιν, πρὸς κατάληψιν τῆς ταλαιπωρίας τοῦ αἰῶνος τούτου τῷ κάτω βρίθοντι φορτίῳ τῆς φθειρομένης σαρκὸς βαρύνωνται, ἀλλ' ἀοράτως ἐνδεδυμένοι

[27] Joan. III, 30. [28] Joan. III, 31. [29] ibid. 35. [30] Matth. III, 15. [31] Matth. III, 17.

Digitized by Google

Χριστόν εἰσιν, ὡς δύνασθαι κἀνταῦθα τῆς αὐτοῦ πολιτείας μεταλαγχάνειν σπουδάζοντες, καὶ μετὰ τὴν ἐνθένδε λῆξιν τῆς αὐτοῦ μακαριότητος καὶ λαμπρότητος καὶ ἀφθαρσίας μετασχεῖν· καθάπερ γὰρ δι' ἑνὸς τοῦ Ἀδὰμ εἰς τοὺς μεταγενεστέρους προγονικῶς διέβη ἡ τοῦ θανάτου εὐθύνη, οὕτως ἐξ ἑνὸς τοῦ θεανθρώπου Λόγου εἰς τοὺς ἀναγεννωμένους ἐξ αὐτοῦ πάντας ἡ τῆς αἰωνίου καὶ οὐρανίου ζωῆς διαβαίνει χάρις· διὸ καὶ ἀνεῳγμένος ἐστὶ τούτοις ὁ οὐρανὸς, ὑποδεξόμενος τούτους κατὰ καιρὸν, εἴπερ τραφέντες ἐν τῇ πρὸς αὐτὸν πίστει, καὶ τῇ κατὰ πίστιν δικαιοσύνῃ κληρονόμοι **88** γένωνται Θεοῦ, καθάπερ ἐξουσίαν ἔλαβον, καὶ Χριστοῦ συγκληρονόμοι, τῆς ἀκηράτου ζωῆς αὐτοῦ, καὶ τῆς ἀθανασίας μετασχόντες, καὶ τούτῳ συνόντες ἀχωρίστως, καὶ τῆς ἐκείνου δόξης καταπολαύοντες· κεκλεισμένος B γὰρ ἦν ὁ οὐρανὸς πρότερον ἡμῖν, καὶ τέκνα ἦμεν ὀργῆς, ἥτις ἐστὶ δικαία τοῦ Θεοῦ ἐγκατάλειψις διὰ τὴν ἡμετέραν ἁμαρτίαν καὶ τὴν ἀπείθειαν· ἀλλὰ διὰ τὴν ἐν Χριστῷ τῆς ἡμετέρας φύσεως ἀναμαρτησίαν, καὶ τὴν πρὸς τὸν Θεὸν εὐπείθειαν τέκνα εὐδοκίας γεγόναμεν οἱ Χριστῷ κολλώμενοι, καὶ υἱοὶ ἀγαπητοὶ, καὶ ὁ οὐρανὸς ἠνέῳχται ἡμῖν, ὡς καὶ ἐφ' ἡμᾶς τὸ Πνεῦμα κατιέναι τοῦ Θεοῦ καὶ μένειν ἐν ἡμῖν, καὶ δι' αὐτοῦ κατὰ καιρὸν εἰς οὐρανοὺς ἀναφέρεσθαι ἡμᾶς, ἡνίκα ὁ ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν, διὰ τὸ ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ἡμῖν, μεταμορφώσας τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, καὶ σύμμορφον ποιήσας τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ, δι' οὗ C τὴν ἀθανασίαν ἐπλουτήσαμεν, καὶ εἰς οὐρανοὺς ἀνεκλήθημεν, καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς ἡ ἡμῶν ἐνεθρονίσθη φύσις. Ὦ βάθος πλούτου καὶ σοφίας καὶ φιλανθρωπίας θείας! Οὕτως οἶδε Θεὸς τὰ ἐξ αὐτεξουσίου παρατροπῆς ἡμῶν ὀλισθήματα τῇ παρ' ἑαυτοῦ σοφίᾳ τε καὶ δυνάμει φιλανθρώπως μετασκευάζειν ἀσυγκρίτως ἐπὶ τὸ κρεῖττον· εἰ μὴ γὰρ ἐκ τῶν οὐρανῶν κατῆλθεν ὁ τοῦ Θεοῦ Υἱὸς, ἀνέλπιδες ἂν ἡμεῖς ἦμεν τῆς πρὸς οὐρανὸν ἀνόδου· εἰ μὴ οὗτος ἐσαρκώθη καὶ πέπονθε σαρκὶ, καὶ ἀνέστη, καὶ ἀνελήφθη δι' ἡμᾶς, οὐκ ἂν ἔγνωμεν τὸ ὑπερβάλλον τῆς πρὸς ἡμᾶς ἀγάπης τοῦ Θεοῦ· εἰ μὴ ἔτι ἀσεβῶν ὄντων ἡμῶν, ὑπὲρ ἡμῶν ἐσαρκώθη, καὶ τὸ πάθος ὑπήνεγκεν, οὐκ ἂν ὑψωθέντες ἐπὶ τοσοῦτον ὑπ' αὐτοῦ, τῆς κατασπώσης ἐπάρσεως ἀπεσχόμεθα. Νῦν γὰρ ὡς μηδὲν προσενεγκόντες, ὑψηλοὶ γεγονότες, μένομεν ἐν τῇ ταπεινώσει, καὶ πρὸς τὸ μέγεθος τῆς ἐπαγγελίας καὶ τῆς εὐεργεσίας ὁρῶντες μετὰ συνέσεως, ἀεὶ ταπεινότεροι γινόμεθα, ὅθεν ἡ σωτηρία.

A ut studere queant consequendæ ejus civitati, quam sortiti felicitatis ejus necnon claritatis et incorruptibilitatis participes fiant; etenim sicut per unum Adam in posteros necessitate generationis transivit mortis stipendium, ita ex uno Deo homineque simul Verbo in omnes ex eo regeneratos æternæ cœlestisque vitæ transit gratia. Ideo istis quoque apertum est cœlum, eos in tempore recepturum, si modo nutriti in fide in ipsum justitia quæ est secundum fidem Dei hæredes fiant, ut potestatem acceperunt, Christique cohæredes, sinceræ illius vitæ et immortalitatis participes, illique indivisibiliter adhærentes, et gloria ejus simul fruentes. Quippe nobis clausum prius erat cœlum, eramusque filii iræ quæ est justa Dei derelictio propter nostra peccata nostramque infidelitatem; verum quia nostra in Christo natura a peccato fuit libera Deoque admodum obediens, filii complacentiæ facti sumus qui Christum sequimur, liberique dilecti, et cœlum apertum est nobis, ita ut etiam in nos descendat Spiritus Dei et in nobis maneat, et per eum in tempore in cœlum simus assumendi, quando is qui Christum e mortuis erexit vivificabit mortua corpora nostra per inhabitantem nobis Spiritum suum, reformans corpus humilitatis nostræ et configurans corpori gloriæ Christi, per quem immortalitatem consecuti sumus, et in cœlum revocati, necnon super omnem principatum et potestatem ad dexteram majestatis in cœlis nostra throno collocata fuit natura. O abyssum sapientiæ et divitiæ et bonitatis Dei! Ita scivit Deus nostros voluntarii erroris lapsus propria sapientia et virtute in melius benigne corrigere, nam nisi e cœlis Dei Filius descendisset, nulla nobis reditus ad cœlum spes superesset; nisi iste incarnatus carneque passus fuisset, nequaquam cognosceremus nimiam Dei erga nos charitatem; nisi, cum nos impii essemus, pro nobis caro factus esset, et passionem subiisset, neutiquam in tantum ab eo elevati ab humiliante elatione abstinuissemus. Nunc autem, cum sine ulla parte nostra elevati sumus, manemus in humilitate et magnitudinem promissionis denique attente conspicientes, semper humiliores efficimur, unde nobis salus.

Γέγονε τοίνυν ὁ τοῦ Θεοῦ Υἱὸς ἄνθρωπος, ἵνα D δείξῃ εἰς οἷον ὕψος ἡμᾶς ἀνάξει· ἵνα μὴ ἐπαιρώμεθα ὡς ἀφ' ἑαυτῶν τὴν ἧτταν ἀναπαλαίσαντες· ἵνα διπλοῦς ὢν, ὄντως μεσίτης ᾖ, ἁρμόζων δι' ἑκατέρου πρὸς μέρος ἑκάτερον· ἵνα λύσῃ τὸν δεσμὸν τῆς ἁμαρτίας· ἵνα καθάρῃ τὸν ἐξ ἁμαρτίας τῆς σαρκὸς μολυσμόν· ἵνα δείξῃ τὴν τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπην· ἵνα δείξῃ εἰς ὅσον βάθος κακῶν ἐνεπέσαμεν, ὡς σαρκώσεως Θεοῦ δεῖσθαι· ἵνα ὑπόδειγμα γένηται ἡμῖν ταπεινώσεως, ἣν ἡ σὰρξ ἔχει καὶ τὸ πάθος, καὶ φάρμακον θεραπευτικὸν τῆς ὑπερηφανίας· ἵνα δείξῃ ἀγαθὴν τὴν ἡμῶν φύσιν παρὰ Θεοῦ κτισθεῖσαν·

Igitur Dei Filius factus est homo, ut ostenderet ad quantum apicem nos evehet, ut non efferamur quasi a nobis cladis triumphatores; ut cum duplex esset, vere mediator staret, per utramque partem duas partes accommodans; ut solveret vinculum peccati; ut expurgaret sordes ex peccato carnis ortas; ut ostenderet charitatem Dei erga nos; ut monstraret in quantum abyssum malorum eramus illapsi, adeo ut Dei incarnatione opus esset; ut exemplum nobis fieret humilitatis, quam habet caro et angor, et remedium salutare contra superbiam; ut patefaceret naturam nostram a Deo bonam



Digitized by Google

fuisse creatam; ut fieret resurrectionis æternæque vitæ dux et pignus; ut Filius hominis factus, et mortalitatis particeps, filios Dei homines redderet divinæ factos immortalitatis participes; ut pateret quomodo natura humana præ cæteris creaturis ad imaginem Dei condita fuit; tanta enim erat illi ad Deum propinquitas, ut cum eo potuerit in unam convenire personam, ut cohonestaret carnem et ipsam mortalem, ne superbi spiritus præ hominibus majore digniores honore se crederent vel putarentur, aut sese divos haberent, quia caro non sunt et immortalitate gaudere videntur; ut conjungeret natura distantes homines et Deum, duplex ipse natura mediator factus. Et quid oportet plura alloqui, nisi incarnatum fuisset Dei Verbum, Pater nequaquam monstratus esset vere Pater, nec Filius vere Filius, nec etiam Spiritus sanctus procedens et ipse a Patre, neque Deus probatus esset in substantia et personis, sed virtus quædam creaturis tantummodo conspecta, sicut insanientes dixerunt philosophi tum veteres tum recentiores secundum Balaam et Acindynum opinantes.

Idcirco per ista quidem semetipsum manifestavit Dominus suamque dispensationem, in quantum, ut ita dicam, in potestate erat; manifestavit et Patrem, quoniam vere est Pater altissimus. Eis vero tum ex præsentibus tum ex venturis qui optabunt reditum ad eum patefecit, quibus ad bonam frugem revocatis præconem ducemque se dedit per suam conversationem, per doctrinam, per miracula, per prophetiam, et potius adhuc per sapientiam scientiamque vere divinam et naturæ longe præstantem, cui nihil occultum neque futurorum neque eorum quæ invisibiliter in altitudine cordis agitantur. Igitur oportebat obedituros a servitute diaboli esse liberos; nam cum hujus potestati traditus fuisset homo divinam expertus iram (ira autem divina est justa optimi derelictio), oportebat illum cum auctore reconciliari; aliter enim non poterat ab illa servitute liberari. Igitur sacrificio opus erat quo in gratiam altissimi Patris restituti sanctificaremur, qui per nostrum cum maligno commercium fœdati eramus. Hostia ergo opus erat emundante et munda, opus erat quoque sacerdote impolluto et a peccato immuni. Opus erat nobis resurrectione quæ non tantum secundum animam sed etiam secundum corpus haberetur propter homines in tempore venturos. Idcirco oportebat non tantum hanc libertatem et resurrectionem nobis tribui, sed etiam sponderi, et insuper occupationem æternamque in cœlis civitatem. Verum his omnibus opus erat nonmodo tunc degentibus et venturis, sed multo magis omnibus a sæculo natis; erant autem in inferno isti longe plures quam futuri, longe plures quam credituri simul et salvandi; ideo, me judice, Christus venit in consummatione sæculorum. Oportebat ergo etiam iis qui in inferno jacebant prædicari Evangelium, et ostendi

A ἵνα γένηται τῆς ἀναστάσεως καὶ τῆς αἰωνίου ζωῆς ἀρχηγὸς καὶ πίστωσις, λύσας τὴν ἀπόγνωσιν· ἵνα Υἱὸς ἀνθρώπου γενόμενος, καὶ τῆς θνητότητος μεταλαβών, υἱοὺς Θεοῦ τοὺς ἀνθρώπους ἀπεργάσηται, κοινωνοὺς ποιήσας τῆς θείας ἀθανασίας· ἵνα δειχθῇ, πῶς ἡ τοῦ ἀνθρώπου φύσις παρὰ πάντα τὰ κτίσματα κατ' εἰκόνα ἐκτίσθη Θεο· τοσοῦτον γὰρ ταύτῃ τὸ συγγενὲς πρὸς Θεόν, ὡς καὶ δύνασθαι συνελθεῖν αὐτῷ πρὸς μίαν ὑπόστασιν· ἵνα τιμήσῃ τὴν σάρκα καὶ αὐτὴν τὴν θνητήν, ὡς μὴ τὰ ὑπερήφανα πνεύματα προτιμητέα τοῦ ἀνθρώπου καὶ νομίζειν ἑαυτὰ καὶ νομίζεσθαι, καὶ θεοποιεῖσθαι διὰ τὴν ἀσαρκίαν, καὶ τὴν δοκοῦσαν ἀθανασίαν· ἵνα συνάψῃ τὰ φύσει διεστῶτα ἀνθρώπους τε καὶ Θεόν, διπλοῦς αὐτὸς τῇ φύσει μεσίτης γενόμενος. Καὶ τί B δεῖ πλείω λέγειν, εἰ μὴ ἐσαρκώθη ὁ τοῦ Θεοῦ Λόγος, οὐκ ἂν ἐδείκνυτο Πατὴρ ἀληθῶς ὁ Πατήρ· οὐκ ἂν ἀληθῶς Υἱὸς ὁ Υἱός· οὐκ ἂν τὸ Πνεῦμα τὸ ἅγιον, προϊὸν καὶ αὐτὸ ἐκ τοῦ Πατρός· οὐκ ἂν ὁ Θεὸς ἐν οὐσίᾳ καὶ ὑποστάσεσιν, ἀλλ' ἐνέργειά **89** τις μόνον ἐνθεωρουμένη τοῖς κτίσμασι, καθάπερ οἵ τε μωρανθέντες ἔφησαν πάλαι σοφοί, καὶ οἱ νῦν κατὰ τὸν Βαρλαὰμ καὶ Ἀκίνδυνον φρονοῦντες.

Ἐφανέρωσε μὲν οὖν διὰ ταῦτα ἑαυτὸν ὁ Κύριος καὶ τὴν κατ' αὐτὸν οἰκονομίαν, ὡς καὶ ἡμῖν εἴρηται, καθ' ὅσον ἐφικτόν· ἐφανέρωσε δὲ Πατέρα ὡς ἀληθῶς ὄντα τὸν ἀνωτάτω Πατέρα. Ὑπέδειξε δὲ τὴν πρὸς αὐτὸν ἐπάνοδον τῶν τηνικαῦτά τε ὄντων, καὶ τῶν ἔπειτ' ἐσομένων τοῖς βουλομένοις, προτρεψάμενος C καὶ καλέσας καὶ ποδηγήσας διὰ τῆς ἑαυτοῦ πολιτείας, καὶ διδασκαλίας, καὶ θαυματουργίας, καὶ προφητείας, μᾶλλον δὲ σοφίας καὶ γνώσεως ὄντως θείας καὶ ὑπερφυοῦς, ᾗ μηδὲν ἄδηλον οὔτε τῶν ἐσομένων, οὔτε τῶν νῦν ἀδήλως ἐν τῷ βάθει τῶν καρδιῶν κινουμένων. Ἔδει δὲ ἄρα τοὺς ὑπακούσοντας ἐλευθέρους εἶναι τῆς δουλείας τοῦ διαβόλου· ἐπεὶ γὰρ τῇ τούτου αἰχμαλωσίᾳ παρεχύθη ὁ ἄνθρωπος ὀργῆς θείας πειρασθείς, ὀργὴ δέ ἐστι θεία ἐγκατάλειψις δικαία τοῦ ἀγαθοῦ, ἔδει καὶ τοῦτον καταλλαγῆναι τῷ γένει· οὐδὲ γὰρ ἦν ἄλλως ἐλευθερωθῆναι τῆς δουλείας ἐκείνης. Οὐκοῦν θυσίας ἦν χρεία τῆς τὸν ἀνωτάτω Πατέρα καταλαττούσης ἡμᾶς καὶ ἁγιαζούσης, μεμολυσμένους ὄντας τῇ πρὸς τὸν πονηρὸν κοινωνίᾳ. Θυσίας οὖν ἔδει D τῆς καθαιρούσης καὶ καθαρᾶς, ἀλλὰ καὶ ἱερέως καὶ τούτου κεκαθαρμένου καὶ ἀναμαρτήτου. Ἔδει δὲ ἡμῖν μὴ τῆς κατὰ ψυχὴν μόνον, ἀλλὰ καὶ τῆς τοῦ σώματος ἀναστάσεως, καὶ ταύτης διὰ τοὺς ἐσομένους ἔπειτα κατὰ καιρόν. Οὐκοῦν ἔδει μὴ χαρισθῆναι ταύτην μόνον ἡμῖν τὴν ἐλευθερίαν καὶ τὴν ἀνάστασιν, ἀλλὰ καὶ πιστωθῆναι· πρὸς δὲ ταύτῃ καὶ τὴν ἀνάληψιν, καὶ τὴν ἐν οὐρανοῖς ἀτελεύτητον πολιτείαν. Ἔδει δὲ τούτων ἁπάντων, οὐ τοῖς οὖσι τηνικαῦτα καὶ τοῖς ἐσομένοις μόνον, ἀλλὰ πολλῷ μᾶλλον τοῖς ἐξ αἰῶνος γεγενημένοις τοῦ γένους· ἐν ᾅδου δὲ ἦσαν οὗτοι πολλῷ πλείους τῶν ἐσομένων, καὶ πολλῷ πλείους πιστεύειν ἅμα καὶ σώζεσθαι μέλλοντας· διόπερ οἶμαι καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ὁ Χριστὸς ἦλθεν. Ἔδει τοίνυν καὶ

Digitized by Google

τοῖς ἐν ᾅδου κηρυχθῆναι τὸ Εὐαγγέλιον, καὶ φανερωθῆναι τὴν μεγάλην ταύτην οἰκονομίαν, καὶ δοθῆναι τὴν ἀπὸ τῶν αἰχμαλωτισάντων δαιμόνων εἰς τέλος ἐλευθερίαν, καὶ τὸν ἁγιασμὸν, καὶ τὰς μελλούσας ἐπαγγελίας. Οὐκοῦν ἔδει πάντως καὶ εἰς ᾅδου κατελθεῖν τὸν Χριστόν· ἀλλὰ καὶ ταῦτα πάντα μετὰ δικαιοσύνης, ἧς χωρὶς οὐδὲν παρὰ Θεοῦ τελεῖται.

Deinde si propter hunc numerum ut talem benedictus fuit hic dies, quanto magis primus, quia præsertim illum Moyses dixit unum, benedictionem accepisset, unitas omnino est ingenita. Sed, aiunt, ipsa multiplicata est mater omnis numeri, eorum etiam quæ intra denarium continentur; hebdomada vero nullum parit intra denarium, et ideo est virgo. Esto, virgo est quæ nullo modo est mater; hoc enim non est ex necessitate, concedo tamen; ergo quanto plura generaverit, tanto magis a virginitate recedet? Porro hebdomada repetita et multiplicata nullum quidem numerum intra denarium generat, multos vero supra eumdem; quomodo igitur virgo? Sed propugnationes nostras fugientes ad lunam conscendunt et ad polos quos septem ponunt, lunam vero ostendentes per septem dies, bifidatam, per tot alias plenam, et pari tempore ad pristinum statum redeuntem. Nesciunt enim quoniam si propterea augustus est septenus numerus, alii quoque nihil huic cedunt, et præsertim omnium primus; quippe unus est hic universus mundus, unum omne cœlum vel saltem non duobus plures; unus etiam sol in universo, luna una, ne dicam omnia in unum convenire, stante pro omnibus et per omnia et super omnia Deo, quem unum recte intelligentibus vere proclamant. Sed cum rotunda sint astrorum polorumque singula, et in orbem constet universum, orbis autem ex duobus, puncto lineaque, instituatur, et sine duobus istis nihil præsertim eorum quæ sub sensum cadunt possit exsistere, binus ergo numerus mundo utilissimus est et admodum necessarius. Verum quia non linea tantum, sed et plana superficies in universo conspiciatur, ternus igitur numerus inter alios parem habet honorem; nam prætereo alias hujus numeri excellentias. Ast quia prædictorum singula non orbis sint tantum, sed et solidum et sphæra, hæc autem sine quatuor exsistere nequeant, nam insuper alterius discriminis necessitas eis incumbit, quomodo numerus quaternarius inter augustos pariter non adnumeratur? Præterea quinarius etiam propter alia non absimilis, et præsertim sextus inter omnes numerus; nam iste præ omnibus suis partibus comparatus inter perfectos prior censetur, ideo per talem dierum numerum perfecta sunt omnia.

Idcirco qui propter talia hebdomadam venerantur semetipsos fallunt, non illam tantum sed quemlibet colentes numerum, omnes enim numeri parem cultus rationem videntur habere. Nam cum numerus cum omnibus quæ sunt simul creatus fuerit, omnia vero a Deo creata pulchra sint et pulchra nimis, sicut per Moysen testatus est ipse Creator, quicun-

A μὸς ἐκ μονάδος γεννᾶται· ἡ δὲ ἑβδομὰς ἀριθμὸς, οὐκοῦν οὐκ ἀγέννητος. Ἀλλ' οὐχ ὑπό τινος, φασὶν, ἑτέρου τῶν μετὰ τὴν μονάδα πολλαπλασιαζομένου γεννᾶται· ἀλλ' οὐχ οὗτος ἀγέννητος ὁ μὴ γεννώμενος ὑπὸ πολλῶν, ἀλλ' ὃς ἂν ὑπ' οὐδενὸς γεννῷτο, ὅπερ ἡ ἑβδομὰς οὐκ ἔχει.

Ἔπειτα εἰ διὰ τὸν ἀριθμὸν τοῦτον ὄντα τοιοῦτον ἡ ἡμέρα εὐλόγηται, πολλῷ μᾶλλον ἂν ἡ πρώτη, καὶ μάλισθ' ὅτι καὶ μίαν αὐτὴν ὁ Μωϋσῆς εἶπε, τὴν εὐλογίαν ἐδέξατο· ἡ γὰρ μονὰς ἀγέννητος πάντη. Ἀλλὰ γεννητικὴ, φασὶν, αὕτη πολλαπλασιαζομένη παντὸς ἀριθμοῦ, καὶ τῶν ἐντὸς δεκάδος· ἡ δὲ ἑβδομὰς τῶν ἐντὸς δεκάδος οὐδενὸς, καὶ διὰ τοῦτο παρθένος. Ἔστω δὴ παρθένος ἡ μηδαμῶς γεννῶσα· οὐ γὰρ ἐξ ἀνάγκης, ἔστω δ' οὖν ὅμως· ἡ δὲ μέτρια B μὲν οὔ, πολλὰ δὲ γεννῶσα, καθόσον πλείω, κατὰ τοσοῦτον πάντως πορρωτέρω τῆς παρθενίας ἐστίν. Ἡ γοῦν ἑβδομὰς πολλαπλασιαζομένη καὶ συντιθεμένη τῶν μὲν ἐντὸς δεκάδος οὐδένα γεννᾷ, τῶν δὲ ὑπὲρ δεκάδα πολλούς· πῶς οὖν παρθένος; Ἀλλ' ἐκφεύγοντες ἡμῶν τὰς λαβὰς οἷον ἐπὶ τὴν σελήνην ἀναβαίνουσι καὶ τοὺς πόλους, τοὺς μὲν ἑπτὰ λέγοντες εἶναι, τὴν δὲ σελήνην δεικνύντες ἐν ἑπτὰ μὲν ἡμέραις διχοτόμον, ἐν ἄλλαις δὲ τοσαύταις πανσέληνον, καὶ διὰ τῶν ἴσων πάλιν ἐπαναστρέφουσαν· ἀγνοοῦσι γὰρ ὡς εἰ διὰ ταῦτα σεπτὸς ὁ ἑπτὰ, καὶ οἱ ἄλλοι τῶν ἀριθμῶν οὐδὲν ἧττον, καὶ μάλιστα πάντων ἡ τούτων ἀρχή· εἷς γὰρ αἰσθητὸς ἅπας κόσμος, καὶ εἷς ὁ πᾶς οὐρανὸς, ἢ δυοῖν οὐ πλείω· καὶ C εἷς ἥλιος ἐν τῷ παντὶ, καὶ μία σελήνη ἐστὶν, ἵνα μὴ λέγω ὅτι πάντα τῷ ἑνὶ συνέστηκε, τοῦ πρὸ πάντων, καὶ διὰ πάντων, καὶ **98** ἐπὶ πάντων Θεοῦ, τὸ ὡς ἀληθῶς ἑνιαῖον τοῖς καλῶς συνιεῖσι κηρύττοντα. Εἰ δὲ καὶ περιφερὴς τῶν τε ἀστέρων καὶ τῶν πόλων ἕκαστος, καὶ κύκλῳ τόδε τὸ πᾶν, ὁ δὲ κύκλος ἐκ δυοῖν σημείου τε καὶ γραμμῆς, καὶ τῶν δύο χωρὶς οὐδ' ἂν ἦν οὐδὲν μάλιστα ὧν αἰσθητῶν, καὶ δύο λοιπὸν ἀριθμὸς χρειωδέστατος τῷ παντὶ καὶ ἀναγκαιότατος. Ἐπεὶ δὲ μὴ γραμμὴ μόνη καὶ ἐπίπεδον ἐν τῷ παντὶ, καὶ ἡ τριὰς οὐκοῦν ἐν ἀριθμοῖς τὸν ἴσον τρόπον· παρίημι γὰρ λέγειν τὰ ἄλλα τοῦ ἀριθμοῦ τούτου πλεονεκτήματα. Ἐπεὶ δ' αὖ καὶ τῶν προειρημένων ἕκαστον, οὐ κύκλος μόνον, ἀλλὰ καὶ στερεόν ἐστι καὶ σφαῖρα, ταῦτα δὲ εἶναι τῶν ἀδυ- D νάτων ἄνευ τῆς τετράδος· δεῖ γὰρ αὐτοῖς ἐξ ἀνάγκης καὶ διαστήματος ἑτέρου· πῶς οὐχὶ καὶ ἡ τετρὰς ἐπίσης τῶν ἀξιολόγων; Ἔτι γε μὴν καὶ ἡ πεντὰς δι' ἕτερα παραπλήσια, καὶ μάλιστα τῶν ἄλλων ὁ ἓξ ἀριθμός· οὗτος γὰρ πρὸ τῶν ἄλλων τοῖς οἰκείοις μέρεσιν ἐξισούμενος πρῶτος ἐν τοῖς τελείοις ἐστί· διὸ καὶ κατ' αὐτὸν τὸ πᾶν συνετελέσθη τοῦτο.

Οἱ τοίνυν ἐκ τοιούτων σεμνύνοντες τὴν ἑβδομάδα λελήθασιν ἑαυτοὺς, οὐ ταύτην μόνον, ἀλλ' ἁπλῶς ἅπαντα σεμνοποιοῦντες ἀριθμόν· ἱκανὰ γὰρ εἰκότως ἔχει τοιαῦτα σεμνολογήματα. Ἐπεὶ γὰρ ὁ ἀριθμὸς ὑπὸ Θεοῦ τοῖς οὖσι συνεκτίσθη πᾶσι, τὰ δὲ ὑπὸ τοῦ Θεοῦ κτισθέντα πάντα καλά τε καὶ καλὰ λίαν, ὡς διὰ Μωσέως αὐτὸς ἐπεμαρτύρησεν ὁ

Digitized by Google

A κτίσας, ὅ τις ἂν τοῦ ἀριθμοῦ μέρος ἀπολαβὼν ἐξεταστικῶς κατίδοι, καλὸν εὑρήσει καὶ καλὸν λίαν, ἑαυτῷ τε καὶ τοῖς ἄλλοις λόγοις ἀναλογίας ἐμπρέπον θαυμασίως. Οὐ μὴν διὰ τὸν ἀριθμὸν ἁπλῶς ἑτέρα τῆς ἑτέρας διενήνοχεν ἡμέρας· ἐπ' οὐδεμιᾶς γὰρ ὁ Μωϋσῆς ἐπαινέτην ἀριθμοῦ γεγονότα τὸν Θεὸν ἱστόρησεν, ἀλλὰ τὰ καθ' ἑκάστην ὑπ' αὐτοῦ προηγμένα δι' ἐπαίνου τίθεσθαι· τοιγαροῦν οὐδὲ ἡ ἑβδόμη τῶν ἡμερῶν διὰ τὸν ἀριθμὸν ἐπαινετέα. Λέγομεν τοίνυν ἡμεῖς τίνος ἕνεκεν ὁ Θεὸς αὐτὴν διαφερόντως εὐλόγησέ τε καὶ ἡγίασεν, ἐξ αὐτῶν τῶν τοῦ Μωσέως λόγων λαβόντες τὰς ἀρχάς. «Κατέπαυσε γάρ, φησίν, ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν.» Εἶτα προσθεὶς, ὅτι· «Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν·» καὶ τὴν αἰτίαν εὐθὺς προστίθησι τῆς εὐλογίας αὐτὸ τοῦτο λέγων πάλιν· «Ὅτι κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι.» Οὐκοῦν ἐστιν ἔργα τοῦ Θεοῦ ἅπερ οὔτε ἤρξατο ποιεῖν, οὔτε κατέπαυσε ποιῶν· ὡς καὶ αὐτὸς ὁ Κύριος ἀπεκάλυψεν ἡμῖν λέγων· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.»

que, sumpta numeri parte, eam accurate conspexerit, pulchram inveniet nimisque pulchram sibimetipsi aliisque respectibus analogia mire præstantem. Nullus sane dies alteri per numerum prorsus excellit; nullius enim numerum Moyses Deum laudasse enarrat, verum opera singulorum ab ipso enumerata præconio ornata fuisse; ideo nec septimus dies propter numerum dignus est laudibus. Dicimus ergo nos cujus gratia Deus ei eximie benedixit et illum sanctificavit, accepto ab ipsis Moysis vocibus initio; ait enim: «Requievit Deus die septimo ab omnibus operibus quæ fecerat.» Postea adjiciens: «Et benedixit Deus diei septimo et sanctificavit eum;» et statim causam addit benedictionis rursus idem dicens: «Quoniam requievit Deus ab om-
B nibus operibus quæ facere inceperat.» Igitur sunt opera Dei quæ nondum inceperat, et a quibus non quievit; » quod Dominus ipse nobis revelavit dicens: «Pater meus usquemodo operatur et ego operor [41].»

Θέλων οὖν ὁ Θεὸς τῶν τοιούτων ἔργων ἡμῖν τὴν δυνατὴν γνῶσιν παρασχεῖν, καὶ ταῦτα δεῖξαι ζητητέα μᾶλλον ὑπ' αἴσθησιν ἁπάντων, τὴν ἑβδόμην καθ' ἣν κατέπαυσε τὰ αἰσθητὰ ποιῶν εὐλόγησέ τε καὶ ἡγίασεν, ὡς ἐπάνοδον οἷον οὖσαν διὰ τῆς καταπαύσεως ἀπὸ τῶν κάτω, πρὸς ἐκεῖνα τὰ κρείττω καὶ ὑπερκόσμια. Κατὰ γὰρ τὸν μέγαν Διονύσιον εἰπεῖν, ἔξω ἑαυτοῦ γίνεται δι' ὑπερβολὴν ἀγαθότητος ὁ Θεὸς, καὶ ἐκ τοῦ πάντων ἐξῃρημένου πρὸς τὸ ἐν πᾶσι κατάγεται, κατ' ἐκστατικὴν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ· συγκαταβὰς δὴ φιλανθρώπως, ἐφ' ὅσον αὐτὸς ἠθέλησε καὶ ἐχρῆν, καὶ τὸν καθ' ἡμᾶς αἰσθητὸν τοῦτον ἐν ἓξ ἡμέραις ἐργασάμενος κόσμον, κατὰ τὴν ἑβδόμην εἰς τὸ οἰκεῖον ὕψος, ὃ μηδ' ἀπέλιπε, θεοπρεπῶς ἐπανῆλθε, καὶ τὴν κατ' αὐτὴν κατάπαυσιν εὐλογημένην μᾶλλον ὑπέδειξε, διδάσκων καὶ ἡμᾶς ζητεῖν εἰσελθεῖν, κατὰ τὸ ἐγχωροῦν, εἰς ἐκείνην τὴν κατάπαυσιν, ἥτις ἐστὶν
99 ἡ κατὰ νοῦν ἡμῶν θεωρία, καὶ ἡ διὰ ταύτης πρὸς Θεὸν ἀνάνευσις. Πρὸς ἣν κατάπαυσιν καὶ ὁ Ἀπόστολος διαῤῥήδην προτρέπεται· προθεὶς γὰρ τὸ παρὰ τοῦ Θεοῦ διὰ τοῦ Ψαλμῳδοῦ περὶ τοῦ γένους τῶν Ἰουδαίων λεγόμενον· «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·» ἐπιφέρει γράφων· «Εἴρηταί που περὶ τῆς ἑβδόμης ὅτι κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.» Καὶ μετ' ὀλίγα· «Σπουδάσωμεν οὖν καὶ ἡμεῖς εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ·» ὁ γὰρ εἰσελθὼν, κατέπαυσε καὶ αὐτὸς ἀπὸ τῶν ἔργων αὐτοῦ, καθάπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

Itaque cum Deus horum operum notitiam viribus nostris accommodatam vellet præbere, simulque ostendere ea studiosius quam omnia quæ sentiuntur esse quærenda, diem quo ab operibus sensibilibus quievit sanctificavit eique benedixit, quasi per istam quietem indicaret nos debere a terrenis ad meliora et supra naturam assurgere. Nam, magno judice Dionysio, ad extra excedit Deus propter nimiam bonitatem suam, et per diffusivam suæ vir-
C tutis quæ semper integra manet abundantiam, ex charitate erga homines descendens quantum ipse voluit et necessitas fuit, creato per senos dies hoc nostro sensibili mundo, die septimo in suam summitatem quam nullimode reliquerat, ex decentia ascendit, et diem in qua requievit singulariter benedictum monstravit, docens et nos quærere ut ingrediamur, quando licebit, in illam requiem quæ est spiritalis nostrum meditatio et per eam ad Deum aspectus. Ad quam requiem Apostolus lucide convertitur; præmittens enim quod a Deo per Psalmistam de Judaico genere dictum est: «Quoniam juravi in ira mea, si introibunt in requiem meam [42],» subjungit scribens: «Dixit in quodam loco de die
D septima sic: «Et requievit Deus die septima ab omnibus operibus suis.» Et paucis prædictis: «Festinemus ergo et nos ingredi in illam requiem [43];» qui enim ingressus fuerit, requiescet et ipse ab operibus suis, quemadmodum Deus a propriis.

Ἀλλὰ τίς αὕτη ἡ κατάπαυσις ἔτι σαφέστερον ποθεῖτε μαθεῖν, καὶ πῶς καὶ ἡμεῖς εἰς αὐτὴν εἰσελευσόμεθα; Ἂν τὰ ἔργα μάθωμεν, ὧν ὡς ἀνάρχων ὄντων ὁ Θεὸς οὐκ ἤρξατο, ἔτι μᾶλλον καὶ τῆς καταπαύσεως ταύτης, καὶ τῆς πρὸς αὐτὴν εἰσελεύ-

Verum quæ sit hæc requies et quomodo nos etiam in eam ingrediamur plenius discere desideratis? Si opera discamus quæ utpote initio carentia Deus neutiquam incepit, magis etiam hanc requiem et quomodo in eam ingrediamur intelligemus. Quæ-

[41] Joan. v, 17. [42] Psal. xciv, 11. [43] Hebr. iv, 4.

Digitized by Google

nam ista? Principium nobis donet psalmistes Propheta de Deo scribens: « Opera manuum ejus veritas et judicium [44]. » Opus ergo Dei initium non habens eorum quæ sunt cognitio et eorum quæ futura sunt præscientia. Quas si quis veritatem dixerit, ab apto nomine nequaquam errabit. Opus Dei neque principium neque finem habens, judicium et præscientia; oportebat enim res antequam essent judicio et præscientia præire ut fiant, ne factæ in tempore non pereant, ut aliæ, data occasione, ad suam vel universi utilititatem mutentur, aliæ vero sine mutatione permaneant. Opus Dei æternum ad seipsum conversio, etenim ab æterno suiipsius contemplatione movebatur. Multa quidem quilibet recte inquirens his operibus similia inveniret. Quisque autem ex nobis, fratres, a continuis et arduis sollicitudinibus terrenis necnon ab operibus quæ ex istis aguntur abstractus studiosas aures præbeat doctrinæ Spiritus, primum laudabitur a Domino qui Martham quidem de plurimis sollicitam, licet illius causa turbaretur, non accepit; dixit autem: Maria (quæ sedens audiebat verba doctrinæ ejus), optimam partem elegit quæ non auferetur ab ea [45].»

Videtisne opus a quo requies non datur? Deinde qui sermones istos doctrinæ Spiritus in mente tenuerit et eos meditatus prætulerit in intelligentia animæ omni alii turbulentæ terrenæque cogitationi, et per eos sibi de vita ad salutem agenda providerit, opera ipse quoque habebit judicium et veritatem in corde suo, secundum Psalmistam simulque Prophetam, loquens veritatem. Si ab omni cogitatione, licet bona sit, mentem tuam erexeris et ad seipsam converteris totam per diligentiam perseverantem et orationem non interruptam, ita ipse etiam intrabis in divinam requiem, atque benedictionem illam quam sortita est dies septima obtinebis, ipse te considerans, et per te ad contemplationem Dei exsurgens; ait enim: Finis orationis raptus ad Dominum. En causa benedictionis quæ data fuit diei septimo, unde Moyses in lege jussit diem septimam feriari quidem ab operibus corpori utilibus, abundare vero eis quæ ad animam pertinent.

Rursus autem qui universum intra sex dies stabilivit, prævidebat hominis inclinationem ad pejus, indeque ortam ejus ad terram conversionem, necnon usque ad inferorum casum et inclusionem, atque totius mundi hujus per hominem senium et detritum, sed et futuram horum renovationem per propriam humanitatis assumptionem. Quæ renovatio facta fuit per descensum in infernum Dei incarnati post mortem limbos adituri, et inde ab eo promissam in Sabbato animarum revocationem; istud sane diei septimæ prævidit opus; ideoque credibiliter ei soli benedictionem impendere dignatus est.

[44] Psal. cx, 6. [45] Luc. x, 42.

A σεως ἐν περινοίᾳ ἐσόμεθα. Τίνα δὴ τὰ ἔργα ταῦτα; Διδότω καὶ ἡμῖν τὴν ἀρχὴν ὁ ψαλμῳδὸς Προφήτης περὶ τοῦ Θεοῦ γράφων· « Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. » Ἔργον οὖν Θεοῦ ἄναρχον ἡ τῶν ὄντων γνῶσις καὶ ἡ πρόγνωσις τῶν ἐσομένων, ἃς εἴ τις ἀλήθειαν προσείποι, οὐκ ἀστοχήσει τοῦ προσρήματος. Ἔργον Θεοῦ ἄναρχόν τε καὶ ἄπαυστον ἡ κρίσις καὶ ἡ πρόνοια· καὶ γὰρ ἐδεῖτο τὰ ὄντα καὶ πρὶν γενέσεως κρίσεώς τε καὶ προνοίας ὅτι δεῖ γενέσθαι, καὶ μετὰ τὸ γενέσθαι ὅπως μὴ ἀπογένωνται κατὰ καιρόν· ἢ τὰ μὲν πρὸς τὸ λυσιτελὲς ἑαυτῶν ἢ τὸ τοῦ παντὸς μεταγίνωνται κατὰ καιρὸν, τὰ δὲ διαμένωσιν ἀναλλοίωτα. Ἔργον ἄναρχον Θεοῦ ἡ πρὸς ἑαυτὸν ἐπιστροφή· ἐκινεῖτο γὰρ ἀνάρχως τῇ ἑαυτοῦ θεωρίᾳ. Πολλὰ μὲν οὖν ἄν τις συνετῶς ἐξε-
B τάζων κατίδοι τὰ ταῖς ἐνεργείαις ταύταις σύστοιχα. Ἂν δὲ καὶ ἡμῶν ἕκαστος, ἀδελφοὶ, τῶν κάτω συνεχῶν καὶ πολυμόχθων φροντίδων καὶ τῶν κατὰ ταύτας ἔργων ἀφέμενος, προσεδρεύῃ τὰ ὦτα ὑπέχων τῇ διδασκαλίᾳ τοῦ Πνεύματος, πρῶτον μὲν ἐπαινεθήσεται παρὰ τοῦ Κυρίου, ὃς τὴν μὲν Μάρθαν περὶ πολλῶν μεριμνῶσαν οὐκ ἀποδέχεται, καίτοι τῆς σπουδῆς οὔσης ὑπὲρ αὐτοῦ· Μαρία δὲ, φησὶν, ἡ παρακαθημένη καὶ τῶν λόγων τῆς διδασκαλίας ἀκροωμένη, τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

Ὁρᾷς τὸ ἀκατάπαυστον ἔργον; Ἔπειτα τοὺς λόγους τούτους ἐν νῷ λαβὼν τῆς διδασκαλίας τοῦ Πνεύματος, καὶ τούτοις ἐμμελετῶν, καὶ τούτους ἐν τῷ
C λογιζομένῳ τῆς ψυχῆς ἑτέρου παντὸς ἐμπαθοῦς καὶ γηΐνου λογισμοῦ προκρίνων, καὶ διὰ τούτων πρόνοιαν τοῦ καθ' ἑαυτὸν βίου ποιούμενος εἰς σωτηρίαν, ἔργον καὶ αὐτὸς ἕξει τὴν ἀλήθειαν καὶ τὴν κρίσιν ἐν τῇ ἑαυτοῦ καρδίᾳ, κατὰ τὸν ψαλμῳδὸν Προφήτην, λαλῶν ἀλήθειαν. Ἂν δὲ καὶ παντὸς συλλογισμοῦ, κἂν ἀγαθὸς ᾖ, τὸν σὸν ἀπαναστήσῃς νοῦν, καὶ πρὸς ἑαυτὸν ἐπιστρέψῃς ὅλον, δι' ἐπιμόνου προσοχῆς καὶ ἀδιαλείπτου προσευχῆς, οὕτως εἰσῆλθες καὶ αὐτὸς εἰς τὴν θείαν κατάπαυσιν, καὶ τῆς κατὰ τὴν ἑβδόμην εὐλογίας ἐπέτυχες, αὐτὸς σεαυτὸν ὁρῶν, καὶ διὰ σαυτοῦ πρὸς θεοπτίαν ἀναφερόμενος· Τέλος γὰρ, φησὶ, προσευχῆς ἁρπαγὴ πρὸς Κύριον. Ἓν μὲν δὴ τοῦτο τῆς κατὰ τὴν ἑβδόμην εὐλογίας τὸ αἴτιον, ὃ καὶ Μωϋσῆς διὰ τοῦ νόμου δεικνὺς ἀργίαν τὴν ἑβδόμην ἐπέταξεν, ἀλλὰ τῶν σώματι λυσιτελούντων ἔργων, τῶν δὲ τῇ ψυχῇ προσηκόντων ἐνέργειαν.

D Ἕτερον δὲ, ὁ τὸ πᾶν τόδε συστήσας ἐν ἓξ ἡμέραις προεώρα καὶ τὴν τοῦ ἀνθρώπου πρὸς τὸ χεῖρον τροπὴν, καὶ τὴν διὰ ταύτην πρὸς τὴν γῆν ἀποστροφὴν, καὶ τὴν μέχρις ᾅδου καταστροφήν τε καὶ 100 κάθειρξιν, καὶ τὴν διὰ τὸν ἄνθρωπον παντὸς τοῦ κόσμου τοῦδε παλαίωσιν καὶ ἀχρείωσιν, ἀλλὰ καὶ τὸν ἐσόμενον ἀνακαινισμὸν τούτων, διὰ τῆς οἰκείας ἐνανθρωπήσεως. Οὗτος δὲ ὁ ἀνακαινισμὸς ἐνηργήθη, κατὰ τὴν εἰς ᾅδου τοῦ ἐνανθρωπήσαντος Θεοῦ διὰ θανάτου κατάβασιν, καὶ τὴν ἐκεῖ παρ' αὐτοῦ κατηγγελμένην ἐν Σαββάτῳ τῶν ψυχῶν ἐπανάκλησιν· καὶ τοῦτο δὴ τῆς ἑβδόμης προεώρα τὸ ἔργον· διό-

Digitized by Google

περ εἰκότως τῆς εὐλογίας ταύτης μόνην ἠξίωσεν. A Ἀλλὰ παρεσκευάσθη μὲν ἐν ἀδήλῳ τοῦτο κατὰ τὴν ἑβδόμην, δηλονότι κατὰ τὸ Σάββατον, ἀνεφάνη δὲ καὶ καθαρῶς ἐτελέσθη τὸ πᾶν, καὶ τοῦ σώματος ἀνακληθέντος πρὸς ἀφθαρσίαν, κατὰ τὴν ὀγδόην διὰ τῆς Δεσποτικῆς ἀναστάσεως, διὸ καὶ Κυριακὴ παρ' ἡμῶν αὕτη φερωνύμως κατονομάζεται. Ὥσθ' ὅπερ ἐστὶν ἡ Παρασκευὴ πρὸς τὸ Σάββατον, τοῦτο πρὸς τὴν Κυριακὴν ὑπάρχει τὸ Σάββατον, ὑπερέχουσαν τούτου σαφῶς, καθόσον ἀρχῆς καὶ τύπου καὶ σκιᾶς ἡ τελειότης καὶ ἡ ἀλήθεια· τοσοῦτο τῇ Κυριακῇ τὸ περιὸν καὶ σεβάσμιον διὰ τὸ κατ' αὐτὴν ὑπερευλογημένον τέλος, καὶ τὴν ἐλπιζομένην κατ' αὐτὴν κοινὴν τῶν ἁπάντων ἀνάστασιν, καὶ τελείαν τῶν ἀξίων εἰσέλευσιν εἰς τὴν θείαν κατάπαυσιν, καὶ τὴν παντὸς τοῦ κόσμου ἀναστοιχείωσιν.

Ast hæc quoque in septimo die, scilicet in Sabbato clam præparata sunt; vere autem declarata et perfecta sunt omnia, propter incorruptibilitatem corporis a morte revocati, in octavo die per Dominicam resurrectionem, ideo ipse a nobis significanter cognominatus est; ita ut sicut Parasceve ad Sabbatum, sic ad Dominicam Sabbatum huic tantum præstantem quantum principio typo et umbræ perfectio et veritas. Unde tanta Dominicæ excellentia et sanctitas a mysterio in ea completo, a sperata in ea communi omnium resurrectione, a perfecta dignorum ingressione in divinam requiem, a totius mundi regeneratione.

Οὐκοῦν ὅσα ἄν τις εἴποι τὴν ἑβδόμην σεμνύνων, B ἐπὶ τὴν ὀγδόην ταῦτα μετὰ προσθήκης ἀνάγεται· αὕτη γὰρ ἐκείνης ἐστὶν ἡ τελείωσις. Ταύτης τῆς ὀγδόης τὴν τιμὴν, δηλονότι τῆς Κυριακῆς, καὶ λεληθότως μὲν εἰσήγαγεν ὁ Μωϋσῆς· ὁ γὰρ Ἰωβηλαῖος ἐνιαυτὸς, ὃς ἀφέσεως ἐνιαυτὸς παρ' ἐκείνου νομίζεταί τε καὶ ὀνομάζεται, οὐκ ἐναρίθμιός ἐστι ταῖς κατὰ νόμον ἀριθμουμέναις ἑβδομάσι τῶν ἐτῶν, ἀλλὰ μετ' ἐκείνας πάσας καὶ ὄγδοός ἐστι, μετὰ τὸ παρελθεῖν τὴν ἐσχάτην ἑβδομάδα τῶν ἐτῶν ἐκείνων ἀναφαινόμενος· τοῦτο καὶ ἐν ταῖς ἑβδομάσι τῶν κατὰ τὰς ἡμέρας ἑβδομάδων ποιεῖ ὁ Μωϋσῆς. Οὐ μόνον δὲ λεληθότως οὕτως εἰσήγαγε τὴν τιμὴν τῆς ὀγδόης ὁ νομοθέτης, ἣν καὶ Κυριακὴν ἡμεῖς ὀνομάζομεν, ὡς ἀφιερωμένην τῇ ἀναστάσει τοῦ Κυρίου C ἡμέραν, ἀλλὰ καὶ κατὰ τὴν ἑορτὴν, ἣν σαλπίγγων ὠνόμασε, καὶ ἐξόδιον ταύτην καλεῖ, τουτέστι πέρας καὶ τελείωσιν τῶν ἑορτῶν ἁπασῶν. Κατὰ ταύτην οὖν φανερῶς φησιν, ὅτι καὶ ἡ ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ἡμῖν, προκαταγγέλλων τὸ τῆς Κυριακῆς θεῖον οἷον καὶ πανευκλεὲς καὶ σεβάσμιον, μετὰ τὴν πάροδον τῶν νομικῶν ἁπάντων ἐσόμενον. Ὥστε καὶ οὗτος διὰ τοῦτο τετίμηκε τὴν ἑβδόμην, ὡς εἰς τὴν ὀγδόην ταύτην φέρουσαν τὴν ὄντως τιμίαν· καὶ καθάπερ ὁ δι' αὐτοῦ δεδομένος νόμος τίμιος, ἀλλ' ὡς εἰσάγων εἰς Χριστὸν, οὕτω καὶ ἡ ἑβδόμη τιμία ὡς εἰσάγουσα εἰς τὴν ὀγδόην, καθ' ἣν ἡ ἀνάστασις τοῦ Κυρίου γέγονεν, ὡς ὀγδόη καὶ αὐτὴ οὖσα· καθάπερ γὰρ μετὰ τὴν ἑβδόμην ἡ ὀγδόη τῶν ἡμερῶν ἀριθμεῖται, οὕτως ἐξετάζων εὑρήσεις, μετὰ τὴν D ἑβδόμην τῶν ἐκ τοῦ παντὸς αἰῶνος ἱστορουμένων ἀναστάσεων ἐκ τῶν νεκρῶν, ὀγδόην τὴν τοῦ Κυρίου γεγονυῖαν ἀνάστασιν· ὡς μὴ μόνον ἐν τῇ ὀγδόῃ τελεσθῆναι τῶν ἡμερῶν, ἀλλὰ καὶ ὀγδόην εἶναι ταύτην πρὸς τὰς πρὸ αὐτῆς ἀριθμουμένην. Τὴν αὐτὴν δὲ καὶ πρώτην πρὸς τὴν ἐλπιζομένην τῶν κατὰ Χριστὸν ἁπάντων ἀνάστασιν· μᾶλλον δὲ ἐξανάστασιν, δι' ἣν καὶ ὁ Χριστὸς ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνυμνεῖται. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ Κυριακὴ τῶν ἡμερῶν οὐκ ὀγδόη μόνον ἐστὶν ἀπὸ τῶν πρὸ αὐτῆς ἀριθμου-

Quæcunque ergo dixerit hebdomadam observans, eadem in octavam cum incremento injicere debet, est enim illius perfectio. Hujus octavæ diei, id est Dominicæ, honorem ipse Moyses quamvis inscius induxit; nam Jubilæi annus ab eo remissionis annus vocatus et commendatus, nequaquam inter annorum hebdomadas adnumeratur, sed post illas omnes octavus venit, postquam transivit ultima annorum eorum, illucens. Quod etiam in hebdomadis earum quæ secundum dies numerantur hebdomadarum facit Moyses. Non tantum ita inscius honorem induxit legislator octavæ quam nos Dominicam appellamus, utpote Domini resurrectioni consecratam, sed insuper in festo quod tubarum solemnitatem nominavit, illam vocat postremam id est finem et perfectionem festorum omnium. In hac ergo dixit diem octavam nobis sanctam esse appellandam, prænuntians veluti divinam atque illustrissimam et augustissimam Dominicæ dignitatem post transitum legalium omnium adfuturam. Unde ille non septimam coluit diem nisi quia ad octavam vere colendam perducit; et sicut lex ab eo data venerabilis est quia ad Christum conducit, ita septima dies venerabilis quia ad octavam, in qua facta est Domini resurrectio, quia ipsa est octava, contingit; nam quemadmodum post septimam dies numeratur octava, ita scrutans invenies, post septimam omnium quæ a sæculo contigisse narrantur resurrectionum, octavam fuisse Domini resurrectionem; ita non tantum octava die perfecta est, sed etiam octava numeratur post eas quæ antea præcesserunt: eadem autem prima est ad speratam omnium in Christo surrectionem seu potius resurrectionem, per quam celebratur Christus primitiæ dormientium et primogenitus ex mortuis [66]. Eodem modo Dominica non tantum dicitur octava dierum ab iis quæ præeunt numerata, sed etiam prima earum quæ sequuntur, ita ut eadem sit vicissim prima et ultima omnium dierum quam nos quidem Dominicam vocamus, Moyses vero non primam sed unam cognominavit, quia

[66] I Cor. xv, 20; Coloss. i, 18.

Digitized by Google

aliis superetninet, necnon futuri sæculi, unius quæ nescit occasum diei stat exordium.

A μένη, ἀλλὰ καὶ τῶν μετ' αὐτὴν ἐστι πρώτη· ὡς εἶναι ταύτην αὐτὴν ἐκείνην ἐκ περιτροπῆς τὴν καινὴν καὶ πρώτην ἁπασῶν ἡμέραν, ἣν ἡμεῖς μὲν Κυριακὴν καλοῦμεν, ὁ δὲ Μωϋσῆς οὐ πρώτην, ἀλλὰ μίαν προσηγόρευσεν, ὡς τῶν ἄλλων ὑπερεξῃρημένην, καὶ προοίμιον οὖσαν τῆς τοῦ μέλλοντος αἰῶνος μιᾶς καὶ ἀνεσπέρου ἡμέρας.

Aliam insuper Dominicæ præ cæteris diebus festivis in mente versate excellentiam inde exortam. Quemlibet enim diem festivum totus annus currens semel inducit, Dominicam autem menses singuli quater nobis invehunt, ita ut per occursum ita frequentem nobis annum totum vere remissionis annum, annum Deo acceptabilem operatur. Ideo Dominus illam nobis celebrandam secundum singulas dierum lapsas hebdomades proponens, apparuit quidem primum discipulis in cœnaculo, dum Thomas abesset, et semetipsum obtulit vivum, pacem eis largitus est, et per propriam insufflationem primam ab initio datam renovans inspirationem, divini Spiritus tribuit gratiam, divinam eis infundens virtutem ligandi atque solvendi peccata, consortes illos potestatis ejus qui in cœlo est efficiens, ad eos dicens: « Accipite Spiritum sanctum, quorum remiseritis peccata, remittentur eis, et quorum retinueritis, retenta sunt [47]. »

**101** Ἐν περινοίᾳ δὲ ἔτι γενήσῃ τῆς κατὰ τὴν Κυριακὴν πρὸς τὰς ἄλλας ἑορτίους ἡμέρας ὑπεροχῆς κἀντεῦθεν. Πᾶσαν μὲν γὰρ ἄλλην ἡμέραν ἑόρτιον ὁ ἐνιαυτὸς ἅπας ἅπαξ ἐπάγει περιιὼν, τὴν δὲ Κυριακὴν καὶ μηνῶν ἕκαστος τετράκις ἡμῖν ἐπανάγει διὰ τῆς οὕτω συχνῆς περιόδου τὸν ἐνιαυτὸν ἅπαντα, ἐνιαυτὸν ἡμῖν δημιουργοῦσαν τῆς ὄντως ἀφέσεως, καὶ ἐνιαυτὸν Κυρίῳ δεκτόν. Διὸ καὶ ὁ Κύριος ταύτην ἡμῖν ἑορτάζειν ἔργῳ καθεκάστην παρελθοῦσαν ἡμερῶν ἑβδομάδα παραδιδοὺς, ἐπεφάνη μὲν πρῶτον ἐν οἰκίᾳ τοῖς μαθηταῖς, τοῦ Θωμᾶ μὴ παρ-
B όντος, καὶ παρέστησεν ἑαυτὸν ζῶντα, καὶ τὴν εἰρήνην παρέσχεν αὐτοῖς, καὶ δι' ἐμφυσήματος τοῦ οἰκείου τὸ κατ' ἀρχὰς δεδομένον ἀνακαινίσας ἐμφύσημα, τὴν τοῦ θείου Πνεύματος ἐχαρίσατο χάριν, δύναμιν ἐνθεὶς αὐτοῖς θείαν τοῦ δεσμεῖν καὶ λύειν τὰς ἁμαρτίας, καὶ συμψήφους αὐτοὺς τῆς ἐν οὐρανῷ δεσποτείας ἀπεργασάμενος, εἰπὼν πρὸς αὐτούς· « Λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται. »

Hanc ergo potestatem et gratiam impertivit Dominus apparens in ipsa resurrectionis die quæ prorsus erat Dominica; deinde relictis mediis hebdomadæ diebus, in octava quam hodie nos, ut dicere expedit, Dominicam agimus, rursus eodem modo visus fuit, idem spectaculum sibi in eodem cœnaculo renovans, dubiumque Thomam ad fidem adducens; nam secundum dilectum Domini evangelistam et discipulum: « Post dies octo, iterum erant discipuli intus; et Thomas cum eis. Venit Jesus, januis clausis, et stetit in medio, et dixit: Pax vobis [48]. » Videtisne quomodo in Dominica Christi discipuli convenerunt, eosque adivit Dominus? Erat enim Dominica quando primum congregatis apparuit, et post dies octo rursus veniente Dominica, congregatis sese obtulit. Quos conventus perpetuo exprimit Christi Ecclesia, quæ præsertim in Dominica conventus agit, nos quoque inter vos conversantes, vobis ad salutem communia loquentes necnon ad pietatem piamque vitam adducentes. Idcirco nemo propter ignaviam vel continuam de terrenis sollicitudinem ab his sacris Deoque mandatis conventibus abscedat, ne jure a Deo derelictus pejora quam Thomas incurrat; etsi semel raptus abfuerit, jam deinceps accedat, Christi adeat Ecclesiam, ne insanabilis maneat, secundum animam per infidelitatem operibus sive verbis ægrotans, nec ad medicinam Christi accedens, neque sanctam, ut divus Thomas, sanationem accipiens. Sint enim, sint non tantum verba et cogitationes, sed et opera et facta: « Ostende mihi, inquit, fidem tuam ex

Ταύτην μὲν οὖν τὴν δύναμιν καὶ τὴν χάριν παρέσχεν ὁ Κύριος ἐπιφανεὶς κατ' αὐτὴν τὴν ἡμέραν τῆς αὐτοῦ ἀναστάσεως, ἥτις ἡ Κυριακὴ πάντως ἦν·
C εἶτα διαλιπὼν τὰς μεταξὺ τῆς ἑβδομάδος ἡμέρας, κατὰ τὴν ὀγδόην, ταυτὸ δ' εἰπεῖν, τὴν Κυριακὴν ἥνπερ σήμερον ἄγομεν, ἐφίσταται πάλιν ὡσαύτως καὶ κατὰ τὴν αὐτὴν οἰκίαν, ἐγκαινίζων ἑαυτῷ τὴν πανήγυριν, καὶ τὸν Θωμᾶν πρὸς πίστιν ἐνάγων διστάζοντα· κατὰ γὰρ τὸν ἠγαπημένον Εὐαγγελιστὴν τοῦ Σωτῆρος καὶ μαθητήν· « Μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ καὶ Θωμᾶς μετ' αὐτῶν, ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν. » Ὁρᾶτε κατὰ Κυριακὴν καὶ τῶν τοῦ Χριστοῦ μαθητῶν τὴν συνέλευσιν, καὶ τοῦ Κυρίου πρὸς αὐτοὺς τὴν ἐπέλευσιν; Κυριακὴ γὰρ ἦν, ὅτε πρῶτον συνηγμένοις ἐπέστη, καὶ μεθ' ἡμέρας ὀκτὼ τὴν Κυριακὴν πάλιν ἐπαναγούσας, ἐφίσταται συνηγμένοις.
D Ἐκείνας τὰς συνάξεις εἰκονίζει διηνεκῶς ἡ τοῦ Χριστοῦ Ἐκκλησία, κατὰ Κυριακὴν μάλιστα τὰς συνάξεις ἐπιτελοῦσα, καὶ ἡμεῖς ὑμῖν ἐνδημοῦντες, καὶ τὰ πρὸς σωτηρίαν ὁμιλοῦντες κοινῇ, καὶ πρὸς εὐσέβειαν καὶ τὸν κατ' εὐσέβειαν ἐνάγοντες βίον. Μηδεὶς οὖν ὑπὸ ῥᾳθυμίας ἢ τῆς πρὸς τὰ γήϊνα διὰ παντὸς ἀσχολίας ἀπολιμπανέσθω τῶν κατὰ Κυριακὴν ἱερῶν καὶ θεοπαραδότων συνάξεων τούτων, ἵνα μὴ δικαίως ἐγκαταλειφθεὶς ὑπὸ Θεοῦ, παραπλήσιόν τι τῷ Θωμᾷ πάθῃ, μὴ κατὰ καιρὸν ἐλθών· κἂν συναρπασθεὶς ἅπαξ ἀπολειφθῇ, τῇ ἑξῆς ἀποδιδότω, φέρων ἑαυτὸν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, μὴ καὶ ἀνίατος μείνῃ, κατὰ ψυχὴν μὲν νοσήσας ἔργοις

[47] Joan. xx, 23. [48] Joan. xx, 26.

ἢ λόγοις τὴν ἀπιστίαν, τῷ ἰατρείῳ δὲ τοῦ Χριστοῦ μὴ προσενεχθεὶς, καὶ τὴν ἱερὰν ὡς ὁ θεῖος Θωμᾶς ἰατρείαν μὴ προσδεξάμενος· εἰσὶ γὰρ, εἰσὶν οὐ λογισμοί τε καὶ λόγοι μόνον, ἀλλὰ καὶ ἔργα καὶ πράξεις πίστεως· « Δεῖξον γάρ μοι, φησὶ, τὴν πίστιν σου ἐκ τῶν ἔργων σου· » ὧν εἴ τις ἐκπέσειε τελέως τῆς Ἐκκλησίας τοῦ Χριστοῦ μακρυνόμενος, καὶ ἑαυτὸν ὅλον ἐκδιδοὺς τοῖς ματαίοις, νεκρὰν ἔχει, ταυτὸ δ' εἰπεῖν, μὴ οὖσαν τὴν πίστιν, νεκρὸς καὶ αὐτὸς διὰ τῆς ἁμαρτίας γενόμενος.

A operibus [49]. » ex quibus si quis deciderit, omnino ab Ecclesia Christi alienans, seque vanitatibus totum tradens, mortuam, seu ut potius dicam, nullam habet fidem, ipseque etiam per peccatum fit mortuus.

Ἀλλ' ἀποροῦσί τινες, πῶς κεκλεισμένων τῶν θυρῶν εἰσῆλθε σῶμα περικείμενος ὁ Χριστός· οὐ γὰρ ἴσασιν, ὡς ἔοικε, πνευματικοῖς συγκρίνειν πνευματικὰ, καὶ δι' ἀλλήλων ἐπιγινώσκειν αὐτὰ, καθά φησιν ὁ θεῖος Ἀπόστολος. Εἰ γὰρ τῆς κατὰ σάρκα τεκούσης αὐτὸν Παρθένου τὴν μήτραν οὐκ ἐλυμήνατο μηδαμῶς λύσας, ἀλλ' ἀσινῆ τηρήσας **102** ἐν τῷ τίκτεσθαι τῆς παρθενίας τὰ σύμβολα, καίπερ τηνικαῦτα παθητὸν καὶ θνητὸν περικείμενος σῶμα, τί θαυμαστὸν εἰ ἀπαθανατίσας τὸ πρόσλημμα, καὶ σῶμα νῦν κεκτημένος ἀθάνατον κεκλεισμένας εἰσέδυ θύρας; Ἀλλ' ἐπειδήπερ ἀθάνατον καὶ ἀπαθὲς εἶχε πάντως τὸ σῶμα, πῶς οὖν ἐπὶ τῶν χειρῶν καὶ τῆς πλευρᾶς εἶχε τὰς ὠτειλὰς καὶ τὰς διατρήσεις; φησὶ γὰρ ὁ Εὐαγγελιστὴς εἰπεῖν τῷ Θωμᾷ τὸν Κύριον· « Φέρε ὧδε τὸν δάκτυλόν σου, καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. » Πῶς οὖν εἶχε τὰς ὠτειλάς; θνητὸν μὲν σῶμα καὶ παθητὸν οὐκ ἂν ὠτειλάς τε καὶ διατρήσεις ἐπιδεῖξαι δύναιτο, καὶ σῶον καὶ ὑγιὲς διαμένειν· τὸ δὲ ἀπαθὲς καὶ ἀθάνατον ἔχει καὶ ὠτειλὰς δεικνύναι καὶ διατρήσεις ἃς προϋπέστη, καὶ οἷς ἂν θέλῃ, καὶ μένειν οὐδὲν ἧττον ἀπαθὲς καὶ ἀθάνατον. Ἐμοὶ δὲ τοῦτο, καὶ τοῦτο δίδωσι συνορᾷν, ὅτι τὰς ὠτειλὰς εἰς ἐγκαλλώπισμα φέρουσιν αἰώνιον οἱ παθόντες διὰ Χριστόν· καθάπερ γὰρ αἱ φωταγωγοὶ τῶν θυρίδων, μηδὲν τῇ ἀσφαλείᾳ τῆς οἰκοδομῆς προσιστάμεναι, οὐδ' αἶσχος, ἀλλὰ κόσμος εἰσὶ τοῖς οἴκοις ἀναγκαιότατος, τό τε φῶς εἴσω πέμπουσαι, καὶ τοῖς ἐνοικοῦσι τὴν πρὸς τὰ ἔξω θέαν παρέχουσαι, τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ διὰ Χριστὸν ἐπὶ τοῦ σώματος πάθη, καὶ αἱ παρ' αὐτῶν διατρήσεις, φωταγωγοὶ μάλιστα καθεστήκασι τῷ κεκτημένῳ τοῦ ἀνεσπέρου φωτὸς, καὶ ἐκ τοῦ θείου κάλλους μᾶλλον καὶ τῆς λαμπρότητος, ἀλλ' οὐκ ἐκ τοῦ δυσειδοῦς τῶν τραυμάτων, κατὰ τὸν καιρὸν τῆς ἐκφάνσεως τοῦ φωτὸς ἐκείνου γνωρίζονται· τοσοῦτο τῇ ἀπαθείᾳ μὴ λυμαινόμεναι, παρ' ὅσον καὶ πρόξενοι μᾶλλον τῆς ἀθανασίας εἰσί.

At quærunt nonnulli quomodo, januis clausis, intrarit Christus corpore indutus; nesciunt enim ut videtur, spiritalibus spiritalia comparare et de eis per similia judicare, sicut dixit divus Apostolus [50]. Quippe si Virginis eum secundum carnem parturientis vulvam non lædit minime solvens, sed intacta custodiens in ipso partu symbola virginita- B tis, etsi jam tunc passibili et mortali corpore indutus: quid mirum si quod assumpserat corpori immortalitatem impertitus et carnem nunc consecutus immortalem clausis januis ingreditur? Sed cum immortale et prorsus impassibile corpus haberet, quomodo igitur in manibus et latere signa clavorum et aperturas servabat? dixit enim evangelista Dominum sic Thomæ locutum esse: « Infer hic digitum tuum, et vide manus meas, et affer manum tuam, et mitte in latus meum, et noli esse incredulus, sed fidelis [51]. » Quomodo ergo vulnera habuit? mortale quidem et passibile corpus nequaquam posset vulnera et aperturas ostendere, simulque sanum et integrum permanere, caro autem impassibilis et immortalis illa quæ prius subiit potest C monstrare, quibus voluerit, nec tamen minus impassibilis manet et immortalis. Istud vero me sinit considerare quod vulnera ad æternum decorem ferunt qui propter Christum passi sunt. Nam quemadmodum januarum fenestræ etsi nullo modo prosint firmandis ædibus, nequaquam turpe, sed valde necessarium domibus est ornamentum, dum lumen intus mittant et inhabitantibus permittant exteriora conspicere; eodem modo passiones a Christo corpore toleratæ indeque ortæ cicatrices sunt velut fenestræ quibus lucem vesperum non habentem sortitus est, et ex divino decore vel magis ex splendore, sed non ex fœditate vulnerum quo tempore fulget illa lux cognoscuntur, nedum D doloris absentia destruantur, ipsa etiam magis immortalitatem impertiunt.

Τὸ δὲ τοῦ Χριστοῦ σῶμα τὴν τοῦ θείου φωτὸς πηγὴν κεκτημένον ἔνδον, ἐκεῖθεν ἐκλάμψαν νοερῶς ἐφώτισε τὸν διστάζοντα· ὡς παραυτὰ τὸν Θωμᾶν ἀναβοῆσαι τελέως θεολογήσαντα· « Ὁ Κύριός μου καὶ ὁ Θεός μου· » ὁ δὲ Κύριος πρὸς αὐτόν· « Ὅτι ἑώρακάς με, πεπίστευκας. Μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες· » δεικνὺς μηδὲν ἔχειν πλέον εἰς δόξαν τοὺς αὐτόπτας γεγενημένους τῶν δι' αὐτῶν εἰς τὴν πρὸς αὐτὸν πίστιν ἐναγομένων· εἰ δὲ μὴ

Christi vero corpus divini luminis fontem intus habebat, unde splendescens errantem spiritaliter illuminavit, ita ut Thomas sermone prorsus theologico exclamaverit: « Dominus meus et Deus meus » Dominus autem ad eum: « Quia vidisti me, credidisti, beati qui non viderunt et crediderunt [52] », ostendens nihil magis habere ipsos oculis suis gloriam contemplantes quam alii ad fidem in eum per eos adducti. Non credituros quidem dixit, sed qui

[49] Jac. II, 18. [50] I Cor. II, 13. [51] Joan. XX, 27. [52] Ibid. 28, 29.



Digitized by Google

crediderunt, at locutus est in divina et præscia A virtute ejus qui omnia cognoscit antequam fiant, et futura quasi jam facta. Quod vero mihi in mentem venit, hoc vestræ charitati dicam. Cum enim videbam Thomam, cum abest, infidelem factum, aliis vero credentibus convenientem jam nullo modo a fide discedentem, in mente versabam quoniam homo peccator, si fugiat modo pravorum conversationem et ad justos convertatur, jam a justitia dataque per eam animæ salute minime recedet. Quod Psalmista propheta [83], me judice, annuit cum beatum facit qui in via impiorum non abiit, neque cum illis consedit. Et propheta alius : « Noli cum multis loqui super malignitatem [84] ; » et auctor Proverbiorum : « In synagoga peccantium B exardebit ignis ; qui autem cum sapientibus iter fecerit, sapiens erit [85]. »

Igitur, fratres, conveniamus, et Ecclesiam Dei adeamus ; ad hanc enim quicunque vere religiosus accurrit nec ab ea discedit ; cumque quisque vestrum ad eam venerit, religiosiores conspiciat ; poterit illos cognoscere solo aspectu eorum in silentio et oratione consessus. Cernat ergo religiosiores et præsertim qui ex eis magis Dominum timent, illisque accedens inhæreat, necnon cum eis in conspectu Dei assistat ; et si inde officio functus egressus fuerit, ab omnibus terrenis operibus vacans, cum sit Dominica propter Dominum a quo ipsa cognomen accipit, accurate inquirat si quis illos C imitatus apostolos se domi includens plerumque permanserit, per orationem, psalmodiam aliasque pares agendi rationes in pace Dominum desiderans. Hunc ille adeat, in cubiculum ejus intret, velut in cœlestem quamdam regionem intus habentem sanctificantem Spiritus virtutem ; cum inhabitante assideat, et simul demoretur quantum poterit, de Deo divinisque colloquatur, interrogans et cum humilitate discens, necnon per orationem implorans auxilium. Talem Christus certo invisibiliter inviset, intus pacem talia cogitanti largietur, fidei mercedem adjiciet, perseverantiam impertietur, et cum electis in tempore in regno cœlorum collocabit, quod nos omnes consequi donetur, in D eo qui pro nobis mortis victor resurrexit, et aliquando cum gloria veniet, in rege sæculorum Christo, quoniam ipsum decet gloria in sæcula sæculorum. Amen.

A πιστεύσοντες εἶπεν, ἀλλὰ πιστεύσαντες, ἀλλὰ τῇ θείᾳ καὶ προγνωστικῇ δυνάμει τοῦ πάντα πρὶν γενέσεως εἰδότος, ὡς γεγονότα ἐστὶ τὰ ἐσόμενα. Ὃ δέ μοι νῦν ἐπῆλθε τῇ διανοίᾳ, τοῦτο πρὸς τὴν ὑμετέραν ἀγάπην ἐρῶ. Τὸν γὰρ Θωμᾶν ὁρῶν ἀπόντα μὲν ἄπιστον γεγονότα, συνεληλυθότα δὲ τοῖς πιστεύσασι μηδαμῶς τῆς πίστεως ἀστοχήσαντα, ἐπὶ νοῦν ἐβαλόμην, ὅτι καὶ ὁ ἁμαρτωλὸς ἄνθρωπος, ἂν μόνον φύγοι τὴν μετὰ τῶν φαύλων ἀναστροφὴν, καὶ τοῖς δικαίοις συναναστρέφηται, τῆς δικαιοσύνης καὶ τῆς δι' αὐτὴν κατὰ ψυχὴν σωτηρίας οὐκ ἀστοχήσοι ποτέ. Καὶ τοῦτ' οἶμαι καὶ ὁ ψαλμῳδὸς Προφήτης αἰνίττεται, μακαρίζων τοὺς ἐκκλίνοντας τὴν τῶν λοιμῶν συνεδρίαν καὶ συνοδοιπορίαν. Καὶ ἕτερος προφήτης· « Μὴ ἴσθι, λέγων, μετὰ πολλῶν ἐπὶ κακίᾳ· » καὶ B ὁ Παροιμιαστής· « Ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ· ὁ δὲ συμπορευόμενος σοφοῖς σοφὸς ἔσται. »

Τοιγαροῦν, ἀδελφοὶ, συνερχώμεθα καὶ πυκνὰ παραβάλλωμεν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ· ταύτῃ γὰρ πᾶς ὡς ἀληθῶς εὐλαβὴς προσεδρεύει καὶ παραμένει μὴ ἀφιστάμενος· καὶ ὅταν ἕκαστος ὑμῶν εἰς αὐτὴν ἔλθῃ, σκοπείτω τοὺς εὐλαβεστέρους, δυνατὸν δὲ γνωρίσαι καὶ μόνῃ τῇ θέᾳ τούτους τῆς ἐν σιωπῇ καὶ προσοχῇ παραστάσεως. Σκοπείτω τοίνυν τοὺς εὐλαβεστέρους, καὶ μάλιστα τῶν ἄλλων φοβουμένους 103 τὸν Κύριον, καὶ τούτοις φέρων ἑαυτὸν προσκολλάτω, καὶ μετὰ τούτων συμπαριστάσθω Θεῷ· κἂν ἐντεῦθεν ἐξέλθῃ μετὰ τὴν ἀπόλυσιν, Κυριακῆς C οὔσης, σχολὴν ἄγων ἀπὸ τῶν γηΐνων ἔργων διὰ τὸν Κύριον, οὗ καὶ ἔστιν ἐπώνυμος αὕτη, ζητείτω μετ' ἐπιμελείας, εἴ πού τις τοὺς ἀποστόλους ἐκείνους μιμούμενος, κατάκλειστος ὡς τὰ πολλὰ διαμένει διὰ τῆς ἐν ἡσυχίᾳ προσευχῆς καὶ ψαλμῳδίας καὶ τῆς ἄλλης καταλλήλου διαίτης ποθῶν τὸν Κύριον. Ἐκείνῳ δὴ προσίτω καὶ οὗτος, καὶ εἰσίτω μετὰ πίστεως τὸν οἰκίσκον ἐκείνου, καθάπερ οὐράνιόν τινα χῶρον, ἔνδον ἔχοντα τὴν ἁγιαστικὴν τοῦ Πνεύματος δύναμιν· καὶ τῷ ἐνοικοῦντι παρακαθεζέσθω, καὶ συμπαραμενέτω καθόσον ἔχει, καὶ προσλαλείτω περὶ Θεοῦ καὶ τῶν θείων, ἐρωτῶν καὶ σὺν ταπεινώσει μανθάνων, καὶ τὴν δι' εὐχῆς ἐπικουρίαν ἐπικαλούμενος· ἐλεύσεται γὰρ οὕτω πράττοντα καὶ πρὸς αὐτὸν ἀοράτως, εὖ οἶδα, Χριστὸς, καὶ τὴν εἰρήνην D ἔνδον τῷ λογιζομένῳ τῆς ψυχῆς παρέξει, καὶ τῇ πίστει προσθήσει, καὶ τὸν στηριγμὸν ἐπιδώσει, καὶ μετὰ τῶν ἐκλεκτῶν κατατάξει κατὰ καιρὸν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ τῷ νῦν ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἀναστάντι, καὶ ὕστερον μετὰ δόξης ἐλευσομένῳ βασιλεῖ τῶν αἰώνων Χριστῷ· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XVIII.

*In Dominica Unguentiferarum, et quod prima Dominum ex mortuis redivivum vidit Deipara.*

Domini resurrectio naturæ humanæ est renovatio, necnon prioris Adam per peccatum morte absorpti et per mortem ad terram ex qua creatus est

## ΟΜΙΛΙΑ ΙΗ'.

*Τῇ Κυριακῇ τῶν Μυροφόρων· ἐν ᾗ καὶ ὅτι πρώτη τὸν Κύριον ἡ Θεοτόκος εἶδεν ἐκ νεκρῶν ἀναστάντα.*

Ἡ τοῦ Κυρίου ἀνάστασις τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἀνανέωσις, καὶ τοῦ πρώτου διὰ τὴν ἁμαρτίαν θανάτῳ καταποθέντος Ἀδὰμ, καὶ διὰ θανάτου πρὸς

[83] Psal. I, 1. [84] Eccli. XI, 9. [85] Eccli. XVI, 7.

Digitized by Google

γῆν ὅθεν ἐπλάσθη παλινδρομήσαντος, ἀναζώωσις καὶ ἀνάπλασις, καὶ πρὸς ζωὴν ἀθάνατον ἐπανέλευσις. Ὥσπερ οὖν ἐκεῖνον τὴν ἀρχὴν πλαττόμενον καὶ ζωούμενον εἶδεν οὐδεὶς ἀνθρώπων, οὔπω γὰρ ἐν ἐκείνῃ τῇ ὥρᾳ τῶν ἀνθρώπων τις ἦν, μετὰ δὲ τὸ λαβεῖν πνοὴν ζωῆς δι' ἐμφυσήματος θείου, πρώτη τῶν ἄλλων εἶδε γυνή· πρώτη γὰρ Εὔα μετ' ἐκεῖνον ἦν ἐν ἀνθρώποις· οὕτω καὶ τὸν δεύτερον Ἀδὰμ, ὅς ἐστιν ὁ Κύριος, ἀνιστάμενον ἐκ νεκρῶν εἶδεν οὐδεὶς ἀνθρώπων· παρῆν γὰρ οὐδεὶς τῶν οἰκείων, οἵ τε τὸ μνῆμα φυλάσσοντες στρατιῶται τῷ φόβῳ σεισθέντες ὡσεὶ νεκροὶ γεγόνασι· μετὰ δὲ τὸ ἀναστῆναι πρώτη τῶν ἄλλων εἶδε γυνή, καθάπερ ἠκούσαμεν εὐαγγελιζομένου τοῦ Μάρκου σήμερον· « Ἀναστὰς γὰρ, φησὶν, ὁ Ἰησοῦς πρωῒ πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ. » Δοκεῖ μὲν οὖν σαφῶς εἰπεῖν ὁ εὐαγγελιστὴς καὶ τὴν ὥραν καθ' ἣν ἀνέστη ὁ Κύριος, ὅτι πρωῒ, καὶ ὅτι πρῶτον ὤφθη Μαρίᾳ τῇ Μαγδαληνῇ, καὶ ὅτι κατ' αὐτὴν τὴν ὥραν ὤφθη τῆς ἀναστάσεως· οὐχ οὕτω δέ φησιν, ὡς δῆλον ἔσται μικρὸν ἐπιστήσασι· μικρὸν γὰρ ἀνωτέρω καὶ οὗτος τοῖς ἄλλοις εὐαγγελισταῖς ὁμολόγως ἐλθεῖν φησι τὴν Μαρίαν ταύτην **104** μετὰ καὶ τῶν ἄλλων Μυροφόρων ἐπὶ τὸν τάφον καὶ πρότερον, καὶ κενὸν αὐτὸν ἰδεῖν καὶ ἀπελθεῖν· ὥστε πολλῷ πρότερον τῆς πρωΐας, καθ' ἣν αὐτὸν εἶδεν, ἀνέστη ὁ Κύριος. Ἐπισημαινόμενος δὲ καὶ τὸν καιρὸν ἐκεῖνον, οὐχ ἁπλῶς εἶπε, πρωῒ, καθάπερ ἐνταῦθα, ἀλλὰ, λίαν πρωΐ· οὐκοῦν καὶ ἀνατολὴν ἡλίου ἐκεῖ τὴν ἐπὶ τοῦ ὁρίζοντός φησι προτρέχουσαν ἀμυδρὰν φαῦσιν, ἣν καὶ ὁ Ἰωάννης δηλῶν, ἐλθεῖν φησι τὴν Μαγδαληνὴν Μαρίαν πρωῒ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον καὶ ἰδεῖν τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

Οὐκ ἦλθε δὲ τότε πρὸς τὸ μνῆμα μόνον αὕτη, κατὰ τὸν Ἰωάννην, ἀλλὰ καὶ ἀπῆλθε τοῦ μνήματος, μήπω τὸν Κύριον ἰδοῦσα· τρέχει γὰρ καὶ ἔρχεται πρὸς τὸν Πέτρον καὶ Ἰωάννην, καὶ ἀπαγγέλλει οὐχ ὅτι ἀνέστη ὁ Κύριος, ἀλλ' ὅτι ἤρθη ἀπὸ τοῦ τάφου, ὥστε τὴν ἀνάστασιν οὔπω ᾔδει· λείπεται δὴ τῇ Μαρίᾳ οὐχ ἁπλῶς πρώτῃ τὸν Κύριον ἐπιφανῆναι, ἀλλὰ μετὰ τὴν ἀκραιφνῆ τῆς ἡμέρας ὥραν. Ἔστι δῆτα συνεσκιασμένως παρὰ τῶν εὐαγγελιστῶν ἀπαγγελλόμενον, ὅπερ ἀνακαλύψω πρὸς τὴν ὑμετέραν ἀγάπην. Τὸ γὰρ τῆς τοῦ Κυρίου ἀναστάσεως εὐαγγέλιον πρώτη πάντων ἀνθρώπων, καθάπερ καὶ προσῆκον ὑπῆρχε καὶ δίκαιον, ἡ Θεοτόκος παρὰ τοῦ Κυρίου ἐδέξατο, καὶ αὕτη τοῦτον ἀναστάντα πρὸ πάντων εἶδε, καὶ τῆς αὐτοῦ θείας ὁμιλίας ἀπήλαυσε, καὶ οὐκ εἶδεν ὀφθαλμοῖς μόνον αὐτὸν, καὶ αὐτήκοος αὐτοῦ γέγονεν, ἀλλὰ καὶ χερσὶν ἥψατο πρώτη καὶ μόνη τῶν ἀχράντων ἐκείνου ποδῶν, κἂν οἱ εὐαγγελισταὶ ταῦτα πάντα φανερῶς οὐ λέγωσι, μὴ θέλοντες τὴν μητέρα προφέρειν εἰς μαρτυρίαν, ἵνα μὴ τοῖς ἀπίστοις ὑποψίας ἀφορμὴν δῶσιν. Ἐπεὶ δὲ νῦν ἡμῖν χάριτι τοῦ ἀναστάντος πρὸς πιστοὺς ὁ λόγος, καὶ ἡ τῆς ἑορτῆς ὑπόθεσις τὰ τῶν Μυροφόρων ἐπείγει

A propetantis nova animatio et reparatio, atque ad vitam immortalem revocatio. Igitur quemadmodum hunc in principio creatum et animatum nullus hominum vidit; nondum enim in illa hora hominum unus erat; sed postquam spiritum vitæ per divinam insufflationem accepisset, prior ante omnes vidit mulier; prima enim post illum Eva natura humana donata fuit; ita et secundum Adam, qui Dominus est, a mortuis resurgentem nullus hominum vidit; nam nemo ex discipulis aderat; milites autem monumentum custodientes metu perterriti facti sunt velut mortui; sed postquam resurrexisset, prima ex omnibus vidit mulier, quemadmodum audivimus Marcum hodie annuntiantem: «Surgens, inquit, mane una Sabbati, apparuit primo Mariæ B Magdalenæ [36]. » Videtur quidem evangelista recte indicare et horam qua Dominus surrexit, id est mane, et quoniam primo Mariæ Magdalenæ apparuit, necnon quod in ipsa Resurrectionis hora visus est; sed ita non est, sicut paululum attendentibus clare constabit. Nam paulo superius ipse aliis evangelistis consentiens prius venisse dixit Mariam cum aliis unguenta ferentibus ad monumentum, quo vacuo invento, abiit, unde valde ante matutinum tempus quo illum vidit surrexerat Dominus. Ideo ad hoc tempus indicandum, non simpliciter mane dixit, ut supra, sed valde mane, quibus verbis nequaquam solis ortum sed prævium lucis obscuræ crepusculum, quod assignans Joannes venisse dixit Mariam Magdalenam mane, dum adhuc tenebræ essent, ad C monumentum, et vidisse lapidem sublatum a monumento [37].

Sed non tantum ipsa ad monumentum venit, secundum Joannem, verum etiam á monumento, cum Dominum non vidisset, recessit; venit et currit ad Petrum et Joannem nuntiatque minime Dominum surrexisse, sed a monumento sublatum esse, unde adhuc resurrectionem nesciebat. Superest ergo Dominum Mariæ non prima diei hora, sed postquam una fuerit elapsa, apparuisse. Verum ab evangelistis obscure annuntiatum est quod vestræ charitati revelabo. Felicem enim Dominicæ resurrectionis nuntium, prior ante omnes homines, sicut decens D erat et justum, Deipara a Domino accepit, ipsa illum redivivum pro omnibus vidit, ipsa divino ejus gavisa est colloquio, nec oculis solum conspexit, et auribus eum audivit, sed et prima solaque manibus tetigit sanctos ejus pedes, etsi evangelistæ hæc omnia non aperte indicent, quia nolebant Mariam in testimonium proferre, ne infidelibus suspicionis occasionem darent. Nunc vero cum gratia ejus qui resurrexit ad fideles nobis sit sermo et festivitas nos ad judicanda unguenta ferentium acta inducat, inspirante eo qui dixit: «Nihil occultum quod non revelabitur », hoc ipsum patefaciemus.

[36] Marc. xvi, 9. [37] Joan. xx, 1.

διευκρινεῖν, λόγον διδόντος τοῦ εἰπόντος· « Οὐδὲν κρυπτὸν ὃ οὐ φανερὸν γενήσεται, » καὶ τοῦτο φανερωθήσεται.

Igitur unguenta ferentes sunt quæ Jesu Matrem comitatæ, et tempore salutiferæ passionis perseverantes ad condiendum corpus properabant. Nam cum Joseph et Nicodemus petivissent et accepissent a Pilato corpus Dominicum, quo sindone cum viscosis aromatibus involuto postquam e cruce abstulissent, et lapideo monumento imposuissent, magnum lapidem posuerunt ad ostium monumenti, aderant conspicientes, secundum evangelistam Marcum, Maria Magdalene et altera Maria sedentes contra sepulcrum. Dicendo: et altera Maria, Deiparam prorsus indicavit; ipsa etiam Jacobi et Joseph mater vocabatur, quia ex ejus conjuge Joseph erant orti. Verum non illæ tantum conspicientes aderant, sepulto Domino, sed et aliæ mulieres, sicut Lucas narravit scribens: « Subsecutæ autem mulieres quæ cum eo venerant de Galilæa, viderunt monumentum et quemadmodum positum erat corpus ejus; erant autem Maria Magdalene, et Joanna, et Maria Jacobi et cæteræ cum eis [58]. » Quæ, ait, revertentes emerunt aromata et unguenta; nondum enim plene noverant ipsum esse verum vitæ odorem iis qui ad eum fide accedunt, sicut est odor mortis iis qui in infidelitate usque ad finem permanent; et odorem vestimentorum ejus, id est corporis, super omnia aromata, et unguentum effusum nomen ejus, quo divino odore terram replevit; sed parant unguenta et aromata, illa quidem in honorem jacentis, hæc vero ad corrigendum fœtorem e corpore putrescente erumpentem, quorum unctione fines suos obtinere putabant.

A Μυροφόροι τοίνυν εἰσὶν αἱ συνακολουθοῦσαι μετὰ τῆς τοῦ Κυρίου Μητρὸς, καὶ τῷ καιρῷ τοῦ σωτηρίου πάθους συμπαραμείνασαι, καὶ τὸ τοῦ Κυρίου σῶμα μυρίσαι σπουδάσασαι. Τοῦ γὰρ Ἰωσὴφ καὶ τοῦ Νικοδήμου αἰτησάντων καὶ λαβόντων παρὰ τοῦ Πιλάτου τὸ δεσποτικὸν σῶμα, καὶ καθελόντων ἀπὸ τοῦ σταυροῦ, καὶ περισχόντων σινδόσι σὺν ἀρώμασι κολλωδεστάτοις, καὶ λαξευτῷ μνημείῳ ἐνθέντων, καὶ λίθον ἐπιθέντων μέγαν ἐπὶ τῇ θύρᾳ τοῦ μνημείου, θεωροῦσαι κατὰ τὸν εὐαγγελιστὴν Μάρκον παρῆσαν Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου. Διὰ τοῦ εἰπεῖν, Καὶ ἡ ἄλλη Μαρία, τὴν Θεομήτορα πάντως ὑποφαίνων. Καὶ Ἰακώβου γὰρ καὶ Ἰωσῆ αὕτη ἐκαλεῖτο μήτηρ, ὡς ἐξ Ἰωσὴφ τοῦ Μνήστορος ἐκείνων ὄντων. Οὐ μόναι δὲ B αὗται θεωροῦσαι παρῆσαν, ἐνταφιαζομένου τοῦ Κυρίου, ἀλλὰ καὶ ἕτεραι γυναῖκες, ὡς ὁ Λουκᾶς ἱστόρησε γράφων· « Κατακολουθήσασαι δὲ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ· ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς. » Ὑποστρέψασαι δὲ, φησὶν, ἠγόρασαν ἀρώματα καὶ μύρα· οὔπω γὰρ ἔγνωσαν ἀκριβῶς, ὅτι αὐτός ἐστιν ἀληθῶς ἡ ὀσμὴ τῆς ζωῆς, τοῖς αὐτῷ προσιοῦσι πιστῶς, ὥσπερ ὀσμὴ θανάτου τοῖς ἀπειθοῦσιν εἰς τέλος· καὶ ὀσμὴ ἱματίων αὐτοῦ, τουτέστιν αὐτοῦ τοῦ σώματος, ὑπὲρ πάντα τὰ ἀρώματα· καὶ μύρον ἐκκενωθὲν ὄνομα αὐτῷ, δι' οὗ καὶ τὴν οἰκουμένην θείας εὐωδίας C ἐνέπλησεν, ἀλλ' ἑτοιμάζουσι μύρα τε καὶ ἀρώματα, τοῦτο μὲν εἰς τιμὴν τοῦ κειμένου, τοῦτο δὲ **105** καὶ παραμυθίαν πρὸς δυσωδίαν μυδῶντος τοῦ σώματος, διὰ τῆς ἀλοιφῆς τούτων τοῖς βουλομένοις προσεδρεύειν ἐπινοοῦσαι.

Paratis ergo aromatibus et unguentis, Sabbato quidem quieverunt secundum mandatum; nondum enim vera advenerant sabbata, nec illud in primis benedictum noverant sabbatum quo natura nostra ex inferni abyssis ad præfulgens et divinum et cœleste culmen translata fuit. « Una autem Sabbati valde diluculo, sicut ait Lucas, venerunt ad monumentum portantes quæ paraverunt aromata [59]. » Matthæus vero: « Vespere, inquit, Sabbati quæ lucescit in prima Sabbati [60], » duasque ponit prægredientes. At Marcus: « Valde mane una sabbatorum [61], » tresque dicit venientes. Joannes tandem: « Mane cum adhuc tenebræ essent [62] » et solam refert accedentem Mariam Magdalenam. Unam Sabbatorum evangelistæ omnes Dominicam dixerunt; verba autem, vespere autem Sabbati, valde diluculo, valde mane, dum adhuc tenebræ essent, tempus circa diluculum luce simul et tenebris commistum indicant, scilicet quo aurora cœlo fulgescere cœpit diem prænuntians. Forsan aliqui, ut illud expressius statuant horam noctis circiter nonam cogitabunt, ita ut tres integræ ante diem remaneant horæ. Videntur

Ἑτοιμάσασαι τοίνυν τὰ μύρα καὶ τὰ ἀρώματα, τὸ μὲν Σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν· οὔπω γὰρ ἀληθινὰ Σάββατα συνῆκαν, οὐδ' ἐκεῖνο τὸ ὑπερευλογημένον Σάββατον ἐπέγνωσαν, τὸ μετάγον ἡμῶν τὴν φύσιν ἀπὸ τῶν τοῦ ᾅδου κευθμώνων ἐπὶ τὸ παμφαὲς καὶ θεῖον καὶ οὐράνιον ὕψος· « Τῇ δὲ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ὡς ὁ Λουκᾶς φησιν, ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα. » Ὁ δὲ Ματθαῖος, « Ὀψὲ Σαββάτων, φησὶ, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων· » καὶ δύο εἶναι τὰς προσελθούσας. Ὁ δὲ Ἰωάννης· « Πρωΐ σκοτίας ἔτι οὔσης· » καὶ μίαν εἶναι τὴν Μαγδαληνὴν Μαρίαν D τὴν προσελθοῦσαν. Ὁ δὲ Μάρκος· « Λίαν πρωῒ τῆς μιᾶς Σαββάτων· » καὶ τρεῖς εἶναι τὰς προσελθούσας. Μίαν μὲν οὖν Σαββάτων οἱ εὐαγγελισταὶ πάντες τὴν Κυριακήν φασιν· ὀψὲ δὲ Σαββάτων, καὶ ὄρθρον βαθὺν, καὶ πρωῒ λίαν, καὶ πρωῒ σκοτίας ἔτι οὔσης, τὸν περὶ τὸν ὄρθρον σύμμικτον φωτός τε καὶ σκότους χρόνον· οὗτος δέ ἐστιν ἀφοῦ τὸ τοῦ ὁρίζοντος ἑῷον αὐγάζεσθαι ἄρξεται, τὴν ἡμέραν προκαταγγέλλων. Ἴδοι δ' ἄν τις ἐξ ἀπόπτου πρὸς τοῦτο βλέπων, ἀρχόμενον μεταχρώννυσθαι φωτὶ περί που τὴν ἐννάτην

[58] Luc. XXIII, 55 et XXIV, 10. [59] Luc. XXIV, 1. [60] Matth. XXVIII, 1. [61] Marc. XVI, 1. [62] Joan. XX, 1.

Digitized by Google

τῆς νυκτὸς ὥραν, ὡς εἶναι τὰς ὑπολοίπους μέχρις ἡμέρας ἀκραιφνοῦς ὥρας τρεῖς. Δοκοῦσι δέ πως οἱ εὐαγγελισταὶ διαφωνεῖν ἐπί τε τοῦ καιροῦ τούτου, καὶ τοῦ τῶν γυναικῶν ἀριθμοῦ· ἐπειδήπερ, ὡς ἔφην, αἱ Μυροφόροι πολλαί τε ἦσαν, καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἦλθον ἐπὶ τὸν τάφον, σὺν ἀλλήλαις μὲν, οὐχὶ ταῖς αὐταῖς δὲ, καὶ κατὰ τὸν ὄρθρον μὲν πᾶσαι, οὐ τὸν αὐτὸν δὲ χρόνον ἐπ' ἀκριβείας· ἡ δὲ Μαγδαληνὴ καὶ μονωθεῖσα τῶν ἄλλων πάλιν ἦλθε καὶ παρέμεινεν ἐπὶ πλέον. Ἕκαστος οὖν τῶν εὐαγγελιστῶν, μίαν ἔστιν ὧν προσέλευσιν εἰπὼν, τὰς ἄλλας παρῆκεν· ὡς δὲ ἐγὼ συμβάλλω τε καὶ συνάγω παρὰ τῶν εὐαγγελιστῶν ἁπάντων, καθὰ καὶ τοῦτο προεῖπον, πρώτη πάντων ἡ Θεοτόκος ἦλθεν ἐπὶ τὸν τοῦ Υἱοῦ καὶ Θεοῦ τάφον, τὴν Μαγδαληνὴν Μαρίαν ἐπειγομένη. Καὶ τοῦτο μάλιστα διδάσκομαι παρὰ τοῦ εὐαγγελιστοῦ Ματθαίου· «Ἦλθε γὰρ, φησὶν, ἡ Μαγδαληνὴ Μαρία, καὶ ἡ ἄλλη Μαρία, ἥτις ἦν πάντως ἡ Θεομήτωρ, θεωρῆσαι τὸν τάφον· καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ ἐκάθητο ἐπάνω αὐτοῦ· ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες, καὶ ἐγένοντο ὡσεὶ νεκροί.»

Πᾶσαι οὖν αἱ ἄλλαι γυναῖκες μετὰ τὸν σεισμὸν ἦλθον, καὶ τῶν φυλάκων τὴν φυγὴν, καὶ τὸν τάφον ἀνεῳγμένον εὗρον, καὶ τὸν λίθον ἀποκεκυλισμένον· ἡ δὲ Παρθενομήτωρ παρῆν τοῦ σεισμοῦ γινομένου, καὶ ἀποκεκυλισμένου τοῦ λίθου, καὶ τοῦ τάφου ἀνοιγομένου, καὶ τῶν τηρούντων παρόντων, εἰ καὶ κατασεσεισμένων τῷ φόβῳ· διὸ καὶ μετὰ τὸν σεισμὸν ἀνασφήλαντες πρὸς φυγὴν εὐθὺς ἔβλεψαν· ἡ δὲ Θεομήτωρ ἀδεέστερον ἐνετρύφα τῇ θέᾳ. Ἐμοὶ δὲ δοκεῖ καὶ δι' αὐτὴν πρώτην τὸν ζωηφόρον ἐκεῖνον ἀνοιγῆναι τάφον· δι' αὐτὴν γὰρ πρώτην καὶ δι' αὐτῆς πάντα ἡμῖν ἀνέῳκται, ὅσα ἐπὶ τοῦ οὐρανοῦ ἄνω, καὶ ὅσα ἐπὶ τῆς γῆς κάτω, καὶ δι' αὐτὴν τὸν ἄγγελον οὕτως ἀστράπτειν, ὡς καὶ τῆς ὥρας ἔτι σκότει κατεχομένης, ὑπὸ δαψιλεῖ ταύτην τῷ τοῦ ἀγγέλου φωτὶ, μὴ τὸν τάφον ἰδεῖν κενὸν μόνον, ἀλλὰ καὶ τὰ ἐντάφια κατὰ κόσμον τε κείμενα, καὶ πολυειδῶς μαρτυροῦντα τῷ ἐνταφιασθέντι τὴν ἔγερσιν. Ἦν δὲ ἄρα καὶ ὁ εὐαγγελιστὴς ἄγγελος αὐτὸς ἐκεῖνος ὁ Γαβριήλ· ὡς γὰρ εἶδε ταύτην οὗτος ἐπειγομένην ἐπὶ τὸν τάφον, ὁ τὴν ἀρχὴν πρὸς αὐτὴν εἰπὼν, Μὴ
106 φοβοῦ, Μαριάμ [65]· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ, σπεύδει καὶ νῦν καὶ καταβαίνει τὸ αὐτὸ πάλιν τῇ Ἀειπαρθένῳ προσφθέγξασθαι, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ ἐξ αὐτῆς γεννηθέντος ἀσπόρως εὐαγγελίσασθαι, καὶ τὸν λίθον ἆραι, καὶ ὑποδεῖξαι κενὸν τόν τε τάφον καὶ τὰ ἐντάφια, καὶ οὕτω πιστώσασθαι ταύτῃ τὸ Εὐαγγέλιον. «Ἀποκριθεὶς γὰρ, φησὶν ὁ ἄγγελος εἶπε ταῖς γυναιξί· Μὴ φοβεῖσθε ὑμεῖς, Ἰησοῦν ζητεῖτε τὸν ἐσταυρωμένον; Ἠγέρθη· ἴδε ὁ τόπος ὅπου ἔκειτο ὁ Κύριος [66].» εἰ γὰρ καὶ τοὺς φύλακας, φησὶν, ὁρᾶτε κατασεισθέντας τῷ φόβῳ, ἀλλ' ὑμεῖς μὴ φοβεῖσθε· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν

A autem evangelistæ non tantum de hora, sed de numero mulierum discrepare; sed haud difficile conciliantur, cum, ut dixi, mulieres unguenta ferentes plures essent, et non semel modo, sed bis et ter ad sepulcrum venirent, nonnullæ quidem simul, sed nequaquam cum iisdem, omnes circa diluculum, at non omnes in eodem temporis articulo. Magdalena autem sola rursus sine aliis venit, et diutius permansit. Igitur singuli evangelistæ unum earum iter referunt, omissis aliis. Sed ut ego ex omnibus evangelistis colligo et conjicio, quemadmodum supra jam dixi, prima ex omnibus ad sepulcrum Filii Deique simul venit Deipara cum Maria Magdalene. Quod præsertim didici ex evangelista Matthæo dicente: «Venit Maria Magdalena et altera Maria (quæ certo B est Deipara) videre sepulcrum. Et ecce terræ motus factus est magnus; angelus enim Domini descendit de cœlo, et accedens revolvit lapidem ab ostio monumenti, et sedebat super eum. Erat autem aspectus ejus sicut fulgur, vestimenta ejus alba sicut nix; præ timore autem ejus exterriti sunt custodes, et facti sunt velut mortui.»

Cæteræ ergo mulieres post terræ motum venerunt, cum jam aufugissent custodes, sepulcrumque invenerunt apertum, et lapidem revolutum; sed Virgo Mater aderat dum fiebat terræ motus, lapis revolvebatur, aperiebatur sepulcrum, dumque ade- C rant custodes, licet metu perterriti, ideo, remisso ex pavore animo post terræ motum statim fugam spectarunt; audacius autem Deipara spectaculo lætabatur. Mihi videtur propter illam primam vivificum illud sepulcrum patuisse; nam propter eam et per eam omnia tam in cœlis supra quam in terris infra nobis aperta sunt; propter eam puto angelum ita effulsisse, ut, dum hora adhuc tenebris involveretur, ex copioso angeli splendore, non tantum sepulcrum viderit vacuum, sed etiam linteamina in ordine posita et multimode resurrectionem sepulti testantia. Benedictus ille nuntius Gabriel erat angelus; ut enim viderit eam ad sepulcrum properantem, qui a principio ad eam dixit: «Ne timeas, Maria; invenisti enim gratiam apud Dominum [65],» festinans descendit ut D eadem rursus semper Virgini referret, et resurrexisse eum qui ex ea sine semine natus erat nuntiaret, et sublato lapide, vacuum sepulcrum cum linteaminibus ostenderet, sicque bonum ei nuntium firmaret. «Respondens enim angelus dixit mulieribus: Nolite timere; Jesum quæritis crucifixum? Surrexit, non est hic: ecce locus ubi positus erat Dominus [66].» Nam etsi custodes videatis metu perterritos, vos tamen nolite timere; scio enim quod Jesum crucifixum quæritis; surrexit, non est hic. Is enim non solum inferni foribus, pessulis et sigillis detineri non potuit, sed et nobis immortalibus et cœlestibus angelis vivit Dominus ipseque

[65] Luc. I, 30. [66] Matth. XXVIII, 5, 6.

Digitized by Google

solus est omnium Dominus. Ait enim: « Videte locum ubi positus erat Dominus; et cito euntes dicite discipulis quia surrexit a mortuis. Et exierunt, inquit, cum timore et gaudio magno [65]. »

A ἐσταυρωμένον ζητεῖτε· ἠγέρθη, οὐκ ἔστιν ὧδε. Οὗτος γὰρ οὐ μόνον ᾅδου καὶ θανάτου καὶ τάφου κλείθροις καὶ μοχλοῖς καὶ σφραγῖσίν ἐστιν ἀκάθεκτος, ἀλλὰ καὶ τῶν ἀθανάτων ἡμῶν καὶ οὐρανίων ἀγγέλων ὑπάρχει Κύριος, καὶ μόνος οὗτός ἐστιν ὁ τοῦ παντὸς Κύριος· « Ἴδετε γάρ, φησί, τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος· καὶ ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν. » « Ἐξελθοῦσαι δέ, φησι, μετὰ φόβου καὶ χαρᾶς μεγάλης. »

Iterum mihi videtur Magdalena Maria timorem concepisse necnon cæteræ cum ea mulieres; non enim intellexerunt dictorum ab angelo sensum neque lucem accipere perfecte poterant ut penitus viderent et intelligerent; Deiparam vero magna credo exsultavisse lætitia; nam verba angeli intellexit et tota luminis facta utpote purissima divinisque plena gratiis, in omnibus plene veritatem apprehendit, et credidit archangelo qui et multa fide dignus ex operibus apparuerat. Et vero quomodo quum ipsa portentis adesset, non intellexisset Virgo divinæ sedes sapientiæ quod perfectum fuerat, quæ viderat terræ motum et, magnum dein angelum a cœlo descendentem, cui aspectus sicut fulgur, custodes factos velut mortuos, lapidem revolutum, linteaminum inter se myrra et aloe agglutinatorum corpore vacuorum ingens miraculum, sepulcrum inane, et insuper lætum angeli aspectum et nuntium? Sed egressa post hunc nuntium Maria quidem Magdalene, quasi angelum non audivisset qui cæterum non propter eam locutus fuerat, ad spatium sepulcri vacuum accessit, neglectis linteaminibus, et currit ad Simonem et ad alium discipulum, sicut dixit Joannes. Virgo autem Deipara aliis conjuncta mulieribus eodem unde venerat redibat; et ecce, quemadmodum inquit Matthæus: « Jesus occurrit illis dicens: Avete [66]. »

Ἐμοὶ δοκεῖ πάλιν τὸν μὲν φόβον ἔτι τὴν Μαγδαληνὴν Μαρίαν ἔχειν, καὶ τὰς μέχρι τότε συνελθούσας τῶν ἄλλων γυναικῶν· οὐ γὰρ συνῆκαν τῶν εἰρημένων παρὰ τοῦ ἀγγέλου τὴν δύναμιν, οὐδὲ τοῦ φωτὸς ἀντιλαβέσθαι τελέως ἴσχυσαν, ὡς ἰδεῖν καὶ καταμαθεῖν ἀκριβῶς· τὴν δὲ Θεομήτορα τὴν μεγάλην κτήσασθαι χαράν, τὰ παρὰ τοῦ ἀγγέλου συνεῖσαν, καὶ τοῦ φωτὸς γενομένην ὅλην, ὡς κεκαθαρμένην B ἄκρως, καὶ κεχαριτωμένην θείως, καὶ διὰ πάντων βεβαίως τὸ ἀληθὲς καὶ γνωρίσασαν, καὶ τῷ ἀρχαγγέλῳ πιστεύσασαν, ἐπεὶ καὶ πιστὸς οὗτος ἐκ πολλοῦ ταύτῃ διὰ τῶν ἔργων ἐφάνη. Πῶς δὲ καὶ παρὰ τῶν γενομένων αὐτῆς παρούσης, οὐκ ἂν συνῆκεν ἡ θεόσοφος Παρθένος τὸ τελεσθέν, σεισμὸν ἰδοῦσα, καὶ τοῦτον μέγαν, ἄγγελον κατερχόμενον οὐρανόθεν, καὶ τοῦτον ἀστραπηφόρον, τήν τε τῶν τηρούντων νέκρωσιν, καὶ τοῦ λίθου τὴν μετάθεσιν, καὶ τοῦ τάφου τὴν κένωσιν, καὶ τῶν ἐνταφίων τὸ μέγα θαῦμα, ἀδιαλύτων ἅμα, καὶ σμύρνῃ καὶ ἀλόῃ συνεχομένων, καὶ κενῶν ὁρωμένων τοῦ σώματος, καὶ πρὸς τούτοις τὴν πρὸς αὐτὴν παρὰ τοῦ ἀγγέλου χαρμόσυνον θέαν καὶ ἀγγελίαν; Ἀλλ' ἐξελθοῦσαι C μετὰ τὸν εὐαγγελισμὸν τοῦτον, ἡ μὲν Μαγδαληνὴ Μαρία, ὡς ἂν εἰ μηδὲ ἤκουσε τοῦ ἀγγέλου, μηδ' ἐκείνου δήπου δι' αὐτὴν φθεγξαμένου, τὴν τοῦ τάφου κένωσιν ἐξακριβοῦται μόνην, τῶν ἐνταφίων μηδένα λόγον ποιησαμένη· καὶ τρέχει πρὸς Σίμωνα Πέτρον καὶ τὸν ἄλλον μαθητήν, ὡς ὁ Ἰωάννης φησίν. Ἡ δὲ Θεομήτωρ Παρθένος ἑτέραις γυναιξὶ συναφθεῖσα ὅθεν ἦλθεν, ἐπανήρχετο πάλιν· καὶ ἰδού, καθάπερ ὁ Ματθαῖός φησιν· « Ὁ Ἰησοῦς ὑπήντησεν αὐταῖς λέγων, Χαίρετε. »

Videtis Deiparam ante Mariam Magdalenam eum qui propter salutem nostram carne passus et sepultus resurrexit conspexisse? « Illæ autem, inquit, accesserunt et amplexæ pedes ejus, adoraverunt eum. » Quemadmodum resurrectionis nuntium, postquam ab angelo cum Maria Magdalena audivisset sola dictorum sensum intellexit Deipara, ita cum cæteris mulieribus obvia Filio simulque Deo, prima ex omnibus cæteris et vidit et agnovit redivivum, et procidens pedes ejus tetigit, et nuntia ipsa facta est ad apostolos. Quod autem Maria Magdalene nequaquam erat cum Dei matre, quando a sepulcro regressæ occurrens apparuit et locutus est Dominus, discimus a Joanne dicente: « Cucurrit ad Simonem Petrum et ad alium discipulum quem amabat Jesus, et dicit illis: Tulerunt Dominum de monumento, et nescimus ubi posuerunt eum [67]. » Nam si vidisset et manibus tetigisset et occurrentem audivisset, quo pacto diceret, Tulerunt eum et hinc portaverunt, quo autem nescimus? Sed postquam Petrus et

Ὁρᾶτε ὅτι καὶ πρὸ τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεομήτωρ εἶδε τὸν διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὶ καὶ παθόντα καὶ ταφέντα καὶ ἀναστάντα; « Αἱ δὲ προσελθοῦσαι, φησίν, ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύνησαν αὐτῷ. » Καθάπερ δὲ τὸ εὐαγγέλιον τῆς ἀναστάσεως μετὰ τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεοτόκος παρὰ τοῦ ἀγγέλου ἀκούσασα D μόνη συνῆκε τῶν εἰρημένων τὴν δύναμιν, οὕτω καὶ μετὰ τῶν ἄλλων γυναικῶν, ὑπαντήσασα τῷ Υἱῷ καὶ Θεῷ, πρώτη τῶν ἄλλων ἁπασῶν καὶ εἶδε καὶ ἐπέγνω τὸν ἀναστάντα, καὶ προσπεσοῦσα τῶν αὐτοῦ ἥψατο ποδῶν, καὶ ἀπόστολος αὐτοῦ πρὸς τοὺς ἀποστόλους ἐγένετο. Ὅτι δὲ ἡ Μαγδαληνὴ Μαρία οὐ συνῆν τῇ τοῦ Θεοῦ Μητρί, ἡνίκα παρὰ τοῦ τάφου ἐπανιούσῃ ὑπήντησε καὶ ἐπεφάνη καὶ προσελάλησεν αὐτῇ ὁ Κύριος, διδασκόμεθα παρὰ τοῦ Ἰωάννου· « Τρέχει γάρ, φησίν, αὕτη πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητήν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς, Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ **107** οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. » Πῶς

[65] Matth. xxviii, 6-8. [66] ibid. 9. [67] Joan. xx, 2.

Digitized by Google

γὰρ ἂν εἴπερ εἶδε, καὶ χερσὶν ἥψατο, καὶ συντυγχάνοντος ἤκουσε, τοιαῦτα ἔλεγεν, ὅτι Ἦραν καὶ μετέθηκαν, ὅπου δὲ, οὐκ οἴδαμεν; Ἀλλὰ μετὰ τὸν Πέτρου καὶ Ἰωάννου δρόμον ἐπὶ τὸν τάφον, καὶ τὴν ἐκεῖ θέαν τῶν ὀθονίων καὶ τὴν ἐπάνοδον, Μαρία εἱστήκει, φησὶ, πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω.

Ὁρᾶτε ὡς μὴ μόνον οὔπω εἶδεν, ἀλλ' οὐδὲ δι' ἀκοῆς ἐπληροφορήθη; καὶ τῶν ἐπιφαινομένων δὲ ταύτην ἐρωτησάντων ἀγγέλων, Γύναι, τί κλαίεις; ἐκείνη πάλιν ὡς περὶ νεκροῦ ἀποκρίνεται· ὡς δὲ στραφεῖσα τὸν Ἰησοῦν εἶδεν, οὐδὲ πάλιν συνῆκεν, ἀλλ' ἐρωτωμένη καὶ παρ' αὐτοῦ, τί κλαίει, τὰ παραπλήσια φθέγγεται, ἕως οὗ ἐξ ὀνόματος ἐκεῖνος αὐτὴν καλέσας, ἑαυτὸν παρέστησεν ὄντα. Τότε δὴ προσπεσοῦσα καὶ αὐτὴ, καὶ ζητοῦσα τὸν ἀσπασμὸν τοῖς ἐκείνου ποσὶ προσενεγκεῖν, ἤκουσε παρ' αὐτοῦ, Μή μου ἅπτου· παρ' οὗ μανθάνομεν, ὡς ἡνίκα
B πρότερον ὤφθη τῇ τε Μητρὶ καὶ ταῖς συνούσαις αὐτῇ γυναιξὶν, αὐτῇ μόνῃ καὶ τῶν ποδῶν ἅψασθαι παρέσχεν, εἰ καὶ ὁ Ματθαῖος κοινοποιεῖται καὶ ταῖς ἄλλαις γυναιξὶ τοῦτο, μὴ θέλων δι' ἣν τὴν ἀρχὴν ἔφημεν αἰτίαν, φανερῶς τὴν Μητέρα προάγειν ἐπὶ τῶν τοιούτων. Ἐπεὶ δὲ μετὰ τὸ πρώτην ἐλθεῖν ἐπὶ τὸν τάφον τὴν ἀειπάρθενον Μαρίαν, καὶ πρώτην τὸ εὐαγγέλιον τῆς ἀναστάσεως δέξασθαι πολλαὶ συνῆλθον, καὶ τὸν λίθον εἶδον ἀποκεκυλισμένον κἀκεῖναι, καὶ τῶν ἀγγέλων ἤκουσαν, ἐπανιοῦσαι μετὰ τὴν τοιαύτην ἀκοὴν καὶ θέαν ἐμερίσθησαν. Καὶ αἱ μὲν, καθάπερ ὁ Μάρκος φησὶ, « Ἔφυγον ἀπὸ τοῦ μνημείου, καὶ εἶχεν αὐτὰς φόβος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον, ἐφοβοῦντο γάρ· » αἱ δὲ τῇ τοῦ
C Κυρίου εἵποντο Μητρὶ, αἳ καὶ τῆς τοῦ Δεσπότου θέας καὶ ὁμιλίας ἐπέτυχον. Ἡ δὲ Μαγδαληνὴ πρὸς Πέτρον καὶ Ἰωάννην ἄπεισι, μεθ' ὧν καὶ πρὸς τὸν τάφον πάλιν ἔρχεται μόνη· κἀκείνων ἀναχωρησάντων, αὐτὴ παραμείνασα τῆς Δεσποτικῆς ἀξιοῦται καὶ αὐτὴ θέας, καὶ πρὸς τοὺς ἀποστόλους καὶ αὐτὴ πέμπεται, καὶ πρὸς αὐτοὺς ἔρχεται πάλιν, ἀπαγγέλλουσα πᾶσιν, ὡς Ἰωάννης φησὶν, « Ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. »

Ταύτην οὖν τὴν θέαν πρωῒ φησι καὶ ὁ Μάρκος γενέσθαι, τουτέστι κατὰ τὴν ἀκραιφνῆ τῆς ἡμέρας ἀρχὴν, τοῦ ὄρθρου παρελθόντος παντὸς, ἀλλ' οὐχὶ τὴν τοῦ Κυρίου ἀνάστασιν, οὐδὲ τὴν πρώτην αὐτοῦ ἐπιφάνειαν τότε γενέσθαι ἰσχυριζόμενος. Ἔχομεν
D δὴ τὰ τῶν Μυροφόρων ἠκριβωμένα, καὶ τὴν ἄνωθεν ζητουμένην ἐπὶ ταύταις τῶν τεσσάρων εὐαγγελιστῶν συμφωνίαν. Οἱ δὲ μαθηταὶ κατ' αὐτὴν τὴν ἡμέραν τῆς ἀναστάσεως παρά τε τῶν Μυροφόρων ἀκούσαντες καὶ τοῦ Πέτρου, καὶ παρὰ Λουκᾶ καὶ Κλεόπα, ὅτι ὁ Κύριος ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῶν, ἠπίστησαν· διὸ καὶ ὀνειδίζονται παρ' αὐτοῦ, ὕστερον συνοῦσιν ἐπιφανέντος αὐτοῖς. Μετὰ δὲ τὸ διὰ πολλῶν καὶ πολλάκις ἑαυτὸν παραστῆσαι ζῶντα, οὐκ ἐπίστευσαν μόνον πάντες, ἀλλὰ καὶ ἐκήρυξαν πανταχοῦ· « Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν; » « Τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον

A Joannes cucurrissent ad monumentum, et conspectis ibi linteaminibus redivissent, Maria, inquit, stabat ad monumentum foris, plorans.

Videtisne eam non solum nondum vidisse, sed etiam nondum audivisse Dominum? Et apparentibus angelis qui eam interrogaverunt dicentes: Mulier, quid ploras? illa iterum tanquam de mortuo respondet; et quando conversa vidit Jesum, nec adhuc agnovit, sed ab eo interrogata quid ploraret, vehementer lamentatur donec ille eam nomine appellans semetipsum viventem obtulit. Tunc ipsa quoque procidens, et cupiens pedes ejus amplecti, ab eo audivit: Noli me tangere; a quo discimus,
B quoniam quando prius visus est Matri cæterisque mulieribus comitantibus, huic soli dedit pedes tangere, etsi Matthæus istud aliis mulieribus commune faciat, quum nollet propter eam quam in principio retulimus causam, aperte Matrem in talibus circumstantiis testem proferre. Verum cum prima sepulcrum Maria semper Virgo adivisset, primaque prosperum resurrectionis nuntium accepisset, plures aderant quæ pariter lapidem viderunt revolutum angelosque audierunt; quibus auditis et visis revertentes divisæ sunt. Aliæ quidem, sicut Marcus dixit, « fugerunt de monumento, invaserat enim eas tremor et pavor, et nemini quidquam dixerunt: timebant enim [68]. »
C Aliæ vero secutæ sunt Matrem Domini cujus aspectu et colloquio gavisæ sunt. Magdalene vero ad Petrum et Joannem abiit, quibuscum ad sepulcrum rursus venit sola, quibus recedentibus, ipsa permanens Dominico dignata est aspectu, et ad apostolos ipsa quoque mittitur, et ad eos revertitur, annuntians omnibus, sicut retulit Joannes, « Quia vidi Dominum, et hæc dixit mihi [69]. »

Igitur hanc visionem mane factam esse dixit Marcus, id est in ipso diei initio, diluculo jam prorsus elapso, non autem Domini Resurrectionem et primam ejus apparitionem tunc contigisse affirmat. Penitus investigata habemus Unguentiferarum
D acta, et supra quæsitam quatuor evangelistarum concordiam. Discipuli vero, ipsa Resurrectionis die, cum ab illis mulieribus, necnon a Petro, et secundum Lucam, a Cleopha audivissent quia Dominus vivit et ab eis visus est, minime crediderunt; ideo increpavit eos Dominus, rursus eis congregatis apparens. Sed postquam multoties seipsum iis vivum obtulisset, non modo crediderunt omnes, sed et ubique prædicaverunt; nam « In omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum [70], » « Domino cooperante et sermonem confirmante sequentibus signis [71]. » Nam signa donec verbum per omnem terram prædicatum fuis-

[68] Marc. xvi, 8. [69] Joan. xx, 18. [70] Psal. xviii, 4. [71] Marc. xvi, 20.

Digitized by Google

A set, erant maxime necessaria; sed si necesse sit signis et prodigiis ad exhibendam et firmandam prædicationis veritatem, necesse est etiam signis, non prodigiis, ad confirmandos eos qui verbum receperunt, an firmiter crediderint; quibusnam? Iis quæ ex operibus monstrantur. Nam dictum est: « Ostende mihi fidem tuam ex operibus tuis. » Et: « Quis sapiens inter vos? Ostendat ex bona conversatione operationes suas [73]. » Quis enim putabit mentem vere divinam et magnam et sublimem habere, et, ut ita dicam, cœlestem, qualis est pius animus, si pravis indulgeat operibus, necnon terræ terrenisque inhæreat?

B Quid ergo proderit, fratres, si quis se dicat habere divinam fidem, opera autem non habeat fidei consentanea? Quid adjuverunt lampades stultas virgines oleum non habentes, id est charitatis et misericordiæ opera? Quid diviti profuit in igne inexstinguibili propter suam erga Lazarum inhumanitatem assato patrem Abraham invocare? Quid non habenti a bonis operibus vestem divinis nuptiis et convivio illique immortalitati accommodatam, ejus in sequenda vocatione obsequium? Convocatus quidem, credens omnino advenit, et cum sanctis illis convivis congregatus est, sed accusatus et ignominia confusus, quia ex moribus et operibus pravitatem induerat, ligatis sine misericordia manibus C et pedibus, in gehennam ignis mittitur, ubi ejulatus et stridor dentium; quam utinam nullus ex vocatis a Christo experiatur, sed omnes fide vitam exhibentes immaculatam intrent in cubiculum consummatæ lætitiæ, et cum sanctis in æternum gaudeant, ubi omnium lætantium est habitatio. Amen.

## HOMILIA XIX.

*In evangelium de Samaritide [74], et quia oportet præsentia contemnere.*

Omnibus istis diebus elapsis usque ad Pentecosten procurrentibus, Filii Dei ac Salvatoris nostri Jesu Christi resurrectionem a mortuis ce- D lebramus, cujus præ aliis festis excellentiam ista festivitate ostentamus. Iste quidem dierum circulus reditus ad cœlum anniversariam continet memoriam; sed hæc etiam quantum resurgens Dominus præstet servis qui quandoque surrexerunt manifestat; hi enim omnes a morte revocati ab aliis sunt resuscitati, et rursus mortui sub terram reversi sunt; sed Christo ex mortuis resuscitato, mors illi jam non dominatur; nam ipse solus, cum semetipsum post tres dies resuscitasset, nequaquam in terram reversus est, sed in cœlum ascendit, figmentum nostrum utpote ad divinam naturam elevatum in throno Patris collocaturus; ideoque

[73] Jac. ii, 18; iii, 13. [74] Joan. iv, 5 seq.

βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων· » τὰ γὰρ σημεῖα μέχρι τοῦ κηρυχθῆναι τὸν λόγον εἰς πᾶσαν τὴν γῆν ἀναγκαιότατα ἦν. Ἀλλὰ δεῖ μὲν σημείων καὶ τεραστίων πρὸς παράστασιν καὶ βεβαίωσιν τῆς τοῦ κηρύγματος ἀληθείας, δεῖ δὲ σημείων, ἀλλ' οὐ τεραστίων πρὸς παράστασιν τῶν ὑποδεξαμένων τὸν λόγον, εἰ βεβαίως ἐπίστευσαν· τίνων τούτων; Τῶν ἀπὸ τῶν ἔργων· « Δεῖξον γάρ μοι, φησὶ, τὴν πίστιν σου ἐκ **108** τῶν ἔργων σου· » καὶ, « Τίς πιστός; Δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ. » Τίς γὰρ πιστεύσει διάνοιαν ἔχειν ὄντως θείαν καὶ μεγάλην καὶ ὑψηλὴν, καὶ ὡς εἰπεῖν οὐράνιον, οἵα πέρ ἐστιν ἡ εὐσέβεια, τὸν φαύλων ἀντεχόμενον ἔργων, καὶ τῇ γῇ καὶ τοῖς γηΐνοις προστηλωμένον;

Οὐδὲν οὖν ὄφελος, ἀδελφοὶ, ἐὰν πίστιν λέγῃ τις ἔχειν θείαν, ἔργα δὲ μὴ ἔχῃ τῇ πίστει κατάλληλα. Τί τὰς μωρὰς παρθένους αἱ λαμπάδες ὤνησαν οὐκ ἐχούσας ἔλαιον, δηλονότι τὰ τῆς ἀγάπης καὶ τὰ τῆς συμπαθείας ἔργα; Τί τὸν ἐν τῇ ἀσβέστῳ φλογὶ διὰ τὸ πρὸς τὸν Λάζαρον ἀσυμπαθὲς τηγανιζόμενον ἐκεῖνον πλούσιον, τὸ πατέρα ἐπικαλεῖσθαι τὸν Ἀβραάμ; Τί τὸν μὴ κεκτημένον διὰ τῶν ἀγαθῶν ἔργων ἔνδυμα, τῷ θείῳ γάμῳ καὶ τῇ παστάδι τῆς ἀφθαρσίας ἐκείνης κατάλληλον, ἡ πρὸς τὴν κλῆσιν δῆθεν εὐπείθεια; Καὶ γὰρ προσεκλήθη τε καὶ προσῆλθε πιστεύσας πάντως, καὶ τοῖς ἁγίοις ἐκείνοις δαιτυμόσι συνανεκλήθη, ἀλλ' ἐξελεγχθεὶς καὶ καταισχυνθεὶς, ὡς τὴν ἀπὸ τῶν ἠθῶν καὶ τῶν πράξεων φαυλότητα περικείμενος, δεθεὶς χεῖράς τε καὶ πόδας ἀνηλεῶς, εἰς τὴν γέενναν ῥίπτεται τοῦ πυρὸς, ἔνθα ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ἧς μηδένα γένοιτο τῶν ἀπὸ τοῦ Χριστοῦ καλουμένων πεῖραν λαβεῖν, ἀλλὰ τῇ πίστει βίον ἐπιδειξαμένους προσήκοντα, καὶ εἰσελθεῖν εἰς τὸν νυμφῶνα τῆς εὐφροσύνης τῆς ἀκηράτου, καὶ συνδιαιωνίζειν τοῖς ἁγίοις, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία. Ἀμήν.

## ΟΜΙΛΙΑ ΙΘ'.

*Εἰς τὸ κατὰ τὴν Σαμαρεῖτιδα τοῦ Χριστοῦ εὐαγγέλιον· καὶ ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων.*

Διὰ πασῶν τῶν νῦν διερχομένων ἡμερῶν τούτων, εἰς πεντήκοντα ἐκτεινομένων, τὴν ἐκ νεκρῶν ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν πρὸς τὰς ἄλλας ἑορτὰς ὑπεροχὴν παριστῶντες διὰ τῆς παρατάσεως ταύτης. Εἰ γὰρ καὶ τῆς πρὸς οὐρανὸν ἐπανόδου τὴν ἐπέτειον μνήμην ὁ ἀριθμὸς οὗτος τῶν ἡμερῶν περιέχει, ἀλλὰ καὶ αὐτὴ τὴν τοῦ ἀναστάντος Δεσπότου πρὸς τοὺς ἀναβεβιωκότας ἔσθ' ὅτε τῶν δούλων ὑποδείκνυσι διαφοράν· πάντες γὰρ οἱ ἐκ νεκρῶν ἀναστάντες ὑφ' ἑτέρων ἀνέστησαν, καὶ πάλιν ἀποθανόντες ἐπέστρεψαν εἰς τὴν γῆν· Χριστοῦ δὲ ἐκ νεκρῶν ἀναστάντος, θάνατος αὐτοῦ οὐκέτι κυριεύει· μόνος γὰρ οὗτος ἑαυτὸν ἀναστήσας τριήμερον, οὐκ εἰς γῆν ἐπέστρεψε πάλιν, ἀλλ' εἰς οὐρανὸν ἀνελήλυθεν, ὁμόθρονον ὡς ὁμόθεον τῷ Πατρὶ ποιήσας τὸ ἡμέτερον φύραμα· διὸ

Digitized by Google

καὶ μόνος ἀρχὴ τῆς μελλούσης πάντων ἀναστάσεως γέγονε, καὶ μόνος ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ τοῦ μέλλοντος αἰῶνος πατήρ. Καὶ καθάπερ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν ἁμαρτωλοί τε καὶ δίκαιοι, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται ἁμαρτωλοί τε καὶ δίκαιοι, ἀλλ' ἕκαστος **109** ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστὸς, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν, καὶ θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος ἐν τῇ κοινῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

solus factus est futuræ omnium resurrectionis principium, solus primitiæ dormientium [74], solus primogenitus ex mortuis, et pater futuri sæculi. Et sicut in Adam omnes mortui sunt peccatores et justi, ita in Christo omnes vivificantur [75] peccatores et justi, sed singuli in suo ordine. Primitiæ Christus, deinde qui sunt Christi in conspectu ejus, postea finis, quando destruxerit omnem principatum, et potestatem et virtutem, et posuerit omnes inimicos suos scabellum pedum suorum [76]. Ultimus inimicus destruitur, mors in communi resurrectione, in ultima tuba; oportet enim corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem.

Τοιαύτης δωρεᾶς πρόξενος ἡμῖν ἐστιν ἡ τοῦ Κυρίου ἀνάστασις, καὶ διὰ τοῦτο μόνην ταύτην ἐν τοσαύτῃ παρατάσει τῶν ἡμερῶν ἑορτάζομεν, ὡς ἀθάνατον οὖσαν καὶ ἀνώλεθρον καὶ ἀΐδιον, προϋπογράφοντες διὰ τούτων καὶ τὴν μέλλουσαν τῶν ἁγίων μακαριότητα, ἧς ἀπέδρα πᾶσα ὀδύνη καὶ λύπη καὶ στεναγμός· θυμηδία δὲ καὶ πανήγυρίς ἐστιν ἐν ταύτῃ διηνεκὴς ἔνθεός τε καὶ ἀναλλοίωτος· ἐκεῖ γάρ ἐστι τῶν ὄντως εὐφραινομένων ἡ κατοικία. Διὸ καὶ πρὸ τῶν ἡμερῶν τούτων τὴν ἱερὰν Τεσσαρακοστὴν ἐν νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ προσευχῇ καὶ ἀσκήσει παντοίᾳ τῶν ἀρετῶν ἄγειν ἡμᾶς ἡ τοῦ Πνεύματος χάρις ἐνομοθέτησε, διὰ μὲν τῆς Τεσσαρακοστῆς τῶν ἡμερῶν δεικνῦσα τὴν ἐν τῷ αἰῶνι τούτῳ τῶν σωζομένων ζωὴν, ὡς οὐδὲν ἕτερόν ἐστιν, ἢ μετάνοια καὶ βίος θεοφιλής· διὰ δὲ τῆς μετ' αὐτὴν Πεντηκοστῆς ταύτης, ἣν διερχόμεθα νῦν, ἐπιδεικνῦσα τὴν διαδεξομένην τοὺς ἐνταῦθα διὰ τὸν Θεὸν ἐναγωνίως ζήσαντας ἄνεσιν καὶ ἀπόλαυσιν. Διὰ τοῦτο καὶ Τεσσαρακοστὴ μέν ἐστιν ἐκείνη, καὶ συνηρτημένην ἔχει τὴν μνήμην τῶν τοῦ Κυρίου σωτηρίων παθῶν, καὶ τῆς νηστείας τὴν λύσιν μετὰ τὴν ἑβδόμην λαμβάνει· αὕτη δὲ Πεντηκοστὴ οὖσα συμπεριλαμβάνει καὶ τὴν ἀπὸ γῆς εἰς οὐρανὸν μετάθεσιν, καὶ τὴν τοῦ θείου Πνεύματος κατάβασιν καὶ διάδοσιν. Ἑβδοματικὸς γάρ ἐστιν ὁ αἰὼν οὗτος, καὶ διὰ τεσσάρων ὡρῶν καὶ μερῶν καὶ στοιχείων συνίσταται, καὶ τοῖς ἐν αὐτῷ κοινωνοὺς ἑαυτοὺς δι' ἔργων ποιοῦσι τῶν Χριστοῦ παθημάτων, τὴν τῆς Πεντηκοστῆς ἑορτὴν ἐπιφέρει, ἥτις ἐκ τῆς ὀγδόης ἄρχεται, καὶ εἰς ὀγδόην ἔχει τὴν λῆξιν, καὶ τὴν σεπτὴν ἑβδομάδα, καὶ τὴν τετρακτὺν ὑπερβᾶσαν, καὶ διὰ τῆς ἀναστάσεως τοῦ Κυρίου καὶ τῆς μετ' αὐτὴν ἀναλήψεως, τὴν μέλλουσαν παρίστησι τοῦ τῶν ἀνθρώπων γένους ἀνάστασιν, καὶ τὴν κατ' αὐτὴν τῶν ἀξίων ἐν νεφέλαις ἔπαρσιν πρὸς τὴν θείαν ὑπάντησιν, καὶ ἑξῆς εἰς αἰῶνας πρὸς Θεὸν συνουσίαν τε καὶ κατάπαυσιν.

Tale donum nobis impertitur Domini resurrectio, ideoque hanc solam in tali dierum productione celebramus, utpote immortalem et indelebilem et æternam, præscribentes in omnibus futuram sanctorum felicitatem, ubi non est luctus, neque clamor, sed nec ullus dolor, sed lætitia et exsultatio divina perennis nullique mutationi obnoxia; ibi est enim vere lætantium habitatio. Ideo ante dies istos, sacram quadragesimam in jejunio et vigiliis et oratione omnique omnium virtutum exercitio gratia Spiritus nos peragere mandavit, per hos dies quadragesimales manifestans salvandorum vitam in hoc sæculo, quia nihil est aliud nisi pœnitentia et pietas, et per istos quinquaginta dies quos nunc transigimus indicans requiem atque prosperitatem in qua recipiendi sunt qui in hoc mundo propter Deum certantes vixerint. Propterea quadragesimalis ille temporis decursus adjunctam habet salutarium Domini passionum memoriam, jejuniique finem, transacta hebdomada, accipit; istud autem quinquagesimum temporis spatium complectitur et assumptionem a terris in cœlum et divini Spiritus communicationem atque descensum. Nam hebdomadis componitur hoc intervallum, constans quadraginta horis, partibus et divisionibus, et eis, qui seipsos operibus faciunt passionis Christi participes, Pentecostes festivitatem adducunt, quæ octava incipit et octava desinit non solum per quatriduum, sed etiam per venerabilem producta hebdomadem; necnon per resurrectionem Domini sequentemque Ascensionem venturam humani generis resurrectionem exprimit et subsequentem sanctorum in nubibus elevationem in occursum Dei, deindeque quietam in Deo inhabitationem.

Αὕτη μὲν οὖν ἔσται κατὰ καιρόν. Ὁ δὲ Κύριος πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως κηρύττων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ τοῖς μαθηταῖς δεικνὺς, ὡς οὐκ ἐκ τῶν Ἰουδαίων μόνον ἡ ἐκλογὴ τῶν ἀξίων τῆς πίστεως ἔσται, καὶ τῆς ὑπ' αὐτοῦ προτεινομένης ἀϊδίου κληρονομίας, ἀλλὰ καὶ ἀπὸ τῶν ἐθνῶν,

Hæc quidem fient in suo tempore. Dominus vero ante passionem et resurrectionem suam prædicans Evangelium regni et discipulis ostendens quoniam non ex Judæis tantum eligentur digni fide æternaque ab eo promissa hæreditate, sed etiam ex gentibus, secundum hodie ad aures vestras memoratam

[74] I Cor. xv, 20. [75] ibid. 22. [76] Psal. cix, 1.

Evangelii vocem : « Venit in civitatem Samariæ quæ dicitur Sichar, juxta prædium quod dedit Jacob Joseph filio suo [77]. » Erat ibi fons Jacob ; fontem puteum dixit, quia aquam ex fonte habebat, ut patet ex verbis præcedentibus ; Jacobi erat, quia hic eum foderat. Prædium vero quod Jacob dedit Josepho erat Sichem ; ait enim ad eum ultimum efflans spiritum in Ægypto, et testamentum suum conscribens : « En ego morior, vos autem reducet Deus ex terra ista ad terram patrum vestrorum. Do tibi Sichem partem unam extra fratres tuos, quam tuli de manu Amorrhæi in gladio et arcu meo [78]. » Ideo Sichem stabat in ea parte qua postea constitit tribus Ephraim filii Joseph primogeniti, quem circa locum habitabant decem tribus Israel super quas regnavit Jeroboam apostata. Qui cum sæpius Deum offendissent, sæpe ab eo derelicti denique universi ducti sunt in captivitatem, ita ut pro eis variæ gentes a rege Assyriorum congregatæ in eorum loco inhabitaverint et Samaritarum nomen a monte Somor acceperint. Quemadmodum progrediens Jacob, sicut narrat historia, habitavit juxta urbem Sichimorum, ita nunc Christus progrediens appropinquavit ad Samariam. Sed ille quidem, ut ipse dixit, in gladio et arcu, id est ad exitium et ruinam priorum habitantium, Christus vero in sermone et doctrina, et proinde ad salutem. «Nam Jesus, fatigatus ex itinere, sedebat sic supra fontem. Hora erat quasi sexta. »

A κατὰ τὴν σήμερον ἀναγινωσκομένην εἰς ἐπήκοον τοῦ Εὐαγγελίου φωνήν· « Ἔρχεται εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Σιχὰρ, πλησίον τοῦ χωρίου οὗ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. » Πηγὴν μὲν οὖν τὸ φρέαρ φησί· τὸ γὰρ ὕδωρ πηγαῖον εἶχεν, ὡς δῆλον ἔσται προϊόντος τοῦ λόγου· τοῦ Ἰακὼβ δὲ ἦν, ἐπειδήπερ ἐκεῖνος ὤρυξεν αὐτό. Τὸ δὲ χωρίον ὃ ἔδωκε τῷ Ἰωσὴφ ὁ Ἰακὼβ τὰ Σίχημά ἐστι· φησὶ γὰρ πρὸς αὐτὸν τὰ ἔσχατα πνέων ἐν Αἰγύπτῳ καὶ διατιθέμενος· « Ἰδοὺ ἐγὼ ἀποθνήσκω· ὑμᾶς δὲ ἀποστρέψει ὁ Θεὸς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν τῶν πατέρων ἡμῶν. Ἐγὼ δὲ δίδωμί σοι Σίχημα ἐξαίρετον παρὰ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς τῶν Ἀμοῤῥαίων ἐν τῇ μαχαίρᾳ μου καὶ τῷ τόξῳ μου. » Διὸ τὰ μὲν Σίχημα κατῳκεῖτο **110** παρὰ τῆς B Ἐφραὶμ φυλῆς ὕστερον, ὃς ἦν υἱὸς πρωτότοκος τοῦ Ἰωσήφ· τὸν δὲ περὶ αὐτὰ τόπον κατῴκουν αἱ δέκα φυλαὶ τοῦ Ἰσραὴλ, ὧν Ἱεροβοὰμ ὁ ἀποστάτης ἦρξε. Προσκρούσαντες δὲ τῷ Θεῷ πολλάκις οὗτοι, καὶ πολλάκις ἐγκαταλειφθέντες, ὕστερον πανγενῇ γεγόνασιν αἰχμάλωτοι, ὡς ἀντ' αὐτῶν ἔθνη διάφορα συμφορήσαντα τὸν ἄρχοντα τῶν Ἀσσυρίων ἐγκατοικῆσαι τῷ τόπῳ, καὶ Σαμαρείτας ἀπὸ τοῦ ὄρους Σομὸρ καλέσαι. Καθάπερ δὲ παραπορευόμενος ὁ Ἰακὼβ, ὡς ἡ ἱστορία φησὶ, παρεστήσατο τὰ Σίχημα, οὕτω παραπορευόμενος ὁ Χριστὸς νῦν, ὑπηγάγετο τὴν Σαμάρειαν. Ἀλλ' ἐκεῖνος μὲν, ὡς αὐτός φησιν, ἐν τῇ ῥομφαίᾳ καὶ τῷ τόξῳ αὐτοῦ, δηλονότι πρὸς ἐξολόθρευσιν καὶ ἀπώλειαν τῶν πρότερον ἐνοικούντων· ὁ δὲ Χριστὸς ἐν λόγῳ καὶ διδασκαλίᾳ, διὸ καὶ πρὸς σωτηρίαν· « Ὁ γὰρ Ἰησοῦς κεκοπιακὼς, φησὶν, ἐκ τῆς ὁδοιπορίας, ἐκάθητο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη. »

Hora et fatigatio ut sederet invitabant eum qui corpus nostro nequaquam absimile induerat. Quod ut demonstraret et futuram prospiciens lucrum sedit sic, ut dictum est, supra fontem, id est mere humi, solus quasi et unus ex multis viator ; ejus enim discipuli abierant in civitatem ut cibos emerent. Dum ergo sic solus supra fontem sederet, venit mulier de Samaria haurire aquam ; Dominus autem et sitiens ut homo, et obsequiosam videns quæ ad sitim sedandam veniebat, cernens vero ut Deus eam aqua salutis sitire quam ipsum impertire nesciebat, semetipsum animæ diligenti revelare cœpit. Nam, sicut scriptum est, diligentes se diligit. Incipit autem quo erit acceptus, et ad eam dixit : « Da mihi bibere. » Illa vero cum esset perspicax, et ex sola veste, ex forma, ex decentia foris fulgente eum esse Judæum legisque observatorem intelligeret, Miror, inquit, quomodo tu a muliere Samaritana poscis bibere ; Judæi enim Samaritanis utpote paganis non coutuntur. Unde Dominus occasionem cepit semetipsum revelandi, ad eam dicens : « Si scires donum Dei, et quis est qui dicit tibi : Da mihi bibere, tu forsitan petisses ab eo, et dedisset tibi aquam vivam.

C Καὶ ἡ ὥρα καὶ ὁ κόπος ἐδίδου καθῆσθαι τὸν σῶμα περικείμενον, ὁποῖόν ἐστι τὸ ἡμέτερον· τοῦτο τοίνυν πιστούμενος, καὶ τὸ μέλλον κέρδος προβλέπων ἐκάθητο, φησὶν, οὕτως ἐπὶ τῇ πηγῇ, τουτέστιν ἀφελῶς χαμαὶ, μόνος ὡς εἷς τῶν πολλῶν ὁδίτης· οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. Μεμονωμένου τοίνυν οὕτως ἐπὶ τῇ πηγῇ καθημένου, ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ· ὁ δὲ Κύριος καὶ διψῶν ὡς ἄνθρωπος, καὶ τὴν ἔχουσαν ἀνθρωπίνως τὴν δίψαν παῦσαι παραγενομένην ἰδὼν, ὁρῶν δὲ ὡς Θεὸς καὶ τὴν ταύτης καρδίαν διψῶσαν ὕδατος σωτηρίου, τὸν δὲ δυνάμενον τοῦτο παρασχεῖν οὐκ εἰδυῖαν, ἀποκαλύψαι μὲν ἑαυτὸν ἐπείγεται τῇ ποθούσῃ ψυχῇ· ποθεῖ γὰρ καὶ αὐτὸς τοὺς ποθοῦντας D κατὰ τὸ γεγραμμένον· ἄρχεται δὲ ὅθεν εὐπαράδεκτος ἔσται, καί φησι πρὸς αὐτήν· « Δός μοι ὕδωρ πιεῖν. » Ἡ δὲ συνετὴ οὖσα, καὶ ἀπὸ μόνης τῆς στολῆς καὶ τοῦ σχήματος καὶ τῆς ἐπιφαινομένης ἔξωθεν κοσμιότητος Ἰουδαῖόν τε ὄντα συνεῖσα, καὶ τοῦ νόμου φύλακα, Θαυμάζω, ἔφη, πῶς παρὰ Σαμαρείτιδος αἰτεῖς πόμα, τῶν Ἰουδαίων τοῖς Σαμαρείταις ὡς ἐθνικοῖς οὖσι μὴ κοινωνούντων. Ὁ δὲ Κύριος ἀφορμῆς λαβόμενος ἑαυτὸν ἀποκαλύπτειν ἄρχεται, πρὸς αὐτὴν λέγων· « Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι ὕδωρ πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. »

[77] Joan. IV, 5. [78] Gen. XLVIII, 21.

Digitized by Google

'Ορᾶτε μαρτυρούμενον, ὡς εἴπερ ἐγίνωσκεν, A ᾔτησεν ἂν πάραυτα, καὶ μέτοχος ἐγεγόνει τοῦ ὄντως ζῶντος ὕδατος, ὡς καὶ μαθοῦσα πεποίηκε καὶ ἀπήλαυσεν ὕστερον. Τὸ δὲ συνέδριον τῶν Ἰουδαίων ἐρωτήσαντες, καὶ σαφῶς ἀκούσαντες, εἶτα τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀλλὰ τίς ἡ δωρεὰ τοῦ Θεοῦ, « Εἰ ᾔδεις γάρ, φησὶ, τὴν δωρεὰν τοῦ Θεοῦ· » ἵνα τἄλλα παριῶμεν, αὐτὸ τὸ τοὺς ὑπὸ Ἰουδαίων βδελυκτοὺς εἶναι νομιζομένους, καὶ μέχρι ἐδόματος πόματος ἀκοινωνήτους, τὸν ἐνανθρωπήσαντα Θεὸν μὴ βδελύττεσθαι, πηλίκης δωρεᾶς τε καὶ χάριτος; Τὸ δὲ καὶ τοσοῦτον ἐρασμίους ἡγεῖσθαι, ὡς μὴ μόνον τὰ παρ' αὐτῶν διδόμενα δέχεσθαι, ἀλλὰ καὶ αὐτὸν ἐκείνοις τῶν αὐτοῦ θείων χαρισμάτων μεταδιδόναι; Τί λέγω των χαρισμάτων; B Ἑαυτὸν γὰρ παρέχει, καὶ σκεύη δεκτικὰ τῆς αὐτοῦ θεότητος ἀπεργάζεται τοὺς πιστεύοντας: οὐ γάρ ἐστιν ἄλλως πηγὴν αὐτοὺς ἔχειν, ὡς προϊδὼν ἐπαγγέλλεται, πρὸς ζωὴν αἰώνιον ἀλλομένην. Τίς νοῦς ἐννοήσει; Τίς λόγος ἐκφράσει τὸ ὑπερβάλλον τῆς δωρεᾶς; Ἡ δὲ Σαμαρεῖτις μήπω τὸ μεγαλεῖον συνεῖσα τοῦ ζῶντος ὕδατος, πρῶτον μὲν ἀπορεῖ, πόθεν ὁ προσλαλῶν εὑρήσει τὸ ὕδωρ ὃ ἐπαγγέλλεται, μήτε ἄντλημα ἔχων, καὶ τοῦ φρέατος ὄντος βαθέος· εἶτα καὶ συγκρίνειν ἐπιχειρεῖ τοῦτον πρὸς Ἰακὼβ, ὃν καὶ Πατέρα καλεῖ, σεμνολογοῦσα τὸ γένος ἀπὸ τοῦ τόπου, καὶ τὸ ὕδωρ ἐξαίρει τοῦ φρέατος, ὡς **111** μὴ ἂν εὑρεθέντος καλλίονος· ὡς δὲ ἤκουσε τοῦ Κυρίου εἰπόντος, ὅτι Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω, πηγὴ γενήσεται τῷ λαβόντι πρὸς ζωὴν αἰώ- C νιον ἀλλομένη, ψυχῆς μὲν ποθούσης ἀφῆκε ῥῆμα, καὶ πρὸς πίστιν ἐναγομένης, μήπω δὲ δυνηθείσης πρὸς τὸ φῶς τρανῶς ἀναβλέψαι· « Δός μοι γάρ, φησὶ, Κύριε, τὸ ὕδωρ τοῦτο, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν· » ὁ δὲ Κύριος ἔτι κατὰ μικρὸν ἑαυτὸν ἀνακαλύπτειν βουλόμενος προστάττει ταύτῃ καὶ τὸν ἄνδρα φωνῆσαι. Ὡς δ' ἐκείνη καὶ κρύπτουσα τὰ κατ' αὐτὴν, καὶ σπεύδουσα τὸ δῶρον λαβεῖν, ἔλεγεν, Οὐκ ἔχω ἄνδρα, πόσους οἰκείους ἐκ παιδὸς ἔσχεν ἀκούει, καὶ νῦν ἐλέγχεται μὴ τὸν οἰκεῖον αὐτῆς ἔχειν ἄνδρα· καὶ πρὸς μὲν τὸν ἔλεγχον οὐ δυσχεραίνει, πάραυτα δὲ προφήτην ὄντα γνοῦσα τὸν προσλαλοῦντα μειζόνων ἅπτεται ζητημάτων.

Videte testantem quoniam si cognovisset, ipsa potius rem petivisset, et aquæ reipsa vivæ particeps facta, audita fecisset atque postea collegisset. Judæorum tamen Seniores etsi interrogassent et recte audivissent, deinde Dominum gloriæ cruci affixerunt. Sed quod est donum Dei? Ait enim: « Si scires Dei donum; » ut alia omittamus, Deum incarnatum nequaquam contemnere eos quos Judæi ita viles habebant ut nec potum ab eis vellent accipere; quantum est donum, quanta gratia! Verum eos ita amabiles autumare ut non donata modo ab eis acciperet, sed etiam eos divinarum suarum participes gratiarum efficeret; quid dico gratiarum? Nam seipsum impendit, et acceptabilia deitatis tabernacula credentes facit, cum alium non liceat eis fontem habere in vitam æternam salientem, præter eum quem prius promisit. Quæ mens cogitabit, quæ vox enuntiabit doni excellentiam? Samaritana vero, cum nondum vivæ hujus aquæ concepisset præstantiam, primum quærit unde ille inveniet hanc quam promittit aquam, cum puteus altus sit, neque vas habeat in quo hauriet; deinde conatur eum cum Jacob comparare quem Patrem vocat genus ex loco venerata, ipsamque jactat putei aquam qua inveniri melior non possit. Sed postquam audisset Dominum dicentem: « Aqua, quam ego dabo, fiet bibenti fons aquæ salientis in vitam æternam; » animæ desiderantis verbum emisit, et ad fidem adducta, etsi nondum clare posset lucem intueri, « Domine, inquit, da mihi hanc aquam, ut non sitiam, neque veniam huc haurire. » Sed Dominus cum adhuc vellet ei se paulatim revelare, jubet eam virum vocare suum. Ut vero illa occultans sua et festinans aquam accipere dixisset se virum non habere, audivit quot familiares ab adolescentia habuerit, et cum contumelia audit quod vir quem habebat non erat ejus; sed neutiquam vituperatione exasperatur, illum vero rata prophetam esse qui loquebatur, majora aggreditur postulata.

'Ορᾶτε τὸ μακρόθυμον ἅμα καὶ φιλομαθὲς τῆς γυναικὸς ὅσον; « Οἱ πατέρες γάρ, φησὶν, ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυ- D νεῖν. » Ὁρᾶτε οἵαν εἶχεν ἐν τῇ διανοίᾳ μελέτην, καὶ πόσην εἶχε τῆς Γραφῆς εἴδησιν; Πόσοι νῦν τῶν ἐκ γενετῆς πιστῶν καὶ τῇ Ἐκκλησίᾳ τροφίμων ἀγνοοῦσιν ὅπερ ἡ Σαμαρεῖτις ἠπίστατο, ὅτι οἱ πατέρες ἡμῶν, Ἰακὼβ δηλονότι καὶ οἱ ἐξ αὐτοῦ πατριάρχαι ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν τῷ Θεῷ; Ταύτην τὴν γνῶσιν καὶ τὴν πρὸς ἐπίγνωσιν μελέτην τῆς θεοπνεύστου Γραφῆς ὡς ὀσμὴν εὐωδίας ὁ Χριστὸς προσιέμενος, προσεκαρτέρει συντυγχάνων ἡδέως τῇ Σαμαρείτιδι· καθάπερ γὰρ ἐπὶ τῶν ἀνθράκων ἂν μέν τι τῶν εὐόσμων ἐνθῇς, ἐπιστρέψεις καὶ παρακατέχεις τοὺς προσιόντας, ἂν δέ τι τῶν βαρυόσμων καὶ δυσωδῶν, ἀπωθεῖς τούτους καὶ

Videtisne magnanimitatem et studiosam indagationem hujus mulieris? Ait enim: « Patres nostri in monte hoc adoraverunt, et vos dicitis quod Hierosolymæ est locus ubi adorare oportet. » Videtis qualem versabat in mente meditationem, et quantam habebat Scripturæ notitiam? Quot sunt nunc ex genere credentium, ex eis quos enutrivit Ecclesia, qui didicerunt quod sciebat illa Samaritana? Patres nostros, Jacob scilicet ortosque ex eo Patriarchas in illo monte Deum adoravisse? Quam notitiam et ad eam augendam meditationem Scriptura Spiritu divino exaratæ quasi odorem suavitatis Christus laudans, pergit jucunde cum Samaritide conversari; nam quemadmodum si carbonibus imponas odoramenta, omnes accedentes allicis et retines, si autem fœtidum quid et male olens comburas, arces eos et avertis; ita et in

Digitized by Google

mente si sanctis incumbis meditationibus, teipsum dignum facis quem Deus intueatur; hic est enim odor suavitatis, quem odoratur Dominus; si vero pravis et sordidis ac terrestribus agitaris cogitationibus, longe fis ab oculis Dei, et misere te dignum reddis aversione divina: « Nam non permanebunt injusti ante oculos tuos, » dixit Deo propheta Psalmistes [79]. Etenim cum lex ipsa jubeat: « Recordare in omnibus Domini Dei tui, sive sedens, sive ambulans, tam in cubili quam in vigiliis [80]; » cum insuper dicat evangelista: « Scrutamini Scripturas, et in eis vitam æternam invenietis [81]; » necnon hortetur Apostolus dicens: « Sine intermissione orate [82], » qui terrestribus immoratur cogitationibus omnino est legis transgressor; qui vero pravis et turpibus, quanto magis? At quonam tempore adoraverunt patres nostri in illo monte? Quando Jacob patriarcha Esau fratrem invidum fugiens, parensque consiliis patris Isaac abiit in Mesopotamiam, et quando inde cum mulieribus et liberis rediit: nam regressus juxta locum illum fixit tentoria, in quo Dominus cum Samaritide colloquebatur, et post raptum Dinæ Sichemitarumque exitium, dixit Deus Jacob, sicut in Genesi scriptum est: « Surge et ascende Bethel, facque ibi altare Deo qui apparuit tibi quando fugiebas Esau fratrem tuum [83]. » Quibus auditis, surrexit Jacob in prædictum montem, et ædificavit ibi, ut dictum est, altare, et appellavit nomen loci illius Bethel; ibi enim apparuit ei Deus. Ideo Samaritana dixit: « Vere patres nostri adoraverunt in hoc monte, » priscæ legi adhærescens; nam præscriptiones de templo Hierosolymitano mandatæ sunt posterius. Et cum locus ille « domus Dei » a Jacob vocatus fuerit (hoc enim interpretatum exprimit Bethel), mulier quærit quomodo non jam in Bethel, sed Hierosolymis dicatur esse domus Dei in qua jubebantur sacrificia et adorationes Deo offerre. Dominus vero finem sermonum suorum inferens et de ipsa muliere prædicens eam esse qualem Deus quærit et accipit, verbis illius respondens, « Mulier, inquit, crede mihi quia venit hora quando neque in monte hoc, neque in Hierosolymis adorabunt Patrem, » paucisque dictis: « Deus enim tales quærit adoratores. »

ἀποστρέφεις, οὕτω καὶ ἐπὶ τῆς διανοίας· ἂν μὲν ἱερὰν ἔχῃς μελέτην καὶ σπουδὴν, ἐπισκοπῆς θείας ἄξιον ποιεῖς σεαυτόν· αὕτη γὰρ ἧς ὀσφραίνεται Κύριος ὀσμῆς εὐωδίας· ἂν δὲ πονηροὺς καὶ ῥυπαροὺς καὶ γηΐνους ἔνδον τρέφῃς λογισμοὺς, μακρὰν γίνῃ τῆς θείας ἐπισκοπῆς, τῆς ἀποστροφῆς τοῦ Θεοῦ φεῦ ἄξιον σαυτὸν ἐργασάμενος! « Οὐ γὰρ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου, » πρὸς τὸν Θεόν φησιν ὁ ψαλμῳδὸς Προφήτης. Τοῦ γὰρ νόμου διακελευομένου, « Μνησθήσῃ διὰ παντὸς Κυρίου τοῦ Θεοῦ σου, καθήμενος καὶ πορευόμενος, κοιταζόμενος καὶ διανιστάμενος· » καὶ τοῦ Εὐαγγελίου λέγοντος· « Ἐρευνᾶτε τὰς Γραφὰς, καὶ ἐν αὐταῖς εὑρήσετε ζωὴν τὴν αἰώνιον· » καὶ τοῦ Ἀποστόλου παραγγέλλοντος· « Ἀδιαλείπτως προσεύχεσθε, » ὁ γηΐνοις λογισμοῖς ἐμβραδύνων παράνομός ἐστι πάντως· ὁ δὲ καὶ πονηροῖς καὶ ῥυπαροῖς πόσῳ μᾶλλον; Ἀλλὰ πότε τῷ Θεῷ προσεκύνησαν οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ; Ἡνίκα Ἰακὼβ ὁ πατριάρχης τόν τε ἀδελφὸν φθονοῦντα φεύγων Ἡσαῦ, καὶ ταῖς συμβουλαῖς τοῦ πατρὸς ὑπείκων Ἰσαὰκ, πρὸς Μεσοποταμίαν ἀπῄει, καὶ ἡνίκα σὺν γυναιξὶν ἐκεῖθεν ἐπανῄει καὶ τέκνοις· κατὰ γὰρ τὴν ἐπάνοδον σκηνὰς πηξαμένῳ περί που τὸν τόπον τοῦτον, καθ' ὃν ὁ Κύριος ὡμίλησε τῇ Σαμαρείτιδι, μετὰ τὰ κατὰ τὴν Δεΐναν, καὶ τὴν ἅλωσιν τῶν Σικήμων, εἶπεν ὁ Θεὸς τῷ Ἰακὼβ, ὡς ἐν τῇ Γενέσει γέγραπται· « Ἀναστὰς ἀνάβηθι εἰς Βαιθὴλ, καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ, τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου. » Καὶ μετὰ τὸ ῥῆμα τοῦτο, μεταναστὰς ὁ Ἰακὼβ ἀνέβη εἰς τὸ παρακείμενον ὄρος, καὶ ᾠκοδόμησε, φησὶν, ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ· ἐκεῖ γὰρ ἐπεφάνη αὐτῷ ὁ Θεός. Διὰ τοῦτό φησιν ἡ Σαμαρεῖτις ὅτι Οἱ πατέρες ἡμῶν **112** ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, τῶν ἀρχαίων ἐκείνων ἀντεχομένη· τὰ γὰρ κατὰ τὸν ἐν Ἱεροσολύμοις ναὸν ὕστερον ἐνομοθετήθη· καὶ ἐπειδήπερ ὁ τόπος ἐκεῖνος οἶκος Θεοῦ ἐκλήθη παρὰ τοῦ Ἰακὼβ· τοῦτο γὰρ ἑρμηνευόμενον δηλοῖ τὸ Βαιθήλ· διαπορεῖ πυθοῦσα μαθεῖν, πῶς οὐκ ἐκεῖ μᾶλλον, ἀλλ' ἐν Ἱεροσολύμοις εἶναι λέγεται ὁ οἶκος τοῦ Θεοῦ, ἐν ᾧ θύειν καὶ προσκυνεῖν τῷ Θεῷ νομίζεται. Ὁ δὲ Κύριος καὶ τὸν σκοπὸν τῶν οἰκείων λόγων ἤδη περαίνων, καὶ περὶ τῆς γυναικὸς προφητεύων, ὅτι τοιαύτη ἔσται οἵαν ὁ Θεὸς ζητεῖ τε καὶ ἀποδέχεται, καὶ πρὸς τοὺς αὐτῆς λόγους ἀποκρινόμενος, « Πίστευσόν μοι, γύναι, φησὶν, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί. » Καὶ μετ' ὀλίγα· « Τοιούτους γὰρ ὁ Θεὸς ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. »

Videtis quomodo de ipsa asserit eam talem esse qualem Deus quærit, Patrem altissimum non in figura sed secundum veritatem Evangelii adoraturam? Ei enim dicit: « Jam non in hoc monte, neque in Hierosolymis adorabitis Patrem; » simulque legis translationem illi aperte adnuntiat; nam translata adoratione, necesse est ut et legis translatio fiat. Sed interea addit: « Vos adoratis quod nescitis:

Ὁρᾶτε ὅτι καὶ περὶ αὐτῆς διατείνεται, ὅτι τοιαύτη ἔσται οἵαν ὁ Θεὸς ζητεῖ, καὶ ὅτι προσκυνήσει τῷ ἀνωτάτω Πατρὶ μὴ τοπικῶς, ἀλλ' εὐαγγελικῶς; Πρὸς αὐτὴν γὰρ ὁ λόγος, ὅτι Οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί· ἅμα δὲ καὶ τὴν τοῦ νόμου μετάθεσιν φανερῶς αὐτῇ προαγγέλλει· μετατιθεμένης γὰρ τῆς προσκυνήσεως, ἐξ ἀνάγκης καὶ τοῦ νόμου μετάθεσις ἔσται.

[79] Psal. v, 6. [80] Deut. vi, 7. [81] Joan. v, 39. [82] I Thess. v, 17. [83] Gen. xxxv, 1.

Digitized by Google

A Ἀλλὰ καὶ τὸ μεταξὺ κείμενον· « Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί· » πρὸς μὲν τὸν ἐκείνης λόγον ὡς ἀπόκρισίς ἐστιν, ἅμα δὲ καὶ τοῖς οἰκείοις λόγοις ἐστὶν ἀκόλουθον· τοῦτο γάρ φησιν ὡς ἡμεῖς οἱ Ἰουδαῖοι· συντάττει γὰρ καὶ ἑαυτὸν ἐκείνοις, ὡς ἐξ ἐκείνων ὄντα κατὰ σάρκα. Ἡμεῖς οὖν, φησὶν, οἱ μὴ καταψευδόμενοι τοῦ ὀνόματος, ἀλλ' ἐπιγινώσκοντες τὰ ἡμέτερα, τοῦτο κατὰ τὴν προσκύνησιν ὑμῶν τῶν Σαμαρειτῶν διαφέρομεν, ὅτι γινώσκομεν διὰ τοῦτο τὴν προσκύνησιν ἐν Ἰουδαίᾳ τελεῖσθαι νομιζομένην, ὅτι ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία παντὸς τοῦ κόσμου, τουτέστιν ὁ Χριστὸς ἐλεύσεται. Ὅτι δὲ οὐκέτι μέλλει, αὐτὸς γὰρ ἦν, οὐκ εἶπεν ὅτι Ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἔσται, ἀλλ' ὅτι ἔστιν. « Ἀλλ' ἔρχεται, φησὶν, ὥρα καὶ νῦν ἐστι. » B Καὶ ταῦτα προφητικά· τὸ μὲν γὰρ ἔρχεται, ὅτι οὔπω ἐτελέσθη, τελεσθήσεται δέ· τὸ δὲ νῦν ἐστιν, ἐπειδήπερ ἑώρα ταύτην ὅσον οὔπω πιστεύουσαν, καὶ πνευματικῶς καὶ ἀληθῶς προσκυνοῦσαν· « Ἔρχεται οὖν, φησὶν, ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· » ὁ γὰρ ἀνωτάτω καὶ προσκυνητὸς Πατὴρ Πατήρ αὐτοαληθείας ἐστὶ, δηλονότι τοῦ μονογενοῦς Υἱοῦ, καὶ πνεῦμα ἀληθείας ἔχει, τὸ Πνεῦμα τὸ ἅγιον, καὶ οἱ ἐν αὐτοῖς τοῦτον προσκυνοῦντες, καὶ ὡς οὕτω πιστεύοντες καὶ ὡς διὰ τούτων ἐνεργούμενοι. Τὸ Πνεῦμα γάρ ἐστι, φησὶν ὁ Ἀπόστολος, δι' οὗ προσκυνοῦμεν, καὶ δι' οὗ προσευχόμεθα· » καί· « Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα, εἰ μὴ δι' ἐμοῦ, » ὁ τοῦ Θεοῦ Μονογενής φησιν.

Οἱ οὖν οὕτως ἐν πνεύματι τὸν ἀνωτάτω Πατέρα προσκυνοῦντες, οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταί. Ἐπεὶ δὲ καὶ τὰ Ἱεροσόλυμα, καὶ τὴν Σαμάρειαν ἐξέβαλεν, ἵνα μή τις νομίσῃ τόπον ἕτερον ἀντεισαχθήσεσθαι μέλλειν, διὰ τῶν ἑξῆς ἀπάγει πάλιν C τὸν ἀκροώμενον πάσης σωματικῆς ἐννοίας καὶ τόπου καὶ προσκυνήσεως, « Πνεῦμα, λέγων, ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν· » τουτέστιν, ἐκτὸς σωμάτων πάντη τὸν ἀσώματον ἐννοοῦντας· οὕτω γὰρ καὶ ἀληθῶς ὄψονται τοῦτον πανταχοῦ ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ· ὡς μὲν γὰρ πνεῦμα ὑπάρχων ὁ Θεὸς ἀσώματός ἐστι· τὸ δὲ ἀσώματον **113** οὐκ ἐν τόπῳ ἐστὶν, οὐδὲ τοπικοῖς ὅροις περιγράφεται· οὐκοῦν ὁ λέγων ἐν τοῖς ὁρίοις μόνοις τῶν Ἱεροσολύμων ἢ τοῦ τῆς Σαμαρείας ὄρους, ἢ ἐν ἄλλῳ τινὶ τῶν ἁπανταχοῦ γῆς καὶ οὐρανοῦ τόπων δεῖν προσκυνεῖσθαι τὸν Θεὸν, οὐκ ἀληθῶς φησιν, οὐδ' ἀληθῶς προσκυνεῖ. Ἀλλ' ὡς μὲν ἀσώματος ὁ Θεὸς οὐδαμοῦ, ὡς δὲ Θεὸς πανταχοῦ· εἰ γὰρ ἔστιν ὅρος, ἢ τόπος, ἢ κτίσις, οὗ D μὴ ἔστιν ὁ Θεὸς, πάλιν εὑρεθήσεται περιγραφόμενος ἔν τινι· πανταχοῦ οὖν καὶ ἐν πᾶσιν ὁ Θεός. Πῶς οὐχ πανταχοῦ καὶ ἐν πᾶσιν, ὡς οὐχ ὑπὸ μέρους, ἀλλ' ὑπὸ τοῦ παντὸς περιεχόμενος; Οὐμενοῦν· σῶμα γὰρ ἔσται πάλιν. Οὐκοῦν ὡς τὸ πᾶν καὶ συνέχων καὶ περιέχων αὐτός ἐστιν ἐν ἑαυτῷ, πανταχοῦ τε καὶ ὑπὲρ τὸ πᾶν προσκυνούμενος παρὰ τῶν ἀληθινῶν προσκυνητῶν ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ.

A nos adoramus quod scimus, quia salus ex Judæis est. » Quibus verbis tam mulieri respondet quam suos firmat sermones. Ait enim : Nos Judæi, nam se eis confert, quia ex illis est secundum carnem. Nos ergo, inquit, qui nomen non fallimus, sed nostra animadvertimus, in hoc ab adoratione vestra Samaritanorum discrepamus quoniam scimus adorationem lege mandatam in Judæa fieri, quia ex Judæis salus mundi universi, id est Christus egreditur. Verum quia jam non est venturus, cum ipsemet erat, non dixit salutem ex Judæis fore, sed esse. « Sed venit, inquit, hora, et nunc est » Quæ sunt prophetica ; venit quidem, quia nondum perfecta est, sed perficietur, nunc autem est quia videbat eam non multum abesse quin crederet necnon B in spiritu et veritate adoraret. Dixit ergo : « Venit hora, et nunc est, quando veri adoratores adorabunt Patrem in spiritu et veritate. » Nam altissimus et adorandus Pater ipsius veritatis, scilicet Filii unigeniti, et spiritum veritatis habet, Spiritum sanctum, et qui in ipsis eum adorant sunt qui taliter credunt atque propter eos operantur. Etenim « Spiritus est, ait Apostolus, per quem adoramus et per quem obsecramus [84] ; » et : « Nemo venit ad Patrem nisi per me, » dixit unigenitus Dei Filius.

Igitur qui in spiritu Patrem altissimum ita adorant, ii sunt veri adoratores. Sed postquam Hierosolymam et Samariam seposuisset, ne quis crederet locum alium invicem proponendum esse, sequen- C tibus verbis iterum eximit quicunque corpoream cogitationem vel locum vel adorationem intelligeret, dicendo : « Spiritus est Deus, et qui adorant eum in spiritu et veritate oportet adorare, » id est, qui eum incorporeum omnino sine corpore putant; ita enim vere videbunt eum ubique in spiritu ejusque veritate. Etenim spiritus cum sit Deus, est incorporeus, quod autem corpus non habet non est in loco, neque locorum finibus circumscribitur; ergo qui dicit in solis Hierosolymæ finibus, vel in monte Samariæ vel in quolibet alio terræ cœlive loco, Deum esse adorandum, non vere dicit neque vere adorat. Quatenus incorporeus, Deus quidem nusquam, quatenus autem Deus est ubique; nam si esset mons vel locus vel creatura aliqua, ubi Deus D non sit, rursus inveniretur alicubi circumscriptus ; ubique ergo et in omnibus exstat Deus. Quomodo igitur ubique et in omnibus Deus, non una parte, sed universo circumscribatur? Nequaquam, nam iterum corpus esset. Ergo conjungendo omnia et amplectendo ipse est in semetipso, ubique et super omnia a veris adoratoribus in spiritu suaque veritate adorandus.

[84] II Cor. III, 17.

Digitized by Google

Idcirco Deus ubique terrarum imo et supra terras, taliter credentibus adorabitur in veritate, ut Deum decet, Pater incorporeus tam secundum tempus, quam secundum locum infinitus in sancto et æterno Spiritu atque Filio, necnon Verbo coæterno quod est consubstantialis Patris veritas. Anima et angelus cum sint incorporei, non exstant in loco, sed ubique non sunt; nam non continent omnia, sed ipsa potius indigent a quo contineantur. Sunt ergo et ipsa in eo qui continet et amplectitur omnia, ab eo consequenter definita. Anima quidem corpus quorum creata fuit continens ubique corporis est, non quasi in loco vel quasi contenta, verum quatenus corpus continet et comprehendit, quod etiam habet secundum imaginem Dei. Samaritis vero auditis a Christo miris istis Deoque dignis sermonibus, quoniam Deus nequaquam vere est adorandus nisi in Spiritu et veritate sua, quemadmodum anima Deo sponsata in Canticis canticorum, sponsi voce accensa, ejus quem desiderat, quem exspectat et ignorat etsi præsentem, recordatur dicens: « Scio quia Messias venit qui dicitur Christus; cum ergo venerit ille, nobis annuntiabit omnia. Videtis quam erat parata ad fidem nimiaque spe plena appropinquante quem desiderabat? Igitur ejus erat canere cum David: « Paratum cor meum, Deus, paratum cor meum, cantabo et psalmum dicam in gloria mea [55]. »

At unde ista tam firme, tam certe noverat, unde talia in mente versabat nisi quia cum summa attentione propheticos libros erat meditata? Hinc enim animum ita sublimem habuit et divina inspiratione plenum; unde mihi nunc miranti hujus Samaritidis ad Christum spiritale et vehemens desiderium accidit de ea rursus illud Cantici canticorum dicere: « Quæ est ista quæ progreditur quasi aurora, pulchra ut luna, electa ut sol [56]? » Nam dum quidem annuntiat mox surrecturum Christum spiritalem justitiæ Solem, et subostendit per semetipsam ex gentibus venturam Ecclesiam, quasi ex sacra fontis origine, ad quem stabat exortam, et a Salvatore edoctam, hanc video progredientem quasi auroram valde amabilem. Pulchra vero est ut luna, quia fulget, prævalente adhuc nocte impietatis; electa autem ut sol, quæ Lucida a Salvatore fuit cognominata, et ipsa in numerum aggregata eorum qui secundum Evangelium ut sol debent fulgere; deinde etiam beatissimo martyrii fine vitam jam splendentem consignavit; nunc vero Deum verum vidit Christum, et prorsus eum Deum prædicavit; et quod ipse postea dixit discipulis de Spiritu nec natura nec dignitate minore: « Quando venerit docebit omnem veritatem [57], » illud ipsa longe antea de eo dicit: « Cum venerit ille, nobis annuntiabit omnia. » Verum quando talem esse vidit sponsus spi-

A Πανταχοῦ τοίνυν ὁ Θεὸς, οὐ τῆς γῆς μόνον, ἀλλὰ καὶ τῶν ὑπὲρ γῆν, προσκυνηθήσεται παρὰ τῶν οὕτω πιστευόντων ἀληθῶς τε καὶ θεοπρεπῶς. Πατὴρ ἀσώματος καὶ κατὰ χρόνον καὶ τόπον ἀόριστος, ἐν ἁγίῳ καὶ ἀϊδίῳ Πνεύματι καὶ Υἱῷ καὶ Λόγῳ συνανάρχῳ, ὅς ἐστιν ἡ ἐνυπόστατος τοῦ Πατρὸς ἀλήθεια. Ἀλλὰ καὶ ψυχὴ καὶ ἄγγελος ἀσώματα ὄντα, οὐκ ἐν τόπῳ ἐστὶν, ἀλλ' οὐχὶ καὶ πανταχοῦ ἐστιν· οὐ γὰρ συνέχουσι τὸ πᾶν, ἀλλὰ καὶ αὐτὰ δεῖται τοῦ συνέχοντος. Οὐκοῦν καὶ αὐτὰ ἐν τῷ συνέχοντι καὶ περιέχοντι τὸ πᾶν, ὑπ' αὐτοῦ καταλλήλως ὁριζόμενα. Ἡ μέντοι ψυχὴ συνέχουσα τὸ σῶμα ᾧ καὶ συνεκτίσθη, πανταχοῦ τοῦ σώματός ἐστιν, οὐχ ὡς ἐν τόπῳ, οὐδ' ὡς περιεχομένη, ἀλλ' ὡς συνέχουσά τε καὶ περιέχουσα τὸ σῶμα, κατ' εἰκόνα καὶ τοῦτ' ἔχουσα Θεοῦ. B Ἡ δὲ Σαμαρεῖτις, ὡς ἤκουσε παρὰ Χριστοῦ τῶν ἐξαισίων τούτων καὶ θεοπρεπῶν φωνῶν, ὡς ὁ Θεὸς οὐδαμοῦ κατ' ἀλήθειαν προσκυνητός ἐστιν, εἰ μὴ ἐν τῷ πνεύματι καὶ τῇ ἀληθείᾳ αὐτοῦ, καθάπερ ἡ ἐν τοῖς Ἄσμασι τῶν ᾀσμάτων νυμφευομένη τῷ Θεῷ ψυχὴ, τῇ φωνῇ τοῦ νυμφίου τῆς ἀφθαρσίας ἀναπτερωθεῖσα, τοῦ προσδοκωμένου καὶ ποθουμένου καὶ λεληθότος, ἔτι παρόντος, ποιεῖται μνείαν λέγουσα· « Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός. Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. » Ὁρᾶτε πῶς ἦν ἑτοιμοτάτη πρὸς πίστιν, ὡς ἐγγίζοντος ἤδη τοῦ προσδοκωμένου, καὶ λίαν εὔελπις; Ἆρ' οὐχὶ καὶ ταύτης ἦν λέγειν μετὰ τοῦ Δαβίδ· « Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου; »

C Πόθεν δὲ καὶ τοῦτο βεβαίως οὕτως ᾔδει καὶ ἀσφαλῶς, καὶ τὴν ἐκ ψυχῆς εἶχε πρὸς αὐτὸ διάθεσιν, εἰ μὴ μετὰ συνέσεως ἀκροτάτης τὰς προφητικὰς ἐξεμελέτησε βίβλους; Ἐντεῦθεν καὶ τὸν νοῦν οὕτω μετάρσιον εἶχε, τῆς θείας ἔμπλεος γεγονότα κατοχῆς· ὡς ἐμοὶ νῦν ἀγαμένως ὁρῶντι τὸν τῆς Σαμαρείτιδος ταύτης πρὸς Χριστὸν πνευματικόν τε καὶ σφοδρὸν πόθον, ἐπέρχεται περὶ αὐτῆς πάλιν τὰ τοῦ Ἄσματος ἐκείνου λέγειν· « Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ὁ ἥλιος; » τῷ μὲν γὰρ ἐπαγγέλλεσθαι μετ' ὀλίγον ἐπιφανήσεσθαι τὸν τῆς δικαιοσύνης νοητὸν ἥλιον Χριστὸν, καὶ τῷ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν δι' ἑαυτῆς ἀρχομένην ὑποφαίνειν, ὡς ἐξ ἱερᾶς ἀνίσχουσαν κολυμβήθρας D τῆς πηγῆς, ἐφ' ἧς εἱστήκει, καθάπερ κατηχουμένη παρὰ τοῦ Σωτῆρος, ὁρῶ ταύτην ἐκκύπτουσαν ὡς πολυέραστον ὄρθρον. Καλὴ δέ ἐστιν ὡσεὶ σελήνη, ἐπειδὴ φαίνει, τῆς νυκτὸς ἔτι τῆς ἀσεβείας ἐπικρατούσης· ἐκλεκτὴ δὲ ὡς ὁ ἥλιος, ἅτε καὶ Φωτεινὴ παρὰ τοῦ Σωτῆρος ὠνομασμένη, καὶ τοῦ καταλόγου καὶ αὐτὴ τετελεσμένη **114** τῶν μελλόντων ὡς ἥλιος λάμψειν κατὰ τὸ Εὐαγγέλιον· ἐπεὶ καὶ μακαριωτάτῳ καὶ μαρτυρικῷ τέλει τὸν ἐξῆς φωτοειδῆ βίον ἐπεσφραγίσατο· καὶ νῦν δὲ Θεὸν εἶδεν ἀληθῆ τὸν Χριστὸν, καὶ τελέως τοῦτον ἐθεολόγησε· καὶ ὅπερ αὐτὸς τοῖς μαθηταῖς εἶπεν ὕστερον περὶ τοῦ συμφυοῦς καὶ ὁμοτίμου Πνεύματος, ὡς ὅταν ἔλθῃ

[55] Psal. LVI, 10. [56] Cant. VI, 10. [57] Joan. XVI, 13.

Digitized by Google

ἐκεῖνος διδάξει πᾶσαν τὴν ἀλήθειαν, τοῦτο καὶ αὕτη A προλαβοῦσα περὶ αὐτοῦ φησιν· « Ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. » Ἀλλ' ὡς εἶδε τοιαύτην οὖσαν ὁ νοητὸς τοῦ Χριστοῦ νυμφίος, ἀπερικαλύπτως πρὸς αὐτὴν φησιν, « Ἐγώ εἰμι ὁ λαλῶν σοι. » Ἡ δὲ εὐθέως ὡς ἐκλεκτὴ ὄντως εὐαγγελίστρια γίνεται, καὶ τὴν ὑδρίαν ἀφεῖσα, καὶ πρὸς τὴν πόλιν δραμοῦσα, πάντας ἐπιστρέφει τοῖς λόγοις, καὶ πρὸς πίστιν τοῦ ὀφθέντος ἀνάγει, « Δεῦτε ἴδετε, λέγουσα, ἄνθρωπον, ὅς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μή τοι οὗτός ἐστιν ὁ Χριστός; » Οὕτω δέ φησιν, οὐκ ἀμφιβολίαν αὕτη κεκτημένη τινά, πληροφορηθήσεσθαι δὲ μᾶλλον ἐκ τῆς θέας, καὶ διὰ τῆς πρὸς τὸν Κύριον ὁμιλίας εὐχερέστερον ἀναπεισθήσεσθαι καὶ τοὺς ἄλλους πιστεύουσα, καθάπερ καὶ διὰ τῶν ἔργων ἐξέβη.

ritalis Christus, sine ambagibus ei dixit: « Ego sum qui loquor tecum. » Quæ statim quasi electa fit evangelistria, et, dimissa hydria, ad civitatem currens, omnes verbis convertit et ad credendum in eum quem vident adducit, dicens: « Venite, et videte hominem qui dixit mihi omnia quæcunque feci; numquid ipse est Christus? » Sic ait, nulla utens ambiguitate, magis ex visu suadendos et ex conversatione ad Dominum facilius credituros cogitans alios, quod ex eventu rerum enituit.

Ἐγὼ δὲ καὶ τοῖς προειρημένοις συνοπτικώτερον ἐχρησάμην, καὶ τὰ ἑξῆς τῶν εὐαγγελικῶν ῥημάτων B ἀρτίως παρίημι, τὴν ὥραν ἐπὶ τὰς τοῦ σώματος χρείας καὶ τὰ ἔργα τοῦ βίου κατεπείγουσαν ὑμᾶς ὁρῶν. Ἀλλ' ὑμεῖς σκοπεῖτε τὴν Σαμαρεῖτιδα ταύτην· ὡς γὰρ ἤκουσε τῶν εὐαγγελικῶν λόγων, οὓς καὶ ἡμεῖς ἐξαγγέλλομεν πρὸς τὴν ὑμετέραν ἀγάπην, εὐθὺς καὶ τῶν ἀναγκαιοτάτων τοῦ σώματος κατεφρόνησεν· ἀφῆκε γὰρ πάραυτα καὶ τὴν ὑδρίαν καὶ τὴν οἰκίαν, καὶ εἰς τὴν πόλιν δραμοῦσα, καὶ τοὺς Σαμαρείτας ἐπισπασαμένη, σὺν αὐτοῖς πάλιν ἐπανῆλθε πρὸς τὸν Χριστόν· τὸ γὰρ, Δεῦτε ἴδετε, τοῦτό φησιν ἄντικρυς, Ἀκολουθήσατέ μοι, καὶ ὁδηγήσω ὑμᾶς, καὶ δείξω νῦν ὑμῖν τὸν ἐξ οὐρανῶν Σωτῆρα τῷ κόσμῳ παραγενόμενον. Ἐκείνους μὲν οὖν οὕτω τηνικαῦτα προτρεψαμένη τῷ Χριστῷ παρέστησεν, ἡμᾶς δὲ διδάσκει διὰ τοῦ καταλιπεῖν καὶ τὴν C οἰκίαν καὶ τὴν ὑδρίαν, προτιμωτέραν ἡγεῖσθαι καὶ τῶν ἀναγκαίων χρειῶν τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν, ἣν καὶ ὁ Κύριος ἀγαθὴν μερίδα προσεῖπε, πρὸς τὴν ἐν τῷ Εὐαγγελίῳ Μάρθαν, ὑπὲρ τῆς ἀκροωμένης τοῦ λόγου Μαρίας διαλεγόμενος. Εἰ δὲ τῶν ἀναγκαίων περιφρονεῖν δεῖ, πόσῳ μᾶλλον τῶν ἄλλων; Τί γάρ σε καὶ κατεπείγει, καὶ τῶν κατὰ ψυχὴν ὠφελίμων ἀκουσμάτων ἀπάγει; οἴκου καὶ παίδων καὶ γυναικὸς ἐπιμέλεια; οἰκεῖον ἢ συγγενικὸν πένθος, ἢ χαρμονή; ἀγορασία τις κτημάτων, ἢ πώλησις; χρῆσις τῶν ὑπαρχόντων σοι πάντων, μᾶλλον δὲ κατάχρησις; ἀλλ' ἄκουε συνετῶς τῶν ἀποστολικῶν διδαγμάτων· « Ὁ καιρὸς, ἀδελφοὶ, συνεσταλμένος τὸ λοιπόν ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσι, καὶ οἱ κλαίοντες, ὡς μὴ D κλαίοντες· καὶ οἱ χαίροντες, ὡς μὴ χαίροντες· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες· καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ, ὡς μὴ καταχρώμενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. » Τί ἐστιν, « Ὁ καιρὸς συνεσταλμένος ἐστί; » Βραχὺς ὁ βίος, ἐγγὺς ὁ θάνατος, φθαρτὸς ὁ κόσμος οὗτος, ὁ ἀεὶ μένων ἕτερος· παραπέμπει δὲ ἡμᾶς πρὸς ἐκεῖνον ἐν ἀσφαλείᾳ ἡ τοῦ παρόντος καταφρόνησις κόσμου, ἡ πρὸς τὸν μέλλοντα ἐκεῖνον ἑτοιμασία, τὸ ζῆν κατὰ τὸ ἐγχωροῦν ἀπὸ τῶν ἐνταῦθα κατ' ἐκείνην τὴν πολιτείαν· καὶ τὸ τοῦ παρόντος βίου βλαβερὸν ὅση δύναμις φεύγειν. Καθάπερ δὲ πολεμίων ἐπιδρομῆς

Ego quidem summa secutus sum prædictorum fastigia, et nunc sequentia Evangelii verba prætereo; video enim horam quæ ad necessitates corporis et opera vitæ vos invitat. Vos autem istam considerate Samaritidem; nam ut audivit evangelica dicta quæ modo nos charitati vestræ retulimus, statim necessaria corporis contempsit, reliquit hydriam et domum, currensque ad urbem, adductis Samaritanis, rursus cum eis ad Christum redivit, quibus aperte dixit: Venite, me sequimini, et vos adducam et monstrabo vobis Salvatorem qui de cœlis in terras advenit. Quos ita inde perductos Christo obtulit; nos vero docet, dum relinquit hydriam et domum, valde pretiosiorem ducere temporalibus necessitatibus doctrinæ utilitatem, quam Dominus optimam partem dixit [88], Martham in Evangelio de Maria quæ sermones auscultabat affatus. Si vero necessaria contemnere oportet, quanto magis cætera? Quid enim te impedit, quid te ab audiendis sermonibus animæ utilibus avertit? An domi, vel liberorum vel mulieris cura? num particularis aliquis sive domesticus mœror sive lætitia? An emendæ opes vel venumdandæ? An bonorum tuorum usus seu potius abusus? Sed audi et intellige Apostoli doctrinam: « Tempus ait, fratres, breve est; reliquum est ut et qui habent uxores, tanquam non habentes sint; et qui flent, tanquam non flentes; et qui gaudent, tanquam non gaudentes; et qui emunt, tanquam non possidentes; et qui utuntur hoc mundo, tanquam non utantur; præterit enim figura hujus mundi [89]. » Quod est tempus istud breve? Brevis est vita, mors proxima, corruptibilis iste mundus, alter qui semper manet. Nos autem tute ad illum conducit præsentis mundi contemptus, si et ad futurum parati sumus, si pro viribus ab his abstracti secundum illam conversationem vivamus, et virtus in eo est ut quod noxium est hujus mundi fugiamus. Quemadmodum hostibus in suburbia irruentibus, agros habemus tanquam non habentes, et plerumque illos fugientes intus tuti ambulamus, et si ad tempus recesserint inimici, breviter utimur ambulacris urbi subjacentibus, non autem abutimur; contractum enim conspicimus usus tempus: ita ad hoc mundo utendum, et non abutendum hortatur Apostolus:

[88] Luc. x, 42. [89] I Cor. vii, 29.

Digitized by Google

nam hostes invisibiles intuetur vehementer invadentes, instansque exitium; præterit enim, inquit, figura hujus mundi, non quidem firmiter constitit, sed sicut dixit, præsentia non sunt nisi mera species; fiunt et jam non sunt, paulisper apparent et transeunt, et si quis voluerit possidere, nequaquam poterit; ita æstate nubes sicca vento rapitur et statim secum umbram aufert. Quod nos hortatur ut manifestam habeamus voluntatem, et ostendamus nos cognoscere doctrinam a Deo acceptam; nam frustra velles, sicut jam dixi, aufugientia hæc bona possidere, hocque propter duplicem rationem: nam non iste modo mundus transit, sed etiam quisque ex nobis qui rebus hujus mundi utimur, fere ante ea quæ manu tenemus transit. Sic si quis iter faciens viam ante oculos late patentem arripit, alterutrum necessario accidit: vel illa eum in via occurrentia prætergredientem frangit, et jam quæ possedit ille jam non possidebit, vel ille viam vitæ exhaurit et jam vitæ bona possidere non poterit; nam, cum sit mortalis, rebus vitæ comparatur homo quæ et ipsæ mutationi subjacent.

A ἐπὶ τὰ ἐκτὸς τῆς πόλεως πυκνὰ γινομένης, τοὺς ἀγροὺς ἔχομεν ὡς μὴ ἔχοντες· καὶ τὸν πλείω χρόνον ἐκείνους φεύγοντες, ἐντὸς ἐν ἀσφαλείᾳ καθήμεθα·
115 κἂν ἐπὶ καιρὸν ἀναχωρήσωσιν οἱ πολέμιοι, χρώμεθα πρὸς βραχὺ τοῖς πρὸ τοῦ ἄστεος περιπάτοις, ἀλλ' οὐ καταχρώμεθα, τὸν καιρὸν τῆς χρήσεως συνεσταλμένον ὁρῶντες· οὕτω καὶ τῷ κόσμῳ τούτῳ χρῆσθαι, καὶ μὴ καταχρῆσθαι παραινεῖ καλῶς ὁ Ἀπόστολος· ὁρᾷ γὰρ τοὺς ἀοράτους πολεμίους δεινῶς ἐπεμβαίνοντας, καὶ τὸ προσδόκιμον τῆς φθορᾶς· παράγει γὰρ, φησὶ, τὸ σχῆμα τοῦ κόσμου τούτου· καίτοι ἐπειδήπερ οὐ κυρίως ὑφέστηκεν, ἀλλ' ὡς εἶπε, σχηματισμός ἐστι τὰ παρόντα μόνον, καὶ γίνεται μὲν, οὐκ ἔστι δὲ, πρὸς ὀλίγον φαινόμενά τε καὶ παρερχόμενα· κἂν τις ἐθέλῃ κατέχειν, οὐ δυνήσεταί
B ποτε, καθάπερ θερινῆς ἀγόνου νεφέλης ἐλαυνομένης ὑπ' ἀνέμου, καὶ ταχὺ παρατρεχούσης σκιάν. Διὰ μόνον τὸ φανερὰν γενέσθαι τὴν ἑκάστου πρόθεσιν ἡ παραίνεσις, καὶ τὸ δοῦναι σημεῖον τῆς ἐπιγνώσεως τῶν παρὰ Θεοῦ διδαγμάτων· κἂν γὰρ ἐθέλῃ τις κα[τέ]χειν, καθάπερ ἔφην, οὐ καθεκτὰ τὰ παρόντα, καὶ τοῦτο διχῶς· οὐ γὰρ μόνον ὁ κόσμος οὗτος παράγει, ἀλλὰ καὶ ἡμῶν ἕκαστος τῶν τῷ κόσμῳ τούτῳ χρωμένων ἔσθ' ὅτε καὶ πρὸ τῶν ἀνὰ χεῖρας ἐν τῷ κόσμῳ παράγει. Καὶ καθάπερ ὁδόν τινα βαδίζων παρέρχεται πᾶς ἄνθρωπος, καὶ αὐτὴν πολυειδῶς κινουμένην καὶ παρερχομένην αὐτὸν, καὶ δυοῖν ἐξ ἀνάγκης ἐκβαίνει θάτερον, ἢ πρότερα τοῦτον τὰ τῆς ὁδοῦ παρελθόντα φθάνει, καὶ ἃ κατεῖχεν οὗτος οὐκέτ' ἔχει κατέχειν, ἢ αὐτὸς φθάνει τελείως παρελθὼν τὴν τοῦ βίου ταύτην ὁδὸν, καὶ οὐκέτ' ἔχει κατέχειν τὰ ἐν τῷ βίῳ· θνητὸς γὰρ ὢν ὁ ἄνθρωπος τοῖς ἐν τῷ βίῳ συνημμένος ἐστὶν, ἃ ἔστι καὶ ταῦτα τρεπτά.

Hoc modo multimode mutatur mutabilibus comparatus, vel amittit quæ habuit tam divitias quam decus et magnanimitatem, vel ipse sibi moribundo principaliorem infert mutationem, nudus vadit, relictis opibus hisque innixa spe. Hæc, inquies, liberis accident? sed quæ illi inde voluptas? His enim jam non ipse fruetur, liberi autem alio modo alii interibunt. Igitur semper est calamitas exitus eorum qui hunc mundum adamant, qui nudi ultimum efferuntur, omnibus hic relictis quæ prius diligebant. Eis vero qui hunc mundum aspernantur, qui discere student de mundo futuro, patrandisque incumbunt eis quæ ad eum prosint, mors superveniens damnum nequaquam affert, sed potius transfert ab his vanis et fluxis ad diem quæ nescit occasum, ad vitam immortalem, ad divitias inexhaustas, ad voluptates intemeratas, ad gloriam æternam, quam consequi concedat gratia et benignitas ejus qui cœlos inclinans descendit pro nobis, non solum ad nos, sed et ad animas in limbis detentas, et inde per resurrectionem novamque ascendit, nobis per semetipsum largiens lucem et cognitionem et spem cœlestium et æternorum, in quibus glorificatur in sæcula sæculorum. Amen.

Εἰ οὖν πολυτρόπως τρέπεται τοῖς τρεπτοῖς συνημμένος, καὶ ἀπώλεσεν ἃ κατεῖχε, πλοῦτον ἴσως, περιφάνειαν, εὐθυμίαν· ἢ θανὼν αὐτὸς ἑαυτῷ φθά-
C νει, τὴν τροπὴν κεφαλαιωδέστερον ἐπενεγκὼν, καὶ γυμνὸς ἄπεισι, τὰ νῦν ὄντα καὶ τὰς ἐπὶ τούτοις ἐλπίδας καταλιπών. Παισὶν ἴσως; ἀλλὰ τίς καὶ τούτου τέρψις; αὐτῷ μὲν γὰρ αἴσθησις οὐκέτ' ἔστι τῶν ἐνταῦθα, οἱ δὲ παῖδες τὸν ἴσον, ἢ τὸν ἕτερον διαπεσοῦνται τρόπον. Συμφορὰ οὖν ἀεὶ τῶν τῷ κόσμῳ τούτῳ προσκειμένων τὸ τέλος, γυμνῶν ὕστατον ἐκφερομένων, καὶ πάντα καταλιμπανόντων ἐνταῦθα τὰ καταθύμια. Τοῖς δὲ τὰ τοῦ κόσμου τούτου περιφρονοῦσι, καὶ μανθάνειν ζητοῦσι περὶ τοῦ μέλλοντος κόσμου, καὶ πράττειν σπεύδουσι τὰ λυσιτελήσοντα πρὸς ἐκεῖνον, οὐ ζημίαν ὁ θάνατος ἐπελθὼν ἐπάγει· μετάγει δὲ τούτους μᾶλλον ἀπὸ τῶν ματαίων καὶ ῥευστῶν τούτων πρὸς ἡμέραν ἀνέσπε-
D ρον, πρὸς ζωὴν ἀθάνατον, πρὸς πλοῦτον ἀδαπάνητον, πρὸς τρυφὴν ἀκήρατον, πρὸς δόξαν ἀΐδιον, πρὸς τὰ ὄντως ὄντα καὶ ἀναλλοίωτα διαμένοντα. Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κλίναντος οὐρανοὺς καὶ καταβάντος ὑπὲρ ἡμῶν, οὐ μέχρι μόνον ἡμῶν, ἀλλὰ μέχρι καὶ τῶν συγκεκλεισμένων ἐν τοῖς καταχθονίοις ψυχῶν· κἀκεῖθεν δι' ἀναστάσεως καὶ παλινζωΐας ἀναδραμόντος, καὶ ἡμῖν παρασχόντος δι' ἑαυτοῦ τὸν φωτισμὸν, καὶ τὴν γνῶσιν, καὶ τὴν ἐλπίδα τῶν οὐρανίων καὶ ἀϊδίων, ἐν οἷς ἐστι δεδοξασμένος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

—

Digitized by Google

## 116 ΟΜΙΛΙΑ Κ' (1).

A

*Εἰς τὸ κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην ὄγδοον ἑωθινὸν Εὐαγγέλιον· ἐν ᾗ καὶ ὅτι μεγάλων δωρεῶν ἀξιωθήσονται οἱ μέχρι τέλους μετ' εὐλαβείας ἐν ταῖς ἱεραῖς συνάξεσι παραμένοντες.*

Ἰωάννης ὁ παρθένος, καὶ τὴν ἐν μητράσι μόνην παρθένον μητέρα κατὰ χάριν μόνος πλουτήσας, ὁ τῷ Χριστῷ διαφερόντως ἠγαπημένος, ὁ καὶ τῆς βροντῆς, ἣν ὁ Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησε, μᾶλλον τῶν ἄλλων εὐαγγελιστῶν χρηματίσας υἱὸς, διὸ καὶ μεγαλοφωνοτέρῳ χρησάμενος τῷ κηρύγματι, διατρανῶν ἡμῖν τὰ τῆς ἐκ νεκρῶν Δεσποτικῆς ἀναστάσεως, καὶ τὸν τρόπον τῆς μετὰ τὴν αὐτοῦ ἀνάστασιν φανερώσεως ἱστορῶν, τῇ μὲν παρελθούσῃ Κυριακῇ, διὰ τῆς κατ' αὐτὸν εὐαγγελικῆς B συγγραφῆς ἐπ' ἐκκλησίας ἠκούετο, λέγων· « Τῇ μιᾷ τῶν Σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου· τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, » ἑαυτὸν ἐντεῦθεν δηλῶν. Νῦν δὲ ἠκούσαμεν αὐτοῦ λέγοντος, « Μαρία δὲ εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω· » αὐτὸς μὲν γὰρ ὁ Ἰωάννης μετὰ τοῦ Πέτρου παρ' αὐτῆς ἀκούσαντες, καὶ δραμόντες ἐπὶ τὸ μνῆμα τὸ ζωαρχικὸν εἶδον ἃ εἶδον, καὶ διὰ τεκμηρίων πιστεύσαντες καὶ θαυμάσαντες ἀπῆλθον πρὸς ἑαυτούς. Παραμείνασα δὲ ἡ Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω· δῆλον, ὡς μήπω πληροφορίαν τινὰ λαβοῦσα περὶ τῆς Δεσποτικῆς ἀναστάσεως· C καίτοι δὶς ἤδη μεθ' ἑτέρων ἦλθεν ἐπὶ τὸ μνῆμα· πρῶτον μὲν μετὰ τῆς Θεομήτορος, ὡς ὁ Ματθαῖος ἱστόρησε γράφων· « Ὀψὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν Σαββάτων, ἔρχεται Μαρία ἡ Μαγδαληνὴ, καὶ ἡ ἄλλη Μαρία, θεωρῆσαι τὸν τάφον· καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας, » καὶ ὅσα τῶν ἑξῆς. Εἶτα νῦν ἔρχεται μετὰ Πέτρου καὶ Ἰωάννου, οἳ καὶ δι' ὧν εἶδον πιστεύσαντες καὶ θαυμάσαντες ἀπῆλθον. Δὶς οὖν μεθ' ἑτέρων ἐπὶ τὸν τάφον ἐλθοῦσα, πάντων ἐκείνων τῶν συνελθόντων πιστευσάντων καὶ πληροφορηθέντων, ὡς μηδεμίαν αὕτη πληροφορίαν λαβοῦσα ἀπαραμύθητα κλαίει. Ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν κατ' ἀρετὴν ἀγώνων τελούμενον· τοῖς μὲν γὰρ τῶν ἀγωνιζομένων εὐθὺς ἡ χάρις ὑπαντᾷ, καὶ πληροφορίαν D αὐτοῖς παρέχει τῶν ἀῤῥαβώνων, γεύουσα τῶν ἐπηγγελμένων ἐπάθλων, οἱονεὶ προτείνουσα φιλάνθρωπον χεῖρα, καὶ δεξιουμένη τούτους, καὶ πρὸς τὰ ἑξῆς ὑπαλείφουσα· τῶν δὲ τὸ τέλος ἀναμένει τῆς ἀγωνίας, ἑτοιμάζουσα πάντως τούτοις καὶ τῆς ὑπομονῆς τοὺς στεφάνους, ὥς καί τινα λέγειν τῶν θεοφόρων Πατέρων· Οἱ μὲν πρὸ τῶν καμάτων, οἱ δὲ ἐν τοῖς καμάτοις, οἱ δὲ ἐν τῇ ἐξόδῳ τὰς ὁσίας ἀμοιβὰς ἐκδέχονται. Γίνεται δὲ ταῦτα τῆς πανσόφου τοῦ Θεοῦ προνοίας πολυτρόπως οἰκονομούσης τὰ καθ' ἡμᾶς, καὶ τὸ προσῆκον καὶ λυσιτελὲς ἑκάστῳ φιλανθρώπως νεμούσης ἐπί τε τῶν τῆς ἀρετῆς ἔργων,

## HOMILIA XX.

*In matutinum octavum Evangelii secundum Joannem [20], in qua et de magnis charismatibus qu bus digni habebuntur qui in sacris synaxibus usque in finem pie perseverant.*

Joannes ille qui virgo remansit et solam inter matres virginem matrem mira gratia tanquam thesaurum pretiosissimum accepit, Joannes ille quem Christus specialiter diligebat, qui Boanerges seu tonitrui filius, quod Christus in cœlum evexit et tonavit, filius potius quam alii evangelistæ appellari meruit, et ideo fragosiore buccina personans, illustrans nobis Dominicæ ex mortuis resurrectionis prodigia et modum quo post resurrectionem sese manifestavit lucidius enarrans, præterita Dominica ex ejus evangelicis scriptis in ecclesia audiebatur dicens: « Una autem Sabbati Maria Magdalene venit mane, cum adhuc tenebræ essent, ad monumentum, et vidit lapidem sublatum a monumento. Currit ergo et venit ad Simonem Petrum, et ad alium discipulum quem amabat Jesus, » ipse seipsum adaperiens. Eumdem nunc audivimus dicentem: « Maria autem stabat ad monumentum foris plorans. » Ipse enim Joannes et Petrus, Maria audita, currentes ad monumentum quo orta est vita viderunt, et cum vidissent, et per testimonia mirati credidissent, abierunt ad semetipsos. Maria vero morata stabat ad monumentum foris plorans, sane quia Dominicæ resurrectionis certitudinem nondum habebat. Bis tamen jam cum aliis ad monumentum venerat, primum quidem cum Deipara, ut Matthæus enarravit scribens: « Vespere Sabbati quæ lucescit in prima Sabbati venit Maria Magdalene et altera Maria videre sepulcrum, et ecce terræ motus factus est magnus, » et sic deinceps. Deinde mane venit cum Petro et Joanne, qui ex visis credentes miratique abierunt. Bis ergo licet monumentum adivisset, dum omnes cum ea convenientes crederent et persuasi manerent, sola, quasi nulla accepta suasione, inconsolata plorat Maria. Videret quis ista in luctis virtutis gratia susceptis expleri. Aliis quidem inter luctantes statim gratia subvenit, arrhabonum sponsionem præbet, illos ad gustanda promissa bravia disponit, quasi protendens benignam manum et illos blande accipiens et ad futura ungens. Alios vero luctæ finis manet, quibus prorsus parantur pro patientia mercedes. Unde recte unus ex divis Patribus dixit: Alii ante labores, alii inter labores, alii in exitu remunerantur. Contingunt ista, sapientissima Dei providentia multimode nostra disponente, et cuique apta et utilia distribuente, sive in operibus virtutis, sive in fidei certaminibus. Sapienter ergo et benigne de Maria Magdalene providens Dominus, nondum illam accipere firmam suæ resurrectionis notitiam profuturum judicavit, sicque per eam secuturos ad perseverantiam addu-

[20] Joan. xx, 1 seqq.

(1) Inter eas quas edidit Matthæius octava, p. 96.



Digitized by Google

cendo convertit. Quibus enim muneribus donata fuerit post ejus constantiam firmamque perseverantiam audiamus. Dum ergo fleret, ait Evangelista, inclinavit se et prospexit in monumentum, et vidit duos angelos in albis sedentes, unum ad caput et unum ad pedes ubi positum fuerat corpus Jesu. Sese inclinare et oculos in monumentum circumjicere, altæ est significationis. Verum primo inspicere oportet quomodo, cum adhuc tenebræ essent, sicut superius dixit Evangelista, Maria tamen omnes et singulas partes aspexit, et exterior interiora sepulcri intuita est. Patet exterius adhuc tenebras fuisse, visibili die nondum penitus fulgente; sepulcrum autem luce clarescebat quæ a Maria divinitus aspecta ardentiore in Christum desiderio animam ejus incendit, et oculis largita est virtutem angelicam visionem contemplandi, nec videndi tantum, sed etiam cum angelis colloquendi. Tale erat illud lumen quo in albis vestitos vidit angelos, non modo propter puritatem et splendorem angelicæ virtutis, sed tanquam clarificantes et illustrantes resurrectionis mysterium, simulque nobiscum opere concelebrantes vere luciferam diem Dominicæ resurrectionis. Sedebant autem quasi ut, me judice, viderentur non tunc intrare, sed jam prius adfuisse, etsi non apparuissent, itaque intelligeret quanti ordinis essent qui licet præsentes non videbantur. Censeo vero eos sedisse ex desiderio magis accedendi ad locum ubi prius jacebat corpus Domini. Cum enim ex charitate nati essent sedere ad monumentum, unus ad caput et unus ad pedes, monstrabant pari desiderio parique honore angelos colere Christi divinitatem cujus symbolum erat capitis locus, et ejus incarnationem quam figurabat pedum locus.

A καὶ **117** τῶν μυστηρίων τῆς πίστεως. Σοφῶς οὖν οὕτω καὶ φιλανθρώπως καὶ τὰ κατὰ τὴν Μαγδαληνὴν Μαρίαν οἰκονομῶν ὁ Δεσπότης, λαβεῖν οὔπω τότε τὴν πληροφορίαν τῆς αὐτοῦ ἀναστάσεως ἐδικαίωσεν, ἅμα δι' αὐτῆς καὶ τοὺς ἔπειτα πρὸς ὑπομονὴν ἐνάγων καὶ προτρεπόμενος· τίνων γὰρ ἠξιώθη μετὰ ταῦτα διὰ τὴν αὐτῆς καρτερίαν, καὶ τὴν ἐπίμονον προσεδρίαν ἀκούσωμεν· « Ὡς οὖν ἔκλαιε, φησί, παρέκυψεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. » Τὸ μὲν οὖν παρακύπτειν, καὶ τὰ ὄμματα περιπαθῶς ἐπὶ τὸ μνῆμα στρέφειν τῆς ἄκρας διαθέσεως ἦν· ἐκεῖνο δὲ σκοπῆσαι δεῖ πρῶτον, πῶς σκοτίας ἔτι οὔσης, ὡς ἀνωτέρω φησὶν ὁ εὐαγγελιστής, ἀκριβῶς αὕτη πάντα ἑώρα, καὶ κατὰ μέρος B ἕκαστον, καὶ ταῦτα ἔξωθεν, τὰ ἐντὸς ὄντα τοῦ σπηλαίου. Δῆλον οὖν, ὅτι ἔξωθεν ἦν σκοτία ἔτι, μήπω τῆς αἰσθητῆς ἡμέρας τελέως ἐκφανείσης· τὸ δὲ σπήλαιον ἐκεῖνο τοῦ φωτὸς τῆς ἀναστάσεως ἔγεμεν, ὃ τῇ Μαρίᾳ θείως ὁρώμενον, τόν τε πρὸς Χριστὸν πόθον ἤγειρεν ἐπὶ τὸ μεῖζον, καὶ δύναμιν παρεῖχε τοῖς ἐκείνης ὄμμασιν ἀγγελικῆς ὀπτασίας ἀντιλαμβάνεσθαι, καὶ μὴ μόνον ὁρᾷν, ἀλλὰ καὶ προσλαλεῖν ἀγγέλοις δύνασθαι· τοιοῦτον γὰρ ἐκεῖνο τὸ φῶς. Ἐν λευκοῖς δὲ τούτους εἶδεν ἠμφιεσμένους, οὐ μόνον διὰ τὸ καθαρὸν καὶ φωτοειδὲς τῆς τῶν ἀγγέλων φύσεως, ἀλλὰ καὶ ὡς λευκαίνοντας καὶ διασαφοῦντας τὸ τῆς ἀναστάσεως μυστήριον, ἅμα δὲ καὶ ὡς ἔργῳ συνεορτάζοντας ἡμῖν τὴν ὄντως λαμπροφόρον ἡμέ- C ραν τῆς Δεσποτικῆς ἀναστάσεως. Καθεζομένους δὲ, ἵνα ἐπιγνῷ μὴ τότε ἐλθόντας, ἀλλὰ καὶ πρότερον παρόντας, εἰ καὶ μὴ πρότερον ἐφαίνοντο, καὶ τῆς τούτων ἀξίας ἐν περινοίᾳ γένηται ἀναλογισαμένη τίνες οὗτοι, οἳ καὶ παρόντες οὐχ ἑωρῶντο. Ἐποίει δὲ τούτους οἶμαι καθῆσθαι καὶ ὁ πόθος τοῦ προσεγγίζειν μᾶλλον τῷ τόπῳ, ἐν ᾧ πρότερον ἔκειτο τὸ σῶμα τὸ Δεσποτικόν· οἱονεὶ γὰρ ὑπὸ τῆς ἀγάπης προσεφύοντο τῷ μνήματι καθεζόμενοι, εἷς πρὸς τῇ κεφαλῇ, καὶ ὁ ἕτερος πρὸς τοῖς ποσὶ, καὶ δεικνύντες ἐπίσης ἐφετὸν καὶ τίμιον ἀγγέλοις, καὶ τὴν τοῦ Χριστοῦ θεότητα, ἧς σύμβολον ὁ τῆς κεφαλῆς τόπος, καὶ τὴν ἐνανθρώπησιν αὐτοῦ, ἧς τύπος ὁ τόπος τῶν ποδῶν.

« Illi autem ad Mariam: Quid ploras, mulier? aiunt; » cœlum vides in specu, seu potius cœleste templum pro terreno tumulo, pro carcere exstructum, cœlestibus angelis pro terrenis custodibus repletum, quibus non modica est gloria Dei vivi sepulcrum custodire, et qui lætantur illud prædicantes vacuum. Tu vero, mulier, quid ploras? Non interrogant quasi si ignorarent quod quærebant, sed ut mœrore represso, illam suarum cogitationum compotem efficerent sicque opus suum explendi locum acciperent. Opus autem angelorum ad tumulum Dei vivi sedentium non aliud erat ac resurgentis gloriam nuntiare. Sciscitatis ergo angelis quare ploraret: « Quia, inquit Maria, tulerunt Dominum meum, et nescio ubi posuerunt eum. Hæc cum dixisset, conversa est retrorsum. » Quid ergo incitavit Mariam ut subito retrorsum converteretur? Sane angelorum ad Dominum famularis adoratio et inclinatio. Illa quidem Jesum sui solius Dominum appellabat, et furtum nominabat corporis translationem, osten-

« Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι, Γύναι, τί κλαίεις; » Οὐρανὸν ὁρᾷς τὸ σπήλαιον, μᾶλλον δὲ ναὸν οὐράνιον ἀντ' ἐπιγείου τάφου καὶ δεσμωτηρίου τετελεσμένον, ἀγγέλων οὐρανίων ἀντ' ἐπιγείων φυλάκων πεπληρωμένον, σεμνυνόντων ἐξόχως ὡς Θεοῦ ζωοδότου D τόπον, καὶ σὺν χαρᾷ περιεπόντων τοῦτον κενόν. Σὺ δὲ, γύναι, τίνος ἕνεκα κλαίεις; Οὐχ ἀγνοοῦντες δὲ τὰ κατ' αὐτὴν ἐρωτῶσιν, ἀλλ' ἵνα τὸ πένθος ἀναστείλαντες κυρίαν αὐτὴν ποιήσωσι τῶν οἰκείων λογισμῶν, καὶ λάβωσι χώραν ἐκτελέσαι τὸ οἰκεῖον ἔργον· ἔργον δὲ ἀγγέλων παρακαθημένων τῷ τάφῳ τοῦ Ζωοδότου τὴν τοῦ ἀναστάντος δόξαν ἐξαγγέλλειν. Ἀλλὰ τῶν ἀγγέλων ἐρωτησάντων τίνος ἕνεκα κλαίει, « Ὅτι ἦραν τὸν Κύριόν μου, φησὶν ἐκείνη, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν· καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω. » Τί τὸ τὴν Μαρίαν παρασκευάσαν ἐξαίφνης εἰς τὰ ὀπίσω στραφῆναι; Πάντως ἡ τῶν ἀγγέλων πρὸς τὸν Δεσπότην ἐπιφανέντα δουλικὴ νεῦσις καὶ προσοχή· ἐκείνη μὲν γὰρ ἑαυτῆς μόνης Κύριον αὐτὸν ἐκάλει, καὶ κλοπὴν ὑπενόει,

Digitized by Google

καὶ μετάθεσιν τοῦ σώματος, διάθεσιν μὲν πρὸς αὐτὸν ἐκ ψυχῆς ἐνδεικνυμένη, μηδὲν δὲ θεοπρεπὲς περὶ αὐτοῦ φρονοῦσα. Οἱ δὲ δι' ἔργων παριστᾶσι καὶ αὐτῶν τῶν ἀγγέλων τοῦ Θεοῦ τοῦτον εἶναι Κύριον· μήπω γὰρ ἐκείνου ἐπιφαινομένου αὐτοὶ παρεκάθηντο τῷ τάφῳ, τοῦ Δεσπότου δὲ καταντικρὺ ἐπιφανέντος ἐξανέστησαν εὐθὺς, καὶ τούτῳ μετ' εὐλαβείας καὶ θάμβους ἐν οἰκετικῷ σχήματι 118 προσεῖχον ἀτενῶς. Στραφεῖσα δὲ ἡ Μαρία θεωρῆσαι τί τὸ ἀγγέλους ἐκπλῆξαν καὶ μόνον φανὲν, θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, οὐ μέντοι ᾔδει, ὅτι Ἰησοῦς ἐστιν, ἀνήκουστον καὶ δυσπαράδεκτον ἔχουσα τὴν ἀνάστασιν. Ἐπεὶ δὲ καὶ ἀμυδρὸν ἐκτὸς ὑπῆρχεν ἔτι τὸ τῆς ἡμέρας φῶς, καὶ ὁ Κύριος οὐκ ἐπεδείκνυ ταύτῃ τὴν θείαν λαμπρότητα, ὡς ἂν αὐτὸς ἐκεῖνος ὢν ὁ καὶ παθὼν γνωρίζηται, ἡ Μαρία οὐκ ἐπέγνω B αὐτὸν, ἀλλὰ καὶ κηπουρὸν τῶν ἐκεῖ φυτῶν ὑπενόει, τὸν γεωργὸν τῶν ψυχῶν, τὸν δημιουργὸν τοῦ παντός. Ὡς δὲ φωνήσας ἐκεῖνος καὶ καλέσας αὐτὴν ἐξ ὀνόματος, ἐγνώρισεν αὐτὸν, Μαρία, εἰπὼν, ἀπεκρίνατο στραφεῖσα τὴν γνώμην ἐκείνη, καί φησι, Ῥαββουνὶ, ὃ λέγεται διδάσκαλε· οὐδὲ οὕτως εἰ καὶ ζῶντα τοῦτον ἑώρα, θεοπρεπές τι λαβοῦσα ἐπὶ νοῦν, ἀλλ' ὡς ἁπλῶς ἀνθρώπῳ Θεοῦ, καὶ διδασκάλῳ τῶν θείων προσέχουσα, διὸ μὴ μόνον προσπεσεῖν, ἀλλὰ καὶ ἅψασθαι τῶν αὐτοῦ ποδῶν ὑπὸ τῆς ἀγάπης ὥρμησεν, ἀλλ' ἀκούει, Μή μου ἅπτου· ἐπειδὴ γὰρ, φησὶν, ἡ σὴ διάνοια τοῦ ὕψους οὐχ ἥψατο τοῦ κατ' ἐμὲ μυστηρίου, ὅτι Θεὸς ὢν, ἐν σώματι νῦν ὁρῶμαι διὰ σὲ, καὶ τούτων νῦν μάλιστα θεοειδεῖ, διὰ τοῦτο, Μή μου ἅπτου. Ἔδει δὲ καὶ τοῦτο τηρηθῆναι τῇ τοῦ Θεοῦ Μητρὶ, τὸ μόνην αὐτὴν ἐν γυναιξὶν ἅψασθαι τοῦ σώματος μετὰ τὴν ἀνάστασιν τοῦ C ἐξ αὐτῆς δι' ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ, ὃ καὶ γέγονεν, ὡς ὁ εὐαγγελιστὴς Ματθαῖος ἱστορεῖ· διὰ ταύτην γάρ φησιν, ὅτι προσελθοῦσαι ἥψαντο τῶν ποδῶν· τῇ δὲ Μαρίᾳ φησὶ, Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου. Τοῦτο συνηρτημένον μέν ἐστι τοῖς ἑξῆς πρὸς τοὺς μαθητὰς αὐτοῦ λόγοις, ὅτι Ἀναβαίνω πρὸς τὸν Πατέρα μου· οὔπω γὰρ ἀναβέβηκα. Λέγει δὲ τοῦτο, ἐμμερίμνους αὐτοὺς ποιῶν καὶ σπουδαιοτέρους, καὶ διεγείρων πρὸς ἐπιπόθησίν τε καὶ ζήτησιν τῆς αὐτοῦ θέας. Ἔχει δέ τι καὶ πρὸς τὴν Μαγδαληνὴν Μαρίαν, Μή μου γὰρ ἅπτου, φησὶν, ὅτι τοιοῦτο νῦν ἐστιν ὃ περίκειμαι σῶμα, ὡς καὶ πυρὸς ἀνωφερέστερον εἶναι D καὶ δραστικώτερον, καὶ μὴ μόνον ἀναβαίνειν δύνασθαι πρὸς οὐρανὸν, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν ὑπερουράνιον Πατέρα· οὔπω δὲ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου, ὅτι οὔπω μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἑαυτὸν ἐφανέρωσα τοῖς οἰκείοις μαθηταῖς. Πορεύου οὖν πρὸς τοὺς ἀδελφούς μου τούτους· ἑνὸς γὰρ ἐσμεν πάντες, εἰ καὶ μὴ κατὰ τὸν αὐτὸν τρόπον· ἐγὼ μὲν γὰρ ὡς γνήσιος ἐκείνῳ καὶ ὁμοφυὴς, ἐκεῖνοι δὲ ὡς δι' ἐμοῦ υἱοποίητοι τούτῳ γεγονότες.

A dens animum revera ad eum attendere, sed de illo nihil Dei dignum cogitans. Illi autem palam faciunt et ipsorum Dei angelorum eumdem esse Dominum. Quo nondum apparente, angeli ad monumentum sedebant, Domino autem palam exstante, statim surrexerunt, et ipsi non minus devoti quam mirati in propria specie attente adfuerunt. Maria vero conversa ut videret quid vix apparens angelos perculisset, vidit Jesum stantem. Nesciebat tamen quia Jesus esset, inauditam et fere incredibilem habens ejus resurrectionem, et tenebris adhuc superantibus diei lucem, Dominoque non revelante divinum splendorem quo vivus vel etiam patiens recognitus fuisset, Maria eum non agnovit, verum hortulanum sibi fingebat animarum cultorem, B orbis conditorem. Qui cum locutus esset, eamque nomine suo vocavisset, dicens : « Maria, » mutata sententia respondit et ait : Rabboni, quod dicitur magister. Attamen etsi vivum videret, nihil divinum in mente concepit, sed tanquam merum Dei hominem, tanquam divinorum mysteriorum doctorem affata est. Ideo non tantum ut procumberet ad genua, sed etiam ut pedes peramanter tangeret prosilivit. At audit : « Noli me tangere ; » quasi si diceret : Quia mens tua non tetigit mysterii mei altitudinem ; cum enim Deus sim, tuis oculis in corpore divina gloria circumfuso conspicior, propterea noli me tangere. Hoc reservari decebat Deiparæ quæ sola in mulieribus post resurrectionem corpus tangere obtineret, Deo ex ipsa propter nos incarC nato. Quod factum est, sicut evangelista Matthæus edisserit. Illius enim gratia ait, quoniam accedentes tenuerunt pedes ejus. Ad Mariam autem, « Noli me tangere, inquit, nondum enim ascendi ad Patrem.» Quod apte concordat eis quæ postea ad discipulos dixit : « Quia ascendo ad Patrem, nondum enim ascendi. » Tali sermone utitur ut eos sollicitiores et diligentiores reddat et majori inflammet desiderio quo ejus aspectum quærerent. Addit vero aliquid Mariam Magdalenam allocutus ; ait enim : Noli me tangere, quia hoc corpus quo induor igne volatilius est et tractabilius, ita ut non tantum ad cœlum, sed etiam ad Patrem cœlo excelsissimo excelsiorem possit ascendere. Nondum autem ascendi D ad Patrem meum, quia nondum ex quo a mortuis resurrexi, meipsum meis manifestavi discipulis. « Vade ergo ad fratres meos, » unius enim Patris sumus, sed non eodem modo ; ego quidem ex natura et secundum essentiam, illi autem per me ab ipso adoptati. »

« Πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς, ὅτι ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν· » ὡς γὰρ ἡμῶν μὲν Πατήρ ἐστι χάριτι διὰ τοῦ τῆς υἱοθεσίας Πνεύματος, ἐκείνου δὲ Πατὴρ φύσει κατὰ τὴν θεότητα. οὕτως ἡμῶν μὲν Θεὸς, ὡς τῆς φύσεως δη-

Vade, inquam, ad istos fratres meos, et dic illis quia ascendo ad Patrem meum et Patrem vestrum, ad Deum meum et Deum vestrum. » Nam sicut noster gratia est Pater per adoptionis Spiritum, illius autem natura Pater secundum ipsam divinitatem, ita noster est Deus tanquam naturæ

Digitized by Google

procreator, illius vero Deus per humanitatis dispensationem. Propterea separative locutus est, ut nos consentaneum sentiamus discrimen. Per hoc signum quia ascendit ad Patrem, illos adduxit ad intelligendum de suo corpore, quoniam non est illud quale semper in terra sicut prius versatum erat et in medio eorum usque exstiterat.

A μιουργὸς, ἐκείνου δὲ διὰ τὴν κατὰ τὸ ἀνθρώπινον οἰκονομίαν, καὶ διὰ τοῦτο κεχωρισμένως εἶπεν, ἵνα ἡμεῖς τὴν κατάλληλον διαφορὰν ἐννοήσωμεν. Ἐνῆγε δὲ κἀκείνους διὰ τοῦδε τοῦ μηνύματος, ὅτι ἀναβαίνει πρὸς τὸν Πατέρα, περὶ τοῦ οἰκείου σώματος ἐννοεῖν, ὡς τοιοῦτόν ἐστιν, οἷον ἐπὶ γῆς ἀεὶ καθάπερ καὶ πρότερον στρέφεσθαι, καὶ συνεῖναι τούτοις διὰ παντός. Ἀλλ' ἡ μὲν Μαγδαληνὴ Μαρία, ἣν καὶ ὡς μίαν τῶν τοῦ Χριστοῦ μυροφόρων ὑμνοῦμεν, εἰς ἣν ἀπελαθέντων παρὰ Χριστοῦ τῶν ἑπτὰ πνευμάτων τῆς πονηρίας, ἀντεισῳκίσθη πάντως ἑπταχῶς ἐνεργοῦσα θεία χάρις τοῦ Πνεύματος.

Interea Maria Magdalena quam solam ex Christi unguentariis cognoscimus, in quam, ejectis a Christo septem spiritibus nequitiæ, horum loco sedem elegerat septiformis divini Spiritus operatrix gratia, Maria, inquam, Magdalena propter constantem perseverantiam angelorum aspectus et conversationis præmio donata et ipso conspecto Domino, ejus apostola ad apostolos efficitur, et ab ipso Dei ore edocta et omnino convicta vadit ad apostolos ipsis nuntiatura quoniam vidit Dominum isque hæc ipsi dixit. Nos vero, fratres, consideremus quantam Maria Magdalena dignitate cedebat Petro apostolorum coryphæo, necnon Joanni quem diligebat Christus theologo, et tamen quantæ gratiæ præ illis digna habita fuit! Illi enim ad sepulcrum currentes sola viderunt lintea et sudarium; Maria autem per firmam et perpetuam constantiam cum in finem perseveraverit et in foribus sepulcri permanserit, non angelos tantum, sed et ipsum angelorum Dominum a mortuis reviviscentem in carne ante apostolos conspexit, ipsius vocem audivit, et ab ipso Dei ore electa est mandatorum ministra. Templum istud illius specus est symbolum, et non typus tantum, sed aliud quasi superius sibi vindicat. Sub velo interius habet locum ubi ponitur corpus Dominicum, et ibidem mensam sacerrimam. Igitur quicunque ad illud vere divinum et divini mysterii receptivum festinus approperat et ad finem perseverat, recollectam ad Deum attendens suiipsius animam, non agnoscet tantum Scripturæ Dei Spiritu exaratæ sermones, sicut quosdam angelos circa divinitatem et humanitatem Verbi Dei pro nobis incarnati nuntiantes, sed ipsum indubitanter tuebitur Dominum, mentis, dicam etiam corporis oculis. Qui enim cum fide mysticam videt mensam et in ipsa propositum panem vitæ, ipsum sub speciebus contentum Verbum Dei conspicit, carnem pro nobis factum et in nobis quasi in tabernaculo inhabitans. Insuper si seipsum dignum ad recipiendum reddat, non videt tantum sed ejus fit particeps, hospitem in semetipso eum consequitur, et ipsa divina gratia ditatur. Et quemadmodum Maria illa vidit ea quæ tunc apostoli videre desiderabant, ille ea conspicere et de eisdem gaudere dignatur quæ, secundum Apostolum, angeli prospicere desiderant, et tam per eorum contemplationem quam per participationem divinus totus efficitur.

Αὕτη μὲν οὖν ἡ Μαγδαληνὴ Μαρία, διὰ τὴν ἐπίμονον προσεδρίαν, καὶ τῆς ἀγγελικῆς ὀπτασίας καὶ ὁμιλίας ἀξιωθεῖσα, καὶ αὐτὸν ἰδοῦσα τὸν Κύριον, ἀπόστολος αὐτοῦ πρὸς τοὺς ἀποστόλους γίνεται, καὶ παρ' αὐτοῦ τοῦ θείου στόματος διδαχθεῖσα καὶ πλη-
B ροφορηθεῖσα τελείως ἀπέρχεται πρὸς τοὺς **119** ἀποστόλους, ἀπαγγέλλουσα τούτοις ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ. Ἡμεῖς δὲ σκοπήσωμεν, ἀδελφοὶ, πόσον ἡ Μαγδαληνὴ Μαρία τῆς ἀξίας ἀπεῖχε Πέτρου τοῦ κορυφαίου τῶν ἀποστόλων, καὶ Ἰωάννου τοῦ ἠγαπημένου τῷ Χριστῷ θεολόγου, καὶ πόσῳ τηνικαῦτα μειζόνων ἠξίωται παρ' ἐκείνους. Ἐκεῖνοι γὰρ ἐπὶ τὸν τάφον δραμόντες μόνα τὰ ὀθόνια εἶδον καὶ τὸ σουδάριον, αὕτη δὲ διὰ τὴν ἐνδιάθετον καὶ ἐπίμονον καρτερίαν, ἅτε παραμείνασα μέχρι τέλους, καὶ τῇ θύρᾳ τοῦ σπηλαίου ἐνδιατρίβουσα, οὐ τοὺς ἀγγέλους μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν Κύριον τῶν ἀγγέλων ἐκ νεκρῶν ἀναστάντα σαρκὶ, πρὸ τῶν ἀποστόλων ἑώρακε, καὶ αὐτήκοος αὐτοῦ
C γέγονε, καὶ τῶν ἀπὸ τοῦ θείου στόματος αὐτοῦ προσταγμάτων διάκονος. Ὁ δὲ ναὸς οὗτος ἐκείνου τοῦ σπηλαίου τύπος ἐστὶ, μᾶλλον δὲ καὶ πλέον ἔχει τοῦ τύπου, ἄλλο σχεδὸν ἐκεῖνο ὑπάρχον· ἔχει γὰρ τόπον, ἐν ᾧ τίθεται τὸ σῶμα τὸ Δεσποτικὸν, τὸ ἐνδότερον τοῦ καταπετάσματος, καὶ τὴν ἐν αὐτῷ πανίερον τράπεζαν. Ὅστις οὖν ἐνδιαθέτως ἐπὶ τὸ θεῖον ὄντως καὶ θεοδόχον τοῦτο σπήλαιον προστρέχει καὶ προσεδρεύει καὶ παραμένει μέχρι τέλους, συνάγων καὶ ἀνατείνων πρὸς Θεὸν τὴν αὐτοῦ διάνοιαν, οὐ μόνον ἐπιγνώσεται τοὺς ἐν αὐτῇ τῆς θεοπνεύστου Γραφῆς λόγους, οἷόν τινας ἀγγέλους ἐξαγγέλλοντας περί τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος Λόγου τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτὸν ἀσφαλῶς ὄψεται τὸν Κύριον τοῖς τῆς διανοίας
D ὀφθαλμοῖς, οὐ πολὺ εἰπεῖν, καὶ τοῖς τοῦ σώματος· ὁ γὰρ μετὰ πίστεως βλέπων τὴν μυστικὴν τράπεζαν, καὶ τὸν ἐν αὐτῇ προτιθέμενον ἄρτον τῆς ζωῆς, αὐτὸν ὁρᾷ τὸν ἐνυπόστατον Λόγον τοῦ Θεοῦ, σάρκα δι' ἡμᾶς γενόμενον καὶ σκηνώσαντα ἐν ἡμῖν· κἂν ἑαυτὸν ἄξιον παράσχῃ πρὸς ὑποδοχὴν, οὐχ ὁρᾷ μόνον, ἀλλὰ καὶ μέτοχος αὐτοῦ γίνεται, καὶ ἔνοικον ἑαυτῷ κτᾶται, καὶ τῆς παρ' αὐτοῦ θείας χάριτος πληροῦται, καὶ καθάπερ ἡ Μαρία ἐκεῖνα εἶδεν, ἃ τότε οἱ ἀπόστολοι ἐπεθύμουν ἰδεῖν, οὕτως οὗτος ἐκεῖνα βλέπειν καὶ ἐκείνων ἀπολαύειν ἀξιοῦται, εἰς ἃ ἐπιθυμοῦσι, κατὰ τὸν Ἀπόστολον, ἄγγελοι παρακύψαι, καὶ διὰ τῆς πρὸς αὐτὰ θέας καὶ μεθέξεως θεοειδὴς ὅλος ἐκτελεῖται.

Ergo, fratres, remissas ad virtutem manus vestras et soluta genua erigite, et gressus rectos facite

Οὐκοῦν, ἀδελφοὶ, τὰς παρειμένας πρὸς ἀρετὴν ὑμῶν χεῖρας, καὶ τὰ παραλελυμένα γόνατα ἀνορ-

Digitized by Google

θώσατε, καὶ τροχιὰς ὀρθὰς ποιεῖτε τοῖς ποσὶν ὑμῶν, A βαδίζοντες τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας, τὴν δικαιοσύνην, τὴν σωφροσύνην, τὴν ἀγάπην, τὴν ταπείνωσιν, τὴν ἀλήθειαν· διεστραμμέναι δὲ ὁδοὶ πάντως καὶ σκολιαὶ, τὸ μῖσος, τὸ ψεῦδος, ὁ δόλος, ὁ φθόνος, ἡ πλεονεξία, ἡ ὑπερηφανία, καὶ τὰ παραπλήσια τούτοις, ἃ μὴ μόνον πραττόμενα, ἀλλὰ καὶ μόνον ἀγαπώμενα καὶ μελετώμενα κατὰ νοῦν, ἄξιον ποιεῖ τὸν ἄνθρωπον τῆς θείας ἀποστροφῆς, ἐπειδήπερ ἄνθρωπος μὲν εἰς πρόσωπον, Θεὸς δὲ εἰς καρδίαν ὁρᾷ, καὶ αὐτός ἐστιν ὁ τὰς καρδίας ἐτάζων καὶ τοὺς νεφρούς. Ἀλλ' ὑμεῖς ἀθροιζόμενοι ἐν τῷ ναῷ τοῦ Θεοῦ, « Ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, κατὰ τὴν τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου φωνὴν, καὶ νήφοντες τελείως, ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν B χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. » Οὐδὲ γάρ ἐστι δυνατὸν τὸν ἐπὶ τῆς ἱερᾶς τοῦ Θεοῦ ἐκκλησίας ἑστῶτα, καὶ συνάγοντα τὸν οἰκεῖον νοῦν καὶ πρὸς τὸν Θεὸν ἀνατείνοντα, καὶ τὴν διάνοιαν τῶν ἱερῶν ᾀσμάτων ἀπ' ἀρχῆς ἄχρι τέλους ἐμμελετῶντα καὶ προσανέχοντα, μὴ τὴν θείαν ἀλλοίωσιν ἀλλοιωθῆναι, ἀναλόγως τῇ πρὸς τὸν Θεὸν καὶ τὰ θεῖα λόγια μελέτῃ· θέρμη **120** γάρ τις ἐγγίνεται τῇ καρδίᾳ διὰ τῆς μελέτης ταύτης, ὡς μυίας τοὺς πονηροὺς ἀποσοβοῦσα λογισμοὺς, καὶ πνευματικὴν εἰρήνην καὶ παράκλησιν ἐμποιοῦσα τῇ ψυχῇ, καὶ τὸν ἁγιασμὸν τῷ σώματι παρέχουσα, κατὰ τὸν εἰπόντα· « Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. » Καὶ τοῦτό ἐστιν ὃ καί τις τῶν θεοφόρων Πατέρων ἐδίδαξεν ἡμᾶς λέγων· Πᾶσάν σου σπουδὴν ποίησον, ἵνα ἡ ἔνδον σου ἐργασία C κατὰ Θεὸν ᾖ, καὶ νικήσεις τὰ ἔξω πάθη. Πρὸς τοῦτο καὶ ὁ μέγας Παῦλος ἡμᾶς προτρεπόμενος· « Πνεύματι, φησὶ, περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. » Διὸ καὶ ἀλλαχοῦ παραγγέλλει γράφων· « Στῆτε περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ· » ὡς τοῦ λογισμοῦ στρεφομένου περὶ τὰ θεῖα, καὶ παραμένοντος τῇ κατὰ Θεὸν ἀληθείᾳ, τὸ ἐπιθυμητικὸν τῆς ψυχῆς ἐπέχοντος καὶ περιέποντος, καὶ τὰς σαρκικὰς ἐπιθυμίας ἀπωθουμένου· τῶν δὲ σαρκικῶν λογισμῶν παυσαμένων ἀφ' ἡμῶν, παραλαβοῦσα τὴν ψυχὴν ἠρεμοῦσαν ἡ τοῦ Πνεύματος χάρις, τῶν μελλόντων ἐκείνων καὶ ἀποῤῥήτων ἀγαθῶν, ἃ ὀφθαλμὸς ἐμπαθοῦς καὶ ἀμελοῦς οὐκ εἶδε, καὶ οὖς οὐκ D ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη τοιούτου· καὶ ἡ γεῦσις αὕτη ἀῤῥαβών ἐστιν αὐτῶν, καὶ ἡ τοὺς ἀῤῥαβῶνας τούτων δεχομένη καρδία πνευματικὴ γίνεται, καὶ τῆς οἰκείας σωτηρίας λαμβάνει πληροφορίαν. Οὐκοῦν εἴ τις ἐθέλοι τὴν πληροφορίαν ταύτην κτήσασθαι, καὶ περὶ τῶν πνευματικῶν ἀῤῥαβώνων τούτων ἀκριβῶς μαθεῖν, πολιτευέσθω καθάπερ νῦν ὑφηγήσατο καὶ ὑπέδειξεν ὁ λόγος· οὕτω γὰρ καὶ συμπολίτης ἔσται τῶν ἁγίων τοῦ Θεοῦ, καὶ κοινωνὸς τῶν ἐπηγγελμένων ἐκείνων αἰωνίων καὶ ἀποῤῥήτων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

pedibus vestris, ingressi vias Domini rectas, justitiam, castimoniam, charitatem, humilitatem, veritatem, fugite autem vias transversas et obliquas: odium, mendacium, dolum, homicidium, avaritiam, superbiam et his similia quæ non solum patrata sed etiam duntaxat amata et in mente revoluta hominem faciunt divinæ indignationis dignum. Etenim homo secundum faciem, Deus secundum cor intuetur; hic est scrutans corda et renes. Vos autem in hoc templo congregati succincti lumbos mentis vestræ, ut coryphæi apostolorum Petri vocem adhibeam, sobrii perfecte sperate in eam quæ offertur vobis gratiam in revelationem Jesu Christi. Non enim possibile habeo in sancta Dei ecclesia stantem, mentemque ab alienis revocatam ad Deum attendentem et cogitatione sacrorum carminum a principio ad finem exercitum et occupatum divina conversione non converti, pariterque per meditationem Dei et divinorum oraculorum. Hac enim meditatione cor cujuslibet exardet, velut noxias muscas arcet pravas cogitationes, spiritualem pacem et solationem animæ ingerit et corpori sanitatem largitur, prout dicitur: «Concaluit cor meum intra me, et in meditatione mea exardescet ignis.» Hoc est quod unus ex divis Patribus nos docuit, dicens: Omni studio incumbe, ut internæ operationes tuæ sint secundum Deum, et sic vinces externas cupiditates. Magnus vero Paulus ad nos conversus, « Spiritu, inquit, ambulate, et desideria carnis ne perficiatis [21]. » Propterea alibi nos admonet dicens: « State ergo succincti lumbos in veritate [22], » quasi mente ad Deum conversa et permanente in veritate quæ est secundum Deum, animæ desideria regit eisque invigilat, et carnales concupiscentias coercet. Inde repressis carnalibus cogitationibus, iis vacuam animam ingressa Spiritus gratia, eam disponit ad futura et ineffabilia dona gustandum, quæ vagi et inquieti viri oculus non vidit, nec auris audivit, nec in cor talis hominis ascenderunt. Qui gustus est eorumdem bonorum arrhabo, et tales arrhabones cor suscipiens spirituale efficitur, salutisque suæ firmam concipit fidentiam. Namque si quis vult consequi et perfecte de spiritualibus istis arrhabonibus discere, conversetur qualiter exemplo indicavit et verbis Verbum docuit. Ita enim concivis erit sanctorum Dei, necnon particeps ab ipsis promissorum perennium et ineffabilium donorum, quæ nos omnes consequi concedat gratia et benignitas Domini nostri Jesu Christi, cui gloria, virtus, honor et adoratio cum æterno ejus Patre et vivificante Spiritu nunc et semper et in sæcula sæculorum. Amen.

[21] Galat. v, 16. [22] Ephes. vi, 14.

Digitized by Google

## HOMILIA XXI.

*In Ascensionem Domini Dei et Salvatoris nostri Jesu Christi, in qua monstratur quomodo impletum sit legale Sabbatum.*

Celebrabant Judæi Pascha legale, transitum ex Ægypto ad terram Palæstinæ; celebravimus et nos Pascha evangelicum, nostræ in Christo naturæ ex morte ad vitam, ex corruptione ad incorruptibilitatem transitum. Quis ergo enarrare poterit sermo harum in melius discrepantiam nostrorum ad sacra veteris illius legis præstantiam et præconiorum materias? Humanus quidem sermo non posset digne tantam proferre excellentiam, Patris autem altissimi consubstantialis sapientia, Dei Verbum quod est ante sæcula et super omnes naturas benigne nobis adunatum et nobiscum conversatum operibus, hodie nobis exhibuit festivitatis causam et hujus excellentiæ singularem præstantiam; hodie enim celebramus nostræ in ipso naturæ transitum non ab hypogæis ad terram, sed a terra in cœlum cœli, et in thronum cœlis adhuc excelsiorem ejus qui super omnia dominatur. Nam hac die non solum stetit Dominus post resurrectionem in medio discipulorum suorum, sed etiam ab eis discessit, et videntibus illis elevatus est in cœlum, et ascendit et intravit in vera Sancta sanctorum, et sedit ad dexteram Patris super omnem potestatem et principatum, super omne nomen et honorem, sive in hoc sæculo sive in futuro cognitum et nominatum. Quemadmodum resurrectiones ante Dominicam resurrectionem factæ sunt multæ, ita et multæ ascensiones ante ascensionem Domini; prophetam enim Jeremiam assumpsit spiritus, Habacuc vero angelus, et inter cæteros Elias curru ignis assumptus scribitur. Sed nec iste transcendit loca terræ vicina, et velut quædam translatio fuit cujuslibet horum assumptio, qua a terra elevati a regionibus terræ vicinis nequaquam amovebantur. Quemadmodum etiam illi ad vitam revocati rursus in terram redierunt, rursus omnes morituri, Christo autem a mortuis resurgenti mors jam non dominatur, ita eodem assumpto et in excelsis sedente, omnis sublimitas sub pedibus ejus est omnibus testans quoniam ipse est super omnia Deus. Hoc est mons ille Dei præclarus, secundum Isaiam [22], et in summis spiritualium omnium montium Dei domus, corpus Dominicum; quippe nec angelus nec homo, sed Dominus ipse per carnem venit et nos salvavit, nobis similis propter nos factus, et permanens immutabilis Deus. Verum sicut cum descendit nequaquam migravit, sed condescendit, ita ascendens non ad deitatem redit, sed in throno imponit nostram quam accepit naturam; oportebat enim vere ibi Deo proponi primogenitam ex mortuis naturam nostram, velut quasdam primogenitorum primitias pro genere universo.

Ideo multarum quæ factæ sunt resurrectionum

[22] Isa. II, 2.

## ΟΜΙΛΙΑ ΚΑ'.

*Εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐν ᾗ καὶ πῶς ἀναπληροῦται τὸ νομικὸν Σάββατον.*

A Ἑώρταζον Ἰουδαῖοι τὸ Πάσχα τὸ νομικὸν, τὴν ἐξ Αἰγύπτου πρὸς τὴν γῆν τῆς Παλαιστίνης διάβασιν· ἑωρτάσαμεν καὶ ἡμεῖς τὸ Πάσχα τὸ εὐαγγελικὸν, τὴν τῆς ἡμετέρας ἐν Χριστῷ φύσεως ἐκ θανάτου πρὸς ζωὴν, ἐκ φθορᾶς πρὸς ἀφθαρσίαν διάβασιν· ἆρά τις ἐξειπεῖν δυνήσεται λόγος τὴν ἐντεῦθεν ἀναφερομένην ἐπὶ τὸ κρεῖττον διαφορὰν πρὸς τὰ σεμνὰ τῆς παλαιᾶς νομοθεσίας ἐκείνης, καὶ τὰς ὑποθέσεις τῶν πανηγύρεων; Ἀλλ' ἀνθρώπινος μὲν λόγος οὐδὲ ταύτην ἀξίως εἴποι τὴν ὑπεροχὴν ὅση· ἡ τοῦ ἀνωτάτω Πατρὸς ἐνυπόστατος σοφία, ὁ τοῦ Θεοῦ προαιώνιος καὶ B ὑπερούσιος Λόγος, **121** φιλανθρώπως ἑνωθεὶς ἡμῖν καὶ συναναστραφεὶς, ἔργων νῦν ἀνέδειξεν ὑπόθεσιν ἑορτῆς, καὶ τῆς ὑπεροχῆς ταύτης ὑπερτέραν διαφερόντως· καὶ νῦν γὰρ διάβασιν τῆς ἐν αὐτῷ φύσεως ἡμετέρας ἑορτάζομεν οὐκ ἀπὸ τῶν ὑπογείων ἐπὶ τὴν γῆν, ἀλλ' ἀπὸ γῆς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ, καὶ τὸν ἐπέκεινα τούτου θρόνον τοῦ τὰ πάντα δεσπόζοντος. Σήμερον γὰρ οὐ μόνον ἔστη μετὰ τὴν ἀνάστασιν ἐν μέσῳ τῶν αὐτοῦ μαθητῶν ὁ Κύριος, ἀλλὰ καὶ διέστη ἀπ' αὐτῶν, καὶ αὐτῶν ὁρώντων ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἀνῆλθε καὶ εἰσῆλθεν εἰς τὰ ὄντως ἅγια τῶν ἁγίων, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρὸς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ παντὸς ὀνόματος καὶ ἀξιώματος, εἴτε ἐν τῷ νῦν αἰῶνι, εἴτε ἐν C τῷ μέλλοντι γινωσκομένου καὶ ὀνομαζομένου. Ὥσπερ δὲ ἀναστάσεις πρὸ τῆς τοῦ Κυρίου ἀναστάσεως πολλαὶ γεγόνασιν, οὕτω καὶ πολλαὶ ἀναλήψεις πρὸ τῆς αὐτοῦ ἀναλήψεως· καὶ Ἱερεμίαν γὰρ τὸν προφήτην ἀνέλαβε πνεῦμα, καὶ τὸν Ἀββακοὺμ ἄγγελος, μάλιστα δὲ τῶν ἄλλων ὁ Ἠλίας ἅρματι πυρὸς ἀναληφθεὶς ἀναγέγραπται. Ἀλλ' οὐδ' οὗτος ὑπερέβη τὴν περίγειον λῆξιν, ἀλλ' οἷόν τις μετάθεσις ἦν ἡ ἑκάστου τούτων ἀνάληψις, ἀπὸ γῆς αἴρουσα, καὶ τῶν περὶ γῆν οὐκ ἐξάγουσα· καθάπερ καὶ οἱ ἀναστάντες ἐκεῖνοι πάλιν εἰς γῆν ἐπέστρεψαν, τελευτήσαντες ἅπαντες· Χριστοῦ δὲ ὥσπερ ἐκ νεκρῶν ἀναστάντος θάνατος αὐτοῦ οὐκέτι κυριεύει, οὕτω καὶ ἀναληφθέντος καὶ καθίσαντος ἐν ὑψηλοῖς, πᾶν ὕψωμα κατώτερόν ἐστιν αὐτοῦ, τοῖς πᾶσι μαρτυροῦν, ὅτι αὐτός D ἐστιν ὁ ἐπὶ πάντων Θεός. Καὶ τοῦτό ἐστι τὸ ἐμφανὲς ὄρος τοῦ Θεοῦ κατὰ τὸν Ἡσαΐαν, καὶ ὁ ἐπ' ἄκρων πάντων τῶν λογικῶν ὀρέων οἶκος τοῦ Θεοῦ, τὸ σῶμα τὸ δεσποτικόν· οὐ γὰρ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος διὰ σαρκὸς ἦλθε καὶ ἔσωσεν ἡμᾶς, καθ' ἡμᾶς δι' ἡμᾶς γενόμενος, καὶ μείνας ἀναλλοιώτως Θεός. Ὥσπερ δὲ κατῆλθεν οὐ μεταβὰς, ἀλλὰ συγκαταβὰς, οὕτως ἐπανέρχεται πάλιν, οὐ τῇ θεότητι μεταβαίνων, ἀλλ' ἐνθρονίζων ἄνω τὴν ἡμετέραν ἣν ἀνέλαβε φύσιν· ἔδει γὰρ ἀληθῶς ἐκεῖ προσενεχθῆναι τῷ Θεῷ τὴν πρωτότοκον ἐκ τῶν νεκρῶν ἡμῶν φύσιν, οἷόν τινα πρωτογεννημάτων ἀπαρχὴν ὑπὲρ παντὸς τοῦ γένους.

Διὰ τοῦτο πολλῶν γεγενημένων ἀναστάσεών τε

Digitized by Google

καὶ ἀναλήψεων οὐδεμίαν ἡμεῖς ἑορτάζομεν, ὡς τὴν A τοῦ Κυρίου ἀνάστασιν καὶ ἀνάληψιν, ἐπεὶ καὶ τῶν ἄλλων ἐκείνων οὔτε μετέχομεν, οὔτε μεθέξομεν ἡμεῖς. Ὠφελήμεθα δὲ ἐξ αὐτῶν οὐδὲν πλέον, ἢ τὸ πρὸς πίστιν ἀνάγεσθαι τῆς τοῦ Σωτῆρος ἡμῶν ἀναστάσεώς τε καὶ ἀναλήψεως, ἧς καὶ μετέχομεν, καὶ μεθέξομεν ἅπαντες· αὕτη γὰρ τῆς φύσεως τῆς ἀνθρωπίνης ἀνάστασίς ἐστι καὶ ἀνάληψις, καὶ οὐχ ἁπλῶς τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ καὶ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ τὴν πίστιν δι' ἔργων ἐπιδεικνυμένων ἑκάστου· ὃ γὰρ γέγονε, δι' ἡμᾶς γέγονεν ὁ Κύριος, ἀγέννητός τε καὶ ἄκτιστος ὢν κατὰ τὴν οἰκείαν θεότητα· καὶ ὃν ἔζησε βίον, δι' ἡμᾶς ἔζησε, τρίβον ἡμῖν ὑποδεικνὺς τὴν πρὸς τὴν ὄντως ζωὴν ἐπανάγουσαν· καὶ ἅπερ ἔπαθε τῇ σαρκὶ, δι' ἡμᾶς ἔπαθε, τὰ ἡμῶν ἐξιώμενος πάθη, καὶ διὰ τὰς B ἡμετέρας ἁμαρτίας ἤχθη εἰς θάνατον, καὶ δι' ἡμᾶς ἀνέστη καὶ ἀνελήφθη, προοικονομῶν ἡμῖν τὴν εἰς ἀπείρους αἰῶνας ἀνάστασιν καὶ ἀνάληψιν· πάντες γὰρ οἱ κληρονόμοι τῆς ζωῆς ταύτης μιμοῦνται, καθόσον ἐστὶ, τὴν πολιτείαν τῆς ἐπὶ γῆς οἰκονομίας αὐτοῦ. Ταύτης δὲ τῆς μιμήσεως ἀρχὴ μὲν ἡμῖν ἐστι τὸ ἅγιον βάπτισμα, τύπος ὂν τῆς τοῦ Κυρίου ταφῆς τε καὶ ἀναστάσεως, μεσότης δὲ ὁ **122** κατ' ἀρετὴν βίος, καὶ ἡ κατὰ τὸ Εὐαγγέλιον πολιτεία, τέλος δὲ ἡ διὰ τῶν πνευματικῶν ἀγώνων κατὰ τῶν παθῶν νίκη, ζωὴν προξενοῦσα τὴν ἀνώδυνον καὶ ἀνώλεθρον καὶ οὐράνιον· καθάπερ καὶ ὁ Ἀπόστολος πρὸς ἡμᾶς φησιν, ὅτι « Εἰ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, C ζήσεσθε. » Μιμοῦνται τοίνυν οἱ κατὰ Χριστὸν ζῶντες τὴν ἐν σαρκὶ πολιτείαν αὐτοῦ· ἀποθνήσκουσι μέντοι κατὰ καιρὸν ἕκαστος, ἐπεὶ κἀκεῖνος ἀπέθανε τῇ σαρκὶ, καθ' ἣν καὶ ἀναστήσονται κατ' ἐκεῖνον δεδοξασμένοι καὶ ἄφθαρτοι, κἂν μὴ νῦν, ἀλλ' ὅτε καιρός· εἶτα καὶ ἀναληφθήσονται, ὡς ὁ Παῦλος καὶ τοῦτό φησιν· « Ἁρπαγησόμεθα γὰρ, φησὶν, ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. »

Ὁρᾶτε πῶς ἕκαστος ἡμῶν, εἴγε βούλεται, κοινωνὸς ἔσται καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου καὶ τῆς ἀναλήψεως, καὶ κληρονόμος μὲν Θεοῦ, συγκληρονόμος δὲ Χριστοῦ; Διὰ τοῦτο χαίρομεν, ἑορτάζοντες τὴν τῆς φύσεως ἡμῶν ἀνάστασιν καὶ ἀνύψωσιν καὶ ἀνίδρυσιν, καὶ τὴν καταρχὴν τῆς ἑκάστου τῶν D πιστευόντων ἀναστάσεώς τε καὶ ἀναλήψεως, προτιθέντες εἰς μέσον τὰς σήμερον ἀναγνωσθησομένας εὐαγγελικὰς φωνὰς, ὅτι Ἀναστὰς ὁ Κύριος ἔστη ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ. Διάτι οὖν ἔστη ἐν μέσῳ αὐτῶν, εἶτα καὶ συνώδευσεν αὐτοῖς; « Ἐξήγαγε γὰρ αὐτοὺς, φησὶν, ἔξω ἕως εἰς Βηθανίαν, » ἀλλὰ, « Καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς; » Ἵνα σῶον ὅλον ἑαυτὸν ἐπιδείξῃ καὶ ἀσινῆ, ἵνα τοὺς πόδας ἐῤῥωμένους ὄντας παραστήσῃ καὶ βεβηκότας ἀσφαλῶς, τοὺς τὰς τρήσεις τῶν ἥλων ὑπομείναντας, τὰς ὁμοίως ἐπὶ τοῦ σταυροῦ προσηλωμένας χεῖρας, αὐτὴν τὴν λογχευθεῖσαν πλευρὰν, εἰ καὶ τοὺς τύπους τῶν

et ascensionum nullam celebramus velut Domini resurrectionem et ascensionem, cum illarum praeter eam participes nec sumus nec erimus. Nihil ex illis colligimus nisi quia ad fidem resurrectionis et ascensionis Salvatoris nostri nos adducunt, cujus omnes participes sumus et erimus. Illa enim humanae naturae resurrectio est et ascensio, et non humanae solum naturae, sed et omnium in Christum credentium, fidemque suam per opera exhibentium. Quod enim factus est pro nobis factus est, Dominus, non genitus neque creatus secundum suam divinitatem; quam vixit vitam propter nos vixit, viam nobis demonstrans quae ad veram ducit vitam; quae carne passus est, pro nobis passus est, nostras sanans passiones, et propter peccata nostra ductus est ad mortem, et propter nos resurrexit et ascendit, praeparans nobis in infinita saecula resurrectionem et ascensionem; nam omnes hujus vitae haeredes pro viribus imitantur rationem ejus in terra dispensationis. Porro istius imitationis principium sanctum nobis est baptisma, cum sit figura sepulturae et resurrectionis Domini; medium vero vita secundum pietatem acta et conversatio secundum Evangelium; finis autem victoria per spiritales luctas adversus passiones, qua impertitur coelestis vita, quae nec dolores habet nec exitium, quemadmodum Apostolus nobis dixit: « Si secundum carnem vixeritis, moriemini; si autem spiritu facta carnis mortificaveritis, vivetis [11]. » Igitur qui secundum Christum vivunt, ejus in carne conversationem imitantur; singuli quidem in tempore suo moriuntur, sicut ille carne mortuus est, resurgent autem et ipsi ejus instar secundum corpus gloria et incorruptibilitate donati, non hora quidem ista, sed quando tempus advenerit; deinde etiam assumentur, quod et Paulus dixit. « Rapiemur enim, inquit, in nubibus in occursum Domini in aera, et ita omnino cum Domino erimus [12]. »

Videtis quomodo quisque nostrum, modo voluerit, particeps sit resurrectionis et ascensionis Domini, necnon haeres quidem Dei, cohaeres autem Christi? Idcirco gaudemus, celebrantes naturae nostrae resurrectionem simulque assumptionem et collocationem, et primitias cujusque credentis resurrectionis et ascensionis, proferentes in medium hodie memoratas Evangelii voces, quoniam, postquam resurrexisset Dominus, stetit in medio discipulorum suorum. Quare ergo stetit in medio eorum et cum eis iter fecit? « Eduxit enim, ait, eos foras in Bethaniam, et elevatis manibus suis benedixit eis [13]. » Ut semetipsum totum ostenderet salvum et integrum, ut pedes exhiberet robustos firmeque incedentes, fixuras clavorum permanentes, manus pariter cruci affixas, transverberatum latus, etsi adhuc plagarum signa ferrent in fidem salutiferae passionis. Mihi vero per haec verba: « Stetit in medio

[11] Rom. v. 13. [12] I Thess. iv, 17. [13] Luc. xxiv, 50.

discipulorum », videtur ostendi eos confirmatos A esse in fide ejus per talem ipsius exhibitionem et benedictionem; nam non stetit tantum in medio eorum omnium, sed et in medio cordis singulorum stetit et per fidem firmavit, ita ut de singulis eorum possit dici hoc Psalmistæ: « Deus in medio ejus, non commovebitur [96]. » Ab illa enim hora firmi et instabiles Domini facti sunt apostoli. Stetit igitur in medio eorum et dixit eis: « Pax vobis, » verbum illud suave eique solitum et consuetum. Duplex autem cum sit pax, tum ea quam habemus ad Deum, quæ pietatis præsertim est fructus, tum ea quam ad nos invicem habemus quæ nata est ab evangelica voce, ambas tunc uno verbo dedit Dominus; et quod illos facere jussit quando primum eos misit, dicens: « In quam domum intraveritis, dicetis: Pax huic domui [97], » ipse hoc facit; nam ingressus domum in qua erant congregati, illico pacem donavit. Ut vero illos hac insperata et insolita visione stupentes vidit et conturbatos: « Putabant enim, inquit, spiritum videre, » id est phantasma esse illud quod cernebant, ipse declarata cordis eorum turbatione, cum ostendisset se eumdem esse cui ante passionem et resurrectionem dixerant: « Nunc scimus quia scis omnia, et non opus est tibi ut quis te interroget [98], » illos per experientiam et tactum certos fecit. Ut autem comperit illos veritatem percepisse, per novam adhuc experentiam eos firmavit, simul eis præsentibus pacem dans communemque petens C panem. « Nam adhuc illis non credentibus et mirantibus, » non jam ex dubio, sed præ gaudio, dixit eis: « Habetis hic aliquid quod manducetur? At illi obtulerunt ei partem piscis assi et favum mellis, et sumens coram eis manducavit [99]. »

πληγῶν ἐπεφέροντο, πρὸς πίστωσιν τοῦ σωτηρίου πάθους. Ἐμοὶ δὲ διὰ τοῦ, « Ἔστη ἐν μέσῳ τῶν μαθητῶν, » δοκεῖ δείκνυσθαι καὶ τὸ στηριχθῆναι τούτους ἐν τῇ πίστει αὐτοῦ, διὰ τῆς αὐτοῦ τοιαύτης ἐμφανείας καὶ εὐλογίας· οὐ γὰρ μόνον ἔστη ἐν μέσῳ πάντων αὐτῶν, ἀλλὰ καὶ ἐν μέσῳ τῆς ἑκάστου καρδίας ἔστη, καὶ ἐστηρίχθη διὰ τῆς πίστεως· ὡς εἶναι καὶ ἐπ' αὐτῆς ἑκάστης λέγειν ἐκεῖνο τὸ ψαλμικόν· « Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται· » ἐξ ἐκείνου γὰρ ἑδραῖοι καὶ ἀμετακίνητοι γεγόνασιν οἱ τοῦ Κυρίου ἀπόστολοι. Ἔστη οὖν ἐν μέσῳ αὐτῶν καὶ λέγει αὐτοῖς, « Εἰρήνη ὑμῖν· » τὸ γλυκὺ τοῦτο καὶ ἐντριβὲς καὶ σύνηθες αὐτῷ πρόσρημα. Διττῆς δὲ οὔσης τῆς εἰρήνης, ἥν τε ἔχομεν πρὸς τὸν Θεὸν, ἥτις γέν- B νημά ἐστι μάλιστα τῆς εὐσεβείας, καὶ ἣν ἡμεῖς πρὸς ἀλλήλους ἔχομεν, ἥτις ἀπὸ τῆς κατὰ τὸ Εὐαγγέλιον φωνῆς πέφυκε γεννᾶσθαι, ἀμφοτέρας ἐνταῦθα δι' ἑνὸς προσρήματος ἔδωκεν ὁ Κύριος· καὶ καθάπερ αὐτοῖς προσέταξε ποιεῖν, ὅτε πρῶτον ἀπέστειλεν αὐτοὺς, εἰπών· « Εἰς ἣν ἂν οἰκίαν εἰσέλθητε, λέγετε, Εἰρήνη τῷ οἴκῳ τούτῳ, » οὕτω καὶ αὐτὸς ποιεῖ· εἰσελθὼν εἰς τὴν οἰκίαν ἐν ᾗ ἦσαν συνηγμένοι, παραυτὰ τὴν εἰρήνην ἔδωκεν. Ὡς δὲ τῷ ἀνελπίστῳ καὶ παραδόξῳ τῆς θέας πτοηθέντας αὐτοὺς καὶ ταραχθέντας εἶδεν· ἐδόκουν γὰρ, φησὶ, πνεῦμα θεωρεῖν, δηλονότι φαντασίαν εἶναι τὸ ὁρώμενον· αὐτὸς πάλιν τὰ κινήματα τῆς αὐτῶν καρδίας ἀπαγγείλας αὐτοῖς, καὶ δείξας αὐτὸς ἐκεῖνος ὤν, πρὸς ὃν καὶ πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως ἔλεγον· « Νῦν οἴδαμεν, ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ, » τὴν διὰ τῆς ἐξετάσεως καὶ ψηλαφήσεως πληροφορίαν προέτεινεν. Ὡς δὲ προδεξαμένους αὐτοὺς τὴν ἀλήθειαν **123** εἶδε, διὰ τῆς ἐξετάσεως ἐβεβαίωσεν ἔτι ταύτην· ἅμα δὲ καὶ τὴν πρὸς αὐτοὺς εἰρήνην καὶ κοινωνίαν τροφῆς αὐτῶν ὁρώντων προσενεγκάμενος· « Ἔτι γὰρ, φησὶν, ἀπιστούντων αὐτῶν καὶ θαυμαζόντων, » οὐκέτι γε μὴν ἐκ διχονοίας, ἀλλ' ἀπὸ τῆς χαρᾶς, « εἶπεν αὐτοῖς· Ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσείου κηρίου, καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν. »

Verum vescitur intemeratum hoc corpus post resurrectionem, non quia cibo indigeret, sed ut propriam testaretur resurrectionem, et monstraret illud idem esse quod ante resurrectionem cum eis manducaverat; consumpsit escam non secundum mortalium corporum naturam, sed vi divinæ virtutis, quemadmodum, ut dici potest, ignis ceram consumit, nisi quod ignis quidem alimento indiget D ut constet, corpora autem immortalia cibo ut constent, non indigent. Manducavit partem piscis assi et ex favo mellis; quæ symbola sunt mysterii in eo adimpleti. Nostram enim naturam piscis more velut adhærentem humori vitæ voluptatibus et cupiditatibus refertæ cum Dei Verbum sibi secundum personam adunasset, et divinis atque inaccessis suæ divinitatis ardoribus constitutionem ejus flammis æstuantem purgasset, illam deitatis participem et quasi accensam effecit. Verum non solum quod pro nobis assumpsit figmentum, sed

Ἐτράφη δὲ τὸ ἀκήρατον ἐκεῖνο σῶμα μετὰ τὴν ἀνάστασιν, οὐκ αὐτὸ δεόμενον τροφῆς, ἀλλ' ἵνα πιστώσηται τὴν οἰκείαν ἀνάστασιν, καὶ δείξῃ τοῦτ' αὐτὸ καὶ νῦν ὂν, τὸ καὶ πρὸ τοῦ παθεῖν συνεσθίον αὐτοῖς· ἀνάλωσε δὲ τὴν τροφὴν οὐ κατὰ τὴν τῶν θνητῶν σωμάτων φύσιν, ἀλλὰ κατὰ θείαν ἐνέργειαν, καὶ ὡς ἂν εἴποι τις, ὡς τὸ πῦρ ἀναλίσκει τὸν κηρὸν, πλὴν ὅτι πῦρ μὲν ὑπεκκαύματος δεῖται πρὸς τὸ συνίστασθαι, τὰ δὲ ἀθάνατα σώματα τροφῆς οὐ δεῖται πρὸς τὸ συνίστασθαι. Ἔφαγε δὲ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσείου κηρίου, σύμβολα καὶ ταῦτα τοῦ κατ' αὐτὸν μυστηρίου· τὴν γὰρ ἡμετέραν φύσιν ἰχθύος δίκην οἷον ἐννηχομένην τῇ ὑγρότητι τοῦ ἐνηδόνου βίου καὶ ἐμπαθοῦς, ὁ τοῦ Θεοῦ Λόγος ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν, καὶ τῷ θείῳ καὶ ἀπροσίτῳ πυρὶ τῆς αὐτοῦ θεότητος ἐκκαθάρας πάσης ἐμπαθοῦς διαθέσεως, ὁμόθεον αὐτὴν καὶ οἷον διάπυρον ἀπετέλεσεν. Οὐ τὸ φύραμα δὲ μόνον ὅπερ ἀνέλαβεν ὑπὲρ ἡμῶν, ἀλλὰ τῶν τῆς αὐτοῦ κοινω-

[96] Psal. XLV, 5. [97] Luc. X, 5. [98] Joan. XVI, 30. [99] Luc. XXIV, 42.

Digitized by Google

νίας κατηξιωμένων ἕκαστον θεοποιεῖ τῇ μετουσίᾳ τοῦ πυρὸς, ὃ βαλεῖν ἦλθεν ἐπὶ γῆς ὁ Κύριος. Μελισσείῳ δὲ κηρίῳ ἔοικεν ἡμῶν ἡ φύσις, οἱονεί τινι κηρίῳ τῷ σώματι ἐντεθησαυρισμένον οἷάπερ μέλι, κατέχουσα τὸ λογικὸν χρῆμα, μᾶλλον δὲ τοιοῦτός ἐστι τῶν εἰς Χριστὸν πιστευόντων ἕκαστος· τὴν γὰρ τοῦ θείου Πνεύματος χάριν ἐναποκειμένην ἔχει τῇ τε ψυχῇ καὶ τῷ σώματι, καθάπερ μέλι κηρίῳ. Ἐσθίει δὲ ἀπὸ τούτων ὁ Κύριος, ἐπειδήπερ οἰκεῖον ἡδέως βρῶμα ποιεῖται τὴν σωτηρίαν ἑκάστου τῶν μετεχόντων τῆς φύσεως· οὐ τὸ πᾶν δὲ, ἀλλ' ἀπὸ μελισσείου κηρίου, τουτέστι μέρος ἐσθίει, ἐπεὶ μὴ πάντες ἐπίστευσαν. Οὐκ αὐτὸς δὲ δι' ἑαυτοῦ τὸ μέρος τοῦτο λαμβάνει, ἀλλ' ὑπὸ τῶν μαθητῶν αὐτῷ τοῦτο δίδοται· καὶ γὰρ οἱ μαθηταὶ τοὺς πιστεύσαντας αὐτῷ προσάγουσι μόνους τῶν ἀπίστων χωρίσαντες. B Οὕτω δὴ καὶ διὰ ταῦτα φαγὼν τοῦ τε ἰχθύος καὶ τοῦ μελισσείου κηρίου ἐνώπιον τῶν οἰκείων μαθητῶν ὁ Κύριος, ἀνέμνησε τούτους καὶ τῶν ἑαυτοῦ λόγων, οὓς αὐτοῖς προεῖπεν ἐπὶ τὸ πάθος ἐρχόμενος, ἀληθινὸν ἑαυτὸν κἀντεῦθεν παραστήσας· ὡς γὰρ προεῖπεν, οὕτω καὶ ἐξέβησαν· καὶ διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς Γραφὰς, καὶ γινώσκειν ὅτι οὕτω γέγραπται, καὶ οὕτω γέγονε, καὶ οὕτως ἔδει δι' ἀνείκαστον φιλανθρωπίας πέλαγος, ὑπὲρ ἀνθρώπων ἄνθρωπον γενέσθαι τὸν τοῦ Θεοῦ μονογενῆ Υἱὸν, φανερωθῆναί τε καὶ μαρτυρηθῆναι ἄνωθεν Πατρικῇ φωνῇ, καὶ θείου Πνεύματος ἐπιφανείᾳ· πιστωθῆναί τε καὶ θαυμαστωθῆναι δι' ἔργων καὶ λόγων ἐξαισίων· φθονηθῆναί τε καὶ παραδοθῆναι C παρὰ τῶν μὴ ζητούντων τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ τὴν τῶν ἀνθρώπων· σταυρωθῆναί τε καὶ ταφῆναι, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν, ἀπὸ Ἱερουσαλὴμ ἀρξαμένου τοῦ κηρύγματος· κήρυκάς τε καὶ μάρτυρας εἶναι τούτων αὐτοὺς τοὺς αὐτόπτας καὶ ὑπηρέτας γεγενημένους αὐτοῦ· οἷς καὶ πέμψειν ἄνωθεν ἐπαγγειλάμενος τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, δηλαδὴ τὸ Πνεῦμα τὸ ἅγιον, προσέταξε καθῆσθαι ἐν Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσωνται δύναμιν ἐξ ὕψους.

A etiam singulos eorum quos sua communicatione dignatus est deos facit, ignem infundens quem in terram mittere venit Dominus. Mellis autem favo nostra similis est natura, velut favo inclusam corpori habens tanquam mel rationem, sed potius tales sunt singuli in Christum credentes; divini enim Spiritus gratiam corpori et animæ quasi mel favo inhabitantem habent. Dominus vero ex his edit, quia gratum sibi cibum facit salutem singulorum naturæ participum; sed non totum, at ex mellis favo scilicet partem manducat, quia non crediderunt omnes. Non ipse quidem hanc partem suis manibus accipit, sed a discipulis ea ipsi offertur; discipuli enim fideles solos ab infidelibus segregatos adducunt. Ita vero ideoque manducans ex pisce et mellis favo coram discipulis suis Dominus, memores eos fecit verborum quæ ipsis prædixit ad passionem vadens, semetipsum hoc modo eumdem esse patefaciens; nam sicut prædixerat, ita evenerunt; et aperuit illis sensum ut intelligerent Scripturas, et scirent quoniam sicut scriptum fuit, ita factum est, et sic oportebat per immensum bonitatis pelagus pro hominibus hominem fieri unigenitum Dei Filium, manifestari et testimonium desursum accipere a voce Patris et divini Spiritus manifestatione, fidem et admirationem facere novis operibus verbisque novis, invidiæ esse eis qui non gloriam Dei sed hominum quærunt, atque prodi, crucifigi et sepeliri, et tertia die a mortuis resurgere, et prædicari in nomine ejus pœnitentiam et remissionem peccatorum, incipiente a Jerusalem prædicatione, præcones et testes horum fieri tam qui viderunt quam qui ministri ejus facti sunt; quibus mittere promittit promissum Patris, id est Spiritum sanctum, et jussit eos sedere in Jerusalem quoadusque induantur virtute ex alto.

**124** Διαλεγόμενος οὖν οὕτω τοῖς οἰκείοις μαθηταῖς ὁ Κύριος τὰ σωτήρια, ἐξήγαγεν αὐτοὺς ἐκ τῆς οἰκίας, καὶ προήγαγεν αὐτοὺς ἕως τῆς Βηθανίας, καὶ εὐλογήσας αὐτοὺς διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανὸν, καὶ ὡς ὀχήματι νεφέλῃ φωτὸς χρησάμενος ἀνῆλθεν ἐν δόξῃ, καὶ εἰσῆλθεν εἰς τὰ ἀχειροποίητα Ἅγια τῶν ἁγίων, καὶ ἐκάθισεν D ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς, ὁμόθρονον ὡς ὁμόθεον ποιήσας τὸ ἡμέτερον φύραμα. Ὡς δὲ οἱ ἀπόστολοι οὐκ ἀνίεσαν εἰς τὸν οὐρανὸν ἀτενίζοντες, ἀγγέλων ἐπιστασίᾳ μανθάνουσιν, ὡς οὗτος ἐλεύσεται πάλιν ἐξ οὐρανοῦ πάντων ὁρώντων. Οὕτω γὰρ καὶ αὐτὸς ὁ Κύριος προεῖπε, καὶ ὁ Δανιὴλ πρότερον ἑώρακεν. « Εἶδον γὰρ, φησὶν, ὡς Υἱὸν ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ· » ὁ δὲ Κύριος, « Ὄψονται, φησὶ, πᾶσαι αἱ φυλαὶ τῆς γῆς τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. » Τότε οἱ μαθηταὶ προσκυνήσαντες ἐκ τοῦ Ἐλαιῶνος ὅθεν καὶ ἀνελήφθη τὸν

Igitur postquam Dominus ita discipulis suis salutaria dixisset, eduxit eos de domo, et adduxit in Bethaniam, et dum illis benediceret, recessit ab eis et ferebatur in cœlum, et velut curru nube utens lucida ascendit in gloria et intravit in Sancta sanctorum non manu facta, et sedit a dextris majestatis in cœlis, figmentum nostrum throni sicut et divinitatis particeps efficiens. Cum autem apostoli non cessarent oculos in cœlum intendentes, ab angelis astantibus discunt, quoniam hic rursus veniet e cœlo, videntibus illis. Ita enim jam prædixerat Dominus, Danielque præviderat : « Vidi, inquit, quasi Filium hominis venientem super nubibus cœli [1]. » Dominus vero, « Videbunt, ait, omnes tribus terræ Filium hominis venientem in nubibus cœli [2]. » Tunc discipuli adorantes a monte Oliveti, unde assumptus est, cœlestem Dominum, qui unde descenderat ut terram cœlum faceret, eo rursum ascendebat, qui inferiora supernis conjunxerat,

[1] Dan. VII, 13. [2] Matth. XXIV, 30.

Digitized by Google

qui unam Ecclesiam in gloriam benignitatis suæ cœlestem simul et terrenam constituerat, cum gaudio reversi sunt in Jerusalem, et erant semper in templo, mentem in cœlum dirigentes, laudantes et benedicentes Deum, necnon ad adventum promissi divini Spiritus recipiendum semetipsos parantes. Hæc est, fratres, quasi in compendio, eorum qui a Christo vocantur conversatio, orationibus et obsecrationibus incumbere, intentum habere mentis oculum, sicut angeli, ad cœlestem Dominum, illum laudare et benedicere irreprehensibili agendi ratione, et ita mysticum ejus adventum exspectare, Prophetæ instar ad eum dicentis: « Psallam et intelligam in via immaculata, quando venies ad me [1]. » Quod magnus Paulus ostendens dicebat [2]: « Nostra conversatio in cœlis est, ubi præcursor pro nobis intravit Jesus [2*]. » Quod indicans princeps apostolorum Petrus, « Succincti, inquit, lumbos mentis vestræ, sobrii perfecte sperate in eam quæ offertur vobis gratiam, in revelationem Jesu Christi, quem non videntes diligitis [3]. » Quod etiam innuens Dominus, « Sint, ait, lumbi vestri præcincti, et lucernæ ardentes, et vos similes hominibus exspectantibus Dominum suum, quando revertetur [4]. » Ita Sabbatum non solvit, sed adimplevit, ostendens Sabbatum vere benedictum esse diem qua in melius ab operibus corporalibus quiescitur, quæ ideo benedictionem obtinuit, quia vacantes a terrenis et mox evertendis operibus, adhæremus Deo, quærentes cum spe inconfusibili cœlestia et incorruptibilia.

A ὑπερουράνιον Δεσπότην, τὸν ἐκεῖθεν καταβάντα καὶ τὴν γῆν οὐρανώσαντα, καὶ αὖθις ἀναβάντα ὅθεν καὶ κατέβη, καὶ τὰ κάτω τοῖς ἄνω συνάψαντα, καὶ μίαν Ἐκκλησίαν εἰς δόξαν τῆς οἰκείας φιλανθρωπίας οὐράνιον ἅμα καὶ ἐπίγειον συστησάμενον, χαίροντες ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, τὸν νοῦν εἰς οὐρανὸν ἔχοντες, καὶ αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεὸν, καὶ πρὸς ὑποδοχὴν τῆς ἐπηγγελμένης ἐπιδημίας τοῦ θείου Πνεύματος ἑαυτοὺς ἑτοιμάζοντες. Αὐτὸ δὲ τοῦτό ἐστιν, ὡς ἐν ἐπιτόμῳ, τὸ πολίτευμα τῶν ἀπὸ Χριστοῦ καλουμένων, ἀδελφοὶ, προσκαρτερεῖν ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς, καὶ ἀνατεταμένον ἔχειν τὸ ὄμμα τῆς διανοίας ἀγγελομιμήτως πρὸς τὸν ἐπουράνιον Δεσπότην· αἰνεῖν τε καὶ εὐλογεῖν αὐτὸν ἀνεπιλήπτῳ πολιτείᾳ, καὶ οὕτω τὴν μυστικὴν αὐτοῦ

B ἐπιδημίαν ἐκδέχεσθαι, κατὰ τὸν εἰπόντα πρὸς αὐτόν· « Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με. » Τοῦτο καὶ ὁ μέγας Παῦλος δηλῶν ἔλεγεν· « Ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς. » Πρὸς τοῦτο καὶ ὁ τῶν ἀποστόλων κορυφαῖος Πέτρος ἐνάγων, « Ἀναζωσάμενοι, φησὶ, τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες τελείως, ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὃν οὐχ ὁρῶντες ἀγαπᾶτε. » Τοῦτο καὶ ὁ Κύριος αἰνιττόμενος, « Ἔστωσαν, φησὶν, αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι, καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν Κύριον

C αὐτὸν, πότε ἀναλύσει. » Οὕτω καὶ τὸ Σάββατον οὐ κατέλυσεν, ἀλλ' ἀνεπλήρωσεν, δείξας Σάββατον εὐλογημένον ὄντως ὂν, τὴν ἐπὶ τὸ κρεῖττον τῆς τῶν σωματικῶν ἔργων καταπαύσεως ἡμέραν, καὶ διὰ τοῦτο συγκεκληρωμένην εἶναι τούτῳ τὴν εὐλογίαν, ὅτι σχολάζοντες ἀπὸ τῶν γηΐνων, καὶ μετ' οὐ πολὺ καταργουμένων ἔργων, προσανέχομεν τῷ Θεῷ, ζητοῦντες μετ' ἐλπίδος ἀκαταισχύντου τὰ οὐράνια καὶ ἀκήρατα.

In lege veteri una tantum dierum hebdomadis erat Sabbatum; ideo Dominus insanis visus est Judæis legale solvere Sabbatum; ipse autem dixit: « Non veni solvere legem, sed adimplere [5]. » Quomodo ergo non solvit, sed adimplevit Sabbatum et per illud legem? Cum sanctum Spiritum se daturum promisisset eis qui eum obsecrant die ac nocte, et jussisset semper excitatos esse semperque vigiles, dicens: « Estote parati, quia nescitis in qua hora Filius hominis veniet [7]. » dies singulos eis qui perfecte ei obedire intendunt benedicta fecit Sabbata, itaque non solvit, sed adimplevit Sabbatum, et per Sabbatum legem. Vos autem qui mundanis implicati estis negotiis, si ab avaritia abstineatis necnon ab odio inter vos invicem, si veritati et castimoniæ incumbatis, omnes dies et vos Sabbata facietis vacando a malis. Quando vero advenerit dies præ aliis salutaris, vacare oportet a licitis operibus et verbis, constanter in ecclesia Dei permanere, aures cum mente ad doctrinam et institutionem erigere, et cum contrito corde orationi et obsecrationibus indulgere; ita enim vos quoque adimplebitis Sabbatum secundum Evangelium gratiæ Dei con-

Ἐν μὲν οὖν τῷ παλαιῷ νόμῳ μία τῶν ἡμερῶν τῆς ἑβδομάδος Σάββατον ἦν· διὸ καὶ ὁ Κύριος τοῖς ἀνοήτοις Ἰουδαίοις ἔδοξε καταλῦσαι τὸ νομιζόμενον Σάββατον· αὐτὸς δέ φησιν, « Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι. » Πῶς οὖν οὐ κατέλυσε τοῦτο τὸ Σάββατον, ἀλλ' ἀνεπλήρωσε καὶ κατὰ τοῦτο τὸν νόμον; Πνεῦμα ἅγιον ἐπαγγειλάμενος δώσειν τοῖς αἰτοῦσιν αὐτὸν ἡμέρας καὶ νυκτὸς, καὶ προστάξας ἀεὶ διεγηγερμένους εἶναι καὶ **125** ἐγρηγορότας καὶ εἰπών· « Γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε,

D ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται, » πάσας τὰς ἡμέρας τοῖς τελέως ὑπακούειν αὐτῷ προαιρουμένοις εὐλογημένα Σάββατα πεποίηκε, καὶ οὕτως οὐ κατέλυσεν, ἀλλ' ἀνεπλήρωσε καὶ κατὰ τοῦτο τὸν νόμον. Ὑμεῖς δὲ οἱ τοῖς κοσμικοῖς πράγμασιν ἐμπεπλεγμένοι, ἐὰν ἀπέχησθε τῆς πλεονεξίας, καὶ τῆς πρὸς ἀλλήλους ἀπεχθείας, καὶ ἀληθεύειν σπεύδητε καὶ σωφρονεῖν, ποιήσετε καὶ ὑμεῖς τὰς ἡμέρας πάσας Σάββατα διὰ τῆς ἀπραξίας τῶν κακῶν. Ὅταν δὲ ἐπιστῇ μᾶλλον τῶν ἄλλων ἡμέρα σωτήριος, καὶ ἀπὸ τῶν ἀνεγκλήτων δεῖ σχολάζειν ἔργων τε καὶ λόγων, καὶ μεθ' ὑπομονῆς παραμένειν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ, καὶ ὑπέχειν τὰ ὦτα μετὰ συνέσεως τῇ

[1] Psal. c, 2. [2*] Philipp. III, 20. [3] I Petr. I, 13. [4] Luc. XII, 35. [5] Matth. V, 17. [7] Matth. XXIV, 44.

ἀναγνώσει καὶ τῇ διδασκαλίᾳ, καὶ προσέχειν μετὰ A κατανύξεως τῇ δεήσει καὶ ταῖς προσευχαῖς, καὶ τοῖς ὕμνοις τοῖς πρὸς τὸν Θεόν· ἀναπληρώσετε γὰρ οὕτω καὶ ὑμεῖς τὸ Σάββατον κατὰ τὸ Εὐαγγέλιον τῆς τοῦ Θεοῦ χάριτος πολιτευόμενοι, καὶ πρὸς τὸν ὑπὲρ τὰς οὐρανίας ἁψῖδας ἱδρυμένον σὺν Πατρὶ καὶ Πνεύματι τὸ ὄμμα τῆς διανοίας ἀνατείναντες Χριστὸν, ὃς υἱοὺς ἐποίησεν ἡμᾶς Θεοῦ οὐκ εἰσποιητοὺς ὀνόματι ψιλῷ, ἀλλ' ἐν κοινωνίᾳ θείου Πνεύματος, σαρκί τε καὶ αἵματι τῷ ἑαυτοῦ, Θεῷ καὶ ἀλλήλοις προσῳκειωμένους.

versantes et ad eum qui cum Patre et Spiritu sedet super vertices cœli, ad Christum mentis oculum intendentes qui nos Dei filios effecit, non nudo nomine adoptatos, sed in communicatione Spiritus sancti, carni ipsius et sanguini, Deo et nobis invicem intime conjunctos.

Φυλάττωμεν οὖν δι' ἀγάπην ἀδιάλυτον τὴν πρὸς ἀλλήλους ταύτην ἑνότητα· βλέπωμεν ἀεὶ πρὸς τὸν ἄνω γεννήτορα· οὐ γὰρ ἔτι ἐκ τῆς γῆς ἐσμεν χοϊκοὶ, ὡς ὁ πρῶτος ἄνθρωπος, ἀλλ' ὡς ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ· οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. Ὡς οὖν ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου, B καὶ τὴν καρδίαν ἄνω πρὸς αὐτὸν ἔχοντες, θεώμεθα τὸ μέγα θέαμα τοῦτο, τὴν ἡμετέραν φύσιν, ἀΰλῳ συνδιαιωνίζουσαν θεότητος πυρί· καὶ τὴν πρὸς τοὺς δερματίνους χιτῶνας ἀποθέμενοι σχέσιν, οὓς ἐκ παραβάσεως ἐνεδυόμεθα, στῶμεν ἐν γῇ ἁγίᾳ, τὴν καθ' ἑαυτὸν ἕκαστος γῆν ἁγίαν δι' ἀρετῆς καὶ τῆς ἀκλινοῦς πρὸς Θεὸν νεύσεως ἀποδείξαντες, ὡς ἂν παῤῥησίαν σχῶμεν, ἐπιδημοῦντος ἐν πυρὶ τοῦ Θεοῦ, καὶ φωτισθῶμεν προσδραμόντες, καὶ συνδιαιωνίσωμεν φωτιζόμενοι, εἰς δόξαν αὐτοῦ τοῦ ἀνωτάτου φωτὸς, τῆς τρισηλίου καὶ μοναρχικωτάτης φαιδρότητος· ᾗ πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Servemus ergo per charitatem indissolubilem istam cum aliis unitatem; aspiciamus semper supernum genitorem; jam enim non sumus ex terra terreni sicut primus homo, sed sicut novus homo, Dominus cœlestis; qualis terrenus, tales et terreni, qualis cœlestis, tales et cœlestes. Igitur sicut portavimus imaginem terreni, portemus et imaginem cœlestis, cor sursum ad eum habentes, spectemus hoc miraculum magnum, naturam nostram spiritali deitatis igne perenniter involutam; et rejecto ad carnale indumentum vinculo, quod ex transgressione induimus, stemus in tellure sancta, terram sanctam in nobis singuli exhibentes per virtutem et rectam ad Deum viam, ita ut fiduciam habeamus, Deo in igne apparente, et illuminemur accurrentes, et illuminati in æternum fulgeamus, in gloriam luminis altissimi, solis illius unius quidem et simul trino jubare coruscantis, cui omnis gloria, virtus, honor et adoratio nunc et semper et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ ΚΒ'. C

*Εἰς τὴν αὐτὴν ἑορτήν· ἐν ᾗ καὶ περὶ παθῶν καὶ ἀρετῶν.*

Βλέπετε τὴν κοινὴν ἡμῖν ἑορτὴν καὶ εὐφροσύνην ταύτην, ἣν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῇ ἀναστάσει καὶ ἀναλήψει αὐτοῦ τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐχαρίσατο; Διὰ θλίψεως ἀνέβλυσε. Βλέπετε τὴν ζωὴν, μᾶλλον δὲ τὴν ἀθανασίαν ταύτην; Διὰ θανάτου ἡμῖν ἐπέφανε. Βλέπετε τὸ οὐράνιον ὕψος, εἰς ὃ ὑπερυψωθεὶς ἀνῆλθεν ὁ Χριστὸς, καὶ τὴν ὑπερδεδοξασμένην ἣν κατὰ σάρκα δεδόξασται δόξαν; Διὰ ταπεινώσεως καὶ ἀδοξίας αὐτῆς ἐπέτυχε. Καθάπερ καὶ ὁ Ἀπόστολος περὶ αὐτοῦ φησιν· « Ὅτι ἐταπείνωσεν **126** ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· διὸ D καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. » Εἰ τοίνυν ὁ Θεὸς τὸν Χριστὸν αὐτοῦ, ὅτι ἐταπεινώθη, ὅτι ἠτιμάσθη, ὅτι ἐπειράσθη, ὅτι σταυρὸν καὶ θάνατον ἐπονείδιστον ὑπὲρ ἡμῶν ὑπέμεινε, διὰ τοῦτο ὑπερύψωσε, πῶς ἡμᾶς σώσει καὶ δοξάσει καὶ ἀνυψώσει μὴ τὴν ταπείνωσιν ἑλομένους; μὴ τὴν εἰς

## HOMILIA XXII.

*In eamdem festivitatem; in qua etiam de vitiis et virtutibus.*

Num videtis communem istam nobis festivitatem et lætitiam quam Dominus noster Jesus Christus in sua resurrectione et ascensione credentibus in eum largitus est? Per tribulationem exorta est. Videtisne vitam vel potius istam immortalitatem? Per mortem nobis effulsit. Videtisne cœlestem altitudinem in quam elevatus ascendit Christus, et supereminentem gloriam qua secundum carnem glorificatus est? Per humiliationem et opprobrium eam sortitus est. Quemadmodum Apostolus de ipso dixit: « Humiliavit semetipsum factus obediens usque ad mortem, mortem autem crucis; propter quod et Deus exaltavit eum et dedit illi nomen quod est super omne nomen, ut in nomine Jesu omne genu flectatur cœlestium, terrestrium et infernorum, et omnis lingua confiteatur quia Dominus Jesus Christus in gloria est Dei Patris [8]. » Si ergo Deus Christum suum, quia humiliatus, quia ignominia affectus, quia tentatus est, quia pro nobis crucem subiit turpemque mortem, ideo exaltavit, quomodo nos salvabit et glorificabit nisi humiliationem elegerimus? nisi charitatem erga fratres exhibuerimus? nisi animas nostras per pa-

[8] Philipp. II, 8.

Digitized by Google

tentiam in tentationibus possederimus? nisi per A angustam portam et viam in æternam vitam introducentem ducem nostrum secuti fuerimus? Ad hoc enim vocati sumus, dicit Petrus princeps apostolorum: « Quia Christus passus est pro nobis, nobis relinquens exemplum, ut nos sequamur vestigia ejus *. »

Quare autem per tantas passiones perrexit Dei Christus? quare Deus hunc propterea exaltavit, et nos in societatem passionum Filii sui advocat? Ipse Deus solus, idem est semper et ante sæcula et in sæcula et nunc, sine mutatione permanens; sine principio, sine fine, non factus nec pessumdatus, non auctus nec minoratus, neque loco aliove modo mu- B tatus; æternus, increatus, motui non obnoxius, inconfusus, infinitus; ipse omnia mutans in melius prout voluerit, ipse permittens in pejus mutari quæ istud patiuntur; omne vero quod initium et mutationem habet sustinet, nam quasi initium est mutatio. Igitur cum mutabilis sit omnis creatura, tam visibilis quam invisibilis, tam quæ sub sensum cadit quam quæ non cadit, tam ratione prædita quam ista privata, sola rationis natura, cum libertate potiatur, a voluntate sponteque habet ut in melius vel in pejus mutetur, vel divinæ voluntati adhærens a qua accipit ut in perpetuum ad melius progressa proficiat, vel divinæ voluntati obsistens, juste a Deo derelicta et in pejus misere delapsa. Duabus ergo rationabilibus naturis a C Deo creatis, priore quidem spiritualium angelorum, posteriore autem hominum corporis participum, harum nulla custodivit obedientiam in Creatorem Dominumque naturæ, sed ipse spiritualium angelorum principatus cœlestis, prior creatus, prior in defectionem a Deo ægrotavit. Qui ergo ex spiritalibus angelis huic casui superiores remanserunt, lux sunt, et luce semper replentur, et semper lucidiore lumine fulgent, innato motu feliciter utentes, et saltantes in gaudio intra primam lucem, ad eam semper spectantes, eaque sine medio illuminati, fontem lucis sine intermissione laudantes, et ad eos qui loco inferiori illuminantur luciferam mittentes gratiam, velut ministri lucis. Rebellis autem, D negata Deo obedientia, Satan a lumine excidens in tenebras dilapsus est, et ad caliginem æternam fuit damnatus, et tenebrarum vas, tenebrarum artifex, tenebrarum auctor factus est atque minister, primum quidem sibi et angelis apostasiæ sociis, deinde vero, o exitium! et nobis in paradiso Dei qui, Deo infideles, ei credidimus. At omnes nequitiæ angeli, cum velut ipsæ sint tenebræ, quia non in parte istud facti sunt, sed principium et plenitudo sunt infidelitatis, radix amara et fons totius peccati, præsertim quia illius nobis sunt auctores, nulla venia dignum habent peccatum, semetipsos inconsiderate in spissiores tenebras immittunt, nec unquam ad lumen omnis natu-

* I Petr. II, 4.

τοὺς ὁμοφύλους ἀγάπην ἐνδεικνυμένους; μὴ τὰς ἑαυτῶν ψυχὰς διὰ τῆς τῶν πειρασμῶν ὑπομονῆς κτησαμένους; μὴ διὰ τῆς εἰς ζωὴν αἰώνιον ἀπαγούσης στενῆς πύλης καὶ ὁδοῦ τῷ πρὸς αὐτὴν ποδηγήσαντι σωτηρίως ἑπομένους; Εἰς τοῦτο γὰρ ἐκλήθημεν, φησὶν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος· « Ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ. »

Ἀλλὰ τίνος ἕνεκα διὰ τῶν τοιούτων παθημάτων καὶ ὁ τοῦ Θεοῦ ὥδευσε Χριστὸς, καὶ ὁ Θεὸς αὐτὸν διὰ τοῦτο ὑπερύψωσε, καὶ ἡμᾶς πρὸς τὴν κοινωνίαν καλεῖ τῶν παθημάτων τοῦ Υἱοῦ αὐτοῦ; Αὐτὸς ὁ Θεὸς μόνος, ὁ αὐτός ἐστιν ἀεὶ πρὸ τῶν αἰώνων καὶ εἰς αἰῶνας καὶ ἔτι, ἀναλλοίωτος διαμένων· οὐκ ἀρχόμενος, οὐ παυόμενος, οὐ γινόμενος, οὐ φθειρόμενος, οὐκ αὐξόμενος, οὐ μειούμενος, οὐδενὶ τρόπῳ ἢ τόπῳ μεταβαλλόμενος· ἄναρχος, ἄκτιστος, ἄτρεπτος, ἀσύγχυτος, ἀπεριόριστος· αὐτὸς πάντα τρέπων ἐπὶ τὸ κρεῖττον, ὡς βούλεται, αὐτὸς παραχωρῶν ἐπὶ τὸ χεῖρον τρέπεσθαι τὰ τοῦτο πάσχοντα· πᾶν δὲ τὸ ἔχον ἀρχὴν καὶ τροπὴν ὑφίσταται· τροπὴ γάρ τις ἡ ἀρχή ἐστι. Τρεπτῆς οὖν οὔσης πάσης τῆς κτίσεως, ὅση ὁρατὴ καὶ ὅση ἀόρατος, ὅση αἰσθητὴ καὶ ὅση ἀναίσθητος, ὅση λογικὴ καὶ ὅση ἄλογος, ἡ λογικὴ μόνη φύσις τὸ αὐτεξούσιον ἔχουσα, ἐθελούσιον ἔχει τὴν ἐπὶ τὸ χεῖρον ἢ τὸ κρεῖττον τροπὴν οἴκοθεν καὶ παρ' ἑαυτῆς, ἢ τῆς τοῦ Θεοῦ βουλήσεως ἀντεχομένη, παρ' ἧς ἡ πρὸς τὸ κρεῖττον ἐς τὸ διηνεκὲς ταύτῃ γίνεται προκοπὴ καὶ τροπὴ καὶ πρόοδος, ἢ τῇ βουλήσει τοῦ Θεοῦ ἀντικειμένη, καὶ τῇ παραχωρήσει τούτου δικαίως ὑποπίπτουσα, καὶ ἐπὶ τὸ χεῖρον ἀθλίως ἐκπίπτουσα. Δύο τοίνυν οὐσιῶν λογικῶν κτισθεισῶν ὑπὸ Θεοῦ, πρότερον μὲν τῶν ἀΰλων ἀγγέλων, ὕστερον δὲ τῶν ἐνύλων ἀνθρώπων, οὐδεμία τούτων διεφύλαξε τὴν πρὸς τὸν Κτίστην καὶ φύσει Δεσπότην ὑπακοὴν, ἀλλ' αὐτὴ ἡ τῶν ἀΰλων ἀγγέλων οὐράνιος ταξιαρχία, ἡ καὶ προτέρα κτισθεῖσα, προτέρα καὶ τὴν ἐκ Θεοῦ ἀποστασίαν ἐνόσησεν. Ὅσον οὖν τῶν ἀγγέλων ὑψηλότερον τῆς νόσου ταύτης διέμεινε, φῶς εἰσι, καὶ φωτὸς ἀεὶ πληροῦνται, καὶ ἀεὶ ἑαυτῶν γίνονται φωτοειδέστεροι, μακαρίως τῇ ἐμφύτῳ χρώμενοι τροπῇ, καὶ χορεύοντες ἐν χαρᾷ περὶ τὸ πρῶτον φῶς, πρὸς αὐτὸ βλέποντες ἀεὶ, κἀκεῖθεν ἀμέσως φωτιζόμενοι, καὶ τὴν τοῦ φωτὸς πηγὴν ἄπαυστα ὑμνοῦντες, καὶ πρὸς τοὺς ὑποβεβηκότας τῶν φωτιζομένων τὴν φωτοποιὸν χάριν διαπέμποντες, ὡς διάκονοι φωτός. Ὁ δὲ ἀφηνιάσας καὶ ἀθετήσας τὴν πρὸς τὸν Θεὸν ὑποταγὴν Σατὰν, τοῦ φωτὸς ἀποπεσὼν περιέπεσε τῷ σκότει, καὶ ὑπὸ ζόφον αἰώνιον κατεδικάσθη, καὶ σκότους σκεῦος, καὶ σκότους δημιουργὸς, καὶ σκότους ἐγένετο πρόξενος καὶ διάκονος, πρῶτον μὲν ἑαυτῷ καὶ τοῖς συναποστατήσασιν ἀγγέλοις, ἔπειτα δὲ, ὢ τῆς συμφορᾶς! καὶ ἡμῖν ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ, ἀπιστήσασι Θεῷ, καὶ πιστεύσασιν αὐτῷ. Ἀλλ' οἱ μὲν τῆς πονηρίας **127** πάντες ἄγγελοι οἷον αὐτοσκότος ὄντες, ὡς μὴ κατὰ μετοχὴν τοῦτο γεγονότες,

ἀλλ' ἀρχὴ καὶ πλήρωμα τῆς ἀπειθείας ὄντες, καὶ πικρὰ ῥίζα καὶ πηγὴ πάσης ἁμαρτίας, μάλιστα διὰ τὸ καὶ ἡμῖν πρόξενοι γενέσθαι ταύτης, ἀσύγγνωστον ἔχουσι τὴν ἁμαρτίαν, καὶ ἀκρατῶς ἐπὶ τὸ σκοτοειδέστερον ἀεὶ χωροῦσι προκόπτοντες καθ' ἑαυτῶν, καὶ ἀνεπιστρόφως ἔχοντες πρὸς τὸ πάσης λογικῆς φύσεως φωτιστικόν. Ἡμῖν δὲ ὡς μὴ αὐτοκινήτοις ἐπὶ τὸ κακὸν γεγενημένοις μετ' ἐλέους ἡ παρὰ τοῦ Θεοῦ παιδεία ἐξ ἀρχῆς ἐπάγεται· εἰ γὰρ καὶ κατεδικάσθημεν θανάτῳ, ἀλλὰ μετὰ τὸ λαβεῖν μετανοίας προθεσμίαν τὸν πολυετῆ χρόνον, ὃν ὁ Ἀδὰμ μετὰ τὴν παρακοὴν ἐπέζησε, καὶ ὃν ἕκαστος διαβιοῦμεν.

A ræ rationalis attendunt. Nobis vero qui non proprio motu in malum ruimus ex misericordia pœna a Deo differtur; ad mortem quidem damnati sumus, sed eam subire non debemus nisi postquam datum fuerit ad pœnitentiam nonnullorum annorum spatium, quod egit Adam post transgressionem, quod nos quoque singuli transigimus.

Ὅθεν καὶ σαφῶς δείκνυται, ὡς οὐκ ἀπεγνωσμένην ἔχομεν τὴν σωτηρίαν, οὐδὲ ἔστιν ὅλως ἐν ἡμῖν ἀπογνώσεως καιρός· πᾶσα γὰρ ἡμῖν ἡ ζωὴ μετανοίας ἐστὶ καιρὸς, μὴ θέλοντος τοῦ Θεοῦ τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, κατὰ τὸ γεγραμμένον, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν· διὰ τί γὰρ οὐκ εὐθὺς τῇ παρακοῇ ἐπηκολούθησεν ὁ θάνατος; ἢ καὶ ἡμεῖς ἁμαρτόντες οὐκ ἀπαλλαττόμεθα τοῦ ζῆν, εἰ μὴ ἐλπὶς ἦν ἐπιστροφῆς; οὗ δὲ ἐλπὶς ἐπιστροφῆς, ἀπόγνωσις οὐκ ἔχει χώραν. Ἀλλὰ καὶ ὁ τοῦ Ἀδὰμ Ἄβελ τὴν ἀρχὴν εὐθὺς μεμαρτύρηται ὑπὸ Θεοῦ, ὡς εὐάρεστος καὶ εὐπρόσδεκτος αὐτῷ φανείς. Καὶ μετὰ μικρὸν τότε χρόνον τῆς ἡμῶν ἐκπτώσεως, Ἐνὼς ἤλπισεν ἐπικαλεῖσθαι τὸν Κύριον. Ὁ δὲ Ἐνὼχ οὐκ εὐηρέστησε μόνον, ἀλλὰ καὶ μετετέθη ὑπὸ τοῦ Θεοῦ, σαφὴς γενόμενος τῆς περὶ ἡμᾶς τοὺς ἐπταικότας συμπαθείας ἀπόδειξις. Πάλιν φορὰ τῆς ἁμαρτίας, καὶ πάλιν ἀποστροφὴ Θεοῦ κατὰ τοῦ γένους τοῦ ἡμετέρου, καὶ παγκοσμίῳ δικαίως παρεδόθημεν κατακλυσμῷ, καὶ πάλιν οὐκ ἄμικτος ἡ ὀργὴ, οὐδ' ἀνίλεως ἡ καταδίκη, ἀλλ' οἷόν τινα ῥίζαν δευτέραν τοῦ ἡμετέρου γένους, τὸν Νῶε δίκαιον εὑρὼν ἐν τῇ γενεᾷ αὐτοῦ, θαυμασίως ὁ Θεὸς ἐφύλαξεν, οἱονεὶ περιτεμὼν ἐν προνοίᾳ, κακῶς ὑλομανοῦσαν, ἀλλ' οὐκ ἐκτεμὼν, οὐδὲ πρόῤῥιζον ἀσυμπαθῶς ἀνασπάσας τὴν ἀνθρωπίνην φυλήν. Μετ' ἐκεῖνον Ἀβραὰμ πιστὸς καὶ εὐάρεστος ἀναπέφηνε Θεῷ, παρ' αὐτοῦ μαρτυρούμενος· καὶ ὁ τούτου Ἰσαὰκ, καὶ ὁ τοῦ Ἰσαὰκ Ἰακὼβ, καὶ οἱ ἐξ αὐτοῦ πατριάρχαι, ἐν οἷς ἐπαγγελία καὶ πρόῤῥησις ἐλέους κρείττονος, καὶ φιλανθρωπίας κατὰ κράτος νικώσης τὰς ἡμῶν ἁμαρτίας, αὐτὸν τὸν ποιμένα τὸν μέγαν ἐξ ἁγίων οὐρανῶν εἰς ἀναζήτησιν κατελθεῖν τοῦ ἀπολωλότος προβάτου. Καθεξῆς νομοθέται, κριταὶ, βασίλειον γένος, ἐξ οὗ τὸ κατὰ σάρκα Χριστὸς ἥξειν φανερῶς ἐπηγγέλλετο. Νῦν δὲ ἦλθε καὶ ἐπεφάνη Χριστὸς, αὐτὸς ὁ τὴν ἀρχὴν ἡμᾶς πλάσας τοῦ Θεοῦ προαιώνιος Λόγος, καθ' ἡμᾶς δι' ἡμᾶς γεγονὼς, ἵνα καινουργήσῃ καὶ ἀναπλάσῃ παλαιωθέντας καὶ συντριβέντας ὑπὸ τῆς ἁμαρτίας· ἐπεὶ γὰρ τὸ καθ' ἡμᾶς σύντριμμα ἑκούσιον ἦν καὶ ἡμέτερον, καὶ τὴν καθ' ἡμᾶς ἀνακαίνισιν ἡμῶν αὐτῶν σοφῶς καὶ φιλανθρώπως ποιεῖται ἐν ἀνθρώπῳ, ὃν ἐκ παρθένου γαστρὸς ὑπὲρ ἡμῶν ἀνέλαβε, τὸ τῆς σωτηρίας ἅπαν οἰκονομήσας μυστήριον, καὶ δυναμώσας μὲν ἡμᾶς πρὸς ἐπάνοδον τῇ οἰκείᾳ πρὸς ἡμᾶς ἑνώσει, ὁδοποιήσας δὲ ἡμῖν διὰ τῆς οἰκείας πολιτείας τὴν πρὸς οὐρανὸν, φανερώσας δὲ τὴν ἐπανάγουσαν ὁδὸν τῇ πρὸς ἡμᾶς ἑαυτοῦ διδασκαλίᾳ.

Unde recte monstratur non desperatam esse salutem nostram, nec ullam esse nobis desperationis causam; tota enim vita nostra tempus est pœnitentiæ, cum Deus non velit mortem peccatoris, sed ut convertatur et vivat, sicut scriptum est. B Quare enim statim transgressionem mors consecuta non est? vel quomodo nos peccatores mereremur vivere, nisi spes esset conversionis? Ubi autem speratur conversio, locum non habet desperatio. Sed Abel Adam filius statim a principio testimonium accepit a Deo, quoniam gratus et acceptabilis ei visus erat. Et brevi tempore a casu elapso, Enos cœpit cum fiducia invocare Dominum. Henoch vero non tantum placuit, sed etiam a Deo translatus est, evidens factus argumentum divinæ erga nos peccatores misericordiæ. Rursum crevit peccatum, rursumque facta est Dei a genere nostro aversio; jure cataclysmo universali traditi sumus, et rursum non mera iracundia, nec sine misericordia condemnatio, C sed velut secundam generis nostri radicem; Noe justum in generatione sua inventum Deus mirabiliter servavit, quasi prudenter amputans utpote male luxuriantem, sed non abscindens neque radicitus evertens humanam gentem. Post eum Abraham fidelis et gratus stetit in conspectu Dei, ab ipso accipiens testimonium, item Isaac filius Abraham, item Jacob ab Isaac genitus et patriarchæ ab eo exorti quibus promissio et prædictio majoris misericordiæ et benignitatis peccata nostra potenter superantis: ipsum pastorem magnum e sanctis cœlis venturum ut vitam perdito gregi reddat. Deinde legislatores, judices, genus regale ex quo manifeste promissum est Christum fore secundum carnem oriturum. Nunc vero venit et apparuit D Christus, ipsum quod nos creavit æternum Dei Verbum, secundum nos pro nobis factum, ut renovaret et reficeret tabescentes atque contritos per peccato; nam cum nostra contritio esset voluntaria, nostram quoque renovationem sapienter atque clementer in homine operatus est, quem ex Virginis ventre pro nobis assumpsit, penitus dispensato salutis mysterio, nobisque ad conversionem ejus ad nos conjunctione roboratis, via quid nobis in cœlum ejus conversatione adaperta, manifestata autem per ejus ad nos doctrinam.

Ἐπεὶ δὲ τὰ ἐναντία ἐστὶ τῶν ἐναντίων ἰάματα, ἐθανατώθημεν δὲ τῇ πονηρᾷ τοῦ πονηροῦ συμβουλῇ,

Verum cum contraria a contrariis curantur, sicut pravo maligni consilio mortui sumus, ita

Digitized by Google

A bono boni consilio rursum reviviscimus; et quia consiliarius mortis voluptatem præbuit et gloriam et mollitiem, quibus a supernis ad ima præceps detrahitur genus nostrum, ideo veræ vitæ consiliarius, ipse nobis in ea præcedens, angustam arctamque viam quæ ducit ad vitam patefecit. « Studete, ait, ut intretis per angustam portam, quia lata porta et spatiosa via est, quæ ducit ad perditionem, sed quam angusta porta et arcta via quæ ducit ad vitam [10]. » Qua perditionis via alibi clarius avertens, « Væ, inquit, divitibus, væ vobis qui saturati estis; væ vobis si vobis omnes benedixerint homines [11], » quibus laudum, voluptatum opumque cupidis væ dixit. Et rursum: « Nolite thesaurizare vobis thesauros in terra [12]. » Et: « Attendite ne forte graventur corda vestra in crapula et ebrietate et curis hujus vitæ [13]. » Et: « Quomodo vos potestis credere, qui gloriam ab invicem accipitis, et gloriam quæ a Deo est non quæritis [14]? » Quibus verbis a via quæ ducit ad mortem eripit; viam autem vitæ alibi iterum demonstrat dicens: « Beati pauperes. Beati misericordes. Beati qui persecutionem patiuntur propter justitiam [15]. » Et: « Vende omnia quæ habes, et da pauperibus, et habebis thesaurum in cœlo [16]; » et: « Omnis qui reliquerit domum vel agros vel aliud quid terrenum propter me et Evangelium, centuplum accipiet et vitam æternam possidebit [17]. » Ita animum cohibuit ut iram ipsam homicidio parem proclamaverit, et ad eamdem pœnam damnans eum qui adversus alium ex ira in convicia eruperit reum gehennæ ignis dixerit. Mansuetudinem vero non beatam solum fecit, sed et maximis donavit præmiis. Sic intemperantiam coercuit ut libidinosum et curiosiorem aspectum ad mulierem alterius adulterium appellaverit. Castitatis vero amatorem beatum dicendo Deum asserit conspecturum. Tantum abest ut perjurium non vituperaret, ut ipsum juramentum prohiberet, et omne præter *etiam* et *non* a malo esse affirmaret, dicens: « Sit sermo tuus: Est, est, non, non: quod autem his abundantius est, a malo est [18]. »

διὰ τῆς ἀγαθῆς τοῦ ἀγαθοῦ συμβουλῆς αὖθις ζωοποιούμεθα· καὶ ἐπειδήπερ ὁ τοῦ θανάτου σύμβουλος ἡδονὴν εἶχε καὶ δόξαν καὶ ἄνεσιν, τὰ θέλγοντα καὶ κατασπῶντα τῶν ἄνω τὸ ἡμέτερον γένος, διὰ τοῦτο ὁ τῆς ἀληθινῆς ζωῆς σύμβουλος, αὐτός τε ὁδεύει ποδηγῶν, καὶ ἡμῖν στενὴν καὶ τεθλιμμένην ὑφηγεῖται τὴν πρὸς τὴν ἄνω φέρουσαν ζωήν, « Σπουδάσατε, **128** λέγων, εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· » καί, « Στενὴ καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, ἐπεὶ καὶ πλατεῖα καὶ εὐρύχωρος ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν· » ἣν ὁδὸν τῆς ἀπωλείας ἀλλαχοῦ σαφέστερον ἀπαγορεύων, « Οὐαί, φησίν, οἱ πλουτοῦντες, οὐαὶ οἱ ἐμπεπλησμένοι, οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· » τοὺς φιλοδόξους καὶ φιληδόνους καὶ φιλαργύρους διὰ τούτων B ταλανίζων. Καὶ πάλιν· « Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς· » καί, « Ὁρᾶτε μήποτε βαρυνθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς· » καί, « Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀνθρώπων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ μὴ ζητοῦντες; » Καὶ ἀπὸ μὲν τῆς πρὸς θάνατον ἀγούσης διὰ τῶν τοιούτων ἀφαρπάζει λόγων· τὴν δὲ τῆς ζωῆς ὁδὸν ἀλλαχοῦ πάλιν ἐμφανίζει μακαρίζων· « Μακάριοι οἱ πτωχοί. Μακάριοι οἱ ἐλεήμονες. Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· » καί, « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· » καί, « Πᾶς ὃς ἀφῆκεν οἰκίαν ἢ ἀγροὺς, ἤ τι ἄλλο τῶν γηΐνων ἕνεκεν ἐμοῦ C καὶ τοῦ Εὐαγγελίου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. » Καὶ τὸν μὲν θυμὸν ἐπὶ τοσοῦτο συνέστειλεν, ὡς καὶ τὴν ὀργὴν ἴσην ἀποφήνασθαι φόνῳ, ὑπὸ τὴν αὐτὴν τούτῳ καταδίκην θέμενος, καὶ τὸν ἐξ ὀργῆς εἰς λοιδορίαν κατά τινος κεκινημένον ἔνοχον εἶναι τῆς γεέννης τοῦ πυρός. Τὴν δὲ πραότητα οὐχ ἐμακάρισε μόνον, ἀλλὰ καὶ βραβείων τῶν μεγίστων ἠξίωσε. Τὴν ἀκολασίαν δὲ ἐπὶ τοσοῦτον ἐκόλασεν, ὡς καὶ τὸ πρὸς ἀλλοτρίαν ἐμπαθὲς καὶ περίεργον βλέμμα μοιχείαν ἀποκαλέσαι. Τὸν δ' ἁγνείας μεταποιούμενον, μετὰ τοῦ μακαρίσαι, καὶ θεόπτην ἔσεσθαι διατείνεται. Τί δέ; τὴν ἐπιορκίαν οὐχ ἐπὶ τοσοῦτον ἔδειξεν ἀπώμοτον, ὡς καὶ τὴν εὐορκίαν ἀπαγορεῦσαι, καὶ παντὸς ἐκτὸς τοῦ ναὶ, καὶ τοῦ οὔ, ἐκ τοῦ πονηροῦ ἀποφήνασθαι; « Ἔστω, λέγων, ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ, τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστι. »

At quare ista duplicatio? Sint ea quæ dicimus, sive est sive non, rebus consentanea; ita enim vere erit est, est, et non, non; secus autem, est erit non, et non erit est, quod manifesto diaboli est; hic enim cum mendacium loquitur e propriis loquitur, et in veritate non stetit. Ita quidem facta dictaque nostra totamque vitam in veritatem, in justitiam, in mansuetudinem, in castitatem recollecta conclusit. Quid vero erga eos qui contra nos irati verbis et operibus offendunt et aggrediuntur, quomodo nos ad eos vult haberi? « Vince, ait, in bono malum; » et: « Da locum iræ. Ne resistas adver-

D Τί δέ ἐστιν ὁ διπλασιασμὸς οὗτος; Οἷον τὸ παρ' ἡμῶν ναὶ ἢ οὒ λεγόμενον, τὴν ἀπὸ τῶν πραγμάτων ἐχέτω συμφωνίαν· οὕτω γὰρ ἔσται τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ· εἰ δὲ μή, τὸ ναὶ ἔσται οὔ, καὶ τὸ οὒ ναί, ὃ σαφῶς ἐστι τοῦ διαβόλου· ἐκεῖνος γὰρ ὅταν λαλῇ τὸ ψεῦδος ἐκ τῶν ἰδίων λαλεῖ, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν. Ἀλλὰ τὰ μὲν λεγόμενα καὶ πραττόμενα παρ' ἡμῶν οὕτω συνέστειλέ τε καὶ περιέστειλεν εἰς ἀλήθειαν, καὶ δικαιοσύνην, καὶ ἁγνείαν, καὶ ἀοργησίαν περικλείσας ἡμῶν τὸν βίον. Τί δὲ πρὸς τοὺς καθ' ἡμῶν ὀργιζομένους, καὶ λόγῳ καὶ ἔργῳ ἀντιπίπτοντας καὶ ἐπεμβαίνοντας, πῶς διακεῖσθαι

[10] Matth. vii, 13. [11] Luc. vi, 25 seqq. [12] Matth. vi, 19. [13] Luc. xxi, 34. [14] Joan. v, 44. [15] Matth. v, 3 seqq. [16] Matth. xix, 22. [17] ibid. 29. [18] Matth. v, 37.

Digitized by Google

νουθετεῖ; « Νίκα, φησὶν, ἐν τῷ ἀγαθῷ τὸ κακὸν, καὶ δίδου τόπον τῇ ὀργῇ, καὶ μὴ ἀντιστῇς τῷ πονηρῷ, μηδὲ ἀποδώσῃς κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας, ἀλλ' ἀγαπᾶτε τοὺς ἐχθροὺς, εὐλογεῖτε τοὺς καταρωμένους, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων. » Τί δὲ τὸ τοῦ βιαίου τούτου βίου τέλος, καὶ τῶν ἀγώνων τὸ ἔπαθλον; « Ὅπως γένησθε, φησὶ, υἱοὶ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, » καὶ κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, καὶ ζωὴν ἀθάνατον σχοίητε, καὶ βασιλείαν ἄῤῥητον, ἀσάλευτον, ἀδιάδοχον παραλάβητε, εἰς αἰῶνας ἀπείρους τῷ Θεῷ συζῶντες καὶ συμβασιλεύοντες. Ἴδετε τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν τίς ἐστι; καὶ διατί παρ' ἡμῶν ἀπαιτεῖται,
129 καὶ πρὸς ποίαν δόξαν καὶ χαρὰν καὶ κέρδος φέρει τὸν δι' αὐτῆς ἰέναι προαιρούμενον; Ἆρα εἴ τίς σε πολυετῆ ποιήσειν ὑπισχνεῖτο, ἐὰν μόνον ὑπακούσῃς αὐτῷ, οὐκ ἂν προθύμως ὑπῆλθες τὴν ὑπακοὴν, εἰ μή τι τῶν ἀδυνάτων ἀπαιτῶν ἦν; Εἰ δὲ καὶ ὑγείαν καὶ δόξαν καὶ ἡδονὴν προσυπισχνεῖτο, τῷ πολυετεῖ βίῳ συμπαρεκτεινομένην, τί οὐκ ἂν προὔπέστης ὑπὲρ τούτου; Εἰ δὲ καὶ βασιλείαν προσετίθει, καὶ βασιλείαν ἀπόλεμόν τε καὶ ἀνεπηρέαστον μετὰ μακροῦ τε καὶ ἀνόσου βίου, ἆρ' οὐκ ἂν ἀνεπτερώθης, καὶ κοῦφον πᾶν ᾠήθης βαρὺ τὸ πρὸς ἐκείνην φέρον, ταῖς ἐλπίσι τρεφόμενος, καὶ ὡς παρούσης ἀπολαύων τῆς ἐλπιζομένης, εἴπερ ἀληθῆ λέγοντα ᾠήθης; Εἶτα πολυχρονίου μὲν ζωῆς ἐπιθυμοῦμεν, τῆς αἰωνίου δὲ ζωῆς οὐ ποιησόμεθα λόγον; Καὶ βασιλείαν μὲν εἰ καὶ μακρὰν, ἀλλ' ὅμως ἔχουσαν τέλος, καὶ δόξαν καὶ χαρὰν εἰ καὶ μεγάλην, ἀλλ' ὅμως ἀπανθοῦσαν, καὶ πλοῦτον τῷ βίῳ τούτῳ συγκαταλυόμενον, οὕτω ποθήσομεν, καὶ ὑπὲρ τούτου πονήσομεν, τὰ δὲ μετὰ τῆς ὑπερβολῆς καὶ ἀκήρατα ὄντα καὶ ἀτελεύτητα οὐκ ἐκζητήσομεν, οὐδὲ μικρὰν ὑπομενοῦμεν βίαν ὑπὲρ τῆς αὐτῶν κληρονομίας; Καίτοι βασιλείαν ἀπόλεμον ὑπεθέμεθα, ἥτις οὐκ ἂν γένοιτο ἐπὶ τῆς γῆς, καὶ βίον ἄλυπον, ὃν οὐκ ἂν εὕροις, εἰ μὴ ἐν τοῖς οὐρανοῖς. Ὥστε εἰ ταῦτα ποθεῖ τις, πρὸς τὸν οὐρανὸν τρεχέτω· καὶ εἴτε ῥᾳδία εἴτε δύσκολος ἡ πρὸς αὐτὸν ἄγουσα, δι' ἐκείνης ὁδευέτω, τῇ ἐλπίδι χαίρων καὶ τῇ θλίψει ὑπομένων.

A sario. Noli reddere malum pro malo, vel opprobrium pro opprobriis, sed diligite inimicos vestros, benedicite maledicentibus vobis, benefacite eis qui oderunt vos, et orate pro persequentibus et calumniantibus vos [19]. » Quis autem finis violentæ hujus vitæ? Quodnam luctarum bravium? « Ut sitis, inquit, filii Patris vestri qui in cœlis est, » hæredes quidem Dei, cohæredes autem Christi, et vitam æternam habeatis, et regnum ineffabile, tranquillum, finem non habens accipiatis, per æterna sæcula cum Deo viventes atque regnantes. Videtis quæ sit arcta et angusta via, quare a nobis exigatur, ad qualem gloriam et lætitiam, ad quale lucrum ducit eum qui per eam ambulare
B intenderit? Si quis tibi vitam diuturnam polliceatur, dummodo ei pareas, nonne lubenter subires obedientiam, nisi quid supra vires exigeret? Si insuper sanitatem et gloriam et voluptatem promittat vitæ diuturnæ adjunctam, quid pro istis non tolerares? Si vero adjiciat regnum, et regnum sine bello, sine offensione cum vita sine morbo diu duratura, nonne advolares, et leve quodcunque onus putares quod te ad illud conduceret, spe nutritus, et velut præsenti sperato regno gavisus, si illum vera dicere censeres? Quid? diuturnam vitam concupiscimus, æternam autem nullius pretii facimus? Regnum magnum quidem, sed finem tamen habens, gloriam et lætitiam magnam quidem, sed pariter tamen pereuntem, divitias cum hac vita
C amittendas ita desiderabimus et pro his laborabimus, bona autem valde præstantia, incorruptibilia et infinita non quæremus, nec levem vim nobis faciemus ut illa sortiamur? Frustra proponeremus nobis regnum sine bello, quod in terra non invenitur, vel vitam sine labore quam non reperires nisi in cœlo; sed si quis ea desiderat, ad cœlum currat; et sive facilis sive aspera sit via ad id ducens, per eam iter faciat, spe gaudens, laborem sufferens.

Ἴστε πάντες, ὑπὲρ ὧν εἰς πόνους καὶ θανάτους ἑαυτοὺς παραδιδόασιν ἄνθρωποι. Οὐ μικροῦ σιτηρεσίου ὁ στρατιώτης πρὸς κινδύνους ἀνηκέστους καὶ σφαγὰς παρασκευάζεται; Οὐ μικρᾶς προσθήκης ὁ ἔμπορος καταποντισμοῦ περιφρονεῖ, καὶ πνευμάτων καὶ ἀγρίων ἀνθρώπων ἐπὶ γῆς καὶ θαλάττης ἐπηρείας ἐπιφερόντων; Οὐ μικρᾶς μάζης πολλάκις δοῦλοι γίνονται πολλοὶ δεσποτῶν ἀπανθρώπων; Ἡμεῖς δὲ οὐ δουλεύσομεν τῷ φύσει φιλανθρώπῳ Δεσπότῃ; οὐ προκινδυνεύσομεν τῆς ζωῆς; οὐκ ἐκφορήσομεν τὰ περιττὰ τῶν κτημάτων, ἵνα κτησώμεθα τὸν οὐράνιον πλοῦτον; οὐχ ὑπομενοῦμεν τὴν ἐξ ἀνθρώπων ἀδοξίαν, καὶ ταῦθ' ὡς τὰ πολλὰ φαύλων, ἵνα θείας ἐπιτύχωμεν δόξης, τὴν θνητὴν ἀντιδιδόντες τῆς ἀθανάτου; οὐ πεινάσομεν μετρίως, οὐδὲ διψήσομεν, ἵνα φάγωμεν τὸν ἐξ οὐρανοῦ κατα-

Nostis omnes pro quibus semetipsos in labores et mortem tradere solent homines. Nonne pro parvo stipendio milites sese horribilibus pericu-
D lis et internecioni offerunt? Nonne pro minimo opum incremento mercator tempestates despicit et ventos et feros homines qui mare terramque infesta faciunt? Nonne pro parvo panis frusto sæpius multi durorum fiunt servi dominorum? Et nos non serviemus benigno naturæ Domino? Vitæ periculum adire recusabimus? Non abjiciemus divitiarum superfluum, ut cœlestes opes consequamur? Non sustinebimus dedecus ex parte hominum plerumque vilium, ut divinam sortiamur gloriam, mortalem pro immortali commutantes? Non paulisper esuriemus, neque sitiemus ut manducemus panem vitæ de cœlo descendentem, et bibamus aquas vere

[19] Rom. XII, 21; Matth. v, 37.

vivas, quæ quilibet manducare et bibere dignus A fuerit inventus jam non esuriet, neque sitiet in sæculum? Non mundabimus animæ oculum, abstinentes ab omni sorde carnis et spiritus, ut videamus lucem sole longe splendidiorem, seu potius ut filii lucis illius simus, et aliæ luces per participationem, verbum vitæ consecuti? Absit, obsecro, fratres, ut præponamus luci tenebras, Deo diabolum, divino perennique gaudio voluptatem mortis et gehennæ ministram, ditanti charitati copiosum corruptionis lucrum, materiam flammæ qua in æternum comburuntur qui male acquisiverunt, sicut per parabolam divitis Dominus nobis manifestavit; sed vivamus sicut vixit ipse, sicut ipse docuit et ostendit nobis factus similis, et tollentes crucem illum sequamur, crucifigentes carnem cum B vitiis et concupiscentiis, ut cum eo conglorificemur, pariterque resurgamus et post resurrectionem ad eum assumamur, quemadmodum ille hodie assumptus est ad Patrem. Stans enim in medio discipulorum, prout dixit Lucas, vel potius apparens, sicut scribit Marcus (nam tunc non aderat quando apparebat, sed semper erat cum eis, videbatur autem semetipsum manifestans quando volebat): stans ergo in medio discipulorum suorum mandatum dedit eis prædicationis, et promissum Spiritus tribuit, addens se cum eis fore usque ad consummationem. Quibus dictis, elevatisque manibus suis, benedixit eis et, videntibus illis, elevatus est, monstrans quoniam, qui ei obediverint, C postquam resurrexerint, ad Deum elevabuntur.

Discessit ergo corpore ab eis; nam deitate eis intererat, et prout prædixerat eis, exaltatus sedit ad dexteram Patris cum figmento nostro. Igitur sicut ille vixit et mortuus est, sicut resurrexit et assumptus est, ita et nos vivimus et interimus, et resurgemus omnes; assumptionem vero non omnes sortiemur, sed tantum quibus vita Christus est et propter eum mori lucrum. Quicunque ante mortem peccatum per pœnitentiam et evangelicam conversationem crucifixerunt, hi soli post resurrectionem rapientur in nubibus in occursum Christi in aera; illum enim ascendentem nubes suscepit, ut narravit Lucas in Actibus apostolorum. Velut disci- D puli, postquam assumptus esset, non corporis sed animæ oculis eum conspicientes simulque adorantes, in pace quiescamus, pacem in nobis et inter nos invicem colentes; Jerusalem enim *pax* interpretatur; et in superiorem animæ nostræ partem secedentes, ibique manentes et orantes, emundemus nos a vitiosis terrenisque cogitationibus. Ita enim obtinebimus adventum Paracleti, et in spiritu et veritate adorabimus Patrem et Filium sanctumque Spiritum nunc et semper et in sæcula sæculorum. Amen.

όντα τῆς ζωῆς ἄρτον, καὶ πίωμεν τοῦ ὄντως ὕδατος ζῶντος, ὧν ὁ καταξιωθεὶς φαγεῖν τε καὶ πιεῖν οὐ μὴ πεινάσῃ, οὐδ' οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα; οὐ καθαροῦμεν τὸν τῆς ψυχῆς ὀφθαλμὸν, ἀπεχόμενοι παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵν' ἴδωμεν τὸν πρὸ ἡλίου φωστῆρα, μᾶλλον δὲ γενώμεθα τέκνα τοῦ φωστῆρος ἐκείνου, καὶ φωστῆρες ἄλλοι κατὰ μέθεξιν, ζωῆς ἐπέχοντες λόγον; Μὴ, παρακαλῶ, ἀδελφοὶ, μὴ προκρίνωμεν τοῦ φωτὸς τὸ σκότος· τοῦ Θεοῦ τὸν διάβολον· τῆς ἐνθέου καὶ ἀϊδίου θυμηδίας τὴν θανάτου καὶ γεέννης διάκονον ἡδονήν· τῆς πλουτοποιοῦ ἀγάπης τὴν πλουσίαν τῆς φθορᾶς κτῆσιν· τὴν ὕλην τῆς τηγανιζούσης αἰωνίως τοὺς κακῶς κτησαμένους φλογὸς, καθάπερ διὰ τῆς τοῦ πλουσίου παραβολῆς ἐφανέρωσεν ἡμῖν ὁ Κύριος· ἀλλὰ ζήσωμεν καθάπερ αὐτὸς ἔζησε, καὶ ὡς αὐτὸς ὑπέδειξε καὶ ἐδίδαξε, καθ' ἡμᾶς γενόμενος· καὶ ἄραντες τὸν σταυρὸν, ἀκολουθήσωμεν αὐτῷ, σταυρώσαντες τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, ἵνα καὶ συνδοξασθῶμεν αὐτῷ καὶ συνανα-στῶμεν, καὶ μετὰ τὴν ἀνάστασιν ἀναληφθῶμεν πρὸς αὐτὸν, ὡς καὶ αὐτὸς ἀνελήφθη σήμερον πρὸς τὸν Πατέρα· στὰς γὰρ ἐν μέσῳ τῶν μαθητῶν, ὥς ὁ Λουκᾶς φησι, μᾶλλον δὲ φανεὶς, καθάπερ ὁ Μάρκος γράφει· καὶ γὰρ οὐ τότε ἐφίστατο, ἡνίκα ἐφαίνετο, ἀλλ' ἀεὶ μὲν συμπαρῆν αὐτοῖς, ἐδείκνυτο δὲ φανερῶν ἑαυτὸν, ἡνίκα **130** ἐβούλετο· στὰς οὖν σήμερον ἐν μέσῳ τῶν μαθητῶν αὐτοῦ τὴν παραγγελίαν αὐτοῖς ἔδωκε τοῦ κηρύγματος, καὶ τὴν ἐπαγγελίαν ἐχαρίσατο τοῦ Πνεύματος, καὶ τοῦ συνεῖναι αὐτοῖς μέχρι τῆς συντελείας· καὶ μετὰ τοὺς λόγους τούτους ἀνατείνας τὰς χεῖρας, εὐλόγησεν αὐτοὺς, καὶ ὁρώντων ἀνυψώθη, δείξας ὅτι καὶ οἱ ὑπακούσαντες αὐτῷ, μετὰ τὸ ἀναστῆναι, πρὸς Θεὸν ἀνυψωθήσονται.

Διαστὰς οὖν αὐτῶν τῷ σώματι· τῇ γὰρ θεότητι συνῆν αὐτοῖς· κατὰ τὴν πρὸς αὐτοὺς ἐπαγγελίαν, ὑπερυψωθεὶς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς μετὰ τοῦ ἡμετέρου φυράματος. Ὡς οὖν ἐκεῖνος ἐβίω καὶ ἀπεβίω, καὶ ἀνέστη καὶ ἀνελήφθη, οὕτω καὶ ἡμεῖς ζῶμεν καὶ ἀποθνήσκομεν, καὶ ἀναστησόμεθα πάντες· τῆς δὲ ἀναλήψεως οὐ πάντες τευξόμεθα, ἀλλ' ὅσοις τὸ ζῆν Χριστός ἐστι, καὶ τὸ δι' αὐτὸν ἀποθανεῖν κέρδος, ὅσοι πρὸ τοῦ θανάτου τὴν ἁμαρτίαν διὰ μετανοίας καὶ τῆς εὐαγγελικῆς πολιτείας ἐσταύρωσαν· οὗτοι γὰρ μόνοι μετὰ τὴν κοινὴν ἀνάστασιν ἀναληφθήσονται ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ γὰρ καὶ αὐτὸν ἀναλαμβανόμενον νεφέλη ὑπέλαβεν, ὡς ὁ Λουκᾶς ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων ἱστόρησεν. Ἀλλ' ὡς οἱ μαθηταὶ μετὰ τὸ ἀναληφθῆναι, μὴ ὁρῶντες αἰσθητῶς, ἀλλὰ τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς, ὅμως προσκυνήσαντες αὐτὸν, ἐπὶ τὴν εἰρήνην καταπαύσωμεν, ἐν ἡμῖν τε αὐτοῖς καὶ μετ' ἀλλήλων εἰρηνεύοντες· Ἱερουσαλὴμ γὰρ *εἰρήνη* ἑρμηνεύεται· καὶ ἐν τῷ καθ' ἡμᾶς αὐτοὺς ὑπερῴῳ τῷ νῷ γενόμενοι, καὶ τούτῳ παραμένοντες καὶ προσευχόμενοι, καθαίρωμεν ἑαυτοὺς τῶν ἐμπαθῶν καὶ χαμαιζήλων λογισμῶν· οὕτω γὰρ καὶ τῆς ἐπιδημίας τευξόμεθα τοῦ Παρακλήτου, καὶ ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσομεν Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

## ΟΜΙΛΙΑ ΚΓ'.

A

*Εἰς τὸ δέκατον ἑωθινὸν εὐαγγέλιον ἐν ᾗ καὶ περὶ τοῦ κατ' αἴσθησίν τε καὶ νοῦν πρὸς τὸν ἀντικείμενον ἡμῖν πόλεμον.*

Τὰ ἑωθινὰ τῶν θείων Εὐαγγελίων οὐ πάντα εἰσὶν ἑωθινά· ἑωθινὰ λέγεται τὰ κατὰ τὴν ἕω, τουτέστι, τὸν τῆς ἡμέρας ὄρθρον τετελεσμένα. Ἡ δὲ μετὰ τὴν ἀνάστασιν πρὸς τοὺς ἱεροὺς ἀποστόλους εἰς παράστασιν ταύτης ἐπιφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν τὰ ἑωθινὰ καταγγέλλει, οὐ κατὰ τὸν τῆς ἡμέρας ὄρθρον ἐτελέσθη μόνον, ἀλλὰ καὶ μέσης ἡμέρας καὶ πρὸς ἑσπέραν καὶ ἐπ' αὐτῆς τῆς ἑσπέρας· ἡνίκα γὰρ τῷ Λουκᾷ καὶ τῷ Κλεόπᾳ πορευομένοις εἰς Ἐμμαοῦς ἐγγίσας συνεπορεύετο, πρωΐα οὐκ ἦν. Ὡς δὲ ἤγγισαν εἰς ἣν ἐπορεύοντο κώμην, « Καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι, παρεβιάσαντο, φησὶν, ἐκεῖνοι, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα [30]. » Ὡς δὲ καὶ μετὰ τὴν ὑπ' αὐτοῦ κλάσιν καὶ διάδοσιν τοῦ **131** ἄρτου γνωρισθεὶς αὐτοῖς, αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν, αὐτοὶ δὲ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ τοῖς ἄλλοις τῶν μαθητῶν ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· ταῦτα αὐτῶν λαλούντων, καὶ αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, ἐλθούσης πάντως ἡμέρας μετὰ τὴν ἑσπέραν ἐκείνην. Ἄλλοτε δὲ πάλιν τῷ Πέτρῳ μετὰ τὸ ἄριστον ὡμίλει, καὶ τῶν λογικῶν αὐτοῦ προβάτων ἡμῶν ποιμένα καθίστησιν· Ὅτε γὰρ, φησὶν, ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ· « Σίμων Ἰωνᾶ, φιλεῖς με; » τοῦ δὲ συνθεμένου, « Βόσκε, φησὶ, τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου [31]. » Πῶς οὖν καὶ ταῦτα ἑωθινά τέ εἰσι καὶ οὕτω καλοῦνται μὴ κατὰ τὴν ἕω τελεσθέντα; Ὁ τῆς δικαιοσύνης ἥλιος Χριστὸς ἄναρχος ὑπάρχων καὶ προαιώνιος, ἄτρεπτός τε καὶ ἀναλλοίωτος, ὡς μὴ ἔχων παραλλαγὴν ἢ τροπῆς ἀποσκίασμα, καὶ ἀτελεύτητος ὑπάρχει καὶ ἄδυτος· φῶς ἀπαστράπτων ἀληθινόν τε καὶ ὑπερκόσμιον, καὶ ἡμέρας ἀνεσπέρου ποιητικὸν, ἐν ᾗ εἰσι σὺν τοῖς ἀγαθοῖς ἀγγέλοις καὶ τῶν δικαίων τὰ πνεύματα. Μετὰ δὲ τὴν συντέλειαν τοῦ αἰῶνος τούτου καὶ μετὰ τῶν οἰκείων σωμάτων οἱ δίκαιοι ἔσονται ὡς τοῦ φωτὸς κληρονόμοι, καὶ υἱοὶ τῆς ὄντως ἡμέρας ὄντες. Αὕτη τοιγαροῦν ἡ ἡμέρα ἀνέσπερός τε οὖσα καὶ ἀδιάκοπος, οὐδ' ὄρθρον ἔχει, ἢ ἔσχε· καὶ γὰρ οὐδ' ἀρχήν. Ἡμᾶς δὲ κατέσχε νὺξ, καὶ σκιὰ περιέσχε θανάτου, τῇ ἁμαρτίᾳ περιπεσόντας, καὶ τὴν ὀπτικὴν δύναμιν ἀποβαλόντας, ἥτις ἐκ Θεοῦ κατὰ χάριν ἡμῖν ὑπῆρχε, δι' ἧς τοῦ χορηγοῦ τῆς ἀληθινῆς ζωῆς ἀντελαμβανόμεθα φωτός. Νὺξ οὖν ἡμῶν καὶ ὁ θάνατος ἐπεχύθη τῇ φύσει, οὐ τοῦ ἀληθινοῦ φωτὸς τραπέντος, ἀλλ' ἡμῶν ἐκτραπέντων, καὶ ἀνάνευσιν οὐκέτ' ἐχόντων παρ' ἡμῶν αὐτῶν πρὸς τὸ ζωηφόρον ἐκεῖνο φῶς· ἀλλ' ἐλεήσας ἡμᾶς ἐπ' ἐσχάτων αἰώνων ὁ τοῦ ἀϊδίου φωτὸς χορηγὸς καὶ τῆς ἀληθινῆς ζωῆς αἴτιος, οὐ μόνον μέχρις ἡμῶν ὑπὲρ ἡμῶν κατῆλθε, καθ' ἡμᾶς γενόμενος ἄνθρωπος, ἀλλὰ καὶ σταυρὸν

[30] Luc. xxiv, 28. [31] Joan. xxi, 15 seqq.

## HOMILIA XXIII.

*In decimum matutinum evangelium; et de bello tam sensibili quam spirituali adversus adversarium nostrum committendo.*

Matutina divinorum Evangeliorum non omnia sunt matutina; matutina enim dicuntur quæ circa mane, id est, circa ortum diei perficiuntur. Visiones autem Domini, Dei et Salvatoris nostri Jesu Christi quibus post resurrectionem suam sanctis apostolis ut illam demonstraret apparuit, quas indicant matutina, non tantum circa ortum diei factæ sunt, sed etiam meridie, vespere, et etiam post vesperam. Nam quando Lucæ et Cleophæ ad Emmaus pergentibus appropinquans se itineris comitem adjunxit, aurora non erat. Sed cum appropin- B quarent castello quo ibant: « Ipse se finxit longius ire, et coegerunt, inquit, illum, dicentes: Mane nobiscum, quoniam advesperascit [30]. » Postquam vero post fractionem et porrectionem panis apparens eis, ipse evanuisset ab oculis eorum, ipsi surgentes eadem hora regressi sunt in Jerusalem, et cæteris narraverunt discipulis quæ gesta erant in via. Dum autem hæc loquerentur, stetit Jesus ipse in medio eorum, cum jam omnino dies illa post vesperam versa esset. Alias rursum cum Petro post prandium colloquitur, et ipsi ovium spiritalium greges committit. Scripsit enim Joannes: « Cum prandissent, dicit Simoni Petro: Simon Joannis, diligis me plus his? » Quo annuente: « Pasce agnos C meos, pasce oves meas [31]. » Quomodo ergo ista matutina sunt atque vocantur quæ minime circa mane facta sunt? Sol justitiæ Christus sine principio et ante sæcula generatus, constans et immutabilis, utpote vicissitudinem non habens nec mutationis umbram, nec finem nec occasum habet; lumen emittit verum mundi et luminibus valde præstans, quo dies oritur sine vespere, in quo versantur cum bonis angelis sanctorum animæ. Verum post consummationem hujus sæculi cum corporibus suis erunt sancti utpote lucis hæredes et veræ diei filii. Igitur dies ipsa cum vesperum et divisionem non habeat, nec ortum habet nec habuit; est enim sine principio. Nos autem possedit nox, et involvit umbra mortis peccato delapsos, amissa intuendi facul- D tate quam a Deo per gratiam obtinemus, per quam lucem quæ ducit ad veram vitam percipimus. Nox ergo et mors naturæ nostræ incumbebat, non quia lux vera deciderat, sed quia nos ipsi decideramus, nec jam a nobis poteramus lucem illam vivificam conspicere; sed misertus nobis in ultimis sæculis æterni fons luminis et auctor veræ vitæ, non solum pro nobis ad nos descendit, secundum nos factus homo, sed et crucem et mortem pro nobis sustinuit, et per mortem suam mortis imperium exspolians, post tres dies resurrexit, rursum ostendens in natura nostra lumen incorruptibilis et immortalis vitæ eidem largitus lucem resurrectionis.



Digitized by Google

καὶ θάνατον ὑπέμεινε δι' ἡμᾶς, καὶ διὰ τοῦ οἰκείου θανάτου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια τριήμερος ἐξανέστη, δείξας πάλιν ἐν τῇ καθ' ἡμᾶς φύσει τὸ φῶς τῆς ἀκηράτου καὶ ἀθανάτου ζωῆς, φῶς ἀναστάσεως ὑπάρξαν αὐτῇ.

Verum cum illius resurrectio sit primitiæ dormientium, et post secundum ejus adventum discipuli ipsius lumine immortalis vitæ sint induendi, et proinde vera omnibus dies continua debeat fulgere, ideo Domini resurrectio aurora et mane facta est ad illam diem, et propter istam rationem matutina et dilucula sunt omnia de resurrectione Evangelia. Ideo etiam quæ secundum hanc diem tam vespere quam circa ortum facta sunt, matutina sunt et dicuntur. Sed quod hodie ad aures omnium memoratum est Evangelium, ex duplici parte est matutinum; nam non tantum de resurrectione Domini et sequenti apparitione disserit, sed etiam rem narrat circa auroram diei sensibilis perfectam: « Mane, inquit, facto, stetit Jesus in littore; non tamen cognoverunt discipuli quia Jesus est [22]. » Dixerat tamen ab initio quoniam manifestavit se Jesus discipulis suis, a mortuis resuscitatus, ad mare Tiberiadis; equidem se manifestavit, sed cum illi altum tenerent et a terra recederent, licet sol ortus esset, nondum cognoverunt eum. Dicit ergo eis Jesus: « Pueri, » quanta modestia, quanta voluntate, quanta dulcedine refertum est hoc verbum! ait igitur: « Pueri, numquid pulmentarium habetis? » Non ignarus interrogat, sed sapienter viam facit miraculo; cum enim illi respondissent: « Non, » dicit eis Jesus: « Mittite in dextram navigii rete, et invenietis; » dicendo: « Invenietis, » ostendit se noscere quoniam per totam noctem rete mittentes, nihil prenderant. Ut ergo noverunt illum quæ apud eos facta erant, etsi non præsentem cognoscere, libenter crediderunt sermoni ejus: miserunt igitur, obedientes. Cum autem non tantum invenerint pisces, sicut ille dixerat, sed tot et tantos ut non valerent rete ad navigium trahere (non enim, inquit, valebant trahere præ multitudine piscium), Joannes præ aliis ad cognitionem divinam magis paratus, quem singulariter diligebat Dominus et magister, memor fuit miræ illius piscationis antea in lacu Genesareth in principio perfectæ, in qua retibus in verbo Domini laxatis, tantam comprehenderunt piscium multitudinem ut mirabile esset quomodo præ tanta multitudine non rumperentur retia.

A Ἐπεὶ δὲ ἡ αὐτοῦ νῦν ἀνάστασις ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο, μέλλει δὲ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν τοὺς αὐτοῦ μαθητὰς τὸ φῶς τῆς ἀθανάτου ζωῆς περιλήψεσθαι, καὶ τηνικαῦτα πᾶσι τὴν ἀληθινὴν καὶ ἀδιάκοπον διαυγάζειν ἡμέραν· διὰ τοῦτο ἡ τοῦ Κυρίου ἀνάστασις ἕω καὶ ὄρθρου λόγον ἐπέχει πρὸς τὴν ἡμέραν ἐκείνην· καὶ κατὰ τοῦτον τὸν λόγον ἑωθινὰ καὶ ὀρθρινά ἐστι πάντα τὰ τῆς ἀναστάσεως Εὐαγγέλια. Διὸ καὶ κατὰ τὴν σήμερον ἡμέραν τά τε πρὸς ἑσπέραν καὶ τὰ κατ' αὐτὴν τὴν ἡμέραν τελεσθέντα ἑωθινά εἰσί τε καὶ ὀνομάζονται. Τὸ δὲ σήμερον εἰς ἐπήκοον πάντων ἀναγνωσθὲν ἑωθινὸν Εὐαγγέλιον ἀμφοτέρωθέν ἐστιν ἑωθινόν· οὐ γὰρ μόνον περὶ τῆς ἀναστάσεως τοῦ Κυρίου καὶ τῆς μετ' αὐτὴν ἐπιφανείας διαλαμβάνει, ἀλλὰ καὶ κατὰ B τὴν ἕω τῆς αἰσθητῆς ἡμέρας φαίνεται τελεσθέν· « Πρωΐας γὰρ, φησὶν, ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς ἐπὶ τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ, ὅτι Ἰησοῦς ἐστι. » Καίτοι τὴν ἀρχὴν φησιν, ὅτι ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. Ἐφανέρωσε μὲν οὖν, ἀλλ' αὐτοὶ τῷ πλοίῳ μετέωροι ὄντες ἐπὶ τῆς θαλάσσης, καὶ τῆς γῆς ἀπέχοντες· καὶ γὰρ ἡλίευον· οὔπω ἐπέγνωσαν αὐτόν. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· **132** « Παιδία· » ὅσης μετριότητος, ὅσης διαθέσεως, ὅσης γλυκύτητος τὸ πρόσρημα τοῦτο γέμει! « Παιδία, οὖν φησι, μή τι προσφάγιον ἔχετε; » Οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλ' οἰκονομικῶς ὁδοποιῶν τῷ θαύματι· ὡς γὰρ ἐκεῖνοι ἀπεκρίθησαν αὐτῷ, Οὔ· λέγει αὐτοῖς ὁ Ἰησοῦς· « Βάλετε εἰς τὰ δεξιὰ μέρη C τοῦ πλοίου, καὶ εὑρήσετε »· εἰπὼν, « Εὑρήσετε; » ἔδειξεν εἰδὼς, ὅτι διὰ πάσης νυκτὸς καθιέντες τὰ δίκτυα, εὕρισκον οὐδέν. Ὡς οὖν εἶδον αὐτὸν ἐκεῖνοι τὰ κατ' αὐτοὺς εἰδότα καὶ μὴ παρόντα, εὐγερῶς ἐπείσθησαν τοῖς ὑπ' αὐτοῦ λεγομένοις· ἔβαλον οὖν, ὑπακούσαντες. Ὡς δὲ μὴ μόνον εὗρον ἰχθύας, ὡς ἐκεῖνος εἶπεν, ἀλλὰ καὶ τοσούτους καὶ τηλικούτους, ὡς μηδ' ἀνέλκειν ἔχειν τὸ δίκτυον ἐπὶ τὸ πλοῖον· « Οὐκέτι γὰρ, φησὶν, αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων, » ὁ πρὸς τὴν θείαν ἐπίγνωσιν τῶν ἄλλων ἑτοιμότατος Ἰωάννης, ὁ διαφερόντως ἠγαπημένος τῷ Κυρίῳ καὶ διδασκάλῳ, μεμνημένος δήπου καὶ τῆς κατὰ τὴν λίμνην Γεννησαρὲτ τὴν ἀρχὴν θαυμαστῆς ἁλείας ἐκείνης, ἣν ἐπὶ τῷ ῥήματι τοῦ Κυρίου χαλάσαντες τὰ δίκτυα, τοσοῦτον συνέκλεισαν ἰχθύων πλῆθος, ὡς καὶ τοῦτο θαυμαστὸν εἶναι, πῶς ὑπὸ τοσούτου πλήθους οὐκ ἐῤῥάγη τὰ δίκτυα.

« Dixit ergo discipulus ille quem diligebat Jesus Petro: Dominus est, » et rursum ardentissimus et ad operationem præ aliis Petrus magis paratus: « Cum audisset, inquit, quia Dominus est, tunicam succinxit (erat enim nudus), et misit se in mare. » Tunica est sindonis seu fasciæ species qua Syri et Phœnices super vestes utuntur; ideo superinduta dicitur tunica. Hac se nudos succingunt, quemadmodum

D « Φησὶν οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· Ὁ Κύριός ἐστιν »· ὁ δὲ θερμότατος πάλιν, καὶ πρὸς πρᾶξιν τῶν ἄλλων ἑτοιμότατος Πέτρος, « Ἀκούσας, φησὶν, ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο· ἦν γὰρ γυμνὸς, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. » Ὁ δὲ ἐπενδύτης σινδών τίς ἐστι καὶ ὀθόνιον, ᾧ Σύροι τε καὶ Φοίνικες ἐπὶ τῶν ἐνδυμάτων χρῶνται· διὸ καὶ ἐπενδύτης λέγεται. Ἔστι δ'

[22] Joan. XXI, 4 seqq.

Digitized by Google

ὅτε καὶ γυμνοὺς περιελίττοντες ἑαυτούς, ὡς καὶ ὁ ἀκολουθήσας νεανίσκος συλληφθέντι τῷ Κυρίῳ ὑπὸ τῶν Ἰουδαίων περιβεβλημένος ἦν σινδόνα ἐπὶ γυμνοῦ, ἣν καὶ καταλιπὼν τοῖς κρατήσασι νεανίσκοις, ἀπέδρα γυμνός. Ὁ δὲ Πέτρος τὸν ἐπενδύτην τοῦτον οὐ περιεβάλετο, γυμνὸς ὤν, ἀλλὰ συμπτύξας περιεζώσατο, ὡς ἂν ἔχῃ καὶ νήχεσθαι· διακοσίους γὰρ πήχεις τῆς γῆς ἀπεῖχε. Προφθάνει μὲν οὖν ὁ Πέτρος ἅπαντας θερμῶς οὕτως, οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, σύροντες τὸ δίκτυον τῶν ἰχθύων, καὶ οἷον τῷ παρασχόντι τούτῳ προσφέροντες, ἵν' ἔχωσι κἂν τούτῳ λέγειν τὸ ἱερὸν ἐκεῖνο λόγιον· « Τὰ σὰ ἐκ τῶν σῶν. » « Ὡς οὖν ἀπέβησαν, φησὶν, εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. » Ἀνθρακιὰν μὲν οὖν πυρὸς ἐνόμισάν τινες εἶναι ταύτην, ἐφ' ἧς τὸ ὀψάριον ὠπτοῦτο, ἀλλὰ τὸ ἐπαγόμενον, ἕτεροί φασιν, οὐκ ἀφίησιν οὕτω τὴν ἀνθρακιὰν ἐκδέξασθαι· οὐ γὰρ δὴ ὁ ἄρτος ἐπέκειτο πυρί. Ἔπειτα καὶ ἀνθρακιὰν οὐκ εἶπεν ἡμμένην, ἀλλὰ κειμένην· ὀνομάζεσθαι τοίνυν φασὶν οὕτω καὶ δέρμα τι, ᾧ ἀντὶ τραπέζης χρῶνται οἱ ὁδοιπόροι. Ὡς οὖν οἱ ἀπόστολοι ἀποβάντες εἰς τὴν γῆν ἕτερον εἶδον θαῦμα τοῦτο τοῦ κατὰ τὴν θάλατταν μεῖζον· οὐκ ἐκ τοῦ βυθοῦ γὰρ, ἀλλ' ἐκ μὴ ὄντων ὁρῶσιν ἰχθὺν καὶ ἄρτον γεγενημένον τε καὶ προκείμενον ἕτοιμον, μετὰ τῆς τοῦ Κυρίου τερπνῆς θέας, καὶ τοῦ θαύματος ὅλοι γενόμενοι, κατημέλησαν τῆς ἁλιείας· διὰ τοῦτό φησι πρὸς αὐτοὺς ὁ Κύριος· « Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε νῦν· » ἐπιστρέφων πρὸς τὴν ἐπιμέλειαν ἐκείνων αὐτούς, ὡς καὶ ἐξενεγκεῖν τὴν ἄγραν, καὶ μέτρῳ περιλαβεῖν, ἵνα μὴ κατὰ φαντασίαν εἴποι τις εἶναι τὴν τῶν ἰχθύων πληθύν.

juvenis ille qui Dominum a Judæis comprehensum sequebatur, amictus erat sindone super nudo, qua juvenibus tenentibus relicta, nudus profugit. Petrus vero non istam induerat tunicam, cum esset nudus, sed ea complicata se succinxit, etsi natare vellet; ducentis enim cubitis a terra distabat. Ita igitur Petrus omnibus ardenter præcurrit; alii autem discipuli in navigio venerunt rete trahentes piscibus plenum, quasi ut illud largienti offerrent, ut sacrum istud proverbium ei dicere possent: « Tua ex tuis. » « Ut ergo, inquit, descenderunt in terram, viderunt prunas positas, et piscem superpositum et panem. » Has prunas quibus impositum piscem viderunt ignem esse nonnulli putarunt, sed quod sequitur, aiunt alii, non sinit ita prunas concipere; panis enim non erat igni superpositus. Insuper non dixit prunas ardentes, sed positas; idcirco dicunt ita appellari quamdam pellem qua pro mensa utuntur viatores. Ita ergo apostoli, cum in terram descendissent, istud viderunt novum miraculum prodigio in mari facto majus; nam non ex abysso, sed ex nihilo factum vident panem et piscem qui illi positi ad edendum erant parati, cum grato Domini aspectu; et toti admirationis facti piscationis obliti sunt; ideo Dominus dicit eis: « Afferte de piscibus quos prendistis nunc, » eos ad curam illorum convertens, ut prædam producerent et in mensuris acciperent, ne quis dicat fictam fuisse piscium multitudinem.

« Ἀνέβη οὖν Σίμων Πέτρος, φησὶ, καὶ εἵλκυσε τὸ δίκτυον, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν, καὶ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. » Ἡ ἀρραγὲς διαφυλάξασα τοῦ Χριστοῦ δύναμις εἶχε δήπου καὶ τοὺς ἕλκοντας ἐνδυναμῶσαι καὶ κούφην ποιήσασθαι τὴν ὁλκὴν, οὐκ ἐποίησε δὲ, ἵνα μᾶλλον αἴσθωνται τοῦ θαύματος οἱ ἀπόστολοι· **133** διὸ καὶ ὁ Πέτρος ἐπανελθὼν εἰς τὸ πλοῖον, ὡς ἀδυνατοῦσι συνήρατο. Ὁ δὲ Κύριος ἑνὶ ἑκάστῳ θέλων γενέσθαι καταφανὴς, εἰπὼν αὐτοῖς· « Δεῦτε ἀριστήσατε, » χερσὶν οἰκείαις διαδίδωσιν αὐτοῖς τὸν εἰρημένον ἄρτον καὶ τὸ ὀψάριον, δείξας καὶ τοῦτο διὰ τῆς διακονίας ταύτης, ὅτι αὐτός ἐστιν ὁ καὶ τῆς μελλούσης καὶ διαιωνιζούσης ἀπολαύσεως χορηγός τε καὶ διανομεύς, ἥτις ἔσται μετὰ τὴν ἄγραν τῆς ἀποστολικῆς σαγήνης, τουτέστι, μετὰ τὸ συναγαγεῖν τούτους διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος εἰς τὴν ἀληθῆ θεοσέβειαν ἐκ παντὸς ἔθνους πάντας τοὺς ἀξίους· ἐν οἷς τηνικαῦτα τρεῖς καὶ πεντήκοντα καὶ ἑκατὸν φανήσονται οἱ μεγάλοι, εἴτε κατὰ χιλιάδας, εἴτε κατὰ μυριάδας ἀριθμούμενοι, αὐτὸς εἶδεν ὁ καὶ τὰ θαύματα ἐργαζόμενος, καὶ μυστηρίων γέμοντα ταῦτα ἀπεργαζόμενος· καὶ ὁ ἀκερδὴς γὰρ κόπος τῆς νυκτὸς πάσης τὸ ἄκαρπον ἐδείκνυ τῆς πρὸ τῆς αὐτοῦ ἐπιφανείας γεγονυίας διδασκαλίας. Καὶ ἡ κατὰ τὴν πρωΐαν ἐπὶ τὰ δεξιὰ τῶν δικτύων κάθεσις καὶ ἄγρα τὸ ἀνύσιμον ὑπεδήλου τῆς μετὰ τὴν αὐτοῦ παρουσίαν εὐαγγελικῆς διδασκαλίας· πρωΐας γὰρ ἤδη γε-

Ascendit ergo, inquit, Simon Petrus et traxit rete plenum magnis piscibus centum quinquaginta tribus; et cum tanti essent, non scissum est rete. » Virtus Domini quæ impediverat ne scinderetur rete, poterat sane trahentes roborare, et leve pondus efficere, non autem fecit, ut magis miraculum sentirent apostoli; ideo Petrus in navem ascendit ut impotentes adjuvaret. Dominus vero cum vellet singulis manifestus fieri, dixit eis: « Venite, prandete, » et manibus suis dans eis prædictum panem et piscem, per hoc ministerium ostendit se futuræ perennisque voluptatis ducem esse et dispensatorem, quæ dabitur post capturam sagenæ apostolicæ, id est, postquam apostoli per evangelicam prædicationem ad veram erga Deum pietatem ex omnibus gentibus dignos omnes congregaverint; inter quos et tres et quinquaginta et centum magni videbuntur, sive per millia sive per decies millia numerati; quod vidit qui miracula operatus est et prodigia mysteriis referta perpetravit; labor totius noctis infructuosus sterilitatem demonstrabat doctrinæ ante manifestationem ejus vulgatæ. Retis autem missio in dextera navigii mane facta et captura ostendebat evangelicæ doctrinæ post ejus adventum divulgandæ fecunditatem; nam mane facto, ut ipse Sol justitiæ per carnem nobis apparuit, secunda et efficax facta est divinæ doctrinæ prædicatio, comprehendens et ad Christum trahens salvo-

Digitized by Google

rum multitudinem. Dixit vero Evangelista postquam retulisset panem et piscem fuisse traditum: Hoc jam tertio manifestatus est Jesus discipulis suis, cum resurrexis et a mortuis. Venit enim ad eos in domo congregatos vespere diei qua resurrexit; post dies octo iterum venit, quando Thomas erat cum eis; et hoc jam tertio ad eos non venit, sed eis manifestatus est; ostendens quoniam erat cum eis, etsi visibiliter non appareret. Dabat autem eis sui ipsius aspectum quando volebat; hæc est enim immortalium corporum facultas.

Adest igitur cuique nostrum, fratres, etsi a nobis non conspiciatur, ideo ascendens apostolis dixit: « Ecce ego vobiscum sum omnibus diebus usque ad consummationem sæculi [23]. » Igitur ut præsentem eum vereamur, et bonum in conspectu ejus faciamus. Si modo non possumus corporis oculis eum videre, mentis oculis valemus eum continuo conspicere, si sapimus; nec tantum conspicere, sed etiam magna inde percipere bona; ipse enim aspectus omne peccatum tollit, omnem emundat maculam, malum omne evertit. Ipse aspectus omnem operatur virtutem, puritatem dat et pacem, vitam æternam et regnum sine fine largitur. Si de hoc suavi aspectu curamus, si in Christum ut præsentem spiritaliter oculos intendimus, singuli sicut David dicemus: « Si consistant adversum me castra, non timebit cor meum; si exsurgat adversum me prælium, in hoc ego sperabo [24]. » Est enim foris prælium nobis quod per sensus ad peccatum trahit molliter colluctantes, sed hoc prælium non semper adversum nos geritur, nam sensus nostri non sine intermissione excitantur. Insuper, sensibus etiam excitatis, imperfectum manet peccatum deficiente materia, sive occasiones, sive loca non faveant, sine quibus nec fur, nec prædo, nec fornicator, nec adulter, nec raptor, nec avarus iniquitatem perficit. Sed est aliud bellum in nobis ipsis per cogitationes commissum quod est prælio sensuum longe asperius; nam semper geritur, nec indiget materia ut compleatur malum, neque occasionibus, neque locis. Illud quidem, dico sensibile, prælium ad peccatum a rebus habet principium, ab eis quæ inde audiuntur vel videntur aliisque multis; spiritale vero in nobis ipsis sine medio a spiritibus nequitiæ movetur, et ab eorum aggressibus vel incitationibus; et qui in illo vicerit non propterea in bello spiritali fit invincibilis. Sed qui in spiritali prælio vicerit potenter in alio triumphabit; et hoc est quod indicavit Apostolus: « Spiritu ambulate, et desideria carnis ne perficiatis [25]. »

A νομένης, ὅτε αὐτὸς διὰ σαρκὸς ἐπέφανεν ἡμῖν ὁ τῆς δικαιοσύνης ἥλιος, ἐπιδέξιός τε καὶ ἐνεργὴς ἡ θεία γέγονε διδασκαλία, συλλαβοῦσα καὶ πρὸς Χριστὸν ἑλκύσασα τῶν σωζομένων τὰ πλήθη. Ὁ δὲ Εὐαγγελιστής, μετὰ τὴν διάδοσιν τοῦ ἄρτου καὶ τοῦ ἰχθύος, φησί, Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν· ἦλθε γὰρ πρὸς αὐτοὺς ἐν οἰκίᾳ συνηθροισμένους ἑσπέρας τὴν ἡμέραν καθ' ἣν ἀνέστη· καὶ διαλιπὼν ἡμέρας ὀκτὼ πάλιν ἦλθεν, ἡνίκα καὶ ὁ Θωμᾶς τοῖς ἄλλοις συνῆν· καὶ τρίτον ἤδη τοῦτο πρὸς αὐτοὺς οὐκ ἦλθεν, ἀλλ' ἐφανερώθη· δεικνὺς ὅτι πάρην αὐτοῖς, καὶ μὴ αἰσθητῶς ὁρώμενος. Παρεῖχε δὲ τούτοις αὐτὸν ὁρᾷν, ἡνίκα ἐβούλετο· τοιαύτη γὰρ τῶν ἀθανάτων σωμάτων ἡ δύναμις.

Πάρεστι οὖν καὶ ἡμῶν ἑκάστῳ, ἀδελφοί, κἂν μὴ ὁρᾶται παρ' ἡμῶν· διὸ καὶ πρὸς τοὺς ἀποστόλους B εἶπεν ἀναλαμβανόμενος· « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Οὐκοῦν ὡς παρόντα τοῦτον ἑκάστης ἡμέρας αἰδώμεθα, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιῶμεν. Εἰ δὲ καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς οὐκ ἔχομεν αὐτὸν ἀρτίως ὁρᾷν, ἀλλὰ τοῖς τῆς διανοίας ὄμμασιν ἔχομεν αὐτὸν διηνεκῶς ὁρᾷν, εἰ νήφομεν, καὶ οὐχ ὁρᾷν μόνον, ἀλλὰ καὶ μεγάλα ἐντεῦθεν καρποῦσθαι τὰ ἀγαθά· αὕτη γὰρ ἡ θέα πάσης ἁμαρτίας ἐστὶν ἀναίρεσις, πονηροῦ παντὸς καθαίρεσις, παντὸς κακοῦ ἐστιν ἀλλοτρίωσις. Αὕτη ἡ θέα πάσης ἀρετῆς ὑπάρχει ποιητική, καθαρότητος καὶ ἀπαθείας γεννητική, ζωῆς αἰωνίου καὶ βασιλείας ἀπεράντου παρεκτική. Ταύτης τῆς τερπνῆς θέας ἐπιμελούμενοι, καὶ ὡς εἰς παρόντα τὸν Χριστὸν νοερῶς C ἀτενίζοντες, ἐρεῖ καὶ ἡμῶν ἕκαστος, ὡς ὁ Δαβίδ· « Ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω. » Ἔστι γὰρ ἡμῖν ἔξωθεν, ἀδελφοί, πόλεμος, διὰ τῶν αἰσθήσεων πρὸς ἁμαρτίαν ἐφελκόμενος τοὺς μὴ γενναίως ἀνθισταμένους, ἀλλ' οὐκ ἀεὶ καθ' ἡμῶν ὁ πόλεμος οὗτος ἐγείρεται· οὐδὲ γὰρ ἀδιαλείπτως αἱ ἡμῶν αἰσθήσεις ἐνεργοῦσιν. Ἔστι δ' ὅτε, καὶ τῶν αἰσθήσεων ἐνεργουσῶν, ἀτέλεστος ἔμεινεν ἡ ἁμαρτία διὰ τὴν τῶν ὑλῶν ἀπορίαν, ἢ καιρῶν τε καὶ τόπων οὐκ ἐπιτηδείων· ὧν ἄνευ οὐ κλέπτης, οὐ λῃστής, οὐ πόρνος, οὐ μοιχός, οὐχ ἅρπαξ, οὐ πλεονέκτης εἰς τέλος ἄγει τὴν ἀνομίαν. Ἔστι δὲ ἕτερος πόλεμος **134** ἐν ἡμῖν D αὐτοῖς νοητὸς ὁ διὰ τῶν λογισμῶν, πολλῷ τοῦ αἰσθητοῦ χαλεπώτερος· ἀεὶ γάρ ἐστιν ἐνεργὴς καὶ ὑλῶν οὐ δεῖται πρὸς ἐκπλήρωσιν τοῦ κακοῦ, οὐδὲ καιρῶν οὐδὲ τόπων. Καὶ ὁ μέν, ὁ αἰσθητὸς ἐκεῖνος, λέγω, πρὸς ἁμαρτίαν πόλεμος, ἀπὸ τῶν πραγμάτων ἔχει τὴν ἀρχήν, καὶ τῶν ἐκεῖθεν ἀκουσμάτων ἢ θεαμάτων, καὶ τῶν ἄλλων τῶν παραπλησίων· ὁ δὲ νοητὸς καὶ ἐν ἡμῖν αὐτοῖς ἀπ' αὐτῶν ἀμέσως κινεῖται τῶν πνευμάτων τῆς πονηρίας, καὶ τῶν ἐκ τούτων προσβολῶν τε καὶ παρορμήσεων· καὶ κατ' ἐκεῖνον μὲν τὸν αἰσθητὸν πόλεμον ἔσθ' ὅτε τις νικήσας, οὐκ ἐκ τούτου καὶ κατὰ τὸν νοητὸν ἀήττητος ὤφθη. Ὁ δὲ κατὰ τὸν ἐντὸς νικήσας πόλεμον κατὰ κράτος τὸν ἔξω τρέπεται· καὶ τοῦτό ἐστιν ὅ φησιν ὁ Ἀπόστολος· « Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. »

[23] Matth. xxv, 20. [24] Psal xxvi, 5. [25] Galat. vii, 5.

A Πρὸς μὲν οὖν τὸν ἔξω καὶ ἐν ταῖς αἰσθήσεσι πόλεμον ὁ παλαιὸς μᾶλλον ὥπλιζε νόμος τὸ ἀνθρώπινον γένος, τὰ τέλη τῶν ἁμαρτημάτων ἐκτρέπεσθαι παραγγέλλων· πρὸς δὲ τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς πόλεμον ἡμᾶς ἀνίστησιν ὁ νόμος τῆς χάριτος, ἡ τοῦ Εὐαγγελίου διδασκαλία, τὴν ἐν καρδίᾳ ὀργὴν, τὴν ἐν καρδίᾳ μοιχείαν, τὴν ἐν καρδίᾳ τῆς τοῦ διαβόλου προσβολῆς κινουμένην ἐπιθυμίαν ἀπαγορεύουσα, καὶ πρὸς ἀντιπαράταξιν ταύτης ἡμᾶς ὁπλίζουσά τε καὶ διεγείρουσα, καθάπερ καὶ ὁ Ἀπόστολος Ἐφεσίοις γράφων φησίν· « Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις· » τούτων γὰρ B ἐκπεσόντα χαλεπὸν ἡγεῖται, καὶ μανικῶς καθ' ἡμῶν κινεῖται τὸ πολίτευμα ἐχόντων ἐν οὐρανοῖς διὰ τῆς κατὰ νοῦν πρὸς τὸν Θεὸν ἀνατάσεως. Διὸ πάσῃ σπουδῇ, παρακαλῶ, μέθης ἀποσχώμεθα καὶ τρυφῆς, ῥημάτων τε καὶ ἀκουσμάτων καὶ θεαμάτων αἰσχρῶν· ταῦτα γὰρ ἡμῖν ἐπανιστάντα τὴν σάρκα, πρὸς πάλην ἡμᾶς ἐκκαλεῖται, ἥτις οὐκ ἔστιν ἡμῶν, οὐδὲ ἀφίησιν ἡμᾶς τὸν ἔνδον καὶ ἡμέτερον πόλεμον βλέπειν καὶ διαφέρειν καλῶς· διὸ καὶ νικᾶσθαι καὶ πίπτειν ἡμᾶς ἀνάγκη, καὶ ὑπὸ τῆς ἁμαρτίας ὡς ἐπίπαν ἢ τὸ πλεῖστον αἰχμαλωτίζεσθαι, ἀορασίαν μὲν πρὸς τοὺς ἐντὸς πολεμίους περικειμένους, ὑφ' ἡμῶν δὲ αὐτῶν πρὸς τοῖς ἔξωθεν πολεμίοις προδιδομένους. Ἀλλ' C ἡμεῖς τῶν μὴ καλῶν μηδὲ ἐνδεδομένων ἡδονῶν τῆς σαρκὸς ἀπεχόμενοι, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας τοῦ δεινοῦ σκότους ἀντιπαρατασσώμεθα· πρὸς τοὺς ὑποβάλλοντας ἡμῖν ἔνδον τοὺς ἐμπαθεῖς λογισμοὺς, τὰς ἐπιθυμίας τὰς πονηρὰς, οἵτινές εἰσι πάντως οἱ δαίμονες, οἳ καὶ ἄρχοντές εἰσι τῆς κακίας τοῦ σκότους, ὡς πρῶτοι τοῦτο ποθήσαντες· καὶ κοσμοκράτορές εἰσιν, ἀλλ' ἐκείνων πρὸς οὓς οὐδαμῶς ἔχει χώραν ὁ τοῦ ἀληθινοῦ Δεσπότου λόγος· « Ὑμεῖς ἐκ τοῦ κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, » καὶ διὰ τῆς οἰκείας χάριτος ἀναγεννήσας ᾠκειωσάμην.

Lex quidem vetus humanum genus ad bellum foris adversum sensus committendum magis instruebat, vitare jubens peccatorum occasiones; sed ad internum in nobis bellum nos accingit lex gratiæ, Evangelii doctrina, prohibens iram in corde accensam, adulterium in corde patratum, concupiscentiam in corde ex diabolica aggressione commotam, nosque ut illi resistamus instruens atque erigens, sicut Apostolus Ephesiis scribens dixit: « Induite armaturam Dei, ut possitis stare adversus insidias diaboli: quoniam non est nobis colluctatio adversus carnem et sanguinem, sed adversus principes et potestates, adversus mundi rectores tenebrarum harum, contra spiritualia nequitiæ in cœlestibus[26]; » quæ enim ex his ceciderunt mala cogitant, et stulte adversus nos qui per erectionem mentis nostræ ad Deum civitatem in cœlis habemus machinantur. Ideo toto studio, obsecro, ab ebrietate abstineamus sicut et a voluptate, a turpibus verbis et dicendis et audiendis, a fœdis spectaculis. Hæc enim dum carnem erigunt, ad colluctationem nos provocant quæ non est nostra, neque nos sinit ad interdum nostrumque bellum attendere et illud fortiter sustinere: ideo oportet nos vinci et decidere, et in captivitatem peccati semper vel plerumque redigi qui domesticos hostes nostros non conspicimus, dum toti ad exteriores arcendos incumbimus. Nos autem a pravis nec unquam satiandis voluptatibus carnis abstinentes, contra potestates et principatus tetrarum tenebrarum instruamur, adversus eos qui nobis libidinosas suggerunt cogitationes pravasque concupiscentias, qui prorsus sunt dæmones, qui principes sunt nequitiæ tenebrarum, quoniam primi eas concupiverunt; sunt etiam mundi rectores, sed eorum in quibus nullo modo locum habet veri verbum Domini: « Vos ex hoc mundo non estis, sed ego elegi vos de mundo[27], » et per meam gratiam regeneratos mihi arrogavi.

Πρὸς ἐκείνους οὖν καὶ ἐξουσίαι εἰσὶ τὰ πνεύματα τῆς πονηρίας, ὡς ἑκόντας ὑποπεσόντας αὐτοῖς. Ἡμεῖς δὲ, ἐὰν μόνον νήφωμεν, καὶ τὸ ὄμμα τῆς διανοίας ἀνατείνωμεν πρὸς τὸν λυτρωσάμενον ἡμᾶς D ἀπὸ τῆς πικρᾶς δουλείας τοῦ διαβόλου δεσπότην, καὶ ὡς ἀεὶ παρόντι τούτῳ προσέχωμεν, « Οὐ φοβηθησόμεθα, κατὰ τὸν Ψαλμῳδὸν, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ, » **135** ἀλλὰ προσχωρεῖν ἡμᾶς ἐπιχειρήσαντα πεσοῦνται, πρὸς ἡμᾶς δὲ οὐκ ἐγγιοῦσιν, οὐδὲ παρασαλεύσουσι τῆς κατ' ἀρετὴν ἕδρας καὶ ἀσφαλείας, ὡς καὶ ὁ αὐτὸς ὁ ᾀσματογράφος περὶ ἑαυτοῦ φησι· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ. » Ἐὰν οὖν καὶ ἡμεῖς ὡς ἐνώπιον ἡμῶν διὰ παντὸς προορώμεθα τοῦτον, νῦν μὲν ὑμνοῦντες, νῦν δὲ ἱκετεύοντες, ἄλλοτε δὲ

Igitur adversus illos utpote libenter eis subditos potestates sunt spiritus nequitiæ. Nos vero, si modo sapiamus, et oculum mentis intendamus ad eum qui nos ab horrenda diaboli servitute liberavit Dominum, eique quasi semper præsenti adhæreamus, « Non timebimus a sagitta volante in die, sicut ait Psalmista, a negotio perambulante in tenebris, ab incursu et dæmonio meridiano[28], » sed quæ nos aggredi tentaverint, cadent, ad nos vero non approximabunt, nec commovebunt a firma securitate quam tribuit virtus, velut idem Psalmorum scriptor de semetipso dixit: « Providebam Dominum in conspectu meo semper, quoniam a dextris est mihi, ne commovear[29]. » Nos quoque si provideamus eum in conspectu nostro semper, nunc quidem hymnis laudantes, nunc vero obsecrantes, alio autem tempore gratias agentes pro viribus, cujus-

[26] Ephes. VI, 11. [27] Joan. XV, 19. [28] Psal. XC, 6. [29] Psal. XV, 8.

Digitized by Google

cunque dexteram apprehendet, nosque ducet in voluntate virtuteque sua, et eruet nos a potestate tenebrarum et perducet in regnum suum, largiens nobis vitam incorruptibilem et æternam, quam nos omnes consequi donetur in gloriam ejus, æternique ejus Patris, et coæterni atque vivifici Spiritus, nunc et semper et in sæcula sæculorum. Amen.

A εὐχαριστοῦντες πρὸς δύναμιν, ἀντιλήψεται καὶ ἑκάστου τῆς δεξιᾶς, καὶ ὁδηγήσει ἡμᾶς ἐν τῇ βουλῇ καὶ τῇ δυνάμει αὐτοῦ, καὶ ῥύσεται ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ ἀποκαταστήσει εἰς τὴν βασιλείαν αὐτοῦ, χαριζόμενος ἡμῖν ζωὴν ἀκήρατον καὶ αἰώνιον· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν εἰς δόξαν αὐτοῦ καὶ τοῦ ἀνάρχου αὐτοῦ Πατρὸς, καὶ τοῦ συναϊδίου καὶ ζωοποιοῦ Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXIV.

*In manifestationem et dispensationem divini Spiritus in Pentecoste peractam; agitur etiam de pœnitentia.*

Nuper conspeximus magnis fidei oculis Christum ascendentem, nec ullo modo cessimus eis qui corporis oculis intueri habiti sunt digni, neque ideo eorum felicitas nostræ præstitit. « Beati enim qui non viderunt et crediderunt, » ait Dominus [30]; isti autem sunt qui per auditum edocti per fidem conspexerunt. Vidimus ergo Christum modo a terra cum corpore ablatum, nunc vero videmus per sanctum quem ad discipulos misit Spiritum, quo Christus assumptus pervenit ad quantam dignitatem nostram quam acceperat naturam pervexit; eo enim omnino ascendit unde Spiritus ab ipso missus descendit. Unde autem descenderit Spiritus, ostendit per Joel prophetam dicens : « Effundam de Spiritu meo super omnem carnem [31]; » cui dixit David : « Emitte Spiritum tuum et creabuntur, et renovabis faciem terræ [32]. » Igitur ad altissimum Patrem assumptus ascendit Christus, et ad ipsum Patris sinum pervenit, unde et Spiritus; insuper particeps secundum naturam humanam paternæ dignitatis monstratus est cum ipse quoque tunc misit Spiritum a Patre venientem atque missum. At nemo putet Spiritum sanctum ab hac dignitate excludi, audiens illum a Patre et Filio emissum; etenim non tantum missus est, sed est etiam e numero mittentium et consentientium.

## ΟΜΙΛΙΑ ΚΔʹ.

*Εἰς τὴν κατὰ τὴν Πεντηκοστὴν τελεσθεῖσαν φανέρωσιν καὶ διανομὴν τοῦ θείου Πνεύματος· ἐν ᾗ καὶ περὶ μετανοίας.*

Ἐθεασάμεθα πρὸ μικροῦ τοῖς μεγάλοις τῆς πίστεως ὀφθαλμοῖς ἀναληφθέντα Χριστὸν, καὶ τῶν αὐτοψίᾳ κατηξιωμένων ἰδεῖν οὐχ ἧττον, καὶ τῆς B κατ' ἐκείνους διὰ τοῦτο μακαριότητος οὐδὲν ἀπελείφθημεν· « Μακάριοι γὰρ οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες, » ὁ Κύριος εἶπεν· οὗτοι δέ εἰσιν οἱ δι' ἀκοῆς πληροφορηθέντες, καὶ διὰ πίστεως βλέποντες. Ἐθεασάμεθα οὖν πρώην Χριστὸν ἀπὸ γῆς αἰρόμενον μετὰ σώματος, νῦν δὲ ὁρῶμεν διὰ τοῦ παρ' αὐτοῦ τοῖς μαθηταῖς πεμφθέντος ἁγίου Πνεύματος, μέχρι τίνος ὁ Χριστὸς ἀναληφθεὶς ἔφθασε, καὶ εἰς ποίαν ἀξίαν ἀνεβίβασε τὴν ἡμῶν ἣν ἀνέλαβε φύσιν· ἐκεῖσε γὰρ πάντως ἀνῆλθεν, ὅθεν τὸ Πνεῦμα παρ' αὐτοῦ πεμφθὲν κατελήλυθε. Πόθεν δὲ τὸ Πνεῦμα κατῆλθε, δείκνυσιν ὁ διὰ τοῦ προφήτου λέγων Ἰωήλ· « Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· » καὶ πρὸς ὃν φησιν ὁ Δαβίδ· « Ἐξαποστελεῖς τὸ C Πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Πρὸς τὸν ἀνωτάτω τοιγαροῦν ὁ Χριστὸς ἀναληφθεὶς ἀνελήλυθε Πατέρα, καὶ πρὸς αὐτὸν ἔφθασε τὸν πατρικὸν κόλπον, ὅθεν καὶ τὸ Πνεῦμα· καὶ κοινωνὸς καὶ κατὰ τὸ ἀνθρώπινον τῆς κατ' αὐτὸν ἀξίας ἀνεδείχθη τὸ ἐξ οὐρανοῦ παρὰ τοῦ Πατρὸς ἐρχόμενόν τε καὶ στελλόμενον Πνεῦμα καὶ αὐτὸς ἀρτίως ἀποστείλας. Ἀλλὰ μηδεὶς νομίσῃ τὸ Πνεῦμα τὸ ἅγιον τῆς ἀξίας ταύτης ἀμοιροῦν, παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἀποστελλόμενον ἀκούων· οὐ γὰρ τῶν ἀποστελλομένων ἁπλῶς, ἀλλὰ καὶ τῶν ἀποστελλόντων καὶ συνευδοκούντων ἐστί.

Quod bene ostendit qui per prophetam dixit : « Ego manibus meis terram stabilivi et cœlum extendi, et nunc Dominus misit me et Spiritus ejus [33]. » Et alibi iterum per eumdem prophetam dixit Christus : « Spiritus Domini super me, eo quod unxerit me, ad annuntiandum pauperibus misit me [34]. » Idcirco non solum mittitur Spiritus sanctus, sed et mittit Filium a Patre missum, quo patet eum esse ejusdem naturæ et dignitatis, ejusdem operationis et honoris ac Pater et Filius. Patris ergo beneplacito et cooperatione Spiritus sancti, per immensum benignitatis pelagus, cœlos inclinans et deorsum descendens unigenitus Dei Filius, secundum nos in terris conspectus, et nobiscum conversatus, et fecit et docuit mira et magna et sublimia, et vere Deo digna, et parentibus divinitus efficacia et salutaria. Deinde libenter passus pro nostra salute, sepultus

Δείκνυσι δὲ καὶ τοῦτο σαφῶς ὁ διὰ τοῦ προφήτου λέγων· « Ἐγὼ ταῖς χερσί μου ἐθεμελίωσα τὴν γῆν, καὶ τὸν οὐρανὸν ἐξέτεινα, καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ. » Καὶ ὁ Χριστὸς διὰ τοῦ αὐτοῦ προφήτου πάλιν ἀλλαχοῦ, λέγων· « Πνεῦμα D Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι **136** πτωχοῖς ἀπέσταλκέ με. » Τοιγαροῦν οὐκ ἀποστέλλεται μόνον τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ ἀποστέλλει τὸν παρὰ τοῦ Πατρὸς ἀποστελλόμενον Υἱὸν, παρ' οὗ δείκνυται Πατρί τε καὶ Υἱῷ συμφυὲς καὶ ὁμοσθενὲς καὶ συνεργὸν καὶ ὁμότιμον. Εὐδοκίᾳ τοίνυν τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος δι' ἄφατον φιλανθρωπίας πέλαγος, κλίνας οὐρανοὺς καὶ καταβὰς ἄνωθεν ὁ τοῦ Θεοῦ Μονογενὴς, καὶ καθ' ἡμᾶς ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ συναναστραφεὶς ἡμῖν, καὶ ἔπραξε καὶ ἐδίδαξε θαυμαστὰ καὶ μεγάλα καὶ ὑψηλὰ καὶ ὄντως θεοπρεπῆ, καὶ

[30] Joan. xx, 29. [31] Joel. ii, 28. [32] Psal. ciii, 31. [33] Isa. xlii 5.7. [34] Isa. lxi, 1.

Digitized by Google

τοῖς αὐτῷ πειθαρχοῦσιν θεουργὰ καὶ σωτήρια. Εἶτα A καὶ παθὼν ἐθελουσίως ὑπὲρ τῆς ἡμῶν σωτηρίας, καὶ ταφεὶς καὶ ἀναστὰς τριήμερος, ἀνελήφθη εἰς τοὺς οὐρανοὺς, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρὸς, καὶ συνήργησεν ἐκεῖθεν τῇ πρὸς τοὺς οἰκείους μαθητὰς καθόδῳ τοῦ θείου Πνεύματος, συναποστείλας μετὰ τοῦ Πατρὸς, καθάπερ καὶ συνεπηγγείλατο τὴν ἐξ ὕψους δύναμιν· αὐτὸς δὲ καθήμενος ἐν ὑψηλοῖς ἐκεῖ, ὥσπερ βοᾷ πρὸς ἡμᾶς ἐκεῖθεν, Εἴ τις ἐθέλει παραστῆναι τῇ δόξῃ ταύτῃ, καὶ μέτοχος γενέσθαι τῆς τῶν οὐρανῶν βασιλείας, καὶ υἱὸς κληθῆναι Θεοῦ, καὶ ζωὴν εὑρεῖν ἀθάνατον, καὶ δόξαν ἄῤῥητον, καὶ τρυφὴν ἀκήρατον, καὶ πλοῦτον ἀδαπάνητον, ἀκουέτω τῶν ἐμῶν προσταγμάτων, καὶ μιμείσθω πρὸς δύναμιν τὴν ἐμὴν πολιτείαν, καὶ πολιτευέσθω καθάπερ ἐπὶ τῆς γῆς ἐγὼ διὰ σαρκὸς ἐλθὼν, καὶ ἐποίησα B καὶ ἐδίδαξα, σωτηρίους θεὶς νόμους, καὶ ὑπόδειγμα προθεὶς ἐμαυτόν· τὴν γὰρ εὐαγγελικὴν διδασκαλίαν ἐπιστώσατο μὲν ὁ Σωτὴρ δι' οἰκείων ἔργων τε καὶ θαυμάτων, ἐτελείωσε δὲ διὰ τῶν αὐτοῦ παθημάτων· παρέστησε δὲ αὐτῆς τὸ μεγαλωφελὲς καὶ σωτήριον διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως, διὰ τῆς εἰς οὐρανοὺς ἀναλήψεως, διὰ τῆς ἐκ τῶν οὐρανῶν πρὸς τοὺς οἰκείους μαθητὰς νῦν τελεσθείσης τοῦ θείου Πνεύματος ἐπελεύσεως ἣν ἑορτάζομεν σήμερον. Μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν κατ' αὐτὴν φανέρωσιν πρὸς τοὺς μαθητὰς εἶπεν ἀναλαμβανόμενος· « Ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς, ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν C ἐξ ὕψους· λήψεσθε γὰρ δύναμιν, ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. » Συμπληρουμένης δὲ μετὰ τὴν ἀνάστασιν πεντηκοστῆς ἡμέρας, ἧς νῦν ἐφέστηκεν ἡ μνήμη, τῶν μαθητῶν ἁπάντων συνηγμένων ἐπὶ τὸ αὐτὸ, καὶ ὁμοθυμαδὸν ὄντων ἐν τῷ ὑπερῴῳ τοῦ ἱεροῦ ἐκείνου, ἀλλὰ καὶ ἐν τῷ καθ' ἑαυτὸν ὑπερῴῳ, τῷ οἰκείῳ νῷ τούτων ἑκάστου συνηγμένου· ἦσαν γὰρ σχολάζοντες καὶ προσέχοντες τῇ δεήσει καὶ τοῖς ὕμνοις τοῖς πρὸς τὸν Θεόν· « Ἐγένετο, φησὶν ὁ εὐαγγελιστὴς Λουκᾶς, ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε τὸν οἶκον οὗ ἦσαν καθήμενοι. » Οὗτός ἐστιν ὁ ἦχος, περὶ οὗ προεῖπεν Ἄννα ἡ προφῆτις, D ὅτε τὴν περὶ τὸν Σαμουὴλ ἐπαγγελίαν ἐδέξατο, ὅτι « Κύριος ἀνέβη εἰς οὐρανοὺς καὶ ἐβρόντησεν. Αὐτὸς δώσει ἰσχὺν, καὶ ὑψώσει κέρας χριστῶν αὐτοῦ. » Τοῦτον τὸν ἦχον καὶ ἡ τοῦ Ἠλιοῦ θεωρία προανεκήρυξεν· « Ἰδοὺ γὰρ, φησὶ, φωνὴ αὔρας λεπτῆς, καὶ ἐν αὐτῇ Κύριος· » ἡ γὰρ φωνὴ τῆς αὔρας ἦχός ἐστι πνοῆς. Τούτου τοῦ ἤχου καὶ τῆς πνοῆς εὕροις ἂν τὸ πρόγραμμα καὶ ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. Τῇ γὰρ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς, ἥτις ἐστὶν ἡ Πεντηκοστὴ, εἱστήκει ὁ Ἰησοῦς κατὰ τὸν Θεολόγον καὶ Εὐαγγελιστὴν Ἰωάννην, καὶ ἔκραξε, λέγων· « Εἴ τις διψᾷ, ἐρχέσθω

[35] Luc. xxiv, 29. [36] Act. i, 1, 2. [37] I Reg. ii, 10.

et tertia die resurgens ascendit in cœlum, et sedit ad dexteram Patris, et inde ejus cooperatione descendit Spiritus sanctus, sicut a Patre simul ab eo missus qui simul promiserat virtutem ex alto. Ipse vero ibi in excelsis sedens, inde, ut ita loquar, ad nos clamat : Si quis vult hanc consequi gloriam, et particeps fieri regni cœlorum, et vocari filius Dei, et vitam æternam invenire, et gloriam ineffabilem, et voluptates intemeratas, et divitias inexhaustas, mea mandata audiat, et pro viribus meam imitetur conversationem, et converseturr sicut et ego in terram per carnem veniens et feci et docui, salutares ponens leges et meipsum proponens exemplum ; doctrinam enim evangelicam Salvator quidem operibus suis et miraculis firmavit, perfecit autem per passionem suam, illius vero magnam et salutarem utilitatem exhibuit per resurrectionem a mortuis, per suam in cœlum ascensionem, per missionem divini Spiritus e cœlo ad discipulos suos factam, quam hodie celebramus. Etenim postquam a mortuis resurrexisset, et se discipulis manifestasset, dixit jamjam ascensurus : « Ecce ego mitto promissum Patris ad vos. Vos autem sedete in civitate Jerusalem, quoadusque induamini virtute ex alto ; accipietis enim virtutem supervenientis in vos Spiritus sancti, et eritis mihi testes in Jerusalem et in omni Judæa et usque ad ultimum terræ [35]. » Cum complerentur autem post resurrectionem ejus dies Pentecostes, cujus hodie memoriam facimus, dum essent omnes pariter in eodem loco congregati, et unanimiter essent in cœnaculo adyti illius, singulis etiam in superiore mentis suæ parte collectis, erant enim perseverantes in oratione et hymnis ad Deum: « Factus est, inquit Lucas evangelista, repente de cœlo sonus, tanquam advenientis spiritus vehementis, et replevit totam domum ubi erant sedentes [36]. » Iste est sonus de quo prædixit Anna prophetissa, quando promissionem de Samuele accepit : « Quoniam ascendit Dominus in cœlum et tonavit. Ipse dabit fortitudinem et exaltabit cornu christorum ejus [37]. » Hunc sonum prænuntiavit visio Heliæ, ait enim : « Ecce vox auræ tenuis, et in ipsa Dominus [38] ; » vox enim auræ sonus est venti. Hujus soni hujusque spiritus prædictionem etiam invenire poteris in Evangelio Christi. Nam ultima et magna die festi quod est Pentecostes, stetit Jesus, secundum Theologum atque Evangelistam Joannem, et clamavit dicens : « Si quis sitit, veniat ad me et bibat. Hoc autem dicebat, inquit, de Spiritu quem recepturi erant credentes in eum [39]. » Sed et post resurrectionem insufflavit in discipulos suos et ait : « Accipite Spiritum sanctum [40]. » Ille igitur clamor sonum illum significabat, et insufflatio illum spiritum qui nunc deorsum vehementer spirans, magnum atque potentem e cœlo emisit strepitum, totamque sub cœlo terram personuit, et omnibus in fide accedentibus gratiam largitur et infundit.

[38] III Reg. xix, 11, 12. [39] Joan. vii, 37-39. [40] Joan. xx, 22.

Digitized by Google

Vehemens est quia omnia vincit, maligni mœnia invadit, urbes vero et omne propugnaculum adversarii evertit, insuper superbos quidem humiliat, humiles autem corde exaltat; male dissoluta conjungit, frangit peccatorum vincula, et servitutis catenas disrumpit. Replevit autem domum ubi erant sedentes quam spiritalem piscinam effecit, ut adimpleretur Salvatoris promissum quod ipse jamjam assumendus eis dixit: « Joannes quidem baptizavit aqua, vos autem baptizabimini in Spiritu sancto, non post multos hos dies [41]. » Sed et vocationem quam ipsis imposuit vera significare ostendit; nam per hunc a cœlo sonum tonitrui filii vere facti sunt apostoli. « Et apparuerunt illis, ait, dispertitæ linguæ tanquam ignis, seditque supra singulos eorum, et repleti sunt omnes Spiritu sancto, et cœperunt loqui variis linguis, prout Spiritus sanctus dabat eloqui illis [42]. » Signa quidem corpore dominico patrata quibus exhibitus est unigenitus Dei Filius, secundum personam propriam, nobis in diebus ultimis adunatus, finem acceperunt; cœperunt autem fieri quæ Spiritum sanctum propriam quoque habere personam demonstrarent, ut nos cognoscamus et meditemur magnum et adorabile sanctæ Trinitatis mysterium. Jam quidem prius patuerat operatio Spiritus sancti, nam hic est qui per prophetas locutus futura prænuntiaverat, operatus erat etiam deinde per discipulos, dæmones ejiciens et morbos sanans, nunc vero manifestatus omnibus in sua persona per linguas igneas; sedensque quasi in throno supra singulos Christi discipulos, eos virtutis suæ instrumenta reddidit.

A πρός με καὶ πινέτω. » Τοῦτο δὲ ἔλεγε, φησὶ, περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες **137** εἰς αὐτόν· ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν ἐνεφύσησε τοῖς μαθηταῖς καὶ εἶπε, « Λάβετε Πνεῦμα ἅγιον. » Ἡ οὖν κραυγὴ ἐκείνη τοῦτον προεσήμαινε τὸν ἦχον, καὶ τὸ ἐκφύσημα ταύτην τὴν πνοὴν, ἥτις νῦν ἄνωθεν χυθεῖσα δαψιλὴς, καὶ μέγα καὶ ἐξάκουστον οὐρανόθεν ἐξηχήσασα, πᾶσαν ἐκκαλεῖται τὴν ὑπ' οὐρανὸν, καὶ πᾶσι τοῖς πιστῶς προσιοῦσι τὴν χάριν ἐπαντλεῖ καὶ ἐνίησι. Βιαία δέ ἐστιν, ὡς πάντα νικῶσα, καὶ ὑπερβαίνουσα μὲν τὰ τείχη τοῦ πονηροῦ, καθαιροῦσα δὲ τὰς πόλεις, καὶ πᾶν ὀχύρωμα τοῦ ἐχθροῦ· καὶ ταπεινοῦσα μὲν τοὺς ὑπερηφάνους, ἀνυψοῦσα δὲ τοὺς ταπεινοὺς τῇ καρδίᾳ· καὶ συνδοῦσα μὲν τὰ κακῶς λελυμένα, διασπῶσα δὲ τοὺς
B τῶν ἁμαρτημάτων συνδέσμους, καὶ διαλύουσα τὰ κρατούμενα. Ἐπλήρωσε δὲ τὸν οἶκον οὗ ἦσαν καθήμενοι, κολυμβήθραν αὐτὸν ἀπεργαζομένη πνευματικὴν, καὶ πληροῦσα τὴν τοῦ Σωτῆρος ἐπαγγελίαν, ἣν καὶ αὐτὴν ἀναλαμβανόμενος πρὸς αὐτοὺς ἔλεγεν· « Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. » Ἀλλὰ καὶ τὴν κλῆσιν, ἣν αὐτοῖς ἐπέθηκεν, ἐπαληθεύουσαν ἔδειξε. Διὰ γὰρ τοῦ ἐξ οὐρανοῦ τούτου ἤχου ὄντως υἱοὶ βροντῆς γεγόνασιν οἱ ἀπόστολοι· « Καὶ ὤφθησαν αὐτοῖς, φησὶ, διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἐλάλουν ἑτέραις γλώσσαις, καθὼς
C τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. » Τὰ μὲν γὰρ διὰ τοῦ δεσποτικοῦ σώματος θαυματουργηθέντα, καὶ Υἱὸν εἶναι μονογενῆ τοῦ Θεοῦ παραστήσαντα, κατ' ἰδίαν ὑπόστασιν, τὸν ἐπ' ἐσχάτων ἡμῖν συναφθέντα τῶν ἡμερῶν, πέρας ἔλαβεν· ἄρχεται δὲ τελεῖσθαι καὶ τὰ φανεροῦντα τὸ Πνεῦμα τὸ ἅγιον κατ' ἰδίαν ὑπόστασιν ὑπάρχον· ἵν' ἡμεῖς ἐπιγνῶμέν τε καὶ σκεφθῶμεν τὸ μέγα καὶ προσκυνητὸν τῆς ἁγίας Τριάδος μυστήριον· ἐνήργει μὲν γὰρ καὶ πρότερον τὸ Πνεῦμα τὸ ἅγιον· τοῦτο γάρ ἐστι τὸ διὰ τῶν προφητῶν λαλῆσαν καὶ προκαταγγεῖλαν τὰ μέλλοντα, ἐνήργει καὶ διὰ τῶν μαθητῶν ἔπειτα, δαίμονας ἐλαῦνον καὶ νόσους ἰώμενον, ἐφανερώθη δὲ καὶ νῦν ἐν ἰδίᾳ ὑποστάσει τοῖς πᾶσι διὰ τῶν πυρίνων γλωσσῶν· καὶ τοῖς τοῦ Χριστοῦ μαθηταῖς ἐπικαθίσαν δεσποτικῶς, καὶ οἷον ἐνθρονισθὲν, ὄργανα τούτους πεποίηκε τῆς οἰκείας δυνάμεως.

Quare autem apparuit in figura linguarum? Ut se eodem fonte ac Dei Verbum exiisse monstraret; nihil enim lingua propinquius habet verbum. Simul etiam propter gratiam doctrinæ; gratia enim plena debet esse ejus lingua qui secundum Christum docet. Quare vero linguæ igneæ? Non solum ut Spiritus ostenderet se ejusdem esse naturæ ac Pater et Filius; ignis enim Deus est, et ignis nequitiam consumens; sed etiam propter duplicem apostolicæ prædicationis operationem; nam simul est benefica et pœna multat; et sicut ignis natus est lucere et ardere, ita verbum doctrinæ quæ est secundum Christum annuentes quidem illuminat, negantes vero usque ad finem obedientiam igni et supplicio tradit æterno. Linguæ autem non ignis dictæ sunt, sed tanquam ignis, ne quis ignem illum putaret esse sensibilem et corporeum, sed ut ex exemplo nobis innotescat manifestatio Spiritus. Cujus autem

Ἀλλὰ τίνος ἕνεκεν ὤφθη διὰ τοῦ σχήματος τῶν γλωσσῶν; Ἵνα τὴν πρὸς τὸν τοῦ Θεοῦ Λόγον ἐπιδείξηται συμφυΐαν· γλώσσης γὰρ πρὸς λόγον οὐδὲν συγγενέστερον. Ἅμα δὲ καὶ διὰ τὴν χάριν τῆς διδασκαλίας· γλώσσης γὰρ κεχαριτωμένης ὁ κατὰ Χριστὸν διδάσκαλος δεῖται. Διατί δὲ πυρίναις γλώσ-
D σαις; Οὐ μόνον διὰ τὸ τοῦ Πνεύματος πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ὁμοούσιον· πῦρ γὰρ ὁ Θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν· ἀλλὰ καὶ διὰ τὸ διττὸν τῆς ἐνεργείας τοῦ τῶν ἀποστόλων κηρύγματος· εὐεργετεῖν γὰρ ἅμα καὶ κολάζειν δύναται· καὶ καθάπερ τὸ πῦρ καὶ φωτίζειν καὶ φλογίζειν πέφυκεν, οὕτω καὶ ὁ τῆς κατὰ Χριστὸν διδασκαλίας λόγος τοὺς μὲν ὑπακούοντας φωτίζει, τοὺς δὲ ἀπειθοῦντας εἰς τέλος πυρὶ καὶ κολάσει παραδίδωσιν αἰωνίῳ. Γλῶσσαι δὲ, οὐχὶ πυρὸς εἶπεν, ἀλλ' ὡσεὶ πυρὸς, ἵνα μή τις αἰσθητὸν καὶ ὑλικὸν εἶναι λογίσηται τὸ πῦρ ἐκεῖνο, ἀλλ' ὡς ἀπὸ παραδειγμα-

[41] Act. i, 5. [42] Act. ii, 3.

Digitized by Google

τος ἐν περινοίᾳ γενώμεθα τῆς ἐπιφανείας τοῦ Πνεύματος. Τίνος δὲ χάριν αἱ γλῶσσαι διαμεριζόμεναι ὤφθησαν αὐτοῖς; ἐπεὶ μόνῳ τῷ καὶ αὐτῷ ἄνωθεν ἐλθόντι Χριστῷ οὐκ ἐκ μέτρου δίδοται τὸ Πνεῦμα παρὰ τοῦ Πατρός· ὁλόκληρον γὰρ ἐκεῖνος καὶ κατὰ σάρκα τὴν θείαν δύναμιν εἶχε καὶ τὴν ἐνέργειαν,
138 τῶν δ' ἄλλων οὐδενὶ πᾶσα χωρητὴ καθέστηκεν ἡ τοῦ Πνεύματος χάρις, ἀλλ' ἐκ μέρους ἕκαστος ἄλλος ἄλλου τινὸς τυγχάνει τῶν χαρισμάτων· ἵνα μή τις φύσιν εἶναι τὴν παρὰ τοῦ Πνεύματος τοῖς ἁγίοις διδομένην χάριν νομίσῃ. Τὸ δὲ, «ἐκάθισεν,» οὐ τὴν δεσποτικὴν ἀξίαν ὑπεμφαίνει μόνον, ἀλλὰ καὶ τὸ ἑνιαῖον τοῦ θείου Πνεύματος. «Ἐκάθισε δὲ, φησὶν, ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου·» καὶ μεριζόμενον γὰρ κατὰ τὰς διαφόρους αὐτοῦ δυνάμεις τε καὶ ἐνεργείας, δι' ἑκάστης τῶν ἐνεργειῶν ὅλον πάρεστι καὶ ἐνεργεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἀμερίστως μεριζόμενον, καὶ ὁλοσχερῶς μετεχόμενον, κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος. Ἐλάλουν δὲ ἑτέραις γλώσσαις, τουτέστι διαλέκτοις, πρὸς τοὺς ἐκ παντὸς ἔθνους συνελθόντας, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι· ὄργανα γὰρ ἐγένοντο τοῦ θείου Πνεύματος, ἐνεργοῦντά τε καὶ κινούμενα κατὰ θέλησιν ἐκείνου καὶ δύναμιν· ὄργανον δὲ ἅπαν ἔξωθεν προσλαμβανόμενον, οὐ τῆς οὐσίας, ἀλλὰ τῆς ἐνεργείας τοῦ ἐνεργοῦντος δι' αὐτοῦ μετέχον, οὕτως ὄργανον ἐκείνου τελεῖ, ὡς καὶ ὁ θείῳ Πνεύματι φθεγγόμενός φησι Δαβίδ· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.» Ὁ οὖν γραφικὸς κάλαμος ὄργανόν ἐστι γραφέως, τῆς ἐνεργείας πάντως, ἀλλ' οὐ τῆς οὐσίας μετέχων τοῦ γράφοντος, κἀκεῖνα χαράττων, ἅπερ ὁ γραφεὺς ἐθέλει καὶ δύναται.

A gratia linguæ illis apparuerunt dispertitæ? Quia C soli qui a cœlo descendit Christo non in mensura datur Spiritus a Patre; ille enim universam etiam secundum carnem habuit divinam virtutem et operationem; sed aliorum nemine tota continetur gratia Spiritus, at ex parte tantum, alius aliud ex charismatibus accipit, ne quis naturam esse censeat gratiam a Spiritu sanctis tributam. Vox autem, sedit, non Domini solum dignitatem manifestat, sed etiam divini Spiritus unitatem. «Sedit, inquit, supra singulos eorum, et repleti sunt omnes Spiritu sancto;» dispertitus enim secundum varias ejus virtutes et operationes, per singulas operationes totus adest et operatur Spiritus sanctus, sine parte divisus et sine divisione participatus, solaris instar radii. B «Loquebantur variis linguis,» id est, dialectis, ad eos qui ex omni natione convenerant, prout Spiritus sanctus dabat eloqui illis, quippe Spiritus sancti facta sunt instrumenta, operata et mota secundum voluntatem ejus atque virtutem; instrumentum vero quodlibet extra acceptum non naturæ sed virtutis operantis per eum fit particeps, ita et sancti Spiritus instrumentum, quemadmodum David loquens in Spiritu sancto ait: «Lingua mea calamus scribæ velociter scribentis [43].» Scriptorius ergo calamus instrumentum est scribentis, cujus virtutis sed non naturæ omnino fit particeps, ea exarans quæ scribens voluerit et potuerit.

C Ἀλλὰ πῶς ἐπαγγελία τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον; Ἐπειδὴ διὰ τῶν αὐτοῦ προφητῶν προεπηγγείλατο τοῦτο, διὰ μὲν τοῦ Ἰεζεκιὴλ λέγων· «Δώσω ὑμῖν καρδίαν καινὴν, καὶ Πνεῦμα καινὸν, καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν·» διὰ δὲ τοῦ Ἰωήλ· «Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.» Τοῦτο καὶ ὁ Μωϋσῆς ἐπιποθῶν, προανεφώνησε λέγων· «Τίς δώσει πάντα τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ' αὐτούς;» Ἐπεὶ δὲ μία ἐστὶν ἡ εὐδοκία καὶ ἡ ἐπαγγελία τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, διὰ τοῦτο τοῖς εἰς αὐτὸν πιστεύουσιν εἰπών· «Ὁ πιὼν ἐκ τοῦ ὕδατος, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον·» καὶ, «Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος·» ὁ ἑρμηνεύων ὁ Εὐαγγελιστὴς, «Τοῦτο δὲ, φησὶν, ἔλεγε περὶ τοῦ Πνεύματος ὃ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.» Ἀλλὰ καὶ ἐπὶ τὸ σωτήριον ἐρχόμενος πάθος πρὸς τοὺς οἰκείους μαθητὰς ἔλεγεν· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας.» Καὶ πάλιν· «Ταῦτα λελάληκα ὑμῖν, παρ' ὑμῖν

Sed quomodo Patris promissum est Spiritus sanctus? Quia cum per prophetas pollicitus est, dicens quidem per Ezechiel: «Dabo vobis cor novum et spiritum novum, et Spiritum meum dabo vobis [44];» per Joel autem: «Et erit in novissimis diebus, effundam de Spiritu meo super omnem carnem [45].» Quod Moyses desiderans, prius manifestavit dicens: «Quis dabit ut omnis populus prophetet, et det eis Dominus Spiritum suum [46]?» Sed cum una sit Patris et Filii voluntas, una promissio, ideo credentibus in eum dixit: «Qui biberit ex aqua quam ego dabo ei, fiet in eo fons aquæ salientis in vitam æternam [47];» et: «Qui credit in me, sicut ait Scriptura, flumina aquæ vivæ fluent ex ventre ejus [48].» Quod interpretatus Evangelista: «Hoc, ait, dixit D de Spiritu quem accepturi erant credentes in eum [49].» Insuper vadens ad salutarem passionem dixit discipulis suis: «Si diligitis me, mandata mea servate; et ego rogabo Patrem et alium Paracletum dabit vobis, ut maneat vobiscum in æternum, Spiritum veritatis [50].» Et iterum: «Hæc locutus sum vobis apud vos manens; Paracletus autem, Spiritus sanctus, quem mittet Pater in nomine meo, ille vos docebit omnia [51].» Et rursus: «Cum venerit Paracletus quem ego mittam vobis a Patre, Spiri-

[43] Psal. XLIV, 2. [44] Ezech. XXXVI, 26. [45] Joel. II, 28. [46] Num. XI, 29 [47] Joan. IV, 14. [48] Joan. VII, 38. [49] ibid. 39. [50] Joan. XIV, 15. [51] Joan. XIV, 25.

Digitized by Google

tum veritatis, quia a Patre procedit, ille testimonium perhibebit de me, et docebit vos omnem veritatem [34]. » Nunc vero adimpleta est promissio, et descendit Spiritus sanctus a Patre et Filio missus atque datus, qui sanctis illuminatis discipulis quos omnino lampades divinitus accendit, vel potius astra ostendit qui supra mundum posita totum illustrarent, per eos verbum vitæ æternæ habentes terram universam collustravit. Quemadmodum si quis ex lucifera lampade aliam accendit, et ex illa alteram, et deinde lumen traditione custodiens, illud permanenter habet; ita per impositionem manuum apostolorum, eorum successoribus, et ab istis rursum aliis sicque in posterum divini Spiritus gratia permanet in omnem generationem, fidelesque omnes spiritalibus pastoribus et doctoribus illuminat.

A μένων· ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα. » Καὶ πάλιν· « Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ, καὶ ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. » Νῦν οὖν ἐπληρώθη ἡ ἐπαγγελία, καὶ κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, παρὰ Πατρός τε καὶ Υἱοῦ πεμφθέν τε καὶ δοθὲν, καὶ τοὺς ἁγίους μαθητὰς περιλάμψαν, καὶ ὅλως λαμπάδας ἀνάψαν θείως, μᾶλλον δὲ φωστῆρας ἀναδεῖξαν ὑπερκοσμίους καὶ παγκοσμίους, αἰωνίου ζωῆς ἐπέχοντας λόγον, δι' αὐτῶν τὴν οἰκουμένην πᾶσαν ἐφώτισε. Καθάπερ δὲ εἴ τις **139** ἀπὸ τῆς φωτοφόρου λαμπάδος ἑτέραν ἀνάψει, καὶ ἀπ' ἐκείνης B ἄλλην, καὶ ἐφεξῆς τῇ διαδοχῇ παρακατέχων, ἀεὶ παραμένον ἔχει τὸ φῶς· οὕτω καὶ διὰ τῆς τῶν ἀποστόλων χειροτονίας ἐπὶ τοὺς αὐτῶν διαδόχους, καὶ ἀπὸ τούτων ἐφ' ἑτέρους πάλιν, καὶ ἐφεξῆς, ἡ τοῦ θείου Πνεύματος διαδιδομένη χάρις διὰ πάσης διήκει γενεᾶς, καὶ φωτίζει πάντας τοὺς πειθομένους τοῖς πνευματικοῖς ποιμέσι καὶ διδασκάλοις.

Igitur hanc Dei gratiam, hoc donum et per Evangelium lumen Spiritus Dei afferentes urbem pro temporibus adeant singuli pontifices, quorum si unum nonnulli pro sua potestate repulerint, Dei gratiam scindunt, divinam traditionem disrumpunt, semetipsos a Deo separant, et exitiosis conditionibus atque omnimodis traduntur calamitatibus, quod et vos nuper novistis per experientiam. At hodie conversi ad eum qui a Deo venit vestrarum pastorem animarum si mihi salutaria consulenti obedieritis, hodiernam divini Spiritus adventus memoriam læte prorsus celebrate, qui propter nostram salutem descendit per infinitam benignitatem ex qua et per quam unigenitus Dei Filius cœlos inclinans descendit et carnem a nobis accepit. Etenim nisi, postquam cum corpore in cœlum ascendisset, Spiritum sanctum misisset qui discipulos cum eis permanens confirmaret, et eorum in generationem successores atque doctores Evangelii gratiæ, non prædicata fuisset omnibus gentibus neque usque ad nos descendisset prædicatio veritatis. Ideo clementissimus Dominus participes atque patres et datores lucis æternæque vitæ hodie monstravit suos discipulos, in perennem vitam regenerantes, necnon filios lucis et patres luminis dignos efficientes, ut ita nobiscum ipse maneat usque ad consummationem sæculi, sicut per Spiritum promiserat; unus enim ipse est cum Patre et Spiritu, non secundum personam, sed secundum divinitatem; et unus in tribus Deus, in una omnipotenti tribusque constanti personis divinitate; nam Spiritus sanctus semper erat, et erat cum Filio in Patre. Quippe quomodo fuisset Pater et mens æterna sine Filio et Verbo coæterno? Quomodo autem fuisset Verbum æternum sine coæterno Spiritu? Idcirco semper fuit, et est et erit Spiritus sanctus, cum Patre et Filio in tempore quæ facta sunt creans, quæ corrupta sunt renovans, quæ permanent conservans, ubique præsens, et omnia

Ταύτην οὖν τὴν χάριν καὶ τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τὸν διὰ τοῦ Εὐαγγελίου φωτισμὸν τοῦ θείου Πνεύματος, ἔρχεται κομίζων τῇ πόλει τῶν κατὰ καιροὺς ἀρχιερέων ἕκαστος· οἱ δέ τινα τούτων ἀπωθούμενοι, τὸ εἰς αὐτοὺς ἧκον, διακόπτουσι τοῦ Θεοῦ τὴν χάριν, καὶ διασπῶσι τὴν θείαν διαδοχὴν, καὶ διιστῶσιν ἑαυτοὺς τοῦ Θεοῦ, καὶ στάσεσιν ἀλιτηριώδεσι, καὶ συμφοραῖς παντοδαπαῖς παραδίδονται· ὃ καὶ ὑμεῖς ἐπέγνωτε πρὸ μικροῦ πάντως διὰ τῆς πείρας. Ἀλλὰ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν παρὰ Θεοῦ C ποιμένα τῶν ὑμετέρων ψυχῶν, εἴ γέ μοι πείθεσθε συμβουλεύοντι τὰ σωτήρια, καλῶς ὄντως πανηγυρίσατε τὴν ἐπέτειον μνήμην τῆς ἐπιδημίας τοῦ θείου Πνεύματος, ὃ κατῆλθεν ὑπὲρ τῆς ἡμετέρας σωτηρίας δι' ἀνείκαστον φιλανθρωπίαν, ὑπὲρ ἧς καὶ δι' ἣν καὶ ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς κλίνας οὐρανοὺς κατῆλθε, καὶ σάρκα παρ' ἡμῶν ἔλαβεν. Ἐπειδὴ γὰρ αὐτὸς πρὸς οὐρανοὺς μετὰ σώματος ἀνῆλθεν, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον ἔπεμψεν, ἵνα συνῇ καὶ ἐνισχύῃ τοὺς αὐτοῦ μαθητὰς, καὶ τοὺς ἀπ' ἐκείνων κατὰ γενεὰς διαδόχους καὶ διδασκάλους τοῦ Εὐαγγελίου τῆς χάριτος, οὐκ ἂν ἐκηρύχθη πᾶσι τοῖς ἔθνεσιν, οὐδ' ἂν μέχρις ἡμῶν ἔφθασε καταβαῖνον τὸ κήρυγμα τῆς ἀληθείας. Διὰ τοῦτο ὁ φιλανθρωπότατος Δεσπότης μετόχους καὶ πατέρας καὶ ὑπηρέτας φωτός D τε καὶ ζωῆς ἀϊδίου νῦν ἀνέδειξε τοὺς αὐτοῦ μαθητὰς, εἰς ζωὴν αἰώνιον ἀναγεννῶντας, καὶ τέκνα φωτὸς καὶ πατέρας φωτισμοῦ τοὺς ἀξίους ἐργαζομένους· ἵν' οὕτω μεθ' ἡμῶν αὐτὸς ᾖ μέχρι τῆς συντελείας τοῦ αἰῶνος, καθάπερ ἐπηγγείλατο διὰ τοῦ Πνεύματος· εἷς γάρ ἐστιν αὐτὸς μετὰ Πατρὸς καὶ Πνεύματος οὐχ ὑποστάσει, ἀλλὰ θεότητι· καὶ εἷς ἐν τρισὶ Θεὸς, ἐν μιᾷ τρισυποστάτῳ καὶ παντοδυνάμῳ θεότητι· τὸ γὰρ Πνεῦμα τὸ ἅγιον ἦν ἀεὶ, καὶ συνῆν τῷ Υἱῷ ἐν τῷ Πατρί. Πῶς γὰρ ἂν ἦν Πατὴρ καὶ νοῦς ἄναρχος χωρὶς Υἱοῦ καὶ Λόγου συνανάρχου; Πῶς δ' ἂν ἦν Λόγος ἀΐδιος χωρὶς συναϊδίου Πνεύματος; Ἦν οὖν ἀεὶ καὶ ἔστι καὶ ἔσται τὸ

[34] Joan. xv, 26.

Πνεῦμα τὸ ἅγιον, συνδημιουργοῦν τῷ Πατρὶ καὶ τῷ A Υἱῷ κατὰ καιρὸν τὰ δημιουργηθέντα, καὶ συνανακαινίζον τὰ παραφθαρέντα, καὶ συνέχον τὰ διαμένοντα· πανταχοῦ παρὸν, καὶ τὰ πάντα πληροῦν, καὶ τὰ πάντα διέπον καὶ ἐφορῶν· « Ποῦ γὰρ, φησὶ πρὸς τὸν Θεὸν ὁ Ψαλμῳδὸς, πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; »

replens, et omnia regens et custodiens. Ait enim ad Deum Psalmista : « Quo ibo a Spiritu tuo, et quo a facie tua fugiam [53]? »

Οὐ πανταχοῦ δὲ μόνον, ἀλλὰ καὶ ὑπὲρ τὸ πᾶν, οὐδ' ἐν παντὶ αἰῶνί τε καὶ χρόνῳ, ἀλλὰ καὶ πρὸ παντὸς αἰῶνός τε καὶ χρόνου· καὶ οὐ μέχρι μόνον συντελείας αἰῶνος μεθ' ἡμῶν ἔσται κατὰ τὴν ἐπαγγελίαν, ἀλλὰ πολλῷ μᾶλλον τοῖς ἀξίοις συμπαραμενεῖ, κατὰ τὸν μέλλοντα αἰῶνα, τὸ Πνεῦμα τὸ ἅγιον, ἀπαθανατίζον τούτων καὶ πληροῦν ἀϊδίου δόξης καὶ τὰ σώματα, ὃ καὶ ὁ Κύριος δηλῶν ἔλεγε τοῖς μαθηταῖς· « Ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα· » σπείρεται γὰρ, φησὶν ὁ Ἀπόστολος, B τουτέστιν ἐνθάπτεται καὶ κατορύττεται τῇ γῇ θανὸν σῶμα ψυχικὸν, ταυτὸ δ' εἰπεῖν φυσικὸν, καὶ ψυχῇ καὶ σώματι κτιστὸν, τὸ συνεστάναι καὶ κινεῖσθαι σχόν· ἐγείρεται, τουτέστιν ἀναζῇ, **140** σῶμα πνευματικὸν, ταυτὸ δ' εἰπεῖν ὑπερφυὲς, ὡς ὑπὸ τοῦ θείου Πνεύματος συνεστὼς καὶ διοικούμενον, καὶ τῇ δυνάμει τοῦ Πνεύματος ἀθανασίαν καὶ δόξαν καὶ ἀφθαρσίαν ἠμφιεσμένον· « Ἐγένετο γὰρ, φησὶν, ὁ πρῶτος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ δὲ ἔσχατος Ἀδὰμ εἰς Πνεῦμα ζωοποιοῦν· καὶ ὁ μὲν πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δὲ δεύτερος ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ· οἷος ὁ χοϊκὸς, τοιοῦτοι καὶ οἱ χοϊκοὶ, οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι. » Τίνες οὗτοι; Οἱ ἑδραῖοι καὶ ἀμετακίνητοι τῇ πίστει, καὶ περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, C καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου διὰ τῆς πρὸς αὐτὸν εὐπειθείας φορέσαντες· « Ὁ γὰρ ἀπειθῶν τῷ Υἱῷ, διὰ τοῦ αὐτοῦ πάλιν Εὐαγγελιστοῦ Ἰωάννης φησὶν ὁ τοῦ Κυρίου πρόδρομος, οὐκ ὄψεται τὴν ζωὴν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μενεῖ ἐπ' αὐτόν· » ὀργὴν δὲ Θεοῦ τίς ὑπομενεῖ; Φοβερὸν, ἀδελφοὶ, τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· εἰ γὰρ χεῖρας πολεμίων δεδοίκαμεν, καὶ ταῦτα τοῦ Κυρίου λέγοντος, « Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα· » τίς νοῦν ἔχων οὐ φοβηθήσεται Θεοῦ χεῖρας, ἐν ὀργῇ κατὰ τῶν ἀπειθούντων ἐπαιρομένας; Ὀργὴ γὰρ Θεοῦ ἀποκαλυφθήσεται ἐπὶ πᾶσαν ψυχὴν, τῶν ἐν ἀσελγείαις καὶ ἀδικίαις ἀνεπιστρόφως πορευομένων, καὶ τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων.

Verum non ubique tantum, sed et super omnia, et in omni sæculo et tempore, sed et ante omnia sæcula et tempora, nec solummodo nobiscum erit, prout promissum est, usque ad consummationem sæculi, sed multo magis permanebit cum sanctis in futuro sæculo Spiritus sanctus, quorum etiam corpora immortalitate donata gloria æterna replebit; hoc Dominus ostendens dixit discipulis : « Ego rogabo Patrem, et alium Paracletum dabit vobis, ut maneat vobiscum in sæcula [54]. » Seminatur enim, B inquit Apostolus, id est sepelitur et conditur in terra mortuum corpus animale, scilicet naturale, anima et corpore compositum habens unde constet et moveatur; surget spiritale, id est reviviscet naturæ superius, utpote divino Spiritu constans et directum, necnon virtute Spiritus immortalitatem et gloriam et incorruptionem indutum. Ait enim : « Factus est primus Adam in animam viventem, novissimus Adam in spiritum vivificantem. Primus homo de terra terrenus : secundus homo de cœlo cœlestis. Qualis terrenus, tales et terreni; et qualis cœlestis, tales et cœlestes [55]. » Quinam isti? Qui firmi sunt et fide constantes, qui omnimode sunt abundantes in opere Domini, et cœlestis imaginem per suam erga eum obedientiam portaverint. Nam : « Qui incredulus est Filio, C rursum inquit per eumdem evangelistam Joannes Domini præcursor, non videbit mortem, sed ira Dei manet super eum [56]; » iram autem Dei quis sustinebit? Horrendum est, fratres, incidere in manus Dei vivi. Si enim timuerimus manus inimicorum, dicente Domino : « Nolite timere eos qui occidunt corpus [57] », quis mentem habens non timebit Dei manus in ira adversus resistentes extentas? Ira enim Dei revelabitur adversus omnem animam eorum qui in flagitiis et injustitiis sine conversione ambulaverint, et veritatem in injustitia detinuerint.

Φύγωμεν οὖν τὴν ὀργὴν, καὶ σπεύσωμεν ἐπιτυ- D χεῖν τῆς χρηστότητος καὶ συμπαθείας τοῦ παναγίου Πνεύματος διὰ τῆς μετανοίας. Ὁ μῖσος ἔχων πρός τινα καταλλαγήτω, καὶ πρὸς τὴν ἀγάπην ἐπανίτω, ἵνα μὴ τὸ μῖσος καὶ ἡ πρὸς τὸν πλησίον μάχη καταμαρτυρήσωσιν αὐτοῦ, ὡς μὴ τὸν Θεὸν ἀγαπῶντος· εἰ γὰρ τὸν ἀδελφόν σου ὃν ἑώρακας, οὐκ ἀγαπᾷς, τὸν Θεὸν ὃν οὐχ ἑώρακας, πῶς ἀγαπήσεις; Ἀγάπην δὲ ἔχοντες πρὸς ἀλλήλους, τὴν ἀγάπην ἔχομεν τὴν ἀληθῆ, τὴν ἀνυπόκριτον, καὶ δι' ἔργων ταύτην ἐπιδεικνύμεθα, μηδὲν λέγειν τε καὶ πράττειν, μᾶλλον δὲ μηδὲ ἀκούειν ὑπομένοντες ὕβριν ἢ βλάβην φέρον τοῖς ἡμετέροις ἀδελφοῖς, ὡς καὶ ὁ ἠγαπημένος τῷ

Iram ergo fugiamus, et clementiæ atque pietati sanctissimi Spiritus consequendæ studeamus. Qui odium habet contra aliquem reconcilietur, et in charitatem redeat, ne ejus odium et contentio cum proximo adversus eum testimonium reddant quasi Deum non diligat; nam si fratrem tuum quem vides non diligis, Deum quem non vides quomodo diliges? Charitatem vero ad alios habentes, si veram habeamus charitatem, hanc per opera sinceram manifestemus, nihil dicentes nec facientes nec vel audientes quod secum adversus fratres nostros convicium vel vituperationem ferat, quemadmodum dilectus Christo Theologus nos docuit : « Fratres, inquiens,

[53] Psal. cxxxviii, 7. [54] I Joan. xiv, 15. [55] Cor. xv, 44-48. [56] Joan. iii, 36. [57] Matth. x, 28.

Digitized by Google

nolite diligere sermone et lingua, sed opere et veritate [87]. » Qui in fornicationem vel adulterium similemve corporis pollutionem incidit, a fœdo hoc luto recedat, et semetipsum emundet per confessionem, per lacrymas, per jejunium pariaque exercitia. Quippe fornicatores et adulteros qui non egerint pœnitentiam judicabit Deus et damnabit et arguet atque tradet gehennæ ignique inexstinguibili, cæterisque perennibus suppliciis, dicens : Recedat profanus et immundus, ne videat gloriam Domini eaque fruatur. Fur et manifestus raptor vel fenerator jam non furetur, nec feneretur nec aliena rapiat, sed etiam de suis bonis communicet egentibus. Uno verbo, si vitam vultis diesque videre bonos, et erui ab inimicis tam visibilibus quam invisibilibus, necnon a barbaris modo instantibus, atque a suppliciis quæ malitiæ principi et angelis ejus paratæ sunt, declinate ab omni malo, et bona facite. « Nolite errare, dixit Apostolus Corinthiis, neque fornicarii, neque adulteri, neque molles, neque masculorum concubitores, neque avari, neque ebriosi, neque maledici, neque rapaces regnum Dei possidebunt [88]. » Verum qui hæreditatem non habet cum Deo, neque Dei est, neque Patrem habet Deum.

Nos autem, fratres, abstineamus, obsecro, ab eis quæ odit Deus operibus vel sermonibus, ut cum fiducia Deum Patrem appellemus. Convertamur ad eum in veritate, ut ille quoque ad nos convertatur, et emundet nos ab omni peccato, et dignos faciat divina ejus gratia. Ita enim et nunc et in sæcula colemus et celebrabimus spiritaliter, Deo inspirante, divinæ promissionis perfectionem quæ facta est quando sanctissimus Spiritus ad homines venit et super eos sedit, necnon beatæ spei obtentionem et absolutionem, in ipso Christo Domino nostro, quem decet gloria, honor et adoratio cum æterno ejus Patre, necnon sanctissimo bonoque et vivifico Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

## HOMILIA XXV.

*Dicta in Dominica Omnium Sanctorum.*

Mirabilis omnino Deus in sanctis suis. Nam si quis consideraverit supra vires positos martyrum luctus, quomodo in infirmitate carnis fortem in nequitia pudore suffuderunt, quomodo obdurescentes dolores et vulnera sustinuerunt corpore luctantes adversus ignem, adversus gladium, adversus varias et lethiferas tormentorum formas, per constantiam resistentes, carne quidem concisi, compagibus dissoluti, ossibus contriti, fidei vero in Christum confessionem sanam custodientes et indiscissam et integram et inconcussam, unde sine dubio illis impertita est gratia Spiritus, signorumque virtus; si quis animo versaverit sanctorum patientiam, quomodo quasi incorporei diuturna jejunia, vigilias aliasque

Χριστῷ Θεολόγος ἐδίδαξεν ἡμᾶς· « Ἀδελφοί, λέγων, μὴ ἀγαπᾶτε λόγῳ καὶ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. » Ὁ πορνείᾳ, ἢ μοιχείᾳ, ἢ παραπλησίᾳ τινὶ τοῦ σώματος ἀκαθαρσίᾳ περιπεσὼν, ἀποσχέσθω τοῦ μυσαροῦ τούτου βορβόρου, καὶ καθαρισάτω ἑαυτὸν δι' ἐξομολογήσεως, διὰ δακρύων, διὰ νηστείας καὶ τῶν παραπλησίων· πόρνους γὰρ καὶ μοιχοὺς τοὺς μὴ μετανοήσαντας κρινεῖ ὁ Θεὸς καὶ κατακρινεῖ, καὶ ἀποπέμψεται καὶ παραδώσει τῇ γεέννῃ καὶ τῷ ἀσβέστῳ πυρὶ, καὶ ταῖς ἄλλαις κολάσεσι ταῖς διαιωνιζούσαις, λέγων· Ἀρθήτω ὁ βέβηλος καὶ ἐναγὴς, οὐ μὴ ἴδοι καὶ ἀπολαύσῃ τῆς δόξης τοῦ Κυρίου. Ὁ κλέπτων, ἢ καὶ φανερῶς ἁρπάζων καὶ πλεονεκτῶν, μηκέτι κλεπτέτω, μηδὲ πλεονεκτήτω, μηδὲ ἁρπαζέτω τὰ ἀλλότρια, ἀλλὰ καὶ ἀπὸ τῶν οἰκείων μεταδιδότω τοῖς μὴ ἔχουσι. Καὶ ἵνα συνελὼν εἴπω, εἰ θέλετε ζωὴν, ἡμέρας ἰδεῖν ἀγαθὰς, καὶ ῥυσθῆναι τῶν τε ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, τῶν τε νῦν ἐπικειμένων βαρβάρων, καὶ τῶν ἀποκειμένων τῷ ἀρχεκάκῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ κολαστηρίων ἐκείνων, ἐκκλίνατε ἀπὸ παντὸς κακοῦ, καὶ ποιεῖτε τὰ ἀγαθά· « Μὴ πλανᾶσθε γὰρ, πρὸς Κορινθίους φησὶν ὁ Ἀπόστολος· οὔτε πόρνοι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ κληρονομήσουσιν. » Ὁ οὖν κληρονομίαν μὴ ἔχων μετὰ Θεοῦ οὐδὲ τοῦ Θεοῦ ἐστιν, οὐδὲ Πατέρα ἔχει τὸν Θεόν.

**141** Ἀλλ' ἡμεῖς ἀποστῶμεν, ἀδελφοί, παρακαλῶ, τῶν τῷ Θεῷ μεμισημένων ἔργων τε καὶ λόγων, ἵνα μετὰ παῤῥησίας ἐπικαλώμεθα Πατέρα τὸν Θεόν· Ἐπιστρέψωμεν πρὸς αὐτὸν ἐν ἀληθείᾳ, ἵνα καὶ οὗτος ἐπιστρέψῃ πρὸς ἡμᾶς, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ ἀξίους ποιήσῃ τῆς αὐτοῦ θείας χάριτος. Οὕτω γὰρ καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας ἑορτάσομεν, καὶ πανηγυρίσομεν ἐνθέως καὶ πνευματικῶς τὴν τῆς θείας ἐπαγγελίας τελείωσιν· τὴν τοῦ παναγίου Πνεύματος εἰς ἀνθρώπους ἔλευσιν καὶ ἀνάπαυσιν· τὴν τῆς μακαρίας ἐλπίδος ἔκβασιν καὶ συμπλήρωσιν, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ὅτι αὐτῷ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ ΚΕ'.

*Ἐκφωνηθεῖσα τῇ Κυριακῇ τῶν ἁγίων Πάντων.*

Θαυμαστὸς ὄντως ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Ὅταν γάρ τις ἐνθυμηθῇ τοὺς ὑπερφυεῖς τῶν μαρτύρων ἀγῶνας, πῶς ἐν ἀσθενείᾳ σαρκὸς τὸν ἰσχυρὸν ἐν κακίᾳ κατῄσχυναν, ὡς ἀνεπαισθήτως ἔχουσι τῶν ὀδυνῶν καὶ τῶν τραυμάτων ἀγωνιζόμενοι σώμασι, πρὸς πῦρ, πρὸς ξίφος, πρὸς ποικίλας καὶ θανατηφόρους βασάνων ἰδέας, διὰ τῆς καρτερίας ἀντιπαρατασσόμενοι, καὶ τὰς μὲν σάρκας τεμνόμενοι, καὶ τῆς ἁρμονίας διαλυόμενοι, καὶ τὰ ὀστᾶ συντριβόμενοι, τὴν δὲ ὁμολογίαν τῆς εἰς Χριστὸν πίστεως σῶαν διαφυλάττοντες καὶ ἄτμητον, καὶ ἀσινῆ, καὶ ἀκράδαντον· ὅθεν καὶ ἡ ἀναντίῤῥητος αὐτοῖς ἐχαρίσθη σοφία τοῦ Πνεύματος, καὶ τῶν τεραστίων ἡ δύναμις· ὅταν τὴν ὑπομονὴν ἀναλογίσηται τῶν ὁσίων, πῶς ὡς

[87] I Joan. III, 18. [88] I Cor. VI, 9.

ἀσώματοι τὰς πολυημέρους ἀσιτίας, τὰς ἀγρυπνίας, τὰς ἄλλας ποικίλας κακώσεις τοῦ σώματος ἐθελουσίως ὑπήνεγκαν, πρὸς τὰ πονηρὰ πάθη, πρὸς τὰ ποικίλα τῆς ἁμαρτίας εἴδη, πρὸς τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς ἀόρατον πόλεμον, πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας εἰς τέλος ἀντιταξάμενοι, καὶ τὸν μὲν ἐκτὸς ἄνθρωπον τηκόμενοί τε καὶ ἀχρειούμενοι, τὸν δὲ ἐντὸς ἄνθρωπον ἀνανεούμενοι καὶ θεούμενοι, παρ' οὗ τούτοις ἐχαρίσθη τὰ χαρίσματα τῶν ἰαμάτων, τὰ ἐνεργήματα τῶν δυνάμεων· ὅταν τις ἐπὶ νοῦν λάβῃ ταῦτα, καὶ προσεννοήσῃ ὅτι τὴν φύσιν ὑπερβαίνει τὴν ἡμετέραν, θαυμάζει καὶ δοξάζει Θεὸν τὸν τούτοις παρασχόντα τὴν τοσαύτην χάριν καὶ δύναμιν· εἰ γὰρ καὶ τὴν προαίρεσιν ἀγαθὴν καὶ καλλίστην εἶχον, ἀλλὰ χωρὶς τῆς τοῦ Θεοῦ δυνάμεως οὐκ ἂν ἴσχυσαν ὑπὲρ τὴν φύσιν γενέσθαι, καὶ ἐν σώματι ὄντες τὸν ἀσώματον καταπαλέσαι πολέμιον.

B Διὰ τοῦτο καὶ ὁ ψαλμῳδὸς Προφήτης εἰπών· « Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, » ἐπήγαγεν· « Αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. » Καὶ σκοπεῖτε μετὰ συνέσεως τῶν προφητικῶν ῥημάτων τὴν δύναμιν· παντὶ μὲν γὰρ, **142** φησὶ, τῷ λαῷ αὐτοῦ δίδωσιν ὁ Θεὸς δύναμιν καὶ κραταίωσιν· οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ· θαυμάζεται δὲ ἐν μόνοις τοῖς ἁγίοις αὐτοῦ. Ὥσπερ γὰρ ὁ ἥλιος ἄνωθεν πλουσίως πᾶσιν ἐπίσης ἐπιχεῖ τὰς ἀκτῖνας, ὁρῶσι δὲ μόνοι ταύτας οἱ ὀφθαλμοὺς ἔχοντες, καὶ τούτους οὐ μεμυκότας, καθαρᾶς δὲ ἀπολαύουσι τῆς αὐγῆς οἱ διὰ καθαρότητα τῶν ὀμμάτων ὀξυωποῦντες, καὶ μὴ διὰ νόσον ἢ ἀχλὺν, ἤ τι τοιοῦτον ἐμπεσὸν τοῖς ὄμμασιν ἀμβλυωποῦντες· οὕτω καὶ ὁ Θεὸς ἄνωθεν πλουσίαν πᾶσι χορηγεῖ τὴν αὐτοῦ βοήθειαν· αὐτὸς γάρ ἐστιν ἡ ἀενάως βρύουσα τοῦ ἐλέους καὶ C τῆς ἀγαθότητος σωστικὴ καὶ φωτιστικὴ πηγή. Ἀπολαύουσι δὲ τῆς ἐκεῖθεν χάριτος καὶ δυνάμεως πρὸς τὴν τῆς ἀρετῆς ἐνέργειαν καὶ τελείωσιν, ἢ καὶ τὴν τῶν θαυμάτων ἐπίδειξιν, οὐχ ἁπλῶς ἅπαντες, ἀλλ' οἱ προαίρεσιν ἀγαθὴν κεκτημένοι, καὶ δι' ἔργων τὴν πρὸς τὸν Θεὸν ἀγάπην καὶ πίστιν ἐπιδεικνύμενοι· καὶ τὰ μὲν φαῦλα τελείως ἀποστρεφόμενοι, τῶν δὲ τοῦ Θεοῦ προσταγμάτων ἀσφαλῶς ἀντεχόμενοι, καὶ τὸ τῆς διανοίας ὄμμα πρὸς αὐτὸν ἀνατείνοντες τὸν τῆς δικαιοσύνης ἥλιον Χριστόν· ὃς οὐ μόνον ἀοράτως χεῖρα βοηθείας ἄνωθεν προτείνει τοῖς ἀγωνιζομένοις, ἀλλὰ καὶ διὰ τοῦ Εὐαγγελίου προτρεπόμενος αἰσθητῶς ἡμῖν σήμερον διαλέγεται· « Πᾶς γὰρ, φησὶν, ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν D ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. » Ὁρᾶτε ὅτι οὔτε ἡμεῖς δυνάμεθα παῤῥησιάσασθαι τὴν εἰς Χριστὸν πίστιν καὶ τὴν ὁμολογίαν ἄνευ τῆς παρ' αὐτοῦ δυνάμεως καὶ συνεργείας, οὔτε ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς παῤῥησιάσεται ὑπὲρ ἡμῶν ἐν αἰῶνι τῷ μέλλοντι, καὶ συστήσει καὶ οἰκειώσει τῷ ἀνωτάτῳ Πατρὶ, ἄνευ τοῦ λαβεῖν ἀφ' ἡμῶν τὰς ἀφορμάς; Τοῦτο γὰρ δηλῶν οὐκ εἶπε· Πᾶς ὃς ἂν ὁμολογήσῃ με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀλλὰ, πᾶς ὃς

A varias corporis afflictiones libenter sustulerunt contra pravas animi passiones, contra varias peccati species, contra internum et in nobis ipsis invisibile bellum, contra potestates, contra principatus, contra spiritualia nequitiæ in finem obstiterunt, secundum exteriorem quidem hominem consumpti et mortificati, secundum autem interiorem renovati et deificati, ex quo eis donatæ sunt gratiæ curationum et operationes virtutum; si quis ergo ista mente conceperit et cogitaverit quantum nostræ præstent naturæ, miratur et glorificat Deum qui eis tantam gratiam tantamque virtutem largitus est; bonum quidem et optimum habebant propositum, sed sine virtute Dei nunquam potuissent supra naturam surgere, et corporei incorporeum vincere adversarium.

B Propterea Psalmistes propheta dicens: « Mirabilis Deus in sanctis ejus, » adjecit: « Ipse dabit virtutem et fortitudinem plebi suæ [39]. » Considerate intelligentes propheticorum virtutem sermonum; nam universæ quidem, inquit, plebi suæ dabit Deus virtutem et fortitudinem, non enim est apud Deum acceptio personæ, in solis autem sanctis suis est mirabilis. Nam quemadmodum sol deorsum omnibus pariter radios copiose largitur, soli vero eos conspiciunt qui oculos habent equidem non clausos, pura autem luce fruuntur qui per puritatem oculorum acute cernunt, et non illi quibus propter morbum vel caliginem aliudve superveniens acies oculorum hebes exstat; ita et Deus deorsum divitias gratiæ suæ omnibus præbet; ipse enim fons salutis et lu- C minis a quo perenniter fluit misericordia et clementia. Fruuntur autem ejus fortitudine et gratia ad exercitium et perfectionem virtutis, vel ad operationem miraculorum non omnes omnino, sed qui bonum consecuti propositum, per opera charitatem ad Deum et operationem exhibuerunt; qui prorsus a turpibus aversi flagitiis, mandatis vero Dei tuto adhærentes, mentis oculum ad ipsum justitiæ solem Christum intendunt; qui non invisibiliter tantum certantibus brachium auxilii cœlitus porrigit, sed auribus etiam per Evangelium adhortans auditur dicens: « Omnis qui confessus fuerit in me coram hominibus, confitebor et ego in eo coram Patre meo qui est in cœlis [40]. » Videtis quoniam nequaquam D possumus fidem nostram in Christum et confessionem palam proferre, nisi ab eo virtutem et cooperationem acceperimus? Neque Dominus noster Jesus Christus pro nobis in sæculo futuro loquetur bene, neque nos offeret et conjunget Patri altissimo, nisi a nobis occasiones acceperit. Quod ostendens non dixit: Qui me confessus fuerit coram hominibus; sed: « Omnis qui confessus fuerit in me, » utpote qui possit in illo et per ejus auxilium pietatem proferre. Ita rursus: « Confitebor et ego, » non dixit, eum, sed, in eo, id est propter firmam

[39] Psal. LXVII, 36. [40] Matth. x, 32.

quam pro pietate produxit audaciam atque constantiam. Nam vide quod deinde dixit de eis qui ignaviter pietatem prodiderunt: « Qui negaverit me coram hominibus, negabo et ego eum coram Patre meo qui est in cœlis [41]. » Hic non dixit: Qui negaverit in me, quare? Quia desertus ab eo quod dat Deus auxilio Deum negans negat? Sed propter quam causam ipse derelictus est et a Deo desertus? Quoniam prior ipse Deum dereliquit, temporalia et terrestria cœlestibus æternisque bonis a Deo promissis præponens. Ita rursus et Christus negabit eum non in eo, utpote qui nihil in illo inveniat quo in gratiam ejus utatur. Verum quia charitatem habens ad Deum in Deo manet et Deus in eo, sicut dilectus Christo dixit Theologus, Deo quidem manente in eo a quo diligitur, qui Deum in veritate B diligit certe in Deo confessionem facit; illo autem in Deo manente, faciet etiam Deus in ipso pro ipso confessionem. Igitur dicendo: Omnis qui confessus fuerit in me, confitebor et ego in eo, indissolubilem inter Deum et confitentes unionem declarat a qua longe recessit negans. Sic divinæ retributiones secum habent divinam justitiam, ex similitudine se invicem inferentes.

A ἂν ὁμολογήσῃ ἐν ἐμοί· ὡς ἐν ἐκείνῳ, καὶ διὰ τῆς ἐκείνου βοηθείας δυνάμενος παῤῥησιάσασθαι τὴν εὐσέβειαν. Οὕτω πάλιν· Ὁμολογήσω κἀγώ, καὶ οὐκ εἶπεν, αὐτόν, ἀλλ', ἐν αὐτῷ, τουτέστι διὰ τῆς τοῦ ὁμολογοῦντος ἀγαθῆς ἐνστάσεως καὶ καρτερίας, ἣν ἐνεδείξατο ὑπὲρ τῆς εὐσεβείας. Ὅρα γὰρ τί φησιν ἐφεξῆς ἐπὶ τῶν μαλακισθέντων καὶ προδόντων τὴν εὐσέβειαν· « Ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. » Οὐκ εἶπεν ἐνταῦθα, Ὅστις ἀρνήσεται ἐν ἐμοί· διατί; Ὅτι ἔρημος γενόμενος τῆς παρὰ τοῦ Θεοῦ βοηθείας ἀρνεῖται τὸν Θεὸν ὁ ἀρνούμενος. Διατί δὲ ἐγκατελείφθη καὶ ἔρημος ἐγένετο Θεοῦ; Ἐπειδὴ φθάσας αὐτὸς ἐγκατέλιπεν αὐτὸν ἀγαπήσας τὰ πρόσκαιρα καὶ γήϊνα πλέον τῶν παρὰ τοῦ Θεοῦ ἐπηγγελμένων οὐρανίων καὶ αἰωνίων ἀγαθῶν. Οὕτω πάλιν καὶ ὁ Χριστὸς ἀρνήσεται οὐκ, ἐν αὐτῷ, ἀλλ' αὐτόν, ὡς ἐν αὐτῷ μηδὲν εὑρών, ᾧ χρήσασθαι ἦν ὑπὲρ αὐτοῦ. Ἐπεὶ δὲ καὶ ὁ ἔχων τὴν κατὰ Θεὸν ἀγάπην ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ· καθάπερ ὁ ἠγαπημένος τῷ Χριστῷ Θεολόγος φησίν, ὡς τοῦ Θεοῦ μένοντος ἐν τῷ ἀγαπῶντι αὐτόν, ποιεῖται τὴν ὁμολογίαν εἰκότως ἐν τῷ Θεῷ ὁ ἀγαπῶν ἐν ἀληθείᾳ τὸν Θεόν, ὡς δὲ καὶ αὐτοῦ μένοντος ἐν τῷ Θεῷ, ποιήσεται καὶ ὁ Θεὸς τὴν ὑπὲρ αὐτοῦ ὁμολογίαν ἐν αὐτῷ. Τὸ οὖν, « Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοί, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ, » τὴν τοῦ Θεοῦ πρὸς τοὺς ὁμολογοῦντας ἀδιάσπαστον συνάφειαν δηλοῖ, ἧς ἀφέστηκε μακρὰν ὁ ἀρνούμενος. Οὕτως αἱ θεῖαι ἀντιδόσεις μεθ' ἑαυτῶν ἔχουσι τὴν θείαν δικαιοσύνην, ἐξ ὁμοιώσεως καταλλήλως ἀντεπαγόμεναι.

Illa quidem et tanta est similitudo divinarum retributionum cum eis quæ Deo offerimus. At considerate nimiam præmiorum Dei excellentiam ad eos C qui ipsum in illo confessi fuerint. Nam unusquisque sanctorum, cum Dei sit servus, confessionem protulit in temporanea hac vita, et coram mortalibus hominibus, et amplius in brevi momento hujus sæculi et coram aliquot hominibus mortalibus. Dominus autem noster Jesus Christus, cum Deus sit et Dominus cœli et terræ, nos confitebitur in æterno et perenni mundo illo, coram Deo ac Patre, circumstantibus angelis, archangelis, omnibusque cœlicis potestatibus, præsentibus omnibus ab Adam usque ad consummationem sæculi hominibus: omnes enim resurgent et stabunt ad tribunal Christi. Et tunc omnibus astantibus, omnibus videntibus, prædicabit et glorificabit et coronabit eos qui in finem fidem in eum exhibuerint. Quid oportet conari ostendere valde eximias illas coronas, excel- D lentiam horum quæ dabuntur præmiorum, quæ nec oculus noster similis vidit, nec auris audivit, neque cor cogitavit? Sed ut insistam eis quæ nunc fiunt et videntur, quis sermo digne poterit exprimere gloriam quam tribuit Deus sepulcris sanctorum, ossiumque reliquiis, quæ omni tempore indesinenter permanet, sacrum odorem ab eis emissum, unguentorum fontes, gratiæ sanationum, operationes virtutum, multiformes et salutares eorum in istis factas nobis manifestationes? Dicam quid eorum

143 Ἡ μὲν οὖν ὁμοιότης τῶν παρὰ Θεοῦ βραβείων πρὸς τὰ παρ' ἡμῶν αὐτῷ προσφερόμενα τοιαύτη καὶ οὕτως ἔχουσα. Σκοπεῖτε δὲ καὶ τὴν καθ' ὑπεροχὴν διαφορὰν τῆς παρὰ τοῦ Θεοῦ ἀμοιβῆς δοθῆ πρὸς τοὺς ἐν αὐτῷ τοῦτον ὁμολογήσαντας. Ἕκαστος γὰρ τῶν ἁγίων, Θεοῦ δοῦλος ὤν, ἐπαῤῥησιάσατο τὴν ὁμολογίαν ἐν τῷ προσκαίρῳ τούτῳ βίῳ, καὶ ἐνώπιον θνητῶν ἀνθρώπων, μᾶλλον δὲ ἐπὶ καιροῦ βραχέος τοῦ αἰῶνος τούτου, καὶ ἐπ' ὀλίγων οἵων ἔφημεν ἀνθρώπων. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, Θεὸς ὢν καὶ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς, παῤῥησιάσεται ὑπὲρ αὐτῶν ἐν τῷ ἀϊδίῳ καὶ ἀκαταλύτῳ ἐκείνῳ κόσμῳ ἐνώπιον τοῦ Θεοῦ καὶ Πατρός, περιεστηκότων τῶν ἀγγέλων, τῶν ἀρχαγγέλων, πασῶν τῶν οὐρανίων δυνάμεων, παρόντων τῶν ἀπὸ Ἀδὰμ μέχρι συντελείας ἀνθρώπων πάντων· πάντες γὰρ ἀναστήσονται καὶ παραστήσονται τῷ βήματι τοῦ Χριστοῦ. Καὶ τότε πάντων παρόντων, πάντων ὁρώντων, ἀνακηρύξει καὶ δοξάσει καὶ στεφανώσει τοὺς μέχρι τέλους τὴν εἰς αὐτὸν πίστιν ἐπιδειξαμένους. Τί δεῖ πειρᾶσθαι δεικνύναι τοὺς ὑπερφυεῖς ἐκείνους στεφάνους, τὴν ὑπερβολὴν τῶν μελλουσῶν ἐκείνων ἀμοιβῶν, ἃ οὔτε ὀφθαλμὸς οἷος ὁ ἡμέτερος ἰδεῖν δύναται, οὔτε οὖς ἀκοῦσαι, οὔτε καρδία διανοήσασθαι; Ἀλλὰ καὶ τὰ νῦν οἷα καὶ τὰ ὁρώμενα, τίς λόγος ἀξίως ἐξείποι τὴν ἐν ταῖς σοροῖς τῶν ἁγίων καὶ τοῖς λειψάνοις τῶν ὀστῶν παρὰ Θεοῦ δόξαν, τῷ παντὶ χρόνῳ συμπαρατεινομένην, τὴν ἀναδιδομένην ἐκ τούτων ἱερὰν εὐωδίαν, τὰ πηγάζοντα μύρα, τὰ χα-

[41] Matth. x, 33.

ρίσματα τῶν ἰαμάτων, τὰ ἐνεργήματα τῶν δυνάμεων, τὰς πολυειδεῖς καὶ σωτηρίους ἡμῖν ἐν τούτοις ἐπιφανείας; Εἴπω τι τῶν παρ' ἡμῶν προσφερομένων αὐτοῖς; Ἐν ὀλίγῳ χρόνῳ, καθάπερ ἔφην, ἡ παῤῥησία τῆς κατὰ Θεὸν ὁμολογίας ἑκάστου τῶν ἁγίων, καὶ ἐνώπιον τινῶν ἀρχόντων καὶ βασιλέων· ἀνυμνοῦσι δὲ καὶ μεγαλύνουσι τιμῶντες καὶ δοξάζοντες καὶ προσκυνοῦντες, οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τὰς αὐτῶν εἰκόνας, ὡς δεσποτῶν, καὶ πλέον ἢ δεσποτῶν καὶ βασιλέων, βασιλεῖς καὶ ἄρχοντες, καὶ πᾶν τὸ ὑπήκοον, τοσοῦτον αὐταῖς ὑποπίπτοντες ἑκόντες καὶ χαίροντες, ὡς καὶ τοῖς παισὶν εὔχεσθαι τοῦτο πρὸ παντὸς ἄλλου καταλιμπάνειν, οἷά τινα κλῆρον ὄλβιον, καὶ ποιητικὸν εὐδαιμονίας τῆς ἀνωτάτω. Δεῖγμα δὲ τοῦτο καὶ παράστασίς ἐστι καὶ οἷον προοίμιον τῆς μελλούσης ἐκείνης ἀποῤῥήτου δόξης, ἣν καὶ νῦν ἔχουσιν ἐν οὐρανοῖς τῶν δικαίων τὰ πνεύματα, καὶ ἧς ἐν τῷ μέλλοντι αἰῶνι τεύξονται σὺν τούτοις τὰ συνδιανύσαντα τὸν κατὰ Θεὸν ἀγῶνα σώματα. Ταύτην δὴ τὴν ὑπερβολὴν τῆς δόξης καὶ τῶν μελλόντων ἀγαθῶν ὁ Κύριος ἐνδεικνύμενος, πρὸς μὲν τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους ἔλεγεν· «Ἀμὴν λέγω ὑμῖν· ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ·» πρὸς δὲ πάντας ἁπλῶς τοὺς πιστεύοντας, «Πᾶς, φησὶν, ὅστις ἀφῆκεν οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ τέκνα, ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει· ὁ δὲ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος.» Ἐπειδὴ γὰρ ὁ Θεὸς καὶ Πατὴρ τὸν Υἱὸν αὐτοῦ τὸν ἀγαπητὸν ἔδωκεν ὑπὲρ ἡμῶν, καὶ αὐτὸς ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ἡμᾶς δικαίως ἀπαιτεῖ, πάντας τοὺς κατὰ γένος ἡμῖν προσήκοντας περιορᾷν, ὅταν ἐμπόδιον ὦσι πρὸς τὴν εὐσέβειαν, καὶ τὸν κατ' αὐτὴν βίον. Καὶ **144** τί λέγω τοὺς κατὰ γένος προσήκοντας; αὐτὴν γὰρ τὴν ἑαυτοῦ ψυχὴν ἕκαστον παραιτήσασθαι, καιροῦ καλοῦντος, δίκαιόν τε ὁμοῦ καὶ ἀναγκαῖον, εἴπερ βούλεται ζωῆς αἰωνίου ἐπιτυχεῖν, ἐπεὶ καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Υἱὸς τὴν ἑαυτοῦ ψυχὴν ἔθηκεν ὑπὲρ ἡμῶν· διὸ πάλιν αὐτός φησιν· «Ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος.» Σταυρὸς μὲν οὖν ἐστι καὶ τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

Ὅταν οὖν ᾖ καιρὸς εἰρήνης τῆς κατ' εὐσέβειαν, διὰ D τῆς ἀρετῆς νεκρῶν ὁ ἄνθρωπος τὰ πονηρὰ πάθη καὶ τὰς ἐπιθυμίας, οὕτως αἴρων τὸν σταυρὸν αὐτοῦ ἀκολουθεῖ τῷ Κυρίῳ. Ὅταν δὲ καιρὸς ᾖ διωγμοῦ, περιφρονῶν καὶ τὴν οἰκείαν ζωὴν, καὶ προδιδοὺς τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῆς εὐσεβείας, οὕτως αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω τοῦ Κυρίου, καὶ οὕτω ζωὴν αἰώνιον κληρονομεῖ· «Ὁ γὰρ εὑρὼν, φησὶ, τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτὴν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν.» Τί ἐστιν, Ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ εὑρήσει αὐτήν; Διπλοῦς ἐστιν ὁ ἄνθρωπος, ὁ ἐκτὸς, τὸ σῶμα λέγω, καὶ ὁ ἐντὸς ἡμῶν ἄνθρωπος, ἡ ψυχὴ

A quæ in terris illi Deo obtulerunt? In brevi tempore, sicut dixi, unusquisque sanctorum Deum confessi sunt, coram aliquot principibus et regibus; honorant vero et exaltant venerantes et glorificantes et adorantes, non eos tantum, sed etiam eorum imagines quasi dominorum, magis etiam quam dominorum et regum, tam reges quam principes, ita ante eas provoluti easque ita libenter cum gaudio habentes, ut desiderent eas liberis pro omni alio bono relinquere, quasi quamdam felicem hæreditatem cœlestis beatitudinis auctorem. Hoc est exemplar et argumentum et quasi exordium futuræ illius inenarrabilis gloriæ quam animæ sanctorum jam nunc habent in cœlis, et quam in futuro sæculo conse-

B quentur cum eis corpora quæ certamen Dei certaverunt. Quam excellentiam gloriæ bonorumque futurorum Dominus ostendens, sanctis suis discipulis et apostolis dicebat: «Amen dico vobis, vos qui secuti estis me, in regeneratione, quando sederit Filius hominis super thronum gloriæ suæ, sedebitis et vos super sedes duodecim judicantes duodecim tribus Israel[62].» Prorsus autem omnibus fidelibus: «Omnis, inquit, qui reliquerit domum, vel fratres, vel sorores, vel matrem, aut patrem, aut mulierem, aut filios, aut agros propter nomen meum, centuplum accipiet et vitam æternam possidebit; qui autem amat patrem aut matrem plus quam me, non est me dignus[63].» Nam cum Deus et Pater Filium suum dilectum pro nobis dedit, ipseque unigenitus Dei Filius se-

C metipsum pro nobis dedit, a nobis jure exigit ut omnes nobis sanguine conjunctos despiciamus, quando sunt nobis impedimentum ad pietatem piamque vitam. Et quid dico nobis sanguine conjunctos? Ipsam enim vitam ponere, tempore cogente, singulis justum est atque necessarium, si volumus vitam æternam consequi, cum et ipse Dei Filius suam animam pro nobis posuerit. Unde rursum ipse dixit: «Qui non accipit crucem suam et sequitur me, non est me dignus[64].» Crux autem est crucifigere carnem suam cum vitiis et concupiscentiis.

Igitur quando adest tempus pacis illius quæ est secundum pietatem, vir qui pravas passiones atque concupiscentias per virtutem mortificat, ita tollit crucem suam et Dominum sequitur. Si vero instet tempus persecutionis, qui propriam contemnit vitam et suam ipsius animam tradit propter pietatem, ita tollit crucem suam et Dominum sequitur; unde vitam æternam possidebit. Ait enim: «Qui invenerit animam suam perdet eam; et qui perdiderit animam suam propter me, inveniet eam[65].» Quid est quod dicit: «Qui perdiderit animam suam inveniet eam?» Duplex est homo, alius quidem exterior, corpus dico, alius interior, scilicet anima

[62] Matth. xix, 28. [63] Matth. xix, 29; x, 37. [64] Matth. x, 38. [65] ibid. 39.

Digitized by Google

nostra. Igitur si quis secundum exteriorem nostrum hominem se in mortem tradiderit, perdit animam suam ab eo discedentem. Qui ergo eam propter Christum et Evangelium ita perdiderit, vere eam inveniet, ipsi vitam cœlestem et æternam tribuens, eamque in resurrectione redemptus, atque per eam talis et ipse factus etiam secundum corpus cœlestis et æternus. Sed quia talia difficilia sunt et magna et nonnisi perfectorum, et ut ita dicam, apostolica; crucifigere carnem cum vitiis et concupiscentiis, paratum esse ad dedecus ultimum, ad turpem pro virtute mortem sustinendam, perdere animam suam propter Evangelium, quod deinde adjecit Dominus, ad solatium est eorum qui talibus supra naturam certaminibus essent impares: « Qui enim vos recipit, id est apostolos, hosque sequentes Patres et pietatis doctores, me recipit, inquit; et qui me recipit, recipit eum qui me misit [66]. »

Idcirco illis quidem perfectis receptionem in postorum præparat, aliis vero non talibus, si illos receperint, salutem porrigit. At vides quanta merces detur eis qui receperint viventes secundum Deum et doctores pietatis? Qui enim hos recipit, Patrem et Filium recipit. Quomodo ergo oportet eos recipere? Non tantum hospitium et solatium præbere, sed etiam audire. Ideo alibi spernentes terrens dixit discipulis suis: « Qui vos spernit, me spernit; et qui me spernit, spernit eum qui me misit [67]. » Sed qui hospitium et levamen tribuit eis qui ex Deo veniunt, si hæc propter Deum agat, multam mercedem accipiet; quod declarat Dominus dicens: « Qui recipit prophetam in nomine prophetæ, mercedem prophetæ accipiet; et qui recipit justum in nomine justi, mercedem justi accipiet [68]. » Quomodo mercedem prophetæ et mercedem justi accipiet? Sicut Apostolus dixit: « Vestra abundantia illorum inopiam suppleat, ut et illorum abundantia vestræ inopiæ sit supplementum [69]. » Qui enim justum, ut justum, propter Deum recipit et sublevat, etsi non honorifice habeat, sed tantum parva tribuat dona, magna lucratur; dixit enim: « Quicunque potum dederit uni ex minimis istis, calicem aquæ frigidæ tantum in nomine discipuli, amen dico vobis, non perdet mercedem suam [70]. » Verum in his verbis non solum curam facit justorum et discipulorum, sed multo magis eorum qui illos accipiunt; si enim de illis solummodo curavisset, solam mandavisset hospitalitatem, cujus levamenisque illis præbendi formam et modum præscripsisset; nunc vero addens hæc verba: in nomine prophetæ et justi, ostendit se magis de hospitibus curare, horum mentem ad meliora transferens, ut merces eorum virtutem sequatur. Christi ergo Ecclesia honorans etiam post mortem eos qui vere secundum Deum vixerunt, singulis anni diebus memoriam facit eorum sancto-

A δηλονότι. Ὅταν οὖν κατὰ τὸν ἐκτὸς ἡμῶν ἄνθρωπον παραδῷ τις ἑαυτὸν εἰς θάνατον, ἀπόλλυσι τὴν ψυχὴν αὐτοῦ, χωριζομένην ἀπ' αὐτοῦ. Ὁ γοῦν ὑπὲρ τοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου οὕτως ἀπολέσας αὐτὴν ὄντως εὑρήσει ταύτην, ζωὴν οὐράνιον καὶ αἰώνιον ταύτῃ προξενήσας, καὶ ἐν τῇ ἀναστάσει τοιαύτην κομισάμενος, καὶ δι' αὐτῆς τοιοῦτος καὶ αὐτὸς καὶ κατὰ σῶμα γεγονὼς οὐράνιος καὶ αἰώνιος. Ἀλλ' ἐπειδὴ ταῦτα δύσκολά τε καὶ μεγάλα, καὶ τῶν τελείων μόνων, καὶ ὡς εἰπεῖν, ἀποστολικὰ, τὸ σταυρῶσαι τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τὸ ἕτοιμον εἶναι πρὸς ἀτιμίαν ἐσχάτην, καὶ τὸν αἴσχιστον ὑπὲρ τοῦ καλοῦ θάνατον, τὸ ἀπολέσαι τὴν ψυχὴν αὐτοῦ ἕνεκεν τοῦ Εὐαγγελίου, ὅπερ ἐφεξῆς φησι προϊὼν ὁ Κύριος, πρὸς παραμυθίαν τέ B ἐστι τῶν οὕτως ἀγωνιζομένων ὑπὲρ φύσιν τῶν ἀτελεστέρων· « Ὁ γὰρ ὑμᾶς δεχόμενος, » τοὺς ἀποστόλους δηλονότι, καὶ τοὺς μετ' ἐκείνους Πατέρας καὶ διδασκάλους τῆς εὐσεβείας, « ἐμὲ δέχεται, φησὶ, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. »

Τοῖς μὲν οὖν τελείοις ἐκείνοις ἐντεῦθεν ὑποδοχὴν ἑτοιμάζει, τοῖς δὲ μὴ τοιούτοις ἐκ τοῦ ὑποδέχεσθαι ἐκείνους τὴν σωτηρίαν πορίζει. Ἀλλ' ὁρᾷς καὶ πόσος ὁ μισθὸς τοῖς δεχομένοις τοὺς κατὰ Θεὸν ζῶντας καὶ διδασκάλους τῆς ἀληθείας; ὁ γὰρ δεχόμενος αὐτοὺς τὸν Πατέρα καὶ τὸν Υἱὸν δέχεται. Πῶς οὖν δέχεσθαι τούτους χρή; Οὐ ξενίζειν μόνον καὶ ἀναπαύειν, ἀλλὰ καὶ ὑπακούειν. Διὸ ἀλλαχοῦ τοὺς ἀθετοῦντας φοβῶν, πρὸς τοὺς οἰκείους μαθητὰς ἔλεγεν· « Ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀπο- C στείλαντά με. » Ἀλλὰ καὶ ὁ ξενίζων καὶ ἀναπαύων τοὺς τοῦ Θεοῦ, ἐὰν διὰ τὸν Θεὸν τοῦτο πράττῃ, πολὺν λήψεται τὸν μισθόν· καὶ τοῦτο δηλῶν ὁ Κύριος, ἔλεγεν· « Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται. » Πῶς μισθὸν προφήτου καὶ μισθὸν δικαίου λήψεται; Ὡς ὁ Ἀπόστολός φησι· « Τὸ ἡμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ἡμῶν ὑστέρημα· » ὁ δὲ τὸν δίκαιον, ὡς δίκαιον, ὄντα, διὰ τὸν Θεὸν δεχόμενος καὶ ἀναπαύων, κἂν μὴ φιλοτίμως ἔχῃ, ἀλλὰ καὶ μικρά τινα δῷ, τὰ μεγάλα κερδανεῖ· « Ὃς γὰρ ἂν, φησὶ, ποτίσῃ ἕνα τῶν μικρῶν **145** τούτων D ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. » Ἐν δὲ τούτοις τοῖς ῥήμασι καὶ παραγγέλμασιν οὐ τῶν δικαίων μόνον καὶ τῶν μαθητῶν τὴν φροντίδα ποιεῖται, ἀλλὰ πολλῷ μᾶλλον τῶν δεχομένων αὐτούς· εἰ γὰρ ἐκείνων μόνων ἐφρόντιζε, τὴν δοχὴν ἂν παρῄνει μόνον, καὶ τὴν δοχὴν ἐκείνων ἐζήτει καὶ τὴν ἀνάπαυσιν, ὅπως ἂν ᾖ· νῦν δὲ προστιθεὶς, εἰς ὄνομα προφήτου καὶ μαθητοῦ καὶ δικαίου, δείκνυσι φροντίζων μᾶλλον τῶν δεχομένων, τὴν γνώμην αὐτῶν ἐπὶ τὸ κρεῖττον μεταποιῶν, ἵνα καὶ ὁ μισθὸς ἐπακολουθήσῃ τούτοις μετὰ τῆς ἀρετῆς. Ἡ οὖν Ἐκκλη-

[66] Matth. x, 40. [67] Luc. x, 16. [68] Matth. x, 41. [69] II Cor. viii, 13. [70] Matth. x, 42.

Digitized by Google

εἰς τοῦ Χριστοῦ τιμῶσα καὶ μετὰ θάνατον τοὺς κατὰ Θεὸν ὡς ἀληθῶς ζήσαντας, καθ' ἑκάστην ἡμέραν τοῦ ἐνιαυτοῦ μνήμην ποιεῖται τῶν κατ' αὐτὴν μεταστάντων ἐντεῦθεν, καὶ τῆς ἐπικήρου ταύτης ζωῆς ἀποδημησάντων ἁγίων· τόν τε βίον ἑκάστου προτιθεῖσα τῆς ἡμῶν ἕνεκεν ὠφελείας, καὶ τὸ τέλος ὑποδεικνῦσα, εἴτε μετ' εἰρήνης κεκοίμηται, εἴτε μαρτυρικῷ τέλει τὸν βίον κατέκλεισε. Νῦν δὲ μετὰ τὴν Πεντηκοστὴν ὁμοῦ πάντας συναγαγοῦσα, κοινὸν αὐτοῖς ἀναπέμπει τὸν ὕμνον, οὐ μόνον ὅτι πάντες ἀλλήλοις ἥνωνται, καὶ κατὰ τὴν δεσποτικὴν εὐχὴν ἕν εἰσιν· «Δὸς γὰρ αὐτοῖς, φησὶ πρὸς τὸν ἑαυτοῦ Πατέρα ἐν Εὐαγγελίοις ὁ Κύριος, «ἵνα πάντες ἓν ὦσι, καθάπερ ἐγὼ, Πάτερ, ἐν σοὶ, καὶ σὺ ἐν ἐμοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν ἐν ἀληθείᾳ.» A

B Οὐ μόνον τοίνυν διὰ τοῦτο κοινὸν αὐτοῖς πᾶσι τὸν ὕμνον ἀποδίδωσιν ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἀλλ' ὅτι καὶ σπουδὴ ταύτῃ διά τε τῆς ἁγίας Τεσσαρακοστῆς, καὶ τῆς μετ' αὐτὴν Πεντηκοστῆς, πάντα τὰ ἔργα ἐκφῆναι καὶ ἀνυμνῆσαι τοῦ Θεοῦ. Ἐπεὶ οὖν πάντα ἐξεῖπεν, ὡς ἴστε· πῶς τὴν ἀρχὴν ὁ κόσμος οὗτος ἅπας ἐγένετο ὑπὸ Θεοῦ· πῶς ὁ Ἀδὰμ ἐξώσθη τοῦ παραδείσου καὶ τοῦ Θεοῦ· πῶς ὁ πάλαι λαὸς ἐκλήθη· πῶς καὶ αὐτοὶ παραβάντες ἐξώσθησαν τῆς πρὸς Θεὸν οἰκειότητος· πῶς ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς κλίνας οὐρανοὺς ὑπὲρ ἡμῶν κατῆλθε, καὶ ἔπραξεν ὑπὲρ ἡμῶν ἐξαίσια, καὶ ἐδίδαξε τὰ σωτήρια, ἔπαθέ τε καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν, καὶ ἐτάφη ὡς ἄνθρωπος, καὶ ὡς Θεὸς ἀνέστη τριήμερος, καὶ εἰς οὐρανοὺς, ὅθεν καὶ κατῆλθεν, ὕστερον μετὰ σαρκὸς ἀνελήφθη, καὶ καθίσας ἐκ δεξιῶν τοῦ Πατρὸς, ἔπεμψεν C ἐκεῖθεν τὸ πανάγιον Πνεῦμα· ἐπεὶ οὖν πάντα ταῦτα ἀνύμνησεν ἡ τοῦ Θεοῦ Ἐκκλησία, νῦν καὶ τὸ λεῖπον προστιθεῖσά τε ὁμοῦ καὶ δεικνῦσα, πόσους καὶ οἵους καρποὺς συνήγαγε πρὸς ζωὴν αἰώνιον ἡ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσία, καὶ ἡ τοῦ παναγίου Πνεύματος δύναμις, πάντων ὁμοῦ ποιεῖται τῶν ἁγίων τὴν μνήμην, καὶ πᾶσι τὸν ὕμνον καὶ τὴν τιμὴν ἀποδίδωσι σήμερον.

Τιμήσωμεν οὖν καὶ ἡμεῖς, ἀδελφοὶ, τοὺς ἁγίους τοῦ Θεοῦ. Τιμήσομεν δὲ πῶς; Ἐὰν κατὰ μίμησιν ἐκείνων καθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ ἀποστῶμεν τῶν κακῶν τέως διὰ τῆς ἀποχῆς τούτων πρὸς ἁγιωσύνην φερόμενοι· ἐὰν παύσωμεν τὴν γλῶσσαν ἡμῶν ἀπὸ ὅρκου καὶ ἐπιορκίας, ληρωδίας τε καὶ λοιδορίας, καὶ τὰ χείλη ἡμῶν ἀπὸ ψεύδους καὶ συκοφαντίας, καὶ οὕτω τὴν εὐφημίαν αὐτοῖς προσάγωμεν. Ἐὰν δὲ μὴ οὕτως ἑαυτοὺς καθάρωμεν, ἀκουσόμεθα δικαίως παρ' αὐ- D τῶν καὶ ἡμῶν ἕκαστος ἐκεῖνα τὰ τοῦ Θεοῦ πρὸς τὸν ἁμαρτωλὸν ῥήματα· Ἵνα τί τολμᾷς ἀναλαμβάνειν ἐπὶ μνήμης, καὶ λαλεῖν διὰ γλώττης καὶ αὐτὰ τὰ τῶν ἁγίων ὀνόματα, καὶ διηγεῖσθαι τὴν πάσης ἀρετῆς καὶ καθαρότητος πεπληρωμένην **146** αὐτῶν διαγωγήν; Σὺ δὲ ἐμίσησας τὸν ἐνάρετον βίον, καὶ ἀπὸ σαυτοῦ τὴν τῆς ψυχῆς καὶ τοῦ σώματος ἀπεδίωξας καθαρότητα. «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις· τὸ στόμα σου ἐπλεόνασε κακίας, καὶ ἡ γλῶσσά σου πε-

[76] Joan. XVII, 20.

rum qui hinc in illa die decesserunt et ex hac vita caduca migraverunt, tam uniuscujusque vitam in medio proponens propter utilitatem nostram, quam mortem ostendens, sive quod in pace dormierint, seu quod martyrio vitam clauserint. Hodie autem post Pentecosten, omnibus simul congregatis, communem ad eos hymnum emittit, non tantum quoniam omnes sibi invicem conjuncti sunt, et quia unum sunt secundum orationem dominicam : ait enim ad Patrem in Evangeliis Dominus : « Da eis ut sint unum, sicut ego, Pater, in te, et tu in me, ut et ipsi in nobis unum sint in veritate [76]. »

Non, inquam, propter hoc solum communem omnibus hymnum solvit Ecclesia Dei, sed etiam ut hoc studio per sacram Quadragesimam ipsamque subsequentem Pentecostæ festivitatem omnia Dei opera proferantur et laudibus efferantur; ut sciatis (omnia brevi sermone comprehendam), quomodo a principio mundus iste totus a Deo factus est; quomodo Adam a paradiso et Deo ejectus est; quomodo vetus Dei populus vocatus fuit; quomodo ipsi quoque transgressi amoti sunt a familiaritate Dei; quomodo unigenitus Dei Filius cœlos inclinans pro nobis descendit, et pro nobis nova fecit et salutaria docuit, pro nobis passus est et mortuus, sepultus ut homo, ut Deus post tres dies resurrexit, in cœlum unde descendit postea cum corpore ascendit, et sedens ad dexteram Patris, misit inde Spiritum sanctissimum. Igitur postquam hæc omnia laudavit Dei Ecclesia, hodie insuper cætera producens simulque ostendens, quot et quales fructus in vitam æternam congregaverit Domini et Dei et Salvatoris nostri Jesu Christi adventus, necnon virtus sanctissimi Spiritus, omnium simul sanctorum memoriam facit, omnibusque hymnum et honorem hac die persolvit.

Nos quoque, fratres, in honore habeamus sanctos Dei. At quomodo honore habebimus? Si eos imitati emundemus nos ab omni sorde carnis et spiritus, a malis abstineamus donec per hanc abstinentiam ad eorum sanctimoniam feramur. Si lingua nostra a juramentis et perjuriis quieverit, si a vaniloquiis et opprobriis, si labia nostra nec mendacium neque sycophantiam locuta fuerint, ita laudes bonas eis persolvemus. Si autem nosmetipsos sic non emendaverimus, jure singuli ab eis audiemus ea quæ Deus peccatori dicit verba : « Utquid ausus es in memoriam assumere et lingua proferre sanctorum nomina, plenamque virtutis et munditiæ conversationem eorum enarrare? Tu vero odio probam habebas vitam, et longe a te animæ et corporis ejecisti munditiam. « Si videbas furem, currebas cum eo, et cum adulteris portionem tuam ponebas. Os tuum abundavit malitia, et lingua tua concinnabat dolos. Sedens adversus fratrem tuum loquebaris, et adversus filium matris tuæ ponebas



Digitized by Google

scandalum [71].» Hymnum non recipit, fratres, Deus a talibus oribus, sed neque sancti Dei; nam si unusquisque nostrum, si manu stercus tetigerit, illa sibi admota nos utitur nisi prius eam abluerit, quomodo Deus dona accipiet a corpore oreque immundo, nisi prius nos emundemus? Nam multo fœdiora stercore peccatum, dolus, mendacium, invidia odium, avaritia, proditio, turpes cogitationes, turpiaque verba, infamesque actus illa consequentes. Sed quomodo emundabitur qui in ista inciderit? Per pœnitentiam, per confessionem, per bonam operationem, per assiduam ad Deum orationem.

A ριέπλεκε δολιότητας· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον.» Οὐ δέχεται ὕμνον, ἀδελφοί, ἀπὸ τοιούτων στομάτων οὔτε ὁ Θεὸς, οὔτε οἱ τοῦ Θεοῦ ἅγιοι· εἰ γὰρ ἕκαστος ἡμῶν τὴν ἑαυτοῦ χεῖρα κόπρου ἁψαμένην, οὐ δέχεται προσενεγκεῖν αὐτῷ τι πρὸς χρείαν, ἂν μὴ πρότερον αὐτὴν ἐκπλύνῃ, πῶς ὁ Θεὸς δέξεται τὰ ἀπὸ σώματος καὶ στόματος ἀκαθάρτου προσφερόμενα, ἂν μὴ πρότερον ἑαυτοὺς ἐκκαθάρωμεν; Πολὺ γὰρ τῆς κόπρου βδελυρωτέρα ἡ ἁμαρτία, ὁ δόλος, τὸ ψεῦδος, ὁ φθόνος, τὸ μῖσος, ἡ πλεονεξία, ἡ προδοσία, τὰ αἰσχρὰ διανοήματά τε καὶ ῥήματα, καὶ αἱ τούτοις ἐπακολουθοῦσαι μιαραὶ πράξεις. Ἀλλὰ πῶς ὁ τούτοις περιπεσὼν πάλιν καθαίρεται; διὰ τῆς μετανοίας, διὰ τῆς ἐξομολογήσεως, διὰ τῆς ἀγαθοεργίας, διὰ τῆς ἐκτενοῦς πρὸς τὸν Θεὸν δεήσεως.

Igitur in istis quas celebramus sanctorum memoriis, cum a nostris artibus et laboribus vacamus; hæc sit nobis meditatio, quomodo recedentes liberi erimus ab eis in quas quisque ceciderit culpis et sordibus. Si autem contra animas nostras ludis vel nugis vel ebrietati indulgeamus, quomodo fœde diem agentes celebrare sanctos dicimus? Verum, fratres, obsecro, absit ut ita eos celebremus, sed accedamus et nos corpore et anima Deo acceptabiles, in illis festivitatis diebus, ut fiamus et nos participes precibus sanctorum gloriæ necnon æternæ eorum lætitiæ, quas nos omnes consequi tribuatur gratia et benignitate Domini nostri Jesu Christi, quem decet gloria cum æterno ejus Patre, et sanctissimo bonoque atque vivifico Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

B Ὅταν τοίνυν ἐν ταῖς ἑορταζομέναις τῶν ἁγίων μνήμαις ἀπὸ τῶν τεχνῶν ἡμῶν καὶ τῶν ἐπιτηδευμάτων ἕκαστος σχολάζωμεν, τοῦτο ἡμῶν ἔστω μελέτημα, πῶς ἵνα ἀποστῶμεν καὶ ἐλεύθεροι γενώμεθα τῶν ὧν ἕκαστος περιέπεσεν ἁμαρτιῶν καὶ μολυσμῶν. Εἰ δὲ καὶ τότε παίζομεν κατὰ τῶν ἡμετέρων αὐτῶν ψυχῶν καὶ ἀδιαφοροῦμεν καὶ μεθύομεν, πῶς ἄναγνον ποιοῦντες τὴν ἡμέραν ἑορτάζειν τοὺς ἁγίους λέγομεν; Ἀλλὰ μὴ οὕτως ἑορτάζωμεν, ἀδελφοί, παρακαλῶ, ἀλλὰ παραστήσωμεν καὶ ἡμεῖς σώματά τε καὶ ψυχὰς εὐαρέστους τῷ Θεῷ, κατ' αὐτὰς γοῦν τὰς ἑορτίους ἡμέρας, ἵνα πρεσβείαις τῶν ἁγίων μέτοχοι καὶ αὐτοὶ γενώμεθα τῆς πανηγύρεως καὶ εὐφροσύνης ἐκείνης τῆς ἀπεράντου· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ C Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXVI.

*Dicta messis tempore; ubi de spirituali messe.*

Omnium Creator et Dominus qui omnia ex nihilo fecit per suam bonitatem, post omnia, secundum abundantiam virtutis suæ et ineffabiles nec etiam cogitabiles divitias sapientiæ et benignitatis suæ hominem creavit, mirabiliter in uno et parvo opere collecta et quasi congregata tota creatione. Ideo eum ultimo creavit ex utroque mundo compositum, et utrumque mundum exornantem; visibilem dico et invisibilem. Mentem enim et sensus in ipso ineffabiliter connexuit quos mediis quasi per vincula conjunxit solertissimis, phantasia, specie et imaginandi facultate. Ita idem animal condidit intellectuale simul et visibile, sicut cœlum irrequietum per media immobili terræ accommodaverat, et eumdem mundum fecerat semper stantem semperque gyrantem; nam ad instar machinæ ab uno artifice constructæ homo et iste mundus multam habent inter se propinquitatem; sibi invicem præstant, alius quidem magnitudine, alius vero intelli-

## ΟΜΙΛΙΑ ΚϚʹ (1).

*Ἐκφωνηθεῖσα ἐν τῷ καιρῷ τοῦ θέρους· ἐν ᾗ καὶ περὶ πνευματικοῦ θέρους.*

Ὁ τῶν ἁπάντων ποιητὴς καὶ Δεσπότης πάντα ἐκ μὴ ὄντων ποιήσας δι' ἀγαθότητα, μετὰ πάντα, κατὰ τὸ περιὸν αὐτῷ τῆς δυνάμεως, καὶ τὸν ἄφατον καὶ ἀπερινόητον πλοῦτον τῆς αὐτοῦ σοφίας τε καὶ χρηστότητος, τὸν ἄνθρωπον ἀπειργάσατο παραδόξως, εἰς ἓν καὶ βραχὺ πλάσμα συναθροίσας, καὶ οἷον συγκεφαλαιωσάμενος τὴν ἅπασαν κτίσιν. Διὸ καὶ ὕστατον τοῦτον ἐδημιούργησε, τῶν κόσμων ἀμφοτέρων ἐχόμενον, καὶ ἀμφοτέρους ἐπικοσμοῦντα τοὺς κόσμους, τὸν ὁρατὸν τοῦτον λέγω καὶ τὸν ἀόρατον· D νοῦν γὰρ καὶ αἴσθησιν ἑαυτῷ συνῆψεν ἀρρήτως, μέσοις οἷον συνδέσμοις γνησιωτάτοις χρησάμενος φαντασίᾳ καὶ δόξῃ καὶ διανοίᾳ, καὶ οὕτω τὸ αὐτὸ πεποίηκε ζῶον νοερὸν καὶ ὁρώμενον, ὥσπερ καὶ τὸν 147 ἀεικίνητον οὐρανὸν διὰ τῶν μεταξὺ τῇ ἀκινήτῳ συνῆψε γῇ· καὶ τὸν αὐτὸν πεποίηκε κόσμον ἑστῶτα ἀεὶ καὶ κινούμενον· ὡς γὰρ ἑνὸς τεχνίτου τῷ τρόπῳ τῆς κατασκευῆς ἄνθρωπός τε καὶ κόσμος, οὕτως πολλὴν ἔχουσι πρὸς ἄλληλα τὴν συγγένειαν·

[71] Psal. XLIX, 19 seqq.

(1) Exstat apud Matthæum, p. 117.

Digitized by Google

ὑπερέχουσι δὲ ἀλλήλων ὁ μὲν τῷ μεγέθει, ὁ δὲ τῇ συνέσει. Καὶ σύνεστιν ὁ ἄνθρωπος ἐντεθησαυρισμένος τῷ κόσμῳ, καθάπερ ἐν οἰκίᾳ μεγάλῃ πολύολβόν τι χρῆμα, πολλῷ τῷ μέτρῳ τοῦ περιέχοντος ὀλβιώτερον, καὶ οἷον ἐν βασιλείοις βασιλική τις σκευὴ ποικίλη καὶ πολυτίμητος· τὰ μὲν γὰρ μεγίστοις λίθοις, ἀλλ' εὐώνοις καὶ τοῖς τυχοῦσιν, ἡ δὲ μικροῖς, ἀλλὰ δυσπορίστοις καὶ πολυτιμήτοις ἐσκεύασται. Πόσον οὐρανοῦ κρείττων ὁ ἀνθρώπινος νοῦς, ὃς εἰκών τέ ἐστι Θεοῦ, καὶ Θεὸν οἶδε, καὶ μόνος τῶν ἐγκοσμίων, εἰ βούλεται, γίνεται, συναναφέρων τὸ σῶμα τῆς ταπεινώσεως. Πόσον αἴσθησις ἀνθρωπίνη διενήνοχε γῆς, ἣ μὴ μόνον μέτρων καὶ ποιοτήτων ποικίλων ταύτης ἀντιλαμβάνεται, ἀλλ' ἤδη καὶ τῶν οὐρανίων ἥψατο τῇ γνώσει σφαιρῶν, καὶ κινήσεων ᾔσθετο διαφόρων, καὶ πολυσχήμους, τάχα δὲ καὶ πολυσημάντους συνόδους ἄστρων τε καὶ ἀστέρων ἴχνευ καὶ διαστάσεις, κἀντεῦθεν ταῖς κατὰ νοῦν ἐπιστήμαις τὴν ἀρχὴν ἐχαρίσατο. Καὶ τὰ μεταξὺ δ' οὐρανοῦ καὶ γῆς τῶν ἐν μεθορίῳ νοῦ καὶ αἰσθήσεως ἐλάττω κατὰ τὴν ἀξίαν ἐστί, λόγοις ἀναλογίας ὄντα ταυτά, καὶ τοῖς περιέχουσιν ὄγκοις ὅτι μάλιστα διαφέροντα. Κατεκόσμησε γὰρ τὴν ἡμετέραν φύσιν ὁ Θεὸς οὕτως, ὡς οἰκείαν ἐσομένην περιβολήν· ἐπειδήπερ ἐκ παρθενικῶν αἱμάτων ἐνδύσεσθαι ταύτην ἔμελλε, καὶ κρειττόνως μετασκευάσειν, καὶ ἄνω θήσειν, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, εἴτε ἐν τῷ νῦν αἰῶνι, εἴτε ἐν τῷ μέλλοντι. Τοῦτο δὴ καὶ προοικονομῶν σοφῶς ἅμα καὶ φιλανθρώπως, οὕτω πολλαῖς, μᾶλλον δὲ παντοδαπαῖς αὐτὴν ἐτίμησε χάρισιν· ἐπειδὴ δὲ καὶ διπλᾶς, μᾶλλον δὲ καὶ πολλαπλᾶς ἡμῖν ἔδωκε τὰς γνωστικὰς δυνάμεις, νοῦν τε καὶ αἴσθησιν, καὶ τὰ μεταξὺ χαρισάμενος, διὰ τοῦτο καὶ τῶν εἰς γνῶσιν καὶ πρᾶξιν προκειμένων ἡμῖν διπλοῦν τε καὶ πολλαπλοῦν πεποίηκεν ἕκαστον.

A gentia, et inest homo velut thesaurus in mundo insertus quemadmodum in magna domo opes superbæ multa domus continentis mensura pretiosiores. Et perinde ac in palatiis ædes regiæ variæ sunt et pretiosæ : alia enim ingentibus constant lapidibus, sed vilibus et parvi pretii; alia vero parvis, sed charis et sumptuosis. Quantum cœlo antecellit mens humana quæ est imago Dei, Deumque noscit, et si velis, solus terrestrium Deus, circumferens corpus humilitatis? Quantum sensus humanus differt a terra qui nec tantum telluris mensuras et diversas percipit operas, sed et cœlestes attingit orbes, et varios multiformesque eorum motus apprehendit, necnon multorum indicia casuum, conjunctiones stellarum et siderum eorumque discrimina, unde B intellectuales doctorum supputationes mutuantur originem : pariterque media inter cœlum et terram minoris sunt æstimationis ac ea quæ sunt in limite sensus et mentis cum sint sub eadem ratione congruentiæ ac corpora quibus intersunt. Sic enim Deus nostram exornavit naturam quasi futurum ejus indumentum quam ex virginali sanguine debebat induere et in melius commutare, et superne collocare super omnem principatum et potestatem, et omne nomen nominatum sive in præsenti sæculo sive in futuro. Quod præsciens et providens Deus sapienter simul et humaniter ita eam multis seu potius multiformibus decoravit beneficiis. Propterea etiam duplices seu potius multiplices nobis de- C dit cognoscendi facultates; mentem, sensum et media inter ipsa largitus, item quamcunque potentiarum ad cognitionem et operationem nobis infusarum duplicem multiplicemve constituit.

Θέρους οὖν ἀρτίως ἐστὶν ἐπέτειος ὥρα, καὶ θέρος οὐκ ἐν ἡμῖν· οὐ γὰρ αἰσθητὸν μόνον, ἀλλὰ καὶ λογικὸν καὶ πνευματικὸν παρ' ἡμῖν ἐστι θέρος· καὶ τῶν τοιούτων ἑκατέρου θέρους καιρὸς ὁ ἐνιαυτοῦ κύκλος ἅπας. Νῦν οὖν ἐπεὶ τῶν τοῦ ἱεροῦ περιβόλων ἐντὸς ἱστάμεθα, μικρὸν ἀνακύψαντες ἐκεῖθεν, τὰς ἐλπίδας ἐπ' αὐτὸν σχῶμεν, καὶ μεταθέντες ἄνω τὸν ἡμέτερον νοῦν, τοῦ λογικοῦ τε καὶ πνευματικοῦ θέρους ἐν περινοίᾳ γενώμεθα· περὶ ὧν καὶ ἡμεῖς ὀλίγα πρὸς τὴν ὑμετέραν ἀγάπην ἐροῦμεν νῦν, ἀφορμὴν ὑμῖν κἀντεῦθεν πρὸς σωτηρίαν πορίζοντες. Ἐγὼ γὰρ καθ' ἑκάστην τοῦ ἐνιαυτοῦ περίοδον, ταύτης δὴ τῆς ὥρας ἐφισταμένης, ὁρῶν τοὺς πλείους ἔξω τοῦ ἄστεως χεομένους, καὶ περὶ τὸ θέρος πονοῦντας, καὶ τὴν τῶν καρπῶν συλλογὴν καὶ συγκομιδήν, τοιούτους ἐπ' ἐμαυτοῦ στρέφω τοὺς λογισμούς, ὡς ἐπεὶ καὶ θέρος ἐστὶν ἀνθρώπων, τούτους ἐκκόπτον ἀπὸ τοῦ παρόντος προσκαίρου καὶ παραῤῥέοντος βίου, καὶ μετάγον εἰς ἕτερον μέλλοντα καὶ διαμένοντα βίον, ἆρα τίς τοὺς ἀψύχους θερίζων στάχυς, ἢ θερίζειν ἑτέρους μισθούμενος, καὶ τοὺς καρποὺς ἐκλέγων, ἢ παρὰ τῶν ἐκλεγόντων ὠνούμενος, καὶ συνάγων εἰς ἀποθήκην, καὶ τοῦ μέλλοντος αὐτὸν καταλήψεσθαι θερισμοῦ τούτου ποιεῖται μνήμην, καὶ φροντίζει τῷ

Ecce adest tempus messis, et messis in nobis deest. Non enim sensibilis tantum, sed et spiritualis mentalisque nobis est messis, et utriusque messis tempus anni orbis totus. Igitur nos hodie cum sacris ædibus continemur et Deo astamus, paululum inde mentem erigentes spem in eo nostram ponamus. Mente ad superna translata, in cogitatione intellectualis et spiritualis messis versemur, de qua nos hodie pauca vestræ charitati dicemus ; uti- D nam inde studia in salutem accendamus. Ego enim singulis anni periodis, adveniente hoc tempore, cum plerosque video extra urbem diffusos et labori incumbentes messis necnon frugum collectionis et coacervationis, istas in me volvo cogitationes : quippe cum adveniente hominum messe, messores hos succidunt ab hac præsenti et perefluente vita, et eos adducunt in alteram futuram et permanentem vitam, numquid est ex metentibus spicas inanimes, vel ex alios conducentibus ad messem, vel ex colligentibus fructus, seu ex ementibus ac colligentibus et in horrea coacervantibus qui memoretur messem illam manentem, et cogitet de animarum agricola, desiderans suam in tempore futuram revelationem et mercedem recipiendam in horreis cœ-

Digitized by Google

lestibus; vel totus in terram pronus num est qui A sursum mentem non erigat nec a terrenis assurgat? Sed ita sit, nihil a gentibus discrepamus; his enim terrenis cogitationibus totis animæ et corporis viribus incumbere, nam nullam omnino habent rationem futurorum, nec spem, nec intelligentiam de cœlestibus. Ideo scriptum est: Omnis vita impii in cogitatione humilium et corruptibilium. Ideo etiam Christus in Evangeliis ad nos dixit: « Nolite solliciti esse animæ vestræ quid manducetis, quid bibatis et quibus vestiamini, » et addit: « Hæc enim omnia gentes inquirunt [72]. » Non a labore amovet, sed a sollicitudine arcet ut spe in Deo collocata, non desperatam operationem operemur nec in ea male confidamus. Nolite ergo solliciti esse dicentes: Quid manducabimus, vel quid bibemus, vel quo ope- B riemur, hoc jugiter animo volventes ita ut urgentem inopiam quasi excusantes mentem in ista torquentes intendamus, superne aspicere dedignati. Propterea sic Deus nostram condidit naturam ut corpore non immobiliter stante, sed moveri et ad locum transire pollente, et omnia quibus opus est facitante, in aliis potentiis cogitatio esse possit, ut corpus quidem quæ sua sunt operetur, anima vero ad Deum suspicientes quæramus ab eo cœlestia; ideo nos hortatus ut non solliciti animæ simus, quod est gentium, addidit: « Quærite primum regnum Dei et justitiam ejus, et cætera adjicientur vobis. » Quibus monstravit quoniam si animæ meditationes ad Deum attentas habes, nullum inde detrimentum in rebus C corpori necessariis patieris, sed magis illa indubitanter habebis cum animæ salute, Domino dispensante. Hic est enim qui aperit manum suam et implet omne animal benedictione. Ad eum dixit David: « Æstatem et ver tu plasmasti ea [73], » non modo de visibilibus loquens sed etiam de invisibilibus. Ideo veri æstatem prætulit; nam nisi facta infidelium seu pravorum operum hominumve præcisione, minime virtutibus ad instar veris floresceres.

A γεωργῷ τῶν ψυχῶν ἐπέραστος ἀναφανῆναι κατὰ καιρὸν, καὶ τῶν ἐν οὐρανοῖς ἀποθηκῶν τούτου καὶ μονῶν ἄξιος; ἢ ὅλως ἕκαστος πρὸς γῆν κέκυφεν, ὥσπερ τὸ σῶμα οἱ αὐτουργοῦντες, οὕτω τὸν λογισμὸν οὐκ ἀνανεύοντα ἔχων, οὐδὲ τῶν γηΐνων ἀπανιστάμενον; Ἀλλ' εἰ τοῦτο, τῶν ἐθνικῶν οὐδὲν διαφέρομεν· **148** ἐκείνων γὰρ τὸ ταῖς γηΐνοις φροντίσιν ἐνασχολεῖσθαι πάσῃ δυνάμει ψυχῆς καὶ σώματος· οὐδὲ γὰρ ἔχουσι λόγον τῶν μελλόντων οὐδένα, πάντως οὐδὲ πίστιν, ἢ ἔννοιαν περὶ τῶν οὐρανίων. Διὰ τοῦτο κατὰ τὸ γεγραμμένον, Ὅλος ὁ βίος τοῦ ἀσεβοῦς ἐν φροντίδι τῶν κάτω καὶ φθειρομένων· διὸ καὶ ὁ Χριστὸς ἐν τοῖς Εὐαγγελίοις πρὸς ἡμᾶς εἰπών· « Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε, » προσέθηκε· B « Ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ. » Οὐκ ἀπανιστᾷ δὲ τῶν ἔργων, ἀλλ' ἀφιστᾷ τῆς μερίμνης, πρὸς Θεὸν τὴν ἐλπίδα μετατιθεὶς, ἵνα μήτε ἀνέλπιδα τὴν ἐργασίαν ἔχωμεν, μήτε ἐπ' αὐτῇ κακῶς τὴν ἐλπίδα. « Μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν, ἢ τί πίωμεν, ἢ τί περιβαλώμεθα· » διανοούμενοι ταῦτα διηνεκῶς, καὶ προσδοκωμένης αἰτίας, οἷον ἀπολεγόμενοι, καὶ τὴν ψυχὴν εἰς τοῦτο κατατείνοντες καὶ καθέλκοντες, καὶ πρὸς τὰ ἄνω βλέπειν οὐ συγχωροῦντες· διὰ τοῦτο γὰρ καὶ τοιαύτης ἡμῶν τὴν φύσιν κατεσκεύασεν ὁ Θεὸς, ὥστε τοῦ σώματος οὐκ ἠρεμοῦντος μόνον, ἀλλὰ καὶ κινουμένου καὶ μετακινουμένου, καὶ πᾶς οὗπερ ἂν ᾖ χρεία πράττοντος, ἐν ἄλλοις δύνασθαι τὸν λογισμὸν εἶναι· ἵνα τῷ μὲν σώματι τὰ τούτῳ κατάλληλα ἐργαζώμεθα, τῇ δὲ ψυχῇ πρὸς τὸν Θεὸν C βλέποντες ζητῶμεν παρ' αὐτοῦ τὰ οὐράνια· ἐπεὶ καὶ παραγγείλας μὴ μεριμνᾷν τῇ ψυχῇ, τοῦτο γὰρ τῶν ἐθνῶν, προσέθηκε· « Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· » δεικνὺς ὡς εἴπερ τὴν κατὰ ψυχὴν μελέτην πρὸς Θεὸν ἔχεις, οὐδὲν ἐντεῦθεν ζημιωθήσῃ περὶ τὰς τοῦ σώματος χρείας· μᾶλλον μὲν οὖν καὶ τούτων ἀνελλιπῶς ἕξεις μετὰ τῆς κατὰ ψυχὴν σωτηρίας, τοῦ Θεοῦ χορηγοῦντος· αὐτὸς γάρ ἐστιν ὁ ἀνοίγων τὴν χεῖρα αὐτοῦ, καὶ ἐμπιπλῶν πᾶν ζῶον εὐδοκίας· πρὸς ὃν καὶ ὁ Δαβὶδ φησι· « Θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά· » οὐ τὰ ὁρώμενα μόνον λέγων, ἀλλὰ καὶ τὰ τοῦ πνεύματος· διὸ καὶ τοῦ ἔαρος τὸ θέρος προέθηκεν· ἐὰν γὰρ μὴ ἐκκοπῆς φθάσας τῶν ἀπίστων, ἢ καὶ τῶν φαύλων ἔργων τε καὶ ἀνθρώπων, οὐκ ἐνεαρίσεις ταῖς ἀρεταῖς.

Est ergo, fratres, est et messis et ver et semen D non corporale tantum sed et intellectuale, nec modo intellectuale sed et spirituale, sicut et plantatio, et vindemia, et illis similia sicut etiam agricultura et arva. Hujus arvi Deus est agricola prout Apostolus ad Corinthios scripsit: « Dei agricultura, Dei ædificatio estis [74]; » et ipse Dominus ad discipulos dixit: « Ego sum vitis, vos autem palmites, et Pater meus agricola est [75]; » et rursus alibi de seipso: « Exiit qui seminat seminare semen suum [76], » quod est verbum doctrinæ. Igitur si verbum doctrinæ habet rationem seminis spiritualis, certo est istius seminis messis per fidem per-

D Ἔστιν οὖν, ἔστιν, ἀδελφοὶ, καὶ θέρος καὶ ἔαρ καὶ σπόρος, οὐ σωματικὸς μόνον, ἀλλὰ καὶ λογικός· οὐδὲ λογικὸς μόνον, ἀλλὰ καὶ πνευματικὸς, ὥσπερ καὶ φυτεία καὶ τρυγητὸς, καὶ τὰ τούτοις ἀκόλουθα· ἐπεὶ καὶ γεωργία τε καὶ γεώργιον. Τοῦ δὲ τοιούτου γεωργίου γεωργός ἐστιν ὁ Θεὸς, ὡς καὶ ὁ Ἀπόστολος πρὸς τοὺς Κορινθίους φησίν· « Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. » Καὶ αὐτὸς ὁ Κύριος τοῖς μαθηταῖς ἔλεγεν· « Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ Πατήρ μου ὁ γεωργός ἐστιν. » Καὶ ἀλλαχοῦ πάλιν περὶ ἑαυτοῦ· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· » ὁ δὲ σπόρος οὗτος ὁ λόγος τῆς διδασκαλίας ἐστίν. Ἐπεὶ οὖν ὁ λόγος τῆς διδασκαλίας

[72] Matth. VI, 31, 32. [73] Psal. LXXIII, 17. [74] I Cor. III, 9. [75] Joan. XV, 1. [76] Matth. XIII, 3.

Digitized by Google

τοῦ Πνεύματος σπέρματος ἔχει λόγον, ἔστι τοῦ σπόρου τούτου πάντως καὶ θερισμὸς τελούμενος διὰ πίστεως· καὶ τοῦτο δηλῶν πάλιν αὐτὸς ὁ Κύριος, ἀρχομένων προσέρχεσθαι πρὸς τὴν αὐτοῦ πίστιν πανδημεὶ τῶν ἀνθρώπων, πρὸς τοὺς οἰκείους μαθητὰς ἔλεγεν· «Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη, καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον.» Καθάπερ γὰρ ὑπὸ τῆς τοῦ αἰσθητοῦ ἡλίου θέρμης, οἱ στάχυες ξηραινόμενοι, καὶ τὴν ἀπὸ τῆς ὑγρότητος ἀποτιθέμενοι βαφὴν λευκαίνονται, καὶ **149** πρὸς θερισμὸν καὶ συγκομιδὴν πεφύκασιν ἕτοιμοι· οὕτω καὶ τότε τοῦ ἡλίου τῆς δικαιοσύνης διὰ σαρκὸς ἐπιδημοῦντος τῇ γῇ, δυνάμει τῆς αὐτοῦ παρουσίας αἱ ψυχαὶ τῶν ἀνθρώπων ἐλευκαίνοντο καθαιρόμεναι, μετασκευαζομένης B τῆς ἐκ τοῦ ἐνηδόνου βίου καὶ διαῤῥέοντος ἐγγινομένης αὐταῖς ἐπισκοτήσεώς τε καὶ διαχύσεως, καὶ οὕτως ἕτοιμοι πρὸς τὸν πνευματικὸν θερισμὸν ἦσαν, ὥστε τῆς ἀσεβείας καὶ τῆς ἀπιστίας τελεώτερον ἀποκοπῆναι, καὶ διὰ τῆς ἀληθινῆς πίστεως συναχθῆναι εἰς ζωὴν αἰώνιον. Καὶ εἴ τις ἐθέλει κατανοῆσαι τοῦ λόγου τούτου τὸ ἀληθές, ὡς ἡ δύναμις τότε τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας ἐποίησε τὰς καρδίας τῶν ἀνθρώπων οἷον λευκοτέρας καὶ καθαρωτέρας καὶ ἑτοίμους πρὸς τὴν πίστιν τῆς θεοσεβείας, ἀναλογισάσθω, ὅτι τὰ ἔθνη πάντα τότε Θεὸν μὲν οὐχ ὡμολόγουν ἕνα δεσπότην καὶ κτίστην τοῦ παντὸς, ἡλίῳ δὲ καὶ σελήνῃ καὶ ἄστροις καὶ ἑτέροις κτίσμασι καὶ τοῖς τούτων εἰδώλοις ὡς θεοῖς προσ- C είχοντο· ἡ δὲ δύναμις τῆς τοῦ Χριστοῦ παρουσίας πάντας ἀνέπεισεν ἕνα Θεὸν ὁμολογεῖν τοῦ παντὸς δεσπότην καὶ ποιητήν. Καὶ ὅπερ ἴσχυσεν Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, καὶ Μωϋσῆς ἐκεῖνος, καὶ ὁ ἐκείνου δεδομένος νόμος, ἐπὶ μόνου τοῦ γένους τῶν Ἰουδαίων, ἵνα σέβειν τούτους ἀναπείσας Θεὸν, καὶ οὐδ' ἐπὶ τούτου μόνου τοῦ γένους διὰ τέλους ἴσχυσε, καίτοι παρὰ τῶν προγόνων ἄνωθεν αὐτοῖς δεδομένου τοῦ θείου δόγματος, τοῦτό ἐπὶ πάντων γενῶν τε καὶ ἐθνῶν ἡ δύναμις τῆς τοῦ Κυρίου παρουσίας εἰργάσατο, καὶ οὕτως ἕτοιμοι γεγόνασιν αἱ χῶραι πρὸς τὸν πνευματικὸν θερισμὸν, ἀπὸ παντὸς ἔθνους τῶν πιστευσάντων ποιητὴν ἕνα τοῦ παντὸς εἶναι, προσερχομένων ἑτοίμως εἰς Χριστὸν, καὶ τὴν ἀληθῆ θεοσέβειαν τῶν μετὰ συνέσεως ἀκουόντων τοῦ προφητικοῦ καὶ ἀποστολικοῦ κηρύγματος, καὶ τὰς Γραφὰς ἐρευνώντων.

A facta. Iterum ista Dominus ostendens, cum homines ex omni parte inciperent ad eum accedere, suis dixit discipulis: «Levate oculos vestros et videte regiones quoniam albæ sunt jam ad messem; et qui metit mercedem accipit, et congregat fructum in vitam æternam[77].» Etenim sicut sensibili sole æstuante arescunt spicæ, et dimissa ex humore accepta viriditate albescunt, et ad messem coacervationemque disponuntur, ita sole justitiæ per carnem in terram adveniente, virtute ejus præsentiæ hominum animæ purgatæ dealbabantur, commutata nigritudine illis ex voluptuosa dissolutaque vita adveniente, et ita paratæ erant ad messem spiritualem, ut resecatis reliquis infidelitatis et impietatis radicibus per veram fidem congregarentur in vitam æternam. Et si quis vult sermonis virtutem perpendere, quantum virtus præsentiæ Domini nostri Jesu Christi fecit corda hominum quasi candidiora et puriora et parata ad fidem divinæ religionis, attente recogitet quoniam tunc Deum non confitebantur solum Dominum et creatorem mundi, sed soli et lunæ et astris cæterisque creaturis eorumque idolis velut diis divinos reddebant honores; virtus autem præsentiæ Christi omnes induxit ut unum Deum confiterentur omnium Creatorem et Dominum. Et illud quod Abraham, Isaac et Jacob necnon Moyses ille et lex ab eo ad solum Judæorum populum data qui jubebantur unum adorare Deum, istam solam nationem usque ad finem continere non potuit licet ex patribus jam diu illis transmisso hoc divino dogmate hoc ipsum in omnes gentes virtus Domini præsentiæ operata est. Et sic paratæ erant regiones ad spiritualem messem, plerisque ex omni natione credentibus unum esse omnium effectorem, certatim appropinquantibus ad Christum veramque Dei religionem, intelligenter audientibus propheticas et apostolicas prædicationes Scripturasque scrutantibus.

Οὕτω καὶ μόνον φανεὶς ἐπὶ γῆς ὁ Κύριος, πᾶν γένος ἀνθρώπων ἀπὸ τῆς τῶν εἰδώλων ἤγειρε πλάνης, εἰ καὶ μὴ πάντας εὐσεβεῖς ἀπέδειξε· καὶ γὰρ καὶ ἐν τῷ μέλλοντι αἰῶνι ἡ δύναμις τῆς δευτέρας παρουσίας αὐτοῦ ἐγερεῖ πάντας ἀπὸ τοῦ θανάτου, D εἰ καὶ μὴ πάντας ἀξιώσει τῆς ἀληθινῆς ζωῆς· οἱ μὲν γὰρ ἀσεβεῖς τε καὶ δυσσεβεῖς, καὶ οἱ μὴ λαβόντες ἐνταῦθα δι' ἐξομολογήσεως καὶ μετανοίας τὴν τῶν ἡμαρτημένων συγχώρησιν, ὡς μήτε φυλάξαντες, μήτε καθάραντες ἑαυτοὺς ἀπὸ τῶν ἀμέτρων ἐπιθυμιῶν τῆς σαρκὸς, αἵ εἰσιν ἀδδηφαγία, καὶ πολυποσία, καὶ μέθη, καὶ τρυφὴ, παρ' ὧν ἡ ἀμετρία πηγάζει τῶν ὑπογαστρίων παθῶν, μαλακίαι, πορνεῖαι, μοιχεῖαι, καὶ πᾶσα ἀκολασία, παρ' ἧς ποθεινὰ γίνεται τὰ μυσαρὰ ῥήματα καὶ ἀκούσματα, ὡραῖ-

Statim ac Dominus apparuisset in terra totum hominum genus ex idolorum erroribus eduxit, etsi non omnes pios effecit. Et quidem in futuro sæculo virtus posterioris ejus manifestationis omnes a morte excitabit, et tamen non omnes vera donabit vita. Impii enim et irreligiosi et qui per confessionem et pœnitentiam peccatorum veniam accipere non meruerunt, pariter qui se non immunes servaverunt nec purgaverunt ab inordinatis carnis concupiscentiis, quæ sunt ingluvies et compotatio et ebrietas et comessatio ex quibus scaturiunt lascivæ ventris libidines, mollities, fornicationes, adulteria, et omnes intemperantiæ quæ jucundæ sunt, obscenæ in dictu et auditu, in spectaculis et saltationibus: hæc autem cum sumptus exigant,

[77] Joan. IV, 35.

Digitized by Google

fures, avaros, injustos, prædatores faciunt eos quos pertrahunt; et quid necesse est dicere inde fluentia odia et pugnas et innumeram turbam cupiditatum et cogitationum quibus obnoxia hæc anima obruitur? Qui igitur ab istis se non servaverunt nec Deum propitium per confessionem et pœnitentiam reddiderunt, resurgent quidem, sed amariorem morte vitam experientur, doloribus et ærumnis et angustiis et confusioni traditi perpetuis, et vermibus irrequietis exesi necnon tenebroso et inexstinguibili igne consumpti, ita ut Isaias propheta dixerit: « Consumentur impii et peccatores simul, nec erit qui exstinguat [73-74]. » Ideo et Apostolus ad Ephesios hoc ait: « Scitote intelligentes quod omnis fornicator aut immundus aut avarus quod est idolorum servitus, non habet hæreditatem in regno Christi et Dei [75]. » Et adhuc instans, aliaque docentibus os occludens, « Nemo vos, addit, seducat inanibus verbis; propter hæc enim venit ira Dei in filios diffidentiæ. Nolite ergo effici participes eorum [76]. » Similiter ad Corinthios scribens rursus idem ait: « Nolite errare; neque fornicarii, neque idolis servientes, neque adulteri, neque molles, neque masculorum concubitores, neque avari, neque fures, neque ebrii, neque maledici, neque rapaces regnum Dei possidebunt [77]. »

Recte autem credentes in Dominum nostrum Jesum Christum, et fidem operibus manifestantes, sibimetipsis invigilantes, vel se per confessionem et pœnitentiam emundantes a sordibus peccatorum supra enumeratorum, et contrarias vitiis virtutes exercentes, temperantiam, castimoniam, charitatem, eleemosynam, justitiam et veritatem. Isti omnes redivivi audient ipsum cœlorum regem: « Venite, benedicti Patris mei, percipite paratum vobis regnum a constitutione mundi [78]; » et sic cum Christo regnabunt regnum cœleste et pacificum sortiti, et perpetuo viventes in luce ineffabili quæ vesperam non habet nec nocte interrumpitur, et conversantes cum sanctis a sæculo in inenarrabilibus deliciis in sinu Abrahæ ubi non est dolor, neque luctus neque gemitus. Inanimium enim spicarum una est messis, intellectualium autem, generis humani dico, unus est quem diximus messor ex incredulitate congregans ad fidem eos qui recipiunt Evangelii præcones. Cujus messis messores sunt apostoli et horum successores et pro tempore Ecclesiæ doctores. De his Christus supra dixit: « Qui metit, mercedem accipit et congregat fructus in vitam æternam. Eo enim majorem a Deo recipient remunerationem pietatis doctores, quo plures ad vitam æternam congregabunt persuasos. Alia adhuc est messis: uniuscujusque ea nobis per mortem a præsenti vita ad futuram translatio, quæ messis non apostolos sed angelos messores habet, qui aliquo modo apostolis præstant, quia post

A σματά τε καὶ ἐπιτρίμματα, ταῦτα δὲ δαπάνας ἐπιζητοῦντα, κλέπτας, πλεονέκτας, ἀδίκους, ἅρπαγας ποιεῖ τοὺς ἁλόντας. Καὶ τί δεῖ λέγειν τὰ ἐντεῦθεν μίση, τὰς ἐντεῦθεν μάχας, τὸν μυρίον ἑσμὸν τῶν ἐν τῇ ψυχῇ τῆς ἀτιμίας παθῶν καὶ λογισμῶν; Οἱ τοίνυν μὴ φυλάξαντες ἑαυτοὺς ἐκ τούτων, ἢ μὴ ἐξιλεωσάμενοι τὸν Θεὸν δι' ἐξομολογήσεως καὶ μετανοίας, ἀναστήσονται μὲν, ἀλλὰ θανάτου δεινοτέραν ὑποστήσονται ζωὴν, ὀδύνῃ καὶ θλίψει καὶ στενοχωρίᾳ, καὶ αἰσχύνῃ παραδοθέντες αἰωνίῳ, σκώληξιν ἀκοιμήτοις συνδιαιτώμενοι, καὶ σκοτεινῷ καὶ ἀσβέστῳ συγκαιόμενοι πυρὶ, ὡς καὶ ὁ προφήτης Ἡσαΐας φησὶν, ὅτι· « Ἐκκαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. » Διὸ καὶ ὁ Ἀπόστολος πρὸς Ἐφεσίους, « Τοῦτο, φησὶν, ἔστε B γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν **150** ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ· » καὶ προσασφαλισάμενος ἔτι, καὶ τοὺς ἄλλως διδάσκοντας ἐπιστομίζων ἐπάγει· « Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. » Καθάπερ καὶ Κορινθίοις ἐπιστέλλων πάλιν ὁ αὐτός φησι· « Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. »

Οἱ δὲ πιστεύοντες ὀρθῶς εἰς τὸν Κύριον ἡμῶν C Ἰησοῦν Χριστὸν, καὶ τὴν πίστιν δι' ἔργων ἐπιδεικνύμενοι, καὶ φυλάττοντες ἑαυτοὺς, ἢ καὶ δι' ἐξομολογήσεως καὶ μετανοίας καθαίροντες ἀπὸ τῶν μολυσμῶν τῶν προειρημένων ἁμαρτιῶν, καὶ τὰς ἀντιθέτους τῶν κακιῶν ἀρετὰς ἐργαζόμενοι, τὴν ἐγκράτειαν, τὴν σωφροσύνην, τὴν ἀγάπην, τὴν ἐλεημοσύνην, τὴν δικαιοσύνην, τὴν ἀλήθειαν, οὗτοι πάντες ἀναστάντες ἀκούσονται παρ' αὐτοῦ τοῦ βασιλέως τῶν οὐρανῶν· « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· » καὶ οὕτω συμβασιλεύσουσι τῷ Χριστῷ, βασιλείαν οὐράνιον καὶ ἀσάλευτον κληρονομήσαντες, καὶ ζῶντες τὸν ἀεὶ χρόνον ἐν φωτὶ ἀποῤῥήτῳ καὶ ἀνεσπέρῳ, καὶ μηδεμιᾷ ποτε νυκτὶ διακοπτομένῳ, καὶ συνδιαιτώμενοι τοῖς ἀπ' D αἰῶνος ἁγίοις ἐν ἀῤῥήτῳ τρυφῇ, ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. Ἐπὶ μὲν γὰρ τῶν ἀψύχων ἀσταχύων εἷς ἐστιν ὁ θερισμὸς, ἐπὶ δὲ τῶν λογικῶν ἀσταχύων, τοῦ γένους τῶν ἀνθρώπων λέγω, εἷς μὲν ἐστιν ὃν ἔφημεν, θερίζων ἀπὸ ἀπιστίας, καὶ συνάγων εἰς πίστιν τοὺς δεχομένους τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ τούτου τοῦ θερισμοῦ θερισταί εἰσιν οἱ τοῦ Κυρίου ἀπόστολοι, καὶ οἱ τούτων διάδοχοι, καὶ κατὰ καιροὺς οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, περὶ ὧν καὶ ἀνωτέρω εἶπεν ὁ Χριστὸς, ὅτι· « Ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· » ἀμοιβὴν γὰρ τοιαύτην λήψονται παρὰ Θεοῦ

[73-74] Isa. LXVI, 24. [75] Ephes. v, 5. [76] Ibid., 6. [77] I Cor. VI, 9. [78] Matth. XXV, 34.

Digitized by Google

καὶ οἱ τῆς εὐσεβείας διδάσκαλοι, ὡς πρὸς ζωὴν αἰ- A ώνιον τοὺς πειθομένους συνάγοντες. Ἕτερος δέ ἐστι θερισμὸς ἡ ἀπὸ τὸν ἐνταῦθα πρὸς τὸν μέλλοντα βίον ἡμῶν ἑκάστου διὰ θανάτου μετάθεσις· ὃς καὶ θεριστὰς οὐ τοὺς ἀποστόλους, ἀλλὰ τοὺς ἀγγέλους ἔχει, ἔχοντάς τι καὶ τῶν ἀποστόλων πλέον, ὅτι καὶ μετὰ τὸν θερισμὸν ἐκλέγονται, καὶ διαχωρίζουσιν, ὡς ἀπὸ σίτου τὰ ζιζάνια, τοὺς πονηροὺς ἀπὸ τῶν ἀγαθῶν· καὶ τοὺς μὲν ἀγαθοὺς προπέμπουσιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τοὺς δὲ πονηροὺς ῥίπτουσιν εἰς τὴν γέενναν τοῦ πυρός. Ἀλλὰ καὶ τούτων ἡ παράστασις ἐκ τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, διδόντος αὐτοῦ καιρὸν καὶ λόγον, ἄλλοτε δειχθήσεται. Γένοιτο δὲ ἡμᾶς, ὥσπερ νῦν ἐσμεν ἐκλεκτὸς Θεοῦ λαὸς, γένος ἱερὸν, Ἐκκλησία ζῶντος Θεοῦ κεχωρισμένη πάντων ἀσεβῶν τε καὶ δυσσεβῶν, οὕτω καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος, τῶν μὲν ζιζανίων εὑρεθῆναι κεχωρισμένους· τῇ δὲ μερίδι συνημμένους τῶν σωζομένων, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

messem eligunt et discernunt velut a tritico zizania malos a bonis, et bonos quidem conducent in regnum cœlorum, malos vero mittent in gehennam ignis. Horum exhibitio secundum Christi Evangelium, ipso tempus et verba suppeditante, alias ostendetur. Utinam et nos sicut nunc sumus electus Dei populus, gens sancta, Ecclesia Dei vivi, segregati ab omnibus impiis et irreligiosis, ita in futuro sæculo a zizaniis segregati inveniamur et salvatorum turbæ adjuncti in ipso Christo Domino nostro qui est benedictus per sæcula. Amen.

## 151 ΟΜΙΛΙΑ ΚΖ'. B

*Ἐκφωνηθεῖσα καὶ αὕτη ἐν τῷ καιρῷ τοῦ θέρους· ἐν ᾗ καὶ περὶ τοῦ μέλλοντος ἡμῖν λογικοῦ θέρους.*

« Ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν, » ὁ Κύριος ἐν Εὐαγγελίοις φησί. Τοῦτον καὶ ἡμεῖς ὑμῖν, ἀδελφοὶ, καταγγέλλομεν τὸν λόγον. Μηδεὶς οὖν ἀκοαῖς εἰσδεχέσθω τοῦτον ὡς εἰς ἀέρα λυόμενον, ἀλλ' ὡς μένοντα καὶ μέλλοντα τοῖς μὲν δι' ἔργων πειθομένοις σωτηρίαν παρέξειν, τοῖς δὲ ἀθετοῦσι, καὶ τἀναντία διὰ τῶν ἔργων ἐπιδεικνυμένοις, ἀντικαταστήσεσθαι πρὸς ἔλεγχον ἐπὶ τοῦ μέλλοντος φρικωδεστάτου βήματος ἐκείνου. Καθάπερ οὖν ἡμῶν ἕκαστος οἰκίαν καὶ συγγένειαν ἔχει, καὶ ἀγρὸν, εἰ τύχοι, καὶ ἀμπελῶνα, ἔτι δὲ καὶ ζῶα, χρήματά τε καὶ κτήματα διάφορα, οὕτως ἡμᾶς ἀντὶ πάντων C τούτων διὰ τὴν αὐτοῦ φιλανθρωπίαν ὁ Θεὸς ἡγεῖται· « Οἶκος γὰρ ἡμεῖς, φησὶν ὁ Ἀπόστολος, ἐσμὲν Θεοῦ, ἐάνπερ τὴν ὁμολογίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν· » διὰ μὲν τῆς ὁμολογίας τὴν εὐσέβειαν, διὰ δὲ τοῦ καυχήματος τῆς ἐλπίδος τὸν θεάρεστον ὑποδεικνὺς βίον· ὡς καὶ ὁ Θεὸς εἶπε διὰ τοῦ Προφήτου· « Γίνεσθε ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι. » Καὶ Ἰωάννης ὁ ἠγαπημένος τῷ Χριστῷ δείκνυσι, λέγων· « Οὔπω ἐφανερώθη τί ἐσόμεθα, οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα· καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἁγνίζει ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστιν. » Ἐσμὲν οὖν καὶ διαμένομεν οἶκος τοῦ εἰπόντος· « Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, » ἐὰν μετὰ τῆς εὐσεβείας καὶ βίον ἔχωμεν D καθαρόν. Ἐὰν δὲ πλημμελῶς καὶ ἀμετανοήτως ζῶμεν, ἀκούσομεν παρ' αὐτοῦ· « Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, » καὶ ἐγκαταλειφθησόμεθα, ἵν' εἴπω πάλιν τὸ τῆς Γραφῆς, « Ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυράτῳ, » ὅταν τοῦ καιροῦ τῆς χρείας παρῳχηκότος, μηδὲν χρηστὸν ἐναποκείμενον ἔχωσιν.

Ὅτι δὲ καθὼς συγγενεῖς ἡμᾶς ἡγεῖται ὁ Κύριος, αὐτός ἐστιν ὁ λέγων· « Ὃς ἂν ποιήσῃ τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, οὗτος καὶ ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ μού ἐστιν. » Ὁρᾶτε

## HOMILIA XXVII.

*Dicta etiam tempore messis; ubi et de futura nobis messe spirituali.*

« Sermo quem locutus sum; ille judicabit eum, » dixit Dominus in Evangeliis [79]. Hunc vobis, fratres, sermonem nos adnuntiamus. Nemo igitur eum auribus percipiat quasi in aerem solutum, sed ut manentem et salutem per opera fidem exhibentibus largiturum, spernentibus autem et contraria operibus proferentibus in crimen adversaturum in illo futuro et horribili judicio. Idcirco quemadmodum nos singuli domum et cognatos habemus, et agrum, fortassisque vitem, adhuc autem et pecora et nummos variasque divitias, ita nos pro istis omnibus propter clementiam suam ducit Deus: « Domus enim, ait Apostolus [80], Dei sumus, » si fiduciam et gloriam spei usque in finem firmam retineamus [81], modo per fiduciam pietatem, et per gloriam fidei, Deo placentem vitam proferamus, sicuti Deus per prophetam dixit: « Sancti estote, quoniam ego sanctus sum [82]. » Et Joannes Christo dilectus ostendit dicens: « Nondum apparuit quid erimus. Scimus quoniam cum apparuerit similes ei erimus; et omnis qui habet hanc spem in eo, sanctificat se, sicut et ille sanctus est [83]. » Sumus ergo et manemus domus dicentis: « Inhabitabo in illis, et inambulabo inter eos, et ero illorum Deus [84], » si piam puramque agamus vitam. Si vero non recte et sine pœnitentia vivamus, ab eo audiemus: « Ecce relinquitur domus vestra deserta [85]; » et derelinquemur, ut iterum secundum Scripturam loquar, « ut umbraculum in vinea, et sicut tugurium in cucumerario, » quæ, elapso utendi tempore, nihil boni asservatum continent.

Quod autem velut cognatos nos habeat Dominus, ipse est qui dicit: « Qui fecerit voluntatem Patris mei qui est in cœlis, hic est frater meus, et soror mea, et mater mea [86]. » Videtisne quod nobis su-

[79] Joan. XII, 48. [80] I Cor. III, 16. [81] Hebr. III, 6. [82] Levit. XI, 44. [83] I Joan. III, 2. [84] Levit. XXVI, 12; II Cor. VI, 16. [85] Matth. XXIII, 38. [86] Marc. III, 35.

Digitized by Google

blimem hanc propinquitatem procurat? Vita Deo A amica, virtutum exercitationes, conversatio secundum divina mandata habita; hæc est enim voluntas Patris altissimi. Qui autem non facit voluntatem altissimi cœlestisque Patris, tantum abest ab illa ad eum cognatione, ut etiam cum adversario Dei propinquitatem habeat. Ideo Judæis dicit Dominus: « Vos ex Patre vestro diabolo estis, et desideria ejus vultis facere [87]. » Illis autem jactantibus se esse filios Abrahæ, rursus eisdem dixit: « Si filii Abrahæ essetis, opera Abrahæ faceretis [88]. Verum Domini Sabaoth vinea est Israel, secundum Isaiam [89]; id est omnes qui pietati studuerint. Ista autem vinea accipit curam atque culturam a Deo, quando fructum affert Deo gratum; si autem spinas pro B uvis fecerit, scilicet mortis aculeos, qui sunt peccata, neglecta dimittitur et vere feris pravisque dæmonibus ad conculcandum traditur, et in ignem succendenda injicitur. Propterea Dominus discipulis suis dicens: « Ego sum vitis, vos palmites, et Pater agricola meus est, » addidit: « Omnem palmitem in me ferentem fructum, purgabit eum, ut fructum plus afferat; et omnis qui fructum non fert mittetur foras sicut palmes et arescet, et colligent eum, et in ignem mittent, et ardet [90]. » Sed quod velut gregem suum nos habeat Creator noster coryphæo coryphæi apostolorum chori dixit: « Petre, amas me? pasce agnos meos, pasce oves meas [91]. » Omnes enim nos quasi oves erravimus, et velut drachma eramus perditi a dominica manu C decidentes; sed venit pastor bonus, naturæ dominus, et nos quæsivit, invenit, salvavit, et sibimetipsi vinculo ineffabili conjunxit.

A τί τὸ προξενοῦν ἡμῖν τὴν ἀνωτάτω συγγένειαν; ὁ θεοφιλὴς βίος, ἡ ἐν ἀρεταῖς ζωή, τὸ κατὰ τὰς θείας ἐντολὰς πολιτεύεσθαι· τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ ἀνωτάτω Πατρός. Ὁ δὲ μὴ ποιῶν τὸ θέλημα τοῦ ἀνωτάτω καὶ οὐρανίου Πατρὸς τοσοῦτον ἀπέχει τῆς πρὸς αὐτὸν συγγενείας, ὡς καὶ πρὸς τὸν ἀντικείμενον ἔχειν τὴν τοῦ γένους ἀναφοράν· διὸ καὶ ὁ Κύριος τοῖς Ἰουδαίοις ἔλεγεν· « Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας αὐτοῦ θέλετε ποιεῖν. » Αὐτῶν δὲ λεγόντων εἶναι τέκνα τοῦ Ἀβραὰμ, πρὸς αὐτοὺς πάλιν ἔλεγεν· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Ἀμπελὼν δὲ Κυρίου Σαβαὼθ ὁ οἶκος Ἰσραήλ ἐστι, κατὰ τὸν Ἡσαΐαν, δηλονότι πάντες οἱ B τῆς εὐσεβείας ἐπιγνώμονες. **152** Ἀλλ' ὁ ἀμπελὼν οὗτος τυγχάνει μὲν ἐπιμελείας καὶ τῆς παρὰ τοῦ Θεοῦ κηδεμονίας, ὅταν φέρῃ καρπὸν θεοφιλῆ· ἂν δὲ ἀκάνθας ἀντὶ σταφυλῆς ποιήσῃ, τουτέστι τὰ κέντρα τοῦ θανάτου, ἅπερ εἰσὶν αἱ ἁμαρτίαι, ἀφίεται ἀτημέλητος, καὶ εἰς καταπάτημα τοῖς ὄντως θηρίοις καὶ πονηροῖς δαίμοσι προτίθεται, καὶ πυρὶ παραδίδοται εἰς καῦσιν· διὸ καὶ ὁ Κύριος πρὸς τοὺς οἰκείους μαθητὰς εἰπών· « Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα, ὁ Πατήρ μου ὁ γεωργός ἐστιν, » ἐπήγαγε· « Πᾶν κλῆμα ἐν ἐμοὶ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ· τὸ δὲ μὴ καρπὸν φέρον ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται. » Ὅτι δὲ καὶ ὡς ποίμνιον οἰ- C κεῖον ἡμᾶς ἡγεῖται ὁ ποιήσας ἡμᾶς, πρὸς τὸν κορυφαῖον τοῦ κορυφαίου χοροῦ τῶν ἀποστόλων ἔλεγε· « Πέτρε, φιλεῖς με; ποίμαινε τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου· » πάντες γὰρ ἡμεῖς ὡς πρόβατα ἐπλανήθημεν, καὶ ἀπολώλαμεν ὡς δραχμὴ, διαπεσοῦσα τῆς δεσποτικῆς χειρός· ἀλλ' ἦλθεν ὁ ποιμὴν ὁ καλὸς, ὁ φύσει δεσπότης, ἀνεζήτησεν, εὗρεν, ἔσωσεν, ἑαυτῷ συνῆψεν ἀρρήτως.

Sequamur ergo, fratres, bonum pastorem Christum qui nos ad pascua et ovilia vitæ æternæ perducit. Servemus per virtutes nostram cum eo imaginem et similitudinem, ne a vivifica manu excidamus. Fructum ei afferamus per bona opera, ut vinea Domini Sabaoth simus, recensque amatum plantarium. Faciamus voluntatem Dei bonam, et perfectam et beneplacentem, ut patrem illum ditemus. Nosmetipsos emundemus ab omni sorde carnis et spiritus, ut digne domus Dei cognominemur; D qui non modo ut vitem et domum, sed etiam ut agrum et terram seminibus gravidatam habens genus nostrum: « Simile, inquit, factum est regnum cœlorum homini qui seminavit bonum semen in agro suo; cum autem dormirent homines, venit inimicus ejus, et superseminavit zizania [92]. » Non intempestive hanc parabolam sermo in medium protulit; poterimus enim per eam debitum solvere, et adimplere promissum quod in præcedenti homilia vestræ fecimus charitati. Nam vos docens mysticam et spiritalem messem, messis quidem spiritalis quæ est infidelitatis in fidem translatio,

Ἐπώμεθα οὖν, ἀδελφοὶ, τῷ καλῷ ποιμένι Χριστῷ, πρὸς νομὰς εἰσάγοντι καὶ μάνδρας ζωῆς αἰωνίου. Φυλάξωμεν διὰ τῶν ἀρετῶν τὴν πρὸς αὐτὸν εἰκόνα τε καὶ ὁμοίωσιν, ἵνα μὴ τῆς ζωηφόρου χειρὸς ἐκπέσωμεν. Καρποφορήσωμεν αὐτῷ δι' ἔργων ἀγαθῶν, ἵνα ἀμπελὼν Κυρίου Σαβαὼθ ὦμεν, καὶ νεόφυτον ἠγαπημένον. Ποιῶμεν τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον, ἵνα πατέρα τοῦτον πλουτήσωμεν. Καθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μο- D λυσμοῦ σαρκὸς καὶ πνεύματος, ἵνα οἶκος Θεοῦ χρηματίσωμεν· ὃς οὐ μόνον ὡς ἀμπελῶνα καὶ οἶκον, ἀλλὰ καὶ ὡς ἀγρὸν οἰκεῖον καὶ κατεσπαρμένην ἄρουραν ἔχων τὸ ἡμέτερον γένος, « Ὡμοιώθη, φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ, σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ· ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν ὁ ἐχθρὸς αὐτοῦ καὶ ἔσπειρε ζιζάνια ἀνὰ μέσον τοῦ σίτου, καὶ ἀπῆλθεν. » Οὐκ ἀκαίρως δὲ ταύτην ὁ λόγος ἤνεγκεν εἰς μέσον τὴν παραβολήν· ἔνι γὰρ δι' αὐτῆς ἀποδοῦναι τὸ χρέος, καὶ πληρῶσαι τὴν ὑπόσχεσιν, ἣν ἐν τῇ πρὸ ταύτης ὁμιλίᾳ πρὸς τὴν ὑμετέραν ἀγάπην ἐποιησάμην. Διδάσκων γὰρ ὑμᾶς περὶ λογικοῦ τε καὶ πνευ-

[87] Joan. VIII, 44. [88] ibid. 39. [89] Isa. V, 7. [90] Joan. XV, 1, 2, 5. [91] Joan. XXI, 17. [92] Matth. XIII, 24.

Digitized by Google

ματικοῦ θέρους, θεριστὰς μὲν εἶναι τοῦ πνευματικοῦ θέρους, ὅ ἐστιν ἡ ἀπὸ ἀπιστίας εἰς πίστιν μετάστασις, τοὺς ἱεροὺς ἀποστόλους καὶ τοὺς αὐτῶν διαδόχους, καὶ μέχρις ἡμῶν κατὰ γενεὰς διδασκάλους τῆς εὐσεβείας. εἶπόν τε καὶ ὑπέδειξα· τοῦ δὲ λογικοῦ θέρους, ὅπερ ἐστὶν ἡ ἐνταῦθα πρὸς τὸν μέλλοντα βίον ἡμῶν ἑκάστου μετάθεσις, θεριστὰς μὲν τοὺς ἁγίους ἀγγέλους ἔφην εἶναι τοῦ Θεοῦ, καὶ πλέον ἔχειν τῶν ἀποστόλων, ὅτι καὶ μετὰ τὸν θερισμὸν ἐκλέγονται καὶ διαχωρίζουσιν, ἀνὰ μέρος μὲν τοὺς ἀγαθοὺς, ἀνὰ μέρος δὲ τοὺς πονηρούς· καὶ τοὺς μὲν ἀγαθοὺς προπέμπουσιν εἰς τὴν τοῦ Θεοῦ βασιλείαν, τοὺς δὲ πονηροὺς ῥίπτουσιν εἰς τὴν γέενναν τοῦ πυρός. Εἶπον οὖν ταῦτα πρώην, οὐκ ἔδειξα δὲ, ἀλλ' ὑπεσχέθην, τοῦ Θεοῦ καιρὸν καὶ λόγον δόντος, τὴν παράστασιν δώσειν, ἥτις ἱκανῶς ἔσται νῦν B ἀποδιδομένη διὰ τῆς τοῦ Κυρίου ταύτης παραβολῆς· « Ἰδόντες γὰρ, φησὶν, οἱ δοῦλοι τοῦ Κυρίου τὰ ζιζάνια ἐν τῷ ἀγρῷ, εἶπον τῷ Κυρίῳ· Θέλεις ἀπελθόντες συλλέξωμεν αὐτά; Ὁ δὲ εἶπεν, Οὔ, μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ τὸν δὲ σῖτον συνάγετε εἰς τὴν ἀποθήκην μου. »

Τὰ μὲν οὖν ζιζάνιά εἰσιν, ὡς καὶ ὁ Κύριός φησιν, οἱ υἱοὶ τοῦ πονηροῦ· ἐκ γὰρ τῆς ὁμοιότητος τῶν ἔργων τὸν χαρακτῆρα ἐκείνου φέροντες, σπέρματά τε αὐτοῦ καὶ υἱοποίητοι διατελοῦσιν αὐτῷ. Ὁ δὲ καιρὸς τοῦ θερισμοῦ συντέλεια τοῦ αἰῶνος τούτου ἐστίν· εἰ γὰρ καὶ πόῤῥωθεν ἤρξατο, καὶ νῦν ἐνεργεῖται διὰ τοῦ θανάτου, ἀλλὰ τότε τὸ πέρας λαμβάνει πᾶν. Οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν· οὗτοι γάρ C εἰσι, καὶ μάλιστα τηνικαῦτα, οἱ τοῦ ἐπουρανίου βασιλέως διάκονοι· « Ὥσπερ γὰρ, φησὶ, συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ κατακαίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου· ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου. » Ὁ αὐτὸς δέ ἐστι καὶ Υἱὸς τοῦ ἀνωτάτω Πατρός· « Ἀποστελεῖ οὖν οὗτος τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα[53]· » ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς μὲν Θεὸς πάντων ἐστὶ δεσπότης καὶ βασιλεὺς, οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ὑπὲρ τὸν οὐρανόν· ὡς δὲ ἄνθρωπος δι' ἡμᾶς γεγονὼς, καὶ διὰ τοῦ σταυροῦ καθελὼν τὸν δι' ἀπάτης δουλωσάμενον τὸ ἡμέτερον γένος, ἡμᾶς τε δι' ἑαυτοῦ λυτρωσάμενος, καὶ προσαγαγὼν τῷ ἰδίῳ γεννήτορι, βασιλείαν D οἰκείαν ἔχει τὸ ἀνθρώπινον γένος, μάλιστα δὲ τὴν ἐκ παντὸς γένους ἱερὰν Ἐκκλησίαν. Ἀποστελεῖ οὖν οὗτος τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ ταύτης πάντα τὰ σκάνδαλα, καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, τοὺς αἱρετικοὺς δηλονότι, καὶ τοὺς μὴ διὰ μετανοίας τῶν ἔργων ἀποστάντας τῆς ἁμαρτίας· πᾶσα γὰρ ἁμαρτία ἀνομία ἐστί· συλλέξαντες οὖν τούτους, βαλοῦσιν εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Βλέπετε, ἀδελφοὶ, θερισμὸν καὶ χωρισμὸν ὄντως φρικωδέστατον καὶ δεινότατον! Ἀληθῶς δὲ ἄρα καὶ τοὺς ἀγγέλους εἶναι τοὺς τοῦ

A messores esse sanctos apostolos eorumque successores, necnon usque ad nos per generationes pietatis doctores dixi et ostendi. Messis autem spiritalis quæ est uniuscujusque nostrum ad vitam futuram ab ista translatio, messores esse sanctos Dei angelos, hosque majora apostolis facere, quia post messem eligunt et discernunt, ex una quidem parte bonos, ex alia vero malos, et bonos quidem mittunt in regnum Dei, malos autem ejiciunt in gehennam ignis. Hæc ergo prius dixi, non autem ostendi, sed promisi, Deo tempus et sermonem dante, argumentum dare, quod proprie proponitur per illam Domini parabolam; ait enim: « Videntes servi patrisfamilias zizania in agro, dixerunt domino: Vis, imus, et colligimus ea? Et ait: Non, B ne forte colligentes zizania, eradicetis simul cum eis triticum; sed in tempore messis dicam messoribus: Colligite primum zizania, et alligate ea in fasciculos ad comburendum, triticum autem congregate in horreum meum. » τὸν σῖτον· ἐν δὲ τῷ καιρῷ τοῦ θερισμοῦ ἐρῶ δήσατε εἰς δέσμας, πρὸς **152** τὸ κατακαῦσαι,

Zizania quidem sunt, sicut Dominus dixit, filii nequam, nam cum ex operum similitudine signum ferant spiritus nequitiæ, semen ejus filiique adoptivi constant. Tempus autem messis est sæculi hujus consummatio: nam etsi prius inceperit, et jam nunc per mortem patratur, tunc tantum omnem habebit finem. Messores vero sunt angeli, hi enim C sunt et præsertim in illa hora erunt, ministri cœlestis regni. Nam: « Sicut, ait, colliguntur zizania, et igne comburuntur, sic erit in consummatione sæculi; mittet Filius hominis. » Idem vero est Filius Patris altissimi: « Mittet ergo iste angelos suos, et colligent de regno ejus omnia scandala[53]. » Dominus enim noster Jesus Christus, ut Deus quidem omnium est rex et dominus, tam cœli quam terræ et eorum quæ super cœlum sunt; sed ut homo propter nos factus cum per crucem evertetit eum qui mendacio genus nostrum fefellit, nosque a se liberatos genitori suo obtulit, proprium regnum habet genus nostrum, et in primis sanctam ex toto genere Ecclesiam. Iste ergo mittet D angelos suos, et colligent ex regno ejus omnia scandala, et eos qui faciunt iniquitatem, scilicet hæreticos et eos qui per opera pœnitentiæ a peccato non recesserunt, omne enim peccatum est iniquitas; quos igitur collectos mittent in caminum ignis, ibi erit fletus et stridor dentium. Cernite, fratres, messem et discretionem vere horrore terroreque plenam. Vere ergo angelos esse messis hujus messores, et majora apostolis facere dicebamus. Idcirco videntes servi patrisfamilias, id est, Dei angeli, zizania in agro, id est impios perversosque homines cum bonis in Ecclesia Christi degentes, et cum eis conversantes, dixerunt Domino: « Vis,

[53] Matth. XIII, 40, 41.

Digitized by Google

imus et colligimus ea? id est per mortem rapimus eos a terra? Dominus autem eis dixit: « Non, ne forte colligentes zizania eradicetis simul cum eis triticum [24]. »

A θερισμοῦ τούτου θερισταῖς, καὶ τῶν ἀποστόλων ἔχειν τι πλέον ἐλέγομεν ἡμεῖς. Ἰδόντες οὖν οἱ δοῦλοι τοῦ Κυρίου, τουτέστιν οἱ ἄγγελοι τοῦ Θεοῦ, τὰ ζιζάνια ἐν τῷ ἀγρῷ, τουτέστι τοὺς δυσσεβεῖς καὶ πονηροὺς ἀνθρώπους συνδιάγοντας μετὰ τῶν ἀγαθῶν, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, καὶ αὐτοὺς συμβιωτεύοντας, εἶπον τῷ Κυρίῳ· « Θέλεις ἀπελθόντες συλλέξωμεν αὐτά; » τουτέστι διὰ τοῦ θανάτου ἐξάρωμεν αὐτοὺς ἀπὸ τῆς γῆς; Ὁ δὲ Κύριος πρὸς αὐτοὺς εἶπεν· « Οὔ, μή ποτε συλλέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. »

Quomodo igitur, si zizania collegissent, et per mortem malos metentes eos a justis separavissent, accidisset ut triticum quod est ex hominibus boni, eradicaretur? Impii et peccatores multi, postquam cum piis et justis simul vixerint, quandoque pœnitentia convertuntur, discunt pietatem et virtutem, et ex zizaniis triticum fiunt; unde accidit ut triticum in messe cum zizaniis eradicatum fuisset, si ab angelis priusquam pœniterent, rapti essent. B Insuper multi dum sunt mali, filios prolesque bonæ voluntatis gignunt; ideo qui omnia noscit antequam fiant, noluit zizania ante tempus eradicari « Sed, ait, in tempore messis dicam messoribus: Colligite ea in fasciculos ad comburendum; triticum autem congregate in horreum meum. » Quæ consonant his quæ Dominus alibi dixit: « Intravit rex ut videret discumbentes, et vidit ibi hominem non vestitum veste nuptiali, et dixit ei: Amice, quomodo huc intrasti non habens vestem nuptialem? At ille obmutuit. Tunc dixit rex ministris: Ligatis pedibus ejus et manibus, mittite eum in tenebras exteriores; ibi erit fletus et stridor dentium [25]. » Nam quemadmodum erant cum bonis seminibus C zizania, ita ille inter bonos operibus quasi nuptiali diploide indutos discumbebat, qui contaminatam fœdamque ferebat vestem peccati; et quemadmodum ibi zizania prius alligari jubet Dominus, et deinde in ignem illum emitti, ita et in isto loco, cum dixisset: « Ligatis manibus et pedibus ejus, » postea addidit: « Mittite eum in tenebras exteriores; » et tandem adjecit quod jam illic dixerat: « Ibi erit fletus et stridor dentium, » adeo ut idem sonent gehenna ignis et tenebræ exteriores. At quare locus iste caliginis dicitur tenebræ non interiores, sed exteriores? Lux sine vespere, lux vera et æterna in qua nunc quidem sunt animæ justorum, tunc vero et cum corporibus erunt sancti, Deus est; ipse enim est sol justitiæ, a quo sole, et D luce ex eo emissa qui degunt in corruptione et injustitia sunt extrinsecus, sed hic habent spem pœnitentiæ, et vivunt hac sensibili luce gaudentes necnon jucunditate quam præbent aliæ Dei creaturæ, Deo clementer sustinente et longanimiter exspectante eorum conversionem. Qui autem his in terris non pœnituerint, tunc etiam divina exspectatione et longanimitate spoliati et voluptate quam a creaturis Dei accipiunt, sicque a Deo longe facti, ipsaque spe exuti, æternis tradentur suppliciis.

Πῶς οὖν, εἴπερ συνέλεγον αὐτοῖς τὰ ζιζάνια, εἴπερ συνεκκόπτοντες διὰ τοῦ θανάτου τοὺς πονηροὺς ἐχώριζον ἀπὸ τῶν δικαίων, συνέβαινε καὶ τὸν σῖτον, ἤτοι τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων, ἐκριζοῦσθαι; Πολλοὶ τῶν δυσσεβῶν καὶ τῶν ἁμαρτωλῶν συνδιάγοντες τοῖς εὐσεβῶς καὶ δικαίως βιοῦσι, χρόνῳ ποτὲ μεταβάλλονται τῇ μετανοίᾳ, καὶ μεταμανθάνουσι τὴν εὐσέβειαν καὶ τὴν ἀρετὴν, καὶ ἀντὶ ζιζανίων σῖτοι γίνονται· καὶ οὕτω συνέβαινεν ἐν τῇ συλλογῇ τῶν ζιζανίων συνεκριζοῦσθαι καὶ τὸν σῖτον, εἴπερ ἀνάρπαστοι παρὰ τῶν ἀγγέλων πρὸ τῆς μετανοίας ἐγένοντο. Ἀλλὰ καὶ πολλοὶ πονηροὶ ὄντες, τέκνα ἢ ἔγγονα ἀπεγέννησαν ἀγαθῆς προαιρέσεως· διὰ τοῦτο ὁ πάντα πρὶν γενέσεως εἰδὼς οὐκ ἐνέδωκεν ἐκριζωθῆναι πρὸ καιροῦ τὰ ζιζάνια· « Ἐν δὲ τῷ καιρῷ τοῦ θερισμοῦ, φησὶν, ἐρῶ τοῖς θερισταῖς· Συλλέξατε πρῶτον τὰ ζιζάνια, καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ κατακαῦσαι· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην μου. » Τοῦτό ἐστιν ἀντίκρυς, ὅπερ ἐν ἑτέρῳ φησὶν ὁ Κύριος, ὅτι· « Εἰσελθὼν ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον **154** οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, καὶ εἶπεν αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη. Τότε εἶπε τοῖς διακόνοις, Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, Ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· » ὥσπερ γὰρ ἐκεῖ συνῆσαν τοῖς ἀγαθοῖς σπέρμασι τὰ ζιζάνια, οὕτως ἐνταῦθα συνανέκειτο τοῖς τὰς ἀγαθὰς πράξεσιν ὡς νυμφικὴν διπλοΐδα περικειμένοις ὁ τὸν κατεφθαρμένον καὶ κατεσπιλωμένον φορῶν χιτῶνα τῆς ἁμαρτίας· καὶ καθάπερ ἐκεῖ τὰ ζιζάνια πρῶτον δεθῆναι κελεύει ὁ Κύριος, εἶτα εἰς τὸ πῦρ ἐκεῖνο ῥιφῆναι, οὕτω καὶ ἐνταῦθα, πρῶτον εἰπὼν, Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, εἶτά φησιν, Ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· καὶ ἐπήγαγεν ὅπερ καὶ ἐκεῖ, ὅτι ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ὥστε τὸ αὐτό ἐστι τῇ γεέννῃ τοῦ πυρὸς τὸ σκότος τὸ ἐξώτερον. Ἀλλὰ πῶς τοῦτο ἀφεγγέστερον ὂν, οὐκ ἐνδότερον σκότος λέγεται, ἀλλ' ἐξώτερον; Φῶς ἀνέσπερον καὶ ἀληθινὸν καὶ ἀΐδιον, ἐν ᾧ νῦν εἰσι τῶν δικαίων τὰ πνεύματα, τότε δὲ καὶ μετὰ σώματος οἱ ἅγιοι ἔσονται, ὁ Θεός ἐστιν· αὐτὸς γάρ ἐστιν ὁ τῆς δικαιοσύνης ἥλιος· τοῦ ἡλίου δὲ τούτου, καὶ τοῦ παρ' αὐτοῦ φωτὸς, καὶ νῦν οἱ ζῶντες ἐν ἀκαθαρσίᾳ καὶ ἀδικίᾳ ἔξω εἰσὶν, ἀλλ' ἔχουσιν ἐνταῦθα τὴν ἐλπίδα τῆς μετανοίας, καὶ ζῶσι τοῦ αἰσθητοῦ νῦν ἀπολαύοντες φωτὸς, καὶ τῆς ἀπὸ τῶν ἄλλων κτισμάτων τοῦ Θεοῦ παραμυθίας, τοῦ Θεοῦ φιλανθρώπως ἀνεχομένου,

[24] Matth. XIII, 28, 29. [25] ibid. 42.

Digitized by Google

καὶ μακροθύμως ἐκδεχομένου τὴν τούτων ἐπιστροφήν. Οἱ δὲ μὴ μετανοήσαντες ἐνταῦθα, τότε καὶ τῆς θείας ἀνοχῆς καὶ μακροθυμίας στερηθέντες, καὶ τῆς ἀπὸ τῶν αἰσθητῶν τοῦ Θεοῦ κτισμάτων ἀπολαύσεως, καὶ οὕτω τοῦ Θεοῦ πορρωτέρω γεγονότες καὶ αὐτῆς τῆς ἐλπίδος ἀπεστερημένοι, τῇ αἰωνίῳ παραδοθήσονται κολάσει.

Καὶ νῦν μὲν ἔξω τοῦ ἀληθινοῦ φωτὸς ὄντες, ἐξώτερον δὲ, καθάπερ ἔφημεν, τούτου τότε γεγονότες, καὶ τῷ ἐξωτέρῳ τοῦ ὄντος φωτὸς παραδοθέντες σκότει, καὶ τῇ ἀπαραμυθήτῳ θλίψει καὶ στενοχωρίᾳ, ὡς καὶ ὁ Ἀπόστολός φησιν, ὅτι· «Τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ δικαιοκρισίας καὶ ἀποκαλύψεως Θεοῦ.» Ὀργὴν δὲ Κυρίου τίς ὑποίσει; Τίς ὑπομενεῖ τότε τὸν ἔλεγχον καὶ τὴν αἰσχύνην ἐκείνην, ἣν ὑπέδειξεν ἡμῖν ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ διὰ τῆς παραβολῆς, λέγων πρὸς τὸν ὡς δυσειδὲς ἔνδυμα τῆς ἁμαρτίας περικείμενον· «Πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου;» τὸν κεχαριτωμένον τῆς ἀρετῆς κόσμον; κἀκεῖνος γὰρ ἐφιμώθη, μὴ ἔχων διᾶραι στόμα. Τίς ὑπομενεῖ τὴν θείαν μετ' ὀργῆς ἀπόφασιν ἐκείνην, καὶ τὴν τῶν ἀγγέλων εἰς ἐκπλήρωσιν ἐκείνης σφοδροτάτην ὁρμὴν, ἀναρπαζόντων τὸν κατάκριτον ἀπὸ τοῦ χοροῦ τῶν δικαίων, καὶ χωριζόντων ὡς τὰ ζιζάνια ἀπὸ τοῦ σίτου, καὶ δεσμούντων ἀνηλεῶς, καὶ ὠθούντων φεῦ εἰς τὴν γέενναν! Τίς ὑπομενεῖ τὸ ἐξώτερον, καὶ εἰς αἰῶνας ἀφώτιστον ἐκεῖνο σκότος, τὸν ἄπαυστον καὶ ἀπαραμύθητον ἐκ σφοδροῦ πένθους κλόνον, καὶ βρυγμὸν καὶ συγκρουσμὸν τῶν ὀδόντων; τὴν ἄληκτον καὶ ἀφόρητον ἐκ τῆς καύσεως ὀδύνην τοῦ ἀσβέστου πυρός; οἷον δὲ τὸ πῦρ ἐκεῖνο, ὃ καὶ σωμάτων ἅπτεται, καὶ τῶν ἐν σώμασιν ὄντων, καὶ τῶν οὐκ ἐν σώμασι πνευματικῶν ὀδυνῶν ἅμα καὶ παρακατέχον ἀθάνατα, δι' οὗ καὶ τὸ καθ' ἡμᾶς πῦρ ταχήσεται, κατὰ τὸ γεγραμμένον, στοιχεῖα δὲ πυρούμενα τήκεται. Ὅση δὲ τῆς ὀδύνης προσθήκη **155** τὸ τῆς ἀπολυτρώσεως ἀπροσδόκητον; Τί δὲ τὸ μηδὲ ὁρᾷν ἐν ᾗ κακοῦ κείμεθα; καὶ γὰρ ἀφώτιστον ἐκεῖνο τὸ πῦρ· οὗτος δὲ ὁ θερισμὸς ὁ αὐτός ἐστι καὶ τῇ ἅλωνι ἐκείνῃ, ἣν ὁ Χριστὸς κατέχων τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ διακαθαριεῖ, ὡς ὁ Πρόδρομος αὐτοῦ καὶ Βαπτιστὴς ἐδίδαξε· καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ· τὰς γὰρ ἀγγελικὰς δυνάμεις πτύον ἐν τῇ χειρὶ ὑπάρχον τοῦ Χριστοῦ ὁ Βαπτιστὴς ἐκάλεσε· πτύον δέ ἐστι τὸ λικμητήριον.

Ὥσπερ οὖν τοῦτο ἐν ταῖς χερσὶν ὂν τοῦ γεωργοῦ κινεῖται ὅποι ἂν καὶ ὅπως ὁ γεωργὸς θελήσῃ, οὕτω καὶ οἱ ἄγγελοι ἐν τῇ χειρὶ ὄντες καὶ τῇ ἐξουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κινοῦνται ὅποι ἂν καὶ ὅπως αὐτὸς βούληται, καὶ πληροῦσι τὸ θέλημα αὐτοῦ. Ὅπερ δὲ ἐν ἐκείνῳ τῷ θερισμῷ ἀγρὸν εἶπεν, ἅλωνα ἐνταῦθα προσεῖπεν· ἐν γὰρ τῇ ἅλωνι πάντα τὰ ἀπὸ τοῦ ἀγροῦ συναγόμενα λαμβάνουσι τὴν διάκρισιν. Ἣν δὲ συλλογὴν ἐκεῖ τῶν ζιζανίων προσέταξε γενέσθαι, κάθαρσιν ἐνταῦθα τῆς ἅλωνος ἐκάλεσε. Τὰ δὲ ζιζάνια ἄχυρον ἐνταῦθα προσηγόρευσε·

A Nunc quidem longe sunt a vero lumine, tunc vero, sicut diximus, ab eo longius fient, et exterioribus a vero lumine tenebris tradentur, et contritioni sine ullo levamine et angustiis, quemadmodum dixit Apostolus: « Benignitas, inquit, Dei ad pœnitentiam te adducit; secundum autem duritiam tuam et impœnitens cor, thesaurizas tibi iram in die iræ, et revelationis justi judicii Dei [96]. » Iram autem Domini quis sustinebit? Quis tunc sufferet vituperationem illam et confusionem quam monstravit nobis Dominus in Evangelio per parabolam dicens ad eum qui deformi indumento peccati vestiebatur: « Quomodo huc intrasti non habens vestem nuptialem [97], » B gratissimum virtutis cultum? Ille enim obmutuit non habens quo os aperiret. Quis sustinebit iratam illam Dei sententiam, et vehementissimum ad illam implendam angelorum impetum, qui condemnatum a regione justorum eripient, et segregabunt velut zizania a tritico, et sine misericordia alligatum, heu! mittent in gehennam! Quis sustinebit exteriores illas et in sæcula spissandas tenebras, et continuum et sine levamine miserandum ex vehementi mœrore tumultum, et stridorem crepitumque dentium? quis continuum et intolerabilem præ adustione ignis inexstinguibilis dolorem? quis illum ignem qui tam corpora tangit, quam spiritus sive corporibus sint uniti sive non sint, immortales cruciando amplectitur, per quem C etiam ignis noster comburetur, prout scriptum est: elementa ignis ardore tabescent. Quantum vero doloris incrementum nulla spes exemptionis! Quantum etiam ne videre quidem abyssum mali in quo jacemus? nam ignis ille lumen non emittit. Verum messis illa idem sonat ac illa area quam Christus ventilabrum habens in manu sua emundabit, sicut præcursor ejus Baptista docuit; et triticum quidem congregabit in horreo suo, paleam autem comburet igne inexstinguibili [98]. Nam angelicas potestates ventilabrum in manu Christi positum Baptista vocavit; ventilabrum autem est vannus.

Igitur quemadmodum istud in manu agricolæ [illegible]um movetur ubicunque et quandocunque D voluerit agricola, ita et angeli cum sint in manu et potestate Domini nostri Jesu Christi moventur ubicunque et quomodocunque ipse voluerit, et adimplent ejus voluntatem. At quod in illa messe agrum dixit, hic aream nominavit, etenim in area discernuntur omnia quæ in agro collecta sunt. Quod ibi zizaniorum collectionem nuncupavit, hic areæ purgationem designavit. Hic zizania paleam vocavit; zizania enim, cum levia sint et fructu vacua,

[96] Rom. ii, 4, 5. [97] Matth. xxi, 12. [98] Matth. iii, 12.

Digitized by Google

cum palea ejicit ventus. Sed aliquid etiam amplius hic per paleam indicatur, quia non solum qui vicinis bonis nocent, velut zizania eis quæ simul eradicantur noxia sunt, sed etiam qui etsi aliis nequaquam noceant, at instabiles sunt et propter sterilitatem inutiles, isti quoque igne sunt digni. Quod autem ibi caminum ignis, hic ignem vocavit inexstinguibilem, ostendens quoniam finem non habebit futurum illud supplicium manens eos qui propter virtutis defectum et libidinosam turpemque vitam paleæ et zizaniis facti sunt similes. Sed quod hic horreum dixit, ibi regnum Dei designavit dicens : « Tunc justi fulgebant sicut sol in regno Patris eorum [99]. » At quare non dixit : In regno Dei sed in regno Patris eorum ? » Ut monstraret hominem primum fieri filium Dei, et dignum qui appellet Deum patrem, et sic deinde jure constitui regni ejus hæredem. Quomodo autem fit homo Dei filius ? Per similitudinem operum, ideo Dominus Judæis dixit qui se filios Abraham jactabant : « Si filii Abraham essetis, opera Abraham faceretis [1]. » Et cum rursus dicerent : « Nos unum Patrem habemus Deum, » dixit eis : « Si Deus Pater vester esset, diligeretis utique me ; ego enim ex Deo processi et veni, vos ex patre vestro diabolo estis, et desideria patris vestri vultis facere [2]. »

A καὶ γὰρ καὶ τὰ ζιζάνια κοῦφα ὄντα, ὡς ἄκαρπα, μετὰ τοῦ ἀχύρου παρασύρει ὁ ἄνεμος. Ἴσως δὲ καί τι πλέον ἐνταῦθα διὰ τοῦ ἀχύρου αἰνίττεται, ὅτι μὴ μόνον οἱ πρὸς τοὺς ἀγαθοὺς τῶν γειτόνων ἐπιβλαβεῖς ὑπάρχοντες, καθάπερ τὰ ζιζάνια τοῖς συνεῤῥιζωμένοις, ἀλλὰ καὶ οἱ μὴ τοῖς ἄλλοις βλαβεροὶ, εὐπερίτρεπτοι δὲ καὶ καθ' ἑαυτοὺς ἀνωφελεῖς διὰ τὴν ἀκαρπίαν, καὶ οὗτοι πυρός εἰσιν ἄξιοι. Ὃ δὲ ἐκεῖ κάμινον πυρὸς, ἐνταῦθα πῦρ ἄσβεστον ὠνόμασε, δεικνὺς ὅτι ἀτελεύτητός ἐστιν ἡ μέλλουσα καὶ μένουσα κόλασις ἐκείνη, τοῖς διὰ τὴν ἀπραξίαν τῆς ἀρετῆς, καὶ τὴν ἐμπαθῆ καὶ ἐφάμαρτον ζωὴν ἀχύρῳ καὶ ζιζανίοις παρεικασθεῖσιν. Ὃ δὲ ἐνταῦθα ἀποθήκην εἶπε, βασιλείαν τοῦ Θεοῦ ἡρμήνευσεν ἐκεῖ· « Τότε γὰρ, φησὶν, οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ
B ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν. » Πῶς δὲ οὐκ εἶπεν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ἀλλ' ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν ; ἵνα δείξῃ, ὅτι πρῶτον ὁ ἄνθρωπος υἱὸς γίνεται Θεοῦ, καὶ ἄξιος τοῦ πατέρα ἐπικαλεῖσθαι τὸν Θεὸν, καὶ οὕτως ἔπειτα κληρονόμος εἰκότως καθίσταται τῆς βασιλείας αὐτοῦ. Πῶς δὲ γίνεται υἱὸς Θεοῦ ὁ ἄνθρωπος ; διὰ τῆς τῶν ἔργων ὁμοιότητος· διὸ καὶ ὁ Κύριος πρὸς τοὺς Ἰουδαίους λέγοντας, ὅτι Τέκνα τοῦ Ἀβραάμ ἐσμεν, « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, φησὶ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Καὶ πάλιν αὐτῶν λεγόντων, Ἡμεῖς ἕνα πατέρα ἔχομεν τὸν Θεὸν, εἶπε πρὸς αὐτούς· « Εἰ ὁ Θεὸς Πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας αὐτοῦ θέλετε ποιεῖν. »

Videtisne quomodo ex pravis desideriis et actibus filius diaboli fit homo, et proinde hæres ignis æterni ? Ita per bona desideria actusque bonos Deo fit similis et regni ejus hæres. Dominus patefaciens, quomodo virtus est ad Deum similitudo, « Mandatum, inquit, novum do vobis, ut diligatis invicem, sicut dilexi vos, ut et vos diligatis invicem. Si ergo ego lavi pedes vestros, Dominus et Magister, et vos debetis alter alterius lavare pedes ; exemplum dedi vobis ut quemadmodum ego feci vobis, ita et vos faciatis [3]. » Et : « Discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris [4]. Et : « Estote misericordes sicut et Pater vester misericors est [5]. » Et : « Diligite inimicos vestros ; benefacite et mutuum date, nihil inde sperantes ; et erit merces vestra multa, et eritis filii Altissimi, quia ipse benignus est super ingratos et malos [6]. » Qui ergo per charitatem aliasque virtutes similitudinem habuerit cum Deo, iste patrem per opera Deum consecutus, hæres erit regni paterni; a quo qui exciderit non solum illud amittet, sed insuper densis tradetur tenebris et igni intolerabilibus et æternis comburendi doloribus. Igitur qui erui voluerit ab illa perenni pœna, et æterni Dei regni hæres fieri, caveat ne sit zizania, semen malum et nocens, ita ut commune sit damnum tam corporibus quam animis accedentium exemplum Deo odiosum malorum operum et sermonum, neque calamus

C Ὁρᾶτε πῶς ἐκ τῶν πονηρῶν ἐπιθυμιῶν καὶ πράξεων υἱοποιεῖται ὁ ἄνθρωπος τῷ διαβόλῳ, καὶ οὕτω κληρονόμος γίνεται τοῦ αἰωνίου πυρός; Οὕτω καὶ διὰ τῶν ἀγαθῶν ἐπιθυμιῶν καὶ πράξεων ἐξομοιοῦται τῷ Θεῷ, καὶ υἱοποιεῖται τούτῳ, καὶ κληρονόμος γίνεται τῆς βασιλείας αὐτοῦ. Καὶ τοῦτο δεικνὺς ὁ Κύριος, ὡς ὁμοιότης πρὸς τὸν Θεόν ἐστιν ἡ ἀρετή· « Ἐντολὴν, φησὶ, καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους· καὶ εἰ ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ Κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας· ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. » Καὶ, « Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν
D **156** ταῖς ψυχαῖς ὑμῶν. » Καὶ, « Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. » Καὶ, « Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. » Ὁ γοῦν διὰ τῆς ἀγάπης καὶ τῶν ἄλλων ἀρετῶν πρὸς τὸν Θεὸν ἔχων τὴν ὁμοιότητα, οὗτος πατέρα διὰ τῶν ἔργων πλουτήσας τὸν Θεὸν, κληρονόμος ἔσται τῆς πατρικῆς βασιλείας· ἧς ὁ ἐκπεσὼν οὐχ ἁπλῶς ἀποτυγχάνει ταύτης, ἀλλὰ καὶ ἀφεγγεῖ παραδίδοται σκότει, ἀφορήτως καὶ ἀτελευτήτως κατακαίοντι. Ὅστις οὖν ἐθέλει ῥυσθῆ-

[99] Matth. XIII, 43. [1] Joan. VIII, 39. [2] ibid. 42, 44. [3] Joan. XIII, 34, 14. [4] Matth. XI, 29. [5] Luc. VI, 36. [6] ibid. 35.

Digitized by Google

καὶ τῆς ἀλήκτου κολάσεως ἐκείνης, καὶ τῆς ἀϊδίου τοῦ Θεοῦ βασιλείας κληρονόμος γενέσθαι, μὴ ζιζάνιον ἔστω, σπέρμα πονηρὸν καὶ βλαπτικὸν, ὡς εἶναι κοινὴ λύμη σώμασί τε καὶ ψυχαῖς τῶν ἐγγιζόντων, παράδειγμα θεομισὲς προκείμενος πονηρῶν ἔργων τε καὶ λόγων, μηδὲ καλάμη καὶ ἄχυρον, οὕτω μὲν κοῦφος, ὡς εὐρίπιστος εἶναι ταῖς τοῦ πονηροῦ πνεύματος αὔραις τε καὶ προσβολαῖς, οὕτω δὲ ἀχρεῖος, ὡς εἰς βρῶσιν παθῶν ἀλόγων καὶ δαιμόνων προκεῖσθαι· ἀλλὰ σῖτος ἔστω, πάντων τῶν ἀχρείων καὶ πονηρῶν ἔργων καὶ λόγων ἀπεχόμενος, καὶ τὰς ἀντιθέτους ἀρετὰς ἐργαζόμενος, καὶ φέρων τοὺς τῆς μετανοίας καρπούς· οὕτω γὰρ ἂν εἴη τῆς οὐρανίου ἀποθήκης ἄξιος, καὶ υἱὸς κληθείη τοῦ ἀνωτάτω Πατρὸς, καὶ εἰς τὴν ἐκείνου βασιλείαν ὡς κληρονόμος εἰσέλθοι χαίρων, τῇ θείᾳ δόξῃ περιλαμπόμενος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

palea, ita quidem levis ut rapiatur aura et impetu spiritus nequam; ita autem vilis ut in escam detur feris cupiditatibus et dæmonibus, sed sit triticum ab omni inutili et pravo opere vel sermone abstinens, virtutes contrarias exercens et producens fructus pœnitentiæ. Ita enim erit horreo cœlesti dignus, et filius vocabitur Patris altissimi, et gaudens intrabit ut hæres in regnum ejus, divina gloria splendidus, quam nos omnes consequi donetur gratia et clementia Domini nostri Jesu Christi, quem decet gloria cum æterno ejus Patre et sanctissimo necnon bono atque vivifico Spiritu nunc et semper et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ ΚΗ' (1).

*Ἐκφωνηθεῖσα κατὰ τὴν ἑορτὴν τῶν ἁγίων καὶ κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου.*

Ἡ τῶν ἁγίων ἑκάστου μνήμη, κατὰ τὴν ἑόρτιον ἐπιστᾶσα ταύτης ἡμέραν, θυμηδίας ὑπόθεσις κοινὴ καὶ δήμοις καὶ πόλεσι, καὶ πολίταις καὶ πολιτάρχαις ἐστὶ, καὶ ὠφελείας μεγίστης πρόξενος τοῖς ἑορτάζουσι πᾶσι γίνεται· «Μνήμη γὰρ δικαίου μετ' ἐγκωμίων,» ὁ σοφός φησι Σολομών. «Ἐγκωμιαζομένου δὲ δικαίου εὐφρανθήσονται λαοί.» Καθάπερ γὰρ ἐν νυκτὶ, λαμπάδος ἀναφθείσης, εἰς χρείαν καὶ ἀπόλαυσιν τῶν παρόντων πάντων φαίνει τὸ φῶς, οὕτω καὶ ὁ τῶν ἁγίων ἑκάστου θεάρεστος βίος, καὶ τὸ κατ' αὐτὸν μακάριον τέλος, καὶ ἡ διὰ τὴν τοῦ βίου καθαρότητα παρὰ Θεοῦ δεδομένη χάρις αὐτῷ, καθάπερ τις περιφανὴς πυρσὸς προαγόμενος εἰς μέσον διὰ τῆς μνήμης, κοινὴν παρέχεται τοῖς συνειλεγμένοις τὴν πνευματικὴν εὐφροσύνην καὶ τὴν ὠφέλειαν. Καὶ καθάπερ εὐφορίας **157** γενομένης ἐπὶ τῆς γῆς, οὐχ οἱ γεωργοὶ μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι τέρπονται· ἡ γὰρ ἀπὸ τῶν τῆς γῆς καρπῶν ἀπόλαυσις κοινὴ πᾶσίν ἐστιν· οὕτω καὶ ἡ πρὸς τὸν Θεὸν δι' ἀρετῆς τῶν ἁγίων καρποφορία οὐχ αὐτὸν εὐφραίνει μόνον τὸν γεωργὸν τῶν ψυχῶν, ἀλλὰ καὶ ἡμᾶς πάντας, ὡς εἰς κοινὴν τρυφὴν καὶ ἀπόλαυσιν προκειμένη τῶν ἡμετέρων ψυχῶν· ἐπεὶ καὶ ἐν τῷ βίῳ τούτῳ παρόντες πάντες οἱ ἅγιοι προτροπὴ πρὸς ἀρετὴν εἰσι πᾶσι τοῖς ἀκούουσι καὶ ὁρῶσι τούτους μετὰ συνέσεως· ἔμψυχοι γάρ εἰσιν εἰκόνες τῆς ἀρετῆς· αὐτοκίνητοι στῆλαι παντὸς καλοῦ· βίβλοι ζῶσαί τε καὶ λαλοῦσαι τὰ πρὸς ὁδηγίαν τοῦ κρείττονος· καὶ μεταστάντες τοῦ τῇδε βίου διὰ τῆς μνήμης τῶν ἐν ἐκείνοις καλῶν, ἀθάνατον ἡμῖν τὴν παρ' ἑαυτῶν συντηροῦσιν ὠφέλειαν. Ἡ δὲ μνήμη τῆς ἐκείνων ἀγαθοεργίας ἐγκώμιον ἐκείνων ἐστὶν, ἐποφειλόμενον μὲν παρ' ἡμῶν ἐκείνοις διὰ τὴν προγενεστέραν ὠφέλειαν, χρήσιμον δὲ ἡμῖν καὶ νῦν ὑπάρχον διὰ τὸ παρ' αὐτῶν καὶ νῦν ἡμῖν προσγενόμενον ὄφελος.

## HOMILIA XXVIII.

*In festo sanctorum et coryphæorum apostolorum Petri et Pauli.*

Uniuscujusque sanctorum memoria in festiva qua contigerit die, confidentiæ materiæ communis est et populis et urbibus et subjectis et principibus, necnon maximam præbet utilitatem omnibus eam celebrantibus. Nam «memoria justi cum laudibus,» sapiens ait Salomon[1], «justi autem glorificatio lætitia est populis.» Nam quemadmodum in nocte accensa lampade, in commodum et delectationem omnium præsentium fulget lumen, ita cujuslibet sanctorum vita sanctissima hujusque beatus finis, et propter vitæ integritatem gratia ipsi largita, velut fax splendida in medium per memoriam adducta communem offert convocatis spiritualem lætitiam et utilitatem; et sicuti terra uberibus messibus gaudente, non agricolæ tantum sed et omnes homines exsultant, quia a fructibus terræ communis omnibus fluit fruitio, sic sanctis propter Deum per virtutem feracibus non solus gaudet animarum cultor, sed et nos omnes, perinde ac si inde animæ nostræ communi voluptate et commoditate afficiantur. In ista quidem vita sancti sunt omnibus qui eos mente sincera audiunt et conspiciunt hortamentum ad virtutem; sunt enim animatæ virtutis imagines, mobiles omnis decoris columnæ, libri vitæ et docentes ea quæ ad melioris vitæ institutionem pertinent, et ex hac vita migrantes per memoriam eorum quæ bona patraverunt operum immortalem nobis a semetipsis servant utilitatem. Sed memoria optima eorum conversationis ipsorum est encomium a nobis illis debitum pro veteribus officiis, nobis vero perutile propter commoda ex illis ad nos rursus derivantia.

[1] Prov. x, 7.

(1) Inter eas quas edidit Matthæius nona, p. 106.

Digitized by Google

Nihil autem eorum bonis augemus, gestorum ab illis recordati; nam quomodo augebimus qui nec totius quidem eorum virtutis proponendæ capaces sumus? remunerati sunt ineffabilibus a Deo promissis mercedibus, quantum valebat natura ineffabilem offerre conversationem. Non ergo laudando augebimus eorum præmia; sed macti animo! augebimus bona ab illis ventura, ad illos velut ad faces divinitatis fulgentes nosmetipsos convertentes et virtutem bonorum operum ab illis exhibitam magis ac magis susceptam colligentes. Sed si cujuslibet sanctorum memoria, ut diximus, cum hymnis dignisque encomiis a nobis perficitur, quanto magis Petri et Pauli culminum coryphæi apostolorum chori? Qui communes patres et duces omnium sunt vocatorum a Christo apostolorum, martyrum, justorum, sacerdotum, pontificum, pastorum et doctorum, gregum et edoctorum omnium velut summi pastores et architecti communis omnium pietatis et virtutis et velut luminaria in mundo, verbum vitæ continentia, tantum illuminantia eos qui per pietatem et virtutem translucent quantum sol cætera astra vel tanquam cœli cœlorum gloriam Dei in excelsis enarrantes, tantum superantes cœlorum amplitudinem et siderum pulchritudinem et utrorumque celeritatem, ordinem et virtutem quantum ista res illustrant sensibiles; ista autem sensilia ipsa intuentes sursum ferre nequeunt ad plagas mundo et cœlis longe excelsiores. Insuper patefaciunt illum solem in quo non est mutatio et vicissitudinis obumbratio [a], et non modo sedentes in tenebris ad illum solem adducunt, sed et illos hujus luminis participes faciunt et perfecti solis soboles, ita ut ambos quando in gloria apparens manifestabitur lumen de lumine et Deus Homo Verbum, velut soles splendere videbitis. Hæc sidera hodie nobis exorta Ecclesiam illuminant. Quorum quidem conjunctio non defectionem sed luminis redundantiam operatur. Nequaquam enim aliud superne convolutum in excelsis collocatum fuit, dum inferius gyraret et subiens alterum obumbraret; nec unum quidem die, alterum nocte elucet ut ex adverso versatum in tenebris incidat, neque aliud quidem emittit, et aliud recipit lumen, ita ut utrumque vicissitudinem patiatur alio aliter lumen, accipiente secundum discriminis mensuram, sed Christi perennis fontis æterni luminis ambo æque consortes pariter consecuti sunt excelsitudinem et gloriam et splendorem. Ideo mutua horum conjunctio est connexio duplicem emittens in animas fidelium illustrationem.

Primus autem apostata qui primum hominem apostare fecit a Deo, videns illum qui crearat Adamum patrem humani generis rursus creare Petrum patrem vere fidelium, nec vidit modo, sed et illum

[a] Jac. I, 17.

A Οὐ προστίθεμεν δέ τι τοῖς ἐκείνων ἀγαθοῖς, τῶν πεπραγμένων ἐκείνοις ὑπομιμνήσκοντες· πῶς γὰρ οἵ μηδὲ τὴν ἀρετὴν ἐσμεν πᾶσαν ἐκείνων ἱκανοὶ παραστῆσαι; Καὶ γὰρ ἐφιλοτιμήσαντο ταῖς ὑπὲρ λόγον ἐπηγγελμέναις παρὰ Θεοῦ ἀμοιβαῖς, καθόσον ἡ φύσις ἐχώρει, καὶ πολιτείαν κατάλληλον, δηλονότι πάντα λόγον νικῶσαν, ἐνδείξασθαι. Οὐκ αὔξομεν οὖν τὰ τούτοις προσόντα, τούτους ἐγκωμιάζοντες, ἄπαγε! αὔξομεν δὲ τὰ παρ' ἐκείνων ἡμῖν ἀγαθὰ προσγινόμενα πρὸς ἐκείνους οἷά τινας θεοφεγγεῖς λυχνίας ἡμᾶς αὐτοὺς ἀνατείνοντες, καὶ τὴν ἐκδιδομένην ἀπ' ἐκείνων καλλοποιὸν δύναμιν συνιέντες ἐπὶ μᾶλλον καὶ προσδεχόμενοι. Εἰ δ' ἑκάστου τῶν ἁγίων ἡ μνήμη δι' ἅπερ εἴπομεν, μεθ' ὕμνων καὶ τῶν προσηκόντων ἐγκωμίων παρ' ἡμῶν ἐκτελεῖται, πόσῳ μᾶλλον Πέτρου
B καὶ Παύλου, τῆς κορυφαίας ἀκρότητος τοῦ κορυφαίου τῶν ἀποστόλων χοροῦ; Οἳ κοινοὶ πατέρες καὶ καθηγεμόνες πάντων εἰσὶ τῶν ἀπὸ Χριστοῦ καλουμένων, ἀποστόλων, μαρτύρων, ὁσίων, ἱερέων, ἱεραρχῶν, ποιμένων τε καὶ διδασκάλων, ποιμαινομένων τε καὶ διδασκομένων ἁπάντων ὡς ἀρχιποίμενες ὄντες, ἢ καὶ ἀρχιτέκτονες τῆς κοινῆς πάντων εὐσεβείας καὶ ἀρετῆς, καὶ ὡς φωστῆρες ἐν κόσμῳ ζωῆς λόγον ἐπέχοντες· τοσοῦτον ὑπερλάμποντες τοὺς ἐπ' εὐσεβείᾳ καὶ ἀρετῇ διαλάμψαντας, ὅσον τοὺς ἄλλους ἀστέρας ἥλιος, ἢ ὡς οὐρανῶν οὐρανοὶ, δόξαν τὴν ἀνωτάτω τοῦ Θεοῦ διηγούμενοι· τοσοῦτον ὑπεραίροντες οὐρανῶν τε μεγέθη, καὶ κάλλος ἀστέρων, καὶ τάχος ἀμφοτέρων, καὶ τάξιν καὶ δύναμιν, ὅσον καὶ
C τὰ ὑπὲρ αἴσθησιν οὗτοι φανεροῦσι πρὸς αὐτὰ τὰ ὑπερουράνιά τε καὶ ὑπερκόσμια, καὶ φωτίζουσι φῶς, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα· οὐ μόνον ἐξάγοντες ἀπὸ σκότους εἰς τὸ θαυμαστὸν τοῦτο φῶς, ἀλλὰ καὶ φῶς τοὺς μετασχόντας ποιοῦντες τῇ διαδόσει, καὶ τελείου φωτὸς γεννήματα, ὡς καὶ αὐτῶν ἕκαστον κατὰ τὴν μέλλουσαν ἐν δόξῃ παρουσίαν καὶ ἐπιφάνειαν τοῦ ἀρχιφώτου καὶ θεανθρώπου Λόγου λάμψειν καθάπερ ἥλιος. Τοιοῦτοι φωστῆρες μετ' ἀλλήλων ἡμῖν ἀνασχόντες σήμερον, τὴν Ἐκκλησίαν φαιδρύνουσιν· ἡ γὰρ τούτων σύνοδος οὐκ ἔκλειψιν, ἀλλὰ περιουσίαν φωτὸς ἀπεργάζεται· οὐ γὰρ ὁ μὲν ἄνω περιπολῶν ἐφ' ὕψους ἥδρασται, ὁ δὲ ὑποβέβηκεν, ἵν' ὑπελθὼν ὑποσκιάσῃ τὸν ἕτερον· οὐδ' ὁ μὲν ἡμέρας, ὁ δὲ νυκτὸς ἡγεῖται, ἵν' ἐμπέσῃ
D τῇ σκιᾷ καταντικρὺ φερόμενος· οὐδ' ὁ μὲν ἀνίησιν, ὁ δὲ προσίεται τὸ φῶς ἐκεῖθεν, ἵν' ἐντεῦθεν πάσχῃ τὴν ἀλλοίωσιν, ἄλλοτε ἄλλως τοῦ φωτισμοῦ τυγχάνων, κατὰ τὸ μέτρον τῆς διαστάσεως· ἀλλὰ Χριστοῦ τῆς ἀεννάου πηγῆς τοῦ ἀϊδίου φωτὸς ἄμφω μετασχόντες
**158** ἐπίσης, ἴσον ἐκτήσαντο καὶ τὸ ὕψος καὶ τὴν δόξαν καὶ τὴν λαμπρότητα. Διὸ καὶ ἀλληλουχία τῶν φωστήρων τούτων ἐστὶν ἡ σύνοδος, ταῖς τῶν πιστῶν ψυχαῖς διπλασίω χορηγοῦσα τὴν ἔλλαμψιν.

Ἀλλ' ὁ πρῶτος ἀποστάτης, καὶ τὸν πρῶτον ἄνθρωπον ἀποστήσας τοῦ Θεοῦ, βλέπων ἤδη τὸν πλάσαντα τὸν Ἀδὰμ πατέρα γένους ἀνθρώπων ἀναπλάττοντα Πέτρον ὕστερον πατέρα τοῦ γένους τῶν

Digitized by Google

A ὄντως θεοσεβῶν, καὶ οὐχ ὁρῶν μόνον, ἀλλὰ καὶ ἀκούσας αὐτοῦ πρὸς αὐτὸν εἰπόντος· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· » τοῦτο μαθὼν ὁ ἀρχέκακος αὐτοφθόνῳ κακίᾳ, καὶ τῷ ἀρχηγέτῃ Πέτρῳ τοῦ τῶν θεοσεβῶν γένους ἐπηρεάζει, ὡς καὶ τῷ ἀρχηγέτῃ τοῦ τῶν ἀνθρώπων γένους Ἀδὰμ ποτέ. Εἰδὼς δὲ τοῦτον συνέσει κεκοσμημένον, καὶ τῇ πρὸς Χριστὸν ἀγάπῃ πεπυρωμένον, τὴν μὲν κατὰ πρόσωπον οὐ θαῤῥεῖ προσβολήν, ἀλλ' οἷον ἐκ πλαγίου, καὶ τούτου τοῦ δεξιοῦ, πολλῷ σὺν δόλῳ κλέπτων ἅττειν παρασκευάζει τοῦτον ὑπὲρ τὸ δέον· καὶ κατὰ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, τοῦ Κυρίου πρὸς τοὺς μαθητὰς εἰπόντος· « Ταύτῃ τῇ νυκτὶ πάντες σκανδαλισθήσεσθε ἐν ἐμοί, » αὐτὸς ἀντέλεγεν ἀπειθῶν. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἑαυτὸν ὑπερετίθει, λέγων· « Κἂν εἰ πάντες B σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ· » ἐγκαταλιμπάνεται δὴ μᾶλλον τῶν ἄλλων, ὡς ὑπ' ἀλαζονείας κλαπείς, ἵνα καὶ μᾶλλον τῶν ἄλλων ταπεινωθείς, κατὰ καιρὸν ἀναφανῇ λαμπρότερος, οὐχ ὡς ὁ Ἀδὰμ πειρασθεὶς ὁμοῦ τε καὶ νικηθείς, καὶ εἰς τέλος κατενεχθείς, ἀλλὰ πειρασθεὶς μὲν καὶ παρασυρεὶς μικρόν, νικήσας δὲ τὸν πειράζοντα. Πῶς; Τῇ ἑαυτοῦ παραυτὰ καταγνώσει καὶ τῇ σφοδρᾷ λύπῃ καὶ μετανοίᾳ, καὶ τῷ δραστικῷ πρὸς ἱλασμὸν φαρμάκῳ τοῖς δάκρυσι· « Καρδίαν γάρ, φησί, συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· » καὶ ἡ κατὰ Θεὸν λύπη μετάνοιαν ἀμεταμέλητον ἀπεργάζεται πρὸς σωτηρίαν· καὶ ὁ σπείρων ἐν δάκρυσι τὴν ἱκεσίαν ἐν ἀγαλλιάσει θεριεῖ τὴν ἄφεσιν.

audivit ad hunc dicentem : « Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam [9]. » Quo audito, pessimus ille perversa malignitate Petro supremo generis fidelium capiti insidiatur sicut olim Adamo supremo generis humani capiti. Nunc ergo sciens intellectu ornatum charitate autem erga Christum vacuum, non in faciem audet aggredi, sed quasi ex obliquo et a dextris multa cum fraude lacessens urget ad violandum officium. Tempore passionis Salvatoris cum discipulis dixisset : « In ista nocte omnes vos scandalum patiemini in me, » ipse contradixit incredulus, nec solum contradixit, sed et aliis seipsum prætulit dicens : « Etsi omnes scandalizati fuerint in te, ego nunquam scandalizabor [10]. » Aliis semetipsum anteponit quasi vana sui ictus fiducia ut magis aliis humiliatus, in tempore surgat magis perspicuus, non tanquam Adam tentatus simul et superatus et in finem enccatus, sed tentatus quidem et brevi tempore devictus, mox autem de tentatore triumphans. Quomodo? Suiipsius conscientia, acerba tristitia et pœnitentia et lacrymis, idoneo ad propitiationem remedio : ait enim Psalmista : « Cor contritum et humiliatum Deus non despiciet [11]. » Et vero tristitia quæ est secundum Deum pœnitentiam ad salutem stabilem operatur ; et qui seminat in lacrymis orationem in exsultatione metet remissionem.

C Ἴδοι δ' ἄν τις αὐτὸν ἐξετάσας οὐ μόνον τὴν ἄρνησιν εἰς ἣν παρεσύρη διὰ τῆς μετανοίας καὶ τοῦ κατωδύνου πένθους ἱκανῶς ἰασάμενον, ἀλλὰ καὶ τὸ πάθος δι' ὃ μᾶλλον τῶν ἄλλων ἐγκατελείφθη, πρόῤῥιζον τῆς οἰκείας ψυχῆς ἀνασπάσαντα. Καὶ τοῦτο θέλων δεῖξαι τοῖς πᾶσιν ὁ Κύριος, μετὰ τὸ διὰ σαρκὸς ὑπὲρ ἡμῶν αὐτοῦ πάθος, καὶ τὴν ἐκ νεκρῶν τριήμερον ἔγερσιν, ταῖς νῦν ἀνεγνωσμέναις ἐν τῷ Εὐαγγελίῳ φωναῖς πρὸς τὸν Πέτρον ἐχρήσατο, λέγων πρὸς αὐτόν· « Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; » τῶν ἐμῶν δηλονότι μαθητῶν; Τοῦ δὲ ὅρα τὴν ἐπὶ τὸ ταπεινότερον μεταβολήν· ὁ γὰρ καὶ μὴ ἐρωτώμενος πρώην, ὑπερτιθεὶς τῶν ἄλλων ἑαυτόν, καὶ λέγων· Κἂν πάντες, ἀλλ' οὐκ ἐγώ, νῦν ἐρωτώμενος εἰ πλέον τῶν ἄλλων ἀγαπᾷ, τὸ μὲν ἀγαπᾷν συναινεῖ, τὸ δὲ D πλέον ἀφίησι, λέγων· « Ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. » Τί οὖν ὁ Κύριος; Ἐπειδὴ τοῦτον ἔδειξε μήτε τῆς πρὸς αὐτὸν ἀγάπης ἐκπεσόντα, καὶ τὴν ταπείνωσιν προσλαβόμενον, πληροῖ παῤῥησίᾳ τὴν ἐκ πολλοῦ πρὸς τοῦτον ἐπαγγελίαν, καί φησι πρὸς αὐτόν· « Ποίμαινε τὰ ἀρνία μου· » ὅταν μὲν γὰρ οἰκοδομὴν καλῇ τὴν τῶν εἰς αὐτὸν πιστευόντων συλλογήν, θεμέλιον αὐτὸν θήσειν ἐπαγγέλλεται· « Σὺ εἶ, λέγων, Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Ὅταν δὲ περὶ ἁλιείας ὁ λόγος ᾖ, ἁλιέα τοῦτον ἀνθρώπων ποιεῖ· « Ἀπὸ τοῦ νῦν, λέγων, ἀνθρώπους ἔσῃ ζωγρῶν· » ὅταν δὲ πρόβατα τοὺς ἑαυτοῦ **159** ποιῇ, νομέα τὸν Πέτρον ἐφίστησι. « Ποίμαινε, λέγων, τὰ ἀρνία μου, ποίμαινε τὰ πρόβατά μου. »

Videret quis eum conspiciens non tantum negationem in quam superatus illapsus erat, per pœnitentiam dolorosumque mœrorem sufficienter sanavisse, sed etiam arrogantiæ vitium quo sese aliis prætulerat, longe ab anima amovisse. Quod cum Dominus vellet omnibus ostendere, postquam in carne pro nobis passus fuisset et tertia die a mortuis resurrexisset, hodie relatis in Evangelio vocibus ad Petrum usus est, dicens ad eum : « Simon Joannis, amas me plus his? » meis scilicet discipulis? Hujus autem perspice ad humilitatem conversionem. Prius enim etsi non interrogatus semetipsum cæteris anteposuerat dicens : « Etsi omnes, sed non ego, » nunc interrogatus an plus aliis amet, quantum ad amorem assentitur, illud vero plus omittit dicens : « Etiam, Domine, tu scis quia amo te. » Quid ergo Dominus? Nunc cum monstravit Petrum non a charitate erga illum excidisse et humilitatem concepisse, aperte implet quod jam pridem ad eum nuntiaverat, et ait illi : « Pasce agnos meos. » Si enim ædificationem vocat collectionem credentium in ipsum, fundamentum illum promittit se positurum. Si de piscatione sit sermo, piscatorem hominum illum facit dicens : « Ex nunc eris hominum piscator. » Si vero suos gregem nominat, pastorem Petrum præfecit : « Pasce, inquit, agnos meos, pasce oves meas [12]. »

[9] Matth. XVI, 18. [10] Matth. XXVI, 33. [11] Psal. L, 19. [12] Joan. XXI, 15 seqq.

Digitized by Google

Hic, fratres, consideremus quanto desiderio desiderat Dominus nostram salutem; tanto enim ut nihil aliud a diligentibus se flagitet quam ut nos deducant in pascua stabulaque salutaria. Igitur desideremus et nos salutem nostram, et verbo et opere nos ad illam peragentibus obediamus. Sufficit enim quemque ex nobis pulsare ad portam quæ ducit ad salutem, et statim aderit dux a communi Salvatore præparatus, stans in procinctu propter nimiam charitatem quasi a semetipsos invitatus, seu potius nulla indigens invitatione. Ter interrogat ut ter respondens bonam confessionem Petrus confiteatur, et per trinam confessionem trinam negationem corrigat. Ter illum præficit agnis et ovibus Petro supponens tres salvandorum ordines: servos, mercenarios, et filios, seu virginitatem, castam viduitatem et honorabile conjugium.

Συνορᾷν δέ ἐστιν, ἀδελφοί, κἀντεῦθεν, ἐφόσον ποθεῖ τὴν ἡμετέραν σωτηρίαν ὁ Κύριος· ἐπὶ τοσοῦτον γάρ, ὡς καὶ παρὰ τῶν ἀγαπώντων αὐτὸν μηδὲν ἄλλο ζητεῖν, ἢ τὸ ποδηγεῖν ἡμᾶς πρὸς νομὴν καὶ μάνδραν σωτήριον. Ποθήσωμεν οὖν καὶ ἡμεῖς τὴν ἡμῶν σωτηρίαν, καὶ τοῖς ἔργῳ καὶ λόγῳ πρὸς αὐτὴν ἐνάγουσιν ὑπακούσωμεν· ἐθελῆσαι γὰρ δεῖ μόνον ἡμῶν ἕκαστον ἅψασθαι τῆς πρὸς σωτηρίαν φερούσης, καὶ ὁ καθηγητὴς ἐφέστηκε παρὰ τοῦ κοινοῦ Σωτῆρος ἡτοιμασμένος, καὶ ὁ τῆς σωτηρίας χορηγὸς διὰ φιλανθρωπίας ὑπερβολὴν ἑτοιμότατος ὡς αὐτόκλητος, μᾶλλον δὲ αὐτοπαράκλητος ὤν. Τρὶς δὲ ἐρωτᾷ, ἵνα καὶ τρὶς ἀποκρινάμενος τὴν καλὴν ὁμολογίαν ὁμολογήσῃ· καὶ διὰ τοῦ τριττοῦ τῆς ὁμολογίας τὸ τριττὸν τῆς ἀρνήσεως ἐξιάσηται· καὶ τρὶς ἐφίστησι τοῦτον τοῖς οἰκείοις ἀρνίοις τε καὶ προβάτοις, ὑποτιθεὶς τῷ Πέτρῳ καὶ τὰς τρεῖς τάξεις τῶν σωζομένων, δουλείαν, μισθαρνίαν, υἱότητα· ἢ παρθενίαν, σώφρονα χηρείαν, καὶ γάμον τίμιον.

Petrus autem iterum atque iterum interrogatus an Christum diligat, contristatus est ex repetita interrogatione sibi fidem non dari cogitans. Sciens vero se amantem, nec ignorans quia magis ab interrogante quam a seipso cognoscitur, quasi utrinque coarctatus, non modo se amare confitetur, sed et a se amatum prædicat rerum omnium Deum dicens: « Domine, tu omnia nosti, tu scis quia amo te. » Omnia enim scire solius est rerum omnium Dei. Dominus vero talis confessionis auctorem non solum constituit pastorem et summum pastorem totius Ecclesiæ suæ, sed etiam tanta virtute illum esse præcingendum ut usque ad mortem, mortem autem crucis firmiter staret, qui pro ista fortitudine nec unius puellæ interrogationem et loquelam ferre potuerat. « Amen, amen dico tibi, inquit ad eum, cum esses junior et corporali et spiritali juventute cingebas te, » id est, propria utebaris virtute, « et ambulabas ubi volebas, » cum sponte motus esses et viveres secundum naturalem tuam electionem; « cum autem senueris, » ultimum consecutus tum corporalis tum spiritalis juventutis, « extendes manus tuas, » his verbis significans eum per crucem interiturum, quam non invitum consensurum esse testatur. « Extendes ergo manus tuas, et alius te cinget, » hoc est roborabit « et ducet quo tu non vis [13], » ex hominum numero educens, quia natura horret asu a per mortem dissolutione; quibus ostendit naturam nostram vitam appetere, et Petri martyrium super ejusdem vires stare. Illa enim, ait, libens tolerabis propter me, et propter meum testimonium a me roboratus quæ supra naturam posita natura non nata est appetere.

Ἀλλ' ὁ Πέτρος πάλιν καὶ πάλιν εἰ φιλεῖ τὸν Χριστὸν ἐρωτώμενος, ἐλυπήθη, φησίν, ἐκ τοῦ πολλάκις ἐρωτᾶσθαι, μὴ πιστεύεσθαι νομίσας. Εἰδὼς δὲ ἑαυτὸν ἀγαπῶντα, καὶ μηδὲ τοῦτο ἀγνοῶν ὅτι γινώσκεται παρὰ τοῦ ἐρωτῶντος μᾶλλον ἢ αὐτὸς παρ' ἑαυτοῦ, πανταχόθεν οἷον συνεσφιγμένος, οὐχ ὁμολογεῖ φιλεῖν μόνον, ἀλλὰ καὶ τὸν παρ' αὐτοῦ φιλούμενον αὐτὸν εἶναι κηρύττει τὸν ἐπὶ πάντων Θεόν, λέγων· « Σύ, Κύριε, πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε· » τὸ γὰρ πάντα εἰδέναι μόνου τοῦ ἐπὶ πάντων Θεοῦ. Ὁ δὲ Κύριος, ταύτην τὴν ὁμολογίαν ἐκ ψυχῆς ποιησάμενον, οὐ μόνον χειροτονεῖ ποιμένα καὶ ἀρχιποιμένα πάσης τῆς κατ' αὐτὸν Ἐκκλησίας, ἀλλὰ καὶ τοσαύτην ἐπαγγέλλεται περιζώσειν αὐτὸν ἰσχύν, ὡς καὶ μέχρι θανάτου, καὶ θανάτου σταυροῦ διακαρτερήσει, τὸν πρὸ τῆς ἐνισχύσεως ταύτης μηδὲ πρὸς ἑνὸς κορασίου πεῦσιν καὶ λαλιὰν ἀντισχόντα, « Ἀμὴν ἀμὴν λέγω σοι, πρὸς αὐτὸν εἰπών, ὅτε ἧς νεώτερος καὶ τὴν σωματικὴν καὶ τὴν πνευματικὴν ἡλικίαν, ἐζώννυες σεαυτὸν », τουτέστιν ἐχρῶ τῇ σεαυτοῦ δυνάμει, « καὶ περιεπάτεις ὅπου ἤθελες, » αὐτοκίνητος ὤν, καὶ κατὰ τὴν φύσει προσοῦσάν σοι προαίρεσιν ζῶν· « ὅταν δὲ γηράσῃς, » εἰς ἄκρον φθάσας καὶ τῆς σωματικῆς καὶ τῆς πνευματικῆς ἡλικίας, « ἐκτενεῖς τὰς χεῖράς σου, » τὸ διὰ σταυροῦ τέλος ὑπογράφει διὰ τούτων τῶν λόγων, καὶ τὴν ἐπ' αὐτοῦ τάσιν οὐκ ἀκούσιον ἔσεσθαι τῷ Πέτρῳ μαρτυρεῖ. « Ἐκτενεῖς οὖν αὐτὸς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, » δηλονότι ἐνδυναμώσει, « καὶ οἴσει ὅπου οὐ θέλεις, » ἐξ ἀνθρώπων ποιήσας· ἐπειδήπερ ἡ φύσις οὐ θέλει τὴν οἰκείαν διὰ θανάτου διάλυσιν· τὴν γὰρ τῆς ἡμετέρας φύσεως ἐνταῦθα πρὸς τὸ ζῆν σχέσιν δείκνυσι καὶ τὸ ὑπερφυὲς τοῦ Πέτρου μαρτύριον· ἐκεῖνα γάρ, φησί, καρτερήσεις ἑκὼν δι' ἐμὲ καὶ τὴν ἐμὴν μαρτυρίαν ὑπ' ἐμοῦ δυναμούμενος, ἅπερ ὑπὲρ φύσιν ὄντα θέλειν ἡ φύσις οὐ πέφυκεν.

Sed talis est Petrus ut vix a paucis cognoscatur. Paulus autem quæ lingua seu potius quam multæ et doctæ ejus propter Christum perseverantiam us-

Ἀλλὰ τοιοῦτος μὲν ὁ Πέτρος, ὡς ἐξ ὀλίγων γνωρίσαι. Τί δὲ ὁ Παῦλος, καὶ ποία γλῶσσα, μᾶλλον δὲ ποῖαι καὶ πόσαι τὴν ἐκείνου διὰ Χριστὸν μέχρι θανά-

[13] Joan. xxi, 18.

A του καρτερίαν καὶ μετρίως παραστῆσαι δυνήσονται; Ὃς καθημέραν ἦν ἀποθνήσκων, μᾶλλον δὲ ἀεὶ τεθνηκὼς διετέλει, ζῶν αὐτὸς οὐκέτι, καθάπερ αὐτός φησιν, ἀλλὰ ζῶντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστόν. Ὑπὲρ δὲ τῆς ἀγάπης τοῦ Χριστοῦ μὴ μόνον τὰ παρόντα σκύβαλα ἡγήσατο πάντα, ἀλλὰ καὶ τὰ μέλλοντα δεύτερα τίθεται συγκρίνων πρὸς αὐτόν· «Πέπεισμαι γάρ, φησίν, ὡς οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος δυνήσεται ἡμᾶς χωρίσαι τῆς ἀγάπης τοῦ **160** Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ.» Ζῆλον δὲ εἶχε Θεοῦ, ὡς καὶ ζηλοῦν ἡμᾶς Θεοῦ ζήλῳ. Καὶ τίνι τῶν ἁπάντων, ἢ μόνῳ Πέτρῳ παραχωρήσει τῶν ἴσων; Τὴν δὲ ταπείνωσιν οἷος, αὐτοῦ πάλιν ἄκουσον περὶ ἑαυτοῦ λέγοντος· «Ἐγώ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος.» B Τί οὖν ἐπειδήπερ ὁ αὐτός ἐστι τῷ Πέτρῳ τὴν ὁμολογίαν, τὸν ζῆλον, τὴν ταπείνωσιν, τὴν ἀγάπην, ἆρ' οὐχὶ καὶ τῶν αὐτῶν ἔτυχεν ἐπάθλων παρὰ τοῦ πάντα ἐν ζυγῷ καὶ μέτρῳ καὶ σταθμῷ τιθέντος δικαιοτάτῳ; Καὶ πῶς ἂν ἔχοι λόγον; Διὰ τοῦτο Πέτρῳ μέν φησι· «Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν·» περὶ δὲ Παύλου τί φησι πρὸς τὸν Ἀνανίαν; «Σκεῦος οὗτος ἐκλογῆς μοί ἐστι, τοῦ βαστάζαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων.» Ποῖον ὄνομα; πάντως τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, ἣν ὡς θεμέλιος ὁ Πέτρος βαστάζει. Ὁρᾶτε Πέτρου καὶ Παύλου τὸ περιφανὲς καὶ ὁμότιμον ὅσον, καὶ ὡς ὑπ' ἀμφοτέρων ἡ τοῦ Χριστοῦ Ἐκκλησία βαστάζεται; C Διὰ τοῦτο καὶ αὕτη νῦν μίαν καὶ τὴν αὐτὴν ἀμφοτέροις νέμει τιμήν, ὁμοτίμως ἀλλήλοις συνεορτάζουσα σήμερον.

Ἀλλ' ἡμεῖς ἀναθεωροῦντες τούτων τὴν ἔκβασιν, μιμησώμεθα τὴν ἀναστροφήν, κἂν εἰ μὴ τἆλλα, τήν γοῦν ἐκ ταπεινώσεως καὶ μετανοίας διόρθωσιν. Τὰ μὲν γὰρ ἄλλα μεγάλα καὶ ὑψηλὰ καὶ μεγάλοις προσήκοντα, καὶ μεγάλοις πρὸς μίμησιν ἥκοντα, ἴσως ἔστιν ἃ καὶ τοῖς πᾶσι τὸ παράπαν ἀμίμητα· ἡ δ' ἐκ μετανοίας διόρθωσις ἡμῖν μᾶλλον ἢ ἐκείνοις προσῆκεν, ὅσῳ καὶ τῆς ἡμέρας ἑκάστης πολλὰ πταίομεν ἕκαστος, καὶ οὐδαμόθεν ἄλλοθεν ἡμῖν ἐλπὶς σωτηρίας, εἰ μὴ ταύτην διὰ τῆς διηνεκοῦς μετανοίας ἐπισπασόμεθα. Προηγεῖται δὲ τῆς μετανοίας ἡ ἐπίγνωσις τῶν οἰκείων πταισμάτων, ἥτις μεγάλη ἐστὶ πρὸς ἱλασμὸν ἀφορμή· «Ἐλέησόν με γάρ,» φησὶ D πρὸς τὸν Θεὸν ὁ ψαλμῳδὸς Προφήτης· «ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω·» διὰ τῆς ἐπιγνώσεως ἕλκων τὸν ἔλεον, καὶ δι' ἐξαγορεύσεως καὶ τῆς αὐτομεμψίας τελείαν τὴν ἄφεσιν κομιζόμενος. «Εἶπα γάρ, φησίν, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου.» Τῇ γὰρ ἐπιγνώσει τῶν οἰκείων ἁμαρτημάτων ἕπεται ἡ οἰκεία κατάγνωσις· ταύτῃ δὲ ἡ ἐπὶ τοῖς ἁμαρτήμασι λύπη, ἣν ὁ Παῦλος κατὰ Θεὸν προσηγόρευσε. Τῇ δὲ κατὰ Θεὸν λύπῃ ταύτῃ πέφυκεν ἀκολουθεῖν ἡ μετὰ συντετριμμένης καρδίας πρὸς τὸν Θεὸν ἐξαγόρευσίς τε καὶ δέησις, καὶ ἡ ὑπόσχεσις τῆς εἰς τὸ ἑξῆς τῶν κακιῶν ἀποχῆς, καὶ τοῦτό ἐστιν ἡ μετάνοια.

que ad mortem composite possent explanare, qui quotidie moriebatur, potius vero semper mortuus vivebat, ipse jam non vivens, sicut ipse dixit, sed viventem habens in seipso Christum. Præ charitate Christi, nonsolum omnia arbitrabatur ut stercora, sed et futura loco ponit posteriore ad charitatem comparata: «Certus sum, inquit, quia neque mors, neque vita, neque præsentia, neque futura neque altitudo neque profundum poterit nos separare a charitate Dei quæ est in Christo Jesu [14].» Zelum Dei habuit ita ut nos zelare faciat zelum Dei. Et cui ex omnibus nisi soli Petro cessit æqualibus? Sed qualis in humilitate? Eum rursus audiamus de seipso dicentem: «Ego sum minimus apostolorum qui non sum dignus vocari apostolus [15].» Quid adhuc? postquam idem ac Petrus fuerit in confessione, in zelo, in humilitate, in charitate, numquid non eadem suscepit præmia ab eo qui omnia in jugo et mensura et pondere ponit æquissimo? Quomodo æqualis? Petro quidem dixit: «Tu es Petrus, et super hanc Petram ædificabo Ecclesiam meam [16].» De Paulo autem quid dixit ad Ananiam? «Vas electionis hic est mihi ad portandum nomen meum coram gentibus et regibus [17].» Quodnam nomen? Sane quod cognominatum est pro nobis Ecclesia Christi, quam quasi fundamentum Petrus portat. Videtisne Petrum et Paulum et honore pares et quomodo ab utroque Ecclesia Christi portatur? Propterea ipsa nunc unum et eumdem ambobus honorem tribuit, cum in laudem utriusque hanc diem festam concelebrat.

Nos vero, horum errores intuiti, imitemur, nisi cætera, saltem eorum per humilitatem et per pœnitentiam correctionem. Alia enim magna et excelsa et magnanimis consentanea et quæ ad imitationem incitant; item sunt alia supra omnium imitationem posita, sed correctio per pœnitentiam nos magis quam illis decet qui singulis diebus multoties offendimus, ita ut nulla sit ex quacunque parte spes nobis nisi quam per continuam pœnitentiam consequemur. Porro præit pœnitentiæ conscientia propriorum peccatorum, qui est magnus ad pœnitentiam gressus. Ait enim Propheta, idem et Psalmista ad Deum: «Miserere mei quoniam iniquitatem meam cognosco [18].» Per conscientiam pergit ad misericordiam, et per confessionem suique ipsius vituperationem plenam accipit remissionem. Nam: «Dixi enim, inquit, confitebor adversum me injustitiam meam Domino, et tu remisisti impietatem cordis mei [19].» Suorum conscientiam peccatorum sequitur sui ipsius reprehensio; hanc deinde peccatis tristitia, quam Paulus secundum Deum nuncupavit. Ex hac secundum Deum tristitia nascitur cordis contriti ad Deum confessio et supplicatio, cum promissione posthæc a malis abstinendi: et hoc est pœnitentia.

[14] Rom. VIII, 39. [15] I Cor. XV, 9. [16] Matth. XVI, 18. [17] Act. IX, 15. [18] Psal. L, 1, 2. [19] Psal. XXXI, 5.



Digitized by Google

A Propterea Manasses quidem ille ereptus est a pœnis peccatis debitis, licet multiplicium delictorum gravitate et abysso obrutus, et in istis per multos annorum ordines conversatus. Davidi autem non tantum dimisit propter pœnitentiam Dominus peccatum, sed et prophetica gratia eum non spoliavit. Hac igitur Petrus peracta pœnitentia non tantum surrexit a lapsu, et remissionem obtinuit, sed et Ecclesiæ Christi principatum sortitus est. Illam adhuc amplectentem invenies Paulum etiam post conversionem et emendationem et obtentam ad Deum super omnes familiaritatem. Pœnitentia enim, si vera et ex corde sincero nascitur, inducit pœnitentem ut amplius perditis moribus non adhæreat nec voluptatibus fœdis inserviat, sed præsentia contemnat, B futura exspectet, libidinibus resistat, virtutes sectetur, omnibus se superiorem præstet, in orationibus ad Deum vigilet, ab injustis lucris abstineat, suis indulgens offensoribus, supplicantibus clemens, petentibus ab eo adjutorium, qua potest, verbis, operibus, sumptibus auxiliandis paratus, ex animo omnibus submissus ut benignitate benignitatem consequatur, et mercedem suæ erga proximum charitatis Dei amicitiam suscipiat, et divinam acquirat benevolentiam et æternam obtineat misericordiam cum perenni Dei benedictione et gratia; quam nobis omnibus consequi donetur gratia unigeniti Filii Dei, cui gloria, virtus, honor et adoratio cum æterno ejus Patre et bono et sanctissimo et vivificante Spiritu, nunc et semper, et in sæcula sæculo- C rum. Amen.

Καὶ διὰ τούτου Μανασσῆς μὲν ἐκεῖνος ἐῤῥύσθη τῆς ἐφ' ἁμαρτήμασι δίκης, καίτοι πλήθει καὶ μεγέθει καὶ βάθει παραπτωμάτων ἐμπεσὼν, καὶ τούτοις ἐπὶ πολλὰς ἐνιαυτῶν περιόδους ἐγκαλινδούμενος. Τοῦ δὲ Δαβὶδ οὐ μόνον ἀφεῖλε διὰ τὴν μετάνοιαν ὁ Κύριος τὸ ἁμάρτημα, ἀλλὰ καὶ τὴν προφητικὴν οὐκ ἀφεῖλε χάριν. Ταύτῃ καὶ ὁ Πέτρος χρησάμενος, οὐ μόνον τοῦ πτώματος ἀπανέστη, καὶ τῆς ἀφέσεως ἔτυχεν, ἀλλὰ καὶ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τὴν προστασίαν κεκλήρωται. Ταύτης καὶ τὸν Παῦλον εὑρήσεις ἀντιποιούμενον, καὶ μετὰ τὴν ἐπιστροφὴν καὶ τὴν προκοπὴν, καὶ τὴν πρὸς τὸν Θεὸν ὑπὲρ τοὺς ἄλλους οἰκείωσιν· ἡ γὰρ μετάνοια εἴπερ ἀληθῶς ἐκ καρδίας ἐστὶν, ἀναπείθει τὸν κεκτημένον μηκέτι προστιθέναι ταῖς ἁμαρτίαις, μηκέτι προστετηκέναι τοῖς φθειρομένοις, μηκέτι προσκεχηνέναι ταῖς οὐ καλαῖς ἡδοναῖς, ἀλλὰ **161** καταφρονεῖν τῶν παρόντων, ἀντέχεσθαι τῶν μελλόντων, ἀγωνίζεσθαι κατὰ τῶν παθῶν, ἀντιποιεῖσθαι τῶν ἀρετῶν, ἐγκρατεύεσθαι πάντα, ἐπαγρυπνεῖν ταῖς πρὸς Θεὸν δεήσεσιν, ἀπέχεσθαι τοῦ ἐξ ἀδικίας κέρδους, ἵλεων εἶναι τοῖς αὐτῷ πταίουσι, τοῖς ἱκετεύουσιν εὐμενῆ, τοῖς δεομένοις τῆς παρ' αὐτοῦ βοηθείας, οἷς ἔχει, λόγοις, ἔργοις, ἀναλώμασιν ἑτοιμότατον, ἐκ ψυχῆς πᾶσιν ἐπικαμπτόμενον, ἵνα τῷ φιλανθρώπῳ τὸ φιλάνθρωπον κτήσηται, καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης τὴν ἐκ Θεοῦ ἀντιλάβῃ, καὶ πρὸς ἑαυτὸν ἐπισπάσῃ τὴν θείαν εὐμένειαν, καὶ τύχῃ τοῦ αἰωνίου ἐλέους, καὶ τῆς διαιωνιζούσης θείας εὐλογίας καὶ χάριτος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXIX.

*Super sanationem paralytici in Capharnaum secundum evangelistam Matthæum; et de tristitia secundum Deum.*

Ex multis locis didicimus vocem evangelicam mellis favo comparari; spiritualis enim animarum sponsi et speciosi præ filiis hominum guttur, sicut in Canticis scriptum est, suavissimum est et totum D desiderabile [20]. Ad desponsandam per spiritum sapientiæ et incorruptionis huic sponso animam, Canticorum egregius scriptor sic loquitur: « Favum distillant labra tua, sponsa; mel et lac sub lingua tua [21]. » Sic omnes sane sunt evangelistæ quorum sermo fert historiam favo assimilandam, in qua includitur, imo offertur doctrina moralis melli lactique similis conveniensque non modo perfectis, sed et imperfectis et debilibus quasi lac quoddam spirituale. Distillare ait, non scaturire abundanter labia sponsæ spiritualis; respicit enim ad immensam spiritualis sponsi sapientiæ potentiæque abyssum, et ad multitudinem mirabilium ejusdem

## ΟΜΙΛΙΑ ΚΘʹ.

*Ὑπόθεσιν ἔχουσα τὸν κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον ἐν Καπερναοὺμ ἰαθέντα παράλυτον· ἐν ᾗ καὶ περὶ τῆς κατὰ Θεὸν λύπης.*

Μελισσείῳ ἐοικέναι τὴν εὐαγγελικὴν φωνὴν πολλαχόθεν ἔστι μαθεῖν· τοῦ μὲν γὰρ νοητοῦ τῶν ψυχῶν νυμφίου, τοῦ κάλλει ὡραίου παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὁ λάρυγξ, κατὰ τὸ ἐν ᾄσματι γεγραμμένον, γλυκασμός ἐστι καὶ ὅλος ἐπιθυμία. Πρὸς δὲ τὴν νυμφευθεῖσαν τούτῳ ψυχὴν διὰ τοῦ τῆς σοφίας καὶ τῆς ἀφθαρσίας πνεύματος ὁ αὐτὸς ᾀσματογράφος φησί· « Κηρίον ἀποστάζουσι χείλη σου νύμφη, μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου. » Τοιοῦτοι δὲ πάντως οἱ εὐαγγελισταὶ πάντες, ὧν ὁ λόγος ἀναλογοῦσαν μὲν κηρίῳ φέρει τὴν ἱστορίαν, μέλιτι δὲ καὶ γάλακτι τὴν ἐναποκειμένην, ἢ καὶ φανερῶς προκειμένην ἠθικωτέραν διάνοιαν, κατάλληλον οὖσαν οὐ τοῖς τελείοις μόνον, ἀλλ' ἔστιν ὡς καὶ τοῖς ἀτελέσιν ὡς γάλα πνευματικόν. Στάζειν δὲ εἶπεν, ἀλλ' οὐ πηγάζειν δαψιλῶς τὰ τῆς πνευματικῆς νύμφης χείλη, πρὸς τὸν ἀπερίληπτον βυθὸν

[20] Cant. v, 16. [21] Cant. iv, 11.

Digitized by Google

θρῶν τῆς τοῦ νυμφίου ἐκείνου σοφίας τε καὶ δυνάμεως, καὶ τῶν ἐκ τοιαύτης σοφίας τε καὶ δυνάμεως γεγονότων τὸ πλῆθος· « Ἃ γὰρ ἐποίησεν ὁ Ἰησοῦς, ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία, » ὁ θεολογικώτατος τῶν εὐαγγελιστῶν φησι. Πρὸς ἡμᾶς δὲ ὅμως βυθός ἐστι καὶ ὁ σταλαγμὸς οὗτος, καὶ πέλαγος ἀνεξάντλητον· διὸ εἰ καὶ τὸ κατὰ τὸν παράλυτον θαῦμα, φθάσαντες, ἡνίκα ὁ Μάρκος εὐηγγελίζετο τῇ Ἐκκλησίᾳ, διευκρινήσαμεν πρὸς τὴν ὑμετέραν ἀγάπην, καὶ διὰ τῆς ἐν ἐκείνῳ χάριτος ἐθρέψαμεν τὰς ὑμετέρας ψυχὰς, ἀλλὰ καὶ νῦν ἱστορούμενον τοῦτο παρὰ τοῦ εὐαγγελιστοῦ Ματθαίου διερευνώμενοι, πολὺν αὖθις εὑρήσομεν ἐν αὐτῷ τὸν πλοῦτον τῶν πνευματικῶν ἐδεσμάτων· μᾶλλον δὲ τοῦ ἐναποκειμένου πλούτου μικρόν τι καὶ νῦν ἐκκαλύψομεν· καὶ τὸ μικρὸν **162** τοῦτο πᾶσιν ἀρκέσει καὶ πλεονάσει κατὰ τοὺς ἄρτους ἐκείνους, δι' ὧν ὁ Κύριος τὰς μυριάδας ἐν τῇ ἐρήμῳ ἐξέθρεψεν, αὖξον ἐν τῷ μερίζεσθαι. Τότε μὲν οὖν πρότερον τὸ μέλι σὺν τῷ κηρίῳ παρέβαλλον ὑμῖν εἰς τροφὴν, μετὰ τῆς ἐμφαινομένης λεπτοτέρας καὶ ἠθικωτέρας ἐννοίας καὶ τὴν ἱστορίαν διατρανῶν· νῦν δὲ τοῦ μέλιτος ἐκθλίψας ὅσον ὁ καιρὸς δίδωσι, διὰ τούτου δεξιώσομαι τοὺς συνειλεγμένους πρὸς τὴν πνευματικὴν ἑστίασιν σήμερον.

« Τῷ καιρῷ ἐκείνῳ ἐμβὰς ὁ Ἰησοῦς εἰς πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν· καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον. » Ἐκεῖ μὲν οὖν πρότερον ἐδείξαμεν τὸν παραλυτικὸν τοῦτον μὴ τὸν αὐτὸν ὄντα τῷ ἐν Ἱεροσολύμοις, κατὰ τὸν Ἰωάννην, λαβόντι τὴν ἴασιν, καὶ ἰδίαν πόλιν Ἰησοῦ τὴν Καπερναοὺμ λεγομένην, καὶ διατί μόνη τῶν ἄλλων αὕτη πόλις αὐτοῦ καλεῖται· ἀλλὰ καὶ τοῦ ἐναποκειμένου μέλιτος γεύοντες οἷον τοὺς πνευματικοὺς ὑμᾶς δαιτυμόνας, καὶ ὑπόδειγμα πρὸς ἀρετὴν ἀναγωγικῶς τὴν ἱστορίαν λαμβάνοντες, ἰδίαν μὲν πόλιν τοῦ Ἰησοῦ πρὸς ἣν ἦλθε, τουτονὶ τὸν κόσμον ἐδείκνυμεν. Εἰς γὰρ τὰ ἴδια ἦλθε, κατὰ τὸν εὐαγγελιστήν. Καὶ παράλυτον ἐλέγομεν εἶναι τὴν ἑκάστου ψυχὴν, ὅταν ἐπιστροφῆς λάβῃ λογισμὸν, φερομένην πρὸς Κύριον ὑπὸ τεσσάρων, τῆς οἰκείας καταγνώσεως, τῆς τῶν ἡμαρτημένων ἐξομολογήσεως, τῆς πρὸς ἀποχὴν τῶν κακῶν ὑποσχέσεως, καὶ τῆς πρὸς τὸν Θεὸν δεήσεως. Ἐνταῦθα δὲ ἀκούοντες τοῦ Ματθαίου λέγοντος, ὅτι ἐμβὰς ὁ Ἰησοῦς εἰς πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν, τοῦτο κατανοεῖν ἀναγωγικῶς πάλιν ἐκ τῆς ἱστορίας ἔχομεν, σύμφωνον τοῖς προτέροις, εἰ καὶ τῷ φαινομένῳ διάφορον, ὅτι ὁ κοινὸς ἁπάντων Σωτὴρ ἐνδυσάμενος τὴν ἡμετέραν φύσιν διεπέρασε τὴν καθ' ἡμᾶς τοῦ βίου τούτου θάλασσαν, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν, τὴν ὑπερουράνιον ἐκείνην ἕδραν καὶ δίαιταν, τὴν ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ παντὸς ὀνόματος καὶ ἀξιώματος, εἴτε ἐν τῷ νῦν αἰῶνι, εἴτε ἐν τῷ μέλλοντι γινωσκομένου· ἐκεῖνος γὰρ ὄντως ἴδιός ἐστιν αὐτοῦ ὁ τόπος, ὃς καὶ

potentiæ et sapientiæ. « Si enim, quæ fecit Jesus, scribantur per singula, nec ipsum arbitror mundum capere posse eos qui scribendi sunt libros [22], » ait evangelista divinissimus. Et nunc ros ille destillans nobis abyssus est immensumque pelagus. Ideo, etsi jam de miraculo quod erga paralyticum factum est disseruerimus, quando illud Marcus Ecclesiæ nuntiaret, illudque coram charitate vestra exposuerimus, vestrasque animas per gratiam in illo contentam cibaverimus; hodie tamen et idem miraculum ab evangelista Matthæo relatum consideraturi, magnam iterum in ipso spiritualium ciborum copiam reperiemus, sive potius jam hodie in ipso adhuc reconditi thesauri aliquod revelabimus, et istud modicum omnibus sufficiet, imo supererit sicut panes illi quibus pasti sunt a Domino plura millia hominum in deserto; multiplicabantur enim dum distribuerentur. Olim quidem vobis ad manducandum præbui mel cum favo sensum exponens obvium faciliorem et magis moralem, et historiam explicans; nunc vero exprimens mel quantum concesserit tempus eum ipso omnes ad spiritualem manducationem congregatos hodie excipiam.

« In illo tempore ascendens Jesus in naviculam, transfretavit et venit in civitatem suam. Et ecce offerebant ei paralyticum jacentem in lecto [23]. » Jam pridem vobis ostendimus hunc paralyticum ab eo qui Hierosolymis secundum Joannem sanitatem recepit, differre; et civitatem propriam Jesu vocari Capharnaum, et cur sola dicatur civitas ejus. Et quidem aliquid reclusi mellis vobis quasi spiritualibus convivis porrigentes historiamque anagogice velut exemplar incitans ad virtutem considerantes, propriam civitatem Jesu, ad quam venit, esse hunc mundum dicebamus. Etenim in propria venit secundum evangelistam. Paralyticam vero esse uniuscujusque animam, quæ inito conversionis consilio quatuor rebus ad Dominum ducitur, propria scilicet sulmetipsius condemnatione, peccatorum suorum confessione, abstinendi a malo promissione, et ad Deum oratione. Hic autem audientes Matthæum dicentem, quia ascendens Jesus in naviculam transfretavit, et venit in civitatem suam, alium sensum anagogicum ex historia illa habemus priori quidem non oppositum, etsi dissimilis videatur. Omnium communis Salvator natura nostra indutus, transfretavit mare hujus videlicet vitæ nostræ, venitque in propriam civitatem, celestem utique habitationem et thronum supra omnem principatum et potestatem, supra omne nomen et omnem majestatem quæ in hoc sæculo vel in futuro innotuit. Qui locus cum sit vere ipsi proprius, ipsi soli accessibilis est. Quod ostendens Psalmista dixit: « Cœlum cœli Domino [24]. » ut

[22] Joan. XXI, 25. [23] Matth. IX, 1, 2. [24] Psal. CXIII, 25.

monstraret cœlum esse locum et vere domum propriam Dei. Quia autem non deposuit naturam nostram Dominus, veniens in proprium locum suum, ideo et noster evangelista, Ascendens Jesus, dicit, in naviculam transfretavit, non addito: Et cum descendisset e navicula, venit in civitatem suam, sed ascendens in naviculam transfretavit, et venit in civitatem suam cum assumpta navicula, cum nostro scilicet corpore habitans in cœlestibus.

A μόνῳ τούτῳ βατός. Καὶ τοῦτο δηλῶν ὁ ψαλμῳδὸς Προφήτης, ἔλεγεν· «Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ,» ὡς ὄντος οὐρανοῦ καὶ τόπου, ὃς οἰκός ἐστιν ὄντως ἴδιος Θεοῦ. Ἐπεὶ δὲ οὐκ ἀπέθετο τὴν ἡμετέραν φύσιν ὁ Κύριος εἰς τὸν ἴδιον αὐτοῦ τόπον τοῦτον ἐλθὼν, διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς οὗτος εἰπὼν, ὅτι ἐμβὰς ὁ Ἰησοῦς εἰς πλοῖον διεπέρασεν, οὐκ ἐπήνεγκεν ὅτι καὶ ἀποβὰς τοῦ πλοίου, οὕτως ἦλθεν εἰς τὴν ἰδίαν πόλιν, ἀλλ' ἐμβὰς εἰς πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν μετὰ τοῦ καταλλήλου πλοίου, τοῦ καθ' ἡμᾶς λέγω σώματος, ἐνδημήσας τοῖς ὑπερουρανίοις.

Tunc ergo venit in civitatem supernam et introivit in vere Sancta sanctorum, seditque ad dexteram Patris cum nostro plasmate, ut propriis verbis utar Apostoli, æterna redemptione nostra inventa. B Eos vero qui ex gentibus recepto veritatis nuntio et ex auditu intra se turbati et confusi remanent tamen in lecto voluptatis jacentes, infirmi, paralytici medicinam spiritualem morborum sumere negantes, peccatorum suorum scilicet remissionem, habentes corpus ad omne opus bonum immobile, hos elevantes apostoli, id est eligentes separantesque ab his qui verbum pœnitentiæ et pietatis non receperunt ad Christum adducunt, et præsertim potius hoc agunt qui ex apostolis Evangelium conscripserunt; hi autem quatuor sunt. Et videns Dominus fidem illorum, offerentium scilicet apostolorum fidem perfectam: ipsi enim nobis sunt et magistri et mediatores ad Deum, imperfectis gratiam adoptionis largitur, dicens singulis sibi oblatis: «Confide, C fili, remittuntur tibi peccata tua.» Depone, inquit, omnem timorem de peccatis tuis, remittuntur enim. Depone minarum formidinem, concessione enim promissionum factus es filius meus, hæres meus. Quod fit revera per sacrum baptisma in quo renascimur spiritu adoptionis, remissionem accipientes præcedentium delictorum, et efficimur secundum promissionem hæredes Dei, cohæredes autem Christi. Sed Scribæ, Pharisæi, Gentes et Judæi non credunt efficaciæ et gratiæ baptismatis cui nos fidem adhibemus, et dicunt: Quis potest dimittere peccata? Nos vero prius voluptatibus passionibusque debilitati et ad bonum infirmi audimus singuli hac verba: «Surge, tolle lectum tuum, et D vade in domum tuam,» sicut ille paralyticus; roborati enim per gratiam viresque divinas nobis in baptismo concessas efficimur ad virtutem firmi bene præparati et facultates corporis et animæ subjectasque ipsis in actibus materias sub quibus prius detinebamur servientes, nunc regimus ut Deo nobisque gratum est, et quantum possumus sedes æternas et cœlestes in domum propriam vertimus. Sic ergo ab aliis differentes in nostra conversatione Deo grata qui nos vident nos mirantur et glorificant Deum qui talem dat potestatem et virtutem iis qui credunt in eum, ut viventes adhuc in terra videantur habitationem habere in cœlis. Baptismi gratia et virtus per amorem illius qui hanc concessit remanet quidem nobis peccantibus post

Ὅτε οὖν ἦλθεν εἰς τὴν ἄνω πόλιν, καὶ εἰσῆλθεν εἰς τὰ ὄντως Ἅγια τῶν ἁγίων, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς μετὰ τοῦ ἡμετέρου φυράματος, ἵνα κατὰ τὸν Ἀπόστολον εἴπω, αἰωνίαν λύτρωσιν εὑράμενος ὑπὲρ ἡμῶν, τότε τοὺς ἐξ ἐθνῶν παραδεξαμένους τὸ κήρυγμα τῆς ἀληθείας, καὶ τῇ μὲν ἐξ ἀκοῆς συνέσει φοβηθέντας καὶ ταπεινωθέντας, ἔτι δὲ κειμένους ὡς ἐπὶ κλίνης τῆς ἡδυπαθείας, καὶ παρειμένους ὄντας καὶ παραλύτους, τὸ μήπω λαβεῖν τῶν κατὰ ψυχὴν νοσημάτων τὴν ἴασιν, ταυτὸ δ' εἰπεῖν τῶν οἰκείων ἁμαρτημάτων τὴν ἄφεσιν, κἀντεῦθεν ἀκίνητον ἔχοντας καὶ τὸ σῶμα πρὸς τὴν τοῦ καλοῦ ἐργασίαν, ἄραντες οἱ ἀπόστολοι, τουτέστιν ἐκλεξάμενοι καὶ χωρίσαντες τῶν μὴ παραδεξαμένων τὸ τῆς μετανοίας καὶ τῆς εὐσεβείας κήρυγμα προσάγουσι τῷ Χριστῷ, καὶ μᾶλλον τῶν ἄλλων ἀποστόλων, **163** οἱ τὸ Εὐαγγέλιον συγγραψάμενοι· τέσσαρες δὲ οὗτοί εἰσιν. Ὁ δὲ Κύριος ἰδὼν, φησὶ, τὴν πίστιν αὐτῶν, ἤτοι τῶν προσφερόντων ἀποστόλων, διὰ τὴν τελείαν αὐτῶν πίστιν, αὐτοὶ γάρ εἰσιν ἡμῖν καὶ διδάσκαλοι καὶ μεσῖται τὰ πρὸς τὸν Θεὸν, καὶ τοῖς ἀτελέσι τὴν υἱοθεσίαν χαρίζεται, πρὸς ἕκαστον τῶν οὕτω προσαγομένων λέγων· «Θάρσει, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι.» Ἀπόθου, φησὶ, τὸν ἐπὶ τοῖς ἁμαρτήμασι φόβον, ἀφέωνται γάρ· ἀπόθου τὴν ἐπὶ τοῖς ἠπειλημένοις φρίκην, ἐπιτεύξῃ γὰρ τῶν ἐπηγγελμένων, τέκνον ἐμὸν γεγονὼς, καὶ κληρονόμος ἐμός. Τοῦτο δὲ πρακτικῶς ἐκτελεῖται διὰ τοῦ θείου βαπτίσματος, ἐν ᾧ πνεύματι τῆς υἱοθεσίας ἀναγεννώμεθα, τὴν ἄφεσιν τῶν προημαρτημένων λαβόντες, καὶ κατ' ἐπαγγελίαν γεγονότες κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Ἀλλ' οἱ Γραμματεῖς καὶ Φαρισαῖοι, Ἕλληνες καὶ Ἰουδαῖοι ἀπιστοῦσι τῇ παρ' ἡμῶν πιστευομένῃ δυνάμει καὶ χάριτι τοῦ θείου βαπτίσματος, λέγοντες, Τίς δύναται ἀφιέναι ἁμαρτίας; Ἡμεῖς δὲ οἱ πρότερον παραλελυμένοι καὶ ψυχὴν καὶ σῶμα ταῖς ἡδοναῖς καὶ τοῖς πάθεσι, καὶ πρὸς τὸ καλὸν ἀκίνητοι διαμένοντες, ἀκούομεν ἕκαστος· «Ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου,» ὡς καὶ ὁ παραλυτικὸς ἐκεῖνος· δυναμούμενοι γὰρ παρὰ τῆς ἐν ἡμῖν τοῦ βαπτίσματος θείας χάριτος καὶ δυνάμεως, γινόμεθα πρὸς ἀρετὴν εὔτονοι καὶ εὐκίνητοι, καὶ τὰς τῆς ψυχῆς καὶ τοῦ σώματος δυνάμεις, καὶ τὰς ὑποκειμένας ταύταις ἐν τοῖς πράγμασιν ὕλας, ὑφ' ὧν πρότερον κατειχόμεθα δουλαγωγήσαντες, ἄγομεν ὅποι φίλον τῷ Θεῷ καὶ ἡμῖν, καὶ μετατίθεμεν κατὰ τὸ ἐγχωροῦν, εἰς τὸν ὄντως

Digitized by Google

οἶκον ἡμέτερον, τὰς αἰωνίους καὶ οὐρανίους μονάς. A Οὕτω δὲ θεοφιλῶς τὰ καθ' ἡμᾶς αὐτοὺς διαφέροντες, θαυμαζόμεθα παρὰ τῶν ὁρώντων, δοξαζόντων τὸν Θεὸν τὸν δόντα δύναμιν καὶ ἐξουσίαν τοῖς εἰς αὐτὸν πιστεύουσι τοιαύτην, ὡς καὶ ζῶντας ἐπὶ γῆς ἔτι, τὸ πολίτευμα ἔχειν ἐν οὐρανοῖς. Ἀλλ' ἡ μὲν τοῦ βαπτίσματος χάρις καὶ δύναμις διὰ τὴν τοῦ παρέχοντος φιλανθρωπίαν παραμένει, καὶ ἡμῶν ἁμαρτόντων μετὰ τὸ βάπτισμα, ἡ δὲ τῆς ψυχῆς ὑγίεια καὶ καθαρότης οὐ παραμένει.

baptismum, sanitas vero munditiaque animæ amittitur.

Διὰ τοῦτο χρῄζομεν αὖθις οἱ ἁμαρτήσαντες τῆς ἐπὶ τοῖς προγεγενημένοις ἁμαρτήμασι λύπης καὶ κατηφείας, καὶ τῆς διὰ μετανοίας προσπτώσεως, ἵνα πάλιν ἀκούσωμεν μυστικῶς ἕκαστος κατὰ τὸν παράλυτον ἐκεῖνον· « Θάρσει, τέκνον· » καὶ λαβόντες τὸν ἱλασμὸν, εἰς χαρὰν τὴν λύπην ἀμείψωμεν· αὕτη γάρ ἐστιν ἡ λύπη τὸ μέλι τὸ πνευματικὸν, ὃ θηλάζομεν ἡμεῖς ἐκ στερεᾶς πέτρας, κατὰ τὸ τυπικῶς εἰρημένον· « Ἐθήλασαν μέλι ἐκ πέτρας· » « Ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς, » καθάπερ ὁ Παῦλός φησιν. B Ἀλλὰ μὴ θαυμάσητε, εἰ μέλι τὴν λύπην εἶπον· αὕτη γάρ ἐστι περὶ ἧς πάλιν ὁ Παῦλός φησιν, ὅτι· « Ἡ λύπη ἡ κατὰ Θεὸν μετάνοιαν ἀμεταμέλητον κατεργάζεται πρὸς σωτηρίαν. » Καθάπερ γὰρ τῷ τετραυματισμένῳ τὴν γλῶτταν, δαχνηρὸν φανεῖται τὸ μέλι προσενεχθὲν, ἂν δὲ τὴν ἴασιν τῶν τραυμάτων λάβῃ, τῆς τοῦ μέλιτος γλυκύτητος ἀντιλήψεται· οὕτω καὶ ὁ τοῦ Θεοῦ φόβος ἐκ τοῦ εὐαγγελικοῦ κηρύγματος ταῖς συνειδήσεσι ψυχαῖς ἐγγινόμενος, λύπην μὲν ἐμποιεῖ, τὰ τραύματα τῶν ἁμαρτημάτων ἔτι περικειμέναις, ἀποβαλόμεναι δὲ ταῦτα διὰ τῆς μετανοίας, τῆς εὐαγγελικῆς ἀντιλαμβάνονται χαρᾶς, κατὰ τὸ εἰρημένον παρὰ τοῦ Σωτῆρος· « Καὶ ἡ λύπη ὑμῶν, εἰς χαρὰν γενήσεται· » ποία λύπη; ἣν ἐλυπήθησαν **164** οἱ τοῦ C Κυρίου μαθηταὶ, ἐπὶ τῇ τοῦ Κυρίου καὶ διδασκάλου στερήσει· ἣν ἐλυπήθη ὁ Πέτρος ἐπὶ τῇ τούτου ἀρνήσει· ἣν λυπεῖται πᾶς εὐσεβὴς μετανοῶν ἐφ' ἁμαρτίαις οἰκείαις, καὶ ταῖς πρὸς ἀρετὴν ὑπὸ ῥᾳθυμίας ἐλλείψεσιν, αἷς καὶ ἡμεῖς περιπίπτοντες, ἡμᾶς αὐτοὺς ἀλλὰ μηδένα τῶν ἁπάντων αἰτιώμεθα ἕτερον· οὐδὲ γὰρ τῷ Ἀδὰμ συνήνεγκε, τὴν ἐντολὴν ἀθετήσαντι ἡ πρὸς τὴν Εὔαν τῆς αἰτίας μετάθεσις, οὐδὲ ταύτῃ πάλιν ἡ πρὸς τὸν ἀρχέκακον ὄφιν· αὐτεξούσιοι γὰρ ἡμεῖς παρὰ Θεοῦ γεγονότες, καὶ αὐτοκρατορικὸν ἀξίωμα κατὰ τῶν παθῶν λαβόντες ἔνδον τὸ ἡγεμονικὸν τῆς ψυχῆς, οὐκ ἔχομεν ὅλως τὸν κατακρατοῦντα καὶ βιαζόμενον.

Idcirco indigemus rursus post peccatum dolore de peccatis nostris præteritis et detestatione et contritione, ut rursus audiamus singuli secreto sicut ille paralyticus : Confide fili; et suscepta misericordia tristitiam vertamus in gaudium. Illa enim tristitia mel est spirituale, quod sugimus de petra arida, sicut typice dictum est. « Suxerunt mel de petra [25]. » « Petra autem erat Christus, » ut Paulus ait. At ne miremini, si mel dixerim tristitiam; ipsa est enim de qua rursus Paulus ait : « Quæ enim secundum Deum tristitia est, pœnitentiam in salutem stabilem operatur [26]. » Sicut enim cui lingua vulnerata est, mel ori injectum videtur amarum, admodum vero dulce si a vulneribus fuerit sanatus, sic timor Dei ex evangelica prædicatione conceptus intimis in animabus tristiam operatur quandiu vulneribus peccatorum laborant; curatis vero his plagis per pœnitentiam, gaudium succedit dolori secundum verba Salvatoris : « Et tristitia vestra vertetur in gaudium [27]. » Quænam tristitia? Illa qua doluerunt discipuli Domini de derelictione Domini et Magistri sui; illa, qua doluit Petrus de ipsius negatione; illa cujusque pii viri dolentis de propriis peccatis, et negligentiis et omissionibus in virtute. De his et ipsi redarguendi, nosmetipsos, non cæteros accusemus; nihil enim profuit Adamo mandatum prætergresso in Evam culpam declinare, nec ipsi Evæ in serpentem; liberi juris enim nostri facti sumus a Deo, imperiumque accepimus in passiones et regimen internum anima nullum sentimus, qui nos cogat nobisque vim imponat.

Τοῦτο τοίνυν ἐστὶν ἡ κατὰ Θεὸν καὶ σωτήριος λύπη, τὸ ἡμᾶς αὐτοὺς αἰτιᾶσθαι, καὶ μηδένα τῶν ἁπάντων ἕτερον, ἐφ' οἷς αὐτοὶ πράττομεν πλημμελῶς, καὶ λυπεῖσθαι καθ' ἑαυτῶν, καὶ δι' ἐξομολογήσεως τῶν ἡμῖν ἡμαρτημένων, καὶ τοῖς ἐπὶ τούτοις λυπηρᾶς κατανύξεως τὸν Θεὸν ἐξιλάσκεσθαι. D Ταύτης τῆς αὐτομεμψίας καὶ κατανύξεως ὁ Λάμεχ ἦρξεν ἐκεῖνος ὁ παλαιὸς, καὶ παῤῥησίᾳ τὴν ἁμαρτίαν ἐξομολογησάμενος, καὶ κρίνας αὐτὸς ἑαυτὸν, καὶ ὑπὲρ τὸν Κάϊν καταδικάσας· « Ἑπτάκις γὰρ, φησὶν, ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά· » καὶ οὕτω πενθήσας ἑαυτὸν ὡς ὑπεύθυνον, διὰ τῆς ἐνοδύνου κατ' αὐτοῦ κατανύξεως τὴν ἐκ Θεοῦ καταδίκην διέφυγεν, ὡς καὶ ὁ Προφήτης ὕστερον εἶπε· « Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας

Illud ergo secundum Deum salutaris tristitia est, nosmetipsos accusare non alium quemquam de his quæ male egimus, de his dolere, et Deum per peccatorum nostrorum confessionem, et severam expiationem placare. Hanc fecit sui ipsius accusationem exprobrationemque Lamech ille, confessusque est libere peccatum suum seipsumque judicans et magis quam Cain condemnans ait : « Septuplum ultio dabitur de Cain : de Lamech vero septuagies septies [28]. » Et cum sic doluisset quasi reus per duram peccati sui expiationem, damnationem a Deo vitavit, sicut dixit quoque propheta : « Dic prior peccata tua, ut justificeris [29]. » Idem etiam dicit Apostolus : « Quod si nosmetipsos dijudicaremus, non utique judicaremur [29*]. » Sic La-

[25] Deut. xxxii, 13. [26] II Cor. vii, 10. [27] Joan. xvi, 20. [28] Gen. iv, 24. [29] Isa. xliii, 26. [29*] I Cor. xi, 31.

Digitized by Google

mech primus scribitur effugisse per pœnitentiam A doloremque de peccatis justitiam cœlestem. Post eum autem, Ninivitæ, civitas tota et multitudo fere innumerabilis. Hi autem non modo peccaverunt, sed recepta prædictione vindictæ violare eam ausi sunt per conversionem, et simul dolorem acerbum. Audierunt enim Jonam crediderintque nuntianti decretum divinum : « Adhuc tres (*quadraginta* sec. Vulg.) dies et Ninive subvertetur[30]. » Auditis fide adhibita, non præcipites se dederunt in desperationis abyssum, nec indurationis lapidem cordibus suis imposuerunt. Sed dicentes intra se ad invicem : « Quis scit si convertatur et ignoscat Deus, et revertatur a furore iræ suæ, et non peribimus[31]? » Et conversus est unusquisque a via sua mala, et ab iniquitate manuum suarum, et prædicant jejunium, B vestiuntur saccis a majore usque ad minorem, ita ut rex ipse cum eis indutus sacco sederet in cinere pœnitens, et ipsi infantes ubera non sugerent; matres enim eorum ut videtur præ nimio dolore obliviscebantur ipsos lactentes pueros, sicut ait Psalmista : « Oblitus sum comedere panem meum a voce gemitus mei[32]. » Et armenta non pascebantur ; reliquerunt enim, ut cogitare est, ea bubuli pastoresque in ovilibus et stabulis inclusa, ipsi enim nimio dolore immoti detinebantur. Sic concentum salutarem salutaris secundum Deum tristitiæ efformantes, mutaverunt divinum super ipsos decretum, iraque cœleste placata divinam gratiam meruerunt.

A σου, ἵνα δικαιωθῇς· » ὃ καὶ ὁ Ἀπόστολος μετὰ ταῦτά φησιν· « Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. » Πρῶτος μὲν οὖν ὁ Ἀδὰμ ἀναγέγραπται διὰ μετανοίας, καὶ τῆς ἐφ' ἁμαρτήμασι λύπης, τὴν ἄνωθεν δίκην ἀποφυγών. Μετὰ δὲ τοῦτον οἱ Νινευῖται, πόλεις ὅλαι καὶ πλῆθος οὐκ εὐαρίθμητον. Οὗτοι δὲ μὴ μόνον ἁμαρτόντες, ἀλλὰ καὶ παρὰ Θεοῦ δεξάμενοι τὴν ἀπόφασιν τῆς αὐτῶν καταδίκης, ἐθάῤῥησαν αὐτὴν ὑπερβῆναι διὰ μετανοίας, καὶ τῆς ἐν αὐτῇ λυπηρᾶς κατανύξεως· ἤκουσαν γὰρ Ἰωνᾶ, καὶ ἐπίστευσαν ἀναβοῶντι τὴν θείαν ἀπόφασιν· « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται. » Ἀκούσαντες δὲ καὶ πιστεύσαντες, οὐκ ἔῤῥιψαν ἑαυτοὺς κατὰ τοῦ πονηροῦ βαράθρου τῆς ἀπογνώσεως, οὐδὲ τὸν λίθον τῆς πωρώσεως ταῖς ἑαυτῶν καρδίαις B ἐπέθηκαν· ἀλλ' εἰπόντες πρὸς ἑαυτοὺς καὶ ἀλλήλους· « Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; » ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, καὶ κηρύττουσι νηστείαν, καὶ περιβάλλονται σάκκους, ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, ὡς καὶ τὸν βασιλέα μετ' αὐτῶν ἐν σάκκῳ καὶ σποδῷ καθῆσθαι μετανοοῦντα, τά τε νήπια μὴ θηλάζειν· αἱ γὰρ μητέρες ὡς ἔοικεν ὑπὸ τοῦ σφοδροῦ πένθους, καὶ τῶν ὑπομαζίων ἐπελάθοντο παίδων, καθάπερ καὶ ὁ Ψαλμῳδός· « Ἐπελαθόμην, φησὶ, τοῦ φαγεῖν τὸν ἄρτον μου, ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου, » καὶ τὰ κτήνη μὴ νέμεσθαι· καὶ ταῦτα γὰρ ὡς ἔοικεν οἱ βουκόλοι τε καὶ ποιμένες εἴασαν ταῖς μάνδραις καὶ ταῖς βουστασίοις ἐγκεκλεισμένα, τῇ σφοδρᾷ κατανύξει πεδηθέντες αὐτοί· καὶ οὕτω τὴν σωτήριον συναυλίαν τοῦ σωτηρίου πένθους κατὰ Θεὸν ἁρμοσάμενοι, τὴν κατ' αὐτῶν θείαν ἀπόφασιν μετεποίησαν, καὶ τὴν ἄνωθεν ὀργὴν ἔστησαν, καὶ μετέστησαν εἰς θείαν εὐμένειαν.

Cum ergo, fratres, tota fere vita nostra sit in C peccatis, ut hanc salutarem tristitiam amplectamur, vitam in pœnitentia degamus necesse est. Nisi enim hoc fecerimus, sicut dixit Dominus, condemnabunt nos Ninivitæ in resurrectione, quia pœnitentiam egerunt in prædicatione Jonæ[33], et nos pœnitentiam, non egimus in prædicatione Christi qui est Jonas Dei. Et tamen non prædicabat Jonas pœnitentiam, sed, sicut diximus, vindictæ decretum, privationem vitæ, destructionem et mortem, exitumque completum. Christus vero venit ut vitam haberemus et abundantius haberemus, adoptionem divinam et regnum cœleste reciperemus. Jonas quidem eversionem prædicans non pœnitentiam suggerebat, nec regnum cœlorum promittebat ; Christus vero pœnitentiam D prædicans, regnumque promittens, communem ineluctabilemque perniciem. Sicut enim, ait, in diebus Noe homines absque timore et freno voluptatibus erant dediti, venitque subito diluvium et omnes abstulit, sic erit in consummatione sæculi hujus, præterit enim figura hujus mundi. Et Jonas quidem solam amissionem rerum apparentium Ninivitis minabatur, non tremendum tribunal, non

C Ἐπεὶ τοίνυν καὶ ἡμῖν σχεδὸν ὁ βίος ὅλος ἐν ἁμαρτίαις, ταύτην, ἀδελφοὶ, τὴν σωτήριον λύπην καὶ τὸν ἐν μετανοίᾳ βίον καὶ ἡμᾶς ἅπαντας ἑλέσθαι
165 χρεών. Εἰ γὰρ μὴ τοῦτο πράξομεν, καθάπερ ὁ Κύριος εἶπεν, οἱ Νινευῖται κατακρινοῦσιν ἡμᾶς ἐν τῇ ἀναστάσει, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἡμεῖς οὐ μετενοήσαμεν εἰς τὸ τοῦ Χριστοῦ κήρυγμα, τοῦ καὶ τοῦ Ἰωνᾶ Θεοῦ· καίτοι Ἰωνᾶς οὐκ ἐκήρυττε μετάνοιαν, ἀλλὰ καθάπερ εἴπομεν καταδίκης ἀπόφασιν, καὶ ζωῆς ἀφαίρεσιν, καὶ καταστροφὴν καὶ θάνατον, καὶ τελείαν ἀπώλειαν. Ὁ δὲ Χριστὸς ἦλθεν, ἵνα ζωὴν ἔχωμεν, καὶ περισσὸν ἔχωμεν, θείαν υἱοθεσίαν καὶ βασιλείαν οὐράνιον. Ὁ μὲν οὖν Ἰωνᾶς καταστροφὴν κηρύττων, μετάνοιαν οὐχ ὑπετίθετο, οὐδὲ βασιλείαν οὐρανῶν D ἐπηγγέλλετο· ὁ δὲ Χριστὸς μετάνοιαν κηρύττων καὶ βασιλείαν ἐπαγγελλόμενος, καὶ τὴν κοινὴν καὶ ἀμετάθετον προεῖπε καταστροφήν· Ὥσπερ γὰρ, φησὶν, οἱ ἐπὶ τοῦ Νῶε ἀδεῶς καὶ ἀνέτως τῶν σωματικῶν ἐχόμενοι, καὶ ἐξαίφνης ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. Καὶ ὁ μὲν Ἰωνᾶς καταστροφὴν τοῖς Νινευΐταις τῶν ἐνταῦθα φαινομένων ἠπείλει τηνικαῦτα

[30] Jon. III, 3. [31] Jon. III, 9. [32] Psal. CI, 5. [33] Matth. XII, 41.

Digitized by Google

μόνον, ἀλλ' οὐ βῆμα φρικτὸν, καὶ κρίσιν μετὰ τὴν καταστροφὴν ἀδέκαστον, οὐ πῦρ ἄσβεστον, οὐκ ἀκοίμητον σκώληκα, οὐ σκότος ἐξώτερον, οὐ βρυγμὸν ἐλεεινὸν ὀδόντων, οὐ πένθος ἀπαραμύθητον· ὁ δὲ Κύριος καὶ ταῦτα προσηπείλησε, καὶ ἀπεκάλυψε τοῖς ἀναλγήτως ἐνταῦθα διακειμένοις μετὰ τὴν τοῦ κόσμου συντέλειαν ἀποκείμενα, ἀλλ' οὐ μετὰ τριήμερον ἔσται ταῦτα χρόνον, ὡς ὁ Ἰωνᾶς ἐκήρυττε, μετὰ πολὺν δέ· καὶ τοῦτο τῆς δεσποτικῆς μακροθυμίας. Τὸ οὖν μακρόθυμον τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει, σὺ δὲ ὅρα, μὴ διὰ τὴν σκληρότητά σου καὶ ἀνάλγητον καὶ ἀκατάνυκτον καὶ ἀμετανόητον καρδίαν θησαυρίσῃς σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ δικαιοκρισίας καὶ ἀποκαλύψεως Θεοῦ· ἀποδώσει γὰρ ὁ Κύριος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν ἐν ὑπομονῇ διὰ τῶν τῆς μετανοίας ἔργων ἐν συντετριμμένῃ καρδίᾳ τὴν ἄφεσιν τῶν ἡμαρτημένων ζητοῦσιν ἄνεσιν καὶ χαρὰν, καὶ ζωὴν αἰώνιον, καὶ βασιλείαν ἀπόῤῥητον· τοῖς δὲ ἀναλγήτως καὶ ἀμετανοήτως ἐπὶ τοῖς ἁμαρτήμασι διακειμένοις θλῖψις ἔσται καὶ στενοχωρία, καὶ κόλασις ἀφόρητός τε καὶ ἀτελεύτητος.

Ἀλλὰ μετὰ τοὺς Νινευΐτας στήλη τῆς κατὰ Θεὸν λύπης ὁ Δαβὶδ ἀναπέφηνε, καὶ στήλη ζῶσά τε καὶ λαλοῦσα τὰ τῆς σωτηρίου καὶ κατὰ Θεὸν λυπηρᾶς κατανύξεως. Οὗτος γὰρ καὶ ἣν ἥμαρτεν ἁμαρτίαν ἀνάγραπτον ἔθετο, καὶ οἷον ἀπεδείξατο πρὸς Θεὸν τὸ πένθος καὶ τὴν μετάνοιαν, καὶ οἵας παρὰ Θεοῦ τῆς συμπαθείας ἐπέτυχεν· « Εἶπα γάρ, φησὶν, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου· » ἀσέβειαν τὴν ῥίζαν τῆς κακίας λέγων, τὸ ἐνοικουροῦν ἐν τῇ ψυχῇ πάθος· ἀνομίαν δὲ τὴν τελεσθεῖσαν διὰ πράξεως ἁμαρτίαν, ἣν θριαμβεύσας τοῖς πᾶσι, καὶ δι' ἣν κατανυγεὶς καὶ πενθήσας, οὐ τὴν ἄφεσιν εὗρε μόνον, ἀλλὰ καὶ τὴν ἴασιν ἔνδον ἔλαβε. Πῶς οὖν διετέλει πενθῶν, αὐτοῦ πάλιν ἀκούσωμεν λέγοντος· « Ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας· » καὶ, « Ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην· » καὶ, « Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· » καὶ, « Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, μονάζων ἐπὶ δώματος, καὶ σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων· » καὶ, « Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον· » καὶ « Ἐταπεινώθην, καὶ ἔσωσέ με **166** ὁ Κύριος. » Πρὸς τὸν Κύριον οἵας ἀφίησι φωνάς· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε· » καὶ, « Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός· » καὶ, « Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. » Δεῦτε οὖν καὶ ἡμεῖς, ἀδελφοὶ, προσκυνήσωμεν καὶ προσπέσωμεν καὶ κλαύσωμεν, καθάπερ αὐτὸς πάλιν ὁ Δαβὶδ προτρεπόμενός φησιν, ἐναντίον

A ineluctabile post necem judicium, non ignem inexstinguibilem, non vermem qui non moritur, non tenebras exteriores, non lamentabilem dentium stridorem, non pœnam indeficientem; Dominus vero et hæc minatus est mala et sepultis sine timore in voluptatibus, quæ eos maneant post hujus mundi consummationem revelavit; at non post tres dies ista ventura sunt, sicut clamabat Jonas, sed post longum tempus quod ex Dei longanimitate provenit. Longanimitas Dei ad pœnitentiam te adducit, tu vero vide ne per duritiam tuam, per impœnitens dolori et contritioni cor impervium, thesaurizes tibi iram in die iræ et revelationis justi judicii Dei, qui reddet unicuique secundum opera ejus, iis qui B secundum patientiam boni operis, pœnitentiæ in corde contrito peccatorum remissionem quærunt veniam et gaudium, et vitam æternam et inamissibile regnum; iis autem qui absque dolore et pœnitentia in peccatis suis remanent, tribulatio erit et angustia, pœnaque immensa et infinita.

Post Ninivitas exemplum nobis dedit David tristitiæ secundum Deum ut columna viva et eloquens hujus salutaris et secundum Deum doloris. Ipse enim quod peccaverat peccatum, scripto retulit, nec non et quantum dolorem quantamque pœnitentiam Deo monstraverit, et quam ab ipso indulgentiam obtinuerit: « Dixi: Confitebor adversum C me injustitiam meam Domino: et tu remisisti impietatem cordis mei [34]. » Impietatem vocat radicem malitiæ, passionem in anima remanentem; iniquitatem vero peccatum commissum, quo devicto et per dolorem contritionemque deleto, non modo hujus remissionem a Domino invenit, sed etiam internam sanationem recepit. Quomodo doluerit, ipsum rursus audiamus dicentem: « Fui flagellatus tota die, et castigatio mea in matutinis [35]. » Et: « Quasi lugens et contristatus, sic humiliabar [36]. » Et: « Lavabo per singulas noctes lectum meum, lacrymis meis stratum meum rigabo [37]. » Et « Factus sum sicut nycticorax in domicilio, sicut passer solitarius in tecto, et cinerem tanquam panem manducabam, et potum meum cum fletu D miscebam [38]. » Et: « Genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum [39]. » Et: « Humiliatus sum, et liberavit me Dominus [40]. » Quos clamores ad Dominum mittit: « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me. Miserere mei, Domine [41]. » Et: « Quoniam iniquitatem meam ego cognosco, et peccatum meum contra me est semper [42]. » Et: « Domine, exaudi orationem meam, et non intra in judicium cum servo tuo [43]. » Venite, fratres, et nos adoremus, procidamus et ploremus, sicut ipse David conversus ait [44], coram Domino qui fecit nos et vocavit nos ad pœnitentiam et ad salutarem hunc dolorem et

[34] Psal. xxxi, 5. [35] Psal. lxxii, 14. [36] Psal. xxxii, 14. [37] Psal. vi, 6. [38] Psal. ci, 7. [39] Psal. cviii, 24. [40] Psal. cxiv, 6. [41] Psal. vi, 1. [42] Psal. l, 5. [43] Psal. cxlii, 1. [44] Psal. xciv, 6.

Digitized by Google

tristitiam et contritionem. Qui enim hac caruerit tristitia, non audito ipsum vocante Deo, cum electis sanctis non computabitur, nec beatitudinis in Evangelio promissæ et divinæ consolationis gaudio perfruetur; ait enim Christus: « Beati qui lugent, quoniam ipsi consolabuntur [44]. »

A Κυρίου τοῦ ποιήσαντος ἡμᾶς, καὶ καλέσαντος πρὸς μετάνοιαν, καὶ πρὸς τὴν σωτήριον ταύτην λύπην καὶ τὸ πένθος καὶ τὴν κατάνυξιν· ὡς ὅ γε μὴ ταύτην ἔχων οὐχ ὑπήκουσε τῷ καλέσαντι, οὐδὲ τοῖς κλητοῖς ἁγίοις τοῦ Θεοῦ συνηρίθμηται, οὐδὲ τῆς ἐν τῷ Εὐαγγελίῳ μακαριότητος κατηγγελμένης, καὶ τῆς ἐπηγγελμένης θείας παρακλήσεως ἐπιτεύξεται· « Μακάριοι γάρ, φησίν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. »

Si quis autem dicat: Ego sine peccato sum, non ergo luctu indigeo? At illud difficile et rarissimum est et fere inter impossibilia computandum. Magni pretii sane est suas moderari passiones, sed aliam adhuc hujus salutaris luctus nobis sanctus sermo demonstravit. Mœrebant enim discipuli orbati suo vere bono magistro Jesu Christo, et nos quoque hodie ipso privamur, non autem ipso solo, sed et paradisi felicitate; excidimus enim ex ea, et pro regione absque dolore regionem doloribus et ærumnis plenam accepimus. Privati sumus conversatione ad Deum facie ad faciem, societate angelorum et vita æterna. Quis tali cognita privatione non doleret? qui autem hanc non cognovit de fidelibus non est. Nos ergo quos divinitius inspirata doctrina talem carentiam docuit affligamus nosmetipsos, fratres, et maculas peccatorum per salutares secundum Deum lacrymas abluamus, ut misericordiam inveniamus, ad paradisum redeamus et doctrinæ vitæ felicitatisque participes efficiamur, quam nobis omnibus concedat per gratiam et misericordiam suam Dominus noster Jesus Christus, cui omnis gloria, potestas, honor et adoratio, cum ingenito Patre suo et sanctissimo bono et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

Ἀλλ' ἐρεῖ τις· ἐκτὸς ἁμαρτίας εἶναι, καὶ μὴ δεῖσθαι τοῦ πένθους; Ἀλλ' εἰ καὶ δυσχερὲς τοῦτο καὶ σπανιώτατον, καὶ σχεδὸν τῶν ἀδυνάτων ἐστίν· ἀγαπητὸν γάρ, εἰ καὶ μετριοπαθὴς ὁ ἄνθρωπος γένοιτο· ὅμως ὁ λόγος ὑπέδειξε τὴν ἀρχὴν τοῦ σωτηρίου τούτου πένθους καὶ ἄλλην αἰτίαν· ἐλυποῦντο γὰρ οἱ μαθηταὶ στερηθέντες τοῦ ὄντως ἀγαθοῦ καὶ δι- B δασκάλου Χριστοῦ, οὗ καὶ ἡμεῖς στερούμεθα νῦν. Καὶ οὐ τούτου μόνου, ἀλλὰ καὶ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς· ἐκπεπτώκαμεν γὰρ αὐτῆς, καὶ ἀντηλλαξάμεθα τοῦ ἀπαθοῦς χωρίου τὸν ἐμπαθῆ καὶ ἐπίπονον τοῦτον χῶρον· ἐστερήμεθα τῆς αὐτοπροσώπου πρὸς Θεὸν ὁμιλίας, τῆς μετὰ τῶν ἀγγέλων αὐτοῦ συναυλίας καὶ τῆς ἀϊδίου ζωῆς. Τίς τὴν στέρησιν τούτων εἰδώς, οὐ πενθεῖ; Ὁ δὲ μὴ ταύτην εἰδὼς οὐδὲ τῆς μοίρας ἐστὶ τῶν πιστῶν. Οὐκοῦν ἡμεῖς διὰ τῆς θεοπνεύστου διδασκαλίας, ἐν εἰδήσει τῆς τοιαύτης γεγονότες στερήσεως, πενθήσωμεν ἡμᾶς αὐτούς, ἀδελφοί, καὶ τοὺς ἐξ ἁμαρτίας μολυσμοὺς διὰ τοῦ κατὰ Θεὸν πένθους ἀπονιψώμεθα· ἵνα καὶ τὴν συμπάθειαν εὕρωμεν, καὶ πρὸς τὸν παράδεισον ἐπα- C νέλθωμεν, καὶ τῆς ἀϊδίου ζωῆς καὶ παρακλήσεως εὐμοιρήσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXX

*Super cæcos qui secundum evangelistam Matthæum visum receperunt in domo, et quod non veræ est fidei qui est absque pœnitentiæ operibus.*

Dominus noster Jesus Christus cum corpore quod apud nos pro nobis sumpsit, conversans cum habitantibus terram multos et secundum corpus et secundum animam cæcos sanavit. Si quis præsertim visu spirituali consideret restitutionem quæ transeundo de infidelitate ad fidem, et de ignorantia ad cognitionem Dei, numerari nequeunt qui per incarnationem Domini visum receperunt cæci, soli sunt numerabiles ei, cui capillorum nostrorum numerus cognitus est. Quod si corporalium oculorum visus restitutionem consideremus, multos etiam inveniemus alios quidem solo verbo, alios vero solo tactu sanatos; alii per solum accessum ad Jesum ejusque adorationem, alii per unctionem sputi et luti a Christo sanationem receperunt. Cum venisset enim Jesus, ut narrat Matthæus, secus mare Galilææ, accesserunt ad eum turbæ multæ, habentes secum

## 167 ΟΜΙΛΙΑ Λ'.

*Ὑπόθεσιν ἔχουσα τοὺς κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον ἐν οἰκίᾳ ἀναβλέψαντας τυφλούς· ἐν ᾗ καὶ ὅτι οὐκ ἔστι πίστιν ἔχειν ἀληθῶς χωρὶς τῶν ἔργων τῆς μετανοίας.*

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ σώματος, ὃ παρ' ἡμῶν ὑπὲρ ἡμῶν ἀνέλαβε, συναναστρεφόμενος τοῖς ἐπὶ γῆς, πολλοὺς καὶ κατὰ σῶμα καὶ κατὰ ψυχὴν ἐθεράπευσε τυφλούς· μᾶλλον δέ, εἰ μέν τις σκοπεῖ τὴν κατὰ διάνοιαν ἀνάβλεψιν, ἥτις D ἐστὶν ἡ ἐξ ἀπιστίας εἰς πίστιν, καὶ ἐξ ἀγνοίας εἰς ἐπίγνωσιν Θεοῦ μετάθεσις, οὐδ' ἀριθμῷ περιβαλεῖν ἔστι τοὺς διὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἀναβλέψαντας τυφλούς· αὐτῷ γὰρ εἰσιν ἠριθμημένοι μόνῳ, τῷ καὶ τὰς τρίχας ἡμῶν ἠριθμημένας ἔχοντι. Εἰ δὲ τῶν σωματικῶν ὀφθαλμῶν τὴν ἀνάβλεψιν σκοποῦμεν, καὶ κατ' αὐτὴν πολλοὺς εὑρήσομεν τοὺς μὲν λόγῳ μόνῳ, τοὺς δὲ ἁφῇ μόνῃ· ἔστι δὲ οὓς καὶ μόνῳ τῷ προσπεσεῖν καὶ προσεγγίσαι· τινὰς δὲ καὶ διὰ πτύσματος, ἢ καὶ πηλοῦ χρίσματος παρὰ Χριστοῦ λαβόντας τὴν ἴασιν. Ἐλθόντος γὰρ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, ὡς ὁ Ματθαῖός φησι,

[44] Matth. v, 4.

Digitized by Google

προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ, ἔχοντες μεθ' ἑαυτῶν χωλοὺς, τυφλοὺς, κωφοὺς, κυλλοὺς, καὶ ἑτέρους πολλοὺς, οὓς πάντας ῥιφέντας παρὰ τοὺς αὐτοῦ πόδας ἐθεράπευσεν, ὡς καὶ τοὺς ὄχλους τηνικαῦτα θαυμάζειν καὶ δοξάζειν αὐτὸν, βλέποντας κωφοὺς λαλοῦντας, καὶ χωλοὺς περιπατοῦντας, κυλλοὺς ὑγιεῖς, καὶ τυφλοὺς βλέποντας. Ἀλλὰ καὶ ὁ καθήμενος ἐπὶ πώλου ὄνου κατὰ τὴν προφητείαν τὴν Ἱερουσαλὴμ εἰσῆλθε παραδόξως, ὑπὸ παίδων ὡς Θεὸς ὑμνούμενος, τοὺς ἐκεῖ προσελθόντας χωλοὺς καὶ τυφλοὺς ἐθεράπευσεν ἅπαντας, ὡς ὁ Ματθαῖος καὶ τοῦτό φησιν. Εἰς δὲ τὴν Βηθσαϊδὰ ἐλθόντι, φέρουσιν αὐτῷ τυφλὸν, ὡς ὁ Μάρκος φησὶ, καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἅψηται αὐτοῦ· ὁ δὲ Κύριος ἐξαγαγὼν αὐτὸν ἔξω τῆς κώμης, πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, καὶ ἐπιθεὶς αὐτῷ τὰς χεῖρας ἀμυδρῶς βλέπειν ἐποίησεν αὐτόν· εἶτα πάλιν ἐπιθεὶς αὐτῷ τὰς χεῖρας αὐτοῦ, τηλαυγῶς αὐτῷ παρέσχεν ἀναβλέψαι. Ἐν δὲ τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχὼ, ὡς ὁ Λουκᾶς φησιν, ἰάσατο λόγῳ μόνῳ τὸν καθήμενον παρὰ τὴν ὁδὸν τυφλὸν καὶ προσαιτοῦντα, πρὸς αὐτὸν αἰτήσαντα τὴν ἴασιν εἰπὼν, « Ἀνάβλεψον. » Ἐκπορευόμενος δὲ ἀπὸ τῆς Ἱεριχὼ, ὡς ὁ Μάρκος καὶ τοῦτό φησιν, ἕτερον πάλιν ὀμματοῖ τυφλὸν, Βαρτιμαῖον τὸν τοῦ Τιμαίου, εἰπὼν πρὸς αὐτὸν αἰτήσαντα τὴν ἀνάβλεψιν· « Κατὰ τὴν πίστιν σου γενηθήτω σοι. » Ἐπὶ δὲ τῆς Ἱερουσαλὴμ, ἰδὼν τυφλὸν ἐκ γενετῆς, ὡς ὁ Ἰωάννης φησὶν, οὐδὲ αἰτηθεὶς, ἀλλ' αὐτοκινήτως δι' ἀγαθότητα πτύσας ἐπὶ τὴν γῆν, καὶ πηλὸν ποιήσας, καὶ τοῦ τυφλοῦ τοὺς ὀφθαλμοὺς ἀλείψας, εἶπε πρὸς αὐτόν· « Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ· » ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων.

A mutos, cæcos, claudos, debiles et alios multos, et submiserunt eos ad pedes ejus, et curavit eos, ita ut turbæ mirarentur videntes mutos loquentes, clandos ambulantes, curvos rectos, cæcos videntes, et magnificarent Deum [46]. » Sed sedens super pullum asinæ secundum prophetiam, gloriose ingressus est Jerusalem a pueris ut Deus acclamatus, et accesserunt ad eum cæci, et claudi et sanavit omnes, ut refert quoque Matthæus [47]. Ingrediente autem Bethsaidam, « adducunt ei cæcum, et rogabant eum ut illum tangeret » ut dicit Marcus [48]. Dominus autem educens eum extra vicum et conspuens in oculos ejus, impositis manibus suis obscure eum videre fecit. Deinde iterum imposuit manus super oculos ejus, et restitutus est ita ut clare videret omnia. B Cum appropinquaret Jesus Jericho, ut narrat Lucas [49], solo verbo sanavit cæcum secus viam sedentem et mendicantem, ei curationem ab eo petenti dicens: « Respice. » Profectus autem ab Jericho, ut et refert Marcus [50], rursus alium duobus oculis cæcum filium Timæi Bartimæum sanavit, ei ab ipso visum petenti dicens: « Fiat tibi secundum fidem tuam. » Et cum Hierosolymis vidisset cæcum a nativitate, ut narrat Joannes [51], non rogatus, sed propria impulsus bonitate exspuit in terram, lutum fecit, unxit oculos cæci et dixit ad eum: Vade, lava in natatoria Siloe; abiit ergo, et lavit, et venit videns.

Ἀλλὰ καὶ μετὰ τὸ ἀναστῆσαι θανοῦσαν τὴν Ἰαείρου τοῦ ἀρχισυναγώγου παῖδα, ὡς ἀκουσόμεθα τοῦ Ματθαίου σήμερον εὐαγγελιζομένου· « Παράγοντι τῷ Ἰησοῦ, ἠκολούθησαν δύο τυφλοὶ κράζοντες καὶ
168 λέγοντες, Ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ. Ὁ δὲ σὺν αὐτοῖς εἰσελθὼν εἰς τὴν οἰκίαν, καὶ ἁψάμενος τῶν ὀφθαλμῶν αὐτῶν, καὶ πρὸς αὐτοὺς εἰπὼν, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν, ἐθεράπευσεν αὐτούς. » Χωρὶς οὖν τῶν μὴ ἀριθμῷ περιληφθέντων, ἓξ εἰσιν οἱ κατηριθμημένοι· καὶ οἶμαι μηδένα τῶν ἐν Ἰουδαίᾳ, ἢ καὶ τῶν ἐγγειτόνων ὄντων τηνικαῦτα τυφλῶν ἀφώτιστον περιλειφθῆναι. Διὸ καὶ Ἡσαΐας ὡς ἐκ προσώπου τοῦ Χριστοῦ προεῖπεν, ὅτι ἀπεστάλη παρὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος αὐτοῦ, « Κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. » Πῶς δὲ οὐκ εἶπεν ὁ προφήτης, ὅτι ἀπεστάλη δοῦναι τοῖς τυφλοῖς ἀνάβλεψιν, ὅπερ δὴ καὶ γέγονεν, ἀλλ' ἀπεστάλη κηρύξαι τοῖς τυφλοῖς ἀνάβλεψιν; Ἐπειδήπερ οὐ προηγουμένως ἐπὶ τὴν γῆν ὁ Κύριος ἦλθεν ἵνα τοὺς σωματικοὺς ἀνοίξῃ ὀφθαλμοὺς, ἀλλὰ τοὺς τῆς ψυχῆς, οἵτινες ὀφθαλμοὶ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος κτῶνται τὴν ἀνάβλεψιν· εἰκότως οὖν ἡ προφητεία κηρύξαι τὸν Κύριον τοῖς τυφλοῖς ἀνάβλεψίν φησιν. Ὥσπερ δὲ αὐτὸς ὁ Κύριος ἡμῖν παραγγέλλει τὰ πνευματικὰ ζητεῖν· « Ἐργάζεσθε, λέγων, μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν

C Sed et post resuscitationem filiæ Jairi archisynagogi mortuæ, ut audivimus hodie Matthæum narrantem: « Prætereuntem Jesum sequebantur duo cæci, clamantes et dicentes: « Miserere nostri, fili David. » Qui ingressus est cum eis in domum, et cum tetigisset oculos eorum, dixissetque eis: « Fiat vobis secundum fidem vestram. » sanavit eos. Præter eas quæ non numerantur sanationes sex narrantur, et nullum puto cæcum inter eos qui in Judæa vel propinquis regionibus degebant absque visu fuisse relictum. Propterea et Isaias velut in persona Christi futura prænuntians ait, ipsum esse a Patre et Spiritu sancto missum « ut prædicarem captivis indulgentiam et [52] cæcis visus recuperationem. » Quare ergo non dixit propheta: Quia missus D est ut daret cæcis visum, sicut revera factum est, sed « ut prædicarem cæcis visum? » Sane quia præcipue super terram Dominus venit, non ut corporis oculos, sed mentis oculos aperiret, qui per evangelicæ doctrinæ prædicationem visum recipiunt; recte ergo dixit prophetia Dominum prædicavisse cæcis visum. Sicut docet nos Dominus spiritualia quærere, dicens: « Operamini non cibum qui perit, sed qui permanet in vitam æternam [53]; » et se promittit temporalia adjiciturum, si spiritualia quæramus, dicens: « Quærite primum regnum Dei, et hac omnia adjicientur

[46] Matth. xv, 29. [47] Matth. xxi, 14. [48] Marc. viii, 22. [49] Luc. xviii, 35. [50] Marc. x, 46. [51] Joan. ix, 1. [52] Isa. lxi, 1. [53] Joan. vi, 27.

Digitized by Google

vobis [54]; » ita et de oculis facit. Inclinans enim cœlos et misericordia motus in terram descendens ut per evangelicam prædicationem animæ nostræ oculos aperiret, donaretque nobis visum spiritualem, addidit et sensibilium oculorum curationem. Ideo multa sunt in utriusque generis curationibus analoga, in corporali dico et in spirituali. Sicut enim de corporaliter cæcis, alii quidem statim visum receperunt, ut iste qui audivit: «Respice, et subito sanatus est,» alii vero paulatim, ut qui cum nondum integram sanationem recepisset dicebat: Video homines velut arbores ambulantes; ita inter eos qui per fidem spiritualium oculorum sanationem receperunt, alii subito hanc receperunt, sicut evangelista statim a telonio vocatus; alii paulatim, sicut Nicodemus occultus adhuc Christi discipulus. Et sicut inter corporaliter cæcos, alii solo verbo sanati sunt, sic Bartimæus, alii vero et opere, ei enim qui in Bethsaida sanatus est ex suo sputo inspersit oculos Jesus. Hic enim, ut videtur, palpebras quidem habebat, vacua vero erant fluente ex oculis humore, qui per divinum sputum restitutus est. Qui vero a nativitate cæcus erat, nec palpebras habebat, ideoque quodam plasmate indigebat quod per lutum divinis digitis mistum ei concessum est.

A αἰώνιον· » ἐπαγγέλλεται δὲ προσθήσειν ἡμῖν καὶ τὰ σωματικά, εἴπερ ἡμεῖς τὰ ψυχωφελῆ ζητοῦμεν, « Ζητεῖτε, λέγων, τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν, » οὕτω καὶ ἐπὶ τῶν ὀφθαλμῶν ποιεῖ· κλίνας γὰρ οὐρανοὺς καὶ καταβὰς ἐπὶ τῆς γῆς διὰ φιλανθρωπίαν, ὡς ἂν διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος τοὺς τῆς ἡμετέρας ψυχῆς διανοίξῃ ὀφθαλμούς, καὶ χαρίσηται ἡμῖν τὴν κατὰ νοῦν ἀνάβλεψιν, προσετίθει καὶ τῶν αἰσθητῶς μὴ βλεπόντων ὀφθαλμῶν τὴν ἴασιν. Διὰ τοῦτο καὶ πολὺ τὸ κατάλληλον ἐν ἀμφοτέραις ταῖς ἀναβλέψεσι, τῇ τε κατὰ σῶμα λέγω καὶ τῇ κατὰ ψυχήν. Ὥσπερ γὰρ τῶν κατὰ σῶμα τυφλῶν οἱ μὲν ἀθρόαν ἔσχον τὴν ἀνάβλεψιν, ὡς ὁ ἀκούσας, « Ἀνάβλεψον, » καὶ παραχρῆμα ἰαθείς· οἱ δὲ κατὰ μικρόν, ὡς ὁ εἰπὼν B πρὸ τοῦ τελείως τὴν ἴασιν λαβεῖν, ὅτι Ὡς δένδρα τοὺς ἀνθρώπους ὁρῶ περιπατοῦντας· οὕτω καὶ οἱ διὰ τῆς πίστεως τὴν τῶν νοητῶν ὀφθαλμῶν ἴασιν δεξάμενοι, οἱ μὲν ἀθρόαν ταύτην εὗρον, ὡς ὁ ἐκ τελώνου εὐαγγελιστὴς εὐθὺς ἀναφανείς· οἱ δὲ κατὰ μικρόν, ὡς ὁ νυκτερινὸς ἔτι μαθητὴς Νικόδημος. Καὶ καθάπερ τῶν κατὰ σῶμα τυφλῶν οἱ μὲν λόγῳ μόνῳ τῆς ἰάσεως ἔτυχον, ὡς ὁ Βαρτιμαῖος, οἱ δὲ καὶ ἔργῳ· τῷ γὰρ παρὰ τῇ Βηθσαϊδᾷ καὶ τοῦ οἰκείου πτύσματος τοῖς ὀφθαλμοῖς ἐνέθηκεν· οὗτος γάρ, ὡς ἔοικε, βλέφαρα μὲν εἶχε, κενὰ δὲ ταῦτα εἶχε, ἐκρυέντος τοῦ τῶν ὀφθαλμῶν ὑγροῦ, ὃ καὶ διὰ τοῦ θείου τότε πτύσματος ἐδέξατο. Ὁ δὲ ἐκ γενετῆς τυφλὸς οὐδὲ βλέφαρα εἶχε· διὸ καὶ τοῦ ἐκ γῆς πλάσματος ἐδεῖτο, ὃ καὶ διὰ τοῦ φυραθέντος πηλοῦ τοῖς δεσποτικοῖς ἐδέξατο δακτύλοις.

Sicut ergo inter corporaliter cæcos, alii ut jam dixi, solo verbo prolato sanati sunt, alii autem et opere, sic illis qui spiritualium oculorum curationem receperunt quæ, ut diximus, transitus est de infidelitate ad fidem, opus fuit prodigiis ad credendum, ut eis qui missi sunt a Joanne ad interrogandum: « Tu es qui venturus es, an alium expectamus [55]? » Alii solo verbo hanc fidem receperunt, credentes ex solo auditu, ut iste centurio, quem testificatus est ipse Dominus fide præstare super Israel. Tales sunt et qui secundum nobis hodie lectum Matthæum corporalem a Deo visum receperunt. Videntur enim ante suam sanationem credidisse; cæci enim cum essent credere non potuerunt nisi ex auditu; « Transeunte enim inde Jesu secuti sunt eum duo cæci clamantes et dicentes: Miserere nostri, fili David [56]. » Quomodo enim sequerentur, quomodo sequentes peterent et cum clamore quidem tam miserabili cæcorum oculorum sanationem, nisi credidissent? Et aliis extrinsecus cæcorum fides innotescit. Transeunte, ait evangelista, inde Jesu. Unde quæso et cur hoc ponit evangelista? Non hic solum, sed et paulo supra? « Transiens enim, inquit, Jesus inde vidit hominem sedentem in telonio Matthæum nomine, » hunc scilicet evangelistam quem solo verbo sibi acquisivit. Mihi videtur evangelista sic loqui ad indicandum prudenter audientibus rem esse anagogice intelligendam. Qui alta totam incarnationis Dominicæ œcono-

Ὥσπερ οὖν τῶν κατὰ σῶμα τυφλῶν οἱ μέν, καθάπερ ἔφην, λόγῳ μόνῳ τὴν ἴασιν ἔλαβον, οἱ δὲ καὶ C ἔργῳ· οὕτω καὶ ἐπὶ τῶν λαβόντων τῶν κατὰ ψυχὴν ὀφθαλμῶν τὴν ἴασιν, ἥτις ἐστί, καθάπερ ἔφημεν, ἡ ἐξ ἀπιστίας εἰς πίστιν μετάθεσις, τοῖς μὲν καὶ θαυμάτων ἐδέησεν εἰς τὸ πιστεῦσαι, ὡς καὶ τοῖς πεμφθεῖσι παρὰ τοῦ Ἰωάννου ἐρωτῆσαι· « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; » Οἱ δὲ καὶ λόγῳ μόνῳ ταύτην ἔλαβον, πιστεύσαντες ἐκ μόνης ἀκοῆς, ὡς καὶ ὁ ἑκατόνταρχος, ὃν καὶ ὁ Κύριος τοῦ Ἰσραὴλ ὑπερέχειν ἐμαρτύρησε κατὰ τὴν πίστιν. Τοιοῦτοι οἱ κατὰ τὸν εὐαγγελιζόμενον ἡμῖν σήμερον Ματθαῖον τὴν σωματικὴν ἀνάβλεψιν παρὰ Χριστοῦ λαβόντες· φαίνονται γὰρ καὶ πρὸ τῆς ἰάσεως πιστεύσαντες, τυφλοὶ δὲ ὄντες, πάντως ἐξ ἀκοῆς 109 ἐπίστευσαν· « Παράγοντι γάρ, φησί, τῷ Ἰησοῦ ἐκεῖθεν ἠκολούθησαν αὐτῷ δύο τυφλοί, κράζοντες D καὶ λέγοντες, « Ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ. » Πῶς οὖν ἂν ἠκολούθησαν, πῶς δ' ἂν ἀκολουθοῦντες ᾔτουν καὶ μετὰ κραυγῆς, καὶ ταῦτα τοιοῦτον ἔλεον, ἀνάβλεψιν τυφλῶν ὀμμάτων, εἰ μὴ ἐπίστευσαν; Ἀλλὰ τὴν μὲν τῶν τυφλῶν πίστιν καὶ τὰ ἑξῆς δηλώσει. Παράγοντι δέ, φησί, τῷ Ἰησοῦ ἐκεῖθεν· πόθεν ἐκεῖθεν, καὶ τίνος ἕνεκα τοῦτο τίθησιν ὁ εὐαγγελιστής; Καὶ οὐδ' ἐνταῦθα μόνον, ἀλλὰ καὶ μικρὸν ἀνωτέρω; « Παράγων γάρ, φησίν, ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, » τὸν εὐαγγελιστὴν τοῦτον, ὃν καὶ λόγῳ μόνῳ τηνικαῦτα μετεσκεύασεν. Ἐμοὶ γοῦν δοκεῖ

[54] Luc. XII, 31. [55] Matth. XI, 3. [56] Matth. IX, 27.

Digitized by Google

λέγειν οὕτω τὸν εὐαγγελιστὴν, ἀφορμὴν διδόντα τοῖς συνετῶς ἀκροωμένοις καὶ ἀναγωγικῶς ἐκδέχεσθαι τὰ ἱστορούμενα· ἴδοι γὰρ ἄν τις ἀκριβῶς ἐπισκοπῶν πᾶσαν τὴν διὰ σαρκὸς δεσποτικὴν οἰκονομίαν, συνεπτυγμένως ὑπογράφουσαν, καὶ σοφῶς καὶ θαυμασίως ἀνακηρύττουσαν τὴν ἱστορίαν ταύτην. Κατοικίαν γὰρ ὁ Κύριος ἔσχεν ἐν Καπερναοὺμ· « Ἐλθὼν γάρ, φησὶ, κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν· » ἡ δὲ αὐτοῦ τηνικαῦτα κατοικία τὸν οὐρανὸν ὑπέγραφε πάντως, ἐν ἑαυτῇ φέρουσα τὸν κατοικοῦντα ἐν τοῖς οὐρανοῖς. Διὸ καὶ ὁ Κύριος ἀλλαχοῦ· « Καὶ σὺ, Καπερναοὺμ, φησὶν, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα. »

Ὡς οὖν ἐκ τῆς οἰκίας ἐκείνης, οὕτω διὰ τοῦ σάρκα λαβεῖν ὁ Κύριος ἐξελθὼν ἐξ οὐρανοῦ, παράγων ἐκεῖθεν, εἰ μὲν τὴν ἐξ οὐρανοῦ νοήσεις ἔξοδον, τούς τε ἀποστόλους εὑρήσεις ἐκλεξάμενον, καὶ τῆς φύσεως ἡμῶν τὴν πρὸς ἀκαθαρσίαν ῥύσιν ἰασάμενον· εἰ δὲ ἐκ τῆς ἐν τῇ Καπερναοὺμ οἰκίας τοῦτον παράγοντα νοήσεις, εὑρήσεις αὐτὸν τὰ προειρημένα δι' ἔργων ὑποδείξαντα· τόν τε γὰρ Ματθαῖον εἰς ἀπόστολον ἐκ τελώνου τότε μετεσκεύασε, καὶ τὴν αἱμοῤῥοοῦσαν ἰάσατο ἐν τῷ παράγειν. Ἀλλὰ καὶ μέχρι τῆς θανούσης τοῦ Ἰαείρου παιδὸς ἐλθὼν, καὶ διὰ τοῦ ζωοποιῆσαι ταύτην νικητὴν εἶναι τοῦ θανάτου δείξας ἑαυτὸν, ἐπανέρχεται πάλιν ὅθεν ἐξῆλθεν. Ἐπανερχόμενος οὖν, καὶ παράγων αὖθις ἐκεῖθεν, ἀνοίγει τῶν ἀκολουθησάντων τούτων τυφλῶν τὰ ὄμματα, ὡς καὶ μέχρι θανάτου καταβὰς αὐτὸς, καὶ δι' ἀναστάσεως οἰκείας τοῦ θανάτου καταργήσας τὸ κράτος, ἐπανάγων αὖθις καὶ παράγων ἐκεῖθεν, διήνοιξε κατὰ τὸ γεγραμμένον τὸν νοῦν τῶν αὐτοῦ μαθητῶν τοῦ συνιέναι τὰς Γραφάς. Οἱ δὲ ἐξελθόντες, ἐκήρυξαν αὐτὸν πανταχοῦ τῆς γῆς, ὡς καὶ περὶ τῶν ἀναβλεψάντων νῦν τυφλῶν ὁ εὐαγγελιστής φησιν, ὅτι· « Ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. » Ὁρᾶτε σαφῆ τὴν ὑπογραφὴν τῆς θεανδρικῆς σχεδὸν οἰκονομίας πάσης ἐν τῇ ἱστορίᾳ ταύτῃ; Διὰ τοῦτο καὶ δὶς εἴρηται τὸ, Παράγων ἐκεῖθεν, ἵνα τὴν ἔξοδον καὶ τὴν ἐπάνοδον αὐτοῦ κατανοήσωμεν· κατὰ μίμησιν γὰρ ταύτης τῆς ἐξόδου τε καὶ ἐπανόδου καὶ ὁ ἱερεὺς ἐξιὼν τοῦ θείου βήματος, καὶ μέχρι τῶν ἐσχάτων κατιὼν, ἐπανιὼν πάλιν ὅθεν ἐξῆλθεν ἀποκαθίσταται. Παράγοντι οὖν ἐν τῇ ἐπανόδῳ τῷ Κυρίῳ ἠκολούθησαν αὐτῷ δύο τυφλοί· τοὺς δύο λαοὺς ὑπογράφοντες, τόν τε ἐξ Ἰουδαίων καὶ τὸν ἐξ ἐθνῶν. Ἔκραζον δὲ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ· δεικνύντες αὐτὸν εἶναι τὸν προφητευόμενον καὶ προσδοκώμενον. Ὁ δὲ Κύριος ὁμοῦ καὶ τὴν ὑπογραφὴν τῆς οἰκείας οἰκονομίας πληρῶν, καὶ τῶν τυφλῶν τὴν πίστιν γυμνάζων ἢ καὶ φανερῶν, παρέλκει αὐτοὺς σιγῶν μέχρι τοῦ εἰσελθεῖν εἰς τὴν οἰκίαν, ἀφ' ἧς ἐξῆλθε τὴν ἀρχήν. **170** Εἶτα λέγει πρὸς αὐτούς· « Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; οἱ δὲ λέγουσιν αὐτῷ· Ναὶ, Κύριε, » Οὐχ ἀγνοῶν δὲ ἐρωτᾷ, ἀλλ' ἵνα τοῖς ἀγνοοῦσι φανερὰν τὴν τῶν τυφλῶν ποιήσῃ πίστιν. Διὸ καὶ ἁψάμενος τῶν ὀφθαλμῶν αὐτῶν ἐπήγαγε· « Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν, καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· » μαρ-

A miam penetraret hanc in hac historia compendiose descriptam, sapienter mirabiliterque prædicatam videret. Habitationem quidem habebat Dominus in Capharnaum. Ait enim evangelista: « Venit et habitavit in Capharnaum urbe maritima [87]. » Illa autem habitatio cœlum omnino referebat; ipsa enim continebat qui habitat in cœlis. Ideo Dominus alibi dicit: « Et tu, Capharnaum, usque ad cœlum exaltata [88]. »

Sicut ergo ex hac domo exivit, sic per incarnationem e cœlis exiens Dominus, transiens inde, si e cœlo intelligis egressum, et apostolos eligentem et naturæ nostræ ad impuritatem inclinationem B reperies sanantem. Si autem ex domo Capharnaum exeuntem intellexeris, hunc per opera verba sua confirmantem invenies. Matthæum enim tunc ex telonio vocatum sibi in apostolum acquisivit et transeundo hæmorrhoissam sanavit. Et usque ad resurrectionem filiæ Jairi veniens, cum per hoc signum se esse mortis victorem ostendisset, illuc unde venerat revertitur. Reversus ergo et rursus inde transiens, oculos horum aperit cæcorum, qui ipsum sequebantur; tandem et ipse cum in mortem descendisset et per propriam resurrectionem mortis abolusset, imperium, ascendens rursus et transiens, inde aperuit, sicut scriptum est, mentem discipulorum suorum, ut intelligerent Scripturas Ipsi autem exeuntes prædicaverunt eum C in universa terra, sicut et de cæcis sanatis narrat evangelista: « Illi autem exeuntes diffamaverunt eum in tota terra illa [89]. » Annon videtis omnis fere divino humanæ dispensationis descriptionem in nostra historia? Bis dictum est: Transiens inde ut exitum reditumque ejus intelligamus. Ad hujus instar exitus reditusque sacerdos e divina sede descendens usque ad imos gradus rursus ascendens illuc inde venerat consedit. Transeuntem ergo in reditu Dominum secuti sunt duo cæci; ipsi sunt duo populi, Judæi scilicet et gentes. Dominus autem et propriam suam œconomiam monstrans, et cæcorum fidem revelans et ostendens, eos usque ad domum, unde primo exierat, silens trahit. Deinde dicit eis: « Creditis quia hoc possum facere vobis? Dicunt ei: Utique, Domine [90]. » Non quasi D ignorans interrogat, ut autem ignorantibus fidem cæcorum revelet; ideo cum tetigisset oculos eorum, addidit: « Secundum fidem vestram fiat vobis. Et aperti sunt oculi eorum testificantes se credidisse indicantesque qualis esset in quem crediderunt, Deus scilicet et homo. Ut homo enim et filius David erat et propriis manibus oculos eorum tetigit et sensibiliter locutus est; ut Deus autem et luminis auctor, cæcis oculis lumen reddidit. Cum ergo ab omnibus, a quibus necesse erat visus fuisset, id est post passionem suam et resurrectionem

[87] Matth. IV, 13. [88] Luc. X, 15. [89] Matth. IX, 31. [90] Matth. IX, 28.

Digitized by Google

a mortuis, jussit : « Comminatus est illis Jesus, ait evangelista dicens : Videte ne quis sciat, » prohibens eum minis ne miraculum revelarent. « Illi autem exeuntes, ait, diffamaverunt eum in tota terra illa. » Ni prohibiti fuissent loqui per universum mundum, ut videtur, prædicavissent potestatem ejus ; quia autem prohibiti, ideo longius ire abstinuerunt, in propinquis autem regionibus non prædicare non sustinuerunt. Sic non secundum corpus solum, sed et secundum animam illuminati sunt cæci qui secuti sunt Dominum.

A τυροῦντες ὅτι ἐπίστευσαν ἐκεῖνοι, καὶ ὅτι τοιοῦτός ἐστιν αὐτὸς, ὁποῖον ὄντα ἐπίστευσαν ἐκεῖνοι, Θεὸς ὁμοῦ καὶ ἄνθρωπος· ὡς μὲν γὰρ ἄνθρωπος, υἱός τε ἦν Δαβὶδ, καὶ ταῖς οἰκείαις χερσὶν ἥψατο τῶν ὀφθαλμῶν, καὶ αἰσθητῶς ἐφθέγξατο. Ὡς δὲ Θεὸς καὶ τοῦ φωτὸς δημιουργὸς φῶς τοῖς σκοτεινοῖς παρέσχεν ὀφθαλμοῖς. Ἐπεὶ δὲ φανερὸν γενέσθαι αὐτὸν τοῖς πᾶσιν οὔπω καιρὸς ἦν· τοῦτο γὰρ μετὰ τὸ πάθος αὐτοῦ, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐταμιεύετο, « Ἐνεβριμήσατο αὐτοῖς, φησὶ, λέγων· « Ὁρᾶτε, μηδεὶς γινωσκέτω· » σιωπᾷν αὐτοῖς ἐπιτάξας μετὰ πολλῆς τῆς σφοδρότητος τὸ γεγονός. Οἱ δὲ « Ἐξελθόντες, φησὶ, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. » Ὡς ἔοικεν, εἰ μὴ παρηγγέλλοντο σιγᾷν, καὶ παγκόσμιοι ἂν ἐγένοντο κήρυκες τῆς αὐτοῦ δυνάμεως· ἐπεὶ δὲ παρηγγέλθησαν, ἀπέσχοντο μὲν τοῦ πόῤῥω βαδίζειν, ἐν δὲ τοῖς πλησιοχώροις οὐχ ὑπήνεγκαν μὴ κηρύττειν. Οὕτω μὴ τὸ σῶμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν τελέως ἐφωτίσθησαν οἱ τῷ Χριστῷ ἀκολουθήσαντες τυφλοί.

Sequamur et nos, fratres, lucem quæ et animam et corpus illuminat. Ambulemus ad claritatem ejus, et quasi in die Domini secure incedemus. Glorificemus eum per bona opera, et sic eos qui vident nos, ad ipsum glorificandum præparabimus. Fugiamus contrarias ipsi tenebras, peccatum dico, principemque peccati diabolum. Lux illa, sol omnis justitiæ, sapientia pacis, bonitatis, innocentiæ, amoris et omnium omnino virtutum sui participes efficit qui ad ipsum appropinquant. Umbra autem opposita, umbra peccati, impudicos, adulteros, sine venia, absque misericordia, incompositos, rapaces et omnis omnino malitiæ repletos ostendit appropinquantes ad se. Unde, quæso, fidelem ab infideli, illuminatum a non illuminato, eum dico qui secundum Christum est baptizatus et Christo annumeratus, a non baptizato et diabolo subjecto, discernimus? Nonne ex verbis? nonne ex operibus? nonne ex moribus? Qui ergo in istis non illuminatis assimilatur dicens se esse baptizatum secundum Christum, nonne recte componendus est cum his de quibus ait Apostolus : « Confitentur se nosse Deum, factis autem negant, cum sint abominati et incredibiles et ad omne opus bonum reprobi [61] ? » Quosnam inter, dic mihi, tales collocabimus Deum simul et confitentes et negantes? Cum fidelibus? Sed negant Deum actibus suis. Cum infidelibus? Sed lingua Deum confitentur ; vere quoddam monstrum sunt duplici facie et menti inintelligibile. Difficultatem præcurrens nobis propheta Psalmista solvit dicens : « Dominus reddet unicuique juxta opera sua [62]. » Ipse Dominus stultum dixit qui audit verba sua et non facit [63]. Paulus autem de cœlo vocatus apostolus dicit : » Iis quidem qui secundum patientiam boni operis gloriam et honorem et incorruptionem quærunt, vitam æternam ; ira autem et indignatio, tribulatio et angustia, in omnem animam hominis operantis malum [64]. » Et rursus : « Non auditores legis justi sunt apud Deum, sed factores legis justificabuntur [64*]. » Et iterum : « Qui in lege gloriaris, per prævaricationem legis Deum inhonoras [65]. »

B Ἀκολουθήσωμεν οὖν καὶ ἡμεῖς, ἀδελφοὶ, τῷ φωτὶ, τῷ καὶ ψυχὴν καὶ σῶμα φωτίζοντι. Ὁδεύσωμεν πρὸς τὴν λάμψιν αὐτοῦ, καὶ ὡς ἐν ἡμέρᾳ Κυρίου εὐσχημόνως περιπατήσωμεν. Δοξάσωμεν αὐτὸν δι' ἔργων ἀγαθῶν, καὶ τοὺς εἰς ἡμᾶς ὁρῶντας δοξάζειν αὐτὸν παρασκευάσωμεν. Φύγωμεν τὸ ἀντίθετον σκότος, ὅ ἐστιν ἡ ἁμαρτία, καὶ ὁ τῆς ἁμαρτίας προστάτης διάβολος. Ἐκεῖνο τὸ φῶς ἥλιος ὑπάρχον τῆς καθόλου δικαιοσύνης, σωφροσύνης, εἰρήνης, συμπαθείας, ἀνεξικακίας, ἀγάπης, καὶ ἁπλῶς πάσης ἀρετῆς, καθίστησι μετόχους τοὺς αὐτῷ προσανέχοντας· τὸ δὲ ἀντίθετον σκότος, σκότος κακίας ὂν, πόρνους, μοιχοὺς, μνησικάκους, ἀσπλάγχνους, ἀτάκτους, ἅρπαγας, καὶ ἁπλῶς πάσης κακίας πεπληρωμένους δείκνυσι τοὺς αὐτῷ πλησιάζοντας. Πόθεν γὰρ, εἰπέ C μοι, τὸν πιστὸν τοῦ ἀπίστου, τὸν πεφωτισμένον τοῦ ἀφωτίστου, ταυτὸ δὲ εἰπεῖν, τὸν βεβαπτισμένον κατὰ Χριστὸν, καὶ συνταξάμενον τῷ Χριστῷ, τοῦ ἀβαπτίστου καὶ τῷ διαβόλῳ συντεταγμένου διακρινοῦμεν; οὐκ ἀπὸ τῶν λόγων; οὐκ ἀπὸ τῶν ἔργων; οὐκ ἀπὸ τῶν τρόπων; Εἴ τις οὖν κατὰ ταῦτα τοῖς ἀφωτίστοις ἐξομοιοῦται, λέγων εἶναι βεβαπτισμένος κατὰ Χριστὸν, οὐ τῆς συμμορίας ἐκείνων ἐστὶ σαφῶς, περὶ ὧν φησιν ὁ Ἀπόστολος· « Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται; βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι; » Ποῦ οὖν, εἰπὲ, τάξωμεν τοὺς τοιούτους ὁμολογοῦντας ἅμα καὶ ἀρνουμένους Θεόν; μετὰ τῶν πιστῶν; ἀλλ' ἀρνοῦνται τοῖς ἔργοις· μετὰ τῶν ἀπίστων; ἀλλ D ὁμολογοῦσι διὰ τῆς γλώττης· ὄντως διπρόσωπόν εἰσί τι καὶ δυσξύμβλητον τέρας. Ὁ μέντοι ψαλμῳδὸς Προφήτης φθάσας διελύσατο τὴν ἀπορίαν· « Ἀποδώσει, λέγων, ὁ Κύριος, ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Αὐτὸς δὲ ὁ Κύριος τὸν ἀκούοντα, καὶ μὴ ποιοῦντα τοὺς αὐτοῦ λόγους, μωρὸν εἶναι ἀπεφήνατο. Παῦλος δὲ ὁ ἐξ οὐρανοῦ κλητὸς ἀπόστολος, « Ἀποδώσει, φησὶν, ὁ Κύριος τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι ζωὴν αἰώνιον· ὀργὴ δὲ καὶ θυμὸς καὶ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν. » Καὶ πάλιν· « Οὐχ 171 οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ,

[61] Tit. I, 16. [62] Psal. LXI, 12. [63] Matth. VII, 26. [64] Rom. XI, 7. 8. [64*] ibid. 13. [65] ibid. 23.

Digitized by Google

ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται· » καί, « Ὃς, φησὶν, ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεώς τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις. »

Καθάπερ δὲ, ἀδελφοὶ, πρὸς τοὺς Ἰουδαίους ἔλεγεν αὐτὸς ὁ Παῦλος, ὅτι· « Περιτομὴ ὠφελεῖ, ἐὰν νόμον πράττῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονεν· » οὕτως οὐδὲν ἀπᾷδον πρὸς ὑμᾶς εἰπεῖν, ὅτι πίστις ὠφελεῖ, ἐὰν κατὰ συνείδησιν πολιτεύηταί τις, καὶ ἀνακαθαίρῃ ἑαυτὸν δι' ἐξομολογήσεως καὶ μετανοίας, καὶ τὰς συνθήκας, ἃς ἐποιήσατο πρὸς τὸν Θεὸν ἐπὶ τοῦ θείου βαπτίσματος, εἰς ἔργον προάγῃ· ἐὰν δὲ τῇ συνειδήσει ἀπειθῇ, καὶ τὰς συνθήκας ἀθετῇ, ἡ τούτου πίστις ἀπιστία γίνεται· πῶς γὰρ ἐπιστεύσαμεν ὅτι σωθησόμεθα βαπτισθέντες; Πάντως ὅτι τοῦ Κυρίου ἠκούσαμεν εἰπόντος· « Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται· ὁ δὲ ἀπιστήσας κατακριθήσεται. » Ἐπεὶ τοίνυν ἐκεῖνος ἀμφότερα ταῦτα εἶπεν ἡ αὐτοαλήθεια, τό τε πιστεῦσαι καὶ τὸ βαπτισθῆναι, τῶν ἀδυνάτων ἐστὶ σωθῆναι τὸν μὴ θέλοντα βαπτισθῆναι, κἂν λέγῃ δῆθεν πιστεύειν· καὶ τὸν μὴ πιστεύοντα, κἂν ἐβαπτίσθη. Ἀλλ' ἐρεῖ πιστεύειν πᾶς ὁ βαπτισθείς· ἀλλ' ἀκούσει παρὰ τοῦ Ἀποστόλου· « Δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου. » Καὶ ὁ Κύριος γὰρ διὰ τοῦτο τὴν πίστιν τῷ θείῳ βαπτίσματι συντάττει, διὰ τῆς πίστεως τὴν τῶν οἰκείων ἐντολῶν τήρησιν τῷ βαπτίσματι συνάπτων. Πρότερον γὰρ εἰπὼν τοῖς μαθηταῖς· « Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει· » εἶτ' ἐπήγαγεν· « Ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται. » Τί οὖν φησιν ἐν τῷ κεκηρυγμένῳ παρὰ τῶν πεμφθέντων Εὐαγγελίῳ, καὶ τί πιστεύειν ἀναγκαίως πρακτέον εἶναι τοῖς ὑπακούουσι; Πάντως ὅτι ὁ τὰς ἐντολὰς ἔχων τοῦ Χριστοῦ, καὶ πράττων καὶ τηρῶν αὐτὰς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν αὐτόν· καί, Ὅτι δι' ὑπομονῆς, καὶ τῆς στενῆς καὶ τεθλιμμένης ζωῆς τῆς σωτηρίας ἐστὶν ἐπιτυχεῖν· καί, « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ἡμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθωμεν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· » ταῦτα γάρ ἐστιν ἅπερ διὰ τοῦ Εὐαγγελίου κηρύττειν αὐτοῖς ἐπέταξεν.

Οὐκοῦν ὁ τηρεῖν σπεύδων τὰς θείας ἐντολὰς, ἐκεῖνός ἐστιν ὁ πιστεύων· ὁ δὲ μὴ σπεύδων πράττειν καὶ τηρεῖν, μηδὲ ζημίαν ἡγούμενος τὸ μὴ τηρεῖν, μηδὲ διὰ μετανοίας ἑαυτὸν ἐπανάγων πρὸς τὴν τῶν θείων ἐντολῶν τήρησιν, οὐδὲ μετὰ τῶν βεβαπτισμένων στήσεται, κἂν λέγῃ βεβαπτίσθαι· « Διχοτομήσει γὰρ, φησὶν, αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. » Ἀλλὰ τοῦτο μὲν πρὸς ἡμᾶς ἐν ἀπειλαῖς ἔτι κεῖται, φιλανθρώπως τοῦ δεσπότου τὴν ἡμετέραν μετάνοιαν ἐκδεχομένου· τοὺς δὲ Ἰουδαίους πρὸς σωφρονισμὸν ἡμέτερον ἐντεῦθεν ἐδιχοτόμησε, καὶ τῆς πρὸς ἑαυτὸν καὶ τὸν Ἀβραὰμ συγγενείας ἀπηλλοτρίωσε, πρὸς αὐτοὺς λέγων· « Ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰς ἐπιθυμίας αὐτοῦ θέλετε ποιεῖν. » Καὶ πάλιν· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Ὅτι δὲ ἐκ γένους Ἀβραὰμ ἦσαν οὗτοι, τίς οὐκ οἶδεν; Εἰ γοῦν ἡ τῶν ἔργων τε καὶ

A Sicut ergo, fratres, ut dixit Paulus ad Judæos: « Circumcisio quidem prodest, si legem observes; si autem prævaricator legis sis, circumcisio tua præputium facta est [66]; » sic et nos dicere possumus quod fides prodest si quis secundum conscientiam vivat, seipsum per confessionem et pœnitentiam purificet et in effectum traducat quas in baptismo ad Deum fecit promissiones; si autem conscientiæ rebellis, promissionibus infidelis sit, ejus fides infidelitas efficitur. Quomodo enim speramus nos baptizatos futuros esse salvos? Sane quia Dominum audivimus dicentem: « Qui crediderit et baptizatus fuerit, salvus erit: qui vero non crediderit, condemnabitur [67]. » Cum ergo hæc duo requiri dixerit ipsa veritas et credere et baptizari, B impossibile est ut salvetur qui baptizari noluerit, etsi aliunde se dicat credere, et qui non crediderit quando quidem baptizatus fuerit. Tu vero mihi dices: credit quicunque est baptizatus; sed audi Apostolum: « Ostende mihi fidem tuam ex operibus tuis [68]. » Idcirco Dominus fidem cum baptismo divino conjungit, cum fide uniens cæterorum præceptorum observationem cum baptismo. Cum enim jam discipulis dixisset: « Euntes in mundum universum prædicate Evangelium omni creaturæ, » subjunxit: « Qui crediderit et baptizatus fuerit, salvus erit. » Quid ergo per hoc Evangelium a missis prædicatum significat, et quid necesse dicit ab audientibus credendum? Sane: qui. cognoscens mandata Christi facit et servat ea, hic est qui amat eum, et, Per C patientiam, constantiam, tribulationem obtinetur salus. Et: « Nisi abundaverit justitia vestra plusquam Scribarum et Pharisæorum, non intrabitis in regnum cœlorum. » Hæc sunt quæ jussit Jesus per Evangelium prædicari.

Qui ergo de observandis mandatis sollicitus est, hic est qui credit; qui autem de faciendis servandisque non curat mandatis, nec seipsum accusat de eorum violatione nec per pœnitentiam ad eorum observationem se reducens, non cum baptizatis collocabitur, etsi se baptizatum dicat; « Dividet enim eum, ait evangelista, partemque ejus ponet cum hypocritis [69]. » Hoc pro nobis adhuc in minis residet, misericorditer exspectante Domino pœnitentiam no- D stram. Judæos autem ad instructionem nostram divisit, privavitque propinquitate cum seipso et cum Abraham dicens: « Vos ex patre diabolo estis, et desideria patris vestri vultis facere [70]. » Et iterum: « Si filii Abrahæ essetis, opera Abrahæ faceretis [71]. » Quod autem de genere Abrahæ fuerint quis nesciat? Si ergo operum et morum diversitas carnalem generationem ad nihilum redigit, et e filiatione filios secundum sanguinem ejicit; quomodo ergo nos,

[66] Rom. II, 25. [67] Marc. XVI, 16. [68] Jac. II, 18. [69] Matth. XXIV, 51. [70] Joan. VIII, 44. [71] ibid. 39.

Digitized by Google

qui cognationem secundum carnem cum Christo A non habemus, operum et morum diversitas non privabit adoptione filiorum, et cum adversario nos conjunget?

τρόπων ἀλλοτριότης καὶ τὴν κατὰ σάρκα γνησιότητα καταργεῖ, καὶ τοὺς καθ' αἷμα υἱοὺς ἐκβάλλει τῆς υἱότητος, πῶς ἡμᾶς τοὺς μηδὲ κατὰ σάρκα τὸ γένος ἀναφέρειν ἔχοντας εἰς Χριστὸν ἡ διὰ τῶν ἡμετέρων ἔργων τε καὶ τρόπων **172** πρὸς αὐτὸν ἀνομοιότης οὐκ ἀπαλλοτριώσει τῆς θείας υἱοθεσίας, καὶ τῷ ἀντικειμένῳ φέρουσα συντάξει;

Et hæc omnia nobis dicere misericorditer dignatus est Dominus, et ipsi audemus ad vos loqui qui iisdem subjacemus passionibus, ne hæc faciamus, ne ista patiamur, ne nosmetipsos objiciamur vindictæ eorum qui in æternum reprobi sunt. Nunc enim ad nos pertinet non modo hæc mala fugere per pœnitentiam, sed etiam appropinquare per fructus pœnitentiæ ad Filium Dei et ei assimilari, qui valet de indignis dignos facere, filios Patre suo excelso generare, hæredes et cohæredes regni et B gloriæ suæ et Patris. Quam assequi omnibus contingat in Christo Domino nostro, cui cum Patre et Spiritu sancto gloria in sæculorum sæcula. Amen.

Ἀλλὰ ταῦτα καὶ ὁ Κύριος φιλανθρώπως κατηξίωσεν εἰπεῖν, καὶ ἡμεῖς τολμῶμεν πρὸς ὑμᾶς λαλεῖν, οἱ τοῖς αὐτοῖς ὑποκείμενοι πάθεσιν, ἵνα μὴ ταῦτα πράττωμεν· ἵνα μὴ ταῦτα πάθωμεν· ἵνα μὴ τῇ καταδίκῃ τῶν εἰς τέλος ἀποβλήτων ὑπευθύνους ἑαυτοὺς ποιήσωμεν. Ἔνι γὰρ ἐνταῦθα μὴ μόνον ταῦτα φυγεῖν διὰ τῆς μετανοίας, ἀλλὰ καὶ διὰ τῶν καρπῶν τῆς μετανοίας, συστῆναί τε καὶ ἀφομοιωθῆναι τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ δυναμένῳ ἐξάγειν ἀξίους ἐξ ἀναξίων, καὶ υἱοποιεῖν δι' ἑαυτοῦ τῷ ἀνωτάτῳ Πατρὶ, καὶ κληρονόμους καὶ συγκληρονόμους ποιεῖν τῆς ἑαυτοῦ καὶ τοῦ Πατρὸς δόξης καὶ βασιλείας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXXI.

*Dicta in publica supplicatione die prima Augusti.*

« Deus mortem non fecit, nec lætatur in perditione vivorum [12]. » Si Deus mortem non fecit, neque malorum quæ illam comitantur nobis est auctor; unde ergo infirmitates et morbi et alia mala, ex quibus mors oritur? Unde mors ipsa? Ex inobedientia nostra Dei mandato, ex transgressione dati nobis a Deo præcepti, ex originali nostro C peccato in paradiso Dei. Et morbi et infirmitates, multiplexque tribulationum onus a peccato procedunt; per ipsum enim induimus pelliceis vestibus hoc morbidum, mortale et multis doloribus obnoxium corpus, et transivimus in hunc temporarium caducumque mundum, et ad vitam doloribus calamitatibusque refertam damnati sumus. Quasi semita brevis et difficilis morbus est, in quam omne hominum genus induxit peccatum, ultima autem hujus semitæ meta, ultimusque terminus, mors est. Non modo Deus mortem non fecit, sed etiam ne fieret prohibuit. Cum quidem hominem vivum liberum fecisset, non poterat impedire ne proprios actus ipse eliceret, auferens nobis ab ipso datam libertatem. Invenit autem in sua sapientia et bonitate D quomodo hominem a morte impediret et liberum conservaret. Quomodo ergo hoc factum est a Deo? Vix formaverat animaveratque hominem cum dedit illi lethiferum consilium, illoque confirmato valde consilio vivificante, suum fecit mandatum, clare prædixit mortem fore pœnam hujus mandati transgressionis, mortem non modo corporalem, sed et spiritualem, dicens nostrorum protoparentum pari: In hora in qua comederitis de ligno scientiæ boni et mali, morte moriemini. Attendite, non dixit jubendo, in quacunque die comederitis moria-

## ΟΜΙΛΙΑ ΛΑ'.

*Ἐκφωνηθεῖσα ἐν λιτῇ τελουμένῃ κατὰ τὴν πρώτην τοῦ Αὐγούστου.*

« Ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων. » Εἰ δὲ θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν, οὐδὲ τῶν ἐπακολουθησάντων τῷ θανάτῳ χαλεπῶν αὐτὸς ἡμῖν ἐστιν αἴτιος, πόθεν οὖν ἡμῖν αἱ ἀῤῥωστίαι καὶ τὰ νοσήματα καὶ τἄλλα τῶν δυσχερῶν, ἀφ' οὗ καὶ ὁ θάνατος; πόθεν δὲ καὶ ὁ θάνατος; Ἀπὸ τῆς πρὸς τὸν Θεὸν τὴν ἀρχὴν ἡμετέρας παρακοῆς· ἀπὸ τῆς παραβάσεως τῆς ὑπὸ Θεοῦ δεδομένης ἡμῖν ἐντολῆς· ἀπὸ τῆς ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ προγονικῆς ἡμῶν ἁμαρτίας. Ὥστε καὶ αἱ νόσοι, καὶ τὰ ἀῤῥωστήματα, καὶ τὸ ποικίλον ἅπαν τῶν πειρασμῶν ἄχθος, ἀπὸ τῆς ἁμαρτίας ἐστί· δι' αὐτὴν γὰρ ἐνεδύθημεν τοὺς δερματίνους χιτῶνας, τὸ νοσερὸν τοῦτο καὶ θνητὸν καὶ πολυώδυνον σῶμα, καὶ μετῳκίσθημεν εἰς τὸν πρόσκαιρον καὶ ἐπίκηρον τοῦτον κόσμον, καὶ κατεδικάσθημεν ζῇν πολυπαθῆ καὶ πολυσύμφορον βίον. Ὁδὸς οὖν ἐστιν οἷον ἡ νόσος τραχεῖά τε καὶ δυσάντης, εἰς ἣν ὁδὸν εἰσήγαγε τῶν ἀνθρώπων τὸ γένος ἡ ἁμαρτία· καὶ τῆς ὁδοῦ ταύτης ὁ τελευταῖος σταθμὸς, καὶ τὸ ἔσχατον καταγώγιόν ἐστιν ὁ θάνατος. Οὐ μόνον δὲ ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλλὰ καὶ ἐκώλυσε γενέσθαι· καίτοι ἐπειδήπερ αὐτεξούσιον ζῶον τὸν ἄνθρωπον ἔπλασεν, οὐκ ἔδει κωλύειν, ἵνα μὴ τὸ οἰκεῖον ἔργον ἀνέλῃ, τὴν παρ' αὐτοῦ δεδομένην ἡμῖν αὐτεξουσιότητα ἀφαιρούμενος. Ἀλλ' εὗρεν ἐν σοφίᾳ καὶ ἀγαθότητι, πῶς ἂν καὶ κωλύσῃ ἀπὸ τοῦ θανάτου τὸν ἄνθρωπον, καὶ αὐτεξούσιον αὐτῷ συντηρήσῃ. Πῶς οὖν τοῦτο ἐποίησεν; εὐθὺς πλάσας τε καὶ ζωώσας ἀποθανατίζουσαν εἰσήνεγκεν αὐτῷ συμβουλὴν, καὶ προασφαλιζόμενος ἄγαν τὴν ζωοποιὸν συμβουλὴν, οἰκείαν ἐποίησεν ἐντολὴν καὶ **173** προηγόρευσε φανερῶς θάνατον εἶναι διασαφηνάμενος τῆς ζωούσης ἐντολῆς τὴν ἀθέ-

[12] Sap. I, 13.

Digitized by Google

τησιν, καὶ θάνατον οὐ τὸν σωματικὸν τέως, ἀλλὰ A τὸν τῆς ψυχῆς, εἰπὼν πρὸς τὴν τῶν προπατόρων ἡμῶν συζυγίαν ἐκείνην, « Ἧ ἂν ὥρᾳ φάγησθε ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, θανάτῳ ἀποθανεῖσθε. » Ὁρᾶτε, οὐκ εἶπε προστακτικῶς, Οἵαν ἡμέραν φάγητε ἀποθάνετε· τὸ γὰρ πρόσταγμα αὐτοῦ γένεσίς ἐστι τοῖς οὖσι πᾶσι· καὶ αὐτὸς τὰ πάντα ἐνετείλατο, καὶ ἐκτίσθησαν, τὸν δὲ θάνατον οὐκ ἐνετείλατο, ἀλλὰ προκατήγγειλεν ἐκ παραβάσεως ἐσόμενον, εἰπών· « Μὴ φάγησθε ἀπὸ τοῦ ξύλου· ᾗ γὰρ ἂν ἡμέρᾳ φάγησθε ἀποθανεῖσθε· » ἵνα τὴν συμβουλὴν στέργοντες, καὶ τὴν παράβασιν φεύγοντες, τῷ θανάτῳ μὴ περιπέσωμεν. Ὅτι δὲ καὶ θάνατον οὐ τὸν σωματικὸν εἶπε τέως, ἀλλὰ τὸν τῆς ψυχῆς, φανερόν· οὐ γὰρ ἀπέθανον σωματικῶς, καθ' ἣν ἡμέραν ἐγεύσαντο τοῦ ἀπηγορευμένου ξύλου.

mini, jussum enim ejus causa est generans creatrix rerum; « ipse enim mandavit, et creata sunt [78]; » mortem vero non mandavit, sed prænuntiavit ex transgressione futuram, dicens : « Ne comedatis de ligno ; in quocunque enim die comederitis, moriemini; » ut consilio obtemperantes et transgressionem fugientes morti non subjaceremus. Quod autem mortem spiritualem dixerit, patet ex eo, quod non mortui sint corporaliter in die qua de ligno prohibito gustaverunt.

Ἀλλὰ τίς ἐστιν ὁ τῆς ψυχῆς θάνατος; ἡ τοῦ Θεοῦ ἐγκατάλειψις· ὥσπερ γὰρ φωτὸς παρόντος, οὐκ ἔστιν ἐν ταυτῷ παρεῖναι καὶ σκότος, ἀλλ' ἐπιλιπόν- B τος τοῦ φωτὸς τὸν τόπον, σκότος ἐπιγίνεται, οὐκ ἐκ τοῦ φωτὸς ἔχον τὴν γένεσιν, ἀλλ' ἐκ τοῦ διαφράττοντος ἐκ τῆς σκιᾶς· οὕτω καὶ τοῦ Θεοῦ αὐτοζωῆς ὄντος, καὶ ζωῆς τῶν ζώντων πάντων, καὶ μάλιστα τῶν θείως ζώντων, παρόντος τῇ καθ' ἡμᾶς ψυχῇ, ἀδύνατον καὶ τὸν θάνατον παρεῖναι ταύτῃ. Ἐγκαταλιπόντος δὲ ταύτην τοῦ Θεοῦ, ὁ θάνατος αὐτῇ προσγίνεται, οὐκ ἐκ τοῦ Θεοῦ τὴν γένεσιν ἔχων, ἀλλ' ἐκ τοῦ αἰτίου τῆς θείας ἐγκαταλείψεως, ὅπερ ἐστὶν ἡ ἁμαρτία. Ὁρᾶτε, πῶς οὐκ ἐκ τοῦ Θεοῦ ὁ θάνατος, ἀλλ' ἐκ τῆς ἁμαρτίας; Ἀλλὰ πῶς ἐγκαταλιμπάνει τὴν ψυχὴν ὁ πανταχοῦ παρὼν, ὁ μηδαμόθεν ἀπών; ὡς πρότερον ἐγκαταλιποῦσαν τοῦτον αὐτὴν ἐκοῦσαν, καὶ ὡς αὐτεξούσιον ὑπ' αὐτοῦ κτι- C σθεῖσαν μὴ βιαζόμενος· ὥστε καὶ τῆς εἰς ἡμᾶς θείας ἐγκαταλείψεως ἡμεῖς ἡμῖν αὐτοῖς ἐσμὲν αἴτιοι, ἀλλ' οὐχ ὁ ποιήσας ἡμᾶς Θεός. Ἡμεῖς οὖν ἐσμὲν φεῦ! οἱ τοῦ οἰκείου θανάτου γεννήτορες, καταλιπόντες ἑκόντες τὸν εἰς τὸ ζῆν κτίσαντα, καὶ ἀεὶ παρόντα, καὶ παρ' ἑαυτοῦ ζωοποιοῦντα δεσπότην, ὥσπερ οἱ ἐν σταθερᾷ μεσημβρίᾳ τοὺς ὀφθαλμοὺς καταμύοντες, καὶ τοῦ φωτὸς ἑκόντες ἀπέχοντες, καίτοι παρόντος καὶ ἐπιλάμποντος· ἀθετήσαντες γὰρ τὴν ζωοποιὸν συμβουλὴν, καὶ τὸν Θεὸν καταλιπόντες διὰ τῆς ἀθετήσεως, καὶ τῆς ζωῆς ἀποστάντες ἑκόντες, προσδεξάμεθα τὴν θανατηφόρον συμβουλὴν τοῦ Σατὰν, καὶ δι' αὐτῆς ἡμῖν αὐτοῖς τοῦτον εἰσῳκισάμεθα, νεκρὸν ὄντα πνεῦμα, ὡς πρότερον αὐτὸν ἐγκαταλιπόντα Θεὸν, καὶ νεκρώ- D σεως ἡμῖν δι' ἑαυτοῦ γενόμενον πρόξενον, καὶ νεκρώσεως ἔτι τῆς κατὰ ψυχὴν λέγω, ἥτις ὅταν ᾖ κεχωρισμένη Θεοῦ, κατὰ Παῦλον εἰπεῖν, ζῶσα τέθνηκε. Μᾶλλον δὲ καὶ θανάτου χείρων αὐτῆς ἡ ζωή· ἀργὴ γὰρ οὖσα πρὸς πᾶν ἀγαθὸν, ἐνεργὴς γίνεται πρὸς πᾶν πονηρὸν, αὐτεπίβουλος οὖσα, καὶ αὐτοφθόνῳ κακίᾳ διηνεκῶς πρὸς τὰ χείρω ἑαυτὴν συνελαύνουσα. Τάχα πολλοὶ τὸν Ἀδὰμ αἰτιῶνται, πῶς εὐκόλως τῷ πονηρῷ συμβούλῳ πεισθεὶς τὴν θείαν ἠθέτησεν ἐντολὴν, καὶ διὰ τῆς τοιαύτης ἀθετήσεως ἡμῖν τὸν θάνατον προεξένησεν· ἀλλ' οὐκ ἔστιν ἴσον πρὸ τῆς πείρας ἐθελῆσαι γεύσασθαι θανασίμου τινὸς βοτάνης, καὶ μετὰ τὸ μαθεῖν διὰ πείρας θανάσιμον οὖσαν, ἀπὸ ταύτης ποθεῖν ἐσθίειν· μεμπτέος γὰρ

Quænam autem mors est animæ? Dei est derelictio. Sicut enim præsente lumine in loco nequeunt esse tenebræ, et, deserente lumine locum, fiunt tenebræ, non a lumine originem habentes, sed ex lumine umbram fugiente, ita Deo qui ipse vita est, et omnium viventium, præsertim spiritualiter viventium, vita est, præsente animæ nostræ, nequit ipsi simul mors adesse. Deserente autem ipsam Deo, mors illi est non ex Deo originem habens, sed ex auctore Dei derelictionis quod est peccatum. Annon videtis quomodo non ex Deo, sed ex peccato mors oriatur? At quomodo animam deserit, qui ubique præsens est et a nullo loco abest? Videte quomodo ipsa prior Deum dereliquerit nulla vi facta animæ quam creaverat liberam, ita ut ipsi contra nos simus divinæ derelictionis causæ, non autem qui fecit nos Deus. Ipsi ergo, heu! sumus propriæ mortis auctores; dereliquimus enim qui nos creaverat, qui semper præsens est et vivificat, Dominum, non secus ac qui in media die oculos claudunt fugiuntque lucem etsi præsens sit eosque illuminet. Derelinquentes enim vivificum consilium Deumque per transgressionem deserentes et a vita recedentes, mortiferum Satanæ consilium amplexi sumus, et per ipsum hunc in nos induximus spiritum mortuum, quia jam Deus illum deseruerat, hunc mortis legatum, et auctorem mortis dico animæ quæ separata a Deo, juxta verba Pauli, viva mortua est. Et pejor morte ipsius vita est. Pigra enim ad omne opus bonum, ardens est ad omne malum, sibi ipsi consiliaria indesinenter sua mortifera impellente malitia ad pejora proruit. Multi forsitan Adamum arguunt, quod tam facile tentatori credens Dei mandatum violaverit et per hujus violationem nobis mortem attraxerit. Dedecet omnino, ante experimentum velle de aliqua mortifera gustare planta et de ipsa per experientiam ut mortifera cognita manducare adhuc continuare. Damnandus est sane magis qui post experimentum venenosum quid absorbens in se ipsum misere mortem attrahit, quam ille qui nullo adhuc facto experimento, idem agit et patitur.

[78] Psal. xxxii, 9.

Digitized by Google

μᾶλλον ὁ μετὰ τὴν πεῖραν σπῶν τοῦ δηλητηρίου, καὶ τὸν θάνατον ἀθλίως πρὸς ἑαυτὸν ἐφελκόμενος, τοῦ πρὸ τῆς πείρας τοῦτο πράττοντός τε καὶ πάσχοντος.

Adamus ergo ante mali experimentum malo consiliario credens, boni consilium mandatumque rejecit. Quisque nostrum illud, eheu, facit post experimentum et minarum adimpletionem; ideo singuli magis arguendi damnandique sumus quam Adamus. At vero inter nos non superest illud lignum et nullum est mandatum de ipso comedere prohibens. Lignum quidem inter nos non est, adest autem et nunc nobis Dei mandatum, quod ipsum facientes et secundum ipsum vivere volentes, a propriorum reatu peccatorum et ab originali maledictione et damnatione liberat; qui vero ipsum repellunt, eique maligni consilium et peccatum anteponunt, in hanc ignis æterni gehennam diabolo et angelis ejus promissam et præparatam mittuntur. Quodnam ergo nunc nobis incumbit Dei mandatum? Pœnitentia, cujus regula præcipua est de illicitis omnino abstinere. Cum enim e loco divinæ voluptatis ejecti sumus justeque de paradiso Dei expulsi, et in hoc barathrum incidimus, et cum animalibus brutis cohabitare commorarique fuimus damnati, et omni spe destituti fuimus atque a revocatione in paradisum removeremus, tunc ipsa justitia pœnam sustinens seu potius juste ipsam in nos venire concedens, excessu bonitatis et amoris erga homines, per viscera misericordiæ suæ, usque ad nos propter nos descendit, et ut exemplo suo doceret salvaretque salutare pœnitentiæ consilium et præceptum attulit dicens: «Pœnitentiam agite, appropinquavit enim regnum cœlorum [7].» Priusquam incarnaretur Verbum Dei, tantum distabat a nobis regnum Dei, quantum distat cœlum a terra. Cum autem rex cœlorum nobiscum conversatus est et habitavit, appropinquavit ad nos omnes regnum Dei.

A Ὁ μὲν οὖν Ἀδὰμ πρὸ τῆς πείρας τῷ πονηρῷ 174 συμβούλῳ πεισθεὶς, παρέβη τὴν τοῦ ἀγαθοῦ συμβουλήν τε καὶ ἐντολήν· ἡμῶν δὲ ἕκαστος τοῦτο πράττει φεῦ! μετὰ τὴν πεῖραν καὶ τὴν ἔκβασιν τῶν ἠπειλημένων· διὸ καὶ περισσότερον ἡμῶν ἕκαστος, ἢ ὁ Ἀδὰμ ἐκεῖνος μεμπτέος ἐστὶ καὶ κατάκριτος. Ἀλλ' οὐκ ἔστιν ἐν ἡμῖν ἐκεῖνο τὸ ξύλον, οὐδὲ τοῦ Θεοῦ νῦν ἐστι πρὸς ἡμᾶς ἐντολὴ τὴν ἐκείνου γεῦσιν ἀπαγορεύουσα. Τοῦτ' αὐτὸ μὲν ἐκεῖνο τὸ ξύλον οὐκ ἔστιν ἐν ἡμῖν ἴσως, ἡ δὲ τοῦ Θεοῦ ἐντολὴ καὶ νῦν ἡμῖν πάρεστι, τοὺς μὲν αὐτῇ πειθομένους, καὶ κατ' αὐτὴν ζῆν ἐθέλοντας, τῆς τῶν οἰκείων πάντων ἁμαρτημάτων εὐθύνης, καὶ τῆς προγονικῆς ἀρᾶς καὶ καταδίκης ἐλευθεροῦσα, τοὺς δὲ καὶ νῦν αὐτὴν ἀθετοῦντας, καὶ προτιμῶντας αὐτῆς τὴν τοῦ πονηροῦ B συμβουλήν τε καὶ προσβολὴν, εἰς τὴν ἠπειλημένην τῷ διαβόλῳ καὶ προητοιμασμένην αἰώνιον ἐκείνην γέενναν τοῦ πυρὸς παραπέμπουσα. Τίς οὖν ἐστιν ἡ νῦν ἡμῖν αὕτη προκειμένη τοῦ Θεοῦ ἐντολή; ἡ μετάνοια· ἧς τὸ κεφάλαιον τῶν ἀπηγορευμένων μηκέτι ψαύειν· ἐπεὶ γὰρ ἀπερρίφημεν τοῦ χωρίου τῆς ἐνθέου τρυφῆς, καὶ ἀπεκλείσθημεν τοῦ παραδείσου τοῦ Θεοῦ δικαίως, καὶ εἰς τὸ βάραθρον τοῦτο καταπεπτώκαμεν, καὶ συνοικεῖν καὶ συνδιαιτᾶσθαι τοῖς ἀλόγοις ζώοις κατεδικάσθημεν, καὶ ἀνέλπιδες κατέστημεν, ὅσον τὸ εἰς ἡμᾶς ἧκον, τῆς πρὸς τὸν παράδεισον ἀνακλήσεως, αὐτὸς ὁ δικαιοσύνη τότε τὴν δίκην ἐπενεγκὼν, μᾶλλον δὲ δικαίως ταύτην ἐπελθεῖν ἡμῖν συγχωρήσας, ὑπερβολῇ νῦν φιλανθρωπίας καὶ C ἀγαθότητος, διὰ σπλάγχνα ἐλέους αὐτοῦ, μέχρις ἡμῶν ὑπὲρ ἡμῶν κατῆλθε, καὶ καθ' ἡμᾶς γενόμενος ἀναμαρτήτως ἄνθρωπος, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀναδιδάξῃ καὶ ἀνασώσηται, τὴν σωτήριον τῆς μετανοίας εἰσήνεγκε συμβουλήν τε καὶ ἐντολὴν, πρὸς ἡμᾶς εἰπών· « Μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν· » πρὸ μὲν γὰρ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ, ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς ἀπέχει, τοσοῦτο μακρὰν ἡμῶν ἦν ἡ βασιλεία τῶν οὐρανῶν· τοῦ δὲ βασιλέως τῶν οὐρανῶν ἡμῖν ἐνδημήσαντος, καὶ τὴν μεθ' ἡμῶν ἕνωσιν εὐδοκήσαντος, ἤγγισεν ἡμῖν πᾶσιν ἡ βασιλεία τῶν οὐρανῶν.

Pœnitentiam agamus ergo, fratres mei, obsecro, et faciamus dignos fructus pœnitentiæ, ut cœlorum regnum hæreditate capiamus; ad nos appropinquavit, non ab eo recedamus per mala opera. Quod nescit occasum lumen illuxit nobis, in claritate ejus ambulemus per bona opera; apparuit vita æterna, hanc acquiramus per virtutum opera quantum poterimus. Qui nos beatificat Christus D ante nos prior ambulavit: strenue sequamur eum. Fugiamus infelicitatem eorum qui in tenebris et in umbra mortis sedent. Quæramus et adimpleamus opera pœnitentiæ, humilitatem, contritionem et dolorem internum, cor mite et misericors, justitiam diligens, puritatem quærens, pacificum, patiens in persecutionibus, calumniis, injuriis et opprobriis et malis pro veritate et justitia exantlatis, memores hujus verbi: « Beati pauperes spiritu,

Μετανοήσωμεν οὖν, ἀδελφοὶ, παρακαλῶ, καὶ καρποὺς ἀξίους τῆς μετανοίας ἐπιδειξώμεθα, ἵνα τὴν τῶν οὐρανῶν βασιλείαν κληρονομήσωμεν· ἐγγὺς ἡμῶν αὕτη γέγονε, μὴ μακρύνωμεν ἡμᾶς αὐτοὺς ἀπὸ ταύτης ἡμεῖς διὰ τῶν ἔργων τῶν πονηρῶν. Τὸ ἀνέσπερον ἡμῖν ἐπέλαμψε φῶς· ὁδεύσωμεν πρὸς τὴν λάμψιν αὐτοῦ διὰ τῶν ἔργων τῶν ἀγαθῶν. Ἡ αἰώνιος ἐφανερώθη ζωή· ἀντιλαβώμεθα ταύτης ἡμεῖς δι' ἀρετῶν ὅση δύναμις. Ὁ μακαρίους ποιῶν ἡμᾶς Χριστὸς ἐπεδήμησε· προθύμως αὐτῷ προσέλθωμεν. Φύγωμεν τῶν ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένων τὴν ἀθλιότητα. Ποθήσωμεν καὶ κτησώμεθα τὰ ἔργα τῆς μετανοίας, φρόνημα ταπεινὸν, κατάνυξιν καὶ πένθος πνευματικὸν, καρδίαν πραεῖαν ἐλέους γέμουσαν, δικαιοσύνης ἐρῶσαν, καθαριότητος ἀντιποιουμένην, εἰρηνικὴν, εἰρηνοποιὸν, φερέπονον, τοῖς ὑπὲρ ἀληθείας καὶ δικαιοσύνης ἐνασμενίζουσαν διωγ-

[7] Matth. IV, 17

Digitized by Google

μαῖς καὶ ζημίαις καὶ ὕβρεσι καὶ συκοφαντίαις καὶ A καθέσει, τοῦ λέγοντος ἀκούοντες· « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται· μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν· μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, » καὶ ὅσα τῶν ἑξῆς. Ἀλλὰ τίνος ἕνεκεν, εἰπὼν ὁ Κύριος, Μακάριοι οἱ πτωχοὶ, προσέθηκε, τῷ πνεύματι; Ἵνα τῆς ἀθλίας τὴν μακαρίαν **175** διέλῃ πτωχείαν, καὶ ἵνα πᾶσαν ὡς ἐν ὀλίγῳ μεμακαρισμένην πτωχείαν συμπεριλάβῃ, καὶ πρὸς τούτοις, ἵνα τὸ αἴτιον τῆς μακαριότητος ἡμῖν ἐπιδείξῃ. Πρωτοπαθὲς γὰρ ὂν τὸ καθ' ἡμᾶς πνεῦμα, καλῶς μὲν ἔχον καὶ θεοφιλῶς μακαρίους ἡμᾶς ποιεῖ· κακῶς δὲ καὶ θεομισῶς διακείμενον ἀθλίους ἀποκαθίστησι· καὶ διὰ τοῦτο ὁ Κύριος ἀπὸ τούτου τὴν B ἀρχὴν τῶν μακαρισμῶν ἐποιήσατο. Τρεῖς δέ εἰσι πτωχεῖαι, μία μὲν ἡ κατὰ τὸν βίον ἑκάστου καὶ τὴν περιουσίαν, ἥτις ἐστὶν ἡ στένωσις τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ᾗ ἐναντιώτατόν ἐστιν ὁ πλοῦτος, κατὰ τὸν εἰπόντα· Πλοῦτον καὶ πενίαν μή μοι δός. Ἑτέρα ἐστὶ πτωχεία ἡ κατὰ τὸ οἰκεῖον ἑκάστου σῶμα, ὅταν ὑπὸ λιτῆς ἄγαν διαίτης καὶ ὀλιγοτροφίας ὑπάρχῃ κατεσκληκμένον, κατὰ τὸν εἰπόντα· « Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. » Ἑτέρα ἐστὶ πτωχεία τὸ μετριάζον καὶ συνεσταλμένον τοῦ φρονήματος τῆς ψυχῆς, ὅπερ ἐστὶν ἡ τοῦ καθ' ἡμᾶς πνεύματος τῆς ψυχῆς ταπείνωσις, ᾗ ἐναντίον ἡ ὑπερηφανία.

Ἐκεῖναι τοίνυν, ἡ τοῦ βίου λέγω, καὶ τοῦ σώματος πτωχεία, ἐὰν μὲν συνημμέναι ὦσι τῷ ταπεινῷ τῆς ψυχῆς φρονήματι, μακαριότητός εἰσιν ἄξιαι· εἰ δὲ διεζευγμέναι τῆς ταπεινώσεως μεθ' ὑπερηφανίας C εἰσὶν, ἀθλιότητος ὄντως εἰσὶ μεσταί. Ἢ γὰρ ἑκουσίως τις ὑπάρχει κατὰ τὸν βίον, ἢ κατὰ τὸ σῶμα πτωχὸς, ἢ ἀκουσίως· ἂν οὖν ἀκουσίως ᾖ τις πτωχὸς, οὐκ ἔχει δὲ τὴν ἐκ μετανοίας τῇ ψυχῇ προσγινομένην ἀγαθὴν διάθεσιν, τὴν ταπείνωσιν, οὐ φέρει γενναίως τὴν ἀκουσίως προσοῦσαν αὐτῷ πτωχείαν, ἀλλὰ καὶ κατὰ Θεοῦ γογγύζει, τῆς δικαιοτάτης αὐτοῦ προνοίας ὡς μὴ τοιαύτης οὔσης καταφερόμενος· καὶ τοῖς ἀνθρώποις πολυτρόπως ἐπηρεάζει, μὴ πρὸς Θεὸν βλέπων, ἐφ' ὃν οὐδεὶς ἐλπίσας κατῃσχύνθη ποτέ· οὐδὲ τὰς δαπάνας συστέλλων, καὶ ταῖς χερσὶ τὸ ζῆν πορίζόμενος, ἢ προσαιτῶν παρὰ τῶν εὐπορούντων σὺν ταπεινώσει· ἀλλ' ἢ κλέπτης, λωποδύτης, τυμβωρύχος, ἅρπαξ γινόμενος· ἢ παράσιτος, συκοφάντης, ψεύστης, ὑποκριτὴς, ἀγενῆ καὶ δουλοπρεπῆ D κολακείας ὑπερχόμενος πρὸς τοὺς ἔχοντας, ἐπὶ προσδοκίᾳ τοῦ λαβεῖν τινα πορισμὸν παρ' αὐτῶν. Ἆρ' οὐκ ἀθλιώτατός ἐστιν ὁ τοιοῦτος πτωχός; μᾶλλον δὲ οἱ τοιοῦτοι, καὶ τῶν ὑπὸ τοῦ Χριστοῦ μακαριζομένων ἀλλοτριώτατοι; Εἰ δέ τις εὑρεθείη πτωχεύων ἑκουσίως μὲν, φυσιώσει δέ τινι μᾶλλον, ἀλλ' οὐ σὺν ταπεινώσει τοῦτο πράττων, μηδὲ διὰ τὴν ἐπαινετὴν πτωχείαν τοῦ πνεύματος, τὴν τρυφὴν καὶ τὸν πλοῦτον ἀποποιούμενος, καὶ οὗτος μικροῦ παραπλήσιος ὑπάρχει τοῖς δαίμοσιν· ἐκείνων γὰρ ἡ

quoniam ipsorum est regnum cœlorum. Beati qui lugent, quoniam ipsi consolabuntur. Beati mites, quoniam ipsi possidebunt terram. Beati qui esuriunt et sitiunt justitiam, » et cætera [75]. Sed quare Dominus beatos dicens pauperes, addidit spiritu? Ut a misera beatam paupertatem discerneret, ut omnem paupertatem quæ modicis rebus est contenta complecteretur; et tandem ut hujus beatitudinis causam nobis ostenderet. Spiritus enim noster omnium affectionum nobis principium est, si sese bene habeat, Deumque diligat, nos beatos reddit; sin autem male Deumque odio habeat, nos miseros facit; idcirco ab eo Dominus beatitudinum principium sumpsit. Tria autem sunt paupertatis genera; una est secundum uniuscujusque vitam et substantiam, quæ est ad vitam necessariorum privatio, cui ex adverso opponuntur divitiæ juxta illud : « Divitias et paupertatem ne des mihi [76]. » Altera paupertas est secundum corpus quando cibo nimis modico vel defectu alimentorum infirmum efficitur, juxta prophetam dicentem, « Genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum [77]. » Tertia tandem est paupertas, humilitas scilicet et depressio sensus animæ, quæ est paupertas spiritus animæ nostræ, cui opponitur superbia.

Illæ paupertates, de ea quæ est secundum vitam et de ea quæ est secundum corpus loquor, si conjunctæ sint cum humilitate animæ beatitudine sunt dignæ; si autem minus sociam humilitatem habeant, imo cum superbia uniantur, miseria vere sunt plenæ. Aliquis enim pauper est secundum corpus, aut secundum vitam, sponte aut contra voluntatem. Si non libenter est pauper, nec bonam dispositionem animæ, quæ ex humilitate nascitur, habet is, ægre feret paupertatem a fato ipsi impositam; imo contra Deum cum murmuré invehitur et divinam Providentiam injustitiæ accusat; homines multimode vexat non respiciens ad Deum, in quem quicunque speravit confusus non est; non sumptus minuit, propriis manibus victum non quærit, nec a divitibus cum humilitate petit, sed fit latro, sepulcrorum spoliator, raptor, vel parasitus, detractor, mendax, hypocrita, turpi servilique adulationi deditus erga possidentes, aliquid victus ab eis accipere sperans. Nonne miserrimus talis est pauper? nonne tales maxime remoti sunt ab eis quos Christus beatificavit? Si quis autem reperiatur libenter pauper, sed ex superbia, non vero ex humilitate et supra laudata spiritus paupertate, voluptatem divitiasque spernit, hic non multum dissimilis est dæmonibus, eorum enim penuria et fames cum superbia subsistit. Quamobrem, « Beati, inquit Dominus, pauperes spiritu [78]; » id est, Beati qui per internam,

[75] Matth. v, 3, 4. [76] Prov. xxx, 8. [77] Psal. cviii, 24. [78] Matth. v, 3.



Digitized by Google

modestam humilemque de seipsis æstimationem, se pauperes faciunt, paupertatem quæ ex castitate corporis est, sectantur, inopiam omnibus divitiis magis desiderabilem æstimant; qui si ipsis aliquid molesti accidat, per patientiam et gratiarum actionem voluntarium sibi bonum reddunt, talium est regnum cœlorum Festinemus, fratres, nos quoque tales fieri pauperes, ut regnum cœlorum obtineamus. Quod si hujusmodi pauperes fieri non volumus, saltem per eleemosynam et bonorum nostrorum communicationem, horum pauperum socii efficiamur. Faciamus nobis amicos ex mammona iniquitatis, id est ex iis quæ superflua sunt, donec in præsenti vita sumus, ut post resurrectionem in alia vita recipiant nos in æterna tabernacula sua. Volebam, fratres, mentem vestram ab omnibus beatitudinibus liberare quas profert Dominus in Evangelio, sed nunc non est tempus, et hujus orationis exordium finem requirit. Ostendere enim vobis proposuimus Deum mortem non fecisse, nec morbos, nec infirmitates; hoc demonstravimus quoad mortem animæ, cujus primarius fuit stimulus peccatum. Nunc quoque quærendum est nobis et discendum unde mors corporis originem ducat; hanc enim mortem non fecit Deus qui est ipsa vita, totus vita, cujusque vitæ causa, temporalis et æternæ præsertim et divinæ.

A μεθ' ὑπερηφανίας ἀτροφία καὶ ἀκτησία· διὰ ταῦτα, « Μακάριοι, φησὶν ὁ Κύριος, οἱ πτωχοὶ τῷ πνεύματι, » τουτέστιν, οἱ διὰ τὴν ἔνδον καὶ ἐν ἑαυτοῖς τοῦ φρονήματος τῆς ψυχῆς ταπείνωσιν, καὶ τὴν ἐκ τῆς ἐγκρατείας τοῦ σώματος ἀσπαζόμενοι πτωχείαν, καὶ τὴν ἀκτημοσύνην πλούτου παντὸς ποθεινοτέραν ἡγούμενοι· οἳ κἄν τι τούτων ἀκουσίως αὐτοῖς ἐπέλθοι, διὰ τῆς ὑπομονῆς καὶ τῆς εὐχαριστίας ἑκούσιον ἑαυτοῖς ποιοῦνται τὸ ἀγαθόν· καὶ τῶν τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Σπουδάσωμεν, ἀδελφοὶ, τοιοῦτοι πτωχοὶ καὶ ἡμεῖς γενέσθαι, ἵνα βασιλείαν οὐράνιον κομισώμεθα. Εἰ δὲ μὴ προαιρούμεθα τοιοῦτοι πτωχοὶ γενέσθαι, διὰ γοῦν τῆς ἐλεημοσύνης καὶ τῆς ἐκ τῶν ὑπαρχόντων ἡμῖν μεταδόσεως κοινωνοὶ τῶν τοιούτων πτωχῶν γενώμεθα. B Κτησώμεθα φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, τουτέστιν ἐκ τῶν κατὰ περισσείαν ἐνόντων **176** ἡμῖν, ἕως ἂν ὦμεν ἐν τῇ παρούσῃ ζωῇ, ὡς ἂν μεταστάντας τῆς ἐνταῦθα ζωῆς, δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους αὐτῶν ἐκεῖνοι μονάς. Ἐβουλόμην μὲν οὖν καὶ πάντων ἑξῆς τῶν ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου μακαρισμῶν παραγυμνῶσαι νῦν ὑμῖν, ἀδελφοὶ, τὴν διάνοιαν· ἀλλ' οὔτε ὁ παρὼν ἀρκέσει καιρὸς, καὶ ὁ προτεθεὶς ἡμῖν τὴν ἀρχὴν λόγος ἀπαιτεῖ τὸ λεῖπον· δεῖξαι γὰρ προεθέμεθα, ὡς ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ νοσήματα καὶ ἀσθενείας· ἐδείξαμεν δὲ τοῦτο ἐπὶ τοῦ κατὰ ψυχὴν θανάτου, οὗ ἐστι προηγουμένως κέντρον ἡ ἁμαρτία. Δεῖ γοῦν καὶ περὶ τοῦ κατὰ σῶμα θανάτου ζητῆσαι καὶ μαθεῖν ἡμᾶς, πόθεν ἔχει τὴν γένεσιν· καὶ τοῦτον γὰρ τὸν θάνατον ὁ Θεὸς αὐτοζωὴ ὤν, καὶ ὅλως ζωὴ, καὶ ζωῆς παντοίας αἴτιος, τῆς τε ἐν χρόνῳ καὶ τῆς ἐν αἰῶνι, καὶ μάλιστα τῆς ἀϊδίου καὶ θεοειδοῦς.

Hanc ergo corporis mortem nec dedit, nec fecit, nec fieri jussit. Quod si etiam hanc mortem Deus non fecit, nec morborum corporalium auctor est, unde ergo nobis corporales infirmitates et morbi? Unde mors corporis? unde hæc mors ipsa? Attendite et intelligite. Spiritualis et omnis mali origo serpens cum per malitiam principatum amiserit, vita bona et vera excidit, juste de illa orbatus, quam ipse dereliquit, et spiritus mortuus est, non quoad substantiam, immortalitatis enim substantia non est, sed per veræ vitæ amissionem. Qui tali non contentus ad malum ausu seipsum facit mortificum spiritum et fraude heu! hominem in suæ mortis participationem attrahit. Consentientes enim Satanæ protoparentes nostri contra Creatoris voluntatem, nudati indumentis lucidis vitalibusque splendoris superni, mortui et ipsi secundum animam velut Satanas facti sunt. Quia vero Satan non modo spiritus mortuus est, sed etiam mortificans eos qui appropinquant, et iis quibus una cum Satan mors erat corpus aderat, per quod mortifera tentatio ad actum propulit, suis corporibus mortuæ mortiferaque animæ mortem communicaverunt statimque in terram dissolutum fuisset humanum corpus, nisi providentia potentiaque superiori concretum sententiam sustinuisset illius, qui solo verbo fert omnia. Removit et distulit sicut supra diximus sententiam mortis corporalis et sapientiæ suæ altitudine et misericordiæ abundantia hanc taliter tulit, ut sibi in fu-

C Καὶ τοῦτον τοίνυν τὸν τοῦ σώματος θάνατον, ὁ Θεὸς οὔτε ἔδωκεν, οὔτε ἐποίησεν, οὔτε προσέταξε γενέσθαι. Εἰ δὲ καὶ τοῦτον ὁ Θεὸς τὸν θάνατον οὐκ ἐποίησεν, οὐδὲ τῶν σωματικῶν νοσημάτων αὐτός ἐστιν αἴτιος, πόθεν οὖν ἡμῖν αἱ σωματικαὶ ἀῤῥωστίαι καὶ τὰ νοσήματα; ἀφ' οὗ καὶ ὁ τοῦ σώματος θάνατος; πόθεν δὲ ὁ θάνατος οὗτος; προσέχετε καὶ συνίετε. Ὁ νοητὸς καὶ ἀρχέκακος ὄφις, ἐπεὶ τὴν ἀρχὴν πρὸς τὴν κακίαν ἀπηυτομόλησε, στερεῖται τῆς ἀγαθῆς καὶ ὄντως ζωῆς, ἀπωσθεὶς ταύτης δικαίως, ἧς ἀπέδρα φθάσας αὐτὸς, καὶ νεκρὸν γίνεται πνεῦμα, οὐ κατ' οὐσίαν, οὐ γάρ ἐστιν οὐσία νεκρότητος, ἀλλὰ κατὰ ἀποβολὴν τῆς ὄντως ζωῆς. Ὁ δὲ κόρον μὴ λαμβάνων τῆς πρὸς κακίαν ὁρμῆς, καὶ νεκροποιὸν ἑαυτὸν ποιεῖ πνεῦμα, δόλῳ φεῦ! τὸν D ἄνθρωπον ἐπισπασάμενος πρὸς κοινωνίαν τῆς οἰκείας νεκρώσεως. Ὁμονοήσαντες δὲ τῷ Σατὰν οἱ τοῦ γένους προπάτορες παρὰ γνώμην τοῦ κτίσαντος, γυμνωθέντες τῶν ἐκ τῆς ἄνωθεν αἴγλης φωτεινῶν καὶ ζωτικῶν ἐνδυμάτων, νεκροὶ φεῦ! ὡς ὁ Σατὰν καὶ αὐτοὶ κατὰ πνεῦμα γεγόνασιν. Ἐπεὶ δ' ὁ Σατὰν οὐ νεκρόν ἐστι πνεῦμα μόνον, ἀλλὰ καὶ νεκροῦν τοὺς ἐγγίζοντας, τοῖς δὲ μετασχοῦσι τῆς ἐκείνου νεκρώσεως καὶ σῶμα παρῆν ἑκατέρῳ, δι' οὗ καὶ συνεπεράνθη πρὸς ἔργον ἐλθοῦσα ἡ νεκροποιὸς συμβουλὴ, μεταδιδόασι καὶ τοῖς οἰκείοις σώμασι τὰ νεκρὰ καὶ νεκροποιὰ γεγονότα πνεύματα τῆς νεκρώσεως, κἂν διελύθη παραυτὰ πρὸς γῆν ἐπιστρέψαν τὸ ἀνθρώπινον σῶμα, εἰ μὴ προμηθείᾳ καὶ δυ-

Digitized by Google

νόμει συνερχόμενον κρείττονι τὴν ἀπόφασιν ἐκαρτέρει, τοῦ ῥήματι μόνῳ τὰ πάντα φέροντος· ὃς ἀνέσχε μὲν καὶ ὑπερέθετο, καθάπερ ἔφημεν πρότερον, τὴν ἀπόφασιν τοῦ κατὰ σῶμα θανάτου, καὶ ἡνίκα ταύτην ἐξήνεγκε βάθει σοφίας καὶ φιλανθρωπίας ὑπερβολῇ, πρὸς τὸ μέλλον τὴν εἰς ἔργον ἔκβασιν ταύτης ἐταμιεύσατο. Οὐ γὰρ εἶπε πρὸς τὸν Ἀδάμ, ὡς Ἐπεὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἐπιστράφηθι ὅθεν ἐξῆλθες, ἀλλὰ πολλὰ μεταξὺ προθεὶς, τὸ διάστημα δηλοῦντα τῆς ἐνταῦθα ζωῆς, εἶτ' ἐπήνεγκεν· « Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » μηδ' ἐνταῦθα προτάσσων, ἀλλὰ προαναγγέλλων, καὶ ἐφιεὶς, καὶ μὴ κωλύων σὺν δίκῃ τὸ ἐκβησόμενον. Ὁρᾶτε, ὅτι οὐδὲ ὁ σωματικὸς θάνατος ἐκ τοῦ Θεοῦ, ἀλλ' ἐκ τῆς ἁμαρτίας καὶ οὗτος, καὶ τῆς τὴν ἁμαρτίαν ἐργασαμένης ψυχῆς, καὶ τοῦ δολίως πρὸς τὴν ἁμαρτίαν συναρπάσαντος ὄφεως; Οὐκοῦν καὶ τὰ σωματικὰ νοσήματα ἀπὸ ταύτης ἔσχε τὴν πάροδον· διὰ τοῦτο καὶ ὁ πρῶτος νοσερὸν κτησάμενος σῶμα, ᾧ καὶ διηνεκεῖ κλόνῳ συζῶν ὁ Κάϊν, ἐκ τῆς ἁμαρτίας εἰς ταύτην ἦλθε τὴν καχεξίαν· ὁ γὰρ τρόμος, ὃν σπασμὸν ἰατρῶν ὀνομάζουσι παῖδες, ἀπροαίρετός ἐστι κίνησις ἐν τοῖς τὰ μέλη συνέχειν καὶ συνδεῖν πεφυκόσι μορίοις τοῦ σώματος· ὃς ὅταν ἐξ ἐνδείας ἐπιγένηται τοῦ ἐμφύτου ὑγροῦ, οὐδ' εἴκει τῇ τέχνῃ, οὐδὲ ἴασιν εἰς τὸ ἑξῆς ἐπιδέχεται.

A turum hujus executionem reservaret. Non enim dixit ad Adam : Eo quod comedisti e ligno quod prohibueram tibi ne comederes, revertere unde existi ; sed multis interpositis hujus vitæ moram indicantibus, addidit : « Quia pulvis es, et in pulverem reverteris ; » nec statim adimplet sed prænuntiat, permittens et non juste impediens quod erat eventurum. Videtisne, mortem corporalem a Deo non esse, sed ex peccato atque et anima quæ peccatum fecit, et serpentis opus, qui fraude ad peccatum attraxit? Ergo et corporales morbi ex ipso peccato ortum habuerunt ; idcirco qui primus morbidum corpus habuit, Cain, qui semper in tremore vixit, in talem devenit ægritudinem. Trepidatio enim quem spasmum medicorum vocant B filii, motus est involuntarius in partibus natis ad aptanda conjungendaque inter se varia corporis membra; qui si oriatur ex defectu naturalis humoris, non arti cedit nec, unquam sanationem recipit.

177 Ἐπεὶ οὖν ὁ Κάϊν κακῶς εἰς τέλος διέθηκε τὸν ἐκ φύσεως ἐνυπάρχοντα πρὸς τὸν οἰκεῖον ἀδελφὸν σύνδεσμον, τὴν ἀγάπην περιτρέψας εἰς μῖσος, γεννηθὲν μὲν ἐκ φθόνου, τελευτῆσαν δὲ εἰς φόνον· διὰ τοῦτο τῇ ἐκ τοῦ φθόνου τηκεδόνος συνεργαζομένης τὸ πάθος, ἀνηκέστῳ καταλλήλῳ παιδεύεται νόσῳ, τῇ κατὰ τὰ νεῦρα καὶ τοὺς μῦς πληγῇ, ἃ σύνδεσμος ὑπάρχει τοῦ σώματος. Ὁρᾶτε σαφῶς, ὅτι μὴ μόνον ὁ θάνατος, ἀλλὰ καὶ τὰ νοσήματα, καὶ αἱ ἀῤῥωστίαι τοῦ σώματος ἐκ τῆς ἁμαρτίας τὴν ἀρχὴν ἔσχον; Τοῦτο καὶ ὁ Κύριος ἡμῖν δεικνὺς ἐν τῷ Εὐαγγελίῳ, μέλλων μὲν ἰᾶσθαι τὸν ἐν Καπερναοὺμ ὑπὸ τεσσάρων πρὸς αὐτὸν καθιέμενον παράλυτον, φησὶ πρὸς αὐτόν· « Τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι, » προανασπῶν οἷον τὸ κέντρον, καὶ τὸ αἴτιον ἐκβάλλων τῆς νόσου, καὶ τότε τὴν ἰατρείαν ἐπάγων. Πρὸς δὲ τὸν ἐν Ἱερουσαλὴμ παρὰ τῇ προβατικῇ κολυμβήθρᾳ κείμενον μετὰ τὴν ἴασίν φησιν· « Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. » Τοῦτο καὶ Παῦλος εἰδὼς, ὅτι τὰ πλεῖστα τῶν νοσημάτων ἐξ ἁμαρτίας εἰσὶν, εἰπὼν περὶ τοῦ ἀναξίως προσερχομένου τῇ μυστικῇ τραπέζῃ, ὅτι κρίμα ἑαυτῷ ἐσθίει καὶ πίνει, εἶτά φησι· « Διὰ τοῦτο πολλοὶ ἐν ὑμῖν ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί. » Ἀλλὰ καὶ τῆς θνητῆς φύσεως αἱ κῆρες, παρ' ὧν ἅπαν νόσημα, τὴν ἀρχὴν πάντως ἐκ τῆς ἁμαρτίας ἔσχον· σπάνιοι δὲ εἰσιν οἱ πρὸς δόξαν Θεοῦ πάσχοντες, ὡς ὁ ἐκ γενετῆς τυφλὸς ὑπὸ τοῦ Κυρίου θεραπευθείς. Ἡ γοῦν φιλανθρωπία τῶν θεοφόρων Πατέρων, ἐπεὶ τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ νοσώδης ἐστὶν ἡ θερινὴ, καὶ ταύτης μᾶλλον ὁ Αὔγουστος μὴν οὗτος· ζέσασα γὰρ ἐκ τῆς προλαβούσης θέρμης καὶ τῶν καυμάτων ἡ ἐν ἡμῖν ὕλη, πᾶν ὅ τί περ ἂν ἑνὸς ἢ δυοῖν εὕροι τῶν ἐν

Cum ergo Cain postremo fœde rupisset vinculum quo cum proprio fratre jungebatur, mutato amore in odium, cujus principium invidia, finis autem fratris cædes, idcirco passio ex consumptione, cujus causa est invidia, alio insanabili morbo augetur, et vulnere, nervorum medullarumque ossium quibus tota consistit compago corporis. Intelligitisne jam C quod non solum mors, sed morbi et infirmitates corporis a peccato oriuntur? Quod nobis ostendit Dominus in Evangelio. Antequam enim sanaret a quatuor viris oblatum ei paralyticum in Capharnaum, dixit ad eum : « Fili, remittuntur tibi peccata tua, » prius stimulum auferens et causam morbi abjiciens, ut deinde sanationem adjiceret. Ad eum autem qui Hierosolymis jacebat ad probaticam piscinam ait post ipsius sanationem : « Ecce sanus factus es ; jam noli peccare, ne deterius tibi aliquid contingat [79]. » Quod cognoscens Paulus scilicet plerosque morbos ex peccato procedere, cum dixisset indigne accedentem ad mysticam mensam, manducare et bibere suum judicium, addit : « Ideo inter vos multi infirmi et imbecilles, et dormiunt multi [80]. » D Sed omnes mortalis naturæ calamitates ex quibus omnis morbus venit, a peccato ortum habuerunt : rari sunt qui ad gloriam Dei patiuntur velut ille a nativitate cæcus, quem curavit Dominus. Misericordia sacrorum Patrum, dum ex quatuor anni tempestatibus, morbifica est æstas, et in ea hic præsertim mensis Augusti; materia enim in nobis ingravescente calore et solis ardore calefacta unum aut duo ex elementis nostris invenerit, et in totum corpus agit, et cætera reddens inutilia morbos procreat. Misericordia ergo, ut dixi, sanctorum Patrum, hanc tempestatem videns morbidam,

[79] Joan. v, 14. [80] I Cor. xi, 30.

Digitized by Google

ut leviores nobis redderet morbos jussit adhiberi benedictam aspersionis aquam ut cum fide utentes inde sanctificati superiores remaneamus morbis ex peccato nos invadentibus. Et simul docent nos, grassante morbo confugiendum esse non ad magos et incantores, sed ad Deum, ad sanctorum ejus invocationem, ad sanctificatas ipsi et per vitam oblatas nobis orationes, preces et supplicationes. Qui enim ad magos et incantores confugiunt, negant esse Deum, conjunguntur dæmonibus suas occidentibus animas, et aliquando insanabiles morbos et mortem ipsam ex eorum commercio reportant. Ochozias enim Achab filius in infirmitatem delapsus, misit ut scriptum est ad deum Accaron : idololatræ enim erant isti, magis et ariolis confidentes : misit ergo Achab regis filius qui interrogarent eos de sua infirmitate; quibus occurrens nuntiis Elias propheta dixit : « Numquid non est Deus in Israel, ut eatis ad consulendum Baal deum Accaron? Quam ob rem hæc dixit Dominus : De lectulo super quem ascendisti, non descendes, sed morte morieris [81]. »

A ἡμῖν στοιχείων, πρὸς πᾶν ἀναχεῖ τὸ σῶμα, καὶ οὕτω τοὺς ἄλλους τῶν ἐν ἡμῖν ἀχρειοῦσα, τὰς νόσους ποιεῖ. Ἡ γοῦν φιλανθρωπία, καθάπερ ἔφην, τῶν ἱερῶν Πατέρων, ἰδοῦσα νοσώδη τὸν καιρὸν τοῦτον, ὡς ἂν ἡμῖν ἐπικουφίσῃ τὰς νόσους, τὸ ἡγιασμένον τοῦτο τοῦ ῥαντισμοῦ προσέταξε τελεῖν ἡμᾶς ὕδωρ, ἵν' ἐντεῦθεν ἁγιαζόμενοι οἱ μετὰ πίστεως προσερχόμενοι, διαμένωμεν ἀνώτεροι τῶν ἐξ ἁμαρτημάτων προσβαλόντων ἡμῖν νοσημάτων· ἅμα δὲ καὶ διδάσκοντες ἡμᾶς, ἄν τινι συμβῇ νόσος, μὴ πρὸς ἐπαοιδοὺς καὶ γόητας τρέχειν, ἀλλὰ πρὸς τὸν Θεὸν, πρὸς τὴν τῶν ἁγίων αὐτοῦ πρεσβείαν, πρὸς τὰς τῶν ἀφιερωμένων αὐτῷ καὶ διὰ βίου ἀνακειμένων ὑπὲρ ἡμῶν ἐντεύξεις καὶ δεήσεις καὶ προσευχάς. Οἱ γὰρ πρὸς ἐπῳδὰς καὶ γοητείας χωροῦντες ἀθετοῦσι τὸ B εἶναι Θεὸν, συντάσσονται τοῖς δαίμοσι, θανατοῦσι τὰς ἑαυτῶν ψυχάς· ἔστι δ' ὅτε καὶ νόσους ἀνηκέστους ἐκ τούτων τρυγῶσι καὶ θάνατον. Ὀχοζίας γάρ ποτε ὁ τοῦ Ἀχαὰβ ἀσθενείᾳ περιπεσὼν, ἔπεμψε κατὰ τὸ γεγραμμένον πρὸς τὸν θεὸν Ἀκκαρών· εἰδωλολάτραι δὲ ἦσαν οὗτοι, καὶ γοητείαις καὶ μαντείαις προσέχοντες· ἔπεμψε γοῦν ὁ τοῦ βασιλέως Ἀχαὰβ υἱὸς οὗτος πρὸς τοιούτους μαθεῖν περὶ τῆς ἀσθενείας αὐτοῦ. Ὑπαντήσας δὲ τοῖς ἀπεσταλμένοις Ἠλιοὺ ὁ προφήτης, φησὶ πρὸς αὐτούς· « Παρὰ τὸ μὴ εἶναι Θεὸν ἐν Ἰσραὴλ, ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι ἐν τῷ Βάαλ θεὸν Ἀκκαρών; Τάδε λέγει Κύριος· Ἡ κλίνη ἐφ' ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ' αὐτῆς, ἀλλὰ θανάτῳ ἀποθανῇ. »

Nonne videtis quod ii qui magos ariolosque ad cognoscendum rem aliquam vel morbum, negent esse inter nos Deum, et inde mortem reportent, animæ præsertim mortem, et etiam aliquando corporis? Qui autem in necessitatibus vel infirmitatibus ad Deum et sanctos ejus confugit, si ei expediat, a necessitatibus corporalibus eruitur et a morbis liberatur; sanitatem vero animæ remissionemque peccatorum semper reperit; sic loquitur Christi apostolus et frater Jacobus : « Infirmatur quis in vobis? inducat presbyteros Ecclesiæ, et orent super eum ungentes eum oleo in nomine Domini, et oratio fidei salvabit infirmum, et excitabit eum Dominus, et si in peccatis sit, remittuntur ei [82]. » Necesse est autem ut cooperemini orationibus propter vos factis, per conversionem, confessionem, eleemosynam et alia pœnitentiæ opera; multum enim valet oratio justi assidua. Fiat ergo ut nos omnes, a malis animæ et corporis liberati hic in tranquillitate viventes feliciter præsentis vitæ spatium percurramus, postea statuto tempore participes efficiamur æternæ, beatæ et incorruptibilis omni dolore et ærumna prorsus alienæ vitæ, in ipso Jesu Christo medico et Deo animarum corporumque nostrorum, cui cum Patre et sancto Spiritu gloria in sæcula sæculorum. Amen.

Ὁρᾶτε, ὅτι οἱ παρὰ γοήτων καὶ μάντεων ἐπιζητοῦντές τι μαθεῖν, ἢ παθεῖν, ἀθετοῦσιν εἶναι τὸν Θεὸν ἐν ἡμῖν, καὶ θάνατον ἐκεῖθεν καρποῦνται μάλιστα 178 C μὲν τὸν τῆς ψυχῆς, ἔστι δ' ὅτε καὶ τὸν τοῦ σώματος; Ὁ δὲ πρὸς τὸν Θεὸν καὶ τοὺς ἁγίους αὐτοῦ προστρέχων ἐν ἀνάγκαις καὶ ἀσθενείαις, εἰ συμφέρει τούτῳ, καὶ τῶν σωματικῶν ἀναγκῶν λύεται, καὶ τῶν νοσημάτων ἀπαλλάττεται· τῆς δὲ κατὰ ψυχὴν ὑγείας, καὶ τῆς τῶν ἁμαρτημάτων ἀφέσεως ἀεὶ ἐπιτυγχάνει· οὕτω γάρ καὶ ὁ τοῦ Χριστοῦ ἀπόστολος καὶ ἀδελφὸς Ἰάκωβός φησιν· « Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου, καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. » Δεῖ δὲ καὶ ὑμᾶς συνεργεῖν ταῖς ὑπὲρ ὑμῶν εὐχαῖς, δι' ἐπιστροφῆς, δι' ἐξαγορεύσεως, δι' ἐλεημοσύνης, D διὰ τῶν ἄλλων ἔργων τῆς μετανοίας· πολὺ γὰρ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. Γένοιτο δὲ ἡμᾶς πάντας, καὶ τῶν τῆς ψυχῆς καὶ τῶν τοῦ σώματος ἀπαλλαγέντας δεινῶν, νῦν μὲν ἐν μετριοπαθείᾳ βιοῦντας, εὐμαρῶς διανύσαι τὸ διάστημα τῆς παρούσης ζωῆς· διανύσαντας δὲ τοῦτο, μεταλαχεῖν κατὰ καιρὸν καὶ τῆς αἰωνίου καὶ μακαρίας καὶ ἀκηράτου ζωῆς, καὶ τελείως ἀπαθοῦς καὶ ἀπήμονος, ἐν αὐτῷ Χριστῷ τῷ ἰατρῷ καὶ Θεῷ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν· μεθ' οὗ τῷ Πατρὶ δόξα σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

[81] IV Reg. I, 3. [82] Jac. V, 14, 15.

Digitized by Google

## ΟΜΙΛΙΑ ΛΒ'.

A

*Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ κατὰ τὸν εὐαγγελιστὴν Ματθαῖον τῆς ἐννάτης Κυριακῆς Εὐαγγέλιον· ἐν ᾗ καὶ περὶ πειρασμῶν.*

Ἰάκωβος ὁ ἀδελφόθεος, « Πᾶσαν χαρὰν ἡγήσασθε, φησὶν, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις. » Οὐκ εἶπεν ἁπλῶς, Χαίρετε, ἀλλὰ, Πᾶσαν χαρὰν ἡγήσασθε, φησὶν, οὐκ ἀνεπαισθήτως ἔχειν πρὸς τὰ ἐπώδυνα παραινῶν· τοῦτο γὰρ ἀδύνατον, ἀλλ' ἐπικρατέστερον ἔχειν εἰσηγούμενος τὸν θεάρεστον λογισμόν. Πᾶσαν δὲ εἶπε χαρὰν, τουτέστι τελείαν, μεγίστην, ἀνελλιπῆ, καὶ μάλισθ' ὅταν οἱ πειρασμοὶ πολυειδεῖς ὦσι· διατί; Ὅτι διὰ τῆς τῶν πειρασμῶν ὑπομονῆς γυμναζόμεθα, καὶ δοκιμώτεροι γινόμεθα τὰ πρὸς τὸν Θεόν. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ B γνώριμοι τοιοῦτοι ὄντες· οὕτω γὰρ καὶ ἡ τοῦ Σολομῶντος σοφία περὶ τῶν ἁγίων φησίν· « Ὅτι ἐπείρασεν αὐτοὺς ὁ Θεὸς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. » Ἆρ' οὐ πάσης χαρᾶς ἄξιος αὐτοῖς ὁ πειρασμὸς οὗτος; Τοῦτο καὶ ὁ Θεὸς πρὸς τὸν Ἰὼβ εἰπὼν, ἀπήλλαξεν αὐτὸν τῆς ἐπὶ τῷ πειρασμῷ λύπης· « Οἴει με, λέγων, ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; » Τί τοῦτο λέγων πρὸς αὐτόν; ἐχρησάμην σοι, δοκιμάζων σου **179** τὴν εἰς ἐμὲ πίστιν, ἐν εὐεξίᾳ καὶ εὐδοξίᾳ καὶ εὐπορίᾳ καὶ ἀνεφάνης δίκαιος, χρώμενος αὐτοῖς κατὰ τὸ ἐμὸν θέλημα, τοῦ ταῦτά σοι παρασχόντος, καὶ ὡς αὐτὸς ἐβουλόμην, ταῦτα διαφέρων καὶ διοικῶν· ἐχρησάμην σοι, δοκιμάζων σου τὴν εἰς ἐμὲ πίστιν, ἐν καχεξίᾳ καὶ ἀδοξίᾳ, καὶ ἀπορίᾳ, καὶ ἀνεφάνης δίκαιος, C λέγων· « Εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; »

Πόθεν οὖν ἡ ἐν τοῖς πειρασμοῖς ὑπομονή; ἀπὸ τοῦ δοκίμου τῆς εἰς Θεὸν πίστεως· ὥστε δοκιμιόν εἰσι τῶν πιστῶν οἱ πειρασμοί. Διόπερ ὁ τοῦ Κυρίου ἀδελφὸς Ἰάκωβος χαίρειν ἡμῖν παραγγείλας, ὅταν πειρασμοῖς περιπέσωμεν, ἐπήγαγεν ὅτι· « Τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· ἡ δὲ ὑπομονὴ, φησὶν, ἔργον τέλειον ἐχέτω. » Μηδὲν, φησὶ, τῶν ἔργων σοι τῆς ἀρετῆς κολοβώσῃς, ἐπενεχθέντων τῶν πειρασμῶν μαλακισθεὶς, ἀλλὰ μετὰ τῆς ὑπομονῆς καὶ ἡ τελειότης προσέστω σοι τῆς ἀρετῆς. Ἐπεὶ δὲ καὶ διὰ τῶν ἀκουσίων μόνον οὐ τελειοῦται ὁ ἄνθρωπος, ἀλλὰ χρὴ προσεῖναι καὶ τὰ ἑκούσια, ἅπερ ἐστὶ σωφροσύνη, δικαιοσύνη, πρός τε D τὸν Θεὸν καὶ πρὸς ἀλλήλους ἀγάπη, καὶ τὰ ἑπόμενα ταύτῃ· ἐπεὶ καὶ τούτων ἡμῖν χρεία πρὸς τὴν τελείωσιν· διὰ τοῦτο προστίθησι πρὸς ἡμᾶς γράφων ὁ θεῖος ἀπόστολος οὗτος· « Ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι· » τοῦτο λέγων ἄντικρυς, ὡς εἴπερ βούλεσθε τὴν πρὸς Θεὸν ὑμῶν πίστιν τελείαν ἐνδείκνυσθαι, μὴ μόνον πάσχοντες ἔξωθεν φέρετε γενναίως, ἀλλὰ καὶ αὐτοὶ παρ' ἑαυτῶν τὰ θεάρεστα ἐνεργεῖτε, κἂν ἐπίπονα ᾖ· συνελθόντα γὰρ μετ' ἀλλήλων πρᾶξις καὶ πάθος ἐπ' ἀγαθῷ, τὸν κατὰ Θεὸν τελειοῦσιν ἄνθρωπον. Πῶς δὲ οὐκ εἶπεν, ὅτι Χαίρετε ὅταν ἐνεργῆτε τὴν ἀρετὴν, ἀλλ' ὅταν ἐν

## HOMILIA XXXII.

*Ejusdem homilia in Evangelium undecimæ Dominicæ secundum Matthæum; in qua et de tentationibus.*

Jacobus frater Domini ait: « Omne gaudium existimate, cum in tentationes varias incideritis [88]. » Non solum dicit: Gaudete, sed « omne gaudium existimate; » non exhortans nos ad non sentiendum dolorem; hoc enim impossibile est, sed superiores nos exhibere jucundissimum esse Deo obsequium ostendens. Omne dixit gaudium, id est perfectum, maximum, infinitum, præsertim si variæ sint tentationes. Quare? Quia per tolerantiam tentationum exercemur et magis probati efficimur erga Deum. Et præterea magis cognoscimur in tentatione versati; dixit enim de sanctis sapientia Salomonis: « Quoniam Deus tentavit illos, et invenit illos dignos se [89]. » Nonne ergo omnis gaudii eis fuit digna talis tentatio? Hoc idem dicens Deus ad Job eum liberavit a tristitia ex tentatione orta. Putas me tecum aliter egisse quam ut justificeris? Quid dixit ad eum Dominus? Tibi profui innotescens, ostendens fidem tuam in me, in prosperis rebus, in gloria, in fortuna secunda, et apparuisti justus utens his rebus juxta meam voluntatem talia tibi concedentem et quando volui, auferentem et dispergentem a te. Tibi profui ostendens tuam fiduciam in me, in adversis, in opprobrio in fortuna mala, et apparuisti justus dicens: « Si bona suscepimus de manu Dei, mala quare non suscipiamus [90]? »

Unde ergo in tentationibus patientia? Ex manifestatione fidei in Deum, ita sunt probatio fidelium tentationes. Ideo cum frater Domini Jacobus nos hortatus esset ad gaudium, cum in tentationes inciderimus, addidit: « Probatio fidei vestræ patientiam operatur; patientia autem opus perfectum habet. » Non, inquit, opera virtutis infirmæ sint tibi male ferenti ad te missas tentationes, sed cum patientia adsit tibi virtutis consummatio. Quia homo per involuntaria non perficitur, sed necessario ad voluntaria ducendus est, quæ sunt justitia, sapientia, in Deum et in proximum charitas, et quæ hanc comitantur, quia his indigemus ad perfectionem; ideo ad nos scribens divinus addit Apostolus: « Patientia autem opus perfectum habeat, ut sitis perfecti et integri, in nullo deficientes, » hoc directe ostendens quod si fidem vestram in Deum ostendere velitis perfectam, non sufficere si fortiter externo vobis adversantia sufferatis, sed oportere ut ipsi vobis opera Deo grata imponatis, etsi gravissima sint; operatio simul et passio in bonum cum aliis junctæ hominem perfectum secundum Deum faciunt. Cur ergo non dixit Apostolus: Gaudete cum bonum operamini sed « cum in tentationibus estis? » Quia virtutem operari ex nobis pendet et in nostra potestate situm est; in tentationes autem incidere

[88] Jac. I, 2. [89] Sap. III, 5. [90] Job. II, 10.

Digitized by Google

non est penes nos. Cum ergo absque his tentationibus non sit perfectio, nec in Deum fidei manifestatio, qui ad fidei perfectionem currit cum in tentationes inciderit gaudebit quasi inveniens unde ad perfectionem perveniat. Perfectis quidem in fide prosunt tentationes ad suæ perfectionis manifestationem. Imperfectis autem mirabilius est ad perfectionem viam aperire, quod patet ex explicatis ipsis hodierni Evangelii verbis. Sed a superius ipsa proponamus ad charitatem vestram: «In illo tempore compulit Jesus discipulos ascendere in naviculam, et trajicere cum trans fretum, donec dimitteret turbas. Et dimissa turba, ascendit in montem solus orare [66]. » De quonam tempore diximus? Quando ex quinque panibus et duobus piscibus quinque millia hominum cum mulieribus et liberis cibavit, tam abundanter et copiose ut implerentur duodecim cophini fragmentis quæ supererant, sicut in Ecclesia proxime elapsa Dominica audivimus.

A τοῖς πειρασμοῖς ἧτε; ὅτι τὸ μὲν ἐνεργεῖν τὴν ἀρετὴν ἐφ' ἡμῖν ἐστι, καὶ ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ· τὸ δὲ περιπεσεῖν πειρασμοῖς οὐκ ἐφ' ἡμῖν. Ἐπεὶ δὲ χωρὶς τούτων οὐκ ἔστι τελείωσις ἢ φανέρωσις τῆς πρὸς Θεὸν πίστεως, ὁ πρὸς τὴν τελείωσιν τῆς πίστεως τρέχων, ὅταν πειρασμοῖς περιπέσῃ, χαρήσεται ὡς ἐντυχὼν, δι' οὗ τῆς τελειώσεως ἐπιτεύξεται· τοῖς μὲν γὰρ τελείοις τὴν πίστιν πρὸς φανέρωσιν λυσιτελοῦσιν οἱ πειρασμοὶ τῆς καθ' ἑαυτοὺς τελειότητος· τὸ δέ γε τούτων θαυμασιώτερον, ὅτι καὶ τοὺς ἀτελεῖς τελειοῦσιν ἐπιφερόμενοι· ὃ δῆλον καὶ παρ' αὐτῶν τῶν σήμερον ἀναγινωσκομένων τοῦ Εὐαγγελίου ῥημάτων. Ἄνωθεν δὲ αὐτὰ προθῶμεν πρὸς τὴν ὑμετέραν ἀγάπην. « Τῷ καιρῷ ἐκείνῳ ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι B εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους· καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. » Ποίῳ καιρῷ ἐκείνῳ φαμέν; ὅτε πέντε ἄρτοις καὶ δυσὶν ἰχθύσι τοὺς πενταχισχιλίους σὺν γυναιξὶ καὶ παιδίοις ἔθρεψεν ἐπὶ τοσοῦτον εἰς κόρον, ὡς καὶ δώδεκα κοφίνους πληρῶσαι τὰ περιττεύσαντα τῶν κλασμάτων καθάπερ ἐπ' ἐκκλησίας ἐν τῇ παρελθούσῃ Κυριακῇ ἀκηκόαμεν.

Sed sciscitabit intra se quis forsitan quam ob rem compulerit Jesus discipulos suos ascendere in naviculam. Dicendum porro est ipsum exteriora ordinasse ad opera quorum faciendorum causa in terram venerat. Si autem non compulisset ego rationem mecum quærerem. Ipse enim seipsum præbere volens per opera omnibus omnis boni exemplar, ostendit quomodo oportat conversari cum turbis, ad animarum scilicet et ad corporum utilitatem, debebat et ostendere quomodo oporteat cum Deo conversari, elevando ad ipsum mentem rebus terrestribus liberam, multum autem ad hoc adjuvat solitudo, desertum et quæ in ipso invenitur tranquillitas. Cum ergo opportunum tunc tempus erat hoc quoque docendi, scilicet bonam esse solitudinem, orationem et secessum, ideo necesse erat ascendere ad montem ubi solus oraret. Discipuli autem cum ipso ubique esse delectabantur, et ægre ab illo separabantur. Quomodo ergo potuisset in montem ascendere solus, nisi compulisset eos ascendere in naviculam et præcedere eum trans mare? Aliud quoque in hoc nobis monstratur. Sicut enim hic postquam sanavit et docuit cibavitque copiose turbam, eam dimisit et ascendens in montem compulit discipulos suos sese committere mari et fluctibus, ita postea, postquam nostram naturam per suam Incarnationem sanavit, docuit, et suo proprio corpore cibavit, derelinquens nos corporaliter et in cœlum ascendens, misit discipulos suos in mundum universum, id est in amarum et periculis refertum gentium mare, quasi in navi cum Evangelio et quæ juxta ipsum est Ecclesia, tentationibus traditi sunt. Non modo misit, sed compulit ire. Si quis noverit quod narrat Joannes dilectus Christi theologus, quare fuerit permissa Stephani tribulatio et

Ἀπορήσειε δ' ἄν τις ἴσως, τίνος ἕνεκεν ἠνάγκαζε τοὺς μαθητὰς ἐμβῆναι εἰς τὸ πλοῖον. Ἔστι μὲν οὖν λέγειν, ὡς ᾠκονόμει καὶ τὰ ἑξῆς, πρὸς τὰ ἔργα σπεύδων, ἃ τελέσων ἦλθεν ἐπὶ τὴν γῆν. Ἐγὼ δὲ, εἴπερ μὴ ἠνάγκαζε, τοῦτο ἂν ἠπόρησα· ἐπειδὴ γὰρ ἐκεῖνος πᾶσι παντὸς καλοῦ δι' ἔργων ὑπόδειγμα προτιθέναι βουλόμενος ἑαυτὸν, ἔδειξε μὲν πῶς δεῖ συνεῖναι τοῖς πλήθεσιν, ὅτι πρὸς ψυχῶν καὶ σωμάC των ὠφέλειαν, ἐλείπετο δὲ δεῖξαι καὶ πῶς δεῖ συνεῖναι Θεῷ, τῷ προσάγειν αὐτῷ νοῦν πάντων ἀπηλλαγμένων 180 τῶν κάτω· πολὺ δὲ πρὸς τοῦτο συντείνει μόνωσις καὶ ἐρημία, καὶ ἡ ἐν αὐτῇ ἡσυχία. Ἐπεὶ οὖν καὶ τοῦτο διδάξαι καιρὸς ἦν, ὅτι καλὸν ἐρημία καὶ ἠρεμία καὶ προσευχὴ καὶ μόνωσις, καὶ διὰ τοῦτο ἀναβῆναι ἔδει τὸ ὄρος, ὥστε κατ' ἰδίαν προσεύξασθαι· οἱ δὲ μαθηταὶ συνεῖναι τούτῳ διὰ παντὸς ἠγάπων, καὶ δυσαποσπάστως εἶχον ἐκείνου, πῶς ἂν εἰς τὸ ὄρος ἀνέβη μόνος, εἰ μὴ τούτους ἠνάγκασεν ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς πέραν; Ἔστι δέ τι καὶ ἄλλο διορᾷν ἐντεῦθεν. Ὡς γὰρ νῦν μετὰ τὸ θεραπεῦσαι καὶ διδάξαι καὶ θρέψαι τὸ πλῆθος ἐξαισίως, ἀπολύσας αὐτοὺς, καὶ εἰς τὸ D ὄρος ἀναβαίνων, ἠνάγκασε τοὺς μαθητὰς ἑαυτοὺς ἐπιδοῦναι τῇ θαλάσσῃ καὶ τοῖς κύμασιν, οὕτως ὕστερον μετὰ τὸ διὰ τῆς οἰκείας ἐνανθρωπήσεως θεραπεῦσαι τὴν ἡμετέραν φύσιν, καὶ διδάξαι καὶ θρέψαι δι' ἑαυτοῦ, ἀπολείπων ἡμᾶς σωματικῶς, καὶ ἀναβαίνων εἰς τὸν οὐρανὸν, ἔπεμψε τοὺς μαθητὰς εἰς τὸν κόσμον ἅπαντα, ταυτὸ δ' εἰπεῖν εἰς τὴν ἁλμυρὰν, ὡς πειρασμῶν γέμουσαν, τῶν ἐθνῶν θάλασσαν, ὥσπερ ἐν σκάφῃ τῷ Εὐαγγελίῳ καὶ τῇ κατ' αὐτὸ Ἐκκλησίᾳ, μεθ' οὗ τοῖς πειρασμοῖς ἐξεδόθησαν. Οὐ μόνον δὲ ἔπεμψεν, ἀλλὰ καὶ ἠνάγκασεν. Εἴ τις οἶδε τὰ κατὰ τὸν Ἰωάννην τὸν ἠγαπημένον τῷ Χριστῷ Θεολόγον, εἴ τις οἶδε διὰ τί συνεχωρή-

[66] Matth. XIV, 22.

Digitized by Google

θῃ ἡ ἐπὶ Στεφάνῳ θλῖψις, καὶ ὁ κατ' ἐκείνην διωγμὸς, εἶδεν ὃ λέγω· καὶ γὰρ οὐκ ἤθελον οἱ ἀπόστολοι τῶν Ἱεροσολύμων ἐξελθεῖν, ἀλλ' ἀναγκασθέντες ὑπὸ τοῦ διωγμοῦ, διεσπάρησαν εἰς τὸν κόσμον, καὶ οὕτω τὴν ἀποστολὴν ἐπλήρωσαν.

Οὐκ ἠναγκάσθησαν δὲ ἁπλῶς πλεῖν τὴν κοσμικὴν θάλασσαν, ἔνθα πᾶσα θλῖψις καὶ πᾶν εἶδος πειρασμοῦ, ἀλλ' ὥστε προάγειν εἰς τὸ πέραν, τουτέστι νικῆσαι, καὶ τῶν πειρασμῶν ἐπέκεινα διὰ τῆς νίκης γενέσθαι· ἀλλ' οὐκ ἴσχυσαν χωρὶς τοῦ Ἰησοῦ· « Τὸ γὰρ πλοῖον, φησὶ, μέσον τῆς θαλάσσης ἦν βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. » Οὐ μᾶλλον τότε ἦν ἐναντίος αὐτοῖς ὁ ἄψυχος ἄνεμος, ἢ ὁ Δομετιανὸς, καὶ ὁ Τραϊανὸς, καὶ ὁ Νέρων ὕστερον· μᾶλλον δὲ οὗτοι μὲν, καὶ οἱ τοιοῦτοι κύματά εἰσιν ἄγρια δεινῶς κατὰ τῆς Ἐκκλησίας ἐπεγειρόμενα, ὁ δὲ κινῶν καὶ ἀνεγείρων ἐναντίος ἄνεμος τὸ πνεῦμα τῆς πονηρίας ἐστὶν, ὁ ἀντικείμενος τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ διὰ παντὸς διάβολος. Τετάρτῃ δὲ, φησὶ, φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς θαλάσσης, τουτέστι μετὰ τὴν ἐννάτην τῆς νυκτὸς ὥραν· εἰς τέσσαρα γὰρ εἰώθασιν οἱ νυκτοφυλακοῦντες διαιρεῖν τὸ τῆς νυκτὸς διάστημα κατὰ διαδοχὴν, ὡς εἶναι τὴν ἀρχὴν τῆς τετάρτης φυλακῆς ἐν ταῖς ἰσημερίαις ἀρχὴν τῆς δεκάτης τῆς νυκτὸς ὥραν. Ἐπὶ τοσοῦτον δὲ αὐτοὺς ἀφίησιν ὑπὸ τοῦ κλύδωνος βασανίζεσθαι, ἵνα γυμνάσῃ πρὸς ὑπομονὴν, καὶ φερεπόνους αὐτοὺς ποιήσῃ. Ἀλλὰ καὶ μετὰ τοῦτο ἐπιφανεὶς αὐτοῖς συγχωρεῖ φάντασμα νομίσαι τοῦτον, καὶ φοβηθῆναι τοσοῦτον, ὡς καὶ ἀπὸ τοῦ φόβου κράξαι, καίτοι πρὸς τὸ σῶσαι παραγενόμενον. Τοῦτο γὰρ ἂν ἴδοις ποιοῦντα καὶ ἐπὶ τοῦ παλαιοῦ λαοῦ ἐκείνου· ὁπότε καὶ γὰρ ἔμελλεν αὐτοῖς ἡ θάλασσα παραδόξως ῥήγνυσθαι, καὶ ὁδὸν παρέχειν σωτήριον, τότε τὰ ἔσχατα κινδυνεύειν ἐδόκουν, τῇ κατόπιν κυκλώσει τῶν πολεμίων ἀφύκτοις συσχεθέντες κακοῖς. Καὶ νῦν ἐπὶ τῆς παρουσίας αὐτοῦ προηγεῖτο τῆς ἀπαλλαγῆς τῶν κατεχόντων δαιμονίων ὁ σφοδρὸς συνταραγμὸς τῶν ἐλευθερουμένων· οὕτω γὰρ οὐκ ἐπέραστοι μόνον, ἀλλὰ καὶ ἔμμονοι τῇ μνήμῃ τῶν εὖ πεπονθότων αἱ εὐεργεσίαι γίνονται. Ἐπιφαίνεται δὲ αὐτοῖς ἐπικαλουμένοις πάντως ἐν τῷ κλύδωνι ἐκείνῳ τὸν πάντων Θεὸν, δεικνὺς ὅτι αὐτός ἐστιν ὁ ἐπὶ πάντων Θεὸς, ὁ χεῖρα βοηθείας ὀρέγων τοῖς ἐπικαλουμένοις αὐτόν. Περιπατεῖ δὲ ἐπὶ τῶν κυμάτων, τῆς θαλάσσης **181**
ἀγριαινούσης, δεικνὺς ἐκ περιουσίας ὅτι αὐτός ἐστι κατὰ τὴν προφητείαν ὁ καὶ ἐπὶ τῆς θαλάσσης ὡς ἐπ' ἐδάφους ὁδεύων, πρὸς ὃν φησι καὶ ὁ Δαβὶδ προφητικῶς· « Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς· » καὶ, « Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις· » ὅπερ ὕστερον ἀπειργάσατο. Ὡς γὰρ τότε περιφόβους εἶδεν αὐτοὺς ἀπὸ τοῦ μὴ ἐπιγνῶναι τοῦτον, ἐπεὶ καὶ νῦν ἦν, εὐθέως ἐλάλησεν αὐτοῖς, γνωρίζων ἑαυτὸν ἀπὸ τῆς φωνῆς

A quæ eam secuta est persecutio, hic quid dicam intelligit; non enim volebant apostoli exire Hierosolymis, sed persecutione pulsi dispersi sunt per mundum et sic missionem suam impleverunt.

Non compulsi sunt omnino mare mundi navigare, ubi omnis tribulatio et periculi genus, sed præcedere in mare, et vincere et transire pericula. Sed non potuerunt sine Jesu; «Navicula enim, ait evangelista, in medio mari jactabatur fluctibus; erat enim ventus adversus. Non magis contrarius erat tunc eis sine anima ventus, quam postea Domitianus, Trajanus et Nero, sed potius hi et similes, sunt fluctus tumentes et terribiles adversus Ecclesiam
B excitati. Qui autem hos movet et excitat ventus contrarius, spiritus est nequitiæ in omnibus Christi Ecclesiæ adversarius diabolus. Quarta autem, ait, vigilia noctis venit ad eos Jesus ambulans super mare, id est post nonam noctis horam. In quatuor enim partes solent qui vigilant noctis dividere spatia, secundum successionem, ut cum decima hora simul incipiat quarta vigilia. Ideo autem eos adeo undis exponit, ut eos ad patientiam exerceat et tolerandis laboribus assuescat. Sed postea apparens eis phantasma videtur esse, tantoque timore corripiuntur ut clament, ad eum tamen, qui eos salvaturus accedebat. Hoc idem factum est in populo antiquo. Cum enim jamjam mare contra omnem spem sese
C divisurum esset aperturumque eis viam salutarem, in extremis se videbant, ob ingruentes a tergo hostes, ineluctabilibusque circumdati malis. Et nunc in ejus præsentia præcedebat sanationem dæmoniacorum ingens tumultus liberatorum; sic enim beneficia non modo grata sunt, sed et vivunt in memoria eorum qui receperunt. Apparet eis qui in hoc mari invocant omnium Deum, ostendens se esse super omnia Deum qui manum auxiliatricem invocantibus se porrigit. Ambulat autem super mare furens, ostendens super se esse illum qui secundum prophetiam super mare velut super aridam ambulat, ad quem in spiritu prophetico dicit David: « In mari viæ tuæ, et semitæ tuæ in aquis multis [87]. » Et: « Tu dominaris potestati maris, motum
D autem fluctuum ejus tu mitigas [88]. » Quod postea fecit; cum enim eos vidit trementes eo quod eum non agnoscerent, cum ipse esset, statim locutus est eis, agnitus ab ipsis voce sua et dicens: « Ego sum, nolite timere. » Ego sum qui semper sum Deus, et ultimo loco, homo factus propter vos, visus et auditus fui, et omnia possum; ideo et cum corpore super fluctus ambulo, quod et aliis communicare possum; Petro enim ipsi dicenti: « Domine, si tu es, jube me ad te venire super aquas; » jussit, et factum est. Sed de hoc quod proxime sequitur disseramus quod explicantes dicebamus apostolos missos fuisse super mundi geulum mare, ascen-

[87] Psal. LXXVI, 20. [88] Psal. LXXXVIII, 10.

Digitized by Google

dente Domino quasi super montem insuper in excelsa cœlorum, ibique semper orationes offert pro nobis, et factus pro nobis pontifex intra velum ingressus est, ut repropitiaret delicta populi, ut dicit Apostolus [89].

A καὶ λέγων· « Ἐγώ εἰμι, μὴ φοβεῖσθε. » Ἐγὼ εἰμι ὁ καὶ Θεὸς ὢν ἀεὶ, καὶ ἐπ' ἐσχάτων ἄνθρωπος γεγονὼς δι' ὑμᾶς, ὁρώμενός τε καὶ ἀκουόμενος, καὶ πάντα δυνάμενος· διὸ καὶ μετὰ σώματος κατὰ κυμάτων πεζεύω, καὶ τοῖς ἄλλοις τοῦτο παρέχειν δύναμαι· τοῦ γὰρ Πέτρου πρὸς αὐτὸν εἰπόντος· « Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα, » ἐκέλευσε καὶ ἐγένετο. Ἀλλ' ἐπὶ τὴν προτέραν ἀκολουθίαν ἀγάγωμεν τὸν λόγον, ἣν ἀνάγοντες ἐλέγομεν πεμφθῆναι τοὺς μαθητὰς ἐπὶ τὴν κοσμικὴν τῶν ἐθνῶν θάλασσαν, ἀναφερομένου τοῦ Κυρίου ὡς εἰς ὄρος ἐπὶ τὸ οὐράνιον ὕψος, κἀκεῖ πάντως τὰς ὑπὲρ ἡμῶν προσάγοντος εὐχὰς, ὡς ὑπὲρ ἡμῶν ἀρχιερέως γεγονότος, καὶ εἰσελθόντος εἰς τὸ ἐνδότερον τοῦ καταπετάσματος, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ, κατὰ τὸν Ἀπόστολον.

Discipuli igitur præmissi trajicere mare, id est vincere et conculcare oppugnantes, non omnino vicerunt; validus enim adhuc adversarius est et gentes adversus Ecclesiam Christi bacchantur. Quarta autem noctis vigilia hoc est post legem naturæ, post legem scriptam, post priorem Christi adventum et datam per eam legem gratiæ, veniet tandem posterioris Christi adventus tempus, recte noctis quartæ vigiliæ comparatum, in quo veniet Dominus, conculcans, humilians, in obsequium redigens omnem principatum, potestatem et virtutem. Debet enim publice humiliare, conculcare, omnes fluctus adversus Ecclesiam suam excitatos. Meministis enim, fratres, quod per fluctus excitatos et commotos ab adversario spiritu principes hujus mundi significat; et ut cætera quæ hic includuntur partim explicare omittam, ascendentibus illis in naviculam Jesu scilicet et Petro qui cum ipso stabat extra naviculam, cessavit ventus, et transfretantes venerunt in terram. Dominus enim et omnes qui ex nobis sancti cum eo sunt quos præfiguravit Petrus; nobiscum erunt in secundo Christi adventu, humiliabunt adversarium spiritum nosque mare hujus mundi agitatum transfretantes in beatam vitam, ubi non amplius nec luctus nec dolor nec gemitus, introibimus. Qui autem in navicula erant, ait evangelista, venerunt et adoraverunt eum, dicentes: « Vere Filius Dei es, » et tunc etiam : « In nomine Jesu omne genu flectatur cœlestium, terrestrium et infernorum, et omnis lingua confiteatur quia Dominus Jesus Christus in gloria est Dei Patris [90]. » Sed comparatione relicta, initii sermonis reminiscamur. Hoc autem initium orationis erat, scilicet : non modo prosunt perfectis in fide tentationes, ut Job, Petro, Paulo et similibus, sed perficiunt etiam imperfectos. Illic enim, non modo Petrus et qui cum ipso erant discipuli, qui et ipsi adhuc imperfecti erant, sed omnes qui in navicula erant, in hac tentatione tantum profecerunt in fide, ut venientes adoraverint Jesum eique dixerint : « Vere Filius Dei es. » Recte igitur apostolus quem initio citavimus dicit : « Beatus homo qui suffert tentationem, quoniam cum probatus fuerit, accipiet coronam vitæ [91]. »

Οἱ οὖν μαθηταὶ πεμφθέντες προάγειν εἰς τὸ πέραν, τουτέστι νικῆσαι καὶ ὑπερβῆναι τοὺς πειράζοντας, οὐκ ἐνίκησαν εἰς τέλος· ἔτι γὰρ ἐνεργός ἐστιν ὁ ἀντικείμενος, καὶ τὰ ἔθνη μαίνονται κατὰ τῆς B Ἐκκλησίας Χριστοῦ. Τετάρτη δὲ φυλακῇ τῆς νυκτὸς, τουτέστι μετὰ τὸν φυσικὸν νόμον, μετὰ τὸν γραπτὸν νόμον, μετὰ τὴν πρώτην τοῦ Κυρίου παρουσίαν, καὶ τὸν κατ' αὐτὴν τῆς χάριτος νόμον, ὁ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ἔσται πάντως καιρὸς, καλῶς ἀναλογῶν τῇ τετάρτῃ φυλακῇ τῆς νυκτὸς, καθ' ὃν ὁ Κύριος ἐλεύσεται καταπατῶν καὶ καταργῶν καὶ δουλούμενος πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν· μέλλει γὰρ καταργήσειν ἐμφανῶς, καὶ καταπατήσειν τὰ δεινῶς ἐπεγειρόμενα κύματα κατὰ τῆς Ἐκκλησίας αὐτοῦ. Μέμνησθε γὰρ ὅτι κύματα κινούμενά τε καὶ διεγειρόμενα ὑπὸ τοῦ ἀντικειμένου πνεύματος τοὺς ἄρχοντας τοῦ κόσμου ἀναγωγικῶς ὁ λόγος ἐπεδείκνυ· καὶ ἵνα τὰ μεταξὺ παραλείπω κατὰ μέρος θεωρεῖν, ἐμβάντων αὐτῶν C εἰς τὸ πλοῖον, τοῦ τε Ἰησοῦ καὶ Πέτρου τοῦ μεταστάντος πρὸς αὐτὸν ἐκ τοῦ πλοίου, ἐκόπασεν ὁ ἄνεμος, καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν· καὶ γὰρ τοῦ Κυρίου, καὶ πάντων τῶν ἐξ ἡμῶν μεταστάντων ἁγίων, οὓς ὑπεσήμαινεν ὁ Πέτρος, κατὰ τὴν δευτέραν τοῦ Χριστοῦ παρουσίαν σὺν ἡμῖν γενομένων, τὸ νοητὸν ἀντικείμενον πνεῦμα τελέως καταργηθήσεται, καὶ ἡμεῖς τὴν πολυκύμαντον τοῦ βίου διαπεράσαντες θάλασσαν, εἰς τὴν γῆν τῶν πραέων εἰσελευσόμεθα, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη καὶ στεναγμός. Οἱ δὲ ἐν τῷ πλοίῳ, φησὶν, ἐλθόντες, προσεκύνησαν τῷ Ἰησοῦ, λέγοντες· « Ἀληθῶς Θεοῦ Υἱὸς εἶ· » καὶ τότε γὰρ, « Πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς D Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. » Ἀλλὰ τῆς ἀναγωγῆς ἀφιέμενοι, τῆς ἀρχῆς ἐπιμνησθῶμεν τῶν λόγων· ἡ δὲ ἦν, ὡς μὴ μόνον τοῖς τελείοις τὴν πίστιν οἱ πειρασμοὶ λυσιτελοῦσιν, ὡς τῷ Ἰὼβ καὶ τῷ Πέτρῳ καὶ Παύλῳ καὶ τοῖς ὁμοίοις, ἀλλὰ καὶ τοὺς ἀτελεῖς τελειοῦσιν ἐπιφερόμενοι· καὶ γὰρ ἐνταῦθα οὐχ ὁ Πέτρος μόνος, οὐδὲ οἱ ἄλλοι μαθηταὶ μόνον,
182 οἳ καὶ αὐτοὶ ἔτι ἀτελεῖς ἦσαν, ἀλλὰ καὶ οἱ ἐν τῷ πλοίῳ πάντες, τοσοῦτον πρὸς πίστιν ὑπ' ἐκείνου τοῦ πειρασμοῦ ὠφελήθησαν, ὡς προσελθόντες προσκυνῆσαι τῷ Ἰησοῦ, καὶ πρὸς αὐτὸν εἰπεῖν· « Ἀληθῶς Θεοῦ Υἱὸς εἶ. » Καλῶς ἄρα φησὶν ὁ ἀπόστολος, ὃν τὴν ἀρχὴν προηγάγομεν· « Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν, ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς. »

[89] Hebr. II, 17. [90] Philipp. II, 10.11. [91] Jac. I, 12.

Digitized by Google

A Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι διπλοῦν ἐστι τὸ εἶδος τῶν πειρασμῶν· ἀλλ' οὐ τοῦτο λέγω νῦν, ὅτι δι' ἡδονῆς καὶ ὀδύνης, δι' ὑγείας καὶ νόσου, διὰ δόξης καὶ ἀδοξίας, δι' εὐπορίας καὶ ἀπορίας, ἐπάγονται τοῖς ἀνθρώποις οἱ πειρασμοί, ἐν οἷς καὶ πολλῷ χείρους εἰσὶν οἱ δι' ἡδονῆς καὶ ὑγείας, καὶ δόξης καὶ εὐπορίας· ἔστι γὰρ καὶ τοῦτο· ἀλλ' οὐ περὶ ταύτης λέγω ὑμῖν νῦν τῆς διπλόης τῶν πειρασμῶν. Ἀλλὰ ποίαν ἀποδέχομαι νῦν ὑμᾶς ἐπιγνῶναι; σκοπεῖτε, καὶ μαθήσεσθε. Οὗτος ὁ μέγας Ἰάκωβος, ὁ κατὰ σάρκα διὰ τὴν πρὸς Ἰωσὴφ τῆς Παρθενομήτορος κατὰ θείαν οἰκονομίαν μνηστείαν ἀδελφὸς τοῦ Κυρίου καλούμενος, εἰπὼν ὅτι· « Χαίρετε ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις· » καὶ ὅτι· « Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμὸν, ὅτι B λήψεται τὸν στέφανον τῆς ζωῆς. » Εἶτα καθάπερ ἂν εἴ τις εἶπε πρὸς αὐτὸν, Καὶ μὴν εἰσὶν οἳ βλασφημοῦσιν ἐν τοῖς πειρασμοῖς, οἱ δὲ καὶ ἀπογινώσκουσι τελέως ἑαυτῶν· ἄλλοι δὲ καὶ βρόχον ἑαυτοῖς ἀνάπτουσιν· εἰ δὲ καὶ ὁ πειρασμὸς τῶν ἐμφύτων εἴη καὶ σαρκικῶν, θυμοῦ τυχὸν ἢ ἐπιθυμίας, οἱ μὲν φόνοις ἔσθ' ὅτε περιέπεσαν, οἱ δὲ τῇ ἀκολασίᾳ ἑαυτοὺς ἐξέδωκαν, πῶς οὖν ἐκ Θεοῦ ὁ πειρασμὸς, καὶ στεφάνων πρόξενος; οἷον πρὸς τοὺς τοιαῦτα λέγοντας ἀπολογούμενος ἐπάγει· « Μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι· πειράζει γὰρ αὐτὸς οὐδένα· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν· » πειρασμὸν ἐνταῦθα τὸ κακὸν δηλονότι καὶ τὴν ἁμαρτίαν λέγων, καὶ τὸ ταύτῃ περιπεσεῖν, ἧς καὶ ὁ Χριστὸς ἔμεινεν ἀπείραστος, καίτοι πειρα- C σθεὶς ἄλλως· « Ἐξ ὧν γὰρ ἔπαθε, φησὶ, πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. » Ἀλλὰ καὶ μετὰ τὸ ἐν Ἰορδάνῃ βαπτισθῆναι ἀνέβη εἰς τὸ ὄρος πειρασθῆναι κατὰ τὴν τοῦ Εὐαγγελίου φωνήν· ὥστε πειρασμοὶ λέγονται καὶ τὰ ἐπερχόμενα τοῖς ἀνθρώποις ἔξωθεν κατὰ σῶμα λυπηρὰ, καὶ αὐτὴ ἡ προσβολὴ τοῦ ἐχθροῦ, εἰ καὶ ἀνεύθυνός ἐστιν· ἐπεὶ καὶ τῷ Κυρίῳ πειράζων προσέβαλε. Πειρασμοὶ λέγονται καὶ αἱ ἁμαρτίαι, καθ' ἃς ἕκαστος ἡμῶν πειράζεται, ὡς αὐτὸς Ἰάκωβός φησιν· « Ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· ἡ γὰρ ἐπιθυμία, φησὶ, συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία τελεσθεῖσα ἀποκύει θάνατον. » Τίνα θάνατον; τὸν αἰώνιον, ὅς ἐστιν ὁ διὰ τὴν ἁμαρτίαν D ἀπὸ τῆς ψυχῆς τοῦ Θεοῦ χωρισμός· ὃν νῦν μὲν ἐπηκολούθησεν ἀπὸ Ἀδὰμ μέχρι συντελείας καὶ ὁ τοῦ σώματος θάνατος, τότε δὲ ἐν τῷ μέλλοντι αἰῶνι ἕψεται τοῖς μὴ ἐνταῦθα μετανοήσασιν ἡ ἀφόρητος καὶ ἀτελεύτητος τῆς ψυχῆς καὶ τοῦ σώματος κόλασις, καταδικασθεῖσι δικαίως ὑπὸ τοῦ δυναμένου καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.

Nolo vos ignorare, fratres, duplex esse tentationum genus; non autem hoc nunc dicam vobis, tentationes homines aggredi et per voluptatem et per dolorem, per sanitatem et morbum, per gloriam et malam famam, per abundantiam et inopiam quarum multo pejores sunt quæ per voluptatem gloriam sanitatem et abundantiam nos incursant, et hoc verum est; nihil autem de hac duplici tentationum specie loquor ad vos. Quid autem volo vos cognoscere? Attendite, et intelligetis. Hic magnus Jacobus ex affinitate cum Joseph Dei dispensatione Virginis sponsi, frater Domini vocatus, ait : « Gaudete cum in tentationes varias incideritis [92]; » et : « Beatus vir qui suffert tentationem, quoniam accipiet coronam vitæ [93]. » Postea vero haud secus ac si quis ad eum dixisset, sunt qui blasphemant in tentatione, alii tamen de se ipsis desperant; alii collo se suspendunt; si autem ex naturalibus et carnalibus tentatio venerit, superbia est vel cupiditas; alii sibi necem intulerunt, alii incontinentiæ sese tradiderunt : quomodo ergo ex Deo tentatio est et coronarum datio? Quod hoc taliter loquentibus respondens Apostolus addit : « Nemo cum tentatur dicat quoniam a Deo tentatur; Deus enim intentator malorum est [94]. » Hic evidenter tentationes vocat malum et peccatum et incidere in peccatum, cujus tentationis expers fuit Christus, etsi aliunde fuerit tentatus : « In eo enim in quo passus est ipse et tentatus, potens est eis qui tentantur auxiliari [95]. » Et post baptismum in Jordane ascendit in montem ut tentaretur secundum evangelistæ vocem [96]. Sic igitur tentationes vocantur ea quæ hominibus adversantur ut corporales molestiæ, et ipsa inimici aggressio etsi non ei prospere succedat, siquidem et ipsum Dominum agressus est. Tentationes etiam dicuntur peccata, quibus unusquisque nostrum tentatur, ut ipse Jacobus dicit : « Unusquisque tentatur a concupiscentia sua abstractus et illectus; namque concupiscentia cum conceperit parit peccatum; peccatum vero cum consummatum fuerit, generat mortem [97]. » Qualem mortem? æternam, quod est animæ separatio a Deo per peccatum. Illa quam secuta est ab Adamo usque ad finem mors corporis, et sequetur in futuro sæculo eos qui hic pœnitentiam non egerunt quasi pœna intolerabilis et infinita corporis et animæ juste damnatorum ab eo qui potest et animam et corpus perdere in gehenna.

Τοῦτον φύγωμεν, ἀδελφοὶ, τὸν πειρασμὸν ὅση δύναμις· καὶ γὰρ τὸ φυγεῖν τοῦτον ἐν τῇ ἐξουσίᾳ κεῖται τῇ ἡμετέρᾳ. Ἐπὶ τούτῳ λυπηθῶμεν, ὅταν ἴδωμεν ἑαυτοὺς αὐτῷ περιπεσόντας. Ἐὰν ἐπὶ τούτῳ λυπηθῶμεν ὅσον δεῖ, μετάνοιαν ἑαυτοῖς ἀμεταμέλητον κατεργασόμεθα πρὸς σωτηρίαν. Τοῦτον καὶ

Hanc fugiamus, fratres, tentationem, quantum possumus; hanc enim vitare in nostra est potestate. Lugeamus cum nos in hanc incidisse viderimus. Quod si de hoc quantum satis est doleamus, pœnitentiam certam ad salutem fecerimus. Hanc a vobis opto discere tentationem, non quæ nocet et castigat

[92] Jac. I, 2. [93] ibid. 12. [94] ibid. 13. [95] Hebr. II, 18. [96] Matth. IV, 1. [97] Jac. I, 14.

Digitized by Google

In præsenti, sed quæ nocet in æternum. Dominus enim noster Jesus Christus cujus gratia ipsius ministri sumus, pontifex est futurorum bonorum, non vero præsentium, et per proprium sanguinem introivit in sancta æterna, non temporali redemptione inventa. Hanc et nos optamus et quærimus æternam redemptionem, credite mihi, non a corporalibus sed a spiritualibus tentationibus; nam arma militiæ nostræ, juxta Apostolum, non carnalia sunt, sed potentia Dei ad destructionem munitionum, non sensibilium, sed a spirituali hoste adversus nos exstructarum. Vos autem mihi videmini nec intelligere nec quærere hanc spiritualium tentationum liberationem; de his enim maxime doletis tentationibus de quibus gaudere oporteret ut operantibus, si volueritis, redemptionem æternam, et a me quæritis corporalium tentationum liberationem, qua spreta ad vos veni ad vobis compatiendum paratus. Si tamen magis de peccatis nostris dolemus quam de accidentibus nobis calamitatibus, non modo erit salus animæ et æterna redemptio, sed et temporalium tentationum liberatio. Unde enim, doloribus, gemitibus, bellis et calamitatibus plena nobis vita facta est? Nonne ex eo quod injecerimus nos per transgressionem mandati, in vetitam tentationem, peccatum dico? Si autem nos diligenter mundaverimus ab omni peccato per pœnitentiam, ibi immoderatarum expertes erimus tentationum, et in tempore opportuno vitam dolore et pœna vacuam ingrediemur. Convertite ergo vosmetipsos ad hanc salutarem exhortationem: non doleamus nec affligamur de corporalibus calamitatibus et pœnis, sed de spiritualibus, quæ sunt vere tentationes et vere dolore dignæ, ut ad Deum dicamus, sicut ipse nos docuit: « Nec nos inducas in tentationem, vetitam et omnino malam, sed libera nos a malo; quia tibi est regnum, potestas et gloria in sæcula sæculorum. Amen.

A ἐγὼ τὸν πειρασμὸν ἥκω νῦν ἀφ' ὑμῶν ἆραι, οὐ τὸν ζημιοῦντα καὶ βλάπτοντα προσκαίρως, ἀλλὰ τὸν αἰωνίως· ὁ γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, **183** οὗ ἡμεῖς ἐσμεν χάριτι αὐτοῦ διάκονοι, τῶν μελλόντων ἀγαθῶν ἀρχιερεύς ἐστιν, οὐ τῶν προσκαίρων· καὶ διὰ τοῦ ἰδίου αἵματος εἰσῆλθεν εἰς τὰ ὄντως ἅγια, οὐ πρόσκαιρον ἀλλ' αἰωνίαν λύτρωσιν τὴν ἡμετέραν εὑράμενος· ἣν καὶ ἡμεῖς ἥκομεν κομίζοντες, τὴν αἰωνίαν ἀπολύτρωσιν, εἴ γε πείθεσθε, τῶν ψυχικῶν πειρασμῶν, ἀλλ' οὐ τῶν σωματικῶν· τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, κατὰ τὸν Ἀπόστολον, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, οὐ τῶν αἰσθητῶν ἀλλὰ τῶν ὑπὸ τοῦ νοητοῦ πολεμίου καθ' ἡμῶν γεγονότων. Ὑμεῖς δὲ B δοκεῖτέ μοι ταύτην μηδὲ συνορᾷν μηδὲ ζητεῖν τὴν ἀπολύτρωσιν τῶν κατὰ ψυχὴν πειρασμῶν· ἐπ' ἐκείνοις γὰρ μάλιστα λυπεῖσθε τοῖς πειρασμοῖς, ἐφ' οἷς ἔδει χαίρειν, ὡς προξενοῦσιν, εἴ γε βουλόμεθα, τὴν αἰωνίαν ἡμῖν ἀπολύτρωσιν· καὶ παρ' ἐμοῦ ταύτην μάλιστα ζητεῖτε τὴν ἄνεσιν τῶν σωματικῶν πειρασμῶν, ης ἐγὼ μᾶλλον καταφρονήσας, πρὸς ὑμᾶς ἦλθον, συμπάσχειν ὑμῖν αἱρούμενος. Καίτοι, εἰ ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν λυπούμεθα μᾶλλον ἢ ἐπὶ τοῖς ἐπερχομένοις ἡμῖν ἐπιζημίοις, οὐ μόνον ἡ τῆς ψυχῆς σωτηρία καὶ ἡ αἰωνία λύτρωσις ἡμῖν προσέσται, ἀλλὰ καὶ ἡ τῶν προσκαίρων πειρασμῶν ἀπολύτρωσις· πόθεν γὰρ ὀδυνηρός τε καὶ πολυστένακτος, φιλοπόλεμός τε καὶ πολυσύμφορος ἡμῖν ὁ βίος γέγονεν; Οὐκ ἀπὸ τοῦ ἐμβαλεῖν ἡμᾶς αὐτοὺς C διὰ τῆς παραβάσεως τῆς ἐντολῆς εἰς τὸν ἀπηγορευμένον πειρασμὸν, τὴν ἁμαρτίαν λέγω; Ἂν τοίνυν ἑαυτοὺς καθάρωμεν ἀρτίως ἀπὸ πάσης ἁμαρτίας διὰ τῆς μετανοίας, κἀνταῦθα μετριωτέρων δεησόμεθα πειρασμῶν, καὶ κατὰ καιρὸν εἰς τὸν ἄλυπον καὶ ἀνεπηρέαστον ἐπανήξομεν βίον. Ἐπιστρέψαντες οὖν ἑαυτοὺς πρὸς τὸν σωτήριον τοῦτον λογισμὸν, μὴ ἐπὶ ταῖς σωματικαῖς ἐπιφοραῖς καὶ ζημίαις λυπώμεθα καὶ ἀδημονῶμεν μᾶλλον, ἀλλ ἐπὶ ταῖς ψυχικαῖς ζημίαις, αἵ εἰσιν ὄντως πειρασμοὶ, καὶ λύπης ἀληθῶς ἄξιαι· ἵνα καὶ πρὸς τὸν Θεὸν, καθάπερ αὐτὸς ἡμᾶς ἐδίδαξε, λέγωμεν· Μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν, τὸν ἀπηγορευμένον καὶ ὑπεύθυνον πάντως, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXXIII.

*De virtutibus et eis oppositis passionibus. Et quod mundus, cujus princeps diabolus est, non sit creatura Dei, sed ii qui spretis creaturis ipsi serviunt, dicta in supplicatione publica.*

Sicut quod quisque super cultam terram seminaverit, hoc et metet, si ipsi fructiferas arbores commiserit, vel triticum, vel hordeum, aut aliud quid utile, hæc nutriet terra, augebit, et ad perfectionem adducet, si vero relicta fuerit absque cultura et semine, plantas quidem profert sed inutiles, et præsertim spinas et tribulos maledictionis nostræ; et si arborem portaverit, sterilis est et inutilis, et ut plurimum spinis horrida, ita quales quisque in anima sua dispositiones inseruerit talibus perfruetur. Si quis utilibus colloquiis utatur, audiat

## 184 ΟΜΙΛΙΑ ΛΓ'.

D *Περὶ ἀρετῶν καὶ τῶν ἀντιθέτων ταύταις παθῶν· καὶ ὅτι κόσμος, οὗ κοσμοκράτωρ ὁ διάβολός ἐστιν, οὐ τὰ κτίσματά ἐστι τοῦ Θεοῦ, ἀλλ' οἱ διὰ τῆς παραχωρήσεως τῶν κτισμάτων ὑποταγέντες αὐτῷ. Ἐξεφωνήθη ἐν Λιτῇ.*

Ὥσπερ ἐπὶ τῆς γεωργουμένης γῆς οἷά τις σπείρει, τοιαῦτα καὶ θερίσει· κἂν μὲν ἐμφυτεύσῃ ταύτῃ δένδρα εὔκαρπα, ἢ σπείρῃ σῖτον ἢ κριθὴν ἢ ἄλλο τι τῶν εὐχρήστων, ταῦτα ἐκείνη καὶ τρέφει καὶ αὔξει καὶ τελεσφορεῖ· ἀνέργαστον δὲ ταύτην καὶ ἄσπαρτον ἀφεὶς, τρέφει μὲν βοτάνας, ἀλλ' οὐκ εὐχρήστους, καὶ μάλιστα τὰς ἀκάνθας καὶ τριβόλους τῆς καθ' ἡμῶν κατάρας· καὶ δένδρον ὁμοίως ἐὰν βλαστήσῃ, ἄκαρπον καὶ τοῦτο καὶ ἀνωφελὲς καὶ ἀκανθηφόρον ὡς τὰ πολλά· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς, ὁποίας τις ἐμποιήσει ταύτῃ διαθέσεις, τοιού-

Digitized by Google

των καὶ ἀπολαύει. Κἂν μὲν ὁμιλίαις χρῆται χρησταῖς, καὶ διδασκαλίας ἀκούῃ τε καὶ ὑπακούῃ πνευματικῆς, καὶ εἰς ἔργον ἄγῃ τὰ κατ' αὐτήν, γεωργεῖ τὰς ἀρετάς, καὶ τῷ Θεῷ εὔχρηστος γίνεται, τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτῷ. Ἐὰν δὲ ὁμιλίαις οὐ καλαῖς χαίρῃ, καὶ διδασκαλίας οὐχ ἀκούῃ πνευματικῆς, ἀλλὰ καὶ τὴν ἀκουσθεῖσαν παρὰ φαῦλον τίθεται, ἀγριαίνει καὶ ὑλομανεῖ, καὶ τρέφει τὰ πάθη τὰ πονηρὰ, καὶ ἀναδίδωσιν οἴκοθεν τὰς ἀκάνθας καὶ τὰ κέντρα τοῦ θανάτου, τῆς τε ψυχῆς καὶ τοῦ σώματος, ἅπερ εἰσὶν αἱ ἁμαρτίαι. Καὶ ὁ ἀρχέκακος γὰρ ὄφις τὴν ἀρχὴν, ὡς πάντες γινώσκετε, διὰ τῆς ἁμαρτίας κεντήσας τὸν ἄνθρωπον, θνητὸν αὐτὸν ἀπειργάσατο, καὶ τοῦ χωρίου τῆς τρυφῆς ἐκβαλὼν, εἰς τὸν φθαρτὸν καὶ πολυώδυνον τοῦτον μετεστήσατο κόσμον· νῦν δὲ, ἂν μὴ διὰ μετανοίας τις ἐπι- B σκεύσῃ τῶν παρ' αὐτοῦ τραυμάτων τὴν ἴασιν, τῇ αἰωνίῳ κολάσει καὶ τῷ πυρὶ τῆς γεέννης παραπεμφθήσεται. Ὥσπερ δὲ ταῖς ἀγρίαις ὕλαις καὶ τῷ δάσει τῶν ἀκανθῶν, τὰ θηρία καὶ τὰ ἑρπετὰ τῆς γῆς ἐμφωλεύουσιν, οὕτως ὁ ἀρχέκακος οὗτος δράκων, τὸ μέγα καὶ πάνδημον θηρίον κατὰ τὸν Ἰὼβ, ὑπὸ παντοδαπὰ δένδρα τῆς ἡδυπαθείας ἐνδιατᾶται· ἔμπροσθεν δὲ, φησὶν, αὐτοῦ τρέχει ἀπώλεια. Ταύτης τῆς ἀπωλείας ἀνωτέρους ὑμᾶς εἶναι πάντας ποθῶν ἐγὼ, καὶ πάντα ποιῶν, κοπιῶ ὑπὲρ ὑμῶν, ἀδελφοὶ, καὶ ἐν λόγῳ καὶ διδασκαλίᾳ πνευματικῇ καθ' ἡμέραν μὲν τοῖς προσιοῦσιν, ἐπ' ἐκκλησίας δὲ καὶ κοινῇ πρὸς πάντας, τοῦ καιροῦ διδόντος· αὕτη γὰρ ὑλοτομεῖ τὰ ἄλση τὰ πονηρὰ, καὶ ἀναμοχλεύει τῶν ἁμαρτημάτων τὰ βάθη, καὶ ἀμβλύνει τῆς κακίας τὰ κέντρα, καὶ θριαμβεύει τὸν ἀρχέκακον δράκοντα, καὶ φανεροῖ τὴν ἀπλανῆ τρίβον, καὶ παρέχει γνῶσιν σωτήριον.

A et attente consideret spiritualem doctrinam et adimpleat quæ continet, virtutes colit et Deo, hominibus et sibimetipsi bonus efficitur. Si autem colloquia ejus non sint bona; si spiritualem doctrinam non audiat, et quidem illam quam audivit inter vanitates reputet, agrestis efficitur et dumosus, nutritque passiones malas quæ ei interius proferunt spinas et stimulos mortis animæ et corporis, quæ sunt peccata. Cum serpens princeps mali, vulnerasset, ut omnes nostis, hominem per peccatum, eum mortalem fecit, et ejiciens eum a loco voluptatis in hunc corruptibilem et pœnis refertum mundum posuit, et nunc nisi per pœnitentiam quisque vulnerum suorum sanationem acquirat, pœnæ æternæ et gehennæ igni deputabitur. Sicut in silvis asperis et in rubis latent feræ et reptilia terræ, ita princeps mali draco iste magna et immanis bestia juxta Job [98], sub omnibus voluptatis arboribus habitat, post ipsum autem, ait, currit perditio. Cujus perditionis vos omnes esse expertes cupiens, et nihil omittens, insto pro vobis, fratres, in verbo et in doctrina spirituali, quotidie quidem iis quæ præsentes sunt, et in ecclesia omnibus prout concedit tempus; ipsa enim lucos malos resecat, peccatorum altas extrahit radices, stimulos malitiæ hebetat, de dracone mali principe triumphat, viam rectam aperit, et cognitionem tribuit salutarem.

Ἐπεὶ δὲ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ μάλιστα ἡ C κατὰ τὴν μεγαλόπολιν ταύτην, οὐκ ἰδιώτας μόνον ἔχει, ἀλλὰ καὶ σοφοὺς, τῇ τε φύσει καὶ τῇ μελέτῃ τῶν ἔξω τε καὶ τῶν καθ' ἡμᾶς μαθημάτων· διὰ τοῦτο οὐκ ἐπὶ πολὺ, οὐδὲ λίαν ἰδιωτικὴν ποιοῦμαι τὴν ὁμιλίαν, μᾶλλον βουλόμενος ἀνάγειν τοὺς χθαμαλωτέρους, ἢ κατάγειν διὰ τούτους καὶ τοὺς ὑψηλοτέρους. Ὁ δὲ προσέχων καὶ ἀκούων τῆς διδασκαλίας ἐπιμελῶς, κἂν ἰδιώτης ᾖ, οὐ πάντη ἀγνοήσει τὰ λεγόμενα, **185** καὶ ὅπερ ἂν δυνηθῇ καταλαβεῖν καὶ κατασχεῖν καὶ εἰς ἔργον ἀγαγεῖν, κἂν λίαν ὀλίγον ᾖ, φυγαδεύσει μὲν ἐκ τῆς αὐτοῦ ψυχῆς πᾶσαν κακίαν, αὐξηθήσεται δὲ καὶ πληρώσει καὶ σώσει τὴν δεξαμένην αὐτὸ καρδίαν. Ὡς γὰρ ἐκ τῆς θεοπνεύστου Γραφῆς ὑπάρχων, ἐξομοιοῦται τῷ λίθῳ ἐκείνῳ, D ὃν ἔλεγεν ὁ Δανιὴλ, ὅτι ἐκινήθη ἀπὸ ὄρους ὀλίγος πάνυ, καὶ πατάξας τὴν εἰκόνα τῶν παραρρεόντων τούτων ἐλέπτυνε καὶ διέλυσεν, αὐτὸς δὲ πλατυνθεὶς ἐπλήρωσε πᾶσαν τὴν γῆν. Νῦν δὲ μάλιστα προσέχειν ἀναγκαῖον τοῖς λεγομένοις τὸν νοῦν οὐ τοὺς ἰδιώτας μόνον, ἀλλὰ καὶ τοὺς σοφούς· εἰ γὰρ καὶ συνέρχεταί πως τοῖς ἰδιώταις τῷ λόγῳ ἡ ὁμιλία, ἀλλὰ καὶ τὴν γνῶσιν οὐ χαμαίζηλον ἔχει, οὐδὲ τὴν ὠφέλειαν ἀμυδράν· τὰ γὰρ πονηρὰ πάθη καὶ τὰς ἀρετὰς ὑμῖν ὑποδείξω, καὶ αὐτὴν ἑκατέρων τὴν ῥίζαν ἀνακαλύψας, οὐ τὴν αὐτὴν οὖσαν, ἀλλὰ

Cum igitur Christi Ecclesia ea præsertim quæ hanc magnam urbem comprehendit, non rudes tantum, sed et sapientes habeat tam ex natura quam ex meditatione doctrinæ, sive a nobis sive aliunde eam acceperint, ideo non valde nec nimis rudem facimus orationem, cum magis velimus mentes erigere humiliores, quam propter eas sublimiores deprimere. Qui autem attendit et studiose audit doctrinam, etsi rudis sit, non omnino dicta non intelliget, et quod potuerit comprehendere et retinere atque ad opus adducere, etiamsi admodum sit leve, fugabit omnem malitiam ab ejus anima, augebit etiam atque implebit et salvabit cor a quo receptum fuerit. Nam ut Scriptura utar Deo inspirante exarata, comparatur illi lapidi, quem dixit Daniel, qui abscissus est a monte valde parvus, et percussa horum transeuntium statua, eam comminuit et solvit, ipse vero adauctus implevit universam terram [99]. Nunc autem in primis est necessarium mentem dictis intendere, quod non rudibus tantum dico, sed et sapientibus; nam licet verbis homilia simplicibus conveniat, sensum tamen non humilem habet, neque levem utilitatem. Nam pravas passiones ostendam vobis atque virtutes, et ipsa earum revelata radice, non eamdem hanc esse sed diversam monstrabo, ut aliam quidem amputetis, aliam

[98] Job XL, 1 seqq. [99] Dan. II, 35.

Digitized by Google

vero foveatis. Porro amor Dei radix est et principium omnis virtutis; amor autem mundi auctor est omnis mali. Ideo sibi invicem hi duo amores adversantur, alius ab alio destruitur, sicut clamat Domini frater dicens: « Amicitia hujus mundi inimica est Dei; quicumque voluerit amicus esse sæculi hujus, inimicus Dei constituitur [99]. » Et Joannes Christo dilectus: « Si quis diligit mundum, non est charitas Patris in eo: quoniam omne quod in mundo est, concupiscentia carnis est, et concupiscentia oculorum et superbia vitæ; quæ non est ex Patre [1]. » Curemus, fratres, ne malas concupiscentias diligentes, et superbiam ad alios invicem habentes, excidamus ab amore Patris cœlestis. Nam in his duabus comprehendit omnem passionem nos B a Deo separantem. Sed duplicis hujus contrarii amoris seu duplicis hujus radicis, amorem dico ad Deum, et amorem ad mundum, radix et principium et causa duplex est etiam alius amor qui inter se odio inexpiabili pugnant. Nam amoris mundi auctor est amor corporis nostri, mundum enim propter corpus et ea quæ illi favent, diligimus. Amoris autem Dei causa est amor spiritus seu animæ nostræ; quisque enim Deum diligit propter animam suam et propter quietem ac bonam hæreditatem in futuro sæculo accipiendam. Quod autem sibi invicem adversantur, magnus Paulus testatur dicens: « Caro adversus carnem [2]. »

A διάφορον, ἵν' ὑμεῖς τὴν μὲν ἐκκόψητε, τὴν δὲ περιθάλψητε. Ἡ μὲν οὖν πρὸς τὸν Θεὸν ἀγάπη ῥίζα καὶ ἀρχὴ πάσης ἀρετῆς ἐστιν· ἡ δὲ πρὸς τὸν κόσμον ἀγάπη πάσης κακίας πρόξενος. Διὸ καὶ ἐναντίως αὗται πρὸς ἀλλήλας ἔχουσι, καὶ ὑπ' ἀλλήλων φθείρονται, καθὰ καὶ ὁ Ἀδελφόθεος βοᾷ λέγων· « Ἡ ἀγάπη τοῦ κόσμου ἔχθρα εἰς Θεόν. Ὅστις θέλει φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. » Καὶ ὁ ἠγαπημένος τῷ Χριστῷ Ἰωάννης· « Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ Πατρὸς ἐν αὐτῷ· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ Πατρός. » Προσέχωμεν, ἀδελφοί, μήπως ἀγαπῶντες τὰς πονηρὰς ἐπιθυμίας, καὶ τὴν πρὸς ἀλλήλους ἀλαζονείαν ἔχοντες, ἐκπέσωμεν τῆς ἀγάπης τοῦ οὐρανίου Πατρός. Ἐν γὰρ τοῖς δυσὶ τούτοις συμπεριέλαβε πᾶν πάθος διιστῶν ἡμᾶς ἀπὸ τοῦ Θεοῦ. Ἀλλὰ τῆς δυάδος τούτων τῶν ἀντιθέτων ῥιζῶν, τῆς πρὸς τὸν κόσμον λέγω καὶ τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἄλλη δυάς ἐστιν ἀγάπης ῥίζα καὶ ἀρχὴ καὶ πρόξενος, ἀσπόνδως πρὸς ἑαυτὴν ἔχουσα, καὶ ἀπεχθῶς κἀκείνῃ· τῆς μὲν γὰρ πρὸς τὸν κόσμον ἀγάπης ἡ πρὸς τὸ σῶμα ἡμῶν ἀγάπη γίνεται αἰτία· διὰ γὰρ τὸ σῶμα καὶ τὴν κατ' αὐτὸ εὐπάθειαν τὸν κόσμον ἀγαπῶμεν. Τῆς δὲ πρὸς τὸν Θεὸν ἀγάπης ἡ πρὸς τὸ πνεῦμα τὸ ἡμέτερον, ἤγουν τὴν ψυχὴν, ἀγάπη αἰτία· διὰ γὰρ τὴν ἑαυτοῦ ψυχὴν, καὶ τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἄνεσιν καὶ εὐκληρίαν ἕκαστος ἀγαπῶμεν τὸν Θεόν. Ὅτι δὲ καὶ αὗται ἀντίκεινται ἀλλήλαις, καὶ ὁ μέγας Παῦλος μαρτυρεῖ λέγων· Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, » ἤτοι τῆς ψυχῆς, « καὶ τὸ πνεῦμα κατὰ τῆς σαρκός. »

C Sed quomodo ex amore propriæ uniuscujusque animæ amor Dei nascitur? Minax impendet gehenna ignis inexstinguibilis, et regnum Dei æternum promittitur: æternum quidem regnum facientibus divina quæ audiverint mandata, ignis autem gehennæ iis qui per opera fidem in Evangelium Christi non exhibent. Igitur vere credentes et suas diligentes animas, optantesque eas in vitam æternam servare, has minas hasque promissiones audientes, desiderium statim in semetipsis et timorem concipiunt. Timorem quidem perennium dolorum in gehenna, quam minatus est Dominus, tolerandorum; desiderium vero regni, quod promisit Deus et gaudii in eo in æternum duraturi. Igitur qui cupiunt intemeratum illud et divinum obtinere D gaudium, et qui illud ignis tormentum timent, solvuntur quidem a cupidis et noxiis atque terrenis affectibus, student autem ut Deo conglutinentur per assiduam orationem, utpote soli virtutem et potestatem habenti a supplicio gehennæ liberandi et æternam quæ superat omnem mentem largiendi lætitiam; et sic charitatem apud Deum consequuntur, et per eam magis adhuc et intimius Deo conjuncti, omnem insuper virtutem acquirunt: omnis enim forma virtutis, Deo operante, nobis inditur. Si vero Deus non operetur in nobis, peccatum est omne

Ἀλλὰ πῶς ἐκ τῆς πρὸς τὴν οἰκείαν ἑκάστῳ ψυχὴν ἀγάπης ἡ πρὸς Θεὸν ἀγάπη φύεται; Ἀπειλεῖται γέεννα πυρὸς ἀσβέστου, καὶ βασιλεία τοῦ Θεοῦ αἰώνιος ἐπαγγέλλεται· ἡ μὲν αἰώνιος βασιλεία τοῖς ἀκούουσι καὶ ποιοῦσι τὰς θείας ἐντολάς· ἡ δὲ τοῦ πυρὸς γέεννα τοῖς ἀπειθοῦσι δι' ἔργων τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. Οἱ γοῦν ὡς ἀληθῶς πιστοὶ, καὶ ἀγαπῶντες τὰς ἑαυτῶν ψυχὰς, καὶ ἐπιθυμοῦντες εἰς ζωὴν αἰώνιον φυλάξαι αὐτὰς, ἀκούοντες τούτων τῶν ἀπειλῶν καὶ τῶν ἐπαγγελιῶν, πόθον εὐθὺς ἐν ἑαυτοῖς συλλαμβάνουσι καὶ φόβον· φόβον μὲν τῆς κατὰ τὴν ἠπειλημένην τοῦ πυρὸς γέενναν ἀτελευτήτου ὀδύνης· πόθον δὲ τῆς κατ' ἐπαγγελίαν τοῦ Θεοῦ βασιλείας, καὶ τῆς ἐν αὐτῇ διαιωνιζούσης εὐφροσύνης. Ποθοῦντες οὖν τυχεῖν τῆς ἀκηράτου καὶ θείας εὐφροσύνης, καὶ τὴν τοῦ πυρὸς ὀδύνην φοβούμενοι ἐκείνην, ἀπολύονται μὲν τῶν ἐμπαθῶν
**186** καὶ ὑπευθύνων καὶ γηΐνων σχέσεων, σπεύδουσι δὲ κολλᾶσθαι τῷ Θεῷ δι' ἐκτενοῦς δεήσεως, ὡς μόνῳ δύναμιν καὶ ἐξουσίαν ἔχοντι τῆς ἐν γεέννῃ ὀδύνης ἀπαλλάξαι, καὶ τῆς ὑπὲρ πάντα νοῦν χαρᾶς τῆς ἀϊδίου καταξιῶσαι· καὶ οὕτω κτῶνται τὴν πρὸς τὸν Θεὸν ἀγάπην, καὶ δι' αὐτῆς ἔτι συναφθέντες τῷ Θεῷ τελεώτερον, πᾶσαν ἔτι προσκτῶνται ἀρετήν· πᾶν γὰρ εἶδος ἀρετῆς ἐν ἡμῖν, ἐνεργοῦντος τοῦ Θεοῦ, ἡμῖν προσγίνεται· τοῦ Θεοῦ δὲ μὴ ἐνερ-

[99] Jacob. IV, 4. [1] I Joan. II, 15. [2] Galat. V, 17.

Digitized by Google

γοῦντος ἐν ἡμῖν, ἁμαρτία πᾶν τὸ παρ' ἡμῶν γινόμενον. Διὸ καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ φησὶν, ὅτι· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Καὶ τοῦτο γινώσκοντες οἱ ὡς ἀληθῶς ἐργαζόμενοι τὰς ἀρετὰς, ἐπ' οὐδενὶ ἐπαίρονται κατορθώματι, ἀλλὰ ταπεινούμενοι δοξάζουσι τὸν Θεὸν, τὴν πηγὴν τῶν ἀρετῶν, ἐξ ἧς ἀγαθοδότιδος αὐγῆς πληροῦνται. Ὡς γὰρ ὁ ἀὴρ ἐξ ἡλίου πληρούμενος φωτὸς, οὐ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν ἡλίου δόξαν τε καὶ λαμπρότητα δείκνυσιν ἡμῖν, οὕτως οἱ διὰ τῆς τῶν θείων ἐντολῶν ἐργασίας συναφθέντες τῷ Θεῷ εὐωδία Χριστοῦ κατὰ Παῦλόν εἰσι, καὶ ὀσμὴν Χριστοῦ ἔχουσι, καὶ τὰς ἀρετὰς καταγγέλλουσι του ἐκ σκότους καλέσαντος αὐτοὺς εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς.

Οὕτω μὲν οὖν διὰ τῆς πνευματικῆς διδασκαλίας ἡ τῶν μελλόντων ἐπίγνωσις ἡμῖν ἐγγίνεται, καὶ διὰ τῆς πρὸς τὴν οἰκείαν ἑκάστου ψυχὴν ἀληθινῆς ἀγάπης ὁ φόβος καὶ ὁ πόθος τούτων τοῖς πιστοῖς ἡμῖν προσγίνεται, καὶ δι' αὐτῶν ἡ πρὸς τὸν Θεὸν ἐκτενὴς καὶ συνεχὴς προσευχὴ καὶ δέησις, καὶ διὰ τῆς συνεχοῦς προσευχῆς ἡ πρὸς αὐτὸν ἀγάπη καὶ συνάφεια, καὶ διὰ τῆς συναφείας ταύτης πᾶσα ἀρετὴ γεννᾶται, συνεπαγομένη τὴν ταπείνωσιν, τῇ ἐπιγνώσει τοῦ ἐν ἡμῖν τίκτοντος τὰς ἀρετάς. Πῶς δὲ καὶ διὰ τῆς τοῦ σώματος ἀγάπης ἡ πρὸς τὸν κόσμον γίνεται φιλία, καὶ διὰ τῆς φιλίας ταύτης τὰ πονηρὰ πάθη, καὶ ἡ πληθὺς τῶν ἁμαρτημάτων φύεται; Ὥσπερ ἡ ψυχὴ τῆς μελλούσης ἡδονῆς ἐφίεται καθ' ἑαυτὴν, οὕτω τὸ σῶμα τῆς παρούσης καὶ παραῤῥεούσης· ἡ δὲ τοιαύτη ἡδονὴ αἰσθητή τέ ἐστι, καὶ διὰ τῶν ἡμετέρων αἰσθήσεων ἐνεργεῖται, καὶ ἐκ τῶν αἰσθητῶν προσγίνεται, ἅ ἐστιν ὁ κόσμος· διὰ τοῦτο φιλόκοσμος ὁ φιλοσώματος. Ἐκ δὴ τῆς πρὸς τὸ σῶμα φιλίας ταύτης ἀμέτρως τὰς κατὰ κόσμον ἡδονὰς ποθοῦντες καὶ διώκοντες καὶ περιέποντες, τὴν πολύμορφον τῶν παθῶν ἑαυτοῖς περιτίθεμεν ἀσχημοσύνην. Ἐπεὶ γὰρ ἡ κατὰ κόσμον ἡδονὴ δι' αἰσθήσεων ἐνεργεῖται, πολλῶν οὐσῶν καὶ διαφόρων τῶν ἡμετέρων αἰσθήσεων, πολλαί τε καὶ διάφοροι καὶ αἱ κατ' αὐτὰς ἡδοναὶ, καὶ τὰ κατὰ ταύτας πάθη· ἄλλα μὲν γὰρ ὁράσεως, ἀκοῆς δὲ ἄλλα, καὶ ἄλλα τῆς ὀσφρήσεως, καὶ τῆς ἁφῆς πάλιν ἕτερα, καὶ ἕτερα τὰ τῆς γεύσεως. Τῶν μὲν οὖν κατὰ τὴν γεῦσιν πονηρῶν παθῶν οὐχ ἡ τροφὴ αἰτία, ἀλλ' ἡ ἀμετρία ταύτης, ὅ ἐστι τρυφή· ταῦτα δέ ἐστι γαστριμαργία, λαιμαργία, καὶ πολυποσία καὶ μέθη· γαστὴρ δὲ ὑποδεχομένη τὰ ἐκ τῆς γεύσεως ἀκρατῶς, καὶ πρὸς τὰ ἔξω περιττῶς ἐκδιδοῦσα διὰ τῆς πέψεως, τῇ ἁφῇ δαψιλῆ χορηγεῖ τῆς κακίας τὴν ὕλην, οἷόν τις βδελυρὰ δεξαμενὴ βδελυροὺς ἀναδιδοῦσα κρουνοὺς, δι' ὧν συνίσταται τὰ ὑπογάστρια πάθη, πορνεία, μοιχεία, ἀκολασία, ἀσέλγεια, καὶ πᾶσα ἡ τῆς σαρκὸς ἀκαθαρσία. Ταῦτα δὲ καὶ τὴν ἀκοὴν καὶ τὴν ὅρασιν καὶ τὴν ὄσφρησιν καταδουλωσάμενα, ποθεινὰ καθίστησι τὰ μυσαρὰ, τὰ ῥήματα τὰ αἰσχρὰ, τὰ ᾄσματα τὰ πορνικὰ, τὰ χορεύματα τὰ σατανικὰ, τὰς ἐπαγωγοὺς πρὸς τὰ μύση μυραλοιφίας, τὰ βδελυρὰ ἐπι-

A quod a nobis efficitur. Ideo Dominus dixit in Evangelio: « Sine me nil potestis facere [a]. » Quod non ignorantes qui vere virtutem colunt de nullo superbiunt virtutis actu, sed cum humilitate Deum glorificant virtutum fontem quo luce benifica implentur. Nam quemadmodum aer solis lumine repletus, non suam, sed solis gloriam et radiationem nobis manifestat, ita qui per executionem mandatorum Dei, huic juncti sunt, bonus sunt odor Christi secundum Paulum [b], et odorem Christi habent, et virtutes imitantur illius qui e tenebris eos in admirabile lumen suum evocavit.

Ita ergo per spiritalem doctrinam futurorum co-
B gnitio nobis supervenit, et per verum cujuslibet amorem erga animam suam, illorum metus et desiderium nobis credentibus supervenit, et per ista assidua et attenta ad Deum oratio et obsecratio, et per continuam orationem erga eumdem amor et conjunctio, et per istam conjunctionem omnis generatur virtus quæ humilitatem cognitioni ejus qui in nobis virtutes procreat adjicit. Sed quomodo per amorem corporis gignitur mundi dilectio, et per istam dilectionem nascuntur passiones malæ, et peccatorum multitudo? Quemadmodum anima per se ad futuram voluptatem tendit, ita corpus ad præsentem et perefluentem; porro talis voluptas est sensibilis et per sensus nostros percipitur, necnon
C ex sensibilibus provenit quæ mundum constituunt; propterea qui corpus suum amat, amat et mundum. Verum ex isto corporis amore mundanas voluptates immoderate desiderantes et persequentes atque sectantes multiformem nobis imponimus passionum turpitudinem. Nam cum mundana voluptas sensibus percipiatur, nostri autem sensus multi sint et varii, proinde et variæ sunt circa eos voluptates, et multæ quæ circa voluptates versantur passiones; aliæ enim circa visum, aliæ circa auditum, aliæ circa odoratum, et aliæ circa tactum, et rursus aliæ circa gustum. Porro pravarum circa gustum passionum causa non cibus est, sed ejus immoderatio seu helluatio. Istæ autem sunt ventris ingluvies, voracitas, perpotatio et ebrietas. Venter vero nimia ex gustu
D recipiens, ut ea coquat ad exteriora intemperanter exspuit, et exinde tactu copiosam evomit malitiæ materiam, sicut fons spurcitiis plenus immundas eructat aquas, quæ sunt libidinosæ passiones, fornicatio, adulterium, vita dissolutior, mores flagitiosi, et omnis carnis immunditia. Quæ cum auditum, visum et odoratum in servitutem redigunt, ad amandum inducunt turpitudines, verba turpia, obsceniora carmina, choreas satanicas, unguenta ad turpitudines agentia, multiformium spectacula vestium et fasciarum, quæ exterius quidem libidines adornant, interius vero obtegunt, deformis instar larvæ, passiones infamiæ, et vere assimulantur se-

[a] Joan. xv, 5. [b] II Cor. ii, 15.

Digitized by Google

pulchris dealbatis quæ exterius quidem speciosa videntur, interius vero plena sunt fœtore et omni immunditia, illa vero malitiæ servientia, tam interius quam exterius, tam prope quam procul horrore sunt referta; et ita non tantum egreditur sed etiam ingreditur per fores nobis innatas peccatum mortiferum: «Nam quæ procedunt de ore, de corde exeunt, et ea, inquit, coinquinant hominem [a].» Et: «Qui viderit mulierem ad concupiscendam eam, jam mœchatus est eam in corde suo [b].»

A τρίμματα, τοὺς διὰ πολυτελῶν ἐνδυμάτων καὶ ἀναδημάτων ὡραϊσμοὺς, καλλωπιζομένων 187 μὲν ἔξωθεν τῶν ἐμπαθῶν, ἔνδοθεν δὲ περικειμένων ὡς δυσειδὲς προσωπεῖον τὰ πάθη τῆς ἀτιμίας, καὶ ὄντως ἐξομοιουμένων τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔνδοθεν δὲ γέμουσι δυσωδίας καὶ πάσης ἀκαθαρσίας· δουλωθέντα γὰρ τῇ κακίᾳ τὰ αἰσθητήρια ταῦτα, ἔσωθέν τε καὶ ἔξωθεν, ἐγγύθεν τε καὶ πόῤῥωθεν, ἐπισπᾶται τὰ μίση· καὶ οὕτως οὐ μόνον ἐξέρχεται, ἀλλὰ καὶ εἰσέρχεται διὰ τῶν ἐν ἡμῖν ἐμφύτων θορίδων ἡ πρὸς θάνατον ἁμαρτία· «Τὰ γὰρ ἐκπορευόμενα διὰ τοῦ στόματος, φησὶν, ἐκεῖνά ἐστι τὰ κινοῦντα τὸν ἄνθρωπον·» καὶ, «Ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ.»

Talis autem anima corporis amica quodcunque sensibus suave est omni modo sectata, et undequaque voluptati sive tactu, sive gustu, sive aliis sensibus percipiatur materiam afferens parturit auri argentique amorem; hic vero furta, injustitias, rapinas et quamlibet avaritiæ speciem. Est et alius præter illos sine corporali organo sensus interior et universalis, phantasia, qua passiones aliæ aliæque voluptates amatoribus mundi nascuntur, inter quas censetur præsumptio, elatio animi et jactantia. Insuper aliæ etiam mixtæ passiones ex sensu et phantasia constituuntur; quæ sunt respectus ad humana judicia, vana gloria et superbia. Voluptas quidem quam anima a Deo et divinis accipit, pura est, doloris exspers, nec angore mixta; iste autem mundus voluptati semper dolorem affert, non solum propter multimodas mutationes et vicissitudines, sed quia, parte minima singulis tributa, a reliquis spoliat. Nam cum unus sit mundus, in sexcentos et fere innumeros dividitur, quorum singuli eum totum habere et regere desiderant et student. Igitur amator mundi totum concupiscens, etsi propemodum habeat totum, etsi majorem quam cæteri omnes partem possideat, nihilominus tristatur ex eo quod aliquo privatur, et alium præ illo humiliorem sua præstantia affligit. E contra divina mentis jucunditate et voluptate sine parte dispertitita, etsi quis eam recipiat totam, alios minime privat, nam quisque pietatem totam sortitur, et proximi religione non contristatur, sed magis et multimode augetur. Idcirco mundus iste, sicut dixi, cum voluptate dolorem affert, nostrum autem corpus voluptatem quidem quærit, dolorem vero repellit; ideo idem mundus illi jucundus est simul et noxius. Sed qui amore corporis constringuntur, cum naturam mundi nesciant, et cogitent eum non modo abundare deliciis, sed etiam vacare doloribus, neque intelligentes quoniam evanescit quod persequentur, dolentes de dolore mundo natura insito, in pugna autem nocturna doloris causam ignorantes, se invicem de incommodis utrinque supervenientibus criminantur. Unde alia series passionum, quæ nullam afferunt voluptatem miserum genus humanum agitat: convicia, maledicta, sycophantiæ, ira,

Ἡ δὲ τοιαύτη φιλοσώματος ψυχὴ, τὸ κατ' αἴσθησιν ἡδὺ παντὶ τρόπῳ θηρωμένη, καὶ τῇ κατὰ τὴν ἁφήν τε καὶ γεῦσιν καὶ τὰς ἄλλας αἰσθήσεις ἡδονῇ B πανταχόθεν συμφέρουσα τὰς ὕλας, γεννᾷ τὴν φιλοκτημοσύνην καὶ τὴν φιλαργυρίαν· αἱ δὲ τὰς κλοπὰς καὶ τὰς ἀδικίας καὶ τὰς ἁρπαγὰς, καὶ πᾶν εἶδος πλεονεξίας. Ἔστι δὲ καὶ ἄλλη παρὰ ταύτας, ἄνευ τῶν σωματικῶν αἰσθητηρίων, περιεκτικωτάτη αἴσθησις ἔνδοθεν, ἡ φαντασία, καθ' ἣν καὶ αὐτὴν ἡδοναί τε ἕτεραι καὶ πάθη φύονται τοῖς φιλοκόσμοις, ὧν ἐστιν ἡ οἴησις, ἡ φυσίωσις, καὶ ἡ ἀλαζονεία. Ἀλλὰ καὶ μικτά τινα πάλιν ἕτερα πάθη ἐξ αἰσθήσεως συνίστανται καὶ φαντασίας· ταῦτα δέ ἐστιν ἀνθρωπαρέσκεια, κενοδοξία, καὶ ὑπερηφανία. Ἡ μὲν οὖν κατὰ ψυχὴν ἐκ Θεοῦ καὶ τῶν θείων ἡδονὴ καθαρά ἐστι καὶ ἀπαθὴς καὶ ἀμιγὴς ὀδύνης· ὁ δὲ κόσμος οὗτος τῇ ἡδονῇ φυσικῶς συμφέρει τὴν ὀδύνην, οὐ μόνον διὰ τὰς πολυτρόπους μεταβολὰς καὶ C ἀλλοιώσεις, ἀλλ' ὅτι καὶ μόριον ἐλάχιστον ἑκάστῳ παρέχων, τοῦ πλείονος ἀποστερεῖ· εἷς γὰρ ὢν ὁ κόσμος, εἰς μυρίους καὶ ἀναριθμήτους μερίζεται σχεδὸν, ὧν ἕκαστος ὅλον αὐτὸν ἔχειν τε καὶ ἄρχειν ἐπιποθεῖ καὶ σπεύδει. Τοῦ παντὸς οὖν ὁ φιλόκοσμος ἐπιθυμῶν, κἂν τὸ πλέον ἔχῃ πρὸς τὸ πᾶν, κἂν ὀλίγου μέν τινος μετέχῃ, πλέον δέ τινος τῶν ἄλλων, αὐτὸς μὲν λυπεῖται τῇ στερήσει, τὸν δὲ πρὸς αὐτὸν ἐλαττούμενον τῷ πλεονασμῷ λυπεῖ. Τῆς μέντοι κατὰ νοῦν καὶ θείας ἀπολαύσεως καὶ ἡδονῆς ἀμερίστῳ μεριζομένης, κἂν εἰ πάσης δεκτικός τις γένοιτο, τοὺς ἄλλους οὐ παραβλάπτει· καὶ τὴν εὐσέβειαν γὰρ ἕκαστος ἡμῶν ὁλόκληρον ἔχει, καὶ τῇ τοῦ πλησίον οὐ λυμαίνεται, μᾶλλον δὲ καὶ συνεργεῖ πολυειδῶς. Ὁ D μὲν οὖν κόσμος οὗτος, καθάπερ ἔφην, μετὰ τῆς ἡδονῆς καὶ ὀδύνην προξενεῖ· τὸ δὲ ἡμέτερον σῶμα τὴν μὲν ἡδονὴν ἀποδέχεται, τὴν δὲ ὀδύνην ἀπαναίνεται· διὸ καὶ ὁ αὐτὸς αὐτῷ κόσμος, προσηνής ἐστι καὶ ἀνήμερος. Οἱ δὲ τῆς φιλίας τοῦ σώματος ἐξηρτημένοι, τὴν τοῦ κόσμου φύσιν ἀγνοήσαντες, ὡς μὴ μόνον ἐνήδονός ἐστιν, ἀλλὰ καὶ ἀνώδυνος, καὶ μὴ συνορῶντες ὅτι φευκτόν ἐστιν αὐτοῖς οἴκοθεν ἃ περιέπουσι, πρὸς μὲν τὴν τῷ κόσμῳ συμπεφυκυῖαν ἀπαρεσκόμενοι ὀδύνην, ὡς ἐν νυκτομαχίᾳ δὲ τὸ τοῦ πάθους αἴτιον ἀγνοοῦντες, ἀλλήλους ἐπὶ ταῖς συμβαινούσαις ἑκάστοτε δυσχερείαις αἰτιῶνται. Κἀντεῦ-

[a] Matth. xv, 18. [b] Matth. v, 28.

ὅθεν ὁρμαθὸς ἕτερος παθῶν ἀνήδονος ἐξευρίσκεται τῷ ταλαιπώρῳ τῶν ἀνθρώπων γένει, παρ' οὗ λοιδορίαι, καταλαλιαί, συκοφαντίαι, θυμὸς, μῖσος, ἔριδες, φθόνος, καὶ πᾶσα πικρίας γέμουσα ἐπιθυμία, δι' ἣν πόλεμοί τε καὶ φόνοι ἀνὰ πᾶσαν τελοῦνται τὴν οἰκουμένην, καὶ μάλιστα κατὰ τὴν ἡμετέραν γενεὰν, διὰ τὸ ψυγῆναι τὴν ἀγάπην καὶ πληθυνθῆναι τὴν ἁμαρτίαν. Ἀλλ' ἡμεῖς φυλάξωμεν ἑαυτοὺς ἐν ὁμονοίᾳ, συνδούμενοι τῇ πρὸς ἀλλήλους εἰρήνῃ, καὶ ἀπεχόμενοι τῆς κατ' ἀλλήλων μανίας, **188** ἥτις καὶ ψυχὰς καὶ σώματα παραδίδωσι τῇ ἀπωλείᾳ. Ναί, ἀδελφοί, παρακαλῶ, χαρισώμεθα ἀλλήλοις, εἴ τις πρός τινα ἔχει μομφὴν, ὡς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν· ἵνα μὴ μόνον ἐν τοῖς τοῦ Θεοῦ ναοῖς, ἀλλὰ καὶ κατ' οἴκους καὶ κατ' ἀγορὰν ἀθόρυβοι διαμένοντες, ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζωμεν τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Τοῦ μέντοι καθ' ἡδονὴν καὶ ὀδύνην πονηροῦ καταλόγου τῶν ὀλεθρίων παθῶν τοιαῦτά ἐστιν ἕτερα, ἃ μήτε ἀνώδυνά ἐστι, μήτε ἐνήδονα, ἀλλ' οἷον σύμμικτον ἐξ ἐναντίων ἔχουσι τῆς γενέσεως τὴν ἀφορμὴν, ὁποῖόν ἐστιν ἡ εἰρωνεία, καὶ ἡ κολακεία, καὶ ὁ δόλος, καὶ ἡ ὑπόκρισις.

Ὁρᾶτε τὴν πλάνην καὶ τὴν ἀπάτην τοῦ κόσμου τούτου, πόσον ἐστὶ ποικίλη; πόσοις ἡμᾶς περιβάλλει κακοῖς; διὰ πόσων ἡμᾶς χωρίζει ἀπὸ τοῦ Θεοῦ; Μυριοπαθεῖς γὰρ ἡμᾶς ποιήσασα πολυτρόπως διίστησι τοῦ ἀπαθοῦς. Διὸ καὶ αὐτὸς ὁ Κύριος ἔλεγεν, « Ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται· » καὶ κοσμοκράτορα ἐκάλει τὸν διάβολον, ὡς ἄρχοντα τοῦ σκότους τοῦ αἰῶνος τούτου· μὴ γὰρ δὴ νομίσητε κρατεῖν τὸν πονηρὸν οὐρανοῦ καὶ γῆς, καὶ τῶν μεταξὺ τούτων κτισμάτων τοῦ Θεοῦ, καὶ διὰ τοῦτο κοσμοκράτορα καλεῖσθαι τοῦτον· ἄπαγε τῆς ἀσυνέτου γνώμης! οὐ γὰρ οὗτος ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται· ὁ γὰρ μετρῶν τὸν οὐρανὸν σπιθαμῇ, κατὰ τὸν προφήτην, καὶ κατέχων τὴν γῆν δρακὶ, μόνος ἐστὶν ὁ τούτων δημιουργός· ἀλλ' ἡ παράχρησις τῶν ὄντων, ἡ ἐμπαθὴς τῶν ἐφ' ἡμῖν διοίκησις, ὁ κόσμος τῆς ἀδικίας, ἡ πονηρὰ ἐπιθυμία, καὶ ἡ ἀλαζονεία, καθά φησιν ὁ ἠγαπημένος τῷ Χριστῷ Θεολόγος, οὐκ ἔστιν ἐκ τοῦ Πατρός. Οὗτος οὖν ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται διὰ τῆς ἡμετέρας παραχρήσεως καὶ σφαλερᾶς διοικήσεως· καὶ οὗτός ἐστιν ὁ κόσμος, οὗ κοσμοκράτωρ ἐστὶν ὁ Σατανᾶς, ὁ προκατηριθμημένος τῶν παθῶν ὄχλος, ὃς ἐκ τῆς φιλαμαρτήμονος ἡμῶν γνώμης κτίζεται συνεργείᾳ τοῦ πονηροῦ· δι' ἧς οἱ μὴ διὰ τῆς μετανοίας ἐλευθερώσαντες ἑαυτοὺς αὐτοκράτορα ποιοῦσιν ἑαυτῶν τὸν διάβολον. Ἀλλ' ἡμεῖς οἱ τῷ Χριστῷ συνταξάμενοι ποθήσωμεν τὸν ἄνω κόσμον· ἐπιθυμήσωμεν τῆς ἐπηγγελμένης ἡμῖν παρὰ Χριστοῦ βασιλείας· ἀποστῶμεν τῶν κατασπώντων τὴν ψυχὴν ἡδονῶν· φοβηθῶμεν τὴν ἠπειλημένην τοῦ πυρὸς γέενναν τοῖς φιληδόνοις· φύγωμεν τὴν τρυφὴν, τὴν μέθην, τὴν πορνείαν, τὴν πλεονεξίαν, τὴν ἀδικίαν, τὴν κενοδοξίαν, τὴν ὑπερηφανίαν, τὸ μῖσος, τὸν θυμὸν, τὴν ἀπανθρωπίαν· διὰ ταῦτα γὰρ ἄρχοντα φεῦ! ἡμῖν αὐτοῖς καὶ τῷ κόσμῳ τὸν πονηρὸν ἐφιστῶμεν. Φύγωμεν

A odium, dissensiones, invidia et omnis concupiscentia felle referta, per quam bella et cædes per omnem terram perpetrantur, præsertim in hac generatione nostra, quia refrigescit charitas, peccatum vero accrescit. Nos autem custodiamus nos in concordia, incumbentes paci ad invicem servandæ, et abstinentes ab omni iracundia, quæ tam animas quam corpora exitio devovet. Etiam, fratres obsecro nobis invicem condonemus, si quis habet querelam adversus proximum; sicut et Christus nobis condonavit; ita ut non in solis Dei templis, sed in domibus et in foro placidi manentes, unanimiter et uno ore glorificemus Patrem nostrum qui est in cœlis. Enumeravi perniciosas illas passiones sive voluptatem sive dolorem parturiant; sed est et alia passionum series quæ, dum dolorem afferunt, nullam pariunt delectationem, sed velut quoddam ex contrariis commistum producunt, quales sunt ironia et adulatio et dolus et simulatio. B

Videtis errorem et fallaciam hujus mundi quam sit multiplex? quot nos malis circumveniat? quot modis nos a Deo arceat? Nam postquam nos sexcentis imbuerit vitiis, a pace per eadem nos removet. Ideo Dominus ipse dixit: Mundus in maligno positus est[7], » et mundi principem vocabat diabolum ut rectorem tenebrarum hujus sæculi. Absit enim ut censeatis malignum dominari in cœlo et in terra, et quæ infra sunt Dei creaturis imperare, et propterea eum appellari mundi principem. Procul sit tam insana cogitatio! Non enim hic mundus in maligno positus est. Nam qui cœlum palmo ponderat, prout dixit propheta[8], et qui terram tribus digitis appendit, solus iste est eorum rector; sed rerum abusus, perversa nostrorum ministratio, mundus iniquitatis, concupiscentia mala, superbia, ut dixit dilectus Christo Theologus[9], ista a Patre non sunt. Igitur hic mundus in maligno positus est propter nostram abusionem et pravam ministrationem; et iste est mundus cujus princeps est Satanas et supra enumerata passionum turba, quæ, adjuvante maligno, ex peccatrice nostra nascitur conscientia, quibus illi qui se per pœnitentiam non purificaverunt sui principem constituunt diabolum. Nos vero qui militiæ Christi nomen dedimus, supernum desideremus mundum; desideremus regnum nobis a Christo promissum; recedamus a vitiis quæ animam nostram disturbant; timeamus gehennam quam Dominus voluptati deditis minatus est; fugiamus helluationem, ebrietatem, fornicationem, avaritiam, injustitiam, inanem gloriam, superbiam, odium, iram, inhumanitatem; nam propterea, heu! nobis et mundo principem imponimus diabolum. Igitur fugiamus errantem hunc mundum mundique principem, et ostendamus per opera nostra bona nos metipsos opera esse optimarum Dei manuum. Nam ita bene præsentibus C D

[7] I Joan. v, 19. [8] Isa. xl, 12. [9] Joan. II, 16.

Digitized by Google

utemur, et promissis atque in tempore dandis perennibus fruemur bonis, quæ nobis omnibus obtinere concedat gratia et clementia Domini nostri Jesu Christi, quem cum Patre et sancto Spiritu decet gloria in sæcula sæculorum. Amen.

A οὖν τὸν πλάνον τοῦτον κόσμον καὶ κοσμοκράτορα, καὶ δείξωμεν ἡμᾶς αὐτοὺς διὰ τῶν ἀγαθῶν ἡμῶν ἔργων ἔργα ὄντας τῶν παναγάθων τοῦ Θεοῦ χειρῶν. Οὕτω γὰρ καὶ τοῖς παροῦσι καλῶς χρησόμεθα, καὶ τῶν ἐπηγγελμένων κατὰ καιρὸν αἰωνίων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ πρέπει δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXXIV (1).

*In venerabilem Domini et Dei ac Salvatoris nostri Jesu Christi Transformationem; ubi probatur quod in ea est Lumen, increatum esse.*

Laudamus, nos quoque ac admiramur, magnificum hoc Dei opus oculis conspicuum considerantes, omnem dico creaturam. Laudant et admirantur scrutantes, etiam Græcorum sapientes; verum nos quidem in ejus, qui condidit, gloriam; illi vero contra rerum auctoris gloriam: « Servierunt » enim dementi consilio « creaturæ magis, quam Creatori [10]. » Sic nimirum et propheticas apostolicasque ac Patrum voces etiam nos enucleamus, sed in proximi utilitatem, inque divini Spiritus, qui per prophetas et apostolos ac Patres locutus est, laudem; conantur autem etiam exponere, qui pro tempore pravæ hæresis exsistunt antistites, in eorum tamen damnum, qui illis crediderint, veræque fidei tamen, qui Spiritus vocibus contra Spiritum abutantur. Quin ipsam quoque Evangelii gratiæ doctrinam, quæ sublimis sit, senilibusque auribus atque animis congrua, a Deo afflati Patres nostri suo ore ac stylo explanantes ac adaptantes etiam nobis qui sumus imperfecti, convenientem efficiunt: haud secus ac matres filiorum amantes, solidiorem masticando escam, vel ipsis dum lactentibus utilem, et quam facile excipiant digerantque, reddunt; nam et humor salivaque ex ore matrum corporalium, pueris cibus efficitur; sensaque ex divinorum Patrum cordibus, in escam audientium ac credentium animabus apposita proclive cedunt. Hominum vero nequam ac hæreticorum ora, veneno mortifero plena sunt, quo verbis vitæ commisto, ipsa hæc mortifera inconsiderate audientibus ingerunt. Caveamus, igitur ab illis qui Patrum expositiones non recipiunt, sed a seipsis contraria inducere conantur; ac qui voces quidem in littera positas se colere simulant, piam vero intelligentiam repellunt; magisque fugiamus, quam fugerit quis a facie serpentis. Nam serpens quidem mordendo corpus, temporanee necat, animam separans, quæ est immortalis: hi vero ipsi animæ infixo morsu, a Deo abjungunt, quod est æterna mors animæ immortalis. Istiusmodi igitur omni virtute fugiamus, ad eosque qui pia ac salutaria docent, ut Patrum traditionibus consona, confugiamus.

Istiusmodi vero res nunc dixi, easque exordio ad

## 189 ΟΜΙΛΙΑ ΛΔ'.

*Εἰς τὴν σεπτὴν Μεταμόρφωσιν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐν ᾗ παράστασις, ὅτι τὸ κατ' αὐτὴν φῶς ἄκτιστόν ἐστι.*

Ἐπαινοῦμεν καὶ ἡμεῖς καὶ θαυμάζομεν ἀναθεωροῦντες τὴν μεγαλουργίαν ταύτην τοῦ Θεοῦ, τὴν ὁρωμένην ἅπασαν λέγω κτίσιν. Ἐπαινοῦσι ταύτην καὶ B θαυμάζουσιν ἐξερευνῶντες καὶ οἱ τῶν Ἑλλήνων σοφοί. Ἀλλ' ἡμεῖς μὲν εἰς δόξαν τοῦ κτίσαντος, ἐκεῖνοι δὲ κατὰ τῆς δόξης τοῦ κτίσαντος· « Ἐλάτρευσαν » γὰρ ἀθλίως τῇ κτίσει παρὰ τὸν κτίσαντα. Οὕτω καὶ τὰς προφητικὰς καὶ ἀποστολικὰς καὶ πατρικὰς φωνὰς διασαφοῦμεν καὶ ἡμεῖς, ἀλλ' εἰς ὠφέλειαν τῶν ἐντυγχανόντων, καὶ ὕμνον τοῦ διὰ τῶν Προφητῶν καὶ Ἀποστόλων καὶ Πατέρων λαλήσαντος Πνεύματος. Ἐπιχειροῦσι ταύτας διερμηνεύειν καὶ οἱ κατὰ καιροὺς πονηρᾶς αἱρέσεως προϊστάμενοι, ἀλλ' εἰς βλάβην τῶν αὐτοῖς πειθομένων, καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας ἀθέτησιν, ταῖς τοῦ Πνεύματος φωναῖς κατὰ τοῦ Πνεύματος χρώμενοι. Καὶ αὐτὸν δὲ τὸν τοῦ Εὐαγγελίου τῆς χάριτος λόγον ὑψηλὸν ὄντα, καὶ πρεσβυτικαῖς ἀκοαῖς καὶ διανοίαις κατάλληλον, C οἱ θεοφόροι Πατέρες ἡμῶν, διὰ τῶν οἰκείων στομάτων, καταλεαίνοντες, κατάλληλον αὐτὸν καὶ τοῖς ἀτελέσιν ἡμῖν ἀπεργάζονται. Καθάπερ αἱ φιλόπαιδες μητέρες διαμασώμεναι τὴν στερεωτέραν τροφὴν εὔχρηστόν τε καὶ εὐπαράδεκτον καὶ τοῖς ὑπομαζίοις ἔτι κατασκευάζουσιν· ἐπεὶ καὶ τὸ ἐν τοῖς στόμασι τῶν κατὰ σῶμα μητέρων ὑγρὸν τροφὴ γίνεται τοῖς παισί, καὶ τὰ ἐν ταῖς καρδίαις τῶν θεοφόρων Πατέρων νοήματα, πρόσφορος τροφὴ γίνεται ταῖς τῶν ἀκουόντων καὶ πειθομένων ψυχαῖς· τῶν δὲ πονηρῶν καὶ κακοδόξων τὰ στόματα ἰοῦ γέμει θανατηφόρου· οὗ μιγνυμένου τοῖς ῥήμασι τῆς ζωῆς, θανατηφόρα καὶ ταῦτα τοῖς ἀπερισκέπτως ἀκούουσι γίνεται. Φύγωμεν οὖν τοὺς τὰς Πατρικὰς ἐξηγήσεις D μὴ παραδεχομένους ἀλλὰ παρ' ἑαυτῶν πειρωμένους εἰσάγειν τὰ ἐναντία· καὶ τὰς μὲν τῷ γράμματι λέξεις περιέπειν ὑποκρινομένους, τὴν δὲ εὐσεβῆ διάνοιαν ἀπωθουμένους· καὶ φύγωμεν μᾶλλον, ἢ φεύγει τις ἀπὸ ὄφεως· ὁ μὲν γὰρ ἐνδακὼν τὸ σῶμα θανατοῖ πρόσκαιρα, τῆς ἀθανάτου ψυχῆς χωρήσας· οἱ δὲ τῆς ψυχῆς αὐτῆς λαβόμενοι τοῖς ὀδοῦσι χωρίζουσιν αὐτὴν τοῦ Θεοῦ, ὅπερ ἐστὶ θάνατος αἰώνιος τῆς ἀθανάτου ψυχῆς. Φεύγωμεν οὖν τοὺς τοιούτους πάσῃ δυνάμει, καὶ προσφεύγωμεν τοῖς ὑποτιθεμένοις τὰ εὐσεβῆ καὶ σωτήρια, ὡς συνᾴδοντα ταῖς Πατρικαῖς παραδόσεσι.

Τοιαῦτα δὲ νῦν εἶπον, καὶ ταῦτα προοιμιασάμην

[10] Rom. I, 25.

(1) Hanc homiliam cum sequenti jam ediderat Combefisius in *Auctario*.

Digitized by Google

πρὸς τὴν ὑμετέραν ἀγάπην, ἐπεὶ τὴν ἐπ' ὄρους σεπτὴν τοῦ Χριστοῦ Μεταμόρφωσιν ἑορτάζομεν σήμερον, καὶ περὶ τοῦ κατ' αὐτὴν φωτὸς ὁ λόγος ἡμῖν, καθ' οὗ πολύς ἐστι νῦν ἀγὼν τοῖς τοῦ φωτὸς πολεμίοις. Φέρε δὴ μικρὸν ἄνωθεν προθῶμεν τὰς σήμερον ἀναγινωσκομένας Εὐαγγελικὰς φωνὰς εἰς ἀνάπτυξιν τοῦ μυστηρίου, καὶ τῆς ἀληθείας παράστασιν. « Μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. » Τοῦτο δὴ τοῦ Εὐαγγελίου πρῶτον κατιδεῖν ἀναγκαῖον, μετὰ ποίαν **190** ἡμέραν ὁ ἀπόστολος τοῦ Χριστοῦ καὶ εὐαγγελιστὴς Ματθαῖος τὰς ἓξ ἡμέρας ἀριθμεῖ, μεθ' ἃς ἡ τῆς τοῦ B Κυρίου μεταμορφώσεως ἡμέρα ἐπέστη· μετὰ ποίαν οὖν; Μετ' ἐκείνην, καθ' ἣν διδάσκων τοὺς ἑαυτοῦ μαθητὰς ὁ Κύριος, ἔλεγεν, Ὅτι μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, καὶ προσετίθει λέγων· « Ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ· » δόξαν τοῦ Πατρὸς καὶ βασιλείαν ἑαυτοῦ καλῶν τὸ φῶς τῆς οἰκείας μεταμορφώσεως.

A vestram dilectionem oravi, quod hodie venerandam Christi in monte transformationem solenniter colimus, deque ejus lumine instituenda nobis oratio est, in quod etiamnum lucis hostibus multum certamen est. Age igitur, parum initio et a fronte, quæ leguntur hodie, ponamus evangelicas voces, ad mysterii explicationem ac astruendam veritatem. « Post dies sex assumit Jesus Petrum et Jacobum et Joannem, et ducit illos in montem excelsum, et transfiguratus est ante eos. Et resplenduit facies ejus sicut sol [11]. Hoc primum ex Evangelio perspiciamus necesse est, undenam Christi apostolus et evangelista Matthæus sex dies enumeret, post quos Dominicæ transformationis dies advenerit. A quo igitur die? Ab eo scilicet, in quo Dominus docens discipulos suos aiebat : « Venturum Filium hominis in gloria Patris sui; » addiditque, dicens : « Sunt quidam de hic stantibus, qui non gustabunt mortem, donec videant Filium hominis venientem in regno suo [12]; » nempe Patris gloriam ac majestatem, suumque regnum, propriæ lumen Transformationis vocans.

Τοῦτο καὶ ὁ Εὐαγγελιστὴς Λουκᾶς ὑποδεικνὺς, καὶ σαφέστερον ἐκτιθέμενος, « Ἐγένοντο, φησὶ, μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτε- C ρον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. » Ἀλλὰ πῶς συμφωνοῦσιν ἀλλήλοις, ὁ μὲν, ὀκτὼ φανερῶς εἰπὼν τὰς μεταξὺ τῆς ἐπαγγελίας καὶ τῆς ἐπιφανείας ἡμέρας, ὁ δὲ, μεθ' ἡμέρας ἕξ; Ἀκούετε καὶ συνίετε. Ὀκτὼ ἐπὶ τοῦ ὄρους ἦσαν, καὶ ἓξ ἐφαίνοντο. Τρεῖς οὗτοι, Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ τῷ Ἰησοῦ συναναβάντες· εἶδον δὲ ἐκεῖ συνόντας αὐτῷ καὶ συλλαλοῦντας, καὶ τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν, ὡς εἶναι τούτους ἕξ· ἀλλὰ τῷ Κυρίῳ πάντως ἀοράτως καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνῆν· ὁ μὲν μαρτυρῶν διὰ φωνῆς οἰκείας, ἀγαπητὸν Υἱὸν εἶναι τοῦτον ἑαυτοῦ· τὸ δὲ διὰ τῆς φωτεινῆς νεφέλης συνεκλάμπον, καὶ τὸ τοῦ Υἱοῦ πρός τε αὐτὸ καὶ τὸν Πατέρα συμφυὲς καὶ D ἑνιαῖον τοῦ φωτὸς δεικνύον· τούτων γὰρ πλοῦτος ἡ συμφυΐα, καὶ τὸ ἓν ἔξαλμα τῆς λαμπρότητος· οὕτως οὖν ὀκτὼ εἰσιν οἱ ἕξ. Ὡς οὖν ἐν τούτοις οὐδεμίαν διαφωνίαν ἔχει ὁ ἓξ πρὸς τὸν ὀκτὼ, οὕτως οὐδὲ οἱ εὐαγγελισταὶ διαφωνοῦσιν, ὁ μὲν εἰπὼν, μεθ' ἡμέρας ἕξ, ὁ δὲ Λουκᾶς, Ἐγένοντο μετὰ τοὺς λόγους τούτους ὡς ἡμέραι ὀκτώ· ἀλλ' οἷόν τινα τύπον ἡμῖν δι' ἀμφοτέρων τούτων ἔδωκαν τῶν λόγων τῶν ἐν τῷ ὄρει μυστικῶς ἅμα καὶ ἐμφανῶς συνειλεγμένων. Ἴδοι γὰρ ἄν τις οὕτω καὶ κατὰ τὸ γράμμα καλῶς σκοπῶν, ὁμολόγους ἀλλήλους τοὺς θεοκήρυκας· ὀκτὼ γὰρ εἰπεν ὁ Λουκᾶς ἡμέρας, οὐ διαφωνῶν πρὸς ἐκεῖνον, εἰπόντα μεθ' ἡμέρας ἕξ, ἀλλὰ

Hoc quoque Lucas evangelista insinuans manifestiusque exponens, « Facti sunt, inquit, post hos sermones, fere dies octo. Et assumpto Jesus Petro et Jacobo et Joanne, ascendit in montem, ut oraret. Et facta est, dum oraret, species vultus ejus C alia; et vestitus ejus albus refulgens [13]. » At quonam modo inter se consentiunt, cum alter quidem octo palam dies intercessisse dicat a pollicitatione ad apparitionis diem, alter vero, « post sex dies, » habeat? Audite ac intelligite. Octo erant in monte, et sex apparebant. Nimirum hi tres, Petrus et Jacobus et Joannes, qui cum Jesu ascenderant, videruntque ibi versantes cum Jesu, eique colloquentes, Moysen et Eliam : sed et Pater et Spiritus sanctus invisibili prorsus cum Domino ratione erant : alter quidem voce sua testatum reddens, esse hunc Filium suum charissimum, alter vero in nube lucida pariter effulgens, Filiique secum et cum Patre lucis conjunctionem ac unitatem D ostendens. Horum enim opulentia conjunctio est unaque splendoris prosultatio. Sic igitur sunt octo. Quemadmodum igitur nihil hic dissonat senarius ab octonario, sic neque evangelistarum ulla discordia est, quod alter dixerit, « post dies sex; » Lucas vero : « Facti sunt post hos sermones fere dies octo; » sed utrisque velut spectandam nobis, eorum quæ secretius simul, et quæ palam in monte consociata essent, speciem dedere. Sic enim quis ad litteram quoque rite considerans, inter se concordes divinos præcones adverterit. Octo namque dies dixit beatus Lucas, non ab eo dissidens, qui « post sex dies, » dixerat; sed velut complexus, tum eam diem, qua sermones habiti essent, tum

[11] Matth. XVII, 1 seqq. [12] Matth. XVI, 27. [13] Luc. IX, 28.

qua Dominus transformatus est; uti et Matthæus dat intelligere, si quis solicite animum attendat. Quamobrem etiam is præpositionem μετὰ, quæ diem sequentem significat, posuit; Lucas vero dimisit. Non enim dicit, post dies octo, velut ille, « post dies sex, » sed, « Facti sunt fere octo dies. » Sic nihil sensu dissentanea evangelistis conscripta narratio est.

Quin et magnum aliquid atque mysticum, eo quod dissentire videntur, altrinsecus nobis insinuant. Ac, quæso, dicendis animum adhibete, quotquot ad summa semper altaque contemplationum tenditis. Quid causæ est, cur alter quidem, « post sex dies », dixerit, alter vero octonarii facta mentione etiam septenarium superaverit? Idcirco nimirum, quod spectaculum lucis Dominicæ transformationis sacramentum octavæ est (futuri scilicet sæculi), post mundi sex diebus conditi requiem, sensumque superatum, sex in nobis modis efficacem, elucens. Quinque enim præditi sensibus sumus, quibus si addatur, qui in sensu est, prolatitius sermo, senariam nobis sensuum operationem vimque efficit. Nedum vero sensum superat, verum etiam sermonem omnem excedit, quod regnum Dei dignis promissum est. Quamobrem post pulchram horum, senis partibus exercitorum, cessationem (cujus cessationis dignitate septima magnifice pollet) per octavam virtute ac facultate præstantis operationis, regnum Dei elucet. Atque hanc Spiritus virtutem, qua Dei regnum, his qui digni exsistant, conspicitur, ut auctor est divus Lucas, ostendens Dominus discipulis antea dixerat: « Sunt quidam de hic stantibus, qui non gustabunt mortem, donec videant regnum Dei veniens in virtute. » Idcirco nimirum, quod videntibus, videndi quæ inaspectabilia sunt, virtutem præbeat, purgata eis lethifera animoque exitiosa lue, quæ peccatum est. Ejus vero gustus mali in ratione ac pravitatis initium est; qua præpurgati non gustant animi mortem, mente quoque ac animo (ut ego existimo) impolluti servati, virtute futuræ apparitionis.

« Sunt quidam de hic stantibus, qui non gustabunt mortem, donec videant regnum Dei veniens in virtute. » Ubique est hujusce rerum universitatis Rex, ac ubique est ejus regnum. Quare quod dicitur venturum regnum Dei, non aliunde advenire significat, sed ipsum manifestari virtute divini Spiritus. Idcirco aiebat: « Veniens in virtute; » quæ virtus non quovis modo quibusvis accedit, sed his qui stant cum Domino, hoc est, qui firmi sunt in ejus fide, Petroque et Jacobo et Joanni affines sunt; quos videlicet Verbum prius ad montem excelsum (supra humanam scilicet objectionem) subduxerit. Nam ea quoque ratio est: « Cur Deus in monte informetur ac appareat (juxta eum qui dicit) partim ipse abs specula sua descendens; partim vero a terrena nos humilitate attollens, ut

A συμπεριλαβὼν καὶ τὴν ἡμέραν, καθ' ἣν οἱ λόγοι ἐκεῖνοι ἐλέχθησαν, καὶ τὴν ἡμέραν, καθ' ἣν μετεμορφώθη ὁ Κύριος· ὡς καὶ ὁ Ματθαῖος νοεῖν δίδωσι τοῖς συνετῶς σκοποῦσι· διὸ καὶ τὴν, μετὰ, πρόθεσιν, τὴν ὑστεραίαν δηλοῦσαν, οὗτος μὲν εἶπεν, ἐκεῖνος δὲ ἀφῆκεν· οὐ γὰρ, μεθ' ἡμέρας ὀκτὼ, φησὶν, ὡς ἐκεῖνος μεθ' ἡμέρας ἕξ, ἀλλ', Ἐγένοντο ὡς ἡμέραι ὀκτώ. Οὕτως οὐδὲν παρηλλαγμένον ἐν τῇ τῶν εὐαγγελιστῶν ἱστορικῇ διανοίᾳ.

Ἀλλὰ καὶ ἕτερόν τι μέγα τε καὶ μυστικὸν δι' ἀλλήλων ἡμῖν ἐν τῷ δοκεῖν διαφωνεῖν ὑποφαίνουσι· καὶ δὴ προσέχετε τὸν νοῦν τοῖς ῥηθησομένοις, ὅσοι διαβατικώτεροι τὴν διάνοιαν. Διὰ τί γὰρ ὁ μὲν μετὰ ἓξ ἡμέρας εἶπεν, ὁ δὲ ὑπερέβη καὶ τὴν ἑβδόμην, τῆς ὀγδόης μνησθείς; Διότι τὸ μέγα θέαμα τοῦ φωτὸς B τῆς τοῦ Κυρίου Μεταμορφώσεως, τῆς ὀγδόης, ἤτοι τοῦ μέλλοντος αἰῶνός ἐστι τὸ μυστήριον, μετὰ τὴν κατάπαυσιν τοῦ ἐν ἓξ ἡμέραις γεγονότος κόσμου, καὶ τὴν ὑπέρβασιν τῆς καθ' ἡμᾶς αἰσθήσεως ἑξαδικῶς ἐνεργούσης ἀναφαινόμενον· πέντε γὰρ αἰσθήσεις ἔχομεν, προστιθέμενος δὲ ταύταις ὁ κατ' αἴσθησιν προφορικὸς λόγος, ἑξαδικὴν τὴν ἐνέργειαν τῆς αἰσθήσεως ἡμῖν ἀπεργάζεται. Οὐ μόνον δὲ ὑπὲρ αἴσθησιν, ἀλλὰ καὶ ὑπὲρ **191** λόγον ἐστὶν ἡ ἐπηγγελμένη τοῖς ἀξίοις τοῦ Θεοῦ βασιλεία· διὰ τοῦτο μετὰ τὴν καλὴν ἀνενεργησίαν τῶν ἑξαδικῶς τούτων ἐκτελουμένων, ἧς ἀνενεργησίας τὸ ἀξίωμα ἡ ἑβδόμη πλουτεῖ, κατὰ τὴν ὀγδόην δυνάμει κρείττονος ἐνεργείας ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεται. Καὶ ταύτην τὴν τοῦ θείου C Πνεύματος δύναμιν, δι' ἧς ὁρᾶται τοῖς ἀξίοις ἡ τοῦ Θεοῦ βασιλεία, κατὰ τὸν θεῖον Λουκᾶν ὁ Κύριος ἐνδεικνύμενος τοῖς μαθηταῖς προεῖπεν· « Εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. » τουτέστι, τῷ δύναμιν τοῖς ὁρῶσι παρασχεῖν ἰδεῖν τὰ ἀθέατα, τῆς θανασίμου καὶ ψυχολέθρου προκαθάρασα λύμης, ἥτις ἐστὶν ἡ ἁμαρτία· ταύτης δὲ γεῦσίς ἐστιν ἡ ἐν τῷ λογισμῷ τῆς κακίας ἀρχή, ἧς οἱ προκαθαρθέντες οὐ γεύονται τοῦ κατὰ ψυχὴν θανάτου, τῇ δυνάμει τῆς μελλούσης ἐπιφανείας ἀμόλυντοι τηρηθέντες, ὡς ἐγὼ νομίζω, καὶ τὴν διάνοιαν.

« Εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύ- D σονται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει. » Πανταχοῦ ἐστιν ὁ τοῦ παντὸς βασιλεύς, καὶ πανταχοῦ ἐστιν ἡ βασιλεία αὐτοῦ, ὥστε τὸ ἔρχεσθαι τὴν αὐτοῦ βασιλείαν οὐ τὸ ἄλλοθεν ἀλλαχόσε παραγίνεσθαι δηλοῖ, ἀλλὰ τὸ φανεροῦσθαι ταύτην τῇ δυνάμει τοῦ θείου Πνεύματος· διὰ τοῦτο ἔλεγεν, ἐληλυθυῖαν ἐν δυνάμει· ἥτις δύναμις οὐχ ἁπλῶς τοῖς τυχοῦσιν ἐγγίνεται, ἀλλὰ τοῖς ἑστηκόσι μετὰ τοῦ Κυρίου, τουτέστι τοῖς ἐστηριγμένοις ἐν τῇ πίστει αὐτοῦ, καὶ τοῖς κατὰ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ τούτοις ἀναφερομένοις ὑπὸ τοῦ Λόγου πρότερον εἰς ὄρος ὑψηλὸν, δηλονότι τῆς φυσικῆς ἡμῶν ταπεινότητος ὑπεραναβιβαζομένοις· ἐπεὶ καὶ διὰ τοῦτο Θεὸς ἐν ὄρει, κατὰ τὸν εἰπόντα, φαντάζεται τὸ μέν τοι καταβαίνων αὐτὸς τῆς

Digitized by Google

οἰκείας περιωπῆς, τὸ δὲ ἡμᾶς ἀνάγων ἐκ τῆς κάτωθεν ταπεινώσεως, ἵνα χωρηθῇ μετρίως γοῦν γεννητῇ φύσει, καὶ ὅσον ἀσφαλὲς ὁ ἀχώρητος. Ἡ δὲ τοιαύτη φαντασία οὐ τοῦ νοῦ χείρων, ἀλλὰ πολλῷ κρείττων καὶ ὑψηλοτέρα, ὡς ἐγγινομένη τῇ δυνάμει τοῦ θείου Πνεύματος. Οὐ γίνεται τοιγαροῦν καὶ ἀπογίνεται, οὐδὲ περιγράφεται οὐδ' αἰσθητικῇ δυνάμει ὑποπίπτει τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, εἰ καὶ δι' ὀφθαλμῶν σωματικῶν ἑώραται, καὶ πρὸς ὀλίγον χρόνον, καὶ ἐν βραχείᾳ τοῦ ὄρους κορυφῇ, ἀλλ' ἀπὸ τῆς σαρκὸς ἐπὶ τὸ Πνεῦμα τηνικαῦτα κατὰ τὸν εἰπόντα, «Μετέβησαν οἱ τοῦ Κυρίου μύσται τῇ ἐναλλαγῇ τῶν αἰσθήσεων, ἣν αὐτοῖς τὸ Πνεῦμα ἐνήργησε,» καὶ οὕτως εἶδον, οὗ τε καὶ ἐφ' ὅσον ἐχαρίσατο τούτοις ἡ τοῦ θείου Πνεύματος δύναμις, τὸ ἀπόῤῥητον ἐκεῖνο φῶς.

Ὃ μὴ συνιδόντες οἱ νῦν εἰς τοῦτο βλασφημοῦντες, αἰσθητικῇ τε καὶ κτιστῇ δυνάμει τοὺς ἐκκρίτους τῶν ἀποστόλων ἰδεῖν ᾠήθησαν τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, καὶ διὰ τοῦτο κατασπᾷν ἐπιχειροῦσιν εἰς κτίσμα μὴ μόνον τὸ φῶς ἐκεῖνο, τὴν τοῦ Θεοῦ δόξαν καὶ βασιλείαν, ἀλλὰ καὶ τὴν δύναμιν τοῦ θείου Πνεύματος, δι' ἧς τὰ θεῖα τοῖς ἀξίοις ἀποκαλύπτεται. Οὐ γὰρ ἤκουσαν, ἢ οὐκ ἐπίστευσαν Παύλῳ λέγοντι· «Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν, ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ· τὸ γὰρ Πνεῦμα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ.» Ἀλλὰ τῆς ὀγδόης ἐπιστάσης, καθάπερ εἴρηται, παραλαβὼν ὁ Κύριος τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· ἀεὶ γὰρ ἢ πάντων, καὶ αὐτῶν τῶν ἀποστόλων, **192** ἀποχωρῶν μόνος προσηύχετο, καθάπερ ἡνίκα τοὺς πεντακισχιλίους σὺν γυναιξὶ καὶ παιδίοις πέντε ἄρτοις καὶ δυσὶν ἰχθύσιν ἐξέθρεψε· παραυτὰ γὰρ πάντας ἀπολύσας, καὶ τοὺς μαθητὰς πάντας ἀναγκάσας ἐμβῆναι εἰς τὸ πλοῖον, αὐτὸς ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· ἢ συμπαραλαμβάνων ὀλίγους, καὶ τοὺς τῶν ἄλλων ὑπερέχοντας μεθ' ἑαυτοῦ· καὶ τοῦ σωτηρίου γὰρ πάθους προσάγοντος, τοῖς μὲν ἄλλοις μαθηταῖς φησι, Καθίσατε ὧδε, ἕως προσεύξωμαι· παραλαμβάνει δὲ τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυτοῦ. Τούτους οὖν κἀνταῦθα μόνους παραλαβὼν, ἀναφέρει εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, τουτέστιν αὐτῶν ὁρώντων. Τί ἐστι, Μετεμορφώθη; φησὶν ὁ Χρυσόστομος θεολόγος. Παρήνοιξεν, ὡς εὐδόκησεν, ὀλίγον τῆς θεότητος, καὶ τοῖς μύσταις ἔδειξε τὸν ἐνοικοῦντα Θεόν. Ἐγένετο γὰρ ἐν τῷ προσεύχεσθαι αὐτὸν, ὡς ὁ Λουκᾶς φησι, τὸ εἶδος αὐτοῦ ἕτερον· λάμψαν ὥσπερ ἥλιος, ὡς ὁ Ματθαῖος γράφει. Ὡς ἥλιος δὲ εἰπὼν, οὐχ ἵνα αἰσθητὸν ἐννοήσῃ τις τὸ φῶς ἐκεῖνο, ἄπαγε τῆς κατὰ νοῦν ἀβλεψίας τῶν μηδὲν τῶν κατ' αἴσθησιν φαινομένων ὑψηλότερον ἐννοεῖν δυναμένων! ἀλλ' ἵνα γνῶμεν, ὅτι ὃ τοῖς κατ' αἴσθησιν ζῶσι, καὶ δι' αἰσθήσεως ὁρῶσίν ἐστιν ὁ ἥλιος, τοῦτο τοῖς κατὰ πνεῦμα ζῶσι, καὶ ἐν πνεύματι ὁρῶσίν ἐστιν ὁ Χριστὸς·

A vel leviter capiatur a natura creata, et quantum illi tutum est, qui ipse capi non potest ac incomprehensibilis est. » Ejuscemodi autem informatio nihil intelligentia deterior est, sed longe præstantior ac sublimior, ut quæ divini Spiritus virtute fiat, ejusque impressio exsistat. Non itaque accedit ac decedit, aut circumscribitur, vel sub sensus facultatem cadit lumen Dominicæ transformationis; tametsi oculis corporeis visum est, atque id ad modicum tempus, et in montis exiguo vertice; sed juxta eum qui ait: « A carne ad spiritum tunc translati Domini discipuli sunt, sensuum immutatione, quam in illis Spiritus fecit. » Inque eum modum viderunt, cujus illis et quantum commercium indulsit, inexplicabilis illius luminis, divini B Spiritus virtus.

Quod non intelligentes, qui nunc in illud blasphemant, sentiendi creataque virtute, apostolorum præcipuos arbitrati sunt vidisse lumen Dominicæ transformationis; eamque ob rem in creatorum sortem detrahere conantur nedum lumen illud (Dei scilicet majestatem et regnum), verum etiam divini Spiritus virtutem, qua divina manifestat his qui digni sunt. Non enim audiverant aut Paulo non crediderant dicenti, « Oculus non vidit, auris non audivit, in nullius hominis cor descendit quod Deus diligentibus ipsum præparavit; nobis autem per Spiritum suum revelavit. Spiritus enim Dei abyssos scrutatur. » Die autem octava, sicut dictum C est, Dominus Petrum assumpsit et Jacobum et Joannem et, preces facturus, montem conscendit. Quoties enim precari volebat omnes, imo apostolos ipsos a se removit, ut quando quinque millibus virorum, mulierum ac infantium quinque panes ac duo pisces dando famem exemit. Statim enim omnibus dimissis, discipulos suos navim conscendere jussit, dum ipse in montem perrexit oraturus. Sæpe etiam paucos eosque præstantissimos elegit. Nam passionis suæ tempore appropinquante, cæteris discipulis dixit, Manete hoc in loco, donec preces fecero; assumpsit autem Petrum, Jacobum et Joannem. Hos igitur solos cum assumpsisset, in altum montem secessit, « et transformatus est ante eos, » hoc est, ipsis cernentibus, D illis coram. Quid est, « Transformatus est, » ait aureo ore Theologus? « Tantisper aperuit modicum aliquid deitatis, uti placuit, ac discipulis Deum inhabitantem ostendit. Facta enim est dum oraret, ut ait Lucas, species ejus alia; splendens ut sol, » ut Matthæus scribit. « Ut sol » autem dixit, non ut aliquis lumen illud ejusmodi æstimet, quod sensu capiatur (apage mentis cæcitatem eorum qui illis quæ sensu percipiuntur nihil sublimius cogitare possunt), sed ut intelligamus, quod sol est, his quæ sensu vivunt sensuque conspiciunt, id Christum ut Deum esse, his qui spiritu vivunt et spiritu vident; nec opus esse alio lumine in Dei visione his qui divinis dotibus præditi sunt (1).

(1) Ita Massaliani Deum ipsum humana quasi in lustria a se jactant videri.

Digitized by Google

Æternis enim ipse Deus lumen est, et non aliud. Quid enim alio opus lumine his qui maximo illo lumine freti sunt? Dum autem oraret, sic effulsit, arcanumque illud lumen arcana ratione primis apostolorum (cum et summi prophetarum adessent) manifestavit; ut ostenderet orationem parentem esse beati illius spectaculi, noverimusque virtutis cum Deo necessitudine ac mentis cum illo unione splendorem hunc parari ac apparere: qui cunctis præbeatur ac videatur, qui bonorum operum diligentia, sinceraque oratione continue in Deum intendant. « Vera enim pulchritudo, inquit, summeque amabilis, solo mundo videri animo potest; » quæ videlicet circa divinam beatamque naturam est. Cujus fulgoribus atque gratiis qui intendit aciem, ejus velut floridum quoddam jubar (eo imbuta ejus pupilla) percipit. Quamobrem etiam Moyses cum Deo fabulando [14], vultu clarificatus est. Videtis Moysem quoque, cum ascendisset in montem transformatum esse, atque ita Domini gloriam vidisse? Verum passus ille est transformationem, non est operatus, juxta eum qui ait: « In hoc me modo fert temperatus veritatis fulgor radiusque, ut Dei splendorem tum videam, tum patiar. » Enimvero Dominus noster Jesus Christus illum a se splendorem habebat. Unde nec ipse opus oratione habebat, quo divina luce corpus splendesceret; sed ostendebat unde sanctis Dei splendor accederet, ac qua illis ratione videndus esset. Nam et « Justi fulgebunt sicut sol in regno Patris eorum [15]; » sicque toti divina lux effecti, tanquam divinæ lucis germina, Christum videbunt, qui divina atque arcana ratione lucis fulgoribus præfulsit; cujus ex deitate claritas natura procedens, corporis quoque communis in Thabor monstrabatur, ob unitatem ac singularitatem personæ. Sic nimirum et vultus ejus, ejuscemodi lucis munere, tanquam sol splenduit. Qui autem inter nos Græcanica eruditione ac sæculari profanaque sapientia gloriantur, nec viris spiritualibus in Spiritus doctrinis morem gerere omnino, sed et rebellare, in animum inducunt, dum lumen audiunt Dominicæ in monte transformationis, quod apostoli oculis viderunt, ad lumen statim sensile ac creatum devehuntur, in illudque detrahunt, immaterialum illud inocciduumque ac æternum lumen, quodque nedum sensum, sed et mentis vim omnem excedit; homines scilicet in terra versantes, ac qui supra terrena nihil cogitare possint. Tametsi is ipse, qui eo fulsit lumine, increatum ante ostendit, quod Dei regnum appellarit. Non enim Dei regnum servum est et creatum. Solum enim universorum nullius imperio mancipabile atque invictum est, omneque tempus excedens ac ævum: « Neque fas, inquit, est, Dei regnum ullis cœptum sæculis esse aut temporibus, aut ab eis attingi. » Hoc nos illorum credimus hæreditatem esse, qui salute donantur.

[14] Exod. xxxiv, 29. [15] Matth. xiii, 43.

ὡς Θεός, καὶ οὐ χρεία τοῖς θεοειδέσιν ἐν τῇ θεοπτίᾳ φωτὸς ἑτέρου· τοῖς γὰρ ἀϊδίοις αὐτός ἐστι φῶς οὐκ ἄλλο· τί γὰρ δεῖ φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσιν; Ἐν τῷ προσεύχεσθαι δὲ οὕτως ἔλαμψε, καὶ ἀνεκάλυψεν ἀποῤῥήτως τοῖς τῶν μαθητῶν ἐκκρίτοις τὸ ἀπόῤῥητον ἐκεῖνο φῶς, τῶν ἄκρων προφητῶν συνόντων, ἵνα δείξῃ πρόξενον οὖσαν τὴν προσευχὴν τῆς μακαρίας ἐκείνης θέας, καὶ μάθωμεν, ὅτι διὰ τῆς πρὸς Θεὸν κατ' ἀρετὴν ἐγγύτητος, καὶ τῆς πρὸς αὐτὸν κατὰ νοῦν ἑνώσεως, ἡ λαμπρότης ἐγγίνεται καὶ ἀναφαίνεται ἐκείνη, πᾶσι διδομένη τε καὶ ὁρωμένη, τοῖς δι' ἀγαθοεργίας ἀκριβοῦς, καὶ διὰ προσευχῆς εἰλικρινοῦς, ἀνατεινομένοις ἀδιαλείπτως πρὸς Θεόν. Κάλλος γάρ, φησίν, ἀληθινὸν καὶ ἐρασμιώτατον μόνῳ τῷ τὸν νοῦν κεκαθαρμένῳ θεωρητὸν τὸ περὶ τὴν θείαν καὶ μακαρίαν φύσιν ἐστίν, οὗ ὁ ἐνατενίσας ταῖς μαρμαρυγαῖς καὶ ταῖς χάρισι μεταλαμβάνει τι ἀπ' αὐτοῦ, ὥσπερ αἴγλην τινὰ ἀνθηράν, εἰς τὴν οἰκείαν ὄψιν ἀναχρωννύμενος· ὅθεν καὶ Μωϋσῆς ἐν τῷ ὁμιλεῖν Θεῷ ἐδοξάσθη τὸ πρόσωπον. Ὁρᾶτε ὅτι καὶ Μωϋσῆς μετεμορφώθη ἀναβὰς εἰς τὸ ὄρος, καὶ οὕτως εἶδε τὴν δόξαν Κυρίου; Ἀλλ' ἔπαθε τὴν μεταμόρφωσιν, οὐκ ἐνήργησε· κατὰ τὸν λέγοντα, Εἰς τοῦτο με φέρει τὸ μέτριον ἐνταῦθα φέγγος τῆς ἀληθείας, λαμπρότητα Θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς οἴκοθεν εἶχε τὴν λαμπρότητα ἐκείνην· διὸ οὐδὲ προσευχῆς αὐτὸς ἐδεῖτο, θείῳ φωτὶ λαμπρυνούσης τὸ σῶμα, ἀλλ' ὅθεν τοῖς ἁγίοις ἡ λαμπρότης τοῦ Θεοῦ προσγενήσεται, καὶ ὅπως αὐτοῖς ὀφθήσεται ὑπεδείκνυ· λάμψουσι γὰρ καὶ οἱ δίκαιοι ὡς ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν, καὶ οὕτω φῶς ὅλοι γεγονότες θεῖον, ὡς θείου φωτὸς γεννήματα, τὸν θείως ἀποῤῥήτως ὑπερλάμποντα ὄψονται Χριστόν, οὗ ἐκ τῆς θεότητος ἡ δόξα φυσικῶς προϊοῦσα, κοινὴ καὶ τοῦ σώματος ἐν Θαβὼρ ἐδείκνυτο, διὰ τὸ ἑνιαῖον τῆς ὑποστάσεως. Οὕτω καὶ διὰ τοιούτου φωτὸς τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος ἔλαμψεν. Οἱ δὲ τὸν Ἕλληνα λόγον καὶ τὴν τοῦ κόσμου τούτου σοφίαν ἐφ' ἡμῶν αὐχοῦντες, καὶ τοῖς πνευματικοῖς ἀνδράσιν ἐπὶ τῶν τοῦ Πνεύματος λόγων μὴ πειθαρχεῖν ὅλως, ἀλλὰ καὶ ἀνταίρειν προῃρημένοι, φῶς **193** ἀκούοντες τῆς ἐπ' ὄρους τοῦ Κυρίου μεταμορφώσεως, τὸ τοῖς ἀποστολικοῖς ὀφθαλμοῖς ἑωραμένον, εἰς τὸ αἰσθητὸν εὐθὺς καὶ κτιστὸν κατάγονται φῶς, καὶ κατασπῶσιν εἰς τοῦτο τὸ ἄϋλον καὶ ἀνέσπερον καὶ ἀΐδιον καὶ μὴ μόνον ὑπὲρ αἴσθησιν, ἀλλὰ καὶ ὑπὲρ νοῦν ἐκεῖνο φῶς, αὐτοὶ κάτω κείμενοι, καὶ μηδὲν ὑπὲρ τὰ πρόσγεια νοεῖν δυνάμενοι· καίτοι αὐτὸς ὁ κατὰ τοῦτο λάμψας ἄκτιστον ὃν προαπέδειξεν αὐτό, βασιλείαν τοῦτο καλέσας τοῦ Θεοῦ· οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ δούλη καὶ κτιστή· μόνη γὰρ πάντων ἀβασίλευτος καὶ ἀήττητος, καὶ χρόνου παντὸς καὶ αἰῶνος ἐπέκεινα· καὶ οὐ θέμις, φησίν, ἦρχθαι ἢ φθάνεσθαι ὑπὸ αἰώνων ἢ χρόνων τὴν τοῦ Θεοῦ βασιλείαν. Ταύτην δὲ πιστεύομεν εἶναι τὴν τῶν σωζομένων κληρονομίαν.

Digitized by Google

A 'Επεὶ δὲ καὶ μεταμορφωθεὶς ὁ Κύριος ἔλαμψε, καὶ τὴν δόξαν καὶ τὴν λαμπρότητα καὶ τὸ φῶς ἔδειξεν ἐκεῖνο, καὶ ἥξει πάλιν οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἄρα προσελάβετό τι φῶς, καὶ εἰς τοὺς αἰῶνας ἕξει, ὃ πρότερον οὐκ εἶχεν; Ἄπαγε τῆς βλασφημίας· ὁ γὰρ τοῦτο λέγων τρεῖς φύσεις ἐπὶ τοῦ Χριστοῦ δοξάσει, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην, καὶ τὴν τοῦ φωτὸς ἐκείνου· τοιγαροῦν οὐχ ἑτέραν, ἀλλ' ἣν εἶχεν ἀφανῶς λαμπρότητα ταύτην ἐφανέρωσεν. Εἶχε δὲ ὑπὸ τὴν σάρκα κεκρυμμένην τὴν λαμπρότητα τῆς φύσεως τῆς θείας· οὐκοῦν τῆς θεότητός ἐστι τὸ φῶς ἐκεῖνο, καὶ ἄκτιστόν ἐστιν· ἐπεὶ καὶ μετεμορφώθη Χριστὸς κατὰ τοὺς θεολόγους, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς B ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. Ὁρᾷς ὅτι πρὸς τὸ φῶς ἐκεῖνο τυφλοί εἰσιν οἱ κατὰ φύσιν ὁρῶντες ὀφθαλμοί; Οὐκοῦν οὐδὲ τὸ φῶς ἐκεῖνο αἰσθητὸν, οὐδὲ οἱ ὁρῶντες αἰσθητικοῖς ἁπλῶς ἑώρων ὀφθαλμοῖς, ἀλλὰ μετασκευασθεῖσι τῇ δυνάμει τοῦ θείου Πνεύματος. Ἐνηλλάγησαν οὖν, καὶ οὕτω τὴν ἐναλλαγὴν εἶδον, οὐχ ἣν ἀρτίως, ἀλλ' ἣν ἐξ αὐτῆς τῆς προσλήψεως ἔλαβε τὸ ἡμέτερον φύραμα, θεωθὲν τῇ ἑνώσει τοῦ Λόγου τοῦ Θεοῦ. Ἐντεῦθεν καὶ ἡ ἐν παρθενίᾳ συλλαβοῦσά τε καὶ τεκοῦσα ξένως τὸν ἐξ αὐτῆς τεχθέντα σαρκοφόρον Θεὸν ἐπέγνω· καὶ Συμεὼν ὡς βρέφος τοῦτον μετὰ χεῖρας λαβὼν, καὶ ἡ πρεσβῦτις Ἄννα προσυπαντήσασα· διεφαίνετο γὰρ οἷον δι' ὑαλίνων ὑμένων ἡ θεία δύναμις διαυγάζουσα τοῖς ἔχουσι τοὺς C ὀφθαλμοὺς τῆς καρδίας κεκαθαρμένους.

Quandoquidem vero etiam Dominus transformatus splenduit, illamque claritatem (seu majestatem) et splendorem et lumen ostendit, rursusque venturus est, qualis in monte discipulis apparuit, ergone lumen aliquod assumpsit et in æternum habiturus est, quod prius non haberet? Apage blasphemiam. Nam qui hoc dicit, tres in Christo naturas opinabitur, tum scilicet divinam atque humanam, tum et lucis illius. Non igitur aliam, sed quam occulte habebat, claritatem hanc manifestavit. Habebat autem sub carne latentem splendorem divinæ naturæ. Ergo divinitatis est lumen illud, et increatum est. Quandoquidem etiam ex theologorum doctrina Christus transformatus est, non assumendo quod non erat, nec quod in illud immutatus sit, sed manifestando suis discipulis id quod erat, nempe illorum aperiens oculos, et ex cæcis reddens videntes. Vides, ad illam lucem quod attinet, cæcos esse oculos, qui ex naturæ rationibus vident? Ergo ne illud quidem lumen sensile est, neque videntes oculis sentiendi vi quoquo modo præditis videbant, sed qui virtute divini Spiritus essent immutati. Immutati itaque sunt, inque eum modum immutationem viderunt, non quam tunc recens, sed quam ab ipsa assumptione nostra nacta conspersio sit, quæ Dei Verbi unione deitate imbuta sit. Hinc quoque quæ in virginitate inaudita ratione concepit peperitque, ex se natum Deum in carne agnovit; Symeon quoque qui eum tanquam infantem in manus susceperit anusque Anna quæ et ipsa occurrerit. Elucebat enim velut per tenues membranulas vitreas divina virtus, illis affulgens ac irradians, qui oculos cordis mundos haberent.

Τί δὲ καὶ τῶν ἄλλων ἀπολαμβάνει τοὺς κορυφαίους, καὶ ἀνάγει τούτους, καὶ κατ' ἰδίαν μόνους; Ἵνα τι πάντως ὑποδείξῃ μέγα τε καὶ μυστικόν. Πῶς οὖν μέγα καὶ μυστικὸν ἡ τοῦ αἰσθητοῦ φωτὸς θέα, ἣν αὐτοί τε οἱ ἐκλεγέντες καὶ πρὶν ἀναχθῆναι, καὶ σὺν αὐτοῖς οἱ κάτω λειφθέντες εἶχον; Τίς δὲ αὐτοῖς χρεία καὶ Πνεύματος δυνάμεως, καὶ τῆς δι' αὐτῆς προσθήκης ἢ ἐναλλαγῆς ὀμμάτων πρὸς τὴν τοῦ φωτὸς ἐκείνου θέαν, εἴπερ αἰσθητόν τε καὶ κτιστόν; Πῶς δὲ δόξα καὶ βασιλεία τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος τὸ φῶς τὸ αἰσθητόν; Πῶς δ' ἐν τῇ τοιαύτῃ δόξῃ καὶ βασιλείᾳ κατὰ τὸν μέλλοντα αἰῶνα ἥξει ὁ Χριστὸς, D ὅτε οὐκ ἀέρος, οὐ φωτὸς, οὐ τόπου χρεία καὶ τῶν τοιούτων, ἀλλ' ἀντὶ πάντων κατὰ τὸν Ἀπόστολον ἡμῖν ἔσται ὁ Θεός; Εἰ δὲ ἀντὶ πάντων, καὶ ἀντὶ φωτὸς πάντως· ὅθεν δείκνυται πάλιν καὶ τὸ φῶς ἐκεῖνο τῆς θεότητος ὄν· ἐπεὶ καὶ ὁ θεολογικώτατος τῶν Εὐαγγελιστῶν Ἰωάννης διὰ τῆς Ἀποκαλύψεως ἐκφαίνει, ὡς ἡ μέλλουσα καὶ μένουσα ἐκείνη πόλις, « Οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. » **194** Ἆρ' οὐ φανερῶς ὑπέδειξεν ἡμῖν κἀκεῖ τὸν ἐν Θαβωρίῳ νῦν μεταμορφωθέντα θείως Ἰησοῦν; ὃς ἔχει μὲν ὡς λύχνον

Quid vero etiam causæ est, cur e reliquorum choro principes assumit, ac subducit, eosque seorsum solos? Nimirum ut quidpiam magnum insinuet atque mysticum. Quonam igitur modo magnum ac mysticum sensilis lucis conspectus, cujus ipsi quoque electi, priusquam subducerentur, copiam habebant, ac cum illis qui relicti fuerunt? Quid vero etiam illi opus Spiritus virtute, ac quæ per eam erat, accessionis, seu oculorum immutationis, ad lumen illud intuendum, siquidem ejusmodi erat quod sensu perciperetur atque creatum exsistebat? Quomodo autem majestas et regnum Patris ac Spiritus lumen quod sensu percipitur? Quo postremo modo in ejusmodi majestate et regno in futuro sæculo veniet Christus, quando nec aere, nec luce, nec loco opus erit, seu aliorum ejus generis, sed, teste Apostolo [16], Deus erit nobis pro omnibus? Sin autem pro omnibus, omnino etiam pro lumine. Unde rursus probatur, illud quoque lumen esse deitatis. Nam et evangelistarum Joannes divina doctissimus per revelationem ostendit, futuram ac manentem illam civitatem, « non habituram opus sole aut luna, ut in ea luceant: claritas enim Dei illuminabit eam; et lucerna ejus est Agnus [17]. » Num

[16] I Cor. xv, 28. [17] Apoc. xxi, 23.

A illic quoque nobis palam Jesum ostendit, qui nunc in Thaborio divine transformatus sit? qui ut lucernam quidem corpus habeat; lucis autem loco, quæ in monte, his qui una ascenderant, discipulis claritas deitatis effulsit. Quin et de civitatis illius incolis ait idem: « Non egebunt lumine lucernæ et lumine solis, quoniam Dominus Deus illuminabit super illos. Et nox ultra non erit[18]. » Quodnam igitur lumen, penes quod non est immutatio aut vicissitudinis obumbratio[19]? Quodnam illud lumen invertibile inocciduumque? Nonne deitatis lumen? Sed et Moyses atque Elias (ac præcipue Moyses, qui anima esset, non in corpore ageret), quonam modo visi sunt ac clarificati per lumen sensibile? Nam hi quoque « visi tunc in majestate, dicebant excessum, quem completurus erat in Jerusalem[20]. » Quomodo vero etiam agnoverunt apostoli, quos nunquam ante viderant, nisi ejus luminis occulta detegendi vi?

τὸ σῶμα, ἀντὶ δὲ φωτὸς τὴν ἐκφανεῖσαν ἐπ' ὄρους τοῖς συναναβᾶσι δόξαν τῆς θεότητος; Ἀλλὰ καὶ περὶ τῶν ἐνοικούντων τῇ πόλει ἐκείνῃ ὁ αὐτός φησιν, ὡς « Οὐχ ἕξουσι χρείαν φωτὸς λύχνου, καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίσει ἐπ' αὐτούς, καὶ νὺξ οὐκ ἔσται ἔτι. » Τί οὖν τὸ φῶς τοῦτο, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα; Τί τὸ ἄτρεπτον καὶ ἀνέσπερον τοῦτο φῶς; ἆρ' οὐ τῆς θεότητος; Ἀλλὰ καὶ ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας, καὶ μάλιστα ὁ Μωϋσῆς ψυχὴ ὑπάρχων οὐκ ἐνσώματος, πῶς ὤφθησαν καὶ ἐδοξάσθησαν δι' αἰσθητοῦ φωτός; καὶ οὗτοι γὰρ ὀφθέντες ἐν δόξῃ τηνικαῦτα ἔλεγον τὴν ἔξοδον, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Πῶς δὲ καὶ ἐπέγνωσαν οὓς οὔπω πρότερον εἶδον οἱ ἀπόστολοι, εἰ μὴ τῇ ἀποκαλυπτικῇ δυνάμει τοῦ φωτὸς ἐκείνου;

B Enimvero ne vestrum animum diutius trahamus, reliquas evangelicas voces in sacratissimi divinique sacrificii tempus reservemus: credentes vero, uti ab eis didicimus, qui a Christo illuminati fuere, quippe qui soli certo sciant. Secreta enim mea mihi meisque, ait Deus per prophetam [21-22]. Recte igitur, ut docti sumus, credentes, ac Christi transformationis mysterium intelligentes, procedamus ad ejus luminis illustrationem; pulchritudinisque claritatis quæ nihil deteritur amore accensi, mentis oculum a terrenis cogitationibus emundemus; quidquid placet aut pulchrum est, contemnentes, quod nihil stabile est: quod licet dulce videatur, æterni tamen cruciatus pararium est, ac licet corporis venustati conducat, fœdam nihilominus animæ inducit peccati tunicam: illam scilicet, ob quam ligatis manibus ac pedibus in ignem illum tenebrasque exteriores ejicitur[23], qui incorruptæ conjunctionis indumento caret; quibus liberemur omnes illustratione et agnitione immateriali æternique luminis Dominicæ transformationis, in ejus gloriam, æternique ipsius Patris ac vivifici Spiritus, quorum unus idemque splendor et divinitas et claritas et regnum et virtus, nunc et semper et in sæcula sæculorum. Amen.

Ἀλλ' ἵνα μὴ κατατείνωμεν ὑμῶν ἐπὶ πολὺ τὴν διάνοιαν, τὰ μὲν ὑπόλοιπα τῶν εὐαγγελικῶν ῥημάτων ἐπὶ τοῦ καιροῦ ταμιευσόμεθα τῆς πανιέρου καὶ θείας ἱερουργίας· πιστεύοντες δὲ, ὡς ἐδιδάχθημεν παρὰ τῶν ὑπὸ τοῦ Χριστοῦ φωτισθέντων, ἅτε μόνων ἀκριβῶς εἰδότων. Τὰ γὰρ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς, φησὶ, διὰ τοῦ Προφήτου ὁ Θεός. Καλῶς οὖν πιστεύοντες ὡς ἐδιδάχθημεν, καὶ τοῦ μυστηρίου συνιέντες τῆς τοῦ Κυρίου μεταμορφώσεως, ὁδεύσωμεν πρὸς τὴν λάμψιν τοῦ φωτὸς ἐκείνου· καὶ τοῦ κάλλους ἐρασθέντες τῆς ἀναλλοιώτου δόξης, τὸ ὄμμα τῆς διανοίας τῶν γηΐνων μολυσμῶν ἐκκαθάρωμεν, πᾶν περιφρονοῦντες τερπνὸν καὶ περικαλλὲς, ὃ μὴ μόνιμον, ὃ κἂν ἡδὺ δοκῇ, ἀλλ' ὀδύνην προξενεῖ τὴν αἰώνιον, κἂν ὥραν φέρῃ τῷ σώματι, ἀλλὰ τῇ ψυχῇ

C περιβάλλει τὸν δυσειδῆ χιτῶνα τῆς ἁμαρτίας ἐκεῖνον, δι' ὃν δεθεὶς χεῖρας καὶ πόδας ὁ μὴ τὸ ἔνδυμα τῆς ἀφθάρτου συναφείας ἔχων, εἰς τὸ πῦρ ἐκεῖνο καὶ τὸ σκότος ἐξάγεται τὸ ἐξώτερον· οὗ ῥυσθείημεν ἅπαντες ἐλλάμψει καὶ ἐπιγνώσει τοῦ ἀΰλου καὶ ἀϊδίου φωτὸς τῆς τοῦ Κυρίου μεταμορφώσεως, εἰς δόξαν αὐτοῦ καὶ τοῦ ἀνάρχου αὐτοῦ Πατρὸς, καὶ τοῦ ζωοποιοῦ Πνεύματος, ὧν μία καὶ ἡ αὐτὴ λαμπρότης τε καὶ θεότης καὶ δόξα καὶ βασιλεία καὶ δύναμις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XXXV.

*In eamdem venerandam Domini transformationem: in qua probatur, quanquam increatum est illius divinissimum lumen, haud tamen Dei essentiam esse.*

## ΟΜΙΛΙΑ ΛΕ'.

D *Εἰς τὴν αὐτὴν τοῦ Κυρίου Μεταμόρφωσιν· ἐν ᾗ παράστασις, ὡς εἰ καὶ ἄκτιστόν ἐστι τὸ κατ' αὐτὴν θειότατον φῶς, ἀλλ' οὐκ ἔστιν οὐσία τοῦ Θεοῦ.*

Isaias propheta de Evangelio vaticinatus est: « Sermonem breviatum dabit Dominus super terram[24]. » Est autem concisus sermo ac breviatus, qui paucis verbis multum sensus complectitur. Igitur denuo consideremus, quæ ante nunc consideravimus, evangelicorum verborum, ac quæ sunt reliqua addamus, sensuque intemerato qui repositus est adhuc saturemur, ac toti divinum afflatum hauriamus.

Ἡσαΐας ὁ προφήτης περὶ τοῦ Εὐαγγελίου προηγόρευσεν, ὅτι « Λόγον συντετμημένον δώσει Κύριος ἐπὶ τῆς γῆς. » Συντετμημένος δέ ἐστι λόγος ὁ ῥήμασιν ὀλίγοις πολλὴν διάνοιαν ἐμπεριέχων. Οὐκοῦν ἀναθεωρήσωμεν τὰ προτεθεωρημένα σήμερον τῶν εὐαγγελικῶν ῥημάτων, καὶ τὰ λείποντα προσθῶμεν, ἵν' ἐμφορηθῶμεν ἔτι τῆς ἐναποκειμένης ἀκηράτου διανοίας, καὶ τῆς θείας ὅλοι κατοχῆς **195** γενώμεθα.

[18] Apoc. xxii, 5. [19] Jac. i, 17. [20] Luc. ix, 31. [21-22] Isa. xxiv, 16. [23] Matth. xxii, 13. [24] Isa. x, 23.

Digitized by Google

« Τῷ καιρῷ ἐκείνῳ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. » Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας, ἀδελφοί, ἡμέρα θεία καὶ καινὴ καὶ ἀΐδιος, οὐ διαστήμασι μετρουμένη, οὐκ αὐξομένη καὶ μειουμένη, οὐ διακοπτομένη νυκτί· καὶ γὰρ ἡλίου δικαιοσύνης ἡμέρα ἐστί, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα· ὃς ἀφ' ἧς εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἐφ' ἡμᾶς φιλανθρώπως λάμψας, ἐξήγαγεν ἡμᾶς ἀπὸ σκότους εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, διατείνει τὸν ἀεὶ χρόνον ὑπὲρ κεφαλῆς λάμπων, ἄδυτος ὑπάρχων ἥλιος. Ἥλιος δὲ δικαιοσύνης τε καὶ ἀληθείας B ὤν, οὐκ ἀνέχεται φαίνειν καὶ ἀκριβῶς ἐπιγινώσκεσθαι τοῖς τὸ ψεῦδος περιέπουσι, καὶ ἀδικίαν εἰς τὸ ὕψος λαλοῦσιν, ἢ δι' ἔργων ἐπιδεικνυμένοις· ἀλλὰ τοῖς ἐργάταις τῆς δικαιοσύνης, καὶ τοῖς ἐρασταῖς τῆς ἀληθείας ἐπιφαίνεται καὶ πιστεύεται, καὶ τούτους εὐφραίνει ταῖς λαμπηδόσι. Καὶ τοῦτό ἐστιν ὅπερ ἡ Γραφὴ λέγει· « Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ ἡ τούτου σύζυγος εὐφροσύνη. » Διὰ τοῦτο καὶ ὁ ψαλμῳδὸς Προφήτης ᾄδει πρὸς Θεόν· « Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται, » τὴν ἐγγενομένην ἐπ' ὄρους ὕστερον ἐκ τῆς ἐλλάμψεως ἐκείνης εὐφροσύνην τοῖς ἰδοῦσι προγράφων. Ὁ δὲ Ἠσαΐας· « Λύε, φησί, πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διάσπα. » Εἶτα τί; « Τότε ῥαγήσεται C πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. » Καὶ πάλιν· « Ἐὰν ἀνέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία· » καὶ γὰρ ἄλλους ἡλίους καὶ αὐτοὺς ποιεῖ, οἷς ἂν ὁ ἥλιος οὗτος ἐμφανῶς ἐπιλάμψοι· λάμψουσι γὰρ καὶ οἱ δίκαιοι ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν.

Ἀποθώμεθα οὖν, ἀδελφοί, τὰ ἔργα τοῦ σκότους, καὶ ἐργαζώμεθα τὰ ἔργα τοῦ φωτός, ἵνα μὴ μόνον ὡς ἐν ἡμέρᾳ τοιαύτῃ εὐσχημόνως περιπατήσωμεν, D ἀλλὰ καὶ ἡμέρας υἱοὶ γενώμεθα· καὶ δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος ἔνθα Χριστὸς ἔλαμψεν, ἵνα τὰ ἐκεῖ κατίδωμεν, μᾶλλον δὲ τοιούτους ὄντας, καὶ τοιαύτης ἡμέρας γεγονότας ἀξίους, αὐτὸς ἡμᾶς ὁ τοῦ Θεοῦ Λόγος ἀναβιβάσει κατὰ καιρόν. Νῦν δὲ συντείνατε καὶ ἀνατείνατε τὸ ὄμμα τῆς διανοίας, παρακαλῶ, πρὸς τὸ φῶς τοῦ εὐαγγελικοῦ κηρύγματος, ὡς ἂν μεταμορφωθῆτε τέως τῇ ἀνακαινίσει τοῦ νοὸς ὑμῶν, καὶ οὕτω τὴν ἄνωθεν θείαν αἴγλην ἐπισπασάμενοι, σύμμορφοι γένησθε τῷ ὁμοιώματι τῆς δόξης Κυρίου, οὗ τὸ πρόσωπον ἐπ' ὄρους ἔλαμψε σήμερον ὡς ὁ ἥλιος. Πῶς ὡς ὁ ἥλιος; Ἦν ὅτε τὸ

A « In illo tempore assumit Jesus Petrum et Jacobum et Joannem, et ducit illos in montem excelsum seorsum, et transfiguratus est ante eos: et resplenduit facies ejus sicut sol [25]. » « Ecce nunc tempus acceptabile: ecce nunc dies salutis [26], » fratres; dies divina, novaque ac sempiterna; non intervallis dimensa, quæ non augeatur ac minuatur; quam nox non interrumpat. Etenim Solis justitiæ dies est [27], apud quem non est transmutatio nec vicissitudinis obumbratio [28]. Is, ex qua die, propensa Patris voluntate sanctique Spiritus cooperatione, super nos clementissima bonitate lucens, nos a tenebris in admirabile lumen suum eduxit [29], tempus omne producit super caput lucens, qui sit Sol occasum nesciens. Cumque Sol justitiæ sit ac veritatis, non sustinet lucere, et ut exacte illis cognoscatur, qui mendacium colunt, et injustitiam in excelso loquuntur, sive qui opera jactant; sed se illis conspicuum facit qui operantur justitiam et veritatem amant, seque illis credit ac illos fulgoribus recreat. Atque id est quod Scriptura loquitur: « Lux orta est justo, et quæ illi socia est, lætitia [30]. » Idcirco etiam Psalmodus vates ad Deum canit: « Thabor et Hermon in nomine tuo exsultabunt [31]; » nempe quæ postea in monte facta est, ex divina illa illustratione, his qui noverunt lætitiam jam prope delineans. Isaias autem: « Solve omnem colligaturam iniquitatis; dissolve colligationes violentorum contractuum; omnem syngrapham injustam discinde [32]. » Quid inde? « Erumpet matutinum lumen tuum; et sanitates tuæ cito orientur; et anteibit coram te justitia tua, et gloria Domini conteget te [33]. » Et rursus: « Si abstuleris a te colligationem, et desieris extendere digitum et verbum murmurationis, et dederis esurienti panem ex anima tua, et animam humiliatam repleveris, tunc orietur in tenebris lumen tuum sicut meridies [34]. » Nam et alioqui soles quoque ipsos facit, quibus sol iste manifeste illuxerit: « Fulgebunt enim et justi sicut sol in regno Patris eorum [35]. »

« Abjiciamus igitur, fratres, opera tenebrarum, et operemur opera lucis [36]; » ut non solum, velut in tali die, honeste ambulemus, sed ut etiam filii diei efficiamur [37]. Et venite, et ascendamus in montem, ubi Christus resplenduit, ut ibi gesta conspiciamus. Quin imo qui tales simus, et talis diei digni exstiterimus, ipsum nos Dei Verbum per tempus subducet, et ut ascendamus præstabit. Nunc vero contendite, rogo, mentis oculum, et intendite ad evangelicæ prædicationis lumen, ut hactenus transformemini renovatione mentis vestræ [38], atque ita divinum cœlitus fulgorem attrahentes, efficiamini conformes similitudini claritatis Domini [39], cujus hodie vultus in monte ut sol resplenduit. Quomodo sicut sol? Erat quandoque,

[25] Matth. XVII, 1. [26] II Cor. VI, 2. [27] Malach. IV, 2. [28] Jac. I, 17. [29] I Petr. II, 9. [30] Psal. XCVI, 11. [31] Psal. LXXXVIII, 13. [32] Isa. LVIII, 6. [33] ibid. 8. [34] ibid. 9. [35] Matth. XIII, 43. [36] Rom. XIII, 12. [37] I Thess. V, 5. [38] Ephes. IV, 23. [39] Philipp. III, 21.

Digitized by Google

quando solaris lux non erat in disco hoc velut in vase. Nam lux primigenia est; globum autem die quarta produxit, qui omnium auctor est ac productor, conjuncta ei luce qua diei parentem simul, ac interdiu lucens sidus effecit. Sic quoque lux divinitatis erat aliquando, quando in Christi corpore tanquam in vase non erat. Nam lux quidem prææterna est; quam vero ex nobis Dei Filius massam assumpsit, postea tandem nostri causa producta est, deitatis in se plenitudine recepta, qua deificum sidus Deique fulgoribus micans effecta est. In eum modum « resplenduit Christi facies sicut sol: vestimenta autem ejus facta sunt alba sicut lux. » Marcus autem ait: « Splendida et alba valde sicut nix; qualia fullo super terram non potest candida facere [60]. » Eadem itaque luce splenduerunt tum adoranda illa Christi facies, tum vestimenta: haud pari tamen claritate; sed facies quidem ejus resplenduit sicut sol; vestimenta autem, ut quæ illius prope corpori adhæserant, lucida facta sunt. Ac per hæc ostendit, quænam stolæ gloriæ futuræ sint, quas induent qui futuro illo sæculo Deo propinqui erunt; quænam item indumenta immunitatis a peccato, quibus Adamus [61] per transgressionem exutus, nudus apparuit ac erubuit.

Sane quidem divus Lucas: « Facta est species ejus alia: et vestitus ejus albus refulgens [62]; » quæ illic gesta sunt omnia, nulla comparatione conspiciens. Marcus vero assimilat quidem vestimenta; dicendo tamen, « splendida, alba valde sicut nix, » sic quoque ostendit, imagines et exempla a vestimentorum illorum conspectu deficere. Nam nix alba quidem est, non vero etiam splendet, quippe quæ et inæqualem semper superficiem habeat, velut quæ tota ex tenuibus quibusdam flatuoso spiritu exstantibus bullis composita est, ob interceptum commistumque aerem. Cum enim nubes necdum perfecte constiterit, nec interceptum aerem exprimere potuerit, frigoris vehementia concrescit; inque eum modum per aerem fertur atque volitat, spumæ haud absimilis, tum scilicet ratione albedinis, tum et partium inæqualitatis. Tanquam igitur non sufficeret nivis albedo ad ejus spectaculi dulcedinem exhibendam, una adjuncta fulgendi notatio est; præterea etiam ut evangelista illis monstraret fuisse eam lucem aliquid luce superius, per quam splendida albaque facta sunt illa vestimenta. Non enim lucis est, ut quibus ea affusa sit, alba faciat ac splendida; sed ut quali colore exsistant aperiat. Illa vero, ut par est obtexit: quin imo illa immutavit, quod ejus lucis non est, quæ in sensum cadit. Quodque adhuc inauditum magis, ubi etiam immutaverat, nihil tunc immutata ea servavit, uti brevi post liquebit. Ubi hæc illius ignis, qui humano usu cognitus sit? Idcirco evangelista nedum præcellentem vultus splendorem

A ἡλιακὸν τοῦτο φῶς οὐκ ἦν ὡς ἐν σκεύει τῷ δίσκῳ τούτῳ· τὸ μὲν γὰρ πρωτόγονόν ἐστι, τὸν δὲ δίσκον τῇ τετάρτῃ τῶν ἡμερῶν παρήγαγεν ὁ τὰ πάντα παραγαγὼν, ἐνάψας αὐτῷ τὸ φῶς, καὶ οὕτως ὑποστήσας ἡμεροποιὸν ἅμα καὶ ἡμεροφανῆ φωστῆρα. Οὕτω δὴ καὶ τὸ φῶς τῆς θεότητος ἦν ὅτε οὐκ ἦν ὡς ἐν σκεύει τῷ Χριστοῦ σώματι· τὸ μὲν γὰρ προάναρχόν ἐστι, τὸ δὲ πρόσλημμα, ὃ παρ' ἡμῶν ἀνέλαβεν ὁ τοῦ Θεοῦ Υἱὸς, νῦν ὕστερον ὑπὲρ ἡμῶν παρήχθη, τὸ πλήρωμα τῆς θεότητος ἐν ἑαυτῷ λαβὸν, καὶ οὕτω θεοποιὸς ἅμα καὶ θεοφεγγὴς 196 ἀναπέφηνε φωστήρ. Οὕτως ἔλαμψε τὸ τοῦ Χριστοῦ πρόσωπον ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Ὁ δὲ Μάρκος φησί· « Στίλβοντα λευκὰ λίαν ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ B δύναται λευκᾶναι. » Ἐλαμπρύνθη μὲν οὖν τῷ αὐτῷ φωτὶ καὶ τὸ προσκυνητὸν ἐκεῖνο τοῦ Χριστοῦ σῶμα καὶ τὰ ἱμάτια, ἀλλ' οὐκ ἐπίσης· τὸ μὲν γὰρ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος ἔλαμψε, τὰ δὲ ἱμάτια ὡς ἐγγίζοντα τῷ σώματι ἐκείνου φωτεινὰ ἐγένετο, καὶ διὰ τούτων ἔδειξε, τίνες αἱ στολαὶ τῆς δόξης, ἃς ἐνδύσονται κατὰ τὸν μέλλοντα αἰῶνα οἱ ἐγγίζοντες Θεῷ, καὶ τίνα τὰ ἐνδύματα τῆς ἀναμαρτησίας, ἃ διὰ τὴν παράβασιν ὁ Ἀδὰμ ἀπεκδυσάμενος, γυμνὸς ἑωρᾶτο καὶ κατῃσχύνετο.

Λουκᾶς μὲν οὖν ὁ θεῖος, « Ἐγένετο, φησὶ, τὸ εἶδος αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων· » τὰ ἐκεῖ τελούμενα πάντα πρὸς οὐ- C δὲν παράδειγμα βλέπων. Ὁ δὲ Μάρκος εἰκονίζει μὲν τὰ ἱμάτια, εἰπὼν δὲ, « στίλβοντα λευκὰ λίαν ὡς χιὼν, » ἔδειξε καὶ οὗτος τὰς εἰκόνας καὶ τὰ παραδείγματα πρὸς τὴν θέαν τῶν ἱματίων ἐκείνων ἀπολειπόμενα· ἡ γὰρ χιὼν λευκὴ μέν ἐστιν, ἀλλ' οὐχὶ καὶ στίλβουσα· καὶ γὰρ ἀνώμαλον ἀεὶ τὴν ἐπιφάνειαν ἔχει, οἷον ἐκ λεπτῶν τινων πομφολύγων συγκειμένη πᾶσα διὰ τὴν τοῦ ἐνυπάρχοντος ἀέρος μίξιν· μήπω γὰρ συστὰν τελέως τὸ νέφος, μηδὲ τὸν ἐναπειλημμένον ἀέρα δυνηθὲν ἐκθλίψαι, τῷ σφοδρῷ τοῦ κρύους πήγνυται, καὶ οὕτως ἀεροφόρον καταφέρεται, ἀφρῷ παραπλησίως ἔχον κατὰ τὸ λευκὸν ὁμοῦ τε καὶ ἀνώμαλον. Ὡς οὖν μὴ ἀρκοῦντος τοῦ λευκοῦ τῆς χιόνος εἰς παράστασιν τοῦ τερπνοῦ τῆς θέας ἐκείνης, καὶ τὸ στίλβειν συμπαρελήφθη· προσ- D έτι καὶ διὰ τούτων τοῦ Εὐαγγελιστοῦ δεικνύντος ὑπερφυὲς τὸ φῶς ἐκεῖνο, δι' οὗ λαμπρά τε καὶ λευκὰ τὰ ἱμάτια γέγονεν ἐκεῖνα· οὐ γὰρ φωτὸς τὰ λαμπόμενα λευκά τε καὶ στίλβοντα ποιεῖν, ἀλλ' ὁποίας τὴν χροιὰν δεικνύναι· τόδ' ὡς ἔοικεν ἐπεκάλυψε, μᾶλλον δὲ ἠλλοίωσεν αὐτὰ, ὃ φωτὸς οὐκ ἔστιν αἰσθητοῦ. Τὸ δ' ἔτι παραδοξότερον, ὅτι καὶ ἀλλοιῶσαν, ἀναλλοίωτα τηνικαῦτα διετήρησεν αὐτὰ, ὡς μετὰ μικρὸν ἐδείχθη. Ποῦ ταῦτα φωτὸς ἡμῖν γνωρίμου; Διὰ τοῦτο ὁ Εὐαγγελιστὴς οὐ τὴν ὑπερέχουσαν μόνην τοῦ προσώπου Κυρίου λαμπρότητα καὶ καλλονὴν ἐκείνην, ἀλλὰ καὶ τὴν ὡραιότητα τῶν ἱματίων ὑπερφυᾶ δεικνὺς, τῶν μὲν ἐκ φύσεως ὡραίων ὑπεξ-

[60] Marc. IX, 2. [61] Gen. III, 7. [62] Luc. IX, 29.

ἤγαγε, τῷ λευκῷ τῆς χιόνος τὴν στιλπνότητα συνάψας· ἐπεὶ δὲ καὶ ἡ τέχνη δοκεῖ τινα καλλονὴν προσεφευρίσκειν τῇ φύσει, καὶ τῶν τεχνητῶν ὡραϊσμῶν ἐκείνην τὴν καλλονὴν ὑπερτιθεὶς, οἷα, φησὶ, γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι.

illum atque decorem, sed et vestimentorum eximiam gratiam ostendens ac venustatem, illis subduxit quæ natura decorem habent, ea ratione, qua nivis albedini fulgorem copulavit. Quia vero etiam ars majoris aliquid pulchritudinis naturæ videtur asciscere ac adinvenire, his quoque ex arte fucis pulchritudinem illam anteponens: « Qualia, inquit, fullo super terram non potest alba facere. »

Ἀλλὰ γὰρ ὁ δι' ἡμᾶς σαρκωθεὶς προαιώνιος Λόγος, ἡ ἐνυπόστατος σοφία τοῦ Πατρὸς, καὶ τὸν λόγον τοῦ εὐαγγελικοῦ κηρύγματος ἐν ἑαυτῷ φέρει πάντως· οὗ καθάπερ ἱματισμὸς τὸ γράμμα ἐστὶ, λευκὸν μὲν ὂν καὶ σαφὲς, ἅμα δὲ καὶ στίλβον καὶ λαμπρὸν καὶ οἷον μαργαρῶδες, μᾶλλον δὲ θεοπρεπὲς καὶ ἔνθεον τοῖς ἐν πνεύματι τὰ τοῦ Πνεύματος ὁρῶσι, καὶ διασαφοῦσι τὰς ἐν τῷ γράμματι λέξεις θεοπρεπῶς, καὶ τοιαῦτα δεικνῦσι τὰ ῥήματα τοῦ εὐαγγελικοῦ κηρύγματος, οἷα γναφεὺς ἐπὶ τῆς γῆς, τουτέστι σοφὸς τοῦ αἰῶνος τούτου οὐ δύναται διασαφῆσαι· καὶ τί λέγω διασαφῆσαι; Οὐδὲ γὰρ δύναται γνῶναι διασαφοῦντος ἑτέρου· ψυχικὸς γὰρ ἄνθρωπος, καθά φησιν ὁ Ἀπόστολος, οὐ δέχεται τὰ τοῦ Πνεύματος, οὐδὲ δύναται γνῶναι· διὸ καὶ εἰς αἰσθητὰς παραγνωρίζει τὰς ὑπὲρ νοῦν καὶ θείας καὶ πνευματικὰς ἐλλάμψεις, ἃ μὴ ἑώρακεν ἐμβατεύων, **197** εἰκῆ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ.

Enimvero, quod propter nos carnem assumpsit prææternum Dei Verbum, vere exsistens sapientia Patris, et quod verbum evangelicum in seipso omnino portet, cujus velut vestitus littera est, alba quidem et plana, simulque etiam fulgida ac splendida, velutque margaritis interlucentibus limpida; quin imo majestate plena, augustaque et apposita his, qui in spiritu ea quæ sunt Spiritus [63] videant, ac quæ in littera positæ sunt voces, divine et ut Deum deceant, graviterque dilucidant. Istiusmodique ostendit evangelicæ prædicationis verba: « Qualia fullo super terram » (nempe sapiens hujus sæculi) non potest dilucidare. Et quid dico dilucidare ac explanare? Ut enim ait Apostolus: « Animalis homo non capit quæ sunt Spiritus, nec potest cognoscere [64]; » quamobrem etiam velut res sensui subjectas, sic quæ mentem superant, divinasque accipiens illustrationes, errore accipit, se illis immiscens quæ non vidit, ac inflatus sensu carnis suæ [65].

Ἀλλ' ὁ Πέτρος ὑπὸ τῆς μακαριωτάτης θέας ἐκείνης καταυγασθεὶς τὴν διάνοιαν, καὶ πρὸς ἔρωτα θεῖον καὶ πόθον ἐπαρθεὶς μείζονα, τοῦ φωτὸς ἐκείνου διαστῆναι μηκέτι θέλων, « Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, » πρὸς τὸν Κύριον ἔλεγε. « Εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει· » οὔπω γὰρ ὁ καιρὸς ἐφειστήκει τῆς ἀποκαταστάσεως· ἀλλὰ καιροῦ ἐπιστάντος, οὐ χειροποιήτων δεησόμεθα σκηνῶν. Ἀλλ' οὐδ' ἐξισοῦν ἔδει τῷ Δεσπότῃ τοὺς δούλους διὰ τῆς τῶν σκηνῶν ὁμοιότητος· ὁ μὲν γὰρ Χριστὸς ὡς Υἱὸς γνήσιος ἐν τοῖς κόλποις τοῦ Πατρός ἐστιν· οἱ δὲ προφῆται καταλλήλως ὡς υἱοὶ γνήσιοι τοῦ Ἀβραὰμ ἐν τοῖς κόλποις Ἀβραὰμ οἰκήσουσιν. Ὡς οὖν ταῦτα ὁ Πέτρος μὴ εἰδὼς ἔλεγεν, « Ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, » διακόπτουσα τοὺς Πέτρου λόγους, καὶ δεικνῦσα τίς ἡ τῷ Χριστῷ πρέπουσα σκηνή.

Verum Petrus beatissima illa visione animo collustratus, inque divinum amorem majusque desiderium elatus, nihil jam amplius ab eo sejungi lumine sustinens, « Bonum est nos hic esse, » aiebat ad Dominum. Et, « Faciamus hic tria tabernacula, tibi unum, et Mosi unum, et unum Eliæ; nesciens quid diceret [66]. » Nondum enim tempus aderat in integrum restitutionis. Quin nec cum advenerit, opus nobis erit tabernaculis manufactis. At neque servi Domino exæquandi erant, paria iis tabernacula erigendo. Nam Christus quidem, tanquam verus Filius, in Patris sinu exsistit [67]; prophetæ vero, convenienter ut veri Abrahæ filii, in sinu Abrahæ habitabunt [68]. Cum ergo hæc Petrus nesciens loqueretur: « Ecce nubes lucida obumbravit eos [69]; nempe Petri sermones interrumpens, ac quodnam Christum tabernaculum deceat, ostendens.

Ἀλλὰ τίς αὕτη ἡ νεφέλη, καὶ πῶς φωτεινὴ οὖσα, ἐπεσκίασεν αὐτούς; Μὴ αὕτη τὸ ἀπρόσιτόν ἐστι φῶς ἐν ᾧ ὁ Θεὸς κατοικεῖ, καὶ ὃ φῶς ἀναβάλλεται ὡς ἱμάτιον; « Ὁ τιθεὶς γάρ, φησὶ, νέφη τὴν ἐπίβασιν αὐτοῦ, » καὶ, « Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. » Καίτοι καθά φησιν ὁ Ἀπόστολος· « Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· » ὥστε τὸ αὐτὸ καὶ φῶς ἐστιν ἐνταυθοῖ καὶ σκότος, δι' ὑπερέχουσαν φανότητα ἐπισκιάζον. Ἀλλὰ καὶ τὸ τοῖς ἀποστολικοῖς ὀφθαλμοῖς πρότερον ὁρώμενον ἀπρόσιτον ὑπὸ τῶν ἱερῶν θεο-

Verum quænam hæc nubes et quomodo lucida cum esset, obumbravit eos? Num illa lux est inaccessibilis, in qua Deus habitat et amictus lumine sicut vestimento? « Posuit enim, inquit, in nube ascensum suum [70]. » Et: « Posuit tenebras latibulum suum, in circuitu ejus tabernaculum ejus [71]. » Tametsi, ut loquitur Apostolus, « Solus habet immortalitatem, lucem habitans inaccessibilem [72]. » Quamobrem idem hic loci est lumen et tenebra, ob excellentem luciditatem umbraculum præstans. Sed et quod apostolorum oculis prius lumen conspe-

[63] I Cor. II, 13. [64] ibid. 14. [65] Coloss. II, 18. [66] Luc. IX, 33. [67] Joan. I, 18. [68] Luc. XVI, 22. [69] Matth. XVII, 5. [70] Psal. CIII, 2, 3. [71] Psal. XVII, 2. [72] I Tim. VI, 16.

Digitized by Google

eum est, inaccessum esse sacri theologi testantur. A Hodie namque, aiunt, lucis inaccessæ abyssus; hodie divini fulgoris incircumscriptus radius in Thabor monte apostolis splendescit. Magnus quoque Dionysius, cum caliginem lumen inaccessum esse dixisset, in quo Deus inhabitare dicitur: « In hanc, inquit, subit, quisquis Deum scire ac videre meretur. »

Igitur eadem lux erat, quam prius apostoli e vultu Domini videbant emicare, et quæ postea obumbrabat nubes lucida. Sed tunc quidem tenuiori radio videre præbebat; longe vero postea clariore micans jubare, invisibilis eis erat ob excellentem limpiditatem, atque in eum modum divinæ perennisque lucis fontem, Solem justitiæ obumbravit Christum. Nam in ipso hoc cunctorum ocu- B lis exposito sole, eadem lux tum videre præstat affuso radio, tum rursus visum adimit, cum quis oculos in eum ipsum intenderit. Solis enim splendor major est quam pro nostrorum luminum temperatione: verum sol quidem sensibilis, uti nactus est, non ut adlubet, lucet, ac ne quibus duntaxat velit; Sol autem veritatis ac justitiæ Christus, qui nedum natura naturalique splendore et claritate, verum etiam convenienti voluntate præditus sit, quibus duntaxat velit, et quantum velit provide ac salubriter suæ lucis radios affundit. Quamobrem arbitratu suo solis in morem apparuit, visusque est apostolorum oculis; idque adeo haud procul minorique distantia; deinde splendidius emicans, C ut voluit, ob excellentem claritatem apostolorum oculis invisibilis fuit, qui in nubem lucidam ingressus sit. Sed, « et vox de nube facta est: Hic est Filius dilectus meus, in quo mihi bene complacui; ipsum audite [33]. » In Jordane quidem Domino baptizato, aperti sunt cœli, eademque vox facta est [34]; ex illa plane majestate, quam et postea Stephanus [35], apertis ei cœlis, cum esset plenus Spiritu sancto, intendens oculos vidit; nunc vero ex nube, quæ Jesum obumbravit. Hæc igitur eadem est cum supercœlesti majestate Dei. Qua ergo ratione erit lumen sensibile, quod est supercœleste? Docebat autem paterna e nube vox D juncta illa, quæ ante Domini Deique nostri ac Salvatoris Jesu Christi adventum exstiterunt, sacrificia, legislationes, adoptiones, imperfecta fuisse, nec unquam ex primaria Dei voluntate exstitisse ac peracta esse; sed indulgentius concessa, ob futurum hunc Domini adventum ac apparitionem. Hic vero est, in quo, ut in Filio charissimo, Pater perfecte adlubet et requiescit, sibique placet. Quamobrem etiam eum audire, atque ei obsequi jubet. Unde etsi dicat: « Intrate per angustam portam, quia lata et spatiosa est, quæ ducit ad perditionem; angusta vero et arcta via est, quæ ducit ad vitam [36], » ipsum audite; etsi dixerit, lumen istud esse re-

A λόγων εἶναι μαρτυρεῖται· Σήμερον γάρ, φησί, φωτὸς ἀπροσίτου ἄβυσσος· σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται. Καὶ ὁ μέγας Διονύσιος γνόφον εἰπὼν εἶναι τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται, ἐν τούτῳ, φησί, γίνεται πᾶς ὁ Θεὸν γνῶναι καὶ ἰδεῖν ἀξιούμενος.

Οὐκοῦν τὸ αὐτὸ φῶς ἦν, ὅ τε πρότερον ἀπὸ τοῦ προσώπου τοῦ Κυρίου λάμπον ἑώρων οἱ ἀπόστολοι, καὶ ἡ ἐπισκιάσασα φωτεινὴ νεφέλη μετὰ ταῦτα. Ἀλλὰ τότε μὲν ἀμυδρότερον ἐπιλάμπον παρεῖχε τὸ ὁρᾷν· ἐκφανὲν δὲ πολλῷ πλέον ὕστερον, ἀόρατον αὐτοῖς ὑπῆρχε δι' ὑπερέχουσαν φανότητα, καὶ οὕτω τὴν τοῦ θείου καὶ ἀεννάου φωτὸς πηγήν, τὸν ἥλιον B τῆς δικαιοσύνης ἐπεσκίασε Χριστόν. Ἐπεὶ κἂν τῷ αἰσθητῷ ἡλίῳ τὸ αὐτὸ φῶς καὶ τὸ ὁρᾷν παρέχει διὰ τῆς ἀκτῖνος, καὶ ἀφαιρεῖται πάλιν τὸ ὁρᾷν, ὅταν πρὸς αὐτὸν ἐκεῖνον ἴδῃ τις· ὑπὲρ γὰρ τὴν συμμετρίαν τῶν ἡμετέρων ὀφθαλμῶν ἐστιν ἡ κατ' αὐτὸν λαμπρότης. Ἀλλ' ὁ μὲν αἰσθητὸς ἥλιος, ὡς πέφυκεν, ἀλλ' οὐχ ὡς θέλει φαίνεται, οὐδ' οἷς ἂν ἐθέλῃ μόνοις· ὁ δὲ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης ἥλιος Χριστὸς, οὐ φύσιν μόνον ἔχων καὶ φυσικὴν λαμπρότητα καὶ δόξαν, ἀλλὰ καὶ θέλησιν κατάλληλον, οἷς ἂν ἐθέλῃ μόνοις, καὶ ἐφ' ὅσον θέλῃ, προμηθῶς καὶ σωτηρίως ἐπιλάμπει. Διὰ τοῦτο θελήσας ὡς ἥλιος ἐπέφανε, καὶ ἑωρᾶτο τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς, καὶ ταῦτα οὐκ ἐκ πολλοῦ τοῦ διαστήματος· εἶτα τηλαυγέστερος λάμψας ὡς ἠθέλησε, δι' C ὑπερέχουσαν φανότητα, τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς ἀόρατος ὑπῆρχεν, ὥσπερ εἰς φωτεινὴν νεφέλην εἰσελθών. Ἀλλὰ καὶ φωνὴ ἐκ τῆς νεφέλης γέγονεν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. » Ἐν μὲν οὖν τῷ Ἰορδάνῃ τοῦ Κυρίου βαπτισθέντος, ἀνεῴχθησαν οἱ οὐρανοί, καὶ ἡ αὐτὴ γέγονε φωνὴ ἐκ τῆς δόξης πάντως ἐκείνης, ἣν καὶ ὁ Στέφανος ὕστερον ἀνεῳγμένων αὐτῷ τῶν **198** οὐρανῶν, πλήρης Πνεύματος ἁγίου γεγονὼς, ἀτενίσας εἶδε· νῦν δὲ ἐκ τῆς νεφέλης, ἥτις ἐπεσκίασε τὸν Ἰησοῦν. Οὐκοῦν ἡ αὐτή ἐστιν αὕτη τῇ ὑπερουρανίῳ δόξῃ τοῦ Θεοῦ. Πῶς οὖν ἔσται αἰσθητὸν φῶς τὸ ὑπερουράνιον; Ἐδίδαξε δὲ ἡ ἐκ τῆς νεφέλης τοῦ Πατρὸς φωνή, ὅτι πάντα ἐκεῖνα τὰ πρὸ D τῆς ἐπιδημίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, αἱ θυσίαι, αἱ νομοθεσίαι, αἱ υἱοθεσίαι, ἀτελῆ τε ἦν, καὶ οὐ κατὰ προηγούμενον θέλημα τοῦ Θεοῦ ἐγένοντό τε καὶ ἐτελέσθησαν· ἀλλὰ διὰ τὴν μέλλουσαν ταύτην τοῦ Κυρίου παρουσίαν καὶ ἐπιφάνειαν συνεχωρεῖτο. Οὗτος δέ ἐστιν, ἐν ᾧ ὡς Υἱῷ ἀγαπητῷ εὐδοκεῖ καὶ ἐπαναπαύεται καὶ ἀρέσκεται τελέως ὁ Πατήρ· διὸ καὶ αὐτοῦ ἀκούειν, καὶ αὐτῷ πειθαρχεῖν διακελεύεται. Κἂν λέγῃ, Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἐστι καὶ εὐρύχωρος ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, στενὴ δὲ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν

[33] Luc. IX, 35; Matth. XVII, 5. [34] Luc. III, 22; Matth. III, 17. [35] Act. VII, 55. [36] Matth.

Digitized by Google

ζωήν. αὐτοῦ ἀκούετε· κἂν λέγῃ, τὸ φῶς τοῦτο βασιλείαν εἶναι τοῦ Θεοῦ, αὐτοῦ ἀκούετε, καὶ αὐτῷ πιστεύετε, καὶ τοιούτου φωτὸς ἀξίους ἑαυτοὺς ποιεῖτε.

Ἀλλὰ τῆς φωτεινῆς νεφέλης ἐκφανείσης, καὶ πατρικῆς φωνῆς ἐκ τῆς νεφέλης ἠχησάσης, Ἔπεσον, φησίν, ἐπὶ πρόσωπον οἱ μαθηταί, οὐ διὰ τὴν φωνήν, ἐπεὶ καὶ ἄλλοτε πολλάκις αὕτη γέγονεν, οὐχ ἐπὶ τὸν Ἰορδάνην μόνον, ἀλλὰ καὶ τοῦ σωτηρίου πάθους προσάγοντος ἐν Ἱεροσολύμοις· τοῦ Κυρίου γὰρ εἰπόντος, « Πάτερ, δόξασόν σου τὸ ὄνομα· » ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· « Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω· » καὶ πᾶς μὲν ὁ ὄχλος ἤκουσεν, οὐδεὶς δὲ τούτων ἔπεσεν. Ἐνταῦθα δὲ οὐ φωνὴ μόνον, ἀλλὰ καὶ φῶς ἀχώρητον ἐξεφάνη μετὰ τῆς φωνῆς. Τούτου χάριν εἰκότως οὐ διὰ τὴν φωνήν, ἀλλὰ διὰ τὸ τοῦ φωτὸς ἐξηλλαγμένον καὶ ὑπερφυὲς πεσεῖν ἐπὶ πρόσωπον τοὺς μαθητὰς ἐπέγνωσαν οἱ θεοφόροι· καὶ πρὶν γὰρ ἐνεχθῆναι τὴν φωνὴν ἔμφοβοι ἦσαν, ὡς ὁ Μάρκος φησίν, ἀπὸ τῆς θεοφανείας ἐκείνης πάντως.

Ἀλλ' ὅταν διὰ τῶν τοιούτων πάντων θεῖον καὶ ὑπερφυὲς καὶ ἄκτιστον ἀναφανῇ τὸ φῶς ἐκεῖνο, τί πάσχουσι πάλιν οἱ τῆς ἔξω καὶ ψυχικῆς παιδείας ὑπὲρ τὸ δέον ἐπειλημμένοι, καὶ μὴ δυνάμενοι γνῶναι τὰ τοῦ Πνεύματος; Ἐφ' ἕτερον καταφέρονται κρημνόν· οὐ γὰρ δόξαν θείαν, οὐ Θεοῦ βασιλείαν, οὐ κάλλος, οὐ χάριν, οὐ λαμπρότητα, καθάπερ παρὰ Θεοῦ καὶ τῶν θεολόγων ἐδιδάχθημεν, αὐτό φασιν, ἀλλὰ τὴν οὐσίαν εἶναι διαβεβαιοῦνται τοῦτο τοῦ Θεοῦ, ὃ πρότερον αἰσθητὸν ἔλεγον εἶναι καὶ κτιστόν. Ὁ δὲ Κύριος ἐν τοῖς Εὐαγγελίοις οὐχ ἑαυτοῦ καὶ τοῦ Πατρὸς μόνου κοινὴν εἶναί φησι τὴν δόξαν ταύτην, ἀλλὰ καὶ τῶν ἁγίων ἀγγέλων, ὡς ὁ θεῖος συγγράφεται Λουκᾶς· « Ὃς γὰρ ἄν, φησίν, ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. » Οἱ τοίνυν οὐσίαν εἶναι τὴν δόξαν ταύτην διατεινόμενοι τὴν αὐτὴν εἶναι φήσουσιν οὐσίαν τοῦ τε Θεοῦ καὶ τῶν ἀγγέλων, ὅπερ ἐσχάτης ἀσεβείας ἐστίν! Οὐχ οἱ ἄγγελοι δὴ μόνον, ἀλλὰ καὶ οἱ ἐν ἀνθρώποις ἅγιοι ταύτης μετέχουσι τῆς δόξης καὶ τῆς βασιλείας· ἀλλ' ὁ μὲν Πατὴρ καὶ ὁ Υἱὸς μετὰ τοῦ θείου Πνεύματος φύσει τὴν δόξαν ταύτην καὶ τὴν βασιλείαν ἔχουσιν, οἱ δὲ ἅγιοι ἄγγελοί τε καὶ ἄνθρωποι χάριτι ταύτης εὐμοιροῦσιν, ἐκεῖθεν δεχόμενοι τὴν ἔλλαμψιν. Καὶ ὁ Μωϋσῆς δὲ καὶ ὁ Ἠλίας ἐν αὐτῇ τῇ δόξῃ σὺν αὐτῷ ὀφθέντες, τοῦτο **199** παρέστησαν ἡμῖν. Ὁ δὲ Μωϋσῆς οὐ νῦν μόνον ἐπὶ τοῦ Θαβωρίου κοινωνὸς ὢν τῆς θεϊκῆς δόξης ἀνεφάνη, ἀλλὰ καὶ ἡνίκα τὸ πρόσωπον οὕτως ἐδοξάσθη, ὡς μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίζειν πρὸς αὐτό. Καὶ τοῦτο παρίστησιν ὁ λέγων, ὅτι τὴν ἀθάνατον τοῦ Πατρὸς δόξαν ἐν τῷ θνητῷ ὁ Μωϋσῆς ὑπεδέξατο προσώπῳ· καὶ ὁ πρὸς τὸν Εὐνόμιον ἀμετάδοτον εἰπόντα πρὸς τὸν Υἱὸν εἶναι τὴν δόξαν τοῦ

A gnum Dei [57]; ipsum audite, ac illi fidem accommodate, talisque lucis vos ipsos dignos præstate.

Verum lucida nube emicante, paternaque voce e nube insonante, « Ceciderunt, inquit, discipuli in faciem suam [58-59]. » Non propter vocem, cum hæc alias quoque sæpe facta sit, non solum in Jordane, sed et salutari passione admovente Hierosolymis. Domino enim dicente : « Pater, clarifica nomen tuum, » vox de cœlis facta est : « Et clarificavi, et iterum clarificabo [60]. » Ac quidem omnis turba vocem audivit, et tamen nemo eorum cecidit. Hic vero non solum vox, sed et lumen incomprehen-
B sum cum voce emicuit. Idcirco merito non propter vocem, sed propter lucis excellentiam ac eximiam claritatem cecidisse in faciem discipulos viri divini agnoverunt. Nam et priusquam vox ederetur « timore exterriti erant, » ut ait Marcus [61], plane a divina illa apparitione.

Verum cum hisce omnibus divinum eximiumque ac increatum lumen illud proditum sit, quonam se rursus vertunt, quidve comminiscuntur, qui plus æquo profanæ et animali addicti disciplinæ, quæ sunt Spiritus intelligere non possunt? Nempe in aliud se prone præcipitium demittunt. Non enim divinam claritatem ac majestatem, non Dei regnum non decorem, non gratiam, non splendorem, quem-
C admodum a Deo et a theologis didicimus, esse dicunt; sed Dei illud essentiam statuunt, quod prius rem sensum moventem et creatam dicebant. Deus autem in Evangeliis nedum sui ipsius et Patris communem esse majestatem ait, et claritatem, verum etiam sanctorum angelorum, ut beatus Lucas conscripsit : « Qui me enim, inquit, erubuerit et meos sermones in generatione hac, hunc Filius hominis erubescet, cum venerit in majestate sua, et Patris, et sanctorum angelorum [62]. » Qui itaque hanc majestatem ipsam Dei essentiam esse affirmant, eamdem tum Dei tum angelorum essentiam dicturi sunt, quod extremæ impietatis est. Nec solum angeli, sed et qui inter homines sancti sunt, ejus claritatis ac regni exsistunt participes. Verum
D Pater quidem et Filius cum sancto Spiritu eam a natura majestatem et regnum habent; sancti vero angeli pariter et homines per gratiam illius exsistunt participes, qui divinam inde illustrationem recipiant. Quin et Moyses quoque et Elias, in eadem ac ille visi majestate, id nobis manifestarunt [63]; Moyses autem non solum nunc in Thaborio divinæ consors claritatis effulsit, sed et quando vultus ejus clarificatus est, ita ut non possent filii Israel intentis oculis in eum aspicere [64]. Atque id confirmat, qui ait : « Immortalem Spiritus claritatem in mortali Moyses suscepit facie. » Is quoque qui adversus Eunomium, negantem Omnipotentis ma-

[57] Matth. xvi, 28. [58-59] Matth. xvii, 6. [60] Joan. xii, 28. [61] Marc. ix, 5. [62] Luc. ix, 26. [63] ibid. 31. [64] Exod. xxxiv, 29.

Digitized by Google

A jestatem cum Filio esse communicabilem, respondit: « Nec si de Mose sermo esset, vel sic quidem ejusmodi doctrinam admitterem. »

Communis igitur unaque majestas est et regnum et splendor seu claritas, tum Dei, tum sanctorum ejus. Propterea etiam psallit psalmodus Propheta: « Et splendor Dei nostri super nos [65]; » communem vero unamque Dei sanctorumque substantiam seu essentiam nemo hactenus ausus est dicere. Ac quidem Verbi deitatis et carnis in monte divinus splendor modo ostensus est: communem vero deitatis essentiam et carnis ut dicant, Eutychis est et Dioscori, at non eorum qui pie sentire ac loqui velint. Atque hanc quidem majestatem et claritatem videbunt omnes, cum Dominus ab Oriente ad B Occidentem lucens parebit [66]; quin et nunc quoque viderunt qui una cum Jesu montem ascenderunt; nemo vero stetit in subsistentia et essentia Dei, Deique naturam aut vidit, aut enarravit. Ac quidem divinum istud lumen mensura datur, magisque ac minus recipit, pro eo ac digni sunt qui suscipiunt indivise divisum. Atque in promptu probatio est; vultus enim Domini supra solem resplenduit; vestimenta vero splendida facta sunt et alba sicut nix. Quin et Moses et Elias in eadem visi sunt majestate. Nemo tamen horum tunc temporis solis in morem resplenduit. Sed et ipsi discipuli istud lumen partim viderunt, partim in ipsum intendere oculos nequiverunt. In hunc itaque modum mensuratur ac indivise dividitur, C magisque ac minus recipit lumen illud; ac quidem partim modo, partim postea cognoscitur. Unde et divus Paulus, « Nunc, inquit, ex parte cognoscimus, et ex parte prophetamus [67]. » Indivisa vero omnino et incomprehensibilis Dei essentia; nec ulla substantiarum est, quæ magis minusque recipiat. Præterea etiam devotorum Messalianorum est, ut a suis qui digni sint, existiment divinam videri essentiam. Nos vero qui tum veteres, tum hujus nunc ævi hæreticos vitemus, regnum et majestatem et splendorem, lumenque arcanum, et divinam gratiam, non essentiam videre sanctos credentes, ejusque consortes esse, ad lucis gratiæ illustrationem procedamus; D ut agnoscamus ac veneremur trinæ lucis deitatem singularem, nulla vi verborum explicabilem radium jubarque effulgentem, ex natura una trine subsistente; mentisque oculum ad Verbum, quod nunc super cœlestes axes cum corpore collocatum est, intendamus, quod nimirum a dextris majestatis divinæ sedens, velut ex edito hanc ad nos vocem mittit: « Si quis vult huic claritati astare, quoad licet imitetur, et incedat, quam in terra viam tenui, ac quam ostendi disciplinam. » Aspiciamus itaque animi oculis magnum illud spectaculum; naturam nostram æterno fœdere cum deitatis, qui sine materia est, igne versantem; pelliceasque tunicas, quas ex transgressione induimus (terrenas scilicet car-

παντοκράτορος ἀντιφθεγξάμενος, ὡς Εἰ καὶ περὶ τοῦ Μωϋσέως ὁ λόγος ἦν, οὐδ' οὕτω ἤνεγκα ἂν τὸν τοιοῦτον λόγον.

Κοινὴ μὲν οὖν καὶ μία ἡ δόξα καὶ ἡ βασιλεία καὶ ἡ λαμπρότης αὐτη τοῦ τε Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων· διὸ καὶ, « Ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, » ὁ ψαλμῳδὸς Προφήτης ψάλλει· κοινὴν δὲ καὶ μίαν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ καὶ τῶν ἁγίων οὐδεὶς πω μέχρι καὶ νῦν ἐτόλμησεν εἰπεῖν. Καὶ κοινὴ μὲν τῆς τοῦ Λόγου θεότητος καὶ τῆς σαρκὸς ἐπὶ τοῦ ὄρους ἡ θεία λαμπρότης ἀρτίως ἀνεφάνη, κοινὴν δὲ εἶναι τὴν οὐσίαν τῆς θεότητος καὶ τῆς σαρκὸς Εὐτυχοῦς ἐστι καὶ Διοσκόρου λέγειν, ἀλλ' οὐ τῶν ἐθελόντων εὐσεβεῖν. Καὶ τὴν μὲν δόξαν ταύτην καὶ λαμπρότητα πάντες ὄψονται, ἡνίκα ὁ Κύριος ἀπὸ ἀνατολῶν ἕως δυσμῶν φανεῖται λάμπων· ἑωράκασι δὲ καὶ νῦν οἱ τῷ Ἰησοῦ συναναβάντες· οὐδεὶς δὲ ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Θεοῦ, καὶ Θεοῦ φύσιν εἶδεν ἢ ἐξηγόρευσε. Καὶ τὸ μὲν θεῖον τοῦτο φῶς μέτρῳ δίδοται, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, κατὰ τὴν ἀξίαν τῶν ὑποδεχομένων ἀμερίστως μεριζόμενον, καὶ ἡ παράστασις ἐγγύς· τὸ μὲν γὰρ πρόσωπον τοῦ Κυρίου ὑπὲρ ἥλιον ἔλαμψε, τὰ δὲ ἱμάτια λαμπρὰ γέγονε καὶ λευκὰ ὡσεὶ χιών. Καὶ Μωσῆς δὲ καὶ Ἠλίας ἐν τῇ αὐτῇ ὤφθησαν δόξῃ, ἀλλ' οὐδεὶς αὐτῶν τηνικαῦτα ὡς ἥλιος ἤστραπτε· καὶ αὐτοὶ δὲ οἱ μαθηταὶ τὸ μὲν εἶδον τοῦ φωτὸς ἐκείνου, τῷ δὲ ἀτενίζειν οὐκ ἠδυνήθησαν. Μετρεῖται μὲν οὖν οὕτω καὶ μερίζεται ἀμερίστως, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται τὸ φῶς ἐκεῖνο· καὶ τὸ μὲν αὐτοῦ νῦν, τὸ δ' ὕστερον γνωρίζεται· διὸ καὶ Παῦλος ὁ θεῖος, « Νῦν, φησὶν, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. » Ἀμερὴς δέ ἐστι παντάπασι καὶ ἄληπτος ἡ τοῦ Θεοῦ οὐσία, καὶ τὸ μᾶλλον καὶ ἧττον οὐδεμία τῶν οὐσιῶν ἐπιδέχεται· ἄλλως τε καὶ τῶν κατηράτων Μεσσαλιανῶν ἐστιν ὁρᾶσθαι οἴεσθαι τὴν οὐσίαν τοῦ Θεοῦ τοῖς κατ' αὐτοὺς ἀξίοις. Ἡμεῖς δὲ καὶ τοὺς πάλαι καὶ τοὺς νῦν κακοδόξους ἐκτρεπόμενοι, βασιλείαν καὶ δόξαν καὶ λαμπρότητα, καὶ φῶς ἀπόῤῥητον καὶ χάριν θείαν, ἀλλ' οὐ τὴν τοῦ Θεοῦ οὐσίαν ὁρᾷν καὶ κοινωνεῖν τοὺς ἁγίους πιστεύοντες ὡς ἐδιδάχθημεν, ὁδεύσωμεν πρὸς τὴν λάμψιν τοῦ φωτὸς τῆς χάριτος, ἵν' ἐπιγνῶμέν τε καὶ σεφθῶμεν τρισσοφαῆ θεότητα, ἑνιαίαν ἐκλάμπουσαν, ἀπόῤῥητον αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως· καὶ τὸ ὄμμα τῆς διανοίας ἀνατείνωμεν πρὸς τὸν μετὰ σώματος νῦν ὑπὲρ τὰς οὐρανίους ἀψῖδας ἱδρυμένον Λόγον· ὃς ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθήμενος θεοπρεπῶς, οἷον ἐξ ἀπόπτου φωνὴν ταύτην πρὸς ἡμᾶς ἀφίησιν· Εἴ τις ἐθέλει παραστῆναι τῇ δόξῃ ταύτῃ, μιμείσθω κατὰ τὸ ἐγχωροῦν, καὶ ὁδευέτω τὴν ἐμὴν ἐπὶ γῆς ἣν ὁδὸν καὶ πολιτείαν ὑπέδειξα. Θεώμεθα τοιγαροῦν τοῖς ἔνδον ὀφθαλμοῖς τὸ μέγα θέαμα τοῦτο, τὴν ἡμετέραν φύσιν, ἀΰλῳ συνδιαιωνίζουσαν θεότητος πυρί· καὶ τοὺς δερματίνους χιτῶνας, οὓς ἐκ παραβάσεως ἐνδεδύμεθα, τὰ γεώδη καὶ σαρκικὰ φρονήματα ἀπο-

[65] Psal. LXXXIX, 17. [66] Jerem. XXIII, 18. [67] I Cor. XIII, 9.

Digitized by Google

θέμενοι, στῶμεν ἐν γῇ ἁγίᾳ, τὴν καθ' ἑαυτὸν ἕκαστος γῆν ἁγίαν διʼ ἀρετῆς καὶ τῆς πρὸς Θεὸν ἀνατάσεως 200 ἀποδείξαντες· ὡς ἂν παῤῥησίαν σχῶμεν ἐπιδημοῦντος ἐν φωτὶ τοῦ Θεοῦ, καὶ φωτισθῶμεν προσδραμόντες, καὶ συνδιαιωνίσωμεν φωτιζόμενοι εἰς δόξαν τῆς τρισηλίου καὶ μοναρχικωτάτης φαιδρότητος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ ΛϚʹ.

*Εἰς τὸ τῆς δεκάτης πρώτης Κυριακῆς Εὐαγγέλιον τοῦ εὐαγγελιστοῦ Ματθαίου, ὑπόθεσιν ἔχον τὴν παραβολὴν τὴν λέγουσαν· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον·» ἐν ᾗ καὶ περὶ ἀνεξικακίας καὶ συμπαθείας.*

B Ὁ Θεὸς αὐτεξούσιον πλάττων τὸν ἄνθρωπον μεγάλης αὐτὸν προμηθείας ἠξίωσεν, ὥστε μὴ πρὸς τὸ κακὸν, ἀλλὰ πρὸς τὸ ἀγαθὸν νεῦσαι, τῷ αὐτεξουσίῳ καλῶς χρησάμενον. Εὐθὺς οὖν αὐτὸν ποιῶν, κατ' εἰκόνα τοῦτον ἑαυτοῦ ποιεῖ καὶ ὁμοίωσιν, ὡς ἂν αὐτός τε πρὸς τὸ ἀρχέτυπον ἀγαθὸν βλέπων, μὴ ἐκπίπτῃ τῆς ἀγαθότητος, καὶ ὁ Θεὸς πάλιν πρὸς αὐτὸν, ὡς πρὸς οἰκείαν εἰκόνα μᾶλλον, ἢ πρὸς τὰ παρ' αὐτοῦ πάντα γεγονότα, πλουσίαν δικαίως τὴν οἰκείαν χρηστότητα κἂν τοῖς ἑξῆς ἐπιδείξηται. Κἀντεῦθεν πάλιν ἐκ περιουσίας ἕλκει τοῦτον διὰ μιμήσεως πρὸς τὴν σύμμετρον αὐτῷ καὶ κατάλληλον ἀγαθότητα· καὶ γὰρ ἀγαθὸν εἶναι καὶ τὸν ἄνθρωπον δυνατὸν κατ' εἰκόνα τοῦ κτίσαντος ἐκ τῆς πρὸς τοῦτον μιμήσεως· ἀπαραλλάκτως δὲ καὶ C ὅσον ἀγαθός ἐστιν ὁ Θεὸς, καὶ ἄνθρωπόν τινα εἶναι, τῶν ἀδυνάτων ἐστίν. Σκοπεῖτε δὴ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν εἰς ἡμᾶς τοῦ Θεοῦ χαρισμάτων, καὶ οἷον ἑαυτὸν ἡμῖν παρέχει προτιθεὶς εἰς εὐποιίας ὑπόδειγμα. Καὶ παρήσω νῦν τὰς ἐμφύτους ἡμῖν ἃς δέδωκεν ἔχειν εὐεργεσίας, πρὸς ἃς μόνας ἀπιδὼν ὁ Δαβὶδ, πρὸς αὐτὸν ἔλεγεν· «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν·» ἀλλὰ τὰ ἔξωθεν καὶ περὶ ἡμᾶς νῦν καὶ ταῦτα συντεμὼν ἐρῶ· τὰ γὰρ ὁρατὰ πάντα καὶ τὰ ἀόρατα διὰ τὸν ἄνθρωπον ἀπειργάσατο· οὐ γὰρ οὐρανὸν καὶ γῆν καὶ ὕδωρ, καὶ ἀέρα καὶ πῦρ καὶ τὰ ἐν τούτοις ἅπαντα, ζώων ἢ φυτῶν παντοδαπὰς ἰδέας, ἃς οὐδὲ ἀπαριθμήσασθαι κατὰ μέρος ἡμῖν ἔξεστι, D ἀλλὰ καὶ αὐτὰ τῶν ἀγγέλων τὰ πολυειδῆ καὶ πολυάριθμα πλήθη διὰ τὸν ἄνθρωπον ἀπειργάσατο, τοὺς μὲν κοσμαγωγοὺς τάξας καὶ ἐξάρχοντας τῶν ἐθνῶν, καθάπερ οἱ τοῦ Θεοῦ προφῆται παρ' αὐτοῦ μαθόντες ἡμᾶς διδάσκουσι, τοὺς δὲ διακόνους ὑπὲρ τῶν μελλόντων κληρονομεῖν τὴν αἰώνιον σωτηρίαν, ὡς ὁ μέγας Παῦλος καὶ αὐτὸς παρὰ Θεοῦ μαθὼν ἡμῖν ἀπεκάλυψε. Καὶ τί λέγω τὰ γεγονότα ὑπ' αὐτοῦ πάντα; καὶ αὐτὸς γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν ἐποίησεν ἄνθρωπον. Καὶ τίς ἂν ἐξείποι λόγος τοὺς ὑπὲρ ἡμῶν οὓς 201 ἐλάλησε διʼ ἑαυτοῦ λόγους, τὴν πολιτείαν, τὰς ἀρετὰς, ἃς ἡμῖν ὑπέδειξε διʼ ἑαυτοῦ, τῶν θαυμάτων τὸ μέγεθος, ἅπερ ὑπὲρ ἡμῶν πεποίηκε διʼ ἑαυτοῦ;

A nalesque cogitationes affectusque) ponentes, stemus in terra sancta, suam quisque terram sanctam virtutis cultu sublimique contemplationis conatu exhibentes; quo fiduciam habeamus, in Dei luce versantes, ac accurrentes illuminemur, perennesque illuminati gratias agamus, in laudem ac gloriam trini singularissimique splendoris, nunc et semper, et in sæcula sæculorum. Amen.

## HOMILIA XXXVI.

*In Evangelium undecimæ Dominicæ Matthæi evangelistæ, materiam habens parabolam dicentem: «Simile est regnum cœlorum homini regi qui voluit rationem ponere [68];» in qua insuper de patientia et misericordia.*

Deus hominem faciens liberum, magna eum dignavit providentia, ita ut, si bene utatur libertate, non ad malum sed ad bonum propendeat. Igitur simul ac eum creavit, fecit ad suam imaginem et similitudinem, ut ad bonum archetypum spectans, a bonitate nequaquam excideret, et Deus iterum erga eum, utpote suam magis imaginem, quam erga alia ab eo facta, jure suam abundantem postea manifestaret clementiam. Inde rursus illum per imitationem trahit ad bonitatem accommodatam ipsi et consentaneam; homo enim potest bonus esse ad imaginem sui creatoris eum imitando; sed cum Deus longe multumque sit bonus, hominem parem habere bonitatem omnino est impossibile. Cernitis multitudinem et magnitudinem Dei ad nos charismatum, et quomodo in exemplum bonorum operum nobis semetipsum proposuit. Nunc omittam naturalia quæ nobis dedit beneficia, quæ sola David conspiciens dixit ei: «Mirabilis facta est scientia tua ex me, confortata est, et non potero ad eam [69];» sed quæ exterius et circa nos facta sunt summatim loquar. Nam visibilia omnia et invisibilia propter hominem condidit, non solum cœlum, terram, aquas, aerem, ignem et quæ continent, necnon omnes animalium plantarumve species quas sigillatim enumerare non possumus, sed et ipsam multiformem et numerosam angelorum multitudinem, alios quidem mundi rectores gentiumque principes constituens, prout nos docent Dei prophetæ ab eo edocti, alios vero administratorios propter eos qui æternæ salutis capiunt hæreditatem [70]. Et quid dico omnia ab eo facta? nam et ipse pro nobis se hominem fecit. Et quæ lingua posset dicere quæ pro nobis ore suo fecit verba, conversationem, virtutes quas nobis per semetipsum manifestavit, miraculorum magnitudinem quæ pro nobis per semetipsum fecit? Sed, o omnium et ultimum miraculorum miraculum! semetipsum dedit in mortem pro nobis, et resurrexit, et pro nobis ascendit semper vivens ut Deus, in cœlis morans, seu magis ubique et super omnia, permanens ante sæcula et in sæcula et nunc.

[68] Matth. XVIII, 23. [69] Psal. CXXXVIII, 5. [70] Hebr. I, 14.

Digitized by Google

Ἀλλ' ὦ τοῦ πάντων ἐπέκεινα θαυμάτων θαύματος! καὶ ἑαυτὸν ἔδωκεν εἰς θάνατον ὑπὲρ ἡμῶν, καὶ ἀνέστη, καὶ ὑπὲρ ἡμῶν ἀνελήφθη ὁ ἀεὶ ζῶν ὡς Θεός, καὶ ἐν οὐρανῷ ὤν, μᾶλλον δὲ ὢν πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν, διαμένων πρὸ αἰώνων καὶ ἐπ' αἰῶνας καὶ ἔτι.

A Plena quidem pietate omnia quæ pro nobis fecit; nam quid aliud eum movit ad tot et tanta beneficia nisi clementia, amor et pietas? Sed duplex ostenditur hæc pietas : alia quidem qua antequam in eum peccaremus, misertus donis eximiis adimplevit quod naturæ nostræ deerat; alia vero qua postquam in eum peccavissemus misericors et longanimis permansit, insuper ex magna commiseratione dona auxit semper in melius et multiplicavit, non modo non retribuendo mala pro malis, sed neque simpliciter bona pro malis reddendo, at bonorum optima, quibus nihil majus vel melius; nam deinde semetipsum pro nobis dedit, qui bonorum est primum et maximum et summum, potius etiam solum bonum nulli comparandum. Igitur cum sit duplex
B misericordiæ bonum, aliud quidem quo indigentes tecto, domo, esca vel alio in necessariis auxilio bonorum suorum facit participes, aliud autem longanimitas et patientia et commiseratio erga offendentes; Dei Filius pro nobis factus homo, doctorque noster esse dignatus, ad illam pietatis formam nos inducens qua superflua nostra aliis dividimus: « Da omni, inquit, qui petit a te, et volenti mutuari a te ne avertaris [71]. » Et : « Thesaurizate vobis thesauros in cœlo, ubi neque ærugo neque tinea demolitur, et ubi fures non effodiunt nec furantur [72]. » Et alibi rursus : « Quod superest date eleemosynam, et ecce omnia munda sunt vobis [73]. » Nec tantum per hæc verba, sed etiam per parabolam ad nostra communicanda convertit, futurum
C illum valdeque horribilem adventum quasi sub oculis nobis producit, et semetipsum proponit ut regem in throno gloriæ sedentem. Eos quidem qui sua communicaverunt a dextris collocat tanquam bonorum operum operatores, alios vero non tales a sinistris quos ex eo quod non communicaverunt verbis increpans quasi erga eum, dum inopes non sublevarent, inhumanitatem exhibuerint, maledictos esse asserit, et in ignem æternum mittit qui paratus est diabolo et angelis ejus; eos autem qui pauperibus auxiliati fuerint palam laudans sibique factam ostendens eleemosynam indigentibus erogatam, Patris sui benedictos esse testatur, hæredesque facit regni sui a constitutione mundi præpa-
D rati. Hæc quidem dixit Dominus in Evangeliis, ad priorem eleemosynæ speciem quæ est suorum cum pauperibus communicatio, hortans nos et convertens.

Ἐλέους μὲν οὖν ἅπαντα τὰ πρὸς ἡμᾶς παρ' αὐτοῦ γεγονότα· τί γὰρ ἕτερον τὸ κινῆσαν πρὸς τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας ἢ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος; Ἀλλὰ διπλοῦν ἐμφαίνεται τουτὶ τὸ ἔλεος· πρὸ μὲν γὰρ τοῦ ἁμαρτεῖν ἡμᾶς εἰς αὐτόν, ἐλεῶν ἀνεπλήρου διὰ πλείστων εὐεργεσιῶν τὴν τῆς φύσεως ἡμῶν ἔλλειψιν· μετὰ δὲ τὸ ἁμαρτεῖν ἡμᾶς εἰς αὐτόν, ἐλεῶν διέμενε μακροθυμῶν, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὑπὸ πολλῆς συμπαθείας καὶ τὰς δωρεὰς αὔξων ἐπὶ τὸ κρεῖττον ἀεί, καὶ εἰς ἐπίδοσιν ἄγων, μὴ μόνον οὐκ ἀποδιδοὺς κακὰ ἀντὶ κακῶν, ἀλλ' οὐδ' ἁπλῶς ἀγαθὰ παρέχων ἀντὶ κακῶν, ἀλλὰ τὰ τῶν καλῶν κάλλιστα, καὶ ὧν οὐδὲν ἢ μεῖζον ἢ κάλλιον· ὕστερον γὰρ ἑαυτὸν ἔδωκεν ὑπὲρ ἡμῶν, ὅς ἐστι τῶν ἀγαθῶν τὸ πρῶτον καὶ μέγιστον καὶ ἀκρότατον, μᾶλλον δὲ τὸ μόνον ἀγαθὸν καὶ ἀσύγκριτον. Ἐπεὶ οὖν διπλοῦν ἐστι τὸ τῆς ἐλεημοσύνης καλόν, καὶ τὸ μὲν αὐτοῦ μετάδοσίς ἐστι πρὸς τοὺς δεομένους στέγης, σκέπης, τροφῆς καὶ τῆς ἐν ἀνάγκαις ἐπικουρίας· τὸ δὲ μακροθυμία καὶ ἀνεξικακία καὶ συμπάθεια πρὸς τοὺς πταίοντας, γενόμενος ὁ τοῦ Θεοῦ Υἱὸς ὑπὲρ ἡμῶν ἄνθρωπος, καὶ διδάσκαλος ἡμῶν εἶναι καταξιώσας, πρὸς μὲν ἐκεῖνο τὸ εἶδος τῆς ἐλεημοσύνης ἡμᾶς ἐνάγων, τὸ ἐκ τῆς μεταδόσεως τῶν ὑπαρχόντων ἡμῖν συνιστάμενον, « Παντὶ τῷ αἰτοῦντί σε δίδου, φησί· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. » Καί, « Θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι. » Καὶ ἀλλαχοῦ πάλιν· « Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ πάντα καθαρὰ ὑμῖν ἐστιν. » Οὐ διὰ τούτων δὲ μόνον τῶν λόγων, ἀλλὰ καὶ διὰ παραβολῆς προτρεπόμενος ἡμᾶς εἰς μετάδοσιν, τὴν μέλλουσαν φρικωδεστάτην παρουσίαν ἐκείνην ὥσπερ ὑπ' ὄψιν ἡμῖν προάγει, καὶ ἑαυτὸν ὡς βασιλέα προκαθήμενον ἐπὶ θρόνου δόξης ἐπιδεικνύει. Καὶ τοὺς μὲν εὐμεταδότους ἐκ δεξιῶν ἵστησιν, ὡς καὶ δεξιῶν ἐργάτας ἔργων· τοὺς δὲ μὴ τοιούτους ἐξ εὐωνύμων, οὓς ὡς ἀμεταδότους ὀνειδίσας, καὶ ὡς εἰς αὐτὸν τὴν ἀσπλαγχνίαν ἐνδειξαμένους τῷ μὴ ἐπαρκέσαι τοῖς ἐνδεέσι, κατηραμένους εἶναί φησι, καὶ εἰς τὸ πῦρ ἀποπέμπεται τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· τοὺς δὲ εὐμεταδότους παῤῥησίᾳ ἐγκωμιάσας, καὶ ὡς εἰς αὐτὸν γενομένην τὴν πρὸς τοὺς ἐνδεεῖς εὐποιΐαν ἀναδεξάμενος, εὐλογημένους ἀπὸ τοῦ οἰκείου Πατρὸς εἶναι μαρτυρεῖ, καὶ κληρονόμους ποιεῖ τῆς ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένης βασιλείας αὐτοῖς. Τοιαῦτα μέν φησιν ἐν Εὐαγγελίοις ὁ Κύριος, πρὸς τὸ ἓν εἶδος τῆς ἐλεημοσύνης, ὅ ἐστιν ἡ πρὸς τοὺς ἐνδεεῖς μετάδοσις, ἡμᾶς ἐνάγων καὶ προτρεπόμενος.

Verum de alia eleemosynæ forma quæ est patientia et commiseratio erga eos qui nos offenderunt, quid dicit? « Noli reddere malum pro malo, sed vince in bono malum [74]. » « Nolite condemnare, et

Πρὸς δὲ τὸ ἕτερον αὐτῆς εἶδος, ὅπερ ἐστὶν ἡ πρὸς τοὺς ἐπταικότας ἡμᾶς ἀνεξικακία καὶ συμπάθεια, τί φησι; « Μὴ ἀποδώσεις κακὸν ἀντὶ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Μὴ καταδικάζετε, καὶ

[71] Matth. v, 42. [72] Matth. vi, 20. [73] Luc. xi, 41. [74] Rom. xii, 21.

Digitized by Google

οὐ μὴ καταδικασθῆτε. » Καὶ, « Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις **202** τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν. » Ὥσπερ δὲ ἐν ἐκείνῳ τῷ μέρει τῆς ἐλεημοσύνης παραινετικοῖς τε ἐχρήσατο λόγοις, καὶ διὰ τῶν πραγμάτων αὐτῶν προετρέψατο, ποιμένα καὶ βασιλέα ἑαυτὸν προκαθίσας, οὕτω καὶ ἐπὶ τῆς ἀνεξικακίας καὶ εἰς τοὺς πταίοντας συμπαθείας οὐ μόνον εἶπεν οἷα προϋπεδείξαμεν, ἀλλὰ καὶ παραβολὴν προσέθηκε καὶ προέθηκε τὴν σήμερον ἀναγινωσκομένην ὑμῖν ἐν τῷ Εὐαγγελίῳ· « Ὡμοιώθη, λέγων, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ· ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. » Ἐνταῦθα ὡς ἄνθρωπον βασιλέα τὸν ἑαυτοῦ Πατέρα φησὶν, ὥσπερ ἐν τοῖς περὶ συντελείας λόγοις ἑαυτόν. Εἰ δὲ καὶ ἀνθρώπῳ φησὶν ὡμοιῶσθαι, ἀλλὰ παραβολικῶς. Οὗτος δὲ οὐ παραβολικῶς ὡμοιώθη, ἀλλ' ὡς ἀληθῶς καθ' ἡμᾶς ἐγένετο ἄνθρωπος· εἷς μὲν γὰρ ὁ θρόνος, καὶ μία ἡ βασιλεία τοῦ Υἱοῦ καὶ τοῦ Πατρός· ἀλλ' ἐπειδήπερ εἶπεν ἐπ' ἐκείνων τῶν ὑπὲρ τῆς εἰς τὸν πλησίον εὐποιίας ῥημάτων, « Ἐπείνασα καὶ ἐδίψησα, » καὶ τὰ ἑξῆς, καὶ ἀδελφοὺς ἐκάλεσε τοὺς ἐνδεεῖς, πρὸς δὲ καὶ ἕτερα ἅπερ ἐστὶ τῆς αὐτοῦ ἐνανθρωπήσεως ἴδια, διὰ τοῦτο ἑαυτὸν ἐκεῖ ὡς βασιλέα προκαθίσεσθαί φησι. Κἀκεῖ μὲν, ἐπειδὴ προβάτων καὶ ἐρίφων παραβολικῶς ἐμνήσθη, ὡς βασιλέα καὶ ποιμένα ἑαυτὸν προκαθίζει, ἐνταῦθα δὲ, ἐπεὶ δούλων καὶ λογισμοῦ καὶ χρημάτων τῶν ὡς ἐκ βασιλικῶν θησαυρῶν ἐμνήσθη, ὡς βασιλέα προκαθῆσθαι τὸν ἑαυτοῦ Πατέρα φησὶ, συναίροντα λόγον, καὶ τὰς ὀφειλὰς ἀπαιτοῦντα. Διὰ τί δὲ ἐκεῖ μὲν, Καθίσει, φησὶ, καὶ συναχθήσονται, καὶ ἀφοριεῖ, καὶ ἐρεῖ ὁ βασιλεὺς, καὶ ἁπλῶς ἅπαντα μελλούσης σημασίας, ἐνταῦθα δὲ, Ὡμοιώθη, καὶ ἠθέλησε συνᾶραι λόγον, καὶ ἤχθη ὁ ὀφειλέτης, καὶ ἐκέλευσεν ὁ Κύριος, καὶ ἁπλῶς ἅπαντα τὰ ῥήματα παρελθόντα προσημαίνοντα χρόνον ἐστίν; Ὅτι τὰ ἐκεῖ λεγόμενα πάντα τοῦ μέλλοντός ἐστιν αἰῶνος· τῆς δὲ νῦν ἡμῖν προτεθειμένης παραβολῆς τὸ πλέον ἐνταῦθα μάλιστα τελεῖται. Τοῦ γὰρ ὀφειλέτου, φησὶ, τῶν μυρίων ταλάντων προσενεχθέντος, καὶ μὴ ἔχοντος ἀποδοῦναι, « Ἐκέλευσε μὲν ὁ Κύριος αὐτὸν πραθῆναι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα αὐτοῦ καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι· » ὡς δὲ ἐκεῖνος προσπεσὼν, ᾔτει μακροθυμεῖν, καὶ ἀποδώσειν ὑπισχνεῖτο, σπλαγχνισθεὶς ὁ Κύριος, αὐτόν τε ἀπέλυσε καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· ὧν οὐδέν ἐστιν ἐπὶ τοῦ μέλλοντος αἰῶνος· οὐχ ὑπέρθεσις, οὐχ ὑπόσχεσις παρὰ τοῦ ὀφείλοντος, οὐ λύσις, οὐκ ἄφεσις οὐδενὶ τρόπῳ παρὰ τοῦ πάντα δόντος, καὶ πάντων ἀπαιτοῦντος τότε τὸν λόγον.

Ἀλλὰ καὶ τὸ προσενεχθῆναι τὸν ὀφειλέτην τῶν μυρίων ταλάντων, ἀρξαμένου συναίρειν λόγον τοῦ βασιλέως, οὐκ ἔστι τοῦ μέλλοντος αἰῶνος· ἐκεῖ γὰρ πάντων τὸ τέλος ἐστὶν, ἀπὸ τῶν ἐνταῦθα δὲ ἀρχε-

A non condemnabimini [75]. » Et : « Si dimiseritis hominibus peccata eorum, dimittet et vobis Pater vester qui est in cœlis; si autem non dimiseritis hominibus, nec Pater vester dimittet vobis peccata vestra [76]. » Sed sicut in illa eleemosynæ parte verbis utebatur hortationis, et rebus ipsis incitabat, semetipsum pastorem regemque proponens, ita de patientia et commiseratione erga offendentes non tantum dixit quæ præmisimus, sed parabolam adjecit et proposuit, quam hodie in Evangelio ad memoriam vobis revocavimus, dicens : « Assimilatum est regnum Dei homini regi qui voluit rationem ponere cum servis suis; et cum cœpisset rationem ponere, oblatus est ei unus qui debebat ei decem millia talenta [77]. » Hic hominem regem Patrem
B suum dixit, quemadmodum semetipsum dixerat ad eleemosynam hortando. Homini quidem eum dixit assimilari, sed per parabolam. Ipse autem non per parabolam assimilatus est, sed in omni veritate homo factus est. Unus quidem thronus, unum regnum Filii et Patris, sed sicut ibi dixerat ad benefaciendum proximo adhortando : « Esurivi, sitivi, » et cætera, fratresque vocaverat indigentes, aliaque protulerat suæ incarnationi propria, ideo semetipsum ibi ut regem sedere dixerat. Insuper in illo loco, cum ovium et hædorum meminisset per parabolam, ut regem et pastorem semetipsum proposuerat, hic vero, cum de servis, et ratione, et divitiis ex regalibus thesauris sumptis mentionem fa-
C ciat, ut regem sedere dixit Patrem suum, rationem ponentem et debita exigentem. At qua ratione ibi quidem dicebat : « Sedebit, » et « Congregabuntur, » et : « Segregabit, » et : « Dicet Rex, » quæ omnia futuram habent significationem; hic vero : « Assimilatum est, » et, « Voluit rationem ponere, » et, « Oblatus est debitor, » et, « Jussit Dominus, » quæ verba omnia præteritum tempus indicant? Quoniam quæ ibi dicta sunt in futuro fient sæculo; pleraque autem quæ in hodierna parabola proponuntur jam hic complentur; nam cum oblatus esset, inquit, unus qui debebat decem millia talenta et non haberet unde redderet : « Jussit eum Dominus venumdari et uxorem ejus et filios et omnia quæ habebat, et reddi; » sed cum procidens ille oraret ut pa-
D tientiam haberet, et se omnia redditurum promitteret, misertus Dominus dimisit eum et debitum dimisit ei : ex quibus nihil est quod in futuro sæculo sit faciendum : non procrastinatio, non promissio a debitore, non solutio, non dimissio nullimode tribuenda ab eo qui dat omnia et tunc ab omnibus rationem postulabit.

Insuper offerri debitorem decem millium talentorum, quando rex inceperat rationem ponere, hoc etiam futuri non est sæculi. Nam ibi finiuntur omnia quæ hic incipiunt. Reliqua parabola est etiam

[75] Luc. vi, 37. [76] Matth. vi, 14. [77] Matth. xviii, 23.

Digitized by Google

præsentis sæculi, ait enim : « Egressus servus ille A invenit unum de conservis suis, qui debebat ei centum denarios : et tenens suffocabat eum, dicens : Redde mihi quod debes. » Quo procidente et rogante atque pollicente, ejus nec modice misertus est, sed abiit et misit eum in carcerem, donec totum redderet debitum. Quænam vero egressio, cum venerit illud tempus? Quod debitum ad conservos? Quænam expostulatio? Quis incursus? Sed et, « Procidens, inquit, conservus ejus ad pedes illius, rogabat dicens : Patientiam habe in me, et omnia reddam tibi. Ille autem noluit, sed misit eum in carcerem, donec redderet universum debitum. » In illo autem sæculo vim ab aliis invicem nequaquam patiemur, nec ad pedes aliorum procidemus, sed neque rogabimus; unus est enim cui omne B genu flectetur cœlestium, terrestrium et infernorum. Alii vero, ait, conservi, videntes tantam ejus erga conservos duritiam, contristati sunt valde, et narraverunt domino suo omnia quæ facta fuerant. Ille autem iratus, servo objurgato, tradidit eum tortoribus quoadusque redderet universum debitum.

ται. Καὶ τὰ ἑξῆς δὲ τῆς παραβολῆς τοῦ παρόντος ἐστὶν αἰῶνος· « Ἐξελθὼν γάρ, φησίν, ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι εἴ τι ὀφείλεις. » Καὶ προσπίπτοντα καὶ παρακαλοῦντα καὶ ὑπισχνούμενον οὐδὲ μετρίως ἠλέησεν, ἀλλ' ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. Ποία τοίνυν ἔξοδος, ἐπιστάντος ἐκείνου τοῦ καιροῦ; τίς ὀφειλὴ τότε πρὸς ὁμοδούλους; τίς ἀπαίτησις; τίς ἐπίθεσις; Ἀλλὰ καί, « Πεσών, φησίν, ὁ σύνδουλος αὐτοῦ πρὸς τοὺς πόδας αὐτοῦ, παρεκάλει, **203** λέγων· Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω· ὁ δὲ οὐχ ὑπήκουσεν, ἀλλ' ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. » Ἐπὶ δὲ τοῦ μέλλοντος αἰῶνος βίαν παρ' ἀλλήλων πάσχειν ἡμᾶς οὐκ ἔστιν, οὐδὲ προσκυνεῖν ἀλλήλοις καὶ ἱκετεύειν· εἷς γάρ ἐστιν, ᾧ τότε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. Ἀλλ' ἕνεκα τῆς τοσαύτης πρὸς τὸν σύνδουλον ἀσπλαγχνίας λυποῦνται μέν, φησίν, οἱ ἄλλοι σύνδουλοι σφόδρα, διασαφοῦσι δὲ τῷ Κυρίῳ ἅπαντα τὰ γενόμενα· ὁ δὲ ὀργισθεὶς καὶ τὸν ἀσυμπαθῆ δοῦλον ἐλέγξας, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον.

Forsan aliquis censeret ista in præsenti sæculo fieri, sed ad futurum præsertim spectant; ibi enim aperta reatus manifestatio, et sine misericordia condemnatio, et indesinens supplicium. « Quoadusque, inquit, redderet universum debitum. » Verum fieri nequit ut a nobis inveniatur solutio C nostris ad Deum debitis adæquata, ita ut istud : « Quoadusque redderet universum, » æternam indicet pœnam. Sed quomodo illa omnia parabolæ verba hic perficiuntur, regale tribunal, debitorum manifestatio, post manifestationem expostulatio, et alia quæ sequuntur? Stat istud Dei templum tanquam cœlum aliud intra sacrum tentorium, velut in cœlestibus tabernaculis thronum habens dominicum, in quo sedet rex omnium, et rationem invisibiliter ponit cum servis ejus, nobis omnibus hic circumstantibus et obsecrantibus. Multi autem sunt, quorum et ego unus sum, qui arguuntur ex eis, quæ hic divinitus canuntur et ad aures omnium revocantur, quoniam non secundum Deum utimur istis D decem millibus, id est, tam multis bonis quorum quodlibet est talentum, utpote gravem et multam inducens condemnationem; ita enim Cain unum visus crimen commisisse, fratris cædem, septuplum, seu multum, sicut scriptum est, punitus fuit. Sed non tantum de debito arguimur, at ex divinis verbis reos manentia discimus supplicia; discentes vero, quandiu in templo perseveramus, pœnitemus, procidimus, rogamus, promittimus nos in posterum ut Deo placet victuros, ideo dimissionem obtinemus, hic usque ad finem perseveranter et ardenter deprecantes; dixit enim : « Convertimini ad me, ait Dominus, et ego convertar ad vos, et iniquitatum vestrarum non recordabor amplius [74]. »

Τοῦτο ἴδοι τις ἂν καὶ κατὰ τὸν παρόντα τελούμενον αἰῶνα, μάλιστα δὲ τοῦ μέλλοντός ἐστιν· ἐκεῖ γὰρ καὶ ὁ ἔλεγχος περιφανής, καὶ ἡ ἀπόφασις ἀνηλεής, καὶ ἡ βάσανος ἀτελεύτητος. « Ἕως οὗ, φησίν, ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. » Τὸ δὲ τῶν ἀδυνάτων ἐστὶν εὑρεθῆναι παρ' ἡμῶν ἀπόδοσιν ἐξισουμένην ταῖς πρὸς τὸν Θεὸν ὀφειλαῖς· ὥστε τό, « Ἕως οὗ ἀποδῷ τὸ πᾶν, » τὴν αἰώνιον παρίστησι βάσανον. Ἀλλὰ πῶς ἐκεῖνα πάντα τὰ τῆς παραβολῆς ἐνταῦθα τελεῖται, τὸ βῆμα τὸ βασιλικόν, ὁ τῶν ὀφειλόντων ἔλεγχος, ἡ μετὰ τοὺς ἐλέγχους ἀπαίτησις, καὶ ὅσα τῶν ἑξῆς; Ἕστηκεν ὁ τοῦ Θεοῦ ναὸς οὗτος καθάπερ οὐρανὸς ἄλλος ἔνδον τοῦ ἱεροῦ καταπετάσματος, ὥσπερ ἐν ὑπερουρανίοις σκηναῖς, τὸν θρόνον ἔχων τὸν δεσποτικόν, ἐφ' οὗ καθήμενος ὁ τοῦ παντὸς βασιλεύς, συναίρει λόγον ἀοράτως μετὰ τῶν δούλων αὐτοῦ, τῶν περιεστώτων πάντων ἡμῶν ἐνταῦθα καὶ προσευχομένων. Πολλοὶ δέ εἰσιν, ὧν εἷς εἰμι καὶ αὐτός, οἵτινες ἐλέγχονται παρὰ τῶν εἰς ἐπήκοον ᾀδομένων τε καὶ ἀναγινωσκομένων ἐνταῦθα ῥημάτων θείων, ὡς μὴ κατὰ Θεὸν χρώμενοι τοῖς τοιούτοις μυρίοις οὖσι, τουτέστι, πλείστοις, ὧν ἕκαστον τάλαντόν ἐστιν, ὡς βαρεῖαν καὶ πολυάριθμον ἔχον τὴν καταδίκην· οὕτω γὰρ καὶ ὁ Κάϊν ἓν ἡμαρτηκέναι δοκῶν, τὴν ἀδελφοκτονίαν, ἑπτὰ εἶχε τὰ ἐκδικούμενα, τουτέστι πολλά, κατὰ τὸ γεγραμμένον. Οὐχ ἐλεγχόμεθα δὲ μόνον ὀφείλειν, ἀλλὰ καὶ τὰς ἀποκειμένας τοῖς ὑπευθύνοις ἐκ τῶν θείων λογίων μανθάνομεν κολάσεις· μαθόντες δέ, μέχρις ἂν παραμένωμεν ἐν τῷ ναῷ, μετανοοῦμεν, προσπίπτομεν, ἱκετεύομεν, ὑπισχνούμεθα βιώσειν εἰς τὸ ἑξῆς θεαρέστως, ἀλλὰ καὶ τυγχάνομεν τῆς ἀφέσεως, παραμένοντες ἄχρι τέλους ἐνταῦθα καὶ θερμῶς ἱκετεύοντες· « Ἐπιστράφητε γάρ, φησί, πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύ-

[74] Zach. I, 3.

ριος, καὶ τῶν ἀνομιῶν ὑμῶν οὐ μὴ μνησθῶ ἔτι.» Εἶτα τοῦ ναοῦ ἐξερχόμενοι, καὶ τοῖς εἰς ἡμᾶς ἐπταικόσιν ἐντυγχάνοντες, προσπίπτουσιν ἔστιν ὅτε καὶ δεομένοις, βαρεῖς αὐτοῖς ἐσμεν καὶ ἀνηλεεῖς καὶ ἀμείλικτοι, καὶ ταῦτα μηδὲ δηναρίου λόγων ἐχόντων τῶν πρὸς ἡμᾶς ἐκείνων πταισμάτων πρὸς τὰ ἡμέτερα πρὸς τὸν Θεὸν ταλαντιαῖα, μᾶλλον δὲ καὶ πολυτάλαντα ὄντα. Διὰ τοῦτο ὁ συμπαθήσας ἡμῖν μετανοήσασι Κύριος καὶ τὰ τοσαῦτα ἀφεὶς, ἰδὼν τὸ πρὸς τοὺς ὁμοφύλους ἀσυμπαθὲς ἡμῶν καὶ ἀνένδοτον, ὀργίζεται καθ' ἡμῶν δικαίως, καὶ παραδίδωσιν ἡμᾶς ταῖς ἀνυποίστοις βασάνοις, τοῖς τε ἐνταῦθα πειρασμοῖς, καὶ ταῖς μελλούσαις ἀτελευτήτοις κολάσεσι, κατ' αὐτὸν ἐνταῦθα τὸν τῆς αὐτοαληθείας λόγον· «Οὕτω γὰρ, φησὶν, καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.» Τὸ δ' ἔτι δεινότερον, ὅτι καὶ τοὺς ὄντως τοῦ Θεοῦ δούλους, δηλονότι τοὺς ἁγίους ἀγγέλους τε καὶ ἀνθρώπους, οὓς ἐλπίζομεν ἱκετεύοντες ἐντεῦθεν, πρεσβευτὰς **204** ἕξειν ἐκεῖ καὶ μεσίτας πρὸς Θεὸν, καθ' ἡμῶν, φεῦ! εὑρήσομεν τὸν Θεὸν παροξύνοντας, ἐὰν μὴ ἐνταῦθα τοῖς εἰς ἡμᾶς πταίσασι συμπαθεῖς φανῶμεν· αὐτοὶ γάρ εἰσιν, ὡς ἀνωτέρω μεμαθήκαμεν, οἱ τῷ Κυρίῳ μετὰ σφοδρᾶς λύπης προσαγγέλλοντες τὸ σκληρὸν καὶ ἀνένδοτον τῆς ἡμετέρας γνώμης. Καλῶς δὲ ἄρα καὶ τὴν ἀρχὴν ἐλέγομεν, τὸν ἑαυτοῦ Πατέρα εἶναι, ὃν ὡς βασιλέα καὶ κριτὴν ἐνταῦθα διὰ τῆς παραβολῆς ὁ Κύριός φησιν· οὐ γὰρ εἶπεν ἐνταῦθα, Τὸν ἀμείλικτον ἐγὼ παραδώσω τοῖς βασανισταῖς, ἀλλ', Ὁ Πατήρ μου ὁ ἐπουράνιος.

Φοβηθῶμεν οὖν, ἀδελφοὶ, τὸν τηνικαῦτα τῶν ἁγίων καθ' ἡμῶν ζῆλον· φρίξωμεν τὴν θείαν ἀπόφασιν· αἰδεσθῶμεν τὴν πρὸ ταύτης εἰς ἡμᾶς τοῦ Θεοῦ μακροθυμίαν· ἀναλογισώμεθα τὸ μέγεθος τῆς ἡμετέρας πρὸς τὸν Θεὸν ὀφειλῆς ὅσον, καὶ ταῦτα, πρὸς τὰ ὀφειλόμενα παρ' ἑτέρων ἡμῖν συγκρινόμενον. «Ποσάκις,» ὁ Πέτρος ἐρωτῶν ἔλεγε πρὸς τὸν Κύριον, «Ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Καὶ ἤκουσεν· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά·» καίτοι τοσαυτάκις πρὸς ἡμᾶς πταῖσαι τὸν ἀδελφὸν τῶν ἀδυνάτων ἐστὶ σχεδόν. Ἡμῶν δὲ ἑκάστου τὰ πρὸς Θεὸν πταίσματα καὶ τοῦτον ὑπερβαίνει τὸν ἀριθμόν· κἂν ἑνὸς ἐξετάσῃς μέγεθος, πρὸς ὃν ἐστι τὸ πταῖσμα ἐνθυμηθεὶς, ἀσύγκριτον εὑρήσεις πρὸς τὰ ἐκεῖνα πάντα, κἂν ἑβδομηκοντάκις ἑπτὰ τυγχάνῃ. Τοσαῦτα καὶ τηλικαῦτα τοίνυν ὀφείλων τῷ Θεῷ τάλαντα, καὶ μακροθυμίαν μόνον αἰτήσας, σὺ δὲ καὶ τελείαν ἄφεσιν παρ' αὐτοῦ λαβὼν τοῦ ὀφλήματος, εἶτα πρὸς μικρὰν ἀργυρίων ὀφειλήν· ταῦτα γὰρ τὰ δηνάρια· παρὰ τοῦ ὀφείλοντος συνδούλου μακροθυμίαν αἰτούμενος, οὐ παρέξεις προθύμως; Οὐκοῦν ἀπαιτηθήσῃ τὰ πάντα δικαίως· πῶς γὰρ οὐ δίκαιον καὶ τὴν ἀφαίρεσιν ὑποστῆναι πᾶσαν; καὶ τῆς ἀγνωμοσύνης προσυποστῆναι τὴν καταδίκην; Διὰ τοῦτό φησί τις τῶν προφητῶν· «Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. Ἀλλὰ μὴ τὸν ἔλεγχον, μὴ τὴν ὀργὴν, μὴ

A Deinde e templo egressi, et iis qui nos offenderunt occurrentes, etsi procidentes obsecrent, duri et sine misericordia et inhumani eos increpamus, licet eorum ad nos debita ne denarii quidem rationem habeant si comparentur cum nostris ad Deum debitis talento seu potius multis talentis æquivalentibus. Ideo qui nostri pœnitentium misertus est Dominus et tanta dimisit, videns nos erga fratres ferreos et inexorabiles, jure adversus nos irascitur, nosque tradit suppliciis intolerabilibus, hic quidem tentationibus et futuris perennibus pœnis, secundum illud ipsius veritatis verbum: «Sic, inquit, et Pater meus cœlestis faciet vobis, si non remiseritis unusquisque fratri suo de cordibus vestris.» Quod adhuc est immanius, sinceri servi Dei, id est B sancti tam angeli quam homines quos hic rogantes speramus intercessores ibi habere et mediatores ad Deum, contra nos, heu! inveniemus Deum ad iram concitaturos, nisi hic iis qui nos offenderunt commiserationem exhibeamus. Ipsi enim sunt, ut supra didicimus, qui Domino cum vehementi tristitia annuntiant nostram inexorabilem et acerbam agendi rationem. Recte igitur a principio dicebamus Patrem suum esse quem per parabolam ut regem et judicem modo dixit Dominus; nam non dixit: Ego virum inexorabilem tradam suppliciis, sed, Pater meus cœlestis.

C Igitur, fratres, timeamus sanctorum contra nos indignationem; expaveamus divinam condemnationem; revereamur hanc antecedentem Dei erga nos longanimitatem; cogitemus quanta sint quæ Deo debemus, præsertim si ista cum debitis quibus alii ad nos ligantur, conferamus. Quoties, ait Petrus Dominum interrogans, peccabit in me frater meus, et dimittam ei? usque septies? Et audivit: «Non dico tibi usque septies, sed usque septuagies septies [79].» Porro fere est impossibile fratrem toties in nos peccare. Nostræ autem in Deum offensiones etiam hunc numerum superant. Et si perpendas unius gravitatem et mediteris quis sit quem offendimus, nullam rationem facies earum quæ contra nos committuntur offensarum, etsi septuagies sepD ties accidissent. Igitur cum tot et tanta Deo debeas talenta, et solam deprecatus patientiam, integram debiti ab eo obtineas dimissionem, tu deinde pro parvo nummorum debito (qui vere sunt denarii), a conservo debitore de patientia rogatus, non libenter annues? Secus omnia jure exigerentur; nam nonne justum esset te omnibus spoliari, et culpæ subire damnationem? Ideo dixit unus prophetarum: «Sicut fecisti, ita fiet tibi; retributio tua convertetur in caput tuum [80].» Sed non vituperationem, non iram, non sententiam exspectemus, fratres, sed induamus, quemadmodum dixit Apostolus, viscera misericordiæ, tam verbis quam co-

[79] Matth. XVIII, 22. [80] Abd. 15.

præsentis sæculi, ait enim : « Egressus servus ille invenit unum de conservis suis, qui debebat ei centum denarios : et tenens suffocabat eum, dicens : Redde mihi quod debes. » Quo procidente et rogante atque pollicente, ejus nec modice misertus est, sed abiit et misit eum in carcerem, donec totum redderet debitum. Quænam vero egressio, cum venerit illud tempus? Quod debitum ad conservos? Quænam expostulatio? Quis incursus? Sed et, « Procidens, inquit, conservus ejus ad pedes illius, rogabat dicens : Patientiam habe in me, et omnia reddam tibi. Ille autem noluit, sed misit eum in carcerem, donec redderet universum debitum. » In illo autem sæculo vim ab aliis invicem nequaquam patiemur, nec ad pedes aliorum procidemus, sed neque rogabimus; unus est enim cui omne genu flectetur cœlestium, terrestrium et infernorum. Alii vero, ait, conservi, videntes tantam ejus erga conservos duritiam, contristati sunt valde, et narraverunt domino suo omnia quæ facta fuerant. Ille autem iratus, servo objurgato, tradidit eum tortoribus quoadusque redderet universum debitum.

A ται. Καὶ τὰ ἑξῆς δὲ τῆς παραβολῆς τοῦ παρόντος ἐστὶν αἰῶνος· « Ἐξελθὼν γάρ, φησίν, ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι εἴ τι ὀφείλεις. » Καὶ προσπίπτοντα καὶ παρακαλοῦντα καὶ ὑπισχνούμενον οὐδὲ μετρίως ἠλέησεν, ἀλλ' ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. Ποία τοίνυν ἔξοδος, ἐπιστάντος ἐκείνου τοῦ καιροῦ; τίς ὀφειλὴ τότε πρὸς ὁμοδούλους; τίς ἀπαίτησις; τίς ἐπίθεσις; Ἀλλὰ καί, « Πεσών, φησίν, ὁ σύνδουλος αὐτοῦ πρὸς τοὺς πόδας αὐτοῦ, παρεκάλει, **203** λέγων· Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω· ὁ δὲ οὐχ ὑπήκουσεν, ἀλλ' ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμε-
B νον. » Ἐπὶ δὲ τοῦ μέλλοντος αἰῶνος βίαν παρ' ἀλλήλων πάσχειν ἡμᾶς οὐκ ἔστιν, οὐδὲ προσκυνεῖν ἀλλήλοις καὶ ἱκετεύειν· εἷς γάρ ἐστιν, ᾧ τότε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. Ἀλλ' ἕνεκα τῆς τοσαύτης πρὸς τὸν σύνδουλον ἀσπλαγχνίας λυποῦνται μέν, φησίν, οἱ ἄλλοι σύνδουλοι σφόδρα, διασαφοῦσι δὲ τῷ Κυρίῳ ἅπαντα τὰ γενόμενα· ὁ δὲ ὀργισθεὶς καὶ τὸν ἀσυμπαθῆ δοῦλον ἐλέγξας, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον.

Forsan aliquis censeret ista in præsenti sæculo fieri, sed ad futurum præsertim spectant; ibi enim aperta reatus manifestatio, et sine misericordia condemnatio, et indesinens supplicium. « Quoadusque, inquit, redderet universum debitum. » Verum fieri nequit ut a nobis inveniatur solutio
C nostris ad Deum debitis adæquata, ita ut istud : « Quoadusque redderet universum, » æternam indicet pœnam. Sed quomodo illa omnia parabolæ verba hic perficiuntur, regale tribunal, debitorum manifestatio, post manifestationem expostulatio, et alia quæ sequuntur? Stat istud Dei templum tanquam cœlum aliud intra sacrum tentorium, velut in cœlestibus tabernaculis thronum habens dominicum, in quo sedet rex omnium, et rationem invisibiliter ponit cum servis ejus, nobis omnibus hic circumstantibus et obsecrantibus. Multi autem sunt, quorum et ego unus sum, qui arguuntur ex eis, quæ hic divinitus canuntur et ad aures omnium revocantur, quoniam non secundum Deum utimur istis
D decem millibus, id est, tam multis bonis quorum quodlibet est talentum, utpote gravem et multam inducens condemnationem; ita enim Cain unum visus crimen commisisse, fratris cædem, septuplum, seu multum, sicut scriptum est, punitus fuit. Sed non tantum de debito arguimur, at ex divinis verbis reos manentia discimus supplicia; discentes vero, quandiu in templo perseveramus, pœnitemus, procidimus, rogamus, promittimus nos in posterum ut Deo placet victuros, ideo dimissionem obtinemus, hic usque ad finem perseveranter et ardenter deprecantes; dixit enim : « Convertimini ad me, ait Dominus, et ego convertar ad vos, et iniquitatum vestrarum non recordabor amplius [74]. »

Τοῦτο ἴδοι τις ἂν καὶ κατὰ τὸν παρόντα τελούμενον αἰῶνα, μάλιστα δὲ τοῦ μέλλοντός ἐστιν· ἐκεῖ γὰρ καὶ ὁ ἔλεγχος περιφανής, καὶ ἡ ἀπόφασις ἀνηλεής, καὶ ἡ βάσανος ἀτελεύτητος. « Ἕως οὗ, φησίν, ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. » Τὸ δὲ τῶν ἀδυνάτων ἐστὶν εὑρεθῆναι παρ' ἡμῶν ἀπόδοσιν ἐξισουμένην ταῖς πρὸς τὸν Θεὸν ὀφειλαῖς· ὥστε τό, « Ἕως οὗ ἀποδῷ τὸ πᾶν, » τὴν αἰώνιον παρίστησι βάσανον. Ἀλλὰ πῶς ἐκεῖνα πάντα τὰ τῆς παραβολῆς ἐνταῦθα τελεῖται, τὸ βῆμα τὸ βασιλικόν, ὁ τῶν ὀφειλόντων ἔλεγχος, ἡ μετὰ τοὺς ἐλέγχους ἀπαίτησις, καὶ ὅσα τῶν ἑξῆς; Ἕστηκεν ὁ τοῦ Θεοῦ ναὸς οὗτος καθάπερ οὐρανὸς ἄλλος ἔνδον τοῦ ἱεροῦ καταπετάσματος, ὥσπερ ἐν ὑπερουρανίοις σκηναῖς, τὸν θρόνον ἔχων τὸν δεσποτικόν, ἐφ' οὗ καθήμενος ὁ τοῦ παντὸς βασιλεύς, συναίρει λόγον ἀοράτως μετὰ τῶν δούλων αὐτοῦ, τῶν περιεστώτων πάντων ἡμῶν ἐνταῦθα καὶ προσευχομένων. Πολλοὶ δέ εἰσιν, ὧν εἷς εἰμι καὶ αὐτός, οἵτινες ἐλέγχονται παρὰ τῶν εἰς ἐπήκοον ᾀδομένων τε καὶ ἀναγινωσκομένων ἐνταῦθα ῥημάτων θείως, ὡς μὴ κατὰ Θεὸν χρώμενοι τοῖς τοιούτοις μυρίοις οὖσι, τουτέστι, πλείστοις, ὧν ἕκαστον τάλαντόν ἐστιν, ὡς βαρεῖαν καὶ πολυάριθμον ἔχον τὴν καταδίκην· οὕτω γὰρ καὶ ὁ Κάϊν ἓν ἡμαρτηκέναι δοκῶν, τὴν ἀδελφοκτονίαν, ἑπτὰ εἶχε τὰ ἐκδικούμενα, τουτέστι πολλά, κατὰ τὸ γεγραμμένον. Οὐχ ἐλεγχόμεθα δὲ μόνον ὀφείλειν, ἀλλὰ καὶ τὰς ἀποκειμένας τοῖς ὑπευθύνοις ἐκ τῶν θείων λογίων μανθάνομεν κολάσεις· μαθόντες δέ, μέχρις ἂν παραμένωμεν ἐν τῷ ναῷ, μετανοοῦμεν, προσπίπτομεν, ἱκετεύομεν, ὑπισχνούμεθα βιώσειν εἰς τὸ ἑξῆς θεαρέστως, ἀλλὰ καὶ τυγχάνομεν τῆς ἀφέσεως, παραμένοντες ἄχρι τέλους ἐνταῦθα καὶ θερμῶς ἱκετεύοντες· « Ἐπιστράφητε γάρ, φησί, πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύ-

[74] Zach. I, 3.

ριο̃ς, καὶ τῶν ἀνομιῶν ὑμῶν οὐ μὴ μνησθῶ ἔτι.» A Εἶτα τοῦ ναοῦ ἐξερχόμενοι, καὶ τοῖς εἰς ἡμᾶς ἐπταικόσιν ἐντυγχάνοντες, προσπίπτουσιν ἔστιν ὅτε καὶ δεομένοις, βαρεῖς αὐτοῖς ἐσμεν καὶ ἀνηλεεῖς καὶ ἀμείλικτοι, καὶ ταῦτα μηδὲ δηναρίου λόγον ἐχόντων τῶν πρὸς ἡμᾶς ἐκείνων πταισμάτων πρὸς τὰ ἡμέτερα πρὸς τὸν Θεὸν ταλαντιαῖα, μᾶλλον δὲ καὶ πολυτάλαντα ὄντα. Διὰ τοῦτο ὁ συμπαθήσας ἡμῖν μετανοήσασι Κύριος καὶ τὰ τοσαῦτα ἀφεὶς, ἰδὼν τὸ πρὸς τοὺς ὁμοφύλους ἀσυμπαθὲς ἡμῶν καὶ ἀνένδοτον, ὀργίζεται καθ' ἡμῶν δικαίως, καὶ παραδίδωσιν ἡμᾶς ταῖς ἀνυποίστοις βασάνοις, τοῖς τε ἐνταῦθα πειρασμοῖς, καὶ ταῖς μελλούσαις ἀτελευτήτοις κολάσεσι, κατ' αὐτὸν ἐνταῦθα τὸν τῆς αὐτοαληθείας λόγον· «Οὕτω γὰρ, φησὶν, καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐ- B τοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.» Τὸ δ' ἔτι δεινότερον, ὅτι καὶ τοὺς ὄντως τοῦ Θεοῦ δούλους, δηλονότι τοὺς ἁγίους ἀγγέλους τε καὶ ἀνθρώπους, οὓς ἐλπίζομεν ἱκετεύοντες ἐντεῦθεν, πρεσβευτὰς **204** ἕξειν ἐκεῖ καὶ μεσίτας πρὸς Θεὸν, καθ' ἡμῶν, φεῦ! εὑρήσομεν τὸν Θεὸν παροξύνοντας, ἐὰν μὴ ἐνταῦθα τοῖς εἰς ἡμᾶς πταίσασι συμπαθεῖς φανῶμεν· αὐτοὶ γάρ εἰσιν, ὡς ἀνωτέρω μεμαθήκαμεν, οἱ τῷ Κυρίῳ μετὰ σφοδρᾶς λύπης προσαγγέλλοντες τὸ σκληρὸν καὶ ἀνένδοτον τῆς ἡμετέρας γνώμης. Καλῶς δὲ ἄρα καὶ τὴν ἀρχὴν ἐλέγομεν, τὸν ἑαυτοῦ Πατέρα εἶναι, ὃν ὡς βασιλέα καὶ κριτὴν ἐνταῦθα διὰ τῆς παραβολῆς ὁ Κύριός φησιν· οὐ γὰρ εἶπεν ἐνταῦθα, Τὸν ἀμείλικτον ἐγὼ παραδώσω τοῖς βασανισταῖς, ἀλλ', Ὁ Πατήρ μου ὁ ἐπουράνιος.

Φοβηθῶμεν οὖν, ἀδελφοὶ, τὸν τηνικαῦτα τῶν ἁγίων C καθ' ἡμῶν ζῆλον· φρίξωμεν τὴν θείαν ἀπόφασιν· αἰδεσθῶμεν τὴν πρὸ ταύτης εἰς ἡμᾶς τοῦ Θεοῦ μακροθυμίαν· ἀναλογισώμεθα τὸ μέγεθος τῆς ἡμετέρας πρὸς τὸν Θεὸν ὀφειλῆς ὅσον, καὶ ταῦτα, πρὸς τὰ ὀφειλόμενα παρ' ἑτέρων ἡμῖν συγκρινόμενον. «Ποσάκις,» ὁ Πέτρος ἐρωτῶν ἔλεγε πρὸς τὸν Κύριον, «Ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Καὶ ἤκουσεν· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά·» καίτοι τοσαυτάκις πρὸς ἡμᾶς πταῖσαι τὸν ἀδελφὸν τῶν ἀδυνάτων ἐστὶ σχεδόν. Ἡμῶν δὲ ἑκάστου τὰ πρὸς Θεὸν πταίσματα καὶ τοῦτον ὑπερβαίνει τὸν ἀριθμόν· κἂν ἑνὸς ἐξετάσῃς μέγεθος, πρὸς ὃν ἐστι τὸ πταῖσμα ἐνθυμηθεὶς, ἀσύγκριτον εὑρήσεις πρὸς τὰ ἐκεῖνα πάντα, κἂν ἑβδομηκοντάκις ἑπτὰ τυγχάνῃ. D Τοσαῦτα καὶ τηλικαῦτα τοίνυν ὀφείλων τῷ Θεῷ τάλαντα, καὶ μακροθυμίαν μόνον αἰτήσας, σὺ δὲ καὶ τελείαν ἄφεσιν παρ' αὐτοῦ λαβὼν τοῦ ὀφλήματος, εἶτα πρὸς μικρὰν ἀργυρίων ὀφειλὴν· ταῦτα γὰρ τὰ δηνάρια· παρὰ τοῦ ὀφείλοντος συνδούλου μακροθυμίαν αἰτούμενος, οὐ παρέξεις προθύμως; Οὐκοῦν ἀπαιτηθήσῃ τὰ πάντα δικαίως· πῶς γὰρ οὐ δίκαιον καὶ τὴν ἀφαίρεσιν ὑποστῆναι πᾶσαν; καὶ τῆς ἀγνωμοσύνης προσυποστῆναι τὴν καταδίκην; Διὰ τοῦτό φησί τις τῶν προφητῶν· «Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου.» Ἀλλὰ μὴ τὸν ἔλεγχον, μὴ τὴν ὀργὴν, μὴ

Deinde e templo egressi, et iis qui nos offenderunt occurrentes, etsi procidentes obsecrent, duri et sine misericordia et inhumani eos increpamus, licet eorum ad nos debita ne denarii quidem rationem habeant si comparentur cum nostris ad Deum debitis talento seu potius multis talentis æquivalentibus. Ideo qui nostri pœnitentium misertus est Dominus et tanta dimisit, videns nos erga fratres ferreos et inexorabiles, jure adversus nos irascitur, nosque tradit suppliciis intolerabilibus, hic quidem tentationibus et futuris perennibus pœnis, secundum illud ipsius veritatis verbum : « Sic, inquit, et Pater meus cœlestis faciet vobis, si non remiseritis unusquisque fratri suo de cordibus vestris. » Quod adhuc est immanius, sinceri servi Dei, id est B sancti tam angeli quam homines quos hic rogantes speramus intercessores ibi habere et mediatores ad Deum, contra nos, heu! inveniemus Deum ad iram concitaturos, nisi hic iis qui nos offenderunt commiserationem exhibeamus. Ipsi enim sunt, ut supra didicimus, qui Domino cum vehementi tristitia annuntiant nostram inexorabilem et acerbam agendi rationem. Recte igitur a principio dicebamus Patrem suum esse quem per parabolam ut regem et judicem modo dixit Dominus; nam non dixit : Ego virum inexorabilem tradam suppliciis, sed, Pater meus cœlestis.

C Igitur, fratres, timeamus sanctorum contra nos indignationem ; expaveamus divinam condemnationem ; revereamur hanc antecedentem Dei erga nos longanimitatem; cogitemus quanta sint quæ Deo debemus, præsertim si ista cum debitis quibus alii ad nos ligantur, conferamus. Quoties, ait Petrus Dominum interrogans, peccabit in me frater meus, et dimittam ei? usque septies? Et audivit : « Non dico tibi usque septies, sed usque septuagies septies [79]. » Porro fere est impossibile fratrem toties in nos peccare. Nostræ autem in Deum offensiones etiam hunc numerum superant. Et si perpendas unius gravitatem et mediteris quis sit quem offendimus, nullam rationem facies earum quæ contra nos committuntur offensarum, etsi septuagies septies accidissent. D Igitur cum tot et tanta Deo debeas talenta, et solam deprecatus patientiam, integram debiti ab eo obtineas dimissionem, tu deinde pro parvo nummorum debito (qui vere sunt denarii), a conservo debitore de patientia rogatus, non libenter annues? Secus omnia jure exigerentur; nam nonne justum esset te omnibus spoliari, et culpæ subire damnationem? Ideo dixit unus prophetarum : « Sicut fecisti, ita fiet tibi; retributio tua convertetur in caput tuum [80]. » Sed non vituperationem, non iram, non sententiam exspectemus, fratres, sed induamus, quemadmodum dixit Apostolus, viscera misericordiæ, tam verbis quam co-

[79] Matth. XVIII, 22. [80] Abd. 15.

quando solaris lux non erat in disco hoc velut in vase. Nam lux primigenia est; globum autem die quarta produxit, qui omnium auctor est ac productor, conjuncta ei luce qua diei parentem simul, ac interdiu lucens sidus effecit. Sic quoque lux divinitatis erat aliquando, quando in Christi corpore tanquam in vase non erat. Nam lux quidem prææterna est; quam vero ex nobis Dei Filius massam assumpsit, postea tandem nostri causa producta est, deitatis in se plenitudine recepta, qua deificum sidus Deique fulgoribus micans effecta est. In eum modum « resplenduit Christi facies sicut sol : vestimenta autem ejus facta sunt alba sicut lux. » Marcus autem ait : « Splendida et alba valde sicut nix; qualia fullo super terram non potest candida facere [60]. » Eadem itaque luce splenduerunt tum adoranda illa Christi facies, tum vestimenta : haud pari tamen claritate; sed facies quidem ejus resplenduit sicut sol; vestimenta autem, ut quæ illius prope corpori adhæserant, lucida facta sunt. Ac per hæc ostendit, quænam stolæ gloriæ futuræ sint, quas induent qui futuro illo sæculo Deo propinqui erunt; quænam item indumenta immunitatis a peccato, quibus Adamus [61] per transgressionem exutus, nudus apparuit ac erubuit.

Sane quidem divus Lucas : « Facta est species ejus alia : et vestitus ejus albus refulgens [62]; » quæ illic gesta sunt omnia, nulla comparatione conspiciens. Marcus vero assimilat quidem vestimenta; dicendo tamen, « splendida, alba valde sicut nix, » sic quoque ostendit, imagines et exempla a vestimentorum illorum conspectu deficere. Nam nix alba quidem est, non vero etiam splendet, quippe quæ et inæqualem semper superficiem habeat, velut quæ tota ex tenuibus quibusdam flatuoso spiritu exstantibus bullis composita est, ob interceptum commistumque aerem. Cum enim nubes necdum perfecte constiterit, nec interceptum aerem exprimere potuerit, frigoris vehementia concrescit; inque eum modum per aerem fertur atque volitat, spumæ haud absimilis, tum scilicet ratione albedinis, tum et partium inæqualitatis. Tanquam igitur non sufficeret nivis albedo ad ejus spectaculi dulcedinem exhibendam, una adjuncta fulgendi notatio est; præterea etiam ut evangelista illis monstraret fuisse eam lucem aliquid luce superius, per quam splendida albaque facta sunt illa vestimenta. Non enim lucis est, ut quibus ea affusa sit, alba faciat ac splendida; sed ut quali colore exsistant aperiat. Illa vero, ut par est obtexit : quin imo illa immutavit, quod ejus lucis non est, quæ in sensum cadit. Quodque adhuc inauditum magis, ubi etiam immutaverat, nihil tunc immutata ea servavit, uti brevi post liquebit. Ubi hæc illius ignis, qui humano usu cognitus sit? Idcirco evangelista nedum præcellentem vultus splendorem

A ἡλιακὸν τούτῳ φῶς οὐκ ἦν ὡς ἐν σκεύει τῷ δίσκῳ τούτῳ· τὸ μὲν γὰρ πρωτόγονόν ἐστι, τὸν δὲ δίσκον τῇ τετάρτῃ τῶν ἡμερῶν παρήγαγεν ὁ τὰ πάντα παραγαγὼν, ἐνάψας αὐτῷ τὸ φῶς, καὶ οὕτως ὑποστήσας ἡμεροποιὸν ἅμα καὶ ἡμεροφανῆ φωστῆρα. Οὕτω δὴ καὶ τὸ φῶς τῆς θεότητος ἦν ὅτε οὐκ ἦν ὡς ἐν σκεύει τῷ Χριστοῦ σώματι· τὸ μὲν γὰρ προάναρχόν ἐστι, τὸ δὲ πρόσλημμα, ὃ παρ' ἡμῶν ἀνέλαβεν ὁ τοῦ Θεοῦ Υἱὸς, νῦν ὕστερον ὑπὲρ ἡμῶν παρήχθη, τὸ πλήρωμα τῆς θεότητος ἐν ἑαυτῷ λαβὸν, καὶ οὕτω θεοποιὸς ἅμα καὶ θεοφεγγὴς **196**
ἀναπέφηνε φωστήρ. Οὕτως ἔλαμψε τὸ τοῦ Χριστοῦ πρόσωπον ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Ὁ δὲ Μάρκος φησί· « Στίλβοντα λευκὰ λίαν ὡς χιὼν, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ
B δύναται λευκᾶναι. » Ἐλαμπρύνθη μὲν οὖν τῷ αὐτῷ φωτὶ καὶ τὸ προσκυνητὸν ἐκεῖνο τοῦ Χριστοῦ σῶμα καὶ τὰ ἱμάτια, ἀλλ' οὐκ ἐπίσης· τὸ μὲν γὰρ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος ἔλαμψε, τὰ δὲ ἱμάτια ὡς ἐγγίζοντα τῷ σώματι ἐκείνου φωτεινὰ ἐγένετο, καὶ διὰ τούτων ἔδειξε, τίνες αἱ στολαὶ τῆς δόξης, ἃς ἐνδύσονται κατὰ τὸν μέλλοντα αἰῶνα οἱ ἐγγίζοντες Θεῷ, καὶ τίνα τὰ ἐνδύματα τῆς ἀναμαρτησίας, ἃ διὰ τὴν παράβασιν ὁ Ἀδὰμ ἀπεκδυσάμενος, γυμνὸς ἑωρᾶτο καὶ κατῃσχύνετο.

Λουκᾶς μὲν οὖν ὁ θεῖος, « Ἐγένετο, φησὶ, τὸ εἶδος αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων· » τὰ ἐκεῖ τελούμενα πάντα πρὸς οὐ-
C δὲν παράδειγμα βλέπων. Ὁ δὲ Μάρκος εἰκονίζει μὲν τὰ ἱμάτια, εἰπὼν δὲ, « στίλβοντα λευκὰ λίαν ὡς χιὼν, » ἔδειξε καὶ οὕτως τὰς εἰκόνας καὶ τὰ παραδείγματα πρὸς τὴν θέαν τῶν ἱματίων ἐκείνων ἀπολειπόμενα· ἡ γὰρ χιὼν λευκὴ μέν ἐστιν, ἀλλ' οὐχὶ καὶ στίλβουσα· καὶ γὰρ ἀνώμαλον ἀεὶ τὴν ἐπιφάνειαν ἔχει, οἷον ἐκ λεπτῶν τινων πομφολύγων συγκειμένη πᾶσα διὰ τὴν τοῦ ἐνυπάρχοντος ἀέρος μῖξιν· μήπω γὰρ συστὰν τελέως τὸ νέφος, μηδὲ τὸν ἐναπειλημμένον ἀέρα δυνηθὲν ἐκθλῖψαι, τῷ σφοδρῷ ατοῦ κρύους πήγνυται, καὶ οὕτως ἀεροφόρον καταφέρεται, ἀφρῷ παραπλησίως ἔχον κατὰ τὸ λευκὸν ὁμοῦ τε καὶ ἀνώμαλον. Ὡς οὖν μὴ ἀρκοῦντος τοῦ λευκοῦ τῆς χιόνος εἰς παράστασιν τοῦ τερπνοῦ τῆς θέας ἐκείνης, καὶ τὸ στίλβειν συμπαρελήφθη· προσ-
D έτι καὶ διὰ τούτων τοῦ Εὐαγγελιστοῦ δεικνύντος ὑπερφυὲς τὸ φῶς ἐκεῖνο, δι' οὗ λαμπρά τε καὶ λευκὰ τὰ ἱμάτια γέγονεν ἐκεῖνα· οὐ γὰρ φωτὸς τὰ λαμπόμενα λευκά τε καὶ στίλβοντα ποιεῖν, ἀλλ' ὁποίαν τὴν χροιὰν δεικνύναι· τόδ' ὡς ἔοικεν ἐπεκάλυψε, μᾶλλον δὲ ἠλλοίωσεν αὐτὰ, ὃ φωτὸς οὐκ ἔστιν αἰσθητοῦ. Τὸ δ' ἔτι παραδοξότερον, ὅτι καὶ ἀλλοιῶσαν, ἀναλλοίωτα τηνικαῦτα διετήρησεν αὐτὰ, ὡς μετὰ μικρὸν ἐδείχθη. Ποῦ ταῦτα φωτὸς ἡμῖν γνωρίμου; Διὰ τοῦτο ὁ Εὐαγγελιστὴς οὐ τὴν ὑπερέχουσαν μόνην τοῦ προσώπου Κυρίου λαμπρότητα καὶ καλλονὴν ἐκείνην, ἀλλὰ καὶ τὴν ὡραιότητα τῶν ἱματίων ὑπερφυᾶ δεικνὺς, τῶν μὲν ἐκ φύσεως ὡραίων ὑπερ-

[60] Marc. IX, 2. [61] Gen. III, 7. [62] Luc. IX, 29.

Digitized by Google

ἤγαγε, τῷ λευκῷ τῆς χιόνος τὴν στιλπνότητα συνάψας· ἐπεὶ δὲ καὶ ἡ τέχνη δοκεῖ τινα καλλονὴν προσεφευρίσκειν τῇ φύσει, καὶ τῶν τεχνητῶν ὡραϊσμῶν ἐκείνην τὴν καλλονὴν ὑπερτιθείς, οἷα, φησί, γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι.

A illum atque decorem, sed et vestimentorum eximiam gratiam ostendens ac venustatem, illis subduxit quæ natura decorem habent, ea ratione, qua nivis albedini fulgorem copulavit. Quia vero etiam ars majoris aliquid pulchritudinis naturæ videtur asciscere ac adinvenire, his quoque ex arte fucis pulchritudinem illam anteponens: « Qualia, inquit, fullo super terram non potest alba facere. »

Ἀλλὰ γὰρ ὁ δι' ἡμᾶς σαρκωθεὶς προαιώνιος Λόγος, ἡ ἐνυπόστατος σοφία τοῦ Πατρός, καὶ τὸν λόγον τοῦ εὐαγγελικοῦ κηρύγματος ἐν ἑαυτῷ φέρει πάντως· οὗ καθάπερ ἱματισμὸς τὸ γράμμα ἐστί, λευκὸν μὲν ὂν καὶ σαφές, ἅμα δὲ καὶ στίλβον καὶ λαμπρὸν καὶ οἷον μαργαρῶδες, μᾶλλον δὲ θεοπρεπὲς καὶ ἔνθεον τοῖς ἐν πνεύματι τὰ τοῦ Πνεύματος ὁρῶσι, καὶ διασαφοῦσι τὰς ἐν τῷ γράμματι λέξεις θεοπρεπῶς, καὶ τοιαῦτα δεικνῦσι τὰ ῥήματα τοῦ εὐαγγελικοῦ κηρύγματος, οἷα γναφεὺς ἐπὶ τῆς γῆς, τουτέστι σοφὸς τοῦ αἰῶνος τούτου οὐ δύναται διασαφῆσαι· καὶ τί λέγω διασαφῆσαι; Οὐδὲ γὰρ δύναται γνῶναι διασαφοῦντος ἑτέρου· ψυχικὸς γὰρ ἄνθρωπος, καθά φησιν ὁ Ἀπόστολος, οὐ δέχεται τὰ τοῦ Πνεύματος, οὐδὲ δύναται γνῶναι· διὸ καὶ εἰς αἰσθητὰς παραγνωρίζει τὰς ὑπὲρ νοῦν καὶ θείας καὶ πνευματικὰς ἐλλάμψεις, ἃ μὴ ἑώρακεν ἐμβατεύων, **197** εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ.

Enimvero, quod propter nos carnem assumpsit prææternum Dei Verbum, vere exsistens sapientia Patris, et quod verbum evangelicum in seipso omnino portet, cujus velut vestitus littera est, alba quidem et plana, simulque etiam fulgida ac splendida, velutque margaritis interlucentibus limpida; quin imo majestate plena, augustaque et apposita his, qui in spiritu ea quæ sunt Spiritus [43] videant, ac quæ in littera positæ sunt voces, divi- B ne et ut Deum deceant, graviterque dilucidant. Istiusmodique ostendit evangelicæ prædicationis verba: « Qualia fullo super terram » (nempe sapiens hujus sæculi) non potest dilucidare. Et quid dico dilucidare ac explanare? Ut enim ait Apostolus: « Animalis homo non capit quæ sunt Spiritus, nec potest cognoscere [44]; » quamobrem etiam velut res sensui subjectas, sic quæ mentem superant, divinasque accipiens illustrationes, errore accipit, se illis immiscens quæ non vidit, ac inflatus sensu carnis suæ [45].

Ἀλλ' ὁ Πέτρος ὑπὸ τῆς μακαριωτάτης θέας ἐκείνης καταυγασθεὶς τὴν διάνοιαν, καὶ πρὸς ἔρωτα θεῖον καὶ πόθον ἐπαρθεὶς μείζονα, τοῦ φωτὸς ἐκείνου διαστῆναι μηκέτι θέλων, « Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, » πρὸς τὸν Κύριον ἔλεγε. « Εἰ θέλεις ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν, καὶ Μωσεῖ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει· » οὔπω γὰρ ὁ καιρὸς ἐφειστήκει τῆς ἀποκαταστάσεως· ἀλλὰ καιροῦ ἐπιστάντος, οὐ χειροποιήτων δεησόμεθα σκηνῶν. Ἀλλ' οὐδ' ἐξισοῦν ἔδει τῷ Δεσπότῃ τοὺς δούλους διὰ τῆς τῶν σκηνῶν ὁμοιότητος· ὁ μὲν γὰρ Χριστὸς ὡς Υἱὸς γνήσιος ἐν τοῖς κόλποις τοῦ Πατρός ἐστιν· οἱ δὲ προφῆται καταλλήλως ὡς υἱοὶ γνήσιοι τοῦ Ἀβραὰμ ἐν τοῖς κόλποις Ἀβραὰμ οἰκήσουσιν. Ὡς οὖν ταῦτα ὁ Πέτρος μὴ εἰδὼς ἔλεγεν, « Ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, » διακόπτουσα τοὺς Πέτρου λόγους, καὶ δεικνῦσα τίς ἡ τῷ Χριστῷ πρέπουσα σκηνή.

Verum Petrus beatissima illa visione animo collustratus, inque divinum amorem majusque desiderium elatus, nihil jam amplius ab eo sejungi C lumine sustinens, « Bonum est nos hic esse, » aiebat ad Dominum. Et, « Faciamus hic tria tabernacula, tibi unum, et Mosi unum, et unum Eliæ; nesciens quid diceret [46]. » Nondum enim tempus aderat in integrum restitutionis. Quin nec cum advenerit, opus nobis erit tabernaculis manufactis. At neque servi Domino exæquandi erant, paria iis tabernacula erigendo. Nam Christus quidem, tanquam verus Filius, in Patris sinu exsistit [47]; prophetæ vero, convenienter ut veri Abrahæ filii, in sinu Abrahæ habitabunt [48]. Cum ergo hæc Petrus nesciens loqueretur: « Ecce nubes lucida obumbravit eos [49]; nempe Petri sermones interrumpens, ac quodnam Christum tabernaculum deceat, ostendens.

Ἀλλὰ τίς αὕτη ἡ νεφέλη, καὶ πῶς φωτεινὴ οὖσα, ἐπεσκίασεν αὐτούς; Μὴ αὕτη τὸ ἀπρόσιτόν ἐστι φῶς ἐν ᾧ ὁ Θεὸς κατοικεῖ, καὶ ὃ φῶς ἀναβάλλεται ὡς ἱμάτιον; « Ὁ τιθεὶς γάρ, φησί, νέφη τὴν ἐπίβασιν αὐτοῦ, » καί, « Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. » Καίτοι καθά φησιν ὁ Ἀπόστολος· « Μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· » ὥστε τὸ αὐτὸ καὶ φῶς ἐστιν ἐνταυθοῖ καὶ σκότος, δι' ὑπερέχουσαν φανότητα ἐπισκιάζον. Ἀλλὰ καὶ τὸ τοῖς ἀποστολικοῖς ὀφθαλμοῖς πρότερον ὁρώμενον ἀπρόσιτον ὑπὸ τῶν ἱερῶν θεο-

D Verum quænam hæc nubes et quomodo lucida cum esset, obumbravit eos? Num illa lux est inaccessibilis, in qua Deus habitat et amictus lumine sicut vestimento? « Posuit enim, inquit, in nube ascensum suum [50]. » Et: « Posuit tenebras latibulum suum, in circuitu ejus tabernaculum ejus [51]. » Tametsi, ut loquitur Apostolus, « Solus habet immortalitatem, lucem habitans inaccessibilem [52]. » Quamobrem idem hic loci est lumen et tenebra, ob excellentem luciditatem umbraculum præstans. Sed et quod apostolorum oculis prius lumen conspe-

[43] I Cor. II, 13. [44] ibid. 14. [45] Coloss. II, 18. [46] Luc. IX, 33. [47] Joan. I, 18. [48] Luc. XVI, 22. [49] Matth. XVII, 5. [50] Psal. CIII, 2, 3. [51] Psal. XVII, 2. [52] I Tim. VI, 16.

Digitized by Google

enim est, inaccessum esse sacri theologi testantur. Hodie namque, aiunt, lucis inaccessæ abyssus; hodie divini fulgoris incircumscriptus radius in Thabor monte apostolis splendescit. Magnus quoque Dionysius, cum caliginem lumen inaccessum esse dixisset, in quo Deus inhabitare dicitur: « In hanc, inquit, subit, quisquis Deum scire ac videre meretur. »

Igitur eadem lux erat, quam prius apostoli e vultu Domini videbant emicare, et quæ postea obumbrabat nubes lucida. Sed tunc quidem tenuiori radio videre præbebat; longe vero postea clariore micans jubare, invisibilis eis erat ob excellentem limpiditatem, atque in eum modum divinæ perennisque lucis fontem, Solem justitiæ obumbravit Christum. Nam in ipso hoc cunctorum oculis exposito sole, eadem lux tum videre præstat affuso radio, tum rursus visum adimit, cum quis oculos in eum ipsum intenderit. Solis enim splendor major est quam pro nostrorum luminum temperatione: verum sol quidem sensibilis, uti nactus est, non ut adlubet, lucet, ac ne quibus duntaxat velit; Sol autem veritatis ac justitiæ Christus, qui nedum natura naturalique splendore et claritate, verum etiam convenienti voluntate præditus sit, quibus duntaxat velit, et quantum velit provide ac salubriter suæ lucis radios affundit. Quamobrem arbitratu suo solis in morem apparuit, visusque est apostolorum oculis; idque adeo haud procul minorique distantia; deinde splendidius emicans, ut voluit, ob excellentem claritatem apostolorum oculis invisibilis fuit, qui in nubem lucidam ingressus sit. Sed, « et vox de nube facta est: Hic est Filius dilectus meus, in quo mihi bene complacui; ipsum audite [33]. » In Jordane quidem Domino baptizato, aperti sunt cœli, eademque vox facta est [34]; ex illa plane majestate, quam et postea Stephanus [35], apertis ei cœlis, cum esset plenus Spiritu sancto, intendens oculos vidit; nunc vero ex nube, quæ Jesum obumbravit. Hæc igitur eadem est cum supercœlesti majestate Dei. Qua ergo ratione erit lumen sensibile, quod est supercœleste? Docebat autem paterna e nube vox juncta illa, quæ ante Domini Deique nostri ac Salvatoris Jesu Christi adventum exstiterunt, sacrificia, legislationes, adoptiones, imperfecta fuisse, nec unquam ex primaria Dei voluntate exstitisse ac peracta esse; sed indulgentius concessa, ob futurum hunc Domini adventum ac apparitionem. Hic vero est, in quo, ut in Filio charissimo, Pater perfecte adlubet et requiescit, sibique placet. Quamobrem etiam eum audire, atque ei obsequi jubet. Unde etsi dicat: « Intrate per angustam portam, quia lata et spatiosa est, quæ ducit ad perditionem; angusta vero et arcta via est, quæ ducit ad vitam [36], » ipsum audite; etsi dixerit, lumen istud esse re-

λόγων εἶναι μαρτυρεῖται· Σήμερον γάρ, φησί, φωτὸς ἀπροσίτου ἄβυσσος· σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται. Καὶ ὁ μέγας Διονύσιος γνόφον εἰπὼν εἶναι τὸ ἀπρόσιτον φῶς, ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται, ἐν τούτῳ, φησί, γίνεται πᾶς ὁ Θεὸν γνῶναι καὶ ἰδεῖν ἀξιούμενος.

Οὐκοῦν τὸ αὐτὸ φῶς ἦν, ὅ τε πρότερον ἀπὸ τοῦ προσώπου τοῦ Κυρίου λάμπον ἑώρων οἱ ἀπόστολοι, καὶ ἡ ἐπισκιάσασα φωτεινὴ νεφέλη μετὰ ταῦτα. Ἀλλὰ τότε μὲν ἀμυδρότερον ἐπιλάμπον παρεῖχε τὸ ὁρᾷν· ἐκφανὲν δὲ πολλῷ πλέον ὕστερον, ἀόρατον αὐτοῖς ὑπῆρχε δι' ὑπερέχουσαν φανότητα, καὶ οὕτω τὴν τοῦ θείου καὶ ἀεννάου φωτὸς πηγήν, τὸν ἥλιον τῆς δικαιοσύνης ἐπεσκίασε Χριστόν. Ἐπεὶ κἀν τῷ αἰσθητῷ ἡλίῳ τὸ αὐτὸ φῶς καὶ τὸ ὁρᾷν παρέχει διὰ τῆς ἀκτῖνος, καὶ ἀφαιρεῖται πάλιν τὸ ὁρᾷν, ὅταν πρὸς αὐτὸν ἐκεῖνον ἴδῃ τις· ὑπὲρ γὰρ τὴν συμμετρίαν τῶν ἡμετέρων ὀφθαλμῶν ἐστιν ἡ κατ' αὐτὸν λαμπρότης. Ἀλλ' ὁ μὲν αἰσθητὸς ἥλιος, ὡς πέφυκεν, ἀλλ' οὐχ ὡς θέλει φαίνεται, οὐδ' οἷς ἂν ἐθέλῃ μόνοις· ὁ δὲ τῆς ἀληθείας καὶ τῆς δικαιοσύνης ἥλιος Χριστός, οὐ φύσιν μόνον ἔχων καὶ φυσικὴν λαμπρότητα καὶ δόξαν, ἀλλὰ καὶ θέλησιν κατάλληλον, οἷς ἂν ἐθέλῃ μόνοις, καὶ ἐφ' ὅσον θέλῃ, προμηθῶς καὶ σωτηρίως ἐπιλάμπει. Διὰ τοῦτο θελήσας ὡς ἥλιος ἐπέφανε, καὶ ἑωρᾶτο τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς, καὶ ταῦτα οὐκ ἐκ πολλοῦ τοῦ διαστήματος· εἶτα τηλαυγέστερος λάμψας ὡς ἠθέλησε, δι' ὑπερέχουσαν φανότητα, τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς ἀόρατος ὑπῆρχεν, ὥσπερ εἰς φωτεινὴν νεφέλην εἰσελθών. Ἀλλὰ καὶ φωνὴ ἐκ τῆς νεφέλης γέγονεν· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. » Ἐν μὲν οὖν τῷ Ἰορδάνῃ τοῦ Κυρίου βαπτισθέντος, ἀνεῴχθησαν οἱ οὐρανοί, καὶ ἡ αὐτὴ γέγονε φωνὴ ἐκ τῆς δόξης πάντως ἐκείνης, ἣν καὶ ὁ Στέφανος ὕστερον ἀνεῳγμένων αὐτῷ τῶν **198** οὐρανῶν, πλήρης Πνεύματος ἁγίου γεγονώς, ἀτενίσας εἶδε· νῦν δὲ ἐκ τῆς νεφέλης, ἥτις ἐπεσκίασε τὸν Ἰησοῦν. Οὐκοῦν ἡ αὐτή ἐστιν αὕτη τῇ ὑπερουρανίῳ δόξῃ τοῦ Θεοῦ. Πῶς οὖν ἔσται αἰσθητὸν φῶς τὸ ὑπερουράνιον; Ἐδίδαξε δὲ ἡ ἐκ τῆς νεφέλης τοῦ Πατρὸς φωνή, ὅτι πάντα ἐκεῖνα τὰ πρὸ τῆς ἐπιδημίας τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, αἱ θυσίαι, αἱ νομοθεσίαι, αἱ υἱοθεσίαι, ἀτελῆ τε ἦν, καὶ οὐ κατὰ προηγούμενον θέλημα τοῦ Θεοῦ ἐγένοντό τε καὶ ἐτελέσθησαν· ἀλλὰ διὰ τὴν μέλλουσαν ταύτην τοῦ Κυρίου παρουσίαν καὶ ἐπιφάνειαν συνεχωρεῖτο. Οὗτος δέ ἐστιν, ἐν ᾧ ὡς Υἱῷ ἀγαπητῷ εὐδοκεῖ καὶ ἐπαναπαύεται καὶ ἀρέσκεται τελέως ὁ Πατήρ· διὸ καὶ αὐτοῦ ἀκούειν, καὶ αὐτῷ πειθαρχεῖν διακελεύεται. Κἂν λέγῃ, Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἐστὶ καὶ εὐρύχωρος ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, στενὴ δὲ καὶ τεθλιμμένη ἐστὶν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν

[33] Luc. IX, 35; Matth. XVII, 5. [34] Luc. III 22; Matth. III, 17. [35] Act. VII, 55. [36] Matth.

ζωήν, αὐτοῦ ἀκούετε· κἂν λέγῃ, τὸ φῶς τοῦτο βασιλείαν εἶναι τοῦ Θεοῦ, αὐτοῦ ἀκούετε, καὶ αὐτῷ πιστεύετε, καὶ τοιούτου φωτὸς ἀξίους ἑαυτοὺς ποιεῖτε.

Ἀλλὰ τῆς φωτεινῆς νεφέλης ἐκφανείσης, καὶ πατρικῆς φωνῆς ἐκ τῆς νεφέλης ἠχησάσης, Ἔπεσον, φησὶν, ἐπὶ πρόσωπον οἱ μαθηταὶ, οὐ διὰ τὴν φωνὴν, ἐπεὶ καὶ ἄλλοτε πολλάκις αὕτη γέγονεν, οὐχ ἐπὶ τὸν Ἰορδάνην μόνον, ἀλλὰ καὶ τοῦ σωτηρίου πάθους προσάγοντος ἐν Ἱεροσολύμοις· τοῦ Κυρίου γὰρ εἰπόντος, « Πάτερ, δόξασόν σου τὸ ὄνομα· » ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· « Καὶ ἐδόξασα καὶ πάλιν δοξάσω· » καὶ πᾶς μὲν ὁ ὄχλος ἤκουσεν, οὐδεὶς δὲ τούτων ἔπεσεν. Ἐνταῦθα δὲ οὐ φωνὴ μόνον, ἀλλὰ καὶ φῶς ἀχώρητον ἐξεφάνη μετὰ τῆς φωνῆς. B Τούτου χάριν εἰκότως οὐ διὰ τὴν φωνὴν, ἀλλὰ διὰ τὸ τοῦ φωτὸς ἐξηλλαγμένον καὶ ὑπερφυὲς πεσεῖν ἐπὶ πρόσωπον τοὺς μαθητὰς ἐπέγνωσαν οἱ θεοφόροι· καὶ πρὶν γὰρ ἐνεχθῆναι τὴν φωνὴν ἔμφοβοι ἦσαν, ὡς ὁ Μάρκος φησὶν, ἀπὸ τῆς θεοφανείας ἐκείνης πάντως.

Ἀλλ᾽ ὅταν διὰ τῶν τοιούτων πάντων θεῖον καὶ ὑπερφυὲς καὶ ἄκτιστον ἀναφανῇ τὸ φῶς ἐκεῖνο, τί πάσχουσι πάλιν οἱ τῆς ἔξω καὶ ψυχικῆς παιδείας ὑπὲρ τὸ δέον ἐπειλημμένοι, καὶ μὴ δυνάμενοι γνῶναι τὰ τοῦ Πνεύματος; Ἐφ᾽ ἕτερον καταφέρονται κρημνόν· οὐ γὰρ δόξαν θείαν, οὐ Θεοῦ βασιλείαν, οὐ κάλλος, οὐ χάριν, οὐ λαμπρότητα, καθάπερ παρὰ Θεοῦ καὶ τῶν θεολόγων ἐδιδάχθημεν, αὐτό φασιν, ἀλλὰ τὴν οὐσίαν εἶναι διαβεβαιοῦνται τοῦτο τοῦ C Θεοῦ, ὃ πρότερον αἰσθητὸν ἔλεγον εἶναι καὶ κτιστόν. Ὁ δὲ Κύριος ἐν τοῖς Εὐαγγελίοις οὐχ ἑαυτοῦ καὶ τοῦ Πατρὸς μόνου κοινὴν εἶναί φησι τὴν δόξαν ταύτην, ἀλλὰ καὶ τῶν ἁγίων ἀγγέλων, ὡς ὁ θεῖος συγγράφεται Λουκᾶς· « Ὃς γὰρ ἂν, φησὶν, ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. » Οἱ τοίνυν οὐσίαν εἶναι τὴν δόξαν ταύτην διατεινόμενοι τὴν αὐτὴν εἶναι φήσουσιν οὐσίαν τοῦ τε Θεοῦ καὶ τῶν ἀγγέλων, ὅπερ ἐσχάτης ἀσεβείας ἐστίν! Οὐχ οἱ ἄγγελοι δὴ μόνον, ἀλλὰ καὶ οἱ ἐν ἀνθρώποις ἅγιοι ταύτης μετέχουσι τῆς δόξης καὶ τῆς βασιλείας· ἀλλ᾽ ὁ μὲν Πατὴρ καὶ ὁ Υἱὸς μετὰ τοῦ θείου D Πνεύματος φύσει τὴν δόξαν ταύτην καὶ τὴν βασιλείαν ἔχουσιν, οἱ δὲ ἅγιοι ἄγγελοί τε καὶ ἄνθρωποι χάριτι ταύτης εὐμοιροῦσιν, ἐκεῖθεν δεχόμενοι τὴν ἔλλαμψιν. Καὶ ὁ Μωϋσῆς δὲ καὶ ὁ Ἠλίας ἐν αὐτῇ τῇ δόξῃ σὺν αὐτῷ ὀφθέντες, τοῦτο **199** παρέστησαν ἡμῖν. Ὁ δὲ Μωϋσῆς οὐ νῦν μόνον ἐπὶ τοῦ Θαβωρίου κοινωνὸς ὢν τῆς θείας δόξης ἀνεφάνη, ἀλλὰ καὶ ἡνίκα τὸ πρόσωπον οὕτως ἐδοξάσθη, ὡς μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίζειν πρὸς αὐτό. Καὶ τοῦτο παρίστησιν ὁ λέγων, ὅτι τὴν ἀθάνατον τοῦ Πατρὸς δόξαν ἐν τῷ θνητῷ ὁ Μωϋσῆς ὑπεδέξατο προσώπῳ· καὶ ὁ πρὸς τὸν Εὐνόμιον ἀμετάδοτον εἰπόντα πρὸς τὸν Υἱὸν εἶναι τὴν δόξαν τοῦ

A gnum Dei [87]; ipsum audite, ac illi fidem accommodate, talisque lucis vos ipsos dignos præstate.

Verum lucida nube emicante, paternaque voce e nube insonente, « Ceciderunt, inquit, discipuli in faciem suam [88-89]. » Non propter vocem, cum hæc alias quoque sæpe facta sit, non solum in Jordane, sed et salutari passione admovente Hierosolymis. Domino enim dicente : « Pater, clarifica nomen tuum, » vox de cœlis facta est : « Et clarificavi, et iterum clarificabo [90]. » Ac quidem omnis turba vocem audivit, et tamen nemo eorum cecidit. Hic vero non solum vox, sed et lumen incomprehensum cum voce emicuit. Idcirco merito non propter vocem, sed propter lucis excellentiam ac eximiam claritatem cecidisse in faciem discipulos viri divini agnoverunt. Nam et priusquam vox ederetur « timore exterriti erant, » ut ait Marcus [91], plane a divina illa apparitione.

Verum cum hisce omnibus divinum eximiumque ac increatum lumen illud proditum sit, quonam se rursus vertunt, quidve comminiscuntur, qui plus æquo profanæ et animali addicti disciplinæ, quæ sunt Spiritus intelligere non possunt? Nempe in aliud se prone præcipitium demittunt. Non enim divinam claritatem ac majestatem, non Dei regnum, non decorem, non gratiam, non splendorem, quemadmodum a Deo et a theologis didicimus, esse dicunt; sed Dei illud essentiam statuunt, quod prius rem sensum moventem et creatam dicebant. Deus autem in Evangeliis nedum sui ipsius et Patris communem esse majestatem ait et claritatem, verum etiam sanctorum angelorum, ut beatus Lucas conscripsit : « Qui me enim, inquit, erubuerit et meos sermones in generatione hac, hunc Filius hominis erubescet, cum venerit in majestate sua, et Patris, et sanctorum angelorum [92]. » Qui itaque hanc majestatem ipsam Dei essentiam esse affirmant, eamdem tum Dei tum angelorum essentiam dicturi sunt, quod extremæ impietatis est. Nec solum angeli, sed et qui inter homines sancti sunt, ejus claritatis ac regni exsistunt participes. Verum Pater quidem et Filius cum sancto Spiritu eam a natura majestatem et regnum habent; sancti vero angeli pariter et homines per gratiam illius exsistunt participes, qui divinam inde illustrationem recipiant. Quin et Moyses quoque et Elias, in eadem ac ille visi majestate, id nobis manifestarunt [93]; Moyses autem non solum nunc in Thaborio divinæ consors claritatis effulsit, sed et quando vultus ejus clarificatus est, ita ut non possent filii Israel intentis oculis in eum aspicere [94]. Atque id confirmat, qui ait : « Immortalem Spiritus claritatem in mortali Moyses suscepit facie. » Is quoque qui adversus Eunomium, negantem Omnipotentis ma-

[87] Matth. XVI, 28. [88-89] Matth. XVII, 6. [90] Joan. XII, 28. [91] Marc. IX, 5. [92] Luc. IX, 26. [93] ibid. 31. [94] Exod. XXXIV, 29.

jestatem cum Filio esse communicabilem, respondit: « Nec si de Mose sermo esset, vel sic quidem ejusmodi doctrinam admitterem. »

Communis igitur unaque majestas est et regnum et splendor seu claritas, tum Dei, tum sanctorum ejus. Propterea etiam psallit psalmodus Propheta: « Et splendor Dei nostri super nos [65]; » communem vero unamque Dei sanctorumque substantiam seu essentiam nemo hactenus ausus est dicere. Ac quidem Verbi deitatis et carnis in monte divinus splendor modo ostensus est: communem vero deitatis essentiam et carnis ut dicant, Eutychis est et Dioscori, at non eorum qui pie sentire ac loqui velint. Atque hanc quidem majestatem et claritatem videbunt omnes, cum Dominus ab Oriente ad Occidentem lucens parebit [66]; quin et nunc quoque viderunt qui una cum Jesu montem ascenderunt; nemo vero stetit in subsistentia et essentia Dei, Deique naturam aut vidit, aut enarravit. Ac quidem divinum istud lumen mensura datur, magisque ac minus recipit, pro eo ac digni sunt qui suscipiunt indivise divisum. Atque in promptu probatio est; vultus enim Domini supra solem resplenduit; vestimenta vero splendida facta sunt et alba sicut nix. Quin et Moses et Elias in eadem visi sunt majestate. Nemo tamen horum tunc temporis solis in morem resplenduit. Sed et ipsi discipuli istud lumen partim viderunt, partim in ipsum intendere oculos nequiverunt. In hunc itaque modum mensuratur ac indivise dividitur, magisque ac minus recipit lumen illud; ac quidem partim modo, partim postea cognoscitur. Unde et divus Paulus, « Nunc, inquit, ex parte cognoscimus, et ex parte prophetamus [67]. » Indivisa vero omnino et incomprehensibilis Dei essentia; nec ulla substantiarum est, quæ magis minusque recipiat. Præterea etiam devotorum Messalianorum est, ut a suis qui digni sint, existiment divinam videri essentiam. Nos vero qui tum veteres, tum hujus nunc ævi hæreticos vitemus, regnum et majestatem et splendorem, lumenque arcanum, et divinam gratiam, non essentiam videre sanctos credentes, ejusque consortes esse, ad lucis gratiæ illustrationem procedamus; ut agnoscamus ac veneremur trinæ lucis deitatem singularem, nulla vi verborum explicabilem radium jubarque effulgentem, ex natura una trine subsistente; mentisque oculum ad Verbum, quod nunc super cœlestes axes cum corpore collocatum est, intendamus, quod nimirum a dextris majestatis divinæ sedens, velut ex edito hanc ad nos vocem mittit: « Si quis vult huic claritati astare, quoad licet imitetur, et incedat, quam in terra viam tenui, ac quam ostendi disciplinam. » Aspiciamus itaque animi oculis magnum illud spectaculum; naturam nostram æterno fœdere cum deitatis, qui sine materia est, igne versantem; pelliceasque tunicas, quas ex transgressione induimus (terrenas scilicet car-

παντοκράτορος ἀντιφθεγξάμενος, ὡς Εἰ καὶ περὶ τοῦ Μωϋσέως ὁ λόγος ἦν, οὐδ' οὕτω ἤνεγκα ἂν τὸν τοιοῦτον λόγον.

Κοινὴ μὲν οὖν καὶ μία ἡ δόξα καὶ ἡ βασιλεία καὶ ἡ λαμπρότης αὕτη τοῦ τε Θεοῦ καὶ τῶν αὐτοῦ ἁγίων· διὸ καὶ, « Ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, » ὁ ψαλμῳδὸς Προφήτης ψάλλει· κοινὴν δὲ καὶ μίαν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ καὶ τῶν ἁγίων οὐδεὶς πω μέχρι καὶ νῦν ἐτόλμησεν εἰπεῖν. Καὶ κοινὴ μὲν τῆς τοῦ Λόγου θεότητος καὶ τῆς σαρκὸς ἐπὶ τοῦ ὄρους ἡ θεία λαμπρότης ἀρτίως ἀνεφάνη, κοινὴν δὲ εἶναι τὴν οὐσίαν τῆς θεότητος καὶ τῆς σαρκὸς Εὐτυχοῦς ἐστι καὶ Διοσκόρου λέγειν, ἀλλ' οὐ τῶν ἐθελόντων εὐσεβεῖν. Καὶ τὴν μὲν δόξαν ταύτην καὶ λαμπρότητα πάντες ὄψονται, ἡνίκα ὁ Κύριος ἀπὸ ἀνατολῶν ἕως δυσμῶν φανεῖται λάμπων· ἑωράκασι δὲ καὶ νῦν οἱ τῷ Ἰησοῦ συναναβάντες· οὐδεὶς δὲ ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Θεοῦ, καὶ Θεοῦ φύσιν εἶδεν ἢ ἐξηγόρευσε. Καὶ τὸ μὲν θεῖον τοῦτο φῶς μέτρῳ δίδοται, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται, κατὰ τὴν ἀξίαν τῶν ὑποδεχομένων ἀμερίστως μεριζόμενον, καὶ ἡ παράστασις ἐγγύς· τὸ μὲν γὰρ πρόσωπον τοῦ Κυρίου ὑπὲρ ἥλιον ἔλαμψε, τὰ δὲ ἱμάτια λαμπρὰ γέγονε καὶ λευκὰ ὡσεὶ χιών. Καὶ Μωσῆς δὲ καὶ Ἠλίας ἐν τῇ αὐτῇ ὤφθησαν δόξῃ, ἀλλ' οὐδεὶς αὐτῶν τηνικαῦτα ὡς ἥλιος ἤστραπτε· καὶ αὐτοὶ δὲ οἱ μαθηταὶ τὸ μὲν εἶδον τοῦ φωτὸς ἐκείνου, τῷ δὲ ἀτενίζειν οὐχ ἠδυνήθησαν. Μετρεῖται μὲν οὖν οὕτω καὶ μερίζεται ἀμερίστως, καὶ τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεται τὸ φῶς ἐκεῖνο· καὶ τὸ μὲν αὐτοῦ νῦν, τὸ δ' ὕστερον γνωρίζεται· διὸ καὶ Παῦλος ὁ θεῖος, « Νῦν, φησὶν, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. » Ἀμερὴς δέ ἐστι παντάπασι καὶ ἄληπτος ἡ τοῦ Θεοῦ οὐσία, καὶ τὸ μᾶλλον καὶ ἧττον οὐδεμία τῶν οὐσιῶν ἐπιδέχεται· ἄλλως τε καὶ τῶν καταράτων Μεσσαλιανῶν ἐστιν ὁρᾶσθαι οἴεσθαι τὴν οὐσίαν τοῦ Θεοῦ τοῖς κατ' αὐτοὺς ἀξίοις. Ἡμεῖς δὲ καὶ τοὺς πάλαι καὶ τοὺς νῦν κακοδόξους ἐκτρεπόμενοι, βασιλείαν καὶ δόξαν καὶ λαμπρότητα, καὶ φῶς ἀπόῤῥητον καὶ χάριν θείαν, ἀλλ' οὐ τὴν τοῦ Θεοῦ οὐσίαν ὁρᾷν καὶ κοινωνεῖν τοὺς ἁγίους πιστεύοντες ὡς ἐδιδάχθημεν, ὁδεύσωμεν πρὸς τὴν λάμψιν τοῦ φωτὸς τῆς χάριτος, ἵν' ἐπιγνῶμέν τε καὶ σεφθῶμεν τρισσοφαῆ θεότητα, ἑνιαίαν ἐκλάμπουσαν, ἀπόῤῥητον αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως· καὶ τὸ ὄμμα τῆς διανοίας ἀνατείνωμεν πρὸς τὸν μετὰ σώματος νῦν ὑπὲρ τὰς οὐρανίους ἁψῖδας ἱδρυμένον Λόγον· ὃς ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθήμενος θεοπρεπῶς, οἷον ἐξ ἀπόπτου φωνὴν ταύτην πρὸς ἡμᾶς ἀφίησιν· Εἴ τις ἐθέλει παραστῆναι τῇ δόξῃ ταύτῃ, μιμείσθω κατὰ τὸ ἐγχωροῦν, καὶ ὁδευέτω τὴν ἐμὴν ἐπὶ γῆς ἣν ὁδὸν καὶ πολιτείαν ὑπέδειξα. Θεώμεθα τοιγαροῦν τοῖς ἔνδον ὀφθαλμοῖς τὸ μέγα θέαμα τοῦτο, τὴν ἡμετέραν φύσιν, ἀΰλῳ συνδιαιωνίζουσαν θεότητος πυρί· καὶ τοὺς δερματίνους χιτῶνας, οὓς ἐκ παραβάσεως ἐνδεδύμεθα, τὰ γεώδη καὶ σαρκικὰ φρονήματα ἀπο-

[65] Psal. LXXXIX, 17. [66] Jerem. XXIII, 18. [67] I Cor. XIII, 9.

Digitized by Google

θέμενοι, στῶμεν ἐν γῇ ἁγίᾳ, τὴν καθ' ἑαυτὸν ἕκαστος γῆν ἁγίαν δι' ἀρετῆς καὶ τῆς πρὸς Θεὸν ἀνατάσεως **200** ἀποδείξαντες· ὡς ἂν παῤῥησίαν σχῶμεν ἐπιδημοῦντος ἐν φωτὶ τοῦ Θεοῦ, καὶ φωτισθῶμεν προσδραμόντες, καὶ συνδιαιωνίσωμεν φωτιζόμενοι εἰς δόξαν τῆς τρισηλίου καὶ μοναρχικωτάτης φαιδρότητος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ Λϛ'.

*Εἰς τὸ τῆς δεκάτης πρώτης Κυριακῆς Εὐαγγέλιον τοῦ εὐαγγελιστοῦ Ματθαίου, ὑπόθεσιν ἔχον τὴν παραβολὴν τὴν λέγουσαν· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον·» ἐν ᾗ καὶ περὶ ἀνεξικακίας καὶ συμπαθείας.*

Ὁ Θεὸς αὐτεξούσιον πλάττων τὸν ἄνθρωπον μεγάλης αὐτὸν προμηθείας ἠξίωσεν, ὥστε μὴ πρὸς τὸ κακὸν, ἀλλὰ πρὸς τὸ ἀγαθὸν νεῦσαι, τῷ αὐτεξουσίῳ καλῶς χρησάμενον. Εὐθὺς οὖν αὐτὸν ποιῶν, κατ' εἰκόνα τοῦτον ἑαυτοῦ ποιεῖ καὶ ὁμοίωσιν, ὡς ἂν αὐτός τε πρὸς τὸ ἀρχέτυπον ἀγαθὸν βλέπων, μὴ ἐκπίπτῃ τῆς ἀγαθότητος, καὶ ὁ Θεὸς πάλιν πρὸς αὐτὸν, ὡς πρὸς οἰκείαν εἰκόνα μᾶλλον, ἢ πρὸς τὰ παρ' αὐτοῦ πάντα γεγονότα, πλουσίαν δικαίως τὴν οἰκείαν χρηστότητα κἂν τοῖς ἑξῆς ἐπιδείξηται. Κἀντεῦθεν πάλιν ἐκ περιουσίας ἕλκει τοῦτον διὰ μιμήσεως πρὸς τὴν σύμμετρον αὐτῷ καὶ κατάλληλον ἀγαθότητα· καὶ γὰρ ἀγαθὸν εἶναι καὶ τὸν ἄνθρωπον δυνατὸν κατ' εἰκόνα τοῦ κτίσαντος ἐκ τῆς πρὸς τοῦτον μιμήσεως· ἀπαραλλάκτως δὲ καὶ ὅσον ἀγαθός ἐστιν ὁ Θεὸς, καὶ ἄνθρωπόν τινα εἶναι, τῶν ἀδυνάτων ἐστίν. Σκοπεῖτε δὴ τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν εἰς ἡμᾶς τοῦ Θεοῦ χαρισμάτων, καὶ οἷον ἑαυτὸν ἡμῖν παρέχει προτιθεὶς εἰς εὐποιίας ὑπόδειγμα. Καὶ παρήσω νῦν τὰς ἐμφύτους ἡμῖν ἃς ἔδωκεν ἔχειν εὐεργεσίας, πρὸς ἃς μόνας ἀπιδὼν ὁ Δαβὶδ, πρὸς αὐτὸν ἔλεγεν· «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν·» ἀλλὰ τὰ ἔξωθεν καὶ περὶ ἡμᾶς νῦν καὶ ταῦτα συντεμὼν ἐρῶ· τὰ γὰρ ὁρατὰ πάντα καὶ τὰ ἀόρατα διὰ τὸν ἄνθρωπον ἀπειργάσατο· οὐ γὰρ οὐρανὸν καὶ γῆν καὶ ὕδωρ, καὶ ἀέρα καὶ πῦρ καὶ τὰ ἐν τούτοις ἅπαντα, ζώων ἢ φυτῶν παντοδαπὰς ἰδέας, ἃς οὐδὲ ἀπαριθμήσασθαι κατὰ μέρος ἡμῖν ἐξέσται, ἀλλὰ καὶ αὐτὰ τῶν ἀγγέλων τὰ πολυειδῆ καὶ πολυάριθμα πλήθη διὰ τὸν ἄνθρωπον ἀπειργάσατο, τοὺς μὲν κοσμαγωγοὺς τάξας καὶ ἐξάρχοντας τῶν ἐθνῶν, καθάπερ οἱ τοῦ Θεοῦ προφῆται παρ' αὐτοῦ μαθόντες ἡμᾶς διδάσκουσι, τοὺς δὲ διακόνους ὑπὲρ τῶν μελλόντων κληρονομεῖν τὴν αἰώνιον σωτηρίαν, ὡς ὁ μέγας Παῦλος καὶ αὐτὸς παρὰ Θεοῦ μαθὼν ἡμῖν ἀπεκάλυψε. Καὶ τί λέγω τὰ γεγονότα ὑπ' αὐτοῦ πάντα; καὶ αὐτὸς γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν ἐποίησεν ἄνθρωπον. Καὶ τίς ἂν ἐξείποι λόγος τοὺς ὑπὲρ ἡμῶν οὓς **201** ἐλάλησε δι' ἑαυτοῦ λόγους, τὴν πολιτείαν, τὰς ἀρετὰς, ἃς ἡμῖν ὑπέδειξε δι' ἑαυτοῦ, τῶν θαυμάτων τὸ μέγεθος, ἅπερ ὑπὲρ ἡμῶν πεποίηκε δι' ἑαυτοῦ;

A nalesque cogitationes affectusque) ponentes, stemus in terra sancta, suam quisque terram sanctam virtutis cultu sublimique contemplationis conatu exhibentes; quo fiduciam habeamus, in Dei luce versantes, ac accurrentes illuminemur, perennesque illuminati gratias agamus, in laudem ac gloriam trini singularissimique splendoris, nunc et semper, et in sæcula sæculorum. Amen.

## HOMILIA XXXVI.

*In Evangelium undecimæ Dominicæ Matthæi evangelistæ, materiam habens parabolam dicentem: «Simile est regnum cælorum homini regi qui voluit rationem ponere [64]; » in qua insuper de patientia et misericordia.*

B Deus hominem faciens liberum, magna eum dignavit providentia, ita ut, si bene utatur libertate, non ad malum sed ad bonum propendeat. Igitur simul ac eum creavit, fecit ad suam imaginem et similitudinem, ut ad bonum archetypum spectans, a bonitate nequaquam excideret, et Deus iterum erga eum, utpote suam magis imaginem, quam erga alia ab eo facta, jure suam abundantem postea manifestaret clementiam. Inde rursus illum per imitationem trahit ad bonitatem accommodatam ipsi et consentaneam; homo enim potest bonus esse ad imaginem sui creatoris eum imitando; sed cum Deus longe multumque sit bonus, hominem parem habere bonitatem omnino est impossibile. Cernitis C multitudinem et magnitudinem Dei ad nos charismatum, et quomodo in exemplum bonorum operum nobis semetipsum proposuit. Nunc omittam naturalia quæ nobis dedit beneficia, quæ sola David conspiciens dixit ei: «Mirabilis facta est scientia tua ex me, confortata est, et non potero ad eam [65]; » sed quæ exterius et circa nos facta sunt summatim loquar. Nam visibilia omnia et invisibilia propter hominem condidit, non solum cœlum, terram, aquas, aerem, ignem et quæ continent, necnon omnes animalium plantarumve species quas sigillatim enumerare non possumus, sed et ipsam multiformem et numerosam angelorum multitudinem, alios quidem mundi rectores gentiumque principes constituens, prout nos docent Dei prophe- D tæ ab eo edocti, alios vero administratorios propter eos qui æternæ salutis capiunt hæreditatem [66]. Et quid dico omnia ab eo facta? nam et ipse pro nobis se hominem fecit. Et quæ lingua posset dicere quæ pro nobis ore suo fecit verba, conversationem, virtutes quas nobis per semetipsum manifestavit, miraculorum magnitudinem quæ pro nobis per semetipsum fecit? Sed, o omnium et ultimum miraculorum miraculum! semetipsum dedit in mortem pro nobis, et resurrexit, et pro nobis ascendit semper vivens ut Deus, in cœlis morans, seu magis ubique et super omnia, permanens ante sæcula et in sæcula et nunc.

[64] Matth. xviii, 23. [65] Psal. cxxxviii, 6. [66] Hebr. i, 14.

Ἀλλ' ὢ τοῦ πάντων ἐπέκεινα θαυμάτων θαύματος! καὶ ἑαυτὸν ἔδωκεν εἰς θάνατον ὑπὲρ ἡμῶν, καὶ ἀνέστη, καὶ ὑπὲρ ἡμῶν ἀνελήφθη ὁ ἀεὶ ζῶν ὡς Θεὸς, καὶ ἐν οὐρανῷ ὢν, μᾶλλον δὲ ὢν πανταχοῦ καὶ ὑπὲρ τὸ πᾶν, διαμένων πρὸ αἰώνων καὶ ἐπ' αἰῶνας καὶ ἔτι.

A Plena quidem pietate omnia quæ pro nobis fecit; nam quid aliud eum movit ad tot et tanta beneficia nisi clementia, amor et pietas? Sed duplex ostenditur hæc pietas: alia quidem qua antequam in eum peccaremus, misertus donis eximiis adimplevit quod naturæ nostræ deerat; alia vero qua postquam in eum peccavissemus misericors et longanimis permansit, insuper ex magna commiseratione dona auxit semper in melius et multiplicavit, non modo non retribuendo mala pro malis, sed neque simpliciter bona pro malis reddendo, at bonorum optima, quibus nihil majus vel melius; nam deinde semetipsum pro nobis dedit, qui bonorum est primum et maximum et summum, potius etiam solum bonum nulli comparandum. Igitur cum sit duplex B misericordiæ bonum, aliud quidem quo indigentes tecto, domo, esca vel alio in necessariis auxilio bonorum suorum facit participes, aliud autem longanimitas et patientia et commiseratio erga offendentes; Dei Filius pro nobis factus homo, doctorque noster esse dignatus, ad illam pietatis formam nos inducens qua superflua nostra aliis dividimus: « Da omni, inquit, qui petit a te, et volenti mutuari a te ne avertaris [71]. » Et: « Thesaurizate vobis thesauros in cœlo, ubi neque ærugo neque tinea demolitur, et ubi fures non effodiunt nec furantur [72]. » Et alibi rursus: « Quod superest date eleemosynam, et ecce omnia munda sunt vobis [73]. » Nec tantum per hæc verba, sed etiam per parabolam ad nostra communicanda convertit, futurum C illum valdeque horribilem adventum quasi sub oculis nobis producit, et semetipsum proponit ut regem in throno gloriæ sedentem. Eos quidem qui sua communicaverunt a dextris collocat tanquam bonorum operum operatores, alios vero non tales a sinistris quos ex eo quod non communicaverunt verbis increpans quasi erga eum, dum inopes non sublevarent, inhumanitatem exhibuerint, maledictos esse asserit, et in ignem æternum mittit qui paratus est diabolo et angelis ejus; eos autem qui pauperibus auxiliati fuerint palam laudans sibique factam ostendens eleemosynam indigentibus erogatam, Patris sui benedictos esse testatur, hæredesque facit regni sui a constitutione mundi præparati. Hæc quidem dixit Dominus in Evangeliis, ad D priorem eleemosynæ speciem quæ est suorum cum pauperibus communicatio, hortans nos et convertens.

Ἐλέους μὲν οὖν ἅπαντα τὰ πρὸς ἡμᾶς παρ' αὐτοῦ γεγονότα· τί γὰρ ἕτερον τὸ κινῆσαν πρὸς τοσαύτας καὶ τηλικαύτας εὐεργεσίας ἢ φιλανθρωπία καὶ ἀγάπη καὶ ἔλεος; Ἀλλὰ διπλοῦν ἐμφαίνεται τουτὶ τὸ ἔλεος· πρὸ μὲν γὰρ τοῦ ἁμαρτεῖν ἡμᾶς εἰς αὐτὸν, ἐλεῶν ἀνεπλήρου διὰ πλείστων εὐεργεσιῶν τὴν τῆς φύσεως ἡμῶν ἔλλειψιν· μετὰ δὲ τὸ ἁμαρτεῖν ἡμᾶς εἰς αὐτὸν, ἐλεῶν διέμενε μακροθυμῶν, καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὑπὸ πολλῆς συμπαθείας καὶ τὰς δωρεὰς αὔξων ἐπὶ τὸ κρεῖττον ἀεὶ, καὶ εἰς ἐπίδοσιν ἄγων, μὴ μόνον οὐκ ἀποδιδοὺς κακὰ ἀντὶ κακῶν, ἀλλ' οὐδ' ἁπλῶς ἀγαθὰ παρέχων ἀντὶ κακῶν, ἀλλὰ τὰ τῶν καλῶν κάλλιστα, καὶ ὧν οὐδὲν ἢ μεῖζον ἢ κάλλιον· ὕστερον γὰρ ἑαυτὸν ἔδωκεν ὑπὲρ ἡμῶν, ὅς ἐστι τῶν ἀγαθῶν τὸ πρῶτον καὶ μέγιστον καὶ ἀκρότατον, μᾶλλον δὲ τὸ μόνον ἀγαθὸν καὶ ἀσύγκριτον. Ἐπεὶ οὖν διπλοῦν ἐστι τὸ τῆς ἐλεημοσύνης καλὸν, καὶ τὸ μὲν αὐτοῦ μετάδοσίς ἐστι πρὸς τοὺς δεομένους στέγης, σκέπης, τροφῆς καὶ τῆς ἐν ἀνάγκαις ἐπικουρίας· τὸ δὲ μακροθυμία καὶ ἀνεξικακία καὶ συμπάθεια πρὸς τοὺς πταίοντας, γενόμενος ὁ τοῦ Θεοῦ Υἱὸς ὑπὲρ ἡμῶν ἄνθρωπος, καὶ διδάσκαλος ἡμῶν εἶναι καταξιώσας, πρὸς μὲν ἐκεῖνο τὸ εἶδος τῆς ἐλεημοσύνης ἡμᾶς ἐνάγων, τὸ ἐκ τῆς μεταδόσεως τῶν ὑπαρχόντων ἡμῖν συνιστάμενον, « Παντὶ τῷ αἰτοῦντί σε δίδου, φησί· καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. » Καὶ, « Θησαυρίζετε ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσι. » Καὶ ἀλλαχοῦ πάλιν· « Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ πάντα καθαρὰ ὑμῖν ἐστιν. » Οὐ διὰ τούτων δὲ μόνον τῶν λόγων, ἀλλὰ καὶ διὰ παραβολῆς προτρεπόμενος ἡμᾶς εἰς μετάδοσιν, τὴν μέλλουσαν φρικωδεστάτην παρουσίαν ἐκείνην ὥσπερ ὑπ' ὄψιν ἡμῖν προάγει, καὶ ἑαυτὸν ὡς βασιλέα προκαθήμενον ἐπὶ θρόνου δόξης ἐπιδεικνύει. Καὶ τοὺς μὲν εὐμεταδότους ἐκ δεξιῶν ἵστησιν, ὡς καὶ δεξιῶν ἐργάτας ἔργων· τοὺς δὲ μὴ τοιούτους ἐξ εὐωνύμων, οὓς ὡς ἀμεταδότους ὀνειδίσας, καὶ ὡς εἰς αὐτὸν τὴν ἀσπλαγχνίαν ἐνδειξαμένους τῷ μὴ ἐπαρκέσαι τοῖς ἐνδεέσι, κατηραμένους εἶναί φησι, καὶ εἰς τὸ πῦρ ἀποπέμπεται τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· τοὺς δὲ εὐμεταδότους παῤῥησίᾳ ἐγκωμιάσας, καὶ ὡς εἰς αὐτὸν γενομένην τὴν πρὸς τοὺς ἐνδεεῖς εὐποιΐαν ἀναδεξάμενος, εὐλογημένους ἀπὸ τοῦ οἰκείου Πατρὸς εἶναι μαρτυρεῖ, καὶ κληρονόμους ποιεῖ τῆς ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένης βασιλείας αὐτοῖς. Τοιαῦτα μέν φησιν ἐν Εὐαγγελίοις ὁ Κύριος, πρὸς τὸ ἓν εἶδος τῆς ἐλεημοσύνης, ὅ ἐστιν ἡ πρὸς τοὺς ἐνδεεῖς μετάδοσις, ἡμᾶς ἐνάγων καὶ προτρεπόμενος.

Verum de alia eleemosynæ forma quæ est patientia et commiseratio erga eos qui nos offenderunt, quid dicit? « Noli reddere malum pro malo, sed vince in bono malum [74]. » « Nolite condemnare, et

Πρὸς δὲ τὸ ἕτερον αὐτῆς εἶδος, ὅπερ ἐστὶν ἡ πρὸς τοὺς ἐπταικότας ἡμᾶς ἀνεξικακία καὶ συμπάθεια, τί φησι; « Μὴ ἀποδώσεις κακὸν ἀντὶ κακοῦ· ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν. Μὴ καταδικάζετε, καὶ

[71] Matth. v, 42. [72] Matth. vi, 20. [73] Luc. xi, 41. [74] Rom. xii, 21.

Digitized by Google

οὐ μὴ καταδικασθῆτε. » Καὶ, « Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις **202** τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν. » Ὥσπερ δὲ ἐν ἐκείνῳ τῷ μέρει τῆς ἐλεημοσύνης παραινετικοῖς τε ἐχρήσατο λόγοις, καὶ διὰ τῶν πραγμάτων αὐτῶν προετρέψατο, ποιμένα καὶ βασιλέα ἑαυτὸν προκαθίσας, οὕτω καὶ ἐπὶ τῆς ἀνεξικακίας καὶ εἰς τοὺς πταίοντας συμπαθείας οὐ μόνον εἶπεν οἷα προϋπεδείξαμεν, ἀλλὰ καὶ παραβολὴν προσέθηκε καὶ προέθηκε τὴν σήμερον ἀναγινωσκομένην ὑμῖν ἐν τῷ Εὐαγγελίῳ· « Ὡμοιώθη, λέγων, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ· ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. » Ἐνταῦθα ὡς ἄνθρωπον βασιλέα τὸν ἑαυτοῦ Πατέρα φησὶν, ὥσπερ ἐν τοῖς περὶ συντελείας λόγοις ἑαυτόν. Εἰ δὲ καὶ ἀνθρώπῳ φησὶν ὡμοιωθῆναι, ἀλλὰ παραβολικῶς. Οὗτος δὲ οὐ παραβολικῶς ὡμοιώθη, ἀλλ' ὡς ἀληθῶς καθ' ἡμᾶς ἐγένετο ἄνθρωπος· εἷς μὲν γὰρ ὁ θρόνος, καὶ μία ἡ βασιλεία τοῦ Υἱοῦ καὶ τοῦ Πατρός· ἀλλ' ἐπειδήπερ εἶπεν ἐπ' ἐκείνων τῶν ὑπὲρ τῆς εἰς τὸν πλησίον εὐποιίας ῥημάτων, « Ἐπείνασα καὶ ἐδίψησα, » καὶ τὰ ἑξῆς, καὶ ἀδελφοὺς ἐκάλεσε τοὺς ἐνδεεῖς, πρὸς δὲ καὶ ἕτερα ἅπερ ἐστὶ τῆς αὐτοῦ ἐνανθρωπήσεως ἴδια, διὰ τοῦτο ἑαυτὸν ἐκεῖ ὡς βασιλέα προκαθῆσθαί φησι. Κἀκεῖ μὲν, ἐπειδὴ προβάτων καὶ ἐρίφων παραβολικῶς ἐμνήσθη, ὡς βασιλέα καὶ ποιμένα ἑαυτὸν προκαθίζει, ἐνταῦθα δὲ, ἐπεὶ δούλων καὶ λογισμοῦ καὶ χρημάτων τῶν ὡς ἐκ βασιλικῶν θησαυρῶν ἐμνήσθη, ὡς βασιλέα προκαθῆσθαι τὸν ἑαυτοῦ Πατέρα φησὶ, συναίροντα λόγον, καὶ τὰς ὀφειλὰς ἀπαιτοῦντα. Διὰ τί δὲ ἐκεῖ μὲν, Καθίσει, φησὶ, καὶ συναχθήσονται, καὶ ἀφοριεῖ, καὶ ἐρεῖ ὁ βασιλεὺς, καὶ ἁπλῶς ἅπαντα μελλούσης σημασίας, ἐνταῦθα δὲ, Ὡμοιώθη, καὶ ἠθέλησε συνᾶραι λόγον, καὶ ἤχθη ὁ ὀφειλέτης, καὶ ἐκέλευσεν ὁ Κύριος, καὶ ἁπλῶς ἅπαντα τὰ ῥήματα παρελθόντα προσημαίνοντα χρόνον ἐστίν; Ὅτι τὰ ἐκεῖ λεγόμενα πάντα τοῦ μέλλοντός ἐστιν αἰῶνος· τῆς δὲ νῦν ἡμῖν προτεθειμένης παραβολῆς τὸ πλέον ἐνταῦθα μάλιστα τελεῖται. Τοῦ γὰρ ὀφειλέτου, φησὶ, τῶν μυρίων ταλάντων προσενεχθέντος, καὶ μὴ ἔχοντος ἀποδοῦναι, « Ἐκέλευσε μὲν ὁ Κύριος αὐτὸν πραθῆναι, καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα αὐτοῦ καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι· » ὡς δὲ ἐκεῖνος προσπεσὼν, ᾔτει μακροθυμεῖν, καὶ ἀποδώσειν ὑπισχνεῖτο, σπλαγχνισθεὶς ὁ Κύριος, αὐτόν τε ἀπέλυσε καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· ὧν οὐδέν ἐστιν ἐπὶ τοῦ μέλλοντος αἰῶνος· οὐχ ὑπέρθεσις, οὐχ ὑπόσχεσις παρὰ τοῦ ὀφείλοντος, οὐ λύσις, οὐκ ἄφεσις οὐδενὶ τρόπῳ παρὰ τοῦ πάντα δόντος, καὶ πάντων ἀπαιτοῦντος τότε τὸν λόγον.

Ἀλλὰ καὶ τὸ προσενεχθῆναι τὸν ὀφειλέτην τῶν μυρίων ταλάντων, ἀρξαμένου συναίρειν λόγον τοῦ βασιλέως, οὐκ ἔστι τοῦ μέλλοντος αἰῶνος· ἐκεῖ γὰρ πάντων τὸ τέλος ἐστὶν, ἀπὸ τῶν ἐνταῦθα δὲ ἀρχε-

non condemnabimini [75]. » Et : « Si dimiseritis hominibus peccata eorum, dimittet et vobis Pater vester qui est in cœlis; si autem non dimiseritis hominibus, nec Pater vester dimittet vobis peccata vestra [76]. » Sed sicut in illa eleemosynæ parte verbis utebatur hortationis, et rebus ipsis incitabat, semetipsum pastorem regemque proponens, ita de patientia et commiseratione erga offendentes non tantum dixit quæ præmisimus, sed parabolam adjecit et proposuit, quam hodie in Evangelio ad memoriam vobis revocavimus, dicens : « Assimilatum est regnum Dei homini regi qui voluit rationem ponere cum servis suis; et cum cœpisset rationem ponere, oblatus est ei unus qui debebat ei decem millia talenta [77]. » Hic hominem regem Patrem suum dixit, quemadmodum semetipsum dixerat ad eleemosynam hortando. Homini quidem eum dixit assimilari, sed per parabolam. Ipse autem non per parabolam assimilatus est, sed in omni veritate homo factus est. Unus quidem thronus, unum regnum Filii et Patris, sed sicut ibi dixerat ad benefaciendum proximo adhortando : « Esurivi, sitivi, » et cætera, fratresque vocaverat indigentes, aliaque protulerat suæ incarnationi propria, ideo semetipsum ibi ut regem sedere dixerat. Insuper in illo loco, cum ovium et hædorum meminisset per parabolam, ut regem et pastorem semetipsum proposuerat, hic vero, cum de servis, et ratione, et divitiis ex regalibus thesauris sumptis mentionem faciat, ut regem sedere dixit Patrem suum, rationem ponentem et debita exigentem. At qua ratione ibi quidem dicebat : « Sedebit, » et « Congregabuntur, » et : « Segregabit, » et : « Dicet Rex, » quæ omnia futuram habent significationem; hic vero : « Assimilatum est, » et, « Voluit rationem ponere, » et, « Oblatus est debitor, » et, « Jussit Dominus, » quæ verba omnia præteritum tempus indicant? Quoniam quæ ibi dicta sunt in futuro fient sæculo; pleraque autem quæ in hodierna parabola proponuntur jam hic complentur; nam cum oblatus esset, inquit, unus qui debebat decem millia talenta et non haberet unde redderet : « Jussit eum Dominus venumdari et uxorem ejus et filios et omnia quæ habebat, et reddi; » sed cum procidens ille oraret ut patientiam haberet, et se omnia redditurum promitteret, misertus Dominus dimisit eum et debitum dimisit ei : ex quibus nihil est quod in futuro sæculo sit faciendum : non procrastinatio, non promissio a debitore, non solutio, non dimissio nullimode tribuenda ab eo qui dat omnia et tunc ab omnibus rationem postulabit.

Insuper offerri debitorem decem millium talentorum, quando rex inceperat rationem ponere, hoc etiam futuri non est sæculi. Nam ibi finiuntur omnia quæ hic incipiunt. Reliqua parabola est etiam

[75] Luc. VI, 37. [76] Matth. VI, 14. [77] Matth. XVIII, 23.

Digitized by Google

præsentis sæculi, ait enim : « Egressus servus ille invenit unum de conservis suis, qui debebat ei centum denarios : et tenens suffocabat eum, dicens : Redde mihi quod debes. » Quo procidente et rogante atque pollicente, ejus nec modice misertus est, sed abiit et misit eum in carcerem, donec totum redderet debitum. Quænam vero egressio, cum venerit illud tempus? Quod debitum ad conservos? Quænam expostulatio? Quis incursus? Sed et, « Procidens, inquit, conservus ejus ad pedes illius, rogabat dicens : Patientiam habe in me, et omnia reddam tibi. Ille autem noluit, sed misit eum in carcerem, donec redderet universum debitum. » In illo autem sæculo vim ab aliis invicem nequaquam patiemur, nec ad pedes aliorum procidemus, sed neque rogabimus; unus est enim cui omne genu flectetur cœlestium, terrestrium et infernorum. Alii vero, ait, conservi, videntes tantam ejus erga conservos duritiam, contristati sunt valde, et narraverunt domino suo omnia quæ facta fuerant. Ille autem iratus, servo objurgato, tradidit eum tortoribus quoadusque redderet universum debitum.

A ται. Καὶ τὰ ἑξῆς δὲ τῆς παραβολῆς τοῦ παρόντος ἐστὶν αἰῶνος· « Ἐξελθὼν γάρ, φησίν, ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια· καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι εἴ τι ὀφείλεις. » Καὶ προσπίπτοντα καὶ παρακαλοῦντα καὶ ὑπισχνούμενον οὐδὲ μετρίως ἠλέησεν, ἀλλ' ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. Ποία τοίνυν ἔξοδος, ἐπιστάντος ἐκείνου τοῦ καιροῦ; τίς ὀφειλὴ τότε πρὸς ὁμοδούλους; τίς ἀπαίτησις; τίς ἐπίθεσις; Ἀλλὰ καί, « Πεσών, φησίν, ὁ σύνδουλος αὐτοῦ πρὸς τοὺς πόδας αὐτοῦ, παρεκάλει,
203 λέγων· Μακροθύμησον ἐπ' ἐμοί, καὶ πάντα σοι ἀποδώσω· ὁ δὲ οὐχ ὑπήκουσεν, ἀλλ' ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμε-
B νον. » Ἐπὶ δὲ τοῦ μέλλοντος αἰῶνος βίαν παρ' ἀλλήλων πάσχειν ἡμᾶς οὐκ ἔστιν, οὐδὲ προσκυνεῖν ἀλλήλοις καὶ ἱκετεύειν· εἷς γάρ ἐστιν, ᾧ τότε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων. Ἀλλ' ἕνεκα τῆς τοσαύτης πρὸς τὸν σύνδουλον ἀσπλαγχνίας λυποῦνται μέν, φησίν, οἱ ἄλλοι σύνδουλοι σφόδρα, διασαφοῦσι δὲ τῷ Κυρίῳ ἅπαντα τὰ γενόμενα· ὁ δὲ ὀργισθεὶς καὶ τὸν ἀσυμπαθῆ δοῦλον ἐλέγξας, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον.

Forsan aliquis censeret ista in præsenti sæculo fieri, sed ad futurum præsertim spectant; ibi enim aperta reatus manifestatio, et sine misericordia condemnatio, et indesinens supplicium. « Quoadusque, inquit, redderet universum debitum. » Verum fieri nequit ut a nobis inveniatur solutio nostris ad Deum debitis adæquata, ita ut istud : « Quoadusque redderet universum, » æternam indicet pœnam. Sed quomodo illa omnia parabolæ verba hic perficiuntur, regale tribunal, debitorum manifestatio, post manifestationem expostulatio, et alia quæ sequuntur? Stat istud Dei templum tanquam cœlum aliud intra sacrum tentorium, velut in cœlestibus tabernaculis thronum habens dominicum, in quo sedet rex omnium, et rationem invisibiliter ponit cum servis ejus, nobis omnibus hic circumstantibus et obsecrantibus. Multi autem sunt, quorum et ego unus sum, qui arguuntur ex eis, quæ hic divinitus canuntur et ad aures omnium revocantur, quoniam non secundum Deum utimur istis decem millibus, id est, tam multis bonis quorum quodlibet est talentum, utpote gravem et multam inducens condemnationem; ita enim Cain unum visus crimen commisisse, fratris cædem, septuplum, seu multum, sicut scriptum est, punitus fuit. Sed non tantum de debito arguimur, at ex divinis verbis reos manentia discimus supplicia; discentes vero, quandiu in templo perseveramus, pœnitemus, procidimus, rogamus, promittimus nos in posterum ut Deo placet victuros, ideo dimissionem obtinemus, hic usque ad finem perseveranter et ardenter deprecantes; dixit enim : « Convertimini ad me, ait Dominus, et ego convertar ad vos, et iniquitatum vestrarum non recordabor amplius [78]. »

Τοῦτο ἴδοι τις ἂν καὶ κατὰ τὸν παρόντα τελούμενον αἰῶνα, μάλιστα δὲ τοῦ μέλλοντός ἐστιν· ἐκεῖ γὰρ καὶ ὁ ἔλεγχος περιφανής, καὶ ἡ ἀπόφασις ἀνηλεής, καὶ ἡ βάσανος ἀτελεύτητος. « Ἕως οὗ, φησίν, ἀποδῷ πᾶν τὸ ὀφειλόμενον. » Τὸ δὲ τῶν ἀδυνάτων ἐστὶν εὑ-
C ρεθῆναι παρ' ἡμῶν ἀπόδοσιν ἐξισουμένην ταῖς πρὸς τὸν Θεὸν ὀφειλαῖς· ὥστε τό, « Ἕως οὗ ἀποδῷ τὸ πᾶν, » τὴν αἰώνιον παρίστησι βάσανον. Ἀλλὰ πῶς ἐκεῖνα πάντα τὰ τῆς παραβολῆς ἐνταῦθα τελεῖται, τὸ βῆμα τὸ βασιλικόν, ὁ τῶν ὀφειλόντων ἔλεγχος, ἡ μετὰ τοὺς ἐλέγχους ἀπαίτησις, καὶ ὅσα τῶν ἑξῆς; Ἕστηκεν ὁ τοῦ Θεοῦ ναὸς οὗτος καθάπερ οὐρανὸς ἄλλος· ἔνδον τοῦ ἱεροῦ καταπετάσματος, ὥσπερ ἐν ὑπερουρανίοις σκηναῖς, τὸν θρόνον ἔχων τὸν δεσποτικόν, ἐφ' οὗ καθήμενος ὁ τοῦ παντὸς βασιλεύς, συναίρει λόγον ἀοράτως μετὰ τῶν δούλων αὐτοῦ, τῶν περιεστώτων πάντων ἡμῶν ἐνταῦθα καὶ προσευχομένων. Πολλοὶ δέ εἰσιν, ὧν εἷς εἰμι καὶ αὐτός, οἵτινες ἐλέγχονται παρὰ τῶν εἰς ἐπήκοον ᾀδομένων τε καὶ ἀναγινωσκομένων ἐνταῦθα ῥημάτων θείων, ὡς
D μὴ κατὰ Θεὸν χρώμενοι τοῖς τοιούτοις μυρίοις οὖσι, τουτέστι, πλείστοις, ὧν ἕκαστον τάλαντόν ἐστιν, ὡς βαρεῖαν καὶ πολυάριθμον ἔχον τὴν καταδίκην· οὕτω γὰρ καὶ ὁ Κάϊν ἓν ἡμαρτηκέναι δοκῶν, τὴν ἀδελφοκτονίαν, ἑπτὰ εἶχε τὰ ἐκδικούμενα, τουτέστι πολλά, κατὰ τὸ γεγραμμένον. Οὐχ ἐλεγχόμεθα δὲ μόνον ὀφείλειν, ἀλλὰ καὶ τὰς ἀποκειμένας τοῖς ὑπευθύνοις ἐκ τῶν θείων λογίων μανθάνομεν κολάσεις· μαθόντες δέ, μέχρις ἂν παραμένωμεν ἐν τῷ ναῷ, μετανοοῦμεν, προσπίπτομεν, ἱκετεύομεν, ὑπισχνούμεθα βιώσειν εἰς τὸ ἑξῆς θεαρέστως, ἀλλὰ καὶ τυγχάνομεν τῆς ἀφέσεως, παραμένοντες ἄχρι τέλους ἐνταῦθα καὶ θερμῶς ἱκετεύοντες· « Ἐπιστράφητε γάρ, φησί, πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύ-

[78] Zach. I, 3.

Digitized by Google

A ρίως, καὶ τῶν ἀνομιῶν ὑμῶν οὐ μὴ μνησθῶ ἔτι.» Εἶτα τοῦ ναοῦ ἐξερχόμενοι, καὶ τοῖς εἰς ἡμᾶς ἐπταικόσιν ἐντυγχάνοντες, προσπίπτουσιν ἔστιν ὅτε καὶ δεομένοις, βαρεῖς αὐτοῖς ἐσμεν καὶ ἀνηλεεῖς καὶ ἀμείλικτοι, καὶ ταῦτα μηδὲ δηναρίου λόγον ἐχόντων τῶν πρὸς ἡμᾶς ἐκείνων πταισμάτων πρὸς τὰ ἡμέτερα πρὸς τὸν Θεὸν ταλαντιαῖα, μᾶλλον δὲ καὶ πολυτάλαντα ὄντα. Διὰ τοῦτο ὁ συμπαθήσας ἡμῖν μετανοήσασι Κύριος καὶ τὰ τοσαῦτα ἀφεὶς, ἰδὼν τὸ πρὸς τοὺς ὁμοφύλους ἀσυμπαθὲς ἡμῶν καὶ ἀνένδοτον, ὀργίζεται καθ' ἡμῶν δικαίως, καὶ παραδίδωσιν ἡμᾶς ταῖς ἀνυποίστοις βασάνοις, τοῖς τε ἐνταῦθα πειρασμοῖς, καὶ ταῖς μελλούσαις ἀτελευτήτοις κολάσεσι, κατ' αὐτὸν ἐνταῦθα τὸν τῆς αὐτοαληθείας λόγον· «Οὕτω γὰρ, φησὶν, καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐ- B τοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν.» Τὸ δ' ἔτι δεινότερον, ὅτι καὶ τοὺς ὄντως τοῦ Θεοῦ δούλους, δηλονότι τοὺς ἁγίους ἀγγέλους τε καὶ ἀνθρώπους, οὓς ἐλπίζομεν ἱκετεύοντες ἐντεῦθεν, πρεσβευτὰς **204** ἕξειν ἐκεῖ καὶ μεσίτας πρὸς Θεὸν, καθ' ἡμῶν, φεῦ! εὑρήσομεν τὸν Θεὸν παροξύνοντας, ἐὰν μὴ ἐνταῦθα τοῖς εἰς ἡμᾶς πταίσασι συμπαθεῖς φανῶμεν· αὐτοὶ γάρ εἰσιν, ὡς ἀνωτέρω μεμαθήκαμεν, οἱ τῷ Κυρίῳ μετὰ σφοδρᾶς λύπης προσαγγέλλοντες τὸ σκληρὸν καὶ ἀνένδοτον τῆς ἡμετέρας γνώμης. Καλῶς δὲ ἄρα καὶ τὴν ἀρχὴν ἐλέγομεν, τὸν ἑαυτοῦ Πατέρα εἶναι, ὃν ὡς βασιλέα καὶ κριτὴν ἐνταῦθα διὰ τῆς παραβολῆς ὁ Κύριός φησιν· οὐ γὰρ εἶπεν ἐνταῦθα, Τὸν ἀμείλικτον ἐγὼ παραδώσω τοῖς βασανισταῖς, ἀλλ', Ὁ Πατήρ μου ὁ ἐπουράνιος.

Deinde e templo egressi, et iis qui nos offenderunt occurrentes, etsi procidentes obsecrent, duri et sine misericordia et inhumani eos increpamus, licet eorum ad nos debita ne denarii quidem rationem habeant si comparentur cum nostris ad Deum debitis talento seu potius multis talentis æquivalentibus. Ideo qui nostri pœnitentium misertus est Dominus et tanta dimisit, videns nos erga fratres ferreos et inexorabiles, jure adversus nos irascitur, nosque tradit suppliciis intolerabilibus, hic quidem tentationibus et futuris perennibus pœnis, secundum illud ipsius veritatis verbum: «Sic, inquit, et Pater meus cœlestis faciet vobis, si non remiseritis unusquisque fratri suo de cordibus vestris.» Quod adhuc est immanius. sinceri servi Dei, id est sancti tam angeli quam homines quos hic rogantes speramus intercessores ibi habere et mediatores ad Deum, contra nos, heu! inveniemus Deum ad iram concitaturos, nisi hic iis qui nos offenderunt commiserationem exhibeamus. Ipsi enim sunt, ut supra didicimus, qui Domino cum vehementi tristitia annuntiant nostram inexorabilem et acerbam agendi rationem. Recte igitur a principio dicebamus Patrem suum esse quem per parabolam ut regem et judicem modo dixit Dominus; nam non dixit: Ego virum inexorabilem tradam suppliciis, sed, Pater meus cœlestis.

C Φοβηθῶμεν οὖν, ἀδελφοὶ, τὸν τηνικαῦτα τῶν ἁγίων καθ' ἡμῶν ζῆλον· φρίξωμεν τὴν θείαν ἀπόφασιν· αἰδεσθῶμεν τὴν πρὸ ταύτης εἰς ἡμᾶς τοῦ Θεοῦ μακροθυμίαν· ἀναλογισώμεθα τὸ μέγεθος τῆς ἡμετέρας πρὸς τὸν Θεὸν ὀφειλῆς ὅσον, καὶ ταῦτα, πρὸς τὰ ὀφειλόμενα παρ' ἑτέρων ἡμῖν συγκρινόμενον. «Ποσάκις,» ὁ Πέτρος ἐρωτῶν ἔλεγε πρὸς τὸν Κύριον, «Ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; Καὶ ἤκουσεν· «Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά·» καίτοι τοσαυτάκις πρὸς ἡμᾶς πταῖσαι τὸν ἀδελφὸν τῶν ἀδυνάτων ἐστὶ σχεδόν. Ἡμῶν δὲ ἑκάστου τὰ πρὸς Θεὸν πταίσματα καὶ τοῦτον ὑπερβαίνει τὸν ἀριθμόν· κἂν ἑνὸς ἐξετάσῃς μέγεθος, πρὸς ὃν ἐστι τὸ πταῖσμα ἐνθυμηθεὶς, ἀσύγκριτον εὑρήσεις πρὸς τὰ ἐκεῖνα D πάντα, κἂν ἑβδομηκοντάκις ἑπτὰ τυγχάνῃ. Τοσαῦτα καὶ τηλικαῦτα τοίνυν ὀφείλων τῷ Θεῷ τάλαντα, καὶ μακροθυμίαν μόνον αἰτήσας, σὺ δὲ καὶ τελείαν ἄφεσιν παρ' αὐτοῦ λαβὼν τοῦ ὀφλήματος, εἶτα πρὸς μικρὰν ἀργυρίων ὀφειλήν· ταῦτα γὰρ τὰ δηνάρια· παρὰ τοῦ ὀφείλοντος συνδούλου μακροθυμίαν αἰτούμενος, οὐ παρέξεις προθύμως; Οὐκοῦν ἀπαιτηθήσῃ τὰ πάντα δικαίως· πῶς γὰρ οὐ δίκαιον καὶ τὴν ἀφαίρεσιν ὑποστῆναι πᾶσαν; καὶ τῆς ἀγνωμοσύνης προσυποστῆναι τὴν καταδίκην; Διὰ τοῦτό φησί τις τῶν προφητῶν· «Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. Ἀλλὰ μὴ τὸν ἔλεγχον, μὴ τὴν ὀργὴν, μὴ

Igitur, fratres, timeamus sanctorum contra nos indignationem; expaveamus divinam condemnationem; revereamur hanc antecedentem Dei erga nos longanimitatem; cogitemus quanta sint quæ Deo debemus, præsertim si ista cum debitis quibus alii ad nos ligantur, conferamus. Quoties, ait Petrus Dominum interrogans, peccabit in me frater meus, et dimittam ei? usque septies? Et audivit: «Non dico tibi usque septies, sed usque septuagies septies [79].» Porro fere est impossibile fratrem toties in nos peccare. Nostræ autem in Deum offensiones etiam hunc numerum superant. Et si perpendas unius gravitatem et mediteris quis sit quem offendimus, nullam rationem facies earum quæ contra nos committuntur offensarum, etsi septuagies septies accidissent. Igitur cum tot et tanta Deo debeas talenta, et solam deprecatus patientiam, integram debiti ab eo obtineas dimissionem, tu deinde pro parvo nummorum debito (qui vere sunt denarii), a conservo debitore de patientia rogatus, non libenter annues? Secus omnia jure exigerentur; nam nonne justum esset te omnibus spoliari, et culpæ subire damnationem? Ideo dixit unus prophetarum: «Sicut fecisti, ita fiet tibi; retributio tua convertetur in caput tuum [80].» Sed non vituperationem, non iram, non sententiam exspectemus, fratres, sed induamus, quemadmodum dixit Apostolus, viscera misericordiæ, tam verbis quam co-

[79] Matth. xviii, 22. [80] Abd. 15.

gitationibus et operibus commiserationem exhibentes [61], simus invicem, prout idem rursum docet, benigni, misericordes, condonantes invicem, si quis habet aliquid adversus fratrem, sicut et Christus condonavit nobis; ita enim ipsa Christi gratia firmiter nobis adhærebit, et magis pro arrhabone erit nobis ad futuras ineffabiles promissiones. Tantorum nobis bonorum auctor erit qui nos offendit, si voluerimus; et eum ego video ut navem mercibus onustam ex qua facile poterimus decem millia solvere talenta futuraque acquirere bona, et illum in rebus animæ mente tale conspicio quale nuper corporeis oculis in urbe nostra conspeximus. Invaserunt barbari, circumvenerunt urbem, omni nos commeatu intercluserunt, extremum nobis attulerunt periculum, utpote fame urbem capturi; sed apparuit nostrasque appulit oras navis decem millibus mensuris tritici onusta, qua frustra facti sunt barbarorum incursus, vitæ necessaria parvo pretio vendita sunt, et nobis in posterum commeatus sunt firmati.

Ita invisibiliter irruit in totum Christianorum genus spiritalis et barbaris omnibus ferocior inimicus, intercipit omnes animæ ad salutem vias, fame virtutum includit, et quasi nihil boni operatam in desperationem injicit, velut per eam eversurus illam et prostraturus; sed ecce apparet, providentia ejus qui vult salutem peccatorum, qui a nobis, utpote qui nos offendit, poscit commiserationem, qua a nobis obtenta, inutilem facit omnem diaboli adversus nos malitiam, Numen nobis propitium reddit, misericordiæ et salutis multas nobis occasiones præbet, æternæque vitæ consulit; quam nos omnes consequi concedat gratia et clementia Domini nostri Jesu Christi, quem decet omnis gloria, fortitudo, honor et adoratio cum æterno ejus Patre, nenon sanctissimo bonoque et vivifico Spiritu, nunc et semper et in sæcula sæculorum. Amen

## HOMILIA XXXVII.

*In sanctissimam dormitionem purissimæ Dominæ nostræ Deiparæ semperque virginis Mariæ.*

Meam hodie homiliam ad charitatem vestram amor facit et debitum, non tantum quoniam piis auribus vestris sermonem infundere salutarem, et inde vestras enutrire animas, et volo propter meam erga vos charitatem, et debeo secundum sanctos canones; sed quoniam si quid debeo, si quid amo, certo in primis est cum laude Ecclesiæ enarrare semper virginis Deiparæ magnalia. Sed dum amor, qui pro uno duplex est, erigit, excitat et convertit, et debitum urget implacabile, sermo non potest

[61] Coloss. III, 12.

A τὴν δίκην ἀναμείνωμεν, ἀδελφοί, ἀλλ' ἐνδυσώμεθα, καθάπερ ὁ Ἀπόστολός φησι, σπλάγχνα οἰκτιρμῶν, καὶ λόγοις καὶ λογισμοῖς καὶ πράξεσι τὴν συμπάθειαν ἐνδεικνύμενοι, γενώμεθα εἰς ἀλλήλους, καθὼς πάλιν ὁ αὐτὸς διδάσκει, χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἀλλήλοις εἴ τις πρός τινα ἔχει μομφήν, ὡς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν· οὕτω γὰρ καὶ ἡ ἀπὸ τοῦ Χριστοῦ χάρις αὐτὴ βεβαίως ἡμῖν προσέσται, μᾶλλον δὲ καὶ ἀντὶ ἀῤῥαβῶνος ἔσται πρὸς τὰς μελλούσας ἀῤῥήτους ἐπαγγελίας. Τοσούτων ἡμῖν ἀγαθῶν πρόξενος ὁ πταίσας ἡμᾶς, εἴπερ ἐθέλομεν, γίνεται, ὡς ἐγὼ μυριοφόρον ὁλκάδα τοῦτον ὁρῶ, τῶν μυρίων ἡμῶν ταλάντων ἔχοντα ῥᾳδίως τὴν ὀφειλὴν ἀποδιδόναι, καὶ πρὸς τὴν τῶν μελλόντων εὐπορίαν ἐνεχυριάσασθαι, καὶ τοιοῦτον κατὰ νοῦν ἐν τοῖς κατὰ ψυχὴν ὁρῶ, οἷον καὶ τοῖς ὀφθαλμοῖς ἐν τοῖς σωματικοῖς ἑώραται πρὸ μικροῦ κατὰ τὴν πόλιν ταύτην. Ἐπῆλθον οἱ βάρβαροι, περιεκάθισαν τὴν πόλιν, ἀπέκλεισαν ἡμᾶς τῶν ἐκ τῆς γῆς πρὸς τὸ ζῆν ἀφορμῶν, ἐπήρτησαν ἡμῖν τὸν ἔσχατον κίνδυνον, ὡς ἀπορίᾳ τῶν ἀναγκαίων αἱρήσοντες· ἀλλ' ἀναφανεῖσα καὶ εἰς τοὺς ἡμετέρους καταχθεῖσα λιμένας σίτου χιλιομέδιμνος ὁλκάς, ἄπρακτον μὲν ποιεῖ τὴν τῶν βαρβάρων ἐπήρειαν, εὔωνα δὲ τὰ ἀναγκαῖα καθίστησιν, ἐναποτίθεται δὲ ἡμῖν καὶ εἰς τὸ ἑξῆς τὰς πρὸς τὸ ζῆν ἀφορμάς.

Οὕτως ἀοράτως ἐπέρχεται παντὶ τῷ Χριστωνύμῳ
τῶν ἀνθρώπων γένει ὁ νοητὸς καὶ βαρβάρων 205
πάντων ἀγριώτερος πολέμιος, ἀποκλείει τὴν ψυχὴν τῶν πανταχόθεν πρὸς σωτηρίαν ἀφορμῶν, λιμῷ περιβάλλει τῶν ἀρετῶν, καὶ ὡς μηδὲν πράξασαν ἀγαθὸν εἰς ἀπόγνωσιν συνωθεῖ, ὡς διὰ ταύτης αἱρήσων
C αὐτὴν καὶ καταστρεψόμενος· ἀλλ' ἀναφανείς, προνοίᾳ πάντως τοῦ θέλοντος τὴν τῶν ἁμαρτωλῶν σωτηρίαν, ὁ χρῄζων, ὡς εἰς ἡμᾶς πταίσας, τῆς παρ' ἡμῶν συμπαθείας, καὶ παρ' ἡμῶν ταύτην εὑρόμενος, ἄπρακτον ποιεῖ πᾶσαν τὴν καθ' ἡμῶν τοῦ διαβόλου κακίαν, ἐξευμενίζεται τὸ Θεῖον ἡμῖν, συμπαθείας ἡμῖν ἀφορμὰς δαψιλεῖς παρέχει καὶ σωτηρίας, καὶ τὴν αἰώνιον ζωὴν ἡμῖν προμνηστεύεται· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΟΜΙΛΙΑ ΛΖ'.

D *Εἰς τὴν πάνσεπτον Κοίμησιν τῆς πανυπεράγνου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.*

Τὴν ἐμὴν ὁμιλίαν σήμερον πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ πόθος ποιεῖ καὶ χρέος· οὐ μόνον ὅτι ταῖς φιλοθέοις ὑμῶν ἀκοαῖς ἐνιέναι λόγον σωτήριον, καὶ τρέφειν ἐντεῦθεν τὰς ὑμετέρας ψυχάς, καὶ βούλομαι διὰ τὴν πρὸς ὑμᾶς ἀγάπην, καὶ ὀφείλεταί μοι κατὰ θεσμοὺς ἱερούς, ἀλλ' ὅτι καὶ τῶν κεχρεωστημένων ἐμοὶ καὶ πεφιλημένων εἴπερ τι μετ' εὐφημίας ἐπ' Ἐκκλησίας ἐκδιηγεῖσθαι τὰ μεγαλεῖα τῆς ἀειπαρθένου καὶ Θεομήτορος. Ἀλλ' ὁ μὲν πόθος ἀνθ' ἁπλοῦ διπλοῦς ὤν, ἐπαίρει καὶ παρακαλεῖ καὶ προ-

Digitized by Google

τρέπεται· τὸ δὲ τοῦ χρέους ἀπαραίτητον καὶ βιάζεται, ὁ δὲ λόγος προσβαίνειν τοῖς ὑπὲρ λόγον οὐκ ἔχει, ὥσπερ οὐδ' ὀφθαλμὸς ἡλίῳ προσορᾷν ἀτενῶς· ἐπεὶ δ' ὅμως λέγειν μὲν οὐκ ἔστι τὰ ὑπὲρ λόγον, ὑμνεῖν δ' ἔξεστι φιλανθρωπίᾳ τῶν ὑμνουμένων, ἔνι καὶ τῶν ἀψαύστων μηδαμῶς ψαῦσαι, καὶ τὴν διὰ λόγων ὀφειλὴν ἀποδοῦναι, καὶ τὸν πρὸς τὴν Θεομήτορα πόθον διὰ τῶν πρὸς δύναμιν ὕμνων ἀφοσιώσασθαι. Εἰ δὲ καὶ τίμιος ὁ θάνατος τῶν ὁσίων, καὶ μνήμη δικαίου μετ' ἐγκωμίων, πόσῳ μᾶλλον τῆς τῶν ἁγίων ἁγίας, καὶ δι' ἧς πᾶς ἁγιασμὸς τοῖς ἁγίοις, τὴν τῆς ἀειπαρθένου καὶ Θεομήτορος λέγω μνήμην μετ' εὐφημιῶν ἡμᾶς τῶν μεγίστων ποιεῖν προσῆκεν; Ὥσπερ δὴ καὶ ποιοῦμεν ἑορτάζοντες, καὶ τὴν σήμερον γενομένην ταύτης ἁγίαν κοίμησιν ἢ μεταβίωσιν, δι' ἣν βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένη, καὶ τοὺς ἀγγέλους καὶ τοὺς ἀρχαγγέλους καὶ τὰς ὑπὲρ τούτους ὑπερκοσμίους πάσας δυνάμεις ὑπεραναβέβηκεν ἀσυγκρίτως τῇ πρὸς τὸν ἐπὶ πάντων Θεὸν ἐγγύτητι, καὶ τοῖς ἐξ αἰῶνος γεγραμμένοις τε καὶ τετελεσμένοις ἐπ' αὐτῇ θαυμασίοις· ταύτης γὰρ ἕνεκα θεῖαι προῤῥήσεις προφητῶν θεολήπτων· θαυματουργίαι προδεικνῦσαι μέλλον τὸ μέγα θαῦμα τῆς οἰκουμένης τὴν ἀειπάρθενον Θεομήτορα ταύτην· μεταβολαὶ γενῶν καὶ πραγμάτων, ἐδοποιοῦσαι τῷ τέλει **206** τοῦ κατ' αὐτὴν καινοῦ μυστηρίου· θεσμοὶ Πνεύματος ποικίλως προδιατυποῦντες τὴν ἐσομένην ἀλήθειαν· τέλος, μᾶλλον δὲ ἀρχὴ καὶ ῥίζα τῶν ἐπέκεινα θαυμάτων, πραγμάτων Θεοῦ πρὸς Ἰωακεὶμ καὶ τὴν Ἄνναν τοὺς τηνικαῦτα τὴν ἀρετὴν ἄκρους τελεσφόρος ἐπαγγελία, τεκεῖν ἐν βαθεῖ γήρᾳ τοὺς ἀγόνους ἐκ νέου, καὶ τεκεῖν τὴν τεξομένην ἀσπόρως τὸν ἐκ Θεοῦ Πατρὸς πρὸ αἰώνων γεγεννημένον ἀχρόνως· εὐχὴ πάλιν τῶν οὕτω παραδόξως γεννησαμένων τὴν τεξομένην παραδοξότερον ἀντιδώσειν τῷ δόντι τὴν δεδομένην, καθ' ἣν ἀξιωτάτην εὐχὴν ἐξαισία μετοίκησις τῆς Θεομήτορος ἐξ ἔτι βρέφους ἐκ τοῦ οἴκου τοῦ πατρὸς εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ διατριβὴ παράδοξος ἐπ' ἐνιαυτῶν οὐκ ὀλίγας περιόδους ἐν αὐτοῖς τοῖς Ἁγίοις τῶν ἁγίων, ἔνθα χορηγίᾳ τροφῆς ἀποῤῥήτου δι' ἀγγέλων ἐπιστασίας, ἧς τροφῆς Ἀδὰμ οὐκ ἔφθασε γεύσασθαι· οὐ γὰρ ἂν ἐξέπιπτε τῆς ζωῆς, ὥσπερ οὐδ' ἡ Πάναγνος αὕτη, εἰ καὶ δι' ἐκεῖνον καὶ ἵν' ἐκείνου θυγάτηρ οὖσα δειχθῇ, πρὸς μικρὸν εἴξασα τῇ φύσει, καθάπερ καὶ ὁ ταύτης Υἱὸς, ἀπὸ γῆς νῦν εἰς οὐρανὸν μεταβέβηκεν.

Ἀλλὰ γὰρ μετὰ τὴν ἀπόῤῥητον ἐκείνην τροφὴν, μνηστείας οἰκονομία περὶ τὴν Παρθένον ταύτην μυστικωτάτη, καὶ ἀσπασμὸς ξένος καὶ ὑπὲρ λόγον δι' ἀρχαγγέλου καταπτάντος ἄνωθεν, καὶ Θεοῦ μηνύματα καὶ προσρήματα, τῆς Εὔας καὶ Ἀδὰμ καταδίκης ἀντίστροφα καὶ θεραπευτικὰ τῆς ἐπ' ἐκείνων ἀρᾶς, εἰς εὐλογίαν ταύτην μετάγοντα· ἐπεθύμησε γὰρ τοῦ μυστικοῦ κάλλους τῆς ἀειπαρθένου ταύτης ὁ τοῦ παντὸς βασιλεὺς, ὡς ὁ Δαβὶδ προηγόρευσε, καὶ κλίνας τοὺς οὐρανοὺς κατέβη, καὶ ταύτῃ ἐπεσκίασε, μᾶλλον δὲ ἐνῴκησεν ἡ ἐνυπόστατος τοῦ Ὑψίστου δύναμις· οὐ γὰρ διὰ γνόφου καὶ πυρὸς ὡς ἐπὶ τοῦ θεόπτου Μωϋσέως, οὐδ' ὡς ἐπὶ τοῦ προφήτου Ἠλιοῦ διὰ λαίλαπος καὶ νεφέλης ἐπεδείξατο τὴν παρουσίαν,

A pervadere ad ea quæ supra sermonem posita sunt, sicut oculus nequit assidue solem aspicere. Verum si frustra tentaretur dicere ea quæ supra sermonem sunt, at ea datur canere, si non possum tangere quæ tactum fugiunt et per verba debitum solvere, licebit saltem amorem erga Deiparam hymnorum virtute exprimere. Si gloriosa est mors sanctorum et memoria justi cum laude, quanto magis decet nos sanctæ sanctorum, per quam sancti fuerunt sanctificati, id est semper virginis Deique Matris cum maxima et sempiterna laude memoriam facere? Quod facimus in hac festivitate, celebrantes ejus sanctam hodie factam dormitionem seu vitæ mutationem, qua minuta fuit paulo minus ab angelis, et angelos, archangelos, omnesque super B eos cœlicas potestates singulariter transcendit per suam ad Deum omnium propinquitatem, per ea quæ de ipsa a sæculo scripta et in ea perfecta sunt miracula. Illius enim gratia divinæ prophetarum divinitus locutorum prædictiones; prodigia quibus ostensum fuit futurum terræ magnum miraculum, hæc semper virgo, Deipara, rerum gentiumque conversiones quæ iter fecerunt adimplendo in ea novo mysterio; consilia Spiritus vario modo figurantes futuram veritatem; finis, seu potius principium et radix signorum quæ postea facta sunt, absoluta Dei promissio ad Joachim et Annam senes illos tanta virtute præditos, eos ex juventute steriles procreaturos esse in alta senectute, et quidem C procreaturos eam quæ sine semine Filium, a Deo Patre ante sæcula ab æterno natum, erat parturitura; rursus votum horum parentum, qui ita contra spem genuerunt filiam magis et ipsam supra omnem spem parturituram, datori datam offerendi; vi cujus voti dignissimi transmigratio Deiparæ adhuc infantulæ a domo patris in domum Dei miraque ejus conversatio per non paucas annorum periodos in Sanctis sanctorum, ubi ineffabili cibo nutrita fuit, angelis ministrantibus, quem Adam non manducavit; aliter enim non excidisset a vita, sicut illa Immaculata, etsi ejus filia ostenderetur; paululum naturæ cedens, quemadmodum ejus Filius, a terra hodie in cœlum transcendit.

D Insuper post illam escam ineffabilem, connubii dispensatio circa istam Virginem plena mysterio, et insolita superque omne verbum archangeli cœlitus advolantis salutatio, Dei consilia et sermones quibus eversa fuit Evæ Adamque damnatio, et sanata sequens maledictio quæ in benedictionem conversa fuit. Concupivit enim mysticam speciem hujus Virginis rex universi, prout prædixerat David, et cœlos inclinans descendit, et eam adumbravit, vel potius sibi adjunxit substantialis virtus Altissimi: nam neque per caliginem et ignem, sicut divo Moysi, neque per turbinem et nubem sicut prophetæ Heliæ suam manifestavit præsentiam; sed sine medio, sine velo virtus Altissimi purissimæ

Digitized by Google

Virginis uterum adumbravit, quum nihil interesset, nec aer, nec æther, nec aliud sensibile vel quid his dignius, hoc autem non dicendum est adumbratio, sed vera est adunatio. Sed cum quod adumbrat formam suam, propriamque figuram exprimit, non adunatio tantum, sed et formatio in utero facta est, et quod ex ambobus formatum est, scilicet ex virtute Altissimi, et sanctissimo atque virginali illo ventre, Verbum erat Dei incarnatum. Ita ineffabiliter habitavit in ea, et ex ipsa processit carne indutum Dei Verbum, et in terris apparuit, et inter homines conversatus est, naturam nostram deitatis participem efficiens, et largiens nobis, prout dixit divus apostolus, ea in quæ desiderant angeli prospicere [81]. » Et hæc est laus eximia, et gloria perpetuæ hujus virginis omni gloria clarior, cui cedit omnis mens, sermoque omnis, etsi spirituum sit angelicorum. Sed quænam lingua rursum enarrabit ea quæ post inenarrabilem partum facta sunt? Nam cum cooperata fuisset et compassa exinanitioni Verbi Dei in ipsa adimpletæ, jure gloriæ et exaltationis facta est particeps, eximiis adhuc magnalium incrementis cumulata. At postquam in cœlum ascendisset qui ex ea carnem assumpserat, cum illis super omnem mentem sermonemve positis magnalibus quæ in ea perficit, æmulata est, ut ita dicam, per constantiam et multimoda virtutum exercitia, per suas pro universo mundo deprecationes votaque sua, per consilia et auxilia quæ dedit divinum verbum in omnem terram prædicantibus; omnium erat ipsa sola adminiculum, tam audita quam conspecta et adjuvans omni modo Evangelii prædicationem; et sic vitam omnino militantem et egregiam institutionem tum mente tum sermone exhibuit.

Ideo mors illius vitam protulit, et eam in cœlestem et immortalem vitam transtulit, et hujus memoria læta est festivitas atque universa solemnitas, non tantum quoniam renovat memoriam magnalium Deiparæ, sed etiam quoniam in mentem revocat communem novumque concursum sanctorum apostolorum ex omni gente ad ejus funera, necnon eorum divino afflatu canentium hymnos in ea Deum glorificantes; angelorum ministeria, chorosque circa eam et ritus honorifice comitantium et insequentium, adjuvantium et obluctantium, succurrentium, adjutorum, eorum omnium qui operam carmenque tota virtute jungebant operis et carminibus multorum omni modo honorantium illud corpus vitæ Dominum et a Deo datum, aggredientium et tecta manu propulsantium Judæos adversus Deum brachio et conscientia certantes et refragantes, ipso præsente Deo Sabaoth et Filio perpetuæ hujus Virginis invisibiliter auxiliante et supremos honores Matri solventis, in cujus manibus reposita erat divina ejus anima, et cu-

[81] I Petr. I, 12.

A ἀλλ' ἀμέσως χωρὶς παραπετάσματός τινος ἡ τοῦ Ὑψίστου δύναμις ἐπισκιάζει τῇ πανυπεράγνῳ καὶ παρθενικῇ γαστρὶ, μηδενὸς ὄντος μεταξὺ, μήτ' ἀέρος μήτ' αἰθέρος μήτε τινὸς τῶν αἰσθητῶν, ἢ τῶν ὑπὲρ ταῦτα· τοῦτο δὲ οὐκ ἐπισκίασις, ἀλλ' ἕνωσις ἄντικρύς ἐστιν. Ἐπεὶ δὲ ἀεὶ πέφυκε τὸ σκιάζον τὴν ἑαυτοῦ μορφὴν καὶ τὸν οἰκεῖον τύπον τῷ ἐπισκιαζομένῳ ἐμποιεῖν, οὐχ ἕνωσις μόνον, ἀλλὰ καὶ μόρφωσις γέγονεν ἐν τῇ γαστρὶ, καὶ τὸ ἐξ ἀμφοῖν μεμορφωμένον τῆς τε τοῦ Ὑψίστου δυνάμεως, καὶ τῆς παναγίας ἐκείνης καὶ παρθενικῆς γαστρὸς, Λόγος ἦν Θεοῦ σεσαρκωμένος. Οὕτως ἐσκήνωσεν ἀποῤῥήτως ἐν αὐτῇ, καὶ ἐξ αὐτῆς προῆλθε σαρκοφόρος ὁ Λόγος τοῦ Θεοῦ, καὶ ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, τὴν ἡμετέραν θεουργῶν φύσιν, καὶ
B χαριζόμενος ἡμῖν κατὰ τὸν θεῖον Ἀπόστολον, « εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι. » Καὶ τοῦτό ἐστι τὸ ὑπερφυὲς ἐγκώμιον, καὶ ἡ τῆς ἀειπαρθένου ταύτης ὑπερένδοξος δόξα, ἧς ἅπας ἡττᾶται καὶ νοῦς καὶ λόγος, κἂν εἴ τις ἀγγελικὸς εἴη. Τὰ δὲ μετὰ τὸν ἀπόῤῥητον τόκον τίς ἂν αὖθις ἐξείποι λόγος; Συμπράττουσα γὰρ καὶ συμπάσχουσα τῇ δι' αὐτῆς ὑψοποιῷ κενώσει τοῦ Λόγου τοῦ Θεοῦ, καὶ συνεδοξάζετο καὶ συνανυψοῦτο δικαίως, ταῖς ὑπερφυέσι προσθήκαις ἀεὶ προστιθεῖσα τῶν μεγαλείων. Ἀλλὰ καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ ἐξ αὐτῆς σαρκωθέντος, τοῖς ὑπὲρ νοῦν καὶ λόγον ὑπηργμένοις ταύτῃ παρ' αὐτοῦ μεγαλείοις οἷον ἀντεφιλοτιμεῖτο τῷ καρτερικωτάτῳ καὶ πολυειδεῖ τῆς ἀσκήσεως, καὶ ταῖς ὑπὲρ
C τοῦ κόσμου παντὸς εὐχαῖς ὁμοῦ καὶ σπουδαῖς, καὶ ταῖς πρὸς τοὺς **207** διὰ πάντα τὰ πέρατα θεοκήρυκας ὑποθήκαις καὶ προτροπαῖς, ἁπάντων ἦν αὐτὴ μόνη στηριγμὸς ὁμοῦ καὶ παράκλησις, καὶ ἀκουομένη καὶ ὁρωμένη, καὶ συνεργαζομένη παντοίως τοῦ Εὐαγγελίου τὸ κήρυγμα· καὶ οὕτω βίον ἐναγώνιον ἄκρως καὶ πολιτείαν νοῦν καὶ λόγον ἐνδεικνυμένη.

Διὰ ταῦτα τοίνυν καὶ ὁ θάνατος αὐτῆς ζωηφόρος, εἰς οὐράνιον καὶ ἀθάνατον μεταβιβάζων ζωήν· καὶ ἡ τούτου μνήμη χαρμόσυνος ἑορτὴ καὶ παγκόσμιός ἐστι πανήγυρις, μὴ μόνον ἀνανεουμένη τὴν μνήμην τῶν τῆς Θεομήτορος θαυμασίων, ἀλλὰ καὶ προστιθεῖσα τὴν κοινὴν καὶ καινὴν τῶν ἱερῶν ἀποστόλων ἐκ παντὸς ἔθνους ἐπὶ τῇ πανιέρῳ κηδείᾳ ταύτης συνδρομήν· τοὺς ἐπὶ ταύτῃ τῶν θεολήπτων ἐκείνων
D θεοφάντορας ὕμνους· τὰς ἀγγελικὰς ἐπιστασίας καὶ περὶ αὐτὴν χοροστασίας καὶ λειτουργίας· προπεμπόντων, ἑπομένων, συμπραττόντων, ἀντιπραττόντων, ἀμυνόντων, ἀμυνομένων· καὶ συνεργούντων μὲν καὶ συνᾳδόντων πάσῃ δυνάμει τοῖς διὰ πάντων σεμνύνουσι τὸ ζωαρχικὸν καὶ θεοδόχον ἐκεῖνο σῶμα, τὸ σωστικὸν φάρμακον τοῦ καθ' ἡμᾶς γένους, τὸ πάσης τῆς κτίσεως σεμνολόγημα· πολεμούντων δὲ καὶ ἀντικειμένων χειρὶ κρυφίᾳ τοῖς ἐπεμβαίνουσι καὶ ἀντεπανισταμένοις Ἰουδαίοις θεομάχῳ χειρὶ καὶ γνώμῃ, αὐτοῦ τοῦ Κυρίου Σαβαὼθ καὶ Υἱοῦ τῆς ἀειπαρθένου ταύτης ἀοράτως παρόντος, καὶ τὴν ἐξόδιον ἀποδιδόντος τῇ Μητρὶ τιμὴν, οὗ ταῖς χερσὶ

Digitized by Google

καὶ τὸ θεοφόρον ἐναπέθετο πνεῦμα, δι' οὗ μετ' οὐ A πολὺ καὶ τὸ σύζυγον ἐκεῖνο σῶμα εἰς ἀείζωον καὶ οὐράνιον μετατίθεται χῶρον, εἰκότως καὶ τῆς περὶ αὐτὴν ἀπαρχῆς μέχρι νῦν καταλλήλως· πολλοὶ γὰρ τῶν ἀπ' αἰῶνος εὐμενείας θείας καὶ δόξης καὶ δυνάμεως ἔτυχον, ὡς καὶ τὸν Δαβὶδ λέγειν· « Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεὸς, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν· ἐξαριθμήσομαι αὐτοὺς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. » Πολλοὶ κατὰ τὸν Σολομῶντα πλοῦτον ἐκτήσαντο, καὶ πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν· αὕτη δὲ ὑπέρκειται καὶ ὑπερῆρε πάντας τε καὶ πάσας, οὐδ' ὅσον εἰπεῖν· μόνη γὰρ Θεοῦ καὶ παντὸς ἀνθρωπείου γένους στᾶσα μεταξὺ, τὸν Θεὸν ἐποίησεν Υἱὸν ἀνθρώπου, υἱοὺς δὲ Θεοῦ τοὺς ἀνθρώπους ἀπειργάσατο, τὴν B γῆν οὐρανώσασα, καὶ τὸ γένος θεώσασα, καὶ μόνη πασῶν αὕτη μήτηρ μὲν ἐκ φύσεως ὑπὲρ πᾶσαν φύσιν ἀναπέφηνε Θεοῦ, βασιλὶς δὲ παντὸς ἐγκοσμίου καὶ ὑπερκοσμίου κτίσματος ὑπῆρξε τῷ ἀφράστῳ τόκῳ· καὶ οὕτω τοὺς ὑφ' ἑαυτὴν δι' ἑαυτῆς ὑψώσασα, καὶ τὸ ἐπὶ γῆς ὑπήκοον οὐράνιον ἀντ' ἐπιγείου ἀποδείξασα, κρείττονος ἀξίας αὕτη καὶ δυνάμεως ὑπερτέρας μετασχοῦσα, καὶ τῆς ἐκ τῶν οὐρανῶν διὰ θείου Πνεύματος χειροτονίας, ὑψηλῶν ὑψηλοτάτη καὶ μακαρίου γένους μακαριωτάτη βασιλὶς ἐφέστηκε.

Νῦν καὶ τὸν οὐρανὸν ἔχουσα πρέπον οἰκητήριον, ὡς αὐτῇ προσῆκον βασίλειον, εἰς ὃν ἀπὸ γῆς μετανέστη σήμερον, καὶ ἐκ δεξιῶν παρέστη τοῦ παμβασιλέως ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη, κατὰ τὸ εἰρημένον τῷ ψαλμῳδῷ C Προφήτῃ περὶ αὐτῆς. Ἱματισμὸν δὲ νοήσεις διάχρυσον τὸ θεαυγὲς ἐκείνης σῶμα, πεποικιλμένον ταῖς παντοδαπαῖς ἀρεταῖς· μόνη γὰρ αὕτη νῦν μετὰ τοῦ θεοδοξάστου σώματος σὺν τῷ Υἱῷ τὸν οὐράνιον ἔχει χῶρον· οὐ γὰρ εἶχε κατέχειν εἰς τέλος γῆ καὶ τάφος καὶ θάνατος ζωαρχικὸν σῶμα καὶ θεοδόχον, καὶ οὐρανοῦ καὶ τοῦ οὐρανοῦ τῶν οὐρανῶν φίλτερον ἐνδιαίτημα. Εἰ γὰρ ψυχὴ, Θεοῦ χάριν ἔνοικον σχοῦσα, πρὸς οὐρανὸν ἀνέρχεται τῶν ἐνταῦθα λυθεῖσα, καθάπερ καὶ διὰ πολλῶν καταφανὲς **208** γέγονε, καὶ πιστεύομεν, πῶς ἂν τὸ μὴ μόνον ἐν ἑαυτῷ λαβὸν αὐτὸν τὸν προαιώνιον καὶ μονογενῆ τοῦ Θεοῦ Υἱὸν, τὴν ἀένναον πηγὴν τῆς χάριτος, ἀλλὰ καὶ γεννητικὸν ἀναφανὲν αὐτοῦ σῶμα, οὐκ ἀπὸ γῆς πρὸς οὐρανὸν D ἀνελήφθη; Ἡ ἔτι τριετὴς οὖσα, καὶ μήπω τὸν ὑπερουράνιον ἔνοικον σχοῦσα, μηδὲ σαρκοφόρον προαγαγοῦσα, τὰ Ἅγια τῶν ἁγίων οἰκοῦσα, μετὰ τὸ τηλικούτοις τε καὶ τοσούτοις ὑπερτελὴς καὶ κατὰ σῶμα γενέσθαι, καὶ ὄντως ὑπερκοσμία, γῆ ἂν ἐγεγόνει διαφθορὰν ὑποστᾶσα; καὶ πόθεν ἂν ἔχοι τοῦτο λόγον τοῖς μετὰ λόγου σκοποῦσι; Διὰ τοῦτο τὸ γεννῆσαν εἰκότως σῶμα συνδοξάζεται τῷ γεννήματι δόξῃ θεοπρεπεῖ, καὶ συνανίσταται, κατὰ τὸ προφητικὸν ᾆσμα, τῷ πρότερον ἀναστάντι τριημέρῳ Χριστῷ ἡ κιβωτὸς τοῦ ἁγιάσματος αὐτοῦ· καὶ παράστασις γίνεται τοῖς μαθηταῖς τῆς ἐκ νεκρῶν καὶ

jus ope non multo post conjuge illud corpus in cœlestem vitæ perennis regionem erat transferendum, ut miraculis haud minus mirabilibus priora confirmaret. Nam multi a sæculo divinam felicitatem et gloriam et fortitudinem obtinuerunt, ita ut diceret David: « Mihi autem nimis honorificati sunt amici tui, Deus; nimis confortatus est principatus eorum; dinumerabo eos, et super arenam multiplicabuntur [33]. » Multi congregaverunt divitias, et multæ filiæ fecerunt potentiam, illa autem supergressa est universos et universas [34], ineffabiliter; nam sola stans inter Deum et omne genus humanum, Deum fecit Filium hominis, filios vero Dei fecit homines, terram in cœlum mutans, genusque humanum ad divinitatis dignitatem erigens, et sola natura Mater Dei super omnem naturam emicuit, omnium vero creaturarum sive hujus mundi sive supra mundum positarum regina fulget per suum partum ineffabilem; sicque per semetipsam subditos exaltans et obedientiam a terrena cœlestem constituens, majoris dignitatis et singularis potentiæ facta particeps, ipsaque a Spiritu cœlitus eximie confirmata, sublimibus sublimior atque felicis generis felicissima constitit regina.

Hodie vero cœlum habens conveniens habitaculum ut proprium sibi palatium, quo a terra hac die ascendit, astitit a dextris Regis in vestitu deaurato circumdata varietate, prout de ea cecinit psalmistes Propheta. Vestitum autem deauratum cogita gloriosum ejus corpus omnimodis distinctum virtutibus; sola enim ipsa hodie cum suo corpore divina claritate fulgido cœlestem obtinet regionem; nam non potuit terra et sepulcrum et mors in finem possidere illud corpus in quo Deus sedem cœlo et cœlo cœlorum gratiorem sibi elegerat; quippe si anima quæ gratiam Dei inhabitantem habuit, in cœlum ascendit harum rerum fragili vinculo soluta, sicut per multos factum est manifestum, et credimus, quomodo corpus, quod non solum in semetipso ipsum accepit æternum et unigenitum Dei Filium, perennem gratiæ fontem, sed etiam eum parturivit, a terris in cœlum non fuisset assumptum? Illa quidem solummodo tres annos nata, cum nondum cœlestem incolam habuisset neque carne indutum edidisset, in Sanctis sanctorum commorata, jam tot et tantis dotibus cumulata et quasi cœlestis evasit, terra corruptionem subiens facta esset? Quis cum ratione considerans rationem in istis inveniret? Ideo corpus parentis cum corpore prolis divina gloria fuit glorificatum, et surrexit, secundum canticum vatidicum, cum Christo qui prior post tres dies resurrexit, arca sanctificationis ejus; et argumentum facta sunt discipulis illius etiam resurrectionis a mortuis sindones et lintea, sola in sepulcro derelicta, solaque inventa in eo

[33] Psal. CXXXVIII, 17. [34] Prov. XXXI, 29.

Digitized by Google

ab his qui ad inquirendum accesserant, sicut antea in sepulcro Filii ejus et Domini. Cum opus non esset ut illa quoque, sicut ejus Filius et Deus, in terra moraretur, ideo illico a sepulcro in cœlum assumpta est, unde ad terram clarissimos et divinissimos splendores gratiasque emittit, totam inde terram illuminans, ab omnibus fidelibus celebrata, necnon cultu et admiratione affecta. Nam Deus, quum vellet imaginem omnis pulchritudinis creare, suamque similitudinem tam angelis quam hominibus proponere, eam talem totamque pulchram operatus est, omnia congregans quibus in ordine distributis adornavit, bonisque tum visibilibus, tum invisibilibus communem mundum constituit, vel potius illam exhibuit communem misturam omnibus venustatibus tum divinis, tum angelicis, tum humanis, et eximiam pulchritudinem utrumque mundum adornantem, in terris quidem incipientem, in cœlum vero pervenientem, istudque transcendentem sua a sepulchro in cœlum hodierna assumptione, et superna terrenis conjungentem, et universum miraculis ejus gratia patratis replentem, ita ut etiam in eo quod ab initio dicta fuerit paulo minor ab angelis, quia mortem gustavit, Deiparæ super omnia excellentiam adaugeat, unde merito omnia ad ejus præconium conspirant simulque hodie illud componunt.

A αὐτῆς ἀναστάσεως αἱ σινδόνες καὶ τὰ ἐντάφια, μόνα περιλειφθέντα τῷ τάφῳ, καὶ μόνα κατ' αὐτὸν εὑρεθέντα κατὰ ζήτησιν προσελθοῦσι, καθάπερ ἐπὶ τοῦ Υἱοῦ καὶ Δεσπότου πρότερον. Οὐκ ἦν δὲ χρεία καὶ ταύτην ἔτι πρὸς ὀλίγον καθάπερ ὁ ταύτης Υἱὸς καὶ Θεὸς ἐνδιατρίψαι τῇ γῇ· διὰ τοῦτο πρὸς τὸν ὑπερουράνιον εὐθὺς ἀνελήφθη χῶρον ἀπὸ τοῦ τάφου, παρ' οὗ πάλιν μέχρι γῆς φανοτάτας τε καὶ θειοτάτας ἀπαστράπτει τὰς μαρμαρυγὰς καὶ τὰς χάριτας, πᾶσαν τὴν περίγειον λῆξιν ἐκεῖθεν διαφωτίζουσα, καὶ παρὰ τῶν πιστῶν πάντων προσκυνουμένη καὶ θαυμαζομένη καὶ ὑμνουμένη. Καθάπερ γὰρ βουληθεὶς ὁ Θεὸς εἰκόνα στήσασθαι παντὸς καλοῦ, καὶ τὴν ἑαυτοῦ περὶ ταῦτα καθαρῶς ἐνδείξασθαι καὶ ἀγγέλοις καὶ ἀνθρώποις, οὕτω ταύτην οὕτω παγκάλην ὄντως ἐξειργάσατο, πάντα συνελὼν, οἷς πάντα διελὼν ἐκόσμησεν, ὁρατῶν τε καὶ ἀοράτων ἀγαθῶν κοινὸν ὑπο- B στήσας κόσμον, μᾶλλον δὲ θείων καὶ ἀγγελικῶν καὶ ἀνθρωπίνων πάντων καλῶν κοινὸν αὐτὴν ὑποδείξας κρᾶμα καὶ καλλονὴν ὑπερτέραν ἀμφοτέρους ἐπικοσμοῦσαν τοὺς κόσμους, ἀπὸ γῆς μὲν ἠργμένην, μέχρι δὲ οὐρανοῦ φθάσασαν, καὶ ὑπερβᾶσαν καὶ τοῦτον, τῇ παρὰ τοῦ τάφου νῦν πρὸς οὐρανὸν ἀναλήψει, καὶ τοῖς ἄνω τὰ κάτω συνάψασαν, καὶ τὸ πᾶν περισχοῦσαν τοῖς περὶ αὐτὴν θαυμασίοις, ὡς καὶ καθ' ὃ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένην τὴν ἀρχὴν εἴρηται, τὸ τοῦ θανάτου γεύσασθαι λέγω, τὴν πρὸς τὰ πάντα τῆς Θεομήτορος ἐπαύξειν ὑπεροχήν· ὅθεν καὶ δικαίως τὴν ἐπὶ τούτῳ πανήγυριν τὰ πάντα συγκροτεῖ καὶ συνεργάζεται σήμερον.

Decebat eam quæ implentem omnia continuerat eum qui est super omnia, omnia et ipsam superare, omnibusque præstare suis virtutibus, suæ dignitatis sublimitate. Decebat, eam quæ charismata quæ omnibus ab omni sæculo optimis distributa suffecerant ut optimi fierent, quæ omnes Deo grati per partes acceperant tam angeli quam homines, omnia comprehenderat et sola omnibus cumulata, ut ita dicam, luxuriaverat, decebat, inquam, eam super omnes hoc habere ut post mortem immortalis fieret, et sola cum corpore in cœlis simul apud Filium et Deum degeret, et inde in omnes eam colentes abundantem effunderet gratiam, ipsum concedens donum eam concupiscendi, facta receptaculum gratiarum amplissimarum; decebat eam egregiis donis magis adhuc egregiam addentem clementiam nunquam cessare ab ista erga nos abundanti munificentia et copiosa liberalitate. Si quis attendat ad istum omnis boni concursum istamque collectionem, dicet Virginem idem perficere in virtute et eis qui vivunt secundum virtutem quod sol in lumine sensibili et eis qui in ipso vivunt operatur. Si vero ad solem qui hominibus miraculose ex ista Virgine ortus est, qui omnia habet et natura superat huic gratiæ affinia, si ad istum mentis oculum erigat, cœlum apparebit Virgo, tanto clariorem per omnia bona hæreditatem consecuta præ cæteris sive sub cœlo sive super cœlum divina gratia ornatis, quanto cœlum quidem soli amplitudine, sol autem cœlo splendore præstat.

C Ἔπρεπε δὲ ἄρα τὴν χωρήσασαν τὸν πληροῦντα τὰ πάντα, καὶ ὑπὲρ τὸ πᾶν ὄντα, τὰ πάντα καὶ ταύτην φθάσαι, καὶ ὑπὲρ τὰ πάντα γενέσθαι ταῖς καθ' ἑαυτὴν ἀρεταῖς τῷ μεγέθει τοῦ ἀξιώματος. Καὶ τοίνυν ἃ πᾶσι τοῖς ἐκ τοῦ παντὸς αἰῶνος ἀρίστοις ἤρκεσε διαμερισαμένοις ἀρίστους γενέσθαι, καὶ ὅσα πάντες οἱ Θεῷ κεχαρισμένοι κατὰ μέρος ἔχουσιν ἄγγελοί τε καὶ ἄνθρωποι, πάντα συλλαβοῦσα, καὶ μόνη πάντα διατελοῦσα καὶ περιττεύουσα μηδ' ὅσον εἰπεῖν, ἔχειν καὶ τοῦτο νῦν ὑπὲρ πάντας, τὸ μετὰ θάνατον ἀπαθανατισθῆναι, καὶ μόνη μετὰ σώματος κατ' οὐρανὸν σὺν τῷ Υἱῷ καὶ Θεῷ διαιτᾶσθαι, κἀντεῦθεν ἐκεῖθεν ὑπερεκχεῖν καὶ πρὸς τοὺς αὐτὴν τιμῶντας δαψιλεστάτην τὴν χάριν, αὐτὸ χαριζομένη τὸ πρὸς αὐτὴν ἔχειν ἀνατείνεσθαι, δίσκον οὖσαν τη- D λικούτων χαρίτων· καὶ προσεπιδαψιλευομένη τὰ κρείττω δι' ἀγαθότητα, καὶ μηδέποτε παυομένη τῆς ὑπὲρ ἡμῶν λυσιτελοῦς ταύτης φορᾶς καὶ δαψιλοῦς συντελείας. Πρὸς μὲν οὖν τὴν παντὸς ἀγαθοῦ τοιαύτην ἀπιδών τις συνδρομήν τε καὶ χορηγίαν, τοῦτο τὴν Παρθένον ἐρεῖ τελεῖν ἐν ἀρετῇ καὶ τοῖς κατ' ἀρετὴν ζῶσιν, ὅπερ ἐν αἰσθητῷ φωτὶ καὶ τοῖς ὑπ' αὐτὸ ζῶσιν ἥλιον. Εἰ δὲ πρὸς τὸν ἀνατείλαντα τοῖς ἀνθρώποις ἐξαισίως ἀπὸ τῆς Παρθένου 209 ταύτης ἥλιον, ὃς ἔχει πάντα καὶ ὑπερέχει φύσει τὰ χάριτι ταύτῃ προσπεφυκότα, εἰ πρὸς τοῦτον μετενέγκοι τὸ τῆς διανοίας ὄμμα, οὐρανὸς εὐθὺς ἡ Παρθένος ἀναφανήσεται· τοσούτῳ καὶ τῶν ὑπ' οὐρανὸν καὶ τῶν ὑπὲρ τοῦτον κεχαριτωμένων θείως ἁβροτέραν κε-

Digitized by Google

κτημένη τὴν διὰ πάντων ἀγαθῶν εὐκληρίαν, ὁπόσον ἡλίου μὲν οὐρανὸς ἐστι μείζων, οὐρανοῦ δὲ λαμπρότερος ἥλιος.

A Τίς σου τὸ θεαυγὲς κάλλος ὑπογράψει, Θεομῆτορ Παρθένε, λόγος; οὐ γάρ ἐστι τὰ σὰ λογισμοῖς καὶ λόγοις ὁρίζειν· πάντα γὰρ ὑπερβαίνει καὶ νοῦν καὶ λόγον. Ὑμνεῖν δ' ὅμως ἔξεστι, σοῦ φιλανθρώπως προσιεμένης· σὺ γὰρ καὶ χαρίτων ἁπασῶν χωρίον, καὶ πλήρωμα καλοκἀγαθίας παντοίας, καὶ πίναξ καὶ εἰκὼν ἔμψυχος ἀγαθοῦ παντὸς, καὶ χρηστότητος πάσης, ὡς μόνη πάντων ἠξιωμένη συλλήβδην τῶν τοῦ Πνεύματος χαρισμάτων· μᾶλλον δὲ, καὶ τὸν ἐν ᾧ τούτων ἁπάντων οἱ θησαυροὶ μόνη παραδόξως ἐν τοῖς σπλάγχνοις ἔνοικον σχοῦσα, καὶ τούτου κατασταθεῖσα παράδοξος σκηνή· κἀντεῦθεν καὶ νῦν διὰ θανάτου πρὸς ἀθανασίαν χωρήσασα, καὶ δικαίως ἀπὸ γῆς εἰς οὐρανὸν μεταστᾶσα, ὡς ἂν ἐν ὑπερουρανίοις σκηνώμασι σύσκηνος εἴης τούτῳ τὸν ἀεὶ χρόνον, ἐκεῖθεν περιέπουσα τὸν σὸν κλῆρον, καὶ ταῖς B ἀκοιμήτοις πρὸς αὐτὸν πρεσβείαις τοῦτον πρὸς πάντας ἱλεουμένη. Τοσοῦτόν ἐστιν ἐγγυτέρα τῶν Θεῷ ἐγγιζόντων· οὕτω μειζόνων ἢ κατὰ πάντας ἡ Θεοτόκος ἠξίωται τῶν πρεσβείων· οὐ τοὺς ἀνθρώπους λέγω μόνον, ἀλλὰ καὶ αὐτὰς πάσας τὰς ἀγγελικὰς ἱεραρχίας. Περὶ μὲν γὰρ τῆς τούτων ἀνωτάτω ταξιαρχίας Ἡσαΐας γράφει· « Καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. » Περὶ δὲ αὐτῆς πάλιν ὁ Δαβίδ· « Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. » Ὁρᾶτε τὴν διαφορὰν τῆς στάσεως; Ἀπὸ ταύτης ἔχετε συνορᾷν καὶ τὴν διαφορὰν τῆς κατὰ τὴν ἀξίαν τάξεως· περὶ μὲν γὰρ τὸν Θεὸν τὰ Σεραφὶμ, πλησίον δὲ παρ' αὐτὸν ἐκεῖνον μόνη ἡ παμβασιλὶς, ἣ καὶ παρ' αὐτοῦ C τοῦ Θεοῦ θαυμάζεταί τε καὶ ἐγκωμιάζεται, κηρύττοντος οἷον ταῖς περὶ αὐτὸν δυνάμεσιν αὐτὴν, καὶ λέγοντος κατὰ τὸ εἰρημένον ἐν τοῖς τῶν ᾀσμάτων Ἄσμασι· « Τί καλὴ ἡ πλησίον μου; » φωτὸς φαιδροτέρα, παραδείσων θείων εὐανθεστέρα, κόσμου παντὸς ὁρατοῦ καὶ ἀοράτου κοσμιωτέρα. Οὐ πλησίον δὲ μόνον, ἀλλὰ καὶ ἐκ δεξιῶν εἰκότως· ὅπου γὰρ ὁ Χριστὸς ἐν οὐρανοῖς ἐκάθισεν, ἐν δεξιᾷ δηλονότι τῆς μεγαλωσύνης, ἐκεῖ καὶ αὐτὴ νῦν ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναβᾶσα ἕστηκεν· οὐ μόνον ὅτι ποθεῖ καὶ ἀντιποθεῖται πάντων μάλιστα, καὶ αὐτοῖς φυσικοῖς θεσμοῖς, ἀλλ' ὅτι καὶ θρόνος ἐστὶν ὡς ἀληθῶς αὐτοῦ· ὅπου δὲ κάθηται ὁ βασιλεὺς, ἐκεῖ ὁ θρόνος ἵσταται. Τοῦτον τὸν θρόνον καὶ ὁ Ἡσαΐας μεταξὺ ἐκείνου τοῦ χερουβικοῦ χοροῦ καὶ ἔβλεπε καὶ ἔλεγεν D ὑψηλὸν καὶ ἐπηρμένον, τὸ τὰς οὐρανίους δυνάμεις ὑπεραναβεβηκὸς τῆς Θεομήτορος δηλῶν. Διὸ καὶ αὐτοὺς εἰσάγει τοὺς ἀγγέλους ἀπὸ ταύτης τὸν Θεὸν δοξάζοντας καὶ λέγοντας· « Εὐλογημένη ἡ δόξα Κυρίου ἀπὸ τοῦ τόπου αὐτοῦ. » Ἰακὼβ δὲ ὁ πατριάρχης δι' αἰνιγμάτων τοῦτον θεασάμενος, « Ὡς φοβερὸς ὁ τόπος οὗτος, εἶπεν· οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. » Δαβὶδ δὲ ἑτέρωθεν τῶν σεσωσμένων τὰ πλήθη συνάψας ἑαυτῷ, καὶ οἷόν τισι νευραῖς, ἢ φθόγγοις διαφόροις, τοῖς ἐκ διαφόρου γένους εἰς μίαν πίστιν ὑπὸ τῆς

Quæ lingua enarrabit, Virgo Deipara, tuam pulchritudinem divina luce fulgentem? Tua enim neque mente neque verbis possumus assequi, attamen licet hymnis, ipsa te clementer favente, celebrare. Nam tu gratiarum omnium sedes, tu plenitudo cujuslibet bonitatis vel pulchritudinis, tu tabula et imago animata omnis boni omnisque benignitatis, quia sola meruisti omnia recipere Spiritus charismata, vel potius, quoniam sola miraculose in tuis visceribus habuisti inhabitantem eum in quo sunt omnium charismatum thesauri, et prodigiosum fuisti ejus tabernaculum; et hodie per mortem hinc ad immortalitatem profecta, et merito a terra in cœlum translata, ut in cœlestibus tabernaculis per sæcula inhabites cum eo qui factus est hæreditas tua, quem tuis ad eum deprecationibus propitium omnibus efficis. Sicut proximis Deo propinquior facta est, sic majoribus quam cæteri Deipara donata est præmiis, nec homines tantum dico, sed et omnes ipsos angelorum ordines. Nam de summo eorum ordine Isaias scribit: «Et Seraphim stabant in circuitu ejus [85]. » Rursus autem David de ea: « Astitit regina a dextris tuis [86]. » Videtisne status differentiam? Inde etiam potestis conspicere ordinis secundum dignitatem differentiam; nam Seraphim quidem circa Deum, sola autem proxima ad eum regina, quam miratur Deus et collaudat, prædicans eam similem exercitibus circa eum congregatis, et hodie dicens sicut legimus in Cantico canticorum: « Quam pulchra est, amica mea! » luce lucidior, divinis florentior paradisis, universo mundo tum visibili tum invisibili speciosior. Verum non solum proxima, sed etiam a dextris sedens; nam ubi Christus in cœlis sedit, scilicet ad dexteram majestatis, ibi et ipsa a terris in cœlum ascendens stetit, non solum quia in primis diligit et diligitur modo singulari ex ipsis naturæ legibus, sed quia est in omni veritate thronus illius; nam ubi sedet rex, ibi, stat thronus. Quem thronum Isaias in medio chori illius Cherubim, et vidit et dixit exaltatum atque sublimem, ostendens quantum Deipara cœlestibus superemineat potestatibus. Propterea inducit angelos ab ea Deum glorificantes atque dicentes: «Benedicta gloria Domino de loco suo [87]. » Jacob vero patriarcha illum in ænigmate intuitus, « Terribilis, inquit, locus iste; hic non est aliud nisi domus Dei et porta cœli [88]. » David autem aliter multitudinem salvorum sibi adjungens, quibus, velut nervis variisque vocibus, utpote ex varia gente in unam fidem ab ista Virgine perpetua accommodatis suavissimum in ejus laudem melos emittit dicens: « Memores erunt nominis tui in omni generatione et generationem, propterea populi confitebuntur tibi in æternum, et in sæculum sæculi [89]. »

[85] Isa. vi, 2. [86] Psal. xliv, 11. [87] Ezech., iii, 12. [88] Gen. xxviii, 17. [89] Psal. xliv, 19.

Digitized by Google

'Αειπαρθένου ταύτης ἡρμοσμένοις κεχρημένος, τὸ παναρμόνιον πρὸς ὕμνον ταύτης ἀνακρούεται μέλος, « Μνησθήσομαι τοῦ ὀνόματός σου, λέγων, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί **210** σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

Videtis omnem creationem Virginis matris laudes confitentem, non solum in his transeuntibus annis, sed in æternum et in sæcula sæculorum? Inde etiam datur conspicere, quod nec illa unquam cessabit per omne sæculum a bono omnibus creaturis faciendo, non nobis tantum, sed et incorporeis non hujus mundi ordinibus, quoniam ipsi quoque nobiscum per eam solam participes deitatis facti sunt, et intactam illam naturam tetigerunt; quod Isaias longe antea prævidens manifestavit; non enim vidit Seraphim sine medio ex altari calculum accipientem, sed forcipe accepit eum quo tacta prophetæ labia purgans mundavit, quod forcipis miraculum ipsum est ac illud magnum quod vidit Moyses miraculum, rubum ardentem et non consumptum. Quis nescit illam Matrem virginem ipsam esse rubum et forcipem quæ ignem nequaquam adusta concepit, cui conceptioni ministravit angelus, et tollentem peccata mundi per eam generi humano coaptavit, et per ineffabilem istam adjunctionem nos mundavit? Idcirco ipsa sola naturæ creatæ et increatæ stat confinium, et nemo venit ad Deum, nisi per eam splendore vere divino vere illuminetur, dicente Scriptura: « Deus in medio ejus, non commovebitur[98]. » Si vero retributiones fiant secundum mensuram dilectionis ad Deum, si is qui Filium diligit diligitur ab eo, ejusque Patre, et fit utriusque habitaculum, ipsis mystice in eo habitantibus et ambulantibus secundum promissionem Domini, quis magis quam mater eum dilexit? Non solummodo quoniam unigenitum eum edidit, sed quia sola sine congressu parturivit, ita ut amor illius sit duplex quia inter duos compartes non est divisus. Quis autem magis quam mater amabatur a Filio unigenito, qui in novissimis temporibus ex ea sola ineffabiliter processerat, quemadmodum ante tempora ex solo Patre? Quomodo non multiplicata fuissent cum decenti dispositione signa honoris erga eam ex lege debiti ab eo qui ad implendam legem descenderat?

Igitur sicut per eam solam ad nos procedens in terris apparuit et cum hominibus conversatus est, qui ante eam omnibus erat invisibilis; ita in futuro indesinenti sæculo omnis divinæ illuminationis progressio, omnis divinorum mysteriorum revelatio, omnis spiritalium forma charismatum, quæ sine ipsa nemini largita fuissent. Ipsa autem prior accepit omnimodam plenitudinem ejus qui implet omnia, eam omnibus continendam exhibet, dividens singulis congruentissime et secundum mensuram puritatis eorum, ita ut sit dispensatrix et ministra divitiarum divinitatis. Cum sit lex æterna in cœlis a majoribus minores habere ut participes sint naturæ ejus qui est, et in cœlis sedet, major autem

A 'Ορᾶτε πᾶσαν τὴν κτίσιν ἐξομολογουμένην τῇ Μητροπαρθένῳ ταύτῃ, καὶ οὐκ ἐν πεπερασμένοις ἔτεσιν, ἀλλ' εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος; Συνορᾷν οὖν ἔστιν ἐντεῦθεν, ὡς οὐδ' ἐκείνη λήξει διὰ τοῦ παντὸς αἰῶνος εὖ ποιοῦσα πᾶσαν κτίσιν, οὐ τὴν καθ' ἡμᾶς λέγω μόνον, ἀλλὰ καὶ αὐτὰς τὰς ἀΰλους καὶ ὑπερφυεῖς ταξιαρχίας· ὅτι γὰρ σὺν ἡμῖν καὶ αὗται δι' αὐτῆς μόνης μετέχουσί τε καὶ ψαύουσι Θεοῦ, τῆς ἀψαύστου φύσεως ἐκείνης, Ἡσαΐας τηλαυγῶς ἐδήλωσεν· οὐ γὰρ ἀμέσως ἑώρακε τὸν Σεραφὶμ ἐκ τοῦ θυσιαστηρίου τὸν ἄνθρακα λαβόντα, ἀλλὰ διὰ τῆς λαβίδος ἔλαβε, δι' ἧς καὶ τῶν προφητικῶν ἥψατο χειλέων τὴν κάθαρσιν διδούς· τοῦτο δὲ ἦν τὸ τῆς λαβίδος ἐκείνῳ τῷ μεγάλῳ θεάματι ταυτὸν, ὃ Μωσῆς ἑώρακε, βάτον ἐκ πυρὸς ἡμμένην B καὶ μὴ καταφλεγομένην. Τίς δὲ οὐκ οἶδεν, ὡς ἡ Παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καὶ αὐτὴ ἡ λαβίς ἐστιν, ἡ τὸ θεῖον πῦρ ἀπυρπολήτως συλλαβοῦσα, κἂν τούτῳ διακονήσαντος ἀρχαγγέλου τῇ συλλήψει, καὶ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου δι' αὐτῆς συνάψαντος τῷ ἀνθρωπείῳ γένει, καὶ διὰ τῆς ἀῤῥήτου συναφείας ἡμᾶς περικαθάραντος; Οὐκοῦν αὕτη μόνη μεθόριόν ἐστι κτιστῆς καὶ ἀκτίστου φύσεως, καὶ οὐδεὶς ἂν ἔλθοι πρὸς Θεὸν, εἰ μὴ δι' αὐτῆς ὡς ἀληθῶς καταυγασθείη τῆς θεαυγοῦς ὡς ἀληθῶς λυχνίας· « Ὁ Θεὸς γὰρ ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, » φησίν. Εἰ δὲ καὶ κατὰ τὸ μέτρον τῆς πρὸς Θεὸν ἀγάπης αἱ ἀντιδόσεις, καὶ ὁ ἀγαπῶν τὸν Υἱὸν ἀγαπᾶται παρ' αὐτοῦ καὶ τοῦ αὐτοῦ Πα- C τρὸς, καὶ καταγώγιον τῶν ἀμφοτέρων γίνεται, μυστικῶς ἐνοικούντων καὶ ἐμπεριπατούντων τούτῳ κατὰ τὴν δεσποτικὴν ἐπαγγελίαν, τίς ἂν ἀγαπῴη τοῦτον μᾶλλον τῆς μητρός; ἢ μὴ ὅτι μονογενῆ τοῦτον, ἀλλὰ καὶ μόνη γεγέννηκεν ἀσυνδυάστως; ὡς εἶναι ταύτῃ τὸ φίλτρον διπλάσιον συμμεριζομένου τοῦ κοινωνήσαντος. Τίς δ' ἂν ἀγαπηθείη τῆς μητρὸς μᾶλλον ὑπὸ τοῦ Μονογενοῦς, καὶ ταῦτα προελθόντος ἐκ μόνης ἀῤῥήτως ἐπ' ἐσχάτων τῶν αἰώνων, ὥσπερ καὶ πρὸ αἰώνων ἐκ μόνου τοῦ Πατρός; Πῶς δ' ἂν οὐ πολυπλασιασθείη πρὸς τῇ πρεπούσῃ διαθέσει καὶ τὰ τῆς ὀφειλομένης ἐκ νόμων πρὸς αὐτὴν τιμῆς παρὰ τοῦ πληρῶσαι τὸν νόμον κατελθόντος;

Ὥσπερ οὖν δι' αὐτῆς μόνης πρὸς ἡμᾶς ἐπιδημήσας ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, πᾶσιν ὢν ἀθέατος πρὸ ταύτης, οὕτω καὶ εἰς τὸν D ἑξῆς ἄληκτον αἰῶνα πᾶσα φωτοφανείας θείας πρόοδος, καὶ πᾶσα μυστηρίων θείων ἀποκάλυψις, καὶ πᾶσα πνευματικῶν ἰδέα χαρισμάτων, ἅπασιν ἀχώρητος χωρὶς αὐτῆς. Αὕτη δὲ πρώτη δεχομένη τὸ διὰ πάντων ἧκον πλήρωμα τοῦ τὰ σύμπαντα πληροῦντος, καθίστησι τοῖς πᾶσι χωρητὸν, νέμουσα πρὸς δύναμιν ἑκάστῳ κατὰ τὴν ἀναλογίαν καὶ τὸ μέτρον τῆς ἑκάστου καθαρότητος· ὥστε ταύτην εἶναι καὶ ταμεῖον καὶ πρύτανιν τοῦ πλούτου τῆς θεότητος. Ἐπεὶ γὰρ καὶ τοῦτο νόμιμον αἰώνιον ἐν οὐρανοῖς, διὰ τῶν μειζόνων τοὺς ἐλάττονας μετέχειν

[98] Psal. XLV, 5.

Digitized by Google

A τοῦ ἐπέκεινα τοῦ ὄντος ἱδρυμένου, μείζων δ' ἀσυγκρίτως ἁπάντων ἡ Παρθενομήτωρ, δι' αὐτῆς μεθέξουσιν ὅσοι δὴ μεθέξουσι Θεοῦ· καὶ αὐτὴν οἴσονται τοῦ ἀχωρήτου χώραν ὅσοι δὴ γινώσκουσι Θεόν· καὶ αὐτὴν ὑμνήσουσι μετὰ Θεὸν ὅσοι τὸν Θεὸν ὑμνοῦσιν. Αὕτη καὶ τῶν πρὸ αὐτῆς αἰτία, καὶ τῶν μετ' αὐτὴν προστάτις, καὶ τῶν αἰωνίων πρόξενος. Αὕτη τῶν προφητῶν ὑπόθεσις, τῶν **211** ἀποστόλων ἀρχή, τῶν μαρτύρων ἑδραίωμα, τῶν διδασκάλων κρηπίς. Αὕτη τῶν ἐπὶ γῆς ἡ δόξα, τῶν κατ' οὐρανὸν ἡ τερπνότης, τὸ πάσης τῆς κτίσεως ἐγκαλλώπισμα. Αὕτη καταρχὴ καὶ πηγὴ καὶ ῥίζα τῶν ἀποῤῥήτων ἀγαθῶν. Αὕτη παντὸς ἁγίου κορυφὴ καὶ τελείωσις.

sit omnibus sine ulla comparatione Virgo genitrix, per eam recipiunt quicunque Dei naturæ fiunt participes, et ipsam possidebunt quicunque Deum cognoscent, et eam post Deum celebrant quicumque Deum celebrant. Ipsa eorum quæ ante eam fuerunt causa, ipsa auctor eorum quæ secuta sunt, ipsa æternorum distributor. Ipsa prophetarum materia, apostolorum caput, martyrum fortitudo, doctorum fundamentum. Ipsa terrenorum gloria, cœlestium lætitia, omnis creationis ornamentum. Ipsa principium fons, et radix bonorum inenarrabilium. Ipsa omnis sanctitatis culmen et perfectio.

B Ὦ Παρθένε θεία καὶ νῦν οὐρανία, πῶς σου τὸ πᾶν ἐξείπω; Πῶς σε δοξάσω τὸν τῆς δόξης θησαυρόν; Σοῦ καὶ μνήμη μόνον ἡγίασε τὸν χρώμενον· πρὸς σὲ καὶ νεῦσις μόνον διαυγέστερον ἐποίησε τὸν νοῦν, πρὸς ὕψος εὐθὺς ἀναλαβοῦσα θεῖον· διὰ σοῦ τρανοῦται τὸ τῆς διανοίας ὄμμα· διὰ σοῦ καταλάμπεται τὸ πνεῦμα θείου Πνεύματος ἐπιδημίᾳ· ταμιοῦχος γὰρ ἐγένου καὶ περιοχὴ χαρίτων· οὐχ ἵνα παρὰ σεαυτῇ κατάσχῃς, ἀλλ' ἵνα τὰ σύμπαντα πληρώσῃς χάριτος· ὁ γὰρ τῶν ἀκενώτων θησαυρῶν ταμίας τῆς διανομῆς ἕνεκεν ἐπιτροπεύει· τί γὰρ δὴ καὶ κατάκλειστον ποιήσειε τὸν ὄλβον μὴ μειούμενον; Μετάδος οὖν πλουσίως παντὶ τῷ σῷ λαῷ, τῷ σῷ κλήρῳ τούτῳ τοῦ σοῦ ἐλέους καὶ τῶν σῶν χαρίτων, ὦ Δέσποινα. Δὸς λύσιν τῶν κατεχόντων δεινῶν. C Ὁρᾷς ὅσοις καὶ ὁποίοις κατατρυχόμεθα, καὶ ἰδίοις καὶ ἀλλοτρίοις, καὶ τοῖς ἔξωθεν καὶ τοῖς ἔνδοθεν. Πάντα τῇ σῇ δυνάμει μετασκεύασον ἐπὶ τὸ κρεῖττον, τοὺς μὲν ἐντὸς καὶ ὁμοφύλους πρὸς ἀλλήλους ἐξημεροῦσα, τοὺς δὲ θηρῶν ἀγρίων δίκην ἔξωθεν ἐπεμβαίνοντας ἀπελαύνουσα. Ἀντιμέτρησον τοῖς ἡμετέροις πάθεσι τὴν σὴν ἐπικουρίαν καὶ ἰατρείαν, νέμουσα καὶ ψυχαῖς καὶ σώμασι δαψιλῆ τὴν χάριν, καὶ πρὸς ἅπαντα διαρκῆ· κἂν μὴ χωρῶμεν, χωρητικωτέρους ἔργασαι, καὶ οὕτως ἐπιμέτρησον ἵνα τῇ σῇ χάριτι σωζόμενοί τε καὶ δυναμούμενοι, δοξάζωμεν τὸν ἐκ σοῦ δι' ἡμᾶς σαρκωθέντα προαιώνιον Λόγον σὺν τῷ ἀνάρχῳ τούτου Πατρί, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

O Virgo divina et nunc cœlicola, quomodo tua universa enarrabo? Quomodo te glorificabo, te gloriæ thesaurum? Sola tui memoria memorem sanctificat, sola ad te mentis erectio animam splendore illuminat statim ad divinam excelsitudinem exaltatam; per te acuitur cogitationis oculus; per te illuminatur spiritus divini Spiritus adventu, nam dispensatrix facta es et alveus gratiarum, nequaquam ut eas apud te retineas, sed ut omnia impleas gratia; nam distributionis gratia thesaurorum nunquam hauriendorum constituitur administrator: quid enim occlusas faceret divitias minime imminutas? Communica igitur abundanter omni tuo populo, huic hæreditati tuæ tuam misericordiam tuasque gratias, o Domina, ut solvantur vinculis quibus dure constringuntur. Vides quot et quantis opprimimur et nostris et alienis, et internis et externis. Omnia virtute tua in melius converte, cives et eos qui intus sunt inter se concilia, alios ferarum instar belluarum foris irruentes perpulsa. Vitiis nostris accommoda tuum auxilium et curationem, largiendo animis et corporibus abundantem gratiam ad omnia sufficientem: si non progrediamur, progredientes effice; et tali utere mensura ut gratia tua salvati et confirmati, glorificemus æternum Verbum a te propter nos incarnatum, cum æterno ejus Patre, et vivificante Spiritu, nunc et semper et in infinita sæcula. Amen.

## ΟΜΙΛΙΑ ΛΗ'.

*Εἰς τὸ πρῶτον Ἑωθινόν. Ἐν ᾧ καὶ ὅτι οὐκ ἀρκεῖ τὸ θεῖον βάπτισμα σῶσαι τὸν ἄνθρωπον, εἰ μὴ καὶ τὴν τήρησιν ἔχειν σπεύδει τῶν θείων ἐντολῶν.*

## HOMILIA XXXVIII.

D *In primum Matutinum. Quod non sufficit divinum baptisma ad salvandum hominem, nisi studeat divina servare mandata.*

Ὁ πρὸ τῶν ὄντων ὤν, καὶ τὰ ὄντα ἐκ μὴ ὄντων ποιήσας δι' ἀγαθότητα, ἐν πᾶσίν ἐστιν, εἰ καὶ ὑπὲρ τὰ πάντα ἐστίν. Ἦν οὖν ἐν τῷ κόσμῳ καὶ πρὸ τοῦ παραγενέσθαι διὰ σαρκός, ἀλλ' οὐκ ἐπέγνωσαν αὐτὸν ὁ κόσμος, ἐπεὶ οὐκ ἠθέλησαν· ὅσοι γὰρ ἠθέλησαν, καὶ ἐπέγνωσαν. Διὸ οἱ μὲν ἐπιγνόντες καὶ προσελήφθησαν· οἱ δὲ μὴ ἐπιγνόντες ἐγκατελείφθησαν, ὡς καὶ Παῦλός φησιν, ὁ καὶ θελήσας καὶ θεληθεὶς καὶ καταλαβεῖν σπεύδων, ἐφ' ᾧ καὶ κατελήφθη ὑπὸ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, γράφων περὶ τῶν Ἑλλήνων· « Ἐπεὶ οὐκ ἐδοκίμασαν τὸν Θεὸν

Qui est ante omnia, et omnia ex nihilo fecit per suam bonitatem, est in omnibus, licet sit super omnia. Erat ergo in mundo priusquam per carnem adesset, sed non cognovit eum mundus, non enim voluit; nam quicunque voluerunt, eum cognoverunt. Ideo qui cognoverunt ei adhæserunt; qui autem non cognoverunt damnati fuerunt, prout dixit Paulus, qui cum vellet et concupisceret et studeret comprehendere propter quam causam damnati sunt a Domino nostro Jesu Christo, de Græcis scripsit: « Sicut non probaverunt Deum habere in notitia,

Digitized by Google

'Αειπαρθένου ταύτη[illegible]
λος, « Μνησθήσομαι [illegible]
σονται 210 σοι εἰς [illegible]

Videtis omnem cr[illegible]
des confitentem, no[illegible]
nis, sed in æternum [illegible]
etiam datur conspic[illegible]
sabit per omne sæc[illegible]
faciendo, non nobis [illegible]
hujus mundi ordini[illegible]
cum per eam sola[illegible]
et intactam illam n[illegible]
longe antea prævid[illegible]
dit Seraphim sine [illegible]
pientem, sed forcip[illegible]
phetæ labia purga[illegible]
culum ipsum est a[illegible]
miraculum, rubum [illegible]
Quis nescit illam M[illegible]
et forcipem quæ ig[illegible]
cui conceptioni m[illegible]
peccata mundi pe[illegible]
et per ineffabilem [illegible]
vit? Idcirco ipsa [illegible]
stat confinium, e[illegible]
eam splendore v[illegible]
cente Scriptura [illegible]
movebitur [90].» Si [illegible]
mensuram dilecti[illegible]
ligit diligitur ab [illegible]
habitaculum, ip[illegible]
ambulantibus [illegible]
quis magis qua[illegible]
modo quoniam [illegible]
sola sine congr[illegible]
duplex quia in[illegible]
Quis autem m[illegible]
unigenito, qui i[illegible]
ineffabiliter pr[illegible]
pora ex solo P[illegible]
sent cum dec[illegible]
eam ex lege d[illegible]
descenderat? [illegible]
σει καὶ τὰ [illegible]

Igitur sic[illegible]
terris appar[illegible]
qui ante ea[illegible]
indesinenti[illegible]
gressio, o[illegible]
omnis sp[illegible]
ipsa nemi[illegible]
pit omni[illegible]
nia, ea[illegible]
singulis[illegible]
puritat[illegible]
divitia[illegible]
a maj[illegible]
turæ [illegible]

[90] [illegible]

δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου A Ἰσραήλ· » οὗτος νῦν, « Πορευθέντες, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη· » καὶ γὰρ ἡμῶν ἀπειθησάντων πρότερον, καὶ τὸν ἐν τῷ κόσμῳ ὄντα, καὶ διὰ τῆς εὐκοσμίας τῶν ὄντων κηρυττόμενον Θεὸν μὴ ἐπιγνῶναι θελησάντων, τοῖς εὐπειθῶς ἐπιγνοῦσι δικαίως ὁ Κύριος δι' ἑαυτοῦ τε καὶ τῶν προφητῶν αὐτοῦ διελέγετο· νῦν δὲ κἀκείνων ἀπειθησάντων, οὐδὲν τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ προσίσταται, πρὸς τὸ καὶ ἡμᾶς ἐλεηθῆναι, καὶ διὰ τῶν ἱερῶν ἀποστόλων αὐτῷ μαθητευθῆναι. Καὶ τάχα τοῦτό ἐστιν τὸ, « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ **213** γῆς,» ὡς τῆς θείας δικαιοκρισίας μὴ ἐφιείσης πρότερον ἐπίσης τοῖς πειθομένοις καὶ τοὺς ἀπειθεῖς ἡμᾶς ἐλεεῖσθαι, καὶ προσκαλεῖσθαι πρὸς τὰ οὐράνια.

B Νῦν δὲ τῶν μὲν πρότερον, τῶν δὲ ὕστερον, ἀμφοτέρων δὲ καὶ πάντων συγκεκλεισμένων εἰς ἀπείθειαν, κατ' οἰκείαν ἐξουσίαν δεδομένην παρὰ τῆς οἰκείας δικαιοκρισίας, οὓς ἠθέλησεν ὁ Θεὸς ἠλέησεν. Ἠθέλησε δὲ καὶ ἠλέησεν ἡμᾶς τοὺς ἐξ ἐθνῶν, μᾶλλον δὲ πάντας, ἐπεὶ καὶ πάντων ἐστὶ Θεός· τὴν μὲν γὰρ τοῦ ἐλέους ἀρχὴν ἀφ' ἡμῶν ἠθέλησε ποιήσασθαι νῦν, ἀλλ' οὐχ ἀπὸ τῶν νῦν ἀπειθησάντων· οὐκ ἀπεστράφη δὲ τελέως οὐδ' ἐκείνους· ἀνέῳκται γὰρ κἀκείνοις δι' ἡμῶν ἡ θύρα τῆς σωτηρίας, εἴπερ βούλοιντο, καὶ τοὺς ἐξ αὐτῶν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ προσιόντας προσδέχεται ἀσμένως· οὐ γὰρ ἔπταισαν ἵνα πέσωσιν, ἀλλ' ἵνα τῷ αὐτῶν παραπτώματι τοῖς πρότερον ἀπειθήσασιν ἡμῖν ἡ σωτηρία προσγένηται, εἰς τὸ παραζηλῶσαι αὐτοὺς καὶ πρὸς τὴν C ὁμοίαν ἐφελκύσασθαι σωτηρίαν, εἴ γε μὴ τοὺς ὀφθαλμοὺς ἐχόντες μύουσι, καὶ τὰ ὦτα βύουσιν, ἵνα μὴ ἰδόντες καὶ ἀκούσαντες καὶ πιστεύσαντες σωθῶσι. Καὶ παραπλήσιόν τι γέγονεν, ὥσπερ ἂν εἴ τις σκεῦος ἐν ἑαυτῷ πηγὴν ἐλαίου φέρον ἐπὶ θάτερα παρασκευάσει νεύειν· τὸ δὲ δαψιλὲς τὸ ῥεῦμα ἀφιὲν οὐ τὸ πρὸς ὃ νεύει μόνον, ἀλλὰ καὶ τὸ ἕτερον πλημμυρῆσαν κατακλύσει μέρος· ἡ γὰρ ἐπὶ τοῦ προσκυνητοῦ σώματος ἄβυσσος τῶν θείων οἰκτιρμῶν ἐπὶ τὰ ἔθνη νεύσασα, οἷον τῶν Ἰουδαίων ὠθησάντων, οὐ τῶν ἐθνῶν μόνον τοὺς πιστεύσαντας, ἀλλὰ καὶ τοὺς ἐξ Ἰουδαίων συμπεριέλαβεν. « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Ἔστι καὶ κατὰ τὸ ἀνθρώπινον νοῆσαι τοῦτο· ἣν γὰρ ἐξουσίαν ὡς Θεὸς ἐξ ἀϊδίου εἶχε, καὶ τὴν δύναμιν καὶ τὴν D δόξαν καὶ τὸ ὑπερουράνιον ὕψος καὶ τὸ ἀξίωμα νῦν λαμβάνει ὡς ἄνθρωπος. Ἐδόθη μοι τοίνυν ἐκ νεκρῶν ἀναστάντι, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Οὐκ ἔτι βασιλεύει τῆς σαρκὸς ὁ θάνατος· τὸ γὰρ θνητὸν αὐτῆς ὑπὸ τῆς ζωῆς ἐν ἐμοὶ κατεπόθη. Οὐκ ἔτι τελευτὴ καὶ τελεία λῆξις ὁ θάνατος· ἡ γὰρ ἀθάνατος ζωὴ τοῦτον ἐν ἐμοὶ διεδέξατο, καὶ δι' ἐμοῦ πάντες οἱ θανόντες εἰς ζωὴν μεταβήσονται. Οὐκέτι καθέξει τὰ σώματα τῶν θανόντων ἐπὶ γῆς ὁ θάνατος· ἐγὼ γὰρ τὸ γηγενὲς ἐμὸν σῶμα τοῖς ἐν οὐρανοῖς ἐνθρονίσω, καὶ σὺν αὐτῷ τῶν οὐρανῶν βασιλεύων ἐλεύσομαι πάλιν καὶ κρινῶ πᾶσαν τὴν γῆν

docete omnes gentes [*]. » Quippe cum prius infideles essemus, et Deum in mundo versatum atque pulchro rerum ordine prædicatum cognoscere nollemus, merito Dominus per semetipsum suosque prophetas eum fideliter noscentibus colloquebatur; nunc autem cum illi sint increduli, nihil obstat justo Dei judicio ut nos quoque misericordiam consequamur, et per sanctos apostolos de eo doceamur. Ideo statim adjecit: « Data est mihi omnis potestas in cœlo et in terra [**] », ita ut justi sit Dei judicii nos qui prius infideles cum fidelibus partem non habebamus, misericordiam obtinere, et ad cœlestia convocari.

Nunc autem et prioribus et posterioribus, utrisque et omnibus in incredulitate constrictis, vi ejus libertatis quam dedit justum judicium, Deus cujus vult miseretur. Voluit vero et misertus est nobis ex gentibus, et potius omnibus, cum sit omnium Deus; voluit quidem misericordiam a nobis incipere, et non ab eis qui nunc versantur in incredulitate; sed neque omnino eos aversatus est; nam ipsis etiam per nos aperta est porta salutis, si voluerint, et eos qui ex eis in nostram intrant Ecclesiam cum gaudio accipit; non enim offenderunt ut cadant, sed ut per suam offensam salus nobis prius incredulis adveniret, ut zelo accendantur, et ad similem trahantur salutem, nisi oculos habentes non videant, et aures habentes non audiant, ne videntes et audientes et credentes salvi fiant. Factum est perinde ac si qui vas in semetipso fontem olei ferens ad illud super alia infundendum se accingat, copiosum autem fluentum inde effusum non tantum partem cui instillatur, sed etiam alteram redundans abluat; nam abyssus divinarum misericordiarum in adorabili corpore contenta in gentes diffusa, Judæis utpote refragantibus, non tantum eos qui crediderunt ex gentibus, sed etiam fideles ex Judæis comprehendit. « Data est mihi omnis potestas in cœlo et in terra. » Hæc secundum naturam humanam sunt accipienda; nam quam ut Deus ab æterno potestatem habuit, et virtutem et gloriam et cœlestem celsitudinem et dignitatem, nunc ut homo accipit. Dixit ergo, Data est mihi a mortuis redivivo omnis potestas in cœlo et in terra. Jam mors nequaquam carni imperat; nam quod ejus erat mortale a vita in me absorptum fuit. Jam mors non est sors ultima et finalis; illam enim in me recepit vita immortalis, et per me omnes mortui in vitam transibunt. Jam mors non possidebit in terra corpora mortuorum; ego enim terrenum corpus meum in cœlesti ponam solio; et cum eo regens cœlestia rursum veniam et judicabo omnem terram, ut rex universi; et dignos quidem terræ in ea relinquam, quos vero justos invenerim cum suis corporibus in cœlum assumam, et regnum cœlorum

[*] Matth. XXVIII, 18. [**] ibid.

Digitized by Google

tradidit illos Deus in reprobum sensum [91]. » Ita quidem qui non voluerunt, neque cognoverunt, isti sunt et omnes eos imitantes. Sed quinam eum ante divinam incarnationem cognoverunt? Multi et fere ante omnes et super omnes Abraham, Isaac et Jacob, ideoque jure Deo consociati sunt. Nec isti tantum, sed et omne ex eis genus, ita ut vere essent atque vocarentur Dei populus, et postea fierent, o ineffabilis munificentia! Dei familia. Nam eum deberet mundo per carnem manifestari, non solummodo hanc ab eis accepit, sed etiam propter eos principaliter venit, quemadmodum Dominus ipse dixit in Evangeliis: « Non missus sum nisi ad oves quæ perierunt de domo Israel [92]. » Quippe Judæos videns a paterna illa pietate et virtute delapsos, et cognitionem ejus aversatos, eos non dedignatus est propter religionem patrum eorum, sed cœlos inclinans descendit, in similitudinem hominum factus et cum eis conservatus est, divina dicens atque faciens; nec tantum ista dicens et faciens, sed et divina illis largiens beneficia, leprosos in eis emundans, cæcos illuminans, paralyticos corroborans, pronos erigens, e dæmoniacis dæmones ejiciens, et omnem omnino morbum omnemque infirmitatem et furorem sanans, mortuosque ad vitam solo jussu revocans.

A ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. » Οἱ μὲν οὖν μὴ θελήσαντες, μηδὲ ἐπιγνόντες, οὗτοι, καὶ ὅσοι κατ' αὐτούς · οἱ δὲ 212 πρὸ τῆς θείας ἐνανθρωπήσεως αὐτὸν ἐπιγνόντες τίνες; Πολλοὶ, καὶ σχεδὸν πρὸ πάντων καὶ ὑπὲρ πάντας ὁ Ἀβραὰμ, ὁ Ἰσαὰκ, ὁ Ἰακώβ · διὸ καὶ προσελήφθησαν δικαίως ὑπὸ Θεοῦ. Καὶ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ τὸ ἀπ' αὐτῶν ἅπαν γένος, ὡς καὶ λαὸν Θεοῦ τούτους εἶναί τε καὶ ὀνομάζεσθαι, καὶ γένος, ὢ τῆς ἀφάτου μεγαλοδωρεᾶς! ὕστερον τελέσαι Θεοῦ · δεῆσαν γὰρ αὐτῷ διὰ σαρκὸς ἐπιφανῆναι τῷ κόσμῳ, οὐ μόνον παρ' αὐτῶν ταύτην ἔλαβεν, ἀλλὰ καὶ πρὸς αὐτοὺς προηγουμένως ἦλθε, καθάπερ αὐτὸς ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησίν · « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴ- B κου Ἰσραήλ · » Ἰδὼν γὰρ ἐκπεσόντας τῆς πατρῴας ἐκείνης εὐσεβείας καὶ ἀρετῆς, καὶ τὴν αὐτοῦ γνῶσιν ἀπωσαμένους παριδεῖν οὐκ ἠνέσχετο διὰ τοὺς εὐσεβήσαντας αὐτῶν πατέρας, ἀλλὰ κλίνας οὐρανοὺς κατῆλθεν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ τούτοις συναναστρεφόμενος, καὶ λέγων καὶ πράττων τὰ τοῦ Θεοῦ. Καὶ οὐχ ἁπλῶς ταῦτα λέγων καὶ πράττων, ἀλλὰ καὶ ταῖς εἰς αὐτοὺς θεοπρεπέσιν εὐεργεσίαις ἐπιδαψιλευόμενος, καθαίρων τοὺς ἐν αὐτοῖς λεπρούς · φωτίζων τοὺς ἐν αὐτοῖς τυφλούς · σφίγγων τοὺς παραλύτους · ἀνορθῶν τοὺς συγκεκυφότας · τῶν δαιμονώντων ἀπελαύνων τοὺς δαίμονας · καὶ πᾶσαν ἁπλῶς νόσον, καὶ πᾶσαν μαλακίαν καὶ μανίαν ἰώμενος, καὶ νεκροὺς πρὸς ζωὴν ἐπανάγων μόνῳ προστάγματι.

Verum cum illi non tantum eum rejecerint, proprii beneficium in propria venientem, sed etiam, ut summatim loquar, eum neci tradiderint, et neci crucis, o insania! ut impium damnaverint Deum qui ad eos eorum gratia venerat, jure et ipsi derelicti sunt et condemnati ab eo qui eis dixit: « Ecce relinquetur domus vestra deserta [93]. » Et illorum rejectio facta est mundi reconciliatio, et nobis venit misericordia per infidelitatem eorum; insuper, o altitudo divitiarum et sapientiæ et scientiæ Dei! ut rursum loquar secundum Apostolum: « Conclusit Deus omnia in incredulitate, ut omnium misereatur [94]. » Nam modo audivimus evangelizantem Matthæum evangelistam: « Undecim discipuli abierunt in Galilæam, in montem ubi præceperat illis Jesus, et videntes eum adoraverunt, quidam autem dubitaverunt [95]. » Sed accedente Domino et cum eis colloquente, hi quoque confirmati sunt. Ait enim: « Accedens Jesus locutus est eis, dicens: Data est mihi omnis potestas in cœlo et in terra; euntes ergo docete omnes gentes [96]. » Hoc est propter quod paulo ante diximus illud apostolicum; quoniam rejectio Judæorum facta est mundi reconciliatio, et misericordia nobis venit ex incredulitate eorum. Nam qui prius suis dixit discipulis: « In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis; ite potius ad oves quæ perierunt de domo Israel [97], » idem nunc: « Euntes, ait,

Ὡς δὲ ἐκεῖνοι τοῦτον οὐ μόνον ἀπώσαντο, τὸν εἰς τὰ ἴδια ἐλθόντα εὐεργέτην οἱ ἴδιοι, ἀλλ' ἵνα τὸ τε- C λευταῖον εἴπω, καὶ θανάτῳ παρέδωκαν, καὶ θανάτῳ σταυρικῷ, βαβαὶ τῆς ἀπονοίας! ὡς ἀντίθεον τὸν ὑπὲρ αὐτῶν πρὸς αὐτοὺς διὰ σαρκὸς ἐπιφανέντα Θεὸν, ἐγκατελείφθησαν καὶ αὐτοὶ δικαίως, καὶ ἀπεβλήθησαν παρὰ τοῦ πρὸς αὐτοὺς εἰπόντος · « Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος · » καὶ ἡ τούτων ἀποβολὴ καταλλαγὴ κόσμου γέγονε, καὶ ἠλεήθημεν ἡμεῖς τῇ τούτων ἀπειθείᾳ · μᾶλλον δὲ, ὢ βάθους πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ἵνα πάλιν κατὰ τὸν Ἀπόστολον εἴπω, « Συνέκλεισεν ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ · » εὐαγγελιζομένου γὰρ ἠκούσαμεν ἀρτίως τοῦ εὐαγγελιστοῦ Ματθαίου, ὅτι « Οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ D δὲ ἐδίστασαν · » ἀλλὰ προσελθόντος τοῦ Κυρίου, καὶ ὁμιλήσαντος αὐτοῖς κἀκεῖνοι ἐβεβαιώθησαν · « Προσελθὼν γὰρ, φησὶν, αὐτοῖς ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων · Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς · πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη. » Τοῦτό ἐστι, δι' ὃ πρὸ μικροῦ τὸ ἀποστολικὸν ἔλεγον ἐκεῖνο, ὅτι ἡ ἀποβολὴ τῶν Ἰουδαίων καταλλαγὴ κόσμου γέγονε, καὶ ἠλεήθημεν ἡμεῖς τῇ τούτων ἀπειθείᾳ · ὁ γὰρ πρὸς τοὺς οἰκείους μαθητὰς λέγων πρότερον · « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε · πορεύεσθε

[91] Rom. I, 28. [92] Matth. XV, 24. [93] Matth. XXIII, 38. [94] Rom. XI, 33. [95] Matth. XXVIII, 16. [96] Matth. XXVIII, 18. [97] Matth. X, 5.

Digitized by Google

δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου A Ἰσραήλ· » οὗτος νῦν, « Πορευθέντες, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη· » καὶ γὰρ ἡμῶν ἀπειθησάντων πρότερον, καὶ τὸν ἐν τῷ κόσμῳ ὄντα, καὶ διὰ τῆς εὐκοσμίας τῶν ὄντων κηρυττόμενον Θεὸν μὴ ἐπιγνῶναι θελησάντων, τοῖς εὐπειθῶς ἐπιγνοῦσι δικαίως ὁ Κύριος δι' ἑαυτοῦ τε καὶ τῶν προφητῶν αὐτοῦ διελέγετο· νῦν δὲ κἀκείνων ἀπειθησάντων, οὐδὲν τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ προσίσταται, πρὸς τὸ καὶ ἡμᾶς ἐλεηθῆναι, καὶ διὰ τῶν ἱερῶν ἀποστόλων αὐτῷ μαθητευθῆναι. Καὶ τάχα τοῦτό ἐστιν τὸ, « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ **213** γῆς, » ὡς τῆς θείας δικαιοκρισίας μὴ ἐφιείσης πρότερον ἐπίσης τοῖς πειθομένοις καὶ τοὺς ἀπειθεῖς ἡμᾶς ἐλεεῖσθαι, καὶ προσκαλεῖσθαι πρὸς τὰ οὐράνια.

docete omnes gentes [28]. » Quippe cum prius infideles essemus, et Deum in mundo versatum atque pulchro rerum ordine prædicatum cognoscere nollemus, merito Dominus per semetipsum suosque prophetas eum fideliter noscentibus colloquebatur; nunc autem cum illi sint increduli, nihil obstat justo Dei judicio ut nos quoque misericordiam consequamur, et per sanctos apostolos de eo doceamur. Ideo statim adjecit: « Data est mihi omnis potestas in cœlo et in terra [29] », ita ut justi sit Dei judicii nos qui prius infideles cum fidelibus partem non habebamus, misericordiam obtinere, et ad cœlestia convocari.

Νῦν δὲ τῶν μὲν πρότερον, τῶν δὲ ὕστερον, ἀμφοτέρων δὲ καὶ πάντων συγκεκλεισμένων εἰς ἀπείθειαν, κατ' οἰκείαν ἐξουσίαν δεδομένην παρὰ τῆς οἰκείας δικαιοκρισίας, οὓς ἠθέλησεν ὁ Θεὸς ἠλέησεν. Ἠθέλησε δὲ καὶ ἠλέησεν ἡμᾶς τοὺς ἐξ ἐθνῶν, μᾶλλον δὲ πάντας, ἐπεὶ καὶ πάντων ἐστὶ Θεός· τὴν μὲν γὰρ τοῦ ἐλέους ἀρχὴν ἀφ' ἡμῶν ἠθέλησε ποιήσασθαι νῦν, ἀλλ' οὐκ ἀπὸ τῶν νῦν ἀπειθησάντων· οὐκ ἀπεστράφη δὲ τελέως οὐδ' ἐκείνους· ἀνέῳκται γὰρ κἀκείνοις δι' ἡμῶν ἡ θύρα τῆς σωτηρίας, εἴπερ βούλοιντο, καὶ τοὺς ἐξ αὐτῶν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ προσιόντας προσδέχεται ἀσμένως· οὐ γὰρ ἔπταισαν ἵνα πέσωσιν, ἀλλ' ἵνα τῷ αὐτῶν παραπτώματι τοῖς πρότερον ἀπειθήσασιν ἡμῖν ἡ σωτηρία προσγένηται, εἰς τὸ παραζηλῶσαι αὐτοὺς καὶ πρὸς τὴν ὁμοίαν ἐφελκύσασθαι σωτηρίαν, εἴ γε μὴ τοὺς ὀφθαλμοὺς ἐκόντες μύουσι, καὶ τὰ ὦτα βύουσιν, ἵνα μὴ ἰδόντες καὶ ἀκούσαντες καὶ πιστεύσαντες σωθῶσι. Καὶ παραπλήσιόν τι γέγονεν, ὥσπερ ἂν εἴ τις σκεῦος ἐν ἑαυτῷ πηγὴν ἐλαίου φέρον ἐπὶ θάτερα παρασκευάσει νεύειν· τὸ δὲ δαψιλὲς τὸ ῥεῦμα ἀφιὲν οὐ τὸ πρὸς ὃ νεύει μόνον, ἀλλὰ καὶ τὸ ἕτερον πλημμυρῆσαν κατακλύσει μέρος· ἡ γὰρ ἐπὶ τοῦ προσκυνητοῦ σώματος ἄβυσσος τῶν θείων οἰκτιρμῶν ἐπὶ τὰ ἔθνη νεύσασα, οἷον τῶν Ἰουδαίων ὠθησάντων, οὐ τῶν ἐθνῶν μόνον τοὺς πιστεύσαντας, ἀλλὰ καὶ τοὺς ἐξ Ἰουδαίων συμπεριέλαβεν. « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Ἔστι καὶ κατὰ τὸ ἀνθρώπινον νοῆσαι τοῦτο· ἣν γὰρ ἐξουσίαν ὡς Θεὸς ἐξ ἀϊδίου εἶχε, καὶ τὴν δύναμιν καὶ τὴν δόξαν καὶ τὸ ὑπερουράνιον ὕψος καὶ τὸ ἀξίωμα νῦν λαμβάνει ὡς ἄνθρωπος. Ἐδόθη μοι τοίνυν ἐκ νεκρῶν ἀναστάντι, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Οὐκ ἔτι βασιλεύει τῆς σαρκὸς ὁ θάνατος· τὸ γὰρ θνητὸν αὐτῆς ὑπὸ τῆς ζωῆς ἐν ἐμοὶ κατεπόθη. Οὐκ ἔτι τελευτὴ καὶ τελεία λῆξις ὁ θάνατος· ἡ γὰρ ἀθάνατος ζωὴ τοῦτον ἐν ἐμοὶ διεδέξατο, καὶ δι' ἐμοῦ πάντες οἱ θανόντες εἰς ζωὴν μεταβήσονται. Οὐκέτι καθέξει τὰ σώματα τῶν θανόντων ἐπὶ γῆς ὁ θάνατος· ἐγὼ γὰρ τὸ γηγενὲς ἐμὸν σῶμα τοῖς ἐν οὐρανοῖς ἐνθρονίσω, καὶ σὺν αὐτῷ τῶν οὐρανῶν βασιλεύων ἐλεύσομαι πάλιν καὶ κρινῶ πᾶσαν τὴν γῆν

B Nunc autem et prioribus et posterioribus, utrisque et omnibus in incredulitate constrictis, vi ejus libertatis quam dedit justum judicium, Deus cujus vult miseretur. Voluit vero et misertus est nobis ex gentibus, et potius omnibus, cum sit omnium Deus; voluit quidem misericordiam a nobis incipere, et non ab eis qui nunc versantur in incredulitate; sed neque omnino eos aversatus est; nam ipsis etiam per nos aperta est porta salutis, si voluerint, et eos qui ex eis in nostram intrant Ecclesiam cum gaudio accipit; non enim offenderunt ut cadant, sed ut per suam offensam salus nobis prius incredulis adveniret, ut zelo accendantur, et ad similem trahantur salutem, nisi oculos habentes non C videant, et aures habentes non audiant, ne videntes et audientes et credentes salvi fiant. Factum est perinde ac si qui vas in semetipso fontem olei ferens ad illud super alia infundendum se accingat, copiosum autem fluentum inde effusum non tantum partem cui instillatur, sed etiam alteram redundans abluat; nam abyssus divinarum misericordiarum in adorabili corpore contenta in gentes diffusa, Judæis utpote refragantibus, non tantum eos qui crediderunt ex gentibus, sed etiam fideles ex Judæis comprehendit. « Data est mihi omnis potestas in cœlo et in terra. » Hæc secundum naturam humanam sunt accipienda; nam quam ut Deus ab æterno potestatem habuit, et virtutem et gloriam et cœlestem celsitudinem et dignitatem, nunc ut homo D accipit. Dixit ergo, Data est mihi a mortuis redivivo omnis potestas in cœlo et in terra. Jam mors nequaquam carni imperat; nam quod ejus erat mortale a vita in me absorptum fuit. Jam mors non est sors ultima et finalis; illam enim in me recepit vita immortalis, et per me omnes mortui in vitam transibunt. Jam mors non possidebit in terra corpora mortuorum; ego enim terrenum corpus meum in cœlesti ponam solio; et cum eo regens cœlestia rursum veniam et judicabo omnem terram, ut rex universi; et dignos quidem terræ in ea relinquam, quos vero justos invenerim cum suis corporibus in cœlum assumam, et regnum cœlorum

[28] Matth. xxviii, 18. [29] ibid.

Digitized by Google

ipsis impertiam. « Euntes ergo, ait, docete omnes gentes, baptizantes et instruentes eos. » Quod etiam pertinet ad acceptam ejus potestatem; nam non dixit solummodo, instruentes, sed etiam, docentes omnes gentes. Illud quidem ad apostolos spectabat qui adimplerent mandatum illius, sed discipulos consequi et baptizare omnes qui ex omni gente et populo turmatim convenerint, hoc non est tantum instruentium, sed et audientium, potius vero divinæ gratiæ et virtutis auxiliantis. Quod ostendens divus Paulus dicebat : « Data est mihi gratia hæc in omnibus gentibus evangelizare [1]. » « Baptizantes eos in nomine Patris et Filii et Spiritus sancti. » Viden' eamdem naturam eamdemque dignitatem trium adorabilium personarum palam prædicatam? Nam unum nomen trium, una ex eis sanctificatio, una in eas fides.

A ὡς τοῦ παντὸς βασιλεύς. Καὶ τοὺς μὲν ἀξίους τῆς γῆς ἐν αὐτῇ καταλείψω· τοὺς δὲ δικαιωθέντας μετὰ τῶν οἰκείων σωμάτων εἰς οὐρανοὺς ἀναλήψομαι, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν αὐτοῖς χαρίσομαι. Πορευθέντες νῦν, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες καὶ διδάσκοντες αὐτούς· καὶ τοῦτο τῆς ἐξουσίας ἣν ἔλαβεν· οὐ γὰρ εἶπε « διδάσκοντες » μόνον, ἀλλὰ καὶ « μαθητεύσατε πάντα τὰ ἔθνη. » Τὸ μὲν διδάσκειν μόνον τῶν ἀποστόλων ἦν τελούντων τὸ πρόσταγμα· τὸ δὲ καὶ μαθητὰς κτᾶσθαι καὶ βαπτίζειν, καὶ ταῦτα ἐκ παντὸς ἔθνους τε καὶ γένους κατὰ πλήθη συμφορουμένους, οὐκέτι τῶν διδασκόντων ἦν μόνον, ἀλλὰ καὶ τῶν ὑπακουόντων, μᾶλλον δὲ τῆς θείας χάριτος καὶ δυνάμεως τοῦ προστάξαντος· ὃ δηλῶν καὶ ὁ θεῖος Παῦλος ἔλεγεν· B Ἐδόθη μοι χάρις εἰς ὑπακοὴν ἐν πᾶσι τοῖς ἔθνεσι. Βαπτίζοντες αὐτοὺς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ὁρᾶτε τὴν συμφυΐαν καὶ τὴν ὁμοτιμίαν τῶν τριῶν προσκυνητῶν προσώπων παῤῥησίᾳ κηρυττομένην; Ἓν γὰρ ὄνομα τῶν τριῶν· εἷς ὁ ἐκ τούτων ἁγιασμός· μία ἡ πρὸς ταῦτα πίστις.

Sæpius vero de istis dictum erat in Evangelio, sed obscurius. Baptizato Domino, personarum Trinitas aperte quidem monstrata fuit, non ita vero unitas naturæ et dignitatis. Nunc autem prædicari et in corde credentium ab initio reponi mandat Dominus, ita ut sine hac veritate et fide in eam nequeant omnino principium pietatis fundare. Sed non solummodo dixit : « Baptizantes eos, » sed et : « Docentes servare omnia quæcunque mandavi vobis; » unde non sufficit solum baptisma ut hominem faciat Evangelii discipulum, sed oportet etiam ut serventur divina mandata, et hæc quidem omnia. Recte igitur Jacobus frater Domini scripsit dicens: « Quicunque totam legem servaverit, offendat autem in uno, factus est omnium reus [2]. » Nam qui cujuslibet peccati reus factus fuerit, et nequaquam semetipsum per pœnitentiam a barathro peccati eruerit, transgressor fit universæ legis gratiæ. Sic ergo, inquit, loquimini, sic facite, tanquam a lege libertatis judicandi; nam lex Christi lex est libertatis; quippe nos liberavit per divinum baptismum a lege peccati et mortis. Igitur nisi studeamus nobis usque ad finem custodire libertatem per opera verbaque irreprehensibilia, vel nisi amissam per pœnitentiam recuperemus, ab ea quæ nos liberavit lege damnabimur, quoniam non servaverimus datam nobis libertatem. Ideo divus Paulus de semetipso dixit : « Sic curro, non quasi in incertum; sic pugno, non quasi aerem verberans; sed castigo corpus meum et in servitutem redigo, ne postquam aliis prædicaverim, ipse reprobus efficiar [3]. » Nobis autem ad parem zelum excitans : « Nescitis, inquit, quoniam qui in stadio currunt, omnes quidem currunt, sed non omnes accipiunt bravium [4]. » Quæ non dixit quasi unus tantum bravium salutis acciperet, sed quoniam illi qui admodum student illud accipiunt, sive unus sit, sive sint plures. Nam ne-

**214** Εἴρηται δὲ πολλάκις ἐν τῷ Εὐαγγελίῳ περὶ τούτων, ἀλλὰ ἀμυδρότερον. Καὶ τοῦ Κυρίου δὲ βαπτιζομένου, τὸ μὲν τρισυπόστατον τρανῶς ἐδείχθη, τὸ δὲ συμφυὲς τούτων καὶ ὁμότιμον οὐχ οὕτω· νῦν δὲ πᾶσι κηρύττεσθαι καὶ τῇ καρδίᾳ τῶν πιστευόντων ἐξ ἀρχῆς ἐναποτίθεσθαι παραγγέλλει ὁ Κύριος, ὡς οὐκ ἐνὸν δίχα τοῦ δόγματος τούτου καὶ τῆς κατ' αὐτὸ πίστεως ἀρχὴν ὅλως θεοσεβείας καταβαλέσθαι. Οὐ βαπτίζοντες δὲ μόνον, ἀλλὰ καὶ διδάσκοντες τη- C ρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· ὥστε οὐκ ἀρκεῖ τὸ βάπτισμα μόνον μαθητὴν ποιῆσαι τοῦ Εὐαγγελίου τὸν ἄνθρωπον, ἀλλὰ δεῖ καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως, καὶ τούτων πασῶν· διδάσκοντες γὰρ τηρεῖν αὐτοὺς, φησὶν, οὐ τινὰ, ἀλλὰ πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Καλῶς ἄρα Ἰάκωβος ὁ ἀδελφόθεος ἔγραφε, λέγων· « Ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος· » δι' ἑκάστης γὰρ ἁμαρτίας ὁ περιπεσὼν καὶ μὴ διὰ τῆς μετανοίας ἀπὸ τοῦ βαράθρου τῆς ἁμαρτίας ἑαυτὸν ἀναλαβὼν παραβάτης γίνεται τοῦ νόμου τῆς χάριτος. Οὕτως οὖν, φησὶ, λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς ὑπὸ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι· ὁ γὰρ τοῦ Χριστοῦ νόμος νόμος ἐλευθερίας ἐστίν· ἠλευθέρωσε γὰρ ἡμᾶς διὰ τοῦ θείου βαπτίσματος ἀπὸ τοῦ D νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. Ἂν τοίνυν μὴ σπεύσωμεν ἕως τέλους ἑαυτοῖς φυλάξαι τὴν ἐλευθερίαν δι' ἔργων τε καὶ λόγων ἀνεγκλήτων, ἢ διαπεσοῦσαν ἐπαναχαλέσασθαι διὰ τῆς μετανοίας, ὑπ' αὐτοῦ τοῦ ἐλευθερώσαντος νόμου κατακριθησόμεθα, ὡς μὴ τηρήσαντες τὴν δεδομένην ἡμῖν ἐλευθερίαν. Διὸ Παῦλος ὁ θεῖος περὶ μὲν ἑαυτοῦ φησιν· « Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. » Πρὸς ἡμᾶς δὲ, πρὸς τὸν ὅμοιον διεγείρων ζῆλον, « Οὐκ οἴδατε, φησὶν, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει

[1] Ephes. III, 8. [2] Jac. II, 10. [3] I Cor. IX, 26. [4] I Cor. IX, 24.

Digitized by Google

τὸ βραβεῖον; » Οὐχ εἶπε δὲ τοῦτο, ὡς ἑνὸς κἀνταῦθα τὸ βραβεῖον τῆς σωτηρίας λαμβάνοντος, ἀλλ' ὡς τῶν ἄγαν σπευδόντων ἐκεῖνο λαμβανόντων, κἂν εἷς ᾖ, κἂν εἶεν πλεῖστοι· ἀνέκλειπτον γάρ ἐστιν ἐκεῖνο τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ ἀρκεῖ πρὸς πάντας ἀμειώτως μεταδιδόμενον. Διὸ πάλιν ὁ αὐτὸς πᾶσιν ἐπάγει λέγων· « Οὕτω τρέχετε, ἵνα καταλάβητε. » Ἀλλὰ καὶ τὸν τρόπον ὑποδεικνὺς τοῦ δρόμου· « Πᾶς δὲ ὁ ἀγωνιζόμενος, φησὶ, πάντα ἐγκρατεύεται, » μηδεμιᾷ ποτε τῶν ἀπηγορευμένων ἡδονῶν ἔκδοτον εἰς τέλος ἑαυτὸν παρέχων. Εἶτα ὡς ἐνισταμένων τῶν βεβαπτισμένων καὶ λεγόντων διὰ μόνου τοῦ βαπτίσματος χωρὶς τῶν ἔργων εὐπροσδέκτους εἶναι τῷ Θεῷ, διὰ τῶν ἐκ παλαιοῦ τύπων αὐτὸς δείκνυσι καὶ ἀναπείθει εὐδοκεῖν ἐν μηδενὶ τὸν Θεὸν, ἂν μὴ μετὰ τοῦ πίστιν ἔχειν ἀσφαλῆ καὶ τῶν πονηρῶν ἀπέχηται καὶ παθῶν καὶ λόγων καὶ πράξεων· « Οὐ θέλω γὰρ, φησὶν, ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός. »

A quit exhauriri illud bravium supernæ vocationis, sed omnibus sufficit sine imminutione communicatum. Ideo rursus idem omnibus loquens addit : « Sic currite ut comprehendatis. » Sed et modum cursus ostendens : « Omnis, ait, qui in agone contendit, ab omnibus se abstinet; » tunc enim nulli voluptatum prohibitarum totus indulget. Deinde perinde ac si baptizati censerent et dicerent se per solum baptisma sine operibus esse Deo acceptabiles, per figuras ex veteri Testamento desumptas, monstrat et suadet neminem Deo placere, nisi cum fide firma a pravis passionibus et verbis et operibus abstineat. Nam dixit : « Nolo vos ignorare, fratres, quoniam patres nostri omnes sub nube fuerunt, et omnes mare transierunt, et omnes in B Moyse baptizati sunt in nube et in mari, et omnes eamdem escam spiritalem manducaverunt, et omnes eumdem potum spiritalem biberunt ; bibebant autem de spiritali consequente eos petra, petra autem erat Christus. Sed non in pluribus beneplacitum est Deo [4]. »

Ταῦτα δὲ πάντα τύποι τῶν καθ' ἡμᾶς ἱερῶν μυστηρίων ἦσαν· ἡ θάλασσα τοῦ κατὰ τὸ βάπτισμα ὕδατος· ἡ νεφέλη τοῦ ἄνωθεν μυστικῶς τοῖς βαπτιζομένοις **215** ἐπισκιάζοντος θείου Πνεύματος· τὸ βρῶμα καὶ τὸ πόμα, τοῦ Χριστοῦ σώματος καὶ αἵματος, ὧν ἡμεῖς καθ' ἑκάστην ὡς εἰπεῖν μετέχομεν· διὰ τοῦτο γὰρ καὶ τὴν ἄψυχον καὶ ἀναίσθητον ὕλην τὴν πέτραν ἐκείνην πνευματικὴν ἐκάλεσεν ὁ Παῦλος. Ὥσπερ γὰρ ψυχικὸν λέγεται σῶμα τὸ ὑπὸ ψυχῆς δυναμούμενόν τε καὶ κινούμενον, οὕτω καὶ πνευματικόν ἐστι σῶμα, τὸ ὑπὸ τοῦ θείου Πνεύματος ὑπερφυῶς ἐνεργούμενον. Ἐπεὶ οὖν ἡ πέτρα ἐκείνη παραδόξως ἐνεργουμένη παρὰ τοῦ Πνεύματος, τὴν τοῦ ὕδατος πηγὴν συμμεταφερομένην εἶχεν ἐν ἑαυτῇ, καὶ παρ' ἑαυτῆς ἀφθόνως ἀνεδίδου, πνευματικὴ δικαίως ἐκλήθη παρὰ τοῦ Παύλου, καὶ εἰς τύπον προσελήφθη τοῦ Χριστοῦ σώματος· καὶ τοῦτο γὰρ ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ πληρώματος τῆς θεότητος ἐνεργούμενον ἔχει τε καὶ παρέχει τοῖς πιστῶς προσιοῦσιν ἀφθόνως τὴν πηγὴν τῆς ἀϊδίου ζωῆς. Ἀλλὰ πρὸς ὃν νῦν ἡμῖν ὁ λόγος. Εἰπὼν ὁ θεῖος Παῦλος, ὅτι οἱ πρὸ ἡμῶν ἐκεῖνοι πάντων μετέσχον τῶν ἐν τύπῳ μυστηρίων, ἐπήγαγεν· « Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ, καὶ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. » Τοῦτο λέγων ἄντικρυς, ὅτι καθάπερ ἐκείνους, πρὸς τὰς πονηρὰς ἐπιθυμίας ἐκκλίναντας, οὐδὲν ὠφέλησαν οἱ δοθέντες τύποι τῶν μυστηρίων, οὐδὲ ἐξείλοντο τῆς θείας ἐγκαταλείψεως, διὸ καὶ καταφθαρέντες ἐκτὸς εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ ἀπεσώθησαν, οὕτω καὶ ἡμᾶς, εἴπερ ἐν ἁμαρτίαις ζῆν προαιρούμεθα, τὸ

Verum hæc omnia præfigurabant sancta qui apud nos aguntur mysteria; habemus et nos mare baptismatis aquæ, nubem divini Spiritus deorsum baptizatos obumbrantis, escam et potum corporis et sanguinis Christi quibus singulis, ut ita dicam, diebus communicamus ; ideo inanimem et sensus expertem materiam, petram illam vocavit Paulus spiritalem. C Quemadmodum animatum dicitur corpus quod ab anima firmatum movetur, ita spiritale est corpus quod ex divino Spiritu supra naturam operatur. Igitur cum petra illa prodigiose a Spiritu operata, fontem aquæ in semetipsa secum ferebat, et a semetipsa abundanter præbebat, jure a Paulo vocata fuit spiritalis, et in figuram corporis Christi fuit assumpta ; istud enim ex plenitudinis deitatis in ipso habitantis operans habebat et impertiebat ex abundantia fideliter accedentibus fontem vitæ æternæ. Sed redeamus ad illud de quo nobis est hodiernus sermo. Cum dixisset divus Paulus illos pro nobis omnium in figura mysteriorum fuisse participes, addidit : « Sed non in pluribus eorum bene- D placitum est Deo ; nam prostrati sunt in deserto ; hæc autem facta sunt in figura nostri, ut non simus concupiscentes malorum, sicut et illi concupierunt [5]. » Quod prorsus dicit ut sicut illis ad malas concupiscentias propensis minime profuerunt figuræ mysteriorum ; nec omitte divinam derelictionem, ideoque extra pessumdati non intraverunt in terram promissionis ; ita et nos, si in peccatis vivere maluerimus, divinum baptisma, divinaque illud sequentia mysteria ab æterna damnatione non eruent; sed decidemus ex cœlesti hæreditate, quemadmodum illi ex terra promissionis, sine pœnitentia

[4] I Cor. x, 1. [5] I Cor. x, 5.

Digitized by Google

conversati, neque divinis mandatis obedientes. Itaque adjicit iterum nobis dicens : Absit, fratres, ut simus increduli, neque obduremus corda nostra, sicut illi in die tentationis in deserto. Ait enim : « Quibus infensus est? nonne eis qui peccaverunt, quorum cadavera prostrata sunt in deserto? Quibus autem juravit non introire in requiem ipsius, nisi illis qui increduli fuerunt? Et videmus quia non potuerunt introire [6]. » « Neque fornicemur, sicut quidam ex ipsis fornicati sunt, et ceciderunt una die viginti tria millia ; neque tentemus Christum non credentes in ejus ad nos promissiones, neque parentes mandatis et præceptis illius, sicut quidam eorum tentaverunt, et perierunt a serpentibus, neque murmuremus, sicut quidam eorum murmuraverunt, et perierunt ab exterminatore [7]. » Nam possumus etiam apud B nos hæc prava viderefa cinora, et horrendas istas passiones, possumus intueri quoniam propter peccata nostra mala patimur, et eisdem ac illi tentamur malis sollicitationibus. Quis enim nescit ignem avaritiæ in nobis ardere, et ad summum accendi, et fere quocunque antecedere in vulgares sumptus, in fora communia, in agros, in commutationes, in mercaturas? Imo in nobis sacras ædes penetravit, et festivos dies aggressus non festivas fecit festivitates nostras æstuante et plerumque mendace ad lucrum furore et vanitate. In quo discrepant ab illo qui Evam olim decepit serpente, et ab illis qui in deserto morsu interfecerunt serpentibus, qui mendaciis et dolis seditiones gentilicias movent? Quot ex nostris temperan- C tiam obliviscuntur licitis connubiis minime contenti, curruntque ad meretrices coitusque illicitos?

A θεῖον βάπτισμα καὶ τὰ ἑπόμενα τούτῳ θεῖα μυστήρια τῆς αἰωνίου καταδίκης οὐ ῥύσεται· ἀλλ' ἐκπεσούμεθα τῆς οὐρανίου κληρονομίας, ὡς ἐκεῖνοι τῆς γῆς τῆς ἐπαγγελίας, ἀμετανοήτως πολιτευόμενοι, καὶ ταῖς θείαις ἐντολαῖς μὴ πειθόμενοι. Διόπερ ἐπάγει πάλιν αὐτὸς πρὸς ἡμᾶς λέγων· « Μὴ ἀπειθεῖς ὦμεν, ἀδελφοί, μηδὲ σκληρύνωμεν τὰς καρδίας ἡμῶν, ὡς ἐκεῖνοι κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· » « Τίσι γὰρ προσώχθισε, φησίν, οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι ; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν. Μηδὲ πορνεύωμεν καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες· μηδὲ πειράζωμεν τὸν Χριστὸν, ἀπιστοῦντες ταῖς αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίαις, καὶ ἀπειθοῦντες ταῖς ἐντολαῖς καὶ τοῖς προστάγμασιν αὐτοῦ, καθὼς καί τινες ἐκείνων ἐπείρασαν, καὶ ἀπώλοντο ὑπὸ τῶν ὄφεων· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. » Ἔστι γὰρ καὶ ἐφ' ἡμῶν ὁρᾷν τάς τε πονηρὰς ταύτας πράξεις, καὶ τὰ πάνδεινα ταῦτα πάθη, καὶ συνορᾷν ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν πάσχομεν κακῶς, καὶ τῶν αὐτῶν ἐκείνοις πειρώμεθα δεινῶν. Τίς γὰρ οὐκ οἶδε τὸ πῦρ τῆς πλεονεξίας ἐφ' ἡμῶν καιόμενον, καὶ εἰς ὕψος αἰρόμενον, καὶ πανταχοῦ σχεδὸν φθάνον, ἐπὶ τοὺς πανδήμους φόρους, ἐπὶ τὰς κοινὰς ἀγορὰς, ἐπὶ τὰς γεωργίας, ἐπὶ τὰς συναλλαγὰς, ἐπὶ τὰς ἐμπορίας ; Ἤδη δὲ καὶ τῶν ἱερῶν ἐχώρησεν εἴσω δόμων, καὶ τῶν ἑορτασίμων κατετόλμησεν ἡμερῶν, ἀνεόρτους ἡμῖν καὶ τὰς ἑορτὰς ποιοῦν τῇ κατεσπουδασμένῃ καὶ κατεψευσμένῃ τῶν πλείστων περὶ τὸ κέρδος μανίᾳ καὶ ματαιότητι. Τί διαφέρουσι τοῦ ψιθυρίσαντός ποτε τὴν Εὔαν ὄφεως, καὶ τῶν ἐν τῇ ἐρήμῳ δακνόντων ὄφεων ἐκείνων, οἱ ψιθυρισμοῖς καὶ δόλοις τὰς ἐν ἡμῖν ἐμφυλίους κινοῦντες στάσεις; Πόσοι τῶν ἡμετέρων τῆς σωφροσύνης 216 καταμελοῦσι τοῖς κατὰ νόμον οὐκ ἀρκούμενοι γάμοις, ἀλλὰ πόρναις καὶ παρανόμοις ἐπιτρέχοντες κοίταις;

Propter ista et similia multi ex nostris, alii quidem gladii, alii latronis præda fuerunt, cæteri autem erunt, nisi pœnitentiam agant ; nam si quis hic effugiat præsentem hanc iram imminentem, post mortem certo incidet, in manus ejus qui sine pœnitentia mortuos ira obruet. Dixit enim : « Propterea venit ira Dei in filios diffidentiæ, » tam præsens quam futura. Igitur, fratres, convertamur singuli ab operibus nostris perversis ; nequaquam mala agamus, ne nos mala deprehendant, sed disca- D mus bonum agere. Peccata quidem per confessionem et consentaneam pœnitentiam rejiciamus ; si vero non perfecte possumus virtutibus incumbere, nostra ad Deum humilitate, bonorum quibus abundamus communicatione cum pauperibus, nostra erga eos qui nos offenderunt indulgentia, veniam a Deo attrahamus, et quod in nostris operibus bonis deficit, Dei benignitate suppleamus, ut Dominus nobiscum maneat in sempiternum, prout promisit; nam cum mandavisset discipulis baptizare et do-

Διὰ ταῦτα καὶ τὰ τοιαῦτα πολλοὶ τῶν ἡμετέρων, οἱ μὲν μαχαίρας ἔργον, οἱ δὲ λεηλασίας γεγόνασιν· οἱ δὲ μέλλουσιν, ἂν μὴ μετανοήσωσι· κἂν γὰρ ἐνταῦθά τις διαφύγῃ τὴν μέλλουσαν ἐκείνην ὀργὴν, μετὰ θάνατον τοὺς ἀμετανοήτως ζῶντας ἀναπόδραστον οὐ διαφεύξεται· « Διὰ ταῦτα γὰρ ἔρχεται, φησὶν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, » ἥ παροῦσά τε καὶ ἡ μέλλουσα. Ἐπιστρέψωμεν οὖν, ἀδελφοί, ἀπὸ τῶν πονηριῶν ἡμῶν ἕκαστος· μὴ ποιῶμεν κακὰ, καὶ οὐ μὴ καταλάβῃ ἡμᾶς κακά· ἀλλὰ μάθωμεν καλὸν ποιεῖν. Καὶ τὰς μὲν κακίας δι' ἐξομολογήσεως καὶ τῆς προσηκούσης μετανοίας ἀποβαλώμεθα· τῶν δὲ ἀρετῶν ἂν μὴ τελέως ἀντέχεσθαι δυνώμεθα τῇ πρὸς τὸν Θεὸν ταπεινώσει, καὶ τῇ πρὸς τοὺς πένητας ἀφ' ὧν εὐποροῦμεν μεταδόσει, καὶ τῇ πρὸς τοὺς πταίοντας ἀνεξικάκῳ προαιρέσει, τὴν ἄνωθεν συγγνώμην ἐπισπασώμεθα, καὶ τὴν ἡμετέραν ἐν ἔργοις ἀγαθοῖς ἔλλειψιν διὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀναπληρώσωμεν, ἵνα μεθ' ἡμῶν ἀδιαλείπτως μένῃ κατὰ τὴν ἐπαγγελίαν

[6] Hebr. III, 17. [7] I Cor. X, 8.

Digitized by Google

ὁ Κύριος παραγγέλλων γὰρ τοῖς μαθηταῖς βαπτίζειν καὶ διδάσκειν, ἐπιφέρει· « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Οἱ μὲν οὖν αὐτήκοοι γεγονότες, ὑπηρετήσαντες τῇ τοῦ Θεοῦ βουλῇ ἐπὶ τῆς γενεᾶς ἐκείνης, ἀπανέστησαν τῶν ὧδε· καὶ ἡμῖν οὐκοῦν ἐστιν ἡ ἐπαγγελία, τοῖς κατὰ γενεὰς μέχρι συντελείας τοῦ αἰῶνος εἰς αὐτὸν πιστεύουσι, καὶ δι' ἔργων τὴν πίστιν ἐπιδεικνυμένοις· ὡς ἂν ἀπὸ τῶν ἐνταῦθα μεθ' ἡμῶν τὸν Κύριον ἔχοντες, ἐν αὐτῷ καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, εἰς δόξαν αὐτοῦ, καὶ τοῦ ἀνάρχου Πατρὸς αὐτοῦ, καὶ τοῦ συναϊδίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A cere, addidit: « Ecce vobiscum sum omnibus diebus usque ad consummationem sæculi. » Igitur qui dociles fuerint et divinæ voluntati servientes in generatione sua, hinc resurgent; nobisque facta est promissio qui a nativitate usque ad sæculi consummationem in eum crediderimus, et operibus fidem monstraverimus, ut cum jam Dominum his in terris nobiscum habuerimus, in ipso tum præsentia tum futura bona consequamur, in gloriam ipsius, æternique ejus Patris et coæterni Spiritus, nunc et semper et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ ΛΘ'.

*Ῥηθεῖσα ἐν λιτῇ, γενομένῃ διὰ τὴν ἀήθη καὶ ἀθρόαν τοῦ θανάτου τηνικαῦτα πληγήν.*

Ἰωάννης ὁ ἠγαπημένος τῷ Χριστῷ Θεολόγος φησίν· « Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεὸν, καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. » Ἡμεῖς δὲ οἱ αὐτοκατάκριτον ἔχοντες τὸ συνειδὸς, οἱ ὀπίσω τῶν ἐπιθυμιῶν ἡμῶν τῶν πονηρῶν πορευόμενοι, οἱ τὰς ἐντολὰς τοῦ Θεοῦ παρωσάμενοι, καὶ τὰ βδελυκτὰ ἐνώπιον αὐτοῦ ἐργαζόμενοι, οἱ μεθύοντες καθ' ἡμέραν, καὶ διημερεύοντες ἐν οἴνῳ, καὶ κατασκοποῦντες ποῦ πότος γίνεται· οἱ διανυκτερεύοντες ἐν ἀκαθαρσίᾳ ψυχῆς **217** καὶ σώματος· οἱ ἀδικίᾳ καὶ πλεονεξίᾳ συζῶντες· οἱ κλοπαῖς καὶ ἁρπαγαῖς χαίροντες· οἱ φθόνον καὶ μῖσος κατ' ἀλλήλων ἔχοντες· οἱ λοιδοροῦντες ἀλλήλους· οἱ καταλαλοῦντες ἀλλήλων· οἱ πᾶσαν ἀρετὴν καὶ παιδείαν μισήσαντες, καὶ πρὸς πᾶν εἶδος ἁμαρτίας ἑαυτοὺς εἰσωθήσαντες, πῶς σχῶμεν παῤῥησίαν διὰ προσευχῆς καὶ ψαλμῳδίας αἰτήσασθαί τι παρὰ Θεοῦ; Πόθεν δὲ προσδοκήσομεν λήψεσθαι παρὰ Θεοῦ τὰ αἰτήματα, οἱ τὰ τοῦ Θεοῦ ἀθετοῦντες θελήματα; « Τῷ γὰρ ἁμαρτωλῷ, κατὰ τὸν Ψαλμῳδὸν, εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου. Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος· » ὥσπερ νῦν ἡμεῖς ἁρπαζόμεθα, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος, οὐκ ἔστιν ὁ βοηθῶν. Ἀλλ' οὐχ ἕκαστος ἡμῶν ἔχει πάντα τὰ προκατηριθμημένα τῆς ἁμαρτίας εἴδη· ἀλλ' ἕκαστος ἡμῶν δι' ἑνὸς τούτων, ἢ καὶ πλειόνων, πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν· καίτοι καὶ τούτων ἕκαστον ἱκανὸν ἀπώσασθαι τὸν ἔλεον τοῦ Θεοῦ, καὶ

## HOMILIA XXXIX.

B *Dicta in supplicatione publica quæ facta est propter insolitam et ubique tunc grassantem mortis plagam.*

Joannes dilectus Christo theologus dixit: « Si cor nostrum non reprehenderit nos, fiduciam habemus ad Deum, et quidquid petierimus, accipiemus ab eo; quoniam mandata ejus custodimus, et ea quæ sunt placita coram eo facimus [1]. » Nos autem qui a nostra arguimur conscientia, qui post concupiscentias nostras malas abivimus, qui mandata Dei rejecimus, et turpia egimus in conspectu illius, qui per singulos dies inebriamur, et in vino totam diem transigimus, considerantes unde veniat potus; qui noctem agimus in immunditia animæ et corporis; qui iniquitati et avaritiæ assuescimus, qui furtis et rapinis gaudemus; qui invidiam et C odium ad invicem habemus; qui nos mutuis lacessimus opprobriis, qui nobis invicem maledicimus: qui omnem virtutem et disciplinam odimus; qui in omnem formam peccati ruimus, quomodo fiduciam habebimus per orationem et psalmodiam omnia a Deo consequendi? Unde sperabimus a Deo obtinere quæcunque petierimus, qui mandata Dei rejecimus? Peccatori enim, secundum Psalmistam, dixit Deus: Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum? Tu vero odisti disciplinam, et projecisti sermones meos retrorsum. Si videbas furem, currebas cum eo; et cum adulteris portionem tuam ponebas. Os tuum abundavit malitia, et lingua tua concinnabat dolos. D Sedens adversus fratrem tuum loquebaris, et adversus filium matris tuæ ponebas scandalum. Arguam te, et statuam contra faciem tuam iniquitates tuas. Intelligite hæc, omnes qui obliviscimini Deum, ne quando rapiat et non sit qui eripiat [2], » sicut nunc nosmetipsi rapimur, et nemo est qui eripiat, non est auxiliator. Equidem non habemus singuli universas supra enumeratas peccatorum species, sed omnes per unam vel etiam plures ex eis declinavimus et facti sumus inutiles; porro quælibet species nata est amovere misericordiam Dei, et ejus iram inducere. Quid Israelitas fecit indignos tabulis a Deo conditis? nonne ebrietas? Ascendens

[1] I Joan. III, 21. [2] Psal. XLIX, 10 seqq.

A ab his qui ad inquirendum accesserant, sicut antea in sepulcro Filii ejus et Domini. Cum opus non esset ut illa quoque, sicut ejus Filius et Deus, in terra moraretur, ideo illico a sepulcro in cœlum assumpta est, unde ad terram clarissimos et divinissimos splendores gratiasque emittit, totam inde terram illuminans, ab omnibus fidelibus celebrata, necnon cultu et admiratione affecta. Nam Deus, quum vellet imaginem omnis pulchritudinis creare, suamque similitudinem tam angelis quam hominibus proponere, eam talem totamque pulchram operatus est, omnia congregans quibus in ordine distributis adornavit, bonisque tum visibilibus, tum invisibilibus communem mundum constituit, vel potius illam exhibuit communem misturam omnibus venustatibus tum divinis, tum angelicis, tum humanis, et eximiam pulchritudinem utrumque mundum adornantem, in terris quidem incipientem, in cœlum vero pervenientem, istudque transcendentem sua a sepulchro in cœlum hodierna assumptione, et superna terrenis conjungentem, et universum miraculis ejus gratia patratis replentem, ita ut etiam in eo quod ab initio dicta fuerit paulo minor ab angelis, quia mortem gustavit, Deiparæ super omnia excellentiam adaugeat, unde merito omnia ad ejus præconium conspirant simulque hodie illud componunt.

αὐτῆς ἀναστάσεως αἱ σινδόνες καὶ τὰ ἐντάφια, μόνα περιλειφθέντα τῷ τάφῳ, καὶ μόνα κατ' αὐτὸν εὑρεθέντα κατὰ ζήτησιν προσελθοῦσι, καθάπερ ἐπὶ τοῦ Υἱοῦ καὶ Δεσπότου πρότερον. Οὐκ ἦν δὲ χρεία καὶ ταύτην ἔτι πρὸς ὀλίγον καθάπερ ὁ ταύτης Υἱὸς καὶ Θεὸς ἐνδιατρίψαι τῇ γῇ· διὰ τοῦτο πρὸς τὸν ὑπερουράνιον εὐθὺς ἀνελήφθη χῶρον ἀπὸ τοῦ τάφου, παρ' οὗ πάλιν μέχρι γῆς φανοτάτας τε καὶ θειοτάτας ἀπαστράπτει τὰς μαρμαρυγὰς καὶ τὰς χάριτας, πᾶσαν τὴν περίγειον λῆξιν ἐκεῖθεν διαφωτίζουσα, καὶ παρὰ τῶν πιστῶν πάντων προσκυνουμένη καὶ θαυμαζομένη καὶ ὑμνουμένη. Καθάπερ γὰρ βουληθεὶς ὁ Θεὸς εἰκόνα στήσασθαι παντὸς καλοῦ, καὶ τὴν ἑαυτοῦ περὶ ταῦτα καθαρῶς ἐνδείξασθαι καὶ ἀγγέλοις καὶ ἀνθρώποις, οὕτω ταύτην οὕτω παγκάλην ὄντως ἐξειργάσατο, πάντα συνελών, οἷς πάντα διελὼν ἐκόσμησεν, ὁρατῶν τε καὶ ἀοράτων ἀγαθῶν κοινὸν ὑποστήσας κόσμον, μᾶλλον δὲ θείων καὶ ἀγγελικῶν καὶ ἀνθρωπίνων πάντων καλῶν κοινὸν αὐτὴν ὑποδείξας κρᾶμα καὶ καλλονὴν ὑπερτέραν ἀμφοτέρους ἐπικοσμοῦσαν τοὺς κόσμους, ἀπὸ γῆς μὲν ἠργμένην, μέχρι δὲ οὐρανοῦ φθάσασαν, καὶ ὑπερβᾶσαν καὶ τοῦτον, τῇ παρὰ τοῦ τάφου νῦν πρὸς οὐρανὸν ἀναλήψει, καὶ τοῖς ἄνω τὰ κάτω συνάψασαν, καὶ τὸ πᾶν περισχοῦσαν τοῖς περὶ αὐτὴν θαυμασίοις, ὡς καὶ καθ' ὃ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένην τὴν ἀρχὴν εἴρηται, τὸ τοῦ θανάτου γεύσασθαι λέγω, τὴν πρὸς τὰ πάντα τῆς Θεομήτορος ἐπαύξειν ὑπεροχήν· ὅθεν καὶ δικαίως τὴν ἐπὶ τούτῳ πανήγυριν τὰ πάντα συγκροτεῖ καὶ συνεργάζεται σήμερον.

C Decebat eam quæ implentem omnia continuerat eum qui est super omnia, omnia et ipsam superare, omnibusque præstare suis virtutibus, suæ dignitatis sublimitate. Decebat, eam quæ charismata quæ omnibus ab omni sæculo optimis distributa suffecerant ut optimi fierent, quæ omnes Deo grati per partes acceperant tam angeli quam homines, omnia comprehenderat et sola omnibus cumulata, ut ita dicam, luxuriaverat, decebat, inquam, eam super omnes hoc habere ut post mortem immortalis fieret, et sola cum corpore in cœlis simul apud Filium et Deum degeret, et inde in omnes eam colentes abundantem effunderet gratiam, ipsum concedens donum eam concupiscendi, facta receptaculum gratiarum amplissimarum; decebat eam egregiis donis magis adhuc egregiam addentem clementiam nunquam cessare ab ista erga nos abundanti munificentia et copiosa liberalitate. Si quis attendat ad istum omnis boni concursum istamque collectionem, dicet Virginem idem perficere in virtute et eis qui vivunt secundum virtutem quod sol in lumine sensibili et eis qui in ipso vivunt operatur. Si vero ad solem qui hominibus miraculose ex ista Virgine ortus est, qui omnia habet et natura superat huic gratiæ affinia, si ad istum mentis oculum erigat, cœlum apparebit Virgo, tanto clariorem per omnia bona hæreditatem consecuta præ cæteris sive sub cœlo sive super cœlum divina gratia ornatis, quanto cœlum quidem soli amplitudine, sol autem cœlo splendore præstat.

Ἔπρεπε δὲ ἄρα τὴν χωρήσασαν τὸν πληροῦντα τὰ πάντα, καὶ ὑπὲρ τὸ πᾶν ὄντα, τὰ πάντα καὶ ταύτην φθάσαι, καὶ ὑπὲρ τὰ πάντα γενέσθαι ταῖς καθ' ἑαυτὴν ἀρεταῖς τῷ μεγέθει τοῦ ἀξιώματος. Καὶ τοίνυν ἃ πᾶσι τοῖς ἐκ τοῦ παντὸς αἰῶνος ἀρίστοις ἤρκεσε διαμερισαμένοις ἀρίστους γενέσθαι, καὶ ὅσα πάντες οἱ Θεῷ κεχαρισμένοι κατὰ μέρος ἔχουσιν ἄγγελοί τε καὶ ἄνθρωποι, πάντα συλλαβοῦσα, καὶ μόνη πάντα διατελοῦσα καὶ περιττεύουσα μηδ' ὅσον εἰπεῖν, ἔχειν καὶ τοῦτο νῦν ὑπὲρ πάντας, τὸ μετὰ θάνατον ἀπαθανατισθῆναι, καὶ μόνη μετὰ σώματος κατ' οὐρανὸν σὺν τῷ Υἱῷ καὶ Θεῷ διαιτᾶσθαι, κἀντεῦθεν ἐκεῖθεν ὑπερεκχεῖν καὶ πρὸς τοὺς αὐτὴν τιμῶντας δαψιλεστάτην τὴν χάριν, αὐτὸ χαριζομένη τὸ πρὸς αὐτὴν ἔχειν ἀνατείνεσθαι, δίσκον οὖσαν τηλικούτων χαρίτων· καὶ προσεπιδαψιλευομένη τὰ κρείττω δι' ἀγαθότητα, καὶ μηδέποτε παυομένη τῆς ὑπὲρ ἡμῶν λυσιτελοῦς ταύτης φορᾶς καὶ δαψιλοῦς συντελείας. Πρὸς μὲν οὖν τὴν παντὸς ἀγαθοῦ τοιαύτην ἀπιδών τις συνδρομήν τε καὶ χορηγίαν, τοῦτο τὴν Παρθένον ἐρεῖ τελεῖν ἐν ἀρετῇ καὶ τοῖς κατ' ἀρετὴν ζῶσιν, ὅπερ ἐν αἰσθητῷ φωτὶ καὶ τοῖς ὑπ' αὐτὸ ζῶσιν ἥλιον. Εἰ δὲ πρὸς τὸν ἀνατείλαντα τοῖς ἀνθρώποις ἐξαισίως ἀπὸ τῆς Παρθένου **209** ταύτης ἥλιον, ὃς ἔχει πάντα καὶ ὑπερέχει φύσει τὰ χάριτι ταύτῃ προσπεφυκότα, εἰ πρὸς τοῦτον μετενέγκαι τὸ τῆς διανοίας ὄμμα, οὐρανὸς εὐθὺς ἡ Παρθένος ἀναφανήσεται· τοσούτῳ καὶ τῶν ὑπ' οὐρανὸν καὶ τῶν ὑπὲρ τοῦτον κεχαριτωμένων θείως ἁβροτέραν κε-

Digitized by Google

κτημένη τὴν διὰ πάντων ἀγαθῶν εὐκληρίαν, ὁπόσον ἡλίου μὲν οὐρανός ἐστι μείζων, οὐρανοῦ δὲ λαμπρότερος ἥλιος.

Τίς σου τὸ θεαυγὲς κάλλος ὑπογράψει, Θεομῆτορ Παρθένε, λόγος; οὐ γάρ ἐστι τὰ σὰ λογισμοῖς καὶ λόγοις ὁρίζειν· πάντα γὰρ ὑπερβαίνει καὶ νοῦν καὶ λόγον. Ὑμνεῖν δ' ὅμως ἔξεστι, σοῦ φιλανθρώπως προσιεμένης· σὺ γὰρ καὶ χαρίτων ἁπασῶν χωρίον, καὶ πλήρωμα καλοκἀγαθίας παντοίας, καὶ πίναξ καὶ εἰκὼν ἔμψυχος ἀγαθοῦ παντὸς, καὶ χρηστότητος πάσης, ὡς μόνη πάντων ἠξιωμένη συλλῆδδην τῶν τοῦ Πνεύματος χαρισμάτων· μᾶλλον δὲ, καὶ τὸν ἐν ᾧ τούτων ἁπάντων οἱ θησαυροὶ μόνη παραδόξως ἐν τοῖς σπλάγχνοις ἔνοικον σχοῦσα, καὶ τούτου κατασταθεῖσα παράδοξος σκηνή· κἀντεῦθεν καὶ νῦν διὰ θανάτου πρὸς ἀθανασίαν χωρήσασα, καὶ δικαίως ἀπὸ γῆς εἰς οὐρανὸν μεταστᾶσα, ὡς ἂν ἐν ὑπερουρανίοις σκηνώμασι σύσκηνος εἴης τούτῳ τὸν ἀεὶ χρόνον, ἐκεῖθεν περιέπουσα τὸν σὸν κλῆρον, καὶ ταῖς ἀκοιμήτοις πρὸς αὐτὸν πρεσβείαις τοῦτον πρὸς πάντας ἱλεουμένη. Τοσοῦτόν ἐστιν ἐγγυτέρα τῶν Θεῷ ἐγγιζόντων· οὕτω μειζόνων ἢ κατὰ πάντας ἡ Θεοτόκος ἠξίωται τῶν πρεσβείων· οὐ τοὺς ἀνθρώπους λέγω μόνον, ἀλλὰ καὶ αὐτὰς πάσας τὰς ἀγγελικὰς ἱεραρχίας. Περὶ μὲν γὰρ τῆς τούτων ἀνωτάτω ταξιαρχίας Ἡσαΐας γράφει· « Καὶ τὰ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. » Περὶ δὲ αὐτῆς πάλιν ὁ Δαβίδ· « Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. » Ὁρᾶτε τὴν διαφορὰν τῆς στάσεως; Ἀπὸ ταύτης ἔχετε συνορᾷν καὶ τὴν διαφορὰν τῆς κατὰ τὴν ἀξίαν τάξεως· περὶ μὲν γὰρ τὸν Θεὸν τὰ Σεραφὶμ, πλησίον δὲ παρ' αὐτὸν ἐκεῖνον μόνη ἡ παμβασιλὶς, ἣ καὶ παρ' αὐτοῦ τοῦ Θεοῦ θαυμάζεταί τε καὶ ἐγκωμιάζεται, κηρύττοντος οἷον ταῖς περὶ αὐτὸν δυνάμεσιν αὐτὴν, καὶ λέγοντος κατὰ τὸ εἰρημένον ἐν τοῖς τῶν ᾀσμάτων Ἄσμασι· « Τί καλὴ ἡ πλησίον μου; » φωτὸς φαιδροτέρα, παραδείσων θείων εὐανθεστέρα, κόσμου παντὸς ὁρατοῦ καὶ ἀοράτου κοσμιωτέρα. Οὐ πλησίον δὲ μόνον, ἀλλὰ καὶ ἐκ δεξιῶν εἰκότως· ὅπου γὰρ ὁ Χριστὸς ἐν οὐρανοῖς ἐκάθισεν, ἐν δεξιᾷ δηλονότι τῆς μεγαλωσύνης, ἐκεῖ καὶ αὕτη νῦν ἀπὸ γῆς εἰς οὐρανοὺς ἀναβᾶσα ἕστηκεν· οὐ μόνον ὅτι ποθεῖ καὶ ἀντιποθεῖται πάντων μάλιστα, καὶ αὐτοῖς φυσικοῖς θεσμοῖς, ἀλλ' ὅτι καὶ θρόνος ἐστὶν ὡς ἀληθῶς αὐτοῦ· ὅπου δὲ κάθηται ὁ βασιλεὺς, ἐκεῖ ὁ θρόνος ἵσταται. Τοῦτον τὸν θρόνον καὶ ὁ Ἡσαΐας μεταξὺ ἐκείνου τοῦ χερουβικοῦ χοροῦ καὶ ἔβλεπε καὶ ἔλεγεν ὑψηλὸν καὶ ἐπηρμένον, τὸ τὰς οὐρανίους δυνάμεις ὑπερανανεβηκὸς τῆς Θεομήτορος δηλῶν. Διὸ καὶ αὐτοὺς εἰσάγει τοὺς ἀγγέλους ἀπὸ ταύτης τὸν Θεὸν δοξάζοντας καὶ λέγοντας· « Εὐλογημένη ἡ δόξα Κυρίου ἀπὸ τοῦ τόπου αὐτοῦ. » Ἰακὼβ δὲ ὁ πατριάρχης δι' αἰνιγμάτων τοῦτον θεασάμενος, « Ὡς φοβερὸς ὁ τόπος οὗτος, εἶπεν· οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ. » Δαβὶδ δὲ ἑτέρωθεν τῶν σεσωσμένων τὰ πλήθη συνάψας ἑαυτῷ, καὶ οἷόν τισι νευραῖς, ἢ φθόγγοις διαφόροις, τοῖς ἐκ διαφόρου γένους εἰς μίαν πίστιν ὑπὸ τῆς

A Quæ lingua enarrabit, Virgo Deipara, tuam pulchritudinem divina luce fulgentem? Tua enim neque mente neque verbis possumus assequi, attamen licet hymnis, ipsa te clementer favente, celebrare. Nam tu gratiarum omnium sedes, tu plenitudo cujuslibet bonitatis vel pulchritudinis, tu tabula et imago animata omnis boni omnisque benignitatis, quia sola meruisti omnia recipere Spiritus charismata, vel potius, quoniam sola miraculose in tuis visceribus habuisti inhabitantem eum in quo sunt omnium charismatum thesauri, et prodigiosum fuisti ejus tabernaculum; et hodie per mortem hinc ad immortalitatem profecta, et merito a terra in cœlum translata, ut in cœlestibus tabernaculis per sæcula inhabites cum eo qui factus est hæreditas B tua, quem tuis ad eum deprecationibus propitium omnibus efficis. Sicut proximis Deo propinquior facta est, sic majoribus quam cæteri Deipara donata est præmiis, nec homines tantum dico, sed et omnes ipsos angelorum ordines. Nam de summo eorum ordine Isaias scribit: «Et Seraphim stabant in circuitu ejus [85]. » Rursus autem David de ea: «Astitit regina a dextris tuis [86]. » Videtisne status differentiam? Inde etiam potestis conspicere ordinis secundum dignitatem differentiam; nam Seraphim quidem circa Deum, sola autem proxima ad eum regina, quam miratur Deus et collaudat, prædicans eam similem exercitibus circa eum congregatis, et hodie dicens sicut legimus in Cantico canticorum: C «Quam pulchra est, amica mea! » luce lucidior, divinis florentior paradisis, universo mundo tum visibili tum invisibili speciosior. Verum non solum proxima, sed etiam a dextris sedens; nam ubi Christus in cœlis sedit, scilicet ad dexteram majestatis, ibi et ipsa a terris in cœlum ascendens stetit, non solum quia in primis diligit et diligitur modo singulari ex ipsis naturæ legibus, sed quia est in omni veritate thronus illius; nam ubi sedet rex, ibi, stat thronus. Quem thronum Isaias in medio chori illius Cherubim, et vidit et dixit exaltatum atque sublimem, ostendens quantum Deipara cœlestibus superemineat potestatibus. Propterea inducit angelos ab ea Deum glorificantes atque dicentes: «Benedicta gloria Domino de loco suo [87]. » D Jacob vero patriarcha illum in ænigmate intuitus, «Terribilis, inquit, locus iste; hic non est aliud nisi domus Dei et porta cœli [88]. » David autem aliter multitudinem salvorum sibi adjungens, quibus, velut nervis variisque vocibus, utpote ex varia gente in unam fidem ab ista Virgine perpetua accommodatis suavissimum in ejus laudem melos emittit dicens: «Memores erunt nominis tui in omni generatione et generationem, propterea populi confitebuntur tibi in æternum, et in sæculum sæculi [89]. »

[85] Isa. vi, 2. [86] Psal. xliv, 11. [87] Ezech., iii, 12. [88] Gen. xxviii, 17. [89] Psal. xliv, 19

Digitized by Google

Ἀειπαρθένου ταύτης ἡρμοσμένοις κεχρημένος, τὸ παναρμόνιον πρὸς ὕμνον ταύτης ἀνακρούεται. μέλος, « Μνησθήσομαι τοῦ ὀνόματός σου, λέγων, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί **210** σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

Videtis omnem creationem Virginis matris laudes confitentem, non solum in his transeuntibus annis, sed in æternum et in sæcula sæculorum? Inde etiam datur conspicere, quod nec illa unquam cessabit per omne sæculum a bono omnibus creaturis faciendo, non nobis tantum, sed et incorporeis non hujus mundi ordinibus, quoniam ipsi quoque nobiscum per eam solam participes deitatis facti sunt, et intactam illam naturam tetigerunt; quod Isaias longe antea prævidens manifestavit; non enim vidit Seraphim sine medio ex altari calculum accipientem, sed forcipe accepit cum quo tacta prophetæ labia purgans mundavit, quod forcipis miraculum ipsum est ac illud magnum quod vidit Moyses miraculum, rubum ardentem et non consumptum. Quis nescit illam Matrem virginem ipsam esse rubum et forcipem quæ ignem nequaquam adusta concepit, cui conceptioni ministravit angelus, et tollentem peccata mundi per eam generi humano coaptavit, et per ineffabilem istam adjunctionem nos mundavit? Idcirco ipsa sola naturæ creatæ et increatæ stat confinium, et nemo venit ad Deum, nisi per eam splendore vere divino vere illuminetur, dicente Scriptura: « Deus in medio ejus, non commovebitur[10]. » Si vero retributiones fiant secundum mensuram dilectionis ad Deum, si is qui Filium diligit diligitur ab eo, ejusque Patre, et fit utriusque habitaculum, ipsis mystice in eo habitantibus et ambulantibus secundum promissionem Domini, quis magis quam mater eum dilexit? Non solummodo quoniam unigenitum eum edidit, sed quia sola sine congressu parturivit, ita ut amor illius sit duplex quia inter duos compartes non est divisus. Quis autem magis quam mater amabatur a Filio unigenito, qui in novissimis temporibus ex ea sola ineffabiliter processerat, quemadmodum ante tempora ex solo Patre? Quomodo non multiplicata fuissent cum decenti dispositione signa honoris erga eam ex lege debiti ab eo qui ad implendam legem descenderat?

A 'Ὁρᾶτε πᾶσαν τὴν κτίσιν ἐξομολογουμένην τῇ Μητροπαρθένῳ ταύτῃ, καὶ οὐκ ἐν πεπερασμένοις ἔτεσιν, ἀλλ' εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος; Συνορᾶν οὖν ἔστιν ἐντεῦθεν, ὡς οὐδ' ἐκείνη λήξει διὰ τοῦ παντὸς αἰῶνος εὖ ποιοῦσα πᾶσαν κτίσιν, οὐ τὴν καθ' ἡμᾶς λέγω μόνον, ἀλλὰ καὶ αὐτὰς τὰς ἀΰλους καὶ ὑπερφυεῖς ταξιαρχίας· ὅτι γὰρ σὺν ἡμῖν καὶ αὗται δι' αὐτῆς μόνης μετέχουσί τε καὶ ψαύουσι Θεοῦ, τῆς ἀψαύστου φύσεως ἐκείνης, Ἠσαΐας τηλαυγῶς ἐδήλωσεν· οὐ γὰρ ἀμέσως ἑώρακε τὸν Σεραφὶμ ἐκ τοῦ θυσιαστηρίου τὸν ἄνθρακα λαβόντα, ἀλλὰ διὰ τῆς λαβίδος ἔλαβε, δι' ἧς καὶ τῶν προφητικῶν ἥψατο χειλέων τὴν κάθαρσιν διδούς· τοῦτο δὲ ἦν τὸ τῆς λαβίδος ἐκείνῳ τῷ μεγάλῳ θεάματι
B ταυτὸν, ὃ Μωσῆς ἑώρακε, βάτον ἐκ πυρὸς ἡμμένην καὶ μὴ καταφλεγομένην. Τίς δὲ οὐκ οἶδεν, ὡς ἡ Παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καὶ αὕτη ἡ λαβίς ἐστιν, ἡ τὸ θεῖον πῦρ ἀπυρπολήτως συλλαβοῦσα, κἀν τούτῳ διακονήσαντος ἀρχαγγέλου τῇ συλλήψει, καὶ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου δι' αὐτῆς συνάψαντος τῷ ἀνθρωπείῳ γένει, καὶ διὰ τῆς ἀῤῥήτου συναφείας ἡμᾶς περικαθάραντος; Οὐκοῦν αὕτη μόνη μεθόριόν ἐστι κτιστῆς καὶ ἀκτίστου φύσεως, καὶ οὐδεὶς ἂν ἔλθοι πρὸς Θεὸν, εἰ μὴ δι' αὐτῆς ὡς ἀληθῶς καταυγασθείη τῆς θεαυγοῦς ὡς ἀληθῶς λυχνίας· « Ὁ Θεὸς γὰρ ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται, » φησίν. Εἰ δὲ καὶ κατὰ τὸ μέτρον τῆς πρὸς Θεὸν ἀγάπης αἱ ἀντιδόσεις, καὶ ὁ ἀγαπῶν τὸν Υἱὸν ἀγαπᾶται παρ' αὐτοῦ καὶ τοῦ αὐτοῦ Πα-
C τρὸς, καὶ καταγώγιον τῶν ἀμφοτέρων γίνεται, μυστικῶς ἐνοικούντων καὶ ἐμπεριπατούντων τούτῳ κατὰ τὴν δεσποτικὴν ἐπαγγελίαν, τίς ἂν ἀγαπῴη τοῦτον μᾶλλον τῆς μητρός; ἢ μὴ ὅτι μονογενῆ τοῦτον, ἀλλὰ καὶ μόνη γεγέννηκεν ἀσυνδυάστως; ὡς εἶναι ταύτῃ τὸ φίλτρον διπλάσιον συμμεριζομένου τοῦ κοινωνήσαντος. Τίς δ' ἂν ἀγαπηθείη τῆς μητρὸς μᾶλλον ὑπὸ τοῦ Μονογενοῦς, καὶ ταῦτα προελθόντος ἐκ μόνης ἀῤῥήτως ἐπ' ἐσχάτων τῶν αἰώνων, ὥσπερ καὶ πρὸ αἰώνων ἐκ μόνου τοῦ Πατρός; Πῶς δ' ἂν οὐ πολυπλασιασθείη πρὸς τῇ πρεπούσῃ διαθέσει καὶ τὰ τῆς ὀφειλομένης ἐκ νόμων πρὸς αὐτὴν τιμῆς παρὰ τοῦ πληρῶσαι τὸν νόμον κατελθόντος;

Igitur sicut per eam solam ad nos procedens in terris apparuit et cum hominibus conversatus est, qui ante eam omnibus erat invisibilis; ita in futuro indesinenti sæculo omnis divinæ illuminationis progressio, omnis divinorum mysteriorum revelatio, omnis spiritalium forma charismatum, quæ sine ipsa nemini largita fuissent. Ipsa autem prior accepit omnimodam plenitudinem ejus qui implet omnia, eam omnibus continendam exhibet, dividens singulis congruentissime et secundum mensuram puritatis eorum, ita ut sit dispensatrix et ministra divitiarum divinitatis. Cum sit lex æterna in cœlis a majoribus minores habere ut participes sint naturæ ejus qui est, et in cœlis sedet, major autem

Ὥσπερ οὖν δι' αὐτῆς μόνης πρὸς ἡμᾶς ἐπιδημήσας ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη, πᾶσιν ὢν ἀθέατος πρὸ ταύτης, οὕτω καὶ εἰς τὸν
D ἑξῆς ἄληκτον αἰῶνα πᾶσα φωτοφανείας θείας πρόοδος, καὶ πᾶσα μυστηρίων θείων ἀποκάλυψις, καὶ πᾶσα πνευματικῶν ἰδέα χαρισμάτων, ἅπασιν ἀχώρητος χωρὶς αὐτῆς. Αὕτη δὲ πρώτη δεχομένη τὸ διὰ πάντων ἧκον πλήρωμα τοῦ τὰ σύμπαντα πληροῦντος, καθίστησι τοῖς πᾶσι χωρητὸν, νέμουσα πρὸς δύναμιν ἑκάστῳ κατὰ τὴν ἀναλογίαν καὶ τὸ μέτρον τῆς ἑκάστου καθαρότητος· ὥστε ταύτην εἶναι καὶ ταμεῖον καὶ πρύτανιν τοῦ πλούτου τῆς θεότητος. Ἐπεὶ γὰρ καὶ τοῦτο νόμιμον αἰώνιον ἐν οὐρανοῖς, διὰ τῶν μειζόνων τοὺς ἐλάττονας μετέχειν

[10] Psal. XLV, 5.

Digitized by Google

τοῦ ἐπέκεινα τοῦ ὄντος ἱδρυμένου, μείζων δ' ἀσυγ- A κρίτως ἁπάντων ἡ Παρθενομήτωρ, δι' αὐτῆς μεθέξουσιν ὅσοι δὴ μεθέξουσι Θεοῦ· καὶ αὐτὴν οἴσονται τοῦ ἀχωρήτου χώραν ὅσοι δὴ γινώσκουσι Θεόν· καὶ αὐτὴν ὑμνήσουσι μετὰ Θεὸν ὅσοι τὸν Θεὸν ὑμνοῦσιν. Αὕτη καὶ τῶν πρὸ αὐτῆς αἰτία, καὶ τῶν μετ' αὐτὴν προστάτις, καὶ τῶν αἰωνίων πρόξενος. Αὕτη τῶν προφητῶν ὑπόθεσις, τῶν **211** ἀποστόλων ἀρχὴ, τῶν μαρτύρων ἑδραίωμα, τῶν διδασκάλων κρηπίς. Αὕτη τῶν ἐπὶ γῆς ἡ δόξα, τῶν κατ' οὐρανὸν ἡ τερπνότης, τὸ πάσης τῆς κτίσεως ἐγκαλλώπισμα. Αὕτη καταρχὴ καὶ πηγὴ καὶ ῥίζα τῶν ἀποῤῥήτων ἀγαθῶν. Αὕτη παντὸς ἁγίου κορυφὴ καὶ τελείωσις.

sit omnibus sine ulla comparatione Virgo genitrix, per eam recipiunt quicunque Dei naturæ fiunt participes, et ipsam possidebunt quicunque Deum cognoscent, et eam post Deum celebrant quicumque Deum celebrant. Ipsa eorum quæ ante eam fuerunt causa, ipsa auctor eorum quæ secuta sunt, ipsa æternorum distributor. Ipsa prophetarum materia, apostolorum caput, martyrum fortitudo, doctorum fundamentum. Ipsa terrenorum gloria, cœlestium lætitia, omnis creationis ornamentum. Ipsa principium fons, et radix bonorum inenarrabilium. Ipsa omnis sanctitatis culmen et perfectio.

Ὦ Παρθένε θεία καὶ νῦν οὐρανία, πῶς σου τὸ B πᾶν ἐξείπω; Πῶς σε δοξάσω τὸν τῆς δόξης θησαυρόν; Σοῦ καὶ μνήμη μόνον ἡγίασε τὸν χρώμενον· πρὸς σὲ καὶ νεῦσις μόνον διαυγέστερον ἐποίησε τὸν νοῦν, πρὸς ὕψος εὐθὺς ἀναλαβοῦσα θεῖον· διὰ σοῦ τρανοῦται τὸ τῆς διανοίας ὄμμα· διὰ σοῦ καταλάμπεται τὸ πνεῦμα θείου Πνεύματος ἐπιδημίᾳ· ταμιοῦχος γὰρ ἐγένου καὶ περιοχὴ χαρίτων· οὐχ ἵνα παρὰ σεαυτῇ κατάσχῃς, ἀλλ' ἵνα τὰ σύμπαντα πληρώσῃς χάριτος· ὁ γὰρ τῶν ἀκενώτων θησαυρῶν ταμίας τῆς διανομῆς ἕνεκεν ἐπιτροπεύει· τί γὰρ δὴ καὶ κατάκλειστον ποιήσειε τὸν ὄλβον μὴ μειούμενον; Μετάδος οὖν πλουσίως παντὶ τῷ σῷ λαῷ, τῷ σῷ κλήρῳ τούτῳ τοῦ σοῦ ἐλέους καὶ τῶν σῶν χαρίτων, ὦ Δέσποινα. Δὸς λύσιν τῶν κατεχόντων δεινῶν. C Ὁρᾷς ὅσοις καὶ ὁποίοις κατατρυχόμεθα, καὶ ἰδίοις καὶ ἀλλοτρίοις, καὶ τοῖς ἔξωθεν καὶ τοῖς ἔνδοθεν. Πάντα τῇ σῇ δυνάμει μετασκεύασον ἐπὶ τὸ κρεῖττον, τοὺς μὲν ἐντὸς καὶ ὁμοφύλους πρὸς ἀλλήλους ἐξημεροῦσα, τοὺς δὲ θηρῶν ἀγρίων δίκην ἔξωθεν ἐπεμβαίνοντας ἀπελαύνουσα. Ἀντιμέτρησον τοῖς ἡμετέροις πάθεσι τὴν σὴν ἐπικουρίαν καὶ ἰατρείαν, νέμουσα καὶ ψυχαῖς καὶ σώμασι δαψιλῆ τὴν χάριν, καὶ πρὸς ἅπαντα διαρκῆ· κἂν μὴ χωρῶμεν, χωρητικωτέρους ἔργασαι, καὶ οὕτως ἐπιμέτρησον ἵνα τῇ σῇ χάριτι σωζόμενοί τε καὶ δυναμούμενοι, δοξάζωμεν τὸν ἐκ σοῦ δι' ἡμᾶς σαρκωθέντα προαιώνιον Λόγον σὺν τῷ ἀνάρχῳ τούτου Πατρὶ, καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας. Ἀμήν.

O Virgo divina et nunc cœlicola, quomodo tua universa enarrabo? Quomodo te glorificabo, te gloriæ thesaurum? Sola tui memoria memorem sanctificat, sola ad te mentis erectio animam splendore illuminat statim ad divinam excelsitudinem exaltatam; per te acuitur cogitationis oculus; per te illuminatur spiritus divini Spiritus adventu, nam dispensatrix facta es et alveus gratiarum, nequaquam ut eas apud te retineas, sed ut omnia impleas gratia; nam distributionis gratia thesaurorum nunquam hauriendorum constituitur administrator: quid enim occlusas faceret divitias minime imminutas? Communica igitur abundanter omni tuo populo, huic hæreditati tuæ tuam misericordiam tuasque gratias, o Domina, ut solvantur vinculis quibus dure constringuntur. Vides quot et quantis opprimimur et nostris et alienis, et internis et externis. Omnia virtute tua in melius converte, cives et eos qui intus sunt inter se concilia, alios ferarum instar belluarum foris irruentes perpulsa. Vitiis nostris accommoda tuum auxilium et curationem, largiendo animis et corporibus abundantem gratiam ad omnia sufficientem: si non progrediamur, progredientes effice; et tali utere mensura ut gratia tua salvati et confirmati, glorificemus æternum Verbum a te propter nos incarnatum, cum æterno ejus Patre, et vivificante Spiritu, nunc et semper et in infinita sæcula. Amen.

## ΟΜΙΛΙΑ ΛΗ'.

D *Εἰς τὸ πρῶτον Ἑωθινόν. Ἐν ᾧ καὶ ὅτι οὐκ ἀρκεῖ τὸ θεῖον βάπτισμα σῶσαι τὸν ἄνθρωπον, εἰ μὴ καὶ τὴν τήρησιν ἔχειν σπεύδει τῶν θείων ἐντολῶν.*

Ὁ πρὸ τῶν ὄντων ὢν, καὶ τὰ ὄντα ἐκ μὴ ὄντων ποιήσας δι' ἀγαθότητα, ἐν πᾶσίν ἐστιν, εἰ καὶ ὑπὲρ τὰ πάντα ἐστίν. Ἦν οὖν ἐν τῷ κόσμῳ καὶ πρὸ τοῦ παραγενέσθαι διὰ σαρκὸς, ἀλλ' οὐκ ἐπέγνωσαν αὐτὸν ὁ κόσμος, ἐπεὶ οὐκ ἠθέλησαν· ὅσοι γὰρ ἠθέλησαν, καὶ ἐπέγνωσαν. Διὸ οἱ μὲν ἐπιγνόντες καὶ προσελήφθησαν· οἱ δὲ μὴ ἐπιγνόντες ἐγκατελείφθησαν, ὡς καὶ Παῦλός φησιν, ὁ καὶ θελήσας καὶ θεληθεὶς καὶ καταλαβεῖν σπεύδων, ἐφ' ᾧ καὶ κατελήφθη ὑπὸ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, γράφων περὶ τῶν Ἑλλήνων· « Ἐπεὶ οὐκ ἐδοκίμασαν τὸν Θεὸν

## HOMILIA XXXVIII.

*In primum Matutinum. Quod non sufficit divinum baptisma ad salvandum hominem, nisi studeat divina servare mandata.*

Qui est ante omnia, et omnia ex nihilo fecit per suam bonitatem, est in omnibus, licet sit super omnia. Erat ergo in mundo priusquam per carnem adesset, sed non cognovit eum mundus, non enim voluit; nam quicunque voluerunt, eum cognoverunt. Ideo qui cognoverunt ei adhæserunt; qui autem non cognoverunt damnati fuerunt, prout dixit Paulus, qui cum vellet et concupisceret et studeret comprehendere propter quam causam damnati sunt a Domino nostro Jesu Christo, de Græcis scripsit: « Sicut non probaverunt Deum habere in notitia,

Digitized by Google

tradidit illos Deus in reprobum sensum [91]. » Ita quidem qui non voluerunt, neque cognoverunt, isti sunt et omnes eos imitantes. Sed quinam eum ante divinam incarnationem cognoverunt? Multi et fere ante omnes et super omnes Abraham, Isaac et Jacob, ideoque jure Deo consociati sunt. Nec isti tantum, sed et omne ex eis genus, ita ut vere essent atque vocarentur Dei populus, et postea fierent, o ineffabilis munificentia! Dei familia. Nam cum deberet mundo per carnem manifestari, non solummodo hanc ab eis accepit, sed etiam propter eos principaliter venit, quemadmodum Dominus ipse dixit in Evangeliis: « Non missus sum nisi ad oves quæ perierunt de domo Israel [92]. » Quippe Judæos videns a paterna illa pietate et virtute delapsos, et cognitionem ejus aversatos, eos non dedignatus est propter religionem patrum eorum, sed cœlos inclinans descendit, in similitudinem hominum factus et cum eis conservatus est, divina dicens atque faciens; nec tantum ista dicens et faciens, sed et divina illis largiens beneficia, leprosos in eis emundans, cæcos illuminans, paralyticos corroborans, pronos erigens, e dæmoniacis dæmones ejiciens, et omnem omnino morbum omnemque infirmitatem et furorem sanans, mortuosque ad vitam solo jussu revocans.

A ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. » Οἱ μὲν οὖν μὴ θελήσαντες, μηδὲ ἐπιγνόντες, οὗτοι, καὶ ὅσοι κατ' αὐτούς· οἱ δὲ 212 πρὸ τῆς θείας ἐνανθρωπήσεως αὐτὸν ἐπιγνόντες τίνες; Πολλοί, καὶ σχεδὸν πρὸ πάντων καὶ ὑπὲρ πάντας ὁ Ἀβραάμ, ὁ Ἰσαάκ, ὁ Ἰακώβ· διὸ καὶ προσελήφθησαν δικαίως ὑπὸ Θεοῦ. Καὶ οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ τὸ ἀπ' αὐτῶν ἅπαν γένος, ὡς καὶ λαὸν Θεοῦ τούτους εἶναί τε καὶ ὀνομάζεσθαι, καὶ γένος, ὢ τῆς ἀφάτου μεγαλοδωρεᾶς! ὕστερον τελέσαι Θεοῦ· δεῆσαν γὰρ αὐτῷ διὰ σαρκὸς ἐπιφανῆναι τῷ κόσμῳ, οὐ μόνον παρ' αὐτῶν ταύτην ἔλαβεν, ἀλλὰ καὶ πρὸς αὐτοὺς προηγουμένως ἦλθε, καθάπερ αὐτὸς ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησίν· « Οὐκ B ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· » Ἰδὼν γὰρ ἐκπεσόντας τῆς πατρῴας ἐκείνης εὐσεβείας καὶ ἀρετῆς, καὶ τὴν αὐτοῦ γνῶσιν ἀπωσαμένους παριδεῖν οὐκ ἠνέσχετο διὰ τοὺς εὐσεβήσαντας αὐτῶν πατέρας, ἀλλὰ κλίνας οὐρανοὺς κατῆλθεν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ τούτοις συναναστρεφόμενος, καὶ λέγων καὶ πράττων τὰ τοῦ Θεοῦ. Καὶ οὐχ ἁπλῶς ταῦτα λέγων καὶ πράττων, ἀλλὰ καὶ ταῖς εἰς αὐτοὺς θεοπρεπέσιν εὐεργεσίαις ἐπιδαψιλευόμενος, καθαίρων τοὺς ἐν αὐτοῖς λεπρούς· φωτίζων τοὺς ἐν αὐτοῖς τυφλούς· σφίγγων τοὺς παραλύτους· ἀνορθῶν τοὺς συγκεκυφότας· τῶν δαιμονώντων ἀπελαύνων τοὺς δαίμονας· καὶ πᾶσαν ἁπλῶς νόσον, καὶ πᾶσαν μαλακίαν καὶ μανίαν ἰώμενος, καὶ νεκροὺς πρὸς ζωὴν ἐπανάγων μόνῳ προστάγματι.

Verum cum illi non tantum eum rejecerint, proprii beneficium in propria venientem, sed etiam, ut summatim loquar, eum neci tradiderint, et neci crucis, o insania! ut impium damnaverint Deum qui ad eos eorum gratia venerat, jure et ipsi derelicti sunt et condemnati ab eo qui eis dixit: « Ecce relinquetur domus vestra deserta [93]. » Et illorum rejectio facta est mundi reconciliatio, et nobis venit misericordia per infidelitatem eorum; insuper, o altitudo divitiarum et sapientiæ et scientiæ Dei! ut rursum loquar secundum Apostolum: « Conclusit Deus omnia in incredulitate, ut omnium misereatur [94]. » Nam modo audivimus evangelizantem Matthæum evangelistam: « Undecim discipuli abierunt in Galilæam, in montem ubi præceperat illis Jesus, et videntes eum adoraverunt, quidam autem dubitaverunt [95]. » Sed accedente Domino et cum eis colloquente, hi quoque confirmati sunt. Ait enim: « Accedens Jesus locutus est eis, dicens: Data est mihi omnis potestas in cœlo et in terra; euntes ergo docete omnes gentes [96]. » Hoc est propter quod paulo ante diximus illud apostolicum; quoniam rejectio Judæorum facta est mundi reconciliatio, et misericordia nobis venit ex incredulitate eorum. Nam qui prius suis dixit discipulis: « In viam gentium ne abieritis, et in civitatem Samaritanorum ne intraveritis; ite potius ad oves quæ perierunt de domo Israel [97], » idem nunc: « Euntes, ait,

Ὡς δὲ ἐκεῖνοι τοῦτον οὐ μόνον ἀπώσαντο, τὸν εἰς τὰ ἴδια ἐλθόντα εὐεργέτην οἱ ἴδιοι, ἀλλ' ἵνα τὸ τε- C λευταῖον εἴπω, καὶ θανάτῳ παρέδωκαν, καὶ θανάτῳ σταυρικῷ, βαβαὶ τῆς ἀπονοίας! ὡς ἀντίθεον τὸν ὑπὲρ αὐτῶν πρὸς αὐτοὺς διὰ σαρκὸς ἐπιφανέντα Θεὸν, ἐγκατελείφθησαν καὶ αὐτοὶ δικαίως, καὶ ἀπεβλήθησαν παρὰ τοῦ πρὸς αὐτοὺς εἰπόντος· « Ἰδού, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· » καὶ ἡ τούτων ἀποβολὴ καταλλαγὴ κόσμου γέγονε, καὶ ἠλεήθημεν ἡμεῖς τῇ τούτων ἀπειθείᾳ· μᾶλλον δὲ, ὢ βάθους πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ἵνα πάλιν κατὰ τὸν Ἀπόστολον εἴπω, « Συνέκλεισεν ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ· » εὐαγγελιζομένου γὰρ ἠκούσαμεν ἀρτίως τοῦ εὐαγγελιστοῦ Ματθαίου, ὅτι « Οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ D Ἰησοῦς, καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν· » ἀλλὰ προσελθόντος τοῦ Κυρίου, καὶ ὁμιλήσαντος αὐτοῖς κἀκεῖνοι ἐβεβαιώθησαν· « Προσελθὼν γὰρ, φησὶν, αὐτοῖς ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς, λέγων· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη. » Τουτό ἐστι, δι' ὃ πρὸ μικροῦ τὸ ἀποστολικὸν ἔλεγον ἐκεῖνο, ὅτι ἡ ἀποβολὴ τῶν Ἰουδαίων καταλλαγὴ κόσμου γέγονε, καὶ ἠλεήθημεν ἡμεῖς τῇ τούτων ἀπειθείᾳ· ὁ γὰρ πρὸς τοὺς οἰκείους μαθητὰς λέγων πρότερον· « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε

[91] Rom. I, 28. [92] Matth. xv, 24. [93] Matth. xxiii, 38. [94] Rom. xi, 33. [95] Matth. xxviii, 16. [96] Matth. xxviii, 18. [97] Matth. x, 5.

Digitized by Google

δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· » οὗτος νῦν, « Πορευθέντες, φησὶ, μαθητεύσατε πάντα τὰ ἔθνη· » καὶ γὰρ ἡμῶν ἀπειθησάντων πρότερον, καὶ τὸν ἐν τῷ κόσμῳ ὄντα, καὶ διὰ τῆς εὐκοσμίας τῶν ὄντων κηρυττόμενον Θεὸν μὴ ἐπιγνῶναι θελησάντων, τοῖς εὐπειθῶς ἐπιγνοῦσι δικαίως ὁ Κύριος δι' ἑαυτοῦ τε καὶ τῶν προφητῶν αὐτοῦ διελέγετο· νῦν δὲ κἀκείνων ἀπειθησάντων, οὐδὲν τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ προσίσταται, πρὸς τὸ καὶ ἡμᾶς ἐλεηθῆναι, καὶ διὰ τῶν ἱερῶν ἀποστόλων αὐτῷ μαθητευθῆναι. Καὶ τάχα τοῦτό ἐστιν τὸ, « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ **213** γῆς, » ὡς τῆς θείας δικαιοκρισίας μὴ ἐφιείσης πρότερον ἐπίσης τοῖς πειθομένοις καὶ τοὺς ἀπειθεῖς ἡμᾶς ἐλεεῖσθαι, καὶ προσκαλεῖσθαι πρὸς τὰ οὐράνια.

Νῦν δὲ τῶν μὲν πρότερον, τῶν δὲ ὕστερον, ἀμφοτέρων δὲ καὶ πάντων συγκεκλεισμένων εἰς ἀπείθειαν, κατ' οἰκείαν ἐξουσίαν δεδομένην παρὰ τῆς οἰκείας δικαιοκρισίας, οὓς ἠθέλησεν ὁ Θεὸς ἠλέησεν. Ἠθέλησε δὲ καὶ ἠλέησεν ἡμᾶς τοὺς ἐξ ἐθνῶν, μᾶλλον δὲ πάντας, ἐπεὶ καὶ πάντων ἐστὶ Θεός· τὴν μὲν γὰρ τοῦ ἐλέους ἀρχὴν ἀφ' ἡμῶν ἠθέλησε ποιήσασθαι νῦν, ἀλλ' οὐκ ἀπὸ τῶν νῦν ἀπειθησάντων· οὐκ ἀπεστράφη δὲ τελέως οὐδ' ἐκείνους· ἀνέῳκται γὰρ κἀκείνοις δι' ἡμῶν ἡ θύρα τῆς σωτηρίας, εἴπερ βούλοιντο, καὶ τοὺς ἐξ αὐτῶν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ προσιόντας προσδέχεται ἀσμένως· οὐ γὰρ ἔπταισαν ἵνα πέσωσιν, ἀλλ' ἵνα τῷ αὐτῶν παραπτώματι τοῖς πρότερον ἀπειθήσασιν ἡμῖν ἡ σωτηρία προσγένηται, εἰς τὸ παραζηλῶσαι αὐτοὺς καὶ πρὸς τὴν ὁμοίαν ἐφελκύσασθαι σωτηρίαν, εἴ γε μὴ τοὺς ὀφθαλμοὺς ἐχόντες μύουσι, καὶ τὰ ὦτα βύουσιν, ἵνα μὴ ἰδόντες καὶ ἀκούσαντες καὶ πιστεύσαντες σωθῶσι. Καὶ παραπλήσιόν τι γέγονεν, ὥσπερ ἂν εἴ τις σκεῦος ἐν ἑαυτῷ πηγὴν ἐλαίου φέρον ἐπὶ θάτερα παρασκευάσει νεύειν· τὸ δὲ δαψιλὲς τὸ ῥεῦμα ἀφιὲν οὐ τὸ πρὸς ὃ νεύει μόνον, ἀλλὰ καὶ τὸ ἕτερον πλημμυρῆσαν κατακλύσει μέρος· ἡ γὰρ ἐπὶ τοῦ προσκυνητοῦ σώματος ἄβυσσος τῶν θείων οἰκτιρμῶν ἐπὶ τὰ ἔθνη νεύσασα, οἷον τῶν Ἰουδαίων ὠθησάντων, οὐ τῶν ἐθνῶν μόνον τοὺς πιστεύσαντας, ἀλλὰ καὶ τοὺς ἐξ Ἰουδαίων συμπεριέλαβεν. « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Ἔστι καὶ κατὰ τὸ ἀνθρώπινον νοῆσαι τοῦτο· ἣν γὰρ ἐξουσίαν ὡς Θεὸς ἐξ ἀϊδίου εἶχε, καὶ τὴν δύναμιν καὶ τὴν δόξαν καὶ τὸ ὑπερουράνιον ὕψος καὶ τὸ ἀξίωμα νῦν λαμβάνει ὡς ἄνθρωπος. Ἐδόθη μοι τοίνυν ἐκ νεκρῶν ἀναστάντι, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Οὐκ ἔτι βασιλεύει τῆς σαρκὸς ὁ θάνατος· τὸ γὰρ θνητὸν αὐτῆς ὑπὸ τῆς ζωῆς ἐν ἐμοὶ κατεπόθη. Οὐκ ἔτι τελευτὴ καὶ τελεία λῆξις ὁ θάνατος· ἡ γὰρ ἀθάνατος ζωὴ τοῦτον ἐν ἐμοὶ διεδέξατο, καὶ δι' ἐμοῦ πάντες οἱ θανόντες εἰς ζωὴν μεταβήσονται. Οὐκέτι καθέξει τὰ σώματα τῶν θανόντων ἐπὶ γῆς ὁ θάνατος· ἐγὼ γὰρ τὸ γηγενὲς ἐμὸν σῶμα τοῖς ἐν οὐρανοῖς ἐνθρονίσω, καὶ σὺν αὐτῷ τῶν οὐρανῶν βασιλεύων ἐλεύσομαι πάλιν καὶ κρινῶ πᾶσαν τὴν γῆν

A docete omnes gentes [88]. » Quippe cum prius infideles essemus, et Deum in mundo versatum atque pulchro rerum ordine prædicatum cognoscere nollemus, merito Dominus per semetipsum suosque prophetas eum fideliter noscentibus colloquebatur; nunc autem cum illi sint increduli, nihil obstat justo Dei judicio ut nos quoque misericordiam consequamur, et per sanctos apostolos de eo doceamur. Ideo statim adjecit: « Data est mihi omnis potestas in cœlo et in terra [89] », ita ut justi sit Dei judicii nos qui prius infideles cum fidelibus partem non habebamus, misericordiam obtinere, et ad cœlestia convocari.

B Nunc autem et prioribus et posterioribus, utrisque et omnibus in incredulitate constrictis, vi ejus libertatis quam dedit justum judicium, Deus cujus vult miseretur. Voluit vero et misertus est nobis ex gentibus, et potius omnibus, cum sit omnium Deus; voluit quidem misericordiam a nobis incipere, et non ab eis qui nunc versantur in incredulitate; sed neque omnino eos aversatus est; nam ipsis etiam per nos aperta est porta salutis, si voluerint, et eos qui ex eis in nostram intrant Ecclesiam cum gaudio accipit; non enim offenderunt ut cadant, sed ut per suam offensam salus nobis prius incredulis adveniret, ut zelo accendantur, et ad similem trahantur salutem, nisi oculos habentes non C videant, et aures habentes non audiant, ne videntes et audientes et credentes salvi fiant. Factum est perinde ac si qui vas in semetipso fontem olei ferens ad illud super alia infundendum se accingat, copiosum autem fluentum inde effusum non tantum partem cui instillatur, sed etiam alteram redundans abluat; nam abyssus divinarum misericordiarum in adorabili corpore contenta in gentes diffusa, Judæis utpote refragantibus, non tantum eos qui crediderunt ex gentibus, sed etiam fideles ex Judæis comprehendit. « Data est mihi omnis potestas in cœlo et in terra. » Hæc secundum naturam humanam sunt accipienda; nam quam ut Deus ab æterno potestatem habuit, et virtutem et gloriam et cœlestem celsitudinem et dignitatem, nunc ut homo D accipit. Dixit ergo, Data est mihi a mortuis redivivo omnis potestas in cœlo et in terra. Jam mors nequaquam carni imperat; nam quod ejus erat mortale a vita in me absorptum fuit. Jam mors non est sors ultima et finalis; illam enim in me recepit vita immortalis, et per me omnes mortui in vitam transibunt. Jam mors non possidebit in terra corpora mortuorum; ego enim terrenum corpus meum in cœlesti ponam solio; et cum eo regens cœlestia rursum veniam et judicabo omnem terram, ut rex universi; et dignos quidem terræ in ea relinquam, quos vero justos invenerim cum suis corporibus in cœlum assumam, et regnum cœlorum

[88] Matth. xxviii, 18. [89] ibid.

ipsis impertiam. « Euntes ergo, ait, docete omnes A gentes, baptizantes et instruentes eos. » Quod etiam pertinet ad acceptam ejus potestatem; nam non dixit solummodo, instruentes, sed etiam, docentes omnes gentes. Illud quidem ad apostolos spectabat qui adimplerent mandatum illius, sed discipulos consequi et baptizare omnes qui ex omni gente et populo turmatim convenerint, hoc non est tantum instruentium, sed et audientium, potius vero divinæ gratiæ et virtutis auxiliantis. Quod ostendens divus Paulus dicebat: « Data est mihi gratia hæc in omnibus gentibus evangelizare [1]. » « Baptizantes eos in nomine Patris et Filii et Spiritus sancti. » Viden' eamdem naturam eamdemque dignitatem trium adorabilium personarum palam prædicatam? Nam unum nomen trium, una ex eis B sanctificatio, una in eas fides.

ὡς τοῦ παντὸς βασιλεύς. Καὶ τοὺς μὲν ἀξίους τῆς γῆς ἐν αὐτῇ καταλείψω· τοὺς δὲ δικαιωθέντας μετὰ τῶν οἰκείων σωμάτων εἰς οὐρανοὺς ἀναλήψομαι, καὶ τὴν τῶν οὐρανῶν βασιλείαν αὐτοῖς χαρίσομαι. Πορευθέντες νῦν, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες καὶ διδάσκοντες αὐτούς· καὶ τοῦτο τῆς ἐξουσίας ἣν ἔλαβεν· οὐ γὰρ εἶπε « διδάσκοντες » μόνον, ἀλλὰ καὶ « μαθητεύσατε πάντα τὰ ἔθνη. » Τὸ μὲν διδάσκειν μόνον τῶν ἀποστόλων ἦν τελούντων τὸ πρόσταγμα· τὸ δὲ καὶ μαθητὰς κτᾶσθαι καὶ βαπτίζειν, καὶ ταῦτα ἐκ παντὸς ἔθνους τε καὶ γένους κατὰ πλήθη συμφορουμένους, οὐκέτι τῶν διδασκόντων ἦν μόνον, ἀλλὰ καὶ τῶν ὑπακουόντων, μᾶλλον δὲ τῆς θείας χάριτος καὶ δυνάμεως τοῦ προστάξαντος· ὃ δηλῶν καὶ ὁ θεῖος Παῦλος ἔλεγεν· Ἐδόθη μοι χάρις εἰς ὑπακοὴν ἐν πᾶσι τοῖς ἔθνεσι. Βαπτίζοντες αὐτούς, εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Ὁρᾶτε τὴν συμφυΐαν καὶ τὴν ὁμοτιμίαν τῶν τριῶν προσκυνητῶν προσώπων παῤῥησίᾳ κηρυττομένην; Ἓν γὰρ ὄνομα τῶν τριῶν· εἷς ὁ ἐκ τούτων ἁγιασμός· μία ἡ πρὸς ταῦτα πίστις.

Sæpius vero de istis dictum erat in Evangelio, sed obscurius. Baptizato Domino, personarum Trinitas aperte quidem monstrata fuit, non ita vero unitas naturæ et dignitatis. Nunc autem prædicari et in corde credentium ab initio reponi mandat Dominus, ita ut sine hac veritate et fide in eam nequeant omnino principium pietatis fundare. Sed non solummodo dixit: « Baptizantes eos, » sed et: « Docentes servare omnia quæcunque mandavi vobis; » unde non sufficit solum baptisma ut homi- C nem faciat Evangelii discipulum, sed oportet etiam ut serventur divina mandata, et hæc quidem omnia. Recte igitur Jacobus frater Domini scripsit dicens: « Quicunque totam legem servaverit, offendat autem in uno, factus est omnium reus [2]. » Nam qui cujuslibet peccati reus factus fuerit, et nequaquam semetipsum per pœnitentiam a barathro peccati eruerit, transgressor fit universæ legis gratiæ. Sic ergo, inquit, loquimini, sic facite, tanquam a lege libertatis judicandi; nam lex Christi lex est libertatis; quippe nos liberavit per divinum baptismum a lege peccati et mortis. Igitur nisi studeamus nobis usque ad finem custodire libertatem per opera verbaque irreprehensibilia, vel nisi amissam per pœnitentiam recuperemus, ab ea quæ nos liberavit D lege damnabimur, quoniam non servaverimus datam nobis libertatem. Ideo divus Paulus de semetipso dixit: « Sic curro, non quasi in incertum; sic pugno, non quasi aerem verberans; sed castigo corpus meum et in servitutem redigo, ne postquam aliis prædicaverim, ipse reprobus efficiar [3]. » Nobis autem ad parem zelum excitans: « Nescitis, inquit, quoniam qui in stadio currunt, omnes quidem currunt, sed non omnes accipiunt bravium [4]. » Quæ non dixit quasi unus tantum bravium salutis acciperet, sed quoniam illi qui admodum student illud accipiunt, sive unus sit, sive sint plures. Nam ne-

**214** Εἴρηται δὲ πολλάκις ἐν τῷ Εὐαγγελίῳ περὶ τούτων, ἀλλὰ ἀμυδρότερον. Καὶ τοῦ Κυρίου δὲ βαπτιζομένου, τὸ μὲν τρισυπόστατον τρανῶς ἐδείχθη, τὸ δὲ συμφυὲς τούτων καὶ ὁμότιμον οὐχ οὕτω· νῦν δὲ πᾶσι κηρύττεσθαι καὶ τῇ καρδίᾳ τῶν πιστευόντων ἐξ ἀρχῆς ἐναποτίθεσθαι παραγγέλλει ὁ Κύριος, ὡς οὐκ ἐνὸν δίχα τοῦ δόγματος τούτου καὶ τῆς κατ' αὐτὸ πίστεως ἀρχὴν ὅλως θεοσεβείας καταβαλέσθαι. Οὐ βαπτίζοντες δὲ μόνον, ἀλλὰ καὶ διδάσκοντες τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· ὥστε οὐκ ἀρκεῖ τὸ βάπτισμα μόνον μαθητὴν ποιῆσαι τοῦ Εὐαγγελίου τὸν ἄνθρωπον, ἀλλὰ δεῖ καὶ τῆς τῶν θείων ἐντολῶν τηρήσεως, καὶ τούτων πασῶν· διδάσκοντες γὰρ τηρεῖν αὐτούς, φησίν, οὐ τινά, ἀλλὰ πάντα ὅσα ἐνετειλάμην ὑμῖν. Καλῶς ἄρα Ἰάκωβος ὁ ἀδελφόθεος ἔγραψε, λέγων· « Ὅστις ὅλον τὸν νόμον τηρήσει, πταίσει δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος· » δι' ἑκάστης γὰρ ἁμαρτίας ὁ περιπεσὼν καὶ μὴ διὰ τῆς μετανοίας ἀπὸ τοῦ βαράθρου τῆς ἁμαρτίας ἑαυτὸν ἀναλαβὼν παραβάτης γίνεται τοῦ νόμου τῆς χάριτος. Οὕτως οὖν, φησί, λαλεῖτε, καὶ οὕτω ποιεῖτε, ὡς ὑπὸ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι· ὁ γὰρ τοῦ Χριστοῦ νόμος νόμος ἐλευθερίας ἐστίν· ἠλευθέρωσε γὰρ ἡμᾶς διὰ τοῦ θείου βαπτίσματος ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. Ἂν τοίνυν μὴ σπεύσωμεν ἕως τέλους ἑαυτοῖς φυλάξαι τὴν ἐλευθερίαν δι' ἔργων τε καὶ λόγων ἀνεγκλήτων, ἢ διαπεσοῦσαν ἐπαναχαλέσασθαι διὰ τῆς μετανοίας, ὑπ' αὐτοῦ τοῦ ἐλευθερώσαντος νόμου κατακριθησόμεθα, ὡς μὴ τηρήσαντες τὴν δεδομένην ἡμῖν ἐλευθερίαν. Διὸ Παῦλος ὁ θεῖος περὶ μὲν ἑαυτοῦ φησιν· « Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων· ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. » Πρὸς ἡμᾶς δέ, πρὸς τὸν ὅμοιον διεγείρων ζῆλον, « Οὐκ οἴδατε, φησίν, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει

[1] Ephes. III, 8. [2] Jac. II, 10. [3] I Cor. IX, 26. [4] I Cor. IX, 24.

Digitized by Google

τὸ βραβεῖον; » Οὐχ εἶπε δὲ τοῦτο, ὡς ἑνὸς κἀνταῦθα τὸ βραβεῖον τῆς σωτηρίας λαμβάνοντος, ἀλλ' ὡς τῶν ἄγαν σπευδόντων ἐκεῖνο λαμβανόντων, κἂν εἷς ᾖ, κἂν εἶεν πλεῖστοι· ἀνέκλειπτον γάρ ἐστιν ἐκεῖνο τὸ βραβεῖον τῆς ἄνω κλήσεως, καὶ ἀρκεῖ πρὸς πάντας ἀμειώτως μεταδιδόμενον. Διὸ πάλιν ὁ αὐτὸς πᾶσιν ἐπάγει λέγων· « Οὕτω τρέχετε, ἵνα καταλάβητε. » Ἀλλὰ καὶ τὸν τρόπον ὑποδεικνὺς τοῦ δρόμου· « Πᾶς δὲ ὁ ἀγωνιζόμενος, φησὶ, πάντα ἐγκρατεύεται, » μηδεμιᾷ ποτε τῶν ἀπηγορευμένων ἡδονῶν ἔκδοτον εἰς τέλος ἑαυτὸν παρέχων. Εἶτα ὡς ἐνισταμένων τῶν βεβαπτισμένων καὶ λεγόντων διὰ μόνου τοῦ βαπτίσματος χωρὶς τῶν ἔργων εὐπροσδέκτους εἶναι τῷ Θεῷ, διὰ τῶν ἐκ παλαιοῦ τύπων αὐτὸς δείκνυσι καὶ ἀναπείθει εὐδοκεῖν ἐν μηδενὶ τὸν Θεὸν, ἂν μὴ μετὰ τοῦ πίστιν ἔχειν ἀσφαλῆ καὶ τῶν πονηρῶν ἀπέχηται καὶ παθῶν καὶ λόγων καὶ πράξεων· « Οὐ θέλω γὰρ, φησὶν, ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός. »

A quit exhauriri illud bravium supernæ vocationis, sed omnibus sufficit sine imminutione communicatum. Ideo rursus idem omnibus loquens addit: « Sic currite ut comprehendatis. » Sed et modum cursus ostendens: « Omnis, ait, qui in agone contendit, ab omnibus se abstinet; » tunc enim nulli voluptatum prohibitarum totus indulget. Deinde perinde ac si baptizati censerent et dicerent se per solum baptisma sine operibus esse Deo acceptabiles, per figuras ex veteri Testamento desumptas, monstrat et suadet neminem Deo placere, nisi cum fide firma a pravis passionibus et verbis et operibus abstineat. Nam dixit: « Nolo vos ignorare, fratres, quoniam patres nostri omnes sub nube fuerunt, et omnes mare transierunt, et omnes in B Moyse baptizati sunt in nube et in mari, et omnes eamdem escam spiritalem manducaverunt, et omnes eumdem potum spiritalem biberunt; bibebant autem de spiritali consequente eos petra, petra autem erat Christus. Sed non in pluribus beneplacitum est Deo [94]. »

Ταῦτα δὲ πάντα τύποι τῶν καθ' ἡμᾶς ἱερῶν μυστηρίων ἦσαν· ἡ θάλασσα τοῦ κατὰ τὸ βάπτισμα ὕδατος· ἡ νεφέλη τοῦ ἄνωθεν μυστικῶς τοῖς βαπτιζομένοις **215** ἐπισκιάζοντος θείου Πνεύματος· τὸ βρῶμα καὶ τὸ πόμα, τοῦ Χριστοῦ σώματος καὶ αἵματος, ὧν ἡμεῖς καθ' ἑκάστην ὡς εἰπεῖν μετέχομεν· διὰ τοῦτο γὰρ καὶ τὴν ἄψυχον καὶ ἀναίσθητον ὕλην τὴν πέτραν ἐκείνην πνευματικὴν ἐκάλεσεν ὁ Παῦλος. Ὥσπερ γὰρ ψυχικὸν λέγεται σῶμα τὸ ὑπὸ ψυχῆς δυναμούμενόν τε καὶ κινούμενον, οὕτω καὶ πνευματικόν ἐστι σῶμα, τὸ ὑπὸ τοῦ θείου Πνεύματος ὑπερφυῶς ἐνεργούμενον. Ἐπεὶ οὖν ἡ πέτρα ἐκείνη παραδόξως ἐνεργουμένη παρὰ τοῦ Πνεύματος, τὴν τοῦ ὕδατος πηγὴν συμμεταφερομένην εἶχεν ἐν ἑαυτῇ, καὶ παρ' ἑαυτῆς ἀφθόνως ἀνεδίδου, πνευματικὴ δικαίως ἐκλήθη παρὰ τοῦ Παύλου, καὶ εἰς τύπον προσελήφθη τοῦ Χριστοῦ σώματος· καὶ τοῦτο γὰρ ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῷ πληρώματος τῆς θεότητος ἐνεργούμενον ἔχει τε καὶ παρέχει τοῖς πιστῶς προσιοῦσιν ἀφθόνως τὴν πηγὴν τῆς ἀϊδίου ζωῆς. Ἀλλὰ πρὸς ὃν νῦν ἡμῖν ὁ λόγος. Εἰπὼν ὁ θεῖος Παῦλος, ὅτι οἱ πρὸ ἡμῶν ἐκεῖνοι πάντων μετέσχον τῶν ἐν τύπῳ μυστηρίων, ἐπήγαγεν· « Ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν τῇ ἐρήμῳ, καὶ τύποι ἡμῶν ἐγενήθησαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. » Τοῦτο λέγων ἄντικρυς, ὅτι καθάπερ ἐκείνους, πρὸς τὰς πονηρὰς ἐπιθυμίας ἐκκλίναντας, οὐδὲν ὠφέλησαν οἱ δοθέντες τύποι τῶν μυστηρίων, οὐδὲ ἐξείλοντο τῆς θείας ἐγκαταλείψεως, διὸ καὶ καταφθαρέντες ἐκτὸς εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ ἀπεσώθησαν, οὕτω καὶ ἡμᾶς, εἴπερ ἐν ἁμαρτίαις ζῆν προαιρούμεθα, τὸ

Verum hæc omnia præfigurabant sancta qui apud nos aguntur mysteria; habemus et nos mare baptismatis aquæ, nubem divini Spiritus deorsum baptizatos obumbrantis, escam et potum corporis et sanguinis Christi quibus singulis, ut ita dicam, diebus communicamus; ideo inanimem et sensus ex- C pertem materiam, petram illam vocavit Paulus spiritalem. Quemadmodum animatum dicitur corpus quod ab anima firmatum movetur, ita spiritale est corpus quod ex divino Spiritu supra naturam operatur. Igitur cum petra illa prodigiose a Spiritu operata, fontem aquæ in semetipsa secum ferebat, et a semetipsa abundanter præbebat, jure a Paulo vocata fuit spiritalis, et in figuram corporis Christi fuit assumpta; istud enim ex plenitudinis deitatis in ipso habitantis operans habebat et impertiebat ex abundantia fideliter accedentibus fontem vitæ æternæ. Sed redeamus ad illud de quo nobis est hodiernus sermo. Cum dixisset divus Paulus illos pro nobis omnium in figura mysteriorum fuisse participes, addidit: « Sed non in pluribus eorum bene- D placitum est Deo; nam prostrati sunt in deserto; hæc autem facta sunt in figura nostri, ut non simus concupiscentes malorum, sicut et illi concupierunt [95]. » Quod prorsus dicit ut sicut illis ad malas concupiscentias propensis minime profuerunt figuræ mysteriorum; nec omitte divinam derelictionem, ideoque extra pessumdati non intraverunt in terram promissionis; ita et nos, si in peccatis vivere maluerimus, divinum baptisma, divinaque illud sequentia mysteria ab æterna damnatione non eruent; sed decidemus ex cœlesti hæreditate, quemadmodum illi ex terra promissionis, sine pœnitentia

[94] I Cor. x, 1. [95] I Cor. ix, 5.

Digitized by Google

conversati, neque divinis mandatis obedientes. Itaque adjicit iterum nobis dicens : Absit, fratres, ut simus increduli, neque obduremus corda nostra, sicut illi in die tentationis in deserto. Ait enim : « Quibus infensus est? nonne eis qui peccaverunt, quorum cadavera prostrata sunt in deserto? Quibus autem juravit non introire in requiem ipsius, nisi illis qui increduli fuerunt? Et videmus quia non potuerunt introire [6]. » « Neque fornicemur, sicut quidam ex ipsis fornicati sunt, et ceciderunt una die viginti tria millia; neque tentemus Christum non credentes in ejus ad nos promissiones, neque parentes mandatis et præceptis illius, sicut quidam eorum tentaverunt, et perierunt a serpentibus, neque murmuremus, sicut quidam eorum murmuraverunt, et perierunt ab exterminatore [7]. » Nam possumus etiam apud nos hæc prava videre facinora, et horrendas istas passiones, possumus intueri quoniam propter peccata nostra mala patimur, et eisdem ac illi tentamur malis sollicitationibus. Quis enim nescit ignem avaritiæ in nobis ardere, et ad summum accendi, et fere quocunque antecedere in vulgares sumptus, in fora communia, in agros, in commutationes, in mercaturas? Imo in nobis sacras ædes penetravit, et festivos dies aggressus non festivas fecit festivitates nostras æstuante et plerumque mendace ad lucrum furore et vanitate. In quo discrepant ab illo qui Evam olim decepit serpente, et ab illis qui in deserto morsu interfecerunt serpentibus, qui mendaciis et dolis seditiones gentilicias movent? Quot ex nostris temperantiam obliviscuntur licitis connubiis minime contenti, curruntque ad meretrices coitusque illicitos?

A θεῖον βάπτισμα καὶ τὰ ἑπόμενα τούτῳ θεῖα μυστήρια τῆς αἰωνίου καταδίκης οὐ ῥύσεται· ἀλλ' ἐκπεσούμεθα τῆς οὐρανίου κληρονομίας, ὡς ἐκεῖνοι τῆς γῆς τῆς ἐπαγγελίας, ἀμετανοήτως πολιτευόμενοι, καὶ ταῖς θείαις ἐντολαῖς μὴ πειθόμενοι. Διόπερ ἐπάγει πάλιν αὐτὸς πρὸς ἡμᾶς λέγων· « Μὴ ἀπειθεῖς ὦμεν, ἀδελφοί, μηδὲ σκληρύνωμεν τὰς καρδίας ἡμῶν, ὡς ἐκεῖνοι κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ· » « Τίσι γὰρ προσώχθισε, φησίν, οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν. Μηδὲ πορνεύωμεν καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες· μηδὲ πειράζω- B μεν τὸν Χριστὸν, ἀπιστοῦντες ταῖς αὐτοῦ πρὸς ἡμᾶς ἐπαγγελίαις, καὶ ἀπειθοῦντες ταῖς ἐντολαῖς καὶ τοῖς προστάγμασιν αὐτοῦ, καθὼς καί τινες ἐκείνων ἐπείρασαν, καὶ ἀπώλοντο ὑπὸ τῶν ὄφεων· μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. » Ἔστι γὰρ καὶ ἐφ' ἡμῶν ὁρᾷν τάς τε πονηρὰς ταύτας πράξεις, καὶ τὰ πάνδεινα ταῦτα πάθη, καὶ συνορᾷν ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν πάσχομεν κακῶς, καὶ τῶν αὐτῶν ἐκείνοις πειρώμεθα δεινῶν. Τίς γὰρ οὐκ οἶδε τὸ πῦρ τῆς πλεονεξίας ἐφ' ἡμῶν καιόμενον, καὶ εἰς ὕψος αἰρόμενον, καὶ πανταχοῦ σχεδὸν φθάνον, ἐπὶ τοὺς πανδήμους φόρους, ἐπὶ τὰς κοινὰς ἀγορὰς, ἐπὶ τὰς γεωργίας, ἐπὶ τὰς συναλλαγὰς, ἐπὶ τὰς ἐμπο- C ρίας; Ἤδη δὲ καὶ τῶν ἱερῶν ἐχώρησεν εἴσω δόμων, καὶ τῶν ἑορτασίμων κατετόλμησεν ἡμερῶν, ἀνεόρτους ἡμῖν καὶ τὰς ἑορτὰς ποιοῦν τῇ κατεσπουδασμένῃ καὶ κατεψευσμένῃ τῶν πλείστων περὶ τὸ κέρδος μανίᾳ καὶ ματαιότητι. Τί διαφέρουσι τοῦ ψιθυρίσαντός ποτε τὴν Εὔαν ὄφεως, καὶ τῶν ἐν τῇ ἐρήμῳ δακνόντων ὄφεων ἐκείνων, οἱ ψιθυρισμοῖς καὶ δόλοις τὰς ἐν ἡμῖν ἐμφυλίους κινοῦντες στάσεις; Πόσοι τῶν ἡμετέρων τῆς σωφροσύνης 216 καταμελοῦσι τοῖς κατὰ νόμον οὐκ ἀρκούμενοι γάμοις, ἀλλὰ πόρναις καὶ παρανόμοις ἐπιτρέχοντες κοίταις;

Propter ista et similia multi ex nostris, alii quidem gladii, alii latronis præda fuerunt, cæteri autem erunt, nisi pœnitentiam agant; nam si quis hic effugiat præsentem hanc iram imminentem, post mortem certo incidet in manus ejus qui sine pœnitentia mortuos ira obruet. Dixit enim : « Propterea venit ira Dei in filios diffidentiæ, » tam præsens quam futura. Igitur, fratres, convertamur singuli ab operibus nostris perversis; nequaquam mala agamus, ne nos mala deprehendant, sed discamus bonum agere. Peccata quidem per confessionem et consentaneam pœnitentiam rejiciamus; si vero non perfecte possumus virtutibus incumbere, nostra ad Deum humilitate, bonorum quibus abundamus communicatione cum pauperibus, nostra erga eos qui nos offenderunt indulgentia, veniam a Deo attrahamus, et quod in nostris operibus bonis deficit, Dei benignitate suppleamus, ut Dominus nobiscum maneat in sempiternum, prout promisit; nam cum mandavisset discipulis baptizare et do-

Διὰ ταῦτα καὶ τὰ τοιαῦτα πολλοὶ τῶν ἡμετέρων οἱ μὲν μαχαίρας ἔργον, οἱ δὲ λεηλασίας γεγόνασιν· οἱ δὲ μέλλουσιν, ἂν μὴ μετανοήσωσι· κἂν γὰρ ἐνταῦθά τις διαφύγῃ τὴν μέλλουσαν ἐκείνην ὀργὴν, μετὰ θάνατον τοὺς ἀμετανοήτως ζῶντας ἀναπόδραστον οὐ διαφεύξεται· « Διὰ ταῦτα γὰρ ἔρχεται, φησίν, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, » ἡ παροῦσά τε καὶ ἡ μέλλουσα. Ἐπιστρέψωμεν οὖν, ἀδελφοί, ἀπὸ τῶν πονηριῶν ἡμῶν ἕκα- D στος· μὴ ποιῶμεν κακὰ, καὶ οὐ μὴ καταλάβῃ ἡμᾶς κακά· ἀλλὰ μάθωμεν καλὸν ποιεῖν. Καὶ τὰς μὲν κακίας δι' ἐξομολογήσεως καὶ τῆς προσηκούσης μετανοίας ἀποβαλώμεθα· τῶν δὲ ἀρετῶν ἂν μὴ τελέως ἀντέχεσθαι δυνώμεθα τῇ πρὸς τὸν Θεὸν ταπεινώσει, καὶ τῇ πρὸς τοὺς πένητας ἀφ' ὧν εὐποροῦμεν μεταδόσει, καὶ τῇ πρὸς τοὺς πταίοντας ἀνεξικάκῳ προαιρέσει, τὴν ἄνωθεν συγγνώμην ἐπισπασώμεθα, καὶ τὴν ἡμετέραν ἐν ἔργοις ἀγαθοῖς ἔλλειψιν διὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀναπληρώσωμεν, ἵνα μεθ' ἡμῶν ἀδιαλείπτως μένῃ κατὰ τὴν ἐπαγγελίαν

[6] Hebr. III, 17. [7] I Cor. x, 8.

Digitized by Google

ὁ Κύριος παραγγείλας γὰρ τοῖς μαθηταῖς βαπτί- A ζειν καὶ διδάσκειν, ἐπιφέρει· « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. » Οἱ μὲν οὖν αὐτήκοοι γεγονότες, ὑπηρετήσαντες τῇ τοῦ Θεοῦ βουλῇ ἐπὶ τῆς γενεᾶς ἐκείνης, ἀπανέστησαν τῶν ὧδε· καὶ ἡμῖν οὐκοῦν ἐστιν ἡ ἐπαγγελία, τοῖς κατὰ γενεὰς μέχρι συντελείας τοῦ αἰῶνος εἰς αὐτὸν πιστεύουσι, καὶ δι' ἔργων τὴν πίστιν ἐπιδεικνυμένοις· ὡς ἂν ἀπὸ τῶν ἐνταῦθα μεθ' ἡμῶν τὸν Κύριον ἔχοντες, ἐν αὐτῷ καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, εἰς δόξαν αὐτοῦ, καὶ τοῦ ἀνάρχου Πατρὸς αὐτοῦ, καὶ τοῦ συναϊδίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

cere, addidit: « Ecce vobiscum sum omnibus diebus usque ad consummationem sæculi. » Igitur qui dociles fuerint et divinæ voluntati servientes in generatione sua, hinc resurgent; nobisque facta est promissio qui a nativitate usque ad sæculi consummationem in eum crediderimus, et operibus fidem monstraverimus, ut cum jam Dominum his in terris nobiscum habuerimus, in ipso tum præsentia tum futura bona consequamur, in gloriam ipsius, æterni que ejus Patris et coæterni Spiritus, nunc et semper et in sæcula sæculorum. Amen.

## ΟΜΙΛΙΑ ΛΘ'.

*Ῥηθεῖσα ἐν λιτῇ, γενομένῃ διὰ τὴν ἀήθη καὶ ἀθρόαν τοῦ θανάτου τηνικαῦτα πληγήν.* B

Ἰωάννης ὁ ἠγαπημένος τῷ Χριστῷ Θεολόγος φησίν· « Ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παῤῥησίαν ἔχομεν πρὸς τὸν Θεὸν, καὶ ὃ ἐὰν αἰτῶμεν λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. » Ἡμεῖς δὲ οἱ αὐτοκατάκριτον ἔχοντες τὸ συνειδὸς, οἱ ὀπίσω τῶν ἐπιθυμιῶν ἡμῶν τῶν πονηρῶν πορευόμενοι, οἱ τὰς ἐντολὰς τοῦ Θεοῦ παρωσάμενοι, καὶ τὰ βδελυκτὰ ἐνώπιον αὐτοῦ ἐργαζόμενοι, οἱ μεθύοντες καθ' ἡμέραν, καὶ διημερεύοντες ἐν οἴνῳ, καὶ κατασκοποῦντες ποῦ πότος γίνεται· οἱ διανυκτερεύοντες ἐν ἀκαθαρσίᾳ ψυχῆς **217** καὶ σώματος· οἱ ἀδικίᾳ καὶ πλεονεξίᾳ συζῶντες· οἱ κλοπαῖς καὶ ἁρπαγαῖς χαίροντες· οἱ φθόνον καὶ C μῖσος κατ' ἀλλήλων ἔχοντες· οἱ λοιδοροῦντες ἀλλήλους· οἱ καταλαλοῦντες ἀλλήλων· οἱ πᾶσαν ἀρετὴν καὶ παιδείαν μισήσαντες, καὶ πρὸς πᾶν εἶδος ἁμαρτίας ἑαυτοὺς εἰσωθήσαντες, πῶς σχῶμεν παῤῥησίαν διὰ προσευχῆς καὶ ψαλμῳδίας αἰτήσασθαί τι παρὰ Θεοῦ; Πόθεν δὲ προσδοκήσομεν λήψεσθαι παρὰ Θεοῦ τὰ αἰτήματα, οἱ τὰ τοῦ Θεοῦ ἀθετοῦντες θελήματα; « Τῷ γὰρ ἁμαρτωλῷ, κατὰ τὸν Ψαλμῳδὸν, εἶπεν ὁ Θεός· Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. Τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου D περιέπλεκε δολιότητας. Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. Ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου. Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ, μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος· » ὥσπερ νῦν ἡμεῖς ἁρπαζόμεθα, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος, οὐκ ἔστιν ὁ βοηθῶν. Ἀλλ' οὐχ ἕκαστος ἡμῶν ἔχει πάντα τὰ προκατηριθμημένα τῆς ἁμαρτίας εἴδη· ἀλλ' ἕκαστος ἡμῶν δι' ἑνὸς τούτων, ἢ καὶ πλειόνων, πάντες ἐξεκλίναμεν, ἅμα ἠχρειώθημεν· καίτοι καὶ τούτων ἕκαστον ἱκανὸν ἀπώσασθαι τὸν ἔλεον τοῦ Θεοῦ, καὶ

## HOMILIA XXXIX.

*Dicta in supplicatione publica quæ facta est propter insolitam et ubique tunc grassantem mortis plagam.*

Joannes dilectus Christo theologus dixit: « Si cor nostrum non reprehenderit nos, fiduciam habemus ad Deum, et quidquid petierimus, accipiemus ab eo; quoniam mandata ejus custodimus, et ea quæ sunt placita coram eo facimus [a]. » Nos autem qui a nostra arguimur conscientia, qui post concupiscentias nostras malas abivimus, qui mandata Dei rejecimus, et turpia egimus in conspectu illius, qui per singulos dies inebriamur, et in vino totam diem transigimus, considerantes unde veniat potus: qui noctem agimus in immunditia animæ et corporis; qui iniquitati et avaritiæ assuescimus, qui furtis et rapinis gaudemus; qui invidiam et odium ad invicem habemus; qui nos mutuis lacessimus opprobriis, qui nobis invicem maledicimus: qui omnem virtutem et disciplinam odimus; qui in omnem formam peccati ruimus, quomodo fiduciam habebimus per orationem et psalmodiam omnia a Deo consequendi? Unde sperabimus a Deo obtinere quæcunque petierimus, qui mandata Dei rejecimus? Peccatori enim, secundum Psalmistam, dixit Deus: Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum? Tu vero odisti disciplinam, et projecisti sermones meos retrorsum. Si videbas furem, currebas cum eo; et cum adulteris portionem tuam ponebas. Os tuum abundavit malitia, et lingua tua concinnabat dolos. Sedens adversus fratrem tuum loquebaris, et adversus filium matris tuæ ponebas scandalum. Arguam te, et statuam contra faciem tuam iniquitates tuas. Intelligite hæc, omnes qui obliviscimini Deum, ne quando rapiat et non sit qui eripiat [b], » sicut nunc nosmetipsi rapimur, et nemo est qui eripiat, non est auxiliator. Equidem non habemus singuli universas supra enumeratas peccatorum species, sed omnes per unam vel etiam plures ex eis declinavimus et facti sumus inutiles; porro quælibet species nata est amovere misericordiam Dei, et ejus iram inducere. Quid Israelitas fecit indignos tabulis a Deo conditis? nonne ebrietas? Ascendens

[a] I Joan. iii, 21. [b] Psal. xlix, 10 seqq.

Digitized by Google

A enim Moyses in montem quadraginta dierum egit jejunium, et cum Deo pro genere conversatus est; unde non manufactas, sed digito Dei scriptas accepit tabulas, et descendebat portans donum ad Israelitas. Sed cum procul percepisset ex tumultu et obscenis clamoribus eos inebriari, dicens: Vocem ebriorum audio, illos judicans indigne tabulis opere Dei factis et scriptis, has confregit; tunc adversus eos armis instruit viros quorum mens vino non turbata fuerat, qui etiam deum ebriorum non conflaverant, et horum ope plura occidit millia, et sic placavit Deum sobriorum. Et rursus ascendens alias detulit tabulas, similiter quidem scriptas, non autem similes; nam ex inferiori materia constabant.

ἐπισπάσασθαι τὴν ὀργήν. Τί τοὺς Ἰσραηλίτας; ἀναξίους ἐποίησε τῶν θεοδμήτων πλακῶν; οὐχ ἡ μέθη; Ἀναβὰς γὰρ ὁ Μωϋσῆς εἰς τὸ ὄρος τεσσαρακονθήμερον ἦγε νηστείαν, καὶ τῷ Θεῷ ὑπὲρ τοῦ γένους ὡμίλει· ὅθεν καὶ ἀχειροποιήτους πλάκας ἐδέξατο δακτύλῳ Θεοῦ γεγραμμένας, καὶ κατήρχετο φέρων τὴν δωρεὰν τοῖς Ἰσραηλίταις. Ὡς δὲ καὶ πόῤῥωθεν ᾔσθετο μεθυόντων ἀπὸ τοῦ θορύβου καὶ τῆς ἀσέμνου κραυγῆς, « Φωνῆς, εἰπών, μεθυόντων ἐγὼ ἀκούω, » ἀναξίους αὐτοὺς κρίνας τῶν αὐτοχείρως τῷ Θεῷ καὶ γεγενημένων καὶ γεγραμμένων, συντρίβει μὲν τὰς πλάκας ἐκείνας, ὁπλίζει δὲ κατ' αὐτῶν τοὺς μὴ μέθῃ τὰς φρένας σεσαλευμένους, μηδὲ μεθυόντων θεὸν ἀναπλάσαντας, καὶ κτείνει δι' αὐτῶν πολλὰς χιλιάδας, καὶ οὕτως ἐξευμενίζει τὸν τῶν νηφόντων Θεόν. Καὶ πάλιν ἑτέρας ἀναβὰς καταφέρει πλάκας, γεγραμμένας μὲν ὁμοίως, οὐκέτι δὲ ὁμοίας· ἐκ γὰρ τῆς κάτωθεν ἦσαν ὕλης.

Viden' quomodo inde ab antiquo tempore ebrietas B exhibetur letifera? quanta damnatione digna, et quomodo ei deditos fecit indignos donis Dei et vita præsenti? Ebrietas dæmon est corporalis, cogitationum subversio, corporis solutio, vita pejor morte, Dei aversionis causa. Majus insuper est malum quoniam nos arcet a vita a Deo promissa. « Ebriosi, ait Apostolus, regnum Dei non possidebunt [10]. » Quid autem fornicatio? Egressus est Dei populus ex Ægypto omnino sine armis; et armatorum multitudo illum persequebatur. Igitur cum ad mare advenissent hi fugientes, illi persequentes, potentia et voluntate Dei, virga et manu Moysis, utrisque mare se divisit, aliis quidem scissum in medio patet et tutum dat transitum, alios autem persequentes refluens invadit, et C mortuos vicinis oris restituit; alios quidem armis vacuos optime armatos exhibuit, alios vero omni modo instructos ejecit mortuos. Quid deinde? Percurrunt locos et regiones tum refertas, tum desertas incolis invincibiles, superantes eos omnes qui ausi fuerint obsistere. Sed ut inciderunt in fornicationem, tantopere victi fuerunt, ut tunc in bello perierint triginta tria millia. Ideo Paulus nobis, « Nolite fornicari, inquit, sicut quidam ex eis fornicati sunt, et ceciderunt in una die viginti tria millia [11]. » Et nisi zelavisset Phinees, et una plaga cum meretrice turpitudinem operantem occidisset, et malum coercens Deum placasset, omnes interiissent, omnimodo tentati ira Dei propter fornica- D tionis iniquitatem. Porro istam Deo odiosam libidinem in nobis grassari, quis nescit? Nemo autem qui cohibeat, fere nec filium pater, nec frater fratrem, nec amicus amicum; imo sunt qui cooperantur, licet clamet Apostolus: « Cum ejusmodi nec cibum sumere [12]. » Propterea morte et universa pernicie omnes digni sumus. At si fornicatio tali et tanta est damnatione digna, quanto magis adulterii facinus? Quod nec unum tantum vel duos, sed totas domos et vitas integras, totas-

Ἀλλ' ὁρᾶτε ὅπως ἐκ παλαιοῦ θανατηφόρον ἡ μέθη; πόσης ἀξία καταδίκης, καὶ πῶς ἀναξίους ποιεῖ τοὺς χρωμένους καὶ τῶν ἐκ Θεοῦ δωρεῶν, καὶ τῆς παρούσης ζωῆς; Μέθη δαίμων ἐστὶν ἔνυλος, παρατροπὴ λογισμῶν, παράλυσις σώματος, θανάτου χείρων ζωή, ἀποστροφῆς Θεοῦ ἀφορμή. Τὸ δέ γε μεῖζον κακὸν ὅτι καὶ τῆς ἐπηγγελμένης παρὰ Θεοῦ ζωῆς ἐστιν ἀλλοτρίωσις· « Μέθυσοι γάρ, φησί, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. » Τί δὲ ἡ πορνεία; Ἐξῆλθεν ὁ τότε λαὸς τοῦ Θεοῦ ἐξ Αἰγύπτου παντάπασιν ἄοπλοι, καὶ ὁπλιτῶν τούτους ἐπεδίωκε πλῆθος. Ὡς οὖν μέχρι τῆς θαλάσσης ἦλθον, οἱ μὲν φεύγοντες, οἱ δὲ διώκοντες, δυνάμει καὶ βουλῇ Θεοῦ, καὶ ῥάβδῳ καὶ χειρὶ Μωσέως, διχάζει πρὸς ἀμφοτέρους ἐκείνους ἡ θάλασσα, καὶ τοῖς μὲν ὑποχωρεῖ σχισθεῖσα μέση, καὶ πάροδον ἀκίνδυνον δίδωσι· τοῖς δὲ καταδιώκουσιν ἐπιῤῥεύσασα, νεκροὺς τοῖς γείτοσιν αἰγιαλοῖς ἐκείνοις ἐξέδωκε· καὶ τοὺς ἀόπλους πανοπλίτας ἀπέδειξε, σκυλεύσαντας τοὺς ἐκβρασθέντας νεκρούς. Εἶτα τί; Διέρχονται τόπους καὶ χώρας οἰκουμένας καὶ ἀοικήτους ἀήττητοι, νικῶντες **218** πάντας τοὺς ἀντιτεταγμένους αὐτοῖς. Ὡς δὲ πορνείᾳ ὑπέπεσαν, ἐπὶ τοσοῦτον ἡττήθησαν, ὡς καὶ ἀποθανεῖν ἐν τῷ πολέμῳ παραυτὰ τότε εἰκοσιτρεῖς χιλιάδας. Διὸ καὶ ὁ Παῦλος πρὸς ἡμᾶς, « Μὴ πορνεύετε, φησί, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες. » Καὶ εἰ μὴ Φινεὲς ζηλώσας, καὶ μιᾷ πληγῇ μετὰ τῆς πορνευομένης συναποκτείνας τὸν τὸ μύσος κατεργαζόμενον, καὶ ἀναχαιτίσας τὴν πρᾶξιν ἐξιλεώσατο τὸν Θεόν, κἂν πάντες ἀπώλοντο, παγγενεὶ τῆς θείας ὀργῆς πειραθέντες διὰ τὴν τῆς πορνείας παρανομίαν. Ἐν ὑμῖν δὲ ὅτι μὲν ἐνεργεῖται τὸ θεοστυγὲς τοῦτο πάθος, τίς οὐκ οἶδε; Ὁ δὲ κωλύων οὐδείς, οὐ παῖδα σχεδὸν πατήρ· οὐχ ἀδελφὸς ἀδελφόν· οὐ φίλος φίλον· εἰσὶ δὲ οἳ καὶ συμπράττουσι, καίτοι τοῦ Ἀποστόλου λέγοντος· « Τοῖς τοιούτοις μηδὲ συνεσθίειν· » διὰ τοῦτο θανάτου καὶ πανωλεθρίας πάντες ἐσμὲν ἄξιοι. Εἰ δὲ ἡ πορνεία τοσαύτης καὶ τοιαύτης καταδίκης ἀξία, πόσῳ μᾶλλον τὸ τῆς μοιχείας;

[10] I Cor. vi, 10. [11] I Cor. x, 8. [12] I Cor. v, 8.

ἄγος; ὃ μηδὲ καθ' ἕνα μόνον ἢ δύο, ἀλλὰ καὶ οἴκους ὅλους, καὶ βίους ὅλους, καὶ τὰς κατὰ σῶμα συγγενείας καὶ διαδοχὰς κατασπᾷ τε καὶ ἀχρειοῖ, τὰς ψυχὰς πρὸ τούτων ἀναμέστους ποιῆσαν πάσης κακίας καὶ πονηρίας. Ὁ μέντοι φθόνος φόνου γεννήτωρ ὤν, ἐπεὶ καὶ δι' αὐτὸν τὴν ἀρχὴν ἄνθρωπος ἔγνω τοῦ θανάτου τὴν πεῖραν, ἀδελφοκτόνον τὸν Κάϊν ἀπεργασάμενον, πῶς οὐ θάνατον καὶ εἴ τι θανάτου χεῖρον δικαίαν ἔχει τὴν καταδίκην; Ἡ δὲ κλοπὴ πάλιν πόσον παροξύνει Θεόν; Ἐν τῷ παλαιῷ Ἄχαρ ἦν μόνος ὁ κλέψας, καὶ ὁ στρατὸς ἅπας ὑφίστατο τὴν πληγήν, ἕως ἐρευνήσαντες, ἐκ μέσου λιθοβολήσαντες τὸν ἁμαρτόντα ἐποίησαν.

Ἐγράφη δὲ ταῦτα πάντα πρὸς νουθεσίαν ἡμῶν, ἵνα μὴ τοῖς αὐτοῖς περιπίπτοντες ἁμαρτήμασι, καὶ ταῖς αὐταῖς καταδίκαις, μᾶλλον δὲ καὶ χείροσι, καθυποβάλλωμεν ἑαυτούς· μείζονος γὰρ ἢ ἐκεῖνο τὸ γένος ἀξιωθέντες τῆς θείας ἐπισκοπῆς, μειζόνων ἐσμὲν ἄξιοι πληγῶν, εἰ μὴ φυλάττομεν ἑαυτοὺς τῶν ὑπὸ Θεοῦ ἀπηγορευμένων ἀνωτέρους κακῶν. « Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, φησὶν ὁ Ἀπόστολος, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι, καὶ Πνεύματος ἁγίου μερισμοῖς καὶ ποικίλαις δυνάμεσι, κατὰ τὴν αὐτοῦ θέλησιν. » Διόπερ Ἀνανίας καὶ Σαπφείρα οὐκ ἐν τοῖς ἀλλοτρίοις, ἀλλ' ἐν τοῖς οἰκείοις τὴν κλοπὴν ἐργασάμενοι, διὰ τὸ ψεῦδος, ὃ σύνεστιν ἀεὶ τῇ κλοπῇ, θανατοῦνται παρὰ τοῦ Πέτρου, μᾶλλον δὲ παρὰ τοῦ Θεοῦ, πρὸς ὃν φησιν ὁ προφήτης Δαβίδ· « Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. » Ὁ δὲ Παῦλος τῷ Σατανᾷ παραδίδωσι τὸν ἐν Κορίνθῳ πορνεύσαντα, καὶ τοῖς Κορινθίοις παραγγέλλει γράφων· « Τῷ τοιούτῳ μηδὲ συνεσθίειν. » Καὶ οὐκ ἐκύρωσε τὴν ἀγάπην, ἕως ἀποστὰς ἐκεῖνος τῆς πονηρᾶς πράξεως, δι' ἔργων τὴν μετάνοιαν ἐπεδείξατο. Πρὸς δὲ τὸν πλεονέκτην ὅς, τῆς χώρας εὐφορησάσης, οὐ διαδίδωσι τοῖς μὴ ἔχουσιν, ἀλλὰ πλατύνει τὰς ἀποθήκας, τί φησιν ἐν Εὐαγγελίοις ὁ Κύριος; « Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; » Καὶ ἵνα μή τις νομίσῃ καθ' ἑνός τινος εἶναι τὴν ἀπόφασιν ταύτην, ἐπάγει· « Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν. » Καίτοι ὁ πλούσιος ἐκεῖνος οὐκ ἐπλούτει **219** ἐξ ἀδικίας· τί γὰρ ἐκεῖνος ἠδίκησεν, εἰ ἡ χώρα αὐτοῦ εὐφόρησεν; Ἀλλ' ὅμως, ὅτι οὐκ ἐχρήσατο τῇ παρὰ τοῦ Θεοῦ τῶν πραγμάτων ἀφθονίᾳ καλῶς, μηδὲ ἐπλούτησεν εἰς Θεὸν διὰ τῆς μεταδόσεως, ἄξιος θανάτου ἐγένετο, τοῦ πλούτου μηδὲν ἀπονάμενος. Ἡμῶν δέ εἰσιν οἳ μὴ τὰ δικαίως ποριζόμενα μόνον, ἀλλὰ καὶ τὰς ἀπὸ τῶν πτωχῶν ἁρπαγὰς ἔχουσιν ἐν τοῖς οἴκοις αὐτῶν, πλεονεξίαν ἀγαπῶντες, τὴν δευτέραν κατὰ Παῦλον εἰδωλολατρείαν· φιλαργυρίαν νοσοῦντες, τὴν πάν-

A que familias traditione percurrens, rapit et inutiles facit, quarum animas omni malitia et perversitate refertas efficit. Verum cum invidia homicidium parturiat, equidem per eam homo cognovit a principio mortis tentationem, et Cain factus est fratricida. Quomodo non mortem vel quid pejus morte justam habet damnationem? Furtum autem quantum divinam stimulat iracundiam! In veteri Testamento Achar erat solus qui furatus fuerat, et totus exercitus plagam pertulit, donec inquirentes peccatorem e medio lapidibus obrutum ejecissent.

Hæc autem omnia scripta sunt ad instructionem nostram, ne in eadem peccata decidentes, in easdem B damnationes vel etiam in pejores nosmetipsos præcipitemus. Nam majore quam illi charitate donati, majoribus sumus digni suppliciis, nisi nos custodiamus a malis a Deo prohibitis. « Si enim, ut ait Apostolus, qui per angelos dictus est sermo, factus est firmus, et omnis prævaricatio et inobedientia accepit justam mercedis retributionem, quomodo nos effugiemus, si tantopere neglexerimus salutem? Quæ cum initium accepisset enarrari per Dominum ab eis qui audierunt, in nos confirmata est, contestante Deo signis et portentis, et Spiritus sancti distributionibus et variis virtutibus, secundum suam voluntatem [13]. » Quamobrem Ananias et Sapphira qui non in alienis, C sed in propriis furtum commiserunt, propter mendacium quod semper furto conjungitur, a Petro vel potius a Deo interfecti sunt; ideo propheta David ad Deum dixit: « Perdes omnes qui loquuntur mendacium [14]. » Paulus vero Satanæ tradit Corinthium fornicatorem, et mandat Corinthiis scribens: « Cum ejusmodi nec cibum sumere [15]. » Neque firmavit charitatem nisi postquam ille apostata operibus monstravisset suam de facto pœnitentiam. Avaro autem qui agris exuberantibus nequaquam egentibus communicat, sed auget horrea, quid dicit in Evangeliis Dominus? « Stulte, hac nocte animam tuam repetent a te; quæ autem parasti, cujus erunt [16]? » Et ne quis cogitet adversus unum quemdam dari istam sententiam, D addit: « Sic est qui sibi thesaurizat, et non pro Deo est dives. » Attamen dives ille nequaquam ex injustitia locupletatus fuerat; nam quid injustitiam fecisset cui agri uberes fructus ferebant? Sed quia rebus suis a Deo in magna copia acceptis non bene utebatur, nec in Deum dives erat illas aliis communicando, dignus morte factus est, divitiis minime proficientibus. Ex nostris vero sunt qui non tantum juste comparata, sed etiam a pauperibus erepta in suis habent domibus, avaritiam diligentes, quæ secundum Paulum secunda est idololatria, opum amore ægrotantes qui est omnium malorum causa; et non nostri solum principes, sed et mer-

[13] Hebr. II, 2. [14] Psal. V, 6. [15] I Cor. V, 5. [16] Luc. XII, 20.

catores; quot enim damna ementibus venditores aliique negotiatores inferre meditantur, nec mensuris nec ponderibus æquis, cum possint, utentes!

Propterea et propter similes causas castigamur, et adhuc castigabimur; nam desideramus quidem et quærimus a damnis solvi, sed offensis propter quas castigamur alias adjicimus. Vultis discere quantum malum sit sitis opum redundantium? A plaga quam nunc patimur, hoc cognoscite; nam redundans sanguis unum corporis elementorum, sicut vidistis, mortem infert languentibus. Igitur quemadmodum in corpore redundantia corpus corrumpit, ita quæ est in anima sitis opum nimia animam perdit et occidit, ab ea Dei gratiam excellentiorem vitam amovendo. Hæc autem mors animæ semper antecedit mortem corpori illatam ex derelictione Dei; ideo ex peccato et rejectione mandati divini mors ab initio in mundum intravit; homo quidem ita trangressus statim non periit, hoc vero a Deo accepit qui illi largitus est tempus pœnitentiæ. Poterat omnes homines e nihilo simul educere, sicut angelos, archangelos, principatus, potestates, virtutes, dominationes, Cherubim, Seraphim, sublimes thronos, solummodo cogitavit, et cogitatio ejus effecta fuit, et simul omnes producti sunt; poterat ergo in uno temporis momento universum genus hominum facere, et rursus poterat in brevi horæ momento illos per mortem delere a facie terræ, sicut in diluvio fecerat, Noe cum liberis solum custodiens ad novam gignendam generationem. Sed istud non voluit propter clementiam; sed consuluit ut in alio, vel etiam in multis aliis sive sanguine conjunctis sive alienis videamus singuli mortem quam effugere minime poterimus, ut per hoc spectaculum ad pœnitentiam et meditationem mortem subsequentium adducamur. Sed cum nos videat nullam agentes pœnitentiam, nullamque futurorum curam habentes, mortem fere omnibus simul infert, non sustinens ut in malo vivamus et peccatum producamus. Et hæc est ultima qua hic puniuntur peccatores plaga, ut ex Ægyptiacis plagis didicimus.

Possumus ex modo justæ istius castigationis comprehendere quantum in Deum peccavimus; nam homine castigante, fieri potest ut sine justa causa vel propter offensam levem offensor magnam subeat pœnam ex injustitia vel feritate castigante; sed superna clementia ad iram moveri nequit, nec mortiferas inferre plagas, nisi valde peccaverimus, et in peccatis sine pœnitentia perseveremus. Inde ergo agnoscamus, fratres, multitudinem et gravitatem peccatorum nostrorum, et avertatur unusquisque a carnalibus suis cogitationibus, et convertatur ad Dominum. Pœnitentiam agamus ex

A τῶν κακῶν αἰτίαν· καὶ οὐχ οἱ παρ' ἡμῖν ἄρχοντες μόνον, ἀλλὰ καὶ οἱ ἀγοραῖοι· πόσα γὰρ ἐπιζήμια τοῖς ἀγοράζουσιν οἱ παρ' ἡμῖν κάπηλοι καὶ οἱ ἄλλοι ἔμποροι ἐπιτεχνῶνται, μηδὲ μέτροις καὶ σταθμοῖς δικαίοις, ὅτε δύνανται, χρώμενοι!

Διὰ ταῦτα καὶ τὰ τοιαῦτα παιδευόμεθα, καὶ ἔτι παιδευθησόμεθα· τὴν μὲν γὰρ τῶν ἐπηρειῶν λύσιν ποθοῦμέν τε καὶ ζητοῦμεν, τοῖς δὲ πταίσμασι δι' ἃ παιδευόμεθα καὶ προστίθεμεν. Βούλεσθε μαθεῖν ὅσον ἡ πλεονεξία κακόν; Ἀπὸ τῆς πληγῆς, ἧς ἀρτίως πάσχομεν, τοῦτο γνώσεσθε· πλεονεκτῆσαν γὰρ ἓν τῶν ἐν τοῖς σώμασι στοιχείων τὸ αἷμα, καθὼς ὁρᾶτε, τὸν θάνατον ἐπιφέρει τοῖς ἀποθνήσκουσιν. Ὡς οὖν ἐν σώματι πλεονεξία διαφθείρει τὸ σῶμα, οὕτως ἡ ἐν τῇ ψυχῇ τὴν ψυχὴν διαφθείρει καὶ θα- B νατοῖ, τὴν τοῦ Θεοῦ χάριν ζωὴν οὖσαν θειοτέραν ἀπ' αὐτῆς ἐκδιώξασα. Προκαταλαμβάνει δὲ ἀεὶ ὁ τοιοῦτος τῆς ψυχῆς θάνατος τὸν ἐκ τῆς ἐγκαταλείψεως τοῦ Θεοῦ ἐπιγινόμενον τῷ σώματι θάνατον· ἐπεὶ καὶ τὴν ἀρχὴν ἐκ τῆς ἁμαρτίας καὶ τῆς ἀθετήσεως τῆς θείας ἐντολῆς ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν, οὐκ ἀπέθανε δὲ ὁ ἄνθρωπος παραυτὰ παραβάς, τοῦ Θεοῦ καιρὸν μετανοίας αὐτῷ παρέχοντος. Ἠδύνατο δὲ καὶ πάντας ὁμοῦ τοὺς ἀνθρώπους ἐκ μὴ ὄντων παραγαγεῖν, ἐπεὶ καὶ τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, τὰς ἀρχὰς, τὰς δυνάμεις, τὰς ἐξουσίας, τὰς κυριότητας, τὰ Χερουβὶμ, τὰ Σεραφὶμ, τοὺς ἀνωτάτω θρόνους, ἐνενόησε μόνον, καὶ τὸ ἐννόημα ἔργον ἦν, καὶ ὁμοῦ παρήχθησαν ἅπαν- C τες. Ἠδύνατο οὖν ἐν μιᾷ καιροῦ ῥοπῇ καὶ πάντων ἀνθρώπων τὸ γένος ποιῆσαι· καὶ πάλιν ἐν ἑνί τινι καὶ ὡρισμένῳ καιρῷ διὰ τοῦ θανάτου τούτους ἀπαλεῖψαι τῆς γῆς, ὡς καὶ ἐν τῷ κατακλυσμῷ πεποίηκε, τὸν Νῶε μετὰ τῶν παίδων διαφυλάξας μόνον εἰς δευτέρας γενεᾶς γένεσιν. Ἀλλ' οὐκ ἠθέλησε τοῦτο διὰ φιλανθρωπίαν· ᾠκονόμησε γὰρ ἐν ἄλλῳ, μᾶλλον δὲ πολλοῖς ἄλλοις οἰκείοις τε καθ' αἷμα καὶ οὐκ οἰκείοις, βλέπειν ἡμῶν ἕκαστον τὸν ἀφεύκτως μέλλοντα καταλήψεσθαι θάνατον, ἵνα διὰ τῆς αὐτοῦ θέας ἐναγώμεθα πρὸς μετάνοιαν καὶ μελέτην τῶν μετὰ θάνατον. Ἐπεὶ δὲ νῦν ἡμᾶς παντάπασιν ἀμετανοήτους ζῶντας ὁρᾷ, καὶ μηδεμίαν τῶν μελλόντων ποιουμένους φροντίδα, τὸν θάνατον ἐπάγει σχεδὸν πᾶσιν ὁμοῦ δικαίως, μὴ ἀνεχόμενος ἐπὶ κακῷ ζῆν D ἡμᾶς καὶ παρατάσει τῆς ἁμαρτίας. Καὶ οὗτός ἐστιν ἡ τελευταία ἐνταῦθα τῶν ἁμαρτανόντων πληγή, ὡς ἀπὸ τῶν Αἰγυπτιακῶν πληγῶν ἐδιδάχθημεν.

Ἔστι τοίνυν καὶ ἀπὸ τοῦ τρόπου τῆς ἐνδίκου ταύτης παιδείας καταλαβεῖν ἡμᾶς ὅσον ἡμάρτομεν εἰς Θεόν· ἀνθρώπου μὲν γὰρ παιδεύοντος, δυνατὸν καὶ χωρὶς αἰτίας δικαίας καὶ μικρᾶς ἁμαρτίας ἕνεκα μεγάλην ὑποστῆναι τὸν πταίσαντα τιμωρίαν διὰ τὴν ἀκρισίαν ἢ τὴν ἀπήνειαν τοῦ κολάζοντος, τὴν δέ γε ἀνωτάτω φιλανθρωπίαν οὐκ ἔστι πρὸς θυμὸν κινηθῆναι τοσοῦτον, καὶ πληγῶν θανατηφόρων ἐπαγωγὴν, ἂν μὴ μεγάλα ἁμάρτωμεν, καὶ ἁμαρτάνοντες ἀμετανόητοι διαμένωμεν. Ἐπιγνῶμεν οὖν, ἀδελφοί, κἀντεῦθεν τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ ἐπιστραφήτω ἕκαστος ἀπὸ τῶν

Digitized by Google

σαρκικῶν αὐτοῦ φρονημάτων, καὶ ἐπιστρεψάτω πρὸς Κύριον. Μετανοήσωμεν ἐκ ψυχῆς, **220** μεταστήσωμεν ἡμᾶς αὐτοὺς ἀπὸ τῆς πονηρᾶς συνηθείας καὶ τῆς φιλαμαρτήμονος γνώμης, ἵνα στήσωμεν τὴν θείαν ὀργὴν, καὶ πρὸς ἔλεον μεταστήσωμεν. Ἰατρεύσωμεν τὴν ἡμετέραν κακίαν, μὴ ὑπὸ τῆς κακίας ἀναλωθῶμεν. Μιμησώμεθα μὴ τοὺς ἐν τῷ κατακλυσμῷ διαφθαρέντας, ἀλλὰ τοὺς ἐν τῇ Νινευῒ τῇ μεταμελείᾳ διασωθέντας· ἐκεῖνοι μὴ ἔχοντες ἐκ πολλῶν ὑποδειγμάτων ἐννοεῖν τηνικαῦτα τὴν θείαν φιλανθρωπίαν, ὅμως ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς, καὶ ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτοῦ, λέγοντες· « Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; » Ἡμεῖς ἐκ πολλῶν τε ἄλλων ἔγνωμεν B καὶ ἐξ ἐκείνων αὐτῶν ὅτι· « Εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι μετενόησαν καὶ ἐπέστρεψαν, καὶ μετενόησε καὶ αὐτὸς ἐπὶ τοῖς κακοῖς οἷς ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν. » Ἀλλ' ἐκεῖ μὲν Ἰωνᾶς ἦν ὁ κηρύττων καὶ ἀπειλῶν· καὶ τὸ μεῖζον, ὅτι μηδὲ πρὸς μετάνοιαν ἕλκων, μηδὲ ἐπαγγελλόμενος τὴν συμπάθειαν. Ἰωνᾶς ὁ καταβὰς εἰς Ἰόππην ἐξ Ἰουδαίας, καὶ ἀπὸ ταύτης εἰς τὸν τῆς θαλάσσης βρασμὸν, ἐν ᾧ καταποθεὶς ὑπὸ κήτους, τριήμερος ἐξεδόθη πρὸς τὴν Νινευῒ καὶ ἐκήρυττε. Πόσον δὴ πλεῖον Ἰωνᾶ ὧδε; Αὐτὸς γὰρ ὁ τοῦ Θεοῦ προαιώνιος Λόγος, οὗ τύπος Ἰωνᾶς ἦν, ἐκ τῶν οὐρανῶν κατῆλθεν, ὡς ἐκεῖνος εἰς Ἰόππην, οὗτος εἰς γῆν· καὶ τοῖς πειρασμοῖς καὶ τοῖς πάθεσιν ἐκδοθεὶς, ὡς ἐκεῖνος τοῖς κύμασι, C διὰ τοῦ θανάτου κατῆλθεν εἰς τὰ κατώτατα πάσης τῆς γῆς ὑπὸ τοῦ ᾅδου, ὡς ἐκεῖνος ὑπὸ τοῦ κήτους καταποθεὶς, καὶ τριήμερος ἀναστὰς ἐκεῖθεν τοῖς μετανοοῦσιν οὐράνιον ἐπηγγείλατο βασιλείαν, καὶ τὰ τῆς μετανοίας ἔργα πᾶσιν ἡμῖν διετράνωσε καὶ ἐκήρυξεν, ἅπερ ἀθετοῦντες ἡμεῖς, δικαίως τῷ χαλεπῷ θανάτῳ παραδιδόμεθα.

A animo, et avertamur a pravis moribus, a conscientia scelerum cumulatissima, ut iram Dei sistamus et ad misericordiam adducamus. Nostram sanemus malitiam, ne malitia pereamus. Absit ut imitemur eos qui in diluvio interierunt, sed eos qui in Ninive pœnitentia salvati fuerunt; hi enim etsi nequirent ex pluribus exemplis divinam sperare clementiam, clamaverunt tamen assidue ad Dominum, et semetipsos singuli averterunt a via sua mala, et ab iniquitate manuum suarum, dicentes: « Quis scit si convertatur et ignoscat Deus; et revertatur a furore iræ suæ, et non peribimus [17]. » Nos vero ex multis aliis atque ex ipsis novimus quoniam: « Vidit Deus opera eorum, quia conversi sunt de via sua mala; et misertus est super malitiam quam locutus fuerat ut faceret eis, et non fecit [18]. » Ibi quidem erat Jonas minans et prædicans; imo nequaquam ad pœnitentiam trahens, neque misericordiam promittens. Jonas descendens a Judæa in Joppe, inde maris procella jactatus et a cete in eo devoratus, post tres dies ad Ninivem luci redditus, et prædicabat. Sed quanto majus Jona est hic! Ipsum enim æternum Dei Verbum, cujus figura erat Jonas, e cœlis descendit, sicut ille in Joppen, hic in terram; et tentationibus doloribusque traditus, velut ille fluctibus, per mortem descendit in inferiora terræ; ab inferno, ut ille cete devoratus, et post tres dies inde resurgens pœnitentibus cœleste regnum promisit, et opera pœnitentiæ nobis omnibus explanans prædicavit, quibus rejectis, juste acerbæ morti traditi sumus.

Χαλεπὸν μὲν οὖν ὁ θάνατος, προσγινόμενός τε καὶ προσδοκώμενος, ἀλλὰ τὸ ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν μὴ ἐπιστρέψαι πολλῷ χαλεπώτερον· ἐνταῦθα γὰρ αὔξει τὴν τιμωρίαν, καὶ μετὰ ταῦτα τοῖς ἀτελευτήτοις παραπέμπει κολαστηρίοις, ὧν μὴ γένοιτό τινα πεῖραν ἡμῶν λαβεῖν. Εἰ γὰρ τὰ ἐνταῦθα δεινὰ δοκοῦσιν ἀφόρητα, παρερχόμενα ὄντα, καὶ τοῦ σώματος μόνον ἁπτόμενα, τίνα ἐκεῖνα, ἃ μετὰ τοῦ σώματος κολάζει καὶ τὴν ψυχὴν, καὶ προσδοκίαν ἀπαλλαγῆς οὐκ ἔχει οὐδέποτε; Ἀλλ' ἡμεῖς μετανοήσωμεν, ἀδελφοὶ, καὶ ἐπιστρέψωμεν ἔργῳ καὶ λόγῳ τὴν μετάνοιαν ἐνδεικνύμενοι· καὶ προσπέσωμεν τῷ Θεῷ μετὰ συντετριμμένης καρδίας πρὸς αὐτὸν λέγοντες· Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς ἡμᾶς, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς· ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὸ ἔλεός σου. Ἐγγύς ἐστιν οὗτος τοῖς ἐπικαλουμένοις, ἐὰν μὴ τοῖς στόμασι μόνον, ἀλλὰ καὶ τῇ διανοίᾳ βοῶσι, τοῖς ἔργοις καὶ τοῖς ἐπιτηδεύμασιν αὐτῶν πρὸς αὐτὸν ἐπιστρέφοντες. « Ἐπιστρέψατε γὰρ πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος, καὶ τῶν ἀνομιῶν ὑμῶν οὐ μὴ μνησθῶ ἔτι. » Ἐὰν πάντως ἡμεῖς ταύτας, ἢ ἀνεπιστρόφως

Acerba quidem mors, sive superveniat, sive exspectetur; sed multo adhuc acerbius a peccatis nostris non averti; inde enim augebitur pœna, et postea perpetuis trademur suppliciis, quæ utinam nemo ex nobis experientia cognoscat! Nam si mala præsentia videntur intolerabilia, licet transeant, et non nisi corpus afficiant, quid illa quæ cum corpore animam cruciant, nec ullam habent spem liberationis? Nos igitur pœniteamus, D fratres, et convertamur verbo et opere pœnitentiam exhibentes; et procidamus ante Deum cum contrito corde dicentes: « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me [19]; » sed fac nobiscum secundum misericordiam tuam. Prope est Dominus invocantibus, nisi ore tantum, non autem corde clament, operibus et moribus suis ad eum conversi. Nam, « Convertimini ad me, et convertar ad vos, dicit Dominus, et iniquitatum vestrarum memor amplius non ero [20]. » Si nos vel eas omnino in perpetuum fugiamus, vel per confessionem et pœnitentiam operibus quibus offensas nostras pensemus, numen placemus, per efficacem

[17] Jonæ III, 9. [18] ibid. 10. [19] Psal. VI, 2. [20] Zach. I, 3.

Digitized by Google

humilitatem propitium facientes; ut, sustinente Dei clementia, et defectus nostros supplente, nunc quidem ab hac ira Dei, ab intempestiva et crudeli hac morte et exitio per eam inducendo eximamur; in futuro autem sæculo vitam immortalem obtineamus in gloriam solius datoris vitæ, Christi; quem decet gloria, fortitudo, honor et adoratio cum æterno ejus Patre et vivifico Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A ἐκφύγωμεν, ἢ δι' ἐξαγορεύσεως καὶ τῆς δι' ἔργων μετανοίας ἀντισηκούσης τὰ παραπτώματα ἡμῶν, τὸ θεῖον ἐξιλεώμεθα, δι' ἐνεργοῦς ταπεινώσεως ἡμῖν αὐτοῖς εὐμενίζοντες, ὡς ἂν τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἀνεχομένης, καὶ τὰς ἐλλείψεις ἀναπληρούσης ἡμῶν, νῦν μὲν τῆς θείας ταύτης ὀργῆς, καὶ τοῦ ἀώρου καὶ ἀθρόου τούτου θανάτου, καὶ τῆς δι' αὐτοῦ πανωλεθρίας ἀπαλλαγείημεν· ἐν δὲ τῷ μέλλοντι αἰῶνι τῆς ἀθανάτου **221** ζωῆς ἐπιτύχοιμεν εἰς δόξαν τοῦ μόνου ζωοδότου Χριστοῦ· ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## HOMILIA XL.

*In venerandum Christi præcursorem et baptistam Joannem.*

Si pretiosa in conspectu Domini mors sanctorum ejus, et memoria justi cum laudibus, quanto magis facere debemus cum laudibus memoriam Joanni summi sanctorum et justorum apicis, qui exsultavit et præcurrit, prænuntiavit Verbum Dei propter nos incarnatum? a quo et ipse prædicatus est et affirmatus major omnibus a sæculo prophetis et sanctis et justis? Minime enim quia dicta de eo præstant omnibus humanis sermonibus, et quia ab unigenito Dei Filio testimonium et mercedem accepit, et proinde opus non habet nostra retributione, ideo silentes sine præmio sermonum relinquemus eum quem Scriptura vocavit vocem Verbi Altissimi, sed quoniam tale nomen et testimonium a Christo omnium Domino accepit, omnis lingua fidelium moveatur ad hymnum, quantum poterit, nequaquam ut quidquam in gloriam illius addamus, quomodo enim poterimus? sed ut debitum persolvamus, unusquisque lingua sua, omnia ore unanimi mirabilia quæ circa eum facta sunt canentes et enarrantes. Tota quidem vita ejus quo major non est inter natos mulierum miraculum est miraculorum; at non tantum tota vita Joannis et fuit propheta priusquam nasceretur et prophetarum maximus, sed quæcunque ad eum spectant tum diu antequam nasceretur, tum post mortem omnia superant miracula. Etenim divinorum prophetarum de eo prædictiones ipsum non hominem sed angelum appellant, lucis facem, sidus luciferum divina luce fulgidum, ut præcursorem solis justitiæ, et vocem ipsius Verbi Dei. Porro quid Verbo Deo propinquius et affinius quam vox Dei? Cujus appropinquante conceptione angelus e cœlo advolans solvit sterilitatem Zachariæ et Elisabeth, promittens steriles a juventute filium generaturos esse in alta senectute, in cujus nativitate multi gaudebunt; nam prædixit eam omnibus fore salutiferam. Ait enim: « Erit magnus coram Domino; et vinum et siceram non bibet, et Spiritu sancto replebitur adhuc ex utero matris suæ; et multos filiorum Israel convertet ad Dominum Deum ipsorum; et ipse præcedet ante illum in spiritu et virtute Eliæ [10]. » Nam virgo manebit velut iste, et in de-

## ΟΜΙΛΙΑ Μ'.

*Εἰς τὸν πάνσεπτον τοῦ Χριστοῦ Πρόδρομον καὶ βαπτιστὴν Ἰωάννην.*

Εἰ τίμιος ὁ θάνατος τῶν ὁσίων, καὶ μνήμη δι- B καίου μετ' ἐγκωμίων, πόσῳ μᾶλλον ἡμᾶς ποιεῖσθαι τὴν μνήμην μετ' ἐγκωμίων χρεὼν, τῆς τῶν ὁσίων τε καὶ δικαίων κορυφαίας ἀκρότητος Ἰωάννου, τοῦ προσκιρτήσαντος καὶ προδραμόντος καὶ προκηρύξαντος τὸν δι' ἡμᾶς σαρκωθέντα τοῦ Θεοῦ Λόγον; παρ' οὗ πάλιν αὐτὸς ἀνεκηρύχθη καὶ μεμαρτύρηται τῶν ἐξ αἰῶνος προφητῶν καὶ ὁσίων καὶ δικαίων ὑπέρτερος; Οὐ γὰρ ὅτι κρείττω τὰ κατ' αὐτὸν ἀνθρωπίνου λόγου παντὸς, οὐδ' ὅτι παρὰ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τὴν μαρτυρίαν εἴληφε καὶ τὸ γέρας, καὶ γέρως οὐ δεῖται τοῦ παρ' ἡμῶν, διὰ τοῦτο σιωπήσαντες ἀγέραστον καταλείψομεν λόγοις, τό γε εἰς ἡμᾶς ἧκον, τὴν τοῦ ἀνωτάτω Λόγου κατὰ τὸ γεγραμμένον φωνήν· ἀλλ' ὅτι παρὰ Χριστοῦ τοῦ δεσπότου τῶν ὅλων τοιοῦτος ὢν ἀνηγόρευταί τε καὶ μεμαρτύρηται, πᾶσα C γλῶσσα πιστῶν κινείσθω πρὸς ὕμνον, ὁπόση δύναμις, οὐχ ἵνα ἐκείνῳ τι προσθῶμεν εἰς δόξαν· πῶς γάρ; ἀλλ' ἵνα τὴν ὀφειλὴν ἡμεῖς ἀποτίσωμεν, ἕκαστός τε ἰδίᾳ καὶ κοινῇ πάντες τὰ κατ' ἐκεῖνον θαυμάσια καὶ ὑμνοῦντες καὶ διηγούμενοι. Ἅπας μὲν γὰρ ὁ βίος τοῦ ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας θαῦμα θαυμάτων ἐστίν. Οὐχ ὁ βίος δὲ μόνον ἅπας τοῦ καὶ πρὸ τοῦ γεννηθῆναι προφήτου, καὶ περισσοτέρου τῶν προφητῶν Ἰωάννου, ἀλλὰ καὶ τὰ πολλῷ πρὸ τοῦ βίου καὶ μετὰ τὸν βίον, ὅσα πρὸς τοῦτον τείνει πάντων θαυμάτων ἐστὶν ἐπέκεινα· θεῖαι μὲν γὰρ περὶ αὐτοῦ προῤῥήσεις προφητῶν θεολήπτων ἄγγελον αὐτὸν οὐκ ἄνθρωπον ἀναγράφουσι, καὶ φωτὸς λυχνίαν, καὶ θεοφεγγῆ τινα καὶ ἑωσφόρον ἀστέρα, ὡς προδραμόντα τοῦ ἡλίου τῆς δικαιοσύνης, καὶ D αὐτοῦ τοῦ Λόγου τοῦ Θεοῦ φωνήν· τί δὲ τῆς τοῦ Θεοῦ φωνῆς τῷ Θεῷ Λόγῳ πλησιαίτερον ἢ συγγενέστερον; Τῆς δὲ τούτου συλλήψεως ἐγγιζούσης, οὐκ ἄνθρωπος, ἀλλ' ἄγγελος οὐρανόθεν καταπτὰς, Ζαχαρίου καὶ Ἐλισάβετ λύει τὴν στείρωσιν, τίκτειν ἐν βαθεῖ γήρᾳ παῖδα τοὺς ἀγόνους ἐκ νέου ἐπαγγειλάμενος, καὶ πολλῆς χαρᾶς πρόξενον, ὡς πᾶσι σωτήριον ἔσεσθαι προκαταγγέλλει τὴν τοῦ παιδὸς τούτου γέννησιν· « Ἔσται γὰρ, φησὶ, μέγας ἐνώπιον Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ πλησθήσεται Πνεύματος ἁγίου ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει

[10] Luc. I, 15.

ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ· » παρθένος γὰρ καὶ οὗτος κατ' ἐκεῖνον, καὶ ἐρημοπολίτης μᾶλλον ἢ ἐκεῖνος, καὶ βασιλεῖς καὶ βασιλίδας **222** ἐλέγχων παρανομοῦντας. Ὁ δὲ τοῦτον καὶ ὑπὲρ ἐκεῖνον μάλιστα ποιεῖ, ὅτι καὶ πρόδρομος ἔσται τοῦ Θεοῦ· προελεύσεται γάρ, φησίν, ἐνώπιον αὐτοῦ.

A sertis morabitur magis quam ille, et reges reginasque arguet delinquentes. Sed præsertim in hoc illi præstabit, quoniam Dei erit præcursor; nam præibit, inquit, ante faciem illius.

Ταῦτα νομίσας ὑπὲρ πίστιν ὁ Ζαχαρίας, πεδεῖται τὴν γλῶσσαν· ἐπειδὴ γὰρ ἑκὼν οὐκ ἠβουλήθη κηρύττειν, σιωπῶν ἄκων βοᾷ τὴν ξένην τοῦ παιδὸς σύλληψιν μέχρις ἂν εἰς φῶς ἔλθοι προελθοῦσαν τὴν τοῦ Λόγου φωνήν. Συλληφθεὶς δὲ μετὰ τοσούτων καὶ οὕτω μεγάλων τῶν ἐπαγγελιῶν, πρὶν ἢ τεχθῆναι προφήτης χρίεται, καὶ τῆς χάριτος, ὢ τοῦ θαύματος! τῇ μητρὶ μεταδίδωσι· καὶ κατὰ τὸν Ἡσαΐαν, ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης ἐνδύεται· κατὰ δὲ τὸν Ἠλίαν, ἀνθ' ἑαυτοῦ χρίει προφήτην, καὶ φθάνει καὶ ὑπερβαίνει τὴν ἀμφοτέρων τῶν προφητῶν τελειότητα ἔτι ἐν ἐμβρύοις ὤν, ὡς ἐνώπιον Κυρίου τοιαῦτα ἐπιδεικνύμενος· ἐπεὶ γὰρ τὸ ἔμβρυον μετὰ τὴν τῶν μελῶν διάρθρωσιν κίνησιν μὲν ἔχει, φωνὴν δὲ οὔπω ἔχει, διὰ τὸ μήπω ἐνδιαιτᾶσθαι τῷ ἀέρι· ἐπέστη δὲ ἡ κυοφοροῦσα τηνικαῦτα τὸν Θεὸν Παρθένος, καὶ ἐν γαστρὶ ὢν ὁ Ἰωάννης, οὐκ ἀνεπαισθήτως ἔσχε τῆς θεϊκῆς παρουσίας καὶ οἰκονομίας, ἀλλ' ἀνυμνεῖ ταύτην ἐκεῖθεν διὰ τῆς μητρικῆς γλώττης θεολογῶν· σκιρτᾷ καὶ αὐτὸς ἔνδον καὶ ἀγαλλιᾶται, ὢ τοῦ θαύματος! ἐν Πνεύματι ἁγίῳ, τὴν τελειότητα τοῦ μέλλοντος αἰῶνος ἐν μητρικῇ νηδύϊ δεξάμενος· καθάπερ γὰρ ὁ μέγας Παῦλος τὸ μυστήριον προκαταγγέλλων τῆς αἰωνίου ζωῆς· « Σπείρεται, φησί, σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν, » τουτέστι δυνάμει θείου Πνεύματος ὑπερφυεῖ, κατὰ τὸν μέλλοντα αἰῶνα διοικούμενόν τε καὶ κινούμενον· οὕτως ὁ Ἰωάννης ἐσπάρη μὲν καὶ συνέστη σῶμα ψυχικὸν ἐν μητρικῇ νηδύϊ, τῇ δὲ ἐν αὐτῇ παραδόξῳ χρίσει τοῦ θείου Πνεύματος ἀνεδείχθη σῶμα πνευματικόν, ἐν πνεύματι σκιρτῶν καὶ ἀγαλλιώμενος, καὶ τὴν αὐτὸν κυοφοροῦσαν προφῆτιν ἀπεργαζόμενος· καὶ γὰρ φωνῇ μεγάλῃ διὰ τῆς ἐκείνης γλώττης ηὐλόγει τὸν Θεόν, καὶ Μητέρα τοῦ Κυρίου τὴν κυοφοροῦσαν ἀνεκήρυξε παρθένον, καὶ καρπὸν τῆς αὐτῆς κοιλίας προσηγόρευσε τὸν ἐν αὐτῇ κυοφορούμενον, ἐγκύμονά τε ἅμα καὶ παρθένον ταύτην εἶναι παριστάς.

Quæ cum Zacharias supra fidem esse cogitasset lingua impeditur; nam quoniam noluit libenter ea prædicare, silens invitus clamat prodigiosam pueri conceptionem, donec in lucem venerit præsens vox Verbi. Conceptus autem cum tot et tantis promissionibus, priusquam nasceretur, propheta ungitur, et gratiam, o res mirabilis! matri communicat, et secundum Isaiam, indutus est indumento salutis et B vestimento lætitiæ; Heliæ instar, in locum suum ungit prophetam, et adhuc in utero utriusque prophetæ perfectionem præcurrit et superat, ista velut ante faciem Domini ostendens. Nam cum fetus post aptationem membrorum motum quidem habeat, vocem vero non habeat, quia nondum degit in aere, adstante quæ tunc in ventre Deum gerebat Virgine, Joannes in utero matris non sine sensu fuit divinæ præsentiæ et dispensationis, sed inde eam celebrat per linguam maternam divinitus alloquens, ipse autem interius exsultavit et gavisus est, o miraculum! in Spiritu sancto, perfectionem futuri sæculi in ventre genitricis recipiens. Nam quemadmodum magnus Paulus mysterium vitæ æternæ prænun- C tians: « Seminatur, inquit, corpus animale, surget corpus spirituale, » id est eximia divini Spiritus virtute in futuro sæcula rectum et motum, ita Joannes seminatus quidem constitit in utero matris corpus animale, sed copiosa divini Spiritus unctione ei impertita, exhibitum est corpus spiritale, in Spiritu exsultans et gaudens, suamque matrem prophetam efficiens; quipppe alta voce per linguam ejus Deum benedixit, et Matrem Domini prægnantem prædicavit virginem, et fructum ventris ejus asserens quod in ea gestabatur, eam simul prægnantem et virginem denuntians.

Οὕτω μὴ μόνον κατὰ τὸ γεγραμμένον, πρὶν ἢ γνῶναι τὸ κακὸν ἐξελέξατο τὸ ἀγαθόν· ἀλλὰ καὶ πρὶν ἢ γνῶναι τὸν κόσμον ἐν ἐμβρύοις ὤν, ὑπερκόσμιος ὁ Ἰωάννης ἦν. Γεννηθεὶς δὲ πάντας καὶ εὔφρανε καὶ ἐξέπληξε τοῖς περὶ αὐτὸν θαυμασίοις· « Χεὶρ γὰρ Κυρίου ἦν, φησί, μετ' αὐτοῦ, » τερατουργοῦσα πάλιν οἷα καὶ πρότερον· τὸ γὰρ τοῦ πατρὸς αὐτοῦ στόμα τὸ πεδηθέν, ὡς μὴ πιστεῦσαν τὴν ξένην τοῦ παιδὸς σύλληψιν, ἀνεῴχθη καὶ ἐνεπλήσθη Πνεύματος ἁγίου, καὶ προεφήτευσε τά τε ἄλλα, καὶ περὶ τοῦ οἰκείου τούτου παιδός, λέγων· « Καὶ σύ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ. » Καθάπερ δὲ συλληφθεὶς ὁ θεῖος παῖς οὗτος, τὸ ἐκ μητρικῆς νηδύος·

Ita, sicut scriptum est, priusquam cognosceret malum, elegit bonum; imo priusquam cognosceret D mundum, supra mundum stetit Joannes. Verum natus omnes lætitia affecit, et omnes miraculis super eum factis permovit. « Manus enim Domini, inquit evangelista, erat cum eo, » eadem quam prius portenta operans. Nam impeditum os patris ejus, quoniam non crediderat singularem pueri conceptionem, apertum est, et Spiritu sancto impletum, et alia rursum prædixit, de filio ejus dicens: « Et tu, puer, propheta Altissimi vocaberis; præibis enim ante faciem Domini parare vias ejus, ad dandam scientiam salutis plebi ejus [20]. » Quemadmodum conceptus divus iste puer, ex materno ventre animatum gratiæ instrumentum, in eo movebatur

[20] Luc. I, 76.

Digitized by Google

et exsultabat divino Spiritu, ita et natus crescebat A et invalescebat in Spiritu. Sed cum mundus non esset eo dignus, a teneris annis continuo vixit in deserto, sine anxietate, sine sollicitudine, sine tumultu vitam agens dolore immunem, fœdis passionibus vacuam, terrenis et carnalibus voluptatibus quæ circa corpus sensusque corporeos versantur superiorem; soli Deo vivens, Deum solum videns, Deum delicias suas efficiens. Degebat ergo in angusto terræ loco; « Et erat in desertis usque in diem ostensionis suæ ad Israel. » Quænam autem dies hujus ostensionis? Quando advenit tempus baptismi Domini, de quo tempore scriptum est: « Non est intelligens, non est qui inquirat Deum, omnes declinaverunt, simul inutiles facti sunt [21]. » B Igitur sicut ea hora Dominus pro nobis impiis ineffabili motus clementia e cœlo descendit, ita Joannes tunc e deserto propter nos exiit, ministraturus benignæ ejus voluntati; nam hominibus in barathro nequitiæ dejectis nimiæque illi divinæ bonitatis indulgentiæ, tali opus erat ministro qui nulli virtutis apici cederet, qui ita videntes traheret, sicut traxit, ad semetipsum miraculis convertens, utpote cæteris non similis, et super hominem conversationem suam exhibens. Erat prædicans prædicationem sua conversatione dignam; uam promittebat regnum cœlorum, et ignem minabatur inexstinguibilem, et regem cœlorum monstrabat Christum: « Cujus ventilabrum in manu ejus, et purgabit aream suam, et congregabit triticum in C horreum suum, paleas autem comburet igni inexstinguibili. »

ἔμψυχον τῆς χάριτος ὄργανον, κατ' αὐτὴν ἐκινεῖτο καὶ θείῳ ἠγαλλιᾶτο Πνεύματι, οὕτω καὶ γεννηθεὶς ηὔξανε πάλιν καὶ ἐκραταιοῦτο Πνεύματι. Ἐπεὶ δὲ οὐκ ἦν ἄξιος αὐτοῦ ὁ κόσμος, ταῖς ἐρήμοις ἐξ ἁπαλῶν, ὡς εἰπεῖν, ὀνύχων ἐνδιητᾶτο τὸν ἀεὶ χρόνον, ἄσκευον, ἀπεριμέριμνον, ἀπραγμάτευτον βίον ἀνύων· λύπης ἄμοιρον, παθῶν ἀγενῶν ἀμέθεκτον, ἡδονῆς τῆς χαμαιζήλου καὶ προσύλου ταύτης καὶ περὶ σῶμα καὶ τὰς σωματικὰς αἰσθήσεις μόνας σαινούσης ἀνώτερον· Θεῷ μόνῳ ζῶν, Θεὸν μόνον ὁρῶν, Θεὸν τρυφὴν οἰκείαν ποιούμενος. Ἔζη τοίνυν καθάπερ ἔν τινι τῆς γῆς ἐξῃρημένῳ **223** χωρίῳ· « Καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως ἡμέρας, φησὶν, ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ. » Τίς δὲ ἡ τῆς ἀναδείξεως ἡμέρα ταύτης; Ἡνίκα ὁ τοῦ βαπτίσματος τοῦ Κυρίου ἐφειστήκει καιρὸς, περὶ οὗ καιροῦ γέγραπται, « Οὐκ ἔστιν ὁ συνιὼν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. » Ὥσπερ οὖν ὁ Κύριος τηνικαῦτα, πάντων ἀσεβῶν ἡμῶν ὄντων, ἀφάτῳ φιλανθρωπίᾳ χρησάμενος, ὑπὲρ ἡμῶν ἐξ οὐρανοῦ κατῆλθεν, οὕτω καὶ ὁ Ἰωάννης τότε τῆς ἐρήμου ἐξῆλθεν ὑπὲρ ἡμῶν, ὑπηρετήσων τῷ ἐκείνου φιλανθρώπῳ βουλήματι· πρὸς γὰρ τὸν κολοφῶνα τῆς τότε τῶν ἀνθρώπων κακίας, καὶ τὴν ἀνείκαστον τῆς τοῦ Θεοῦ φιλανθρωπίας συγκατάβασιν ἐκείνην, τοιούτου ἔδει καὶ τοῦ ὑπηρετησομένου, μηδεμίαν ὑπερβολὴν ἀρετῆς ἀπολείποντος· οὕτω γὰρ ἂν εἵλκυσε τοὺς ὁρῶντας, ὥσπερ οὖν εἵλκυσεν, ἐπιστρέψας πρὸς ἑαυτὸν μετὰ θαύματος, ὡς ἐξηλλαγμένος τις ὢν, καὶ ὑπὲρ ἄνθρωπον πολιτείαν ἐπιδεικνύμενος. Ἦν δὲ καὶ κήρυγμα κηρύττων τῆς οἰκείας πολιτείας ἐπάξιον· βασιλείαν γὰρ οὐρανῶν ἐπηγγέλλετο, καὶ πῦρ ἄσβεστον ἠπείλει, καὶ τὸν βασιλέα τῶν οὐρανῶν ὑπεδείκνυ Χριστόν· « Οὗ τὸ πτύον, φησὶν, ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ· τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. »

Sed non verbis tantum, verum etiam operibus eum omnibus manifestavit, illum baptizans, suisque discipulis ostendens, necnon in omnibus testans quoniam ipse est Filius Patris, Agnus Dei, Sponsus animarum ad eum accedentium, qui tollit peccata mundi, qui maculas abstergit, qui insuper sanctificationem infert et impertitur. Sed postquam ita viam ejus paravisset secundum prophetiam Zachariæ, et omnia perfecisset ad quæ missus est, et præcurrisset necnon baptizator factus esset in Jordane, sensim coram Christo cedit a doctrina et D disciplina quam ad congregatos discipulos habebat, et turba egressus illos Domino tradit. Sed cum Herodes filius illius infanticidæ non omnem quidem principatum patris accepisset, erat enim tetrarcha, malitiæ autem ejus addidisset, vivens in flagitiis, et exemplum factus Judæis omnis nequitiæ, Joannes non potuit non loqui; quomodo enim tacuisset qui erat vox veritatis? sed increpabat eum propter alia omnia quæ patrabat mala, et præcipue propter Herodiadem uxorem fratris ejus, quam sublatam illicite duxerat, dicens huic malo: « Non licet tibi

Οὐ λόγοις δὲ μόνον, ἀλλὰ καὶ δι' ἔργων τοῖς πᾶσι τοῦτον ἐφανέρωσε, βαπτίσας αὐτὸν, καὶ δακτύλῳ δείξας, καὶ τοῖς οἰκείοις μαθηταῖς συστήσας, καὶ διὰ πάντων μαρτυρήσας, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Πατρὸς, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ τῶν αὐτῷ προσιόντων ψυχῶν νυμφίος, ὁ τὴν ἁμαρτίαν αἴρων τοῦ κόσμου, καὶ τὸν μολυσμὸν ἐξαίρων, καὶ τὸν ἁγιασμὸν ἀντεισφέρων καὶ χαριζόμενος. Ἑτοιμάσας δὲ οὕτω τὴν ὁδὸν αὐτοῦ κατὰ τὴν Ζαχαρίου πρόῤῥησιν, καὶ τὸ πᾶν τελέσας, δι' ὃ καὶ ἀπεστάλη καὶ προέδραμε, καὶ βαπτιστὴς ἐν Ἰορδάνῃ γέγονεν, ὑποχωρεῖ Χριστῷ τῆς πρὸς τοὺς συνειλεγμένους παῤῥησίας καὶ διδασκαλίας, καὶ ἀναχωρεῖ τοῦ πλήθους, τῷ Κυρίῳ τούτους παραδούς. Ἐπεὶ δὲ Ἡρώδης ὁ τοῦ βρεφοκτόνου ἐκείνου υἱὸς τὴν μὲν ἀρχὴν τοῦ πατρὸς πᾶσαν οὐ διεδέξατο, τετράρχης γὰρ οὗτος ἦν, τῇ δὲ κακίᾳ τούτου καὶ προσετίθει, συζῶν ἀκολασίᾳ, καὶ παράδειγμα τοῖς Ἰουδαίοις πάσης κακίας προκείμενος, οὐκ ἠνέσχετο ὁ Ἰωάννης σιγᾷν· πῶς γὰρ φωνὴ τῆς ἀληθείας ὤν; ἀλλ' ἤλεγχεν αὐτὸν περί τε τῶν ἄλλων ἁπάντων ὧν ἐποίει πονηρῶν, καὶ μάλιστα περὶ Ἡρωδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ αὐτοῦ, ἣν ἁρπάσας

[21] Psal. XIII, 3.

Digitized by Google

ἐκεῖνος παρανόμως ἔγημε, λέγων πρὸς αὐτόν· « Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. » Ὁ δὲ τὸν ἔλεγχον, μᾶλλον δὲ τοὺς ἐλέγχους μὴ φέρων, προσέθηκε καὶ τοῦτο τοῖς ἄλλοις πονηροῖς ἔργοις, κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Φίλιππος δὲ οὗτος υἱὸς καὶ αὐτὸς ἦν Ἡρώδου, μοίρας ἑτέρας τετράρχης ὤν· τοῦ γὰρ πατρὸς αὐτῶν Ἡρώδου μετὰ τὴν ἀπηνῆ καὶ φρενοβλαβῆ βρεφοκτονίαν ἐκείνην συμφοραῖς καὶ νόσοις ἀνηκέστοις καὶ ἀνυποίστοις περιπεσόντος, καὶ ἑαυτὸν ἀνελόντος ἐξ ὑπερβαλλούσης ἀνίας καὶ περιωδυνίας, ἡνίκα καὶ πρὸς τὸν Ἰωσὴφ ὁ ἄγγελος ἐν Αἰγύπτῳ εἶπεν· « Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ παιδίου· » B τοῦ Ἡρώδου τοίνυν ἐκείνου κακῶς τὸ ζῆν ἀποῤῥήξαντος, ὁ τῶν ὅλων αὐτοκράτωρ τηνικαῦτα Καῖσαρ εἰς τέσσαρα διελὼν τὴν ὑπ' ἐκεῖνον ἀρχὴν, καὶ τοῖς μὲν δυσὶν ἑτέρους ἐπέστησε, τῶν δ' ἑτέρων δύο μερῶν **224** τετράρχας κατέστησε τοὺς τοῦ Ἡρώδου υἱοὺς, Φίλιππόν τε καὶ τὸν Ἡρώδην τοῦτον. Διὸ καὶ ὁ εὐαγγελιστὴς Λουκᾶς τετραρχεῖν αὐτὸν λέγει τῆς Ἰουδαίας· Φίλιππον δὲ τὸν ἀδελφὸν αὐτοῦ τῆς Ἰτουραίας τε καὶ Τραχωνίτιδος χώρας, ἡνίκα τῷ Ἰορδάνῃ ἐπέστη ὁ Ἰωάννης κηρύσσων βάπτισμα μετανοίας.

A habere uxorem fratris tui Philippi [22]. » Ille autem increpationem vel potius increpationes non ferens, istud aliis operibus malis adjecit et conclusit Joannem in carcere. Porro Philippus ille Herodis ipse quoque erat filius, alterius partis tetrarcha; nam cum Herodes eorum pater post illam crudelem et insanam infantium cædem in exitia et morbos tum insanabiles tum intolerabiles incidisset, et semetipsum ex nimiis suppliciis atque cruciatibus eripuisset, quando angelus dixit ad Joseph in Ægypto: « Surge et accipe puerum et matrem ejus, et vade in terram Israel; mortui enim sunt qui quærebant animam pueri [23]; » igitur cum Herodes male sibi vitam abrupisset, qui tunc universo imperabat Cæsar, in quatuor partes divisit ejus regnum, et duobus quidem alios præfecit, duobus autem aliis tetrarchas imposuit filios Herodis Philippum et istum Herodem. Ideo evangelista Lucas dicit hunc tetrarcham fuisse Judææ, Philippum autem ejus fratrem regionum Ituridis et Trachonitidis, quando ad Jordanem stetit Joannes prædicans baptismum pœnitentiæ.

Οὗτος οὖν ὁ νέος Ἡρώδης κρατήσας ἔδησε καὶ ἔθετο τὸν Ἰωάννην ἐν φυλακῇ· ὡς μὲν ὁ Ματθαῖος καὶ ὁ Μάρκος φησὶν, ἐλεγχόμενος ὑπ' αὐτοῦ διὰ τὴν Ἡρωδιάδα, ἣν σφετερισάμενος ἦν, γυναῖκα οὖσαν τοῦ ἀδελφοῦ αὐτοῦ. Ὁ δὲ Λουκᾶς οὐ διὰ τὴν Ἡρωδιάδα μόνον φησὶν, ἀλλὰ « Καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν ὁ Ἡρώδης, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. » Πῶς οὖν οἱ ἄλλοι εὐαγγελισταὶ τοῦ περὶ τῆς Ἡρωδιάδος ἐλέγχου μόνου πεποίηνται μνήμην; Ἐπειδὴ τοῦ κατακεκλεῖσθαι τὸν Ἰωάννην καὶ ἄλλα πολλὰ τὰ αἴτια, μᾶλλον δὲ πάντα τοῦ φιλοπονήρου βασιλέως τὰ ἔργα, ἐφ' οἷς ἅπασιν ἐλεγχόμενος, τὴν Ἰωάννου παῤῥησίαν οὐκ ἔφερε· τοῦ δὲ τὴν κεφαλὴν ἀποτμηθῆναι μόνη γέγονεν ἡ μοιχαλὶς αἰτία, ταῖς παρ' ἑαυτῆς μηχαναῖς τε καὶ σπουδαῖς καταπραξαμένη, καὶ εἰς τέλος ἀγαγοῦσα τὸ ἔργον· αὕτη γὰρ ἐλέγχοντι καὶ ἀνθέλκοντι τῆς παρανόμου πράξεως τὸν Ἡρώδην, ἐνεῖχεν ἐγκοτοῦσα τῷ Ἰωάννῃ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· οὐ γὰρ ἦν ἄλλως κατασιγάσαι τὸν ὡς ἐδόκει κατ' αὐτῆς ἔλεγχον. Οὐχ ἁπλοῦν δέ τι τὸ κατ' αὐτὴν μύσος ἦν, οὐδὲ διπλοῦν μόνον, ἀλλὰ καὶ πολλαπλοῦν· μοιχεία τε γὰρ ἦν, τὸ πάντων ἁμαρτημάτων αἴσχιστον, καὶ οὐ παρ' ἑτέρου τινὸς ἐκτελουμένη, ἀλλὰ παρὰ τοῦ ἀδελφοῦ τοῦ τῆς μοιχευομένης ἀνδρὸς, καὶ παιδοποιήσαντος μετ' αὐτῆς ἐκείνου, ὡς καὶ τὴν παῖδα ζῆν ἔτι, ὃ καὶ ἀποθανόντος ἐκείνου, τὸν ἀδελφὸν οὐδὲ κατὰ τὸν Μωσέως νόμον συνεχώρει τὴν ἐκείνου γυναῖκα γῆμαι. Ὁ δὲ καὶ ζῶντος τοῦ ἀδελφοῦ καὶ θυγατέρα ἔχοντος ἐπεβούλευσε τῇ κοίτῃ· οὐδὲ γοῦν κρυφίως, ὡς μεθ' ὑποστολῆς τινος ἐργάζεσθαι τὴν ἀσέλγειαν, ἀλλὰ παῤῥησίᾳ καὶ ἀπηρυθριασμένως ἐξετέλει τὸ

Itaque junior hic Herodes potestate potitus vinctum injecit Joannem in carcerem, sicut narraverunt Matthæus et Marcus, increpatus ab eo propter Herodiadem, quam suam fecerat, etsi uxor esset fratris sui. Lucas autem non solummodo dixit propter Herodiadem, sed propter omnia mala quæ C fecit Herodes, adjecit hoc super omnia, et inclusit Joannem in carcere [24]. Quare ergo alii evangelistæ solius correptionis de Herodiade mentionem fecerunt? Quoniam incarcerationis quidem Joannis aliæ multæ fuerunt causæ, imo omnia opera perversi principis, de quibus omnibus correptus non ferebat Joannis libertatem. Sed abscissi capitis causa fuit sola adultera, suis artibus et machinationibus insidiata, et in finem opus adducens; etenim illa vehementius insectabatur Joannem qui corripiebat et amovebat Herodem ab opere illicito, et volebat eum interficere; aliter enim delere non poterat increpationem quæ adversus eam fieri videbatur. Verum non simplex erat facinus cum ea perpetratum, imo nec solummodo duplex, sed etiam D multiplex. Nam erat adulterium omnium peccatorum turpissimum, nec ab alio quodam commissum, sed a fratre viri adulteræ, illius a quo prolem acceperat, ita ut filia adhuc viveret, unde etiam post mortem viri fratri secundum ipsam legem Moysis non licebat illius uxorem ducere. Ille autem, fratre etiam vivo et filiam habente, torum violavit; neque occulte quasi quadam dubitatione turpitudinem operans, sed aperte et impudenter flagitium perpetrando. Ita ergo sub omni ratione malitiæ indulgens, neque ferens se proinde corripi, in carcere Joannem occlusit. At carcer ipse major erat incre-

[22] Marc. vi, 18. [23] Matth. ii, 13. [24] Luc. iii, 19.

Digitized by Google

patio, auditus et conspectus, famaque grassans per loca omnia, quapropter Herodias Joannem persequebatur, id est iram adversus eum in corde suo nutriebat, et volebat eum interficere, sed non poterat. « Herodes enim metuebat Joannem, sciens eum virum justum et sanctum. » Timebat quidem Herodes Joannem propter virtutis excellentiam, Deum autem non timebat, a quo hominibus virtus infunditur; nec Joannem timebat ut talem, quia sciebat eum justum et sanctum, sed timebat eum propter turbas, quia tanquam prophetam habebant eum, quemadmodum dixit Matthæus; nam sicut ipse scripsit, non sola Herodias, sed et ipse Herodes, cum vellet Joannem occidere, timebat turbam.

A μύσος. Οὕτω γοῦν κατὰ πᾶσαν πρόθεσιν προσκείμενος τῇ κακίᾳ, κἀντεῦθεν τὸν ἔλεγχον μὴ φέρων, ἐν φυλακῇ τὸν Ἰωάννην κατέκλεισεν. Ἀλλὰ καὶ ἡ φυλακὴ αὐτὴ μείζων ἔλεγχος ἦν, καὶ ἀκουομένη, καὶ ὁρωμένη, καὶ διὰ πάντων φοιτῶσα διὰ τῆς φήμης· διὰ τοῦτο καὶ ἡ Ἡρωδιὰς ἐνεῖχεν αὐτὸν, δηλονότι τὴν κατὰ τοῦ Ἰωάννου μανίαν ἐν ἑαυτῇ ἔτρεφε, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο· « Ὁ γὰρ Ἡρώδης, φησὶν, ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον. » Ἐφοβεῖτο μὲν ὁ Ἡρώδης τὸν Ἰωάννην διὰ τὸ τῆς ἀρετῆς ὑπερβάλλον, οὐκ ἐφοβεῖτο δὲ τὸν Θεὸν, παρ' οὗ τοῖς ἀνθρώποις ἡ ἀρετή· οὐδὲ αὐτὸν ἐφοβεῖτο τὸν Ἰωάννην ἅτε τοιοῦτον, καίτοι καὶ αὐτὸς τοῦτον εἰδὼς ἄνδρα δίκαιον καὶ ἅγιον, ἀλλ' ἐφοβεῖτο τοῦτον διὰ τοὺς ὄχλους, ὅτι ὡς προφήτην αὐτὸν εἶχον, καθά φησιν ὁ Ματθαῖος· ὡς γὰρ ὁ αὐτὸς συγγράφεται, οὐχ ἡ Ἡρωδιὰς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Ἡρώδης θέλων ἀποκτεῖναι τὸν Ἰωάννην, ἐφοβεῖτο τὸν ὄχλον.

Quod autem Marcus de Herode dixit, nempe quod libenter Joannem audiebat, sic intelligendum est; quemadmodum in potionibus medicamentariis amaritudinem quidem sentimus, sed eas tamen accipimus, quia inde speramus utilitatem, ita e contrario de spiritualibus doctrinis, iis quidem natura suavibus delectantur qui eis non persuadentur, sed illa nequaquam accipiunt, scientes illa pravis suis desideriis obluctari. Sic libenter eum prius audiebat, ideo, inquit, custodiebat eum, et audito eo multa faciebat. Verum cum soleant mali odio habere corripientes, odio propter increpationem superveniente, illa omnia contemnens cum adultera consentiebat de consilio homicidii, et volens ipse Joannem occidere, ut dixit Matthæus, timebat turbam, non quia metueret eam refragaturam, sed quia timeret ne ab ea reprobaretur, quoniam pro propheta eum habebant. Noverat enim, nam neminem hæc latebat, excellentiam virtutis et gratiæ Joannis, et cum cederet laudi ex multitudine venienti, et gloriam ab ea sectaretur, timebat ne ab ea damnaretur, et fingebat erga Joannem piam docilitatem. Sed Herodias, cum sciret eum ad malum vertere hunc metum solvit, et ad cædem sicut putavit, vel potius ut fefellit, irreprehensam traxit; nam iracundia furens et sanguinolenta id studebat ut facinus multis celaret, et ad opus adduceret suum in Baptistam et prophetam odium. Igitur, ait Marcus, cum dies opportunus accidisset, scilicet ad carnificem machinationem, dum celebrarentur Herodis natalitia, omni quidem multitudine congregata, et omnibus mensæ discumbentibus, intravit in medio omnium ejus filia de industria a matre immissa, et coram oculis omnium saltavit, et placuit Herodi et cæteris. Nam quomodo Herodiadis filia, a matre producta, non impudenter saltasset, nec Herodi placuisset? Ita vero lascivo regi arrisit impudens saltatio, ut saltanti diceret: « Pete a me quod vis, et dabo tibi. Et juravit illi: quia quidquid petieris dabo tibi, licet dimidium regni mei [26]. » Exit ad matrem et magistram

[26] Marc. vi, 22.

B Ὃ δέ φησιν ὁ Μάρκος περὶ Ἡρώδου, ὅτι ἡδέως ἤκουε τοῦ Ἰωάννου, τοιοῦτόν ἐστι· καθάπερ ἐπὶ τῶν ἰατρικῶν πομάτων αἰσθανόμεθα μὲν τῆς πικρίας, καταδεχόμεθα δὲ αὐτὰ, τὴν ἀπὸ τούτων ἐννοοῦντες ὠφέλειαν, οὕτως ἀντιστρόφως ἐπὶ τῶν πνευματικῶν διδαγμάτων, ἥδονται μὲν αὐτοῖς τοιούτοις φύσει γλυκέσιν οὖσι καὶ οἱ μὴ τούτοις πειθόμενοι, οὐ καταδέχονται δὲ αὐτὰ, τὴν ἀπὸ τούτων ἐννοοῦντες 225 πρὸς τὰς οἰκείας πονηρὰς ὀρέξεις ἀντίθεσιν· Ἴσως δὲ καὶ ἡδέως μὲν ἀκούων ἦν αὐτοῦ πρότερον, ἐπεὶ καὶ συνετήρει, φησὶν, αὐτὸν, καὶ ἀκούων αὐτοῦ πολλὰ ἐποίει· πεφυκότων δὲ τῶν κακῶν μισεῖν τοὺς ἐλέγχοντας, τοῦ μίσους προσγενομένου διὰ τὸν ἔλεγχον, πάντων ἀλογήσας ἐκείνων συνεφώνει τῇ μοιχευομένῃ κατὰ τὴν φόνιον γνώμην, καὶ θέλων καὶ C αὐτὸς ἀποκτεῖναι τὸν Ἰωάννην, καθά φησιν ὁ Ματθαῖος, ἐφοβεῖτο τὸν ὄχλον, οὐκ ἔνστασίν τινα δεδιὼς ἐκ τούτων, ἀλλὰ μόνην τὴν ἀπὸ τούτων κατάγνωσιν, ἐπειδήπερ ὡς προφήτην αὐτὸν εἶχον· ᾔδει γὰρ ὡς οὐδένα τῶν ἁπάντων λέληθε τὸ περιὸν τῆς ἀρετῆς καὶ χάριτος Ἰωάννου, καὶ τῆς παρὰ τῶν πολλῶν δόξης ὑπάρχων ἥττων ἐφοβεῖτο τὴν παρὰ τούτων κατηγορίαν, καὶ τὸν παρ' αὐτῶν θηρώμενος ἔπαινον ἔστιν ἐφ' ὧν ἔτι τὴν πρὸς τὸν Ἰωάννην προσεποιεῖτο πειθὼ καὶ εὐλάβειαν. Ἀλλ' ἡ Ἡρωδιὰς σοφὴ οὖσα τοῦ κακοποιῆσαι καὶ τοῦτον δὴ τὸν φόβον ἔλυσεν αὐτῷ, καὶ πρὸς τὸν φόνον, ὡς ἐνόμισε, μᾶλλον δὲ ὡς ἠπάτησεν ἀνεγκλήτως ἐπῆρεν· ἐγκοτοῦσα γὰρ καὶ φονῶσα καιρὸν ἐζήτει τὴν ἀπὸ τῶν πολλῶν συ- D σκιάσαι μέμψιν, καὶ προαγαγεῖν εἰς ἔργον τὴν κατὰ τοῦ Βαπτιστοῦ καὶ Προφήτου μανίαν. Γενομένης οὖν, φησὶν, ἡμέρας εὐκαίρου, πρὸς τὴν φονικὴν δηλονότι μηχανὴν, τελουμένων τῶν γενεθλίων Ἡρώδου, καὶ παντὸς μὲν τοῦ ὄχλου συνειλεγμένου, πάντων δὲ τῶν ἐν τέλει προκαθημένων, εἰσῆλθε μεταξὺ πάντων, ἀφεθεῖσα παρ' αὐτῆς ἐπίτηδες ἡ ταύτης θυγάτηρ, καὶ ὑπὸ τοὺς ἁπάντων ὀφθαλμοὺς ὠρχήσατο τὸ κοράσιον, καὶ ἤρεσε τοῖς τε ἄλλοις καὶ τῷ Ἡρώδῃ. Πῶς γὰρ οὐκ ἔμελλεν αὐτῆς τε οὖσα, καὶ ὑπ' αὐτῆς προαχθεῖσα, καὶ ἀναιδῶς ὀρχήσασθαι, καὶ τῷ Ἡρώδῃ ἀρέσκειν; Ἐπὶ τοσοῦτον δὲ τοῦ φιλοπαίγμο-

Digitized by Google

νος ἐκράτησε βασιλέως ἡ ἀναιδὴς ὄρχησις, ὥστε καὶ εἰπεῖν τῷ κορασίῳ· « Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι· καὶ ὤμοσεν αὐτῇ, ὅτι Ὃ ἐὰν αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. » Ἐξέρχεται πρὸς τὴν μητέρα καὶ διδάσκαλον τῶν ἀσέμνων ἁλμάτων ἐκείνων καὶ λυγισμάτων τὸ ἀναιδὲς κόριον, ἀπαγγέλλει τὸν ὅρκον, ζητεῖ διδαχθῆναι τὸ αἴτημα, διδάσκεται παραυτα, καὶ προθυμότατα πείθεται, καὶ πρὸς τὸν βασιλέα μετὰ σπουδῆς ἐπανέρχεται, καὶ τὴν αἴτησιν ἀνερυθριάστως προβάλλεται· Θέλω, λέγουσα, ἵνα μοι δῷς ἐξ αὐτῆς, ὅτι τάχιστα, κατ' αὐτὴν δηλονότι τὴν ὥραν, ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Ταῦτα μὲν οὖν τὸ κοράσιον ἀπηρυθριασμένως ᾐτεῖτο· ἡ δὲ μοιχαλὶς ἔλυεν, ὡς ᾤετο, τῷ βασιλεῖ διὰ τούτων τὴν ἐπὶ τῷ φόνῳ τοῦ Βαπτιστοῦ καὶ προφήτου κατηγορίαν· Διὰ τὴν πρὸς τὸν ὅρκον εὐλάβειαν δόξεις, λέγουσα, τὸν φόνον ἐργάσασθαι, καὶ οὐ διὰ τὸ πρὸς τὸν δίκαιον μῖσος. « Ὁ δὲ βασιλεὺς περίλυπος γενόμενος, φησὶ, διά τε τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι· » διὸ καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ, καὶ ἐδόθη τῷ κορασίῳ.

procacium horum saltuum atque præstigiarum proterva saltatrix, quærit petendum esset, juramentum nuntiat; ab ea edocetur et gratissima discit, ad regem alacriter redit, et petitionem ore inverecundo exponit dicens: « Volo ut protinus des mihi in disco caput Joannis Baptistæ [26]. » Quod saltatrix quidem impudenter poposcit; mœcha vero sic, ut putabat, regem eximebat a reprobatione propter cædem Joannis Baptistæ incurrenda; videberis, inquit, propter fidem juramenti, minime propter odium erga justum cædem perpetrare. « Contristatus est rex, ait evangelista; propter jusjurandum et propter simul discumbentes, noluit eam contristare. » Sed misso exsecutore, decollavit eum in carcere, et allatum caput dedit saltatrici.

Βαβαὶ πόσων κακῶν αἴτιον ἡ δοξομανία! Οὐκ ἠδύνατο φονεῦσαι διὰ τὸν ὄχλον, ἐφόνευσεν αὖθις διὰ τοὺς συνανακειμένους· περίλυπος ἐγένετο δι' οὐδὲν ἄλλο, ἢ διὰ τὸ δόξαι τῆς παρὰ τῶν πολλῶν ἐστερῆσθαι δόξης· στενὰ γὰρ ἐγένετο πάντοθεν τῷ βασιλεῖ τὰ πράγματα, ἂν μὲν φονεύσῃ τὸν δίκαιον, ἡ ἐπὶ τῷ φόνῳ μέμψις προσδόκιμος, ἂν μὴ φονεύσῃ, δόξει ἐπίορκος· ὁ ὅρκος διὰ φιλοτιμίαν, ὁ ἐπὶ τῇ παραβάσει τοῦ ὅρκου φόβος διὰ φιλοδοξίαν, ὁ ἐπὶ τῇ τοῦ ὅρκου φυλακῇ φόνος διὰ τὴν δόξαν· αὐτὸ τὸ συμπόσιον κενοδοξία συνεκρότησεν ἅπαν. **226** Καλῶς ἄρα ἐν τοῖς Εὐαγγελίοις φησὶν ὁ Κύριος· « Πῶς δύνασθε πιστεύειν εἰς ἐμὲ δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ μὴ ζητοῦντες; » Ταύτην τὴν ἐξ ἀνθρώπων δόξαν καὶ Ἰουδαῖοι ζητοῦντες τὴν πρὸς αὐτὸν ἠθέτησαν πίστιν, καὶ τὸ καθ' ἑαυτοὺς πάντων τῶν προφητῶν τὴν κεφαλὴν ἐξέκοψαν, τὸ πλήρωμα τῶν προφητῶν ἀνελόντες Χριστόν. Τοιαῦτα τὰ ἔργα τοῦ ὑπὸ μοιχαλίδων καὶ ὀρχηστρίδων γυναίων βασιλευομένου βασιλέως· τοιαῦτα οἷς θέλγεται καὶ ἀρέσκεται, καὶ δι' ἃ τὴν βασιλείαν ἀπεμπολεῖ καὶ προδίδωσι, καὶ εἰς τοῦτο πράξεως ἄγεται. Τοιοῦτόν τι πάσχει καὶ ὁ ἡμέτερος νοῦς, ἀδελφοί· βασιλεὺς γὰρ καὶ αὐτοκράτωρ τῶν παθῶν ὑπὸ Θεοῦ δεδημιουργημένος, ὅταν αὐτὸς ὑπὸ τούτων θελχθῇ, εἰς ἀτόπους δουλείας καὶ πράξεις ἐκτόπους ἐξάγεται, καὶ οὕτω τῶν τῇ ἁμαρτίᾳ καὶ τοῖς πάθεσι δεδουλωμένων ἕκαστος, ὑπὸ τοῦ οἰκείου συνειδότος ἐλέγχοντος ἀχθόμενοί τε καὶ δυσχεραίνοντες πρῶτον μὲν οἱονεὶ κατακλείουσιν αὐτὸ, καθάπερ ὁ Ἡρώδης τὸν Ἰωάννην, αὐτοῦ ἀκούειν μὴ θέλοντες· πρὸς δὲ καὶ τοὺς εἰς ἀθέτησιν τῆς ἁμαρτίας καὶ τροπὴν πάσης καλοκἀγαθίας γεγραμμένους λόγους μηδὲ τούτων ἀκούειν ἀποδεχόμενοι· ὅταν δὲ τελέως κρατηθῶσιν ὑπὸ τῆς παρανόμως συνοικούσης αὐτοῖς Ἡρωδιάδος, τῆς φιλαμαρτήμονος γνώμης, τότε καὶ τὸν ἔμφυτον αὐτοῖς τῆς χάριτος λόγον, τὴν ἑαυτῶν φημι συνει-

Heu! quantorum causa malorum furor gloriæ! Non audebat occidere propter turbam, et occidit propter simul discumbentes; nequaquam propter aliud contristatus est, nisi quia putaret se gloria a multitudine exui; nam utrinque rex erat in angustiis; si justum interficeret, reprobatio de homicidio manebat; si non interficeret, perjurus videbatur. Juravit propter cupiditatem laudis, timuit ne jusjurandum violaret propter cupiditatem gloriæ; occidit, servato jurejurando, propter gloriam: totum convivium affecit inanis gloria. Recte igitur in Evangeliis dixit Dominus: « Quomodo potestis credere qui gloriam ab invicem accipitis, et gloriam quæ a Deo solo est, non quæritis [27]? » Istam quæ ab hominibus est gloriam quærentes Judæi rejecerunt fidem in eum, caput omnium qui apud eos fuerunt prophetarum decollaverunt, plenitudinem prophetarum Christum destruentes. Hæc fuerunt opera regis quem regebant adulteræ et saltatrices feminæ; his delectatur et gaudet, propter ea regnum vendit et prodit, et ad tantum facinus ducitur. Talia patitur animus noster, fratres; nam ipse rex et dominus passionum a Deo constitutus, si ipsis ille pascatur, ad alienas servitutes et actus turpes deducitur; et singuli eorum qui ita peccato et passionibus deserviunt, propria convicti conscientia, ægre ferentes et indignatione moti, primo quidem illam veluti concludunt, sicut Herodes Joannem, nec illam volunt audire; deinde neque patiuntur audire verba quæ scripta sunt ad repellendum peccatum; sed cum omnino dati fuerint potestati Herodiadis illicite eum ipsis habitantis, animæ peccatis deditæ, verbum gratiæ eis inditum, boni dico cognitionem quæ illis inest, tollunt, eam prorsus evertentes, non tantum non credunt, sed contradicunt Scripturæ a Deo revelatæ, facti omnino ignari et refragantes verbo Dei, tanquam Herodes Joanni. Insuper qui adversantur veritate pietatis,

[26] Marc. VI, 25. [27] Joan. V, 44.

similia patiuntur vel potius faciunt. Etenim convicti sermonibus prophetarum, apostolorum atque Patrum a nobis prolatis, primum quidem illos in libris concludunt, dicentes : Sinite eos ibi dormire, neque illis quispiam utatur vel illos proferat, nequaquam audientes Dominum dicentem : « Scrutamini Scripturas, et in eis invenietis vitam æternam. » Postea ab Herodiade, impia gloriatione propria, ad pejora producti, illos proponunt veluti in tabula conscriptos, propriis scriptis auferentes, in gaudium et damnum consentientium.

δησιν, ἀναιροῦσι, τελέως καταργοῦντες αὐτήν, ἀπιστοῦσί τε καὶ ἀντιλέγουσι τῇ θεοπνεύστῳ Γραφῇ, ἀσυνείδητοι παντάπασι καὶ ἀντικείμενοι τῷ λόγῳ τοῦ Θεοῦ γινόμενοι, καθάπερ ὁ Ἡρώδης τῷ Ἰωάννῃ. Ἀλλὰ καὶ οἱ πρὸς τὴν ἀλήθειαν τῆς εὐσεβείας ἀντιλέγοντες τὰ παραπλήσια πάσχουσι, μᾶλλον δὲ καὶ ποιοῦσιν. Ἐλεγχόμενοι γὰρ ὑπὸ τῶν προφητικῶν καὶ ἀποστολικῶν καὶ πατρικῶν λόγων παρ' ἡμῶν προτεινομένων, πρῶτον μὲν ὥσπερ κατακλείουσιν αὐτοὺς ἐν τοῖς βιβλίοις, λέγοντες, Ἄφετε αὐτοὺς ἐκεῖ κεῖσθαι, καὶ μηδεὶς αὐτοῖς χρήσθω, μηδὲ προτεινέτω τούτους· μηδὲ γοῦν τοῦ Κυρίου λέγοντος ἀκούοντες, « Ἐρευνᾶτε τὰς Γραφάς, καὶ ἐν αὐταῖς εὑρήσετε ζωὴν τὴν αἰώνιον. » Εἶτα ὑπὸ τῆς Ἡρωδιάδος, τῆς καθ' ἑαυτοὺς δυσσεβοῦς δόξης, ἐπὶ τὸ χεῖρον προαγόμενοι, καὶ προτιθέασιν αὐτοὺς ἐπὶ πίνακος οἱονεὶ κατεσφαγμένους, διὰ τῶν οἰκείων συγγραμμάτων τούτους ἀναιροῦντες, εἰς ἐπίχαρμα καὶ βλάβην τῶν αὐτοῖς συναινούντων.

Itaque Herodes quidem omnis nequitiæ et impietatis est exemplar; Joannes vero omnis virtutis et pietatis columna. Herodes enim est plenitudo malitiæ, robur impietatis, instrumentum peccati, vere carnalis, utpote secundum carnem vivens et sentiens; Joannes autem culmen divorum a sæculo patriarcharum, præclara sedes charismatum Spiritus, jure ex gratia divina cognominatus, omnis pietatis et virtutis habitaculum. Igitur duæ imagines hodie proponuntur quæ sibi singulariter adversantur objectæ, quarum una quidem parva et parum visa gaudio et honore afficere eos qui secundum illam vivunt, eos dedecori et perpetuo atque intolerabili tradit exitio; altera autem parum labore afficiens eos qui ad eam spectant, deinde illis impertit gloriam et voluptatem divinam et ineffabilem, et veram et æternam. Si ergo secundum carnem vixerimus, carnales instar Herodis, moriemur, prout dixit Apostolus [18]. Si autem divini ope Spiritus secundum Joannis zelum perversis desideriis corporis et operibus obsistamus, vivemus in sæcula. Nam secundum Spiritum finis vitæ modo absconditur cum Christo in Deo, et nondum omnibus est manifestus, sed quando apparuerit, similes ei erimus, hæredes Dei, cohæredes Christi, illa æterna et incorruptibilia assecuti bona, quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascendit, quia sunt super aurem, et super oculum, et super mentem ; eis autem qui vivunt secundum carnem, non tantum mortalia et peritura dantur, sed ita modica et parva, ut siliquis et cibo porcorum conferantur.

B Οὕτως Ἡρώδης μὲν ἐστι πάσης κακίας τε καὶ δυσσεβείας πρόγραμμα· ὁ δὲ Ἰωάννης πάσης ἀρετῆς καὶ εὐσεβείας στήλη· Ἡρώδης μὲν γάρ ἐστι τὸ πλήρωμα τῆς κακίας, τὸ κράτος τῆς δυσσεβείας, τὸ ὄργανον τῆς παρανομίας, ὁ σάρκινος ὄντως, ὡς κατὰ σάρκα ζῶν τε καὶ φρονῶν· Ἰωάννης δὲ ἡ τῶν ἀπ' αἰῶνος θεοφόρων ἀκρότης, τὸ περιφανὲς καταγώγιον τῶν χαρισμάτων τοῦ Πνεύματος, ὁ τῆς θείας χάριτος φερωνύμως ἐπώνυμος, τὸ πάσης εὐσεβείας καὶ ἀρετῆς ἐνδιαίτημα. Δύο τοίνυν εἰκόνες πρόκεινται σήμερον, καθ' ὑπερβολὴν πρὸς ἀλλήλας ἀνθεστηκυῖαι καὶ ἀντικείμεναι, ὧν ἡ μὲν ὀλίγα τε καὶ πρὸς ὀλίγον τοὺς κατ' αὐτὴν ζῆν προαιρουμένους εὐφραίνειν δοκοῦσα καὶ τιμᾷν, ἀτιμίᾳ καὶ θλίψει παραδίδωσιν ἀλήκτῳ καὶ ἀφορήτῳ· ἡ δὲ πρὸς ὀλίγον C πονεῖν διδοῦσα τοὺς πρὸς αὐτὴν βλέποντας, εἶτα χαρίζεται τούτοις δόξαν καὶ ἀπόλαυσιν θείαν καὶ ἀπόρρητον καὶ ἀληθινὴν καὶ αἰώνιον. Εἰ μὲν οὖν κατὰ σάρκα ζῶμεν, κατὰ μίμησιν τοῦ δερματίνου Ἡρώδου μέλλομεν ἀποθνήσκειν, καθά φησιν ὁ Ἀπόστολος· εἰ δὲ θείῳ **227** Πνεύματι κατὰ ζῆλον τοῦ Ἰωάννου ταῖς πονηραῖς τοῦ σώματος ὀρέξεσί τε καὶ πράξεσιν ἀντικείμεθα, ζησόμεθα εἰς αἰῶνας. Τῆς μὲν γὰρ κατὰ πνεῦμα ζωῆς τὸ τέλος κέκρυπται νῦν ἐν τῷ Χριστῷ πρὸς τὸν Θεόν, καὶ οὔπω πᾶσι φανερόν ἐστιν, ὅταν δὲ φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα κληρονόμοι Θεοῦ, συγκληρονόμοι Χριστοῦ, τῶν αἰωνίων ἐκείνων καὶ ἀκηράτων ἀγαθῶν ἐπιτυχόντες, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσεν, ἀλλ' οὐδὲ D ἐπὶ καρδίαν ἀναβέβηκεν ἀνθρώπου, ὡς ὑπὲρ ἀκοὴν ὄντα καὶ ὀφθαλμὸν καὶ διάνοιαν· τοῖς δὲ κατὰ σάρκα ζῶσιν οὐ θνητὰ καὶ πρόσκαιρα μόνον, ἀλλὰ καὶ οὕτω σμικρὰ καὶ εὐτελῆ τὰ τερπνά, ὡς κερατίοις τισὶ καὶ χοιρώδει παρεικάζεσθαι βρώσει.

Idcirco si hæc essent æterna, rursus illa istis oporteret anteponere, quia supra omnem comparationem ex omni parte eis præstant; si vero hæc præ illis essent magna et mirabilia, quia hæc transeunt, illa autem in æternum permanent, rursum illa essent præferenda, utpote duratura. Verum quoniam ista quidem vilia sunt et caduca, illa autem perennia et incomparabilia, anteponamus, fratres,

Εἰ μὲν οὖν καὶ ταῦτα ἦσαν αἰώνια, πάλιν ἐκεῖνα τούτων προτιμᾷν ἔδει, ὡς ἀσυγκρίτως παντάπασιν ὑπερέχοντα· εἰ δὲ κατ' ἐκεῖνα μεγάλα τινὰ καὶ θαυμαστὰ καὶ ταῦτα ἦν, ὅτι ταῦτα πρόσκαιρα, ἐκεῖνα δὲ αἰώνια, πάλιν ἐκεῖνα προτιμητέα ὡς διαμένοντα· ἐπεὶ δὲ ἐκεῖνα μὲν καὶ ἄληκτα καὶ ἀσύγκριτα, ταῦτα δὲ καὶ ἀχρεῖα καὶ πρόσκαιρα, προτιμήσωμεν, ἀδελφοί, τὰ μόνιμα καὶ ἀπόρρητα καὶ οὐράνια τῶν κάτω

[18] Rom. VIII, 13.

Digitized by Google

συρομένων καὶ φθειρομένων· παραδράμωμεν δικαίως τὰ παρατρέχοντα, κἂν πρὸς ὀλίγον σαίνοντα κλέπτῃ τὴν αἴσθησιν· ἀντιποιησώμεθα τῶν μελλόντων ὡς μενόντων καὶ μηδέποτε λυομένων· φεύγωμεν τὴν πρὸς Ἡρώδην ὁμοίωσιν· σπεύδωμεν, ὅση δύναμις, πρὸς τὴν τοῦ Προδρόμου τῆς χάριτος μίμησιν, καὶ μάλιστα πάντων ἡμεῖς, οἷς ὁ βίος μονήρης· ὧν ἡ πολιτεία τῶν κοσμικῶν ἐθῶν τε καὶ πραγμάτων διώρισται, καὶ ἐγγίζει πως τῷ ἐρημικῷ καὶ μεμονωμένῳ βίῳ τοῦ προφήτου καὶ Βαπτιστοῦ, ὃς καὶ τοῦτο προειδὼς ὡς προφήτης, ὅτι τὸ μοναδικὸν ἔσται τάγμα τὸ τοῦτον μετρίως γοῦν μιμεῖσθαί ποτε δυνησόμενον, οὐχ ὑπὲρ εὐσεβείας, ἀλλ' ὑπὲρ ἀρετῆς ἀγωνιζόμενος ἀπετμήθη τὴν κεφαλὴν, ἵνα καὶ ἡμεῖς ἕτοιμοι ὦμεν μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν ἀντικαθίστασθαι, εἰδότες ὅτι μαρτυρίου στέφανον λήψεται ὁ τὰ πάθη δι' ἀρετῆς τροπωσάμενος· ὅσῳ γὰρ ἔλαττόν ἐστι κακὸν ἡ ἁμαρτία συγκρινομένη πρὸς τὴν ἀσέβειαν, τοσοῦτον ἐκ τοῦ ἀκολούθου μεῖζον ἀγαθὸν ἂν εἴη τὸ προκινδυνεῦσαι τῆς ἀρετῆς· πῶς γὰρ ἂν οὐχὶ καὶ ὑπὲρ τοῦ μείζονος ἐκείνου, δηλονότι τῆς εὐσεβείας, εἴπερ ἐδέησεν, ἔθηκε τὴν ψυχὴν ὁ ὑπὲρ τοῦ ἐλάττονος ταύτην προδούς; Διὸ καὶ ὁ ἐν γεννητοῖς γυναικῶν μείζων, ὁ τῆς μετανοίας κῆρυξ, ὁ πρόδρομος καὶ Βαπτιστὴς τοῦ Σωτῆρος, ὑπὲρ ἀρετῆς ἀγωνιζόμενος ἀπετμήθη τὴν κεφαλήν· ὃς οὐ τοῦ Χριστοῦ μόνον πρόδρομος ἦν, ἀλλὰ καὶ τῆς αὐτοῦ Ἐκκλησίας, καὶ τῆς καθ' ἡμᾶς, ἀδελφοὶ, μάλιστα πολιτείας· ἐκεῖνος ἐκ στείρας ἐτέχθη τῆς Ἐλισάβετ, καὶ ἡμεῖς ἐκ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, περὶ ἧς γέγραπται· « Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. » ἐκεῖνον μετὰ τὴν γέννησιν ὁ βρεφοκτόνος Ἡρώδης φονῶν ἐδίωκε, διὰ τὴν πρὸς Χριστὸν ἀπέχθειαν καταμαχόμενος, ἀλλ' εὗρε καταφυγὴν τὴν ἔρημον, καὶ φιλτέραν ἔκρινε τοῦ κόσμου, καὶ ταύτην ᾤκησεν. Ἐπιτίθεται καὶ ἡμῖν μετὰ τὴν πνευματικὴν γέννησιν ὁ νοητὸς Ἡρώδης, διώκων καὶ αὐτὸς ἀρτίως δι' ἡμᾶς τὸν Χριστόν· διὰ τοῦτο φεύγομεν καὶ ἡμεῖς τὸν κόσμον, καὶ καταφυγὴν εὑρίσκομεν τὰ ἀφιερωμένα ταῦτα τῷ Θεῷ φροντιστήρια, καὶ οὕτω διαδιδράσκομεν τοὺς ἀνηλεεῖς δορυφόρους καὶ μαχαιροφόρους ἐκείνου, τὰ τῶν παθῶν ὑπεκκαύματα, δι' ὧν τὸν πνευματικὸν ἐπιφέρει θάνατον, τοῦ Θεοῦ χωρίζων **228** τὸν ἄνθρωπον. Οὗτός ἐστιν ὁ θάνατος ὁ διὰ τῶν ἐν ἡμῖν θυρίδων, ἤτοι τῶν αἰσθήσεων, ἐφ' ἡμᾶς ἀναβαίνων· δι' αὐτῶν γὰρ εἰσῆλθε καὶ τὴν ἀρχὴν, καὶ κατέσπασεν ἄνωθεν τὸ γένος ἡμῶν, τῆς ἀθανασίας ἐκβαλὼν τοὺς προπάτορας· ἤκουσεν Εὔα τῆς κακοβούλου τοῦ πονηροῦ συμβουλῆς· εἶδεν, ἔπαθεν, ἔφαγεν, ἀπέθανεν, ἔθελξε τὸν ἄνδρα, κοινωνὸν ἔλαβε καὶ τοῦ γεύματος καὶ τοῦ πτώματος· ἐκεῖνοι πρὸς μίαν πεῖραν οὐκ ἴσχυσαν ἀντισχεῖν, ἑνὶ λόγῳ σὺν δόλῳ παραυτὰ τὰ ὦτα ὑπέκλιναν, μιᾶς ὡραίας θέας ἡττήθησαν, καίτοι μήπω ἐμπαθεῖς ὄντες, ἀλλ' ἀπαθεῖς, ἐν καθαρῷ παθῶν χωρίῳ περιπολοῦντες· ἡμεῖς ἄρα δυνηθῶμεν ἐν

A firma et ineffabilia et æterna, cum terrena rapiantur et corrumpantur; merito transeamus transeuntia, etsi paulisper mulcentia mentem fallant; proponamus æterna, utpote manentia, nec unquam peritura; fugiamus Herodis exemplum; pro viribus studeamus imitari Præcursoris gratiam, nos præsertim ex omnibus, quibus vita solitaria, quorum conversatio a mundanis moribus et negotiis discrepat, et aliquo modo ad vitam eremiticam et solitariam accedit prophetæ et Baptistæ, qui, cum præscisceret ut propheta, quoniam solitudo valde erat auxiliatura ad eum saltem moderate imitandum, non pro religione, sed pro virtute luctans, capite truncatus est, ut nos quoque parati simus usque ad B mortem adversus peccatum concertare, scientes quoniam martyrii coronam accipiet qui passiones virtute fugaverit; nam quominus malum est peccatum si cum pietate comparetur, eo ex consequentia majus est bonum pro virtute pericula subire; quomodo enim illo majore bono, scilicet religione, si oporteret, non poneret animam qui eam pro minore dederit? Ideo qui major est inter natos mulierum, præco pœnitentiæ, Præcursor et baptizator Salvatoris, pro virtute dimicans capite plexus est; qui non Christi solius præcursor fuit, sed et Ecclesiæ ipsius, et præsertim, fratres, conversationis nostræ : ille a sterili Elisabeth prognatus est, nos vero ab Ecclesia gentium de qua scriptum est : « Lætare, sterilis, quæ non paris; erumpe et clama C quæ non parturis; quia multi filii desertæ, magis quam ejus quæ habet virum [20]. » Illum post nativitatem infanticida Herodes necaturus persecutus est propter odium in Christum insectans, sed refugium invenit desertum, quod suavius mundo judicavit, et ibi habitavit. Nobis etiam instat spiritaliter natis spiritalis Herodes, ipse quoque Christum in nobis insectans. Ideo nos quoque mundum fugimus, et refugium invenimus sacrata Deo hæc monasteria, et ita evadimus e crudelibus ejus spiculatoribus et gladiatoribus, passionum alimentis, quibus spiritalem infert mortem, hominem a Deo alienatum faciens. Hæc est mors quæ ad nos per fores nostras, id est, sensus ascendit; nam per eos D ab initio intravit, et genus nostrum deorsum detraxit, ab immortalitate protoparentes nostros ejiciens. Audivit Eva perversa maligni consilia; vidit, gustavit, manducavit, disperiit, virum pellexit, participem fecit voluptatis et lapsus. Illi uni tentationi resistere non potuerunt, uni verbo doloso statim aures præbuerunt, uno aspectu jucundo superati sunt, etsi nondum passionibus essent præoccupati, sed istis immunes et in loco eis libero habitantes; nos vero poterimus in mundo per vitam enutriti, nihil damni a verbosis nec minus turpibus colloquiis et congressionibus, accipiemus? Quomodo istis non vulnerabitur nec male afficietur homo interior? Non erit, certo non erit. Itaque Patres Præ-

[20] Isa. LIV, 1; Galat. IV, 27.

Digitized by Google

cursorem gratiæ imitantes, mundo abrenuntiantes, et fugientes congressum amatorum mundi, alii quidem in deserto habitaverunt, et multos ex posteris ad illud attraxerunt; alii vero in sacris ædibus habitantes, spiritales congressus in iis fecerunt, quibus nos alii aliter studium illorum imitantes in sacris his claustris vitam peragimus.

A κόσμῳ τρεφόμενοι διὰ βίου, πρὸς τὰς πολυμόρφους τῶν παθῶν θέας, πρὸς τὰς πολυῤῥήμονας καὶ οὐχ ἧττον ἀσχήμονας ἀκοάς τε καὶ ὁμιλίας μὴ παθεῖν κακῶς, μηδὲ τρωθῆναι καὶ πονήρως διατεθῆναι τὸν ἔσω ἄνθρωπον; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστι. Διὰ ταῦτα τὸν τῆς χάριτος Πρόδρομον οἱ Πατέρες μιμούμενοι, τῷ κόσμῳ ἀποταξάμενοι, καὶ τὴν συναυλίαν φυγόντες τῶν αὐτῷ προσκειμένων, οἱ μὲν τὴν ἔρημον ᾤκησαν, καὶ πολλοὺς τῶν ἔπειτα γεγονότων πρὸς ταύτην εἵλκυσαν· οἱ δὲ περιτειχίσμασιν ἱεροῖς ἐνασκήσαντες, καὶ συνοδίας πνευματικὰς ἐν αὐτοῖς συνεστήσαντο, αἷς ἡμεῖς ἄλλοτε ἄλλος κατὰ ζῆλον ἐκείνων ἐναρμοζόμενοι τοῖς ἱεροῖς τούτοις ἐμβιοῦμεν σηκοῖς.

Verum in istis habitare non sufficit, sed oportet etiam more illorum Patrum vivere; neque enim ab aliis terrestribus istis Dei paradisis abest lignum scientiæ boni et mali, nec dux nequam; nos autem antiquis edocti exemplis soli bono et sapienti consiliario debemus attendere, et vestigia sequi eorum qui prius et nunc ei paruerunt, imitando, ut secundum Apostolum loquar, conversationem eorum quorum consideramus exitum. Sunt etiam bestiæ et feræ in eremo et in sacris istis monasteriis; et valde timemus ne comparemur jumentis insipientibus, et similes illis fiamus, nisi pro viribus singuli vitam Joannis imitemur. Quid ergo? Hic semper apertum caput habebat, in signum illius orationis continuæ, ejusque erga Deum libertatis; vir enim nudato capite debet orare, secundum vocem apostolicam, ut nudo capite gloriam Domini intueatur. Igitur velentur qui mundo alligantur negotiis quibus circumdantur vel potius implicantur et impedimentis quibus pedes continuo irretiuntur, qui nequeunt ut nos, perpetuo Dominum intueri. Nos autem qui bene e mundo recessimus, ab eo etiam mente arceamur, psalmis et canticis et orationibus spiritualibus Christo animam nostram alligantes, et nosmetipsos faciamus salutaris ejus nominis tabernaculum, ipso adjuvante propter quem e mundo exivimus; nam qui propter eum a mundo et vitæ commodis secessit, unionem cum eo omnino desiderat, quæ datur per continuam ejus memoriam, cujus ope mens emundatur. Igitur emundemus mentis oculum, operibus, verbis et cogitationibus ad Deum intendentes. Nihil enim habemus quo deprimamur, si totis viribus voluerimus tantum Joannis vitam contemplari. Hic sine tecto vivebat, nobis angusta sufficiat ædicula, contenti simus cella a præfecto cuique distributa, eum cogitantes qui per vitam focum non habuit; hic contentus erat pomis agrestibus et melle sylvestri; est planta quæ sponte in deserto nascitur, cujus radicibus qui post eum desertum coluerunt Patres in cibum utebantur, poma autem agrestia dixit fructus; fructibus ergo et radicibus plantarum vel melle sylvestri vescebatur; una induebatur tunica, et zona pellicea circa lumbos cingebatur, simul per ænigmata ostendens se in corpore mortificationem corporum circumferre, simulque habens ipse paupertatis bonum, et nos operibus edocens. Nos autem quantis abundamus ad cibum et vestitum commodis, receptacula

Οὐ κατοικεῖν δὲ μόνον ἐν αὐτοῖς δεῖ, ἀλλὰ καὶ κατὰ τοὺς Πατέρας ἐκείνους ζῆν· οὐδὲ γὰρ τῶν ἐπὶ γῆς ἄλλων τούτων τοῦ Θεοῦ παραδείσων τὸ γνωστὸν καλοῦ καὶ πονηροῦ ξύλον ἄπεστιν, οὐδ' ὁ πονηρὸς ὑφηγητής· ἔστι δὲ ἡμᾶς παιδευθέντας τοῖς ἐκ παλαιοῦ
B παραδείγμασι, τῷ μόνῳ σοφῷ τε καὶ ἀγαθῷ συμβούλῳ προσέχειν, καὶ τοῖς αὐτῷ πρότερον καὶ νῦν πειθαρχοῦσι κατ' ἴχνος ἕπεσθαι, τὴν ἀναστροφὴν ἀποστολικῶς εἰπεῖν μιμουμένους τούτων ὧν τὴν ἔκβασιν εἴδομεν. Εἰσὶ δὲ καὶ θηρία καὶ κτήνη κατά τε τὴν ἔρημον καὶ τὰ ἱερὰ ταῦτα σεμνεῖα· καὶ πολὺ τὸ δέος, μὴ παρασυμβληθῶμεν τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὁμοιωθῶμεν αὐτοῖς ἂν μὴ πρὸς δύναμιν ἕκαστος τὸν Ἰωάννου βίον μιμώμεθα. Τί οὖν; Ἐκεῖνος τὴν κεφαλὴν ἀεὶ ἀπερικάλυπτον εἶχεν, ἀδιαλείπτου προσευχῆς τοῦτο δεῖγμα, καὶ τῆς πρὸς Θεὸν παῤῥησίας· ἀκατακάλυπτον γὰρ δεῖ τὸν ἄνδρα προσεύχεσθαι κατὰ τὴν τοῦ Ἀποστόλου φωνήν, ὡς ἂν ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου
C κατοπτριζώμεθα. Ἐγκαλυπτέσθωσαν οὖν οἱ τῷ κόσμῳ συνδεδεμένοι, διὰ τὰς περιστοιχιζούσας, μᾶλλον δὲ συμπεφυκυίας βλάβας, καὶ τὰ παρὰ πόδας συνεχῆ σκῶλα, μὴ τοῦτο δυνάμενοι διηνεκῶς καθ' ἡμᾶς. Ἡμεῖς δὲ οἱ καλῶς τοῦ κόσμου ἀναχωρήσαντες, ἀναχωρῶμεν αὐτοῦ καὶ τῇ διανοίᾳ, ψαλμοῖς καὶ ᾠδαῖς καὶ προσευχαῖς πνευματικαῖς τῷ Χριστῷ συνδήσαντες τὸν νοῦν τὸν ἡμέτερον, καὶ σκήνωμα ποιήσωμεν ἑαυτοὺς τοῦ σωτηρίου ὀνόματος· αὐτοῦ μνημονεύοντες, δι' ὃν τοῦ κόσμου ἐξήλθομεν· ὁ γὰρ δι' αὐτὸν τοῦ κόσμου ἀναχωρήσας καὶ τῶν ἐν βίῳ τὴν πρὸς αὐτὸν ἕνωσιν ποθεῖ πάντως· ἡ δὲ διὰ τῆς αὐτοῦ διηνεκοῦς προσγίνεται μνήμης καθαιρούσης τὸν νοῦν. Καθάρωμεν οὖν τὸ τῆς διανοίας ὄμμα, ἔργοις καὶ λόγοις καὶ λογισμοῖς πρὸς τὸν Θεὸν ἀνατείνοντες·
D οὐ γὰρ ἔχομέν τι τῶν κατασπώντων, ἂν μόνον ἐθέλωμεν κατὰ τὸ ἐφικτὸν πρὸς τὸν Ἰωάννου βίον ὁρᾷν. Ἐκεῖνος ἄστεγος περιῆγεν, ἡμεῖς ἀρκεσθῶμεν τῇ μικρᾷ στέγῃ· στέρξωμεν τῷ παρὰ τοῦ προεστῶτος ἕκαστος δεδομένῳ οἰκίσκῳ, τὸν διὰ βίου ἀνέστιον ἐνθυμούμενοι· ἐκεῖνος ἤρκεῖτο τοῖς ἀκροδρύοις καὶ τῷ μελεάγρῳ, βοτάνη δέ ἐστιν αὕτη αὐτομάτως ἐν ἐρήμῳ φυομένη, ἧς ταῖς ῥίζαις καὶ οἱ μετὰ τοῦτον ἐρημοπολῖται Πατέρες πρὸς τροφὴν ἐχρήσαντο· ἀκρόδρυα δέ φασι τὰς ὀπώρας· ὀπώραις **229** οὖν ἐκεῖνος καὶ ῥίζαις βοτανῶν διέζη, ἢ μέλιτι ὀρείῳ, μονοχίτων τε ἦν, καὶ ζώνην δερματίνην εἶχε περὶ τὴν ὀσφύν, ὁμοῦ μὲν δι' αἰνιγμάτων δεικνὺς τὴν νέκρωσιν τῶν παθῶν ἐν τῷ σώματι περιφέρων, ὁμοῦ δὲ καὶ τὸ τῆς

Digitized by Google

ἀκτημοσύνης ἀγαθὸν αὐτός τε ἔχων, καὶ ἡμᾶς δι' ἔργων διδάσκων· πόσων ἡμεῖς εὐποροῦμεν τῶν πρὸς τροφὴν καὶ ἀμφίασιν ἐπιτηδείων, δοχεῖά τε ἔχοντες, καὶ ἀποθήκας σίτου τε καὶ οἴνου πλήρεις, ἀρτοποιεῖά τε καὶ ἀρτοκοπεῖα καὶ ἁπλῶς πάντα τὰ ἐπιτήδεια!

A possidentes atque horrea pane et vino referta, necnon magides et pistrina, et uno verbo, omnia opportuna.

Εὐχαριστῶμεν οὖν τῷ τούτων χορηγῷ Θεῷ καὶ τῷ αὐτοῦ Προδρόμῳ, δι' ὃν ἀπόνως ταῦτα συγκομίζεται, καθάπερ ἀπὸ πηγῆς ἡμῖν ἐπιῤῥέοντα· καὶ εἰς δόξαν αὐτοῦ ταῦτα προσφερώμεθα, δι' ἔργων τὴν εὐχαριστίαν ἀποδιδόντες αὐτῷ· ἂν γὰρ τοῖς κοινοῖς τούτοις τοῖς κατὰ τὴν μονὴν ἀρκώμεθα, οὐ πάνυ μακρὰν ἐσμὲν τῆς Ἰωάννου ἀκτημοσύνης τε καὶ ἐγκρατείας. Εἰ γὰρ κατὰ πάντα ἀπαράμιλλος ἐκεῖνος, ἀλλ' ὡς ἐκεῖνος ἐτρέφετο ὑπὸ Θεοῦ, οὕτω καὶ ἡμεῖς ἀπὸ τῶν τοῦ Θεοῦ ταμείων· ἂν δὲ κτήματα καὶ ταμεῖα ἔχωμεν οἰκεῖα, τοῦτό ἐστι τὸ δεινὸν τὸ καὶ μακρὰν ἡμᾶς ποιοῦν τῆς τῶν ἁγίων κοινωνίας· ὁ γὰρ ἀναχωρήσας τοῦ κόσμου καὶ ἰδιόκτητα ἔχων, ἢ ἐκεῖθεν ἐνεγκὼν, ἢ κτησάμενος ἐνταῦθα, τὸν κόσμον συμπεριφέρει μεθ' ἑαυτοῦ, καὶ οὐδέποτε ἀναχωρεῖ τοῦ κόσμου, κἂν ἐν αὐτῷ τῷ ἁγίῳ ὄρει ᾖ, κἂν ταῖς εἰκονιζούσαις τὸν οὐράνιον χῶρον ταύταις ἐνοικῇ μοναῖς, τὸ καθ' ἑαυτὸν κοινοῖ τὸν τόπον, καὶ οὐκ ἀφίησιν εἶναι τοῦτον τοῦ κόσμου κρείττω. Ὁ δὴ τοιοῦτος κατακριθήσεται πάντως, ὡς τὸ ἱερὸν τοῦ Θεοῦ κοινὸν ἡγησάμενος. Ἀλλὰ καὶ ὁ τοῦ Κυρίου Βαπτιστὴς καὶ πρόδρομος Ἰωάννης ἐξῆλθε τῆς ἠρεμίας καὶ ἐρημίας ἐκείνης; Ἀλλ' ὑπ' αὐτοῦ πεμφθεὶς, τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ καὶ εἰς ἔλεγχον τῶν ἀπειθούντων, δι' ὃν ὑπ' αὐτῶν καὶ τὴν κεφαλὴν ἀφῄρηται σήμερον· οὐ γὰρ ἐχρῆν ὑποστῆναι τοῦτον φυσικὸν θάνατον· καταδίκη γάρ ἐστιν οὗτος τῆς τοῦ Ἀδὰμ παραβάσεως, ἧς οὐκ ὀφειλέτης ὁ τῆς ἐντολῆς ὑπηρέτης, ὁ ἐξ αὐτῆς τῆς μητρικῆς νηδύος τῷ Θεῷ ὑπήκοος· ὑπὲρ ἀρετῆς δὲ καὶ εὐσεβείας τοῖς ἁγίοις τιθέναι τὴν ψυχὴν ὀφείλεται, κατὰ τὴν τοῦ Κυρίου ἐντολήν· καὶ διὰ τοῦτο τούτοις κατάλληλος μᾶλλον ὁ βίαιος ὑπὲρ τοῦ καλοῦ θάνατος· διὸ καὶ ὁ Κύριος οὕτω τοῦ θανάτου ἐγεύσατο. Ἔδει δὲ καὶ τὸν θάνατον Ἰωάννου πρόδρομον εἶναι τοῦ θανάτου Χριστοῦ, ὡς ἂν κατὰ τὴν πατρικὴν αὐτῷ προφητείαν προπορευθῇ τοῦ προσώπου Κυρίου τοῦ δοῦναι γνῶσιν σωτηρίας καὶ τοῖς ἐν σκότει τοῦ ᾅδου καθημένοις, ἵνα προσδράμωσι κἀκεῖνοι, καὶ τῆς ἐν Χριστῷ μακαρίας καὶ ἀθανάτου ζωῆς ἐπιτύχωσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν πρεσβείαις τοῦ ἐκ μητρικῆς νηδύος ἐπιτυχόντος αὐτῆς, καὶ τοῖς ἐν γῇ καὶ τοῖς ὑπὸ γῆν ταύτην ἀνακηρύξαντος, καὶ ποδηγήσαντος καὶ ποδηγοῦντος ἔργῳ καὶ λόγῳ καὶ ταῖς πρὸς Θεὸν ἱκεσίαις πρὸς αὐτὴν ἅπαντας, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν· ᾧ μόνῳ πρέπει δόξα αἰώνιος. Ἀμήν.

Itaque gratias agamus ei qui ista largitus est Deo et ejus Præcursori, per quem sine labore nobis conferuntur, veluti ex fonte ad nos usque effluentia, et in gloriam ejus ea proferamus, per opera gratias illi agentes. Nam si contenti simus iis quæ monasterio sunt communia, non procul distabimus a temperantia et paupertate Joannis. Equidem in omnibus nemini potest conferri, sed quemadmodum a Deo nutritus est, ita et nos Dei muneribus; sed si B opes et bona habeamus propria, hoc est periculum et longinqui facti sumus a societate sanctorum. Etenim qui a mundo recessit propria possidens, sive inde inferat, sive hic acquirat, secum mundum circumfert, et nullomodo a mundo recedit, etsi in ipso monte sancto steterit, licet in istis habitaverit monasteriis quibus depingitur cœlestis regio; hunc locum ut semetipsum communem facit, et impedit ne sit mundo melior. Iste prorsus condemnabitur, quoniam sanctum Dei commune fecerit. Sed nonne Baptista et Præcursor Domini Joannes exivit ex eremo illaque quiete? Equidem, sed ab eo missus, ad dandam scientiam salutis plebi ejus, ad arguendos incredulos, quapropter ab eis hodie capite truncatus est; non enim debebat hanc corporalem C mortem subire, quæ est pœna Adami transgressionis, cujus debitor non erat qui mandata impleverat, qui ex ipso matris utero Deo paruerat. Sed oportet sanctos pro virtute et religione animam ponere, secundum mandatum Domini; ideo istis consentaneam necem subiit; ideo etiam Dominus ita mortem gustavit. At oportebat mortem Joannis morti Christi præcurrere, ut secundum prophetiam patris præiret ante faciem Domini, ad dandam scientiam salutis omnibus qui in umbra mortis sedent, ut et ipsi accurrant, necnon beatitudinem vitamque immortalem obtineant; quam nos omnes obtinere donetur orationibus ejus qui eam a ventre matris consecutus est, eamque omnibus tam in terris quam sub terra prædicavit, et omnes ad eam D opere, verbo atque precibus Deo nuncupatis conduxit et conducit, in ipso Christo Domino nostro, quem solum decet gloria æterna. Amen.

## 230 ΟΜΙΛΙΑ ΜΑ'.

*Εἰς τὸ τῆς δεκάτης τετάρτης Κυριακῆς Εὐαγγέλιον τοῦ Ματθαίου· εἰς τὴν παραβολὴν τὴν καλοῦσαν εἰς τοὺς γάμους τοῦ υἱοῦ· ἐν ᾗ καὶ πρὸς τοὺς λέγοντας, Διὰ τί ἐκάλεσεν ὁ Θεὸς τοὺς μηδαμῶς, ἢ μὴ δι' ἔργων ὑπακούσοντας· καὶ διὰ τί ἐποίησε τοὺς κολασθησομένους;*

Τῆς σήμερον ἀναγινωσκομένης ἐν τῷ Εὐαγγελίῳ τοῦ Κυρίου παραβολῆς τὸ τελευταῖον πρῶτον ἐρῶ

## HOMILIA XLI.

*In Evangelium secundum Matthæum quartæ decimæ Dominicæ; in parabolam invitantem ad nuptias filii [30]; in qua etiam arguuntur qui dicunt: Quare vocavit Deus eos qui nullo modo, vel saltem non operibus sunt obedituri? et quare fecit eos qui suppliciis sunt tradendi?*

Memoratæ hodie in Evangelio Domini parabolæ finem primum dicam charitati vestræ: « Quoniam

[30] Matth. xxii, 1-14.

Digitized by Google

multi sunt vocati, pauci vere electi; » istud enim per totam parabolam ostendit Dominus, ut nos studeamus ut non tantum inter vocatos, sed etiam inter electos censeamur. Nam qui non de numero electorum, sed solummodo vocatorum fuerit, non tantum excidet a die illa quæ nescit occasum, sed etiam immittetur in tenebras exteriores, et ligatis pedibus et manibus, illis quidem, quoniam ad Deum non cucurrerunt, his autem, quoniam opera Dei non sunt operata, fletibus et stridoribus dentium tradentur. Primo forsitan nonnulli quærunt anxii quomodo Dominus multos dixit vocatos, et non omnes homines; nam si non omnes vocati sunt, neque juste non vocati excident a promissis bonis, et supplicia quæ minatus est Dominus experientur; nam fortasse paruissent, si vocati fuissent. Hoc autem veritate nititur in eo quod non merito reprobarentur nisi vocati fuissent, non vero in eo quod non omnes sunt vocati; Dominus enim in cælum, postquam resurrexisset a mortuis, ascendens, dixit discipulis suis: « Euntes in omnem mundum, prædicate Evangelium omni creaturæ [31]; » et: « Docete omnes gentes, baptizantes eos in nomine Patris et Filii et Spiritus sancti; docentes eos servare omnia quæcunque mandavi vobis [32]. » Verum discipulos mandatum ad opus deduxisse Paulus magnus jure ac merito ostendens: « Nonne audierunt? inquit; nonne in omnem terram exivit sonus eorum, et in fines terræ verba eorum? » Id est, apostolorum, adeo ut omnes vocati fuerint, et juste puniendi sint qui ad finem non accedunt. Quare igitur Dominus non omnes dixit, sed multi sunt vocati? quoniam de accedentibus nunc sermonem habet; ideo ad extremum post parabolam istud adjecit. Quippe si vocatus vocationi obedíverit, et baptizatus a Christo vocetur, sed non digne ambulaverit sua vocatione, neque secundum Christum vivens perfecerit quæ in baptismo fecit promissa, est equidem vocatus, non autem electus.

Insuper istud incerti investigant, vel potius exprobrant qui terra et lutum sunt, regi cœlesti, hesterni æterno. Quare, aiunt, vocavit Deus quos scivit nullomodo, at certe non operibus obedituros? quare puniendos fecit, illud prævidens? Nec illum audiunt dicentem: « Sicut exaltantur cœli a terra, sic exaltantur cogitationes meæ a cogitationibus vestris, dicit Dominus [33]; » sed rationem petunt et exigunt ab eo quem nequeunt comprehendere. Quantum a formicis discrepamus! Nonne ab eisdem figmentum nostrum, corpus dico, habemus? Nonne eisdem vescimur? Nonne in eodem loco habitamus? nonne fere eisdem facultatibus utimur? Sunt autem ex istis quibus nobis præstant formicæ? magis suis commodis consulunt; melius procul sua prævident emolumenta, frugibus annuis ardentius student; sed nos illis præstamus lumine

πρὸς τὴν ὑμετέραν ἀγάπην· « Ὅτι πολλοί εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί· » τοῦτο γὰρ καὶ διὰ πάσης τῆς παραβολῆς ὁ Κύριος δείκνυσιν· ὡς ἂν ἡμεῖς σπουδάσωμεν μὴ τῶν κλητῶν ἁπλῶς, ἀλλὰ τῶν ἐκλεκτῶν εἶναι· ὁ γὰρ μὴ τῶν ἐκλεκτῶν ὢν, ἀλλὰ τῶν κλητῶν μόνον, οὐ μόνον ἐκπίπτει τοῦ ἀνεσπέρου φωτὸς, ἀλλὰ καὶ πρὸς τὸ σκότος ἐξάγεται τὸ ἐξώτερον, καὶ χεῖρας ὁμοῦ καὶ πόδας πεδηθεὶς, τοὺς μὲν ὡς μὴ πρὸς τὸν Θεὸν δραμόντας, τὰς δὲ ὡς μὴ τὰ τοῦ Θεοῦ εἰργασμένας, τῷ κλαυθμῷ καὶ τῷ βρυγμῷ παραδίδοται τῶν ὀδόντων. Ἀπορήσει δ' ἄν τις πρῶτον, πῶς ὁ Κύριος πολλοὺς εἴρηκε τοὺς κλητοὺς, ἀλλ' οὐχὶ πάντας ἀνθρώπους· εἰ γὰρ μὴ πάντες ἐκλήθησαν, οὐχὶ δικαίως οἱ μὴ κληθέντες ἐκπεσοῦνται τῶν ἐπηγγελμένων ἀγαθῶν, καὶ πειραθήσονται τῶν ἠπειλημένων βασάνων· ἴσως γὰρ ἂν ὑπήκουσαν, εἴπερ ἐκλήθησαν. Ἀλλὰ τοῦτο μὲν ἔχει λόγον, ὡς οὐκ ἂν δικαίως ἀπεδοκιμάσθησαν, εἴπερ μὴ ἐκλήθησαν· οὐκ ἐκεῖνο δὲ ἀληθὲς, ὅτι μὴ πάντες ἐκλήθησαν. Ὁ μὲν γὰρ Κύριος εἰς οὐρανὸν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀναφερόμενος, πρὸς τοὺς οἰκείους εἶπε μαθητάς· « Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει· » καὶ, « Μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν. » Ὅτι δὲ τοῦτο κελευσθὲν εἰς ἔργον ἤγαγον οἱ μαθηταὶ, Παῦλος ὁ μέγας ἱκανὸς παραστῆσαι· « Μὴ γὰρ οὐκ ἤκουσαν; φησί· Μενοῦνγε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν, » δηλονότι τῶν ἀποστόλων, ὥστε πάντες ἐκλήθησαν, καὶ δικαίως οἱ μὴ προσελθόντες τῇ πίστει κολασθήσονται. Πῶς οὖν ὁ Κύριος οὐ πάντες εἶπεν, ἀλλὰ « Πολλοί εἰσι κλητοί; » Ὅτι περὶ τῶν προσελθόντων νῦν ὁ λόγος αὐτῷ· διὸ καὶ ὕστερον μετὰ τὴν παραβολὴν τοῦτο τέθεικεν· ἂν γὰρ κληθεὶς ὑπακούσῃ τις τῇ κλήσει, καὶ βαπτισθεὶς ἀπὸ Χριστοῦ κληθῇ, μὴ ἀξίως δὲ τῆς κλήσεως περιπατήσῃ, μηδὲ κατὰ Χριστὸν βιοὺς τελέσῃ τὰς ὑποσχέσεις ἃς ἔδωκε βαπτιζόμενος, κλητὸς μὲν ἔστιν, ἐκλεκτὸς δ' οὔ.

Ἀλλὰ καὶ τοῦτο ἀποροῦσί τινες, μᾶλλον δὲ καὶ ἐγκαλοῦσιν οἱ γῆ καὶ πηλὸς ὄντες τῷ ὑπερουρανίῳ, οἱ χθιζοὶ τῷ προαιωνίῳ. Τί γὰρ ἐκάλεσε, φασὶν, ὁ Θεὸς εἰδὼς τοὺς μηδαμῶς, ἢ μὴ δι' ἔργων ὑπακούσοντας; Τί δὲ καὶ ὅλως ἐποίησε τοὺς κολασθησομένους καὶ ταῦτα προειδώς; οὐδ' ἐκεῖνο ἀκούοντες, 231
« Ὅτι καθόσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, κατὰ τοσοῦτον ἀπέχουσιν αἱ διάνοιαί μου ἀπὸ τῶν διανοιῶν ὑμῶν, λέγει Κύριος· » ἀλλὰ λογοθετοῦσι καὶ λογοπραγοῦσι τὸν ἀπερινόητον. Πόσον ἡμεῖς διαφέρομεν μυρμήκων; Οὐκ ἀπὸ τῶν αὐτῶν ἔχομεν τὸ καθ' ἡμᾶς φύραμα τοῦτο, τὸ σῶμα λέγω; Οὐκ ἀπὸ τῶν αὐτῶν τρεφόμεθα; Οὐκ ἐν τοῖς αὐτοῖς διαζῶμεν; Οὐ ταῖς αὐταῖς σχεδὸν χρώμεθα δυνάμεσιν; Ἔστι δὲ καθ' ἃς αὐτῶν καὶ ὑπερέχουσιν ἡμῶν οἱ μύρμηκες; Προμηθέστεροι γάρ εἰσι τῶν συμφερόντων, καὶ γνωστικώτεροι πόῤῥωθεν τῶν αὐτοῖς ἐπιτηδείων, καὶ

[31] Marc. xvi, 15. [32] Matth. xxviii, 19. [33] Isa. v, 5, 9.

Digitized by Google

σπουδαιότεροι πρὸς τὴν ἐπέτειον συγκομιδήν· ἀλλ' A ὑπερέχομεν καὶ ἡμεῖς αὐτῶν τῷ λογικῷ τῆς καθ' ἡμᾶς ψυχῆς· ἀλλὰ τίς αὕτη ἡ ὑπεροχὴ πρὸς τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ ὑπεροχήν; Εἰ γοῦν καὶ πάντες οἱ κατὰ τὴν οἰκουμένην συναχθέντες μύρμηκες, ἡμῶν τῶν κατὰ πάντα τούτων ὑπερεχόντων, οὐκ ἂν ἕν τι καὶ τὸ σμικρότατον ἔργον ἢ νόημα γνῶναί ποτε δύναιντο, πῶς ἡμεῖς τοῦ ἀπειράκις ἀπείρως ὑπερέχοντος ἡμῶν Θεοῦ κατανοῆσαι δυνηθῶμεν τὰ ἔργα καὶ τὸν νοῦν, καὶ τῆς ἀκολουθίας ἀκριβῶς καταστοχάσασθαι τῶν γεγονότων ἄνευ πίστεως; Ὥσπερ γὰρ ὁ μέγας ἐν οὐρανῷ φωστὴρ οὐκ ἂν ἐδύνατο ποιεῖν ἡμέραν, εἰ μὴ τὴν ἡμετέραν ὄψιν ὑπερέβαινεν ἡ κατ' αὐτὸν λαμπρότης, οὕτως οὐδ' ἂν ὁ τῆς ἡμῶν φύσεως δημιουργὸς Θεὸς σωτηρίας ἦν ἡμῖν ποιητικός, εἰ καταληπτὸς ἡμῖν ὑπῆρχε, καὶ μὴ σοφίαν εἶχε καὶ ἀγαθότητα τὴν ἡμῶν διάνοιαν ὑπερβαίνουσαν. Ὅμως οἱ B ἐγκαλοῦντες τῷ Θεῷ πῶς ἐκάλεσε τοὺς μὴ δι' ἔργων ὑπακούειν μέλλοντας, πῶς οὐκ αὐτὸν αἴτιον ἐνόμισαν τῆς ἀπωλείας τούτων, εἴπερ μὴ αὐτοὺς ἐκάλεσε; διὰ τοῦτο οὖν ἐκάλεσεν, ἵνα μηδεὶς ἔχῃ λέγειν, αἴτιον αὐτὸν εἶναι τῆς αὐτῶν κολάσεως. Διὰ τί δὲ ὅλως ἐποίησε τοὺς κολασθησομένους; Οὐχ ἵνα κολάσῃ, ἀλλ' ἵνα σώσῃ, καὶ δῆλον ἐκ τῆς κλήσεως· εἰ γὰρ ἤθελε κολάσαι τινά, οὐκ ἂν ἐκάλει πάντας πρὸς σωτηρίαν. Εἰ δ' ἐκεῖνος δι' οἰκείαν ἀγαθότητα καὶ προήγαγε καὶ ἐκάλεσεν εἰς σωτηρίαν, ἐγὼ δὲ κακῶς ἐφάνην, ἔδει τὴν ἐμὴν κακίαν, καὶ ταῦτα μήπω παροῦσαν, νικῆσαί τε καὶ ἐμποδίσαι τὴν ἀεὶ οὖσαν ἀγαθότητα; Καὶ πῶς ἂν ἔχοι λόγον; Ὁ δὲ μὴ τοῦτο C λέγων, ἀλλὰ τὸν δημιουργὸν καταιτιώμενος, τοῦτό φησιν ἄντικρυς, ὅτι οὐκ ἔδει γενέσθαι φύσιν λογικήν· τίς γὰρ χρεία τοῦ λογικοῦ, εἰ μὴ προαιρετικὸν καὶ αὐτεξούσιον εἴη; Αὐτεξούσιος δὲ πῶς ἄν τις εἴη, καὶ προαίρεσιν ἔχοι, μὴ δυνάμενος, εἰ βούλεται, καὶ κακὸς εἶναι; Εἰ δὲ μὴ κακός, οὐδὲ ἀγαθὸς δύναται γενέσθαι δήπου.

mentis nostræ; at quæ est ista præstantia, si conferatur cum illa Dei ad nos excellentia? Si omnes universæ terræ formicæ simul congregatæ, nobis omnibus illis præstantibus, nec vel minimum opus aut cogitationem noscere nequeant, quomodo nos, Deo nobis in infinitum excellente concipere poterimus ejus opera atque scientiam, et penitus prævidere factorum consequentias, nisi fidem habeamus? Quemadmodum magnum in cœlo sidus diem facere non posset, nisi visum nostrum jubar illius transcenderet, ita Deus neque creator esset nostræ naturæ, neque salutis auctor, si a nobis posset comprehendi, nec sapientiam atque bonitatem haberet cogitationem nostram transcendentem. Rursum qui Deo objiciunt quare fecit operibus non obedituros, quomodo non cogitant illum causam fore eorum damni, nisi eos vocaverit? Ideo igitur eos vocavit, ne ullus dicere possit Deum causam esse suæ perniciei. Sed quare fecit puniendos? nequaquam ut puniat, sed ut salvet, quod patet ex vocatione. Nam si voluisset quempiam suppliciis afficere, non omnes ad salutem vocasset; sed si ille me ad salutem benigne eduxit et vocavit, ego autem male ambulavi, nunquid oportebat meam malitiam, etsi nondum præsentem, vincere et impedire æternam ejus benignitatem? Quomodo istud rationem habet? Ille autem qui ista non loquitur, sed creatorem objurgat, prorsus asserit non oportere fieri naturam ratione præditam. Nam quid prodest ratio, si libertas atque facultas non comitentur? Sed quomodo quis erit liber, nisi optionem habeat, et possit, si voluerit, etiam malus esse? Si vero malus esse nequeat, neque bonus esse poterit.

Ὁ λέγων τοίνυν μὴ δεῖν γενέσθαι παρὰ Θεοῦ τοὺς κολασθησομένους οὐδὲ τοὺς σωζομένους δεῖν φησι γενέσθαι, οὔτε τινὰ ὅλως λογικὴν καὶ αὐτεξούσιον φύσιν· εἰ δὲ καὶ διὰ τὴν λογικὴν φύσιν τἄλλα γέγονε πάντα, τοῦτό φησιν ὡς οὐκ ἔδει δημιουργὸν εἶναι τὸν Θεόν, ὁρᾶτε τὴν ἀτοπίαν ὅση; Ἀλλ' ἐπειδὴ λογικοῦ καὶ αὐτεξουσίου γένους δημιουργηθέντος ὑπὸ τοῦ Θεοῦ, τῇ τοῦ αὐτεξουσίου ῥοπῇ καὶ διαφόρῳ χρήσει οἱ μὲν ἔμελλον ἔσεσθαι κακοί, οἱ δὲ ἀγαθοί, D τί τῷ ὄντως ἀγαθῷ Θεῷ προσῆκον, διὰ τοὺς ἐσομένους κακούς, μὴ προαγαγεῖν εἰς γένεσιν τοὺς ἀγαθούς; Καὶ τί ἄν τις ἐννοήσειεν ἀδικώτερον; Εἰ γὰρ καὶ μόνος εἷς ἔμελλεν ἔσεσθαι ὁ ἀγαθός, οὐδ' οὕτω τῆς δημιουργίας ἀφεῖσθαι δίκαιον· κρεῖσσον γὰρ εἷς ποιῶν τὸ θέλημα τοῦ Κυρίου ἢ μύριοι παράνομοι. Τί δὲ καὶ τοῖς τὸν χρυσὸν ἐκ τῆς χρυσίτιδος ἐκλεγομένοις ἐροῦμεν, μὴ καὶ τὸν ἄχρηστον χοῦν τὴν ἀρχὴν μετὰ τῶν ψηγμάτων συμφορεῖν; Ἀλλ' ἀκουσόμεθα, ὡς οὐκ ἂν γένοιτο ἡ **232** ἐκλογή· οὐδ' οἱ ἐκλεκτοὶ ἂν ἦσαν, εἰ μὴ καὶ οἱ μὴ οὗτοι ἐκλήθησαν· πῶς δ' ἂν ἐκλήθησαν εἰ μὴ ἐγένοντο; Μᾶλλον δὲ ἐγγυτέρω τὸν λόγον ἀγάγωμεν, καὶ αὐτοὺς ἐρωτήσωμεν, τοὺς ἐγκαλοῦντας τῷ

Igitur qui dicit creandos non fuisse a Deo eos qui erant puniendi, nec condendos fuisse etiam dicit eos qui erant salvandi, nec ullam omnino rationabilem et liberam producendam fuisse naturam. Sed si cætera propter naturam rationabilem facta sunt, dicit non oportuisse Deum esse creatorem: videtisne quanta sit insania? Cum autem, manu Dei condito rationabili et libero genere, ex varia libertatis inclinatione usuque diverso, alii debeant esse mali, alii autem boni, nunquid Deum vere bonum decebat propter malos futuros, non in lucem edere bonos? Quid tali cogitatione indignius? Nam etsi unus tantum deberet esse bonus, non proinde justum esset omitti creationem; melior est enim unus faciens voluntatem Domini quam sexcenti peccatores. Nunquid eis qui aurum ex aurario eligunt dicemus lutum inutile cum bracteolis non asportari? Sed audiremus electionem secus esse impossibilem; nec essent electi, nisi alii vocarentur; sed quomodo vocarentur nisi facti fuerint? Sed propius adhuc sermonem instituamus, et ipsos interrogemus objectantes ei qui vult salvos fieri, de his qui propriam salutem non volunt. Nobis

Digitized by Google

mortalibus cibi necessitas incumbit. Porro cibi partem natura in propriam refectionem eligit, et sibimetipsi assumit, partem vero factam fœtidam, ut inutilem emittit per membra secretioni idonea: numquid proinde, quia debet in stercus mutari, escam omnino propelletis, vel quia debet eligi natura nostra in refectionem, per coctionem assimilari et in ejus substantiam converti, proin omnem escam assumere? Nequaquam opus est ratiocinandi; nam opere respondemus singulis diebus manducantes, et vescentes cibo qui simul naturæ nostræ convenit et ab ea repellitur. Cujus gratia hoc facimus? Propter innatum nobis amorem vitæ. Ita ergo Deus propter innatam benignitatem et clementiam, licet nonnulli sponte mali essent futuri, nihilominus in lucem bonos edidit, sed propter bonos eos etiam qui mali erant futuri, creavit. Nonne videtis quoniam medicorum pueri non sinunt fame torqueri eos qui propter debilitatem stomachi cibum retinere nequeunt, sed illum evomunt? Quare ergo illos nutrire student? quoniam aliquid etsi leve natura a cibo accipit, etsi major pars escarum vomitibus reddatur inutilis; quapropter humana merito dicitur medicina.

A πάντας θέλοντι σωθῆναι ὑπὲρ τῶν μὴ θελόντων τὴν οἰκείαν σωτηρίαν. Βροτοῖς ἡμῖν οὖσι τρέφεσθαι ἀνάγκη· ἐπεὶ οὖν τῆς τροφῆς τὸ μὲν ἡ καθ' ἡμᾶς φύσις εἰς οἰκείαν σύστασιν ἐκλέγεται, καὶ πρὸς ἑαυτὴν ἀναλαμβάνει, τὸ δὲ δυσῶδες ἀπεργαζομένη, ὡς ἀχρεῖον ἔξω βάλλει διὰ τῶν ἀποκριτικῶν μορίων, ὑμεῖς, διὰ τὸ μέλλον εἰς κόπρον ἀποτελευτήσειν, τὴν τροφὴν ἀπώσεσθε παντάπασιν, ἢ διὰ τὸ ἐκλεγόμενον, καὶ πρὸς σύστασιν τῆς καθ' ἡμᾶς φύσεως διὰ πέψεως ἐξομοιούμενόν τε καὶ προσοικειούμενον, τὸ πᾶν τῆς τροφῆς προσοίσεσθε; Πάντως οὐ λόγου χρεία· καὶ γὰρ ἔργῳ τὴν ἀπόκρισιν ποιούμεθα καθ' ἡμέραν τρεφόμενοι, καὶ διὰ τὴν κατάλληλον ἡμῖν τροφήν, καὶ τὴν ἀκατάλληλον τῇ φύσει προσφερόμενοι. Τίνος χάριν τοῦτο πράττοντες; Διὰ τὴν ἔμ- B φυτον ἡμῖν φιλοζωΐαν. Οὕτως οὖν καὶ ὁ Θεὸς διὰ τὴν ἔμφυτον χρηστότητα καὶ τὸ φιλάγαθον, οὐ διὰ τοὺς ἐσομένους οἴκοθεν κακοὺς ἀφῆκε προαγαγεῖν εἰς γένεσιν τοὺς ἀγαθούς, ἀλλὰ διὰ τοὺς ἀγαθούς, καὶ τοὺς ἐσομένους κακοὺς ἐδημιούργησεν. Οὐχ ὁρᾶτε τοὺς τῶν ἰατρῶν παῖδας ὅτι οὐκ ἐνδιδόασιν ἀσιτεῖν τοῖς διὰ τὴν τοῦ στομάχου ἀτονίαν οὐ παρακατέχουσιν, ἀλλ' ἐμοῦσι τὴν τροφήν; Τίνος οὖν ἕνεκα τρέφεσθαι αὐτοῖς προτρέπουσιν; Ὅτι λαμβάνει τι κἂν εἰ βραχὺ παρὰ τῆς τροφῆς ἡ φύσις, εἰ καὶ τὸ πλεῖστον τῶν βρωμάτων ὀχρειοῦται διὰ τῶν ἐμετῶν· διὰ τοῦτο φιλάνθρωπος δικαίως ἡ ἰατρικὴ καλεῖται.

Unde benignitas et clementia Dei ex hoc magis ostenditur, quoniam, quanquam præ multitudine animarum non salvandarum pauci sint qui saluti suæ inserviunt, ipse totum genus condidit, paucisque futuris electis, propter nimiam charitatem omnes tamen vocavit. « Simile factum est, inquit, regnum cœlorum homini regi qui fecit nuptias filio suo; et misit servos suos vocare invitatos ad nuptias, et nolebant venire. » Hic nuptias vocat unionem Filii Dei cum humana natura, et per istam cum Ecclesia nostra. Nam Paulus dicens matrimonii mysterium esse magnum, addidit: « Ego autem dico in Christo et in Ecclesia. » Alibi etiam nobis dicit: « Despondi vos uni viro virginem castam exhibere Christo [31]. » Sed quare non dixit unum connubium, at connubia regem cœlorum Patrem altissimum Filio suo fecisse? Quoniam sanctarum animarum sponsus Christus, singulis istis animis mystice conjunctus, dat Patri nuptiale gaudium de isto celebrare. Ipse enim est qui dicit: « Gaudium erit in cœlo super uno peccatore pœnitentiam agente [32]. » Nam Spiritus iterum per conversionem conjungentis et desponsantis Christo animas in pœnitentia viventes fructus est gaudium secundum Apostolum, quo replentur omnes Dei amici sive in cœlo sive in terris; ideo gaudium erit in cœlo super uno peccatore pœnitentiam agente. Hujus gratia ineffabilis conjunctionis ejus qui nobis pœnitentiam dedit Filii Dei, jam cum humana natura perfectæ, necnon ingentis gaudii a Deo Patre illius causa celebrati mystice in cœlis,

Ὥστε καὶ τὸ τοῦ Θεοῦ φιλάγαθόν τε καὶ φιλάνθρωπον ἐκ τούτου μᾶλλον δείκνυται, ὅτι πρὸς τὸ πλῆθος τῶν μὴ σωζομένων, ὀλίγων ὄντων τῶν τῆς οἰκείας σωτηρίας ἀντιποιουμένων, αὐτὸς τὸ πᾶν C γένος ἐδημιούργησε, καὶ ὀλίγων ὄντων τῶν ἐκλεκτῶν ἔσεσθαι μελλόντων, αὐτὸς διὰ τὸ ὑπερβάλλον τῆς αὐτοῦ φιλανθρωπίας ἅπαντας ἐκάλεσεν. « Ὡμοιώθη γάρ, φησίν, ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ, καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ, καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. » Γάμον ἐνταῦθα τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ πρὸς τὴν ἀνθρωπίνην φύσιν, καὶ τὴν δι' αὐτῆς πρὸς τὴν καθ' ἡμᾶς Ἐκκλησίαν λέγει συνάφειαν· οὕτω γὰρ καὶ ὁ Παῦλος εἰπών, ὅτι τὸ μυστήριον τοῦ γάμου μέγα ἐστίν, ἐπήγαγεν· « Ἐγὼ δὲ λέγω εἰς Χριστόν, καὶ εἰς τὴν Ἐκκλησίαν. » Ἀλλαχοῦ δὲ πάλιν πρὸς ἡμᾶς φησιν· « Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. » D Τίνος δὲ ἕνεκεν οὐχ ἕνα γάμον, ἀλλὰ γάμους φησὶ τὸν βασιλέα τῶν οὐρανῶν τὸν ἀνωτάτω Πατέρα ποιῆσαι τῷ Υἱῷ αὐτοῦ; Ἐπειδήπερ ὁ τῶν καθαρῶν ψυχῶν νυμφίος Χριστὸς ἑκάστῃ ψυχῇ τοιαύτῃ μυστικῶς συναπτόμενος, γαμήλιον τῷ Πατρὶ δίδωσιν ἄγειν ἐπὶ τούτῳ χαράν· αὐτὸς γάρ ἐστιν ὁ λέγων, ὅτι· « Χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι· » τοῦ γὰρ δι' ἐπιστροφῆς αὖθις συνιστῶντος καὶ συνάπτοντος Χριστῷ τοὺς ἐν μετανοίᾳ ζῶντας Πνεύματος ἁγίου καρπός ἐστιν ἡ χαρὰ κατὰ τὸν Ἀπόστολον, συμπεριβάλλουσα τοὺς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ἐνθέους· διὰ τοῦτο χαρὰ γίνεται

[31] II Cor. XI, 2. [32] Luc. XV, 7.

Digitized by Google

ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Τῆς οὖν ἀῤῥήτου συναφείας τοῦ χαρισαμένου τὴν μετάνοιαν ἡμῖν Υἱοῦ τοῦ Θεοῦ, πρὸς τὴν ἀνθρωπίνην φύσιν τελουμένης ἤδη, καὶ τῆς ἐπὶ ταύτῃ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς συγκροτουμένης **233** μυστικῆς χαρᾶς ἐν οὐρανοῖς, ἀπεστάλησαν οἱ δοῦλοι, Ἰωάννης ὁ τοῦ Κυρίου πρόδρομος, Ζαχαρίας ὃν ἀπέκτειναν οἱ Ἰουδαῖοι μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου, Συμεὼν ὁ θεοδόχος, καὶ ἁπλῶς πάντες οἱ πρὸ τοῦ σωτηρίου πάθους καὶ τῆς ἀναστάσεως καταγγείλαντες τετελεσμένην ἤδη τὴν τοῦ Κυρίου διὰ σαρκὸς ἔλευσιν ἐπὶ τὴν γῆν. Ἀπεστάλησαν οὖν οὗτοι καλέσαι τοὺς κεκλημένους, δηλονότι τοὺς Ἰουδαίους· οὗτοι γάρ εἰσιν οἱ κεκλημένοι, ὡς καὶ πρότερον διὰ τῶν προφητῶν κληθέντες, ἀλλ' οὐκ ἠθέλησαν ἐλθεῖν, τουτέστι πιστεῦσαι καὶ συμμετασχεῖν τῆς ἀῤ- B ῥήτου κοινωνίας καὶ χάριτος, καίτοι πολλάκις καὶ πρότερον καὶ νῦν κληθέντες. Πάλιν οὖν φησιν, ὢ τῆς ἀφάτου μακροθυμίας! ἀπέστειλεν ἄλλους δούλους, λέγων· « Ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασται, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα καὶ πάντα ἕτοιμα, δεῦτε εἰς τοὺς γάμους. » Οἱ δὲ ἀκούσαντες, οἱ μὲν ἀμελήσαντες, ἀπῆλθον εἰς ἀγροὺς καὶ ἐμπορίας· πόσον τούτων ἀπέχουσιν οἱ τρύγη καὶ ἀμπελῶνας καὶ πραγματικὰς ἀνωμαλίας προφασιζόμενοι, καὶ τῶν ἱερῶν συνάξεων ἀπολειπόμενοι, καὶ τῆς ἱερᾶς ψαλμῳδίας καὶ διδασκαλίας ἀκούειν μὴ προθυμούμενοι; Οἱ δὲ, φησὶ, καὶ τοὺς δούλους κρατήσαντες ὕβρισαν καὶ ἀπέκτειναν. Οὐ πάνυ πόῤῥω τούτων εἰσὶν οἱ καὶ νῦν ἀπειθοῦντες τοῖς προστάταις τῆς Ἐκκλησίας, καὶ κατ' αὐτῶν ἐστιν ὅτε τὰ τῶν πολεμίων παραφθεγγόμενοι· ἀλλ' ἡμεῖς δωρεὰν καὶ τούτοις ἐκ τῆς παραβολῆς ταύτης ἐκθλίψωμεν τὸ σωτήριον γλεῦκος.

A missi sunt servi, Joannes Domini Præcursor, Zacharias quem occiderunt Judæi inter templum et altare, Simeon qui Deum in ulnas accepit, et omnes prorsus alii qui, ante salutiferam passionem et resurrectionem, annuntiaverunt jam factum Domini per carnem adventum in terram. Hi ergo missi sunt ut vocarent invitatos, scilicet Judæos; isti enim sunt invitati, utpote prius per prophetas vocati, sed noluerunt venire, id est credere et participes fieri ineffabilis societatis et gratiæ, etsi multoties et primo et nunc vocati. Iterum ergo dixit, o inenarrabilis longanimitas! misit alios servos dicens: « Ecce prandium meum paravi, tauri mei et altilia occisa sunt, et omnia parata; venite ad nuptias. » Illi auditis, alii quidem neglexerunt, et abierunt in agros et ad negotiationem; B in quo ab istis differunt qui fruges, vineas et alias negotiorum inæqualitates causati, sacros conventus derelinquunt, nec doctrinam psalmodiamque sanctam audire desiderant? Alii vero tenuerunt servos, et contumeliis affectos occiderunt. A quibus non valde distant qui etiamnunc obedientiam negantes præfectis Ecclesiæ, illos ut inimici verbis impetunt. Nos autem istis etiam ex hac parabola salutarem gratis exprimamus suavitatem.

« Ἰδοὺ, φησὶ, τὸ ἄριστόν μου ἡτοίμασται· οἱ C ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα. » Ὄντως κατὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ἐτελέσθη τῶν παρὰ Θεοῦ γεγονότων τὸ ἄριστον· πάντα γὰρ τὰ πρὸ ταύτης οἰκονομικῶς ὑπὲρ ἡμῶν παρὰ Θεοῦ γενόμενα καλά τε ἦν καὶ ἀγαθὰ, πρὸς τοῦτο τὸ τέλος τείνοντα· τὸ δὲ πάντων ἄριστον, μᾶλλον δὲ τὸ μόνον ὄντως καὶ ἀσύγκριτον ἄριστον, ἡ ἐνανθρώπησίς ἐστι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ταύτης μάλιστα τὸ τέλος, τὰ σωτήρια πάθη καὶ ἡ ἀνάστασις· φαίνεται γὰρ ἡ κλῆσις αὕτη μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Κυρίου γεγενημένη· τότε γὰρ καὶ πάντα γέγονεν ἕτοιμα τὰ πρὸς τὴν σωτηρίαν τὴν ἡμετέραν, ἡ τοῦ Υἱοῦ τοῦ Θεοῦ διὰ σαρκὸς ἐντελὴς οἰκονομία, ἡ κατ' αὐτὴν θεόλεκτος διδασκαλία, τὰ τῆς θεανδρικῆς D ἐνεργείας ἀποτελέσματα, ἡ μετάδοσις τοῦ θεανθρώπου σώματος, τὸ μέγα καὶ θεῖον καὶ σωτήριον θῦμα, ἡ ἐκ νεκρῶν τριήμερος ἔγερσις, ἡ καταρχὴ τῆς αἰωνίου ζωῆς καὶ τῆς ἐνθέου κατ' αὐτὴν εὐφροσύνης. Οἱ ταῦροί μου, φησὶ, καὶ τὰ σιτιστὰ τεθυμένα· τότε γὰρ καὶ τὰ παλαιὰ τοῖς νέοις ἥνωται· τὰ μὲν διὰ τῆς τῶν σιτιστῶν θυσίας δηλούμενα· ἄρτος γάρ ἐστιν ὁ νῦν ὑπὲρ ἡμῶν ἐν τῇ Ἐκκλησίᾳ θυόμενος· τὰ δὲ παλαιὰ διὰ τῶν ταύρων σημαινόμενα, καὶ διὰ τῆς καινῆς θυσίας μετενηνεγμένα πρὸς τὸ θειότερον. Ἀπεστάλησαν οὖν ἄλλοι δοῦλοι, οἱ τοῦ Κυρίου ἀπόστολοι, κηρῦξαι ταῦτα καὶ τοῖς Ἰουδαίοις, ἔτι μακροθυμοῦντος ἐπ' αὐτοῖς τοῦ Δεσπότου· ἀλλ' ἀκούσαντες ἐκεῖνοι, οἱ μὲν οὐδὲ προσέσχον, ἀγροῖς καὶ ἐμπορίαις, γῇ καὶ τοῖς γηΐνοις ὁλοσχερῶς προσ-

C « Ecce, inquit, prandium meum paravi, tauri mei et volatilia occisa sunt, et omnia parata. » Vere per incarnationem Domini appositum est optimum ex operibus Dei; nam omnia ante eam sapienter a Deo propter nos facta pulchra erant et bona, et ad hunc finem spectantia; sed optimum ex omnibus, imo solum vere et sine ulla comparatione optimum est incarnatio Domini nostri Jesu Christi, et præcipue hujus finis: salutaris passio et resurrectio. Tunc enim omnia parata sunt ad salutem nostram: Filii Dei per carnem perfecta dispensatio, divina per eam doctrina, humanæ simulque divinæ virtutis opera, divini simulque humani corporis communicatio, magnum et divinum et salutare sacrificium, post tres dies a mortuis resurrectio, D primitiæ perennis vitæ divinæque in ea lætitiæ. Tauri mei, ait, et volatilia occisa sunt; tunc enim vetera novis adunata sunt; hæc quidem per occisionem volatilium manifestata, nam panis est qui nunc propter nos in Ecclesia sacrificatur; illa vero vetera per tauros declarata, et per novam victimam in sacrificium Deo dignius translata. Missi sunt ergo alii servi, Domini apostoli, quæ ista Judæis prædicarent, Domino adhuc de eis habente patientiam. At isti, his auditis, alii quidem non attenderunt, agris et negotiationibus, terræ et terrenis toti incumbentes; alii autem præcones tenuerunt, et alios quidem contumeliis affecerunt, alios vero lapidaverunt, omnes autem, quantum potuit eorum malignitas, et conviciis lacessiverunt et occiderunt. « Iratus igitur, ait, rex, missis exercitibus suis,



Digitized by Google

perdidit homicidas illos, et civitatem illorum succendit. » Nam postquam, etiam post illorum passionem adhuc perdurans misisset qui ad pœnitentiam vocarent indulgentiam promitterent, ingentium bonorum largitionem nuntiarent, horum arrhas et pignora donarent, veritati fidele testimonium redderent, illi autem non tantum nequaquam pœnitentiam egissent aut paruissent, sed insuper contumeliis affectos morti tradidissent evangelistas, jure deinceps mittit qui illos perdant et civitatem eorum succendant. Quis autem nescit hæc manifeste in Hierosolyma fuisse impleta quam hic merito vocat civitatem interfectorum?

A ηλωμένοι· οἱ δὲ καὶ τοὺς κήρυκας κρατήσαντες, τοὺς μὲν ὕβρισαν, τοὺς δὲ ἐλιθοβόλησαν, πάντας δὲ, ὅσον τὸ εἰς τὴν αὐτῶν ἧκον πρόθεσιν, καὶ ὕβρισαν καὶ ἀπέκτειναν. « Ὀργισθεὶς οὖν ὁ βασιλεὺς, φησὶν, πέμψας ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησεν· » ἐπεὶ γὰρ καὶ μετὰ τὸ παρ' αὐτῶν ἐξειργασμένον πάθος ἔτι μακροθυμῶν, ἀπέστειλε τοὺς πρὸς μετάνοιαν ἐκκαλουμένους, ἀμνηστίαν ἐπαγγελλομένους, καὶ μεγάλων εὐαγγελιζομένους ἀγαθῶν ἐπίδοσιν, ἐγγύας τε τούτων καὶ ἀῤῥαβῶνας διδόντας, καὶ πίστεις ἀσφαλεῖς, οἱ δὲ μὴ μόνον οὐ μετενόησαν οὐδὲ προσέσχον, ἀλλὰ καὶ **234** ὕβριν ἀνταπέδωκαν, καὶ φόνοις ἠμείψαντο τοὺς εὐαγγελιστάς· πέμπει δικαίως ἔπειτα τοὺς ἀπολέσοντας αὐτοὺς, καὶ τὴν πόλιν αὐτῶν ἐμπρήσοντας. Τίς δὲ οὐκ οἶδε ταῦτα τετελεσμένα φανερῶς ἐπὶ τῆς Ἱερουσαλὴμ, ἣν καὶ πόλιν φονέων νῦν εἰκότως ἐκάλεσεν;

Verum cum illi multoties antea et nunc vocati, non tantummodo semetipsos vocatione indignos exhibuissent, sed etiam dignos ira Dei et pernicie, jubente rege, in vias exeuntes iidem servi, scilicet Domini apostoli, congregaverunt, inquit, quotquot invenerunt bonos et malos, et impleta est domus accumbentibus; hi autem sunt vocati ex gentibus. Jerusalem enim tum erat sola Dei civitas, solaque ejus domus Israelitarum populus; qui autem extra istum erant, quales tunc gentes, veluti per vias et quidem multas atque diversas errabant; nam varia et diversa erant earum dogmata. Malos autem et bonos dixit eos qui per vias inventi congregati sunt propter diversam eorum voluntatem, vi cujus alii quidem electi sunt, fidei mores et vitam conjungentes consentaneam, alii vero e numero electorum rejecti sunt vitam viventes turpem et perversam, necnon a fide dissentientem; quod ostendit addendo: « Intravit rex ut videret discumbentes, » id est eos qui ex vocatis accesserunt. Porro ejus ingressus ad videndos et judicandos recumbentes nihil aliud est quam manifestatio futuri judicii in tempore facienda. « Intravit igitur rex, inquit, et vidit hominem non vestitum veste nuptiali. » Vestis spiritualium nuptiarum est virtus, quam qui hic non induerit, non tantum indignus cœnaculi illius aspectu invenietur, sed etiam vincula et inenarrabilia experietur supplicia. Si vero cujuslibet animæ vestis est corpus ad quod unitur, qui illud non custodiverit vel non emundaverit per temperantiam, puritatem et castimoniam, illud habebit indignum incorruptibili cœnaculo, et dignum quod ab eo ejiciatur. Isto igitur, ait, convicto et pudore suffuso qui non induerat vestem vocatione dignam, rex dixit ministris: « Ligatis manibus et pedibus ejus, tollite eum, » id est, illum circumdantes pœnis quas effugere non poterit, amovete ab habitaculo et societate lætantium. « Et mittite eum in tenebras exteriores; ibi erit fletus et stridor dentium. » Nam juste manibus et pedibus alligatur qui in his terris peccatorum suorum vinculis constringitur, et mittitur in tenebras exteriores, longius a Deo factus, quia hic non fecit opera lucis. Ibi, inquit, erit fletus et stridor dentium; nam non tenebræ

B Ἐπεὶ δὲ οἱ κεκλημένοι πολλάκις πρότερον καὶ νῦν, ἐκεῖνοι μὴ μόνον ἀναξίους ἑαυτοὺς τῆς κλήσεως ἔδειξαν, ἀλλὰ καὶ ἀξίους ὀργῆς θείας καὶ πανωλεθρίας· κατὰ κέλευσιν τοῦ βασιλέως πρὸς τὰς ὁδοὺς ἀπελθόντες οἱ αὐτοὶ δοῦλοι, τουτέστιν οἱ τοῦ Κυρίου ἀπόστολοι, συνήγαγον, φησὶν, ὅσους εὗρον πονηρούς τε καὶ ἀγαθοὺς, καὶ ἐπλήσθη ὁ οἶκος ἀνακειμένων· οὗτοι δέ εἰσιν οἱ ἐξ ἐθνῶν κλητοί· μία γὰρ πόλις ὑπῆρχε τηνικαῦτα τοῦ Θεοῦ ἡ Ἱερουσαλὴμ, καὶ εἷς αὐτοῦ οἶκος ὁ τοῦ Ἰσραήλ· οἱ δὲ ἔξω τούτου, οἵτινές ποτε τὰ ἔθνη ἦσαν, εἰς τὰς ὁδοὺς ἦσαν οἷον ἐῤῥιμμένοι, πολλὰς καὶ διαφόρους οὔσας· τοιαῦτα γὰρ αὐτῶν ὑπῆρχε καὶ τὰ δόγματα. Πονηροὺς δέ φησι καὶ ἀγαθοὺς τοὺς ἐν ταῖς ὁδοῖς εὑρημένους καὶ συνειλεγμένους διὰ τὸ τῆς C ἐν αὐτοῖς προαιρέσεως διάφορον, ἀφ' ἧς οἱ μὲν ἐκλεκτοὶ γίνονται, τῇ πίστει τρόπον ἐπιδεικνύμενοι καὶ βίον συνᾴδοντα, οἱ δὲ τῶν ἐκλεκτῶν ἐξωθοῦνται, βίον βεβιωκότες αἰσχρόν τε καὶ πονηρὸν, καὶ πρὸς τὴν πίστιν ἀπᾴδοντα· δείκνυσι δὲ τοῦτο διὰ τῶν ἑξῆς· « Εἰσελθὼν γὰρ, φησὶν, ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, » τουτέστι τοὺς ἀπὸ τῶν κεκλημένων προσελθόντας. Εἰσέλευσις δέ ἐστιν αὐτοῦ πρὸς τὸ θεάσασθαι καὶ ἀνακρῖναι τοὺς ἀνακειμένους ἡ κατὰ τὸν καιρὸν τῆς μελλούσης κρίσεως ἔκφανσις. « Εἰσελθὼν οὖν ὁ βασιλεὺς, φησὶν, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου. » Ἔνδυμα τοῦ πνευματικοῦ γάμου ἐστὶν ἡ ἀρετὴ, ἣν ὁ μὴ ἐνδυσάμενος ἐντεῦθεν οὐ μόνον ἀνάξιος τῆς D θείας ἐκείνης εὑρεθήσεται παστάδος, ἀλλὰ καὶ δεσμῶν καὶ μαστίγων ἀῤῥήτων πειραθήσεται. Εἰ δὲ καὶ ψυχῆς ἑκάστης ἔνδυμα τὸ σύζυγον ὑπάρχει σῶμα, ὁ μὴ τοῦτο φυλάξας, ἢ ἀποσμήξας ἐνταῦθα δι' ἐγκρατείας καὶ ἁγνείας καὶ σωφροσύνης, ἀχρεῖον ἕξει τότε καὶ τῆς ἀφθάρου παστάδος ἐκείνης ἀνάξιον, καὶ τοῦ ταύτης ἐξωσθῆναι παραίτιον. Ἐλέγξας γὰρ, φησὶ, καὶ καταισχύνας ὁ βασιλεὺς τὸν μὴ ἀξίως τῆς κλήσεως ἐσταλμένον ἐκεῖνον, εἶπε τοῖς διακόνοις· « Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν, » τουτέστιν ἀφύκτοις τοῦτον περιβαλόντες δεινοῖς, χωρήσατε τῆς κατοικίας καὶ συναυλίας τῶν εὐφραινομένων. « Καὶ ἐκβάλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. » Δεῖται γὰρ χεῖρας καὶ

Digitized by Google

πόδας δικαίως ὁ καὶ ἀπὸ τῶν ἐνταῦθα σειραῖς τῶν ἁμαρτιῶν αὐτοῦ σφιγγόμενος, καὶ ἐκβάλλεται εἰς τὸ σκότος τὸ ἐξώτερον ποῤῥωτέρω Θεοῦ γινόμενος, ὡς μὴ φωτὸς ἔργα πράξας· ἐνθάδε · ἐκεῖ δὲ, φησίν, ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων · οὐ γὰρ σκότος μόνον, ἀλλὰ καὶ πῦρ ἐστιν ἄσβεστον ἐκεῖνο τὸ σκότος · πρὸς δὲ καὶ σκωλήκων ἀκοιμήτων ἐμπεπλησμένον.

A tantum, sed tenebræ illæ sunt ignis inexstinguibilis, vermibus insuper qui non dormiunt refertæ.

Κλαυθμὸς οὖν ἐκεῖ καὶ βρυγμὸς ὀδόντων, διὰ τὰς ἐπικειμένας καὶ ψυχῆς καὶ σώματος καθαπτομένας ἀφορήτους ὀδύνας, διὰ τὰς ἀτελευτήτους οἰμωγὰς, διὰ τὸν ἄληκτον καὶ ἀνόνητον ἐκεῖ μετάμελον · καὶ ταῦτα εἰπὼν, ἐπήγαγε · « Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί · » δεικνὺς ὡς οὐχ εἷς ὁ τῶν δεινῶν ἐκείνων ληψόμενος τὴν πεῖραν, ἀλλ' ἁπλῶς πᾶς ὁ τὴν ἀπὸ τῶν ἔργων ὁμοίαν φαυλότητα περικείμενος · διὰ γὰρ τοῦ ἑνὸς τούτου παρέστησεν ὁ Κύριος ὁποῖοί τινές εἰσιν οἱ πονηροὶ τῶν κληθέντων καὶ προσελθόντων καὶ βαπτισθέντων, καὶ μὴ μεταβληθέντων ἐπὶ τὸ κρεῖττον, μηδὲ διὰ τῆς μετανοίας τὸν ἐκ τῶν πονηρῶν ἡδονῶν τε καὶ παθῶν ῥύπον ἀποθεμένων. Ἀλλ' **235** ἡμεῖς, ἀδελφοὶ, ἀπεκδυσώμεθα τὸν ἀπὸ τῆς μέθης καὶ τοῦ κόρου τῆς γαστρὸς διεσπασμένον, καὶ τὸν ἀπὸ τῆς σαρκὸς καὶ τῆς κατ' αὐτὴν ἀκρασίας ἐσπιλωμένον χιτῶνα, καὶ ἐνδυσώμεθα, κατὰ τὸν Ἡσαΐαν, ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης δι' ἐγκρατείας καὶ σωφροσύνης · ἀποδυσώμεθα τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνδυσώμεθα τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν ὁσιότητι καὶ δικαιοσύνῃ · ἀπεκδυσώμεθα τὴν ἐξ ἁρπαγῆς καὶ πλεονεξίας παντοίαν τοῦ βίου περιβολὴν, ὡς ἐνώπιον τῶν θείων ὀφθαλμῶν ἀσχήμονα καὶ κατάκριτον. Ἐνδυσώμεθα δὲ ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ σπλάγχνα οἰκτιρμῶν, ταπείνωσιν, μετριοφροσύνην, πραότητα · καὶ σπουδάσωμεν διὰ πάντων κατὰ τὴν ἀποστολικὴν παραίνεσιν, βεβαίαν ἡμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι · οὕτω γὰρ ποιοῦντες τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν, καὶ τῆς συναυλίας τῶν ἀϊδίως εὐφραινομένων οὐκ ἀστοχήσομεν · ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ αἰωνίου καὶ οὐρανίου νυμφίου τῶν ἡμετέρων πνευμάτων Χριστοῦ · μεθ' οὗ τῷ Πατρὶ πρέπει δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

Itaque ibi fletus et stridor dentium propter dolores qui corpus et animam constringunt intolerabiles, propter planctus continuos, propter perennem ibique inutilem pœnitentiam. Quibus dictis, addidit: « Multi enim vocati, pauci vero electi, » ut ostenderet non unum tantum pœnas illis experturum, sed prorsus omnes qui similem ex operibus induerint ignobilitatem; nam per hunc solum manifestavit Dominus quales sint mali ex vocatis, et accedentibus et baptizatis, ex eis qui nequaquam in melius B conversi sunt, neque per pœnitentiam fœditatem ex malis voluptatibus et passionibus exuerunt. Nos autem, fratres, exuamus vestem ex ebrietate ventrisque satietate laceratam, necnon carne ejusque intemperantia contaminatam, et induamus, prout dixit Isaias [34], vestimentum salutis, et indumentum lætitiæ per temperantiam et castitatem; exuamus veterem hominem corruptum fallacibus concupiscentiis, et induamus novum hominem creatum secundum Deum in sanctitate et justitia; exuamus omninodum vitæ indumentum ex rapina et avaritia habitum, ut coram oculis Dei fœdum et condemnatum. Induamus vero ut electi Dei viscera misericordiæ, humilitatem, moderationem, mansuetudinem, C et studeamus pro viribus, ut hortatur Apostolus, firmam facere vocationem et electionem nostram; etenim ita facientes a promissione futurorum bonorum, a societate perenniter lætantium non amovebimur, quam nos omnes consequi donetur gratia et benignitate æterni cœlestisque sponsi animarum nostrarum Christi, quem cum Patre et Spiritu sancto decet gloria in sæcula sæculorum. Amen.

## ὉΜΙΛΙΑ ΜΒ'.

*Εἰς τὸ τῆς τρίτης Κυριακῆς τοῦ Λουκᾶ Εὐαγγέλιον ὑπόθεσιν ἔχον τὸν ὑπὸ τοῦ Κυρίου ἐγερθέντα τῆς χήρας παῖδα, ἐν ᾗ καὶ περὶ τοῦ συγγνωμονικοὺς ἡμᾶς καὶ συμπαθεῖς πρὸς ἀλλήλους εἶναι* (1).

Τὸ θεῖον καὶ κοινωφελὲς ὁ μέγας Παῦλος τῆς πίστεως ἐνδεικνύμενος, καὶ καταγγέλλων αὐτῆς τὰ ἔργα καὶ τὰ ἆθλα καὶ τοὺς καρποὺς καὶ τὴν δύναμιν, ἀπ' αὐτῶν μὲν ἄρχεται τῶν αἰώνων, ὧν οὐδὲν ἀρχαιότερον, Πίστει, λέγων, νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι, τελευτᾷ δὲ εἰς τὴν μέλλουσαν παγκόσμιαν ἀνάστασιν, καὶ τὴν κατ' αὐτὴν τῶν ἁγίων τελείωσιν, ἧς οὐδὲν τελεώτερον· μεταξὺ δὲ τῶν ἐν τῇ πίστει θαυμασθέντων καὶ δι' ἑαυτῶν ταύτῃ συμμαρτυρούντων ποιούμενος τὸν κατάλογον,

## HOMILIA XLII.

*In Evangelium secundum Lucam tertia Dominica recitatum; in quo de viduæ filio a Domino suscitato* [34*]*, et quod mutua charitate et indulgentia nos invicem prosequi debemus.* D

Quod divini et omnibus perutilis habeat fides magnus Paulus ostendens, et ejusdem opera, pugnas et fructus virtutemque annuntians ab illis incipit sæculis quibus nihil est antiquius fide, dicens, Intelligimus aptata esse sæcula verbo Dei, ut ex invisibilibus visibilia fierent, deinde futuram omnium resurrectionem prædicat et denique, post perfectum sanctorum numerum, sæculorum consummationem qua nihil perfectius. Sed simul facto rerum in fide mirandarum et inter eas illorum qui de ista testimonium perhibuerunt catalogo, et hoc

[34] Isa. LXI, 10. [34*] Luc. VII, 11 16.

(1) Hæc homilia cum sequente, quas edidit C. F. Matthæi inter *Gregorii Thessalonicensis Orationes X* (Mosquæ 1776), desunt in editione Hierosolymitana; reliquæ octo Matthæianæ sunt in eadem editione homiliæ 6, 11, 12, 14, 26, 15, 20, 28.

Digitized by Google

A dixit quia fide acceperunt mulieres de resurrectione mortuos suos. Istæ vero sunt Sarepthana et Sumanitis, quarum illa mortuum filium a propheta Elia, Sumanitis vero suum ab Elisæo ad vitam revocatum recepit; sed utraque magnam fidem manifestavit, tum Sarepthana cum secundum fidem expectasset prænuntiatum a propheta cibariorum incrementum; et ante filios illum nutrivisset ex farinæ pugillo et paululo olei quæ sola manducare habebat, postea cum filiis moritura. Sed cum puer, præsente Elia, morbo defunctus esset; ait enim Scriptura: Erat virium defectio et languor maximus, ita ut non remaneret in eo halitus vitæ, illa prophetam nec objurgavit, nec expulit, nec vituperavit; non dereliquit quam ab eo didicerat pietatem, sed se accusavit et propria peccata B afflictionis causas existimavit, nomine viri Dei Eliam in ipso infortunio appellans, se ipsam arguit adhortationis modo potius quam irrisionis ei dicens: « Quid mihi et tibi, vir Dei? ingressus es ad me ut exprobrares iniquitates meas et interficeres filium meum [27]? » Lux es, ait, ex participatione, quatenus solis justitiæ minister et accedens ex invisibilibus visibilia fecisti peccata mea; ista autem filium meum interfecerunt. Videte fidem mulieris gentilis; videte humilitatem. Propterea divinam electionem merito accepit a Deo ab initio, et digna fuit habita ut esset exemplum gentilium ad fidem vocationis, et deinde ut vivum filium reciperet. Sumanitis vero et eis quæ viro suo de Elisæo dixit, et eis quæ præparavit ad hospitium C prophetæ dandum, et sapientia quam defuncto filio, manifestavit, fidem ostendit. Nam mœrorem æquo animo dissimulans, ad prophetam cucurrit, et accessivit ad domum, dicens: « Vivit Dominus, et vivit anima tua, non dimittam te [28]. » Et pro tanta fide filium a propheta resuscitatum accepit, ita ut majus non sit illud illorum prophetarum insigne prodigium, quam mira fides matrum ad vitam resuscitatos suscipientium, ut etiam Paulus ostendit dicens: « Ob fidem mulieres de resurrectione mortuos suos receperunt. »

A καὶ τοῦτο φησὶν, ὅτι διὰ πίστεως ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. Αἱ δέ εἰσιν ἥ τε Σαραφθία καὶ ἡ Σουμανῖτις, ὧν ἡ μὲν τὸν υἱὸν θανόντα παρὰ τοῦ προφήτου Ἠλιοῦ πάλιν ἔλαβε ζῶντα, ἡ δὲ Σουμανῖτις παρὰ τοῦ Ἐλισσαίου τὸν ἑαυτῆς. ἑκατέρα δὲ τούτων μεγάλην δι' ἔργων ἐπεδείξατο πίστιν· ἡ μὲν Σαραφθία κατὰ πίστιν φθάσασα τὴν ἐπηγγελμένην παρὰ τοῦ προφήτου τῶν ἐδωδίμων αὔξησιν, καὶ πρὸ τῶν παίδων θρέψασα τοῦτον ἐκ τῆς τοῦ ἀλεύρου δρακὸς καὶ τοῦ ὀλίγου ἐλαίου, ἃ μόνα φαγεῖν εἶχε, καὶ μετὰ τῶν παίδων ἀποθανεῖν. Ἀλλὰ καὶ τοῦ υἱοῦ αὐτῆς μετὰ τὴν Ἠλιοῦ παρουσίαν ἀῤῥωστήσαντος καὶ ἀποθανόντος· Ἦν γὰρ, φησὶν, ἡ ἀῤῥωστία αὐτοῦ μεγάλη σφόδρα ἕως οὐκ ἀπελείφθη ἐν αὐτῷ πνεῦμα ζωῆς· αὕτη οὐκ ἀπώσατο B τὸν προφήτην, οὐκ ἐμέμψατο, οὐκ ἀπεπήδησε τῆς, ἣν παρ' αὐτοῦ ἐδιδάχθη, θεοσεβείας, ἀλλ' ἑαυτῆς κατηγόρησε, καὶ τὰς οἰκείας ἁμαρτίας, αἰτίας εἶναι τοῦ πάθους ἐνόμισεν, ἄνθρωπον μὲν τοῦ Θεοῦ τὸν Ἠλίαν ἐπ' αὐτῆς καλοῦσα τῆς συμφορᾶς, ἑαυτὴν δὲ μᾶλλον καταιτιωμένη καὶ λέγουσα πρὸς αὐτὸν προτρεπτικῶς μᾶλλον ἢ σκωπτικῶς, Τί ἐμοὶ καὶ σοὶ, ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρός με ἀναμνῆσαι τὰς ἁμαρτίας μου καὶ θανατῶσαι τὸν υἱόν μου. Φῶς εἶ σὺ, φησὶ, κατὰ μέθεξιν, ὡς φωτὸς τοῦ τῆς δικαιοσύνης διάκονος, καὶ παραγενόμενος ἐμφανῆ μου τὰ ἀφανῆ πεποίηκας ἁμαρτήματα, ταῦτα δέ μου τὸν υἱὸν ἐθανάτωσεν. Ὁρᾶτε πίστιν γυναικὸς ἀλλοφύλου, ὁρᾶτε ταπείνωσιν. Διὰ τοῦτο καὶ τὴν C ἐκλογὴν εἰκότως ἔλαβε παρὰ τοῦ Θεοῦ τὴν ἀρχὴν, καὶ πρόγραμμα γενέσθαι κατηξιώθη τῆς τῶν ἐθνῶν κλήσεώς τε καὶ πίστεως, ὕστερον δὲ καὶ τὸν παῖδα ζῶντα ἐδέξατο. Ἡ δὲ Σουμανῖτις καὶ ἀφ' ὧν εἶπε πρὸς τὸν ἄνδρα αὐτῆς περὶ Ἐλισσαίου, καὶ ἀφ' ὧν ἡτοίμασε πρὸς ὑποδοχὴν τῷ προφήτῃ, καὶ ἀπὸ τῆς φιλοσοφίας, ἣν ἐπεδείξατο τοῦ παιδὸς θανόντος, τὴν πίστιν ἔδειξε. Κρύψασα γὰρ ἡσυχῇ τὸ πάθος ἐπὶ τὸν προφήτην ἔδραμε, καὶ εἵλκυσεν ἐπὶ τὴν οἰκίαν, πρὸς αὐτὸν εἰποῦσα, Ζῇ Κύριος, « καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. » Καὶ διὰ τῆς πίστεως ταύτης ἀναστάντα τὸν υἱὸν παρὰ τοῦ προφήτου ἐδέξατο, ὡς μὴ μᾶλλον εἶναι τῶν προφητῶν ἐκείνων τὸ ἐξαίρετον τοῦτο θαῦμα ἢ τῆς τῶν δεξαμένων τοὺς ἀναστάντας μητέρων πίστεως· καθάπερ καὶ ὁ Παῦλος ὑπέφηνεν εἰπών· « Διὰ πίστεως ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. »

D Etsi autem ut adjutricem prophetæ haberent matrum fidem, et Dei obsequium, Elias tamen aliter fecit et cum gemitu multo ad Deum clamavit: Eheu! Domine, testis viduæ, apud quam habito, eam afflixisti ut interficeres filium ejus! Et invocavit et dixit, Domine Deus meus, revertatur anima pueri hujus in viscera ejus. Et factum est ita. Elisæus vero non tantum incurvavit se super puerum, deambulans et incumbens usque septies, sed adoravit Dominum, ut scriptum est, et sic filium Sumanitidis ad vitam revocavit. Dominus autem noster Jesus Christus, prout legimus in Evangelio hujus diei, misericordia motus super vidua, cujus filius defunctus efferebatur, sine mora, sine preci-

D Ἀλλὰ καίτοι συνεργὸν ἔχοντες τῶν μητέρων οἱ προφῆται τὴν πίστιν καὶ τὴν πρὸς Θεὸν εὐαρέστησιν, ὁ μὲν Ἠλιοὺ τά τε ἄλλα πεποίηκε, καὶ μετ' ὀλοφυρμοῦ πρὸς τὸν Θεὸν ἀνεβόησεν· Οἴμοι, λέγων, Κύριε, ὁ μάρτυς τῆς χήρας, μεθ' ἧς ἐγὼ κατοικῶ, σὺ ἐκάκωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς, καὶ ἐπεκαλέσατο καὶ εἶπε, Κύριε ὁ Θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτό. Καὶ ἐγένετο οὕτως. Ὁ δὲ Ἐλισσαιὲ μὴ μόνον προσέφυ τῷ παιδαρίῳ περιιὼν καὶ ἀνακάμπτων ἕως ἑπτάκις, ἀλλὰ καὶ προσηύξατο πρὸς Κύριον κατὰ τὸ γεγραμμένον, καὶ οὕτω τὸν τῆς Σουμανίτιδος ἀνεζώωσεν. Ὁ δὲ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ τὴν σήμερον ἀναγινωσκομένην τοῦ Εὐαγγελίου

[27] III Reg. XVII, 18. [28] IV Reg. IV, 30.

Digitized by Google

φωνὴν σπλαγχνισθεὶς ἐπὶ τῇ χήρᾳ ἧς ὁ υἱὸς ἐξεκομίζετο τεθνηκὼς, καὶ μηδὲν μελλήσας, μηδὲ πραγματευσάμενος, μηδ' εὐξάμενος, ἀλλὰ προστάγματι μόνῳ δοὺς ἐκ νεκροῦ ζῶντα τὸν μονογενῆ τῇ πενθούσῃ μητρὶ, μόνος ἔδειξεν αὐτὸς ὢν ὁ ζωῆς καὶ θανάτου Κύριος. Ἐγένετο γὰρ, φησὶν ὁ εὐαγγελιστὴς, ἐν τῇ ἑξῆς ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν καλουμένην Ναΐν. Αὐτόκλητος ἐπὶ τὸ μέγα θαῦμα τοῦτο τῆς ἀναστάσεως ὁ Κύριος ἔρχεται, ἵνα δείξῃ μὴ μόνην τὴν ζωοποιὸν δύναμιν, ἀλλὰ καὶ τὴν ἀγαθότητα καὶ τὴν εὐσπλαγχνίαν ἀσύγκριτον ἔχων. Τῷ μὲν γὰρ Ἠλίᾳ οἷον καὶ ἐπέσκωψεν ἡ Σαραφθία, κινοῦσα πρὸς τὴν τοῦ παιδὸς ἀναβίωσιν· τὸν δὲ Ἐλισσαῖον προδιδάξασα μὴ προϊδόντα τὸ πάθος, εἶτα καὶ κατηνάγκασεν ἡ Σουμανῖτις, « Ζῇ, λέγουσα, B Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. » Ὁ δὲ Κύριος καὶ προγινώσκει παρ' ἑαυτοῦ, καὶ μηδενὸς ἐκκαλουμένου πορεύεται πρὸς τὴν πόλιν, ἀφ' ἧς ὁ τεθνηκὼς ἐξεκομίζετο παῖς. Ἐπορεύετο δὲ, φησὶν, ἐν τῇ ἑξῆς. Καὶ τοῦτο πανσόφως ὁ εὐαγγελιστὴς ὑπεσημήνατο. Ὑπογράφει γὰρ ἡ τοῦ παιδὸς τῆς χήρας ἀνάστασις τὴν ἀνακαίνισιν τοῦ ἡμετέρου νοῦ. Χήρα γὰρ ἦν καὶ ἡ καθ' ἡμᾶς ψυχὴ διὰ τὴν ἁμαρτίαν στερηθεῖσα τοῦ οὐρανίου νυμφίου, ἔχουσα καθάπερ τινὰ μονογενῆ τὸν οἰκεῖον ἑκάστη νοῦν, ὃς τεθνηκὼς ἦν τῷ κέντρῳ τῆς ἁμαρτίας ἀπολέσας τὴν ὄντως ζωήν. Ἐξεκομίζετο δὲ καὶ οὗτος, πορρωτέρω δήπου Θεοῦ γινόμενος ὑπὸ τῶν ἀγόντων αὐτὸν παθῶν εἰς ᾅδου καὶ ἀπωλείας βυθοὺς, ἀλλὰ πορευθεὶς ἐφ' ἡμᾶς ὁ Κύριος, καὶ Ἐπιστὰς ἤδη τῇ C διὰ σαρκὸς αὐτοῦ παρουσίᾳ, καὶ ἀνεκαίνισε καὶ ἀνήγειρεν. Αὕτη δὲ οὐκ ἐξ ἀρχῆς ἐφ' ἡμᾶς, ἀλλ' ὕστερον ἐπ' ἐσχάτων αἰώνων γέγονε. Διὰ τοῦτο οὐδὲ τοῦτο παρῆκεν ὁ εὐαγγελιστὴς, ἐπορεύετο, λέγων, ἐν τῇ ἑξῆς ὁ Ἰησοῦς ἀναστήσων τὸν τεθνηκότα τῆς χήρας παῖδα, καὶ ταύτης τὸ πένθος εἰς εὐφροσύνην μετασκευάσων. Προσέχετε τοῖς λεγομένοις τὸν νοῦν, ἀδελφοὶ, παρακαλῶ· καὶ ὑμῶν γὰρ ἕκαστος ἐὰν αἴσθησιν λάβῃ τοῦ ἐν αὐτῷ τεθνηκότος, καὶ τὰς οἰκείας ἁμαρτίας θρηνῇ πενθῶν, καὶ σκυθρωπάζων διὰ ταύτας ἐν μετανοίᾳ, πορεύσεται καὶ πρὸς αὐτὸν ὁ Παράκλητος ζωὴν παρέχων καὶ παράκλησιν τὴν αἰώνιον. Μακάριοι γὰρ, φησὶν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Ἀλλ' ἐπορεύετο, φησὶν, ὁ Ἰησοῦς, καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ καὶ ὄχλος πολύς. Ὁ μὲν γὰρ Ἠλίας μονοῦται μέλλων ἀναστήσειν τὸν τῆς Σαραφθίας, καὶ ὁ Ἐλισσαῖος ἀναβὰς τὸ ὑπερῷον, ἔνθα ὁ τεθνηκὼς ἔκειτο, ἀπέκλεισε D τὴν θύραν, ὡς ἡ ἱστορία φησὶ, κατὰ τῶν δύο αὐτῶν, τῆς τε Σουμανίτιδος καὶ τοῦ οἰκείου μαθητοῦ Γιεζῆ. Ἐπεὶ γὰρ ἐκτενεστάτης ἦν αὐτοῖς πρὸς τὸν Θεὸν δεήσεως χρεία, πεφύκασι δὲ οἱ ἄνθρωποι μονωθέντες τὸν νοῦν ἀπασχολεῖν τελεώτερον, καὶ πρὸς τὸν Θεὸν ὅλον ἀνατείνειν ἔχειν, διὰ τοῦτο καὶ τῶν οἰκειοτάτων ἐχώρισαν ἑαυτούς· ὁ δὲ Κύριος, ὡς ἀληθῶς ζωῆς ἔχων καὶ θανάτου τὴν ἐξουσίαν καὶ μηδαμῶς προσευχῆς ἐπὶ τῷ ζῶσαι τὸν παῖδα δεόμενος, οὐ μόνον τοὺς οἰκείους μαθητὰς εἶχε μεθ' ἑαυτοῦ, ἀλλὰ καὶ ὄχλον πολὺν, τὸν μὲν αὐτὸς ἦγε, τὸν δὲ περὶ τὸν ἐκφερόμενον εὗρε. Καὶ πάντων ὁρώντων καὶ ἀκουόντων προστάγματι μόνῳ τὸν νεκρὸν ἐζώωσεν, ὑπὸ φιλανθρωπίας παῤῥησίᾳ τοῦτο ποιήσας, ἵνα

A bus, sed simplici jussu reddens ex mortuo vivum matri dolenti unicum filium, solus monstravit semetipsum vitæ mortisque dominum. Factum est enim, ait evangelista, ut Jesus deinceps iret in civitatem quæ vocatur Naim. Nullo rogante, ad magnum illud ressuscitationis miraculum vadit Dominus, ut ostendat non tantum se vitæ reddendæ potestatem, sed etiam bonitatem et misericordiam habere. Eliam quidem irrisit Sarepthana movens ad suscitationem filii; Elisæum vero de suo mœrore quem non præviderat doctum coegit Sumanitis: « Vivit Dominus, dicens, et vivit anima tua, non dimittam te. » Dominus autem jam apud se præcognoscens, et a nullo invitatus vadit ad civitatem unde mortuus efferebatur filius. « Ibat, ait Lucas, B deinceps; » et istud sapientissime animadvertit evangelista; signat enim resurrectio filii viduæ animæ nostræ renovationem. Nam vidua quoque erat anima nostra per peccatum orbata sponso cœlesti, habens unaquæque filium unicum, scilicet propriam mentem quæ mortua erat, vera vita aculeo peccati adempta. Hic etiam efferebatur, id est alienus a Deo factus vi cupiditatum, ipsam efferentium in profunda inferni et perditionis. Sed Dominus ad nos veniens et per carnem jam præsens illum renovavit et ressuscitavit; ejus autem caro non ab initio, sed sæculorum novissimo ad nos venit. Propterea nec istud omisit evangelista, dicens: Ibat Jesus deinceps ad lucem revocaturus defunctum C viduæ filium, et istius dolorem in gaudium conversurus. Attamen dictis advertite animum, fratres, unumquemque enim vestrum adhortor ut percipiat mortem quam fert in semetipso, utque propria peccata lacrymis lugens, pœnitentia confundatur; et veniet ad eum Paracletus qui donat vitam et consolationem sempiternam. Beati, enim, inquit, qui lugent, quoniam ipsi consolabuntur.

Verum ibat Jesus, dicit Scriptura, et ibant cum eo discipuli ejus et turba frequens. Elias quidem Sarepthanæ filium resuscitaturus seorsum recessit; Elisæus vero ascendens in superius cœnaculum in D quo jacebat defunctus, occlusit, ut fert historia, ostium ambobus tum Sumanitidi, tum proprio puero Giezi. Nam cum intentissima ad Deum oratione indigerent, hominesque nati sint facilius in solitudine animum ab externis rebus avocatum prorsus in Deum intendere, propterea et illi sese a familiaribus amoverunt. Dominus autem, ut vere vitæ mortisque potestatem habens, et nullo modo indigens oratione ad resuscitandum puerum, non tantum suos discipulos habebat secum sed etiam turbam innumeram tum eam quæ ipsum sequebatur, tum illam quam circa mortuum invenit. Omnibus igitur videntibus et audientibus sola voce defunctum vitæ reddidit, ex humanitate ita aperte agens, ut omnes adduceret ad fidem in ipsum Sal-

Digitized by Google

vatorem. Ait enim Scriptura: Cum appropinquaret portæ civitatis, efferebatur defunctus. Quia enim prænoverat ipsam exsequiarum horam, opportune astitit. Defunctus ergo efferebatur filius unicus matris suæ, et hæc vidua erat, quæ dolentis mœrorem supra modum augebant, et liberationem faciebant jucundiorem. Dominus enim videns matrem, et matrem viduam, quæ in uno filio spes suas reposuerat, et eo immatura morte orbatam, sequentem filii loculum, pectusque misere tundentem, misericordia, ut dicitur, fuit commotus. Et vero quomodo non motus fuisset, Pater orphanorum et Judex viduarum? Et dixit ad eam consolans et futurum prævidens: « Noli flere. » Ipse enim sciebat quid esset facturus. Mulier autem nec ipsum noscebat, nedum quid futurum esset. Ideo fides illi non erat, nec ab eo quidquam quærit, nec ipse fidem ab ea exigit. Verum omnipotens Dominus, nec credentium adjutorio indigens, accedens tetigit loculum ut indicaret et se corpus, divinitati conjunctum, ideoque vivificantem habere virtutem, et dixit: « Adolescens, tibi dico, surge; et resedit qui erat mortuus. » Audivit enim surdus tumulus vocem vocantis ea quæ non sunt, tanquam ea quæ sunt; audivit vocem portantis omnia verbo virtutis suæ; audivit vocem non hominis divini, sed Dei inhumanati; et non tantum resedit mortuus, sed et cœpit loqui. Sic simulac in viduæ Sarepthanæ filium anima ejus reversa est statim exclamavit. Quod testimonio est resurrectionem non rem esse inanem. Elias ergo unum per orationem, et Elisæus adhuc vivens alterum resuscitavit mortuum, testantes ambo et ostendentes vivificam Christi Dei et hominis virtutem. Dominus autem tres jussu suo ad vitam reddidit, antequam crucifigeretur: viduæ filium, filiam archisynagogi et quatriduanum Lazarum, et insuper in cruce multos qui multis apparuerunt. Postea vero mortem pro nobis in cruce passus, seipsum resuscitavit, aut potius se resuscitavit triduanum, solus ipse factus vitæ æternæ antesignanus. Nam cæteri omnes vitam etsi resurrexerint mortalem qualem nos habemus assecuti sunt: Christo autem ex mortuis reviviscente, mors illi jam non dominatur; ideo solus Dominus dicitur primitiæ dormientium, id est fidelium in spe resurrectionis et vitæ æternæ defunctorum. Primitiæ ergo factus est dormientium et primogenitus ex mortuis, nobisque spopondit et promisit non tantum vitam qualem nos habemus mortalem atque perituram, utpote spiritu psychico conflatam sed eam quæ nos sperantes manet, divinam, inquam, immortalem et sempiternam; hæc enim est donum vere Deo dignum. Igitur cum istam nondum largitur iis quos ad vitam revocat, sed vitam morte abscindendo, non in gratiam ipsorum hanc tribuit, sed propter alios sic agit quos adducit ad fidem æternæ vitæ largitricem. Et vero non in gratiam ipsius, sed propter matrem, misericordia motus, filium resuscitavit, sicut apte refert evangelista, et ideo ad vitam revocatum reddidit matri ipsius.

[A] πάντας ἐφελκύσηται πρὸς τὴν εἰς αὐτὸν σωτήριον πίστιν. Ὡς γὰρ ἤγγισε, φησὶ, τῇ πύλῃ τῆς πόλεως, ἐξεκομίζετο τεθνηκώς. Προειδὼς γὰρ καὶ αὐτὴν τῆς ἐκφορᾶς τὴν ὥραν εἰς καιρὸν ἐπέστη. Ἐξεκομίζετο οὖν τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ χήρα, τὰ αὐτὰ τῇ πενθούσῃ, καὶ τὴν λύπην ηὔξησε πολλαπλασίαν, καὶ τὴν λύσιν ἐξαισίαν ἤνεγκεν. Ἰδὼν γὰρ ὁ Κύριος μητέρα, καὶ μητέρα χήραν, ἐφ' ἑνὶ παιδὶ τὰς ἐλπίδας σαλεύουσαν, καὶ ἀώρῳ θανάτῳ τοῦτον ἀφῃρημένην, ἑπομένην τε τῇ σορῷ τοῦ παιδὸς καὶ κοπτομένην ἐλεεινῶς, ἐσπλαγχνίσθη, φησί. Πῶς γὰρ οὐκ ἔμελλεν, ὁ πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν; καὶ εἶπε πρὸς αὐτὴν παραμυθούμενός τε καὶ τὸ μέλλον προορῶν, Μὴ κλαῖε. Ἤδει μὲν γὰρ ἐκεῖνος, τί ἔμελλε ποιεῖν. Ἡ [B] δὲ γυνὴ οὔτε αὐτὸν ᾔδει, πολλῷ μᾶλλον οὐδὲ τὸ μέλλον. Διὸ οὐδὲ πίστιν εἶχεν, οὐδὲ ᾔτει παρ' αὐτοῦ τι, οὐδὲ αὐτὸς ἀπῄτει πίστιν παρ' αὐτῆς. Ἀλλὰ πάντα δυνάμενος, καὶ μηδὲ τῆς ἀπὸ τῶν πιστευόντων συνεργείας δεόμενος, προσελθὼν ἥψατο τῆς σοροῦ, ἵνα δείξῃ καὶ τὸ οἰκεῖον σῶμα ζωοποιὸν ἔχον, ὡς ὁμόθεον, δύναμιν, καὶ εἶπε, Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. Καὶ ἀνεκάθισεν ὁ νεκρός. Ἤκουσε γὰρ ὁ κωφὸς χοῦς τοῦ καλοῦντος τὰ μὴ ὄντα, ὡς ὄντα, ἤκουσε τοῦ τὰ πάντα φέροντος τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, ἤκουσεν οὐ φωνὴν ἀνθρώπου θεοφόρου, ἀλλὰ Θεοῦ ἐνανθρωπήσαντος. Καὶ μὴ μόνον ἀνεκάθισεν ὁ νεκρὸς, ἀλλὰ καὶ ἤρξατο λαλεῖν. Καὶ ἐπὶ τοῦ υἱοῦ γὰρ τῆς Σαραφθίας χήρας, ἡνίκα ἐπέστρεψεν ἡ ψυχὴ αὐτοῦ εἰς αὐτὸν, ἀνεβόησεν εὐθὺς [C] τὸ παιδίον κατὰ τὴν ἱστορίαν. Δεῖγμα δὲ τοῦτο τοῦ μὴ κατὰ φαντασίαν εἶναι τὴν ἀνάστασιν. Ὁ μὲν οὖν Ἠλίας ἕνα διὰ προσευχῆς, καὶ ὁ Ἐλισσαῖος ἔτι ζῶν ἕτερον ἀνέστησε νεκρὸν, πιστούμενοι καὶ προδεικνύντες τὴν θεανδρικὴν τοῦ Χριστοῦ ζωοποιὸν ἐνέργειαν· ὁ δὲ Κύριος τρεῖς μὲν ἐκ νεκρῶν ἤγειρε προστάγματι πρὸ τοῦ σταυροῦ, τὸν παῖδα τῆς χήρας τοῦτον, τὴν τοῦ ἀρχισυναγώγου θυγατέρα, καὶ τὸν τετραήμερον Λάζαρον· ἐν δὲ τῷ σταυρῷ πολλοὺς, οἳ καὶ ἐνεφανίσθησαν πολλοῖς. Πρὸς δὲ τούτοις μετὰ τὸν ὑπὲρ ἡμῶν διὰ σταυροῦ θάνατον ἑαυτὸν ἀνέστησε, μᾶλλον δὲ ἐξανέστησε τριήμερον, μόνος αὐτὸς ἀρχηγὸς γεγονὼς τῆς ἀϊδίου ζωῆς. Οἱ γὰρ ἄλλοι πάντες, εἰ καὶ ἀνέστησαν, ἀλλὰ τῆς θνητῆς πάλιν καὶ καθ' ἡμᾶς [D] μετέλαχον ζωῆς. Χριστοῦ δὲ ἐκ νεκρῶν ἀναστάντος, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. Διὸ καὶ μόνος ὁ Κύριος ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο, τουτέστι τῶν πιστῶν, καὶ ἐπ' ἐλπίδι ἀναστάσεως καὶ ζωῆς αἰωνίου τῶν ὧδε μεταναστάντων. Ἀπαρχὴ γοῦν τῶν κεκοιμημένων ἐγένετο, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ἡμῖν ἐπιστώσατό τε καὶ ἐπηγγείλατο οὐ τὴν καθ' ἡμᾶς ζωὴν ταύτην, τὴν θνητὴν καὶ ἐπίκηρον, ἅτε ψυχικῷ πνεύματι διοικουμένην, ἀλλὰ τὴν ἐν ἐλπίσιν ἡμῖν ἀποκειμένην ἔνθεον καὶ ἀθάνατον καὶ αἰώνιον. Αὕτη γὰρ αὐτοῦ δῶρον ὄντως θεοπρεπέστατον. Ὡς οὖν μὴ ταύτην ἐνταῦθα παρέχων τοῖς ὑπ' αὐτοῦ ἀναστᾶσιν, ἀλλὰ τὴν θανάτῳ διακοπτομένην, οὐκ αὐτοῖς αὐτὴν χαριζόμενος παρέχει, ἀλλὰ δι' ἑτέρους τοῦτο ποιεῖ, ἐνάγων πρὸς πίστιν αὐτοὺς, ἣ πρόξενός ἐστι τῆς

Digitized by Google

αἰωνίου ζωῆς. Κἀνταῦθα γὰρ οὐ τὸν παῖδα δι' ἑαυτὸν, ἀλλὰ διὰ τὴν μητέρα, σπλαγχνισθεὶς ἐπ' αὐτῇ, τὸν παῖδα ἀνέστησεν, ὡς ὁ εὐαγγελιστὴς σαφῶς ἱστορεῖ. Διὸ καὶ ἀναστήσας ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

A Ἀλλ' ὁρᾶτε, πῶς ὁ Κύριος σπλαγχνισθεὶς ἐπὶ τῇ χήρᾳ πενθούσῃ τὸν υἱὸν, οὐ παραμυθητικοῖς μόνον πρὸς αὐτὴν ἐχρήσατο λόγοις, ἀλλὰ καὶ δι' ἔργων αὐτὴν ἐθεράπευσεν. Οὕτω καὶ ἡμεῖς ποιῶμεν πρὸς δύναμιν, καὶ μὴ λόγῳ μόνῳ συμπαθεῖς ὦμεν τοῖς κακῶς πάσχουσιν, ἀλλὰ καὶ δι' ἔργων τὸ πρὸς αὐτοὺς συμπαθὲς ἐπιδείξωμεν. Ἐὰν γὰρ ἡμεῖς πάσῃ δυνάμει τὴν εὐποιίαν ἐπιδειξώμεθα, καὶ ὁ Θεὸς ἀμειβόμενος πάσῃ δυνάμει τὴν πρὸς ἡμᾶς εὐποιίαν ἀντεπιδείξεται. Συνορᾶτε δὴ τὴν ὑπεροχὴν καὶ τὴν ὑπερβολὴν τῆς ἀμοιβῆς ὅση. Καθόσον γὰρ ὑπερέχει Θεὸς ἀνθρώπου, κατὰ τοσοῦτο καὶ ἡ δύναμις ἐκείνου τῆς ἀνθρωπίνης δυνάμεως, καὶ ἡ παρὰ τῆς δυνάμεως ἐκείνης ἐκτελουμένη χάρις τῆς παρ' ἡμῶν διδομένης. Εἴ τις ὀβολοὺς ᾔτει χαλκοῦς, καὶ στατῆρας ἀντεδίδου χρυσοῦς, τίς οὐκ ἂν B ἠσπάσατο τὸ συνάλλαγμα; Νῦν δὲ οὐ χάλκεια χρυσείων ἐστὶν ἀλλάξασθαι, μετάλλων ἀμφοῖν τῇ φύσει σχεδὸν ὁμοτίμων, ἀλλ' ἀνθρώπινα παρασχεῖν, καὶ κομίσασθαι θεῖα, καὶ ἀνθρώπινα πρὸς ἀνθρώπους, ὃ καὶ φυσικόν ἐστιν ὄφλημα. Τὸ γὰρ πρὸς ἀλλήλους συμπαθὲς καὶ τὸν ἔλεον ἀλλήλοις πάντως ἐκ τοῦ πεφυκότος ὀφείλομεν. Ἂν δὲ καὶ πρὸς τοὺς πολυτρόπους εἰς ἡμᾶς τοῦ Θεοῦ ἀπίδωμεν οἰκτιρμοὺς, ὑπὲρ ὧν οὐδὲν αὐτὸς ἕτερον ἀπαιτεῖ παρ' ἡμῶν ἢ τὸ πρὸς ἀλλήλους συγγνωμονικόν τε καὶ κοινωνικὸν καὶ φιλάνθρωπον, λέγων, «Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν, δίδοτε, καὶ δοθήσεται ὑμῖν,» πῶς οὐχ ὡς ἀπαραίτητον χρέος, ἐφ' ὅσον ἔχομεν, δι' ἔργων πρὸς τοὺς δεομένους τῶν ἀδελφῶν τὴν συγγνώμην καὶ τὸν ἔλεον C ἀποδώσομεν; Ἐπεὶ δὲ μὴ μόνον ἠλεήθημεν παρὰ Θεοῦ, καὶ τοσαῦτα εὐηργετήθημεν, ὅσα οὐδὲ ἀπαριθμήσασθαι δυνατὸν, ἀλλὰ καὶ ἐγγύας πάλιν ἐλάβομεν παρ' αὐτοῦ, μέτρῳ καλῷ καὶ πεπιεσμένῳ τῆς πρὸς τοὺς ἀδελφοὺς εὐποιίας λήψεσθαι τὴν ἀντίδοσιν, τί μὴ πρὸς ταύτην σπεύδομεν ὅση δύναμις, τί μὴ καὶ τὴν ζωὴν αὐτὴν ὑπὲρ ἀλλήλων, εἰ δεήσει, κατὰ μίμησιν τοῦ Δεσπότου κατατιθέμεθα, ἵνα ἀντιλάβωμεν παρ' αὐτοῦ τὴν ζωὴν τὴν αἰώνιον; Καίτοι καὶ τοῦτο χρέος ἡμῖν, εἰ καὶ μὴ πρὸς ἀλλήλους ἴσως, ἀλλὰ πρὸς τὸν δόντα ἑαυτὸν εἰς θάνατον ὑπὲρ ἡμῶν, οὐκ εἰς λύτρον μόνον, ἀλλὰ καὶ παράδειγμα καὶ διδασκαλίαν ἔμπρακτον ἔργου καὶ λόγου καὶ νοῦ παντὸς ἀσυγκρίτως ὑψηλοτέραν. Εἰς τοῦτο γὰρ, φησὶ, D Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν ἡμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ, καὶ ἕτοιμοι ὦμεν, εἰ δεήσει, καὶ τὴν ψυχὴν ἡμῶν θεῖναι, εἰς ἐκπλήρωσιν τῶν ἐντολῶν αὐτοῦ. Οὕτω γὰρ καὶ τῆς ἐν αὐτῷ διαιωνιζούσης ζωῆς καὶ βασιλείας μεθέξομεν, συζῶντες ἀϊδίως αὐτῷ καὶ συνδοξαζόμενοι.

Ὁρᾶτε τὸν Μυροχεύμονα τοῦτον, οὗ προσάγουσαν τὴν μνήμην τῆς ἱερᾶς μαρτυρίας προεορτάζειν ἠρξάμεθα σήμερον, τὸ αἷμα τοῦ οἰκείου σώματος ἐκὼν ἐξέχεεν ὑπὲρ Χριστοῦ, καὶ ἀέναον αὐτὸ καὶ ἀνεξάντλητον διὰ τοῦτο πεποίηκε πηγὴν πολυειδῶν θαυμάτων, ἁγιασμοῦ ψυχῆς, καὶ σώματος εὐωδεστάτου καὶ ἱερωτάτου μύρου. Καίτοι ψυχὴ μὲν ἡ τοῦ μεγαλομάρτυρος τὴν μετ' ἀγγέλων ἀΐδιον καὶ ἀναλλοίωτον δόξαν ἀπολαβοῦσα νῦν ἔχει δικαίως ἐν οὐρανοῖς·

Verum videte quomodo Dominus misericordia motus erga viduam lugentem filium, non modo consolatoriis verbis, sed etiam opere sanavit. Ita et nos faciamus pro viribus et non verbo tantum compatiamur male habentibus, sed et operibus nostram erga eos commiserationem comprobemus. Si enim nos quantum possumus, beneficos exhibeamus, Deus etiam, in retributione, se quantum poterit pro nostris beneficiis largum exhibebit. Conspicite tandem quanta sit retributionis præstantia et redundantia; nam quantum præstat Deus homine, tantum et ejus potestas humana potestate, tantum quoque beneficia ab ista potestate præstita a nostra præstitis. Si qui obolos mutuaretur æreos et stateras redderet aureas, nemo forte respueret commutationem. Nunc vero non sunt permutanda ærea pro aureis, quæ metalla sunt eodem fere pretio æstimantur, sed humana sunt commedanda et divina recipienda, et humana hominibus, quod est naturale debitum. Nam aliis misericordiam et commiserationem omnino ex natura debemus. Et vero quando multiformem erga nos aspiciamus Dei clementiam, pro qua ipse nihil aliud a nobis nisi erga proximum indulgentiam, liberalitatem et benignitatem, dicens: « Dimittite, et dimittetur vobis; date, et dabitur vobis, » numquid nobis non incumbit officium ineluctabile operibus nostram erga indigentes ex fratribus commiserationem et pietatem exhibendi? Et cum non modo Deus nostri misereatur et nobis tanta retribuat ut numerari nequeant, sed et pignus ab eo acceperimus quod in mensura bona et conferta pro nobis ad fratres beneficiis recipiemus retributionem, quomodo eam non ambimus pro viribus, cur et ipsam vitam pro invicem, si oporteat, exemplo Domini, non tradimus, ut vicissim ab eo æternam vitam recipiamus? Equidem ad hoc tenemur, nisi forte propter fratres, saltem propter eum qui semetipsum dedit in mortem pro nobis, non in pretium tantum, sed etiam in exemplum et doctrinam efficacem omni opere et sermone et ratione indubitanter subliniorem. Ad hoc enim, inquit Scriptura, Christus pro nobis passus est, nobis relinquens exemplum ut sequamur vestigia ejus, et parati simus, si oporteat, animam ipsam ponere ad implenda ejus mandata; nam sic ejus sempiternæ vitæ et regni participes erimus, in æternum ejus vitæ et gloriæ consortes.

Videte Myroblytam istum, cujus proximam sacri martyrii memoriam hodie signavimus celebrandam; ipse corporis sanguinem libenter effudit pro Christo, et propterea juge et inexhaustum illud effecit multiplicem fontem miraculorum, anima sanctificata et fragrantissimo necnon sanctissimo unguento a corpore stillante. Anima quidem magni illius martyris æterna nec unquam peritura gloria inter angelos potita, nunc merito gaudet in cœlis; cor-

Digitized by Google

pus autem ejus nondum revera illius gloriæ factum est particeps, sed ex præsentibus velut ex argumento, ex typo et signo cognoscite divinissimam et cœlestem gloriam quæ circa illud revelabitur. Quod si typus talis est, quanta erit illa perfectio? Certe prorsus ineffabilis et ipsi cogitationi impervia. Contingat nobis precibus tanti martyris perfundi unguento, ut sicut hic jam diffusi illius divini unguenti consortes fuimus, ita aliquando divinæ gloriæ participes per gratiam benignitatem glorificati in suis martyribus Jesu Christi qui est super omnia Deus; cui omnis gloria in sempiterna sæcula. Amen.

## HOMILIA XLIII.

*In magnum inter sanctos martyrem et thaumaturgum et myroblytam Demetrium.*

« Mihi quidem valde honorificati sunt amici tui, Deus, nimis confortatus est principatus eorum, » exclamavit David ille omnis ætatis psalmistarum divinissimus [17]. Principatus apostolorum chori, quia sunt coryphæi, prophetarum ordinis, qui ab intuitione rerum divinarum nomen habent, sanctorum vero doctorum et totius sanctorum cœtus, qui magni vocati sunt in Evangelio communis Salvatoris, ita et inter Christi martyres, magni omnino martyres, quibus præstat eximius et plerisque excellens quem præsertim hodie nos hymnis et laudibus celebramus, civitatis nostræ consors et patronus, magnum terræ nostræ miraculum, magnum sanctæ Ecclesiæ ornamentum, egregius per omnia thaumaturgus et myroblyta Demetrius. Hic enim inter martyres tanquam inter astra lux est magna, vitæ æternæ verbum continens, emicantibus radiis eximie splendens, plerosque splendore superans, numquid prophetarum gratia non potitus est? Vel prophetica virtute illustris, numquid apostolorum et doctorum ministerio et excellentia habitus est indignus? Numquid istis donis ornatus sanctorum asceticis exercitiis et eorum vitæ nobilitati cessit? Minime, sed alios quidem secutus, aliis exæquatus, alios autem præcedens, non paucos superans non tantum in exiguo excelluit, cum paucis omnia perfecit, et solus in semetipso omnium merita complexus continuit (prout postea sermo, Deo juvante, declarabit) solusque omnibus promissas assequi benedictiones dignus est habitus.

Nos ergo qui nec de uno quidem, non dico ordine aut choro, sed nec de uno cujuslibet ordinis perorandi capaces sumus, quid dicemus, et in tali sermonis compositione, de eo qui in unius vitæ divinitatem divinitus omnium virtutes ordinavit, in omnibus supra omnem laudem superexaltatus? Nos tamen urget pro potestate dicendi desiderium et opportunum sermonem quærit occasio et instans officium efficit ut sermone miremur supra omnem sermonem martyris excellentiam. Ineffabiles mercedes a Deo promissas ambiens, vitæ ordinem quantum valebat natura consentaneum, id est quæ omne

[17] Psal. CXXXVIII, 17.

A τὸ δὲ σῶμα οὔπω ἐκείνῃ συνεδοξάσθη, ἀλλ' οἷόν τε πρόγραμμα καὶ τύπος καὶ σύμβολόν ἐστι τὰ παρόντα πρὸς τὴν μέλλουσαν ἀποκαλύπτεσθαι περὶ αὐτὸ θειοτάτην καὶ οὐράνιον δόξαν. Εἰ δὲ τὸ πρόγραμμα καὶ ὁ τύπος τοιοῦτος, τί τὸ μέλλον ἐκεῖνο τέλος; Πάντως ἄῤῥητόν τε καὶ ἀνεννόητον. Γένοιτο δὲ καὶ ἡμᾶς ταῖς πρεσβείαις τοῦ ἐν μάρτυσι μυροχεύμονος, ὥσπερ ἐνταῦθα τοῦ προχεομένου παρ' αὐτοῦ θείου μύρου τούτου μεταλαμβάνομεν, οὕτω καὶ τότε τῆς δόξης ἐκείνης θεωροὺς καὶ μετόχους εἶναι χάριτι καὶ φιλανθρωπίᾳ τοῦ ἐνδοξαζομένου τοῖς οἰκείοις μάρτυσιν Ἰησοῦ Χριστοῦ τοῦ ἐπὶ πάντων Θεοῦ, ᾧ πρέπει πᾶσα δόξα εἰς ἀπεράντους αἰῶνας. Ἀμήν.

## ΟΜΙΛΙΑ ΜΓ'.

B *Εἰς τὸν ἐν ἁγίοις μεγαλομάρτυρα καὶ θαυματουργὸν καὶ μυροβλύτην Δημήτριον.*

« Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός, λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν, » Δαβὶδ ἐκεῖνός φησιν ὁ τῶν ἀπ' αἰῶνος ᾠδικῶν ἐνθεώτατος. Ἀρχαὶ δὲ χοροῦ μὲν ἀποστόλων οἱ κορυφαῖοι· καταλόγου δὲ προφητῶν οἱ τῆς θεοπτίας ἐπώνυμοι· διδασκάλων δὲ ἱερῶν καὶ τῆς τῶν ὁσίων ὁμηγύρεως πάσης οἱ μεγάλοι κληθέντες κατὰ τὴν τοῦ κοινοῦ Σωτῆρος ἐπαγγελίαν· ὥσπερ καὶ τῶν Χριστοῦ μαρτύρων οἱ μεγαλομάρτυρες πάντως, οἷς ἐμπρέπει περιφανῶς ἀνέχων, καὶ τῶν πλείστων ἐξόχως ὁ μάλιστα σήμερον παρ' ἡμῶν ὑμνούμενος καὶ τιμώμενος, ὁ αὐτόχθων ἡμῖν καὶ ἡμεδαπὸς πολιοῦχος, τὸ μέγα τῆς οἰκουμένης θαῦμα, τὸ μέγα τῆς ἱερᾶς Ἐκκλησίας C ὡραΐσμα, ὁ πολὺς τὰ πάντα. καὶ θαυματουργὸς, καὶ μυροβλύτης Δημήτριος. Ἀλλὰ γὰρ ἐν μάρτυσι μὲν, οἷον ἐν ἄστρασι, φωστήρ ἐστιν οὗτος μέγας, ἀϊδίου λόγον ζωῆς ἐπέχων, καὶ θεαυγέσιν ἀκτῖσι διαφερόντως περιλαμπόμενος, καὶ ὑπερλάμπων τοὺς πλείστους, προφητικῆς δὲ χάριτος οὐκ εὐμοίρησεν; Ἢ προφητικῇ δυνάμει κατηγλαϊσμένος, ἀποστολικῆς καὶ διδασκαλικῆς ἀπηξίωται διακονίας καὶ προεδρίας; ἢ ταύταις ἔργῳ διακεκοσμημένος, ὁσίων ἀσκήσεως ἀπελείφθη, καὶ τῆς διὰ βίου κατὰ τούτους λαμπρότητος; Οὐμενοῦν· ἀλλὰ τοῖς μὲν ἑπόμενος, τοῖς δὲ ἐξισούμενος, τῶν δὲ προϊστάμενος, ἔστι δ' οὓς καὶ ὑπερβάλλων, οὐδὲ κατὰ βραχὺ, μόνος, ἢ πάνυ μετ' ὀλίγων τὰ πάντα τελεῖ, καὶ μόνος ἐν ἑαυτῷ τὰ πάντων συλλαβὼν ἔχει (ὡς ὁ λόγος προϊὼν σὺν Θεῷ D παραστήσει), καὶ τὰς ὀφειλομένας ἅπασιν εὐφημίας μόνος ἅμα καρποῦσθαι δίκαιος.

Ἡμεῖς οὖν, οἱ μηδὲ πρὸς ἕνα ἀρκοῦντες, οὐ λέγω χορὸν, ἢ κατάλογον, ἀλλ' οὐδὲ πρὸς ἕνα τοῦ καταλόγου, τί ἐροῦμεν, καὶ ταῦτα ἐν τοιούτῳ σχήματι τοῦ λόγου, πρὸς τὸν τὰ πάντων ἁρμοσάμενον θείως εἰς ἑνὸς θειότητα βίου, καὶ διὰ πάντων ὄντα πρὸς ἀξίαν ἀπρόσιτον; Ὁ μέντοι πόθος ἐπαίρει λέγειν πρὸς δύναμιν, καὶ ὁ καιρὸς ἐπιζητεῖ τὸν καίριον λόγον, καὶ τὸ χρέος βιαζόμενον οὐκ ἀνίησι μὴ σὺν λόγῳ θαυμάζειν τὸ ὑπὲρ λόγον ὑπάρχον μεγαλεῖον τοῦ μάρτυρος. Καὶ γὰρ ἐφιλοτιμήσατο ταῖς ὑπὲρ λόγον ὑπηγγελμέναις παρὰ Θεοῦ ἀμοιβαῖς καὶ πολιτείαν, ἐφ' ὅσον ἡ φύσις ἐχώρει, κατάλληλον, δηλονότι πάντα λό-

Digitized by Google

γον νικῶσαν, ἀπ' ἀρχῆς ἄχρι τέλους ἐνδείξασθαι, καὶ πάντα ἦν σχεδὸν ἐκ παιδὸς ὁμοῦ, στήλη τις αὐθέραστος καὶ ἀκαθαίρετος παντὸς καλοῦ, πάσης ἀρετῆς ἔμπνουν καὶ αὐτοκίνητον ἄγαλμα, θείων καὶ ἀνθρωπίνων χαρίτων ἑστία καὶ συστοιχία, βίβλος ζῶσά τε καὶ λαλοῦσα τὰ πρὸς δόξαν καὶ ὁδηγίαν τοῦ κρείττονος, εὔχαρί τε καὶ καινὸν κρᾶμα πάντων καλῶν, καὶ κοινὴ παντὸς ἀγαθοῦ καὶ κοινωφελεστάτη φιλοτιμία, καὶ ἵν' εἴπω τὰ τῆς Γραφῆς, καὶ φοῖνιξ, ὡς ἐκεῖνος ἀνθῶν, ἅτε δίκαιος καὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, καὶ δένδρον παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένον τοῦ πνεύματος, πλὴν ὅτι τὸ μὲν, κατὰ τὸ ψαλμικὸν, δίδωσι τὸν καρπὸν ἐν καιρῷ αὐτοῦ, ὁ δὲ πάντα καιρὸν, καιρὸν ἀνθηφορίας ὁμοῦ καὶ καρποφορίας καὶ εἶχε, καὶ ἔχει, καὶ ὥσπερ τὸ ἐκείνου τοῦ δένδρου φύλλον οὐκ ἀποῤῥυήσεταί ποτε κατὰ τὸ γεγραμμένον, οὕτω τούτου μετὰ τῶν φύλλων καὶ τὸ ἄνθος, καὶ ὁ καρπὸς ἀνεκλείπτως τοῖς πιστῶς προσιοῦσι μεταδιδόμενα. Καὶ πρὸς μὲν τὸ πάντα ἐνεγκεῖν ὁμοῦ, καὶ κατὰ τὸ Σολομώντειον ἔπος, ἐν ὀλίγῳ μακρὰ πληρῶσαι ἔτη· ῥάβδος ἡ τοῦ Ἀαρὼν ἐκείνη Δημήτριος, βλαστὸς εὖ μάλα τεθηλὼς εὐσεβείας, πολυέραστον ἄνθος, καρπὸς εὐκλεὴς καὶ θεοειδὴς, μᾶλλον δὲ Χριστοῦ τοῦ αἰωνίου ἀρχιερέως ῥάβδος καὶ σκῆπτρον θεῖον, εἰ δὲ βούλει, καὶ ὄρπηξ ἀειθαλὴς καὶ θεοειδὴς ὁ Δημήτριος· οὗ Χριστοῦ τύπος Ἀαρὼν ἦν. Καὶ ὁ μὲν Χριστοῦ τύπος· Δημητρίου δὲ, τοῦ τὰ πάντα καλοῦ, σκήπτρου Χριστοῦ τελοῦντος, ῥάβδος ἐκείνη τύπος, ὁμοῦ τε βλαστήσασα, καὶ ἀνθήσασα, καὶ τοὺς καρποὺς προβαλομένη τε ἅμα, καὶ τελεσφορήσασα θείως. Διαφέρει δὲ κἀκείνης, ὅσα καὶ τύπου, πρεπόντως ἐπὶ τὸ κρεῖττον, οὔ τι μικρὸν, ὁ πᾶν ὅ τι τῶν καλῶν, κατόπιν ἑαυτοῦ ποιούμενος τῷ γενναίῳ, καὶ τῇ μεγαλοπρεπείᾳ τῶν ἠθῶν, καὶ τῶν ἔργων, καὶ τῶν θαυμάτων Δημήτριος. Πρὸς γὰρ τὸ ἀμειώτως τε καὶ ἀνεκλείπτως παρέχειν τοῖς προσιοῦσι τὴν τῶν χαρίτων, ὡς εἰπεῖν, σύῤῥοιαν, φωτοφόρον ἔοικεν εἶναι δένδρον, ἀκτίνων δίκην, τῶν καρπῶν ἀσχέτως μεταδιδοὺς, καὶ παρέχων μὲν εἰς κόρον τοῖς προσιοῦσι τὰ κάλλιστα καὶ θειότατα, πλήρης δὲ ὢν αὐτὸς ἀεὶ τῶν τοιούτων, ὥσπερ τις παντοδαπῆς εὐεργεσίας ἥλιος, ἡ πηγὴ χαρίτων ἀέναος, ἡ θαυμάτων πέλαγος ἀνεξάντλητον, ἡ ἄβυσσός τις ἀνεκδιήγητος ὁρατῶν καὶ ἀοράτων ἀγαθῶν.

A verbum superaret, a principio ad finem studuit ostendere, et omnia simul pene a pueris fuit, firmum et decorum columen, statua pulcherrima a se motum accipiens, divinarum humanarumque gratiarum sedes et liber vivus et docens quæ ad virtutem et vitæ cultum conducant decorum novumque omnium bonorum temperamentum nova et omnibus utilissima singularum virtutum cumulus, et ut loquar cum Scriptura, palma florum splendidissima, oliva fructifera in domo Dei, arbor juxta decursus aquarum spiritus ope consita, nisi quod juxta Psalmistam lignum istud dat fructum in tempore suo, illi autem omne tempus fuit et est tum florum tum fructuum, et sicut illius arboris folium, sicut scriptum est, non de-
B cidit, ita ille non folia tantum sed et flores et fructus fidenter accedentibus distribuit. Denique, ut omnia paucis complectar, juxta Salomonis dictum: in brevi explevit tempora multa. Erat Demetrius illa Aaronis virga, germen pietatis frondescens, flos valde amœnus, fructus nobilis et Deo gratus, imo Christi æterni pontificis virga sceptrumque divinum, si tibi placet, et ramus semper florescens gratusque Deo Demetrius. Christi figura Aaron erat, sane Christi quidem erat typus, Demetrii vero per omnia decori, perfecti sceptri Salvatoris typus erat illa virga frondibus simul et floribus ornata, pariterque fructus proferens quos divinitus ad maturitatem adduceret. Demetrius autem ab ea discrepat tantum quantum a typo, decenter in melius non quidem
C parva, sed quælibet honesta et decora relinquens animi fortitudine et morum operumve et miraculorum excellentia. Ut indesinenter accedentibus gratiarum, ut ita dicam, affluentiam communicaret, luciferum visus est lignum esse quod, sicut sol radios, sine fine fructus proferebat et largiebatur venientibus optima et divinissima dona, quibus ipse semper abundabat, quemadmodum sol omnimodæ beneficentiæ, fons gratiarum perennis, mare miraculorum inexhaustum, abyssus ineffabilis bonorum tam visibilium quam invisibilium.

Τοῖς μὲν οὖν ἔξωθεν τὸν οὕτω μέγαν ἀγάλλειν ἐπιχειρεῖν, καὶ τὴν ἐνεγκοῦσαν τοῦτον ταυτηνὶ λέγειν, ὅτι κορυφή τις οἷον ἁπάσης Θετταλίας ἐστὶ, καὶ τοῦ κράτους ἐξ αὐτῶν τῶν πραγμάτων φερωνύμως ἐπώνυμος, ἔτι τε τῶν προγόνων τὴν περιφάνειαν, καὶ τῶν γεννητόρων τὴν εὔκλειαν, κἂν ἐκ περιουσίας αὐτῷ κἀντεῦθεν τὸ ἀξιάγαστον, περιττὸν ὅμως. Οὗτος γὰρ αὐτοῖς ἐστι μᾶλλον εἰς μέγα καύχημα· Δημητρίῳ δὲ κόσμος ἐκ τούτων πῶς; τῷ πᾶσαν τὴν οἰκουμένην, πρὸς δὲ καὶ τὸν ἄνω κόσμον ἐπικοσμήσαντι; Τούτῳ δὲ κόσμος τίς; Ἡ ἀκαθαίρετος πίστις, ἡ ἀπειρόδωρος χάρις, ὁ θεῖος καὶ ἀναφαίρετος πλοῦτος τῶν θεοειδῶν ἀρετῶν, ὃς νῦν ἐστιν ἐντεθησαυρισμένος τοῖς οὐρανοῖς, προσθήκη τοῖς ἐκεῖ ταμείοις τῶν καλλίστων γενόμενος, μᾶλλον δὲ ἀπὸ γῆς εἰς οὐρανὸν φθάνει, καὶ περιὼν ἔτι τῷ βίῳ, καὶ γεγονὼς ἐξ ἀνθρώπων, προσθήκη μεγίστη τοῖς ἀϊδίοις κα-

Ut quid laudibus externis tentem exornare et celebrare eam a qua nutritus est? Sane dicere quod decus totius Thessaliæ, quod a fortitudine quam in suis operibus protulit, nomen habuit, adhuc etiam
D majorum prædicare claritatem, parentumque nobilitatem, omnino supervacaneum esset. Ipse enim illis magis est honoris titulus; Demetrius autem quomodo e talibus mutuaretur ornatum, qui nec orbi tantum, sed etiam superno mundo ornatui fuit? Ipsi autem qualis ornatus? Fides intemerata, gratia infinita, divinæ quæ eripi non possunt opes virtutum Deo gratarum, quas in cœlis thesaurizavit, ibi adjunctus optimorum copiis, sed potius a terra in cœlum vadit vitæ superstes ex hominum numero creptus, maximum æternis splendoribus incrementum eximius Demetrius, speciosissima illa imo omni specie præstantior pulchritudo. Quem

Digitized by Google

David antea beatum prædicavit dicens : « Beatus vir qui non abiit in consilio impiorum, et in via peccatorum non stetit [60]. » Nunquam enim quod impium in mente concepit, nec quidquam Deo odiosum fecit. Sed integra in semetipso servata gratia divina quam in Christiano baptismate receperat, Domini legi concordem habuit voluntatem, quasi liber Deo et conspicua charta divino charactere insignita vel pugillares et codicilli ab ipsius Dei digito conscripta, et omnibus in communem utilitatem exposita. Nam si, secundum Isaiam, priusquam malum cognosceret, bonum elegit et in ipso juventutis flore virginitatis honorem amplexus est, in qua conservanda totus fuit, nihil negligens ut virgo tam mente quam corpore maneret et proinde civitatem in cœlis haberet et cum incorporeis ex æquo in corpore incederet. Propterea consociatas coluit cæteras omnes virtutes et præ aliis sapientiæ studium ita ut doctrina et innocentia perfectus brevi laudatam canitiem in juventute gereret ; cani enim, secundum Salomonem, sunt sensus hominis et ætas senectutis vita immaculata [61]. Erat ergo juvenis egregius, valde formosus visu, non tantum exterior homo, sed multo magis interior, quem oculus non videt. Quem videns Deus cor scrutans ita amore illius spiritualis et invisibilis pulchritudinis captus fuit, ut in eo tanquam in gratissimo domicilio sibi complacuerit et unum spiritum cum eo conglutinaverit et ex eo omnia divinitus perfecerit. Nam David quidem virum invenit, Demetrium vero nondum virorum ætatem assecutum, sed adhuc adolescentem secundum cor suum invenit operarium strenuum, præcepta ipsius perfecte explentem. Invenit vas electionis quod sicut Paulus portaret nomen ejus coram regibus et gentibus [62]. Invenit speculum intemeratum quod reflectebat supernam et eximiam pulchritudinem. Ego etiam illam vocem de illo audio prolatam : Ecce servus meus, quem elegi ; in ipso complacuit sibi anima mea ; ponam spiritum meum super eum, et judicium gentibus proferet, et discernet dignos ab indignis, ut sit sicut os meum ; malos vero convictos pudore suffundet et arguet destinatos ad perditionem. Ista quidem de Christo scripta sunt, sed etiam quasi per ipsum omnibus secundum Christum perfecte degentibus sunt commendanda. Erat autem doctor et proin apostolus, sapiens, virgo, piusque Demetrius, et ut brevi dicam, in omnibus decorus, integerrimus, et natura et studiis et gratia splendidus, ita ut Demetrio, prout dictum est de Job Ausita, non erat ei similis in terra, vel potius huic in omnibus divinissimo Job ipse erat similis, cui tunc, prout scriptum est [63], similis inter homines non inveniebatur ; erat enim i reprehensibilis, justus, pius ; et Job sicut posterius apparuit Demetrius, ille vero non habuit virginitatis laudem, virginitatis, inquam, quæ in juventute gloriosum victorem, naturæ triumphatorem, et angelis qui Deum circumstant coæqualem Deme-

A λοῖς ὑπάρχων Δημήτριος, καὶ καλλονὴ παγκόσμιός τε ἅμα καὶ ὑπερκόσμιος. Τοῦτον ὁ Δαβὶδ προλαβὼν ἐμακάρισε καὶ ἀνύμνησε, « Μακάριος, λέγων, ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη. » Οὐδὲ γὰρ ἐν νῷ ποτε κατεδέξατό τι τῶν μὴ θεοσεβῶν, οὔτε πρὸς πρᾶξιν ὥδευσεν οὐ θεάρεστον· ἀλλὰ φυλάξας ἑαυτῷ τὴν ἐκ τοῦ κατὰ Χριστὸν βαπτίσματος θείαν χάριν ἀμίαντον, τῷ τοῦ Κυρίου νόμῳ συνᾷδον εἶχε τὸ θέλημα, Θεοῦ βίβλος οἷον καὶ θεοχάρακτός τις ὑπάρχων πυκτὶς, καὶ πλὰξ ἢ πίναξ δακτύλῳ γεγραμμένη Θεοῦ, καὶ προτεθειμένη τοῖς πᾶσιν εἰς κοινὸν ὄφελος. Κατὰ γὰρ τὸν Ἡσαΐαν, πρὶν ἢ γνῶναι τὸ κακὸν, ἐξελέξατο τὸ ἀγαθὸν, καὶ ἐν αὐτῷ τῷ τῆς νεότητος ἄνθει τὴν τῆς παρθενίας ὥραν ἠσπάσατο, καὶ ὅλος τῆς κτήσεως ταύτης ἦν, πάντα πράττων, B ὥστε παρθένος εἶναι καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ δι' αὐτοῦ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχειν, καὶ τοῖς ἀσωμάτοις ἐξ ἐφαμίλλου χωρεῖν μετὰ σώματος, καὶ πρὸς τοῦτο συμμάχους τὰς ἄλλας πάσας ἀρετὰς εἶχε, καὶ πρὸ τῶν ἄλλων τὴν τῆς σοφίας σπουδὴν, ἵνα συνέσει καὶ καθαρότητι τελειωθεὶς ἐν ὀλίγῳ τὴν ἐπαινουμένην πολιὰν ἐν τῇ νεότητι φέρῃ· πολιὰ γάρ ἐστι κατὰ Σολομῶντα σύνεσις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Ἦν οὖν νεανίας ἁπαλὸς, εὖ μάλα καλὸς ἰδεῖν, οὐ τὸν ἔξω καὶ ὑπ' αἴσθησιν μόνον ἄνθρωπον, ἀλλὰ πολλῷ μᾶλλον τὸν ἔνδον καὶ μὴ ὁρώμενον, ὃν ἰδὼν ὁ βλέπων εἰς καρδίαν Θεὸς, ἐπὶ τοσοῦτον ἥλω τοῦ νοεροῦ καὶ ἀθεάτου κάλλους, ὡς ἐνσκηνῶσαι εὐδοκῆσαι τούτῳ, καὶ ἓν πνεῦ- C μα μετ' αὐτοῦ τελέσαι, καὶ ἐξ ἐκείνου τὰ πάντα ἀπεργάσασθαι θεῖον. Εὗρε γὰρ τὸν μὲν Δαβὶδ ἄνδρα· Δημήτριον δὲ μηδ' εἰς ἡλικίαν ἀνδρῶν παραγγείλαντά πω, νέον δὲ ἔτι κομιδῇ, κατὰ τὴν καρδίαν εὗρεν ἑαυτοῦ ἐργάτην ἀνεπαίσχυντον, πληρωτὴν τῶν ἐνταλμάτων αὐτοῦ· εὗρε σκεῦος ἐκλογῆς, κατὰ Παῦλον, τοῦ βαστάσαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον ἐθνῶν καὶ βασιλέων· εὗρεν ἔσοπτρον ἀκηλίδωτον, δεκτικὸν καὶ δεικτικὸν τῆς ὑπερανῳκισμένης καὶ ἀπορρήτου καλλονῆς. Ἐγὼ καὶ τῆς φωνῆς ἐκείνης ἐπ' αὐτὸν ἀκούω μυστικῶς ἐνεχθείσης, Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ, καὶ τοὺς μὲν μετασκευάσει καὶ κατασκευάσει ἀξίους ἐξ ἀναξίων, ἵν' ᾖ αὐτὸς ὡς στόμα ἐμόν· τοὺς δὲ ἐλέγ- D ξει καὶ καταισχυνεῖ καὶ ἀποδείξει κατηρτισμένους ὄντας εἰς ἀπώλειαν. Εἰ γὰρ καὶ περὶ Χριστοῦ ταῦτα γέγραπται, ἀλλὰ καὶ ὡς δι' ἐκείνου τοῖς κατ' ἐκεῖνον ἀκριβῶς βιοῦσι χαρισθησόμενα. Ἦν οὖν καὶ διδάσκαλος καὶ ἀπόστολος τοὐντεῦθεν Δημήτριος, ὁ σοφὸς, καὶ παρθένος, καὶ ὅσιος, καὶ ὡς εἰπεῖν πάγκαλός τε καὶ παναμώμητος, καὶ φύσει καὶ σπουδῇ καὶ χάριτι λαμπρυνόμενος, καὶ Δημητρίῳ τότε, κατὰ τὸ εἰρημένον περὶ τοῦ Αὐσίτου Ἰὼβ, οὐκ ἦν ὅμοιος ἐπὶ τῆς γῆς, μᾶλλον δὲ τούτῳ, τῷ πάντα θείῳ, οὐδ' αὐτὸς ἦν ὁ Ἰὼβ ὅμοιος, ᾧ ποτε, κατὰ τὸ γεγραμμένον, ὅμοιος ἐν ἀνθρώποις οὐκ ἦν. Ἄμεμπτος γὰρ, δίκαιος, εὐσεβής. Καὶ ὁ Ἰὼβ πρότερον, ὡς καὶ Δημήτριος ἀναπέφηνεν ὕστερον· τὴν δ' ἐκ

[60] Psal. i, 1. [61] Sap. iv, 9. [62] Act. ix, 15. [63] Job. i, 8, ii, 3.

Digitized by Google

A τῆς παρθενίας αἶνον ἐκεῖνος οὐκ εἶχε· παρθενίας ἢ στεφανίτην ἐκ νέου, καὶ τῆς φύσεως κρείττονα, καὶ τοῖς περὶ Θεὸν ἀγγέλοις ἐφάμιλλον ἀνέδειξε τὸν Δημήτριον. Καὶ τὸ σῶμα μὲν ἐκεῖνος ἐπλήγη πληγῇ βαρείᾳ, τῇ ἀντιθέτῳ προσπαλαίων κακίᾳ. Οὗτος δὲ, καὶ μέχρις αἵματος εἰς τέλος ἀντικατέστη πρὸς τὴν κακίαν ἀγωνιζόμενος. Ἀλλ' οὐδὲ τὴν περὶ λόγους παιδείαν ὁ Ἰὼβ μεμαρτύρηται, ἣν εἶχεν οὗτος μετὰ τῆς τοῦ Πνεύματος χάριτος κερασθεῖσαν, καὶ ὅπλον, καὶ ἀμυντήριον ἀνυπόστατον, καὶ οἰκοδομικὸν ἐργαλεῖον, καὶ γεωργικὴν σκαπάνην καὶ ἄροτρον, εἰ δὲ βούλει, καὶ δόνακα γραφικὸν, καὶ ἁλιευτικὴν σαγήνην, καὶ εἴ τι τοιοῦτον ἕτερον· νῦν μὲν τὸν ἀμπελῶνα Κυρίου καλλιεργῶν, καὶ τὰ οὐράνια καταβαλλόμενος εἰς γῆν σπέρματα, ἢ τὰ ῥήματα καταγράφων τῆς αἰωνίου ζωῆς, οὐκ ἐν πλαξὶ λιθίναις, B ἀλλ' ἐν πλαξὶ καρδίαις σαρκίναις, ταῖς γε ἀξίαις τῆς τοιαύτης καταγραφῆς, ἢ τῇ σαγήνῃ τοῦ λόγου περιλαμβάνων Θεσσαλονίκην, Ἀττικὴν, Ἀχαΐαν, μᾶλλον δὲ ὅσην νῦν περιβάλλει, καὶ εἰς ὅσην φθάνει διὰ τῶν μύρων, καὶ τῶν θαυμάτων, καὶ τῆς ἐν πᾶσιν ἀφθονίας τῆς χάριτος. Ἦν γὰρ καὶ τότε τῇ οἰκουμένῃ θαῦμα ἐν λόγοις θείοις Δημήτριος, εὐωδία Χριστοῦ κατὰ Παῦλον ὢν, ἔν τε τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις· καὶ τοῖς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, τοῖς δὲ ζωῆς εἰς ζωήν. Ταύτης τῆς εὐωδίας ἀμοιβὴν μὲν ἀποχρῶσαν οὐκ ἔχω λέγειν τὰ παρὰ Θεοῦ δεδομένα μύρα καὶ θαύματα τῇ σορῷ τοῦ μεγαλομάρτυρος· τί γὰρ τὰ παρόντα, κἂν ᾖ μεγάλα καὶ θαυμαστὰ, πρὸς τὰ ἐν οὐρανοῖς C παρὰ Θεοῦ καὶ δεδομένα τούτῳ καὶ ἀποκείμενα; καὶ τῇ ὑπερβολῇ τῆς δόξης, κατὰ Παῦλον εἰπεῖν, οὐ δεδοξάσθαι τὸ δεδοξασμένον· δεῖγμα δὲ ταῦτα πάντως τοῖς πᾶσι περιφανέστατον, ὅπως ἐκεῖνος ἔτι τῷ βίῳ περιὼν ὑπῆρχε Χριστοῦ εὐωδία, καὶ ὀσμὴ ζωῆς τοῖς ὑπακούειν προαιρουμένοις. Νῦν μὲν οὖν οὕτω γεωργῶν ψυχὰς ἀνθρώπων, ἢ ζωγρῶν τούτους κατὰ τὴν τοῦ Χριστοῦ πρὸς Πέτρον ἐπαγγελίαν, τὸν λόγον ὄργανον εἶχε πρὸς καλλιεργίαν καὶ θήραν σωτήριον· νῦν δὲ οἰκοδομῶν τῷ Θεῷ ναὸν ἐκ λίθων ζώντων καὶ ὄντως τιμίων, ὡς ἐργαλεῖον εἶχε τὸν λόγον κατάλληλον. Ὅτε δὲ πρὸς τοὺς ἀντικειμένους τῷ Χριστῷ συνεκρότει τὸν πόλεμον, καὶ μάλιστα τοὺς διὰ τῶν ἀοράτων ἐνεργουμένους ὁρατοὺς τῷ Θεῷ D πολεμίους, πάντα ἦν ὁ λόγος αὐτῷ, θείῳ πνεύματι καὶ χορηγούμενος, καὶ κινούμενος, καὶ τονούμενος, ῥυθμιζόμενός τε καὶ μετασκευαζόμενος πρὸς τὸ χρήσιμον. Καὶ οὕτω κατὰ τὸ γεγραμμένον περὶ τοῦ πρωταγωνιστοῦ τῶν μαρτύρων, οὐδεὶς εἶχεν ἀντιστῆναι τῇ τοῦ Δημητρίου σοφίᾳ, καὶ τῷ πνεύματι, ᾧ ἐλάλει. Ἐγὼ καὶ τὴν στρατιωτικὴν στολὴν, καὶ τὸν ἐν τῇ χειρὶ δακτύλιον, καὶ τὸν ὑπατικὸν ὠρατίωνα, ὃν ὁ μάρτυς ἀνεδεῖτο, παρὰ τοῦ τηνικαῦτα βασιλέως τὸ σχῆμα λαβὼν, σύμβολα τελέσαι λογίζομαι τῆς παρὰ τοῦ ὄντως βασιλέως μυστικῶς δεδομένης διδασκαλικῆς ἀξίας καὶ προεδρίας τῷ μάρτυρι. Διὸ καὶ ἡ τοῦ Θεοῦ θεία χάρις οὐκ ὀλίγα δι' αὐτῶν τεθαυματούργηκεν ὕστερον.

trium ostendit. Et quidem ille in corpore gravi plaga percussus est, contrariæ colluctans fortunæ, hic autem usque ad sanguinem in finem restitit adversus malum dimicans. Sed nec disciplinam in sermone Job testificatus est, quam iste habuit Spiritus gratia temperatam, tanquam telum, munimentum inexpugnabile, oratorium ligonem et vomerem, vel si volueris scriptorium calamum et piscatoriam sagenam et alia similia: nunc vineam Domini colit, cœlestibus in terram sparsis seminibus, vel verba vitæ æternæ conscribi non in tabulis lapideis, sed in tabulis cordis carnalibus tali honore dignis, vel sagena verbi complectitur! Thessalonicam, Atticam, Achaiam, seu potius tot regiones hodie continet quot peragrat per unguenta, per miracula, per eximiam gratiæ effusionem. Erat enim aliquando Demetrius terræ prodigium in divinis sermonibus, bonus odor Christi, sicut ait Paulus [44], tum salvandis tum pereuntibus, istis odor mortis in mortem, his odor vitæ in vitam. Hujus boni odoris sufficientem non dicam mercedem a Deo præstita unguenta et miracula in sepulcro magni nostri martyris ita ut, sicut Paulus [45] dicit, præ nimia gloria res glorianda in contemptum caderet. Nam quid præsentia, etsi magna et mirabilia, præ illis a Deo in cœlis ipsi datis et condonatis? Vultis ut vobis ostendam modo omnibus evidentissimo quomodo ille adhuc vitam peragens bonus odor Christi exstitit et odor vitæ dociliter obedientibus? Nunc quidem hominum animas excolens, vel eos piscari intendens, secundum evangelica ad Petrum verba, instrumentum habuit sermonem ad illam sanctissimam et salutarem piscationem; nunc vero ædificans Deo templum ex lapidibus vivis vereque honore dignis pro instrumento sermonem habuit consentaneum. Quando autem Christi adversariis bellum denuntiabat, præsertim visibilibus Dei inimicis per invisibiles impulsis, omnia erat illi sermo divino Spiritu inspiratus et enuntiatus et instructus et apte pro commoditate dispositus, ita ut, sicut scriptum est, de primo inter martyres pugnatore, nullus erat qui resisteret Demetrii sapientiæ et Spiritui qui per eum loquebatur. Ego quidem per illam militarem tunicam, per illum in manu annulum, per illam consularem togam quam martyr a rege acceperat, symbola explevisse censeo doctoralis laudis et prærogativæ a vero Rege martyri mystice impertitæ. Ideo divina Dei gratia non parva per ea serius patravit miracula.

Ἔδει δὲ πάντως τὸν ἐξαρχῆς ἀπατεῶνα σοφῶς ἠπατῆσθαι, ἵνα μὴ πρὸ καιροῦ τὸν θάνατον συσκευάσῃ τῷ μάρτυρι, καὶ ὁ τῆς αἰωνίου ἀποθήκης καρπὸς, μήπω πεφθεὶς εἰς τέλος, ἐκτρυγηθῇ, καὶ

Sed oportebat omnino fraudulentum a principio sapienter deludi ne data occasione, mortem martyri machinaretur; et thesauri æterni fructus nondum perfecte maturus vindemiaretur et corporis

[44] I Cor. II, 15. [45] Philipp. III, 8.

Digitized by Google

pondere cadens in terram non ferret fructum multum propter immaturum casum. Sed cum horum symbolorum exitum is quem recte ipsam dixeris invidiam, vidisset, cum talia ferre non posset, furore accendit secundum antiquam fallaciam opifices mendacii qui regi mendacii (iste Maximianus erat) dominanti parentes persequuntur mendacii insectatorem, et sic ad martyrii stadium accingitur Demetrius, gratiis ineffabilibus a pueris plenus, in omnibus sapiens et justus et sanctus et apostolus et virgo et immaculatus. Quid plura? non dicam quoniam dilectus Christo discipulus, quoniam servus, quoniam constantissimus et familiarissimus amicus, seu potius, ut omnia in uno complectar, quoniam transivit per omnia Deo jucunda, tum rationes, tum verba, tum operationes.

Desideratis omnes, optime nosco, modum comprehensionis, ubi et quomodo a turba inquisitus fuit et correptus. Stat porticus subterraneus in templo Deiparæ semper Virginis cui cognomen refugium ubi ex antiquo more magni martyris encomium singulis annis incipitur et in finem deducitur solemnitas. Regnante ergo impietate, cum pietas sub sole locum non haberet, illa hypogæa subiens assistentibus cœlestem doctrinam distribuebat, et ad eum ab impietatis limo velut ab æstuosissimo pelago confugientibus vere tranquillum pietatis portum vitam Christianam secure prædicatam proponebat, et sic refugium divinissimus exstitit martyr omnibus piam vitam eligentibus, propterea refugium pro cathedra sortitum est. Quibus auditis ab eis qui erant ex parte Maximiani Herculei, surrexerunt ad inquirendum pietatis patronos, et detecto martyre ibi populum docente, multo magis ira ferbuerunt quando collectam viderunt multitudinem velut Dei voci Demetrii sermonibus inhærentem, in ipsum irruunt tanquam in præstantiorem, dispersa multitudine, apprehensum per istud iter agunt; et Maximiano offerunt qui interea cum summa voluptate baccheis homicidiis totus indulgebat. Qui cum nisi ægre divelli posset, interea sanctum in carcere includi jussit, ejus dilato martyrio. Quorum nos memoriam quotannis celebrantes ibi encomia incipimus, hic autem perfecimus. Talis se habuit martyr propter Christum vadens ad occisionem, tanquam ad festum et gratissima convivia invitatus. Perversissimus ideo zelabat diabolus quam citissime ab hominibus auferre Demetrium. Non enim patiebatur talem adhuc in terra versar et videri et hominibus loqui et prorsus audiri. Deus autem volebat suum prophetam mox coram omnibus proferre, et inde illustris martyrii palmam colligere, sed non eum tantum martyrii gratiam habere, verum etiam habentem aliis impertire, tanquam ex eximia arctaque cum ipso societate quasi fontem eximium gratiæ factus.

A πεσὼν διὰ τοῦ σώματος εἰς τὴν γῆν, οὐκ ἐνέγκῃ καρπὸν πολὺν διὰ τὴν ἀκαιρίαν τοῦ πτώματος. Ἀλλ' ἡνίκα τῶν συμβόλων ἐκείνων τὴν ἔκβασιν ὁ αὐτόχρημα φθόνος εἶδεν, οὐκέτι φέρειν οἷός τε ὤν, ἐκμαίνει κατὰ τοῦ ἀντιπάλου τῆς πλάνης τοὺς ὑπηρέτας τῆς πλάνης, καὶ τῷ βασιλεῖ τῆς ἀπάτης, Μαξιμιανὸς οὗτος ἦν, κρατήσαντες ἀπάγουσι τὸν τῆς ἀπάτης διώκτην, καὶ οὕτω πρὸς τὸ τοῦ μαρτυρίου στάδιον ἀποδύεται Δημήτριος, ὁ χαρίτων ἀῤῥήτων ἐκ παιδὸς ἔμπλεως, καὶ τὰ πάντα σοφὸς, καὶ δίκαιος, καὶ ὅσιος, καὶ ἀπόστολος, καὶ παρθένος, καὶ πάναγνος, οὐ πολὺ δὲ εἰπεῖν, ὅτι καὶ ἠγαπημένος τῷ Χριστῷ μαθητὴς, ἢ παῖς, ἢ φίλος ἄκρος καὶ οἰκειότατος, μᾶλλον δὲ πάνθ' ὁμοῦ, ὡς καὶ διὰ πάντων ἐλθὼν τῶν Θεῷ φίλων, καὶ λογι- B σμῶν, καὶ λόγων, καὶ πράξεων.

Ποθεῖτε πάντες, εὖ οἶδα, καὶ τὸν τρόπον τῆς κατασχέσεως, ὅπῃ τε καὶ ὅπως ὑπὸ τῶν δημίων ἥλω ζητούμενος. Στοά τις ἐστὶν ὑπόγειος ἐν τῷ ναῷ τῆς ἀειπαρθένου καὶ Θεομήτορος, ἧς καταφυγὴ τὸ ἐπώνυμον, ὅθεν ἔθος ἐστὶ παλαιὸν τῆς τοῦ μεγαλομάρτυρος πανηγύρεως τὴν ἀρχὴν δι' ἔτους ποιεῖσθαι, κἀκεῖθεν διὰ τῆς λεωφόρου μεθ' ὕμνων τῶν πρὸς αὐτὸν ἀνιόντας, ἐνθάδε ταύτην ἀνύειν καὶ εἰς τέλος ἄγειν τὴν ἑορτήν. Τῆς οὖν ἀσεβείας ἐπικρατούσης, ἐπεὶ τὰ τῆς εὐσεβείας χώραν οὐκ εἶχεν, ἐμφιλοχωρῶν ὁ μάρτυς τοῖς ὑπογείοις ἐκείνοις, μετεδίδου τοῖς προσιοῦσι τῆς οὐρανίου διδασκαλίας, καὶ τοῖς ἀπὸ τῆς ἀσεβείας, οἱονεί τινος πολυ- C κυμάντου κλύδωνος, ἐπ' αὐτὸν καταφεύγουσι, τὸν ὄντως εὔδιον λιμένα τῆς εὐσεβείας, μετ' ἀδείας τὰ Χριστιανῶν ὑπετίθετο καὶ ἐτέλει. Καὶ οὕτω καταφυγὴ μὲν ὁ θειότατος ὑπῆρχε τηνικαῦτα μάρτυς πάντων τῶν εὐσεβεῖν αἱρουμένων. Καταφυγὴ δὲ καὶ τόπος ἐντεῦθεν ἐκλήθη. Τοῦτο μαθόντες οἱ παρὰ Μαξιμιανοῦ τοῦ Ἐρκουλίου καταστάντες ῥινηλατεῖν τοὺς συνηγόρους τῆς εὐσεβείας, διδάσκοντι τῷ μάρτυρι τὸν λαὸν ἐπιστάντες ἐκεῖ, καὶ πολὺ πλέον μανέντες, ἅτε τὸ συνειλεγμένον πλῆθος ἰδόντες, ὡς Θεοῦ φωναῖς, τοῖς τοῦ Δημητρίου λόγοις προσέχοντας, κατ' αὐτοῦ χωροῦσιν, ὡς προεστηκότος, τὸ πλῆθος διασκεδάσαντες. Κρατήσαντες δὲ, διὰ τῆς λεωφόρου ἄγουσι ταύτης, καὶ τῷ Μαξιμιανῷ παριστᾶσιν, ἐνταῦθά ποι διατρίβοντι, καὶ ταῖς τοῦ Λυαίου D ἀνθρωποκτονίαις μεθ' ἡδονῆς ὅτι πλείστης προσέχοντι. Ὁ δὲ δυσαποσπάστως ἔχων τῆς τέρψεως, ἐνταῦθα κατάκλειστον γενέσθαι προστάττει τὸν ἅγιον, οὗ καὶ τὸ μαρτύριον ἤνυσε. Ταῦθ' ἡμεῖς εἰκονίζοντες κατ' ἔτος εἰκότως, ἐκεῖ μὲν τῆς πανηγύρεως ποιούμεθα τὴν ἀρχὴν, ὧδε δὲ τὴν τελείωσιν, ἐπεὶ καὶ ὁ μάρτυς οὕτως εἶχεν, ἑλκόμενος εἰς σφαγὴν τηνικαῦτα διὰ Χριστὸν, ὡς εἰς ἑορτὴν καὶ θυμηδίαν τὴν μεγίστην καλούμενος. Ἡ μὲν οὖν τοῦ ἀρχεκάκου διαβόλου σπουδὴ, τοτάχος ἐξ ἀνθρώπων τηνικαῦτα γενέσθαι Δημήτριον. Οὐ γὰρ ἔφερε τοῦτον ἐπὶ γῆς ἔτ' εἶναι, καὶ ὁρᾶσθαι, καὶ προσλαλεῖν ἀνθρώποις, καὶ ὅλως ἀκούεσθαι· ὁ δὲ Θεὸς ἐβούλετο καὶ προφήτην ὄντα παραστῆσαι τὸν μετὰ μικρὸν ἐσόμενον πρὸς τοῖς ἄλλοις πᾶσι καὶ οἰκεῖον μεγαλομάρτυρα, καὶ μὴ μόνον ἔνοικον ἔχοντα τὴν μαρτυρικὴν χάριν, ἀλλὰ καὶ τοῖς ἄλλοις παρέχειν ἔχοντα, ἐκ τῆς πρὸς αὐτὸν ἄκρας ὑπερφυοῦς συναφείας οἷά τινα πηγὴν ὑπερφυᾶ γεγονότα τῆς χάριτος.

Digitized by Google

Καὶ τί δεῖ λέγειν, τοῦ καιροῦ μακρὰ λέγειν μὴ A συγχωροῦντος; Ἴστε τὴν ἀναβολὴν τοῦ τυράννου, καὶ τὴν κάθειρξιν Δημητρίου, καὶ τὸν Νέστορα ἐπὶ τούτοις, καὶ τὴν πρὸς αὐτὸν τοῦ μεγαλομάρτυρος προφητείαν, καὶ τὴν κατ' αὐτὴν ἐκείνου κατὰ Λυαίου νίκην, καὶ τὸ μαρτύριον. Ἀλλ' ὡς εἶδεν ὁ ἀρχέκακος ὄφις παρατεινομένην τὴν ἀναβολὴν τοῦ τυράννου, αὐτὸς δὲ οὐκ ἔφερεν ἔτι ζῶντα βλέπειν ἐπὶ γῆς, τὸν καὶ πρὸ τῆς τελειώσεως τοῦ μαρτυρίου μέγαν Δημήτριον, σκορπίον ὑποδὺς, προσβάλλει τῷ μάρτυρι, οὐχ ὡς ἀπατήσων ἢ θέλξων, καθάπερ ποτὲ διὰ τοῦ ὄφεως τῆς πρώτης ἐκείνης ξυνωρίδος τῶν προπατόρων τὴν μὲν ἐξηπάτησε, τὸν δὲ δι' ἐκείνης ἔθελξεν. Ἤδει γὰρ διὰ πείρας ἀνεξαπάτητον ὄντα Δημήτριον, καὶ γενναῖον ἐπιεικῶς, καὶ γεγυμνασμένον πρὸς διαίρεσιν τοῦ βελτίονος. B Οὐχ ὡς ἀπατήσων οὖν διὰ σκορπίου προσβάλλει, ἀλλ' ὡς πλήξων καιρίως, καὶ θανατώσων ὡς τάχιστα, καὶ ἀπαλλάξων ἑαυτὸν ἀντιπάλου τοσούτου τὴν ἀρετὴν καὶ τὴν δύναμιν. Ἀλλὰ φθάνει τὸ τάχος ἐκείνου καὶ τὴν σπουδὴν ἡ ἐνοικοῦσα τῷ Δημητρίῳ χάρις αὕτη καὶ δύναμις. Ἐπικλήσει γὰρ καὶ σφραγῖδι θείᾳ διὰ τῆς οἰκείας χειρὸς ὁ μάρτυς χρησάμενος, νεκροῖ τὸ τῆς νεκρώσεως ὄργανον, καὶ καταισχύνει τὸν ὑποδύντα, καταργήσας αὐτοῦ τὴν ἐνέργειαν, καὶ δείκνυσιν ἐντεῦθεν, ὡς, εἰ μὴ αὐτὸς ἑκὼν ὑπῆλθε τὸ πάθος, οὐδ' ἂν ὅλως ἔπαθε, παρὰ τῆς τοῦ Χριστοῦ χάριτος καὶ δυνάμεως φρουρούμενός τε καὶ δυναμούμενος, θέλων δὲ παραδίδοται, καὶ περικλείεται, καὶ χερσὶ κρατεῖται δημίων, καὶ ὑπὸ τῶν κακούργων C πάσχει τὰ τῶν κακούργων, τὸν ὑπὲρ ἡμῶν παθόντα μιμούμενος. Διὰ τοῦτο καὶ τοῖς λογχοφόροις ἐπιστᾶσι φονεῦσιν, ὑπὸ τοῦ τυράννου πεμφθεῖσιν, ἀναπεπταμέναις ἀγκάλαις, ὡς καιρίως πληχθησομέναις, δέχεται τὴν τελευταίαν πληγὴν, μᾶλλον δὲ τὰς πληγὰς, διὰ πάντων ἰούσας, τῶν τε σπλάγχνων, καὶ ὀστῶν, καὶ σαρκῶν, ὡς ἑκατέραν τῶν πλευρῶν, τὴν μὲν ἔξωθεν δέξασθαι τὰς ἐκ τῶν αἰχμῶν διατρήσεις, τὴν δὲ, ἔνδοθεν, καὶ οὕτω διπλασιάζει, μᾶλλον δὲ πολυπλασιάζει, τὸ τῆς σωτηρίου πάθος πλευρᾶς, τὰ ὑστερήματα κατὰ Παῦλον ἀναπληρῶν τοῦ Χριστοῦ, καὶ οὕτως ἐρᾷ τῆς σφαγῆς, καὶ οὕτως ἐρᾷ τοῦ τὸ ἴδιον αἷμα χεῖν ὑπὲρ τῆς δόξης τοῦ Χριστοῦ, πάνυ πολλάκις καὶ διηνεκῶς, εἴπερ ἦν, ὡς καὶ παρὰ τοῦ γινώσκοντος τὸ περιὸν D αὐτῷ καὶ ὑπερβάλλον τοῦ ἔρωτος πηγὴν λαβεῖν ἐν τῷ σώματι μύρων, ἵνα τοῦ αἵματος ἐπιλιπόντος, αὕτη καὶ εἰς τὸν ἑξῆς πάντα χρόνον ἀντὶ αἵματος ἐκ τοῦ σώματος χέηται εἰς δόξαν Χριστοῦ, ὃν οὗτος καὶ διὰ ζωῆς καὶ διὰ θανάτου, καὶ μετὰ θάνατον οὐκ ἐδόξασε μόνον, ἀλλὰ καὶ δοξάζει διηνεκῶς· παρ' οὗ καὶ ἐν γῇ καὶ ἐν οὐρανῷ καὶ ἀντεδοξάσθη, καὶ δοξάζεται, καὶ δοξασθήσεται θείως.

Ἐπέρχεται δέ μοι νῦν λέγειν περὶ αὐτοῦ, ὅπερ ὁ θεῖος Παῦλος φησὶ περὶ τοῦ Χριστοῦ. Συνίστησι γὰρ τὴν εἰς ἡμᾶς ἀγάπην καὶ ὁ μέγας Δημήτριος, ὅτι ἔτι ἀσεβῶν ἡμῶν ὄντων, οὗτος κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε· κατὰ χάριν μέντοι τοῦ Δεσπότου καὶ

Quid ad hæc adjiciam? cum tempus orationi prolongandæ non suppetat. Nostis tyranni dilationem et Demetrii in custodiam conjectionem, et his adjunctis Nestorem, et martyris nostri ad ipsum prophetiam, et ejus victoriam in Lyæum, et martyrium. Sed perversissimus serpens conspecta tyranni mora non ferebat adhuc viventem in terra Demetrium videre, illum etiam ante expletum martyrium excellentem, sed scorpionem irrepens eum ad martyrem admovet, non quidem ut eum falleret vel incantaret perinde ac olim per serpentem ex primævis parentibus aliam quidem fefellit, alium vere per eam seduxit. Sciebat enim Demetrium tentatione non deludendum et mira generositate præditum et ad eligendum quod melius est valde exercitum. Non ergo ad deludendum scorpionem ingressus accedit, sed ut lethali vulnere sauciatum quam citissime occideret et semetipsum tanto et virtute et fortitudine adversario expediret; sed ejus promptitudinem diligentiamque prævenit illa gratia et fortitudo inhærens Demetrio. Etenim divino precationis gladio propria manu utens martyr occidit mortis instrumentum, et ignominia suffundit illapsum, destructa ejus potentia et sic demonstrat quoniam, nisi libens pœnam subiisset, nullo modo passus esset Christi gratia et virtute accinctus et roboratus, bene vero sponte traditur, ducitur et imperiose tractatur plebis manibus et ab artificibus mali perversorum supplicia recipit, pro nobis passum imitatus. Ideo lanceariis interfectoribus a tyranno missis occurrit et decussatis bracchiis tamquam lethali vulnere percutiendis, ultimam accipit plagam seu potius plagas quibus omne corpus et viscera et ossa et carnes transfixa doluerunt, ita ut ex utroque latere aliud quidem exterius ensium perforationes receperit, altero autem interius duplicatus vel magis multiplicatus fuerit Salvatoris lateris dolor; adimplevit enim, sicut et Paulus [46], ea quæ desunt passionibus Christi, et sic occisionis amore arsit, sicque suum sanguinem pro Christi gloria manare non pluries modo sed etiam jugiter, si posset, desideravit, ut ab eo quem non latebat illius amoris uberior superfluitas meruerit accipere in corpore unguentorum fontem, ut sanguine deficiente, fons illa per omne tempus pro sanguine a corpore manaret in gloriam Christi, quem ita martyr noster et per vitam et per mortem et post mortem non tantum glorificavit, sed et perpetuo glorificat, a quo in mercedem in terris et in cœlis gloriam accepit, accipit, et divinitus accipiet.

Superest mihi de illo dicere quæ divus Paulus de Christo protulit. Commendavit suam erga nos charitatem ipse magnus Demetrius quoniam cum peccatores essemus ipse in tempore pro peccatoribus mortuus est. Quo tamen non nisi per gratiam

[46] Coloss. I, 24.

A Domini ad ejus imitationem perfecit, et omnis civitas Deo reconciliata fuit per mortem illius. Ubi enim illa impietatis redundatio in qua plures ex nostris majoribus jacuisse non est incredibile? Ubi metus ex pietate, et ideo desiderata perfugia? Ubi majori quam bestiarum feritate adversus pios furentes? Omnia soluta sunt adversa, omnia supervenerunt commoda, dum Demetrius sese pietatis gratia periculis objecisset. Templa ingentia et perpulchra quorum solo aspectu omnes ad ipsa convertuntur istorum loco refugiorum steterunt; reges pietate magis quam potestate illustres nobis adstant, et unanimi plausu acclamant præclara martyris gesta; urbs tota palam pietatem ejus celebrat, super martyrium magni Demetrii exaltans. B Nam diffudit charitatem non in corda tantum nostra sed et in corpora per unguenta quæ ex suo corpore ad nos roborandos dimittit. Quorum igitur bonus odor ex omni parte urbis impietatem extrusit, et civitatem istam Deo obtulit tanquam alium paradisum, nisi quid majus, flumine non aquarum sed unguentorum jucunde irrigatam, unguentorum, inquam, in quibus et ex quibus prorsus servatur per Spiritum gratia curationum, operationes virtutum, ita ut possimus et nos dicere de magno Demetrio quod de anima casto vinculo Deo sponsata in Cantico canticorum scriptum est: « Odor vestimentorum tuorum super omnia aromata [47]. » Vestimentum martyris animæ putabis corpus cujus genæ, ut rursus secundum idem canticum C dicam: « tanquam areolæ aromatum, et digiti sicut lilia distillantia myrrham primam [48]. » Multo magis latera ense perforata sicut latus illud lancea transfixum, non sicut areolæ unguenti primi odorem in se retinent, sed fontem exprompserunt jugem et inexhaustum, ita ut non sit nobis cum Psalmista canere: « Flumen Dei repletum est aquis [49]; sed fons Dei (hic est martyris corpus) diffluens unguentis et miraculis et curationibus, et quod erat omnibus his mirabilius, per canales effluens nihil de sua amittit plenitudine: ita ut mihi videatur divina martyris anima a corpore exiens. Deum istis sermonibus affatam esse, quos anima Deo sponsata in illis protulit canticis. D Quosnam? « Surge, aquilo, et veni auster, perfla hortum meum, et fluant aromata mea [50]. » Et sic spiritualis aquilonis flamine usquedum in urbe sævientium impietatis hiemem ejecit et dissolvit, inde adduxit nobis spiritualem pietatis calorem, quem invexit felix flatus austri illius qui aura secundissima in altum impellit navem eorum qui mare intendunt transmittere, oriente sole justitiæ, et in horto virtutum gratiarumque. Hoc vere est corpus martyris quod scaturire facit unguenta et medicamenta. Qui canales tot sunt quot factæ sunt a lancearii corporis perforationes. Ora enim luporum quorum in medio, ut docet Evangelium,

μίμησιν· καὶ πᾶσα ἡ πόλις αὕτη κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου αὐτοῦ. Ποῦ γὰρ τὸ πλήρωμα ἐκεῖνο τῆς ἀσεβείας, ἐν ᾧ καὶ πολλοὺς εἶναι τῶν ἡμετέρων προγόνων οὐκ ἀπεικός; Ποῦ ὁ ἐπ' εὐσεβείᾳ φόβος, καὶ αἱ διὰ τοῦτον ποθειναὶ καταδύσεις; Ποῦ οἱ τὴν τῶν θηρίων παρελάσαντες ἀγριότητα τῇ κατὰ τῶν εὐσεβούντων μανίᾳ; Πάντα λέλυται τὰ δεινὰ, πάντα προσεγένετο τὰ χρηστὰ, Δημητρίου τῆς εὐσεβείας προκινδυνεύσαντος. Καὶ ναοὶ μὲν εὐμεγέθεις, καὶ περικαλλεῖς, καὶ μόνῃ τῇ θέᾳ πάντας πρὸς ἑαυτοὺς ἐπιστρέφοντες, ἐπὶ τῶν καταδύσεων ἐκείνων ἑστήκασι· βασιλεῖς δὲ τῇ εὐσεβείᾳ μᾶλλον, ἢ τῇ βασιλείᾳ κοσμούμενοι, συμπαριστᾶσιν ἡμῖν, καὶ συνεπικροτοῦσιν εὐφημοῦντος τὰς ἀριστείας τοῦ μάρτυρος· πᾶσα δὲ ἡ πόλις παῤῥησιαζόμεθα τὴν εὐσέβειαν, ἐπὶ τῷ μαρτυρίῳ τοῦ μεγάλου Δημητρίου καυχώμενοι. Καὶ γὰρ ἐξέχει τὴν ἑαυτοῦ ἀγάπην οὐκ ἐπὶ τὰς καρδίας ἡμῶν μόνον, ἀλλὰ καὶ ἐπὶ τὰ σώματα, διὰ τῶν μύρων, ὧν εἰς ἡμῶν εὐρωστίαν ἀνίησιν ἐκ τοῦ σώματος· ὧν ἄρα ἡ εὐωδία πανταχόθεν τῆς πόλεως ἀπήλασε τὴν ἀσέβειαν, καὶ πόλιν ἀνέδειξε ταύτην Θεοῦ, ἢ παράδεισον ἄλλον, εἰ μή τι καὶ πλέον, ἀρδομένην καὶ γαννυμένην ποταμῷ μύρων, ἀλλ' οὐχ ὑδάτων· καὶ μύρων, ἐν οἷς καὶ ἐξ ὧν ἐστι πάντως διὰ τοῦ Πνεύματος ἡ χάρις τῶν ἰαμάτων, τὰ ἐνεργήματα τῶν Δυνάμεων, ὡς ἔχειν ἡμᾶς λέγειν πρὸς τὸν μέγαν Δημήτριον, ὃ περὶ τῆς ἐν ἀφθαρσίᾳ νυμφευθείσης τῷ Θεῷ ψυχῆς ἐν τοῖς τῶν ᾀσμάτων ᾄσμασιν ἀναγέγραπται· ὡς Ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα. Ἱμάτιον δὲ τῆς μαρτυρικῆς ψυχῆς νοήσεις τὸ σῶμα, οὗ καὶ αἱ σιαγόνες, κατ' ἐκεῖνο πάλιν εἰπεῖν τὸ ᾆσμα, Ὡς φιάλαι μύρων, καὶ οἱ δάκτυλοι ὡς κρίνα στάζοντα εὐωδίαν. Πολλῷ μᾶλλον ἡ λογχευθεῖσα πλευρὰ, ἥτις οἷον ἀναστομωθεῖσα ταῖς λόγχαις, οὐκέτι ὡς φιάλη κατέχει παρ' ἑαυτῇ τὰ μύρα, οὐδὲ ὡς κρίνα σταλαγμοὺς εὐώδεις ἀφίησιν, ἀλλὰ πηγὴν ἀναδίδωσιν ἀένναον καὶ ἀνέκλειπτον, ὡς εἶναι μὴ κατὰ τὸ ψαλμικὸν ἡμᾶς λέγειν, ὅτι Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, ἀλλ' ὅτι ἡ τοῦ Θεοῦ κρήνη, αὕτη δέ ἐστι τὸ μαρτυρικὸν σῶμα, πεπλήρωται μύρων καὶ θαυμάτων καὶ ἰαμάτων· καὶ τὸ τούτων ἔτι θαυμασιώτερον, ὅτι καὶ κατὰ κρουνοὺς ῥέουσα τὸ πλῆρες οὐκ ἀποτίθεται. Καὶ, ὡς ἔοικεν, ἐκείνους εἶπε τοὺς λόγους πρὸς Θεὸν ἐκ τοῦ σώματος ἀνιοῦσα ἡ μαρτυρικὴ καὶ θεία ψυχὴ, οὓς καὶ ἡ τῷ Θεῷ νυμφευθεῖσα φησὶν ἐν ἐκείνοις τοῖς ᾄσμασι. Τίνας τούτους; Ἐξεγείρου, βοῤῥᾶ, καὶ ἔρχου, νότε. Διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου. Καὶ οὕτω τὸν μὲν ἀπὸ τῆς ἐπιπνοίας τοῦ νοητοῦ βορέου τρύχοντα τηνικαῦτα τὴν πόλιν χειμῶνα τῆς ἀσεβείας ἀπήλασε καὶ διέλυσεν· ἐπανήγαγε δὲ ἡμῖν τὴν νοητὴν ἀλέαν τῆς εὐσεβείας, ἣν ἡ εὔπνοια δίδωσιν ἐκείνου τοῦ νότου, ὃς κατὰ πρύμναν καθάπερ εἰσβάλλει τοῖς ἀναπλεῖν αἱρουμένοις πρὸς τὴν ἀνατολὴν τοῦ τῆς δικαιοσύνης ἡλίου, καὶ τῷ κήπῳ τῶν ἀρετῶν καὶ τῶν χαρίτων, οὗτος δέ ἐστι τὸ σῶμα τὸ μαρτυρικὸν, πηγάζειν ἔδωκε τὰ μύρα καὶ

[47] Cant. IV, 11. [48] Cant. V, 5. [49] Psal. LXIV, 10. [50] Cant. IV, 16.

Digitized by Google

τὸ ἰάματα· τοσούτους ἀναδείξασα τοὺς κρουνοὺς, ὁπόσαι γεγόνασιν αἱ παρὰ τῶν λογχευσάντων διατρήσεις τοῦ σώματος. Τὰ γὰρ στόματα τῶν λύκων, ὧν ἐν μέσῳ κατὰ τὸ Εὐαγγέλιον τὸν οἰκεῖον μαθητὴν Δημήτριον ὁ Κύριος ἔπεμψε, τοῖς δήγμασι πηγὰς ἀνεστόμωσε, τῷ μὲν τοῦ Χριστοῦ ποιμνίῳ θυμηδίαν ἐμποιούσας μεγίστην, καὶ πολλὰς συμφερούσας εὐεργεσίας, πολλοὺς δὲ καὶ τῶν λύκων, καὶ κατὰ μικρὸν πάντας, μετασκευαζούσας εἰς ἄρνας. Καὶ οὕτως αἱ πύλαι τοῦ ᾅδου, αἵτινές εἰσι τὰ τῶν τυράννων ἐκείνων στόματα τὰς θανατηφόρους ἀποφάσεις ἐξάγοντα, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καίτοι προκειμένης εἰς δήξεις, οὐ μόνον οὐ κατισχύουσιν, ἀλλὰ πρὸς τῇ οὐρανίῳ καὶ ἀϊδίῳ δόξῃ καὶ τὴν ἐπὶ γῆς δόξαν προξενοῦσι τοῖς πάσχουσι.

A suum Dominus misit discipulum, morsibus fontes aperuerunt quibus Christi gregi maxima generatur lætitia, multa patrantur beneficia, multi ex lupis, nisi omnes, in oves conversi fuerunt. Et sic inferni portæ, seu illorum ora tyrannorum morsibus suis lethalibus Ecclesiæ Christi, licet morsibus expositæ, non modo non prævalent, sed insuper præter cœlestem et æternam gloriam patientibus gloriam in terris largiuntur.

Βούλεσθε κἀκεῖνο μαθεῖν, τί βούλεται τὸ σήμερον ἀνεγνωσμένον ἐν τῷ τοῦ Κυρίου Εὐαγγελίῳ πρὸς τοὺς ὑπ' αὐτοῦ πεμπομένους ἐν μέσῳ τῶν λύκων παράγγελμα, Γίνεσθε φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί; Φυλακτικός ἐστιν ὁ ὄφις ἑαυτοῦ, ἀλλὰ καὶ λυμαντικὸς ἑτέρων, ἀμυντικὴν καὶ κακοποιὸν ἔχων ὁρμὴν καὶ δύναμιν. Ἡ δὲ περιστερὰ, ἄκακός ἐστι καὶ ἀφύλακτος. Παραγγέλλει οὖν τοῖς οἰκείοις ὁ Κύριος, μήτε κακοποιοὺς εἶναι κατὰ τοὺς ὄφεις, μήτε ἀφυλάκτους κατὰ τὰς περιστερὰς, ἀλλὰ τὸ φυλακτικὸν τῷ νουνεχῶς ἀκάκῳ συνετῶς συνάψαντας, ἐνστατικοὺς μὲν εἶναι πρὸς φυλακὴν τῆς οἰκείας καὶ εὐσεβείας καὶ ἀρετῆς, ἀκάκως δὲ πρὸς τοὺς ἐπηρεάζοντας ἔχειν ἐπὶ τοσοῦτον ὡς καὶ ὑπερεύχεσθαι τούτων. Οὕτω γὰρ καὶ αὐτοῖς τοῖς ὑπὸ τοῦ νοητοῦ θανατωθεῖσιν ὄφεως ἴαμα γενήσονται πρὸς ζωήν. Καθάπερ γὰρ τὴν σάρκα τοῦ ὄφεως οἱ τῶν ἰατρῶν παῖδες ἀπολαβόντες, καὶ τοῦ ἰώδους ἀποκαθάραντες καί τισιν ἐδέσμασι μίξαντες, διὰ ταύτης τοὺς ὀφιοδήκτους ἰῶνται, οὕτω καὶ ὁ τὸ τοῦ ὄφεως φρόνιμον καὶ φυλακτικὸν ἐν καιρῷ πειρασμῶν τῇ τῆς περιστερᾶς ἀκακίᾳ κεράσας οὐχ ἑαυτὸν μόνον ἀνώτερον τῆς ἐκ τοῦ ὄφεως βλάβης πεποίηκε, δηλονότι τῆς ἐκ τοῦ διαβόλου ἀπάτης, ἀλλὰ καὶ τοὺς ὀφιοδήκτους, τουτέστι, τοὺς πεπλανημένους ἰᾶται, καταργῶν τὴν κακίαν τοῦ ὄφεως, ἥτις ἐστὶν ἡ ἁμαρτία καὶ ἡ ἀσέβεια. Καὶ ὁ μάρτυς ἐγγὺς, ὁ μέγας οὗτος μάρτυς Δημήτριος. Τὸν γὰρ δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, καὶ πρὸς φυλακὴν τῆς εὐσεβείας ἐνστὰς μέχρις αἵματος, τοσοῦτον ἀπέσχεν ἀμύνασθαι τοὺς ἐπηρεάζοντας, ὅτι καὶ ὑπὲρ αὐτῶν εὐξάμενος πρὸς τὸν Κύριον, τῶν μὲν ἔστησε τὴν κακίαν, τῶν δὲ μετεποίησεν, ὡς μηδὲ λείψανον εἶναι τῇ πόλει ταύτῃ τῆς δυσσεβείας ἐκείνης, ἀλλὰ συνίστασθαι καὶ διαμένειν τὴν πόλιν, ἐν ᾗ καὶ ἐξ ἧς ὁ θεῖος μάρτυς ὑπέστη τὸν βίαιον θάνατον, ταῖς αὐτοῦ πολυτρόποις κηδεμονίαις, καὶ πολυειδέσιν εὐεργεσίαις, καὶ πρὸς τὸν Θεὸν ἀδιαλείπτοις πρεσβείαις. Ὃ καὶ ἡμεῖς ἐνδεικνύμενοι μᾶλλον ἢ ἀμειβόμενοι· τίς γὰρ ἡμῖν ἰσχὺς πρὸς ἀντίδοσιν; πολυπλασιάζομεν αὐτῷ τὴν πανήγυριν, αἰτοῦντες ἀξιωθῆναι διὰ τῆς αὐτοῦ πρὸς τὸν Θεὸν ἱκεσίας, καὶ τῆς ἀϊδίου τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς πανηγύρεως, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Vultis nunc discere quid velit illud hodie prædicatum in Evangelio Domini ad apostolos: « Estote prudentes sicut serpentes, et simplices sicut columbæ [81]? » Vacat serpens suæ incolumitati, aliis B autem nocet, ultionis damnique cupidus impetuose irruit. Columba vero vivit innocua nec suam curat salutem. Suos ergo hortatur Dominus ut nec sicut serpentes sint exitiosi, nec columbarum more sui negligant custodiam, sed semper inter se mixtis serpentis vigilantia et sapienti innocentia, adstent in custodiam suæ pietatis et virtutis et simul ita erga persecutores maneant innocui ut etiam pro ipsis orent. Sic enim et ipsis a spirituali serpente percussis medicina fient in vitam. Nam perinde ac sumpta serpentis carne medicorum pueri purgato hujus veneno, ex ea quam pueris miscent cibis serpentum morsus sanant, ita qui vigilantiam et prudentiam serpentis, tempore tentationis, innocentiæ columbæ temperat, non C tantum semetipsum serpentis morsui, id est diaboli fallaciæ reddit impervium, sed et serpentibus vulneratos seu deceptos sanat, irrita serpentis malitia quæ nihil est aliud ac impietas et peccatum. Sic martyr noster, sic magnus iste martyr Demetrius. Cursum enim consummavit, fidem servavit pro sua servanda pietate restitit usque ad sanguinem, et tantum abfuit ut de suis persecutoribus ulcisceretur, ut etiam pro ipsis Dominum deprecatus, aliorum quidem coercuerit malitiam, alios vero immutaverit, ita ut in ista civitate nihil supersit ex veteri impietate; multo magis urbs illa in D qua et ex qua divinus noster martyr violentam sustinuit necem, magis ac magis firmior permaneret, multiplicium ejus gratiâ beneficiorum, non intermissarum ad Deum deprecationum. Quod indicare, non remunerare potuimus (quis enim ex nobis ad retribuendum idoneus?), encomium ejus multiplicamus, ut per ejus ad Deum orationes digni efficiamur perennis eorum quorum nomina scripta sunt in cœlis societatis; quam nobis consequi concedat gratia et benignitas Domini nostri Jesu Christi, cui gloria, virtus, honor et adoratio cum æterno ejus Patre et vivificante Spiritu in sæcula sæculorum. Amen.

[81] Matth. x, 16.

Digitized by Google

# EDITORIS PATROLOGIÆ

## MONITUM.

—

Sequentia monumenta (1), quæ ad Gregorii Palamæ vitam et placita spectant, excludere primum statueramus; at re maturius perpensa, consilium mutavimus rationibus potissimum moti quas hic Lectori exponemus, eum suffragium suum additurum confidentes. 1° Palamitarum hæresis, jam inde a multis sæculis ipsa absurditate sua explosa, nunc ad historiam pertinet, et ne alicui periculo sit ejus expositio nullo modo timendum est, præcipue cum egregii et sancti viri eam refutandi curam in se susceperint quorum scripta edidimus vel edemus. 2° Per hanc expositionem nihil de Ecclesiæ corona detrahitur; imo gloria ejus augmentum inde recipit; nam miserrimæ hæresis argumenta in medium producendo, Ecclesiæ de ea triumphum celebramus. Tertia denique, eaque potissima ratio est quod doctissimus Episcopus ille qui nos in laboribus nostris sæpe quasi manu duxit, nobis auctor fuit ut ea monumenta ederemus; quod certe noluisset fieri, si aliquid periculi subesse credidisset. Ea tamen Græce tantum exhibemus, quia pars non sunt orthodoxæ traditionis quæ in libris nostris reviviscit.

***ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ ΣΟΦΩΤΑΤΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΝΕΑΣ ΡΩΜΗΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΟΥ***

# ΦΙΛΟΘΕΟΥ

### ΛΟΓΟΣ ΕΓΚΩΜΙΑΣΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΝ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΤΟΝ ΠΑΛΑΜΑΝ,

*ἐν ᾧ καὶ τινων ἀπὸ μέρους ἱστορία θαυμάτων αὐτοῦ* (2).

—

Γρηγόριος μὲν ὁ μέγας πανηγύρεως ὑπόθεσις καὶ λογικῶν ἀγώνων ὁρᾶται πάλαι τῇ Χριστοῦ Ἐκκλησίᾳ προκείμενος, θαῤῥεῖ δ' ἐς δεῦρο τὸν ἀγῶνα τῶν πάντων οὐδεὶς, ἀλλ' ἑστήκασι πάντες ὁμοῦ λογοποιοί τε καὶ ῥήτορες, καὶ τὸ χρυσοῦν ὡς ἂν εἴποι τις τῶν σοφῶν γένος, τὸν μὲν λόγον ὀκνοῦντες, καὶ τῷ μεγέθει τῆς ὑποθέσεως ἐξ ἴσου παραχωροῦντες, σιγῇ B δὲ μόνῃ τὸν ἄνδρα τιμῶντες, καὶ πρὸς τὴν ἐκείνου βλέποντες γλῶτταν, καὶ ὡσπερεὶ τὴν φωνὴν ἐκπληττόμενοι. Καὶ εἰκότως· εἰ μὲν γὰρ οἷόν τε ἦν τὴν ἐκείνου διάνοιαν ἀναλαβεῖν καὶ τοὺς λόγους, καὶ τοῦτο τὸ πεφυκὸς ἐχορήγει, πάντες ἂν ἐξ ἀρχῆς εὐθὺς ἐπεχείρουν, καὶ οὐδεὶς τῶν ἐν λόγοις ζώντων καὶ μούσαις ἀπεδειλία τὸν λόγον· οὕτω καὶ γὰρ ἂν ἐξῆν

(1) Eorum notitiam dedimus in Elencho volumini præfixo.
(2) Ex editione Hierosolymitana principe anni 1857, in fronte Homiliarum Gregorii Palamæ.

Digitized by Google

μόνως ἐπιτυχεῖν τῶν εἰκότων, καὶ μόνης ἂν ἦν τῆς A διανοίας καὶ τῆς γλώττης ἐκείνης οὗτος ὁ ἆθλος, καὶ μόνος ἐκεῖνος ὁ λόγος κατὰ σκοπὸν ἐβεβλήκει. Ἐκείνου δὲ μὴ παρόντος, μηδὲ τῶν πραγμάτων τὰ τοιαῦτα διδόντων, ἀλλ' ὑποχωρούντων, καθάπερ ἔφην, ἐξίσης τῶν δυναμένων κατὰ λόγον, καθόσον οἷόν τε τὰ τοιαῦτα περαίνειν, ἀνάγκη τὴν φιλίαν ἐκνικῆσαι κἀνταῦθα, καὶ τοῦ μεγέθους τῶν ἀγώνων κατατολμῆσαι, μὴ τὸ ἑαυτῆς, ὅ φησιν ὁ μακάριος Παῦλος, ζητοῦσαν, πάντα δὲ καὶ πιστεύουσαν καὶ ἐλπίζουσαν, ὥς φησιν ὁ αὐτὸς αὖθις.

Ῥητόρων μὲν οὖν καὶ λογογράφων πάντων σχεδὸν τῶν καθ' ἡμᾶς αὐτὸς τὰ ἔσχατα φέρων, τοῦ δέ γε πόθου τοῦ πρὸς ἐκεῖνον, καὶ τοῦ καταλόγου τῶν φίλων ἑνὶ μηδενὶ παραχωρεῖν ἀνεχόμενος τῶν πρωτείων, δίκαιος ἂν εἴην καὶ πρὸ τῶν ἄλλων ὑπεισελ- B θεῖν τὸν ἀγῶνα, τοῦ μὲν κατ' ἐμαυτὸν καὶ τῆς ἐπακολουθούσης ἥττης τῷ λόγῳ βραχὺν τινὰ ποιούμενος λόγον, τὸ δὲ χρέος ἐκ τῶν ἐνόντων ἀποτιννὺς ὡς οἷόν τε· οὕτω καὶ γὰρ ἕξειν μοι τὰ τοῦ λόγου κατ' ἐλπίδας νομίζω, εἴτε τῆς ὑποθέσεως εἰπεῖν τι καὶ ὁπωσοῦν ἄξιον δυνηθείη, εἴτε καὶ κατόπιν ἔλθοι τῶν πραγμάτων ὡς λόγος· ἐπιτυχόντι μὲν γὰρ τῷ τὴν εὔνοιαν ἐνδεδεῖχθαι, καὶ τὸ κατὰ σκοπὸν βαλεῖν ἂν προσέσται· διαμαρτόντι δ' αὖ τῆς ἀξίας, εἰ καὶ μὴ ἄμφω, τὸ γοῦν ἕτερον πάντως ἔσται. Καὶ δείξομεν ὡς οὐ φιλοτιμίας καὶ λόγων ἐπιδείξεως χάριν, ἀλλὰ φιλίας μόνης, καὶ τοῦ κατ' αὐτὴν γιγνομένου, καὶ τῶν ὑπὲρ ἡμᾶς πολλῷ τινι τῷ μέσῳ κατατολμῶμεν, ἐπαίνων τε καὶ κρότων καὶ δόξης οὐδένα ποιούμενοι C λόγον, εἰ τὰ τῆς εὐνοίας τῆς πρὸς ἐκεῖνον σώζοιτο μόνον, καθὰ δὴ καὶ προὔφην. Οὐ μὴν ἡ φιλία τὸν λόγον, ὡς ἂν οἰηθείη τις, ἴσως δεκάσει πρὸς ὑπερβολὰς ἐξαχθεῖσα· οὔτε γὰρ πρὸς ἡμῶν τε κἀκείνου τὸ τοῖς τοιούτοις διδόναι, καὶ παρὰ τοῖς εἰδόσιν ὁ λόγος, καὶ κριταὶ κάθηνται σχεδὸν πάντες τῶν λεγομένων, τοῖς πράγμασι παρατιθέντες τοὺς λόγους, καὶ μετὰ τῆς ἀκριβείας ἀπαιτοῦντες τὰ ὄντα· ὡς καὶ τοὐναντίον ἅπαν ἡμᾶς δεδιέναι μᾶλλον, οὐ τὴν ὑπερβολὴν καὶ τὴν πλεονεξίαν τοῦ λόγου, τὴν μειονεξίαν δὲ καὶ τὴν ὕφεσιν μᾶλλον, καὶ τὸ μὴ πᾶσιν ὡσαύτως ἐπεξελθεῖν ἂν δεδυνῆσθαι· ὑπὲρ οὗ καὶ παραιτεῖσθαι παρὰ τοῖς εὐγνώμοσι τῶν ἀκροατῶν ὁ λόγος δίκαιος ἂν εἴη πρό γε τῶν ἄλλων, ὡς μὴ D τὰ ἐκείνου παρὰ τούτου ζητεῖν πάντα, μηδὲ τὸ τοῖς πᾶσιν ἐφεξῆς καὶ κατ' ἀκολουθίαν ἐπεξιέναι· οὐδὲ γὰρ οἷόν τε μήτε τοῦ πλήθους μήτε τοῦ μεγέθους τῶν πραγμάτων ταυτὶ συγχωρούντων, μνησθήσεται δὲ τῶν ἀναγκαιοτέρων τῆς ἱστορίας τοῦ θαυμαστοῦ βίου ἐκείνου καὶ μᾶλλον κατεπειγόντων, ἐξίσης τήν τε ἀμετρίαν καὶ τὴν βραχυλογίαν ἐκκλίνων, καθ' ὅσον οἷόν τε καὶ κατὰ δύναμιν ἐκεῖνον μιμούμενος.

Γρηγορίῳ τοιγαροῦν τῷ μεγάλῳ πατέρες κατὰ τὸν μέγαν Ἰὼβ, εὐγενεῖς μὲν τῶν ἀφ' ἡλίου ἀνατολῶν· τὴν δὲ μεγίστην ταυτηνὶ καὶ βασιλεύουσαν, τὴν τοῦ θαυμαστοῦ Κωνσταντίνου φημὶ, πόλιν σχόντες εἰς μετοικίαν, ἐνταῦθα καὶ παίδων πατέρες ἀῤῥένων τε καὶ θηλειῶν ὁμοῦ χρηματίζουσιν, ὧν ὁ θαυμαστὸς Γρηγόριος πρῶτος κατὰ γένεσιν εἰσιὼν A τὸν βίον, πρῶτος οὐκ ἐν τοῖς κατὰ κόσμον καὶ λόγοις καὶ πράγμασι μόνον, ἀλλὰ κἂν τοῖς ὑψηλοῖς πολλῷ πλέον καὶ ὑπὲρ κόσμον ἐφάνη, ὡς ἑνί τινι μηδενὶ καὶ ὁπωσοῦν τῶν πρεσβείων ἐκστῆναι. Πατρίδος μὲν οὖν εἵνεκα καὶ τοῦ κατ' αὐτὴν ἐσχηκότος περιττόν μοι δοκῶ πως τὸ λόγοις νῦν θέλειν ἐπεξιέναι· ἀρκεῖ καὶ γὰρ αὐτὸ τοῦτο, τὸ βασιλεύουσαν ἁπασῶν φημι παρὰ πάντων αὐτὴν ἄνωθεν καὶ προσειρῆσθαι καὶ εἶναι, καὶ πάσας ὑφ' ἑαυτὴν ἔχειν, καὶ ὁμοῦ τῶν ἁπασῶν ἐν ἅπασιν ὑπερέχειν, καὶ μεγέθει καὶ κάλλει καὶ θέσει, καὶ κράσει στοιχείων, καὶ ἀέρων ἐπιτηδειότητι, καὶ ξηρᾷ καὶ θαλάσσῃ, καὶ τὸ πανταχόθεν ἔκ γῆς τε καὶ θαλάττης ὑφ' Ἑλλήνων τε καὶ βαρβάρων, καὶ παντὸς ὁμοῦ γένους δωροφορεῖσθαι· τὸ δὲ κράτιστον καὶ ὑπερκείμενον τούτων, τὸ B καὶ λόγων καὶ σοφίας ἄνωθεν χρηματίζειν ταύτην μητέρα καὶ οἰκητήριον Ἑλλήνων ἄντικρυς πεφηνέναι, τὴν πάλαι θρυλλουμένην Στοὰν καὶ τοὺς Περιπάτους καὶ τὰς Ἀκαδημίας εἰς ἑαυτὴν ὁμοῦ πάντα συναγαγοῦσαν μετὰ τῆς εὐσεβείας· καὶ τὴν μὲν ἀθεΐαν καὶ τοὺς μύθους καὶ τοὺς μακροὺς λήρους μετὰ τοῦ ψεύδους καὶ τῶν παραλογισμῶν, καὶ τῆς συχνῆς ἀδολεσχίας καὶ τῆς ἀπάτης εἰς τὸ ἐκείνων Κονδσαργες ἀποῤῥίψασαν, τῇ δ' ἀληθείᾳ, καὶ τῇ τοῦ ἑνὸς τρισυποστάτου καὶ παντοδυνάμου καὶ παντοκράτορος Θεοῦ πίστει, τῷ τε σταυρῷ καὶ τῇ τοῦ Εὐαγγελίου ἁπλότητι κατακοσμήσασαν τὴν σοφίαν ἐκείνην, καὶ δούλην εὐγνώμονα καὶ ὑπηρέτιν ἀναδείξασαν τῆς ἀληθινῆς καὶ πρώτης σοφίας.

C Τὴν γοῦν οὕτω διὰ πάντων θαυμαζομένην Γρηγόριος ὁ θαυμαστὸς εὐμοιρήσας πατρίδα, τοιούτους καὶ τοὺς κατὰ σάρκα πατέρας ἔσχεν, ὁποίους τὸν τοιοῦτον ἔδει τῆς γενέσεως ἔχειν αἰτίους· ἢ ὁποίους τινὰς εἶναι τὸν τοιοῦτον εἰσενεγκόντας τῷ βίῳ, καὶ δῆλον ἐκεῖθεν. Τοῦ γὰρ δευτέρου τῶν Παλαιολόγων, Ἀνδρονίκου φημὶ τοῦ πάνυ, τῶν τῆς βασιλείας ἐπειλημμένου σκήπτρων τὸ τηνικαῦτα, τῆς συγκλήτου μὲν εἷς καὶ ὁ τοῦ σοφοῦ Γρηγορίου πατὴρ ἦν, καὶ τοῖς ἐν τέλει συνηριθμεῖτο. Τοσοῦτό γε μὴν τὸ τῆς ἀρετῆς περιὸν ἐκείνῳ προσῆν, καὶ τὸ συγκεχωρηκὸς παρὰ πάντων ἐν τοῖς τοιούτοις, ὡς καὶ πατέρα καὶ διδάσκαλον τοῦ υἱωνοῦ τε καὶ βασιλέως, τὰ ἐς ἀρετὴν φημι καὶ ψυχῆς παίδευσιν καὶ κατόρθωσιν ἤθους, αὐτὸν ἑλέσθαι τὸν βασιλέα. Οὐ μὴν D ἀλλὰ καὶ αὐτὸς ἐκεῖνος, καίτοι γε καὶ συνετὸς καὶ ὀξύς τις πεφυκὼς ἐν ἅπασι καὶ ἀγχίνους, καὶ τὰ πρωτεῖα φιλοτιμούμενος ἐν τοῖς τοιούτοις φέρεσθαι κατὰ πάντων, οὐχ ἡγεῖτο καὶ διδάσκαλον ἀρετῆς, καὶ σύμβουλον ἀγαθὸν, καὶ μυσταγωγὸν καὶ ὁδηγὸν τοῦ καλλίστου παντὸς ἐκεῖνον κεκτῆσθαι. Ἀμέλει καὶ σφοδρότερον ἔσθ' ὅτε τῷ βασιλεῖ τῷ θυμῷ κατὰ τῶν οἰκείων χρωμένῳ, καὶ πρὸς ὀργὴν ἐξαγομένῳ καὶ ἀπειλὰς καὶ λοιδορίας ἐκείνων, πάντες μὲν ὥσπερ ἀπὸ συνθήματος ὁμοῦ καὶ ὑπεξίσταντο, καὶ τῷ κράτει καὶ τῷ θυμῷ παρεχώρουν, τὴν τοῦ λέοντος ἐρυγὴν κατὰ τὸ εἰρημένον ὑπεπτηχότες. Ὁ δὲ καὶ ἐπεισῄει ὀργιζομένῳ μετὰ τοῦ σχήματος καὶ τῆς παῤῥησίας, καὶ τῆς ὀργῆς ὑφιέναι καὶ ὑποχαλᾷν παρεσκεύαζεν εὐθέως ἐκεῖνον, τοῦ τε ταπεινοῦ καὶ



Digitized by Google

χαμαιζήλου τῆς ἀνθρωπείας φύσεως ἀναμιμνήσκων ἠρέμα, ἧς καὶ αὐτός, φησίν, ὧν δήπου τυγχάνεις, εἰ καὶ πρὸς τὴν τῶν ὁμογενῶν ἀρχὴν ὑπὸ Θεοῦ προεβλήθης· καὶ νουθεσίαις εὐαγγελικαῖς τε καὶ πατρικαῖς, καὶ δὴ καὶ ταῖς παρ' ἑαυτοῦ σοφαῖς εἰσηγήσεσι, καὶ ταῖς τῶν λογισμῶν ἐπῳδαῖς τε καὶ φαρμακείαις πρὸς ἑαυτὸν αὐτὸν ἐπανάγων ταχέως· ὃς καὶ τῆς παῤῥησίας καὶ τοῦ φρονήματος καὶ τοῦ πρὸς ἀρετὴν πεφυκότος, οὐδ' ὅσον εἰπεῖν ἀποθαυμάζων τὸν ἄνδρα, χάριτάς τε μεγάλας καὶ τῆς εὐνοίας καὶ τῆς ὠφελείας ἀνωμολόγει, καὶ τῶν μεγίστων τιμῶν τε καὶ ἀξιώσεων προθύμως ἠξίου, πάντων ἐν ἅπασι σχεδὸν προτιθεὶς καὶ αὐτῶν τῶν προσηκόντων καθ' αἷμα, διά γε τὴν τῆς ψυχῆς καθαρότητα, καὶ τὸ πρὸς μόνον τὸ καλὸν καὶ τὸν Θεὸν ἄντικρυς βλέπον· οὐδὲ γὰρ λόγοι τὸ σπουδαζόμενον καὶ φιλοτιμία τις καὶ ἐπίδειξις ἦν ἀρετῆς αὐτῷ κατά τινας μόνη· ἀλλὰ πράγματα μᾶλλον ἦσαν οἱ λόγοι, καὶ καρπὸς ἀπροσπαθείας ὁμοῦ καὶ χρημάτων καὶ λημμάτων καὶ τῆς κενῆς δόξης, καὶ δὴ καὶ τῆς θαυμαστῆς πρὸς τὸν πλησίον ἀγάπης.

Τοσαύτη δὲ καὶ ἡ κατὰ νοῦν ἦν αὐτῷ νῆψις, καὶ τὸ πρὸς ἑαυτόν τε καὶ τὸν Θεὸν διὰ τῆς προσοχῆς τε καὶ προσευχῆς ἐπεστράφθαι, καίτοι γε καὶ βασιλεῖ καὶ συγκλήτῳ καὶ τοῖς τοιούτοις ὁσημέραι συνόντι, ὡς μηδὲ τοῖς ἔξω καὶ μάλιστα τοῖς ὀξυτέροις τε καὶ συνετοῖς τὸ κατ' αὐτὸν ἀγνοεῖσθαι. Ὁ γοῦν βασιλεὺς ὁμιλῶν αὐτῷ περὶ τῶν συμπιπτόντων ὡς ἔθος, ὁπηνίκα τοῦτον ἔβλεπε πρὸς λήθην ἰόντα τῶν παρ' αὐτοῦ λεγομένων, καὶ περὶ τῶν αὐτῶν πυνθανόμενον αὖθις, ὃ δὴ καὶ οὐκ ἀνεκτῶς ἔφερεν, ἑτέρων ἐν ταῖς πρὸς αὐτὸν ὁμιλίαις πασχόντων ἔσθ' ὅτε, εὐήθειάν τε ὁμοῦ καὶ ἀπαιδευσίαν καταγινώσκων ἐκείνων, Ἀλλ' ὁ Παλαμᾶς, ἔλεγε, νῦν οὐ διὰ ῥαθυμίαν τινὰ καὶ σπουδῆς ἔνδειαν εἰς λήθην ἦλθε τῶν λόγων, ἀλλὰ διὰ σπουδὴν μᾶλλον καὶ νῆψιν τῶν ἔνδον, καὶ τὸ προσευχῇ καὶ Θεῷ τὴν διάνοιαν ὡσανεὶ προσηλῶσθαι. Διὰ ταῦτα καὶ πᾶσιν αἰδέσιμος ὤν, καὶ ἄρχοντας καὶ κριτὰς καὶ δυνάστας ὁμοῦ πάντας ἀνηρτημένος, πολλῶν ἀδικουμένων ἀνδρῶν τε καὶ γυναικῶν ἦν προστάτης, καὶ πλείστοις τὰς συμφορὰς ἔλυε καθ' ἑκάστην· Κωνσταντίνῳ τοιγαροῦν τῶν τοῦ βασιλέως υἱῶν τῷ καθ' ἡλικίαν δευτέρῳ, καὶ δὴ καὶ τῆς βασιλικῆς ἐξουσίας τὰ δεύτερα κεκτημένῳ, κακῶς τῇ δυνάμει κατὰ πένητός τινος χρησαμένῳ χήρας, καὶ ταύτην παρὰ πᾶσαν δίκην χρυσίνων ἀφελομένου τριακοσίων, ὁ τοῦ Γρηγορίου πατὴρ προσελθὼν καὶ διαλεχθείς, καὶ τῶν τοῦ Θεοῦ νόμων ἀναμνήσας, καὶ ὅσον ἐκείνῳ καὶ δίκης μέλει καὶ νόμων καὶ πενήτων καὶ χηρῶν ὡς μάλιστα προστασίας, καὶ τὰ παραπλήσια τούτοις, καὶ πέπεικεν εὐθέως, καὶ τῇ χήρᾳ τῶν ἰδίων ἔδειξεν ἐκστάντα προθύμως, ἣ καὶ τὸν προστάτην τῆς εὐεργεσίας ἀμειβομένη, τὰ τῶν χρημάτων ἡμίσεα, μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας προσῆγεν. Ἀλλ' οὐ καλῶς οὐδ' ἀξίως ἀμείβῃ τὸν εὐεργέτην, ὑποφθάσας εἶπεν ἐκεῖνος, ὦ γύναι, προφάσει σμικρᾶς τινος δωρεᾶς τῶν μεγίστων ἀποστεροῦσα· νῦν μὲν γάρ, καθὰ δήπου καὶ αὐτὴ πειρα-

A θεῖσα γινώσκεις, πρόσεστί μοι τὸ τὰ τοιαῦτα πρὸς τοὺς κρατοῦντάς τε καὶ δυνάστας ἰσχύειν περαίνειν, τοῦ Θεοῦ πάντως συναιρομένου, οὗ τί ἂν γένοιτο τοῖς νοῦν ἔχουσι κρεῖττον; Εἰ δ' ὡς αὐτὴ φῂς ἐκείνοις ἐμαυτὸν δοίην, χρημάτων γενόμενος ἥττων, ζημιωθήσομαι πάντως ἐκεῖνα, καὶ Θεοῦ καὶ τῶν διδόντων συνήθως κατεγνωκότων καὶ τί τῆς ἀνοίας ταύτης ἄν ποτε γένοιτο χεῖρον; Ἀλλ' ἄπιθι, τῶν μὲν ἰδίων αὐτὴ κατ' ἐξουσίαν ἀπολαύουσα μόνη, μηδενὸς ἐνοχλοῦντος ἔτι, Θεῷ δὲ τὸ πᾶν τῆς εὐχαριστίας ἀνατιθεῖσα, καὶ ἡμᾶς μόναις ταῖς εὐχαῖς δωρουμένη.

Οὐ πρὸς χρήματα δὲ μόνον καὶ κτήματα, καὶ τὴν κάτω καὶ παιζομένην καὶ παίζουσαν τοὺς πολλοὺς δόξαν, καθὰ δὴ καὶ προὔφην, ἀλλὰ καὶ πρὸς αὐτὰ B τὰ φίλτατα τὸ ἀπροσπαθὲς ἐπεδείκνυτο καθ' ὑπερβολὴν ὁ γενναῖος, καὶ φυσικῶν ἀναγκῶν καὶ τῶν ἐκεῖθεν ἰσχυροτάτων δεσμῶν, καὶ τῆς σχέσεως φιλονεικῶν ὡς περικρατεῖν τῷ πρὸς Χριστὸν φίλτρῳ· ὅθεν καὶ πρὸς τῶν φίλων καὶ συγγενῶν ἐρωτώμενος, ὅτου χάριν μὴ καὶ αὐτὸς τοῖς ἁπαλωτέροις ἔτι καὶ νηπίοις τῶν παίδων καὶ προσφύεται πυκνὰ καὶ χερσὶ καὶ χείλεσι, καὶ προσγελᾷ καὶ προσπαίζει κατὰ τὸ σχετικὸν πεφυκὸς καὶ τὸ κοινὸν τῶν πατέρων ἔθος· Βούλομαι μέν, ἔλεγε, καὶ αὐτὸς ταῦτα, φίλοι, τοῦ φίλτρου καὶ τῆς φύσεως πολλάκις ὑποκινούντων, τὴν δὲ συνήθειαν δεδοικώς, μήπως καὶ εἰς ἕξιν μοι τοῦ πράγματος καταστάντος, πάνυ δυσχερῶς τε καὶ μικροψύχως καὶ αὐτὸ τοῦτ' ἀναξίως C τοῦ δεδωκότος Θεοῦ περὶ τὴν ἀφαίρεσιν ἐνίων διατεθείην· εἰκὸς γάρ τινας καὶ προθανεῖν τῶν οἰκείων πατέρων, ἀδήλου τε καὶ ἀορίστου τῆς τελευτῆς ἡμῖν οὔσης, τῆς πολλῆς συνηθείας τε καὶ φιλίας ἐμαυτὸν ἐπέχω τῆς πρὸς τοὺς παῖδας, ὡς ἂν τοῦ χωρισμοῦ, Θεοῦ δηλαδὴ κελεύοντος, ἐπιστάντος, μὴ πάντῃ γε ἀπαράσκευος καὶ ἀνέτοιμός τις ὀφθείην, καὶ φιλόπαις ἢ φιλόθεος μᾶλλον· ἀνάγκη καὶ γὰρ πάντως τῷ μὲν μεγέθει τοῦ φίλτρου καὶ τὸ μέγεθος ἰσοστάσιον ἐπακολουθῆσαι τῆς λύπης· τῷ δὲ σφοδρῷ τε καὶ ἀκαθέκτῳ τῆς λύπης ὁ κίνδυνος ἕπεται τῶν τῆς ἀχαριστίας λόγων τε καὶ πραγμάτων, ἃ τίς ἂν οὐκ ἀπεύξαιτο σὺν πολλῇ τῇ σπουδῇ τῶν εὐσεβεῖν ἀληθῶς βουλομένων; ἃ δὴ καὶ πράγμασιν αὐτοῖς ὁ D ἀψευδὴς ἐκεῖνος ὄντως ἄνθρωπος τοῦ Θεοῦ ἔν γε τῷ τοῦ καιροῦ παραστάντι καλῶς ἐβεβαίου. Τῶν γὰρ παίδων ἑνός τινος αὐτῷ νόσῳ συσχεθέντος βαρείᾳ, καὶ πρὸς τὴν ἔξοδον καὶ τὴν ἀναγκαίαν προθεσμίαν ἰόντος, πρὸ μὲν τῆς τελευτῆς πολύς τις ἦν τοῦ Θεοῦ δεόμενος, καὶ τῷ μεγίστῳ φαρμάκῳ τῆς εὐχῆς ὑπὲρ ἐκείνου νοερῶς ὁμοῦ τε καὶ αἰσθητῶς χρώμενος· ἐπεὶ δὲ καταλύσαντα τὴν ζωὴν εἶδε, καὶ πρὸς τὴν ἀληθινὴν τῷ ὄντι ζωὴν ἀπιόντα, τῆς εὐχαριστίας τῆς πρὸς Θεὸν εὐθὺς ὅλος ἦν καὶ τῶν ὕμνων, τὰ ἐπὶ τῷ παιδὶ τελευτήσαντι πάλαι τῷ μεγάλῳ Δαβὶδ πεπραγμένα καὶ αὐτὸς ἐνδεικνύμενος ἄντικρυς, καὶ πράγματα τοὺς ἑαυτοῦ δεικνὺς λόγους, ὃ δὴ καὶ εἰπὼν ἔφθη, ὡς καὶ τοὺς πρὸς παραμυθίαν παραγεγονότας τῶν φίλων αὐτὸς καὶ παραμυθήσασθαι μᾶλλον, καὶ τὰ εἰκότα διδάξαι.

Digitized by Google

Ἑνὸς ἢ δυοῖν τῶν κατὰ τοὺς θαυμαστοὺς τοῦ A μεγάλου πατέρας ἔτι μνησθεὶς, ἐπ' αὐτὸν ἐκεῖνον καὶ δὴ βαδιοῦμαι, τῶν ἄλλων τοῖς εἰδόσι παραχωρήσας. Σπούδασμα καὶ τοῦτο τῶν Γρηγορίου πατέρων, τὸ μὴ μόνον αὐτούς φημι μοναζόντων καὶ διδασκάλων καὶ πατέρων πνευματικῶν ὁμιλίαις ὁσημέραι προσέχειν, ἀλλὰ καὶ τοὺς παῖδας ἐνάγειν εἰς τὸ αὐτὸ τοῦτο καὶ ὁδηγεῖν, οὐ τοὺς ἀκμάζοντας μόνον καὶ ἡλικίας ἡμμένους, ἀλλὰ καὶ τοὺς ἀτελεῖς ἔτι, καὶ ἄρτι πρώτως ἀρχομένους καὶ λέγειν, καὶ συνιέναι τῶν ὑφ' ἑτέρων δηλαδὴ πρὸς αὐτοὺς λεγομένων, ἵν' ἐξ αὐτῆς τῆς εἰς τὸν βίον εἰσόδου τοῖς ἱεροῖς λόγοις καὶ ταῖς διδασκαλίαις εὐθὺς τυπῶνται καὶ πλάττωνται τὰς ψυχάς. Ἀκατίου τοιγαροῦν ἐπιβάντες πανοικεσίᾳ ποτὲ, πρὸς τὸ πέραν τῆς θαλάττης ὑπὲρ τὰ Γαλάτου κείμενον φροντιστήριον ἀνήγοντο τοῦ θείου Φωκᾶ, τῷ καθ' ἡσυχίαν ἐκεῖ προσεδρεύοντι, σπουδάζοντες ὡς ἔθος ἐντυχεῖν μοναστῇ τε καὶ πρεσβυτέρῳ, καὶ τῆς παρ' ἐκείνου διδασκαλίας ἀπολαῦσαι, καὶ τοὺς πνευματικοὺς ὑποδέξασθαι τύπους καὶ τὰς εὐχάς. Καὶ τοίνυν ἀνιόντες ἐκεῖσε, ὁ τοῦ Γρηγορίου πατὴρ ἐπυνθάνετο τῶν οἰκείων, εἴ τι τῶν πρὸς τράπεζαν ἐπιτηδείων ἐπιφέρονταί τι τοῦ διδασκάλου· τῶν δ' εἰρηκότων μηδέν τι τῶν ἀξίων ἔχειν μεθ' ἑαυτῶν, ὑπὸ λήθης καὶ ἀσχολίας συναρπασθέντας, δυσχερᾶναι μὲν τὸν ἄνδρα, καὶ ὡς μὴ καλῶς γεγενημένῳ τῷ πράγματι μέμψασθαι, ἀναγαγεῖν δὲ ὡς ἔθος ἐκείνῳ καὶ τοῦτο πρὸς τὸν Θεὸν, καὶ τὴν ἐκεῖθεν χορηγίαν ἐπεύξασθαι. Τόδ' οὐ λόγος ἁπλῶς ἦν, ἀλλὰ καὶ τετελεσμένον ἔργον ἐξαισίως τε καὶ ὑπερφυῶς μετὰ βραχὺ πάνυ· ἀνέπλει μὲν γὰρ τὴν θάλατταν ἡ λέμβος φέρουσ' αὐτοὺς, ὁ δ' ἐμβαλὼν τὰς χεῖρας τῷ κύματι, τὸν τῆς θαλάττης Δεσπότην μετὰ πίστεως ἐζήτει τὸ θήραμα ταῖς ἀλαλήτοις τοῦ νοῦ προσευχαῖς. Εἶτ' ἐκεῖθεν μικρὸν προϊόντες, ὢ τῆς καινῆς θήρας! ὢ τῶν θαυμαστῶν ἔργων τε καὶ δυνάμεων οἷς ὁ πάντων Δεσπότης τοὺς οἰκείους θεράποντας δοξάζει! τὴν χεῖρα τῶν ὑδάτων ὁ καινὸς ἁλιεὺς αἰφνίδιον ἀνασπάσας, λαύρακα τῶν μεγίστων ἐκεῖθεν ἀνάγει, καὶ τοῖς συνοῦσι προθεὶς κατὰ μέσον τοῦ ἀκατίου, Ἰδοὺ, φησὶ, καὶ ἡ σχεδιασθεῖσα παρὰ Χριστοῦ τράπεζα τῷ Πατρί. Οἱ δὲ τῷ τοῦ πράγματος ἐξαισίῳ καταπλαγέντες, καὶ τὸν θαυματουργὸν ὑμνηκότες σὺν ἐκείνῳ Θεὸν, ἀπῇεσάν τε πρὸς τὸν πρεσβύτερον, θυμηδίας καὶ D θαύματος πλήρεις, καὶ κοινὴν ἐποιοῦντο σὺν ἐκείνῳ τὴν καινὴν ὄντως θήραν καὶ τράπεζαν. Τίς ἔγνω τοιοῦτον θήραμα τῶν νῦν, ἢ τῶν πώποτε; Καιρὸς τάχα που καὶ ἡμᾶς μετὰ τῆς μεγάλης ἐκείνης φωνῆς νῦν εἰπεῖν, ἐπεὶ καὶ τὰ τοῦ θαύματος ἴσα, καὶ δὴ καὶ τὰ τῆς πίστεως τῶν καινῶν θηρευτῶν· πλὴν ὅσον ἐκεῖνοι μὲν ἐπ' ἐρημίας ὑπαιθρίοις κρυμοῖς τε καὶ ὄμβροις ὑπὲρ εὐσεβείας ταλαιπωροῦντες ἔτος που ἕβδομον, καὶ τὸν Θεὸν ἐπ' ἐκεῖνα κοινῇ πάντες καλοῦντες σὺν μακρᾷ τῇ δεήσει· ὁ δὲ τοῦ Γρηγορίου πατὴρ οὗτος, ἄρτι τῶν βασιλείων καὶ τῆς οἰκίας τῆς ἑαυτοῦ προϊὼν, καὶ μόνος ἐντυχὼν τῷ Θεῷ μόνῳ, καὶ δεηθεὶς ἡσυχῇ, τῶν αὐτῶν ἠξιοῦτο κατὰ μέσων τῶν ὑδάτων τε καὶ τοῦ πλοῦ, ὧνπερ κατὰ τῶν ὀρῶν κἀκεῖνοι καὶ τῆς ξηρᾶς, ὡς μηδὲ τοῦ μάννα καὶ τῆς ὀρτυγομήτρας, καὶ τῶν θρυλλουμένων ἐκείνων παλαιῶν τοῦ Θεοῦ θαυμάτων, καὶ ταῦτα τὸ παράπαν καθυστερεῖν.

Ἐν τούτοις καὶ τοῖς τοιούτοις τῷ πατρὶ θαυμαστῶς ἤδη καταλύοντι τὴν κάτω ζωὴν, καὶ πρὸς τὴν ἄνω τε καὶ μακαρίαν μεθισταμένῳ, κειραμένῳ τε ἐπὶ τέλει καὶ τελεσθέντι τὰ μοναχῶν, ὧνπερ οὐδὲ πρότερον ὅσον ἐπὶ τῇ πολιτείᾳ φημὶ καὶ τοῖς ἔργοις ἀτέλεστος ἦν, ἡ καλὴ πρόσεισι Καλλονή· καὶ ἄμφω γὰρ ἡ ὁμόζυγος ταυτὶ φερωνύμως ἐκλήθη, τὸ μὲν κατὰ κόσμον, τὸ δὲ κατὰ μοναχούς· αὕτη τοιγαροῦν προσιοῦσα, ἐπεὶ τὸ πρὸς αὐτὸν εὐμενὲς καὶ τὴν ῥοπὴν ἔβλεπε τοῦ κρατοῦντος, ἀξιοῦν ἐκεῖνον ἐδεῖτο, προμηθείας εἵνεκα καὶ προστασίας B τῶν παίδων. Ὁ δ' οὐ μόνον οὐ προσήκατο τὰ λεχθέντα, οὐδὲ τῶν σπλάγχνων ὡς ἄνθρωπος ἥττων ὤφθη τῶν πατρικῶν, ἀλλὰ κἀκείνην ἀνάξια τοῦ φρονήματος ἔλεγεν εἰρηκέναι τοῦ οἰκείου νῦν τε καὶ τῆς ἐκ παιδὸς ἀρετῆς· Ἐγὼ γὰρ, φησὶν, οὐ τοῖς ἐπιγείοις καὶ μερικοῖς τουτοισὶ βασιλεῦσιν, ἀλλὰ ταύτῃ δὴ τῇ τῶν ὅλων Δεσποίνῃ, τῇ μητρὶ τοῦ βασιλέως τῶν οὐρανῶν, πρὸς τὴν εἰκόνα τῆς Θεομήτορος δηλαδὴ βλέπων ἱσταμένην αὐτῷ πρὸ τῶν ὀφθαλμῶν, ταύτῃ τοὺς ἐμοὺς καταλείπω παῖδας. Καὶ οὐκ ἐψεύσθη γε τῶν ἐλπίδων ὁ σοφὸς ὄντως ἐκεῖνος· τούς τε γὰρ ἐπὶ γῆς βασιλέας γνησιώτατα, καὶ ὡς οὐδ' ἔστι τῶν ἄλλων, ἡ κοινὴ βασιλὶς πέπεικε, μετὰ τὴν τοῦ πατρὸς πρὸς Θεὸν ἐκδημίαν ἐκείνοις προσσχεῖν, καὶ μετὰ μικρὸν ἐξιόντας ἐντεῦθεν ὑποδεξαμένη, καὶ C κηδεμὼν ὤφθη καὶ ὁδηγὸς, καὶ παντοδαπή τις σώτειρα καὶ σωμάτων ὁμοῦ καὶ ψυχῶν, καθὰ δὴ καὶ προϊὼν ὁ λόγος δηλώσει μοι. Τοιαῦτ' ἐκ πατέρων ὁ θεῖος Γρηγόριος δεξάμενος τοῦ βίου τὰ παραδείγματα καὶ τὰς ἀφορμὰς, σκοπῶμεν ἑξῆς ὅσῳ τῷ μέτρῳ θαυμαστῶς ὑπερήλασεν, ἐπεὶ καὶ καιρὸς ἡμᾶς ἤδη πρὸς αὐτὸν ἐκεῖνον τρέψαι τὸν λόγον.

Κωνστάντιος μὲν οὖν ὁ καλὸς, οὕτω καὶ γὰρ ἀπὸ Κωνσταντίνου μετωνόμασται πρὸς μοναχοὺς ἀποκλίνας ὁ τοῦ μεγάλου πατὴρ, ἐπὶ τέλει τοῦ βίου, καθάπερ ἔφην, τὰ ἐνταῦθα καταλιπὼν πρὸς Θεὸν ἀπῄει καὶ τὰ πάλαι ποθούμενα· ἡ δὲ μήτηρ καταλειφθεῖσα σὺν τοῖς παισὶν, ἁπαλοῖς ἔτι σφόδρα τὴν ἡλικίαν οὖσιν, οὔπω καὶ γὰρ τὸν ἕβδομον ἐνιαυτὸν ὑπερβεβηκὼς ὁ καθ' ἡλικίαν δηλαδὴ πρῶτος Γρηγόριος ἦν ὁ καλὸς, κείρασθαι μὲν εὐθὺς εἶχε διὰ σπουδῆς, καὶ τὴν οἰκίαν καὶ τὸν κόσμον ἀπολιποῦσα γενέσθαι καθ' ἑαυτὴν, εἴργεται δὲ πρὸς ὀλίγον τοῦ σκοποῦ καὶ τῆς προθυμίας τέως, πατράσι καὶ διδασκάλοις πνευματικοῖς χρησαμένη συμβούλοις ὡς ἔθος· οὕτω καὶ γὰρ οὐ σαυτῇ μόνῃ, εἶπον ἐκεῖνοι, ἀλλὰ καὶ τοῖς παισὶ τὰ δέοντα χρήσῃ. κάλλιστα τὸ κατ' ἐκείνους διαθεμένη, καὶ θρέψασα καὶ παιδαγωγήσασα κατὰ νόμον Χριστοῦ· ὃ δὴ καὶ κατὰ σκοπὸν εἰς ἔργον ἐξέβη, Θεοῦ δηλαδὴ ἐνεργοῦντος κατὰ τὸν θεῖον Ἀπόστολον τοῖς τὸ ἀγαθὸν ἑλομένοις.

Γρηγόριος μὲν οὖν ὁ καλὸς εἰς λόγων ἄσκησιν καὶ παιδείαν τὴν θύραθεν ἐκδοθείς· οὐδὲ γὰρ ἔδει τὴν τοιαύτην ψυχήν τε καὶ φύσιν, μὴ καὶ τῶν ἐκεί-

Digitized by Google

θεν μετέχειν βελῶν καὶ τῶν ὅπλων· ἐπεὶ τὰ τῆς γραμματικῆς προοίμια καὶ τὰς ἀρχὰς ἔτι τελούμενος ἦν· τῆς προστασίας εὐθὺς καὶ συμμαχίας ἐξ ἀφετηρίας πειρᾶται τῆς θαυμαστῆς ἀναδόχου, τῆς κοινῆς φημι τῶν πάντων Δεσποίνης· δεικνὺς ὡς οὐχ εἰς κενὸν, οὐδ' ἀργοί τινες καὶ ἄπρακτοι τοῦ πατρὸς ἦσαν οἱ λόγοι, πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς ἐκείνην προϊσταμένου, καὶ τοῖς παισὶ κυβερνῆτιν παντοδαπὸν καὶ πρύτανιν ἐφιστάντος· ἀλλ' αὐτὴ καὶ κυβερνήσει καὶ χειραγωγήσει καὶ ὁδηγήσει καλῶς διὰ πάντων, καὶ πρὸς λιμένας ἀγαθοὺς καταπαύσει τὸ τελευταῖον· τῶν γὰρ προτελείων ἀπτόμενος τῆς παιδείας ὁ Γρηγόριος ἐπὶ πάνυ νεαζούσῃ τῇ ἡλικίᾳ, καθάπερ ἔφην, ἐπεὶ δυσχερῶς πως εἶχε πρός γε τὸ ἀποστοματίζειν, ὅρον ἑαυτῷ τίθησι μὴ πρότερον ἅπτεσθαι τοῦ βιβλίου καὶ τῆς ἐξαγγελίας, πρὶν ἂν πρὸ τῆς σεπτῆς εἰκόνος τῆς Θεομήτορος τρὶς μετ' εὐχῆς ἱερᾶς εἰς γῆν κλίνῃ τὸ γόνυ· ὃ δὴ καὶ γιγνόμενον, ῥᾷστα καὶ ἀπρόσκοπα τὰ τῆς ἐξαγγελίας τῶν μαθημάτων καθ' ἑκάστην αὐτῷ διετίθει· εἰ δέ που συνέβη τὰ τῆς συνήθους εὐχῆς τε καὶ προσκυνήσεως παραδραμεῖν τοῦτον, λήθῃ συναρπασθέντα, καὶ τὰ τῆς ἀπαγγελίας εὐθὺς ἠπράκτει· καὶ κενὸς ὁ ἀγωνιστὴς τῶν ἐκεῖθεν ὅπλων τε καὶ τῆς συμμαχίας ἐστερημένος, καὶ πληγαῖς ὑπεύθυνος παρὰ τοῖς γυμνασταῖς τε καὶ διδασκάλοις. Οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ κρατοῦντος ψυχὴν οὕτω γνησίως καὶ συμπαθῶς διατεθῆναι πέπεικεν ἡ βασιλὶς καὶ προστάτις περὶ αὐτόν τε καὶ τοὺς λοιποὺς παῖδας, ὡς ἀξιῶσαι μὲν αὐτοὺς καὶ τῆς ἄλλης πάσης προνοίας, ἀναλωμάτων φημὶ παντοδαπῶν καὶ σιτηρεσίων ἐκ τῶν βασιλικῶν ταμείων καὶ τῶν χρημάτων, καὶ ὧν οἱ τῆς βασιλικῆς ἀπολαύοντες μετέχουσιν εὐμενείας· μετακαλεῖσθαι δὲ καὶ πρὸς ἑαυτὸν συνεχῶς ἐκείνους, καὶ θέας καὶ ὁμιλίας μεταδιδόναι, καίτοι γε καὶ νέους ὄντας πάνυ τὴν ἡλικίαν, ὡς εἶπον, πολὺ τὸ εὐμενές τε καὶ φιλάνθρωπον κεκτημένης. Οἱ δέ γε περὶ τὸν βασιλέα καὶ τὰ βασίλεια πάντες, ὅσοι τε τῶν ἐν τέλει φημὶ καὶ ὅσοι τῶν κάτω, Γρηγόριον σύν γε τοῖς ἀδελφοῖς ἐν τοῖς βασιλείοις ὁρῶντες, μετὰ πλείστης πάνυ τῆς διαθέσεως, Οἱ τοῦ ἁγίου παῖδες, ἔλεγον, οὗτοι· τοσαύτῃ τῇ αἰδοῖ καὶ τῷ φίλτρῳ πρός τε τὸν γεγεννηκότα καὶ τοὺς παῖδας κατείχοντο.

Βραχὺ τὸ μεταξὺ καὶ γραμματικὴν ὁμοῦ καὶ ῥητορικὴν ὁ Γρηγόριος ἄριστα κατορθώσας, ὡς ὑπὸ πάντων, καὶ αὐτῶν φημι τῶν τηνικαῦτα καθηγητῶν τε καὶ κορυφαίων τοῦ λόγου καθ' ὑπερβολὴν ἐν λόγοις τε καὶ συγγράμμασι θαυμασθῆναι. Τοιοῦτος ἔν γε τοῖς φυσικοῖς τε καὶ λογικοῖς, καὶ ἁπλῶς πᾶσι τοῖς Ἀριστοτελικοῖς ὤφθη, ὡς καὶ τὸν ἐπὶ σοφίᾳ παντοδαπῇ καὶ μαθήμασι μάλιστα θαυμαζόμενον ὑπὸ πάντων τὸ τηνικαῦτα, καὶ βασιλεῖ καὶ τοῖς κοινοῖς τῶν Ῥωμαίων δεξιῶς μεσιτεύοντα πράγμασι, λογοθέτην φημὶ τὸν μέγαν, λόγους ἐπὶ τοῦ βασιλέως πρὸς Γρηγόριον ὑπὲρ τῆς λογικῆς Ἀριστοτέλους πραγματείας κεκινηκότα, τοιαῦτα παρὰ τῆς ἐκείνου

A γλώττης ἀκοῦσαι, καὶ οὕτω καθ' ὑπερβολὴν ἐκπλαγῆναι τὸν νέον, ὡς μηδὲ παρ' ἑαυτῷ κατασχεῖν, μηδὲ κρύψαι δυνηθῆναι τὸ θαῦμα, ἀλλὰ τὸν λόγον εὐθὺς μετ' ἐκπλήξεως τρέψαντα πρὸς τὸν βασιλέα, Καὶ αὐτὸς Ἀριστοτέλης, εἰπεῖν, εἰ παρὼν ἀκροατὴς καθίστατο τούτου, ἐπῄνεσεν ἂν οὐ μετρίως, ὡς ἐγὼ νομίζω. Ἐγὼ δ' ἐκεῖνο, φησὶ, λέγω τέως, ὅτι τοιαύτας ἔδει τὰς ψυχὰς καὶ τὰς φύσεις εἶναι τῶν μετιόντων τοὺς λόγους, καὶ μάλιστα τὰ τῷ Ἀριστοτέλει τουτῳὶ διὰ πολλῶν φιλοσοφηθέντα καὶ συγγραφέντα. Διὰ ταῦτα καὶ βασιλεὺς ἐγκαλλωπιζόμενος ἦν ὡσανεὶ τῷ γενναίῳ καὶ χαίρων, καὶ μεγάλα τινὰ περὶ αὐτοῦ καὶ φανταζόμενος ἅμα καὶ βουλόμενος. Ἀλλ' ἐκεῖνος πρὸς τὸν ἄνω βασιλέα καὶ τὰ βασίλεια καὶ τὴν σύγκλητον τὴν ἄφθαρτον καὶ ἀγήρω βλέπων
B ἐκείνην, καὶ ὅλως τοῦ κατ' ἐκεῖνα σκοποῦ γιγνόμενος καὶ τοῦ πράγματος, βραχύν τινα λόγον ἐποιεῖτο τῶν ἄλλων ὁμοῦ πάντων, μᾶλλον δ' οὐδὲ φροντίδος οὐδὲ λόγου σχεδὸν ἠξίου κατ' ὀλίγον ἐκεῖνα, « Μερίς μου εἶ, Κύριε, εἶπα, τοῦ φυλάξασθαι τὸν νόμον σου [1], » μετὰ τοῦ Προφήτου καὶ αὐτὸς λέγων· καὶ, « Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα [2], » καὶ, « Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με [3], » καὶ τὰ προσόμοια τούτοις. Διὰ τοῦτο καὶ μονασταῖς μᾶλλον καὶ Πατράσι σπουδαίοις καὶ διδασκάλοις τῆς ἀρετῆς ἑαυτὸν ὑπετίθει, καὶ μάλιστα τῶν ἐκ τοῦ ἱεροῦ κατιόντων Ἄθω τοῖς προὔχουσι καὶ σπουδαιοτέροις, οἳ δὴ χαλεπὴν αὐτῷ καὶ
C προσάντη τὴν εὐθεῖαν καὶ εὐαγγελικὴν ὁδὸν, καὶ σκληρόν τινα καὶ βαρὺν ἔλεγον ὀφθήσεσθαι τὸν ἐλαφρὸν τοῦ Κυρίου ζυγὸν, ἐν μέσοις οὕτω στρεφομένῳ διὰ παντὸς τοῖς κόσμῳ καὶ κοσμοκράτορι πάσαις ἔχοντι ταῖς προθυμίαις ὑποκειμένοις, καὶ ζῶσι μὲν τούτοις, τεθνηκόσι δ' ἐκείνοις, καὶ συγκατασπῶσιν ὁσημέραι καὶ τοὺς συνόντας ἐκεῖθεν, εἰ μὴ σφόδρα σπουδαῖοί τε καὶ νήφοντες ὄντες τύχωσιν· ὅθεν καὶ κράτιστον μέν τι προηγουμένως καὶ ἀσφαλέστατον συνεβούλευον εἶναι τὸ καὶ τῆς οἰκίας ὁμοῦ καὶ τῆς πόλεως ἀποστάντα κούφως τε τὸν οἰκεῖον σταυρὸν αἴρειν, καὶ ὀπίσω τοῦ κεκληκότος Χριστοῦ κατὰ τὸν ἐκείνου λόγον ἐπὶ τὴν ἐρημίαν εὐθὺς καὶ τὸ σεπτὸν ὄρος βαδίζειν· Οὕτω καὶ γὰρ ἂν ἐξέσται σοι τοῦ σκοποῦ καὶ τῆς ἐξαρχῆς ἐνστάσεως, φησὶ, μὴ
D διαμαρτεῖν· τῶν μὲν προσισταμένων ἀνθρώπων τε καὶ πραγμάτων ἀπαλλαγέντι, τοῖς δὲ συνάρασθαι δυναμένοις ἐκεῖ συναφθέντι καλῶς. Εἰ δὲ δυσχερὴς πως ἡ ἀθρόα πρὸς ἐκεῖνα μετάστασις καὶ μεταβολὴ, διά τινας ἴσως προκατασχούσας αἰτίας, ἀλλ' εὐτέλειαν ἐν ἅπασι τέως καὶ δυσπάθειαν σώματος καὶ σκληρὰν ἀγωγὴν πρὸ τῶν ἄλλων ἀναλαβεῖν σε δεῖ, καὶ οὕτω τὰς ἀρχὰς καὶ τοὺς θεμελίους τοῦ τῆς ἀρετῆς οἴκου καταβαλέσθαι κάλλιστα, συναιρομένου δηλαδὴ τοῦ Θεοῦ· ῥίζαι καὶ γάρ τινες, φησὶν, οἱονεὶ καὶ αἰτίαι πεφύκασιν ἐκεῖναι τῆς τε θαυμαστῆς φημι ταπεινοφροσύνης καὶ σωφροσύνης καὶ καθαρότητος, καὶ ἁγιασμοῦ ψυχῆς ὁμοῦ τε καὶ σώματος· τῶν καλ-

[1] Psal. cxviii, 57. [2] ibid. 35. [3] ibid. 37.

Digitized by Google

A λίστων ἀρχῶν τε καὶ προοιμίων ξυμπάσης τῆς ἀρετῆς. Ταῦτα καὶ Θεόληπτος ὁ μέγας ἐκεῖνος ὄντως τῆς Φιλαδελφείας φωστὴρ σὺν τοῖς ἄλλοις ἐδίδασκε τὸν Γρηγόριον, ἐκ τῆς ἱερᾶς ἐκείνης ἡσυχίας τε καὶ ξυνουσίας τοῦ τῆς ἁγιότητος ὅρους εἰς τὴν ἱερὰν φημὶ προστασίαν τῆς Ἐκκλησίας μεταβὰς ἢ ἀναβάς, καὶ πατὴρ καὶ μυσταγωγὸς τῶν καλλίστων ἐκ πατέρων ἄνωθεν αὐτῷ χρηματίσας, ὑφ' οὗ καὶ τὴν ἱερὰν νῆψιν καὶ τὴν νοερὰν ἄριστα μυηθεὶς προσευχήν, εἰς ἕξιν θαυμαστῶς αὐτῆς ἐληλάκει, ἐν τοῖς θορύβοις ἔτι καὶ τῷ κόσμῳ διάγων· ἀλλὰ τοῦτο μὲν ὕστερον. Τότε δὲ τῆς τῶν πατέρων συμβουλῆς ὁ καλὸς ἀκούσας Γρηγόριος, πτηνὸς ἦν εὐθὺς τέμνων ἀέρα, καὶ δαλὸς εἰς πῦρ, ἢ καὶ ἵππος εὐγενής τις τρέχων ὀξέως κατὰ πεδίου· εὐτέλειαν μὲν γὰρ ἐν-B δυμάτων ὁμοῦ καὶ ὑποδημάτων καὶ στρωμνῆς καὶ τῆς ἄλλης πάσης ἀγωγῆς καὶ διαίτης οὕτω καθ' ὑπερβολήν φασι τοῦτον ἀσκῆσαι, καὶ οὕτως οἱονεὶ μεταῤῥυθμίσαι καὶ μεταπλάσαι τὴν ἀναστροφὴν καὶ τὸ ἦθος ἅπαν πρὸς ταῦτα, ὡς καὶ ἠλλοιῶσθαί τισι πολλάκις δόξαι τὰς φρένας καὶ παραπαίειν, καὶ μηδὲ ταυτηνὶ τὴν ἀδοξίαν ἐπαισχυνθῆναι. Ἐγκρατείᾳ γε μὴν καὶ νηστείᾳ καὶ ἀγρυπνίᾳ δεδωκέναι τοσοῦτον, ὡς μὴ μόνα τὰ τῶν βρωμάτων ἡδέα καὶ οἷς προσέκειτο μάλιστα πρότερον μετὰ πλείστης γε τῆς σπουδῆς ἀποῤῥίψαι, καὶ προσέτι τὸν περὶ τὸν ὄρθρον τε καὶ τὴν ἕω προσγινόμενον ὕπνον, κατάλληλόν τε πεφυκότα καὶ πρὸς σύστασιν ἀναγκαῖον τῇ φύσει, κἀκείνῳ περὶ πλείστου πάλαι γεγενημένον, C ἀλλὰ καὶ εἰς στενὸν πάνυ καὶ σκληρὸν τὰ τῆς τραπέζης ἑαυτῷ καταστῆσαι, ἄρτῳ σμικροτάτῳ μόνῳ καὶ ὕδατι τὰ τῆς ἀναγκαίας χρείας ἀποπληροῦντι. Διὰ τοῦτο καὶ φύσεως ἀνώτερος ἦν ἤδη, τοῦ ὑπὲρ φύσιν φιλανθρώπως συναιρομένου καὶ τῶν βαρυτάτων ὀρέξεων καὶ παθῶν γενναίως ὁ γενναῖος ἐκράτει, καὶ αὐτῆς περιγεγονὼς τῆς σαρκικῆς ἐπιθυμίας καὶ τῆς ἐκεῖθεν ἐπαναστάσεως ἐν ἀκμῇ τῆς ἡλικίας, καὶ μέσον τοῦ κόσμου καὶ τῶν ὑλῶν τῶν ἐκεῖνα τρεφόντων, καὶ φλογὸς δίκην ἐκεῖνα ὑπαναπτόντων, ὡς καὶ δοκεῖν πως αὐτὸν ὑπεράνθρωπον εἶναι.

Ἐπεὶ δὲ καὶ πρὸς τὴν ἀναχώρησιν ἔβλεπεν ἤδη καὶ τὸν βέλτιστον Ἄθω, τῶν μειζόνων ἱμειρόμενος ἄθλων, καὶ τῆς ἐντελεστέρας καὶ ὑψηλῆς πολιτείας· ὁ μὲν βασιλεὺς ζημίαν οὐ σμικρὰν οὐδὲ τὴν τυχοῦ-D σαν, ἀλλὰ χαιριωτάτων ἀποβολήν, καὶ τοῦ κράτους ἀκρωτηριασμὸν οἱονεί τινα τὴν διάστασιν ἡγούμενος τούτου, παντοδαπός τις ἦν, καὶ λόγοις καὶ πράγμασι καὶ φιλοτιμίαις βασιλικαῖς, καὶ τῶν μεγίστων ὑποσχέσεσι παρ' ἑαυτῷ κατέχων τὸν ἄνδρα, καὶ τὴν ἀναχώρησιν οὐδοτιοῦν συγχωρῶν· ἀλλ' ἐκείνου πάντα μᾶλλον ἢ τούτου διδόντος, καὶ δωρεὰς καὶ τιμὰς ἐπιγείου τε καὶ φθαρτῆς βασιλείας τὰς εἰς δουλείαν ἀνθρωπίνην ἀγούσας, ὁποῖαί ποτ' ἂν εἶεν, βασιλείας οὐρανῶν καὶ θείας υἱοθεσίας μηδαμῶς προτιθέναι, σοφώτατά τε καὶ ὑψηλότατα καὶ λέγοντος καὶ φρονοῦντος, τῆς ἐσχάτης καὶ γὰρ ἀπαιδευσίας τε καὶ ἀνοίας τοῦτ' ἂν ᾤετο πεφυκέναι προδήλως, παραχωρεῖ καὶ ἄκων ἐκεῖνος τῇ τοῦ γενναίου ἐνστάσει, καὶ ῥήμασιν ἅμα καὶ δάκρυσιν ἐμφαίνων τὸ πάθος, καὶ ὡς οὐκ ἀνεκτῶς τὴν διάστασιν φέρει· ἅμα δὲ καὶ σοφῶς τοῦ μέλλοντος καταστοχαζόμενος καὶ ἀψευδέστατα προφητεύων, Μέγας μέν τις, ἔλεγε, καὶ θαυμαστὸς ἔμελλεν ἀποβήσεσθαι παρ' ἡμῖν οὑτοσὶ καὶ τῷ κόσμῳ μένων, ἐπεὶ δὲ τῶν κρειττόνων ἐρῶν πρὸς ἐκεῖνα καλῶς μεταβαίνει, καὶ παρ' ἐκείνοις θαυμαστὸς μετ' ὀλίγον ἔσται τῷ ὄντι καὶ μέγας.

Γρηγόριος μὲν οὖν τὸν ἔφηβον ὑπερβεβηκὼς ἤδη, καὶ πρὸς τὴν ἀναχώρησιν ἥπερ ἔφημεν σπεύδων, οὐκ ἴδιον ἑαυτοῦ τἀγαθὸν ἐτίθετο μόνου, οὐδὲ τὸ ἑαυτοῦ κατὰ τὸν θεῖον Ἀπόστολον μόνον ἐζήτει, ἀλλὰ καὶ τὸ τῶν ἑτέρων. Τοὺς γοῦν ἐν τῷ οἴκῳ πρὸς τὴν κοσμικὴν ἀναχώρησιν καὶ τὴν θείαν φιλοσοφίαν ἄνδρας ὁμοῦ καὶ γυναῖκας πρότερον μεταθεὶς πάντας, οὐ μὴν ἀλλὰ καὶ τοὺς οἰκειοτέρους τῷ γένει, καὶ δὴ καὶ τοὺς εὐγνωμονεστέρους τε καὶ συνετωτέρους τῶν δούλων, ἀποστήσας τῆς τοῦ κόσμου περιφορᾶς καὶ τῆς ὕλης, καὶ τοῖς ἐνταῦθα φροντιστηρίοις καὶ μονασταῖς καλῶς ὑποθεὶς καὶ συναριθμήσας, οὕτω μετ' ἀγαθῶν τῶν προοιμίων, καὶ συχνῶν τῶν τῆς ἀρετῆς ἀγωγίμων ἔξεισι τῆς οἰκίας ἅμα καὶ τῆς πατρίδος πρὸς τὴν τῶν μειζόνων τε καὶ ὑπερφυῶν θαυμαστὴν ἐμπορίαν, τοὺς ἄῤῥενας τῶν ἀδελφῶν, δύο δὲ ἦσαν οὗτοι, μεθ' ἑαυτοῦ μόνους λαβών. Ἐξῄεσαν μὲν οὖν τῆς Κωνσταντίνου, φθινούσης ὀπώρας ἤδη, πρὸς τὸν ἱερὸν Ἄθω καὶ τὴν ἐκεῖ παροικίαν βλέποντες. Θρᾴκην γε μὴν διιόντες, καὶ κατὰ τὸ Παπίκιον γεγονότες· ὄρος δ' ἱερὸν τοῦτο πάλαι μεταξὺ κείμενον Θρᾴκης τε καὶ Μακεδονίας, καὶ μονασταῖς ἀνειμένον ἀνδράσι τότε θαυμαστοῖς καὶ σπουδαίοις, καὶ τὰ θεῖα φιλοσοφοῦσι καλῶς· ἐγχειμάζειν παρ' αὐτοῖς ἔγνωσαν. Τὸ δὲ ἄρα προνοίας θειοτέρας ἦν ἔργον, τὸν σοφὸν δηλαδὴ Γρηγόριον, καὶ τὴν ἐπισκιάζουσαν αὐτῷ θείαν χάριν κἀκείνοις παραδεικνύσης, καὶ ὁδηγούσης πρὸς ἀληθῆ θεογνωσίαν κάλλιστα πολλοὺς δι' ἐκείνου, καθ' ἃ δὴ καὶ προϊὼν ὁ λόγος δηλώσει. Τοῖς τε γὰρ φιλοσοφοῦσιν ἐκεῖ τὰ τῶν μοναχῶν σύν γε τοῖς ἀδελφοῖς συνοικῶν καὶ συμφιλοσοφῶν, μέγας τις τῷ ὄντι καὶ θαυμαστὸς ἀνεφάνη καὶ λόγῳ καὶ ἤθει καὶ σχήματι καὶ βαδίσματι καὶ προσοχῇ καὶ συννοίᾳ, καὶ ἁπλῶς πᾶσιν οἷς ὁ κατὰ Θεὸν ἄνθρωπος ζωγραφεῖσθαι καὶ χαρακτηρίζεσθαι πέφυκεν, ὡς καὶ τοὺς ὁρῶντας ἐκπλήττειν ἔχειν, πρεσβυτικὸν οὕτω καὶ μοναδικόν τε καὶ φιλόσοφον ὄντως καὶ λόγον καὶ πρᾶξιν καὶ φρόνημα καθορῶντας ἐν ἀτελεῖ καὶ νεάζοντι σώματι. Καὶ οἱ πρὸς τῷ γειτνιάζοντι σκηνοῦντες αὐτοῖς ὄρει τὰ Μαρκιανιστῶν ἢ Μασαλιανῶν ἄνωθεν ἐκ προγόνων νοσοῦντες τῆς Γρηγορίου θαυμαστῆς δηλαδὴ γλώττης οὐκ ἀγενὲς γεγόνασι τρόπαιον· ὡς γὰρ ᾔσθοντο κἀκεῖνοι τοῦ ἀνδρὸς ἐκεῖ παρὰ τῷ ὄρει καὶ ταῖς τῶν μοναστῶν σκηναῖς γεγονότος, πρῶτα μὲν κατὰ δύο καὶ τρεῖς ἀπῄεσαν πρὸς ἐκεῖνον, ὁμιλίας χάριν καὶ διαπείρας· ὡς δ' ἔγνωσαν μηδ' ἴκταρ τὸ τοῦ λόγου πρὸς αὐτὸν βάλλειν δεδυνημένοι, πρὸς ἑαυτοὺς ὑπεχώρουν αὖθις, ἀδυναμίαν μὲν ἑαυτοῖς διαλέξεώς τε καὶ τοῦ σώζοντος λόγου, τοῖς δὲ σφῶν αὐτῶν διδασκάλοις τὴν

Digitized by Google

διαλεκτικὴν δύναμιν καὶ τὸ κράτος τῶν περὶ Θεοῦ A λόγων, καὶ τὴν δογματικὴν ἀκρίβειαν ὑπ' ἀπορίας προσμαρτυροῦντες, καὶ ὡς οὐδ' ἂν, φησὶ, δυνηθείης εἰς ὄψιν τε καὶ λόγους αὐτός ποτ' ἐκείνοις οὐδὲ πρὸς ὀλίγον ἐλθεῖν. Ἀλλ' ὁ Γρηγόριος Πνεύματος γεγονὼς πλήρης, καὶ τὸν περὶ Θεοῦ συκοφαντούμενον ζηλοτυπήσας κάλλιστα λόγον, οὐδὲ τὴν φέρουσαν πρὸς ἐκείνους ἀπεῖπεν, ἀλλὰ τῶν ἀδελφῶν μεθ' ἑαυτοῦ λαβὼν τὸν ἕτερον μόνον, σπουδῇ πρὸς ἐκείνους ἀνῄει. Οἷα μὲν οὖν καὶ ὅσα τοῖς ἐξάρχοις τε καὶ καθηγηταῖς τῆς αἱρέσεως, εἰς διάλογον καταστὰς, καὶ συμμίξας Πνεύματι διείλεκται θείῳ, καὶ ὡς τὰ παρ' ἐκείνων προβλήματα καὶ ζητήματα δίκην ἀραχνίων ἀμογητὶ διαλύων ὁμοῦ πάντα, πρὸς πᾶν τοὐναντίον τὰ τοῦ ἀγῶνος αὐτοῖς περιέτρεψε, μηδὲν ὑγιὲς μήτ' αὐτοὺς μηδοπωσοῦν λέγοντας ἀπο- B δείξας, καὶ μάτην κατὰ τῆς Ἐκκλησίας τὰ μὴ ὄντα παραληροῦντάς τε καὶ συμπλάττοντας, λέγειν ἐφεξῆς οὐ τοῦ παρόντος ἂν εἴη καιροῦ καὶ τοῦ λόγου, μείζονος ἱστορίας ἔργον γε ὄντα· ἑνὸς δέ τινος ἐκείνων ἀναγκαῖον τέως μνησθῆναι, καὶ οὕτως ἀπὸ μέρους, ὅ φασι, παραδεῖξαι τὸ πᾶν.

Ἔδοξαν οἱ τῆς αἱρέσεως ταυτησὶ τῶν Μασαλιανῶν ἀρχηγοὶ καὶ διδάσκαλοι μόνην προσευχὴν Χριστιανοῖς προσήκουσαν πεφυκέναι τὴν πρὸς αὐτοῦ Χριστοῦ τοῖς μαθηταῖς πυθομένοις πάλαι δοθεῖσαν ῥητῶς, τὰ δ' ἄλλα πάνθ' ὁμοῦ μάτην ἡμᾶς φησι συνείροντας εὔχεσθαί τε καὶ ψάλλειν, μὴ τῆς ἐκεῖθεν μηδαμῶς διὰ γνώμης ὄντα, μηδὲ τῶν θείων θεσμῶν· διὸ καὶ μόνην ἐκείνην τῇ κατ' αὐτοὺς Ἐκ- C κλησίᾳ νενομοθετηκότες, τὴν ἄλλην ἀπηγόρευσαν πᾶσαν. Τοῦτ' οὖν καὶ Γρηγορίῳ τότε πρὸς τοῖς ἄλλοις κατὰ τῆς ἡμῶν Ἐκκλησίας ὡς δή τι μέγα καὶ ἰσχυρὸν παρῆγον, καὶ παρανομεῖν ἄντικρυς ἔλεγον πᾶσαν, νόμους θείους τε καὶ χρησμοὺς οὓς οὐκ ἔξεστιν ἀδεῶς ὑπερβαίνουσαν. Ὁ δέ γε τῆς ἱερᾶς εὐχῆς εἴπερ τις ἀγωνιστὴς καὶ φίλος Γρηγόριος, τὸν ὑπὲρ αὐτῆς κἀνταῦθα λόγον ἀναλαβὼν, Ἀλλ' εἰ καὶ ἡμεῖς, ἔφη, τὰ τῆς ἱερᾶς ἐκείνης εὐχῆς καὶ δεσποτικῆς ἀθετοῦμεν, ὡς αὐτοὶ συκοφαντοῦντές φατε· ἀλλὰ τοὺς ἱεροὺς ἐκείνους Χριστοῦ μαθητὰς, τοὺς καὶ πρώτους ὑπὲρ αὐτῆς ἐρομένους, καὶ ταύτην ὑπ' αὐτοῦ διδαχθέντας Χριστοῦ, οὐκ ἂν εὐθὺς ὡς ἐγῷμαί ποτε εἴποιτε παραβεβηκέναι τὴν παράδοσιν καὶ τὴν διδασκαλίαν ἐκείνου. Ἢ τί περὶ ἐκείνων φατέ; D Τῶν δ' εἰρηκότων ὁμοῦ πάντων εὐθὺς, τοὺς μὲν πρώτους μαθητάς τε καὶ ἀποστόλους φύλακας καὶ πληρωτὰς τῆς ἐντολῆς πεφυκότας Χριστοῦ, τὴν εὐχὴν αὐτούς τε τετηρηκέναι, καὶ τοῖς ἑξῆς διὰ τῶν Εὐαγγελίων ὡσαύτως τὴν αὐτὴν παραπέμψαι, ὑμᾶς δ' αὐτοὺς τὴν παράδοσιν ἀθετῆσαι παρεισαγαγόντας τὰ ἑαυτῶν· ὁ θεῖος ὑπολαβὼν αὖθις Γρηγόριος, Καὶ πῶς, φησὶν, ἐκεῖνοι μετὰ τὴν εἰς οὐρανοὺς ἀποδημίαν Χριστοῦ, καὶ δὴ καὶ τὴν τοῦ Παρακλήτου πρὸς αὐτοὺς ἐπιδημίαν τε καὶ φανέρωσιν, ἐπειδὴ παρὰ τῶν θεοκτόνων Ἰουδαίων ὑπὲρ τοῦ Εὐαγγελίου καὶ τοῦ κηρύγματος ἐν Ἱεροσολύμοις ἠλαύνοντο, φωνὴν ὁμοθυμαδὸν ἄραντες, σύν γε τοῖς ἰδίοις πρὸς τὸν Θεὸν, οὕτω καὶ γὰρ ὁ θεῖος Λουκᾶς ἐν ταῖς αὐτῶν ἱστορεῖ Πράξεσιν, οὐ τὰ τῆς εὐχῆς ἐκείνης ηὔξαντο ῥήματα, ἀλλ' ἕτερα μᾶλλον τὰ τῷ καιρῷ καὶ τῇ χρείᾳ προσήκοντα μάλιστα; οἳ καὶ οὕτω γεγόνασιν ἐπιτυχεῖς τῆς εὐχῆς, καὶ ὧνπερ ἐπήγγελλον, ὡς καὶ Θεὸν ἄνωθεν ἐπισημήνασθαι παρευθὺς, σεισμῷ τε τοῦ καθ' ὃν προσηύχοντο τόπου, καὶ Πνεύματος ἁγίου παρουσίᾳ τὴν εὐχὴν βεβαιώσαντα; « Δεηθέντων καὶ γὰρ αὐτῶν, φησὶν, ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας [a]. » Πῶς δὲ καὶ ὁ τελώνης κατὰ τὸν Χριστοῦ λόγον, καίτοι γε μὴ τὴν αὐτὴν εὐξάμενος πρὸς Θεὸν εὐχὴν, ἀλλ' ἕτερά τε δεηθεὶς καὶ εἰπὼν, κατέβη δεδικαιωμένος ὑπὲρ τὸν Φαρισαῖον; Ὥστ' ἐκεῖνο δεῖ νοεῖν τε καὶ συνάγειν ἐκ τῆς διδασκαλίας Χριστοῦ τόν γε νοῦν ἔχοντα, ὅτι οὐ τοῖς ῥήμασι μόνοις ἐκείνοις τὸ πᾶν συνέκλεισε τῆς εὐχῆς, ἀλλὰ τύπον δεδωκὼς μᾶλλον εὐχῆς τοῖς πιστοῖς δι' ἐκείνης, τοῦτο μυστικῶς ἐξεπαίδευσε, τὸ καὶ εὐχομένους καὶ ψάλλοντας καὶ δεομένους καὶ εὐλογοῦντας αὐτὸν ἐν παντὶ καιρῷ, κατὰ τὸν θεῖον Δαβὶδ, καὶ τὴν αἴνεσιν αὐτοῦ διὰ παντὸς ἐν τῷ στόματι φέροντας, τῆς διανοίας ἔχεσθαι πανταχοῦ καὶ τοῦ σκοποῦ τῶν θείων ῥημάτων ἐκείνων, καὶ μηδαμῶς ἐκεῖθεν ἀποστατεῖν· καὶ ὅρα τὸ τῆς διδασκαλίας ἠκριβωμένον· οὐδὲ γὰρ εἶπε, τοῖς ἀποστόλοις δηλονότι παραδιδοὺς τὴν εὐχὴν, ὅτι Ταῦτα τὰ ῥήματα, καὶ τούτους μόνους τοὺς λόγους προσεύχεσθε· ἀλλὰ πῶς; Οὕτω, φησὶ, προσεύχεσθε ὑμεῖς, δηλονότι κατὰ τοῦτον τὸν σκοπὸν καὶ τὸν τύπον, ὃν ἐγὼ νῦν ὑποδείκνυμι· κανόνα τινὰ καὶ γνώμονα τέμνων οἱονεὶ τοῦ πῶς δεῖ τῷ Θεῷ προσιέναι καὶ εὔχεσθαι, ὅπερ δὴ καὶ αὐτοὶ φθάσαντες ᾔτησαν· « Δίδαξον γὰρ, φησὶν, ἡμᾶς προσεύχεσθαι, καθὰ καὶ Ἰωάννης τοὺς ἰδίους ἐδίδαξε μαθητάς [b]. » Ταῦτα τοιγαροῦν οἱ πρῶτοι Χριστοῦ μαθηταὶ καὶ ἀπόστολοι πρῶτοι παρ' αὐτοῦ μαθόντες Χριστοῦ, αὐτοί τε τῷ τῆς προσευχῆς κανόνι κάλλιστα καὶ κατὰ λόγον ἐχρήσαντο, καὶ ἡμᾶς τοὺς αὐτῶν μαθητὰς ἐδίδαξαν ἅπερ καλῶς ἐδιδάχθησαν· ὃ δὴ καὶ ἡμεῖς κατ' αὐτοὺς ἐκείνους ἐξ ἐκείνου κοινῇ τε πράττομεν καὶ ἰδίᾳ, πρὸς τὸν κανόνα καὶ τὴν πρώτην ταύτην εὐχὴν ἀνάγοντες πάνθ' ὅσαπερ ἂν εὐχόμενοί τε καὶ ψάλλοντες λέγωμεν, καὶ τοῦτον τὸν τρόπον πάντοτε καὶ πανταχοῦ προσευχόμενοι, κατὰ τὸν αὐτοῦ δηλαδὴ λόγον καὶ τὴν διδασκαλίαν· Οὕτω καὶ γὰρ, φησὶ, προσεύχεσθε ὑμεῖς. Ἃ δὲ καὶ περὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ τῆς ἐκεῖθεν ἡμῶν σωτηρίας καὶ ἀναπλάσεως πρὸς τοὺς ἐχθροὺς τουτουσὶ τοῦ σταυροῦ διῆλθε, καὶ ὡς ἄνωθεν ἐν τοῖς Πατράσι τε καὶ προφήταις ὁ τοῦ σταυροῦ τύπος ἐνήργει, καὶ μυστικῶς κἀκείνους ἐτελείου, τὸ πράγμασιν αὐτοῖς ἐκφανὲν ὕστερον τῆς θείας οἰκονομίας μυστήριον, αὐτῆς ἐκείνης καὶ νῦν ἔξεστιν ἀκούειν διεξιούσης κάλλιστά τε καὶ ὑψηλότατα τῆς σοφῆς γλώττης καὶ θεολόγου, ἐν οἷς δηλαδὴ περὶ τοῦ

[a] Act. IV, 31. [b] Luc. XI, 1.

Digitized by Google

τιμίου σταυροῦ λογογραφῶν διαλέγεται. Τούτοις καὶ A τοῖς τοιούτοις καθ' ὑπερβολὴν καταπλήξας ἐκείνους, καὶ ὥσπερ ἀποῤῥάψας τὰ στόματα, καὶ τὴν μακρὰν ἐπισχὼν γλωσσαλγίαν, νικητὴς ἄριστος καὶ στρατηγὸς ὡσανεὶ μετὰ λαμπρῶν τῶν τροπαίων ἐκεῖθεν ἐπάνεισιν· ὁ γὰρ τῆς αἱρέσεως ἔξαρχος, εἰς νοῦν ἐξ ἐκείνου τοὺς τοῦ Γρηγορίου λόγους βαλόμενος, καὶ τἀληθὲς ἐκείνων καταμαθὼν καὶ θεόπνευστον ἄντικρυς, αὐτός τε καὶ συχνοὶ τῶν οὐκ ὀλίγη μοῖρα τοῦ πλήθους μετὰ μικρὸν τὴν Κωνσταντίνου κατειληφότες, τῇ μεγάλῃ τῶν πιστῶν προσίασιν Ἐκκλησίᾳ, καὶ τὴν πατρῴαν ἐξομοσάμενοι πλάνην, μέρος καὶ αὐτοὶ τοῦ καθ' ἡμᾶς ἱεροῦ συνεδρίου γίνονται· καὶ ταῦτ' ἦν εἰσόδια καὶ προαγῶνες οἱονεὶ Γρηγορίῳ τῆς ἱερᾶς ἀναχωρήσεώς τε καὶ ἡσυχίας, τοὺς μεγίστους ὑπὲρ B εὐσεβείας ἀγῶνας καὶ τὰ τελευταῖα προμηνύοντα τρόπαια.

Θαῦμα δ' οὐ μικρὸν καὶ τοῖς τὸ ὄρος παροικοῦσι μονασταῖς ἐπανιὼν ἐκεῖθεν ἐνῆχεν, ὅτι τε τὰς τῶν θηρῶν ἐκείνων χεῖρας καὶ τὰς ἐπιβουλὰς ἐκφυγεῖν ἐδυνήθη, τοσούτων ὄντων καὶ τηλικούτων, καὶ ὅτι μόνος πρὸς τὴν τῆς αἱρέσεως ἔνστασιν καὶ τὴν τοσαύτην φλυαρίαν οὐ μόνον ἀντέσχεν, ἀλλὰ καὶ περιφανῶς ὑπερέσχε τε καὶ κατετροπώσατο, τῇ τοῦ Χριστοῦ δυναμούμενος χάριτι, τοὺς καὶ πολλάκις λάθρα τε καὶ φανερῶς ἀνελόντας, τοὺς αὐτοῖς ἀντιλέγοντας· ὃ δὴ καὶ κατ' αὐτοῦ τε καὶ τἀδελφοῦ λαθραίως ἐπικεχειρηκότες, λύκος μάτην χανὼν ἀνεφάνησαν, τῆς θείας χειρός τε καὶ δυνάμεως ἀοράτως τῶν οἰκείων ὑπερμαχούσης. Ἔτι καὶ παρὰ τοῖς βαρ- C βάροις ἐκείνοις ὄντων, καὶ διαλεγομένου τοῦ Γρηγορίου, καθὰ δὴ καὶ προὔφην, ἐπεὶ μετὰ τὴν τοῦ συλλόγου διάλυσιν ἐπ' οἴκου χωροῦντες ἦσαν, βρώματα μέν τινα τοῖς περὶ τὸν Γρηγόριον εἰς διατροφήν τε καὶ τράπεζαν οἱ πλάνοι καὶ αἱμοχαρεῖς ἐκεῖνοι πέμπειν ἐδόκουν· τὰ δὲ ἄρα θάνατον παρ' ἑαυτοῖς φέροντα κεκρυμμένον οὐ διέλαθε τὸν Γρηγόριον, ἀλλὰ τῆς ἀφανοῦς κακουργίας θείῳ συνεὶς δηλαδὴ Πνεύματι, δέχεται μὲν, μηδένα δὲ τούτων ἅψασθαι, μηδοτιοῦν παραινεῖ· οὗ δὴ καὶ γεγονότος κατὰ γνώμην ἐκείνου, ἐπεί τῶν συνόντων τις διάπειραν ὡσανεὶ πεποιημένος τοῦ πράγματος, τὸν ἄρτον ἐκεῖνον τοῖς κυσὶ πρὸ τῆς θύρας ἀπέῤῥιψε, καὶ τούτου τῶν κυνιδίων φαγὼν ἓν, εὐθὺς καθεωρᾶτο νεκρόν· τηνικαῦτα καὶ τοῖς ἄλλοις πᾶσι τὸ διορατικὸν τοῦ D ἀνδρὸς ἐξεφάνη, καὶ ὅτι δηλητηρίων καὶ θανάτου τῆς τῶν μιαιφόνων τραπέζης μεστῆς οὔσης, τοὺς συνόντας εἰκότως ἐκεῖνος ἀπεῖργε πάντας τῆς μεταλήψεως.

Ταῦτα καταμαθόντες οἱ θεοφιλεῖς ἄνδρες ἐκεῖνοι, καὶ πολὺ τῷ προτέρῳ προστεθεικότες θαύματι, καὶ τὸν Γρηγόριον νῦν μᾶλλον καταπλαγέντες, παντοδαποί τινες ἦσαν καὶ ἔργοις καὶ λόγοις καὶ παντί γε τῷ δυναμένῳ παρ' ἑαυτοῖς κατασχεῖν τὸν ἄνδρα, καὶ τῆς ἐκείνου σοφίας τε καὶ τῆς ἀρετῆς ἀπολαύειν εἰς ἅπαν ὅπερ ἐκείνῳ καὶ πόῤῥω σκοποῦ καὶ σχεδὸν ἀδύνατον ἦν ἤδη, πρὸς τὸν κάλλιστον Ἄθω, καθὰ δὴ καὶ εἰπὼν ἔφθην, καὶ τὰς ἐκείνου χάριτας ἐκ μακροῦ βλέποντι. Ἦρος τοιγαροῦν ἀρχομένου, τοῖν δυοῖν ἀδελφοῖν ἅμα τοῦ ὄρους ἀπάρας, εἰς τὴν ποθούμενον ἄνεισιν Ἄθω, καὶ παρὰ τῇ τοῦ Βατοπεδίου γενόμενος λαύρᾳ Νικοδήμῳ φοιτᾷ τῷ γενναίῳ, ἀνδρὶ θαυμαστῷ κατά τε πρᾶξιν καὶ θεωρίαν, ὡς οἱ τὸν Ἄθω παροικοῦντες πλὴν ὀλίγων ἴσασι πάντες, κατὰ μὲν τὸν Αὐξεντίου βουνὸν, ὃς ἀπαντικρὺ Βυζαντίου πρὸς ἀνατολὰς ἐν Χρυσουπόλει πέραν πρὸς τῷ ἄκρῳ κεῖται τῆς Προποντίδος, πρότερον πᾶσαν ἀρετῆς ὁδὸν ἠσκηκότι πρὸς ἄκρον, ἐν τῇ τοῦ Βατοπεδίου δ' ἐς ὕστερον γενομένῳ, καὶ τοὺς αὐτοὺς τῆς ἀρετῆς ἄθλους μετὰ τῆς ἴσης σπουδῆς καὶ τῆς προθυμίας ἐπὶ πλεῖστον διηνυκότι, ἔνθα δὴ καὶ τοῦ θαυμαστοῦ καὶ μακαρίου μακαρίως διὰ Χριστὸν τετύχηκε τέλους. Τούτῳ τοίνυν καλῶς ὁ καλὸς ἐκεῖ Γρηγόριος προσελθὼν, αὐτοῦ που σκηνουμένῳ καθ' ἡσυχίαν, καὶ κείρεται παρ' αὐτοῦ, καὶ πρὸς ὑποταγὴν ἑαυτὸν τελείως ἐκδίδωσιν.

Οἷος δ' εὐθὺς μετὰ τὰς συνθήκας καὶ τὴν ἀποταγὴν ὁ θαυμάσιος ἦν καὶ λόγῳ καὶ πράξει καὶ τοῖς τοῦ νοῦ θεωρήμασι δῆλον ἐκεῖθεν. Ἔτος μὲν αὐτῷ δεύτερον ἤνυστο ἤδη νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ νήψει καὶ ἀδιαλείπτῳ προσευχῇ πρὸς Θεὸν ἐπειγομένῳ νύκτωρ καὶ μεθ' ἡμέραν, ὁδηγόν τε καὶ προστάτην ὁμοῦ καὶ μεσίτην προϊσταμένῳ τὴν Θεομήτορα, καὶ πρὸ τῶν ὀφθαλμῶν ὅσαι ὧραι τὴν ἐκείνης συμμαχίαν τε καὶ τὴν ὄψιν καὶ λόγοις καὶ εὐχαῖς καὶ νοεροῖς τιθέντι κινήμασι, καὶ ὑπ' ἐκείνῃ χειραγωγῷ, τὸν τῆς ὑπακοῆς δρόμον ἀνύοντι. Ἠρεμοῦντι δέ ποτε κατὰ μόνας, καὶ ἑαυτῷ καὶ Θεῷ καθ' ἡσυχίαν προσέχοντι, θεῖός τις ἀνὴρ, ὕπαρ οὐκ ὄναρ, θεοπρεπῶς ἄφνω πρὸ ὀφθαλμῶν ἵσταται ὁ τῶν εὐαγγελιστῶν φησι κορυφαῖος Ἰωάννης, ὁ τῆς βροντῆς γόνος, ὁ ἐξαίρετος Χριστοῦ μαθητής τε καὶ φίλος ἦν οὗτος· ὃς δὴ καὶ ἱλαρῶς ἐκείνῳ τὰς ὄψεις ἐπιβαλὼν, Ἤκουσα, φησίν, ἄγγελος πρὸς τῆς πάντων ἁγίων ἐπέκεινα Δεσποίνης, καθάπερ ὁρᾷς, ἐρησόμενος, ὅτου χάριν νύκτωρ τε καὶ μεθ' ἡμέραν, ὅσαι ὧραι σχεδὸν, οὐ διαλείπεις οὕτω βοῶν· Φώτισόν μου τὸ σκότος, φώτισόν μου τὸ σκότος· ἐπεὶ καὶ ἡμᾶς ἀπαραποιήτως αὐτοῖς ἐκείνοις ἐνταῦθα δεῖ τοῖς ἱεροῖς ῥήμασι χρήσασθαι. Τοῦ δ' ἀνθυπενεγκόντος, Καὶ τί δ' ἂν ἄλλο πρὸς Θεὸν ἐμπαθὴς καὶ πλήρης ἁμαρτιῶν ἄνθρωπος αἰτήσαιμι προσευχόμενος, ἢ τὸ ἐλεηθῆναι καὶ φωτισθῆναι, πρὸς τὸ εἰδέναι τε καὶ πράττειν τὸ ἐκείνου σωτήριον θέλημα; « Ἀλλὰ μὴ δειλία, μηδ' ἀμφίβαλε, φησὶν ὁ ἠγαπημένος Χριστοῦ μαθητὴς αὖθις, ἡ πάντων διακελεύεται Δέσποινα δι' ἡμῶν· αὐτὴ γὰρ καὶ ἐγώ σοι βοηθὸς ἔσομαι. » Τοῦ δὲ Γρηγορίου τὸν μυσταγωγὸν ἐπανερομένου καὶ πάλιν, Καὶ ποῦ μοι τὰ τῆς συμμαχίας ἄρ' ἔσται παρά γε τῆς Μητρὸς τοῦ Κυρίου μου, ἐν τῷ παρόντι ἢ ἐν τῷ μέλλοντι; ὁ τῶν μεγάλων καὶ ὑψηλῶν εὐαγγελιστής, « Καὶ πάλαι καὶ νῦν, κἂν τῷ παρόντι, μάλα χαριέντως τε καὶ ἡδέως φησὶ, κἂν τῷ μέλλοντι. »

Καὶ ὁ μὲν ταῦτα καὶ χρηματίσας ὑπερφυῶς, καὶ τῆς θείας ἐκείνης ὀμφῆς καὶ τῶν μεγάλων ἐμπλήσας ἀῤῥήτως τῆς Θεομήτορος δωρεῶν τὸν Γρηγόριον ἀφανὴς ἦν· ὁ δὲ τῷ καλῷ μαθητῇ καὶ συνοίκῳ καὶ ζηλωτῇ τῆς πολιτείας καθόσον οἷόν τε, καὶ τῶν-

Digitized by Google

μεγάλων ὑπὲρ εὐσεβείας ἀγώνων ἐς ὕστερον συναγωνιστῇ Δωροθέῳ, μετὰ πολυετῆ τινα χρόνον, σὺν πολλοῖς διεξῄει ταῦτα τοῖς δάκρυσι, κἀκεῖνα τουτοισὶ προστιθείς, ὅτι κἀν τῷ πατρικῷ, φησὶν, οἴκῳ, καὶ τῇ τῶν μαθημάτων σχολῇ, καὶ δὴ κἀν τοῖς βασιλείοις πρό γε τῆς πάντων σχολῆς καὶ τῆς ἀναχωρήσεως ἀναστρεφομένῳ μοι, θαυμαστή τις ἥ τε πίστις προσῆν, καὶ ἡ μετὰ ζεούσης τινὸς τῆς ἀγάπης προσεδρεία τε καὶ ἐλπὶς ἐπὶ τὴν Παρθένον καὶ Θεομήτορα· ὅθεν καὶ ἡμέρας ἀρχομένης ἑκάστης τοῦτό μοι παντὸς ἅμα καὶ ἔργου καὶ λόγου προὐργιαίτατον ἦν, τὸ πρὸ τῆς ἱερᾶς ἐκείνης εἰκόνος, φημὶ, στάντα, τὴν ἱερὰν ἐκείνην καὶ μεγάλην καὶ τοῖς ῥήμασι καὶ τοῖς πράγμασιν εὐχὴν μετὰ πλείστης ὅσης τῆς κατανύξεως καὶ τῆς συντριβῆς τῆς καρδίας εἰπεῖν, ἐκείνην φημὶ τὴν τῆς ἐξομολογήσεως καὶ μετανοίας ὁμοῦ καὶ δεήσεως πλήρη, τὴν ἐκ τῆς θαυμαστῆς Αἰγυπτίας ἐκείνης τὰς ἀρχὰς καὶ τὰ λαμπρὰ προοίμια φέρουσαν.

Τρίτος ἐνιαυτὸς τῷ Γρηγορίῳ μετὰ τὴν ἀποταγὴν ἦν, καὶ Νικόδημος ὁ καθηγητὴς καὶ πατὴρ, πλήρης ἡμερῶν τῶν τε θείων ὁμοῦ γεγονὼς καὶ τῶν ἀνθρωπίνων, εὐκλεῶς καὶ μακαρίως ὄντως ἐξεδήμει πρὸς Κύριον. Ὁ δ' ἐκεῖθεν ἀπάρας εὐθέως εἰς τὴν μεγίστην μεταβαίνει λαύραν Ἀθανασίου τοῦ πάνυ φημὶ, καὶ ξενίας ἐκεῖ καὶ ὑποδοχῆς ὑπὸ τῶν Πατέρων τῆς φίλης καὶ συνήθους ἐκείνης ἀξιωθεὶς, μᾶλλον δ' εἰπεῖν ἀληθῶς καὶ ὑπὲρ τὰ πάτρια καὶ τὸ ἔθος ἐκείνης τυχὼν, πάντων ἤδη προκατειλημμένων τῇ φήμῃ, καὶ τὰ εἰκότα πάλαι δοξαζόντων περὶ αὐτοῦ, καὶ μένει παρ' αὐτοῖς, καὶ συνδιατρίβει τρεῖς ὅλους ἐνιαυτοὺς, καὶ θαυμάζεται κἀνταῦθα τῆς πολιτείας τε καὶ τῆς φιλοσοφίας ἀξίως, μείζω πολλῷ καθυποδείξας τῆς φήμης τὴν πεῖραν, καὶ τοὺς λόγους κατόπιν ἰόντας τῶν πραγμάτων ὡς μάλιστα· μέρους καὶ γάρ τινος ὡς ἔθος ἐκείνοις ἐπιμελεῖσθαι τῆς κοινῆς τῶν ἀδελφῶν τραπέζης, καὶ δὴ καὶ τοῖς ψάλλουσιν ἐν τῷ ναῷ συνίστασθαι καὶ συνᾴδειν τὰ θεῖα, παρὰ τοῦ τῆς λαύρας δηλαδὴ προεστῶτος ἐπιτραπεὶς, θαῦμα τοῖς συνοῦσι διὰ πάντων ἑωρᾶτο, καὶ πάντας ὁμοῦ καὶ πρεσβύτας καὶ νέους, καὶ κοινωνικοὺς καὶ ἀναχωρητὰς, καὶ σοφοὺς καὶ ἰδιώτας ἦγεν εἰς ἔκπληξιν. Οὐ γὰρ τῇ μὲν τῶν ἀρετῶν προσκείμενος ἦν, τῆς δέ πως κατωλιγώρει· οὐδὲ τῆς μὲν εἰς ἄκρον ἐλάσας, τῆς δὲ δακτύλοις ἄκροις ὡσπερεὶ παραπτόμενος· οὐδὲ τὰς μὲν καθόλου καὶ γενικὰς πλείστου τινὸς ἐτιμᾶτο, τὰς δὲ μερικὰς κατά τινας τῶν δοκούντων ἠτίμαζεν· ἀλλ' οὕτω καὶ πρᾶξιν καὶ λόγον, καὶ τὰ καθόλου τε καὶ τὰ κατὰ μέρος, καὶ πάνθ' ὁμοῦ καὶ μεθ' ὑπερβολῆς κατορθοῦν ἔσπευδεν, ὡς εἶναί τινα συνδρομὴν καὶ ξυνοικίαν παντὸς ἀγαθοῦ τὴν ἐκείνου ψυχὴν, πάντας μετὰ θαύματος χειρουμένην, καὶ πάντων πρὸς ἑαυτὴν τὰς ψυχὰς ἐπιστρέφουσαν. Τί δ' ἄν εἴποι τις τό τε τοῦ ἤθους καὶ τῆς ὁμιλίας κεχαρισμένον; καὶ τὸ τοῦ φρονήματος ἐν σοφίᾳ καὶ κράτει τοσῷδε λόγων ὑποβεβηκός τε καὶ μέτριον; ὃ καὶ τοῖς ἐντυγχάνουσι μύωψ τις ἦν ὡσανεὶ πρὸς κατάνυξιν.

Ἐκράτει μὲν οὖν ὁ γενναῖος καὶ πάντων, οὐ τῶν ἀλόγων παθῶν φημι καὶ ὀρέξεων μόνον, ἀλλ' ἤδη καὶ τῶν φυσικῶν καὶ ἀναγκαίων αὐτῶν περιουσίᾳ σπουδῆς, μετὰ τοῦ σώματος οἱονεὶ φιλονεικῶν ἔξω τοῦ σώματος γίγνεσθαι· ὕπνου γε μὴν καὶ τῆς ἐκεῖθεν ἀνάγκης τοσοῦτον αὐτὸν ὑπερσχεῖν τὸ τηνικαῦτά φασιν, ὡς ἐπὶ μησὶν ὅλοις ἅμα τρισὶ νύκτας ὁμοῦ πάσας ἄγρυπνος καθάπερ εἴ τις ἄσαρκος διατελέσαι, σμικρά τινα μετὰ τὴν τροφὴν κατὰ μεσημβρίαν ἑκάστης ἡμέρας τοῦ ὕπνου μετέχων, ὥστε μὴ τὸν ἐγκέφαλον οἶμαί τι τῶν ἀνηκέστων παθεῖν, τοῦ κατὰ φύσιν ἐκτραπέντα διὰ ξηρότητα. Ἀλλ' ὁ τῆς ἡσυχίας καὶ τῆς μονώσεως ἔρως ἠρεμεῖν ἐνταῦθα διὰ τέλους οὐκ εἴασε τὸν Γρηγόριον· ὅθεν καὶ τὴν λαύραν καὶ τἀκεῖ πάντα μετὰ τρίτον ἐνιαυτὸν, ὡς ἔφην, καταλιπὼν, εἰς ἐρημίαν τὴν φίλην μετὰ σπουδῆς ἄπεισι· τοῖς μὲν ὧνπερ ἀπέστη λύπην οὐ φορητὴν, τοῖς δὲ πρὸς οὓς ἐπέστη χαρὰν ἐφάμιλλον ἐργασάμενος.

Εἶχε τοιγαροῦν αὐτὸν ἡσυχία ἡ φίλη, καὶ ὁ τῶν ἀναχωρητῶν ἱερὸς χῶρος ἐκεῖνος, ὃν ἐγχωρίως Γλωσσία φασίν. Εἶχε δὲ καὶ αὐτὸς τὴν ἐκ μακροῦ ποθουμένην σύν γε τοῖς ὁμοτρόποις καὶ φίλοις καὶ τῶν αὐτῶν σπουδασταῖς, ὧν καθάπερ εἴ τις ἔξαρχός τε καὶ κορυφαῖος Γρηγόριος ἦν ἐκεῖνος ὁ πάνυ, ἐκ Βυζαντίου μὲν καὶ αὐτὸς τὰς τοῦ γένους ἀρχὰς ἔχων, μέγας δέ τις καὶ περιβόητος ἐν ἡσυχίᾳ καὶ νήψει καὶ θεωρίᾳ κατ' ἐκεῖνο καιροῦ χρηματίσας, καὶ θαυμασθεὶς καθ' ὑπερβολὴν οὐ παρ' ἐκείνοις μόνοις, ἀλλὰ καὶ παρὰ τοῖς ἐν τῇ πατρίδι τὰ θεῖα φιλοσοφοῦσι πολλῷ μᾶλλον ὕστερον, ὅπου καὶ τὸ τέλος τῆς προσκαίρου ζωῆς ταυτησὶ δεξάμενος, καὶ πρὸς τὴν ἄληκτον μεταβὰς, ἀξίως ὑπὸ Θεοῦ μεμαρτύρηται, ὑπερφυῶς τὰ ὀστᾶ καὶ τὴν ἐκείνου κόνιν δοξάσαντος· ὃ καὶ τὸν ὁμώνυμόν φασι καὶ ὁμότροπον τοῦτον, ἐφ' ἱκανὸν τότε συγγεγονότα, τὰ κάλλιστά τε καὶ ὑψηλότατα τῆς κατὰ νοῦν ἐνεργείας καὶ τῆς τοῦ Θεοῦ μεγίστης τε καὶ πρώτης θεωρίας φιλοσοφῆσαι καὶ συμφιλοσοφῆσαι, ἅπερ ὁ σοφὸς ἐκεῖνος τὰ θεῖα καὶ χρόνῳ καὶ σπουδῇ καὶ πείρᾳ καὶ θεοφόρων ἀνδρῶν ὁμιλίᾳ φθάσας ἐκτήσατο.

Ἃ μὲν οὖν ἐκεῖ τῷ Γρηγορίῳ κατὰ μόνας ἑαυτῷ τε καὶ Θεῷ δι' ἡσυχίας συνόντι κατώρθωται, οὐ πάνυ τοι ῥᾷστον οὐδ' εὐχερὲς οὐδενί τινι τῶν πάντων, πάντ' ἐφεξῆς διιέναι· πῶς γὰρ ἃ διὰ μετριοφροσύνης ὑπερβολὴν αὐτὸς οὐδὲν ἧττον ἀπέκρυπτε τῶν λάθρα τὰ δεινότατα κακουργούντων καὶ πονηρευομένων, τῆς ἀριστερᾶς ἀποκρύπτων ἄριστα, καὶ μετὰ τῆς γιγνομένης σπουδῆς εἰς ἀεὶ τὸ τῆς δεξιᾶς ἔργον, κατὰ τὸν τοῦ Χριστοῦ λόγον, καὶ κρυπτῶς τῷ ἐν τῷ κρυπτῷ βλέποντι, τὴν ἀδιάλειπτον τοῦ νοῦ προσευχὴν ἐν πνεύματι καὶ λατρείαν προσάγων; Ἃ δὲ περὶ αὐτοῦ Γρηγόριος ὁ προῤῥηθεὶς μοι συναγωνιστὴς ἐξεῖπε καὶ φίλος· οὐδὲ γὰρ κἀκεῖνον λανθάνειν οἷόν τε ἦν διὰ πάντων· Πολλῶν μὲν, φησὶ, καὶ μεγάλων ὁ σοφὸς Γρηγόριος, ἑαυτῷ κατὰ μόνας ἐκεῖ συνὼν καὶ Θεῷ, τῶν αὐτοῦ κεκρυμμένων ἠξίωται δωρεῶν τε καὶ χαρισμάτων, ἃ τίς ἂν εἰς τοὐμφανὲς καθεξῆς προενέγκῃ πάντα;

Digitized by Google

Τὰ δέ γε προφανῆ καὶ γνωστὰ καὶ τοῖς ἔξω τέως, καὶ ὑφ' ὧν ἄν τις καὶ πρὸς τὴν τῶν ἀφανῶν ὑπόληψίν τε καὶ γνῶσιν ῥᾳδίως ὁδηγηθείη, ταπείνωσις ἦν ἀκροτάτη, καὶ ἡ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον, ἥ φησιν ὁ θεῖος Ἀπόστολος, ἀνυπόκριτος ἐκ καρδίας ἀγάπη, τὰ πρῶτα καὶ μέσα καὶ τελευταῖα τῶν ἀρετῶν ἐρείσματα καὶ στοιχεῖα, καὶ τελειωτικὰ ξυμπάσης ὁμοῦ τῆς κατὰ Χριστὸν φιλοσοφίας καὶ ἀγωγῆς, εἴπερ αὐτοῦ μὲν διδασκαλία πρὸς τοὺς οἰκείους καὶ οἱονεὶ προηγούμενον μάθημα, τὸ, « Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν[a]· » κατὰ δὲ τὸν αὐτοῦ λόγον αὖθις πᾶσα ἐντολή τε καὶ νόμος θεῖος ἐν τῷ, « Ἀγαπήσεις Κύριον τὸν Θεὸν ἐξ ὅλης καρδίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτὸν, » ἀνακεφαλαιοῦσθαί πως καὶ συμπεραίνεσθαι πέφυκεν. Ὁ δέ γε μακάριος Παῦλος πάντων ὑπερτιθεὶς ἀπαραμίλλως τῶν ὑπερφυῶν τοῦ Πνεύματος χαρισμάτων, καὶ καθ' ὑπερβολὴν ὁδὸν ὑποδείκνυσι ταύτην, ὡς μηδὲ τὸ μαρτύριον μηδέν τι πεφυκέναι δίχα τοῦ συνδυασμοῦ, καὶ τῆς παρ' αὐτῆς ξυμμαχίας· καὶ ἀγάπη, φησὶν, αὖθις μετὰ πολλῆς μάλα τῆς παρρησίας οὐδέποτε ἐκπίπτει.

Κατανύξεως δὲ πέρι, φησὶν, ὁ αὐτὸς καὶ δακρύων τί χρὴ καὶ λέγειν; ὅπου γε καὶ τὴν κατάνυξιν αὐτὴν δι' ἀγάπης ὑπερβὰς καὶ τὸ πένθος, κατὰ τοὺς τῶν θεοφόρων περὶ τούτων ἀνδρῶν λόγους, ἀψοφητὶ κατὰ τὰς τῶν πηγῶν ἀενάους τῶν ὀφθαλμῶν διὰ παντὸς ἀποβλύζων ἦν ταῦτα, πιαίνοντα καὶ ξυνιστάντα σύν γε τῇ ψυχῇ, φασὶ, καὶ τὸ σῶμα τῷ παριόντι τῶν θείων δεσμῶν τε καὶ τῶν ἐρώτων, ὃ δὴ καὶ φθάσας εἰρήκειν, ὅπερ καὶ παρὰ πάντα τὸν τῆς ζωῆς αὐτῷ συμπαρέμεινε χρόνον ὡσαύτως, καθὰ δὴ καὶ πάντες αὐτῷ σύνισμεν πλὴν ὀλίγων, πρᾶγμα καὶ λόγου καὶ θαύματος πέρας, καὶ μηδὲ τοῖς τῶν θεοφόρων ὡσαύτως ἐμφερόμενον καὶ βίοις καὶ λόγοις, καὶ τοῖς εἰδόσι γε μόνοις, ὡς ἔγῳμαι, μὴ ἀπιστούμενον. Ἀλλ' οὐ καὶ διὰ τέλους τῆς ἐνταῦθα καλλίστης διατριβῆς τε καὶ ἡσυχίας ἀπολαύειν ἔσχον κατὰ σκοπόν· δυοῖν ἐνιαυτῶν καὶ γὰρ μετὰ τὴν ἐπιδημίαν Γρηγορίου παραῤῥυέντων, τοῦ ληστικοῦ τῶν κάκιστ' ἀπολουμένων Ἀχαιμενιδῶν συνεχῶς ἐπιτιθεμένων τῷ ὄρει, καὶ τοὺς ἔξω τειχῶν μάλιστα τῶν μοναχῶν ἡσυχάζοντας ἐλαυνόντων καὶ θορυβούντων, καὶ καθ' ἑκάστην σχεδὸν νῦν μὲν ταῖς αἰφνιδίοις ἐφόδοις καὶ καταδρομαῖς καὶ ἀναιρέσεσι καὶ αἰχμαλωσίαις, νῦν δὲ καὶ μόναις ταῖς ὑποψίαις καὶ τῷ δέει ταραττόντων, καὶ τὴν φίλην ἡσυχίαν διακοπτόντων, ἀναγκάζονται καὶ ἄκοντες μεταβῆναι, θείῳ κἂν τούτῳ πειθόμενοι δήπουθεν νόμῳ φεύγειν κελεύοντι διωκομένους, καὶ μὴ ὁμόσε χωρεῖν τοῖς βλάπτουσι· τὴν γοῦν ἡμετέραν καταλαβόντες Θεσσαλονίκην σύν γε τοῖς φίλοις καὶ ὁμοτρόποις, δυοκαίδεκα δ' οἱ πάντες ἅμα τὸν ἀριθμὸν ἦσαν, βουλεύονται μετ' ἀλλήλων εἰς ταυτὸ συνιόντες, καὶ Θεσσαλονίκην μετὰ τοῦ Ἄθω καὶ πάντα τὰ ἐνταῦθα καταλιπόντες εὐθὺ χωρεῖν Ἱεροσολύμων, κἀκεῖ προσκυ-

A νήσαντες τὸ λοιπὸν τῆς ζωῆς ἐν ἡσυχίᾳ διάγειν· Ἐπεὶ δὲ τοῖς πᾶσι συνεδόκει καλῶς βεβουλεῦσθαι, καὶ πρὸς τὴν ἔξοδον ἔβλεπον ἤδη καὶ τὴν ἀποδημίαν, Γρηγόριος ὁ σοφὸς καὶ τὴν ἄνωθεν ψῆφον καὶ τὴν εὐδοκίαν ἐζήτει, καὶ τὸ κῦρος ἐκεῖθεν ηὔχετο τῶν βεβουλευμένων. Ἡσυχίᾳ προσανέχοντι τοιγαροῦν, καὶ καθ' ἑαυτὸν ὑπὲρ τούτων αὐτῶν τοῦ Θεοῦ δεομένῳ, ὄψις ἐφίσταταί τοιάδε, καὶ πρὸς ὕπνον τινὰ κατιέναι δόξαντι μεταξὺ τῆς εὐχῆς. Ἐδόκουν, φησὶ, τοῖς ἀδελφοῖς ἐκείνοις συνὼν, μεθ' ὧν δηλαδὴ καὶ τὰ τῆς ἀναχωρήσεως ἡμῖν ἐσπουδάζετο, παρὰ τοῖς τῶν βασιλείων προαυλίοις ἑστάναι, καὶ τοῦ βασιλέως αὐτοῦ παρόντος, καὶ βασιλικῶς τε καὶ ὑψηλῶς ἄγαν ἐπὶ τοῦ βασιλικοῦ θρόνου προκαθημένου, καὶ τῆς
B περὶ αὐτὸν δορυφορίας καὶ τῆς συγκλήτου καὶ τῶν τάξεων ὡς ἔθος παρισταμένων, ὧν εἷς τις πρὸς ἡμᾶς ἐκεῖθεν ἰὼν μετὰ τοῦ σχήματος καὶ τῆς παῤῥησίας· τὴν τοῦ δουκὸς δ' οὗτος ἀξίαν ἐδόκει περιβεβλῆσθαι· Ἐμὲ μὲν, φησὶν, ἀμφοτέραις ἐδόκει περιβαλὼν καὶ ἐνστερνισάμενος, ὡσανεὶ πρὸς ἑαυτὸν ἕλκειν, πρὸς δὲ τοὺς ἐμοὺς ἑταίρους ἐπιστραφεὶς, Ἰδοὺ τοῦτον, ὡς καὶ ὑμεῖς ὁρᾶν ἔχετε, φάναι, κατέχω παρ' ἐμαυτῷ, τοῦ βασιλέως οὕτω προστεταχότος· εἰ δ' ὑμῖν αἱρετόν ἐστιν ἀπιέναι, πορεύεσθε· καὶ γὰρ ὁ κωλύσων οὐδείς. Ταῦτα καὶ χρηματισθεὶς ἐκ Θεοῦ, καθάπερ ἐζήτει, καὶ τοῖς φίλοις κοινωσάμενος ὁ Γρηγόριος, παραμένειν αὐτόθι κοινῇ πάντες δεῖν ἔκριναν, καὶ μηδαμῶς ἐξιέναι τῆς αὐλῆς καὶ τῶν περιχώρων τοῦ μεγάλου τῆς μεγάλης Θεσσαλο-
C νίκης καὶ πολίτου καὶ πολιούχου καὶ παντοδαποῦ φρουροῦ καὶ προστάτου, τοῦ ἐν μάρτυσι φημὶ θαυμαστοῦ Δημητρίου· αὐτὸν ἐκεῖνον καὶ γὰρ ᾤοντο καλῶς εἶναι τὸν τοῖς θείοις τε καὶ βασιλικοῖς καινῶς οὑτωσὶ διακονοῦντα προστάγμασι, καὶ φιλικῶς τε καὶ γνησίως κατέχοντα τὸν Γρηγόριον, καὶ δι' αὐτοῦ τοὺς λοιποὺς, νῦν μὲν εἰς τὴν σπουδαζομένην ἡσυχίαν τε καὶ τὴν ἀναχώρησιν, εἰς δὲ τὴν προεδρίαν καὶ τὴν τῆς Ἐκκλησίας ἱερὰν ἀρχήν τε καὶ προστασίαν ὕστερον· Ὃ δὴ καὶ μετὰ χρόνον οὐκ ὀλίγον θαυμαστῶς οἰκονομεῖσθαι παρὰ τῆς μεγάλης τοῦ Θεοῦ σοφίας τε καὶ προνοίας ἔμελλε, πόῤῥωθεν τὰς τῶν μεγάλων πραγμάτων προκαταβαλλομένης ἀρχάς.

Ἐνταῦθα καὶ τὸ τῆς ἱερωσύνης μέγα καὶ θαυμα-
D στὸν ὁ θαυμάσιος ἀξίωμα δέχεται, κοινῇ τῆς συνούσης ἑταιρείας τῶν ὁσίων ἐκείνων αὐτοῦ δεηθέντων, καὶ μάλιστ' ἐπειδὴ πρὸς μακρὰς ἐώρων ὁδοιπορίας, καὶ πρὸς ἀγνῶτάς τινας τὸ παράπαν ἔμελλον ἀποπλεῖν, κἀκεῖνα τοῖς λογισμοῖς, καθὰ δὴ καὶ προὔφην, πόῤῥωθεν ἐφαντάζοντο. Ἀλλ' ἐπεὶ τὸν κατ' ἀρετὴν ὑψηλὸν οὕτω καὶ μέγαν καὶ καταλλήλως ἔδει διὰ πάντων τοῖς μεγίστοις καὶ ὑψηλοῖς ἐγχειρεῖν, ᾐγνόητο δ' αὐτοῖς τὸ παράπαν ὁ τῆς ἱερωσύνης μυσταγωγός τε καὶ τελεστὴς, πρόσεισι τῷ Θεῷ περὶ τῶν προκειμένων τουτωνὶ μετ' εὐλαβείας πευσόμενος ὁ Γρηγόριος, καὶ τὴν προκειμένην ἀποστολικὴν δέλτον λαβὼν ἐν χεροῖν, καὶ πρὸς Θεὸν ἄρας

[a] Matth. XI, 29.

μετὰ τῆς διανοίας καὶ τοὺς τοῦ σώματος ὀφθαλμούς, δι' αὐτῆς ἐπεζήτει πιστῶς ἐν γνώσει γενέσθαι, καθόσον οἷόν τε, τοῦ θείου θελήματος. Ἀνελίξας τοιγαροῦν, καὶ τὸ ὄμμα τοῖς ἐγκειμένοις ἐπιβαλὼν, ἐκείνοις εὐθὺς ἐντυγχάνει, οἷς δήπου καὶ πρὸς Γαλάτας πάλαι γράφων ὁ σοφὸς Παῦλος τοῦ λόγου προοιμίοις ἐχρήσατο· «Παῦλος ἀπόστολος, λέγων, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός [7].» Ἐντεῦθεν ἐκεῖνος συνεὶς, ὡς οὐκ ἄνευ ἐπιφροσύνης οὐδ' ἐπιπνοίας Θεοῦ τὸ γιγνόμενον, οὔτε μὴν τῶν ἀνθρωπίνων τι καὶ χαμαὶ ἐρχομένων, τοῖς ὑψηλοῖς ἐκείνοις καὶ θείοις ὅλως προσίσταται, καὶ δέχεται τὰ θεῖα καὶ ἱερὰ θείως καὶ ἱερῶς, εἴπερ τις οἶμαι τῶν πάντων, καὶ προσκυνεῖ τὸν δεδωρημένον, καὶ πρὸς μείζονας τοὺς ὑπὲρ ἀρετῆς ἀγῶνας εὐθὺς ἀποδύεται, ἐν αἰσθήσει τῆς θείας ἀξίας γεγενημένος, καὶ τιμῶν μάλα σοφῶς ὁ σοφὸς τὸν τετιμηκότα· ᾗ καὶ τὸ δῶρον, οἰκειότερον εἰπεῖν, ἑαυτῷ μᾶλλον αὔξων, καὶ τὴν λαμπάδα καὶ τὸ πῦρ ἀνάπτων ὁσημέραι τοῦ Πνεύματος.

Τῆς γὰρ Θεσσαλονίκης μετὰ τὴν χειροτονίαν καὶ τὸν θεῖον ἐκεῖνον, ὅπερ ἔφην, χρησμὸν μικρὸν προελθόντες, κἀν τῇ γείτονι Βεῤῥοίᾳ γενόμενοι, τὸ ταύτῃ παρακείμενον ὄρος, καὶ τὴν ἐκεῖ συνισταμένην τότε τῶν μοναζόντων σκήτην εἰσέρχονται· ἔνθα δὴ καὶ φροντιστήριον θείας φιλοσοφίας ὁ Γρηγόριος συστησάμενος, σὺν δέκα τοῖς ἑταίροις καὶ τῶν ἴσων σπουδασταῖς τε καὶ κοινωνοῖς, τὸν πληρέστατόν φημι καὶ τέλειον ἀριθμὸν, τὰ τῆς ἄνω καὶ θείας τελειότητος, ὁ πλήρης ὄντως παντὸς ἀγαθοῦ, καὶ αὖθις φιλοσοφεῖν ἄρχεται, τὰς μὲν πέντε τῆς ἑβδομάδος ἑκάστης ἡμέρας αὐτός τε μένων ἀπρόϊτος, καὶ μηδένα τῶν πάντων μηδαμῶς εἰς ὁμιλίαν παραδεχόμενος, Σαββάτου δὲ καὶ Κυριακῆς πρός τε τὴν μυστικὴν δηλαδὴ θυσίαν, καὶ τὴν τῶν ἀδελφῶν προϊὼν πνευματικὴν ὁμιλίαν καὶ ἕνωσιν. Ἔτος μὲν οὖν αὐτῷ τῆς ἡλικίας τηνικαῦτα τριακοστὸν ἦν, εἶχε δὲ καὶ τοῦ σώματος ἐῤῥωμένως ἔτι, μήπω μηδεμιᾶς προσβαλούσης αὐτῷ νόσου μηδὲ βραχύ· ὅθεν καὶ μειζόνων πολλῷ τῶν ἀγώνων καὶ σκληροτέρας τῆς ἀγωγῆς ἅπτεται, νηστείᾳ καὶ ἀγρυπνίᾳ μακρᾷ κατατήκων τὸ σῶμα, καὶ φιλονεικῶν εἰς τέλος ὑποτάξαι τῷ πνεύματι· ἐγκρατείᾳ τε παντοδαπῇ καὶ νήψει, καὶ τῇ συνήθει τῶν δακρύων πηγῇ τὸ τῆς ψυχῆς ὀπτικὸν ἀπολεπτύνων τε καὶ καθαίρων, καὶ πρὸς τὸ συγγενὲς ἀνάγων αἰεὶ θεῖον διὰ τῆς ἀδιαλείπτου φημὶ τοῦ νοῦ προσευχῆς, καὶ τῆς ἀμέσου κατὰ χάριν τοῦ Θεοῦ κοινωνίας τε καὶ ἑνώσεως. Ἐντεῦθεν οἱ καρποὶ τοῦ Πνεύματος, ἀποστολικῶς εἰπεῖν, ἐν αὐτῷ βρύοντες ἦσαν, καὶ πάντες οὐχ οἱ σὺν αὐτῷ μόνον, ἀλλὰ καὶ οἱ τὸ ὄρος ἐκεῖνο κατ' ἔρωτα θείας φιλοσοφίας καὶ τὴν πόλιν οἰκοῦντες ὡσαύτως, ὡς εἰς ἀρχέτυπον καὶ εἰκόνα τινὰ τῆς ἀρετῆς θαυμαστὴν τὴν ἐκείνου πολιτείαν τε καὶ τὸν λόγον ἑώρων, καὶ θαῦμά τι καινὸν τὸ κατ' αὐτὸν, καὶ πόῤῥω τῆς καθ' ἡμᾶς ταυτησὶ γενεᾶς, καὶ ὑπὲρ ἄνθρωπον σχεδὸν αὐτοῖς

A ἐνομίζετο· ἐξέπληττε καὶ γὰρ αὐτοὺς μετὰ τοῦ τῆς πράξεως ὑψηλοῦ καὶ ὁ λόγος, καὶ τὸ καινόν τε καὶ ὑπερφυὲς ὄντως τῆς θείας σοφίας, καὶ μηδενί τινι τῶν ἄλλων παραβαλλόμενον.

Καὶ τί χρὴ καὶ λέγειν, ὅπου γε καὶ σιωπῶν, καὶ μόνον ὁρώμενος, ὢ θαυμάσιε, θαῦμα ταῖς τῶν ὁρώντων ψυχαῖς ἐνεποίει; νῦν μὲν σύννους τις ὢν καὶ πρὸς ἑαυτὸν καὶ τὸν Θεὸν ὅλως ἐπεστραμμένος, καὶ λελουμένος ὑπερφυῶς τοῖς καινοῖς ἐκείνοις ῥεύμασι τῶν δακρύων· νῦν δ' ὡς ἀπὸ καμίνου πυρὸς τὰ πρόσωπα φέρων ὑπὲρ φύσιν φωτοειδῆ, καὶ τῷ πυρὶ τοῦ Πνεύματος μετεσκευασμένα τε καὶ ἠλλοιωμένα, καὶ μάλισθ' ὅτε τῆς τῶν ἱερῶν μυστικῆς τελετῆς, ἢ καὶ τοῦ οἰκίσκου καὶ τῆς ἡσυχίας ἐξῄεις.

B Ἐν δὲ τούτοις ὄντι καὶ τοῖς τοιούτοις, ἀπαίρει μὲν τῶν ἐνταῦθα, καὶ πρὸς Θεὸν μετὰ συχνῶν τῶν τῆς ἀρετῆς ἀγωγίμων ἡ καλλίστη καὶ προσφιλὴς ὄντως μεταβαίνει μήτηρ τῷ Γρηγορίῳ· γράμματα δ' εὐθὺς τῶν ἐκείνῃ συνασκουμένων θυγατέρων παρθένων ἐκ Βυζαντίου δηλαδὴ πρὸς τοῦτον φοιτῶσι, τήν τε τῆς κοινῆς μητρὸς ὁμοῦ γνωρίζοντα τελευτὴν, καὶ αὐτὸν πρὸς ἐπίσκεψιν ἑαυτῶν καὶ πνευματικὴν ὁδηγίαν παρακαλοῦντα. Πείθεται τοῖς γράμμασι καὶ τῇ προσκλήσει τῶν ἀδελφῶν, πολὺ μετὰ τοῦ δικαίου καὶ τὸ ἐπαγωγὸν ὁμοῦ κεκτημένοις, ἄνεισιν εἰς τὴν Κωνσταντίνου, καὶ τοὺς ἀδελφοὺς ἔχων ἄμφω μεθ' ἑαυτοῦ· εὑρίσκει τὰς ἀδελφὰς κατ' οὐδὲν ψευσαμένας τὸ γένος, θαυμάζει τὴν ἀρετὴν, ἐπαινεῖ τοὺς ἀγῶνας καὶ τὸ διὰ πάντων καθαρὸν καὶ ἠκριβωμένον τοῦ βίου· C καὶ Θεῷ τὴν προσήκουσαν ἀποδεδωκὼς ὑπὲρ πάντων εὐχαριστίαν, καὶ τὰ ὑψηλότερα καὶ αὐτὸς ἐφ' ἱκανὸν μυσταγωγήσας καὶ παραινέσας, τῆς ἐπανόδου καὶ αὖθις καὶ τῆς ὑποστροφῆς τῆς πρὸς τὴν ἀναχώρησιν γίνεται. Ἀλλ' οὐ συνεδόκει καὶ ταῖς ἀδελφαῖς ταῦτα· ἢ γὰρ κἀκεῖνον σὺν τοῖς ἀδελφοῖς αὐτόθι παρεῖναι, καὶ διδάσκειν καὶ νουθετεῖν ὁσημέραι, καὶ τῆς πρὸς ἀρετήν τε καὶ Θεὸν ἀξίως ἡγεῖσθαι, ἢ καὶ αὐτὰς συναποδημεῖν ἐκείνοις, καὶ πρὸς τὴν ξένην τε καὶ τὴν ἀναχώρησιν ἀπιέναι πᾶσαν ἔλεγον εἶναι ἀνάγκην. Ὁ δὲ τὸ μὲν παραμένειν τῇ πατρίδι καὶ αὖθις ἀδύνατον εἶναι φήσας, τὸ δὲ καὶ τὰς ἀδελφὰς συναποδημεῖν καὶ δυνατὸν λογισάμενος καὶ συμφέρον, σὺν τοῖς ἀδελφοῖς καὶ ταύτας παραλαβὼν εἰς Βέῤῥοιαν ὑποστρέφει καὶ αὖθις, καὶ τῇ πόλει D ταύτας ἐγκαταστήσας, κἀκεῖ τῆς συνήθους ἀγωγῆς καὶ τῆς ἀσκήσεως ἔχεσθαι καὶ αὖθις παρασκευάσας, εἰς τὸ ὄρος αὐτὸς ἐπανατρέχει καὶ τὴν ἀσκητικὴν αὖθις καλύβην.

Βραχὺς ὁ μεταξὺ χρόνος, καὶ ἡ προτέρα τῶν ἀδελφῶν Ἐπίχαρις, τὸ σῶμα καὶ τοὺς ἀδελφοὺς σύν γε τοῖς ἐνταῦθα πᾶσι καταλιποῦσα, πρὸς Θεὸν εὐκλεῶς διαβαίνει, παρθενικοῖς τε καὶ ἀσκητικοῖς ὑπερφυῶς κατεστεμμένη χαρίσμασιν ἀοράτως, καὶ σημείοις ἀποστολικοῖς οὐχ ἀμυδρῶς καὶ τοῖς ἔξω τὴν χάριν ἐπισημαίνουσα. Τήν τε γὰρ τελευτὴν ἑαυτῆς δέκα πρότερον ἡμέραις ὑγιῶς ἔτι τοῦ σώματος ἔχουσα σαφέστατα προὔφη, καὶ τοὺς ἀδελφοὺς ἐκ τοῦ ὄρους

[7] Gal. I, 1.

Digitized by Google

εἰς τὴν πόλιν ἐλθόντας διὰ τοῦτ' αὐτὸ παρ' ἑαυτῇ κατασχοῦσα, καὶ Θεοδοσίου τοῦ δευτέρου τῶν ἀδελφῶν τὸν θάνατον ὡσαύτως ἥκειν ὅσον οὔπω Πνεύματι θείῳ προεῖπε, καὶ ὡς ἀπελεύσεται μὲν ὁ Γρηγόριος σύνιμα τἀδελφῷ Μακαρίῳ καὶ αὖθις μετ' ὀλίγον ἐς Ἄθω, πειρασμοῖς δὲ μετ' ἐκεῖνο περιπεσεῖται ποικίλοις πρὸς χρηστὸν ἀφορῶσι τὸ πέρας. Ἃ δὴ καὶ κατὰ τὴν ἐκείνης ἐξέβη πρόῤῥησιν, μηδενός τινος μηδ' ὁτιοῦν διαπεπτωκότος· εἶχε γὰρ ἐκ παιδικῆς πάνυ τῆς ἡλικίας οἱονεί τινα σύντροφον καὶ συνακμάζουσαν τὴν ἀρετὴν, καὶ τὸ πρὸς Θεὸν διὰ παντὸς ἐπεστράφθαι, καὶ δὴ καὶ τὴν εὐτέλειαν καὶ τὸ πένθος, καὶ τὴν τῶν ῥεόντων τουτωνὶ καὶ φθαρτῶν περιφρόνησιν· περὶ ἧς δήπου καὶ Γρηγόριος ὁ σοφὸς θαυμαστά τινα καὶ μνήμης ἄξια διεξῄει παρὰ τῆς καλλίστης ἀκηκοὼς μητρὸς, ὡς αὐτὸς ἐκεῖνος πρὸς τοὺς οἰκείους ἔλεγεν ὕστερον, ἃ καὶ διὰ τὸ μῆκος νῦν ὁ λόγος παρῆκεν· ἐκεῖνό γε μὴν ἀναγκαῖον τοῖς εἰρημένοις προσθεῖναι.

Πολλῶν τινων τὸ τηνικαῦτα σπουδαίων παροικούντων ἐκεῖνο τὸ ὄρος, καί τις παρ' ἐκείνοις γηραιὸς ἦν καὶ τὴν ἡλικίαν ὁμοῦ καὶ τὸν τρόπον τὴν κλῆσιν Ἰώβ· σπουδαῖος τὴν πολιτείαν, ἁπλοῦς τὸ ἦθος, ἐπιεικείᾳ καὶ χρηστότητι καὶ πᾶσιν ἀγαθοῖς, ὡς εἰπεῖν ἐν βραχεῖ, διαλάμπων. Οὗτος ἐν γειτόνων αὐτοῦ που σκηνούμενος, Γρηγορίῳ καὶ συνήθης καὶ ὁμιλητὴς ἐγεγόνει καὶ φίλος, τῆς ἀρετῆς τοὺς τῶν αὐτῶν ἐραστὰς δι' ἑαυτῆς ὡς τὰ πολλὰ συνδεούσης ἀλλήλοις. Οὗτος τῷ μεγάλῳ συνήθως ποτὲ συγκαθήμενος, καὶ φιλήκοον οὓς τοῖς ὑπ' ἐκείνου λεγομένοις διδοὺς, ἐπειδὴ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα λέγοντος ἠκηκόει, ὡς πάντα τὸν ἀπὸ Χριστοῦ καλούμενον, ὁποίου ποτ' ἂν εἴη τάγματος, τὴν ἀδιάλειπτον ἀσκεῖν δεῖ προσευχὴν κατά γε τὴν ἀποστολικὴν παραίνεσιν, « Ἀδιαλείπτως προσεύχεσθε [8], » κοινῇ τὴν Ἐκκλησίαν διδάσκουσαν, καὶ δὴ καὶ τὸν προφήτην Δαβίδ· καίτοι γε καὶ βασιλέα πεφηνότα, τό· « Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς [9], » φάσκοντα, οἷς δήπου καὶ Γρηγόριος ὁ μέγας ἑπόμενος, Μνημονευτέον Θεοῦ, φησὶ, μᾶλλον ἢ ἀναπνευστέον, κοινῇ καὶ αὐτὸς πρὸς τοὺς πιστοὺς ὡσαύτως τὸν λόγον ποιούμενος· καὶ, Χρὴ, φησὶ, καὶ ἡμᾶς πειθομένους τοῖς προῤῥηθεῖσι, μὴ τοὺς ἔξω κόσμου καὶ μοναστὰς μόνον, ἀλλὰ καὶ ἄνδρας καὶ γυναῖκας καὶ παῖδας, καὶ σοφοὺς καὶ ἰδιώτας, καὶ πάντας ὁμοῦ ταυτὰ διδάσκειν ὡσαύτως, καὶ πρὸς αὐτὸ τοῦτ' ἐνάγειν πάσῃ σπουδῇ. Τούτων ὁ γηραιὸς ἀκούσας πρὸς τοῦ σοφοῦ, καὶ οὐκ οἶδ' ὅ τι παθὼν, ἀντιλέγειν ἐπειρᾶτο τοῖς οὕτω φανεροῖς καὶ ἀντιῤῥήτοις, τῶν ἀνακεχωρηκότων τοῦ κόσμου καὶ μοναστῶν μόνον διατεινόμενος εἶναι ταυτὶ, ἀλλ' οὐ τῶν πολλῶν καὶ κατὰ κόσμον ἁπλῶς. Ἐπεὶ δὲ καὶ πόλλ' ἕτερα προσόμοια τοῖς ῥηθεῖσιν αὖθις ὁ μέγας προσθεὶς πείθειν οὐδαμῶς εἶχε τὸν γέροντα, τὸν μὲν περὶ τούτων ἵστησι λόγον, τὴν πολυλογίαν καὶ τὴν ἔριν ἀποποιούμενος πάσῃ σπουδῇ· ἐπεὶ δὲ καὶ διαλυθέντες ἀπ' ἀλλήλων ἐπ' οἴκου χωροῦντες ἦσαν, καὶ ὁ οἰκίσκος εἶχε συνήθως ἑκάτερον εὐχῇ καὶ ἡσυχίᾳ προσέχοντα, Θεὸς ἄνωθεν εὐθὺς διαιτᾷ τοῖς λεχθεῖσιν, ἀγγέλῳ δηλαδὴ διακόνῳ χρησάμενος, διδάσκων μὲν καὶ τὸν ἀγνοοῦντα φιλανθρώπως ἃ μὴ μεμάθηκε, τιμῶν δ' ὑπερφυῶς πῶς ἂν εἴποις σύν γε τοῖς λαληθεῖσι καὶ τὸν Γρηγόριον· ὃς καὶ λαμπρὸς λαμπρῶς εὐχομένῳ τῷ γέροντι παραστὰς, Μηδαμῶς, φησὶν, ἄλλως περὶ τῶν διωμιλημένων ὑμῖν πρὸ βραχέος, ὦ οὗτος, ἔχε καὶ φρόνει, ἢ καθάπερ ὁ ἱερὸς ἔφη Γρηγόριος. Καὶ ὁ μὲν ταῦτ' ἐπιτάξας ἀφανὴς ἦν εὐθύς· ὁ δ' ἀγγελικὴν εἶναι καὶ θείαν μὴ ἀγνοήσας τὴν διδασκαλίαν τε καὶ τὴν ἐπιφάνειαν, σπουδῇ πρὸς τὸν ὅσιον εὐθὺς ἄπεισι, τὰ ὀφθέντα τε καὶ ἀκουσθέντα θείως μηνύων, καὶ συγγνώμην αἰτῶν τῆς οὐ καλῆς ἐκείνης ἀπειθείας καὶ τῆς ἐνστάσεως, ἧς καὶ τυχὼν, καὶ κρεῖττον ἤπερ ἐβούλετο, τίς γὰρ ἐκείνῳ πρὸς μετριότητά τε καὶ ἀγάπην ἐνάμιλλος; ἀχώριστος ἦν ἐξ ἐκείνου σχεδὸν τοῦ μεγάλου, καὶ δεσμοῖς ἀῤῥήκτοις ὁμονοίας τε καὶ φιλίας ἀλλήλοις ἄριστα συνεδέθησαν. Μετὰ μικρὸν δὲ καὶ πρὸς ὃν ἐφίλει Χριστὸν ἀπιὼν, καὶ πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς ὁ χρηστὸς Ἰὼβ ἤδη γενόμενος, μεγάλας ἐπὶ πάντων ἀνομολογῶν ἦν τῷ Θεῷ τὰς χάριτας, ὅτι τε συνήθης καὶ ὁμιλητὴς ἐγεγόνει τῷ Γρηγορίῳ, καὶ ὅτι πολλά τινα καὶ μεγάλα τῆς ἐκείνου διδασκαλίας καὶ τῆς φιλίας ἀπώνατο.

Πέμπτος ἐνιαυτὸς ἦν καθ' ἡσυχίαν, ἧπερ ἔφην, ἐνταῦθα τῷ σοφῷ διατρίβοντι, καὶ τὸ Ἰλλυριῶν ἐπιστρατεῦσαν ἔθνος τοῖς χωρίοις ἐκείνοις, μᾶλλον δὲ καὶ συνεχῶς ἐπιόντες, καὶ ὄρη καὶ πεδία καὶ ἀγροὺς καὶ συνοικίας ὁμοῦ πάσας, τὰς μὲν ἐξανδραποδιζόμενοι καὶ δῃοῦντες, τὰς δὲ καὶ πυρὶ κατακαίοντες, ἀναγκάζουσι κἀκεῖνον μεταβῆναι καὶ αὖθις καὶ παρὰ τὸν βέλτιστον ἐλθεῖν Ἄθω· ὃν δὴ καὶ καταλαβὼν, καὶ πρὸς τῇ μεγίστῃ λαύρᾳ τοῦ θαυμαστοῦ καὶ πάλιν Ἀθανασίου γενόμενος, καὶ χαίρων χαίρουσι τοῖς φίλοις Πατράσι καὶ τοῖς ἀδελφοῖς ἐποφθεὶς, οὐκέτι μὲν τῆς λαύρας ἐντὸς ὥσπερ δὴ καὶ τὸ πρότερον, ἐκτὸς δέ που μᾶλλον καὶ ταύτης ἐγγὺς, ἔν γε τῷ τοῦ θείου Σάββα φροντιστηρίῳ φημὶ, τὴν καθέδραν καὶ τὴν τῆς ἡσυχίας σκηνὴν πήγνυσιν· ὀλίγα μὲν τῇ λαύρᾳ καὶ τῷ πλήθει προσιών τε καὶ συγγινόμενος, ὁπηνίκα δηλαδὴ πρὸς ἱερουργίαν μόνον καὶ τὴν τῶν μυστικῶν τελετὴν ἐκ διαλειμμάτων ὡς καὶ τοὺς λοιποὺς πρεσβυτέρους τὸ κοινὸν αὐτὸν τῆς ἐκκλησίας ἐκάλει, κοσμεῖν ἑαυτοὺς καὶ δοξάζειν ὥσπερ, οἷα τὰ τῆς καλῆς περὶ τὰ τοιαῦτα σπουδῆς τε καὶ φιλοτιμίας ἐκείνων, κἀντεῦθεν βουλόμενοι· ἑαυτῷ δὲ καθ' ἡσυχίαν ἀκροτάτην συνήθως μόνῳ συνὼν καὶ Θεῷ, καὶ μήτε τῆς καλύβης μηδ' ὁπωσοῦν προϊὼν, μήτ' εἰς ὁμιλίαν καὶ θέαν ἐρχόμενος τὸ παράπαν τινὶ, ὡς μηδ' αὐτὸν τὸν ταῖς ἀναγκαιοτάταις ἐξυπηρετούμενον δήπου χρείαις ἀνέχεσθαι προσορᾶν, Σαββάτου φημὶ καὶ Κυριακῆς δίχα, καθ' ἃς καὶ τοῖς ἄλλοις καὶ θεατὸς ἅμα καὶ προσιτὸς ἦν.

Τῆς τοίνυν ἀρετῆς ὁμοῦ πάσης εἴς τε τὸ πρακτι-

[8] I Thess. v, 17. [9] Psal. xv, 8.

Digitized by Google

κὸν διῃρημένης καὶ θεωρητικὸν, οὗ καὶ τὸ πρακτικὸν ὑποβάθραν οἱονεί τινα καὶ θεμέλιον εἶναί φασιν οἱ περὶ ταῦτα σοφοί· καὶ τοῦ μὲν εὐχερεστέρου τε ὄντος, καὶ τάχιστα τοῖς σπουδαίοις πρὸς τέλος ἥκοντος, δυσχερεστέρου δ' αὖ τοῦ θεωρητικοῦ πεφυκότος, καὶ δυσκόλως εἰς τέλος ἰόντος, μᾶλλον δ' εἰπεῖν ἀκριβῶς, μηδὲ τέλος κεκτημένου καθάπαξ· πρὸς γὰρ Θεὸν αὐτὸν ἀνάγειν τε καὶ συνάπτειν ἀμέσως τὸν ἱερὸν καὶ κεκαθαρμένον τῶν θεοειδῶν ἀνδρῶν πέφυκε νοῦν· οὗ, φησὶ, γενομένοις, πάσης μὲν ἄλλης θεωρίας θεία; ἀνάπαυσις· τὸ δὲ ἀδιάβατόν τε καὶ ἄπειρον· οὐδὲ γὰρ ἔχει τι, φησὶν, ὑψηλότερον, ἢ ὅλως ἕξει, οὐδὲ ὁ φιλοσοφώτατος νοῦς καὶ διαβατικώτατος ἢ πολυπραγμονέστατος· τοῦτο γὰρ τὸ τῶν ὀρεκτῶν ἔσχατον, περὶ ὅ, κατὰ τὸν μέγαν εἰπεῖν Διονύσιον, καὶ οἱ θειότατοι καὶ ὑψηλότατοι νόες κυκλικῶς ἀεὶ κινοῦνται, ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσιν ἑνούμενοι τοῦ καλοῦ καὶ ἀγαθοῦ. Τούτων τοιγαροῦν οὕτως ἐχόντων, περὶ μὲν τὴν πρᾶξιν οὕτως ὁ θεῖος Γρηγόριος καὶ πρὸ τῆς ἀποταγῆς καὶ μετὰ τὸ σχῆμα καὶ τὴν ἀναχώρησιν ἀγωνισάμενός τε καὶ κατωρθωκὼς ὦπται, ὡς ἐξ ἀρχῆς αὐτῆς τέλειος εἶναι σχεδὸν, καὶ τοῖς περὶ ταῦτα μεγάλοις τε καὶ σπουδαίοις οὐκ ἀγεννῶς ἁμιλλώμενος. Τοῦ δὲ χρόνου καὶ τῆς ἀσκήσεως αὐτῷ προϊόντων, τί χρὴ καὶ λέγειν, ὅσον ἐν παντὶ τοὺς τὰ τοιαῦτα σπουδάζοντας ὑπερέσχε; καὶ ὅπως εὐτελείας τε καὶ ἀπροσπαθείας τῆς ἀκροτάτης, καὶ προσέτι νηστείας καὶ ταπεινώσεως, καὶ παντοδαπῆς ἐγκρατείας, ἀναχωρήσεώς τε καὶ πένθους καὶ σιωπῆς καὶ πάντων ὁμοῦ τῶν τοιούτων, παράδειγμα θαυμαστὸν τοῖς ἐγγύς τε καὶ τοῖς μακρὰν ἀνεφάνη; Ἐπεὶ δὲ ἐξαιρέτως θεωρία τὸ προκείμενόν τε καὶ σπουδαζόμενον ἦν αὐτῷ, καὶ θεωρία γε ἡ πασῶν ὑπερκειμένη καὶ προὔχουσα, ἣν δὴ καὶ Θεοῦ ἐποψίαν καὶ ἕνωσιν ἄμεσον, καὶ ἔλλαμψιν καὶ θέωσιν καὶ τὰ τοιαῦτα τοῖς θεοφόροις ἔθος καλεῖν, δι' ἧς, ἢ μεθ' ἧς καὶ πρὸς τὴν ἀκροτάτην ἀγάπην, καὶ τὸ καθ' ὁμοίωσιν θείαν, καὶ δὴ καὶ τὴν ὑψηλήν τε καὶ ἄπταιστον θεολογίαν, δι' εὐχῆς ἀδιαλείπτου καὶ γεραρᾶς ἡσυχίας καὶ ταπεινώσεως καὶ πένθους καλῶς οἱ τοιοῦτοι προβαίνουσι, σκοπήσωμεν εἴπερ δὴ, καὶ σκοπήσωμεν ὅπως καὶ περὶ ταῦτα τὰ θειότατά τε καὶ ὑψηλὰ ὁ τοῦ Θεοῦ ἀληθὴς ἔσχεν ἄνθρωπος.

Ἀλλὰ τὰ μὲν περὶ τῆς ὑψηλῆς θεολογίας καὶ τοῦ κατ' αὐτὴν ἔχοντος τό γε νῦν ἔχον ἀναμενέτω, τὸν προσήκοντα τόπον τε καὶ καιρὸν ἐκδεχόμενα· τὰ δ' ἄλλα θαυμάσαι μὲν ἄν τις ἴσως ῥᾳδίως, εἰ καὶ μὴ πρὸς ἀξίαν, διελθεῖν δ' ἕκαστα, καὶ τοῖς ἀκροαταῖς ἀγαγεῖν οἷον ὑπ' ὄψιν, ἕν τι τῶν ἀδυνάτων εἶναί μοι φαίνεται· διὰ δὴ τοῦτο καὶ τῆς ἐκείνου δεῖ γλώττης μᾶλλον περὶ ἐκείνων ἀκούειν διεξιούσης, μήτ' ἐκεῖνον καὶ τὸ πρᾶγμα τὸ κατ' ἐκεῖνον ἑνός τινος μηδενὸς κατ' αὐτὸν ἐκεῖνον εἰδότος, οὐδ' ἐγγὺς, μήτε λέγειν ὡσαύτως ἐκεῖνα καὶ γράφειν ἐπισταμένου. Φησὶ τοιγαροῦν ὁ σοφὸς περὶ τῆς κατὰ νοῦν σχολῆς καὶ τῶν ἀπὸ ταύτης τικτομένων, καὶ δὴ καὶ περὶ φωτισμοῦ θείου, τοιάδε πρὸς τὸν ἀντικείμενον τῷ θείῳ τῷδε φωτὶ, πρὸς ἄλλοις πολλοῖς τισι γράφων·

A « Ὅταν ὁ νοῦς αἰσθητοῦ παντὸς ἀπαναστῇ, καὶ τοῦ κατακλυσμοῦ τῆς περὶ ταῦτα τύρβης ἀνακύψῃ, καὶ κατοπτεύσῃ τὸν ἐντὸς ἄνθρωπον, πρῶτον μὲν ἐνιδὼν τὸ προσγεγενημένον εἰδεχθὲς προσωπεῖον ἐκ τῆς κάτω περιπλανήσεως, τοῦτο διὰ πένθους ἀπονίψασθαι σπεύδει· ἔπειτ' ἐπειδὰν τὸ δυσειδὲς τοῦτο περιέλῃ κάλυμμα, τότε μὴ ποικίλαις σχέσεσι τῆς ψυχῆς ἀγεννῶς διασπωμένης, εἴσω τῶν ὄντως ταμείων ἀταράχως χωρεῖ, καὶ τῷ ἐν τῷ κρυπτῷ Πατρὶ προσεύχεται κατὰ τὴν ἐντολὴν, ὃς αὐτῷ καὶ τὸ χωρητικὸν τῶν χαρισμάτων δῶρον τὴν τῶν λογισμῶν εἰρήνην τὰ πρῶτα χορηγεῖ, μεθ' ἧς τὴν γεννητικήν τε καὶ συνεκτικὴν ἁπάσης ἀρετῆς τελειοῖ ταπείνωσιν, οὐ τὴν ἀνυσίμοις εὐχερῶς τῷ βουλομένῳ ῥήμασί τε καὶ σχήμασι συνισταμένην, ἀλλὰ τὴν ὑπὸ τοῦ ἀγα- B θοῦ καὶ θείου Πνεύματος μαρτυρουμένην, ἣν αὐτῷ κτίζει τὸ Πνεῦμα τοῖς ἐγκάτοις ἐγκαινιζόμενον· ἐν δὴ ταύταις, ὥσπερ ἐν ἀσφαλεῖ περιτειχίσματι τοῦ κατὰ νοῦν παραδείσου, τὰ τῆς ἀληθοῦς ἀρετῆς παντοδαπὰ δένδρα φύεται, μεσαιτάτῳ δ' ἀνεγείρεται τὰ τῆς ἀγάπης ἱερὰ βασίλεια· τούτων δ' ἐν προθύροις τὸ τοῦ μέλλοντος αἰῶνος προοίμιον, ἡ ἀνεκλάλητός τε καὶ ἀναφαίρετος ἀνθεῖ χαρά· μήτηρ γὰρ ἀκτημοσύνη μὲν ἀμεριμνίας, ἀμεριμνία δὲ προσοχῆς καὶ προσευχῆς, αἱ δὲ πένθους καὶ δακρύων, ταῦτα δὲ τὰς προλήψεις ἀπαλείφει· τούτων δ' ἀποβεβλημένων, ῥᾷον ἡ κατ' ἀρετὴν ὁδὸς τελεῖται, τῶν προσισταμένων ἐκ μέσου γεγονότων, καὶ συνειδὸς ἀκατάγνωστον προσγίνεται· ταῦτα δ' αὖ τελεωτέραν C πηγάζει τὴν χαρὰν καὶ τὸν τῆς ψυχῆς μακάριον γέλωτα· τότε δὴ καὶ τὸ κατώδυνον δάκρυον εἰς ἡδὺ μεταποιεῖται, καὶ τὰ λόγια τοῦ Θεοῦ ὡς γλυκέα τῷ λάρυγγι καὶ ὑπὲρ μέλι τῷ στόματι γίνεται· καὶ ἡ ἐν προσευχῇ δέησις εἰς εὐχαριστίαν μετασκευάζεται· καὶ ἡ μελέτη τῶν θείων μαρτυρίων ἀγαλλίαμα τῆς καρδίας ἐστὶ, προσομιλούσης μετ' ἐλπίδος ἀκαταισχύντου, καὶ οἷον ὑφεστώσης ἐν προοιμίου μοίρᾳ τῇ τοῦ γεύματος ταύτῃ πείρᾳ, καὶ τὸν ὑπερβάλλοντα πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος μανθανούσης ἐκ μέρους, κατὰ τὸν λέγοντα· Γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος· τὸ ἀγαλλίαμα τῶν δικαίων, ἡ χαρὰ τῶν εὐθέων, ἡ θυμηδία τῶν τεταπεινωμένων, ἡ τῶν δι' αὐτὸν πενθούντων παράκλησις. Τί οὖν; μέχρι τούτου τὰ τῆς παρακλήσεως; καὶ ταῦτα μόνα D τὰ τῆς ἱερᾶς μνηστείας δῶρα; καὶ καθαρώτερον τούτων οὐδαμῶς ἐμφανίζει ἑαυτὸν τοῖς διὰ τοῦ μακαρίου πένθους λελουμένοις, καὶ διὰ τῶν ἀρετῶν ἐσταλμένοις νυμφικῶς ὁ τῶν τοιούτων ψυχῶν νυμφίος; Οὐμενοῦν· ὅταν γὰρ ἅπαν αἰσχρὸν πάθος ἔνοικον ἀπελαθῇ, καὶ ὁ νοῦς ὡς ἤδη φθάσας ἐδήλωσεν ὁ λόγος, αὐτός τε πρὸς ἑαυτὸν καὶ τὰς ἄλλας τῆς ψυχῆς δυνάμεις ἐπιστρέψας, ὁλοκλήρῳ τῇ γεωργίᾳ τῶν ἀρετῶν φιλοκαλήσῃ τὴν ψυχὴν, προϊὼν ἐπὶ τὸ τελειότερον, καὶ πρακτικὰς ἔτ' ἀναβάσεις διατιθέμενος, καὶ ἐπὶ πλέον Θεοῦ συναιρομένου πλύνων ἑαυτὸν, οὐ τὰ τοῦ πονηροῦ μόνον ἀποσμήχει κόμματος, ἀλλ' ἅπαν ἐπίκτητον ἐκ μέσου ποιεῖται, κἂν τῆς χρηστοτέρας ᾖ μοίρας καὶ διανοίας· ἡνίκα δὴ νοητῶν καὶ τῶν οὐκ ἀφαντάστων διὰ ταῦτα νοημάτων ὑπερα-

Digitized by Google

ναδὰς, καὶ πάντα θεοφιλῶς ὁμοῦ καὶ φιλοθέως ἀποθέμενος, **A** κωφός τε καὶ ἄλαλος κατὰ τὸ γεγραμμένον παραστῇ Θεῷ, τηνικαῦτα λόγον ὕλης ἴσχει, καὶ πλάττεται τὴν ἀνωτάτω πλάσιν ἐπὶ πάσης ἀδείας, ἅτε μηδενὸς τῶν θύραθεν θυροκοποῦντος, τῆς ἐντὸς χάριτος ἐπὶ τὸ κρεῖττον μεταῤῥυθμιζούσης, καὶ ἀποῤῥήτῳ τὸ παραδοξότατον φωτὶ καταλαμπούσης τὰ ἔνδον, καὶ τελειούσης τὸν ἐντὸς ἄνθρωπον. Ἡμέρας δὲ διαυγασάσης, καὶ φωσφόρου ἀνατείλαντος ἐν ταῖς καρδίαις ἡμῶν, κατὰ τὸν ἐν ἀποστόλοις κορυφαῖον, ἔξεισι κατὰ τὸ προφητικὸν ἐκεῖνο λόγιον ὁ ὄντως ἄνθρωπος ἐπὶ τὴν ἐργασίαν αὐτοῦ, καὶ τῷ φωτὶ χρώμενος ὁδῷ, ἄνεισιν ἢ ἀνάγεται ἐπ' ὄρη αἰώνια· καὶ τῶν ὑπερκοσμίων ἐν τούτῳ τῷ φωτὶ πραγμάτων, ὢ τοῦ θαύματος! ἐπόπτης καθίσταται, μὴ διαζευγνύμενος ἢ διαζευγνύμενος τῆς τὴν ἀρχὴν συμ- **B** προηγμένης ὕλης, ὡς οἶδεν ἡ ὁδός· οὐ γὰρ διανοίας φανταστικοῖς ἄνεισι πτεροῖς, ἢ πάντα καθάπερ τυφλὴ περιπολεῖ, μήτ' ἐπὶ τῶν ἀπόντων αἰσθητῶν, μήτ' ἐπὶ τῶν ὑπερἀναβεβηκότων νοητῶν τῆς ἀκριβοῦς καὶ ἀνενδοιάστου καταλήψεως ἀντιλαμβανομένη, ἀλλ' ἐπ' ἀληθείας ἄνεισιν ἀῤῥήτῳ Πνεύματος δυνάμει, καὶ πνευματικῇ καὶ ἀῤῥήτῳ ἀντιλήψει τῶν ἀῤῥήτων ῥημάτων διακούει, καὶ ὁρᾷ τὰ ἀθέατα, καὶ τοῦ θαύματος ὅλος τοὐντεῦθεν ἐστι τε καὶ γίνεται, κἂν ἐκεῖθεν ἀπῇ, καὶ τοῖς ἀκαμάτοις ὑμνῳδοῖς ἁμιλλᾶται, ἄγγελος ὡς ἀληθῶς ἄλλος ἐπὶ γῆς Θεοῦ γεγονὼς, καὶ δι' ἑαυτοῦ πᾶν εἶδος κτίσεως αὐτῷ προσαγαγὼν, ἐπεὶ καὶ αὐτὸς ἐν μετοχῇ τῶν πάντων· καὶ τοῦ ὑπὲρ τὰ πάντα δὲ μεταλαγχάνει νῦν, ἵνα καὶ τὸ τῆς εἰκόνος ἀπηκριβωμένον ᾖ· **C** διό φησιν ὁ θεῖος Νεῖλος· Ὅτι νοῦ κατάστασίς ἐστιν ὕψος νοητὸν οὐρανίῳ χρώματι παρεμφερὲς, ᾧ καὶ τὸ τῆς ἁγίας Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς. Ὁ δὲ ἅγιος Διάδοχος τῇ ἀρχῇ τὸ τέλος συνάψας, ἐν ἑνὶ κεφαλαίῳ τέθηκε γράφων· Δύο ἡμῖν ἡ χάρις ἡ ἁγία διὰ τοῦ βαπτίσματος περιποιεῖται· ὧν τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει· ἀνακαινίζει γὰρ ἡμᾶς ἐν τῷ ὕδατι, καὶ τὸ κατ' εἰκόνα λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ἡμῶν ἀποῤῥίπτουσα· τὸ δ' ἕτερον ἐκδέχεται ἵνα σὺν ἡμῖν ἐργάσηται· ὅτε γοῦν ἄρξεται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γεύεσθαι τῆς χρηστότητος τοῦ παναγίου Πνεύματος, τότ' ὀφείλομεν εἰδέναι, ὅτι ἄρχεται ἡ χάρις ὥσπερ ἐπιζωγραφεῖν εἰς τὸ κατ' εἰκόνα τὸ καθ' ὁμοίωσιν· **D** ὥστε ἡ μὲν αἴσθησις αὕτη δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ' ὁμοίωσιν, τὸ δὲ τέλειον τῆς ὁμοιώσεως ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα. Καὶ πάλιν, Τὴν πνευματικὴν ἀγάπην οὐ δύναταί τις κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθείη παρὰ τοῦ ἁγίου Πνεύματος· ἐὰν γὰρ μὴ τελείως τὸ καθ' ὁμοίωσιν διὰ τοῦ θείου φωτὸς ἀπολαύῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετὰς ἔχειν δύναται, τῆς δὲ τελείας ἀγάπης ἔτι ἄμοιρος μένει. Ὡσαύτως δὲ καὶ τοῦ ἁγίου Ἰσαὰκ ἀκούομεν λέγοντος· Κατὰ τὸν καιρὸν τῆς προσευχῆς ὁρᾷν τὴν ἑαυτοῦ καθαρότητα τὸν κεχαριτωμένον νοῦν ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ, ἥτις Θεοῦ ὑπὸ τῆς γερουσίας τοῦ Ἰσραὴλ ὠνόμασται τόπος, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. Καὶ πάλιν, Καθαρότης ἐστὶ νοὸς, ἐφ' ᾗ διαυγάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς τὸ φῶς τῆς ἁγίας Τριάδος· πανταχοῦ μὲν γὰρ τὸ θεῖον φῶς, ἀλλ' οὐκ ἐπιφανῶς διαυγάζει πανταχοῦ· καὶ ἓν μὲν ἔστιν, ἀλλ' οὐχ ὁμοίως ἐπιλάμπει πᾶσιν, οὐδ' αὐτοῖς τοῖς θείοις ὡς θεοειδέσι καὶ λαμπομένοις ἐμφανῶς. Ὡς γὰρ ἓν μὲν ἐστι τὸ τοῦ ἡλίου φῶς, πολλαὶ δὲ εἰσιν ἀκτῖνες, καὶ οὐ πολλαὶ μόνον ἀλλὰ καὶ τρανότεραι καὶ ἀμαυρότεραι, κατὰ τὸν λόγον τῆς πρὸς φωτοληψίαν ἐπιτηδειότητος τῶν δεχομένων, τὸν αὐτὸν τρόπον, ὡς κατ' ἀμυδρὰν ἐν αἰσθητοῖς εἰκόνα, κἀπὶ τοῦ ὑπὲρ αἴσθησιν φωτὸς τελεῖται· προσκείσθω δὲ καὶ ἡ τοῦ φωτίζοντος βούλησις· ἐνταῦθα· ὁ δὲ κατηξιωμένος τοῦ φωτὸς ἐκείνου νοῦς καὶ πρὸς τὸ συνημμένον σῶμα πολλὰ διαπορθμεύει τοῦ θείου κάλλους τεκμήρια· χάριτί τε θείᾳ καὶ σαρκὸς παχύτητι μεσιτεύων, καὶ δύναμιν τῶν ἀδυνάτων ἐντιθείς. Ἐντεῦθεν ἡ κατ' ἀρετὴν θεοειδὴς καὶ ἀπαράμιλλος ἕξις, καὶ τὸ πρὸς κακίαν ἀκίνητον ὅλως ἢ δυσκίνητον· ἐντεῦθεν ὁ διατρανῶν τοὺς τῶν ὄντων λόγους λόγος, καὶ ἀνακαλύπτων οἴκοθεν ἐκ καθαρότητος τὰ τῆς φύσεως μυστήρια, δι' ὧν ἀναλογίας λόγοις πρὸς κατάληψιν τῶν ὑπὲρ φύσιν τὸ διανοούμενον ἀνιμᾶται τῶν πιστῶς ἀκροωμένων, ἣν αὐτὸς ὁ τοῦ Λόγου Πατὴρ ἀΰλοις ἐπαφαῖς κατείληφεν· ἐντεῦθεν αἵ τε ἄλλαι ποικίλαι θαυματοποιΐαι, καὶ τὸ διορᾷν καὶ προορᾷν, καὶ περὶ τῶν πόῤῥω που συμβαινόντων ὡς ὑπ' ὀφθαλμοὺς διαλέγεσθαι· καὶ τὸ δὴ μέγιστον, ὡς οὐδὲ περὶ ταῦθ' ὁ σκοπὸς τείνει τῶν μακαριωτάτων ἐκείνων, ἀλλ' ὥσπερ εἴ τις ὁρῴη πρὸς ἡλιακὴν ἀκτῖνα, καὶ τῶν ἀερίων ἀτόμων αἰσθάνεται, κἂν μὴ τοῦτ' αὐτῷ τυγχάνῃ σκοπός· οὕτως ἐκείνοις ταῖς θείαις ἀκτῖσι καθαρῶς ὁμιλοῦσιν, αἷς φύσει πρόσεστιν ἡ πάντων ἀποκάλυψις, οὐχὶ τῶν ὄντων μόνων ἢ καὶ γεγενημένων, ἀλλὰ καὶ τῶν ἔπειτ' ἐσομένων, ὁδοῦ πάρεργον ὡς ἀληθῶς ἡ τούτων προσγίνεται γνῶσις, κατὰ ἀναλογίαν τῆς καθαρότητος· προὔργου δὲ αὐτοῖς ἡ τοῦ νοῦ πρὸς ἑαυτὸν ἐπιστροφὴ καὶ σύννευσις, μᾶλλον δὲ πασῶν τῶν τῆς ψυχῆς δυνάμεων, εἰ καὶ θαυμαστὸν εἰπεῖν, πρὸς τὸν νοῦν ἐπιστροφὴ, καὶ ἡ κατ' αὐτόν τε καὶ Θεὸν ἐνέργεια, δι' ἧς ἐπεσκευασμένοι πρὸς τὸ πρωτότυπον εὖ διατίθενται, τὸ ἀρχαῖον ἐκεῖνο καὶ ἀμήχανον κάλλος ἐπανθούσης τῆς χάριτος. »

Τοιαῦτα τοῦ θεοειδοῦς καὶ οὐρανίου ἐκείνου νοῦ, καὶ τῆς θείας καὶ σοφῆς ὄντως γλώττης, τὰ περὶ σχολῆς ἱερᾶς καὶ ἡσυχίας καὶ θείου φωτισμοῦ καὶ θεώσεως· περὶ ὧν τίς ἂν οὕτω ποτὲ θείως ἄγαν καὶ ὑψηλῶς διανοηθείη καὶ εἴποι; καὶ αὐτῶν φημι τῶν ὑψηλῶν τε καὶ διαβεβηκότων ἐν θεωρίᾳ καὶ πείρᾳ καὶ πάθει μακαρίῳ τῶν τοιούτων ἐσχηκότων τὴν γνῶσιν; ὡς μὲν σύμφωνα διὰ πάντων τοῖς τῶν θεοφόρων ἀνδρῶν συγγράμμασί τε καὶ λόγοις, τὸ ἀναντίῤῥητόν τε καὶ ἀσφαλὲς ἐν ἅπασιν ἔχοντα· ὅ τι δὲ καὶ παθὼν ὁ μέγας καὶ πράξει καὶ ἐνεργείᾳ, καλῶς ἐκεῖνα τὰ θεῖά τε καὶ ὑπερφυᾶ μυηθεὶς, οὕτω τῆς χρείας καλούσης, χρόνοις ὕστερον οὐκ ὀλίγοις, καὶ περὶ τὸ λέγειν ἦλθε ταῦτα καὶ γράφειν, καὶ αὐτόθεν μὲν τοῖς γε νοῦν ἔχουσι γνώριμον· οὐδὲ γὰρ ἀνθρωπίνης τὰ τοιαῦτά ποτ' ἂν εἴη σοφίας καὶ λό-

Digitized by Google

γου καὶ νοῦ· πολλοῦ γε καὶ δεῖ· εἰ μὴ καὶ τὰς πυγολαμπίδας τις ταῖς ἡλιακαῖς ἀκτῖσιν ἀφθόνως ἀντιτιθείη, καὶ ταῖς οὐρανίαις βρονταῖς τὰ τῶν χαλκοτύπων τε καὶ δρυτόμων, μᾶλλον δὲ τῶν κρουμάτων ἐκείνων τὰ ἔσχατα ἀπηχήματα, δηλώσει γε μὴν δι' ὀλίγων καὶ τὰ νῦν ῥηθησόμενα, ἵν' ᾖ τὸ δένδρον ἐκ τοῦ καρποῦ γνώριμον κατὰ τὸν Χριστοῦ λόγον, καὶ ἀπὸ τῶν κλάδων καλῶς τὰ τῆς ῥίζης διαγινώσκηται.

Ἑσπέρα μὲν ἦν ἡ τοῦ μεγίστου καὶ μυστικοῦ δείπνου καὶ τῶν κατὰ σάρκα τοῦ Κυρίου παθῶν· τῆς δὲ τελετῆς ἐκείνων μεγαλοπρεπῶς τελουμένης, ὡς ἔθος παρὰ τῇ λαύρᾳ, καὶ Γρηγόριος τῆς πανηγύρεως καὶ τῶν ὕμνων ἦν κοινωνῶν τοῖς προὔχουσι τῶν ἄλλων, καὶ συμπράττων ἅμα καὶ συνιστάμενος, καὶ τῇ παρουσίᾳ πως ἂν εἴποις κοσμῶν ἐκεῖνον τὸν σύλλογον· ἀλλ' οἷα φιλεῖ συμβαίνειν, τῶν συνισταμένων τινὲς οἱονεί τινα λήθην σχόντες τῶν τελουμένων, τῶν τε μεγάλων ἐκείνων καὶ θαυμασίων ᾠδῶν, καὶ ἐφ' ᾧ δὴ καὶ συνήεσαν, εἰς ὁμιλίας τὰς προστυχούσας ἐξέδωκαν ἑαυτούς, καὶ τοῦτο πέρα τοῦ μέτρου καὶ καθ' ὑπερβολήν, εἴ γε καὶ μέτρον ὅλως ἔστιν τοῖς τοιούτοις εἰπεῖν. Δυσχεραίνει πρὸς ταῦτα κατὰ τὸ εἰκὸς ὁ τοῦ Θεοῦ ἄνθρωπος· καὶ ἐπεὶ λέγειν τε πρὸς ἐκείνους καὶ τὴν ὁμιλίαν ἐπέχειν οὐκ ἐδόκει, κἀκείνων ἅμα καὶ τῆς ὑμνῳδίας ἀποστήσας τὸν νοῦν, πρὸς ἑαυτὸν ἐπιστρέφει συνήθως, καὶ δι' ἑαυτοῦ πρὸς Θεόν· καὶ αὐτίκα φῶς αὐτὸν ἄνωθεν περιλάμπει θεῖον, καὶ ταῖς ἀκτῖσιν ἐκείναις καὶ τοὺς τῆς ψυχῆς ἅμα καὶ τοῦ σώματος ὀφθαλμοὺς φωτισθείς, τὸ μετ' ἐνιαυτοὺς οὐκ ὀλίγους ἀποβησόμενον ὡς ἤδη παρὸν ἐναργῶς ὁρᾷ· ὁ γὰρ τὴν τῆς λαύρας οἰκονομίαν ἐγκεχειρισμένος τὸ τηνικαῦτα Μακάριος ἐκ δεξιῶν αὐτῷ συνεστὼς, οὐ τὸ κοινόν τε καὶ σύνηθες φέρων ἐφαίνετο σχῆμα, ἀλλ' εἰς ἀρχιερέας ἐδόκει τελεῖν, καὶ κατ' ἐκείνους ἐστάλθαι, καὶ τὸ σύμπαν ἀρχιερατικῶς ἵστασθαι· ὃ δὴ καὶ εἰς ἔργον ὕστερον ἐκβὰν καθεωράθη, δέκα πρὸς τῷ ἑνὶ παριόντων ἐνιαυτῶν, τοῦ ῥηθέντος δηλαδὴ Μακαρίου μετὰ τὴν τῆς λαύρας ἀρχήν τε καὶ προστασίαν τοῦ τῆς ἡμετέρας Θεσσαλονίκης ἀρχιερατικῶς ἐπιβάντος θρόνου, κἀκεῖ μετὰ τῆς ἀρχῆς καὶ τὴν ζωὴν καταλύσαντος. Ηὔχετο ὑπὲρ αὐτοῦ ποτε καὶ τῶν συνόντων ὁ θεῖος Γρηγόριος, ἡ δ' εὐχὴ πρὸς τὴν Παρθένον καὶ Θεοτόκον τὴν συνήθη κυβερνῆτιν καὶ σώτειραν ἦν· ὥστε καὶ τὰ τῆς πρὸς Θεὸν ἀγωγῆς τε καὶ πορείας αὐτοῖς ἀπρόσκοπα θεῖναι, καὶ τὰ τῆς σωματικῆς ἀναγκαῖα χρείας εὐπόριστά τε καὶ ῥᾴδια, ὡς ἂν μὴ τῶν τοιούτων ἀπόρως ἔχοντες ἀναγκάζοιντο περὶ τὴν αὐτῶν συλλογὴν ἀσχολεῖσθαι, τὰ πνευματικὰ καὶ ἀναγκαιότερα προϊέμενοι. Ἐν τούτοις μὲν τὰ τῆς προσευχῆς· ἡ δὲ τῶν πάντων Δέσποινα, καὶ αὐτὴν ὡς ἂν εἴποι τις τῷ περιόντι τῆς προνοίας φθάνουσα τὴν εὐχήν, ὕπαρ εὐθὺς ὑπ' ὄψιν ἐκείνῳ παρίσταται, σεμνῶς οὕτω καὶ παρθενικῶς ἐσταλμένη, καθ' ἃ δὴ καὶ παρ' ἡμῖν αἱ ἀκριβεῖς εἰκόνες αὐτὴν φέρουσι· καὶ πρὸς τοὺς ἑπομένους ἐπιστραφεῖσα· πλεῖστοι δ' ἐδόκουν εἶναι καὶ τῶν ἐπιφανῶν· Πάντων, ἔφη, τῶν πρὸς χρείαν

A ἐπιτηδείων ὑμεῖς ἀπό γε τοῦ νῦν τῷ τε Γρηγορίῳ καὶ τοῖς συνοῦσιν οἰκονόμοι τε καὶ διανομεῖς γίγνεσθε· καὶ ἡ μὲν οὕτως ἐν βραχεῖ τὴν ἱερὰν εὐχὴν ἐκείνην καὶ τὴν δωρεὰν ἐκπληρώσασα, πρὸς ἑαυτὴν ἐπανήει· ἐξ ἐκείνου δ', ὁ ἱερὸς Γρηγόριος ἔλεγε πρὸς ἡμᾶς, τὰ τῆς σωματικῆς χρείας ἡμῖν ἀκονιτὶ πάντα προσῆν, ὅπουπερ ἂν ἐτύχομεν διατρίβοντες. Δύο μὲν ἔτη παρῄει τῷ μεγάλῳ ἐν τούτοις γε ὄντι καὶ παροικοῦντι τὸ ῥηθὲν φροντιστήριον· τοῦ δὲ τρίτου παρόντος, ἰδιάζων αὐτόθι ποτὲ συνήθως, καὶ Θεῷ διὰ νοερᾶς ἡσυχίας καὶ προσευχῆς προσέχων τὸν νοῦν, ἔδοξε μέν πως καὶ πρὸς ὕπνου τινὰ σκιὰν ἐλθεῖν· ὁ δὲ καὶ ὄψιν αὐτῷ τοιαύτην εὐθὺς ὑποδείκνυσι. Σκεῦος ἐδόκει τι κατέχειν ἐν χεροῖν πλῆρες γάλακτος, τὸ δ' ἀναβλύζειν ὥσπερ αἴφνης ἀρξάμε- B νον ἐξέρρει τε καὶ ὑπερεχεῖτο τοῦ σκεύους· εἶτα καὶ εἰς οἶνον κάλλιστόν τινα καὶ ἀνθοσμίαν δόξαν ἀθρόον μεταβαλεῖν, οὕτω δαψιλῶς κατὰ τῶν ἱματίων ἐχεῖτο καὶ τῶν χειρῶν, ὡς καὶ διάβροχα ταῦτα θέσθαι, καὶ τῆς εὐωδίας τῆς οἰκείας μεστά· ἐφ' ᾧ καὶ μᾶλλον ἡδομένῳ μοι, φησί, πῶς ἂν εἴποις καὶ χαίροντι, τῶν ἐπιφανῶν τις ἀνὴρ ἐπιστὰς πλήρης φωτὸς, Ἵνα τί, φησί, τοῦ θαυμαστῶς ἀναβλύζοντος οὑτωσὶ θείου τουτουῒ πόματος καὶ τοῖς ἄλλοις οὐ μεταδίδως, ἀλλ' ἐᾷς οὕτως ἐκχεῖσθαι μάτην; Οὐκ οἶσθα Θεοῦ δῶρον ὂν τοῦτο, καὶ ὡς οὐκ ἐκλείψει βρύον οὑτωσὶ καὶ ἀναδιδόμενον; Ἐμοῦ δὲ τήν τε ἐμαυτοῦ πρός γε τὸ διανέμειν ἀσθένειαν, καὶ τὸ μηδὲ παρεῖναι νῦν τοὺς τῶν τοιούτων ἐφιεμένους προβαλλομένου, Ἀλλ' εἰ καὶ μὴ πάρεισιν οἱ τοῦτ' C ἀξίως ἐπιζητοῦντες αὖθις, φησὶν ἐκεῖνος, Ἀλλὰ σὲ τὸ σαυτοῦ δεῖ ποιεῖν τέως, καὶ μὴ κατολιγωρεῖν τῆς διανομῆς, ἧπερ ἔφην, τῆς γε μὴν ἀπαιτήσεως τῷ δεσπότῃ παραχωρεῖν· οἶσθα καὶ γὰρ ἀκριβῶς πάντως καὶ τὴν ἐντολὴν καὶ τὸ τάλαντον, καὶ τὴν καταδίκην τοῦ τῆς ἐμπορίας καταῤῥᾳθυμήσαντος δούλου, καὶ μὴ κατὰ τὸ δεσποτικὸν ἐργασαμένου πρόσταγμα. Εἶτ' ἐκεῖνος μὲν ὁ λαμπρὸς, φησὶν, ἔδοξεν ἀπιέναι· ἐγὼ δὲ καὶ τὴν σκιὰν ἐκτιναξάμενος ἐκείνην τοῦ ὕπνου, τήν τε νύκτα πᾶσαν ὁμοῦ καὶ τῆς ἡμέρας τὸ πλεῖστον ἐκαθήμην ἐκεῖ, τῷ θείῳ φωτὶ πλουσίως ὅλως περιλαμπόμενος.

Ταῦτα πρὸς τὸν φίλον ἅμα καὶ φοιτητὴν, τὸν ἱερόν φημι Δωρόθεον, ὁ θαυμαστὸς Γρηγόριος ἔλεγεν D ὕστερον, ἡνίκα δὴ καὶ τοὺς θαυμαστοὺς ἐκείνους περὶ τῶν θείων δογμάτων λόγους ἐκτίθεσθαι ἤρξατο, τοῦτ' αὐτὸ κρίνων ἐκεῖνος αἰνίττεσθαι τὴν ἀπὸ γάλακτος εἰς οἶνον τοῦ ἱεροῦ πόματος ἐκείνου μεταβολὴν, τὴν ἀπὸ τοῦ ἠθικοῦ δηλονότι καὶ ἁπλοῦ πρὸς τὸν δογματικόν τε καὶ ἄνω βεβηκότα τοῦ λόγου μετάθεσιν. Τί τὸ ἐξῆς; Πείθεται τοῖς θείοις χρησμοῖς ὁ σοφὸς ἐξ ἐκείνου, καὶ τὸ νοητὸν ἅμα τῷ αἰσθητῷ διανοίξας στόμα, τοῦ ἄνωθεν ἑλκυσθέντος μεταδιδόναι πᾶσιν ἀφθόνως ἄρχεται Πνεύματος, λόγους ἄντικρυς προφέρων Θεοῦ· λόγους, οὓς οὐδ' ἂν εἷς οἶμαι τῶν πάντων ὑπογράψῃ ποτὲ τῷ λόγῳ, κἂν ᾖ δέκα μὲν γλῶτται, τοσαῦτα δ' εἴη αὐτῷ στόματά τε καὶ χεῖρες κατά γε τὸ τισιν εἰρημένον, εἰ μὴ πάλιν αὐτὸς οὗτος καὶ οἱ ἐκείνου θεῖοι καὶ σοφοὶ λόγοι

Digitized by Google

καὶ τὰ πυκτία, ἅπερ ἡμῖν ἀντ' ἐκείνου μεγάλης διανοίας τε καὶ φωνῆς καλῶς καταλέλειπται· ἃ δὴ καὶ βλέποντες πάνθ' ὁμοῦ καὶ ἀκούοντες οἱ τότε τὸν ἱερὸν παροικοῦντες Ἄθω, καὶ μάλισθ' ὅσοις μετὰ τοῦ χρόνου καὶ πολιὸν ἦν ἐπανθοῦν φρόνημα, καὶ τῆς καλῆς ἡσυχίας καὶ τῶν ἴσων ἐτύγχανον ἐρασταί, καὶ θεῖόν τε χρῆμα καὶ ὑπερφυὲς τὸ κατ' ἐκεῖνον ἡγοῦντο, καὶ καθ' ὑπερβολὴν τὸν ἐγκεχρυμμένον αὐτῷ τῆς χάριτος ἐξεπλήττοντο θησαυρόν· ἄλλα τε πολλὰ λόγου καὶ μνήμης ἄξια κατ' ἐκείνου πρὸς πάντας λέγοντες ὁσημέραι, καὶ δὴ καὶ τὸ τοῦ θαυμαστοῦ Πατρὸς Ἰσαὰκ προσφυῶς προστιθέντες ἐκεῖνο, τούτῳ γε πρὸ τῶν ἄλλων πάντων κατ' ἐκείνους προσῆκον, τό, Ἄνθρωπον ταῖς μὲν ἀρεταῖς διαλάμποντα, ἀνθρώποις δὲ εὐτελῆ φαινόμενον, καὶ φωτεινὸν μὲν τῷ βίῳ, σοφὸν δὲ τῇ γνώσει, καὶ ταπεινὸν τῷ φρονήματι, τίς τεθέαται; τοῦτον αὐτὸν καὶ οὐκ ἄλλον ἄντικρυς εἶναι διατεινόμενοι, τὸν ὑπ' ἐκείνου τοῦ μεγάλου τῷ λόγῳ διατυπούμενον, καὶ μετὰ πολλῆς οὕτω τῆς ἐρεύνης τε καὶ διαπορίας διά γε τὴν σπάνιν τῶν τοιούτων ἐπιζητούμενον.

Τοῖς θείοις ἐκείνοις χρησμοῖς καὶ τῷ ἐνοικοῦντι Πνεύματι Γρηγόριος ἀγόμενος ὁ σοφός, μετὰ τοῦ διὰ γλώττης, ἧπερ ἔφημεν, θαυμαστοῦ λόγου, καὶ τοῦ γράφειν ἐνταῦθα καὶ λογογραφεῖν θαυμαστῶς ἄρχεται· καὶ πρῶτος μὲν ὁ ἐπὶ τῷ θεσπεσίῳ Πατρὶ Πέτρῳ λόγος αὐτῷ συντάττεται· ἡμεδαπὸς ὁ καρπὸς οὑτοσὶ καὶ ἐγχώριος, κἀκ τοῦ ἱεροῦ Ἄθω καὶ τῆς ἐνταῦθα μεγάλης καὶ ἀγγελικῆς διατριβῆς τε καὶ πολιτείας φέρων τὸ πρόσρημα· δεύτερος δ' ἐπὶ τούτῳ ὁ ἐπὶ τῇ τῶν νομικῶν ἀδύτων ἱερᾷ εἰσόδῳ καὶ τῷ αὐτόθι θεοειδεῖ βίῳ τῆς Θεομήτορος· ἐπειδή γέ τινας ἔγνω τότε παραληροῦντας ἐκεῖ, καὶ γλώττῃ θρασείᾳ καὶ ἀμαθεῖ τοῖς μυστηρίοις ἐκείνοις ἐπηρεάζειν τολμήσαντας· ἄλλα τε πλεῖστα πρὸς τούτοις λόγου καὶ μνήμης ἱερᾶς ὄντως ἄξια.

Ἀλλ' ἐπεὶ τὸν οὕτω καὶ λόγῳ καὶ πράξει καὶ τοῖς τοῦ Πνεύματος ὑψηλοῖς χαρίσμασιν ὑπερφυῶς διαλάμποντα, καὶ πάντας ὑψηλῶς ἐξιστάντα, καὶ πᾶσιν ἐπῳδῶν φίλτροις πάντας ἀναδησάμενον, οὐκ ἦν ἐν ἀναχωρήσει καὶ γωνίᾳ καθῆσθαι, οὐδ' ὑπὸ τὸν τῆς σιωπῆς μόδιον τὸν τοῦ λόγου διαφανῆ πυρσὸν καὶ τῆς ἀρετῆς ἐπὶ πολὺ κρύπτεσθαι, τοῦτο καὶ γὰρ ὁ θεῖος ἐκεῖνος χρησμὸς ἐκέλευσεν ἄντικρυς, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε, τί γίνεται; Ψῆφος αὐτὸν εἰς προστασίαν ἀνδρῶν μοναστῶν προκαλεῖται κοινή, τοῦ τε κοινοῦ καθηγεμόνος καὶ προστάτου τοῦ ὄρους φημί, καὶ τῶν ἐν ἐκείνοις ἀρετῇ προεχόντων καὶ χρόνῳ· ὁ δὲ πείθεται ταῖς ἄνωθεν μᾶλλον ἢ ταῖς ἀνθρωπείαις ψήφοις ἀγόμενος· ἐκεῖ δὲ γενόμενος, καὶ τῆς καθέδρας καὶ τῆς προστασίας ἐπειλημμένος τῶν ἀδελφῶν, εἰς διακοσίους ἀριθμουμένων· ἀλλὰ παρίτωσαν νῦν οἱ τῆς ἀποστολικῆς ἐκείνης προστασίας τε καὶ ὁδηγίας πεπειραμένοι, καὶ διηγήσθωσαν οἷος ἐκεῖνος ἔργοις τε καὶ λόγοις περὶ τὴν τῶν ψυχῶν οἰκονομίαν καὶ κυβέρνησιν ἦν· ἁπλοῦς τὸ ἦθος, ἐλεύθερος τὴν γνώμην, τὴν ὁμιλίαν ἡδύς, εὐπρόσιτος τοῖς σπουδαίοις καὶ ταπεινός, A ὑψηλὸς καὶ ἀπαραχώρητος τοῖς ῥᾳθύμοις καὶ καταφρονηταῖς, συγγνώμων τοῖς ἐξ ἁμαρτίας καλῶς ἐπιστρέφουσι, μᾶλλον δὲ καὶ τὴν ἐπιστροφὴν καὶ τὴν μεταμέλειαν τοῖς πλείστοις ἔργοις τε καὶ λόγοις καθ' ἑκάστην αὐτὸς ἐμποιῶν, καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι πάντας ἀναλόγως ἕλκων πρὸς ἀρετήν· ἴσασιν οἱ βαρυτάτων παθῶν καὶ δεσμῶν ἁμαρτίας χρονίων, καὶ τῆς ποικίλης τῶν δαιμόνων ἐνεργείας καὶ μηχανῆς, ταῖς ἐκείνου διδασκαλίαις καὶ ταῖς εὐχαῖς παρὰ πάσας ἐλπίδας ἀπαλλαγέντες, καὶ παράδειγμα μετανοίας καινὸν τοῖς πᾶσι γενόμενοι. Τὰς δὲ συνεχεῖς καὶ παντοδαπὰς ὁμιλίας τε καὶ διδασκαλίας, καὶ τὸ χρυσοῦν ἐκεῖνο καὶ ἀκάθεκτον ῥεῦμα τοῦ λόγου· τὴν δὲ περὶ τὸν θεῖον νεὼν καὶ τοὺς ὑπηρέτας καὶ ὑμνῳδοὺς ἐκείνου σπουδὴν B καὶ φιλοκαλίαν· τὰς δὲ μυστικὰς τῶν ὑπερφυῶν καὶ ὑψηλοτάτων ἱερουργίας καὶ τελετάς· ἔτι τε τὴν εὐκοσμίαν περὶ τὸ ἱερὸν βῆμα, καὶ τὴν τῶν εἰς ἱερέας τελούντων ἐπιμέλειαν καὶ ἀνάβασιν, ἣν ἐκεῖνος καὶ μόνον ὁρώμενος ἐν τῷ τὰ θεῖα καὶ μυστικὰ τελεῖν ὑπερφυῶς τοῖς κοινωνοῖς ἐνεποίει, τί χρὴ καὶ λέγειν; ὅπου γε καὶ μετὰ τὴν θαυμαστὴν ἐκείνην προστασίαν, καὶ τὴν ἐκεῖθεν ἀναχώρησιν τοῦ ἀνδρός, οὐδὲ παραμένειν, οὐδὲ παροικεῖν τὴν μονὴν ἐκείνην ἔτι τὸ παράπαν ἠξίουν; Ἀλλ' οἱ μὲν πρὸς ἡσυχίαν καὶ ἀναχώρησιν, οἱ δ' εἰς ὑποταγὴν ἀκριβεστέραν καὶ ἄσκησιν, οἱ δὲ καὶ ταῖς ἀκροτάταις ἐρήμοις ἐξέδωκαν ἑαυτούς, ἐπειδὴ τὸ συνεῖναι τῷ σοφῷ διδασκάλῳ καὶ ὁδηγῷ διὰ παντὸς τοῖς πᾶσιν C οὐκ ἦν, ὅπερ δὴ καὶ ἐβούλοντο. Ἀλλ' ἐν τούτοις μὲν τὰ καθόλου ὅσον ἐπιδεῖξαι φημι.

Δεῖ δὲ καί τινων τῶν ἀπὸ μέρους μνησθῆναι κἀνταῦθα δυοῖν ἢ τριῶν, ὧνπερ Θεὸς θαυματουργῶν αὖθις δι' ἐκείνου ἐνήργησε. Μοναχός τις ἦν ἐν τῇ τοῦ Ἐσφιγμένου ταύτῃ μονῇ· οὕτω καὶ γὰρ ἐκεῖνοι προσαγορεύουσιν, οὐκ οἶδα πότερον, ἐκ τοῦ οἰκιστοῦ, ἢ ἐκ τῆς θέσεώς τε καὶ ξυνοικίας, ἢ καὶ πόθεν ἄλλοθεν. Ἦν τοιγαροῦν ἐκεῖνος εὐλαβής τε καὶ φιλομαθὴς καὶ σπουδαῖος καὶ τῶν ἐξυπηρετουμένων τῷ θείῳ νεῷ, Εὐδόκιμος τοὔνομα· τούτῳ περὶ τὴν νοερὰν σπουδάζοντι προσευχήν, καὶ νοῦν ἐπιμελουμένῳ τηρεῖν, ἀπάτην ἐξ ἀπροσεξίας ὁ κοινὸς πολέμιος ἐμβαλών, καὶ φάσματά τινα καὶ εἰκόνας ἀπατηλάς τε καὶ ψευδεῖς παραδείξας, καὶ πείσας ὡς D ἱεροῖς τουτοισὶ προσέχειν, κατὰ μικρὸν πολὺ τοῦ προσήκοντος ἀπεπλάνησε, καὶ μικροῦ γ' ἂν καὶ τοῦ πεφυκότος ἐξέστησε, καὶ Θεοῦ διέρρηξε παντελῶς, εἰ μὴ Γρηγόριος μετὰ τῆς θείας ἐκείνης σοφίας καὶ τῶν τοῦ Πνεύματος φαρμάκων παρῆν· εἰ γὰρ καὶ ταύτην ὁ πονηρὸς τὴν μεγάλην τοῦ Πνεύματος φαρμακείαν φθάσας ταῖς παρ' ἑαυτοῦ μηχαναῖς, ὡς ᾤετο, καὶ τὸν Εὐδόκιμον πρὸς τοῖς ἄλλοις κάκιστα μυσταγωγήσας κἀκεῖνα καὶ πείσας, ὡς εἴη μὲν ἐν λόγοις μέγας τις καὶ θαυμαστὸς ὁ Γρηγόριος, τῆς δ' αὐτοῦ μυστικῆς θεωρίας καὶ ἀρετῆς τὸ παράπαν ἀμαθής τε καὶ ἄγευστος· ὅθεν οὐδ' εἰσάπαν ἐκείνῳ καὶ τῆς ἐκείνου δεῖν εἶναι προσέχειν, οὐδ' ὑπείκειν ἔν γε τοῖς τοιούτοις ὡς ἔτυχεν· ἀλλ' ὁ σοφὸς καὶ ταύτην τῆς ψυχῆς ἐκείνης ἐξορίζει τὴν πλάνην

Digitized by Google

μετὰ τῆς προκατασχούσης ἀπάσης, τῷ σοφιστῇ τῆς κακίας ἑαυτὸν ἀντιστήσας κατ' ἐκείνης πολυειδῶς, νῦν μὲν ἱεραῖς διδασκαλίαις καὶ πατρικοῖς νόμοις καὶ εἰσηγήσεσι, νῦν δὲ μυστικαῖς εὐχαῖς τε καὶ δάκρυσι, καὶ πρὸς τούτοις ταῖς κοιναῖς ὑπὲρ τοῦ νοσοῦντος τῆς Ἐκκλησίας εὐχαῖς καὶ δεήσεσιν, ὧν αὐτὸς καὶ δημιουργὸς καὶ πρύτανις ἦν, ἕως εἰς τέλος τὴν δαιμονικὴν ἐνέργειαν πᾶσαν ἀπελάσας ἐκεῖθεν, οὐχ ὑγιᾶ μόνον, ἀλλὰ καὶ δόκιμον, ἢ εὐδοκιμοῦντα φερωνύμως ἀπειργάσατο τὸν Εὐδόκιμον, τῇ μεγάλῃ τοῦ Πνεύματος ἐνεργείᾳ καὶ χάριτι.

Σπάνις ἦν ἐλαίου τοῖς μοναχοῖς· ὁ δὲ μέγας τοῦτ' αὐτὸ παρ' ἐκείνων ἀκηκοὼς, καὶ τὸ τοῦ πράγματος λογισάμενος ἀναγκαῖον, παρὰ τὸ ταμεῖον ἄγειν ἐκέλευεν· εἰσιὼν τοιγαροῦν, καὶ τῷ ἀγγείῳ τοῦ B ἐλαίου μετὰ πίστεως παραστὰς, καὶ Θεὸν καλέσας τὸν ἐκ τοῦ μὴ ὄντος πάντα παράγειν ὑπερφυῶς μόνον δυνάμενον, καὶ χειρὶ καὶ τύπῳ σφραγίσας σταυροῦ, τὸν τῆς Σαραφθίας ἐδείκνυ καμψάκην ἐκεῖνον ἄντικρυς, οἷά τις νέος Ἠλίας, τοῖς μοναχοῖς· οὐ γὰρ ἐξέλιπεν ὁ τοῦ ἐλαίου κἀνταῦθα πίθος ὥσπερ κἀκεῖ παρ' ὅλον φημὶ τὸν ἐνιαυτὸν, καίτοι γε καὶ χειρὶ πλουσίᾳ παρά τε τοῦ μεγάλου καὶ τῶν μοναχῶν τοῖς ἐντός τε καὶ τοῖς ἐκτὸς ἐξαντλούμενος.

Ἐπεὶ δὲ καὶ τὸ τὰς ἐλαίας μὴ πρὸς καρποὺς ἐῤῥῶσθαι αἴτιον εἶναι τῆς τοῦ ἐλαίου ἐνδείας ἐμάνθανε, καὶ παρὰ τὸν ἐλαιῶνα σύν γε τοῖς πρεσβυτέροις ἔρχεται καὶ τοῖς μοναχοῖς, καὶ ἐλθὼν ἐπεύχεται, κατασφραγίζει τὰ δένδρα τύπῳ σταυροῦ, ἁγιάζει C πάντα τὸν χῶρον ἐκεῖνον λιταῖς ἱεραῖς καὶ δεήσεσι καὶ ῥαντισμῷ θείων ὑδάτων, εἶτα καὶ διδάξας ὡς ἔθος τὰ ἱερὰ, καὶ τὴν ψυχικὴν μάλιστα νουθετήσας ἀκαρπίαν ἐκφεύγειν, ἅτε δὴ τῇ ἀξίνῃ καὶ τῷ πυρὶ προσήκουσαν μᾶλλον, κατὰ τὸν τοῦ μεγάλου Βαπτιστοῦ καὶ Προδρόμου δηλαδὴ λόγον, εἰς ἑαυτὸν καὶ τὸ φροντιστήριον ἐπανέρχεται· καὶ τῆς ὥρας ἐπιστάσης, ὢ τοῦ θαύματος! τὰ πολλοῖς ἤδη χρόνοις οὐκ ἐῤῥωμένα φυτὰ πρὸς καρποὺς γόνιμα παρ' ἐλπίδας γε πάσας καὶ καρπῶν καθεωρᾶτο μεστά· ἵνα δὲ καὶ λαμπρότερον εἴη τὸ θαῦμα, καὶ ἡ ἐνεργοῦσα παρὰ τῷ Γρηγορίῳ μεγάλη τοῦ Χριστοῦ δύναμις, ἐκεῖνα τῶν δένδρων μᾶλλον ἐφαίνετο βριθόμενα τοῖς καρποῖς, ὅσοις ἢ διερχόμενος ἐκεῖνος προσήγγισεν, ἢ διαλεγόμενος παρ' ἐκείνοις ἔστη, D ἢ καὶ καθήμενος ὑπὸ τὴν σκιάν.

Ἀλλὰ καιρὸς ἂν εἴη λοιπὸν, καὶ τὴν πρὸς τὰς καινὰς αἱρέσεις μάχην ἐκείνου, καὶ τοὺς μεγάλους ὑπὲρ τῆς θείας χάριτος ἀγῶνας, καὶ τὰ μακρὰ παλαίσματα καὶ τοὺς ἄθλους, καθ' ὅσον ἂν οἷοί τε ὦμεν τῷ λόγῳ διαλαβεῖν· πᾶσι μὲν ἐγνωσμένα καὶ πανταχοῦ διαθρυλλούμενα καὶ περιφερόμενα, καὶ οἰκείοις καὶ ἀλλοτρίοις, καὶ τοῖς ἐγγὺς καὶ τοῖς πόῤῥω, καὶ ὅσους τὸ τῆς διδασκαλίας ἐκείνου κράτος καὶ ὁ λόγος καὶ τὰ σεπτὰ ταῦτα καὶ θεόπνευστα περιέλαβε γράμματα· πλὴν ὅσον ἀναλαβεῖν καὶ ἡμᾶς καθ' ὅσον οἷόν τε τῷ λόγῳ, καὶ τὰ καιριώτερα πρὸς ἀνάμνησιν ἀγαγεῖν· εἴη δ' ἂν καὶ τοῦτο τῆς ἐκείνου προστασίας τε καὶ τῆς ἱερᾶς συμμαχίας A ἔργον εἴπερ τι, τὸ καὶ διαχειρίσαι φημὶ δυνηθῆναι τὸν λόγον, καὶ κατ' ἐκείνου δηλαδὴ γνώμην διαθέσθαι τὰ πράγματα, καὶ οὕτω γε μὴ διαμαρτεῖν τοῦ προσήκοντος· ἐπεὶ καὶ τοῦτ' αὐτὸ προὔργου μοι δοκεῖ πεφυκέναι τῶν ἄλλων, οὐ τὸ τί λέγειν εὑρεῖν, ἀλλὰ τὸ τί παραλιπεῖν μᾶλλον εὐκαίρως, καὶ μὴ δι' ἐκείνου τῷ παντὶ δόξαι λυμήνασθαι.

Εἶχε μὲν αὖθις ἡ μεγάλη λαύρα τὸν μέγαν Γρηγόριον, τῆς μὲν προστασίας ἐκείνης καὶ τῆς μονῆς ἀποστάντα ταχέως, πρὸς δὲ τὴν φίλην ἡσυχίαν καὶ τὸ φροντιστήριον ἀπιόντα, τῷ τῆς σχολῆς τε καὶ τῆς ἀναχωρήσεως ἔρωτι· ἐπεὶ καὶ τὰ τῆς σωματικῆς ἕξεως ἤδη Θεοῦ συναιρομένου κρειττόνως ἔσχεν αὐτῷ, καὶ τὰ τοῦ ἥπατος ὑπενόστει κακὰ, καὶ οὐ καθεῖλκε πρὸς ἰατρείας τε καὶ τροφὰς ἅσπερ ἐρημία B καὶ ἀναχώρησις πορίζειν οὐ πέφυκε, καθάπερ δὴ καὶ τὸ πρότερον. Ὁ δ' ἐκ Καλαβρίας Βαρλαὰμ, ἄρτι τότε πρώτως τῇ Ῥωμαίων ἐπὶ κακῷ τῆς ἰδίας κεφαλῆς, καὶ δὴ καὶ τῶν αὐτῷ πειθομένων ἐπιδεδημηκὼς, καὶ τὸν φιλόσοφόν τε καὶ μοναχὸν, καὶ πρὸ τούτου τὰ τῆς ὀρθῆς δόξης καὶ τὴν τῆς ἡμετέρας Ἐκκλησίας συμφωνίαν ὑποκρινόμενος, καὶ πρὸς τοὺς ὁμογενεῖς Λατίνους δογματικῶς ἄρχεται γράφειν, καὶ λογικῶς ὑπὲρ τῆς τοῦ θείου Πνεύματος ἐκπορεύσεως διαλέγεσθαι, τῇ τῶν καθ' ἡμᾶς θεολόγων δῆθεν συνιστάμενος δόξῃ, καὶ τοῦ τῆς πίστεως ὅρου καὶ τῶν τοῦ Χριστοῦ λόγων ὑπερμαχῶν· τὸ δὲ ἄρα σόφισμα κατὰ τῆς Ἐκκλησίας μᾶλλον ἦν ἐναργὲς, καὶ δέλεαρ κατὰ τὸν εἰπόντα τοῖς ἁπλουστέροις C τῷ τῆς δυσσεβείας χαλκῷ περικείμενον. Ἀλλ' οὐχὶ καὶ τὸν τῆς θεολογίας στῦλον, τὸν τῆς ἄνω σοφίας μύστην τε καὶ μυσταγωγὸν, τὸν θεῖόν φημι Γρηγόριον, ἐδυνήθη τὰ τοιαῦτα λαθεῖν· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ ἀνετάζει λαβὼν μετὰ χεῖρας, καὶ διαγινώσκει καὶ δικάζει καλῶς, καὶ δείκνυσι τὸν πεπλασμένον ἐν τοῖς γράμμασιν ἔλεγχον δόλον κατὰ τῆς ἀληθείας σαφῆ· τῶν γὰρ Λατίνων, ὡς ἅπαντες ἴσμεν, ἐν τῇ τοῦ Πνεύματος ἐκπορεύσει δύο κατὰ πᾶσαν ἀνάγκην θεότητος εἰσαγόντων ἀρχὰς, τὸ ἄτοπον ὁ Βαρλαὰμ ἐξελέγχων δῆθεν, κακῷ τὸ κακὸν ἰώμενος ἐν τοῖς ἑαυτοῦ λόγοις ἐφαίνετο, κατὰ δή τινα τρόπον εἰ καὶ μὴ κατ' ἐκείνους καὶ αὐτὸς τὸ ἄτοπον συγχωρῶν· καὶ τὰς μὲν κατὰ τῶν αἱρέσεων συλλογιστικὰς ἀποδείξεις τῶν σοφῶν θεολόγων παραD γραφόμενος, τοὺς δὲ τῶν Ἑλλήνων σοφοὺς, Ἀριστοτέλην φημὶ καὶ Πλάτωνα, καὶ ὅσοι τοῦ κατ' αὐτοὺς συνεδρίου θείους τινὰς καὶ παρὰ Θεοῦ πεφωτισμένους ἀποκαλῶν· πρὸς δὴ τοὺς τοιούτους κατὰ τῆς εὐσεβείας φληνάφους λόγους ὁ γενναῖος ἀντιστήσας Γρηγόριος ἀξίους ἑαυτοῦ τε καὶ τῆς ἀληθείας ὑπὲρ ἧς καὶ ὁ λόγος, καὶ τῇ μὲν δεδωκὼς τὸ κράτος, τὸ δὲ ψεῦδος ἐξελέγξας περιφανῶς, οὕτω τὸν ἀντίπαλον ἄρτι πρώτως ἐπισπᾶται καθ' ἑαυτοῦ, ἢ μᾶλλον τὸν κεκρυμμένον ἀνακαλύπτειν ἄρχεται δόλον ἐκείνου καὶ τὴν ὑπόκρισιν· καὶ γίγνονται προαγῶνες οἱονεὶ τῶν μελλόντων ταῦτα τῷ Γρηγορίῳ, καὶ τῶν ὑπὲρ τῆς εὐσεβείας μεγίστων ἐς ὕστερον ἄθλων καὶ τῆς ἐνστάσεως.

Βραχύ τι τὸ μεταξὺ, καὶ πρὸς τὴν τῶν πόλεων

Digitized by Google

βασιλεύουσαν ἐκ Θεσσαλονίκης ὁ Βαρλαὰμ ἀπιών, ἐνταῦθα τῆς κακουργίας μετὰ τοῦ προσωπείου καὶ τῆς προσποιήσεως ἄρχεται. Τῶν γὰρ καθ' ἡσυχίαν καθημένων, καὶ νοερὰν προσευχήν τε καὶ νῆψιν ἀσκούντων, τοῖς ἁπλουστέροις δολερῶς προσιών, τὸν μαθητιῶντα καὶ φίλον ἐν προσχήματι ταπεινώσεως ὑποκρίνεται, καὶ βραχέα τε τῶν περὶ νοερᾶς προσευχῆς εἰσαγωγικῶν τε καὶ προτελείων ἰδιωτικῶς οὑτωσὶ καὶ ἁπλῶς παρ' ἐκείνων ἀκούσας, ἐπεὶ μὴ μαθεῖν, ἀλλὰ κακουργῆσαί τε καὶ διαβαλεῖν τὸ προκείμενον ἦν αὐτῷ, κατὰ τοὺς ἀναιδεῖς κύνας τὸν ὑγιᾶ λόγον σπαράξας τε καὶ κατατεμών, καὶ τὰ τούτου μέρη καὶ μόρια κακῶς τοῖς ὀδοῦσι φέρων ὥσπερ ἐμπεπηγότα, κατὰ τῶν διδασκάλων ἀθρόον καὶ τῆς θείας ἐκείνων ἐπιστήμης, τῆς ἱερᾶς φημι προσευχῆς καὶ μυστικῆς θεωρίας χωρεῖ, αἱρετικοὺς φεῦ! τοὺς ἰδίους μυσταγωγοὺς καὶ τῶν ἱερῶν ἐπόπτας ἀναισχύντως ἀποκαλῶν. Ἀλλ' ὁ μὲν ἐπί τισι τῶν αἰσχρῶν τε καὶ ἐπιῤῥήτων ἐπὶ τοῦ προκαθημένου τῆς κοινῆς τῶν πιστῶν Ἐκκλησίας μετ' ὀλίγον ἐξελεγχθείς, αἴσχιστα τὴν Κωνσταντίνου καταλιπών, εἰς Θεσσαλονίκην ὑποστρέφει, τῶν αὐτῶν καὶ αὖθις ἐχόμενος, καὶ τοῖς κατὰ τῶν μοναχῶν τε καὶ τῆς ἡσυχίας, μᾶλλον δὲ καὶ τῶν πρώτων αὐτῶν διδασκάλων, τῶν θεοφόρων φημὶ Πατέρων, ὥσπερ ἐπιδεικνύμενος καὶ λόγοις καὶ γράμμασι, καὶ τούτους αὐτοὺς αἰτιωτάτους τοῖς μοναχοῖς εἶναι τῆς πλάνης, πρὸς τοὺς τὴν ἐκείνων προϊσταμένους διδασκαλίαν θρασείᾳ καὶ τολμηρᾷ γλώττῃ διατεινόμενος· ἃ δὴ καὶ Γρηγόριος ἀκούσας ὁ μέγας τότε, περὶ τὸν Ἄθω καὶ τὴν ἱερὰν λαύραν διατρίβων ἐν ἡσυχίᾳ, καθὰ δὴ καὶ προὔφην, τοιάδε προφητικῶς πρὸς τοὺς συνόντας ἔφησε μοναχούς· Ἐγώ, φησί, πάλαι παρὰ τῶν μακαρίων ἡμῶν Πατέρων φθάσας ἔχω μαθών, ὡς αἵρεσις ἐπεισκωμάσει τῇ Χριστοῦ Ἐκκλησίᾳ καὶ αὖθις ἔν γε τῇ καθ' ἡμᾶς γενεᾷ· ὁρῶ δ' ὡς μὴ ὤφελον εἰς ἔργον ἐκβαίνουσαν ἤδη τῶν ἁγίων ἐκείνων τὴν πρόῤῥησιν· οὐδὲ γὰρ ἑνός τινος μηδενὸς ἄλλου πλὴν τούτου τὸν ἀρχέκακον ὄφιν καὶ τῶν τοιούτων δημιουργὸν εὐπορῆσαί ποτ' ἂν οἶμαι σχεῖν ἐπιτηδείου τε καὶ σοφοῦ πρὸς κακίαν ὀργάνου· ὃ δὴ καὶ εἰς ἔργον μετ' ὀλίγον ἐκβὰν κατὰ τὴν ἐκείνου προφητείαν ἐμφανέστερον τοῖς νῦν καθορᾶται, Ἀκινδύνου τοῦ κάκιστ' ἀπολωλότος τὴν τοῦ Βαρλαὰμ διαδεξαμένου μὲν λύμην, καθὰ δήπου πάλαι καὶ Εὐνόμιος τὴν Ἀρείου, ἢ καὶ τὴν Εὐτυχοῦς τε καὶ Διοσκόρου Σέβηρος ὁ Ἀκέφαλος.

Τῆς δὲ κακίστης τῶν ἀνενεργήτων τούτων, ἢ πολυθέων τε καὶ ἀθέων αἱρέσεως ἀρχηγοῦ γεγονότος, ὅθεν ἄρα καὶ τὴν προσηγορίαν καὶ τοὔνομα τὸ κατ' ἐκεῖνον πονηρὸν συνέδριον ἔσχε, τί τὸ ἐντεῦθεν; Ἐπεὶ σφοδρὸς ἐπικείμενος ἦν ὁ Βαρλαὰμ τοῖς μοναχοῖς ἐν Θεσσαλονίκῃ, κατ' αὐτῶν τε καὶ τῆς ἱερᾶς ἡσυχίας ὡσαύτως καὶ λέγων καὶ γράφων, καὶ πολλοὺς μὲν εἶχε κατὰ κόσμον τοὺς αὐτῷ πειθομένους, πολλοὺς δὲ καὶ τῶν μοναστῶν, ὅσοι δηλαδὴ μὴ τῶν τῆς ἡσυχίας ἦσαν τροφίμων, λόγοις πειθοῦς, καὶ σοφιστικοῖς κλέμμασι παράγων τοὺς μὴ ταῦτα γεγυμνασμένους· ὁ δὲ τούτοις ἀντιλέγειν ἰσχύων ἀξίως

A τε καὶ πρὸς ἔπος, καὶ τοὺς καταπίπτοντας ἀνορθοῦν τῷ τῆς ἀληθείας ὑγιεῖ λόγῳ, τὴν δὲ κακουργίαν καὶ τὴν αἵρεσιν τρανῶς ἐξελέγχειν ἦν οὐδαμοῦ παρ' ἐκείνοις, βουλεύονται κοινῇ συνελθόντες. Ἰσιδώρου τοῦ θείου δηλαδὴ προκαθημένου τῶν ψήφων, καὶ κινοῦντος καὶ συνάγοντος καὶ βουλευομένου καὶ σπουδάζοντος ταυτὶ πρὸ τῶν ἄλλων, ἅτε δὴ καὶ τῶν ὁμιλητῶν τε καὶ φίλων τὰ πρῶτα φέροντος παρὰ Γρηγορίῳ, καὶ πρώτου τῆς τοῦ Βαρλαὰμ κακουργίας εἰς πεῖραν ἰόντος, καὶ τὰς ἀρχὰς τῶν ἐκείνου καθ' ἡμῶν συγγραμμάτων τεθηρευκότος, βουλεύονται τοιγαροῦν, Γρηγόριον τὸν σοφὸν μετὰ τῆς θεολόγου γλώττης καὶ τῆς μεγάλης τοῦ Πνεύματος σοφίας, πρὸς ἑαυτοὺς ἐκ τῆς ἀναχωρήσεως καὶ τοῦ ὄρους μετακαλέσασθαι, καὶ φύσει καὶ τέχνῃ B καὶ χάριτι θείᾳ δυνάμενον ὑπὲρ ὅτου ἄν τις καὶ φῇ τὰ τοιαῦτα περαίνειν ἀξίως. Γράφουσι τοιγαροῦν, καὶ μάλα σπουδαίως ἀξιοῦσι τὸν μέγαν μὴ τ' αὐτῶν τὴν κοινὴν παραβλέψαι δέησιν καὶ πρεσβείαν, τῶν ἀναγκαιοτάτων καὶ πρώτων οὖσαν, καὶ τῷ τῆς εὐσεβείας λόγῳ κινδυνεύοντι νῦν εἴπερ ποτὲ δοῦναι χεῖρα, καὶ τῆς κοινῆς πάντων μητρὸς τῆς Ἐκκλησίας πολεμουμένης προστῆναι. Πείθεται τοῖς τῶν ὁμοτρόπων καὶ ὁμοψύχων ὁ Γρηγόριος λόγοις, καιρὸν εἶναι κρίνας καὶ ἡσυχίας καὶ πολέμου, ἐπειδὴ καὶ παντὸς ἄλλου πράγματος, κατὰ τὸν σοφὸν Σολομῶντα· καὶ τὴν ἐρημίαν ἀφεὶς καὶ τὸν Ἄθω, οὕτοι γε ἑκὼν καὶ ἑκὼν αὖθις, τὸ μὲν οἷς ἡσυχάζειν ᾑρεῖτο καὶ μὴ πράγματα ἔχειν, τὸ δὲ διὰ τὴν τῶν C εἰρημένων ἀνάγκην, τοιαύτην καὶ ὑπὲρ τηλικούτων οὖσαν, ἐφίσταται καὶ μάλα ἡδὺς τοῖς ποθοῦσιν· οἳ καὶ τῶν τοῦ Βαρλαὰμ συγγραμμάτων κατὰ τῆς ἀληθείας ἐπιδείξαντές τινα μέρη, τά γε εἰς χεῖρας αὐτοῖς τέως ἰόντα, καὶ τὰ κατ' ἐκεῖνον ὡς εἶχεν ἐξειπόντες σαφέστερον, ἀμύνειν αὐτοῖς τε καὶ τῷ κοινῷ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἠξίουν. Ἀλγεῖ τὰ σπλάγχνα, καὶ τιτρώσκεται τὴν ψυχήν πως ἂν εἴποις ὁ θεῖος Γρηγόριος, τά τε παρόντα καθορῶν, καὶ σοφίᾳ καὶ χάριτι Πνεύματος οὐκ ἀμυδρῶς ἤδη προβλέπων τὰ μέλλοντα· διὰ δὴ τοῦτο καὶ τὸν ἀγῶνα καὶ τὸ τὴν ἡσυχίαν ἀπολιπὼν τοῖς ἀντιῤῥητικοῖς ἠναγκάσθαι χρῆσθαι τῶν λόγων ὀκνῶν καὶ ἀναδυόμενος, πολύς τις ἦν καὶ ποικίλος, καὶ μηνύμασι καὶ λόγοις καὶ φίλοις καὶ τῷ δυναμένῳ καὶ πεφυκότι παντὶ D πρὸς εἰρήνην τῶν μοναχῶν, καὶ δὴ καὶ τὴν τῆς Ἐκκλησίας ὁμόνοιαν πάσης τὸν Βαρλαὰμ ἐκκαλούμενος· ὁ δὲ τῷ κινοῦντι δαίμονι κάτοχος ἤδη γεγονὼς ὅλος, κἀκείνῳ προσέχων τὸν νοῦν, τῶν πνευματικῶν οὐδ' ἐπαΐειν ὅλως ἐδύνατο· διὸ καὶ προσετίθει καθ' ἑκάστην μᾶλλον τῇ βλασφημίᾳ τε καὶ τῇ ἔριδι, καὶ τὸ πῦρ ὡς εἶχεν ἀνῆπτε, καὶ πρὸς μάχην τὸν λέοντα κινῶν οὐκ ᾐσθάνετο.

Ἀλλ' ἡ θαυμαστὴ ψυχὴ καὶ φιλόσοφος ὄντως, Γρηγόριος ὁ μέγας φημί, οὐδ' οὕτως ἔχοντος ἐκείνου τὴν διόρθωσιν καὶ τὴν μεταβολὴν ἀπογινώσκει ῥᾳδίως· ἀλλ' ἐπεὶ τοὺς διὰ τῶν φίλων συχνοὺς λόγους καὶ τὰς συμβουλὰς ἀπράκτους ἑώρα, καὶ δι' αὐτὸς αὐτοῦ πειρᾶται τὸ τελευταῖον καὶ συμβουλεῦσαι, πολλῶν τε καὶ καλῶν παρόντων τοῖς λόγοις



Digitized by Google

τῆς ἀκαίρου πρὸς τοὺς μοναχοὺς ἔριδος ἀποσχέσθαι, καὶ τοῦ περὶ προσευχῆς καὶ ἡσυχίας, μᾶλλον δὲ τοῦ κατ' αὐτῶν τε τούτων καὶ τῶν ταῦτα διδαξάντων θεοφόρων λέγειν καὶ γράφειν. Οὐ μόνον καὶ γὰρ οὐδὲν οὐδοτιοῦν, φησὶν, ἐντεῦθεν προσέσται σοι δόξης, καθὰ δήπουθεν ἐν τοῖς λογισμοῖς ἀκαίρως φαντάζῃ, ἀλλὰ καὶ πρὸς τοὐναντίον ἅπαν περιτραπήσεταί σοι τὰ τῆς μηχανῆς, εὖ ἴσθι· νῦν μὲν γὰρ ἔτι καὶ σοφοῦ τινος καὶ μεγάλου δόξαν ἴσχεις παρὰ πᾶσι σχεδὸν τοῖς ἀνθρώποις, καὶ οὐκ ἔστιν ὃς οὐκ ἐπαινεῖ· χρῶ τοιγαροῦν τοῖς σαυτοῦ, καὶ λέγε καὶ γράφε καὶ φιλοσόφει καὶ δίδασκε τὰ τῆς ἔξω φιλοσοφίας τε καὶ τῶν μαθημάτων, οἷς δήπου καὶ συνετράφης καὶ ἅπερ καλῶς ἤσκησας· καὶ οὔτε τινὰ τὸν προσιστάμενον ἕξεις καὶ ἀντιλέγοντα, πλείστους μὲν οὖν μάλιστα καὶ καλλίστους ἕξεις τοὺς ἀκούοντάς τε καὶ ἑπομένους, καὶ τῇ νῦν οὔσῃ δόξῃ πλεῖστον προσθήσεις, πάντων μετὰ τῶν λόγων καὶ τὴν γνώμην ἐπαινούντων τε καὶ τιμώντων· εἰ δὲ τῶν σῶν ἀφέμενος τούτων, καὶ ἅπερ οἶσθα καθάπερ ἔφην, περὶ τῶν ἀλλοτρίων καὶ ὧν οὐ μεμάθηκας οὐδοπωστιοῦν, ἡσυχίας φημὶ καὶ προσευχῆς καὶ τῶν τοιούτων, ὥσπερ ἐξ ἀντιστρόφου γράφειν καὶ φιλοσοφεῖν καὶ διδάσκειν ἐπιχειροίης, καὶ προσέτι τῶν κατὰ τῶν μοναχῶν λοιδοριῶν καὶ τῶν ὕβρεων οὐκ ἀφέξῃ, πρῶτον μὲν οὐδ' ἀκούσεταί τις τῶν παρὰ σοῦ νοῦν ἔχων, περὶ ὧν οὐκ οἶσθα λέγειν τε καὶ φιλοσοφεῖν πειρωμένου· Μὴ δέξῃ καὶ γὰρ φιλόσοφον, ὁ ἐμός φησι θεοφόρος φιλόσοφος Ἰσαὰκ, περὶ τῶν καθ' ἡσυχίαν διδάσκοντα. Ἔπειτ' οὐ μόνον ἄδοξός τις καὶ ἄτιμος καθ' ὑπερβολὴν τοῖς ἡμετέροις διὰ ταῦτα γενήσῃ, ἀλλὰ καὶ ἀποδράσεις αἰσχρῶς, οἶμαι, τὸ τελευταῖον ὑπ' αἰσχύνης ἐντεῦθεν, καὶ πολύν τινα καὶ ἀνόνητον τὸν μετάμελον ἕξεις.

Ταῦτα πρὸς ἐκεῖνον οὕτω σοφῶς τε καὶ θεοπνεύστως εἰρηκότος τοῦ Γρηγορίου, ἃ δὴ καὶ ἐς ὕστερον κατὰ τὸν ἐκείνου λόγον ἐξέβη, καθάπερ ἴσμεν, ὁ Βαρλαὰμ οὐδὲν ἧττον Βαρλαὰμ ἦν καὶ αὖθις, τοῖς αὐτοῖς ἢ καὶ χείροσιν ἐπιχειρῶν καθ' ἑκάστην, καὶ πᾶσι λόγοις καὶ συγγράμμασιν ἀναίδην κατὰ τῆς Ἐκκλησίας καὶ τῶν ταύτης ἱερῶν τε καὶ μυστικῶν ἀσελγαίνων· ὅθεν καὶ τῆς ἐπιστροφῆς ἐκείνου καὶ τῆς διορθώσεως ἀπογνοὺς καθάπαξ, ἐξ ἀνάγκης καὶ αὐτὸς ἐπὶ τὸ γράφειν ἔρχεται, καὶ λόγοις ἱεροῖς τοὺς βεβήλους ἀνατρέπειν τῶν λόγων, ἵνα μὴ τῆς κακίστης αἱρέσεως καθάπερ εἴ τινος ψυχοφθόρου λύμης ἄλλοις ἀπ' ἄλλων μεταδιδομένης, καὶ καθ' ἑκάστην εἰς τὰ πρόσω χωρούσης, δυσίατον ἢ καὶ ἀνίατον ἐπ' ἐσχάτων καταστῇ τὸ πάθος. Τοῦτο καὶ τῷ Βαρλαὰμ πρὸς γνῶσιν ἐλθὸν, οὐ μικρὸν ἐφόβησέ τε καὶ συνετάραξεν· ἀμέλει καὶ τῷ μεγάλῳ προσιὼν, μεθ' ὅσης ἄν τις εἴποι τῆς κολακείας καὶ ὑποκρίσεως, Ἐγώ σε, φησὶ, καὶ σοφὸν καὶ μέγαν καὶ θαυμαστὸν ἐν πᾶσιν εἰδὼς, οὐ παύομαι τοῦτ' αὐτὸ πρὸς πάντας καθ' ἑκάστην βοῶν, καὶ πάσῃ καὶ ψυχῇ καὶ γλώττῃ τοῖς ἐπαίνοις τοῖς κατὰ σοῦ χρώμενος· σὺ δ' οὐκ οἶδ' ὅ τι μαθὼν, καὶ τίνας κατ' ἐμοῦ τοὺς λογισμοὺς ἴσχων, πᾶσι κατ' ἐμοῦ τοῖς

ἐναντίοις ἐπιχειρεῖς καὶ λέγων καὶ γράφων, καὶ πάντα κάλων, ὃ δὴ λέγεται, κινῶν· καίτοι γε μήτε τῷ κοινῷ λυμαινομένῳ μηδοτιοῦν, οὐδὲ γὰρ ἂν ποτέ τις ἐξελέγξαι, μήτ' ἰδίᾳ γε κατὰ σοῦ καὶ τῶν σῶν χωροῦντος, πῶς γάρ; τοῦ τοῖς σοῖς ἀεὶ μᾶλλον διδόντος ἐπαίνοις, καθὰ δὴ καὶ προὔφην, ἀλλὰ πρὸς ἄλλους τινὰς μᾶλλον βλέποντος, καὶ κατ' ἐκείνων ἰδίᾳ καὶ λόγοις χρωμένου καὶ γράμμασι.

Καὶ ταῦτα μὲν μετὰ τῆς φίλης ὑποκρίσεως καὶ τοῦ ψεύδους ὁ Βαρλαάμ. Οἷα δ' ὁ τῆς ἀληθείας αὖθις φίλος καὶ μαθητὴς, πολλῶν τε καὶ κοινῶν ἀμφοτέροις παρόντων φίλων, ἀντεπήγαγε τοῖς παρ' ἐκείνου ῥηθεῖσιν; Ὅρα δὴ τῆς καλῆς ἐκείνης γλώττης θαυμαστῶς λεγούσης καὶ πάλιν ἀκούειν· « Οὐκ ἔστι τὸ παράπαν συνοῖσον, οὐδ' ἀγαθὸν, φησὶ, μᾶλλον μὲν οὖν καὶ λίαν ἐπιβλαβὲς ἅπασι τὸ ζητεῖν ἐν λόγοις τὰ ὑπὲρ λόγον· καὶ τὰ μυστικὰ τῷ δήμῳ προβάλλεσθαι, καὶ μειρακίων ἀκοαῖς ἐκδιδόναι ταῦτα καὶ διανοίαις, καὶ τοὺς μιγάδας τοῖς μονάζουσιν ἐπεγείρειν, καὶ γαληνιώσῃ νῦν ὑπέρ ποτε κατὰ τὴν ὁμολογίαν τῆς πίστεως ἀφορμὰς ὑποβάλλειν οὐ μικροῦ κυκεῶνος τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ. Τοῦτ' οἶμαι καὶ σοὶ μέμψιν οἴσει, καὶ μῖσος παρὰ πάντων ἐποίσει, καὶ πειρασμὸν οὔτοι φορητὸν, ὡς ἔγωγε πάνυ πείθομαι, καθά σοι καὶ πρότερον εἶπον· παρίημι γὰρ τὴν ἀφανῆ βλάβην νῦν ὅσῃ τείνει πρὸς τὴν ψυχήν. Ὅτι δὲ φὴς πρὸς ἄλλους, ἀλλ' οὐ πρὸς ἐμὲ τὰς σὰς εἶναι λοιδορίας καὶ τὰ συγγράμματα, ἐπεὶ τὴν εὐσέβειαν πάντες μίαν καὶ τὴν αὐτὴν ὡς μητέρα κοινὴν ἔχομεν, πῶς ἐστι δυνατὸν ὑβριζομένου τινὸς κατ' αὐτὴν εἰρηνικὸν εἶναι τὸν ἕτερον; εἰ μή που καταφρονῶν οὗτος τῆς τοῦ Θεοῦ δόξης, καὶ τὴν οἰκείαν δόξαν παντὶ τρόπῳ περιποιούμενος, μὴ λέγειν κατά τινος πάντοτε σπεύδει, κἂν ὑπὲρ εὐσεβείας ὁ λόγος ᾖ, ἵνα μὴ καθ' ἑαυτοῦ τούς τε ἄλλους καὶ τὸν ἀντιλέγοντα διεγείρῃ; Ἐγὼ γοῦν ἀκριβέστατα γινώσκω ὅτι πολλοί μοι καὶ μέμψονται καὶ λοιδορήσουσι, καὶ ἄλλοι ἄλλα τινὰ πρὸς τὸν οἰκεῖον ἕκαστος σκοπὸν ἢ τὴν γνῶσιν ἐροῦσι κατ' ἐμοῦ, καὶ αὐτὸς δὲ σὺ ὁ τὴν ὑπόθεσιν κεκινηκὼς ἐκβαλεῖν σπουδάσεις τὸ ὄνομά μου ὡς πονηρὸν, ἀλλ' οὐδέν μοι περὶ τῶν τοιούτων μέλλει· οἶδα γὰρ καὶ πεπληροφόρημαι τῇ χάριτι τοῦ Χριστοῦ, ὑπὲρ τῆς ἐν Θεῷ ἀληθείας εἶναί μοι τὸν ἀγῶνα καὶ τὴν σπουδήν· αἱροῦμαι δὲ μᾶλλον συνυβρίζεσθαι ταῦτα πάσχουσι τοῖς διὰ τὸν Θεὸν πτωχοῖς καὶ εὐτελέσιν ἀδελφοῖς, ἢ πρόσκαιρον ἔχειν εὐφημίας καὶ δόξης ἀνθρωπίνης ἀπόλαυσιν· κατὰ Χριστὸν ζώντων ὀνειδισμὸν, τῶν τοῦ κόσμου παντὸς θησαυρῶν. »

Ἐννέα μὲν οὖν οἱ πάντες ὁμοῦ τῷ σοφῷ τηνικαῦτα συντάττονται λόγοι κατά γε τῶν ψευδῶν λόγων καὶ τῆς διεστραμμένης τοῦ Βαρλαὰμ δόξης, ὑπὲρ τῆς κατ' εὐσέβειαν δ' ἀληθείας οἰκειότερον εἰπεῖν μᾶλλον, καὶ τῶν ταύτης τροφίμων, εἰς τρεῖς διῃρημένοι τριάδας· εἰσί γε μὴν οὐ κατ' αὐτὸ καὶ ἐπὶ τοῖς αὐτοῖς ὁμοίως διὰ πάντων πάντες ἐκδεδομένοι· ἢ γὰρ ἂν οὐδ' εἰς ἀριθμούς τε καὶ τάξιν οὕτω διῄρηντο· ἀλλὰ τὴν μὲν ἱερὰν ἡσυχίαν ὁμοῦ προΐστανται πάντες, καὶ ὡς εἰς σκοπὸν αὐτὴν τε ταύτην

καὶ τοὺς καλῶς τε καὶ ἀξίως αὐτὴν μετιόντας ὡσανεὶ A βλέπουσι. Διῄρηνται δ' ὡς ἔφην τόνδε τὸν τρόπον· οἱ μὲν γὰρ πρότεροι τρεῖς περί τε λόγων τῶν ἔξω διιόντες, καὶ ὅπως, καὶ μέχρι πόσου Χριστιανοῖς ἐκείνοις χρηστέον, ἔστι τε περὶ φυλακῆς νοῦ, καὶ ὡς οὐκ ἀσυντελὲς τοῖς σπεύδουσιν ἡσυχάζειν ἔνδον τοῦ σώματος ἐκείνων κατέχειν πειρᾶσθαι· καὶ δὴ καὶ περὶ φωτὸς θείου καὶ φωτισμοῦ, καὶ ἱερᾶς εὐδαιμονίας καὶ τῆς ἐν Χριστῷ τελειότητος, πρὸ τοῦ τοὺς Βαρλαὰμ λόγους αὐτοὺς ἐκείνους ὡς εἶχον εἰς χεῖρας ἐλθεῖν ἐκδέδονται δηλαδὴ τῷ μεγάλῳ, παρὰ τῶν ὡμιληκότων ἐκείνως ἔτι μόνον τὰ ἐκείνων ἀκηκοότι, καὶ πρός γε τούτοις τὰ κατὰ τῶν μοναχῶν καὶ τῆς ἱερᾶς ἡσυχίας ὑπ' ἐκείνου γλώττῃ ψευδεῖ τε καὶ θρασείᾳ διαθρυλλούμενα κάκιστα, καθὰ δήπου καὶ αἱ προγεγραμμέναι τῶν τριῶν ἐρωτήσεις B λόγων ὑποδεικνύουσιν ἐναργέστερον. Οἱ δὲ μετ' ἐκείνους τρεῖς αὖθις, οὓς δὴ καὶ ὑστέρους αὐτὸς ἐπιγράφει, καίτοι γε δευτέρους ὄντας μᾶλλον τῇ τάξει, ἐπεὶ μηδ' ἐπὶ τῆς οἰκείας αὐτοὺς ὁ ἀντίπαλος ἀφῆκε τάξεως μένειν, καὶ τὴν ἑτέραν ἀναγκάσας ὕστερον προστεθῆναι τούτοις τριάδα τῶν λόγων, διὰ τῶν δευτέρων κατὰ τῆς ἀληθείας αὐτοῦ συγγραμμάτων· τοῖς γοῦν ὑστέροις τουτοισὶ τρισὶ καὶ δευτέροις ὁ μέγας ἐχρήσατο κατ' αὐτῶν ἐκείνων τῶν τοῦ Βαρλαὰμ φημὶ πρώτων λόγων, αὐτὸς δι' ἑαυτοῦ συγγεγονὼς τούτοις, εἰς Ἰταλίαν ἀποδημοῦντος ἐκείνου, καὶ τοὺς μὲν θαυμαστῶς ἐξελέγξας καὶ ἀνατρέψας, ἄλλα τε πλεῖστα, καὶ δὴ καὶ τὴν ἐκ τῆς ἔξω παιδείας γνῶσιν σωτήριον εἶναι γνῶσιν ληροῦντας, καὶ διδάξας μάλα καὶ σοφῶς τε καὶ θείως, C τίς ἡ ὄντως σωτήριος γνῶσις, καὶ ἐν κρυπτῷ τοῦ νοῦ προσευχὴ καὶ πνευματικὴ τοῦ Θεοῦ λατρεία· τίνα τε τὰ ταύτης ἰδιώματα καὶ γνωρίσματα· καὶ τί τὸ τοῦ ἱεροῦ φωτὸς ἐκείνου θεῖόν τε καὶ ἀπόρρητον θέαμα· καὶ ὅτι μόνοις γε γνωστὸν ἀσφαλῶς τοῖς ἐκείνου κάλλιστά τε καὶ ὑψηλότατα κατὰ χάριν θείαν πεπειραμένοις.

Ἐπεὶ δ' ὁ Βαρλαὰμ ὑποστρέψας ἐκ τῆς πρεσβείας εἰς γνῶσιν γένοιτο τῶν ὑπὸ τοῦ μεγάλου κατὰ τῶν αὐτοῦ λόγων καὶ τῆς αἱρέσεως ἀξίως τε γεγενημένων, μεταπλάττει μὲν καὶ μεταποιεῖ τὰ πλεῖστα τῶν ἑαυτοῦ λόγων, τοὺς ἐλέγχους καὶ τὴν ἀτοπίαν δῆθεν ἐκφεύγων· ἀπὸ κρημνοῦ δὲ μᾶλλον οἰκειότερον εἰπεῖν εἰς κρημνὸν καὶ βόθρον ἐμπίπτων· D τοιαῦτα καὶ γὰρ ἀεὶ τὰ τοῦ ψεύδους, οὐδέποτε τοῦ μέσου καὶ τῆς ἀληθείας, ἀλλὰ τῶν ἑκατέρωθεν μᾶλλον κρημνῶν γιγνόμενα· κατὰ Μασαλιανῶν δ' αὐτοὺς ἐς ὕστερον ἐπιγράφει πρὸς τὴν τῶν πολλῶν ἐξαπάτην, ὃ δὴ καὶ μᾶλλον πρὸς ἔρευναν καὶ ζήτησιν αὐτῶν τὸν ἀναιρέτην αὖθις τοῦ ψεύδους, Γρηγόριον φημὶ τὸν σοφὸν, ἐρεθίσαν, καὶ συλλαβεῖν ἐκείνους καὶ συμπλακῆναι τὸ δεύτερον λογικῶς τε καὶ πνευματικῶς αὖθις ποιεῖ, καὶ τρέψασθαι κατὰ κράτος, καὶ τὸ τρόπαιον κατ' ἐκείνων ἐντελὲς ἀναστῆσαι τοὺς τελευταίους τρεῖς, ὡς ἐξ ἄλλης ἀρχῆς οἱονεὶ κατὰ τῶν δευτέρων ἐξενεγκέντα, τοῦ Βαρλαὰμ τουτωνὶ λόγων, τάς τε προτάσεις αὐτῶν καὶ τὰ συμπεράσματα, καὶ τὸν τῶν ἐκβαινόντων ἐντεῦθεν ἀτόπων ἑσμὸν ἐξελέγχοντας μάλα γενναίως, καὶ περὶ θεώσεως καὶ θείου φωτὸς αὖθις ὑψηλῶς τε καὶ θείως ἄγαν διδάσκοντας, τοὺς δυναμένους πιστῶς φημι διακούειν ἐκείνων καὶ συνιέναι· οὓς δήπου καὶ Χριστὸς αὐτὸς εἰς ἀκρόασιν προκαλούμενος πάλαι τῶν θείων καὶ ὑψηλῶν ἔλεγεν· « Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω [10]· » καὶ, « Ὁ δυνάμενος χωρεῖν αὖθις χωρείτω [11]· » οἱ γὰρ λοιποὶ, φησὶ, βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσι κατὰ τὴν προφητείαν· « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε [12], » διαῤῥήδην βοῶσαν, καὶ, « Βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε [13]. »

Ἀλλὰ τί ἄν τις εἰπὼν, ὦ θεία καὶ ἱερὰ κεφαλὴ, B περὶ τῶν ἱερῶν σου τουτωνὶ λόγων! οὗτοι καὶ γὰρ ἂν ἱεροὶ λέγοιντο λόγοι κυρίως, μᾶλλον δ' ἱεροὶ μὲν πάντες οἱ περὶ θείων τε καὶ ἱερῶν διεξιόντες ὡσαύτως πραγμάτων, οἱ δ' οὐχὶ ἱεροὶ κατ' ἐκείνους μόνον, ἀλλὰ καὶ ἱερῶν ἱεροὶ καλοῖντ' ἂν δικαίως, ὥσπερ ἅγιά τινα ἁγίων, καὶ ᾆσμα ᾀσμάτων, φησί τις τῶν ὑψηλῶν θεολόγων, ἐμπεριεκτικώτερα γὰρ καὶ κυριώτερα· τί γοῦν περὶ τῶν ἱερωτάτων σου τούτων ἂν εἴποιμεν λόγων; καὶ πῶς καθυπογράψομεν ἐκείνους τῷ λόγῳ; Ἢ τοῦτο καὶ περίεργον μὲν ἂν εἴη καὶ περιττόν πως πρός γε τῷ ἀδυνάτῳ, καὶ δὴ καὶ τοῦ σκοποῦ καὶ τῆς ὥρας ἔξω· πρὸς αὐτοὺς δ' ἐκείνους μᾶλλον, καὶ τὴν ἐκεῖθεν ἀναβλύζουσαν πηγὴν τῆς ἀθανασίας παραπέμψομεν τοὺς τὰ τοιαῦτα διψῶντας, ὅσον ἀνοίξωσι τὸ στόμα τῆς διανοίας ἐκεῖθεν ἑλκύσοντας, C ἢ κατὰ τὸν αὐτὸν εἰπεῖν θεολόγον αὖθις, ὅσον ἂν καθαρθῶσι φαντασθησομένους· καὶ ὅσον ἂν φαντασθῶσιν ἀγαπήσοντας, καὶ ὅσον ἂν ἀγαπήσωσιν αὖθις νοήσοντας, κἂν ἀγανακτῶσι τινὲς πάλιν τῇ θεότητι καὶ τῇ θεοποιῷ στενοχωρούμενοι χάριτι· ἡμεῖς δ' ἐκεῖνο μόνον τοῖς εἰρημένοις προσθήσομεν. Πολλῶν τινων καὶ μεγάλων κατὰ διαφόρους αἰτίας καὶ χρόνους Πνεύματι θείῳ περὶ τῶν τοιούτων ὑψηλῶς εἰπόντων καὶ φιλοσοφησάντων, καὶ τῶν μὲν τῷδε μέρει, τῶν δ' ἐκείνῳ, τῶν δέ τισι, τῶν δὲ πλείστοις ἑαυτοὺς δεδωκότων τῷ λόγῳ, τοῖς πᾶσι δ' ἑνός τινος μηδενὸς τῶν τε πρὸ ἡμῶν καὶ τῶν ἀρχαίων ἐπεξιόντος κατὰ ταυτὰ, μόνος οὑτοσὶν ἐξ ἁπάντων καὶ μετὰ πάντας, D τὰ πάντων οὕτω θαυμαστῶν εἰς ἓν συνειλοχὼς καθεωράθη, ἐκεῖνα λαμπρῶς τε καὶ μετὰ πολλῆς τῆς ἐπιστήμης καὶ τῆς ἐλευθερίας εἰς πλάτος ἐξειπὼν καὶ λογογραφήσας, καὶ προσέτι τὰ διὰ πείρας ὑπερφυῶς ἐγνωσμένα ἀκαταλλήλως συνάψας, καὶ οἱονεὶ διαλευκάνας καὶ ἀναπτύξας ἅπερ κεφαλαιωδῶς ἐκεῖνοι καὶ κατὰ σύνοψιν εἶπον. Καὶ τὰ μὲν οὐδεὶς ὁστισοῦν ἂν εἴπῃ τῶν πάντων μὴ τοῦ θείου Πνεύματος ἄντικρυς εἶναι λόγους, εἰ μὴ Πνεύματος τὸ παράπαν αὐτὸς ἄμοιρος εἴη, διὰ στομάτων ὑπερφυῶς ἀνθρωπίνων ῥηθέντας· τὰ δὲ νοῦν Χριστοῦ πεφυκέναι καὶ Πνεῦμα, καινῶς τε καὶ ὑπὲρ λόγον ἀνθρωπίνης διανοίας καὶ γλώττης ἄνευ λαλοῦντα,

[10] Matth. XI, 15. [11] Matth. XIX, 12 [12] Matth. XIII, 14. [13] ibid.

Digitized by Google

καὶ τὴν ἀκοὴν καταπλήττοντα, καὶ τὴν διάνοιαν ἐξιστάντα, ἀθρόον τῆς γῆς τε μετατιθέντα τὸν ἄνθρωπον, καὶ πάσχειν μέν τι καινὸν καὶ ἀνερμήνευτον πάθος ποιοῦντα, οὐκ εἰδέναι δ' ἀσφαλῶς ὅ τι πάσχει· ἢ καὶ εἰδέναι μὲν, οὐ πεφυκέναι δὲ φράζειν· καὶ τὸ καινότερον, οὐδ' ἀπαλλαγῆναι δυνάμενον τῆς ἱερᾶς κατοχῆς ἐκείνης καὶ θείας μανίας οὐδ' εὐχερῶς ἀποστῆναι τῆς ὁμιλίας καὶ θεωρίας ἐκείνων· μᾶλλον δὲ καὶ διαστάντα μικρὸν ὑπὸ τῆς τοῦ σώματος ἀνάγκης τὸν ἐκείνοις ἑαλωκότα, τῶν αὐτῶν αὖθις τάχιστα γίγνεσθαι μετὰ πολλῆς τινος τῆς ἐπιθυμίας, καὶ καινοῖς τισιν αὖθις ὡς ἐξ ἄλλης ἀρχῆς δοκεῖν ὁμιλεῖν, καὶ ὧν οὐδέπω πρὸς ὁμιλίαν τε καὶ γνῶσιν πρότερον ἧκε, καὶ ἀεὶ τὰ αὐτὰ περὶ τὰ αὐτὰ συμβαίνειν, καὶ κύκλον ἀδιεξιτήτως τινὰ στρέφειν, καὶ κόρον οὐδαμοῦ πεφηνέναι, καὶ τὴν ἐπιθυμίαν ἐπιτείνεσθαι καθ' ἑκάστην· καὶ χαίρειν μὲν καὶ διανίστασθαι τὴν ψυχὴν τῷ μήκει καὶ τῷ τόνῳ καὶ δρόμῳ τοῦ λόγου, ἀλγεῖν δ' ὡσανεὶ καὶ δυσχεραίνειν, ὅτι γε καὶ εἰς τέλος ἥκει ποτὲ τὰ τοιαῦτα, καὶ μὴ μᾶλλον ἀτέλεστά πως καὶ ἀέναα, καὶ αὐτῷ γε τῷ ποσῷ φημι καὶ τῷ μέτρῳ τυγχάνει, συνεκτεινόμενα τῷ τῆς ἐπιθυμίας αὐτῶν ἀκορέστῳ, τοσοῦτόν εἰσι. Καὶ τὰ μὲν τῶν θεοφόρων διδασκάλων ἐκεῖνα, τὰ μὲν τοῖς εἰσαγωγικοῖς εἰς θεωρίαν εἰσὶ κατάλληλα, τὰ δὲ τοῖς κατ' αὐτὴν τελείοις τε καὶ δοκίμοις· καὶ οὐκ ἂν εὕροις τὰ αὐτὰ πεφυκότα πρὸς πάντας, ἀλλὰ διῄρηνται μάλα καὶ λόγῳ καὶ νῷ καὶ ἁπλῶς γε τοῖς πᾶσι. Τὰ δὲ τοῦ φίλου τουτουῒ καὶ ὁμιλητοῦ καὶ συναγωνιστοῦ τῶν γενναίων ἐκείνων ὑψηλὰ μέν εἰσι τοῖς ὑψηλοῖς καὶ ἄνω βεβηκόσι καὶ τελείοις ὁμοῦ πάντα, ὡς μηδεμίαν ὑπερβολὴν καταλείπειν, οὕτω δ' αὖ τοῖς ἀτελέσι καὶ πρὸς θεωρίαν εἰσαγωγικοῖς κατάλληλα πάνθ' ὁμοῦ καὶ ξυμπεφυκότα, ὡς μηδὲ λέγειν ἐξεῖναι.

Καὶ τί χρὴ λέγειν, ἄνθρωπε τοῦ Θεοῦ! ὅπου γε καὶ πρακτικοὺς πάντας, καὶ τοὺς λόγου μετόχους, καὶ σοφοὺς καὶ ἰδιώτας, καὶ νέους καὶ γέροντας, καὶ πάντας ὁμοῦ χειρωσάμενος τούτοις ἔχεις; καὶ πᾶσι κατάλληλον σεαυτὸν ὑπερφυῶς τοῖς χρωμένοις παρέχεις, οὐ δογματίζων μόνον καὶ τὰ ὑπερφυῆ καὶ ἀπόῤῥητα ξυντιθεὶς ἐκεῖνα, ἀλλὰ καὶ τὸν ἠθικόν τε καὶ ἁπλούστερον λόγον, καὶ τὰς τῶν Γραφῶν ἐξηγήσεις ἐκ τῶν τοῦ Πνεύματος πηγῶν ἀεννάως προχέων, ὥσπερ τὸ μάννα φασὶν ἐκεῖνο τὸ ἱερὸν, καινῶς ἐν ἐρήμῳ πάλαι τὸν Ἰσραὴλ τρέφον, καὶ πᾶσι τὰ πάντα γιγνόμενον πρὸς τροφὴν, καὶ κατάλληλον καὶ ξυμπεφυκὸς ὂν ἑκάστῳ ἔν τε τῷ ἱσταμένῳ τῆς χρείας· ἐπειδὴ καὶ αὐτὸς τὸ ἀληθινὸν μάννα τὸν Χριστὸν ἔνδον ἀναβλύζον ἀεννάως ἔσχες ἐν τῇ καρδίᾳ, ἢ τό γε ἀληθέστερον εἰπεῖν, μᾶλλον ἔχεις, οὗ τύπος τις ἦν ἐκεῖνο τὸ μάννα καὶ σύμβολον· οὐδὲ γὰρ ἔχω τι πλέον καὶ φήσω, οὐδὲ μηχανή τίς γε πρόσεστιν, ὥστε καὶ τὴν ψυχὴν αὐτὴν ἐκείνην ἐμαυτοῦ τῷ λόγῳ καὶ τοῖς γράμμασιν ἂν ἐγχαράξαι, μετὰ τῶν ἰδίων αὐτῆς περὶ σὲ καὶ τὰ σὰ ταυτὶ παθῶν τε καὶ κινημάτων· εἶεν.

Τούτων δ' οὑτωσὶ προκεχωρηκότων, καὶ οὕτω μεγάλους τινὰς καὶ θαυμαστοὺς ὑπέρ τε τῆς ἱερᾶς ἡσυχίας ὁμοῦ καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας πρὸς τὸν ταύτης πολέμιον ἐκδεδωκότος τοῦ μεγάλου τοὺς λόγους, καὶ ὡς οὐδ' ἂν αὐτός ποτε προσεδόκησε, τί γίνεται; καὶ πῇ τὰ τοῦ καινοῦ καταλήγει τούτου πολέμου; Πάντων ὁ χρηστὸς ἀφέμενος Βαρλαὰμ, καὶ τοῦ πρὸς τοὺς ἄλλους ἑαυτὸν ἀποστήσας πολέμου, καὶ τοῦ λέγειν καὶ λογογραφεῖν κατ' ἐκείνων ὥσπερ δήπου καὶ πρόσθεν, ὅλος ἐξῆς κατὰ Γρηγορίου χωρεῖ, καὶ πρὸς αὐτὸν, ὡς τοῦ λόγου προστάτην γενναῖον, πᾶσαν ἀναιρεῖται τὴν μάχην· κἀπειδὴ κατὰ πρόσωπον μὲν ἐπιέναι καὶ βάλλειν οὐκ εἶχεν· Ὡς γὰρ βέλος ἰσχυροτέρῳ προσπεσὸν, φησὶν, ἀπεκρούσθη, καὶ ὡς κάλως ῥαγεὶς ὑπεχώρησε· τοιούτῳ καὶ γὰρ τῷ προστάτῃ τῆς εὐσεβείας ἐνέτυχε· τὰ δὲ τῆς μηχανῆς καὶ τοῦ δόλου χώραν οὐκέτι παρ' ἐκείνοις οὐδοτιοῦν εἶχεν αὐτῷ, πάλαι καλῶς ἐξεληλεγμένα, καὶ κατ' αὐτοῦ πάνθ' ὁμοῦ συστραφέντα, τοὺς ἐμοὺς καταλιπὼν Θεσσαλονικέας, καὶ τὸ πολιτικὸν καὶ ὁμόγνωμόν τε καὶ σύμπνουν καὶ τὴν ἔνστασιν, καὶ τὸν ὑπὲρ τοῦ καλοῦ καὶ τοῦ δικαίου, καὶ μάλιστα τὸν ὑπὲρ ἀρετῆς καὶ τῶν ἱερῶν ἐκείνων πτοηθεὶς ζῆλον, τὴν Κωνσταντίνου καὶ αὖθις καταλαμβάνει, τῇ τε φιλίᾳ θαῤῥῶν τοῦ προεστηκότος τηνικαῦτα τῆς τῶν πιστῶν κοινῆς Ἐκκλησίας, καὶ τῶν περὶ αὐτόν τισιν οὐκ ὀλίγοις, καὶ ὅτι μὴ καλῶς τε καὶ φιλίως εἶχον ἐκεῖνοι πάλαι πρὸς τοὺς καθ' ἡσυχίαν ἑαυτοῖς τε καὶ μόνῳ Θεῷ ζῶντας· ὑφ' ὧν φασι καὶ τὴν ἀρχὴν κατὰ τῶν τὰ θεῖα φιλοσοφούντων μοναστῶν τὸν κενὸν φιλόσοφον τουτονὶ κακῶς ἐρεθισθῆναι, διαφθονουμένων τῷ περιφανεῖ τῆς ἐν εὐτελείᾳ δόξης ἐκείνων, καὶ βουλομένων σὺν τοῖς ἄλλοις καὶ κόλακας καὶ προσκυνητὰς ἀγεννεῖς καὶ τούτους κεκτῆσθαι. Ἀλλ' οἷον δή με μικροῦ καὶ διέλαθε μεταξὺ τῶν ῥηθέντων κείμενον. Τρεῖς ἐνιαυτοὺς ὅλους ἐν Θεσσαλονίκῃ διατετριφὼς ὁ σοφὸς ἤδη, καθ' οὓς ὑπὲρ τῆς κατ' εὐσέβειαν ἀληθείας τὰ προῤῥηθέντα καὶ λέγων καὶ γράφων ἐσπούδαζε, τὸ πλεῖστον κἀν τούτοις ἦν τῷ συντρόφῳ πένθει καὶ τῇ μονώσει νέμων καὶ ἡσυχίᾳ, καὶ καθ' ἑαυτὸν, ὡς εἰώθει, τῷ Θεῷ συγγινόμενος· καὶ ἐπειδὴ τὴν φίλην ἐρημίαν οὐκ εἶχε, καὶ τὴν ἐξ ἀνθρώπων ἀνεπιτήδευτον ἀναχώρησιν, οἰκίσκον ἑαυτῷ κατασκευάσας τὸν πάντων ἐνδότατον, καὶ οἷον καὶ κτύποις καὶ θορύβοις καὶ πάσαις ὁμιλίαις ἀνεπιχείρητον εἶναι, τῶν πάντων ἀναχωρῶν ἦν ἐκεῖ, καὶ τὰ τῆς ἐρημίας νύκτωρ καὶ μεθ' ἡμέραν καθ' ὅσον οἷός τε ἦν ἑαυτῷ μνηστευόμενος.

Καθῆστο μὲν οὖν ἡσυχάζων ὁ μέγας ἐκεῖ, καὶ τῷ Θεῷ μυστικῶς προσευχόμενος· οἱ δ' ὁμιληταὶ καὶ συνασκηταὶ τῶν τοιούτων παρά γε τῷ θαυμαστῷ Ἰσιδώρῳ παννύχιοι πάντες ἀγρυπνοῦντές τε καὶ ψάλλοντες ἦσαν ὁμοῦ, καὶ Ἀντωνίῳ τῷ κοινῷ φημι καθηγητῇ καὶ πατρὶ τὰ εἰκότα πανηγυρίζοντες· ἑσπέρα καὶ γὰρ ἦν ἐκείνη τῆς νομιζομένης αὐτῷ δι' ἔτους κοινῆς πανηγύρεως· ἧς οὐδ' αὐτὸς οὗτος ὁ μέγας ἀπῆν, ὢ τοῦ θαύματος! ἀλλὰ καὶ παρῆν λαμπρῶς μάλα μετὰ τοῦ σχήματος, καὶ συνεορτάζων καὶ συνεργῶν, καὶ διαιτῶν δικαίως ἀμφοτέροις τοῖς μέρεσιν. Εὐχομένῳ καὶ γὰρ ἐκεῖ τῷ Γρηγορίῳ καθ'

Digitized by Google

ἡσυχίαν, ὡς ἔφην, φῶς μὲν ἀθρόον θεῖον ἐπιδημεῖ καὶ περιλάμπει συνήθως, τῷ δὲ μεγάλῳ τούτῳ φωτὶ καὶ Ἀντώνιος ὁ μέγας ἄρα συνῆν· ὃς καὶ τῷ Γρηγορίῳ κατ' ὀφθαλμοὺς παραστάς, Καλὴ μέν, ἔλεγε, καὶ ἡ καθ' ἡσυχίαν τοῦ νοῦ προσευχή, τῆς ψυχῆς τε τὸ ὀπτικὸν ἀποσμήχουσα, καὶ τῆς τῶν ἀποῤῥήτων ἀποκαλύψεως ἀξιοῦσα καὶ θέας, ἀναγκαῖον δ' ἐν καιρῷ καὶ τὸ συνεῖναι καὶ κοινωνεῖν εὐχῆς τε καὶ ψαλμῳδίας, καὶ τῶν ἄλλων πρὸς τούτοις φημὶ τῶν πνευματικῶν τοῖς ὁμοτρόποις τῶν ἀδελφῶν· δεῖ σε τοιγαροῦν καὶ νῦν πρὸς ἐκείνους ἀγρυπνοῦντάς τε καὶ ψάλλοντας ἀπελθεῖν, τῆς σῆς ἐπιστασίας δεομένους ὡς μάλιστα. Καὶ ὁ μὲν ταῦτα τὸν φίλον διδάξας ἀπῄει πρὸς ἑαυτόν· ὁ δὲ αὐτίκα τῆς ἐντολῆς πληρωτὴς ἦν· καὶ τὴν ἡσυχίαν καὶ τὸν οἰκίσκον ἀπολιπών, χαίρων τοῖς φίλοις μάλ' ἐφίσταται χαίρουσι, καὶ τὴν ὅλην ἱερὰν ἐκείνην νύκτα καὶ τὴν τελετὴν σὺν ἐκείνοις ἄγρυπνος ἐκτελεῖ.

Δέδοκτο τῷ σοφῷ Γρηγορίῳ, καὶ τοῖς κατὰ τὸν ἱερὸν Ἄθω Πατράσιν, ὅσοι τε τὸν ἡσύχιον καθ' ἑαυτοὺς μετίασι βίον, καὶ ὅσοι φροντιστηρίων τῶν ἐκκρίτων ἦσαν προεστηκότες, καὶ δὴ καὶ τῷ κοινῷ καθηγεμόνι τοῦ ὄρους, τὰ τῶν ὑπὲρ εὐσεβείας ἀγώνων καὶ τῆς σπουδῆς τῆς ἰδίας κοινώσασθαι, Παῦλον ἐκμιμουμένῳ τὸν μέγαν καλῶς δήπουθεν, τοῖς πρὸ αὐτοῦ ἀποστόλοις κοινουμένῳ τὸ κατ' αὐτὸν Εὐαγγέλιον, « Μήπως εἰς κενὸν τρέχω, φησίν, ἢ ἔδραμον[16], » εἴ γε καὶ τοιοῦτό τι, φησίν, ἦν ὁ σοφὸς θεολόγος ἐν τοῖς ὑπ' ἐκείνου λεγομένοις ἢ πραττομένοις. Ἄνεισι τοιγαροῦν, μεθ' ἑαυτοῦ καὶ τὸν θεῖον ἔχων Ἰσίδωρον· τὰ τῶν λόγων κοινοῦται, τὸ ὑπὲρ ἡσυχίας αὐτοῦ καὶ θείας θεωρίας ὑποδείκνυσι φρόνημα καὶ τὴν σπουδήν, τῶν πολεμίων τῆς ἐρεσχελίας καὶ βλασφημίας διέξεισι, καὶ οἷς ἐκείνοις αὐτὸς ἀντιπαρετάξατο· τὴν ἐπὶ τούτοις αἰτεῖ κοινὴν αὐτῶν ψῆφον καὶ τὴν ἀπόφασιν. Οἱ δὲ ἐπεὶ καὶ τῆς εὐσεβείας ἰσχυρὸν αὐτὸν εὗρον ἀγωνιστήν, καίτοι γε μηδὲ πρότερον ἀγνοοῦντες, καὶ συναγωνιστὴν τῶν ἰδίων αὐτῶν, καὶ ὑπὲρ τῶν αὐτῶν τε καὶ κατὰ τῶν αὐτῶν κατὰ τὸν μέγαν ἐκεῖνον ἱστάμενον, καὶ ἐπαινοῦσι, καὶ συμψηφίζονται, καὶ κυροῦσι τὰ ἐκείνου καὶ λόγοις καὶ γράμμασιν· οἷς δὴ καὶ ἡμεῖς τότε συνόντες, κἂν τῷ χορῷ τῶν πρεσβυτέρων ἔτι τελοῦντες, καὶ ψυχῇ καὶ χειρὶ καὶ λόγοις καὶ γράμμασι, καὶ πᾶσιν ἁπλῶς οἷς εἴχομεν ἐκείνοις συνείπομεν.

Κἀκεῖνο δεῖ τοῖς εἰρημένοις προσθεῖναι· νόσῳ βαρείᾳ πρὸ πολλοῦ κάτοχος ἡ καταλειφθεῖσα τῶν ἀδελφῶν Θεοδότη τυγχάνουσα, ἡ μὲν ὅσον οὔπω τὸ σῶμα καταλιπεῖν ἤδη καὶ πρὸς Θεὸν ἀπιέναι προσδόκιμος ἦν· ἀπῄει δ' ὁ μέγας ἐς Ἄθω, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν· οἱ δὲ μαθηταὶ προσιόντες καὶ φίλοι περὶ τοῦ τέλους καὶ τῆς ἐκφορᾶς ἐκείνης ἠρώτων, ὅπως ἂν κατ' ἐκείνου δηλαδὴ γνώμην τὸ κατ' ἐκείνην διάθωνται, ἐπειδή γε καὶ πᾶσαν εἶναι ἀνάγκην ἐκεῖνον ἀποδημεῖν· ἅμα δὲ καὶ τὴν κειμένην ὡς ἔχει λόγοις ἠξίουν πρὸ τῆς ἐξόδου παραμυθήσα- A σθαι· βαρύτατα καὶ γὰρ ὡς εἰκὸς πρὸς ταύτην ἕξειν ἐκείνην, μὴ προσορᾷν ἔχουσαν τὸν ἀδελφὸν καὶ πατέρα, μηδὲ προσλαλεῖν τὰ τελευταῖα καὶ ἥδιστα, πρὸς ταῖς ἐσχάταις μετ' ὀλίγον ἂν γενομένην ἀναπνοαῖς. Ὁ δὲ Πνεύματι θείῳ τὸ μέλλον ἐναργῶς προορῶν, Ἀλλ' οὐ χρεία γε τῶν τοιούτων, μάλα θαῤῥούντως πρὸς ἐκείνους φησίν· ἐλευσόμεθα καὶ γὰρ ἡμεῖς Θεοῦ βουλομένου καὶ πρὸ τῆς αὐτῆς τελευτῆς. Καὶ ὁ μὲν εἶπε· τὸ δὲ καὶ τετελεσμένον ἦν ὑπερφυῶς ἄγαν καὶ θαυμαστῶς· ἔτι καὶ γὰρ ἀποδημοῦντος ἐκείνου, ἑσπέρα μὲν ἦν καθ' ἣν δήπου καὶ τὰ τῆς ἱερᾶς μεταστάσεως ἡμῖν τῇ Θεομήτορι τελεῖν ἔθος· ἡ δὲ Θεοδότη πρὸς τὴν ἀναγκαίαν ἐκδημίαν ἰοῦσα, τὴν παρουσίαν καὶ τὴν ἐπίσκεψιν τοῦ πατρὸς ἐζήτει· ὡς δ' ἤκουσεν ἐκεῖνον ἀποδημοῦντα, τιτρώ- B σκεται μὲν τὴν ψυχήν, καὶ ὡς ἀναξίαν ἑαυτὴν ταλανίζει τῆς ἐσχάτης ἐκείνου θέας καὶ ὁμιλίας· σιωπᾷ δ' ἐξ ἐκείνου τὸ παράπαν καὶ ἠρεμεῖ, καθαπερεὶ στραφεῖσα πρὸς ἑαυτήν. Καὶ οἱ μὲν παρόντες πρὸς τὴν ἐκφορὰν καὶ τὴν ταφὴν τοῦ σώματος πάντες ἦσαν ὁρῶντες, ὡς ἀπολιπούσης μετὰ μικρὸν αὐτὸ τῆς ψυχῆς, καὶ τὰ πρὸς κηδείαν ηὐτρέπιζον· ἡ δέ, ὢ τοῦ καινοῦ θαύματος! καὶ εἰς ὀγδόην ἐξ ἐκείνου γε παρατείνει, ἄτροφος, ἄϋπνος, ἀνώδυνος, ἀνομίλητος, ἀναπνοῇ μόνῃ βραχείᾳ καὶ ὀφθαλμοῖς πιστουμένη τὸ ζῆν, καὶ τὴν παρουσίαν κατὰ τὴν πρόῤῥησιν ἐκδεχομένη τοῦ ἀδελφοῦ. Καὶ δῆλον ἐκεῖθεν· τῆς γὰρ ὀγδόης πρὸς ἑσπέραν ἰούσης, παραγίνεται μὲν ἐκ τῆς ἀποδημίας ἐκεῖνος, παρίσταται δὲ C τῇ κειμένῃ καὶ προσλαλεῖ· ἡ δ' αἰσθομένη, καὶ τοὺς ὀφθαλμοὺς ἅμα τῇ ψυχῇ πρὸς ἐκεῖνον διάρασα, ἐπεὶ λέγειν οὐκ εἶχεν, οἷς εἶχεν ἀφοσιοῦται τὸν πόθον· τὰς γὰρ νεκρὰς ἤδη χεῖρας ἐκείνας, καθ' ὅσον εἶχε κινήσασα, καὶ πρὸς Θεὸν οἷον καὶ τὴν ὀφειλομένην εὐχαριστίαν ἐπάρασα, καί, Δόξα σοι, Κύριε, ψυχῇ φθεγξαμένη καὶ νῷ, μετὰ μικρὸν πρὸς Θεὸν αὑτὴν εὐκλεῶς παραπέμπει, ὃς δήπου καὶ τὰ τοιαῦτα θαυμαστῶς οὕτω καὶ ὑπὲρ φύσιν εἴργασται, τοῦ μὲν τὴν θαυμαστὴν ὑπὲρ αὐτῆς πρόῤῥησιν, τῆς δὲ τὴν καλλίστην ἀποπληρῶν ἔφεσιν, καὶ ἀμφοτέρους ἅμα τιμῶν· ἧς δὴ καὶ τῆς ψυχῆς ἐξιούσης, τῷ θείῳ φωτὶ τὰ πρόσωπα θαυμαστῶς περιλάμπεται, τὴν ἐκείνης ἱεράν τε καὶ ἀπόῤῥητον διαζωγραφοῦντα καὶ τοῖς ἔξω λαμπρότητα· καὶ τὸν νεκρὸν δ' ἐνφέροντες ἤδη, D καὶ συνήθως τὸν ἐπιτάφιον ᾄδοντες, τηλικαύτης τῆς εὐωδίας τῶν τε παρόντων τινές, καὶ αὐτὸς δ' ἐκεῖνος ὁ μέγας ᾔσθοντο, ὡς μηδ' ἑρμηνεύειν ἐκείνην διὰ τὸ μέγεθος δύνασθαι· οὐ μὴν ἀλλὰ καὶ πολλά τινα πρὸς τούτοις ὑπὲρ αὐτῆς λόγου τε καὶ συγγραφῆς ἄξια παρὰ πολλοῖς φέρεται, ἃ καὶ διὰ τὸ τοῦ λόγου μῆκος ἡμῖν παραλέλειπται.

Γρηγόριος μὲν οὖν ὁ μέγας ἐν ἐκείνοις ὡς ἔθος ἦν, ἡσυχίᾳ φημὶ καὶ νήψει καὶ προσευχῇ, καὶ τῷ ταῖς θείαις ὅσαι ὧραι καθ' ἑαυτὸν προσέχειν ἐμφάσεσιν. Ὁ δὲ τῶν τοιούτων πολέμιος Βαρλαὰμ τὴν Κωνσταντίνου, καθάπερ ἔφην, καταλαβών· ἣν ἔγωγε καὶ μεγέθους καὶ κάλλους καὶ πλούτου καὶ σοφίας

[16] Galat. II, 3.

καὶ τῶν τοιούτων, οὐδ' ὅσον ἂν εἴποι τις ἐπαινῶν, A ἓν τοῦτο καὶ μόνον ἐπαινεῖν οὐκ ἔχω, τὸ καθαπερεὶ τισι πεττοῖς τε καὶ κύβοις, ἢ κατὰ τὸν σοφὸν εἰπεῖν θεολόγον, ὥσπερ τοὺς ἱππικοὺς καὶ τὰ θέατρα, οὕτω δὴ καὶ τὰ θεῖα παίζειν, καὶ κατορχεῖσθαι τῶν θεατῶν, ἢ ἐξορχεῖσθαι τὰ θεῖα, καὶ τὰ μυστικὰ θεατρίζειν κακῶς ὡς ἐν σκηνῇ τε δράματι· ταύτην τοιγαροῦν ἐκεῖνος μετὰ τοῦ προσχήματος καὶ τῆς ὑποικουρούσης δυσσεβείας καταλαβὼν, καὶ τὰ τῶν ἔξω λόγων καὶ τῆς φιλοσοφίας τοῖς περὶ ταῦτα κεχηνόσιν ἁπλῶς καθάπερ εἴ τι δέλεαρ προβαλόμενος, κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, πᾶσαν ἐν βραχεῖ ταύτην ὑποποιεῖται, καὶ κακῶς ἑαυτῷ ταὐτὰ φρονεῖν ἀναπείθει, καὶ ταῖς σφετέραις αὐτοῦ καταφεῖ βλασφημίαις τε καὶ τοῖς δόγμασι, τὸν Βεελζεβοὺλ B ἀντεισαγαγὼν τῆς τοῦ Πνεύματος χάριτος ἄντικρυς καὶ αὐτὸς, καθάπερ Ἰουδαῖοι κατὰ Χριστοῦ πρότερον, καὶ πλάνους ἀποκαλῶν τοὺς θεοειδεῖς, αἵρεσίν τε πονηρὰν τοῖς ἁγίοις ἐπικαλῶν, καὶ βλασφήμους καὶ ἀπατεῶνας τινὰς· ὀνομάζων καὶ κακοδόξους, τὸ τῆς κακοδοξίας πονηρὸν ὄντως ταμεῖον, τὸ τῆς βλασφημίας καὶ τῆς ἀπάτης ἀκριβὲς ὄργανον.

Ταῦτα καὶ τοῖς περὶ τὸν τῆς Ἐκκλησίας προκαθήμενον ὑποψιθυρίσας, κατὰ τὸν ἀρχαῖον ἐκεῖνον ὄφιν ἐν παραδείσῳ, καὶ πάλαι διεφθαρμένοις, καθὰ δήπου καὶ φθάσας ἔφην, καὶ δι' ἐκείνων, ὡς διά τινων ἐπιτηδείων ὀργάνων ἢ μελῶν, καὶ τὴν κεφαλὴν καθελὼν, ὥσπερ δὴ καὶ διὰ τῆς γυναικὸς τὸν Ἀδὰμ ἐκεῖνος τὸ πρότερον, μικροῦ καὶ τὴν κατ' εὐσέβειαν C ἀκριβῆ λατρείαν ἐξομόσασθαι πείθει πάντας, καὶ τῶν ταύτης ἀκριβεστάτων λατρευτῶν καὶ κηρύκων ἐρήμην καταψηφίσασθαι. Ἀλλὰ τὸ μὲν ἐπέχει Θεὸς ἄνωθεν, ὁ καὶ τοὺς πειρασμοὺς, οἷς αὐτὸς οἶδε λόγοις σοφίας, συμφερόντως κατὰ τῶν ἰδίων αὐτοῦ συγχωρῶν, καὶ τὸ μὲν ἀφιεὶς, τὸ δὲ κατέχων, ἵνα μὴ τῷ ψεύδει δῷ κατὰ τῆς ἀληθείας εἰς τέλος, οἶμαι, καυχήσασθαι. Γράμματα δ' ἐκεῖθεν τοῦ τῆς κοινῆς Ἐκκλησίας προεστηκότος εἰς Θεσσαλονίκην φοιτᾷ, Γρηγόριόν τε τὸν ἱερὸν καὶ τοὺς σὺν αὐτῷ πρὸς τὴν Ἐκκλησίαν ὡς ὑπευθύνους ἤδη μετακαλούμενα. Καὶ ὁ μὲν ἄνεισι μετὰ τῆς θεολόγου γλώττης εὐθὺς, οὐδὲν ἀναδυεὶς οὐδ' ἀναβαλλόμενος, Ἰσίδωρόν τε καὶ Μάρκον τοὺς κορυφαίους τῶν φίλων καὶ τὸν καλὸν μεθ' ἑαυτοῦ Δωρόθεον ἐπαγόμενος· ἐπεὶ δ' D ἐπέβη τῆς Κωνσταντίνου, τὸ σκότος ἦν εὐθὺς ὁρᾷν ἐλαυνόμενον τῷ φωτὶ, καὶ τὸν ἐπικρατοῦντα τῆς δυσσεβείας νυκτερινὸν πάγον τῇ προσβολῇ τῶν τοῦ νοητοῦ ἡλίου ἀκτίνων λαμπρῶς ὑποτηκόμενον καὶ διαλυόμενον, καὶ τὰ ψυχοφθόρα θηρία, κατὰ τὸν θεοφόρον φάναι Δαβὶδ, ἅμα τῇ ἀνατολῇ τούτου πρὸς ἑαυτὰ καὶ τὰς οἰκείας καταδύσεις καὶ τὸ φίλον σκότος ὑποχωροῦντα καὶ συστελλόμενα· πάντας καὶ γὰρ ἤπερ ἔφην σχεδὸν, πλὴν ἑνός τινος ἢ δυοῖν τῶν ἀρίστων, τοὺς μὲν προκατειλημμένους, τοὺς δὲ κατὰ μικρὸν πειθομένους, τοὺς δ' ἀρχομένους ἤδη θορυβεῖσθαι καὶ περιτρέπεσθαι περὶ τὴν πρώτην ἕδραν· καὶ τὴν ἀλήθειαν εὑρηκὼς τῷ ἐν αὐτῷ φθεγγομένῳ τῆς ἀληθείας ἡγεμονικῷ στηρίζει καὶ ὁδηγεῖ Πνεύματι· καὶ γίνεται πάλιν τὰ σκολιὰ εἰς εὐθεῖα, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας, καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα τὸ ἀγαθὸν, κατὰ τὸν θεῖον Δαβὶδ καὶ αὖθις εἰπεῖν, ὁδηγεῖ πάντας διὰ τῆς ἐκείνου χειραγωγίας τε καὶ τῆς γλώττης ἐν γῇ εὐθείᾳ, ὅπου οὐκ ἔνι λίθος καὶ πρόσκομμα, τὸ τῆς θείας φάναι καὶ πάλιν Γραφῆς, οὐκ ὄφις δάκνων ἐπὶ ὁδοῦ, οὐδὲ δῆγμα πονηρὸν καὶ μελανία θανάτου πρόξενος· καὶ σὺν τούτοις ἢ καὶ πρὸ τούτων, τὸν αὐτὸν ἐκεῖθεν μετακαλεσάμενον πατριάρχην, καὶ δὴ καὶ τὴν σὺν αὐτῷ τὸ τηνικαῦτα παροῦσαν κοινὴν τῶν ἀρχιερέων ὁμήγυριν, οἳ καὶ πρὶν μὲν εἰς λόγους ἐντελεστέρους ἐλθεῖν τῷ μεγάλῳ, καὶ τὴν τῶν προκειμένων ἐξέτασιν, ἐκ πρώτης, ὅ φασιν, ἀφετηρίας καὶ ὁμιλίας, οὕτως ἐξεπλάγησαν τὴν ἐκείνου φωνὴν καὶ τὸν λόγον, ὡς μηδὲ λέγειν ἐξεῖναι. Ἐπεὶ δὲ καὶ πρὸς τὸ πέλαγος κατὰ μικρὸν ἀφῆκαν τῶν αὐτοῦ λόγων, ἡμέρας ὅλας ὁμοῦ διωμιληκότες καὶ νύκτας, τῶν τε πρὸς Βαρλαὰμ καὶ τὰς ἐκείνου κενοφωνίας διακούσαντες θαυμαστῶν λόγων, καὶ τὰς ἐκείνου φωνὰς ἔν τε συγγράμμασι καὶ λόγοις, ὁμοίως Θεοῦ φωναὶ ἄντικρυς εὑρηκότες, καὶ νοῦν ἱερὸν, μᾶλλον δὲ νοῦν Χριστοῦ, κατὰ τὸν θεσπέσιον εἰπεῖν Παῦλον, καὶ στόμα θεολογίας, καὶ δογμάτων ἱερῶν, καὶ δόξης ὀρθῆς στάθμην, καὶ πᾶν ὅ τι τις ἂν εἴποι τῶν τιμίων καὶ ὑψηλῶν, διδάσκαλον αὐτὸν εὐσεβείας διαῤῥήδην ὁμοῦ πάντες ἀνωμολόγουν, καὶ συνῳδὸν καὶ ὁμογνώμονα τῶν τῆς Ἐκκλησίας κοινῶν διδασκάλων, καὶ γλῶτταν κοινὴν τῆς ἐκείνων ὁμολογίας, καὶ καθαιρέτην τῆς πλάνης· καὶ χάριτας αὐτῷ μακρὰς ἔλεγεν ὀφλεῖν ὁ κοινὸς τῆς κοινῆς Ἐκκλησίας προστάτης, ὅτι τῆς Βαρλαὰμ πλάνης καὶ τῆς ἀπάτης τοῦ ψεύδους αὐτόν τε καὶ τοὺς περὶ αὐτὸν ἀπήλλαξε διὰ τῶν αὐτοῦ θαυμαστῶν λόγων.

Καὶ ταῦτα μὲν ὁ τῆς Ἐκκλησίας καθηγεμὼν τηνικαῦτα σύν γε τοῖς περὶ αὐτὸν ἀρχιερεῦσιν, ὃ δὴ καὶ φθάσας εἰρήκειν· τὸ λογιζόμενον δηλαδὴ τῆς ψυχῆς ὑγιὰς περιφέρων ἔτι, καὶ μήπω παρατραπεὶς ὑπὸ τοῦ κάκιστ' ἀπολουμένου φθόνου τε καὶ τῆς δυσσεβείας. Ἐπεὶ δὲ καὶ σύνοδον κοινὴν ἔδει τῆς Ἐκκλησίας τῆς καθόλου γενέσθαι, ἵνα καὶ ὁ Θεὸς ἐν Ἐκκλησίᾳ πολλῇ καὶ λαῷ βαρεῖ δοξασθῇ, κατὰ τὸν θεῖον φάναι Δαβὶδ, καὶ τὸν οἰκεῖον αὖθις κατὰ τὸν ἑαυτοῦ λόγον ἀντιδοξάσῃ θεράποντα· « Τοὺς δοξάζοντας καὶ γάρ με, φησὶν ἐκεῖνος, δοξάσω· οἱ δὲ ἐξουθενοῦντές με ἀτιμασθήσονται· » καὶ πρὸς τούτοις ἵνα ἐκ μέσου τὸ τῆς πλάνης μετ' ἤχου μνημόσυνον γένηται, καὶ τὸν λεγεῶνα τῶν πονηρῶν πνευμάτων μετὰ τῆς ἀγέλης τῶν χοίρων οἱ μεγάλοι τοῦ Πνεύματος ὑπηρέται τῇ θαλάττῃ καὶ τῷ τῆς ἀπωλείας βυθῷ παραπέμψωσι, γίνεται δὴ καὶ τοῦτο· καὶ ἡ κυρία τό γε νῦν εἶναι τέως ὁρίζεται, προθεσμίαν λαβοῦσα τὴν τοῦ θαυμαστοῦ βασιλέως ἐπάνοδον· ἔδει γὰρ, ἔδει μηδ' ἐκεῖνον ἀπεῖναι τῆς τελετῆς καὶ τοῦ μυστηρίου· οὕτω καὶ γὰρ ἐγὼ καλῶ τὰ κατὰ τὴν ἱερὰν ἐκείνην σύνοδον μετὰ τοῦ Πνεύματος ὑπὲρ τοῦ Πνεύματος πεπραγμένα· ἀλλὰ καὶ παρεῖναι μετὰ τῆς θείας καὶ βασιλικῆς ψυχῆς τε καὶ γλώττης, καὶ κηρύξαι θαυμαστῶς καὶ διδάξαι, καὶ αὐτὸς δι' ἑαυτοῦ καὶ τὴν

Digitized by Google

δυσσέβειαν ἐξελέγξαι, καὶ τὸν τῆς εὐσεβείας ἄριστα βεβαιῶσαι λόγον. Καὶ οὕτω μετὰ τῆς μεγάλης καὶ ὑπερφυοῦς ἐκείνης ὁμολογίας τε καὶ θεολογίας ὁ θαυμαστὸς Ἀνδρόνικος τὸν ἐνταῦθα καλῶς μεταλλάξαι βίον, τὴν γῆν καταλιπὼν, καὶ πρὸς Θεὸν μεταβάς· καὶ τοῦτό γε ἀντὶ πάσης καὶ ὑπὲρ πᾶσαν τὴν ἐπίγειον βασιλείαν εἴπερ τις τῶν πρὸ αὐτοῦ βασιλέων ἐντεῦθεν λαβών. Ἀλλὰ μήπω τοῦτο· δεῖ γὰρ μηδ' ἐκεῖνα τῷ λόγῳ παραλιπεῖν, τηλικαῦτά τε ὄντα, καὶ τῶν εἰρημένων μεταξὺ κείμενα.

Ἀνῄει μὲν ἐκ Θεσσαλονίκης, καθὰ δὴ καὶ φθάσας ἔφην, σὺν τοῖς περὶ αὐτὸν ὁ θεῖος Γρηγόριος εἰς τὴν τῶν πόλεων βασιλεύουσαν· Θρᾴκης δ' ἐπιβεβηκὼς ἤδη, καὶ ἐν Ὀδρυσσοῖς αὐτοῦ που καὶ Ὀρεστιάδι γενόμενος, πάρεργον ὡσανεὶ τῆς ὁδοῦ καὶ τοῦ προκειμένου ποιεῖται καὶ τὸ τὸν ἐμὸν Δαβὶδ καὶ τὴν ἐν αὐτῷ χάριν μετὰ τῆς θαυμαστῆς σοφίας τε καὶ τῆς γλώττης μετακαλέσασθαι, κοινωνὸν ὄντα πάλαι καὶ ἀσκήσεως καὶ λόγων καὶ τρόπων καὶ γνώμης, καὶ τῶν φίλων αὐτῷ συγκατειλεγμένον τοῖς πρώτοις. Γράφει τοιγαροῦν καὶ μετακαλεῖται πρὸς ἑαυτὸν καὶ τὸν ἀγῶνα τὸν ἄνδρα, μεταξὺ Θρᾴκης τε καὶ Σκυθῶν ἐν ὄρεσί που καθ' ἡσυχίαν σκηνούμενον· ἔνθα δὴ καὶ Γρηγόριος ὁ θαυμαστὸς ἐκεῖνος ἐν ἡσυχίᾳ μετὰ τὴν ἀπὸ Σιναίου μεταβὰς κάθοδον, θείας τε φιλοσοφίας ἐκεῖ συνίστησι φροντιστήριον, καὶ τὴν ἐκ Σινᾶ προσγενομένην αὐτῷ προσηγορίαν ἐξ ἑαυτοῦ τε καὶ δι' αὐτοῦ τῷ χώρῳ καὶ τῷ φροντιστηρίῳ δίδωσιν. Ἀλλ' ἐκεῖνος καὶ τὰ γράμματα τοῦ μεγάλου φθάνει, μᾶλλον δὲ Θεὸς αὐτὸν ἄνωθεν ἐξάγει φθάσας τῆς ἐρημίας καὶ τῆς καλύβης, καὶ τῷ γενναίῳ τῆς εὐσεβείας ἀγωνιστῇ τὸν καλὸν συναγωνιστήν τε καὶ ὑπασπιστὴν ὀξέως παρ' ἐλπίδα συνίστησι· τρίτη καὶ γὰρ ἦν εἰσιόντι Γρηγορίῳ τὴν Κωνσταντίνου, κἀκεῖνος εὐθὺς ἐκ τοῦ ὄρους παρῆν, ἡδονὴν ὑπερφυᾶ τινα καὶ θαυμαστὴν ἐνθεὶς τῇ τοῦ διδασκάλου ψυχῇ, καὶ οἵαν οὐκ ἄν τις ἐξείποι ῥᾳδίως, καὶ τῶν τῆς θείας φιλοσοφίας κοινωνῶν τε καὶ σπουδαστῶν ἐκείνῳ συγκατιόντων· ὑποψία καὶ γάρ τις ἐφόδου βαρβαρικῆς τῆς μηδὲ τὴν ἀρχὴν οὔσης αὐτοὺς ἐκεῖθεν ἐξήλασεν· οὕτω θαυμαστῶς τῆς θείας προνοίας, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν, τὰ τῆς αὐτῶν παρουσίας ἀναγκαίας οὔσης ἄνωθεν οἰκονομησάσης.

Ἐκείνων τοιγαροῦν κατιόντων ἐκεῖθεν, καὶ Διονύσιος σὺν αὐτοῖς ἦν ὁ φίλος· τῆς μὲν βασιλευούσης ταυτησὶ πάλαι πολίτης καὶ τῶν εὐπατριδῶν, ἡσυχίας δ' ἐραστὴς καὶ τῆς κατὰ Χριστὸν φιλοσοφίας εἴπερ τις, δι' ἣν ἄρα καὶ τῆς πατρίδος παρὰ πᾶσαν τὴν ζωὴν ἄποικος διαγέγονὼς, ἐν ἐρήμοις καὶ ὄρεσι διατρίβων ἦν, καὶ τὰ πλεῖστα τῷ χρηστῷ Δαβὶδ ἐκεῖ συγγινόμενος. Τούτῳ καταλαβόντι, καθάπερ ἔφην, τὴν Κωνσταντίνου σὺν τοῖς λοιποῖς, καὶ μήπω μὲν εἰς ὄψιν ἐλθόντι τῷ σοφῷ Γρηγορίῳ· οὐδὲ γὰρ οὐδὲ πρότερον ὁραθεὶς ἔτυχεν ὅλως· παρὰ δὲ τοῖς ἑταίροις σύν γε τοῖς ἄλλοις ἐνταυθοῖ καταλύσαντι, ὄψις εὐθὺς ὑπνοῦντι κατὰ τὴν πρώτην γε τῶν νυκτῶν τοιάδε παρίσταται. Ἀπῄειμεν εἰς τὸν ἐν Βλαχέρναις τῆς Θεομήτορος θεῖον νεὼν, ὁ χρηστὸς φησὶ Διονύσιος, ὁμοῦ προσκυνήσοντες πάντες, καὶ τὸν ἱερὸν δηλαδὴ Γρηγόριον ἔχοντες μέσον ἡμῶν· ἐπεὶ δὲ καὶ τὸν νεὼν εἰσιόντες μετὰ βραχὺ, καὶ προσκυνήσαντες ὡς ἔθος, ἅμα πρὸ τῶν τοῦ θείου ἀδύτου θυρῶν ἔστημεν, ἄνδρας τινὰς λαμπροὺς ὁμοῦ καὶ τὴν ὄψιν καὶ τὴν στολὴν ἐδόκουν ἐξιόντας ἐκεῖθεν ὁρᾷν. Οἳ καὶ στολήν τινα λαμπρὰν ἐνδύσαντες τὸν Γρηγόριον, καὶ ῥάβδον ὁμοίαν αὐτῷ ἐγχειρίζουσιν, ἣν ἐκεῖνος λαβὼν ἐν χεροῖν καὶ τὸν νεὼν πάντα περιιὼν, καὶ ἡμῶν ἑπομένων πάντων, ἀνθρωπίσκων ἐδόκει τι σμῆνος ἐλαύνειν ἐκεῖθεν αἰσχρὰν ὁμοῦ πάντων κεκτημένων τὴν ὄψιν καὶ μέλαιναν. Εἶτ' ἐκεῖθεν ἐπανιὼν, τῶν αὐτῶν ἐδόκει καὶ πάλιν ἔχεσθαι, εἴ που καί τινες ἔτυχον ἔνδον σκότει καὶ γωνίᾳ παραδύσαντες ἑαυτοὺς, κἀκείνους ἀνιχνεύων μετὰ πολλῆς τῆς σπουδῆς, καὶ τῶν ἱερῶν ἀπελαύνων ὡσαύτως καὶ πόῤῥω τιθείς. Οἱ δ' ἐξιόντες ἐκεῖθεν, ἐπεὶ μηδ' ἀντιβλέπειν μηδὲ ἵστασθαι τὸ παράπαν ἐδύναντο, φεύγοντες ἠπείλουν ὑπ' ἀπορίας, ὡς ἀμυνοῦνται δηλαδὴ καὶ πράγμασι καὶ λόγοις ἐκεῖνον οὑτωσὶ διωκόμενοι, καὶ τῶν κατ' αὐτοῦ βλασφημιῶν οὐδέποτε παύσονται. Ἀλλ' ἐκείνους οἰμώζειν φησὶν ὁ μέγας ἀφεὶς, ἐπανελθὼν σὺν ἡμῖν αὖθις πρὸ τῶν ἀδύτων τῆς προτέρας εἴχετο στάσεως· οἱ δὲ τὰς λαμπρὰς ἐκεῖνοι περιβεβλημένοι στολὰς ἐξιόντες καὶ πάλιν ἐκεῖθεν, θρόνῳ τὸν μέγαν ἐγκαθιδρύουσι, τρὶς τὸ, Ἄξιος, ἐπειπόντες συνήθως σὺν θαυμαστῇ τινι τῇ βοῇ.

Καὶ τὰ μὲν ὁραθέντα τότε τοιαῦτα, σύμβολα τῶν μετὰ ταῦτα γεγονότων σαφῆ, καὶ οἷα μηδὲ τοῦ ἐξηγουμένου δεῖσθαι καὶ ὁδηγοῦντος· εἴτε γὰρ τοὺς ὑπὸ δαιμόνων ἐνεργουμένους, καὶ τῇ τοῦ Χριστοῦ πολυτρόπως ἐπιβουλεύσαντας Ἐκκλησίᾳ, Βαρλαὰμ καὶ Ἀκίνδυνόν φημι καὶ τὴν ἐξάγιστον καὶ πονηρὰν περὶ αὐτοὺς συμμορίαν, τοὺς μέλανας ἀνθρωπίσκους εἴποις ἐκείνους· εἴτε τὴν τῶν δαιμονίων αὐτῶν ἐκείνων πληθὺν, τὴν τῶν αἱρέσεων πρώτην αἰτίαν· εἴτε καὶ ἄμφω τούτους ὁμοῦ κἀκείνους, πολλάκις ὁ Γρηγόριος ὤπται καὶ λόγοις καὶ γράμμασι καὶ κοινῇ καὶ ἰδίᾳ θαυμαστῶς τῆς Ἐκκλησίας αὐτοὺς ἐξελάσας, καὶ δυνάμει θείᾳ τὸ κατ' ἐκείνων ὑπερφυὲς λαβὼν κράτος εἴπερ τις, καὶ τοῖς εὐσεβέσι λαμπράν τινα δι' ἑαυτοῦ δεδωκὼς τὴν νίκην· ἐπισημαίνει γε μὴν θαυμαστῶς ἡ θεία ὄψις κἀκεῖνα, ὡς οὕς τε κατὰ τῶν αὐτῶν ἐπ' Ἐκκλησίας τὸν κυριώτερον ἆθλον ἀγωνιεῖται, τὸν μὲν πρὸ τῆς καθέδρας τῆς ἱερᾶς καὶ τῆς προστασίας τῆς Ἐκκλησίας, τὸν κατὰ τοῦ Βαρλαὰμ φημι τουτονὶ, καὶ τῶν τῆς αἱρέσεως πρώτων ἀρχῶν τε καὶ συγγραμμάτων· τὸν δὲ κατὰ τοῦ τὴν αἵρεσιν ταυτηνὶ κάκιστα διαδεξαμένου Ἀκινδύνου φημὶ τοῦ φίλου καὶ ἐπιβούλου, καὶ φοιτητοῦ καὶ προδότου, κατὰ τὸν ἀρχαῖον ἐκεῖνον, καὶ τῆς μιαρᾶς αὐτοῦ συμμορίας, μετὰ τὴν χειροτονίαν τε καὶ τὸν θρόνον· καὶ ὅτι τὴν ἱερὰν ταυτηνὶ περὶ αὐτὸν τελετὴν καὶ χειροτονίαν ὁ τῆς Θεομήτορος ἐκεῖνος θεῖος νεὼς ἐν ἑαυτῷ τελεσθησομένην ἕξει, κἀκεῖ τὸ, Ἄξιος, αἰσθητῶς τε καὶ νοητῶς ὑπό γε τῆς νοητῆς ὁμοῦ καὶ τῆς αἰσθητῆς Ἐκκλησίας ἐπὶ τὸν ἄξιον ὄντως Πνεύματι θείῳ μετ' ὀλί-

Digitized by Google

γον ῥηθήσεται· ἃ δὴ καὶ εἰς πράγματα μετὰ μικρὸν A θαυμαστῶς ἐξέβη, τῆς θείας ἐκείνης ἀποκαλύψεως ἐν μηδενὶ τὸ παράπαν διαπεσούσης· εἰ γὰρ καὶ πρὸ τῆς τοῦ μεγάλου χειροτονίας ἡ καταστροφὴ γέγονεν Ἀκινδύνου, ἀλλὰ καὶ αὖθις τῆς αἱρέσεως κατὰ διαφόρους αἰτίας καὶ χρόνους, νῦν μὲν καθαιρουμένης, νῦν δὲ τὰς κεφαλὰς συνεχεῖς ἀναδιδούσης ταῖς τινων συμμαχίαις, κατὰ τὴν Ὕδραν τὴν ἐν τῷ μύθῳ, τέλος ὁ καθ' ἡμᾶς Ἡρακλῆς οὑτοσὶ, καὶ τὴν τοῦ θείου πυρὸς ἐνεργεστέραν προσλαβὼν συμμαχίαν, ὡς τὴν τοῦ αἰσθητοῦ πρὶν ἐκεῖνος, τοῦ θείου δηλαδὴ Πνεύματος διὰ τῆς χειροτονίας δαψιλέστερον ἐπὶ τοῦτον ῥυέντος, καὶ τέμνει καὶ καίει μέχρι ῥιζῶν αὐτῶν ὡς εἰπεῖν καὶ πυθμένων, ἐπ' Ἐκκλησίας κοινῇ πάσης, καὶ σιγῇ καὶ βυθῷ καὶ πανωλεθρίᾳ παντελεῖ B δίδωσι.

Τί τὸ μετ' ἐκείνην τὴν θαυμαστὴν ὄψιν; Ἐγὼ μὲν ἐβουλόμην καὶ τοῖς κατὰ μέρος ἐπεξελθεῖν πᾶσι καθόσον οἷόν τε, καὶ ταῖς ἀριστείαις ἐκείναις τοῦ μεγάλου καὶ τοῖς θαυμαστοῖς ἄθλοις ἐπικαλλωπίσαι τὸν λόγον, καὶ οἷον ἐπεντρυφῆσαι τῷ διηγήματι· ἀπάγει δέ με τὸ τοῦ λόγου μῆκος αὖθις ἐκείνων τῆς συμμετρίας ἐκπίπτον· διὸ τοὺς ἐκεῖνα ποθοῦντας, τοῖς τε λόγοις ἐκείνου, καὶ τοῖς τῆς Ἐκκλησίας κοινοῖς παραπέμψας τόμοις τε καὶ συγγράμμασιν αὐτὸς ὡδί πως κεφαλαιώσω τὸν λόγον, τιμῶν τὸ, Πᾶν μέτρον ἄριστον, ἐπειδήπερ κἀκεῖνος.

Ἐφίσταται μὲν ὁ προσδοκώμενος εὐσεβέστατος βασιλεὺς μετὰ τῶν ἐν τέλει· ἀκούει δ' ἐντελέστερον ταῦτα παρὰ τοῦ πατριάρχου, οὐδὲ πρότερον ἀνήκοος C πάντη διαγεγονὼς τῶν τοιούτων· συγκροτεῖται δ' ἡ σύνοδος κατὰ τὸν μέγιστον καὶ περιφανῆ νεὼν τῆς τοῦ Θεοῦ μεγάλης Σοφίας· συντρέχει δ' ἡ πόλις πᾶσα σχεδὸν, ὡς ἐν μεγάλῳ τινὶ καὶ περιφανεῖ τῷ ἀγῶνι· ὁ Βαρλαὰμ εἰσάγεται τῶν μοναχῶν κατηγορήσων ὥσπερ καὶ πρώην· ἀρνεῖται τὴν τάξιν, καὶ τὸ πρότερον παραιτησάμενος σχῆμα τοῦ κατηγόρου, ἐφ' ἕτερ' ἄττα καὶ δὴ πειρᾶται χωρεῖν, καὶ τὴν ὑπόθεσιν διαφθείρειν, ἀλλ' οὐδέν τι πλέον ἔσχεν ἐκ τούτων· ἁλίσκεται γὰρ εὐθὺς, καὶ μὴ βουλομένου τῶν αὐτοῦ συγγραμμάτων προκομισθέντων, ἅπερ αὐτὸς ἀπαιτηθεὶς δι' ἑαυτοῦ πρὸ ὀλίγου τῷ τῆς Ἐκκλησίας δέδωκε προεστῶτι· τέλος ἐξελέγχεται τὰ τῆς πολυειδοῦς αἱρέσεως θαυμαστῶς ἐπὶ πάντων, καὶ παρὰ πάντων ὁμοῦ κωμῳδεῖται καὶ διαμυκτηρίζεται· D μᾶλλον δὲ καὶ παλαμναιοτάταις τισὶ ταῖς ἀραῖς αὐτά τε καὶ ὁ πατὴρ ὁμοῦ καὶ δημιουργὸς αὐτῶν δικαίως καθυποβάλλονται· καὶ ἐπειδὴ μήτε λέγειν μήτ' ἀποδιδράσκειν τοὺς περιφανεῖς τῆς ἀληθείας ἐλέγχους ὁ Βαρλαὰμ ὅλως εἶχεν, ἀλλ' οὐδ' ἐκφεύγειν τέως ἐδύνατο τὸν τῆς Ἐκκλησίας δικαιότατον ζῆλον, καὶ τοῦ κοινοῦ τῶν πιστῶν ἐκείνου θεάτρου, πρὸς ὀργὴν κατὰ τῆς αἱρέσεως ἤδη κεκινημένου, καὶ τοὺς αἰτίους τῆς πλάνης ἀνελεῖν ἐκζητοῦντος· τοιαῦτα καὶ γὰρ τὰ τοῦ δήμου πρὸς ἀμετρίαν ἑτοίμως ἰόντα, τὴν μεταμέλειαν ὑποκρίνεται καὶ τὴν ὁμολογίαν τῆς ἀληθείας· καὶ ὁ μὲν, οὕτω τῶν ἑαυτοῦ συγγραμμάτων αἵρεσιν καὶ ψεῦδος καταγνοὺς ἐπὶ πάντων, καὶ μετανοίας χώραν αἰτήσας καὶ λαβὼν δῆθεν, τὴν ᾅδου κυνῆν, ὅ φασιν, ὑποδὺς, καὶ ἀφανεῖ δεδοικὼς ἑαυτὸν, πρὸς Λατίνους τοὺς ἑταίρους εὐθὺς ἀποτρέχει μετὰ τῆς δυσσεβείας. Ἡ δ' Ἐκκλησία Χριστοῦ τὸν ἑαυτῆς καθαρῶς ἐπιγινώσκει προστάτην, Γρηγόριον δηλαδὴ τὸν μέγαν, καὶ κροτεῖ καὶ θαυμάζει, καὶ παντοδαποῖς τισιν ἀναδεῖ τοῖς τῶν ἐπαίνων στεφάνοις· τί μὲν οὐ λέγουσα τῶν θαυμαστῶν κατ' ἐκείνου, τί δ' οὐ ποιοῦσα; μᾶλλον δὲ πάντα μὲν τὰ βέλτιστα καὶ λέγουσα καὶ ποιοῦσα, ἄξιον δ' ἐκείνου μηδέν τι μηδαμῶς ποιεῖν καὶ λέγειν δοκοῦσα. Οὐ μὴν ἀλλὰ καὶ βασιλεὺς αὐτὸς σύν γε τοῖς καθ' αἷμα προσήκουσι, καὶ δὴ καὶ τοῖς προὔχουσι τῶν ἐν τέλει, καὶ διδάσκαλον εὐσεβείας, καὶ κανόνα δογμάτων ἱερῶν, καὶ στῦλον τῆς ὀρθῆς δόξης, καὶ πρόμαχον Ἐκκλησίας, καὶ βασιλείας εὐσεβοῦς καύχημα, καὶ πᾶν ὅ τι γε τῶν καλλίστων μετὰ μεγάλου τοῦ θαύματος αὐτὸν ἀπεκάλουν.

Ἀλλ' ὢ τῆς πονηρᾶς διαδοχῆς καὶ τῆς ὑποστροφῆς καὶ παῤῥησίας αὖθις τοῦ ψεύδους! Πάλιν Ἀρχέλαος μετὰ τὸν Ἡρώδην, καὶ Καϊάφας κατὰ Χριστοῦ δημηγορῶν μετὰ τὸν κηδεστὴν Ἄνναν, ἄκων τε προφητεύων ὑπὲρ τοῦ ἔθνους, καὶ συνηγορῶν τῇ πολεμουμένῃ παρ' αὐτοῦ ἀληθείᾳ, καὶ τοῖς ὑπὲρ αὐτῆς λόγοις τῶν προφητῶν τε καὶ θεολόγων, καὶ Ἀκίνδυνος ὁ σκαιὸς μετ' ἐκείνους καὶ σὺν ἐκείνοις τὴν τοῦ Βαρλαὰμ δολερῶς ὑπιὼν αἵρεσιν καὶ τὴν πλάνην, καὶ τοὺς ὁμιλητὰς ἐκείνου σκορπισθέντας συνάγων, πλείστους τε σὺν αὐτοῖς προσεταιριζόμενος ἄλλους, καὶ τὴν αἵρεσιν ξυνιστὰς, ἑαυτόν τε προστάτην καὶ διδάσκαλον αὐθημερινὸν χειροτονῶν δυσσεβείας, ὁμόσε τε κατὰ τῆς εὐσεβείας χωρῶν καὶ τοῦ ταύτης προμάχου, καθάπερ ὁ Σαμαρεὺς πάλαι Σίμων, καὶ Νικόλαος ὁ προσήλυτος ἀπὸ Σύρων, κατὰ τοῦ Εὐαγγελίου φημὶ Χριστοῦ καὶ τῶν πρώτων μαθητῶν τε καὶ ἀποστόλων· καὶ τὸν μὲν Βαρλαὰμ καίτοι γε μηδενὸς ἀπαιτοῦντος ἀποκηρύττων, καὶ φρικωδεστάταις τισὶ ταῖς ἀραῖς κατὰ τοὺς τῶν παλαιῶν αἱρεσιαρχῶν διαδόχους ἐκείνους καθυποβάλλων, ἵν' ἔχοι τι καὶ προκάλυμμα καὶ προσωπεῖον ἡ πλάνη, ἄλλος δ' ἐκεῖνος ὢν ἄντικρυς καὶ λόγοις καὶ γράμμασι, καὶ παντὶ τῷ κατὰ τῆς εὐσεβείας πολέμῳ. Πάλιν οὖν ἀγῶνες καὶ ἆθλοι, καὶ πολέμων ὑπόθεσις τῷ προασπιστῇ τε καὶ τεχνίτῃ τοῦ λόγου, κατὰ τῶν αὐτῶν τε καὶ ὑπὲρ τῶν αὐτῶν ἱσταμένῳ καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας εὐψύχως προκινδυνεύοντι.

Καὶ τέως μὲν ὁμιλεῖ καὶ διαλέγεται πρῶτον, καὶ πολλῶν τε καὶ καλῶν συμπαρόντων τὸν Ἀκίνδυνον ἐξελέγχει γενναίως, καὶ τὴν αἵρεσιν ὀνειδίζει, καὶ τὴν προτέραν τῆς ἀληθείας ὑπόκρισιν, καὶ τὴν ἐσχάτην ταυτηνὶ συμφωνίαν τοῦ ψεύδους. Ὁ δ' ἐπεὶ μηδοτιοῦν ἀντιλέγειν ἢ λέγειν εἶχεν, ὑποκρίνεται καὶ αὖθις τὴν ὁμολογίαν τῆς ἀληθείας, ἅμα καὶ γράμμασι τῆς ἰδίας χειρὸς καὶ ὑπογραφαῖς ἀσφαλισάμενος δῆθεν τοὺς ἑαυτοῦ λόγους, καὶ τὴν διὰ πάντων πρὸς τοὺς ἁγίους κοινωνίαν ἅμα καὶ συμφωνίαν, τοῖς τοῦ σοφοῦ Γρηγορίου προσμαρτυρήσας καὶ λόγοις καὶ γράμμασιν, ἃ καὶ εἰς δεῦρο μένει παρόντα, καὶ τὴν ἐκείνου δυσσέβειαν ἐξελέγχοντα καὶ τὸ ψεῦδος. Ἐπεὶ δὲ μετὰ μικρὸν τὴν ὑπό-

Digitized by Google

κρισιν καὶ τὴν σκηνὴν ἀποῤῥίψας, καὶ ταυτησὶ τῆς A ὁμολογίας καὶ τῶν γραμμάτων ἔξαρνος γεγονὼς, ἅμα τοῖς ὁμόφροσι περιῄει τὴν πόλιν, θορυβῶν ἐπὶ τοῖς προτέροις καὶ αὖθις, καὶ τῷ ψεύδει παρασύρων τοὺς ἀστηρίκτους· ὁ γὰρ Αἰθίοψ οὐκ ἐλευκαίνετο· καὶ ὁ καρκῖνος ὀρθῶς βαδίζειν οὐκ ἐδιδάσκετο· σύνοδος συγκροτεῖται παρὰ τῆς Ἐκκλησίας καὶ πάλιν, κατ' οὐδὲν ἐλάττων τῆς κατὰ τοῦ Βαρλαὰμ πρώτης ἐκείνης· καὶ πάλιν ἀγωνιστὴς τε καὶ ἀθλητὴς περιφανὴς τῆς εὐσεβείας ὁ μέγας, ὁμοῦ τε τὴν πλάνην τοῖς τῶν θείων Γραφῶν λόγοις καὶ ταῖς ἱεραῖς τῶν θεολόγων διδασκαλίαις ἐλέγχων, καὶ τῇ κατ' εὐσέβειαν ἀληθείᾳ τὸ κράτος λαμπρῶς εἰσαῦθις περιποιούμενος, ἅμα καὶ τοῦ θαυμαστοῦ βασιλέως παρόντος, οὔπω μὲν ἐπειλημμένου τότε τοῦ κράτους, B ἢ τοῦ μὲν κράτους καὶ τῶν πραγμάτων ἐπειλημμένου, τὸ διάδημα δὲ σὺν τῷ τῆς βασιλείας ὀνόματι μόνον οὔπω περικειμένου, καὶ τὸν τοῦ θαυμαστοῦ βασιλέως καὶ ἀδελφοῦ τόπον ἀποπληροῦντος, ἤδη μετὰ τῶν ὑπὲρ εὐσεβείας ἀγώνων τε καὶ κατορθωμάτων κάλλιστα πρὸς Θεὸν ἐκδεδημηκότος· ὃς δὴ καὶ τὸν Ἀκίνδυνον τὰ τοῦ Βαρλαὰμ ἐπὶ τῆς μεγάλης ταυτησὶν ἐξελέγξας συνόδου κακῶς φρονοῦντα, καὶ τοῖς κοινοῖς ἀξιώμασι καὶ ταῖς δόξαις τῆς Ἐκκλησίας ἀντικείμενον προφανῶς, καθὰ δήπου καὶ βασιλεὺς ὁ κράτιστος ἀδελφὸς ἐκεῖνος τὸν Βαρλαὰμ πρότερον· ἐπικυροῖ καὶ αὐτὸς σὺν τῷ τῆς Ἐκκλησίας προεστηκότι, καὶ τῶν ἱερέων τοῖς ἀρχηγοῖς καὶ προκαθημένοις, τῷ σοφῷ δηλαδὴ Γρηγορίῳ σύν γε τοῖς περὶ αὐτὸν, τὸ κράτος τῆς εὐσεβείας· μᾶλλον δὲ καὶ θαυμάζουσι καὶ ἀνακηρύττουσι καὶ λόγοις καὶ γράμμασι καὶ παντοδαποῖς ἐπαίνοις αὐτὸν ὁμοῦ πάντες, κατ' οὐδὲν ἔλαττον τῶν ἐπὶ τῆς πρώτης ἐκείνης συνόδου· ἡνίκα δὴ καὶ ὁ κατὰ τῆς αἱρέσεως καὶ τῶν ταύτης ἀρχηγῶν, ὑπὲρ τῆς εὐσεβείας ψήφῳ τῆς Ἐκκλησίας κοινῇ, καλῶς ἐξετέθη τόμος, συνεπτυγμένως ὁμοῦ πάντα περιλαμβάνων, καὶ ὑπογραφαῖς κατησφαλισμένος τῶν κορυφαίων τῆς Ἐκκλησίας, καὶ πρὸ πάντων τοῦ πάντων προκαθημένου, καὶ τὸν πατριαρχικὸν ἔχοντος τότε θρόνον.

Εἰς μακρὸν ἡμῖν ἀποτεινόμενα καθορῶ τὰ τοῦ λόγου, διὸ καὶ συντέμνειν ἀνάγκη καθ' ὅσον οἷόν τε τὸ συνεχὲς καὶ πυκνὸν τῶν ὑποθέσεων διωθούμενον, καθάπερ ἐν θεάτρῳ καὶ πλήθει τοὺς συναντῶντας. Οὔπω δύο μῆνες ἐτύγχανον παρελθόντες ὅλοι μετὰ D τὴν δευτέραν σύνοδον ταυτηνὶ, καὶ ἡ μακρὰ καὶ χαλεπὴ κατ' ἀλλήλων ἄρχεται στάσις τῶν ἡμετέρων, καὶ ἡ ἐμφύλιος μάχη τε καὶ φθορὰ, καὶ ὁ κοινὸς τῆς βασιλείας ὁμοῦ καὶ τῆς Ἐκκλησίας ποιμὴν τε καὶ ὁδηγὸς, τὸν κοινὸν θόρυβον καὶ τὰς τινων ἀλογίστους ὁρμὰς καὶ τὰς διαβολὰς καὶ τὸν φθόνον ὀφείλων ἐπέχειν, καὶ πρὸς εἰρήνην τε καὶ ὁμόνοιαν, ὡς τῆς εἰρήνης εὐαγγελιστὴς τε καὶ μύστης, πάσῃ σπουδῇ συνάγειν τοὺς πάντας, τὸ μὲν οὐκ ἐποίει, τὴν δ' ἐναντίαν ὥσπερ ἐπίτηδες σπεύδων ἰέναι, καὶ προσερεθίζων φεῦ! αὐθημέραι καθεώρατο τὴν μάχην, καὶ τὴν διαίρεσιν καὶ τὴν στάσιν ἀνάπτων. Ἐπεὶ δὲ μὴ καὶ Γρηγόριον εἶχε συναινοῦντα τούτοις τὸν μέγαν, πλεῖστα μὲν οὖν καὶ παραινοῦντα καὶ εἰσηγούμενον τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν διὰ πάντων, καὶ τὰ τῷ σχήματι καὶ τῇ ἀξίᾳ κατάλληλα πράττειν αὐτὸν ἀξιοῦντα· τοῦτο καὶ γὰρ πρὸς αὐτοῦ τε εἶναι, καὶ τοῦ κοινῇ τῇ βασιλείᾳ καὶ παντὶ τῷ γένει λυσιτελοῦντος, τὸ δ' ἐναντίον πᾶν τοὐναντίον ἐξ ἐφαμίλλου, καὶ πρόσεστι καὶ τὸ τῆς θείας ἀγανακτήσεως, φησὶν, ἄνωθεν καὶ τῆς δίκης, πρᾶγμα τοσοῦτον καὶ οὕτως ὑπερφυὲς, καὶ ῥᾷστά γε πεφυκὸς καὶ μόνον τὴν πανωλεθρίαν ἐπάγειν. Ἐπειδὴ ταῦτα καὶ φρονοῦντα καὶ συμβουλεύοντα κατεῖδε τὸν μέγαν, οὐχ ἅπαξ, οὐδὲ δὶς, οὐδὲ μόνον πρὸς αὐτὸν μόνον, ἀλλὰ καὶ πολλάκις, καὶ πολλῶν καὶ μεγάλων παρόντων, κἂν τῇ συγκλήτῳ καὶ τῆς βασιλίδος ἔστιν ὅτε προκαθημένης· καὶ τοτὲ μὲν μόνον, τοτὲ δὲ καὶ σὺν ὀλίγοις τῶν ὁμοτρόπων, δέον αὐτὸν καὶ θαυμάζειν τοῦ φρονήματος καὶ τῆς κατὰ καιρὸν παῤῥησίας, καὶ χάριτας ὀφλεῖν τῆς εὐνοίας τε καὶ φίλτρου, καὶ τοῦ κοινῇ πρὸς δόξαν ἰόντος· οὕτω καὶ γὰρ ἂν ἔδειξε πράγμασι τὸν κοινὸν πατέρα καὶ κηδεμόνα τοῦ γένους, καὶ ὡς οὐ μάτην, οὐδ' ἁπλῶς τὸ μέγα τουτὶ περίκειται πρόσρημα· ὁ δὲ καὶ πρὸς ὀργὴν διεγείρεται μᾶλλον, καὶ κατὰ τοῦ φίλου χωρεῖ, καὶ ὁπλίζεται φεῦ! κατὰ τοῦ πράου συμβούλου, καὶ ἀμύνασθαι σπουδῇ πάσῃ ζητεῖ τὸν ἄνδρα, μήτε τὰς προτέρας τιμὰς, καὶ οἷς αὐτὸν ἀνεκήρυττε δημοσίᾳ τε καὶ κατ' οἶκον, καὶ πρὸ τῶν συνόδων καὶ μετὰ τὰς συνόδους, κἂν τοῖς πρώτοις ἐτίθει τῶν φίλων, μήτε τὰ παρόντα λογιζόμενος ταῦτα, καὶ πᾶσι μὲν ὄντα λυσιτελῆ καὶ σωτήρια, καὶ τοῖς κοινῇ C καὶ καθένα, καὶ αὐτῷ τούτῳ δὲ πρὸ τῶν ἄλλων τὴν κοινὴν ἀνῃρημένῳ προστασίαν τῶν πάντων, καὶ τὸν ὑπὲρ αὐτῶν καὶ τῆς κοινῆς οἰκονομίας ὀφείλοντα διδόναι λόγον τῷ κοινῷ τῶν ὅλων δεσπότῃ. Γρηγόριος μὲν οὖν ὁ σοφὸς εὐθὺς ἐκποδὼν ἦν, ἐπειδήπερ ἀνηνύτοις ἐπιχειρῶν ἔγνω, καὶ τῆς πόλεως οὐ μακρὰν ἑαυτῷ τε καὶ Θεῷ συγγινόμενος συνήθως καθ' ἡσυχίαν, καὶ κατὰ τὸν θεῖον ἐκεῖνον Ἱερεμίαν, τὴν τοῦ γένους παρακοὴν καὶ τὴν πανωλεθρίαν ἀποκλαιόμενος· ὁ δὲ ποιμὴν, ἐπεὶ κατὰ τῆς ποίμνης φεῦ! καθ' ἑκάστην ἦν αὐτῷ ἡ σπουδὴ, καὶ διὰ τοῦτο καὶ τοῖς κριοῖς μᾶλλον ἐπετίθετο τῶν προβάτων, ἵνα καὶ μᾶλλον τὸ πᾶν κατεργάσηται, τί μὲν οὐκ ἐνενόει, τί δ' οὐκ ἐβουλεύετο νύκτωρ καὶ μεθ' ἡμέραν; ὥστε καὶ τὸν ἐπίσημον τουτονὶ κριὸν τῆς μεγάλης Χριστοῦ ποίμνης πρὸς ταῖς ἄλλαις ἐκείναις, ἢ καὶ πρὸ τῶν ἄλλων ἁπάντων γε καθελεῖν· καὶ ἐπειδὴ προσωπεῖον οὐκ εἶχεν αὐτῷ τὰ τῆς μάχης, οὐδ' ἐδύνατο καὶ σκιάν γοῦν τινα πλάσαι κατ' ἐκείνου συκοφαντίας, κατὰ τῆς εὐσεβείας ἀναίδην ὅλος χωρεῖ, καὶ πόλεμον ἀλλόκοτόν τινα καὶ καινὸν ἐπεγείρει τῇ Ἐκκλησίᾳ, καὶ τῶν θείων δογμάτων ἀναίρεσιν μελετᾷ, φεῦ! τῶν ἱερέων καὶ διδασκάλων ὁ προύχων· οὕτω καὶ γὰρ ᾤετο καὶ τὸν πρόμαχόν, τε καὶ κήρυκα, Γρηγόριον δηλαδὴ τὸν σοφὸν συγκαταστρέψειν ἐκείνοις, καὶ τρόπαιον ἀναστήσειν κατὰ τῆς ἐκείνου σπουδῆς καὶ φιλοσοφίας, μᾶλλον δὲ κατὰ τῆς δι' αὐτὸν ὑπ' αὐτοῦ πολεμουμένης κάκιστα τοῦ Χριστοῦ Ἐκκλησίας, οὐ τῷ κατ' αὐτὸν σχήματί τε καὶ πράγματι μόνον ἀπᾷδον, ἀλλὰ καὶ Χριστιανῶν ὁμοῦ πάν-

Digitized by Google

των ὡς ἀληθῶς ἔκφυλον καὶ ἀλλότριον, καὶ τῷ A πονηρῷ καὶ ἀρχεκάκῳ δαίμονι μόνῳ καὶ τῇ κατ' ἐκεῖνον φατρίᾳ προσῆκον.

Ἀνεισάγει τοιγαροῦν ὁ καινὸς οὑτοσὶ θεομάχος τῇ Ἐκκλησίᾳ τοῦ μαθητοῦ τὸν προδότην, καὶ τὸν ψευδαπόστολον τοῦ σοφοῦ ἀποστόλου, καὶ τὸν Ἀντίχριστον ἄντικρυς τοῦ Χριστοῦ, Γρηγορίου δηλαδὴ τοῦ μεγάλου, τὸν τῆς ἀληθείας ἀποστάτην τε καὶ πολέμιον, Ἀκίνδυνόν φημι τὸν ψευδώνυμον, ἠρέμα μὲν τὸ κατ' ἀρχὰς καὶ κατὰ μικρὸν, εἶτα καὶ γυμνῇ τῇ κεφαλῇ, τοῦτο δὴ τὸ λεγόμενον· τὸν μὲν καὶ καθ' ἑκάστην καὶ λόγοις καὶ πράγμασιν ἐξαίρων καὶ συνιστὰς, Γρηγορίου δὲ καὶ τῆς κατ' αὐτὸν ἱερᾶς ἑταιρίας κατατρέχων καὶ μὴ παρόντων, καὶ σχεδὸν ἐρήμην καταδικάζων, καὶ ἡμέρας ὅλας καὶ νύκτας B τῷ τῆς αἱρέσεως συνὼν διδασκάλῳ, κἀκεῖνα καὶ σπουδάζων καὶ συλλαλῶν καὶ συμπράττων κατά γε τῆς εὐσεβείας καὶ τῶν ταύτης προμάχων, ἃ βίβλοι καὶ μνῆμαι φέρουσι. Καὶ ἵνα τὰ ἐν μέσῳ συντέμω, Γρηγόριος μὲν ὁ τοῦ φωτὸς υἱὸς καὶ λαμπρὸς κῆρυξ, μετὰ τὰς μακρὰς συκοφαντίας ἐκείνας καὶ περιόδους, ἐπεὶ καὶ δημοσίων αὐτὸν ἀδικημάτων, καὶ καθοσιώσεως ἢ καὶ στάσεως, οἱ τούτων δημιουργοὶ καὶ κοινωνοὶ πρὸς τοῖς ἄλλοις κρίνειν ἠξίουν, τὰς ἀληθεῖς κατ' αὐτοῦ πειρώμενοι συσκιάζειν ὑπ' αἰσχύνης αἰτίας, μᾶλλον δὲ καὶ ταῦτα κἀκεῖνα ψευδῶς ἄλλοτε ἄλλως συνείροντες κατὰ τοῦ ἀλήπτου, καὶ διὰ πάντων συκοφαντοῦντες, καὶ σκότος καὶ εἱρκτὴν φεῦ! ὡς κακοῦργος ὑπ' αὐτῶν καταδικάζεται τελευταῖον, ἵνα μηδ' ἐν τούτῳ τῆς εἰκόνος καὶ τῆς μιμήσεως ἀπολειφθῇ τοῦ σεπτοῦ Ἱερεμίου, καθὰ δὴ καὶ προὔφην, ὥσπερ ἐκεῖνος τοῦ βορβόρου πάλαι τὸν λάκκον ὑπὲρ τῶν θείων χρησμῶν C καὶ τῆς ἀληθείας, οὕτω δὲ καὶ αὐτὸς οὗτος ὑπὸ τῶν ὁμοφύλων ὑπὲρ τῶν αὐτῶν ἄντικρυς ἢ καὶ μειζόνων τὴν εἱρκτὴν καταδικασθεὶς, Δωροθέου τοῦ καλλίστου φοιτητοῦ τε καὶ φίλου κἀνταῦθα συνόντος, ὥσπερ δὴ κἀν τοῖς ἄλλοις πειρασμοῖς καὶ ταῖς περιόδοις, καὶ τῆς χρονίας καθείρξεως, καὶ τῶν λοιπῶν ἀνιαρῶν μετέχοντος πῶς ἂν εἴποις ἡδέως.

Ὁ δ' ἐπὶ κακῇ μοίρᾳ τῆς Ἐκκλησίας προστάτης, ἐπεὶ καὶ τὸν λέοντα τουτονὶ δέσμιον εἶχε καθάπερ ἐπόθει, καὶ τὸ πᾶν ἤδη τοῦ ἀγῶνος αἰσχρῶς ᾤετο διανύσαι, κατὰ πολλὴν τοῦ κωλύσοντος ἐρημίαν, καὶ προστάτην Ἐκκλησίας, ὦ γῆ, καὶ ἥλιε, καὶ θεσμὰ θεῖα, καὶ μαρτύρων, καὶ ὁμολογητῶν, καὶ Πατέρων ἱερῶν ἆθλοί τε καὶ ἀγῶνες, τῶν μετὰ Χριστὸν D καὶ τὴν ἐκείνου σφαγὴν καὶ τὸ αἷμα ταύτην συστησαμένων, τὸν ἀλιτήριον καὶ προδότην τῆς Ἐκκλησίας Ἀκίνδυνόν φημι, τὸν τῶν αἱρέσεων ἀρχηγὸν καὶ ταμίαν μετὰ τὸν πρῶτον ἐκεῖνον ἔσπευδεν ἀναδεῖξαι! παιδαγωγὸν ἄν τις εἶπε τὸν ᾅδην, καὶ τροφέα τὸν θάνατον, καὶ τῷ πυρὶ τὴν τοῦ πονηροῦ καταιγίδα, καὶ τοῖς ἀρνίοις τὸν λύκον, διδάσκαλον εἰπέ μοι καὶ πατέρα τῆς Ἐκκλησίας ἐκεῖνον, ἵνα τί καὶ παραθεωρήσω, τὸν τῆς θεότητος ὑβριστὴν! τὸν τῆς δόξης τοῦ Μονογενοῦς ἀναιρέτην μετὰ Ἰουδαίων τῶν κάκιστ' ἀπολουμένων! τὸν τοῦ Πνεύματος πολέμιον ὑπὲρ οὓστινασοῦν ἂν εἴποις Μακεδονίους! τὸν ἐχθρὸν ὁμοῦ τῆς μεγάλης Τριάδος! τὴν τῶν αἱρέσεων ἀποθήκην! ἐκεῖνον σὺ ποιμένα καὶ διδάσκαλον Ἐκκλησίας, τὸν ὑπὲρ πάντας σφοδρὸν ἐκείνης ὑβριστὴν καὶ διώκτην! ἵνα τί καὶ διδάξῃ ταύτην; τὰς κτιστὰς θεότητας, ὧν ἐκεῖνος πατήρ τε καὶ δημιουργὸς μόνος; ἢ τὰς Πλατωνικὰς ἰδέας, καὶ τοὺς πάλαι σεσηπότας καὶ ὀδωδότας φληνάφους ἐκείνους, καὶ τὴν θνητὴν ζωὴν, καὶ τὸ μὴ κυρίως ἀγαθόν τε καὶ ὂν, καὶ ὅσα τῆς μυθευομένης Ἑλληνικῆς ἐκείνης τερατείας καὶ τῆς ἀπάτης; Καλά γε ταῦτα, καὶ σοὶ καὶ τοῖς σοῖς ὄντως προσήκοντα μυσταγωγοῖς τε καὶ θεολόγοις. Δεῖ δὲ παρ' ὑμῶν πάντως μαθεῖν τῶν κενῶν διδασκάλων τοὺς κακῶς ὑφ' ὑμῶν ποιμαινομένους κἀκεῖνα· τὴν κτιστὴν ἐνέργειάν φημι τοῦ Θεοῦ· ἵνα καὶ τὴν ἐκείνου φύσιν κτιστὴν συγκατασκευάσωσι κατὰ πᾶσαν ἀνάγκην· B τὸ ταυτὸν καὶ ἀδιάφορον πάντῃ φύσιν τε καὶ ἐνέργειαν ἐπὶ Θεοῦ πεφυκέναι· ἢ τὸ φύσιν εἶναι τὸν Θεὸν μόνην τῶν φυσικῶν πάντων ἐστερημένην· ἢ τὰ φυσικὰ τοῦ Θεοῦ τῆς φύσεως ὑστερογενῆ καὶ κτιστὰ πεφυκέναι· τῆς γὰρ ὑμετέρας δυσσεβείας ἢ ἀθεΐας καὶ ἄμφω ταῦτα· τοτὲ μὲν καὶ τὴν φύσιν αὐτὴν καθάπαξ διὰ τῆς ἀναιρέσεως τῶν φυσικῶν ἀναιρούντων, τοτὲ δὲ κτίσμα κἀκείνην δι' ἐκείνων ἀποδεικνύντων· ἐπεὶ δεῖ κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικὰ κατὰ τοὺς θεολόγους Πατέρας· ἀνάγκη καὶ γὰρ ὡς ἔοικεν ἀσεβεῖν ὑμᾶς οὐχ ἑνί γε τῷ τρόπῳ καὶ δυοῖν ἴσως, κατὰ τοὺς ἀρχαίους ἐκείνους τῶν αἱρέσεων καθηγητάς τε καὶ νομοθέτας, ἀλλὰ καὶ πᾶσιν ὁμοῦ.

C Καὶ τί χρὴ λέγειν; ὅπου γε καὶ τὴν ὑμνουμένην τῆς ἀνθρωπείας φύσεως ὑπερφυᾶ καὶ ἀπόρρητον ἐξηρνήσασθε θέωσιν; ὑπὲρ ἧς κατὰ τὸ εἰρημένον πρᾶξις πᾶσα Χριστοῦ καὶ ἅπαν μυστήριον, ὀνόματι καὶ νῷ μόνῳ τιμᾷν ταύτην δῆθεν διδάξαντες, πράγματι δ' ἐξυβρικότες εἰς αὐτὴν τὰ αἴσχιστά τε καὶ ἀτοπώτατα, τῷ τοῖς κτίσμασι καὶ ταύτην συναριθμῆσαι, καὶ κάτω θεῖναι ψυχῇ τολμηρᾷ καὶ γλώττῃ τὴν τῶν ἁπάντων ἐπέκεινα· καὶ μηδὲ τὸ καινὸν αἰσθανθέντες καὶ ὑπερφυὲς τοῦ μυστηρίου τουτουῒ φανερώσεως, ὡς οὐκ ἄγγελος, οὐδὲ πρέσβυς, ἀλλ' αὐτὸς ὁ μονογενὴς Υἱὸς, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ἔργοις τε καὶ λόγοις ὑπερφυῶς ἐξηγήσατο, πρὶν μὲν ἀναβῆναι τὸ ὄρος σὺν τοῖς λογάσι τῶν μαθητῶν, βασιλείαν ὀνομάσας ἐκεῖνο Θεοῦ, καὶ δό-D ξαν κοινὴν ἑαυτοῦ τε καὶ τοῦ Πατρός· ἐκεῖσε δ' ἀνιὼν τὴν κεκρυμμένην ἀστραπὴν ὑπὸ τὴν σάρκα τῆς οὐσιώδους καὶ θείας εὐπρεπείας παραδείξας, καὶ δείξας κατὰ τὸν μέγαν φάναι Βασίλειον, ὡς αὐτός ἐστι τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, καθόσον ἐδύναντο βλέπειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες, οἱ αὐτοὶ θεολόγοι καὶ τοῦτό φασιν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν. Ἐντεῦθεν καὶ τῆς ἐν τῷ μέλλοντι τελεωτέρας τοῦ Θεοῦ κοινωνίας τε καὶ θεώσεως, καθ' ἣν οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν, καὶ ἰσάγγελοι ἔσονται, καὶ υἱοὶ Θεοῦ κατὰ τὸν αὐτοῦ τοῦ τῆς δόξης ἡλίου λόγον, ἰταμῶς ἐκείνους ὁμοῦ πάντας ἐκβάλλετε, διὰ τῆς μεγάλης τοῦ Χριστοῦ μεταμορ-

Digitized by Google

φύσεως ἀναιροῦντες κἀκείνην, ἐπειδὴ ταύτην κἀκείνην ἓν καὶ ταυτό φασιν οἱ θεολόγοι πεφυκέναι συμφώνως, τὴν φυσικὴν καὶ ἀπρόσιτον καὶ ἀναλλοίωτον καὶ ἀΐδιον καὶ ὁμοφυᾶ καὶ ἀδιαίρετον τοῦ Θεοῦ δόξαν τε καὶ θεότητα, τὸ ἀνέσπερον φῶς, τὸ ἄναρχον κατὰ τὴν χρονικὴν ἀρχὴν, τὸ ἄπειρον καὶ ἀόριστον καὶ ἀθάνατον, τὸ πᾶσι μὲν ἀνθρωπίνοις ὀφθαλμοῖς αἰσθητοῖς τε καὶ νοητοῖς ὡσαύτως ἀόρατον, μόνοις δὲ τοῖς πνευματικοῖς καὶ θεοειδέσιν ἐν ἁγίῳ Πνεύματι νῦν τε καὶ εἰσέπειτα καθορώμενον, καὶ κατὰ πάσης κτίσεως ἔχον τὰ νικητήρια· καθὸ καὶ Δαβὶδ μὲν ὁ τῆς Παλαιᾶς μελῳδός· «Ἐν τῷ φωτί σου, φησὶν, ὀψόμεθα φῶς·» ἐν τῷ Πνεύματί φημι τὸν Υἱὸν, οἱ αὐτοὶ θεολόγοι καὶ τοῦθ' οὕτως ἔχον διερμηνεύουσιν· ὁ δὲ τῆς Νέας καὶ λογογράφος αὖθις καὶ μελῳδός· «Νῦν καθεωράθη, φησὶν, ἀθέατα ὄμμασι, σῶμα θνητὸν δόξαν πηγάζον θεότητος·» καὶ, «Νῦν καθεωράθη ἀποστόλοις τὰ ἀθέατα, θεότης ἐν σαρκίῳ ἐν τῷ ὄρει Θαβὼρ ἀστράπτουσα.»

Τούτων τῶν οὕτω μεγίστων, τῶν οὕτως ὑπερφυῶν τε καὶ θείων, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ποτὲ, ἡ αὐτὴ θεολόγος καὶ φιλόσοφος γλῶττα καὶ τοῦτο φησὶ, τούτων τὸν ἀναίσχυντον καὶ ἰταμὸν ἀναιρέτην ὅσον τὸ ἐπ' αὐτῷ τῆς κοινῆς Ἐκκλησίας ὁ ποιμὴν καὶ προστάτης, ὢ δίκη, καὶ πάντα βλέποντες ὀφθαλμοὶ τοῦ Θεοῦ! διδάσκαλον Ἐκκλησίας καὶ ποιμένα φέρων ἐχειροτόνει, θεμελίους οἱονεὶ προκαταβαλλόμενος τῆς ἑαυτοῦ τυραννίδος, δι' ὧν καὶ μεθ' ὧν ἐμελέτα τὴν παντελῆ τῆς κοινῆς τοῦ Χριστοῦ Ἐκκλησίας καταστροφὴν, ἣν αὐτὸς ἐκεῖνος ἀνωτέραν ἀπεφήνατο τῶν ᾅδου πυλῶν· ἀγνοῶν ὡς ἑαυτῷ μᾶλλον, οὐκ ἐκείνῃ πλέκει τὸν δόλον, λάκκον ἀνορύττων, ὅ φησιν ὁ μέγας Δαβὶδ, καὶ βόθρον κατασκευάζων, εἰς ὃν μετὰ μικρὸν καταπίπτειν αὐτὸς ἔμελλεν, ὡς τὰ ἑξῆς τοῦ λόγου δηλώσει μοι.

Ὁ μὲν γὰρ τὸν τῆς εὐσεβοῦς ἀλλότριον πίστεως, Ἀκίνδυνόν φημι τὸν ἑαυτοῦ καὶ μυσταγωγὸν καὶ μύστην, τολμηρῶς μετὰ πολλῆς τῆς ἐξουσίας ἔσπευδεν εἰς ἱερέας προάγειν· ἡ δέ γε φιλόχριστος βασιλὶς αἰσθομένη, θερμόν τε τὸν ὑπὲρ εὐσεβείας ἑαυτῆς ζῆλον ἐνδεικνυμένη, καὶ κατ' οὐδὲν τοῦ τετελευτηκότος ἀνδρός τε καὶ βασιλέως οὐδαμῶς ἀποδέοντα, προκαταλαμβάνειν τε καὶ ἀνείργειν ἐπεχείρει καὶ λόγοις καὶ παραινέσεσι τῆς πράξεως τὸ ἀνόσιον· ὁ δὲ κωφῷ πρὸς ταῦτ' ἐοικὼς, καὶ μηδὲν τῇ βασιλίδι πρὸς ἔπος ἀποκρινάμενος, βίᾳ τε τὸν καὶ τῶν ἱερῶν ἐκβεβλημένον πάλαι προθύρων, καὶ τῆς Ἐκκλησίας ἐκκήρυκτον, ἔνδον εἰσωθεῖ τῶν ἀδύτων, καὶ τοῖς τοῦ βήματος ἐγκαταλέγει, καὶ τοῖς Χριστοῦ διακόνοις τὸν διάκονον τοῦ ἀντικειμένου συναριθμεῖ. Ἡ μὲν οὖν θαυμαστὴ βασιλὶς, ἐπεὶ τῶν γενομένων κακῶς οὑτωσὶ καὶ βιαίως εὐθὺς ἤκουσ', οὐκ ἔτι μέλλουσα τὸ παράπαν, οὐδ' ἀναδυομένη γε ἦν· ἀλλὰ καὶ ἔργου μάλα γενναίως καὶ ἀξίως ἑαυτῆς εἴχετο, καὶ τὸν κακῶς ἐπιπηδήσαντα τοῖς ἁγιωτάτοις, καὶ αὐτῶν ἀποστείλασα τῶν προθύρων ἀπελαύνει, τῶν ἱερῶν σύν γε τοῖς ὁμόφροσι πᾶσι καὶ σπουδασταῖς· ἐπειρῶντο δ' ἂν, οἶμαι, μετὰ A τὰς πολλὰς ἐκείνας ὕβρεις τε καὶ ἀναισχυντίας καὶ δεσμωτηρίων ὁμοῦ καὶ πληγῶν, καὶ μάλισθ' ὁ κάκιστα χειροτονηθεὶς, εἰ μὴ χηραμούς τινας ὑπογείους αὐτίκα καὶ σήραγγας ὑποδὺς, τοῖς πᾶσι πλὴν ὀλίγων γέγονεν ἀφανής.

Θροῦς δὲ καὶ παρὰ τοῦ τῶν εὐσεβῶν πληρώματος κατὰ τῆς αἱρέσεως ἦρτο πολὺς, καὶ τάξις πᾶσα καὶ ἡλικία σχεδὸν τοὺς ἀλιτηρίους ἐζήτει διαχειρίσασθαι· μᾶλλον δὲ τῶν τῆς σοφῆς Γρηγορίου γλώττης λόγων καὶ περὶ τούτων αὐτῶν ἂν εἴη διακοῦσαι καλόν· φησὶ γάρ οὑτωσί πως ἐκεῖνος πρός τινα τῶν γνησίων ἐπιστέλλων· «Γνώσεται πᾶς τις, οἶμαι, κἀντεῦθεν, καὶ θαυμάσει τῆς παρ' ἡμῶν πρεσβευομένης ἀληθείας τὴν δύναμιν· ὅτι μὴ μόνον ἡνίκα πᾶσα στάσις ἀπῆν, ἐν δυσὶ συνόδοις ἐξετα- B σθεῖσα τὸ κράτος ἔσχεν, ἀλλὰ καὶ τῆς ἐμφυλίου στάσεως ἐγερθείσης, ἡνίκα καὶ τοῖς βασιλεύουσιν ἡμεῖς ἐδόξαμεν ἐπαχθεῖς, καὶ τῶν συκοφαντούντων ἤδη χώραν ἐπὶ τοσοῦτον χρόνον λαβόντων καθ' ἡμῶν, καὶ πάντων λεγόντων τε καὶ πραττόντων ἐκείνων ἀναίδην, ἡμεῖς καθειργμένοι διετελοῦμεν, ὅμως κατὰ τὴν τῶν θείων δογμάτων ἀλήθειαν, οὐδὲν ἧττον ἢ πρότερον περιεγενόμεθα· τῆς τοῦ Θεοῦ δὲ τὸ πᾶν ὑπῆρξε δυνάμεως, ἥτις ἐν ἀσθενείᾳ τελειοῦται, καθάπερ αὐτὸς πρὸς τὸν Ἀπόστολον ἔφη· Τότε γὰρ ὄντως καὶ τελειοῦται, ὅτε καὶ πολεμουμένη τὸ περιὸν ἐπιδείκνυται· καὶ κατασπᾶσθαι δοκοῦσα διὰ τῶν εἰς τοὺς ἀντεχομένους αὐτῆς κινδύνων, ὑψηλοτέρα τῶν κατασπώντων καὶ ἀχείρωτος C διαδείκνυται· καὶ ταυτὸ γέγονεν, ὥσπερ ἂν εἴ τις γλῶτταν ἢ καὶ χεῖρά τινος δεσμήσας, εἶτ' εἰς ἄμυναν προκαλοῖτο λόγων ἢ συγγραμμάτων, καὶ μηδ' οὕτω συγχωροῖτο τούτου κατὰ ταῦτα κρατεῖν· σκόπει γὰρ ὡς ἐχθροῖς ἡμῖν προσεῖχον οἱ αὐτοκράτορες, στασιαστὰς ἡμᾶς ἐκάλουν οἱ τούτοις χαριζόμενοι πάντες, ὡς μὴ συμβαίνουσαν τοῖς καιροῖς παρασχόντας τὴν γνώμην, πόσῳ μᾶλλον οἱ καὶ λίαν ἀπεχθῶς πρὸς ἡμᾶς διακείμενοι, καὶ πάντα τρόπον ἐπιτίθεσθαι προαιρούμενοι; Φανερῶς οὖν μετὰ τῶν δεσμωτῶν κατεκρίθημεν τετάχθαι· καὶ προσῆν τὸ καινοφωνίαν ἡμῖν ἐν τοῖς δόγμασιν ἐγκαλεῖν, ἐπειδὴ τὸ δι' ὃ λέγειν ἀληθῶς ὑπέτρεχέ τις τοὺς κακοῦντας αἰδώς. Τούτοις θαῤῥήσαντες οἱ Βαρλααμῖται, καὶ μᾶλλον τῶν ἄλλων ὁ μᾶλλον ἐκείνου μύστης D καὶ διάδοχος καὶ ὀπαδὸς Ἀκίνδυνος, ὑπέρχονται τὸν φλεγμαίνοντα καθ' ἡμᾶς, ὅτε μὴ συναινεῖν αἱρουμένων τῷ καιρῷ πατριάρχην, εὔνοιαν αὐτοὶ πρὸς αὐτόν τε καὶ τοὺς κρατοῦντας ὑποκρινόμενοι, καί τινα προσάγοντες ἕτερα, μόνον εἰ συμμαχήσει τούτοις, καθ' ἡμῶν καιρὸν ἤδη λαβοῦσι χωρῆσαι, καὶ τὴν ἧτταν ἀναπαλαίσασθαι. Ὁ δὲ μηδὲ τῶν προσενηνεγμένων ἀφέμενος, καὶ προσεφεῖλκεν· ἔλεγε χαρίεν, εἰ πάντας σχοῖεν ἐκπολεμῶσαι πρὸς ἡμᾶς τοὺς ἀνθρώπους, καὶ μάλιστα τοὺς ἐν τοῖς βασιλείοις αὐτοῖς, οὗ καὶ τὴν φρουρὰν ἡμῖν συνεσκεύασεν, ὡς ἀσφαλέστατος εἴη· καὶ πάντα ἦν αὐτοῖς οὗτος ὁ πάντων ἐπειλημμένος τῆς ἐξουσίας, ἔξαρχος, σύμμαχος, μάρτυς τῶν ὑπ' αὐτῶν λεγομένων, ὡς δῆθεν συνίστωρ, καὶ ὡς ᾤετο ἀπαράγραπτος καὶ ἀπ'

Digitized by Google

αὐτῆς τῆς ἀξίας· βεβαιωτὴς ὡς κριτὴς καὶ τὸ κράτος ἐγκεχειρισμένος τῆς Ἐκκλησίας· μεσίτης πρὸς βασιλέας, παρ' ὧν καὶ προστάγματα ἐκομίσατο, καὶ παρέσχε τούτοις μετὰ τῶν αὐτοῦ καθ' ἡμῶν ἐπιδεικνῦναι γραμμάτων, καὶ φόβῳ τοὺς μὴ πειθομένους ἄλλως προσάγεσθαι· ἀλλ' οὐδὲ μέχρι τούτων τὰ καθ' ἡμῶν· ἀλλὰ καὶ σύνοδοι, μᾶλλον δὲ προσχήματι συνεκροτοῦντο συνόδων, ἐν αἷς ἀπειλαὶ καὶ ἐπαγγελίαι, καὶ δόσεις καὶ ἀφαιρέσεις, καὶ πᾶν ὅ τι ποτὲ δεινόν τε καὶ χρηστὸν, οὐκ ἐλέγετο μόνον, ἀλλὰ καὶ ἐτελεῖτο παρὰ τοῦ τὴν προστασίαν τῆς Ἐκκλησίας λαχόντος. Καὶ τὰ μὲν δεινὰ τοῖς ἡμῖν συνηγοροῦσιν ἐπῆν, τὰ δὲ δοκοῦντα χρηστὰ τοῖς καθ' ἡμῶν ὁρμῶσι, καὶ ἡμᾶς δυσφημοῦσιν. Ἀλλ' ἤρθη ὄντως ἡ καθ' ἡμῶν ἐνεργουμένη κακία, οὐχ ἵν' ὑψωθῇ καὶ μείνῃ περιφανής, ἀλλ' ἵνα σφοδροτέρα κατασπασθῇ, καὶ μετ' ἤχου τῇ ἀπωλείᾳ παραπεμφθῇ, καὶ μηδὲ τοὺς πόῤῥω δυνηθῇ λαθεῖν. Ὡς γὰρ ἐνόμισαν ἤδη περιγενέσθαι, καὶ πάντα κατὰ νοῦν ἔχειν αὐτοῖς, καὶ τὸν κολοφῶνα τῶν κακῶν ἐπιθεῖναι διενοοῦντο, μᾶλλον δὲ καὶ ἐπετίθεσαν ἤδη, τὴν ἄθεσμον Ἀκινδύνου δηλαδὴ χειροτονίαν· κινεῖ τοὺς βασιλεύοντας ὁ τῶν βασιλευόντων Θεὸς, ἐπεγείρει πρὸς ζῆλον ἄμαχον τοὺς ἐν τέλει πάντας, τοὺς μετ' αὐτοὺς ἄρχοντας, τοὺς μετ' ἐκείνους ὑπασπιστὰς καὶ δορυφόρους καὶ ὑπηρέτας, καὶ ἁπλῶς πᾶν τάγμα βασιλικὸν, καὶ τοὺς τοῖς βασιλείοις ἐνστρεφομένους ἅπαντας, ἵνα τοὺς ἄλλους παραλείπω νῦν· καὶ ἦν ὁρᾷν ἐξαισίως, τοὺς καθ' ἡμᾶς ὠργισμένους βασιλεῖς τρέψαντας ἐξαίφνης τὴν ὀργὴν κατὰ τῶν καθ' ἡμῶν ὡρμημένων· τοὺς ἄλλους ἅπαντας συναγωνιζομένους, καὶ πρὸς τὴν ὑπὲρ ἡμῶν ἅμιλλαν ἀλλήλους διερεθίζοντας· τὸ δὲ μεῖζον, ὅτι μηδὲ τῆς ἐμφυλίου στάσεώς πω ληξάσης, μᾶλλον δὲ καὶ ἀκμαζούσης, ἧς ἕνεκα καὶ πρὸς ἡμᾶς ἔσχον ἀηδῶς. Φέρε γάρ· εἴ τις δυσὶ μαχομένοις ἐπιστὰς, δικαστὴν εἶναι τῶν παρ' αὐτοῦ λεγομένων ἀξιοῖ τοῖν δυοῖν τὸν ἕτερον, κομίσαιτ' ἂν ὁντινοῦν λόγον παρ' αὐτοῦ, καὶ ταῦτα τῆς πρὸς τὸν ἀντικείμενον αὐτῷ διαμάχης ἐπικρατούσης; Εἰ δὲ καὶ αὐτὸς ὁ ζητῶν τὴν παρ' ἐκείνου ψῆφον ἔχει τοὺς ἀντιλέγοντας, πόσῳ μᾶλλον δυσέφικτον τὸ ζητούμενον; Εἰ δὲ καὶ ὑποπτεύοιτο παρ' αὐτοῦ, ὡς μὴ φιλίως πρὸς αὐτὸν διακείμενος, μᾶλλον δὲ πρὸς μὲν αὐτὸν ἀπεχθῶς, πρὸς δὲ τὸν ἀντικείμενον αὐτῷ φιλίως, ὁ δ' ἀντιλέγων ἀντιστρόφως ἔχων, πῶς οὐχὶ καὶ παντελῶς ἀνέφικτον, εἰ μή τι καὶ πλέον; Ἀλλ' ὃ μηδὲ δυσὶν ἀνθρώποις μαχομένοις δυνατὸν ἦν, πρὶν ἀφεῖσθαι τῆς πρὸς ἀλλήλους μάχης, ἑτέρων καὶ ταῦτα τῶν μὴ δοκούντων φίλων ὑπεραγωνίζεσθαι, τοῦτο πεποίηκεν ὁ Θεὸς δυνατὸν ἐν δήμοις καὶ στρατιώταις, καὶ στρατηγοῖς καὶ τοπάρχαις, ἵνα παραστήσῃ τοῖς πᾶσι διὰ πάντων ἀήττητον οὖσαν τῆς ἀληθείας τὴν δύναμιν. » Καὶ ταῦτα μὲν ἡ καλὴ διέξεισι γλῶττα, τήν τε λαμπρὰν κατ' αὐτοῦ καὶ τῆς εὐσεβείας ὁλοσχερῶς διεξιοῦσα τῶν ἐναντίων μανίαν, ὧν ἔξαρχος καὶ πρόμαχος καὶ στρατηγὸς ὁ κάκιστος τῆς Ἐκκλησίας προστάτης ἦν· καὶ τὸ πρὸς ταῦτα τῆς προνοίας καὶ τῆς δυνάμεως ἀμήχανόν τε καὶ ἄμα-

A χον τοῦ Θεοῦ διὰ τῶν δοκούντων ἐναντίων ὑπερφυῶς ἐνεργούσης τὰ κάλλιστα. Τὰ δὲ κατὰ μέρος ἐν ἐκείνῳ τῷ χρόνῳ θαυμαστῶς γεγονότα ποῖος ἂν Θουκυδίδης, ἢ καὶ Ἡρόδοτος ἄλλος ἀξίως ἐξείποι καθέκαστα; μᾶλλον δὲ τῶν μὲν πλείστων τῷ καθ' ἡμᾶς τῷδε φιλοσόφῳ, καὶ ὑπὲρ πάντας δημηγόρους καὶ σοφιστὰς παραχωρήσω καὶ ῥήτορας, ἐν τοῖς αὐτοῦ θαυμαστοῖς λόγοις, καὶ ταῖς πρὸς τοὺς ἑταίρους ἐπιστολαῖς ἄλλοτε ἄλλα φιλοσοφήσαντι· ἐγὼ δ' ἑνός τινος τούτων, ἢ καὶ δυοῖν μνησθεὶς κατ' ἐπιδρομὴν, ἐπ' ἐκεῖνα καὶ αὖθις τρέψω τὸν λόγον.

Ἡγεμὼν ἐχειροτονεῖτο τηνικαῦτα τοῖς βασιλεῦσι Πελοποννήσου καὶ στρατηγὸς καλὸς κἀγαθός· εὔνους μὲν ἐς τὰ μάλιστα τούτοις, φίλος δ' εὐσεβείας οὐχ ἧττον, καὶ τῆς ὀρθῆς τοῦ Θεοῦ δόξης προα-B σπιστής· τούτῳ τὰ πρὸς τὴν στρατηγίαν ἐκείνην τε καὶ τὴν ἔξοδον ἔτι παρασκευαζομένῳ, κἀν τῇ βασιλευούσῃ διάγοντι, πολλοὶ τῶν συνήθων καθ' ἑκάστην συνῆσαν· οἱ μὲν, ὡς καὶ συναποδημήσοντες, καὶ τῆς ὁδοῦ καὶ τῆς ἀρχῆς τῆς ἐκεῖ συναντιληψόμενοι, καὶ τὰ πρὸς χρείαν κατ' ἀξίαν ὑπηρετήσοντες ἕκαστος· οἱ δὲ, καὶ φιλίας καὶ ὁμιλίας ἁπλῶς ἕνεκα· τούτοις καὶ τῶν ὁμιλητῶν Ἀκινδύνου καὶ φίλων εἷς τις συνῆν, εἰς ὑπηρέτας τεταγμένος τῷ στρατηγῷ· καλὸς μέν πως τὸ εἶδος ἐκ γένους καλούμενος, δυσειδὴς δὲ τὸν τρόπον τέως καὶ τὴν γλῶτταν ἀκόλαστος, εἰ καὶ τοῦτον μετὰ βραχὺ θαυμαστῶς ἡ δεξιὰ τοῦ Ὑψίστου ἠλλοίωσε. Τούτῳ τῶν κατὰ τῆς εὐσεβείας αὐτοῦ συγγραμμάτων ὁ μυσταγωγὸς Ἀκίνδυνος ἐγχειρίσας τὰ κράτιστα, μέτροις ἰαμβικοῖς C ἡρμοσμένα, Πελοποννησίοις ἐκπέμπει, καθάπερ ὁ μῦθος πάλαι τοῖς Θηβαίοις τὴν σφίγγα, ἢ καὶ τῇ Ἑλλάδι πάσῃ τὴν ὑπερήφανον ἐκείνην ὁ χρόνος στρατιὰν τῶν Περσῶν· καὶ ὁ μὲν εἶχεν ὑπὸ μάλην ταῦτα, δεινὰ καὶ μελετῶν καθεκάστην, καὶ πρὸς τοὺς συνόντας διαλεγόμενος· καὶ πολὺς μὲν κατὰ τῆς εὐσεβείας, καὶ Γρηγορίου τοῦ ταύτης προστάτου ῥέων καὶ βλασφημῶν, πᾶσι δ' ἀντιλέγων ὁμοῦ τοῖς ὑπὲρ τούτων εὐσεβῶς ἱσταμένοις καὶ λέγουσι, καὶ πρὸ τῶν ἄλλων φημὶ τῷ οἰκείῳ δεσπότῃ καὶ στρατηγῷ· Ἀκινδύνου γε μὴν καὶ τῶν ἐκείνου προϊστάμενος ἰσχυρῶς, καὶ μόνον ἐκεῖνον εὐσεβείας εἶναι διδάσκαλον καὶ φρονῶν, καὶ πρὸς πάντας διατεινόμενος. Ἀλλ' ὁ τῆς σωτηρίας κηδόμενος πάν-D των Θεὸς, ὄψει μιᾷ καὶ νυκτὶ παραδόξως τούς τε Πελοποννησίους ὁμοῦ πάντας, καὶ αὐτὸν δὲ, φημὶ, τοῦτον ἐξαρπάζει τῆς ψυχοφθόρου λύμης, καὶ τοὺς πιστοὺς ἐπιστηρίζει πάντας τῷ θαύματι· καὶ ὁ τρόπος οἷος. Ἔκειτο μὲν ἐπὶ κλίνης νυκτὸς ὑπνῶν ὁ τὰ πονηρὰ φέρων ἐν κόλποις γράμματα· τῶν δὲ βασιλικῶν δορυφόρων ἐπιστάντες ἀθρόον, ὡς ἐδόκει, τινὲς, ἀνίστασθαί τε καὶ ἀκολουθεῖν αὐτοῖς εὐθέως ἐκέλευον εἰς εἱρκτὴν, οὕτω προσταγὲν ὑπὸ τοῦ κρατοῦντος· ὁ δ' ὑπὸ δέους εὐθὺς διαταραχθεὶς διανίσταται τῆς κλίνης, θορύβου καὶ ἀγωνίας μεστός· ἐν ἑαυτῷ δὲ γενόμενος ὥσπερ, καὶ τῇ φαντασίᾳ τὸ πᾶν δεδωκὼς, ἀναπλαττούσῃ καὶ τὰ μὴ ὄντα πολλάκις, ἀνακλίνεται καὶ πάλιν ἐπὶ τῆς εὐνῆς καὶ ὑπνοῖ· ἀλλὰ καὶ αὖθις οἱ αὐτοὶ βασιλικοὶ δορυφόροι

Digitized by Google

καὶ παρεῖναι ἐδόκουν, καὶ τὰ αὐτὰ τοῖς προτέροις A ὡσαύτως διακελεύεσθαι· αὐτός τε τῶν στρωμάτων ὁμοίως ἀναπηδῶν, καὶ ἀγωνίᾳ καὶ δέει συνεχόμενος μείζονι, ἐπειδὴ καὶ πρὸ βραχέος ἔτυχε βασιλικῆς εἱρκτῆς πειραθείς, καὶ τὰ τῆς ἐκεῖθεν ταλαιπωρίας φέρων ὥσπερ ὑπόγεια· καὶ πρὸς ἑαυτὸν ἐφ' ἱκανὸν λογισμοῖς παλαίων, καὶ τῷ συνεχεῖ τῆς τῶν αὐτῶν φαντασίας διαπορούμενος· ἐπεὶ δὲ καὶ αὖθις ὡς ὀνείρου καὶ φάσματος ἀλογήσας ἐπὶ τῶν στρωμάτων ὡσαύτως κατέδαρθεν, ὕπνος μὲν αὐτὸν καὶ πάλιν εἶχε μετὰ μικρὸν, ὡς δ' οἱ τῆς βασιλικῆς ὑπηρεσίας ἐπιστάντες ἐκεῖνοι καὶ πάλιν τὰ αὐτὰ τοῖς προτέροις ἦσαν σφοδρότερον ἐπιτάττοντες, ἐκεῖνος τῷ ὕπνῳ κατεχόμενος ἔτι, καὶ διαπορεῖν ὡσπερεὶ πρὸς ἐκείνους ἐδόκει, καὶ τὴν τῆς βασιλικῆς ὀργῆς αἰτίαν ἐπιζητεῖν· οἱ δ' αὐτίκα καὶ τῷ δακτύλῳ καθά- B περ ὑποδεικνύντες τὰ ὑπὸ κόλπον αὐτῷ πονηρὰ συγγράμματα τῆς αἱρέσεως, καὶ τὴν αἰτίαν φανερῶς ἐδίδασκον ἅμα· ὅτι, φησὶ, τοὺς τοῦ δυσσεβοῦς Ἀκινδύνου φληνάφους φέρων μετὰ σαυτοῦ διακομίζειν εἰς Πελοπόννησον σπεύδεις, εἰς πολλῶν ἀνθρώπων καταστροφὴν καὶ ἀπώλειαν· καὶ ὡς εἰ μὴ πόῤῥω που βαλὼν ἀποῤῥίψεις αὐτοὺς νῦν, ἅμα καὶ τὴν ψυχὴν ἀποῤῥήξας τῆς κακίστης περὶ τὰ τοιαῦτα συνηθείας τε καὶ στοργῆς, οὐκ ἀπαλλαγήσῃ τῆς ἐπικειμένης τοῦ βασιλέως ὀργῆς. Καὶ ὁ μὲν ἐδόκει καὶ πεπεῖσθαι τοῖς εἰρημένοις, καὶ προθυμότατα τὴν ἐκπλήρωσιν ὑποσχέσθαι· καὶ τοῦ ὕπνου δ' εὐθέως ἀπολυθεὶς, ἔργου κατὰ τὴν ὑπόσχεσιν εἴχετο, θείαν εἶναι τὴν ὄψιν αὐτοῖς πράγμασιν ἄριστα διδαχθείς. C Τὰ γοῦν γραμμάτια τῆς αἱρέσεως εὐθὺς ἀποῤῥίψας εἰς κόρακας, καὶ πολέμιος αὐτοῖς ἀντὶ φίλου σφοδρὸς γεγονὼς, ὕπνοι μὲν ἐλευθέρᾳ ψυχῇ τὸ ὑπόλοιπον τῆς νυκτός· τῆς δ' ἐπιούσης τὴν τοῦ ἡγεμόνος οἰκίαν ὡς ἔθος καταλαβὼν, τὴν παλινῳδίαν εὐθὺς ἐπὶ πάντων ἦν ᾄδων, τὴν συγγνώμην μὲν ἐπὶ τοῖς προτέροις Θεὸν καὶ τοὺς παρόντας αἰτῶν, τῶν δὲ τοῦ Θεοῦ θαυμασίων διαπρύσιος κῆρυξ πρὸς πάντας γιγνόμενος, ἁρπάζει τοὺς λόγους τοῦ στρατηγοῦ τῶν υἱῶν ὁ πρῶτος· ἄπεισι σπουδῇ πρὸς τὸν μέγαν καθειργμένον ἐν βασιλείοις, καθὰ δὴ καὶ πρὸ βραχέος ὁ αὐτοῦ λόγος ἔδειξε· τοῖς περὶ αὐτὸν ἐξαγγέλλει καὶ τὴν τῆς αἱρέσεως ὀλεθρίαν ἐπιβουλὴν, καὶ τὴν μετὰ θαύματος ὑπερφυᾶ καὶ θαυμαστὴν ἐκείνης ἀναίρεσιν· ἅμα καὶ τὸ τῆς δυσσεβείας πο- D νηρὸν ἐκεῖνο προσάγων ἐν μέτροις βιβλίον, εἰς τὴν τῶν ὑπ' αὐτοῦ λεγομένων βεβαίωσιν· ἀκούει παρὰ τῶν οἰκείων ἐκεῖ κατὰ μέρος πάντα καὶ ὁ διδάσκαλος· καὶ ἐπεὶ τὸ παράπαν ἀμφιβάλλειν οὐκ ἦν, αὐτῶν ἐκείνων τῶν κακίστων προκειμένων ὑπ' ὄψιν λόγων, οὓς ὁ πατὴρ καὶ δημιουργὸς ἅμα τῷ γεννῆσαι τῷ σκότῳ καὶ τοῖς μυχοῖς καὶ ἀφανίᾳ παρέδωκε, τὸ τῆς ἀληθείας φῶς, καὶ τοὺς ἐλέγχους τῆς λαμπρᾶς ὑποπτήσσων γλώττης τοῦ Γρηγορίου, δάκρυσι θερμοῖς μεθ' ἡδονῆς τινος ψυχῆς ἀποῤῥήτου τὴν εὐχαριστίαν ἀπεδίδου Θεῷ, τὰς ὁρμὰς οὕτω τῆς κακίστης αἱρέσεως ἀφανῶς τε καὶ προφανῶς ἀναστέλλοντι, καὶ τὴν τῶν πολλῶν θαυμαστῶς τε καὶ πανσόφως σωτηρίαν οἰκονομοῦντι.

A Οὐδὲ γὰρ ἐν τούτοις γε μόνοις, Θεῷ ἄρτι πρώτως ταῦτα τεθαυματούργηκεν, ἀλλὰ πλήρης τῶν τοιούτων ἐν ἐκείνοις τοῖς χρόνοις ἤπειρος καὶ θάλασσα πᾶσα σχεδὸν, νῆσοί τε καὶ πόλεις, καὶ πρὸ τῶν ἄλλων ἡ μεγάλη Θεσσαλονίκη, ἐν ᾗ δήπου καὶ τὰ τῆς ὑποθέσεως ἄνωθεν ἦρκται· πανταχόσε μὲν τῶν τῆς αἱρέσεως πονηρῶν ἐκπεμπομένων λάθρα γραμμάτων· οὐδὲ γὰρ εἶχε χώραν ἐνταῦθα τέως ἐξεληλεγμένα καὶ καθυβρισμένα πολλάκις· συλλαμβανομένων δ' ὁμοῦ παρὰ τῶν εὐσεβῶν μετὰ θαύματος σχεδὸν πάντων, καθαπερεί τινων λῃστῶν καὶ ἱεροσύλων, καὶ πρὶν εἰργάσθαι τὰ οἰκεῖα, καὶ ταῖς χερσὶ καὶ τῇ γλώττῃ διδομένων τοῦ Γρηγορίου, αὐτοκράτορος ἐκεῖ καὶ Θεοῦ παρὰ τοῦ μόνου φύσει Θεοῦ καὶ Δεσπότου τῶν τοιούτων θαυμαστῶς χειροτονη- B θέντος, καίτοι γε καὶ καθειργμένου, καθὰ δὴ καὶ πολλάκις ἔφην, καὶ καταδίκου φέροντος σχῆμα, ἵνα καὶ θαυμασιώτερον ᾖ τὸ κατ' αὐτὸν μᾶλλον. Τῆς αὐτῆς οἰκονομίας δὲ καὶ θαυματουργίας καὶ ἡ τοῦ μεγάλου καὶ θαυμαστοῦ Σάββα περὶ τῶν τοιούτων θεωρία γέγονεν ἔργον· τὸν ἡμέτερον λέγω, τὸν πάνυ, τὸν τῆς ἡσυχίας καὶ διακρίσεως λύχνον, τῆς ταπεινώσεως καὶ τῆς ἀγάπης τὸν οἶκον, τὸ τέμενος τῆς θείας σοφίας, τὸν ἄλλον ἥλιον ἐν σαρκὶ, ταῖς τοῦ θείου φωτὸς ὑπερφυέσιν ἐλλάμψεσι καὶ ταῖς ἐνεργείαις· ὃς ἐκεῖνα περὶ Ἀκινδύνου καὶ τῆς κατ' αὐτὸν εἶδε τότε πονηρᾶς συμμορίας, εὐχόμενος Θεῷ καὶ δεόμενος ὑπὲρ τούτων, ἅπερ ἡμεῖς φθάσαντες τοῖς ὑπὲρ ἐκείνου συνετάξαμεν λόγοις, πᾶσαν ἐξιστάντα καὶ ἀκοὴν καὶ διάνοιαν.

C Γρηγόριος μὲν οὖν ὁ σοφὸς τέσσαρας ἐνιαυτοὺς ὅλους ἦν διαμείβων ὥσπερ ἐν λάκκῳ τινὶ τῇ φρουρᾷ, καὶ τὸν συναθλητὴν καὶ συσπουδαστὴν, ὅπερ ἔφην, Ἱερεμίαν ἐν τούτῳ παρενεγκὼν, καὶ ταῦτ' ἐν οὕτω νοσώδει καὶ τακερῷ σώματι, καὶ νοσοκομίας δεομένῳ σχεδὸν καθ' ἑκάστην καὶ συνεχοῦς φαρμακείας, ἀλλ' οὐχὶ τῶν ἐναντίων ὁμοῦ πάντων, ὅπου γε καὶ αὐτὸ τὸ διὰ παντὸς ἐγκεκλεῖσθαι καὶ ἀπρόϊτον διαμένειν ἐπὶ χρόνον οὕτω μακρὸν φθορὰν τοῖς τοιούτοις καὶ μόνον ἐργάζεσθαι πέφυκεν· ἀλλ' ἐκεῖνον ἡ διπλῆ τοῦ γένους ἔδακνε μᾶλλον φθορὰ, νῦν μὲν ὅπλα κατ' ἀλλήλων κινούντων, καὶ τὴν στάσιν καὶ τοὺς καθ' ἑαυτῶν ἀναπτόντων πολέμους ὅλῳ θυμῷ, νῦν δὲ τὸ πάτριον καὶ ἀποστολικὸν εἰς Θεὸν σέβας, D καὶ τὰς τῶν θεολόγων κοινὰς παραδόσεις ἀναίδην ἐξαρνουμένων, καὶ τῷ καθαρῷ λόγῳ τῆς ἀληθείας τὰς βεβήλους τῶν αἱρέσεων ἐπεισαγόντων κενοφωνίας, καθάπερ οἱ τῷ δοκίμῳ χρυσίῳ τὸ κίβδηλον, ἢ τῷ καρδίαν εὐφραίνοντι φυσικῶς οἴνῳ τὸν ὀξώδη καὶ ὑδατώδη καὶ τοῖς χρωμένοις ἥκιστα χρήσιμον· καὶ τὸ τούτων ἔτι δεινότερόν τε ὁμοῦ καὶ ἀνιαρώτερον, ὅτι καὶ ὑπ' αὐτῶν φεῦ! τῶν δοκούντων προστατῶν τε καὶ ἡγουμένων τῆς Ἐκκλησίας τῶν πολλῶν ἢ καὶ πάντων σχεδὸν ἐρεθιζομένων πρὸς ταῦτα, ὑφ' ὧν καὶ παρ' ἑαυτῶν κινουμένους ἐχρῆν πάντα τρόπον ἀνείργεσθαι. Ὁ δὲ καὶ τούτων ἅμα κἀκείνων ἐξιστάμενος πάντων Θεῷ, καὶ νῦν μὲν τὸ τοῦ θείου Δαβὶδ πρὸς αὐτὸν μετὰ τῆς ὁμοίας ὑποφωνῶν ἐλπίδος, τὸ, « Γένοιτο, Κύριε, τὸ ἔλεός σου

Digitized by Google

ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ [18]· » αὖθις δὲ καὶ τὸ τοῦ Χρυσοῤῥήμονος συνεχῶς προστιθεὶς ἐκεῖνο μετὰ τῆς ἴσης εὐνοίας καὶ τῆς εὐχαριστίας, τό· Δόξα σοι, Κύριε, πάντων ἕνεκα· ταῦτα καὶ γὰρ ἦν οἱονεὶ προσφθέγματα διὰ βίου πρὸς τὸ θεῖον τῇ μεγάλῃ καὶ ἀοιδίμῳ ἐκείνῃ ψυχῇ, καὶ μάλιστ' ἐν καιρῷ περιστάσεών τε καὶ πειρασμῶν ἄκαμπτός τις καὶ ἀκλόνητος ἐν ἅπασιν ἦν, ὡς ἐν καμίνῳ μέσῃ τοῖς παντοδαποῖς τουτοισὶ πειρασμοῖς, ἄφλεκτος κατὰ τοὺς μακαρίους ἑστηκὼς παῖδας ἐκείνους, καὶ Θεὸν αἰσθητῶς τε καὶ νοητῶς ἀνυμνῶν, καὶ τὸν τῆς ὁμολογίας ἄριστα πλέκων ὕμνον καὶ λόγοις καὶ γράμμασι, καὶ δὴ καὶ τοὺς τῆς πλάνης ὑπηρέτας τε καὶ ἀρχηγοὺς κατ' ἐκείνους νοητῶς καταφλέγων ἐκεῖθεν, κἀντεῦθεν καὶ πράγμασι καὶ λόγοις ἅπασαν ὑπερφυῶς συγκαλῶν τὴν κτίσιν πρὸς τὸν εὐχαριστήριον ὁμοῦ καὶ ἱκέσιον.

Καιρὸν γὰρ εἶναι καὶ τοῦτον, εἴπερ τινὰ παρ' ἑαυτῷ κρίνα; νοερᾶς ἡσυχίας καὶ νεύσεως παντελοῦς πρὸς Θεὸν, ἐκείνοις τε καθάπερ εἴ τις ἀκάματος φύσις νύκτωρ καὶ μεθ' ἡμέραν ὑπερφυῶς ἑαυτὸν ἦν διδοὺς, καὶ προσέτι ταῖς τῶν θεολόγων φιλοπονώτερον βίβλοις ἐγκύπτων καὶ γράφων καὶ λογογραφῶν τὴν εὐσέβειαν· ἐνταῦθα καὶ γὰρ οἱ πρὸς τὰς ἐρεσχελίας ἢ δυσσεβείας οἰκειότερον μᾶλλον εἰπεῖν Ἀκινδύνου πάντες αὐτῷ σχεδὸν συντάττονται λόγοι, πρόφασιν μὲν ἐκεῖνον ἐσχηκότες καὶ τοὺς ἐκείνου μακροὺς λήρους, καὶ τὸν συρφετὸν τῆς συκοφαντίας τε καὶ τῆς βλασφημίας, οὓς κἂν ὑπνώττων ὁ ἐμὸς ἀριστεὺς οὑτοσὶ, καθάπερ εἴ τινας σκιὰς καὶ ἰνδάλματα λόγων καὶ βλασφημίας, ῥᾷστα καὶ ἀπόνως ἦρεν ἐκ μέσου, διὰ πάσης δὲ δογματικῆς καὶ θεολογικῆς ἰδέας θαυμαστῶς ἄγαν ἰόντες, καὶ ἀξίους ἐκείνου, καὶ τὸ μυστήριον ἅπαν τῆς τε κατὰ τὴν Τριάδα φημὶ μεγάλης θεολογίας, τῆς τε κατὰ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς Τριάδος οἰκονομίας ἐκπαιδεύοντες πάντας, καὶ μυστήριον ἄντικρυς εὐσεβείας ὄντες, ἡ φανέρωσις ἐναργὴς καὶ διδασκαλία τοῦ κατ' εὐσέβειαν ὑπερφυοῦς μυστηρίου, ἀναπτύσσοντές τε τὰ συνεπτυγμένα καὶ τὰ δύσληπτα σαφηνίζοντες, καὶ ταῖς θείαις Γραφαῖς τὰ τῶν θεολόγων καὶ διδασκάλων ἄριστα συμβιβάζοντες, καὶ σύμφωνον αὐτοῖς τε κἀκείναις ὁμοῦ τὸ κατὰ τὸν μέγαν τοῦτον δεικνύντες Εὐαγγέλιον καὶ τὸ κήρυγμα, καὶ καθ' ὑπερβολὴν τοῖς συνιεῖσι θαυμαζόμενον διὰ πάντων, καὶ ὡς οὐδεὶς οὐδέπω τῶν πάντων σχεδὸν πρότερον.

Ὁ δὲ τῆς Ἐκκλησίας ψευδώνυμος ἀρχηγὸς Ἰωάννης, ὥσπερ ἔξω γενόμενος αὐτὸς ἑαυτοῦ καθάπαξ, καὶ τὰς φρένας διαφθαρεὶς καὶ τὸν ἐγκέφαλον διασεσεισμένος, μᾶλλον δ' εἰπεῖν οἰκειότερον, πνεύματι πλάνης ἀπαχθεὶς, καὶ πρὸς αὐτὸν ἀράμενος φανερῶς τὸν Θεὸν τὸν πόλεμον, ἐπὶ τὰ πρότερα καὶ αὖθις χωρεῖ· καί τινα τῶν ὁμιλητῶν τε καὶ σπουδαστῶν Ἀκινδύνου, μοναχοῦ καὶ διακόνου περικείμενον σχῆμα, τὸ γὰρ ὄνομα παραλείψω τὸ τήμερον ἔχον, τῆς κατὰ Θεσσαλονίκην λαμπρᾶς Ἐκκλησίας σύν

A γε τοῖς ὑπ' αὐτὸν ψηφίζεται πρόεδρον· Ἀκίνδυνον ἢ Βαρλαὰμ ἄλλον, ὅσον ἐπὶ τῇ δυσσεβείᾳ φημὶ καὶ τῷ κατὰ τῆς εὐσεβείας πονηρῷ ζήλῳ. Ἀλλὰ καὶ ταῦτα λύει Θεὸς ὀξύτερον τῶν προτέρων ἐκείνων· μᾶλλον δ' οὐ λύει θαυμαστῶς μόνον, ἀλλὰ καὶ κατὰ τῆς αὐτοῦ τούτου κεφαλῆς ταυτὶ περιτρέπει, ὡς καὶ ὁ λόγος αὐτίκα δείξει.

Ὡς γὰρ ᾔσθετο καὶ τούτων ἡ καλῶς τῆς εὐσεβείας προϊσταμένη θαυμαστὴ βασιλὶς, πέμπει παρευθὺ πρὸς τὸν τῆς αἱρέσεως ὑπέρμαχον Ἰωάννην, καθάπαξ ἀπέχεσθαι παραινοῦσα τῆς κοινωνίας τῶν τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου φρονούντων, συνοδικῶς αἱρετικῶν ἐξεληλεγμένων σὺν τοῖς αὐτῶν διδασκάλοις, καὶ γράμμασι καὶ τόμοις καὶ φρικωδεστάταις ἀραῖς τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας ἐκκεκομ-
B μένων· ἀλλ' ἐκεῖνος τῇ δυσσεβείᾳ προστιθεὶς τὴν ἀναισχυντίαν, ἄλλως τε καὶ τῆς προνοίας, εἰς ὃν αὐτὸς φθάσας ὤρυξε βόθρον, συνωθούσης δικαίως, βίβλον ὅλην συγγραμμάτων ἀντιπέμπει πρὸς τὴν φιλόχριστον βασιλίδα, τῶν αὐτοῦ καινοτομιῶν δῆθεν καὶ τῶν ἀλλοκότων πράξεων ὑπεραπολογησομένην· ἣ δὴ καὶ τῆς δικαιοτάτης αὐτῷ καταστροφῆς καὶ τῆς καθαιρέσεως πρόξενος ὤφθη· διαβολὴν καὶ γὰρ ἐν ἑαυτῇ περιέφερε, καὶ φορυτὸν συκοφαντίας καὶ βλασφημίας κατὰ τοῦ τῆς Ἐκκλησίας ἱεροῦ Τόμου, καὶ ἀνατροπὴν ἐν προσχήματι ἐξηγήσεως Τόμου, ὃν αὐτὸς πρὸ βραχέος ἔτι τὸν νοῦν καὶ τὸν ἐγκέφαλον ἀπερίτρεπτον ἔχων, ὡς εὐσεβείας ἄντικρυς ὅρον καὶ ἐπῄνει καὶ συνεκρότει, καὶ πρὸ τῶν ἄλλων
C ἁπάντων καὶ γλώττῃ καὶ χειρὶ καλῶς ὑπεστήριζεν· οὐ μὴν ἀλλὰ καὶ τὰ κράτιστα καὶ καιριώτατα τῶν τῆς δυσσεβείας συγγραμμάτων ἐνῆν ἐκείνῃ τῇ τῆς αἱρέσεως βίβλῳ, πάντας ἁγίους σχεδὸν καὶ θεολόγους ἀποκηρύττοντα διὰ τῶν ἱερῶν αὐτῶν συγγραμμάτων, ὡς κακοδόξους. Ἁλίσκεται γοῦν τοῖς οἰκείοις πτεροῖς, καὶ τὰς δικαίας εἰσπράττεται δίκας ὁ περιφανὴς τῆς ἀληθείας ἐχθρὸς, τῆς θαυμαστῆς βασιλίδος τὸν ὑπὲρ εὐσεβείας ἱερὸν ἀναψάσης καὶ νῦν εἴπερ ποτὲ ζῆλον, καὶ τὸν χορὸν τῶν ἀρχιερέων ἅμα καὶ τῶν λογάδων τῆς Ἐκκλησίας σύν γε τοῖς ἐν τέλει συναγαγούσης· καὶ τὸν τῆς αἱρέσεως πρόμαχον ἅμα τοῖς αὐτοῦ μυσταγωγοῖς τε καὶ τῆς αἱρέσεως ἀρχηγοῖς, καὶ τῆς ἱερωσύνης ἀπογυμνωθῆναι, καὶ τῆς Ἐκκλησίας ἀποβληθῆναι
D κάλλιστά τε καὶ δικαιότατα, καὶ ἀξίως ἑαυτῆς τε καὶ Θεοῦ παρεσκευακυίας· δι' ἅπερ, οἶμαι, καὶ εἰς γῆρας αὐτῇ τὰ τῆς βασιλείας ὑπ' αὐτοῦ συντηρεῖται, τὸν ὑπὲρ εὐσεβείας θαυμαστὸν αὐτῆς ζῆλον, καὶ τὴν τῆς Ἐκκλησίας αὐτοῦ προστασίαν καὶ συμμαχίαν καὶ τὴν τοῦ θαυμαστοῦ βασιλέως καὶ ὁμοζύγου καλὴν ὑπὲρ εὐσεβείας μίμησιν καὶ ἀνδρίαν δικαίως ἀμειβομένου. Τῇ δὲ τῆς εὐσεβείας ταύτῃ λαμπρᾷ βεβαιώσει, βεβαίωσις καὶ γὰρ εὐσεβείας καὶ στήριγμα τῆς Χριστοῦ γέγονεν Ἐκκλησίας ἡ τῆς αἱρέσεως καταστροφὴ καὶ τῶν ταύτης προϊσταμένων, αὐθημερὸν καὶ ἡ κοινὴ διαλύεται στάσις καὶ τὰ τῶν ἐμφυλίων πολέμων, τῆς βασιλείας εἰς

[18] Psal. XXXII, 22.

Digitized by Google

ὁμόνοιαν ἑαυτῇ καὶ συμφωνίαν κάλλιστα συνελθούσης, καὶ τῶν μελῶν ἐπιγνόντων ἄλληλα, καὶ κατὰ φύσιν εἰς ταυτὸ συνελθόντων, ἄριστα Θεοῦ τεθαυματουργηκότος κἀν τούτῳ, καὶ δεδειχότος πᾶσι τρανῶς, τίνες μὲν οἱ τῆς αἱρέσεως καρποὶ καὶ τῆς κατὰ Χριστοῦ βλασφημίας, τίνα δὲ τὰ τῆς καταστροφῆς ἐκείνων ἀποτελέσματα καὶ τῆς ὀρθῆς περὶ Θεοῦ δόξης καὶ εὐσεβείας.

Τῆς γοῦν πάλαι φυγάδος εἰρήνης καὶ ἐξορίστου μετὰ μακρὸν, ὡς εἴρηται, καλῶς κατιούσης τὸν χρόνον, καὶ Γρηγόριος πρὸ τῶν ἄλλων ὁ μέγας τῆς ἀδίκου φρουρᾶς, μᾶλλον δὲ τῶν χρονίων ὑπὲρ εὐσεβείας ἀγώνων καὶ τῆς εἱρκτῆς καὶ τῆς καταδίκης, λαμπρῶς μετὰ τῶν τῆς ὁμολογίας στεφάνων ἐπάνεισι· καὶ ἵνα τὰ ἐν μέσῳ παρῶ, ψήφῳ κοινῇ τῆς Ἐκκλησίας ὁμοῦ καὶ τῆς βασιλείας ὡς ἔθος, καὶ πρὸ τούτων ἐνεργείᾳ θείᾳ καὶ νεύσει, Ἰσίδωρος μὲν ὁ θεῖος τῶν οἰάκων ἐπιλαμβάνεται τῆς κοινῆς Ἐκκλησίας, Γρηγόριος δ' ὁ μέγας εὐθὺς μετ' αὐτόν τε καὶ δι' αὐτοῦ τῶν τῆς θαυμαστῆς Ἐκκλησίας, Θεσσαλονίκης φημὶ τῆς μεγάλης, πολλὰς ὑπὲρ τούτου καὶ μεγάλας δεξάμενος τὰς ἀξιώσεις καὶ ἱκεσίας παρά τε βασιλέως αὐτοῦ καὶ δὴ καὶ τοῦ θαυμαστοῦ πατριάρχου. Καὶ λαμβάνει μὲν, ἢ ἀπολαμβάνει τὸ τῆς Ἐκκλησίας κοινὸν τὸν πάλαι περιφανῆ ταύτης ὑπέρμαχον καὶ προστάτην, τὸν δημαγωγὸν ὡς εἰπεῖν καὶ καθηγητὴν τῶν τοῦ Θεοῦ θεσπισμάτων καὶ τοῦ μεγάλου ταύτης πληρώματος οὐχ ἀνθρωπείαν κατά τινας χάριν, ἀλλὰ τῆς ἐκ παιδὸς ἀρετῆς ἆθλον, καὶ τῶν μακρῶν ὑπὲρ εὐσεβείας ἀγώνων, καὶ τῆς ὁμολογίας κομισάμενον τοῦτο· δέχεται δὲ καὶ ἡ περιφανὴς ἐκείνη καὶ μεγάλη καθέδρα τὸν ταύτης ἄξιον ὄντως· οὔτε γὰρ ἐκείνην οὕτω μεγάλην τε καὶ θαυμαστὴν διὰ πάντων οὖσαν ποιμένος δεομένην, ἐχρῆν ἄλλον τινὰ κεκομίσθαι πρὸ τούτου· οὐκοῦν οὐδὲ ἐκεκόμιστο· οὔτ' αὖ τοῦτον ἐπὶ προστασίαν Ἐκκλησίας οὕτω λαμπρῶς ἰόντα θείᾳ ψήφῳ τε καὶ προκλήσει πρὸ ταύτης ἑτέραν ἑλέσθαι· οὐκοῦν οὐδὲ προείλετο· ἀλλὰ γίνεται καὶ ἄμφω θαυμαστῶς καὶ καιρίως, καὶ κατὰ σώζοντα λόγον, καὶ τί γε εἰπεῖν ἄλλως, ἢ καθάπερ ἐχρῆν τὴν τὰ τοιαῦτ' ἐνεργοῦσαν μεγάλην καὶ παντοδύναμον ἐνηργηκέναι τοῦ Πνεύματος χάριν, ὑπὲρ ἧς καὶ μάλιστα τοὺς μεγάλους ἐκείνους καὶ γενναίους ἀγῶνας ὁ μέγας ὄντως διήνυσεν;

Ἀλλ' ἀρχὴ πάλιν ἀγώνων καὶ παλαισμάτων ἑτέρων, καὶ ἀθλητὴς ὁ τοῦ Θεοῦ ἀρχιερεὺς, ὡς ἐξ ἄλλης ἀρχῆς αὖθις, ὡσανεὶ πεπρωμένον ἦν αὐτῷ τὸ διὰ βίου παλαίειν, καὶ τοῦτον παρὰ τῆς τοῦ Θεοῦ προνοίας παρὰ πάντας ὁ γεννάδας εἰλήχει τὸν κλῆρον· ἄθρει καὶ γάρ· κάτεισι μὲν ἐκ Βυζαντίου πρὸς τὴν λαχοῦσαν αὐτὸν καθέδραν τε καὶ τὴν πόλιν· ἡ δ' ἀποσείεται φεῦ! καὶ ἀποπηδᾷ τοῦ Πατρὸς, ἔτι λύμης τῆς προλαβούσης ἀπόζουσα καὶ τῆς στάσεως, μήπω τῇ τῆς εἰρήνης εὐωδίᾳ τὸν πονηρὸν ἐκεῖνον καὶ διεφθορότα χυμὸν καὶ τὴν καχεξίαν θεραπευθεῖσα. Προσῆν δέ τισι καὶ ἡ θρυλληθεῖσα παρὰ τῶν δυσσεβῶν καινοτομία τῶν θείων δογμάτων καὶ ἡ πονηρὰ περὶ αὐτῆς ὑποψία, εἰ καὶ πρόσχημα μᾶλ- A λον καὶ προκάλυμμα τῆς χαλεπῆς στάσεως, καὶ τῶν λειψάνων τῆς ἀταξίας τοῦτό γε ἦν. Ἀλλὰ Θεὸς ἄνωθεν καὶ διωκόμενον ἀναγορεύει θαυμαστῶς τοῖς ἐν τῇ πόλει τὸν μέγαν, καὶ δείκνυσι διὰ τῶν ὀρθῶς ἐπιζητούντων, οἷος ἐκεῖνος τὴν πρὸς αὐτὸν οἰκείωσιν καὶ τὴν παῤῥησίαν· καὶ ὅπως ὁ λόγος ἤδη δηλώσει.

Ἦν τις τῶν εὐλαβῶν καὶ σπουδαίων τῷ κλήρῳ τῆς κατὰ Θεσσαλονίκην Ἐκκλησίας ἄνωθεν ἐγκατειλεγμένος, τῇ τοῦ πρεσβυτέρου τετιμημένος ἀξίᾳ, καὶ τὴν ὀρφανοτρόφου ταύτῃ τάξιν ἀποπληρῶν· τούτῳ παιδίον ἦν θῆλυ, τοῖς τοῦ γάμου μὲν οὔπω δεσμοῖς ὑποβεβλημένον, νόσῳ δὲ χαλεπῇ παρειμένον ἅπαν τοῦ σώματος μέλος καὶ τρεῖς ὅλους ἐνιαυτοὺς ἐπὶ τῆς οἰκίας κλινοπετὲς κατακείμενον. Τῆς B δέ γε τῆς Θεομήτορος πανηγύρεως ἐφεστιώσης, ἣν ἔθος ἡμῖν ἐπιτελεῖν ἐπὶ τῷ ταύτης σεπτῷ γενεθλίῳ, ὀγδόης ἱσταμένης δηλαδὴ Γορπιαίου, τοὺς τῆς ἱερουργίας κοινωνοὺς καὶ συμπρεσβυτέρους ὁ προῤῥηθεὶς ἀξιοῖ πρεσβύτερος εὐχὴν ἱερὰν ἐπὶ τῶν μεγάλων κοινῇ μυστηρίων πρός γε τὸν τῶν μυστηρίων θέσθαι Θεὸν καὶ Δεσπότην, ὅπως ἂν αὐτοῖς γνώριμα γένοιτο διά τινος ἐκεῖθεν σημείου τὰ κατὰ τὸν ἐλαυνόμενον κακῶς ἐκεῖθεν ἀρχιερέα, οἵαν τὴν τάξιν τε καὶ τὴν παῤῥησίαν πρὸς αὐτὸν ἔχει, εἰς ἔλεγχον μέν φησι καὶ αἰσχύνην τῶν ἑκόντι κακουργούντων, βεβαίωσιν δὲ τῶν ὑπ' ἀγνοίας ἀμφιβαλλόντων καὶ περιτρεπομένων· καὶ οἱ μὲν εὔχοντο τῆς ὑπὲρ τούτων εὐχῆς ἐνταῦθα, τελοῦντες τὰ μυ- C στικά· συνηύχετο δὲ κἀκεῖνος αὐτοῖς, τὴν παρειμένην καὶ κλινοπετῆ τοῖς λογισμοῖς προτιθεὶς παῖδα, καὶ τὴν ἐκείνης θεραπείαν ἀντ' ἄλλου τινὸς τῶν σημείων αἰτῶν. Θεὸς δ' ἐκεῖ τὸν οἰκεῖον δοξάζων θεράποντα, ὑπὲρ οὗ καὶ τὰ τῆς εὐχῆς καὶ τῆς δεήσεως αὐτοῖς ἐτελεῖτο, ἀνίστησί τε τῆς κλίνης ἀθρόον τὴν κόρην, καὶ βαδίζειν ἀπταίστως καὶ περιτρέχειν σὺν τοῖς ἐῤῥωμένοις ποιεῖ τὴν οἰκίαν, ὢ τῶν καινῶν σου, Χριστὲ, θαυμασίων! ὡς καὶ θάμβους καὶ ἐκστάσεως πληροῦν τοὺς ὁρῶντας· ταῦτα καὶ τοῖς ἱερεῦσι γνωσθέντα, τῶν μυστικῶν τελουμένων ἔτι, ἀνυμνεῖν τε Θεὸν καὶ θαυμάζειν ἐποίει καὶ λόγου πέρα καὶ διανοίας, καὶ μάλιστα τοῖς τὸ τῆς παιδὸς συνειδόσι βαρὺ καὶ χρόνιον πάθος, καὶ τὸν ἐκείνου θεράποντα Θεοῦ τε θαυμαστὸν ἀρχιερέα, καὶ τῶν D ἀποστόλων ἐνάμιλλον αὐτούς τε καλῶς εἰδέναι, καὶ τοῖς ἄλλοις μετὰ παῤῥησίας κηρύττειν. Ὁ μὲν οὖν ἀρχιερεὺς πρύμναν ἐκεῖθεν κρουσάμενος, ἐπείπερ ἀπεκρούσαντο τὴν ἐκείνου παρουσίαν, ὡς ἔφην, ἐς Ἄθω τὸν ἱερὸν ἀνεχώρει, καὶ πρὸ τῆς καθόδου καὶ μετὰ τὴν κάθοδον πλεῖστα νοσήσας τὸ σῶμα, καὶ βραδέως που καὶ μετὰ πλείστας ἡμέρας δυνηθεὶς ἐπιβῆναι τοῦ ὄρους, ἐκεῖνά που πρὸς Θεσσαλονίκην τὴν ἰδίαν καὶ αὐτὸς, οἶμαι, λέγων, ἅπερ καὶ Χριστὸς πρὸς Ἱερουσαλὴμ ἐλαύνουσαν αὐτὸν πάλαι· «Εἰ ἔγνως καὶ σὺ καί γε ἐν τῇ ἡμέρᾳ ταύτῃ τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπὸ σοῦ, καὶ οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.» Οἱ δ' ἐν τῷ ὄρει Πατέρες ἄσμενοι τὸν πάλαι ποθούμενον καὶ δεξάμενοι καὶ ἰδόντες, καὶ τῶν τῆς ἐκείνου γλωτ-

Digitized by Google

A της ῥευμάτων οἷά τινος νέκταρος θείου μετέχοντας καθ' ἑκάστην, παρ' ἑαυτοῖς κατέχειν ἐβούλοντο σφόδρα, καὶ αὐτὸν βουλόμενον τοῦτο μέχρις ἂν τὰ τῆς ἐκεῖ στάσεως καὶ τῆς ἀνωμαλίας εἰς τὴν κατὰ φύσιν ὁμόνοιαν ἐπανέλθοι καὶ τὴν ὑγείαν. Ἀλλ' ὁ τῶν Τριβαλλῶν ἄρχων Στέφανος, καὶ αὐτὸς ἐπιβὰς τότε τοῦ Ἄθω (ἡ γὰρ κάκιστ' ἀπολουμένη στάσις καθ' ἑαυτῶν τῶν Ῥωμαίων ἐκείνη, κἀκεῖνον βασιλέα κεχειροτόνηκεν οὐ σμικροῦ τῆς τῶν Ῥωμαίων ἀρχῆς μέρους)· ἐκεῖνος τοιγαροῦν δεσποτικῶς καὶ τοῦ θείου ἐπιβὰς ὄρους τότε, ἐπεὶ καὶ τῷ μεγάλῳ τῷδε ἀρχιερεῖ συγγεγονὼς εἰς ὁμιλίαν ἦλθε καὶ λόγους, πάλαι ποθῶν ἐκ τῆς φήμης, πρῶτα μὲν ἐδεῖτο καὶ παντοδαπός τις ἦν εἰς ἑαυτὸν ἐφελκύσασθαι, καὶ πρὸς τὴν ἰδίαν ἀρχὴν μεταθεῖναι τὸν
B ἄνδρα, τίνα μὲν οὐ λέγων, ποῖα δ' οὐχ ὑποσχόμενος ὥστε δυνηθῆναι τοῦ ποθουμένου τυχεῖν; ὡς δὲ κατανεύοντα τούτοις οὐκ εἶχεν οὐδοτιοῦν, ἐπὶ δευτέραν ἱκετείαν ἐτράπετο, προστιθείς τι καὶ βίας ὥστε τὴν Κωνσταντίνου καὶ αὖθις καταλαβόντα τὸν μέγαν πρεσβευτὴν αὐτῷ γενέσθαι πρὸς βασιλέας· τὸ δ' ἦν ἄντικρυς προσωπεῖον μᾶλλον τοῦ κεκρυμμένου τὸ τῆς πρεσβείας, ἀλλ' οὐχ αὐτὴ τοῦ πράγματος ἡ ἀλήθεια· οὐδὲ γὰρ ἐβούλετο νεοπαγῆ καὶ κραδαινομένην ἔτι τῆς τῶν Ῥωμαίων γῆς τὴν ἀρχὴν κεκτημένος, τὸν μέγαν ἐκεῖνον παρ' ἐκείνῃ κεκτῆσθαι, ζώπυρον οἱονεὶ τῆς βασιλείας ὄντα Ῥωμαίων, καὶ ῥᾷστα δυνάμενον τὴν πρὸς ἐκείνους τῆς εὐνοίας τῶν οἰκείων αὖθις ἀνάψαι φλόγα, τηλικοῦτον ὄντα καὶ πράγμασιν ἅμα καὶ λόγοις.

C Ἄξιον δὲ μηδ' ἐκεῖνο παραδραμεῖν· ὡς γὰρ ὁ τῶν Τριβαλλῶν ἄρχων οὑτοσὶ, καθάπερ ἔφθην εἰπὼν, πάντα κάλων κινῶν καὶ πᾶσαν μετιὼν λόγου πεῖραν ὥστε τὸν μέγαν πρὸς ἑαυτὸν ἐπισπάσασθαι, προστίθει τοῖς λεχθεῖσι κἀκεῖνα, ὡς ἀπελαύνουσι μὲν αὐτὸν αἰσχρῶς οἱ Ῥωμαῖοι, μηδὲ τῆς λαχούσης γοῦν Ἐκκλησίας ἐπιβῆναι παραχωροῦντες. αὐτὸς δὲ, πεισθέντι τοῖς αὐτοῦ δηλαδὴ λόγοις καὶ τῇ προκλήσει, καὶ πόλεις αὐτῷ καὶ ἐκκλησίας προθύμως χαριεῖται καὶ χώρας· εἶτα καὶ σωροὺς ἠρίθμει πρὸς τούτοις ἐπετείων φόρων τε καὶ χρημάτων, ὧν ἐκεῖ δηλαδὴ κύριος ἔσται. Ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, πλεῖστα μέν τινα λόγου καὶ συγγραφῆς ἄξια πρὸς αὐτὸν διεξῄει, προσετίθει γε μὴν ἐπὶ τέλει κἀκεῖνα·
D Πολιτικῆς ἀρχῆς καὶ χωρῶν καὶ φόρων καὶ προσόδων καὶ χρημάτων πολυταλάντων τὸ παράπαν ἡμῖν οὐδ' ἡτισοῦν χρεία· ὡς γὰρ εἴ τις σπόγγον λαβὼν, ὕδατος κύλικα χωρεῖν ἐν ἑαυτῷ πεφυκότα μόνην, μέσον τοῦ Αἰγαίου τούτου ἐμβάλλοι, οὐκ ἂν ἀνιμήσαιτό ποτε τὴν ἄβυσσον τοῦ πελάγους· πῶς γάρ; ἀλλὰ κἀκεῖθεν τὴν τοῦ ὕδατος κύλικα μόνην ὁ σπόγγος ἀναμαξάμενος, ἧς δηλαδὴ χωρητικὸς πέφυκε κατὰ φύσιν, τῶν ῥευμάτων ἐκείνων καὶ τοῦ πλήθους τῆς ὑγρᾶς οὐσίας, ὡς μηδὲν πρὸς αὐτὸν ὄντων, ἀφέξεται κατὰ πᾶσαν ἀνάγκην, ὡς δὲ καὶ ἡμεῖς, ὀλίγων τινῶν ἀποζῆν καὶ τοῖς ἀναγκαίοις ἀρκεῖσθαι μόνοις πάλαι μεμαθηκότες, καὶ ὡσανεὶ πεφυκότες ἤδη πρὸς τοῦτο, κ..ν εἰς πάντα τὸν ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν χρυσὸν, κἂν εἰς τὸ τοῦ μυθευομένου Πακτωλοῦ ῥεῦμα φέρων

A ἡμᾶς ὅλους βαπτίσῃς, τῆς ἐφημέρου τροφῆς καὶ τῶν ἀναγκαίων οὐδέν τι πλέον ἑλκύσοντας πρὸς ἡμᾶς αὐτοὺς ὄψει· ὥστ' οὐκ ἀναγκαῖος, οὐδὲ πρὸς ἡμᾶς ὅλως ὁ τῶν πολλῶν ἐκείνων καὶ μεγάλων δωρεῶν καὶ χρημάτων, ὡς φῄς, λόγος· τί τὸ ἑξῆς;

Ἀναγκάζεται καὶ αὖθις ὁ τοῦ Θεοῦ ἀρχιερεὺς, ἀνελθεῖν εἰς τὴν Κωνσταντίνου, καθάπερ εἶπον· ἄπεισι πρὸς τοὺς βασιλέας· καὶ μικρόν τι μεταξὺ διαγεγονὸς, κάτεισι καὶ πάλιν εἰς Θεσσαλονίκην τὴν ἑαυτοῦ Ἐκκλησίαν, τοῦ τε χρέους τῆς τῶν ἐκεῖ προστασίας, καὶ δὴ καὶ τῶν βασιλέων συνωθούντων ἅμα τῷ μεγάλῳ τῆς κοινῆς Ἐκκλησίας προστάτῃ, ἐπειδὴ καὶ τὰ τῆς ἐκεῖ στάσεως ἐδόκουν ὥσπερ κατευνασθέντα πρὸς ὁμόνοιαν καὶ συμφωνίαν ἰέναι. Ἀλλὰ καὶ πάλιν ἀφορμαὶ ταραχῆς ἄλλαι καὶ διχο-
B νοίας, καὶ ὁ ἀρχιερεὺς εἰργόμενος αὖθις καὶ τῆς πόλεως καὶ τῆς Ἐκκλησίας· τῶν γὰρ τῆς παρελθούσης συγχύσεως προστατῶν ἔπαθλα τῆς ἀταξίας καὶ τῆς στάσεως μέγιστά τινα καὶ ὑπὲρ τὴν ἑαυτῶν τάξιν τοὺς βασιλέας κακῶς ἀπαιτούντων, ὑπὲρ ὧν καὶ ἀπάγεσθαι μᾶλλον δίκαιον ἦν ἐκείνους, κἀντεῦθεν μὴ τυγχανόντων ἐκείνων, αἵρεσις προὔκειτο τῷ ἀρχιερεῖ θάτερον τοῖν δυοῖν ἐξ ἀνάγκης ἑλέσθαι· ἢ μένοντα δηλαδὴ τοὺς βασιλέας ἀποστερεῖν τῆς ἐπὶ τῶν ἱερῶν ἱερᾶς μνήμης τε καὶ εὐφημίας, καὶ οὕτω τοῦ θρόνου καὶ τῆς ἀρχῆς ἀπολαύειν, ἢ ἐκείνων ἀντεχόμενον καὶ μὴ μεθιέντα συνεξιέναι καὶ τούτων ἐκείνοις· αἱρεῖται τοιγαροῦν ὡς ἐν παραθέσει κακῶν τὸ ἔλαττον καὶ αὖθις ὁ μέγας, καὶ καταδέχεται τὴν
C φυγὴν σὺν ἐκείνοις καὶ πάλιν ὑπὲρ τοῦ μηδέν τι τῶν κειμένων καὶ ὁπωσοῦν ἀθετῆσαι νόμων, ἐπεὶ καὶ τὴν διαίρεσιν καὶ τὴν στάσιν ὑφέρπουσαν αὖθις ἐν ἐκείνοις ἑώρα. Καὶ πάλιν πλοῦς, καὶ πάλιν ἀποδημίαι καὶ θάλαττα, τὸν τῆς μεγάλης πόλεως ἀρχιερέα τῇ τοῦ Ἡφαίστου μητρὶ παραπέμποντα νήσῳ· καὶ τὴν τῆς μεγάλης εὐδαιμονίαν τῇ πένητι καὶ ἀνωνύμῳ διδόντα· καὶ οὕτω μεγάλην τινὰ καὶ ἐπίσημον καὶ ταύτην ἀθρόον ἀποδεικνύντα.

Ἐπιβὰς τοιγαροῦν ὁ μέγας τῆς Λήμνου ψήφῳ τῆς κοινῆς Ἐκκλησίας, τί χρὴ καὶ λέγειν, ὅσην ἑαυτῷ συνεισήνεγκε τῶν ἀγαθῶν τὴν φορὰν ἐκείνῃ; καὶ λόγοις καὶ ἔργοις καὶ τελεταῖς ἱεραῖς καὶ διδασκαλίαις ὁσημέραι τὸν λαὸν καταρτίζων, καὶ τὸ τραχὺ καὶ βάρβαρον παιδαγωγῶν ἦθος ἐκείνων, καὶ τὰς κε-
D χερσωμένας καρδίας ἐξημερῶν, καὶ γονίμους τινὰς καὶ καρποφόρους ἀποδεικνὺς, ὡς καὶ τὴν ᾀδομένην παροιμίαν καλῶς ἀντεστράφθαι τότε τοῖς ἐγχωρίοις, οὐ τῶν Λημνίων κακῶν κατ' ἐκείνην, ἀλλὰ τῶν Λημνίων ἀγαθῶν μᾶλλον δι' αὐτοῦ πειρωμένοις. Ἐνταῦθα διατρίβοντος τοῦ μεγάλου, λοιμώδης φθορὰ καὶ θάνατος ἐπιτίθεται τῶν πολυχνίων ἑνί· οὐκ ἐκείνην φημὶ τὴν κοινὴν καὶ παγκόσμιον πρὸ βραχέος γεγενημένην, ἀλλὰ πολλοστὴν καὶ μερικὴν μετ' ἐκείνην. Προσκαλοῦνται τοιγαροῦν οἱ πάσχοντες εἰς ἐπίσκεψιν καὶ βοήθειαν τὸν ποιμένα, ἐν ἑτέρᾳ που διάγοντα πολίχνῃ τῆς νήσου· καὶ ὃς αὐτίκα παρῆν, μηδέν τι τὸ παράπαν ὑπερτιθέμενος μηδ' ἀναδυείς· τῶν θεραπευτῶν τῶν μὲν μηδ' ἀκολουθῆσαι τεθαρρηκότων δέει τῆς νόσου, τῶν δ' ἑπομένων πίστει τῇ

Digitized by Google

A πρὸς τὸν μέγαν, βληθέντων μέν τι μικρὸν ὑπὸ τοῦ διεφθορότος ἀέρος ἐκείνου τε καὶ τῆς λύμης, καὶ πρὸ τοῦ ἄστεος ἐπιβῆναι δείλης ὀψίας, εἰς δὲ τὴν ἐπιοῦσαν ἐῤῥωμένων ἑπομένων τῷ μακαρίῳ, καὶ σὺν ἐκείνῳ τὰς ἔξω τειχῶν ποιουμένων εὐχὰς καὶ δεήσεις σὺν παντί γε τῷ πλήθει. Ἀλλ' ὁ μέγας καὶ τοιοῦτον ὂν τὸ δεινὸν καὶ τοσοῦτον ταῖς πρὸς Θεὸν εὐχαῖς καὶ δεήσεσι, ταῖς τε κοιναῖς καὶ ταῖς ἰδίᾳ καὶ καθ' ἑαυτὸν, ἵστησιν ἐκεῖνο τῆς φορᾶς καὶ τοῦ πρόσω, καὶ διαλύει τὴν νόσον, καὶ τὸν θάνατον καταπαύει, τοῦ Θεοῦ δοξάζοντος ἐκεῖνον κἀν τούτῳ, τοῦ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιοῦντος, κατὰ τὸν θεῖον φάναι Δαβὶδ, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούοντος.

Ἀλλ' οὐκ ἤνεγκε ταυτὶ διὰ τέλους ἡ τοῦ μεγάλου
B θαυμαστὴ πόλις, οὐδ' ἠνέσχετο τὸ ἴδιον αὐτῆς ἀγαθὸν Λημνίοις οὑτωσὶ παρὰ πᾶσαν δίκην προδεδομένον περιορᾷν ὑπό τινων εὐαριθμήτων στασιαστῶν, πονηρῶν ὄντως καὶ φθορέων καὶ ἀναξίων τοῦ προσρήματος καὶ τῆς πολιτείας ἐκείνης. Ὅθεν καὶ δικαίῳ ζήλῳ τότε μᾶλλον ἢ πρότερον ὑπὲρ αὐτῆς αὐτὴ καὶ τῆς σφετέρας δόξης κινηθεῖσα καὶ τῶν δικαίων, τοὺς μὲν ἐξωθεῖ καὶ ἀποβάλλεται τῶν κακούργων καὶ μιαρῶν ἐκείνων, τοὺς δὲ σωφρονίζει καὶ ἀναστέλλει τῆς κακίστης ὁρμῆς καὶ τῶν μοχθηρῶν πράξεων τοῖς προσήκουσι καὶ καταλλήλοις φαρμάκοις· τῶν δ' ἐκποδὼν κάλλιστα καὶ ὡς ἐχρῆν γεγονότων, μιᾷ γνώμῃ καὶ φωνῇ πάντες ὡς εἰπεῖν τὸν καλὸν ἐπιζητοῦσι ποιμένα· καὶ τριήρης εὐθὺς
C ἐπὶ τούτῳ παρασκευάζεται· καὶ τῆς Ἐκκλησίας οἱ προὔχοντες ἀνιόντες μετὰ βραχὺ τὸν μέγαν κατάγουσιν ἱερέα, οἱ αὐτοὶ καὶ Λημνίοις ὁμοῦ θρήνων καὶ ὀδυρμῶν ἀφορμὴ γεγονότες τῇ τούτου στερήσει, καὶ χαρᾶς ἀφάτου καὶ παιάνων τινῶν καὶ κρότων, μηδὲ ῥηθῆναι ῥᾳδίων, τοῖς ἰδίοις πολίταις τῇ λαμπρᾷ τούτου ἐπιδημίᾳ· τίς γὰρ ἂν ὑπογράψῃ κατὰ μέρος τῷ λόγῳ τὴν πάνδημον ἑορτὴν καὶ τὴν εὐφροσύνην ἐκείνην; τίνα γενέθλια καὶ κουρόσυνα καὶ κατοικέσια καὶ ἐτήσια καὶ ὅσα πανηγυρίζουσιν ἄνθρωποι, τῇ πανηγύρει παραβληθεῖεν ἂν τοῦ μεγάλου ἐκείνῃ; μᾶλλον δ' ἐκείνων μὲν οὐδὲ μνημονευτέον πρὸς ταῦτα, πάλαι γεγηρακότων τε καὶ ἀπεσβηκότων. Ἡμεῖς δὲ τίσι βασιλικοῖς ἐπινικίοις καὶ θριάμβοις καὶ πομπαῖς εἰσοδίοις ταυτὶ παραθέντες τὸ ἴσον
D εὑρήσομεν; Οὐδ' ἔστιν, οἶμαι, τῶν πάντων· μόλις γὰρ ἂν φησιν αὖθις ὁ τούτου γε φίλος καὶ ὁμώνυμος καὶ Ἀθανάσιον οὕτως εἰσαχθῆναι τὸν μέγαν, οὗ δηλαδὴ ζηλωτὴς καὶ ὁ μέγας οὗτος ἔν τε τοῖς διωγμοῖς καὶ τοῖς παλαίσμασιν ὡσαύτως, καὶ δὴ καὶ ταῖς ἀναῤῥήσεσι. Μόνοις ἄρα δεῖ παραβάλλειν τοῖς Χριστοῦ μυστηρίοις καὶ ταῖς ἐπ' ἐκείνοις τελεταῖς τε καὶ πανηγύρεσι τὴν μεγάλην τῆς ἡμέρας ἐκείνης τελετὴν καὶ πανήγυριν, καὶ μάλιστα τῇ κορυφαίᾳ καὶ προλαμπούσῃ τῶν ἄλλων, ἣ δὴ, κατὰ τὸ εἰρημένον ἐκεῖνο, καὶ ἑορτῶν ἡμῖν ἐστιν ἑορτὴ καὶ πανήγυρις πανηγύρεων· καὶ δῆλον ἐκεῖθεν. Τοῦ γὰρ μεγάλου τὴν πόλιν εἰσιόντος ἀρχιερέως, ὡς ἔθος, καὶ τὸν καινὸν ποδήρη καὶ τὴν ἱερὰν ἐνδεδυκότος στολὴν, ἐπεὶ καὶ πομπεύειν διὰ μέσης τῆς πόλεως ἔδει μεθ' ἱερῶν ὕμνων καὶ ψαλμῳδίας, πάντων οἱ μελῳδοὶ καθάπερ ἀπὸ συμφώνου πάντες ἀφέμενοι, τὰ τῆς μεγάλης ἐκείνης ἡμέρας καὶ τῆς Χριστοῦ ἀναστάσεως σὺν μεγίσταις βοαῖς τισι καὶ ἀλαλαγμοῖς ᾄδοντες ἦσαν, καίτοι γε καὶ πόῤῥω τοῦ καιροῦ καὶ τῆς ἡμέρας ὄντες ἐκείνης, Χριστὸν ἄλλον ἄντικρυς δοκοῦντες ὁρᾷν τὸν τοῦ Χριστοῦ μαθητήν τε καὶ μιμητὴν, ὡς ἐξ ᾅδου καὶ μνήματος τῶν διωγμῶν καὶ τῆς ὑπερορίας ἐπανιόντα, καὶ ἀναστάσεως λαμπρᾶς ἄγοντες τὴν ἡμέραν ἐκείνην· καὶ πρὸς μὲν ἀλλήλους, « Καθαρθῶμεν, λέγοντες, τὰς αἰσθήσεις, καὶ ὀψόμεθα τῷ ἀπροσίτῳ φωτὶ τῆς ἀναστάσεως Χριστὸν ἐξαστράπτοντα, » καὶ· « Δεῦτε πόμα πίωμεν καινὸν, καὶ πηγὴν ἀφθαρσίας Χριστὸν ἐκ τάφου ὀμβρήσαντα· πρὸς δὲ τὴν καινὴν Ἐκκλησίαν ὁμοῦ πᾶσαν αὖθις σύν γε τῷ σοφῷ μελῳδῷ μετὰ Ἡσαΐου τοῦ θείου· « Φωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλὴμ, ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. » Καὶ τὸ καινὸν ἔν γε τοῖς τοιούτοις, ὅτι μηδ' ὁ ταῦτα προτρεψάμενος, μηδ' ὁ τῆς μελῳδίας ταυτησὶ πρωτος ἄρξας ἐκείνης, καίτοι γε καὶ ζητηθεὶς ὕστερον οὐδόλως εὑρέθη· ὡς δῆλον καὶ τότε καὶ μετ' ἐκείνοις ἐχέφροσι γεγενῆσθαι, τῆς ἄνωθεν ἐπιπνοίας καὶ τῆς χάριτος εἶναι κἀκεῖνο, καὶ διανοίας ἅμα καὶ γλώττας πάντων ἀθρόον ὁμοῦ κεκινηκυίας ἀοράτως πρὸς ταῦτα· εἶεν.

Ἃ δὲ αὐτῷ μετ' ἐκείνην τὴν λαμπρὰν εἴσοδον εἴς τε τὴν ἐκκλησίαν ὁμοῦ καὶ τὴν πόλιν ἐνήργηται, τρίτη μετ' ἐκείνην ἦν τὴν ἡμέραν, καὶ πάνδημον πομπήν τε καὶ πρόοδον μεθ' ἱερῶν εἰκόνων καὶ ψαλμῳδιῶν καὶ εὐχῶν, ὡς ἔθος, κηρύττει πάσῃ τῇ πόλει· ἡ δ' αὐτίκα παρῆν, γένος ὁμοῦ καὶ ἡλικία καὶ τύχη πᾶσα, καὶ θέας ἐκείνου καὶ ὁμιλίας καὶ τῶν πρὸς Θεὸν ὑπὲρ αὐτῆς εὐχῶν, πῶς ἂν εἴποις ἐφιεμένη· διέρχεται τὸ πλεῖστον αὐτῆς μέρος, εὐχόμενος, εὐλογῶν, ὑπὲρ τῶν παρελθόντων εὐχαριστῶν, ὑπὲρ τῶν μελλόντων δεόμενος· τέλος καὶ διδασκαλικὸν ἀποτείνας πρὸς πάντας κοινῇ λόγον, καὶ περὶ ὁμονοίας καὶ εἰρήνης συμβουλεύσας τὰ πλεῖστα, οὕτω πάντας ἀνηρτήσατο τῶν ἑαυτοῦ λόγων, καὶ τὰς ψυχὰς πρὸς ἑαυτόν τε καὶ τὸν Θεὸν καθ' ὑπερβολὴν ἐκ πρώτης εὐθὺς ἔτρωσεν, ὡς μηδὲ λέγειν ἐξεῖναι. Καὶ τί δεῖ λέγειν περὶ τῶν ἄλλων; ὅπου γε καὶ τοὺς ὑβριστὰς ἑαυτοῦ καὶ πολεμιωτάτους καὶ στασιαστὰς πρότερον, φίλους ἐκ τῆς ὁμιλίας εὐθὺς ἐκείνης εἰργάσατο· μᾶλλον δ' οὐ φίλους μόνον, ἀλλὰ καὶ δούλους προκαλινδουμένους ἐκεῖ τῶν αὐτοῦ ποδῶν καὶ καταφιλοῦντας, ἐξαγορεύοντάς τε τὴν κατ' αὐτοῦ προπέτειαν καὶ τὴν ὕβριν, καὶ οἷς ἐχρήσαντο πρότερον, ὥσπερ ἀναισθητοῦντες, καὶ συγγνώμην παρὰ τῆς ἱερᾶς ἐκείνης ψυχῆς καὶ τῆς γλώττης μετὰ συχνῶν τῶν δακρύων ἐπιζητοῦντας. Ὁ δ' οὐ μόνον ταῦτα πλουσίως ἐκείνοις ἐδίδου, ἀλλὰ καὶ προσετίθει τὰ μείζω, καὶ τοῖς φίλοις ἐνέγραφε καὶ οἰκείοις, καὶ λόγοις καὶ πράγμασιν εὐεργετῶν ἐκείνους οὐκ ἐνέλιπε διὰ τέλους.

Ἐπεὶ δὲ καὶ ἱερουργεῖν ἔδει τὰ μείζω καὶ ὑψηλότερα καὶ μυστικῇ θυσίᾳ τὸν ἑαυτοῦ λαὸν καθαγνίζειν, εἶχε μὲν αὐτὸν ὁ θεῖος νεὼς σὺν τοῖς λει-



Digitized by Google

τουργοῖς τε καὶ ὑπηρέταις, ὡς ἔθος, ἄρτι πρώτως τὸν αὐτοῖς ἐπιτελοῦντα τὰ μυστικά· ἐδόξαζε δὲ καὶ ὁ Θεὸς ἄνωθεν αὐτὸν αὖθις, θαυματουργῶν δι' αὐτοῦ τὰ παράδοξα· ἐδόξαζε δὲ οὕτως. Παιδίον ἦν ἄῤῥεν τῷ προῤῥηθέντι πρεσβυτέρῳ τε καὶ ὀρφανοτρόφῳ· τούτῳ νόσος, ἢ καὶ δαιμονική τις ἐνέργεια λέγειν οὐκ ἔχω, σεληναίαν πως ταύτην φασὶν, οὐχ ὥσπερ, καὶ τοῖς ἄλλοις κατὰ κύκλον σελήνης, ἀλλὰ κατὰ κύκλον ἡλίου μᾶλλον ἀθρόα τις ἐπεπήδα, καὶ τὰ χείριστα διετίθει. Ὡς οὖν ἱερουργεῖν καιρὸν ἦν ἤδη τὸν μέγαν, ὃ δὴ καὶ εἰπὼν ἔφθην, τῶν δὲ μελλόντων συλλειτουργεῖν πρεσβυτέρων εἷς καὶ ὁ τοῦ παιδὸς ἦν πατὴρ, πρόσεισι μετὰ μεγάλης τῆς πίστεως τῷ μεγάλῳ, τῆς ζωοποιοῦ θυσίας ἀξιῶν αὐτὸν δι' αὐτοῦ μεταδοῦναι τῷ νοσοῦντι παιδί· τοῦ δὲ κατανενευκότος, τῆς ὥρας ἤδη καλούσης, ἄγει τὸν παῖδα, φέρων ὁ πατὴρ ἐν χεροῖν· μεταδίδωσιν αὐτῷ τῆς ἀναιμάκτου θυσίας ὁ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν ἐπαγγελίαν, καὶ ἡ ἐτήσιος ἐκείνη νόσος σύν γε τῷ ἀφανῶς ἐνεργοῦντι παρευθὺ δραπετεύει, καὶ ὁ παῖς ἐλεύθερος ἤδη χρόνον συχνὸν ἐξ ἐκείνου Θεὸν ἀνυμνῶν, καὶ τὸν ἐκείνου θεράποντα δι' ἑαυτοῦ πᾶσιν ἀνακηρύττων.

Ὀλίγαι διῆλθον ἡμέραι, καὶ πάντας ὁμοῦ τοὺς ἱερᾶσθαι λαχόντας ὁ ἀρχιερεὺς εἰς ὁμιλίαν μετακαλεῖται. Ἐπειδὴ καὶ γὰρ τὴν Ἐκκλησίαν οἰκοδομεῖν αὐτῷ σκοπὸς ἄνωθεν ἦν, τοὺς τῆς Ἐκκλησίας μετὰ τὸν πρῶτον καὶ μόνον θεμέλιον θεμελίους καὶ στύλους, ἢ δομήτορας καὶ συνεργοὺς, αὐτοῦ φημι τοῦ πρώτου μετὰ Χριστὸν δομήτορος καὶ τεχνίτου, δεῖν ἔγνω τῇ ἀρχιτεκτονίᾳ τοῦ Πνεύματος πρὸ τῶν ἄλλων καὶ οἰκοδομεῖν καὶ διδάσκειν ἐκεῖνα καὶ παιδεύειν καὶ καταρτίζειν, ὡς ἂν καὶ κατὰ λόγον αὐτῷ τὰ τῆς μελλούσης οἰκοδομίας προβαίνῃ, καὶ μὴ δόξῃ πως εἰς κενὸν τρέχειν. Συναγαγὼν τοιγαροῦν, ἧπερ ἔφην, πάντας ἀθρόους τοὺς περὶ τῆς μεγάλης ἱερωσύνης θαυμαστῶς ἄγαν αὐτοῖς ἐκτίθεται λόγους· ὅσον τε τὸ ταύτης ὕψος δεικνὺς, καὶ οἵων ὑπηρέτις αὕτη φρικτῶν τε καὶ ἀποῤῥήτων μυστηρίων, οὐκ ἀνθρώποις φημὶ μόνον, ἀλλὰ καὶ αὐταῖς ταῖς ὑπερουρανίοις τε καὶ ἀσωμάτοις οὐσίαις, καὶ τί τὸ μέτρον τῆς ἀνθρωπίνης ἐσχατιᾶς, καὶ ὡς οὐδεὶς κατὰ τὸ εἰρημένον ἄξιος τῆς ὑπηρεσίας ἐκείνης· καὶ ὡς ἐπειδὴ γενόμενος ἄνθρωπος δι' ὑπερβολὴν φιλανθρωπίας ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καὶ ἀρχιερεὺς ἡμῶν καὶ θυσία καὶ θύτης ὑπερφυῶς κεχρημάτικε, καὶ τοῖς ὁμογενέσιν ἡμῖν λόγοις ὑπερφυοῦς ἀγαθότητος τὴν φρικτὴν ταύτην καὶ ἀναίμακτον ἱερουργίαν παρέδωκε, πᾶσαν εἶναι ἀνάγκην τοὺς τῆς τάξεως ταύτης ἠξιωμένους κατ' ἴχνος τοῦ κεχειροτονηκότος σπεύδειν αἰεὶ βαίνειν καθόσον οἷόν τε, εἴπερ μὴ μέλλοιμεν ἔξω τοῦ σκοποῦ παντάπασι βάλλειν, ἐπ' ἄλλον θεμέλιον ἀφρόνως οἰκοδομοῦντες, ὃν οὐδὲ δύναταί τις τῶν ἀληθῶς καὶ γνησίως οἰκοδομούντων τὰ τοιαῦτα καταβαλέσθαι, καθά πού φησιν ὁ μακάριος Παῦλος, « Θεμέλιον, λέγων, ἄλλον παρὰ τὸν κείμενον οὐδεὶς δύναται θεῖναι, ὅς ἐστιν Ἰησοῦς Χριστός [15]. »

A Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὐδ' ἂν εἷς ποτε τῶν ὀρθὰ φρονεῖν τε καὶ λέγειν ᾑρημένων ἄλλως γε εἴποι, τὸ καὶ τὴν ἐναντίαν ἰέναι, καὶ ἀνιέρως καὶ πόῤῥω πού τῆς καινῆς πολιτείας καὶ τῆς ἐντολῆς βαδίζειν ἐθέλειν, καὶ ἀντὶ λύχνου καὶ φωτὸς, κατὰ τὸν Χριστοῦ λόγον, πρόσκομμα καὶ σκότος καὶ βόθρον τοῖς ἀδελφοῖς χρηματίζειν, ποῦ θήσομεν; Ταῦτα καὶ τὰ τοιαῦτα δημηγορῶν καὶ διαλεγόμενος ὁ σοφὸς, πλείστους μὲν καὶ τῷ τῶν λόγων ἔπειθεν ἀναγκαίῳ, τὴν ἀλήθειαν ὁμοῦ καὶ τὴν ἐντολὴν αἰδουμένους· τῇ δὲ πράξει καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι πάντας σχεδὸν εἰς προκοπὴν καὶ βελτίωσιν ἦγε, πᾶσαν ἱερὰν τελετὴν καὶ μυσταγωγίαν αὐτὸς ὡς ὑπεράνθρωπός τις, ἢ καινὸς ἄντικρυς ἄνθρωπος, ὑπερφυῶς ἐκτελῶν, καὶ ἤθει καὶ λόγῳ καὶ πράγματι B καὶ παντὶ τῷ διακειμένῳ πάντας ὁμοῦ καταπλήττων.

Τὴν δὲ περὶ τὸ λέγειν καὶ δημηγορεῖν καὶ διδάσκειν ἐπ' ἐκκλησίας ἀκάματον ἐκείνου σπουδήν τε καὶ προθυμίαν, καὶ ταῦτ' ἐν πραγμάτων δυσχερείαις καὶ ἀντιθέσεσι τῶν τε κοινῶν ὁμοῦ καὶ ἰδίων· τὰς δὲ κοινῇ καὶ ἰδίᾳ, νῦν μὲν πρὸς πολλοὺς, νῦν δὲ πρὸς ὀλίγους, ἔστι δ' ὅτε καὶ πρὸς τοὺς καθ' ἕνα διαλέξεις καὶ ὁμιλίας· τὸ δὲ κάλλος τοῦ λόγου, τὸ δὲ πολυειδὲς καὶ πυκνὸν καὶ ὑψηλὸν καὶ ὑπερφυὲς τῶν θείων ἐκείνων θεωρημάτων καὶ νοημάτων, θαυμάζειν μὲν ἔχουσι πάντες, φράζειν δ' οὐδένες, οἶμαι, τῶν πάντων. Καὶ τί χρὴ λέγειν, ὦ θεία καὶ ἱερὰ κεφαλή! ὅπου γε καὶ πᾶς ὁστισοῦν ἐκ τοῦ σοῦ προϊὼν στόματος λόγος καὶ ὁμιλία καὶ διάλεξις πᾶσα παιδαγωγία ψυ- C χῆς ἄντικρυς ἦν, καὶ διόρθωσις ἤθους, καὶ ἁμαρτίας ἀνατροπὴ, καὶ διδασκάλιον ἀρετῆς, καὶ φιλοσοφία παντὸς ἀγαθοῦ· τὴν μὲν ἔξω προθεραπεύουσα καὶ προχειρουμένη ταύτην αἴσθησιν τῷ καθ' ὑπερβολὴν ἡδεῖ καὶ καινῷ τοῦ λόγου, εἴσω δ' εἰς τὰς τῆς ψυχῆς ὀχὰς ἠρέμα χεομένη τε καὶ εἰσδύνουσα τὸν ἐλαίου καὶ μέλιτός φασι τρόπον, καὶ ταύτην ὑπὲρ πάσας χειρουμένη σειρῆνας, κἀκεῖ προσφυομένη γε οἰκείως ἑκάστῃ, καὶ ῥυθμίζουσα καὶ μεταπλάττουσα λανθανόντως, κἀκεῖνα θαυμαστῶς δρῶσα, ὅσα φωνὴ μὲν ἀνθρωπεία καὶ ἐπιστήμη τὸ παράπαν οὐκ οἶδε, δρᾷ δ' ὑπερφυῶς μόνος ὁ κοινὸς δημιουργός τε καὶ πλάστης, ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου διὰ τῶν ἔνοικον D ἐν ἑαυτοῖς κτησαμένων ἐκεῖνον, καὶ μόνην ἑαυτοὺς ἀξιωθέντων ἐργάσασθαι τῆς ἐκείνου θεουργοῦ κατοικίας τε καὶ ἑνώσεως· οἳ καὶ κατὰ τὸν τοῦ Χριστοῦ λόγον ἐοίκασι γραμματεῖ μαθητευθέντι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· « Ὅστις, φησὶν, ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά [16], » τὰ τῆς Παλαιᾶς δηλαδὴ καὶ τῆς Καινῆς ἑρμηνεύων καὶ συνάγων εἰς ἓν, ἢ τὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτίθεσθαι πείθοντα καὶ κτίζεσθαι τὸν καινόν· εἰ δὲ βούλει, καὶ τὰ τὴν παλαιὰν εἰκαιομυθίαν καὶ τὴν πολύθεον καὶ γεγηρακυῖαν ἐκβάλλοντα πλάνην, καὶ τὰς ἰδέας καὶ τὰ πεπρωμένα, καὶ τὴν μωρὰν τῶν Ἑλλήνων καταργοῦντα σοφίαν, τῷ συντετελεσμένῳ καὶ

[15] I Cor. III, 11. [16] Matth. XIII, 52.

Digitized by Google

συντετμημένῳ λόγῳ τῆς ἀληθείας καὶ τῇ καινῇ σοφίᾳ τοῦ Πνεύματος, δι' ἧς ἁλιεῖς ἐσοφίσθησαν, καὶ εἰς ἣν ἐξουδενωμένοι προετιμήθησαν· ἃ δὴ καὶ οἱ τοῦ μεγάλου τούτου πάνθ' ὁμοῦ συνελόντες εἰργάσαντο λόγοι, καὶ γράφοντος καὶ δημηγοροῦντος κοινῇ καὶ ἰδίᾳ, καθάπερ εἴρηται, συμβουλεύοντος. Ἀλλὰ τούτων οὕτως ἐχόντων, καὶ οὕτω καὶ λόγοις καὶ πράγμασι καὶ πάσῃ σπουδῇ τὴν Ἐκκλησίαν καταρτίζοντος τοῦ μεγάλου, καὶ νῦν μὲν πρόῤῥιζον ἀνασπῶντος τὴν χρονίαν κακίαν, καὶ τὸν τῶν παθῶν ἐκβάλλοντος συρφετὸν, νῦν δὲ τὰς πάλαι χερσωθείσας καλλιεργοῦντος καρδίας, καὶ τὸν τοῦ λόγου σπόρον νύκτωρ τε καὶ μεθ' ἡμέραν εἰς τὴν εὔγειον καταβάλλοντος, ἐπεὶ τὴν καθόλου καὶ αὖθις Ἐκκλησίαν οἱ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου νοσοῦντες θορυβοῦντες οὐκ ἐπαύοντο καὶ ταράττοντες, καίτοι γε τῶν τῆς αἱρέσεως ἀρχηγῶν ἐκείνων ἐκποδὼν πάλαι γεγενημένων· σύνοδον ὁ βασιλεὺς σύν γε τῷ πατριάρχῃ βουλεύονται καὶ πάλιν ἐν ταύτῃ δὴ τῇ τῶν πόλεων βασιλευούσῃ συγκροτηθῆναι, καὶ τὰ παρ' ἐκείνων λεγόμενα καὶ αὖθις ἐξετάσει δοθῆναι· ἐπειδὴ κἀκεῖνοι τοῦτ' αὐτὸ καθ' ἑκάστην ἦσαν ζητοῦντες, οὐχ ἵνα τἀληθῆ μάθωσιν· ᾗ γὰρ ἂν καὶ καλῶς ἐγνώκεισαν ταυτὶ πάλαι πολλάκις ἀναφανέντα· ἀλλ' ἵνα δοκῶσι μόνον ἔχειν τι λέγειν κατὰ τῆς ἀληθείας, καὶ θορυβῶσι καὶ ταράττωσι τοὺς πολλοὺς, ὅπερ δὴ καὶ πᾶσι τοῖς κακοδόξοις ἄνωθεν ἔθος. Ἐπειδὴ ταῦθ' οὕτως ἐδόκει, καὶ ἡ σύνοδος ἔμελλε συγκροτεῖσθαι, πρὸ τῶν ἄλλων εὐθὺς ὁ καὶ πρὸ τῶν ἄλλων ἀκριβὴς τεχνίτης καὶ πρόμαχος ἐπιζητεῖται τοῦ λόγου· ἐπεὶ καὶ πρὸς αὐτὸν, ὡς πρὸς γενναῖον ὁπλίτην τε στρατηγὸν, τὸ πᾶν ἢ τὸ πλέον ἔβλεπε τοῦ ἀγῶνος τοῖς ἀντιθέτοις, εἰ καὶ ἡμῖν οὐδὲν ἧττον ἐπετίθεντο κοινῇ πολεμοῦντες, καὶ τιμῶντες ὥσπερ τῇ κοινωνίᾳ τῆς ὕβρεως. Ἄνεισι τοιγαροῦν ὁ τρισαριστεὺς ἐκ Θεσσαλονίκης καὶ πάλιν, ἵνα μὴ καὶ τετράκις καὶ πολλάκις αὐτὸ τοῦτ' εἴπω, γράμμασι βασιλέως ἅμα καὶ πατριάρχου μετὰ πλείστης ὅσης τῆς ἀξιώσεως ἐπὶ τὸν ἀγῶνα μετακληθείς· ἡ σύνοδος συγκροτεῖται μεγάλη τις καὶ θαυμαστὴ, καὶ τὰς πρὸ αὐτῆς ὑπερβάλλουσα· οὐ συστήματα μόνον ἀρχιερέων πολλῶν τε καὶ μεγάλων καὶ ταυτὰ πνεόντων ἀλλήλοις, ὑπὲρ τοῦ Πνεύματος καὶ τῆς ὀρθῆς δόξης ὁμοῦ καὶ τῆς Ἐκκλησίας, εἰ δεήσει, καὶ μέχρις αἵματος γενναίως προπολεμούντων, τῶν τε καθ' αἷμα προσηκόντων τοῖς βασιλεῦσι καὶ τῶν ἐν ἀξιώμασι σὺν πάσῃ δηλαδὴ τῇ συγκλήτῳ, ἀλλὰ καὶ σοφῶν τε καὶ λογίων ἀνδρῶν ἑτέρῳ συλλόγῳ ἔκ τε τῶν ἐν τέλει, φημὶ, καὶ τῶν τῆς Ἐκκλησίας λογάδων, καὶ δὴ καὶ μοναστῶν καὶ ἀναχωρητῶν, καὶ τῶν κοινῇ καὶ καθ' ἑαυτοὺς τὰ θεῖα φιλοσοφούντων· ἐῶ γὰρ λέγειν τὸ κοινὸν τῶν εὐσεβῶν πλῆθος ἐπ' ἀκροάσει τῶν τῆς πίστεως λόγων ἀθρόον συνειλεγμένων, ὡς καὶ τὸν ὑποδεξάμενον τὴν σύνοδον ταύτην βασιλικὸν οἶκον, καίτοι γε καὶ μέγαν οὕτω καὶ θαυμαστὸν ὄντα, τῷ πλήθει τῶν συνειλεγμένων τά τ' ἔνδον τά τ' ἔξω στενοχωρεῖσθαι. Τοῦ γοῦν βασιλέως σύν γε τῷ πατριάρχῃ προκαθεσθέντος, ὡς ἔθος, καὶ ἡμῶν μετ' ἐκείνους καὶ σὺν ἐκείνοις, ἑκάστων δηλαδὴ κατὰ τὴν A οἰκείαν ἀξίαν τε καὶ τὴν τάξιν, εἰσάγονται καὶ οἱ τὰ τῶν ἀντιθέτων φρονοῦντες, βραχεῖά τις καὶ μεμισημένη μερὶς, οὐ μερὶς τοῦ Ἰακὼβ, οὐδὲ λαὸς Κυρίου καὶ σχοίνισμα κληρονομίας αὐτοῦ· Χαναναῖοί τινες καὶ Χετταῖοι, καὶ οὐδὲ τὴν τῶν Γαβαωνιτῶν ἐκείνων ἐπέχειν ἄξιοι τάξιν, οὓς εἰς ὑδροφόρους καὶ ξυλοκόπους ὁ τοῦ Ναυῆ Ἰησοῦς ἀπέταξε τῷ λαῷ τοῦ Θεοῦ πάλαι, δόλῳ καὶ ὑποκρίσει καλῇ σφᾶς αὐτοὺς προαρπάσαντας τῆς τῶν ὁμόρων διαφθορᾶς καὶ πανωλεθρίας. Ὅθεν καί τις τῶν λόγῳ καὶ καθέδρᾳ προὐχόντων ἱερέων ἐνιδὼν εἰσιοῦσιν ἐκείνοις τότε, κἀκ τῆς ὄψεως εἶπεν αὐτῆς δήλους αὐτοὺς εἶναι τῆς μερίδος καὶ τοῦ κόμματος πεφυκότας ἐκείνων, οὓς αἱ ὑπὲρ ἡμᾶς εἰκόνες αὗται φέρουσιν ἀναγράπτους· τὰ τῶν αἱρετικῶν πονηρὰ συνέδρια λέγων, ὑπὸ τῶν B ἱερῶν κατῃσχυμμένα τῶν Πατέρων πάλαι συνόδων, ὧν δήπου καὶ τὰς εἰκόνας ὁ ἱερὸς ἐκεῖνος καὶ βασιλικὸς ἔφερεν οἶκος.

Τὰ μὲν οὖν κατὰ μέρος κἀνταῦθα τῷ τε βασιλεῖ καὶ τῇ συνόδῳ λαληθέντα τε καὶ πραχθέντα παρ' ὅλας ἡμέρας ἐφεξῆς οἶμαι πέντε, τοῖς εἰδόσι λέγειν τε καὶ γράφειν παραχωρήσω, καὶ πρό γε πάντων τῷ θείῳ τῆς πίστεως ὅρῳ, ὃν ἡ ἱερὰ σύνοδος ἅμα βασιλεῖ τε καὶ πατριάρχῃ καλῶς ἐκθεμένη, καὶ γνώμῃ καὶ χειρὶ καὶ γράμμασι μετὰ τοῦ λαλοῦντος ἐν αὐτῇ Πνεύματος τὸ κράτος αὐτῷ δεδωκυῖα, στήλην ὀρθοδοξίας καὶ τρόπαιον εὐσεβείας καὶ πύργον θεολογίας ἀκράδαντον, τῇ τῶν εὐσεβῶν καταλέλοιπεν Ἐκκλησίᾳ, Γραφικαῖς ἀποδείξεσι καὶ Πατέρων ἱε- C ρῶν καὶ συνόδων θεολογίαις καὶ λόγοις ἀκριβῶς πάντοθεν κατησφαλισμένον, εἰ καὶ τὰ τῆς πλάνης ἐγκαταλείμματα, καθαπερεί τινος δράκοντος τεθνηκότος οὐραῖον ὑποσπαῖρον ἔτι, βάλλειν ἐπιχειρεῖ κατ' ἐκείνου, ταῖς παρ' ἐκείνου πληγαῖς ἀλγοῦν καθ' ὑπερβολὴν καὶ τῇ τοῦ ἰδίου νεκρώσει σώματος.

Γρηγόριός γε μὴν ὁ σοφὸς, ἐπεὶ καὶ τὸ πᾶν ὡς εἰπεῖν τοῦ ἀγῶνος πρὸς αὐτὸν ἔβλεπε, καὶ οἱ κοινῇ πολεμοῦντες τῇ Ἐκκλησίᾳ, ὡς κατὰ σκοποῦ καὶ αὖθις αὐτοῦ βάλλοντες ἦσαν, ἀναιρεῖται καὶ αὐτὸς προθύμως μάλα τὴν μάχην, καὶ εἰς ἑαυτὸν ὁμοῦ πάντα τὸν πόλεμον δέχεται, τοῦτο καὶ βασιλέως ἅμα καὶ τῆς συνόδου προτρεψαμένων· τὰ δὲ ἑξῆς λεγέτωσαν οἱ τότε παρόντες, καὶ ὄψει καὶ ἀκοῇ τὰ πραχθέντα καὶ λαληθέντα παραλαβόντες. Ὅπως μὲν D εἰς φυγὴν ἔτρεψε καὶ ἅπαξ καὶ δὶς τοὺς θεομάχους ἐκείνους, μηδὲ τὴν προσβολὴν τοῦ ἐν τοῖς λόγοις αὐτοῦ θείου φωτὸς ἐνεγκόντας, ὡς μηδὲ κατασχεῖν αὐτοὺς τόν τε βασιλέα καὶ πᾶσαν ὁμοῦ τὴν σύνοδον δεδυνῆσθαι, τὴν μὲν ὑποστροφὴν ἐπαγγειλαμένους ἐς νέωτα δῆθεν, μήπω δ' εἰσέτι καὶ νῦν τῆς ὑποστροφῆς γενομένους· ὅπως δ' ἀνεκήρυξεν ἐν Ἐκκλησίᾳ Μεγάλῃ καὶ λόγοις καὶ γράμμασι καὶ δημηγορίαις ὑπερφυέσι τὸν ὑγιᾶ τῆς πίστεως λόγον, ἑαυτὸν μὲν τοῖς τῆς Ἐκκλησίας σοφοῖς θεολόγοις, ἐκείνους δ' αὖθις ἀλλήλοις τε καὶ τοῖς λογίοις τοῖς ἱεροῖς ἀποδείξας ἐν πᾶσι συμφώνους, ὡς μηδὲ τὴν ἔριν αὐτὴν ἀντειπεῖν ἔχειν πρὸς ταῦτα καὶ γρύξαι· τὰς δὲ ψυχὰς ὅπως ἀνεπτέρωσε τότε τῶν δυναμένων ἀκούειν, καὶ τὸν νοῦν ὑπερῆρεν ἀθρόον, καὶ

Digitized by Google

πάντας τῆς σοφῆς ἀνηρτήσατο γλώττης, καὶ τοῖς ἐκείνου χείλεσι καὶ τῷ ῥεύματι τῶν λόγων ὅπως προσεῖχον, μικροῦ καὶ ἑαυτῶν ἔξω γιγνόμενοι, τῇ θείᾳ κατοχῇ καὶ τῷ ἔρωτι καὶ τῇ βακχείᾳ τῇ πρὸς ἐκεῖνα, πῶς ἄν τις ἐξείποι; Μόνον ἂν εἴη τῶν πεπειραμένων ἐκείνων τό γε ἀκριβῶς ἔχειν εἰδέναι· τοιαῦτα τὰ τοῦ ἀγῶνος ἦν καὶ τῶν λόγων ἐκείνων, ὡς ἐξ ὀνύχων φασὶν ὑποδεῖξαι. Εἰ δέ τι καὶ Κλήμης ὁ τούτων ἐξηγητής τε καὶ γραφεὺς τῷ τῆς εὐσεβείας κήρυκι συνηγωνίσατο Πέτρῳ, καὶ λέγων ἅμα καὶ γράφων, Πέτρῳ λογιστέον δήπου κἀκεῖνα, τῷ καὶ προελομένῳ καὶ λόγοις καὶ γράμμασι καὶ ψήφοις τὸ τελευταῖον, καὶ κοινωνὸν τῶν κατ' αὐτὸν εἰργασμένῳ· ἐν τούτοις μὲν καὶ τὰ τῆς τελευταίας ἱερᾶς ταύτης συνόδου.

Ἐπεὶ δὲ καὶ πρὸς Θεσσαλονίκην ὑποστρέφειν πρὸς ἀνάγκης αὖθις ἦν τῷ μεγάλῳ, καὶ μὴ τῆς Ἐκκλησίας ἐπὶ πλεῖστον ἀποδημεῖν, ἐπιβαίνει μὲν σὺν τοῖς μετ' αὐτοῦ τοῦ πελάγους· τοσούτου δ' ἐπειράθησαν τοῦ κλύδωνος καὶ τῆς τρικυμίας καὶ τοῦ κατὰ θάλατταν κυκεῶνος· καὶ γὰρ καὶ τῆς ὥρας ἔπλεον ἔξω, καὶ ἀνιόντες ὡσαύτως καὶ κατιόντες· ὡς ὑπερβαλέσθαι μὲν καθ' ὑπερβολὴν τὰ τοῦ κατάπλου κακὰ τὸν ἀνάπλουν, ἀπαγορεῦσαι δ' οὐ τοὺς ἐμπλέοντας μόνον, ἀλλὰ καὶ ναύτας ἅμα καὶ κυβερνήτην, καὶ τὸν περὶ ψυχῆς ὁμοῦ θέειν πάντας, τὰ ἔσχατα προσειπόντας ἀλλήλους, καὶ Θεῷ δι' ἐξομολογήσεως, οἷα πρὸς ταῖς ἐσχάταις ὄντες ἀναπνοαῖς, ἑαυτοὺς ὡς ἔθος παραθεμένους. Ἀλλ' ὁ τοῦ Θεοῦ μέγας ἀρχιερεὺς οὐκ ἀνακτώμενος ἦν αὐτοὺς μόνον τῶν ἐλπίδων ταῖς χρηστοτέραις, καὶ πρὸς Θεὸν ἐπεστράφθαι πάντας ὁμοῦ δι' εὐχῆς διδάσκων, ἀλλὰ καὶ πρὸ τῶν ἄλλων αὐτὸς τοῦ ἀξιώματος ἑαυτοῦ καὶ τῆς τάξεως εἴπερ ποτὲ γενόμενος ὅλος, καὶ μέσον Θεοῦ τε καὶ τῶν συνόντων ἑαυτὸν στήσας, οἷα μεσίτης ἀληθινὸς Θεοῦ καὶ ἀνθρώπων, καὶ ἀλαλήτοις τοῦ νοῦ δεήσεσι καὶ τῇ συνήθει χρησάμενος παῤῥησίᾳ, τήν τε καταιγίδα κοιμίζει, καὶ καταπαύει τὸν κλύδωνα, καὶ τοῦ ναυαγίου πάντας ὁμοῦ διασώζει παρὰ πάσας ἀνθρωπίνας ἐλπίδας. Καὶ τὰ μὲν τοῦ πελάγους αὐτοῖς οὕτω παραδόξως ἠρέμει καὶ ὑπεχώρει τὸ κῦμα, καὶ πρὸς τοὺς ἰδίους καὶ τὴν πόλιν ἡμέρως ἄγαν παρέπεμπεν· ἡ δὲ τῶν πειρασμῶν καταιγὶς οὐμενοῦν οὐκ ἠρέμει· ὡς γὰρ τῷ τῆς πόλεως προσέσχον λιμένι, κἀκείνης ἠδέως πως ἂν εἴποις ἔμελλον ἐπιβαίνειν, ὁ βασιλεὺς τὴν εἴσοδον ἐκείνοις ἀπείργει· τῆς μὲν πρὸς τὸν κηδεστήν τε καὶ βασιλέα διαστάσεως ἤδη μελετωμένης, συνθηκῶν δέ τινων καὶ λόγων οὐκ οἶδ' ὡντινωνοῦν ἂν καὶ φαίην πρὸς τὸν προῤῥηθέντα τῶν Τριβαλλῶν ἄρχοντα Στέφανον τηνικαῦτα τῷ βασιλεῖ κοινουμένων, δι' ἃ δήπου καὶ τῷ τοῦ Θεοῦ ἀρχιερεῖ τὴν πάροδον ἀποκλείει, τὰ πιστὰ τῷ Στεφάνῳ κἀντεῦθεν δῆθεν κατασκευάζων, μὴ καὶ δόξῃ πλάττεσθαι τὰς συνθήκας τὰς πρὸς ἐκεῖνον, καὶ ἀπάτην τινὰ σκευάζειν, ὃ δὴ καὶ πρὸς ἀλήθειαν ἦν, σοφῶς παρακρουσαμένου τοῦ βασιλέως ἐκεῖνον, ὡς ἡ πεῖρα σαφῶς παρέστησεν ὕστερον. Ὁ μὲν οὖν ὑπενόστει καὶ αὖθις, καὶ ἐς Ἄθω τὸν φίλον ὑπ' ἀνάγκης καὶ

A πάλιν ἄπεισι· τῶν δ' ὑπηρετῶν τε καὶ φίλων ἔστιν ὧν ἐπὶ τούτοις δυσχεραινόντων καὶ πρὸς τὸ τῶν πειρασμῶν συνεχὲς ὀκλαζόντων, ἐκεῖνος τοὐναντίον μὲν οὖν ἅπαν ἔλεγε, καὶ ἥδεσθαι καὶ χαίρειν ἐπὶ τούτοις προσῆκε, καὶ μεγίστας ὁμολογεῖν τῷ Θεῷ τὰς χάριτας, ὅτι καὶ ἡμεῖς κατά τι κοινωνεῖν ἠξιώμεθα τοῖς μεγάλοις ἐκείνοις διδασκάλοις καὶ ἀρχιερεῦσιν αὐτοῦ, οἳ καὶ σωτῆρες καὶ πατέρες καὶ εὐεργέται τῶν ὑπερφυῶν χρηματίζοντες τοῖς τότε κρατοῦσιν, ὡς κακοῦργοί τινες καὶ μιαροὶ καὶ πολεμιώτατοι παρὰ πάντα τὸν τῆς ζωῆς ἠλαύνοντο χρόνον, καὶ θανάτου τιμώντων ἐκείνων τοῖς πλείστοις τὸ τελευταῖον· καὶ ταῦτα λέγων συνῳδὰ τοῖς λόγοις ἐπεδείκνυτο καὶ τὰ πράγματα, μέγας τις καὶ ὑψηλὸς καθ' ὑπερβολὴν τὴν διάνοιαν καὶ τὴν

B ψυχὴν ἐν τοῖς πειρασμοῖς αὐτὸς ὤν, καὶ μακρῷ τῶν ὁρωμένων ὑπεράνω κεκτημένος τὸ φρόνημα.

Ἀλλ' ὁ σὺν τῷ πειρασμῷ ποιῶν Θεὸς καὶ τὴν ἔκβασιν, κατὰ τὸν μακάριον Παῦλον, τοῦ δύνασθαι ἡμᾶς ὑπενεγκεῖν, καὶ τοῦτον μετὰ βραχὺ διαλύει τὸν πειρασμόν· μηνῶν γὰρ μεταξὺ παραῤῥυέντων τριῶν, καὶ ἡ θαυμαστὴ καὶ φιλόχριστος βασιλὶς ἐπιστᾶσα φρονήματι γενναίῳ τε καὶ βασιλικῷ, καὶ τὰς τοῦ υἱοῦ καὶ βασιλέως πρὸς τὸν Στέφανον διαῤῥήγνυσι συνθήκας ἐκείνας, μᾶλλον δὲ τὰ τῶν συνθηκῶν ἰνδάλματα καὶ τὰς προσποιήσεις, καὶ τὸν ἀρχιερέα σύν γε τῷ βασιλεῖ τε καὶ υἱεῖ παρὰ τὴν Ἐκκλησίαν τε καὶ τὴν πόλιν ἀξίως μετακαλοῦνται· ἐπεὶ καὶ βασιλεὺς αὐτὸς οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον δι' αἰδοῦς ὅτι πλείστης ἦγε τὸν μέγαν, σοφός

C τε καὶ φιλόχριστος ὤν, καὶ γνώμης καὶ καλοκἀγαθίας καὶ τρόπων χρηστῶν ἀντιποιούμενος, εἴπερ τις τῶν πρὸ αὐτοῦ βεβασιλευκότων, εἰ καὶ τὸ τῶν πραγμάτων τε καὶ τῶν καιρῶν δυσχερὲς καὶ ἀντίξουν ἀπεῖργεν αὐτὸν καὶ πρότερον, ἑαυτῷ καὶ τοῖς τῆς φύσεως προτερήμασι κατὰ γνώμην οἰκείαν κεχρῆσθαι. Ὑποστρέφει τοιγαροῦν ὁ ἀρχιερεὺς εἰς τὴν Ἐκκλησίαν καὶ αὖθις· αὐτός τε ταύτην ἥδιστα προσορᾷ καὶ ὑπ' ἐκείνης ὡσαύτως ὁρᾶται, τὸ φίλτρον ἀντιδιδόντες ἀλλήλοις, καὶ τὰ παρ' ἀλλήλων καρπούμενοι· ὁ μὲν τὴν ἐκείνης ὑπακοὴν πρὸς τὰ θεῖα, ἡ δὲ τὴν παντοδαπὴν ἐκείνου τῶν λόγων τε καὶ τῶν ἔργων ὠφέλειαν· καὶ δῆλον κἀντεῦθεν.

Φροντιστήριόν ἐστι μοναζουσῶν μέγα καὶ πολυάν-

D θρωπον ἐν Θεσσαλονίκῃ, βασιλικὸν καὶ δι' αὐτὸ τοῦτ', οἶμαι, καλούμενον· ὑπερέχει καὶ γὰρ ἐκεῖ πάντων ὁμοῦ τῶν τοιούτων. Ἐν τούτῳ μοναχή τις τῶν εὐλαβῶν ἦν καὶ κοσμίων, Ἐλεοδώρα τὴν κλῆσιν· αὕτη μοχθηροῦ τινος καὶ νοσώδους χυμοῦ καταῤῥεύσαντος ἄνωθεν, πονήρως εἶχε τοῦ εὐωνύμου τῆς κεφαλῆς μέρους, τοῦ δὲ ῥεύματος μάλιστα τῷ ὀφθαλμῷ ἐνοχλοῦντος, κἀκεῖ τὸ τῆς ὀδύνης συνάγοντος πλεῖστον, ἀφόρητον μὲν ἦν καὶ κατ' αὐτὸ τοῦτο τὸ πάθος, καὶ οἷον μηδὲ παραβεβλῆσθαι· προσῆν δ' ὑποψία καὶ τῶν ἔτι μεγίστων, μὴ καὶ τῆς φυσικῆς ἕδρας ὁ ὀφθαλμὸς ἐκκρουσθεὶς δηλαδὴ φθάσῃ τῷ σφοδρῷ τῆς ὀδύνης· ἰατρῶν μὲν οὖν τῶν τε ἡμεδαπῶν καὶ ἐπηλύδων ὁμοίως ἀπηλέγχετο πᾶσα τέχνη τῷ μεγέθει τοῦ πάθους· ἡμερῶν δ' ἐφεξῆς

Digitized by Google

τετταράκοντα διαγενομένων, λήγει τὰ τῆς ὀδύνης ἀθρόον, μηδενὸς ἔξωθεν ἐπιγεγονότος· καὶ ὁμὴν αὐτίκα λεπτὸς ἐπιπεσὼν, ἐπικαλύπτει τὴν κόρην, καὶ ἡ ὁρατικὴ δύναμις κατ' αὐτόν φημι τοῦτον ἐξ ἐκείνου τὴν πάσχουσαν ἀπολείπει, οὐ μᾶλλον ἀλγοῦσαν δι' αὐτὸ τοῦτο, τὸ τὸν ὀφθαλμόν φημι τὸ παράπαν ἀπεσβηκέναι, ὅσον τὸ τῆς ἀναγνώσεως ἀποστερεῖσθαι τοῦ πλείστου. Τοῦ δ' ἐνιαυτοῦ μετὰ τὴν πληγὴν ταύτην ὄντος περὶ τὰ τέλη, καὶ μηνὸς ἤδη Γορπιαίου ἐνισταμένου, ἐτελεῖτο μὲν ἐκεῖ τῇ Θεομήτορι λαμπρῶς ἡ τελετὴ τῶν αὐτῆς Γενεθλίων, παρῆν δὲ καὶ ὁ διδάσκαλος παννύχιος συνεορτάζων τῇ ποίμνῃ. Τῶν δὲ ἑσπερινῶν αὐτοῖς ὕμνων ἰόντων πρὸς τὸ τέλος, ἅπτεται διδασκαλικοῦ λόγου καὶ ὁμιλίας πρὸς τοὺς παρόντας· πάντων δ' ἐξηρτημένων, ὡς ἔθος, τῆς διδασκαλίας καὶ τῶν ἱερῶν σειρήνων ἐκείνου· ἐπεὶ καὶ ἡ τὸν ὀφθαλμὸν πάσχουσα μοναχὴ σὺν ταῖς ἄλλαις αὐτοῦ που παρισταμένη, τοῦ νέκταρος τῶν λόγων ἐκείνου μετέσχε, θάμβους μὲν καὶ κατανύξεως τὴν ψυχὴν, δακρύων δ' ὑποπλησθεῖσα τοὺς ὀφθαλμοὺς, μεγάλας ἀπεδίδου Θεῷ τὰς εὐχαριστίας, ὅτι τε τὸν τοιοῦτον φιλανθρώπως παρελθεῖν εἰς μέσους ἐκείνους πεποίηκε, καὶ ὅτι καὶ αὐτὴ κατηξίωται τῶν τοιούτων ἐν μετοχῇ γεγονέναι· οὐ μὴν ἀλλὰ καὶ τῶν κατ' αὐτοῦ χρωμένων ἐστὶν ὧν Βυζαντίων ἀκολάστως τῇ γλώττῃ, καὶ τὰ τοῦδε διασύρειν ἐπιχειρούντων, ἄνοιαν ἐσχάτην καὶ θράσος καὶ τόλμαν καταγινώσκουσα καὶ δυσσέβειαν, χεῖρας ἱκεσίους σὺν πολλοῖς γε τοῖς δάκρυσι πρὸς Θεὸν ἐκίνει, ὡς ἂν ταῖς εὐχαῖς αὐτοῦ καὶ τῇ πρὸς αὐτὸν παῤῥησίᾳ, καὶ τοῦ συνέχοντος πάθους ἀπαλλαγείη, καὶ τὸν ὀφθαλμὸν ἐνεργὸν ὡς τὸ πρότερον ἀπολάβοι. Οὕτω τῆς νυκτὸς αὐτῇ διαγεγονυίας, καὶ μεθ' οὕτω λαμπρῶν τῶν ἐλπίδων· οὐδὲ γὰρ δισταγμοῦ τι προσῆν, φησὶν, οὐδ' ἀμφιβολίας· ἐπεὶ καὶ ἡ τῆς ἱερᾶς τελετῆς καὶ τῶν μυστικῶν παρῆν ὥρα, ὧν ὑπηρέτης τε καὶ τελειωτὴς ὁ ἀρχιερεὺς ἦν, πρόσεισι καὶ αὐτὴ κατὰ τὴν αἱμοῤῥοοῦσαν πάλαι Χριστῷ, λαθοῦσα καθόσον οἷόν τε καὶ τῆς ἱερατικῆς ἠρέμα στολῆς ἀψαμένη τῆς τοῦ μεγάλου, κἀκείνην ἐπιβαλοῦσα τῷ πάσχοντι μέλει, τὴν ἐκεῖθεν ἐξελθοῦσαν ἐπισπᾶται δύναμιν θαυμαστῶς καὶ τὴν θεραπείαν, καὶ ἦν μὲν ἀφανὴς ἔτι τέως, τῆς δὲ νυκτὸς ἐπιούσης, ὑπνοῖ σὺν πολλοῖς τοῖς δάκρυσι καὶ ταῖς ἱκεσίαις, καὶ τῇ μετ' ἐκείνην ἡμέρᾳ, τῶν ὑπερφυῶν σου, Δέσποτα, καὶ καινῶν ἔργων! τηλαυγῶς ἐξανίσταται καθαρῶσα, καθαρόν τε καὶ ὑγιᾶ τὸν ὀφθαλμὸν κεκτημένη καθάπαξ, ὡς μηδὲ δοκεῖν αὐτὸν ἀπεσβηκέναι ποτὲ, καὶ τῆς κατὰ φύσιν ἐνεργείας κἂν πρὸς ὀλίγον ἐπιλελῆσθαι.

Ἐνιαυτὸς ἦν αὐτῷ παριὼν ἐν τούτοις μετὰ τὴν ἐκ Βυζαντίου, φημὶ, κάθοδον, καὶ ταῖς συχναῖς ἀποδημίαις καὶ τοῖς πειρασμοῖς καὶ τοῖς ἀνενδότοις πόνοις τὸ σῶμα κατεργασθεὶς, καὶ σφόδρα ταλαιπωρήσας, νόσῳ περιπίπτει δεινῇ καὶ πολυημέρῳ· καὶ πάντες μὲν ἀπαγορεύουσιν ἅμα τούτῳ τὸ ζῆν, Θεὸς δ' ὑπὲρ πάσας ἐλπίδας καὶ αὖθις τοῦτο χαρίζεται, πρὸς ἀγῶνας καὶ πάλιν ἑτέρους καὶ δρόμους καὶ παλαίσματα παρασκευάζων τὸν ἀθλητήν· καὶ ὅπως, ὁ λόγος δηλοῦν ἕτοιμος. Ἐπειδὴ καὶ γὰρ κρείττων μὲν ἦν ὁ μέγας τοῦ προσδοκηθέντος θανάτου, Θεοῦ θαυματουργοῦντος, ὅπερ ἔφην, προδήλως, ὑπενόστει δὲ καὶ τὸ πλεῖστον τῆς νόσου, ἔτι τὰ λείψανα περιφέρων ἐκείνης, ἀναγκάζεται, πολλὰ δεηθέντος τοῦ θαυμαστοῦ βασιλέως, καὶ αὖθις εἰς τὴν τῶν πόλεων βασιλεύουσαν ἀνιέναι, τῷ κηδεστῇ τε καὶ βασιλεῖ πρεσβευσόμενος, καὶ σπονδὰς εἰρηνικὰς ἀμφοτέρων μεταξὺ θύσων. Ἀλλ' ὁ τῶν βασιλέων Βασιλεὺς ἄνωθεν καὶ Κύριος τῶν κυρίων, τὰς μὲν ὡς περιττὰς ἀποδοκιμάζει τό γε νῦν εἶναι, Ἀχαιμενίδαις δὲ τοῖς μακρὰν ἀπῳκισμένοις αὐτοῦ τῷ τῆς πίστεως λόγῳ, καὶ δὴ καὶ τοῖς κατεχομένοις ὑπ' αὐτῶν αἰχμαλώτοις, εὐαγγελιστήν τε καὶ κήρυκα καὶ μεσίτην καὶ διαλλακτὴν δι' αἰχμαλωσίας αὐτὸν θαυμαστῶς ἀποστέλλει· καὶ ἄπεισιν αἰχμάλωτος εἰς Ἀσίαν, Ἀχαιμενίδαις τοῖς κάκιστ' ἀπολουμένοις, ὥσπερ εἷς τις τῶν πάντων, ὁ τὴν ἄνω πάλαι πλουτήσας ἐλευθερίαν καὶ βασιλείαν, καὶ πλείστους πρὸς ἐκείνην καλῶς ὁδηγήσας τῷ λόγῳ, ἵνα κἀκεῖ ταῦτ' ἐργάσηται, καὶ πλείστους ἀπαλλάξῃ δι' ἑαυτοῦ τῆς νοητῆς αἰχμαλωσίας τε καὶ δουλείας.

Ἀλλὰ καλὸν ἂν εἴη τῆς καλλίστης καὶ ἱερᾶς διακοῦσαι καὶ αὖθις γλώττης αὐτῆς ἐκείνης, τὰ καθ' ἑαυτὴν καὶ τὴν αἰχμαλωσίαν τὴν καινὴν ἐκείνην διεξιούσης. Φησὶ τοιγαροῦν ἐν τῇ πρὸς τὴν ἰδίαν Ἐκκλησίαν ἐπιστολῇ, γράφων οὕτω· « . . . . . . . . . . . . . . . . . . . . . . . . »

Τοιαῦτα καὶ τὰ κατὰ τὴν αἰχμαλωσίαν παλαίσματά τε καὶ ἀγωνίσματα, καὶ αἱ θαυμασταὶ νῖκαι, καὶ τὰ κατὰ τῆς πλάνης τρόπαια Γρηγορίου φημὶ τοῦ μεγάλου! καὶ οὕτω κἀκεῖ στεφανίτης ὁ ἐμὸς παλαιστὴς τῇ ἐνεργείᾳ καὶ δυνάμει τοῦ ἐνοικοῦντος αὐτῷ Πνεύματος ἀνεφάνη, ἑαυτὸν ὡσανεὶ καὶ μιμούμενος πανταχοῦ, καὶ διὰ πάντων ἐν ἅπασι τὸ νικᾷν ἔχων οἱονεὶ συγκεκληρωμένον ἑαυτῷ καὶ ξυμπεφυκός. Καὶ ταῦτα διῆλθον ἐπὶ μακρὸν οὕτω καὶ κατὰ μέρος, οὐχ ἵν' ἐκείνῳ καὶ τοῖς ἐκείνου λόγοις προσθῶ τινα δόξαν, ὡς ἂν ὑπολάβοι τις· ποῖον γὰρ οὐχ ὑψηλὸν τῶν ἐκείνου καὶ θεῖον, ὡς καὶ μεθ' ὑπερβολῆς ἕκαστον τούς τε λέγοντας ἅμα καὶ τοὺς ἀκούοντας ἔχειν ἐκπλήττειν, κἂν τὸ σμικρότατον ὂν τύχῃ, καὶ τῶν ἐκ παρέργου καὶ μὴ κατὰ σπουδὴν ἐκείνῳ ῥηθέντων τε καὶ πραχθέντων; ἀλλ' ἵνα κἀντεῦθεν τὸ τῆς θεολογίας ὑψηλότερόν τε καὶ ἀσφαλέστατον τοῖς ἀγνοοῦσι διαδειχθῇ τοῦ ἀνδρὸς, ὅπως τε τὰ ἐκείνου σύμφωνα πάντα τοῖς ἀποστολικοῖς τε καὶ Πατρικοῖς δόγμασι διὰ πάντων· καὶ ὅτι μοναρχίας καὶ μιᾶς τρισυποστάτου καὶ παντοδυνάμου θεότητος ἐν ἅπασι καὶ πρὸς πάντας πανταχοῦ κῆρυξ ἐκεῖνος, ἀλλ' οὐχὶ πολυαρχίας τε καὶ πολυθεΐας κατὰ τοὺς πολυθέους ἐκείνους ὄντως καὶ λατρευτὰς τῶν ἰδεῶν τε καὶ τῶν κτισμάτων, καὶ τῆς ἀληθινῆς λατρείας τε καὶ θεότητος ὑβριστὰς, οὓς καὶ φθάσας ὁ λόγος ἤδη δι' ἐκείνου καὶ σὺν ἐκείνῳ πολλάκις ἐξήλεγξεν· ἐπεὶ μηδὲ ἄλλως ἐχρῆν σιγῇ τε καὶ λήθῃ τὰ τοιαῦτα παραδοθῆναι, μυστήριον εὐσεβείας ἄντικρυς ὄντα, καὶ τοῦ καθ' ἡμᾶς ἱεροῦ λόγου τε

Digitized by Google

καὶ τῆς πίστεως μέρος οὐ τὸ σμικρότατον. Ἀλλ' ἐπὶ A τὸ προκείμενον ἐπανίωμεν αὖθις.

Ἐνιαυτὸς ὅλος ἤνυστο τῷ γενναίῳ αἰχμαλωσίᾳ τε καὶ τοῖς τῆς αἰχμαλωσίας δεινοῖς προσταλαιπωροῦντι· καὶ νῦν μὲν τοὺς εὐσεβεῖς πρὸς ὑπομονὴν ὑπαλείφοντι καὶ ἀνδρίαν καὶ τῆς ἄλλης πάσης ἀρετῆς ἄσκησιν, τῇ τε τῶν μελλόντων ἐλπίδι, καὶ μάλιστα τῷ καθ' ἑαυτὸν ὑποδείγματι· νῦν δὲ τοὺς ἀσεβεῖς ἐξελέγχοντι, καὶ τὸ μυστήριον τὸ τῆς πλάνης διὰ πολλῶν μάλα λαμπρῶς θριαμβεύοντι, δι' ἃ δήπου καὶ πληγὰς ὑπομείνας διαφόρους καὶ θλίψεις, καθὰ δὴ καὶ πρὸ βραχέος ἔφθη δείξας ὁ λόγος, μάρτυς ἀναίμακτος καὶ τῆς εὐσεβείας λαμπρὸς ἀθλητὴς ἦν. Τῶν δὲ κοινῶν πραγμάτων ὥσπερ ἐν κύβων στροφαῖς αὖθις μεταπεσόντων Ῥωμαίοις, μεταβολῆς τε προσγενομένης ἅμα τῇ βασιλείᾳ καὶ τῇ B κοινῇ Ἐκκλησίᾳ, καὶ τῶν σφόδρα σπουδαζόντων ὑπὲρ τῆς ἐλευθερίας ἐκείνου πόῤῥω γεγονότων τῆς ἀρχῆς ἤδη καὶ τῆς τῶν κοινῶν πρυτανείας, τηνικαῦτα παρὰ πάσας ἐλπίδας λύεται τῆς αἰχμαλωσίας, ὅτε καὶ τὰ τῶν ἐλπίδων αὐτῶν εἰσάπαν ἐῤῥύη, Θεοῦ κεκινηκότος ἐξ ὑπερορίας δυτικῆς Τριβαλλούς τινας ἢ Δαλμάτας, ἄνδρας καλοὺς κἀγαθούς, καὶ ὑπὲρ τὸ σφέτερον αὐτῶν γένος, οἳ καὶ πόῤῥωθεν ὄντες, τά τε χρήματα δαψιλῶς κατεβάλοντο τοῖς βαρβάροις, καὶ τὸν ἅγιον ἀνεσώσαντο, ἵν' εἴη καὶ τοῦτο καθαρῶς τῶν περὶ αὐτὸν τοῦ Θεοῦ θαυμάτων, τοῦ πάντα κατὰ τὸ εἰρημένον ποιοῦντός τε καὶ μετασκευάζοντος μόνῳ τῷ βούλεσθαι.

Ἐν δὲ τῇ τῶν πόλεων βασιλίδι γενόμενος αὖθις, C τόν τε πρὸς Λατίνους περὶ τῆς τοῦ θείου Πνεύματος ἐκπορεύσεως ἐν βιβλίοις δυσὶ θαυμαστῶς ἐκδίδωσι λόγον, καινόν τινα καὶ ὑπερφυᾶ, καὶ οἷον οὐδέπω πρότερον ὑπὲρ τῶν τοιούτων ἡ καθ' ἡμᾶς ἑώρακεν Ἐκκλησία· μᾶλλον δ', ἵν' εἴπω τἀληθές, ἔξω παντὸς προκαλύμματός τε καὶ προσωπείου, οἷον τοὺς πρὸ αὐτοῦ πρὸς Λατίνους ὁμοῦ πάντας παιδιὰν ἀποδεῖξαι καὶ πρόσχημα διαλέξεως. Ταῦτά τε τοίνυν οὕτω θαυμαστῶς καὶ ἀξίως ἐξενεγκὼν ἑαυτοῦ καὶ τοῦ λαλοῦντος ἐν αὐτῷ Πνεύματος, καὶ τῶν ὀπαδῶν Βαρλαάμ τε καὶ Ἀκινδύνου, τοῖς ἔτι περιοῦσι, τὰς ἐσχάτας οἱονεὶ πληγὰς δεδωκώς, ἔν τε λόγοις καὶ γράμμασι καὶ διαλόγοις αὐτοπροσώποις, καὶ βασιλέως αὐτοῦ καὶ πολλῶν τῶν ἐν τέλει παρόντων, ὡς μηδὲν ἧττον αὐτὸν παρὰ πάντων θαυμασθῆναι κἂν τού- D τοις, εἰς Θεσσαλονίκην τὴν ἰδίαν ὑποστρέφει καὶ αὖθις, διψῶσάν πως ἂν εἴποις τοῦτόν τε καὶ τὰ τούτου, καὶ σφοδρῶς ἐκκαιομένην τῷ πόθῳ. Ἐπεὶ δὲ καὶ ὑδάτων τῶν ἄνωθεν αἰσθητῶς διψῶσαν οὐδὲν ἧττον αὐτὴν εὗρε, καὶ αὐχμῷ τηκομένην, λύει μὲν αὐτῇ τὰ τῆς αἰσθητῆς ἀνομβρίας εὐθύς, εὐχαῖς καὶ δεήσεσι τὸν Δημιουργὸν δυσωπήσας, ποτίζει δ' ἀφθόνως καὶ τὸν εὐφραίνοντα καρδίαν ζωτικὸν λόγον, τοὺς πλεῖστον ἤδη χρόνον τοῦτον διψῶντας, θεραπεύει δὲ συνήθως καὶ αὖθις σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα ῥᾴους ποιῶν ἀμφοτέρωθεν.

Μοναχός τις καὶ γὰρ τὴν ἀξίαν πρεσβύτερος, τὴν κλῆσιν Πορφύριος, τῷ τοῦ Ὑπομιμνήσκοντος ἐνοικῶν σεμνείῳ, καὶ θύων ἐν τούτῳ τὰ μυστικά, οὗτος εὐλαβής τε καὶ συνετὸς ὤν, καὶ τῷ ἁγίῳ συνήθης ἦν, καὶ πυκνὰ πρὸς αὐτὸν ἐφοίτα, καὶ τῶν ποτίμων τῆς γλώττης αὐτοῦ μετεῖχε ῥευμάτων ἡδέως. Τῆς δὲ δεσποτικῆς Μεταμορφώσεώς ποτε τελουμένης αὐτοῖς, ὡς ἔθος, καθ' ἣν ἄρα καὶ τὸν Πορφύριον καὶ διανυκτερεύειν σὺν τοῖς λοιποῖς μοναχοῖς ἔδει, καὶ ἱερατικῶς ἐξυπηρετεῖσθαι, ἀθρόον ὀδύνη τις αὐτῷ κατὰ τὴν εὐώνυμον πλευρὰν προσβαλοῦσα, καὶ τῆς ἱερᾶς ὑπηρεσίας καὶ τῆς ἀγρυπνίας ὁμοῦ, καὶ τῆς ἐν τῷ ναῷ στάσεως ἐκεῖνον ἀπεῖρξε· μᾶλλον δὲ τὴν μὲν ἱερὰν ἀφείλετο τελετὴν καὶ τὴν ἐν τῷ ναῷ προσεδρείαν, τῇ δ' ἀγρυπνίᾳ καὶ προσέθηκε πλείστην, ὡς μηδὲ συγχωρεῖν ἐπὶ κλίνης ἀνακεῖσθαι τελείως τῷ σφοδρῷ καὶ ἀκμαίῳ τοῦ πάθους. Ἡ νὺξ ἐκείνη παρῄει, καὶ τὰ τῆς ὀδύνης οὐδοτιοῦν ἐνεδίδου· ἐπεὶ δ' ὁ τῶν μυστηρίων καιρὸς προσιών, τὸν ἀρχιερέα τοῦ Θεοῦ πρὸς ἱερουργίαν ἐκάλει, καὶ ὁ Πορφύριος ὡς εἶχεν εὐθὺς τῷ τοῦ σεμνείου παρεπόμενος προεστῶτι, εἰς τοὺς ὑπ' ἐκεῖνον ἐπισκόπους τελοῦντι, καὶ συνιερουργεῖν προσκεκλημένῳ συνήθως, τῆς τε μυστικῆς ἱερουργίας ἐπόπτης γίνεται καὶ ἀκροατής. Ἑστὼς αὐτοῦ που παρὰ τῷ ἱερῷ θυσιαστηρίῳ, καὶ τῶν μυστικῶν τελεσθέντων, πρόσεισιν εὐθὺς τῷ ἁγίῳ, τήν τε πιέζουσαν ὀδυνηρῶς ἀπαγγέλλων ὀδύνην, καὶ τὴν θεραπείαν ὡς τάχιστα διὰ τῆς αὐτοῦ χειρός τε καὶ τῆς εὐχῆς ἐξαιτῶν. Ὁ δὲ πρῶτα μὲν ἀνεβάλλετο, καὶ τὴν ἀξίωσιν εὐλαβῶς διωθεῖτο, μηδὲ δεδυνῆσθαι διενεργεῖν αὐτὸς τὰ τοιαῦτα λέγων, μηδὲ τοιαύτας τὸν Πορφύριον ἔχειν τὰς ὑπολήψεις περὶ αὐτοῦ ἀξιῶν· ὡς δ' ἐκεῖνος ἐπέκειτο μᾶλλον τὴν ἱερὰν ἐπιζητῶν τῆς χειρὸς ἐκείνου σφραγῖδα καὶ τὴν εὐχήν, τῇ τοῦ πάσχοντος ὁ μέγας εἴξας ἀνάγκῃ, τοὺς μὲν ὀφθαλμοὺς πρὸς Χριστόν, τὴν δὲ χεῖρα τῇ τοῦ πρεσβυτέρου πλευρᾷ σταυρικῶς ἐπιθείς, τὰ τοῦ θείου καὶ ἱεροῦ μέλους ἐκείνου περιπαθῶς ἔλεγε· « Σταυρούμενος, Δέσποτα, τοῖς μὲν ἥλοις τὴν ἀρὰν τὴν καθ' ἡμῶν ἐξήλειψας, τῇ δὲ λόγχῃ νυττόμενος τὴν πλευράν, Ἀδὰμ τὸ χειρόγραφον διαῤῥήξας, τὸν κόσμον ἠλευθέρωσας· » εἶτα, καὶ τὸ τοῦ κορυφαίου τῶν ἀποστόλων ἐκεῖνο πρὸς τὸν παράλυτον ἐπειπών, τό, « Ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός, » τῆς πικρᾶς ὀδύνης ἐκείνης οὐ σχολῇ καὶ κατὰ μικρόν, ἀλλὰ τελείως εὐθὺς ἀπαλλάττει τὸν πάσχοντα ὡς καὶ πρὸς τὴν οἰκίαν τε καὶ τὸ φροντιστήριον ὅλον ὑγιᾶ τε καὶ ἐῤῥωμένον παραδόξως ἐπανελθεῖν.

Ἡμέραι μετὰ τοῦτο παρῆλθόν τινες, ὁ αὐτὸς Πορφύριος ἔλεγε, καὶ νόσος ἐπιγίγνεταί μοι τῷ σώματί τις, ἣ καὶ προσταλαιπωρήσας ἡμέρας συχνάς, ὅτε καὶ πρὸς παρακμήν τε καὶ ἀπαλλαγὴν ταύτης ἔβλεπον ἤδη, τότε δὴ καὶ σφοδροτάτης καθ' ὑπερβολὴν ἐκείνης πειρῶμαι· τὸ γὰρ ἐνοχλοῦν ἅπαν τῆς ὕλης, ὥσπερ ἐπίτηδες ἀθρόον κατὰ τοῦ λάρυγγος ῥεῦσαν, ὡσανεὶ τινα παιδιὰν ἐδείκνυ τὰ πρόσθεν· τόν τε γὰρ φυσικὸν τῆς τροφῆς ἀπέκλεισε πόρον, ὡς μηδὲ ὕδατος γοῦν ἐφ' ὅλαις ἡμέραις ὀκτώ, μηδὲ βραχύ τι τὸ παράπαν προσέσθαι, καὶ χαλεπὸν τὸν δι' ἀγχόνης ἠπείλει θάνατον. Ἐπεὶ δὲ πᾶσα μὲν ἐκινεῖτο πρὸς θεραπείαν ἐπίνοια, πᾶσα δ' ὡσαύτως

Digitized by Google

ἀργὸς ἦν, πρὸς τὸν συνήθη καὶ αὖθις ἰατρὸν καταφεύγω, Γρηγόριον δηλαδὴ τὸν μέγαν, καὶ τὴν νόσον ἄνωθεν ἐξαγγείλας, καὶ τὸ κατασκῆψαν τῷ λάρυγγι θανατηφόρον κακὸν τελευταῖον προσθεὶς, πείθω πολλὰ δεηθεὶς μετ' εὐχῆς ἱερᾶς ἐπιθεῖναι τὴν χεῖρα τῷ πάσχοντι μέλει, ἣν δὴ καὶ σταυρικῶς ἐπιθεὶς, τὸ θεῖον ἐκεῖνο πρὸς Χριστὸν τοῦ σοφοῦ μελῴδημα σὺν δάκρυσιν ἐπιλέγει, τό· « Παθῶν ἀμέτοχος σὺ διέμεινας, Λόγε Θεοῦ, σαρκὶ προσομιλήσας τοῖς πάθεσιν· ἀλλὰ λύεις τῶν παθῶν τὸν ἄνθρωπον· » ὃ καὶ διελθὼν μέχρι τέλους, Ἄπιθι, φησὶ, πρὸς σεαυτόν τε καὶ τὸν οἰκίσκον, πρὸς Θεοῦ μόνου τῶν τε ψυχικῶν ὁμοῦ καὶ σωματικῶν παθῶν τὴν ἴασιν ἐξαιτούμενος, ἐπειδή γε καὶ ἐκείνῳ δυνατὰ ταυτὶ πάντα μόνῳ. Καὶ ταῦτα μὲν ὁ τοῦ Θεοῦ ἄνθρωπος. Ἐγὼ δ' ἐκεῖθεν ἐπανιὼν, ὁ Πορφύριος ἔλεγεν αὖθις, οὐ τῆς ἀγχόνης μόνον ἐκείνης ἐλεύθερον θαυμαστῶς εἶχον τὸν λάρυγγα, ἀλλὰ καὶ πρὸς τροφῆς ὄρεξιν εὐθὺς ἐκινούμην, καὶ τὴν κοινὴν εἰσιὼν τῶν ἀδελφῶν τράπεζαν· ἦν γὰρ ἤδη καὶ ὥρα ἡ τοῦ ἀρίστου· αὐτὰ ταῦτα καὶ αὐτὸς, ὢ τοῦ θαύματος! ἐσιτούμην ἀθρόον ἅπερ καὶ πάντες, ὁ μηδὲ ὕδατος μεταλαβεῖν δυνάμενος πρὸ βραχέος, ὃ δήπου καὶ φθάσας ἔφην.

Μοναχὴ δέ τις φροντιστήριον ἀρετῆς τὸ τῆς θαυμαστῆς φημι Θεοδώρας κεκτημένη σεμνεῖον, θῆλυ παιδίον μεθ' ἑαυτῆς ἔσχε· βρέφος μὲν ἐκτεθὲν μητρικῶς τε καὶ φιλανθρώπως ἀνελομένη, καὶ τροφῆς καὶ παντοδαπῆς ἀξιώσασα τῆς ἐπιμελείας, ὡς καὶ ἡλικίας ἤδη παιδικῆς ἧφθαι, καὶ πρὸς ὑπηρεσίαν δεξιῶς ἔχειν δύνασθαι, καὶ περὶ τοῦ μέλλοντος ἐλπίδας ἀγαθὰς τῇ δεσποίνῃ διδόναι, δι' ἃ δήπου καὶ παρ' ἐκείνης προσείληπτο· τῶν δ' ἐναντίων ἐπηρείᾳ πονηροῦ τινος δαίμονος αἴσχιστα πειρωμένη· τά γὰρ τῆς γαστρὸς φυσικὰ περιττώματα τῇ παιδὶ κινούμενα παρὰ φύσιν, τά τε στρώματα καὶ τοὺς χιτωνίσκους, καὶ αὐτὴν δὲ ταύτην ὑπνοῦσαν νυκτὸς ἐπὶ τῆς εὐνῆς τὰ αἴσχιστα διετίθει, καὶ δεινὰ πάσχειν τὴν κυρίαν ἐποίει, τὴν μὲν βρεφικὴν ἡλικίαν ἀποθεμένην ὁρῶσαν πάλαι, τἀκείνης ἀηδῆ δὲ καὶ φορτικὰ μηδόλως ἀποβαλοῦσαν· ὡς καὶ τὴν εὔνοιαν αὐτὴν καὶ τὸ φίλτρον κατὰ μικρὸν ἀπολείπειν τὸ πρὸς τὴν παῖδα, καὶ πρὸς διάστασιν ἤδη καὶ χωρισμὸν ἀφορᾷν. Ἀλλ' ἐφίσταται τοῖς πάσχουσιν αὐτόκλητος ὁ σωτὴρ, καὶ τῇ μὲν τὸ σῶμα, τῇ δὲ τὴν ψυχὴν ἐξιᾶται· μᾶλλον δ' εἰπεῖν, ἀκριβῶς καὶ ἀμφοτέρας θεραπεύει κατ' ἄμφω, καὶ κατ' ἄμφω νοσούσας· ὡς γὰρ τοῦ φροντιστηρίου συνήθως ἔνδον ἦν ὁ μέγας ἀρχιερεὺς, ἀγγέλλεται μὲν αὐτῷ παρ' ἐκείνων καὶ ταῦτα, προσπίπτουσι δ' ἅμα τοῖς ἐκείνου ποσὶ, πίστει θερμῇ καὶ δάκρυσι τὴν θεραπείαν αἰτοῦσαι· ὁ δὲ καὶ φιλανθρώποις ἐνιδὼν ὄμμασι, καὶ λόγοις πολὺ τὸ ἡδύ τε καὶ φιλάνθρωπον ἔχουσι πατρικῶς ταύτας ψυχαγωγήσας, εἶτα καὶ χεῖρα τῇ κεφαλῇ τῆς παιδὸς ἐπιθεὶς, καὶ Θεὸν ἀνυμνήσας καὶ ἐπευξάμενος, ὑγιᾶ παρευθὺ τὴν πάσχουσαν ἀποδείκνυσιν.

Ἀνήρ τις, Παλάτης τὴν κλῆσιν, τὸν τρόπον ἐπιεικὴς, χρυσοστίκτης τὴν τέχνην, χρυσῷ τὴν καινουργηθεῖσαν ἱερατικὴν στολὴν ἐπεκαλλώπιζε τῷ μεγάλῳ· ὃ δὴ καὶ πρόφασιν ὡσανεὶ τῆς πρὸς ἐκεῖνον ἐπιδημίας καὶ τῆς μελλούσης εὐεργεσίας ὁ μέγας πεποιημένος, αὐτόκλητος ἐφίσταται τῷ οἴκῳ ἐκείνου, σύν γε τοῖς ὁμοτέχνοις ἐργαζομένου· τῷ δὲ ἄρα παιδίον ἦν ἄῤῥεν, καὶ πέντε μὲν ἤδη γεγονὸς ἔτη, πέντε δ' ἐπὶ δέκα μησὶν ὅλοις αἱμοῤῥοίᾳ κατειργασμένον, ὡς καὶ τὴν κατὰ φύσιν ὄψιν ἤδη σχεδὸν ἀπολιπεῖν αὐτὸ καὶ τὸ εἶδος, καὶ τῇ φωνῇ μόνῃ τὸ περιεῖναι καὶ ζῇν πιστοῦσθαι. Τοῦτο κατιδὼν ἐπὶ τῆς οἰκίας ὁ μέγας, ὁ μὲν πυνθάνεται φιλανθρώπως τὴν τοῦ πάθους αἰτίαν, ὁ δὲ πατὴρ τῶν σπλάγχνων εὐθὺς ἡττηθεὶς, καὶ δάκρυσι καὶ ῥήμασι γοεροῖς τὴν συμφορὰν ἐξαγγέλλει· καὶ τὸν ἡμιθνῆτα παῖδα ταῖν χεροῖν ἄρας εὐθέως, ταῖς παλάμαις ὑποτίθησι τοῦ ἀρχιερέως· Ἐλέησόν μου τὸν υἱὸν, κατὰ τὸν ἐν Εὐαγγελίοις πρὸς Χριστὸν ἄντικρυς καὶ αὐτὸς λέγων, πᾶσι μὲν ἰατροῖς σχεδὸν καὶ πάσαις ἐπινοίαις ὑπὲρ αὐτοῦ χρησαμένου, μηδὲν δέ τι πλέον ἠνυκότος ἐς δεῦρο, ὡς καὶ αὐτὰς ἤδη τὰς ἐλπίδας ἀποβαλεῖν. Ὁ δὲ πρῶτα μὲν τῷ τοῦ θείου σταυροῦ σημείῳ τὸν νοσοῦντα σφραγίζει, τῇ δὲ κεφαλῇ τὴν ἰδίαν ἐπιθεὶς χεῖρα, καὶ μυστικὴν ὑποψιθυρίσας εὐχὴν πρὸς Θεὸν, μετὰ τρίτην εὐθὺς ὑγιᾶ τε καὶ ἐῤῥωμένον ἀποδίδωσι τοῖς τεκοῦσιν· ὡς καὶ μόνον ὁρώμενον μετὰ τοῦτο, καὶ βαδίσματι καὶ κινήματι καὶ παιδικοῖς ἅλμασι πᾶσιν ἐξαισίως ἀνακηρύττειν τὸ θαῦμα.

Ἀλλὰ ταῦτα μὲν αὐτῷ καὶ τοιαῦτα συνεχῶς τὰ πρὸς τοὺς καθ' ἕνα· τὰ δὲ πρὸς πάντας κοινῇ τί χρὴ καὶ λέγειν; ὅπου γε κἂν ταῖς πανδήμοις ἑορταῖς καὶ συνάξεσι καὶ πομπαῖς ἱεραῖς καὶ προόδοις, τὰς μὲν αὐτοῦ φωνὰς καὶ τὴν διδασκαλίαν Θεοῦ φωνὰς καὶ ῥήματα ζωῆς ἄντικρυς καὶ νομίζοντες καὶ ὀνομάζοντες ἦσαν οἱ πλείους, ὡς καὶ πρὸς τὴν ὁμιλίαν καὶ τὴν ὄψιν αὐτοῦ πάντας ὁμοῦ κεχηνότας ὠθεῖν ἀλλήλους καὶ ἀντωθεῖσθαι καὶ φιλονεικεῖν, ὅπως ἕκαστος ἔχοι τὸ πρωτεῖον ἐν τούτοις· τῶν δὲ νοσούντων τοὺς πλείστους πρὸ τῶν αὐτοῦ ῥιπτοῦντες ποδῶν, ὑγιαίνοντας ὑποστρέφειν ἐκεῖθεν ἐποίουν, μείζω τῶν ὁρωμένων πολλῷ τὴν περὶ αὐτοῦ κεκτημένοι δόξαν, καὶ ὡς ἕνα τῶν πάλαι θεοφόρων καὶ ἀποστολικῶν ἀνδρῶν καὶ διδασκάλων ὁρῶντες καὶ τοῦτον, καὶ τῷ πρὸς αὐτὸν φίλτρῳ καὶ τῇ λαμπρᾷ πίστει πολύ τι καθ' ἑκάστην προστιθέναι φιλοτιμούμενοι.

Τοιαῦτα τὰ τῆς καλῆς ποίμνης πρὸς τὸν κάλλιστον ὄντως καὶ μέγαν ποιμένα· ἀμφοτέρων καὶ γὰρ ἔγωγε τὴν ἀρετὴν καθ' ὑπερβολὴν ἄγαμαι· τοῦ μὲν τὸ τῆς ποιμαντικῆς θεῖον καὶ ὑψηλὸν καὶ ἀποστολικὸν ὄντως, τῶν δὲ τὸ εὐπειθὲς καὶ εὐάγωγον, καὶ τὸ ἀκολουθεῖν ἀξίως εἰδέναι, καὶ ὑπ' ἐκείνου θαυμαστῶς τῷ ὄντι τὰ θεῖα τυποῦσθαι καὶ κανονίζεσθαι· καὶ τοῦ μὲν τὴν θαυμαστὴν πρὸς Θεὸν παῤῥησίαν καὶ τὸ τοιαῦτα διὰ παντὸς ἐνεργεῖν ἔχειν ἐκεῖθεν, τῶν δὲ τὴν εὔνοιαν καὶ τὴν πίστιν, καὶ τὸ καθαρῶς καὶ ἀδόλως καὶ βλέπειν καὶ δέχεσθαι καὶ πάσχειν ἐκεῖνα, μήτε τὸν ἱερὸν καπηλεύοντες καὶ δολοῦντες λόγον κατά τινος, μήτε τῇ ἀπι-

Digitized by Google

στίᾳ καὶ τῷ πονηρῷ φθόνῳ, τῷ λαμπρῷ καὶ διαφανεῖ τῶν ἔργων αἴσχιστα λυμαινόμενοι πάντων, δι' ἃ δήπου καὶ Θεὸς ἄνωθεν, οἶμαι, πόῤῥωθεν εἰς ἓν ἀγαγὼν ἀξίως συνῆψε, τὸν ἄξιον δεδωκὼς τοῖς ἀξίοις, καὶ θαυμαστόν τινα τὸν συνδυασμὸν, καὶ τὴν συμφωνίαν ἐναρμόνιον ἐργασάμενος, ὡς μηδέν τι μηδαμῶς ἠχεῖν παρὰ μέλος, ὃ δὴ καὶ πρὸ βραχέος ἔφθη δείξας ὁ λόγος.

Ἀλλὰ γὰρ τὸ κατὰ μέρος ὁμοῦ πάντα διεξελθεῖν τοῦ μεγάλου τοῦδε πειρᾶσθαι οὐ μακρὸν ἂν εἴη μόνον καὶ τῆς ὥρας ἔξω καὶ τοῦ σκοποῦ, ἀλλὰ καὶ τῶν ἀδυνάτων ἕν τι σχεδὸν, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε· διὸ καὶ συνελὼν ὡς ἐφικτὸν, οὑτωσί πως περιγράψω τὸν λόγον τῷ τῆς προσκαίρου ζωῆς αὐτοῦ τέλει, ἢ καί τισι τοῖς μετὰ τὸ τέλος ὀλίγοις καὶ αὐτὸν συγκαταπαύειν τὸν δρόμον μέλλοντα. Ἐκεῖνος καὶ γὰρ διὰ πάσης ἰδέας ἐληλυθὼς ἀρετῆς, ὅση τε τοῦ λόγου καὶ ὅση τῆς πράξεως, ὃ δὴ καὶ φθάσας εἰρήκειν, καὶ οὕτω κἂν τοῖς καθόλου κἂν τοῖς κατὰ μέρος ἅπασιν εὐδοκιμηκὼς, ὡς μὴ μόνον τοὺς ἱεροὺς ὅρους καὶ τοὺς κανόνας ἐκείνους καθ' ὑπερβολὴν εἴπερ τινὲς τῶν πάντων τηρῆσαι, σώματος ἔξω δοκῶν μετὰ σώματος, καὶ τὸν ἄνθρωπον ὑπερβαίνων, ἀλλὰ καὶ κανὼν αὐτὸς ὁμοῦ πάντων ἐκείνων καὶ στάθμη τοῖς μετ' αὐτὸν χρηματίσαι, τὰς ὑπερβολὰς καὶ τὰς ἐλλείψεις ὁμοῦ παραιτούμενος, ὃ δὴ καὶ χαλεπὸν ἐφ' ἑνὶ συνδραμὸν πολλάκις κἀπὶ τῶν ἀρχαίων εὑρεῖν, καὶ μέγας καὶ καινός τις παντοδαπός τις ἐν τοῖς ἐσχάτοις καὶ ταπεινοῖς τουτοισὶ καιροῖς γενόμενος ἅγιος, ὡς μηδ' ἔχειν τἀκείνου τοὺς κατ' ἐκεῖνον εὐχερῶς διὰ πάντων ἐξισοῦσθαι καὶ παραβάλλεσθαι, ἐκεῖνα καὶ τοῖς ἑξῆς καταλέλοιπεν ἐκ πολλοῦ πάνυ τοῦ περιόντος, ὡς ἰδιαίτατα καὶ προσφυᾶ τῆς μεγάλης ἐκείνης ἀρετῆς καὶ ψυχῆς ὄντως γνωρίσματα καὶ λέγειν ὁμοῦ καὶ θαυμάζειν· τὸ μεθ' ὑπερβολῆς φημι πρᾶον καὶ ταπεινὸν τῆς ψυχῆς· τὸ πάσης ὀργῆς τε καὶ μήνιδος αὐτός τε μακρὰν εἶναι διὰ παντὸς, καὶ τῶν ὀργιζομένων κατ' αὐτοῦ καὶ λυπούντων μακροθύμως ἄγαν ἀνέχεσθαι, καὶ προσέτι καὶ τοῖς κατὰ δύναμιν ἀγαθοῖς καὶ λόγοις καὶ ἔργοις, καὶ πᾶσι τρόποις ἐθέλειν ἀμείβεσθαι· τὸ μὴ τὰ κατά τινων εὐκόλως ὡς ἔτυχε λαλούμενα παραδέχεσθαι, ὅπερ καὶ πᾶσι μὲν ἀνθρώποις σχεδὸν, κατ' ἐξαίρετον δὲ τοῖς ἄρχουσι πρὸ τῶν ἄλλων ἐπιφύεσθαι πέφυκεν, ἐξ οὗ καὶ μεθ' οὗ, καὶ τὸ λοιδορεῖν καὶ κατηγορεῖν ὡς ἐπὶ πολὺ καὶ τοὺς ἀνευθύνους, καὶ ὁ τῆς ἀγάπης ἀφανισμὸς ῥᾷστα τοῖς μὴ νήφουσιν ἐπιγίγνεται· τὸ πρὸς τὸ ὑπερέχον οὐκ ἐλευθέριον μόνον καὶ πάσης ἀγεννοῦς κολακείας ἀνώτερον, ἀλλ' ἔστιν ὅτε καὶ ἐν οἷς καὶ στεῤῥὸν καὶ ἀντίτυπον, ὥσπερ αὖ τὸ πρὸς τὸ ταπεινὸν κηδεμονικὸν καὶ καθ' ὑπερβολὴν χρηστὸν καὶ φιλάνθρωπον· τὸ καρτερικὸν ἐν πειρασμοῖς καὶ ἀνάλωτον· τὸ πρὸς πᾶσαν ἡδονὴν ἀνθρωπείαν, ὅση τε καθ' ἑαυτὴν τῆς ψυχῆς, καὶ ὅση τοῦ συναμφοτέρου, μεθ' ὑπερβολῆς ἀνένδοτον καὶ ἀμείλικτον· τὸ τῆς καρδίας ἠρεμόν τε καὶ γαληνὸν καὶ ἡδὺ καὶ χάριεν ἄκρως, ὃ καὶ εἰς ἀκροτάτην ἕξιν ἰὼν, καὶ ποιωθὲν οἱονεὶ ταύτῃ καὶ συνουσιωθὲν, διὰ τῶν αἰσθητηρίων ὥσπερ ἐξεχεῖτο καὶ ἀνέβλυζε πρὸς τὰ ἔξω, θαυμαστῶς παραδεικνύων ἀεὶ τὸν ἔνδον κεκρυμμένον θησαυρὸν τῆς ἀνεκλαλήτου χαρᾶς· ὃ δὴ καὶ τοῖς μάλιστα συνιεῖσι, καὶ τὰ τοιαῦτα κρίνειν ἐπισταμένοις θεοφόροις ἀνδράσι, καὶ σύννουν καὶ συμφυᾶ καὶ περιπόθητον καὶ ἐπέραστον καθ' ὑπερβολὴν ἐκεῖνον ἐτίθει, καὶ ἴσα ταῖς ἑαυτῶν κεφαλαῖς καὶ ψυχαῖς ἐτίμων μετὰ τῆς θείας ἐκείνης εἰρήνης καὶ τῆς χαρᾶς, ἧπερ σὺν τῇ ψυχῇ καὶ τὸν ἐκτός τε καὶ ὁρώμενον ἄνθρωπον οὕτω λαμπρῶς ἐκόσμει, καθὰ δὴ καὶ εἰπὼν ἔφθην· καὶ τὸ σύννουν ἀεὶ καὶ κατανενυγμένον καθορῶντες ἀσκοῦντα καὶ νῆφον· ὅθεν ἄρα καὶ τὸ καινὸν ἐκεῖνο καὶ ὑπερφυὲς τῶν δακρύων ῥεῦμα πόῤῥω παντὸς οὑτινοσοῦν καὶ λόγου καὶ παραδείγματος. Καὶ ὁ μὲν ταπεινώσεως αὐτὸν ἀπεκάλει θησαυρόν τινα καὶ ταμεῖον, καὶ μηδένα τινά ποτε μοναχὸν ἰδεῖν ἐξ ἐφαμίλλου χωροῦντα διεβεβαιοῦτο τῇ αὐτοῦ ταπεινοφροσύνῃ, καὶ ταῦτ' ἐν τοσούτων ὕψει καὶ πλήθει κατορθωμάτων θείων ἅμα καὶ ἀνθρωπίνων, ὧν μηδὲ τὰ μέρη, φησὶ, τοῖς νῦν παρ' ἡμῖν εὐδοκιμοῦσι καθαρῶς ἐφεξῆς πρόσεστιν. Ὁ δὲ μηδὲν ἔλεγε τῶν τοῖς ἁγίοις κατορθωθέντων μηδοτιοῦν ἀπεῖναι τοῦ μακαρίου, εἰ μὴ τὸ θαύματα καὶ αὐτὸν κατ' ἐκείνους ἐκτελεῖν ἔχειν· ὅπερ εἰ βουληθείη, καὶ αὐτὸ, φησὶ παρὰ Θεοῦ κομιεῖται ῥᾷστα· τὸ δὲ ἄρα καὶ πρόῤῥησις ἦν ὑπὲρ τούτου Πνεύματι θείῳ τῷ θεοφόρῳ ἐκείνῳ ῥηθεῖσα, ὡς αὐτά γε τὰ πράγματα νῦν ἡμῖν ἀρτίως παρέστησιν.

Ἡ δὲ θαυμαστὴ τῶν θαυμαστῶν ἐκείνων Πατέρων καὶ κορυφαία δυὰς, Σάββας τε καὶ Γερμανὸς οἱ γενναῖοι, τὰ τοῦ σεπτοῦ Ἄθω σεπτὰ καλλωπίσματα, ὧν καὶ ἡμεῖς ἤδη τὸν θεοειδῆ βίον τε καὶ τὴν πολιτείαν ἐν δυσὶ λόγοις φθάσαντες ἐκδεδώκαμεν, τοιάδε περὶ τοῦ μεγάλου τῷ βίῳ περιόντος ὄντι πρὸς ἡμᾶς ὥσπερ ἀπὸ μιᾶς γλώττης εἰρήκασιν. Ἡμεῖς, φασὶν, οὐ τὸ συνεῖναι μόνον καὶ προσορᾷν τε καὶ ὁμιλεῖν εἴπερ οἷόν τε βιόλου τῷ θαυμαστῷ Γρηγορίῳ μέγα τι καὶ ψυχωφελὲς ἡγούμεθα καὶ σωτήριον, ἀλλὰ καὶ τοῖς τῶν ποδῶν ἐμβαδίοις ἐκείνου, εἴπερ εἴχομεν ταῖς χερσὶ περιφέροντες πυκνὰ καὶ καταφιλεῖν καὶ προσφύεσθαι, καὶ ὠφελείας ὁμοῦ τῆς μεγίστης, καὶ ἁγιασμοῦ τοῦθ' ἡμῖν ἂν ἐνομίζετο πρόξενον. Τοιαῦτα τῷ παρ' ἡμῶν ἐπαινουμένῳ συνῄδεσαν, καὶ τηλικαῦτα ἐξῆγον τὰς κατ' αὐτοῦ θαυμαστὰς ψήφους οἱ μεγάλοι τῆς διακρίσεως λύχνοι ἐκεῖνοι, ὡς ἐξ ὀλίγων τινῶν παραδεῖξαι τὸ πᾶν· μᾶλλον δὲ καὶ ψηφίζονται, καὶ λαμπρᾷ τῇ φωνῇ καθ' ἑκάστην σχεδὸν καὶ κηρύττουσι καὶ διδάσκουσι, καὶ λόγοις καὶ γράμμασι πάντες οἱ περιόντες ἔτ' ἐν σαρκὶ τῶν θεοφόρων ἐκείνων, καὶ γλώττης τρυφὴν, καὶ θείαν ψυχῆς ἡδονὴν, καὶ ἀσκήσεως ἀφορμὴν, καὶ πράξεως ἅμα καὶ θεωρίας ὥσπερ ἐμπύρευμά τι τὸ κατὰ τόνδε τὸν μέγαν πεποίηνται. Ἐῶ γὰρ νῦν κατὰ μέρος λέγειν τὰ τοῖς ἐν τῇδε τῇ βασιλευούσῃ σοφοῖς τε καὶ σπουδαίοις θαυμαστῶς εἰρημένα περὶ αὐτοῦ, τοῖς τε προὔχουσιν ἐν ἀρχιερεῦσι φημι λόγῳ καὶ ἀρετῇ, καὶ ὅσοι τῶν τῆς συγκλήτου λογάδων, καὶ δὴ καὶ τῶν τὸν μοναδικὸν

Digitized by Google

τε καὶ ἡσύχιον βίον ἀνῃρημένων, οἳ καὶ σοφίας παντοδαπῆς οἶκον καὶ προστάτην τῆς κοινῆς Χριστοῦ Ἐκκλησίας, καὶ πρόμαχον εὐσεβείας, καὶ θείων δογμάτων διδάσκαλον, καὶ ὁδηγὸν τοῦ καλλίστου παντὸς ἀπεκάλουν, ὡς καὶ μεῖζόν ἢ κατ' ἄνθρωπον ἐκείνῳ τοὺς πλείους προσέχειν, καὶ μηδοτιοῦν ἐν μηδενὶ τὸ παράπαν τῶν προσόντων τοῖς κορυφαίοις τῶν θεολόγων Πατέρων ἐλλείπειν λέγειν καὶ τούτῳ, ἀλλὰ καὶ κοινὸν καὶ συνῳδὸν καὶ σύμπνουν καὶ συναγωνιστὴν ἐν ἅπασιν ἐκείνους αὐτὸν ἔχειν· καὶ ὡς εἰ καὶ τῷ χρόνῳ συνῆν, φησὶ, τοῖς γενναίοις ἐκείνοις, καὶ συνασπιστὴν καὶ συστράτηγον ὁμοῦ καὶ σύνεδρον αὐτὸν ἂν εἶχον· οὐ μόνον ἐνί τινι μηδενὶ τῶν ἴσων ἀποστεροῦντες, ἀλλὰ καὶ ὥσπερ ἐγκαλλωπιζόμενοι τῇ συναριθμήσει καὶ τῇ κοινωνίᾳ τῇ τούτου· ἃ δὴ καὶ μεταστάντος νῦν, καὶ καθαρώτερον συνόντος ἐκείνοις, ἐν οὐρανοῖς τε λαμπρῶς καὶ παρ' ἡμῖν ἐνταῦθα μετὰ παῤῥησίας τελεῖται διὰ τῆς ἀρίστης κοινωνίας καὶ συμφωνίας καὶ συμφυΐας τῶν μεγίστων καὶ θείων καὶ ὑπερφυῶν ὄντως λόγων τούτου κἀκείνων, ὡς καὶ οἱ ἄνωθεν συμμαρτυροῦσι τούτοις χρησμοὶ, καὶ ἡ μεγάλη καὶ ὑπερφυὴς ἀποκάλυψις ἐκείνη, καθὰ δὴ καὶ προϊὼν ὁ λόγος δηλώσει· ὃ δὴ καὶ τοῖς αἱρέσεως τουτοισὶ κοινωνοῖς τε καὶ φίλοις ὁρώμενόν τε καὶ ἀκουόμενον ἀμηγέπη, τὸν ἀλλόκοτον τουτονὶ φθόνον καὶ τὴν ἔριν καὶ τὴν θεομαχίαν καθ' ἑκάστην ἀνάπτει, Θεὸν ἡγουμένοις τὰ τῇδε καὶ μηδὲν ὑπὲρ ταῦτα μηδοτιοῦν δυναμένοις φρονεῖν, ἀλλὰ καὶ ζωὴν καὶ ψυχὴν καὶ δὴ καὶ τὸν ἀληθῆ καὶ μόνον Θεὸν ἔχοντι διὰ ταῦτα προϊεμένοις, καὶ πρὸς οὐρανόν τε καὶ ἥλιον ἄντικρυς· τοῦτο καὶ γὰρ ὁ κατὰ τῆς κατ' εὐσέβειαν ἀληθείας, καὶ τῶν θεολόγων ἐκείνης πόλεμος αἴσχιστά τε καὶ ἀτοπώτατα διακηρυττομένοις.

Εἰσὶ δ' οἳ τῶν ἡμετέρων, καὶ τὸν ἐν σοφίᾳ προὔχοντα παρ' ἐκείνοις, Ἀτουέμην ἐκεῖνον, ὃν δὴ καὶ μεταβεβλῆσθαί φασιν ὕστερον καλῶς πρὸς τὰ κρείττω· φασὶν οὖν ἐκεῖνον, καίτοι γε καὶ τοῦ πολέμου τοῦ κατὰ τῆς Ἐκκλησίας σὺν τοῖς ὁμόφροσιν ἰσχυρῶς ἐχόμενον ἔτι, φανερῶς οὕτως εἰπεῖν, ὡς Εἰ δόγματα τῆς καθ' ἡμᾶς Ἐκκλησίας ὁμοῦ πάντα ἐθέμην ἔγωγε προὔργου μαθεῖν, καὶ ταυτηνὶ τὴν ἱερὰν φιλοσοφίαν εἰς ἄκρον ἀσκῆσαι, οὐκ ἂν ποθ' ἕτερόν τινα διδάσκαλον ἄλλον ἐκ πάντων εἱλόμην πρὸ τούτου, Γρηγόριον δηλαδὴ λέγων τὸν μέγαν· οὔτε γὰρ ἄν ποτε, φησὶν, οὔτε νοῦς ἕτερος, πλὴν τούτου, τὰ θεῖα καὶ ὑψηλὰ ταυτὶ θείως καὶ ὑψηλῶς οὑτωσὶ θεωρήσῃ, οὔτ' ἂν ἐξείπῃ καὶ διατρανώσῃ, καὶ οἱονεὶ ζῶντά τε καὶ λαλοῦντα δείξῃ ποτὲ γλῶττα πλὴν τῆς ἐκείνου· καὶ παρὰ τῶν ἐχθρῶν ἡ ἀλήθεια μαρτυρεῖται, ἵνα καὶ κατὰ τοῦτ' αὐτὸ τὸ ἀξιόπιστον ἔχοι κατὰ τό τισιν εἰρημένον, καὶ τὸ φῶς τῆς ἀληθείας ἐν τῇ σκοτίᾳ λάμπει τοῦ ψεύδους· ἔχει καὶ γὰρ οὕτως. Ἐπειδὴ καὶ γὰρ ἡ μεγάλη τοῦ Πνεύματος χάρις ταῖς τῶν ἀξίων ἐνοικοῦσα ψυχαῖς, καὶ ὥσπερ ὕλην ὑποκειμένην τινὰ τὰς φυσικὰς ἐκείνων ποιουμένη δυνάμεις, πράξει δηλαδὴ καὶ θεωρίᾳ προκαθαρθείσας καθόσον οἷόν τε, πάσας μὲν

A ἐπιπρέπει καὶ πάσας κοσμεῖ, πρὸς τὰς θεοειδεῖς ἑαυτῆς ἕξεις ἀλλοιοῦσά τε καὶ ποιοῦσα, ἐμπλατύνεται δὲ καὶ περιχωρεῖ καὶ αὔξει καθ' ὑπερβολὴν ἐν ἐκείναις μᾶλλον, ἐν αἷς πως οἰκείως τε καὶ προσφυῶς ἔχουσιν αἱ ψυχαὶ κατὰ φύσιν, κἀκεῖθεν ἀναδείκνυσι καὶ ἀνακηρύττει μᾶλλον τοὺς κεκτημένους, ὡς τὸν μὲν ἐκ τῆς ἐλεημοσύνης, τὸν δ' ἐκ τῆς ἄκρας ἀκτημοσύνης· καὶ τὸν μὲν ἀπὸ τῆς ἀκροτάτης νηστείας, τὸν δ' ἀπὸ τῆς καθ' ὑπερβολὴν ἁπλότητος καὶ τῆς ἀκακίας· καὶ τὸν μὲν τὴν ἀγάπην, τὸν δὲ τὴν ταπεινοφροσύνην μᾶλλον ἀναγορεύειν τε καὶ γνωρίζειν, καίτοι γε μηδὲ τῶν ἄλλων ἀμοιροῦντας ἁπάντων ἀγαθῶν τῆς φατρίας, καθὰ δὴ καὶ εἰπὼν ἔφθην· εἰκότως ἄρα καὶ τοῦ μακαρίου τούτου τῶν ψυχικῶν δυνάμεων ἀξίως ἡ τοῦ Πνεύματος ἔνοικος
B ἐπιλαβομένη χάρις, καὶ διὰ πάντων αὐτὸν θεοειδῆ τε καὶ καινὸν ἄνθρωπον, εἴπερ τινὰ δεδειχυῖα τῶν πάντων, τῷ διανοητικῷ μᾶλλον αὐτοῦ προσηρμόσθη, μᾶλλον δ' ἀκριβῶς εἰπεῖν, νοῦν αὐτὸν ὅλον ἄντικρυς ὑπὲρ πάντα νοῦν εὑρηκυῖα τῶν νῦν ὄντων, ὡς νοῦς ὅλη καταλλήλως ἡνώθη καὶ προσεφύη, θεοειδὲς ἔσοπτρον ἑαυτῆς καὶ ἐκμαγεῖον θαυμαστῶς εἰργασμένη, καὶ τοὺς τῶν νοερῶν τε καὶ νοητῶν λόγους, οὓς ἡμεῖς ἀκοῇ τε καὶ διανοίᾳ δεχόμενοι διδασκόμεθα, θείως καὶ ὑψηλῶς κατὰ μίμησιν ἀγγελικὴν ὡς οἱ σεπτοὶ προφῆται καὶ θεολόγοι, πάσχειν ἀδιδάκτως καὶ μανθάνειν ποιοῦσα, κἀντεῦθεν ἐκεῖνα πρὸς ἡμᾶς ὑπερφυῶς τοὺς κάτω καὶ λαλοῦσα δι' ἐκείνου καὶ δρῶσα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· δι' ἃ
C δήπου καὶ θεολόγον καὶ χρυσολόγον, καὶ θαῦμα τῆς οἰκουμένης, καὶ ὑπερφυᾶ τινα καὶ καινὸν ἄνθρωπον οἱ νοῦν ἔχοντες ἀξίως ἐκεῖνον καλοῦσι. Τὸν δὴ τοιοῦτον μὲν γεγονότα, τοιαύτας δὲ παρὰ τῶν βλεπόντων μάλιστα δεδειγμένον τὰς ψήφους, οὕτω δ' ὑπὸ τῆς ἄνωθεν ψήφου διὰ πολλῶν τε καὶ μεγάλων ἀνακηρυχθέντα τε καὶ μαρτυρηθέντα πολλάκις, μεθ' ἣν οὐ ψῆφος, οὐκ ἔφεσις, οὐ δικαστήριον ἄλλο, καταλλήλου πάντως καὶ τοῦ τῆς ζωῆς ταυτησὶ τέλους τυχεῖν ἔδει, καὶ οἵου τὸν τοιοῦτον εἰκός. Τοιγαροῦν καὶ τυγχάνει καὶ βεβαιοῖ λαμπρῶς τε καὶ ὡς ὀλίγοι τῶν πάντων δι' ἀλλήλων ἑκάτερα, τῇ θαυμαστῇ φημι ζωῇ καὶ πολιτείᾳ τὸ μακάριον τέλος, καὶ τοῖς τοῦ θαυμαστοῦ τέλους αὖ τὰ τῆς μακαρίας ἐκείνης καὶ ἰσοθέου ζωῆς.

D Τρίτος μὲν οὖν ἐνιαυτὸς ἦν μετὰ τὴν τελευταίαν ἐκείνην ἐκ Βυζαντίου κάθοδον παριὼν τῷ μεγάλῳ· καθ' ὃν δήπουθεν χρόνον καὶ τὸ πρὸς τὸν ἀπὸ γῆς καὶ κοιλίας φωνήσαντα φιλόσοφον καὶ μοναστὴν δῆθεν, Νικηφόρον ἐκεῖνον τὸν ἔσχατον καὶ τολμηρὸν ὑβριστὴν τῆς Θεότητος, καὶ τῶν αὐτῆς θεολόγων παλαιῶν τέ φημι καὶ νέων, θαυμαστῶς καὶ ἀξίως ἑαυτοῦ τε καὶ τῶν περὶ Θεότητος αὐτοῦ λόγων, ἐξεδόθη τῷ μεγάλῳ τῷδε βιβλίον ἐν τέσσαρσι λόγοις ὑπὸ τοῦ τῆς καθόλου νῦν Ἐκκλησίας κρατοῦντος ἐπ' ἐκεῖνα παρακληθέντι, καὶ τελευταῖον οἱονεὶ τοῦτον ἱερὸν ἆθλον διηνυκότι, καὶ τῶν οἰκείων ἀγώνων, ὥσπερ συμπλήρωσιν. Τοῦ τετάρτου δ' ἐπιβεβηκὼς ἔτους ἤδη, νόσῳ βαρείᾳ περιπίπτει τῶν σπλάγχνων,

Digitized by Google

ἥτις αὐτὸν μετὰ βραχὺ καὶ τῆς ζωῆς ὑπεξάγει. Ἀλλ' ἐκεῖνο; καὶ ταύτης ἀνώτερος ὤν, τῇ τε πρὸς Θεὸν νεύσει καὶ τῇ λαμπρᾷ τοῦ ποιμνίου στοργῇ· ἐφίλει τε γὰρ ἀξίως καὶ ἀντεφιλεῖτο θαυμαστῶς ὑπ' ἐκείνου, καθὰ δὴ καὶ φθάσας εἰρήκειν· τὰ θεῖα καὶ ὑψηλὰ συνήθως ἐκτελῶν οὐκ ἀνίει, διδάσκων, ἱερουργῶν ταῖς ἱεραῖς τελεταῖς τῶν θείων μυστηρίων, ἐμπομπεύων τε καὶ πανηγυρίζων, καὶ διὰ πάντων τὸν ἑαυτοῦ καταρτίζων λαὸν καὶ καθαγιάζων. Ἀλλ' ἐπεὶ κἀκεῖνον, ἄνθρωπον πεφυκότα, καὶ τῆς φύσεως ἐχρῆν ἡττηθῆναί ποτε, ἵνα μὴ καὶ θεία τις δόξῃ φύσις ὑποκρινομένη τὴν ἀνθρωπείαν, ἡττᾶται μόλις τῆς νόσου, καὶ κλινοπετὴς ὢν καὶ πρὸς τὴν ἔξοδον βλέπων, χρῆται καὶ αὖθις τὰ τελευταῖα τῇ θαυμαστῇ γλώττῃ· περὶ πειρασμῶν τε καὶ καρτερίας πρὸς τοὺς συνόντας φιλοσοφεῖ θαυμαστῶς, ἔκ τε τῶν θείων Γραφῶν καὶ λογισμῶν καὶ ἀποδείξεων ἀναγκαίων πολυτρόπως ὑποδεικνὺς τὸ ἐξ αὐτῶν κέρδος, καὶ τοὺς περὶ ζωῆς καὶ θανάτου καὶ ψυχῆς προστίθησι λόγους, καὶ οὕτω τὴν ἐκδημίαν ἐπὶ πᾶσι προλέγει, μυηθεὶς ἄνωθεν καὶ μυήσας, ὡς καὶ τὴν ἡμέραν αὐτὴν ἐκείνην πολλαῖς πρότερον ἡμέραις προαγγεῖλαι τοῖς φίλοις, μετὰ τὴν τοῦ Χρυσορρήμονος αὐτίκα θείαν τελετὴν καὶ τὴν κοίμησιν οὖσαν, ὃς δήπου καὶ πρὸς ἑαυτὸν ὡς ὁμότροπόν τε καὶ προσφιλῆ καὶ σύνοικον φθάσας ἐκάλει τὸν μέγαν· οὕτω καὶ γὰρ ὁ προρρηθείς μοι πρὸς αὐτὸν κατὰ τοὺς ὕπνους ἐδήλου θεῖος χρησμός.

Ἔκειτο τοίνυν ὁ τοῦ Θεοῦ ἀρχιερεὺς ἤδη τὰ τελευταῖα πνέων, πρὸς οὐρανόν τε καὶ τὰ οὐράνια ἐπειγόμενος, καὶ οὐδέν τι τὸ παράπαν ἄλλο, πλὴν τῆς ἀπαγούσης ἐκεῖσε μελετῶν τε καὶ φανταζόμενος· οὐ μὴν ἀλλὰ καὶ γλώττῃ τοῦτ' αὐτὸ συνεχῶς ὑποψιθυρίζων, καὶ τοῖς συνοῦσι κἀντεῦθεν παραδεικνύς, ὅποι δὴ καὶ τὴν τελευταίαν ταυτηνὶ στέλλεται· ὡς γὰρ οἱ παρόντες, τῇ καλῇ γλώττῃ, καθάπερ ἔφην, ὑποψιθυριζούσῃ τὰ τελευταῖα προσέσχον, οὐδενὸς ἄλλου πυκνὰ προσιόντος εἶχον ἀκούειν ἐκεῖθεν, εἰ μὴ τοῦ θαυμαστοῦ καὶ θείου γε ὄντος ἐκείνου λέξεσιν αὐταῖς οὑτωσί πως συντεθειμένου, τὰ ἐπουράνια εἰς τὰ ἐπουράνια· καὶ τοῦτο πυκνῶς καὶ πολλάκις, ὥσπερ ἐν περιόδῳ τινὶ καὶ στροφῇ κύκλου, ἕως ἡ ἐνοικοῦσα τῇ οὐρανίᾳ ψυχῇ θεία καὶ ὑπερουράνιος χάρις, τοῦ καταλειφθέντος χοὸς καὶ τῆς συμφυοῦς αὐτὴν διαλύσασα συζυγίας, τὴν καὶ διαθέσει καὶ πράξει πάλαι θαυμαστῶς ἐκείνων ἀπερρωγυῖαν διὰ τῶν οὐρανίων ἀγγέλων εἰς οὐρανὸν ἀξίως μετέστησε καὶ τὰ ἐπουράνια· τρία μὲν ἔτη καὶ ἑξήκοντα τὰ πάντα συγγεγονυῖαν τῷ συμφύτῳ σαρκίῳ, δυοκαίδεκα δ' ἐκ τούτων αὐτῶν κατὰ τὴν τῆς Ἐκκλησίας θαυμαστὴν προστασίαν ἐκείνῳ συνδιηγωνισμένην πρὸς τὸ ἥμισυ.

Ἐπισημαίνει γε μὴν καὶ τοῖς ἐκτὸς ἐξαισίως ἡ παντουργὸς αὕτη τοῦ Πνεύματος χάρις κἀκεῖνα· φωτὶ μὲν περιλάμψασα τὸ τὸν νεκρὸν ἔχον ἐκείνου δωμάτιον, ἅμα τῇ ἐξόδῳ τῆς ψυχῆς ξένῳ· καταλάμψασα δὲ καὶ τὰ ἐκείνου πρόσωπα, καὶ καινῶς ἀλλοιώσασα τῷ περιόντι τῆς αἴγλης, καίτοι γε καὶ προεκτετηκότα, καὶ προνεκρώσει καὶ τὸ πλεῖστον

A προαπονενεκρωθέντα, ὡς μηδὲν ἀποδεῖν καὶ ταῦτα τῆς τοῦ μεγάλου Στεφάνου λαμπρᾶς καὶ θεοειδοῦς θέας ἐκείνης, ὁπηνίκα φημὶ περὶ Θεοῦ δημηγοροῦντος ἐν μέσῳ τῷ συνεδρίῳ τῶν Ἰουδαίων. Ἀτενίσαντες, φησίν, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον ἀγγέλου· τοῦ γὰρ αὐτοῦ Πνεύματος, καὶ τῆς αὐτῆς ἐνεργείας ταῦτα κἀκεῖνα, κἂν οἱ σκοτεινοὶ περὶ τὸ φῶς, καὶ περὶ τὴν σοφίαν ἀπαίδευτοι, τούτοις τε κἀκείνοις πλήττωνται καὶ ἀντιλέγωσι πάλιν, τὰ μὲν τὸ παράπαν οὐδ' εἶναι τοῦ Πνεύματος φανταζόμενοι, καὶ δι' ἑκατέρων ἀναιροῦντες ἑκάτερα. Ἀλλ' ἡ μὲν φανεῖσα κατ' οἶκον ἐκείνη λαμπρότης, τῆς ψυχῆς δηλαδὴ τοῦ σώματος ἀπιούσης, δύο τῶν τῆς Ἐκκλησίας θεατὰς ἔσχε λογάδας, ἱερωσύνης τε ἀξιώματι καὶ ἀρετῇ παντοδαπῇ κεκοσμημένους, ὧν ἅτερος
B δήπου καὶ τοῦ σεμνοῦ τῶν μοναχῶν ἐστι καταλόγου, οἳ καὶ μηνυταὶ γεγόνασιν ὕστερον τοῖς ἄλλοις τῶν ὑπερφυῶς ὁραθέντων. Τῆς δὲ περὶ τὴν ὄψιν ὑπερφυοῦς αἴγλης μάρτυρες ἅπαν γένος καὶ ἡλικία σχεδὸν πᾶσα, καὶ ἁπλῶς ὅσους ἡ ἐκφορὰ καὶ ἡ κατάθεσις τοῦ ἱεροῦ ἐκείνου νεκροῦ τότε πρὸς ἑαυτὴν συνεκάλει· συνεκάλει δὲ ἄρα πᾶσαν ὁμοῦ τὴν πόλιν, ὡς καὶ τὸν ἱερὸν οἶκον ὅλον τά τ' ἔνδον τά τ' ἔξω στενοχωρεῖσθαι τοῖς πλήθεσιν· ᾗ δὴ καὶ ἀχώριστος ἐκείνου διαμεμένηκε τὸ παράπαν, ὥσπερ τῆς ἱερᾶς ψυχῆς, οὕτω δὲ καὶ τῶν ὀστῶν καὶ τῆς κόνεως ἀδιαστάτου τῆς συνοίκου τοῦ Πνεύματος χάριτος εἰσάπαν διαμενούσης, καὶ θείου φωτὸς οἶκον, καὶ θαυμάτων πηγήν, καὶ βρύσιν ἱερῶν χαρισμάτων,
C καὶ κοινὸν καὶ ἀδάπανον ἰατρεῖον, τὸν ἱερὸν ἐκείνου τάφον ἐργαζομένης. Ἃ δήπου καὶ ὁ λόγος ἡμῖν κατὰ τὴν ἐπαγγελίαν ἀπὸ μέρους ἤδη δηλώσει· οὔτε γὰρ ἐκείνοις ἑξῆς ἐπεξελθεῖν τῷ παρόντι λόγῳ σκοπὸς ὁμοῦ πᾶσι· πῶς γάρ; καὶ αὐτὰ δὲ ταῦτα συντετμημένως, καθ' ὅσον οἷόν τε, καὶ περιβολῆς δίχα πάσης προθήσει καὶ λογικῆς αὐξήσεως, τὸ μῆκος ὁμοῦ καὶ τὸν κόρον ἐκφεύγων.

Μοναχός τις τῶν ἱερᾶσθαι λαχόντων ἔν τινι τῶν κατὰ Θεσσαλονίκην φροντιστηρίων ἀσκούμενος, νόσῳ περιπίπτει δεινῇ, καὶ ἡ νόσος ἄλγος τῆς κεφαλῆς ἦν, οὕτω δή τοι σφοδρόν, ὡς καὶ θάνατον εὐθὺς ἀπειλεῖν· ἀλλὰ τὸν μὲν θάνατον διαφεύγει, τό γε νῦν ἔχον, ἰατρικαῖς ἐπιμελείαις, ὡς ἔδοξε, τὴν ὀδύ-
D νην δὲ τῆς κεφαλῆς οὐδαμῶς· ἀλλὰ κατὰ περίοδον ἐπιοῦσα, πρῶτα μὲν ἑκάστου μηνὸς ἅπαξ, εἶτα τοῦ χρόνου προϊόντος, καὶ δὶς κατὰ μῆνα καὶ τρὶς καὶ πολλάκις καὶ πυκνότερον ἅμα καὶ ἀκμαιότερον κάκιστα διετίθει. Ἕβδομος ἐνιαυτὸς ἐν τούτοις παρῄει, καὶ τὸ πάθος αἰεὶ προκόπτον ἐπὶ τὸ χεῖρον, καὶ μαίνεσθαι τὸν πάσχοντα καὶ ἀναισθητεῖν ἐποίει δοκεῖν τοῖς συνοῦσι, τῷ τῆς βοῆς ἀλλοκότῳ τε καὶ ἀήθει, καὶ τὸν θάνατον σφοδρότερον αὖθις ἠπείλει, πάσης περιφρονοῦν ἰατρικῆς ἐπιστήμης καὶ φαρμακείας. Τί τὸ ἐντεῦθεν; Ἀπαγορεύει μὲν ὁ μοναχὸς τὴν ἐνταῦθα ζωήν, τῆς δὲ μελλούσης γεγονὼς μόνης τῇ διανοίᾳ, καὶ πρὸς τὴν ἔξοδον ὡς ἤδη κατὰ κεφαλῆς ἐπιοῦσαν βλέπων, τἄλλα τε τῆς μεταμελείας καὶ τῆς πρὸς Θεὸν ἐπιστροφῆς μετὰ στεναγμῶν τε καὶ ὀδυρμῶν ἐφθέγγετο ῥήματα, καὶ τὴν

Digitized by Google

ψυχὴν καὶ τὴν ἐκείνης σωτηρίαν ἀνεκαλεῖτο, καὶ ταλανίζων ἑαυτὸν ἅμα τῆς τε παρελθούσης ἀμελείας τοῦ βίου καὶ τῶν σφαλμάτων, καὶ ὅτι μηδὲ τελευτῶν ἔχει τὸν συναλγοῦντα καὶ συμπονούμενον περὶ τὴν δυνατὴν τέως τῆς ψυχῆς θεραπείαν· εἶτα καὶ τοῦ μεγάλου μνησθεὶς ἐπὶ τούτοις, καὶ τῆς ἁγιότητος καὶ τῆς μεγάλης ποιμαντικῆς καὶ ἐπιστασίας ἐκείνου· ἦν γὰρ καὶ τῶν γνωρίμων τε καὶ συνήθων· καὶ ὅτι μηδὲ τὴν τελευταίαν πρὸς Θεὸν ἐκδημοῦντι τῷ μακαρίῳ παρῆν· ἦ γὰρ ἄν, φησί, καὶ τῶν ἐξοδίων αὐτοῦ ῥημάτων καὶ τῶν ἱερῶν εὐχῶν μετασχὼν τότε, ταύτας ἀντὶ φυλακτηρίου παντὸς καὶ ἀμυντηρίων ὅπλων νυνὶ προϊστάμην. Ταῦτ' ἐπειπὼν ὁ πρεσβύτερος, καὶ ἑαυτὸν οἷον ἀποκλαυσάμενος ὑπὲρ τούτων, τὸ τελευταῖον κατάγεται καὶ εἰς ὕπνον, καὶ ὁ ὕπνος ὄψιν εὐθὺς ἐπιφέρει τοιάνδε. Ἐδόκουν, φησί, κατὰ τὸν τοῦ θαυμαστοῦ Δημητρίου νεὼν, ἔνδον ἑστηκὼς τῶν ἀδύτων, τὸν μέγαν βλέπειν ἀρχιερέα, τῇ θείᾳ τε παρεστηκότα τραπέζῃ, καὶ συνήθως ἱερουργοῦντα τὰ μυστικά· ᾧ δὴ καὶ προσπεσὼν εὐχῆς ἱερᾶς ἀξιωθῆναι παρ' αὐτοῦ περιπαθῶς ἐπεζήτουν. Ὁ δὲ πρῶτα μὲν οὐδ' ἐπεστράφθαι πρὸς τὴν αἴτησιν ὅλως ἐδόκει, ἀλλὰ τῶν μυστηρίων μᾶλλον καὶ τῆς ἱερᾶς ἐξηρτῆσθαι τραπέζης κἀκείνοις προσέχειν τὸν νοῦν· μικρὸν δέ τι διαλιπὼν, ἐπιστρέφει πρός με, καὶ τῷ ἐπισκηνίῳ τὴν δεξιὰν ἐπιθεὶς, ἔνθα δὴ καὶ τὸ πᾶν ἐδόκει τότε συνδραμεῖν τῆς ὀδύνης, τὸν τοῦ θείου σταυροῦ τύπον ἐγχαράττει μοι τοῖς δακτύλοις· τῶν δ' εὐθὺς ἔλαιόν τι καινῶς ἐκρυὲν, τὰ πρόσωπα καταχρίειν ἐδόκει. Καὶ ταῦτα μὲν ὅ τε ὕπνος, καὶ ἡ ἱερὰ ὄψις ἐκείνη. Ὁ δ' εὐθέως ἐξαναστὰς, καὶ τοῦ θανάτου καὶ τῆς ὀδύνης καὶ τῶν λυπηρῶν ἐκείνων ὁμοῦ πάντων ἀθρόον καὶ ὑπὲρ πάσας ἐλπίδας ἀπαλλαγεὶς, ὡς μηδὲ ἴχνος ἐκείνων μηδοτιοῦν ἐλλελεῖφθαι, Θεῷ καὶ τῷ ἐκείνου θεράποντι μεγάλας ἀνωμολόγει τὰς χάριτας.

Ἄλλος τις τῶν τῆς πόλεως οἰκητόρων οὐ τῶν ἀσήμων, ἀλλὰ καὶ τῶν εὐπατριδῶν τε καὶ ἐπισήμων ὡς μάλιστα, γυναικί τε καὶ τέκνοις συζῶν, καὶ οἰκίας ἐπιμελούμενος, ὀδύνῃ χρονίᾳ κάτοχος ἦν· κωλικὴν φασι ταύτην ἰατρῶν παῖδες. Αὕτη τῷ χρόνῳ συναυξηθεῖσα, μεθόδοις ἰατρικαῖς καὶ φαρμακείαις οὐκέτι τὸ παράπαν ὑπεῖκε, καθὰ δὴ καὶ πρόσθεν· ἀλλ' ἠλέγχετο πάνθ' ὁμοῦ τῷ σφοδρῷ τῆς ὀδύνης, τῶν φυσικῶν ἐμφραγέντων πόρων καθάπαξ, καὶ τοῖς περιττώμασι τῆς γαστρὸς μηδεμιᾷ τινι μηχανῇ τὴν ἔξοδον συγχωρούντων, ὡς καὶ τῶν ἰατρῶν τοὺς δοκίμους τότε παρόντας ὕλην τινὰ μοχθηρὰν λέγειν εἰς ἑαυτὴν συστᾶσαν, καὶ συμπαγεῖσαν εἰς λίθου μεταβαλεῖν φύσιν, κἀκεῖνον τὸν τῆς φυσικῆς ἐκκρίσεως ἀποφράττειν πόρον. Ἕκτη μὲν οὖν ἤδη παρῄει τἀνδρὶ δεινῶς ὑπὸ τῆς ὀδύνης στροβουμένῳ τὰ ἔνδον, καὶ αὐτό γε τὸ ζῆν πρὸς ἑσπέραν ταύτης ἀπαγορεύοντι. Τῶν δὲ προσηκόντων καθ' αἷμα, καὶ τῶν ἄλλως καθ' ἑταιρείαν οἰκείων τε καὶ συνήθων παρακαθημένων τε καὶ συμπασχόντων, ὡς ἔθος, ἐν τοῖς τοιούτοις, καὶ τὸν θεῖον ἐν τούτοις εἰς μέσον Γρηγόριον παρηχούντων τῷ λόγῳ, καὶ τὴν ἐνεργοῦ-

A σαν δι' αὐτοῦ μεγάλην τῶν θαυμάτων ἐνέργειαν, καὶ ὅτι τῷ ἐκείνου πολλοὶ προσιόντες τάφῳ, χαλεπῶν ἀῤῥωστημάτων καὶ χρονίων παθῶν ἀθρόον ἐξάντεις ὁρῶνται, καὶ ὁ πάσχων ἐν αἰσθήσει τῶν λαλουμένων αὐτίκα γενόμενος, καὶ δάκρυσι καὶ ῥήμασιν ἐλεεινοῖς τὸν ἅγιον εἰς οἶκτον ἐξεκαλεῖτο· Ἰσχύεις, ἄνθρωπε τοῦ Θεοῦ, λέγων, ἅτε δὴ καὶ Χριστοῦ μιμητὴς ἀκριβέστατος, εἰ καὶ μὴ πάρειμι καὶ αὐτὸ νῦν κατὰ τοὺς ἄλλους τῷ σῷ τάφῳ, καὶ τῆς νόσου καὶ τῆς ὥρας εἰργούσης, καὶ ἐπισκέψασθαι καὶ θεραπεῦσαι καὶ τῆς πικρᾶς ὀδύνης ἀπαλλάξαι καὶ τοῦ προσδοκωμένου θανάτου. Ταῦτα καὶ τὰ τοιαῦτα μεταξὺ λέγων, εἰς ὕπνον ἐτράπη, καὶ Γρηγόριος εὐθὺς ὁ μέγας παρῆν ἐν σχήματι πρεσβυτέρου καὶ μοναχοῦ τινος τῶν οἰκείων, ὁμωνύμως B δηλαδὴ Γρηγορίου καὶ αὐτοῦ καλουμένου, καὶ τῶν συνόντων αὐτῷ πάλαι μοναχόν τε καὶ διάκονον ἕνα τινὰ παρεπόμενον ἔχων· οἳ δὴ καὶ αὐτῷ, φημὶ, τῷ πάσχοντι συνήθεις ἐτύγχανον ὄντες. Τοῦ τοίνυν Γρηγορίου φιλικῶς αὐτὸν ἐρομένου, Τί ποτε ἄρα τὸ λυποῦν, καὶ τίς ἡ τοῦ θορύβου καὶ τῆς τοσῆσδε ταραχῆς καὶ τῆς ἀνάγκης αἰτία; Οὐχ ὁρᾷς με, φησὶν ὁ πάσχων, ὀδύνῃ συνεχόμενον πικροτάτῃ; καὶ τῆς μὲν ζωῆς ἀφαιρούμενον ὑπὸ ταύτης ἀθρόον, τὰ δὲ φίλτατα, φεῦ! ἔρημα καταλείποντα πάσης ἠστινοσοῦν προστασίας; Ἀλλὰ μὴ δέδιθι, φησὶν, ὦ οὗτος, τὰ τοιαῦτα τό γε νῦν εἶναι· ἕξει καὶ γάρ σοι καλῶς καὶ κατ' εὐχὴν μετὰ μικρὸν πάντα, τοῖς ὀδυνωμένοις μορίοις τοῦ παρόντος ἐπιβληθέντος, C εἶπε, καὶ τμῆμά τι τῆς αὐτῷ πάλαι καινουργηθείσης ἱερᾶς στολῆς, ἥπερ ἔφην, τοῦ κόλπου δόξας ἐξενεγκεῖν, σταυροῖς ἐννέα χρυσοῖς ἐντετυπωμένον, ἐπιτίθησι τῷ πάσχοντι μέρει· ὁ δ' ἄρα διάκονος ὁ παρεπόμενος τούτῳ, σταυρὸν καὶ αὐτὸς ἀπὸ κηροῦ δόξας φέρειν, τοῖς τοῦ πάσχοντος ἐπιτίθησιν ὀπισθίοις, τῷ ὑπερκειμένῳ τῆς ἕδρας ὀστῷ προσφύσας, ἱερὸν τοῦτό φασιν ἰατρῶν παῖδες. Καὶ ὁ μὲν ταῦθ' οὕτω θαυμαστῶς ἐνεργήσας Πνεύματι θείῳ τοῦ πάσχοντος ἐξ ὀφθαλμῶν ἦν· ὁ δ' αὐτίκα, τῶν ὕπνων αὐτὸν ὑπανέντων, νύττεται τὴν γαστέρα, καὶ τῆς νοσοποιοῦ θαυμαστῶς κενωθείσης ὕλης, ὡς καὶ τοὺς παρόντας καταπλήττειν πάντας τῇ θέᾳ, τό τε πάθος εὐθὺς δραπετεύει, καὶ ὁ πάσχων ἐλεύθερος οὐ τοῦ προσδοκηθέντος μόνον θανάτου καὶ τῆς χρονίας D ἐκείνης ὀδύνης καθάπαξ, ἀλλὰ καὶ εὐσθενής τις καὶ ῥωμαλέος ἐπὶ τὸν τάφον ἰὼν τοῦ μεγάλου, δι' ἑαυτοῦ τε λαμπρᾷ τῇ φωνῇ τὸ τοῦ θαύματος ὑπερφυὲς πᾶσιν ἀνακηρύττων, καὶ Θεῷ καὶ τῷ ἐκείνου θεράποντι θύων τὰ χαριστήρια.

Ὁ τῆς κατὰ Θεσσαλονίκην ἐκκλησίας τῶν ἱερῶν ᾀσμάτων τε καὶ μελῶν ἔξαρχος, καὶ τοῦ χοροῦ τῶν ᾀδόντων ἀρχηγός τε καὶ κορυφαῖος, Δομέστικον ἡ συνήθεια τοῦτόν φησιν, ἐπίσημος δ' ἐν τοῖς τοιούτοις ἐκεῖνος, καὶ χρόνῳ καὶ πείρᾳ καὶ φύσει καὶ τέχνῃ καὶ παντὶ τῷ συντελοῦντι πρὸς ταῦτα, καὶ διδάσκαλος χρηματίζων τῶν ὄντων, καὶ κατὰ πάντων τὸ πρεσβεῖον φερόμενος· οὗτος τοιγαροῦν νόσῳ τινὶ συσχεθεὶς, ἐξ ὕλης μοχθηρᾶς τινος καὶ δριμείας ἐχούσῃ τὰς ἀφορμὰς, ἐνιαυτὸν ὅλον σχεδὸν ἀκίνητος

Digitized by Google

ἐπὶ σκίμποδος κατακείμενος ἦν. Τῇ δ' ἀντιπιπτούσῃ ψυχρᾷ διαίτῃ, καὶ δὴ καὶ ταῖς ἄλλαις ἐπιμελείαις τῶν ἰατρῶν, τοῦ μὲν δαπανηθέντος τῆς ὕλης, τοῦ δ' ἀλλοιωθέντος κατὰ μικρὸν, τὸ καταλειφθὲν ἐκείνης ἀκατέργαστόν τε καὶ ἄπεπτον, ἐλαυνόμενον ὡσανεὶ καταφεύγει πρὸς τὰ τοῦ σώματος πέρατα, καὶ παρεῖντο δεινῶς τὸ λοιπὸν, αἵ τε χεῖρες ὁμοῦ καὶ οἱ πόδες τῷ κορυφαίῳ τῶν μελῳδῶν. Ἡμέραι παρῆλθον ἐξ ἐκείνου συχναὶ, καὶ τῆς νοσώδους ἐλαυνομένης ὕλης κἀκεῖθεν, τὰ μὲν ἄλλα μέρη καὶ μόρια τοῦ πάθους καθαρῶς ἀπαλλάττεται, τοῖς δέ γε τρισὶ καὶ πρώτοις δακτύλοις τῆς δεξιᾶς, τῷ τε ἀντίχειρί φημι καὶ τοῖς μετ' ἐκεῖνον, τῆς νοσώδους ἐκείνης ὕλης μέρος τι παραμεῖναν καὶ προσφυὲν, ἀργοὺς καὶ νεκροὺς ἐκείνους πρὸς πᾶσαν ἡντινοῦν ἐνέργειαν ἀπειργάσατο· χρόνος παρῄει συχνὸς, καὶ τὸ πάθος **B** οὐδοτιοῦν ἐνεδίδου, ἀλλ' οἱ μὲν οὕτως ἐπ' ὀρθίῳ τῷ σχήματι μένοντες ἦσαν, ἀκλινεῖς τε καὶ ἄκαμπτοι καὶ πρὸς πᾶσαν φυσικὴν ἀκίνητοι κίνησιν· τῷ δὲ δεινὸν μέν τοι καὶ σφόδρα δεινὸν ἐδόκει καὶ ἄλλως, οὕτω γε παρ' ἐλπίδας νεκρὰν ὁρῶντι τὴν χεῖρα· ἤδη γὰρ ἀπεῖπε τὴν θεραπείαν καὶ ἰατρικὴ πᾶσα τέχνη καὶ μέθοδος· ἐλύπει δ' οὐχ ἧττον, εἰ μὴ καὶ μᾶλλον αὐτὸν, τὸ μηδὲ τῇ τέχνῃ δύνασθαι χρῆσθαι, καθὰ δὴ καὶ τὸ πρότερον, μηδὲ γράφειν μηδ' ἐκδιδόναι τὰ μέλη τῇ παρέσει τῆς δεξιᾶς. Ὅθεν καὶ πάσης ἀνθρωπίνης τέχνης καὶ βοηθείας καὶ χειρουργίας καὶ φαρμάκων καταγνοὺς ὁμοῦ πάντων ὁ ἀσθενῶν, ἐπὶ τὴν θείαν ἀμέσως καταφεύγει πρυτανείαν, καὶ τὴν ἀληθινὴν ἐκεῖθεν αἰτεῖται βοήθειαν, **C** πρέσβεις ἰσχυροὺς πρὸς Χριστὸν καὶ μεσίτας τοὺς ἐκείνου θεράποντας προβαλλόμενος. Νὺξ μετὰ τὴν ἱκεσίαν ἐκείνην παρῆν, καὶ Γρηγόριος εὐθὺς ἀντὶ πάντων τε καὶ πρὸ πάντων αὐτῷ κατὰ τοὺς ὕπνους ὁ μέγας παρῆν, τὴν μετὰ μικρὸν ἐσομένην θείαν ἐπισκοπὴν καὶ θεραπείαν θαυμαστῶς εὐαγγελιζόμενος· ἐδόκει καὶ γὰρ ὁ κάμνων παρὰ τὸν μέγαν τῆς τοῦ Θεοῦ Σοφίας διατρίβων νεὼν, ἐν τοῖς δεξιοῖς αὐτοῦ που μέρεσιν ἐντυχεῖν καὶ τῷ μεγάλῳ τῷδε ἀρχιερεῖ, ἵνα δὴ καὶ ἡ σορὸς αὐτῷ ἵδρυται· καὶ ὁ μὲν ἐδόκει πατρικῶς καὶ γνησίως τὴν κεφαλὴν αὐτῷ καταψῶν τὰ ἥδιστά τε καὶ εὐκταιότατα προσλαλεῖν· Ἄπιθι, λέγων ὁ τῶν μελῳδῶν ἔξαρχος, ἀπό γε τοῦ νῦν καὶ καλῶς εἰς τὸ ἑξῆς ἔσται σοι· ὁ δὲ τῆς ἡμέρας ἤδη τὸ ἑῷον ὑπολαμπούσης διαναστὰς, **D** ἄπεισι δρομαίως εἰς τὸν νεὼν, τὴν ἱερὰν τοῦ μεγάλου καταλαμβάνει σορὸν, προσπίπτει, δάκρυσι μεταμελείας ὁμοῦ καὶ ἱκεσίας ἐκείνην ἱκανῶς λούει· νῦν μὲν τὴν ἁμαρτίαν ἐξαγγέλλων καὶ τὴν πάλαι κατ' αὐτοῦ τῆς γλώττης προπέτειαν· ἔφθασε καὶ γὰρ, ὡς αὐτὸς ἔλεγεν, εἰς ἐκεῖνον τὰ τοιαῦτα ἡμαρτηκώς· νῦν δ' αὖ τὴν συγγνώμην ἐξαιτῶν καὶ τὴν θεραπείαν τοῦ πάθους, καὶ τῷ τῆς σοροῦ λίθῳ πυκνὰ παρατρίβων τὴν δεξιάν· καὶ ταῦτα δεηθεὶς ἐφ' ἱκανὸν καὶ εἰπὼν, ἐπεὶ καὶ τῆς οἴκαδε φερούσης ἐγίγνετο πάλιν, καὶ πρὸς ἑαυτὸν ἐπανῄει, τῆς θαυμαστῆς σου καὶ ὑπερφυοῦς περὶ τὸν Γρηγόριον, Χριστὲ, χάριτος! καὶ ἡ χεὶρ αὐτῷ κατὰ φύσιν ἐνεργὸς ἦν, καὶ οἱ νεκροὶ καὶ ἀκίνητοι δάκτυλοι

**A** πρὶν, ζῶντες ἀθρόον καὶ κινούμενοι καθεωρῶντο, καὶ τὰ οἰκεῖα προσφυῶς πράττοντες· τὴν γὰρ οἰκίαν εὐθὺς εἰσιὼν καὶ τῆς γραφίδος ἀψάμενος, καὶ γράφων ὑγιῶς τε καὶ ἀπταίστως ἑωρᾶτο, καὶ τὴν χεῖρα πρὸς τὰ μέλη, καθὰ δὴ καὶ πρώην, εὐρύθμως κινῶν, καὶ Θεὸν ἀνακηρύττων σωτῆρα λαμπρᾷ τῇ φωνῇ, καὶ τὸν ἐκείνου μέγαν θεράποντα.

Ἀνήρ τις τῶν ἀλουργίδας ἱστουργούντων βασιλικὰς ὑπό τινος ἀφανοῦς συμπεσούσης αἰτίας τὴν φυσικὴν τῶν τῆς γαστρὸς περιττωμάτων ἐπὶ μακρὸν ἐπέχεται κένωσιν ἀνορεξίᾳ τροφῶν ἐπὶ τούτῳ καὶ πόσεως ἐφ' ἡμέραις συχναῖς, καὶ ὁ πάσχων ἐν περιστάσει, πάντων ὁμοῦ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων ἤδη στερούμενος. Καὶ δὴ πρόσεισί τινι τῶν βασιλικῶν ἰατρῶν, θεραπείαν τινὰ παρ' αὐτοῦ καὶ τῆς **B** τέχνης αἰτῶν· φάρμακον ἐκεῖνος ὀρέγει σκευάσας· πρός γε τὴν τῆς γαστρὸς κένωσιν ὁ πάσχων παρ' ἐκείνου λαβὼν, κρείττονι πάντως προνοίᾳ παρὰ τὴν τοῦ ἰατροῦ γνώμην ἐκεῖνο προσφέρεται· ὁ μὲν γὰρ τοῦ παντὸς ἐκέλευσε πίνειν· ὁ δ' ἐπ' οἴκου γενόμενος, μὴ τοῦ παντὸς, ἀλλὰ τοῦ ἡμίσεως δεῖν εἶναι πίνειν μᾶλλον ἔλεγε τέως, καὶ οὕτω διάπειραν ἐκείνου λαβόντα, καὶ πρὸς τὰ πρόσω χωρεῖν· χρῆται τοιγαροῦν τῷ ἡμίσει· τὸ δὲ τῆς κενώσεως αὐτόθεν ἀρξάμενον οὕτω τοι δραστικὸν καὶ ἀκάθεκτον ὤφθη, ὡς καὶ τῶν σαρκῶν μετ' ὀλίγον τοῦ πάσχοντος ἅψασθαι, καὶ δυσεντερίας πάθει περιβαλεῖν. Ὁ μὲν οὖν εἴτ' ἀμαθίᾳ εἴτε καὶ λήθῃ τὸ φάρμακον ἐκεῖνο κεράσας ἰατρὸς, αἰσθόμενος τοῦ κακοῦ, παντοδαπὸς τις ἦν, τοῖς ἐναντίοις τῶν φαρμάκων ἐπισχεῖν τὴν κέ- **C** νωσιν μηχανώμενος· ἡ δ' οὐχ ὑπεῖκε, κρείττων ἁπάσης μηχανῆς ὁρωμένη, καὶ θάνατον τὸ τελευταῖον ἀπειλοῦσα τῷ πάσχοντι. Ὅθεν καὶ τῆς ἐκεῖθεν ἀπογνοὺς βοηθείας ἁπάσης, πρὸς Θεὸν δι' εὐχῆς καταφεύγει, καὶ τὸν ἐκείνου μέγαν θεράποντα· Οἶδα, λέγων, ἄνθρωπε τοῦ Θεοῦ, καὶ παρόντα τῷ βίῳ καὶ μεταστάντα, πλεῖστά τινα καὶ μέγιστα δυνάμενον ἐν Χριστῷ· γενοῦ τοιγαροῦν ἐν τῇ ὥρᾳ ταύτῃ κἀμοὶ βοηθὸς, καὶ τῶν ἐπικειμένων τούτων κινδύνων καὶ τοῦ πικροῦ θανάτου τῇ σῇ μεσιτείᾳ ἐξάρπασον. Ὑπνοῖ μετὰ τὰ ῥήματα ταῦτα καὶ τὴν εὐχὴν ὁ νοσῶν, καὶ τὸν ἐξυπηρετούμενον πάλαι τῷ ἀρχιερεῖ μοναχὸν ἐν τοῖς ὕπνοις ὁρᾷ, τοιάδε πρὸς αὐτὸν λέγοντα· Τὸν τοῦ ἀρχιερέως οἶκον, φησὶν, ὦ **D** οὗτος, καταλαβὼν, τὴν ἱερὰν ἐπωμίδα ἐκείνου τοῖς σοῖς ἐπίθες νεφροῖς, καὶ οὐχ ἁμαρτήσεις γε τοῦ σκοποῦ. Ἐδόκει μὲν οὖν ὁ πάσχων ἔτι τῷ ὕπνῳ κάτοχος ὢν, εἰς τὸν τοῦ ἀρχιερέως οἶκον καὶ ἀπιέναι καὶ τὸ ἱερὸν ἐκεῖνο ῥάκος ζητεῖν κατὰ τὰ προστεταγμένα, καὶ ἐπειδὴ μὴ τὸ ζητούμενον ἔσχε, πρὸς τὸν προστεταχότα μοναχὸν αὖθις ἐπανελθεῖν, ἐκεῖ δόξαντα παραμένειν ἔτι, καὶ τὴν ἀποτυχίαν εἰπεῖν. Τὸν δὲ λαβόμενον αὐτοῦ τῆς χειρὸς οὐκέτι μὲν εἰς τὸν οἶκον ἐκεῖνον, εἰς δὲ τὸν αὐτοῦ τάφον μᾶλλον ἀπαγαγεῖν, κἀκεῖ τὴν ἱερὰν ἐπωμίδα μετὰ χεῖρας λαβόντα, τοῖς τοῦ νοσοῦντος νεφροῖς ἐπιθεῖναι. Καὶ ὁ μὲν ᾤχετο ἀπιὼν εὐθὺς μετ' ἐκεῖνα· τὸν δ' ὕπνον αὐτίκα καὶ ὁ νοσῶν ἀποτιναξάμενος, καὶ τὸν μὲν οἰκίσκον τοῦ ἀρχιερέως ἔκ γε τῶν ὁραθέντων κρίνας

Digitized by Google

εἶναι τὸν τάφον, τὸν δ' ἐπικείμενον ἴσως λίθον διὰ A τῆς ἱερᾶς ἐπωμίδος δηλοῦσθαι, ἔτι τῷ πάθει κάτοχος ὤν, παρὰ τὴν ἱεράν τε σορὸν ἔρχεται, καὶ τοὺς νεφροὺς παρατρίψας τῷ λίθῳ, καὶ θανάτου καὶ νόσου κρείττων εὐθὺς ἐκεῖθεν ἐπάνεισιν.

Ἐξιᾶται καὶ ἰατρὸν ὁ μέγας οὗτος ἰατρὸς τῶν ψυχῶν ὁμοῦ καὶ σωμάτων· ὁ μὲν γὰρ ἐπὶ χρόνον κατέκειτο πλεῖστον παντοδαποῖς προσπαλαίων νοσήμασιν, ὡς ἐκ μὲν τῆς χρονίας κατακλίσεως τὴν σάρκα πληγάς, σκωλήκων δὲ πλῆθος ἀνασχεῖν τὰς πληγάς· ἐνόσει δ' οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ ἡ ὁμόζυγος ὁμοῦ καὶ τὰ φίλτατα· καὶ ὁ τοῦ ἰατροῦ οἶκος οὐκ ἰατρεῖον, καθάπερ ἔδει, ἀλλὰ νοσούντων μᾶλλον ἦν καταγώγιον· ἀλλ' ἐφίσταται τούτοις καὶ μάλα φιλανθρώπως αὐτόκλητος ὁ κοινὸς ἰατρὸς, ὁ θεῖος, φημὶ, Γρηγόριος, ἐφίσταται δὲ πῶς; B Ἐδόκει τῇ θυγατρὶ τούτων ὑπνούσῃ τὸν μέγαν ἐπὶ τῆς οἰκίας ὁρᾷν· ἐδόκει δὲ καὶ αὐτὴν ἐκείνῳ προσπίπτουσαν ὑπὲρ θεραπείας τοῦ οἰκείου πατρὸς ἱκετεύειν· τὸν δὲ μέγαν εὐμενῶς τῇ προκλήσει προσσχόντα, τὴν λεκάνην ἐνεχθῆναί οἱ κελεῦσαι, ἐν ᾗ τὰ τοῦ ἱεροῦ νιπτῆρος ἐτησίως αὐτῷ τελεῖν ἔθος· ἧς δὴ καὶ προσκομισθείσης ὑφ' ἑνός τινος τῶν ἱερῶν διακόνων, ὕδατος πλήρους ἁγίου, τὸν ἱεράρχην ἐπιτάττειν τῷ διακόνῳ, χεῖρας ἅμα καὶ πόδας ἀποῤῥύπτειν τοῦ νοσοῦντος τῷ ὕδατι· καὶ τὸν μὲν τὰ προστεταγμένα θᾶττον ἢ λόγος ποιεῖν, τὸν δ' αὐτίκα πρὸς τὴν κατὰ φύσιν ἕξιν καὶ τὴν ὑγείαν νιψάμενον ἐπανέρχεσθαι. Ταῦτα θαυμαστῶς οὕτως ὁρώσῃ τῇ παιδὶ καὶ περὶ τῆς μητρὸς ὡσαύτως ἐπῄει δεῖσθαι, καὶ τὴν ὑγείαν C κἀκείνης ἐξαιτεῖσθαι τοῦ διδασκάλου· ἀλλ' ἐῴκει φωνῆς ἐκεῖθεν ἀκούειν, τοῖς μὲν παροῦσιν ἀρκεῖσθαι, τό γε νῦν εἶναι, λεγούσης, μετὰ μικρὸν δ' ὡσαύτως ἥξειν ἐλπίζειν κἀκεῖνα. Τί τὸ ἐντεῦθεν; Ἐξαγγέλλει τοῖς γονεῦσιν ἡ κόρη μετὰ τοὺς ὕπνους τὰ ὁραθέντα· ὁ πατὴρ αὐτίκα διακούσας εἰς βαλανεῖον ἄγειν κελεύει· τοὺς ἰχῶρας ἅμα τοῖς σκώληξι λουσάμενος ἀποτίθεται· εἶτ' ἐκεῖθεν ἀπάρας, ἐπὶ τὴν ἱερὰν τοῦ μεγάλου σορὸν ἔρχεται· καὶ δυοῖν ἡμερῶν διαγενομένων, αἰφνίδιον νύττεται τὴν γαστέρα, καὶ πρὸς ἔκκρισιν τῶν περιττωμάτων χωρεῖ, συχναῖς πρότερον εἰργομένων ἡμέραις τῆς κατὰ φύσιν ἐξόδου· καὶ παρὰ τὴν οἰκίαν ἐλθὼν τοσαύτην τῶν ἔνδον ὑφίσταται κένωσιν, ὡς καὶ τοὺς ὁμοτέχνους ἰδόντας, διὰ τοῦτ' αὐτῷ καὶ αὖθις ἀπαγορεῦσαι τὸ D ζῆν, τὴν φυσικὴν ἀπολιπεῖν ἂν αὐτὸν οἰηθέντας καὶ ζωτικὴν δύναμιν μετ' ὀλίγον, τῇ τῆς νόσου μακρᾷ τηκεδόνι καὶ τῇ ἐκεῖθεν ἀδυναμίᾳ τῆς μεγάλης ταυτησὶ καὶ ἀθρόας κενώσεως προστεθείσης. Ἀλλ' ἐκεῖνος, τῆς νοσοποιοῦ κενωθείσης οὕτως αὐτῷ θαυμαστῶς ὕλης, τῷ τοῦ ἁγίου νιπτῆρι καὶ τοῖς καινοῖς ἐκείνοις λουτροῖς τῶν χειρῶν ἅμα καὶ τῶν ποδῶν, ἀνώτερος ἦν αὐτίκα τῆς νόσου, οὐ τὴν προσοῦσαν οὐκ ἀποβαλὼν ἰσχὺν μόνον, ἀλλὰ καὶ τὴν μὴ παροῦσαν ὡς μάλιστα προσλαβὼν, ὡς καὶ ἵππον παρ' ἐλπίδας εὐχερῶς ἀναβαίνειν ἔχειν, καὶ τὴν πόλιν περιιὼν ὡς καὶ πρότερον χρῆσθαι τῇ τέχνῃ, καὶ πολλοὺς θεραπεύειν, ἀλλ' οὐχὶ πρὸς τοῖς ἄλλοις καὶ τὴν γυναῖκα· ταύτῃ γὰρ καὶ ἀπαγορεύει τὸ ζῆν A μᾶλλον, ἰσχυροτέραν πολλῷ τῆς τέχνης τὴν ἐκείνης νόσον εὑρών. Ἀλλ' ὁ κοινὸς ἰατρὸς καὶ Πατὴρ οὐκ ἐψεύσατο τὴν ἐπαγγελίαν, ἀλλ' ἰᾶται μετ' ἐκεῖνον καὶ ταύτην, καὶ τὰ πρεσβεῖα τῇ κεφαλῇ κατ' ἀξίαν διδοὺς, καὶ τὸ σῶμα πᾶν ὁμοῦ διασώζων, ἵν' ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος κἀνταῦθα, κατὰ τὸ εἰρημένον.

Γυνή τις τῶν εὐπατριδῶν καὶ κοσμίων νόσῳ περιπίπτει μακρᾷ τινι καὶ βαρείᾳ· μεθ' ἣν καὶ ῥεῦμα χυμοῦ τινος πονηροῦ κατὰ τῆς δεξιᾶς ῥεῦσαν, ξηρὰν ὅλην αὐτὴν καὶ ἀργὸν ἀπεργάζεται· μᾶλλον δ' οὐκ ἀργός τε καὶ ἄπρακτος ἡ χεὶρ μόνον· ἦν γὰρ ἂν τῶν ἐσχάτων κακῶν καὶ τοῦτο· ἀλλὰ καὶ ἄχθος ἐτώσιον ἦν τῇ πασχούσῃ, κάτω που καὶ καθ' ἑαυτὴν ᾐωρημένη, ἀλλ' εἰς ὀρθήν πως ἐκτεταμένη πλαγίως, B ἄκαμπτος, ἀκλινὴς πρὸς πᾶσαν κίνησιν ὁμοῦ καὶ μετάβασιν· αἰσχρά τις προσιδεῖν, καὶ παντὶ τῷ σώματι πολεμία. Παῖδες μὲν οὖν ἰατρῶν τοῖς θερμοτέροις τε καὶ δραστικοῖς τῶν φαρμάκων τὴν οὕτω κατεψυγμένην ἀναζωπυρεῖν καὶ θεραπεύειν ἐκέλευον χεῖρα· ἡ δὲ τούτοις οὐδ' ὀλίγα διδοῦσα, μύροις καὶ λειψάνοις μᾶλλον ἁγίων καὶ τοῖς ἐκεῖθεν ἱεροῖς ἐλαίοις πυκνὰ περιχρίουσα ἦν τὴν πάσχουσαν χεῖρα, καὶ τὴν ἐκεῖθεν βοήθειαν καὶ τὴν θεραπείαν ἐκδεχομένη. Ἐπεὶ δὲ καὶ τῶν συχνῶν καθ' ἑκάστην ἤκουε θαυμάτων τοῦ θαυμαστοῦ Γρηγορίου, πρῶτα μὲν οὐδὲ πιστεύειν ἠξίου τοῖς λεγομένοις· οὐ μόνον οὐ τὴν προσήκουσαν ἔχουσα πάλαι δόξαν περὶ αὐτοῦ, ἀλλὰ καὶ τῇ γλώττῃ κακῶς κατ' ἐκείνου χρωμένη, C οἷα τὰ τῶν κενοδόξων τουτωνὶ γυναίων καὶ εὐριπίστων καὶ κούφων, ὁποίας δὴ πλείστας καὶ ἡ Κωνσταντίνου παρ' ἡμῖν τρέφει μετὰ τῆς ὀνομαζομένης εὐγενείας καὶ τὴν κενοφωνίαν καὶ τοὺς μερισμοὺς καὶ τὰ σχίσματα καὶ τὴν τῆς γλώττης περιποιουμένας ἀκολασίαν καὶ φατρίαν τινὰ περὶ ἑαυτὰς καὶ φήμην καὶ αἰσχρὸν ὄνομα φιλοτιμουμένας κεκτῆσθαι· ἀλλ' αἱ μὲν προφανῶς διὰ ταῦτα· διατί καὶ γὰρ ἕτερον; ἡ δὲ καὶ δι' ἁπλότητα γυναικείαν ἴσως καὶ ἀμαθίαν, εἴπερ καὶ τούτοις δοίημεν ὅλως χώραν τε καὶ συγγνώμην ἐν τοῖς τοιούτοις, καὶ ταῦτα, διδασκάλων παρόντων τοσούτων καὶ τηλικούτων. Πρῶτα μὲν οὖν ἐξ ἀπιστίας, καθάπερ ἔφην, οὐδὲ προσέχειν τοῖς περὶ τοῦ μεγάλου θρυλλουμένοις ὅλως ἠξίου τὸν νοῦν· ἐπεὶ δ' ἡ μὲν τῶν θαυμάτων ἐνέργεια πᾶσαν D περιιοῦσα τὴν πόλιν πυκνὰ περιεκτύπει καὶ ταύτης τὰ ὦτα, τὸ δὲ τῆς δεξιᾶς πάθος οἴκοθεν αὐτὴν ἤπειγε νύκτωρ καὶ μεθ' ἡμέραν, θεραπεία δ' οὐδ' ἡτισοῦν οὐδαμόθεν ἦν φαινομένη, συνελαύνεται καὶ ἄκουσα παρὰ τῆς ἀνάγκης, καὶ καταφεύγει σὺν ταῖς ἄλλαις καὶ αὐτὴ πρὸς τὸν μέγαν, πειράζουσα μᾶλλον ἢ πιστεύουσα τοῖς ἐκείνου· ἢ γὰρ μὴ δεδυνῆσθαι, ἢ καὶ δυνάμενον τὰ τοιαῦτα πορίζειν, μὴ βεβουλῆσθαι διδόναι τοῖς κατ' ἐκείνην διακειμένοις πᾶσαν ἔλεγεν εἶναι ἀνάγκην· ὅπερ καὶ δίκαιον ἄντικρυς ἦν ἂν, καὶ τοῦ σώζοντος λόγου. Ἀλλ' ὁ τοῦ Χριστοῦ μαθητὴς, τοῦ τὸν ἥλιον ἀνατέλλοντος ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχοντος ἐπὶ δικαίους καὶ ἀδίκους, κατὰ Χριστὸν κἀνταῦθα καὶ αὐτὸς ἐλεῶν ἦν· διὸ καὶ προσιούσῃ τῇ γυναικὶ, καὶ δυσωπούσῃ μετὰ τῆς

Digitized by Google

τῶν λογισμῶν ἐκείνων, ἥπερ ἔφην, ἀμφιβολίας, καὶ A τὴν χεῖρα προστριβούσῃ τῷ ἐπικειμένῳ λίθῳ τῷ τάφῳ, πρῶτα μὲν τοὺς ἤδη νεκρούς τε καὶ ἀκινήτους ἰᾶται δακτύλους, ὡς καὶ δύνασθαι κινεῖν καὶ συνάπτειν, καὶ σταυροῦ σχηματίζειν δι' αὐτῶν τύπον, ἔτι παροῦσα δηλαδὴ τῷ θείῳ νεῷ, καὶ ταῖς σεπταῖς εἰκόσιν, ὡς ἔθος, τὴν προσκύνησιν ἀπονέμειν· εἶτα καὶ οἴκαδε γενομένη μετὰ τρίτην εὐθὺς, καὶ ὅλην τὴν δεξιὰν θεραπεύει, νυκτὸς ἐπιγενομένης· καὶ ὑγιής τε καὶ ἐνεργὸς ἡ χεὶρ ἐξ ἐκείνου τῇ γυναικὶ κατὰ φύσιν, ὦ Θεοῦ θαυμασίων! ἰαθεῖσῃ καὶ τὸ τῆς ψυχῆς χαλεπὸν ὁμοῦ πάθος, καὶ τὴν πονηρὰν ἀπιστίαν, πολλῷ τῶν κατὰ σῶμα παθῶν οὖσαν χαλεπωτέραν, καὶ Θεὸν ἀνυμνούσῃ, καὶ τὸν αὐτοῦ λαμπρῶς ἀνακηρυττούσῃ θεράποντα· ᾗ; δὴ καὶ τοὺς ἀπιστοῦντας τούτοις ὡσαύτως ἔτι καταπλύνειν ἔδει τέως καὶ πείθεσθαι.

Χήρᾳ τινὶ γυναικὶ γηραιᾷ τε καὶ πένητι ῥεῦμα νοσῶδες ἄνωθεν ἐξ ὤμου τῆς εὐωνύμου χειρὸς καταῤῥεῖ, καὶ ταύτην ἀργὸν ἀπεργάζεται. Ἦν οὖν διπλοῦν τὸ πάθος τῇ γυναικὶ, καὶ διὰ ταῦτα δὴ καὶ ἀφόρητον· τὰ μὲν γὰρ πρῶτα, καθάπερ ἐκ μικρῶν τινων ἠργμένων ἀρχῶν, τῆς τε συνήθους ἠλακάτης οὐκ ἀπείργει τέως, καὶ τὰς ὀδύνας ἔτι φορητὰς ἐπάγειν ἐδόκει· τοῦ χρόνου δ' αὐτῇ προϊόντος, τῶν τε χειρῶν ἀφαιρεῖται τοὔργον καθάπαξ, καὶ σὺν αὐτῷ τὰς τῆς ζωῆς ἀφορμὰς καὶ τὴν ὀδύνην χαλεπήν τινα καὶ ἀφόρητον ἐμποιεῖ· πλεῖστα μὲν οὖν ἰατρικὴ πρὸς ἀποτροπὴν εἰσενεγκοῦσα τοῦ ῥεύματος, ὡς καὶ καυτῆρι τὸ τελευταῖον κατὰ τοῦ ὤμου, καθαπερεί C τινος ἀρχῆς καὶ πηγῆς πεφηνότος ἐκείνου χρήσασθαι, ἤνυσε πλέον οὐδὲν, εἰ μὴ τὸ καὶ ταῖς ἀλγηδόσιν ἐντεῦθεν προσθεῖναι, καὶ σφοδρότερον τὸ κατὰ τὴν χεῖρα πάθος ἐργάσασθαι. Οὕτω ταλαιπωρουμένης τῆς ἀθλίας ἐπὶ μακρὸν, δεινά τε ποιούσης καὶ πλείσταις ὁμοῦ καὶ μεγίσταις ταῖς βοαῖς συγκαλουμένης τὰς γείτονας, οἶκτον ἐκεῖναι τῆς πασχούσης λαβοῦσαι, ἐπεὶ μηδαμῶς εἶχον ἄλλως ἀμύνειν, παρὰ τὴν τοῦ μεγάλου σορὸν σύν γε τοῖς ἄλλοις σπουδῇ καὶ αὐτὴν βαδίζειν ἐκέλευον, καὶ παρ' ἐκείνου μόνου τὴν θεραπείαν αἰτεῖν. Πείθεται ταῖς καλαῖς ἐκείναις συμβούλοις ἡ πάσχουσα, καὶ τῷ ἱερῷ προσελθοῦσα τάφῳ, καὶ πλεῖστα δεηθεῖσα καὶ εὐξαμένη, τῆς νυκτὸς ἤδη προσελαυνούσης, ἐπ' οἴκου καὶ αὖθις χωρεῖ· καὶ τὴν μὲν ἡ στρωμνὴ καὶ τοὔδαφος εἶχε συν- D ήθως ταῖς προλαβούσαις ὀδύναις ὡσαύτως κάτοχον· ὁ δὲ μέγας ἰατρὸς τῶν νοσούντων, ἀστείως πως τῆς θεραπείας ἀρξάμενος, οὐκ εὐθὺς ἀφαιρεῖται τὴν ὀδύνην ἐκεῖθεν, καίτοι γε δυνατὸν ὂν, ἀλλ' ἠρέμα πως καὶ κατὰ μικρὸν ἐκείνην ἐξάγων, ὡς ἂν ἐναργεστέραν καὶ τῇ πασχούσῃ μᾶλλον παρέχῃ τὴν αἴσθησιν, τὸ μὲν νῦν εἶναι τέως, τοῦ τε ὤμου καὶ τοῦ βραχίονος ἀπελαύνει· συγχωρεῖ δ' ἔτι τὴν περὶ τὸν ἀγκῶνα καὶ τὸν πῆχυν διατριβήν. Ἀλλ' ἡ γυνὴ τοῦ μὲν, οὐδὲ συνεῖσα τὸ παράπαν οὐδοτιοῦν, σφοδροτέρας δ' ὡς εἰκὸς τῆς καταδρομῆς αἰσθομένη τοῦ πάθους, συνελαθέντος εἰς τὸ στενὸν, καὶ καταβοᾷν ἐπεχείρει τοῦ ἰατροῦ, καὶ κακῶς κατ' ἐκείνου χρῆσθαι τῇ γλώττῃ, καθάπερ ἐπὶ τῶν αἰσθητῶς ἰατρευομένων τε καὶ χειρουργουμένων οἱ τῆς θεραπείας τέως ἀναίσθητοι, ὡς ἂν αἰτιωτάτου γεγονότος αὐτῇ τῆς ὀδύνης ταύτης τῆς χείρονος. Ἀλλ' αἱ συνήθεις καὶ αὖθις ἐκεῖναι συνιοῦσαι καὶ γείτονες, ἐκεῖσε καὶ πάλιν συνεβούλευον ἀπιέναι, καὶ τὸ λοιπὸν τῆς θεραπείας ἐπιζητεῖν· καὶ ἡ μὲν ἀπῄει καὶ αὖθις, καὶ τῷ θαυματουργῷ τοῦ μεγάλου σορῷ μετ' ὀδύνης προσέπιπτε, ταυτὰ τοῖς προτέροις οἷον ἐπεγκαλοῦσα, καὶ ὑπ' ὀδόντα τὸν γογγυσμὸν ἐκείνῳ προφέρουσα· ὁ δὲ καὶ τὸ λεῖπον ἐπάγει φιλανθρώπως αὐτίκα, καὶ παντελῆ τὴν θεραπείαν ἐκεῖ τῇ γυναικὶ δίδωσιν· οὐ καθ' ὕπνους οὐδὲ λόγοις ὥσπερ δὴ καὶ τοῖς ἄλλοις ἐπὶ πολὺ, ἀλλ' ἐγρηγορυίᾳ καὶ πράγμασιν αὐτοῖς ἐναργῶς, ἐξ ἄκρων δακτύλων ὡσανεί τινα μίτον λεπτὸν τὴν ὀδύνην καὶ τὴν χρονίαν ἐκείνην νόσον B ἑλκύειν ἔξω δοκῶν ἐπὶ ὥραν συχνήν· ἡ δὲ γυνὴ τὴν οἰκίαν ἐκεῖθεν καταλαβοῦσα οὐκ ἀνώδυνος μόνον καὶ ἀπαθὴς, ἀλλὰ πρὸς πᾶν ὁτιοῦν ἔργον ἐπιτηδείαν κατὰ φύσιν κεκτημένη τὴν χεῖρα καὶ ἐνεργὸν, Θεὸν εὐχαρίστῳ γλώττῃ διὰ παντὸς μεγαλύνει καὶ τὸν ἐκείνου θεράποντα.

Καὶ μοναζούσαις δυσὶ, τῇ μὲν ἐξώρῳ τὴν ἡλικίαν καὶ ἤδη πρεσβύτιδι, τῇ δὲ κατ' αὐτὴν ἀκμαζούσῃ, ἐπίχυσιν ὀφθαλμῶν καὶ ἀκοῆς βλάβην παθούσαις, ἐπειδὴ τῷ τάφῳ καὶ ἄμφω τοῦ μεγάλου προσῆλθον, λύσιν ἑκατέρα τοῦ πάθους αἰτοῦσαι, τῇ μὲν τὸ δύσκωφον εὐμενῶς, τῇ δὲ γηραιᾷ τῶν ὀφθαλμῶν θεραπεύει τὴν πήρωσιν, ὡς τὴν μὲν τὴν προτέραν ἀπολαβεῖν ὁρατικὴν τῶν ὀφθαλμῶν ἕξιν τε καὶ ἐνέργειαν, τὴν δὲ τὴν κατὰ φύσιν τῆς ἀκοῆς ἐντελῆ δύναμιν, καὶ ἅμα τὸν εὐεργέτην καὶ ἰατρὸν ἀνυμνεῖν, οὕτως ὀξέως τε καὶ τρανῶς ἀπολαβούσας τὴν τῶν ὡσανεὶ νεκρωθέντων τουτωνὶ πρώτων καὶ ἀναγκαιοτάτων αἰσθητηρίων οἷον ἀνάπλασίν τε καὶ ἀναβίωσιν.

Οὐδὲ τῶν ἡμετέρων Θρᾳκῶν εὐεργετῶν ὁ μέγας ἀπέσχετο, ἀλλὰ καὶ τούτοις φιλανθρώπως συναριθμεῖ τοῖς οἰκείοις τε καὶ αὐτόχθοσι, τὸν πολιοῦχόν τε καὶ σωτῆρα τῆς μεγάλης τῷ ὄντι Θεσσαλονίκης, Δημήτριόν φημι τὸν ἐν μάρτυσι καὶ θαυματοποιοῖς μέγαν, καὶ αὐτὸς θαυμαστῶς ἐκμιμούμενος. Ἀνὴρ καὶ γάρ τις Ὀρεστιάδος μὲν τῆς πόλεως ἄποικος ὢν, ἣν Ἀδριανὸς ἐπισκευασάμενος ὕστερον, τὴν ἐπωνυμίαν ἐξ ἑαυτοῦ φέρων δέδωκε, πολιᾷ δὲ καὶ συνέσει καὶ σεμνότητι βίου κεκοσμημένος, καὶ τῶν πολιτῶν Θεσσαλονίκης τυγχάνων ἤδη καὶ αὐτὸς εἷς, ἣν μὲν ἐπ' εὐλαβείας καὶ τοῦ περὶ τὰ κάλλιστα φίλτρου καὶ ζήλου καὶ πρὶν ἐπιβῆναι τὸν μέγαν τῆς Ἐκκλησίας, καὶ φίλος κἀκ μόνης αὐτοῦ ἀκοῆς τῶν καλῶν ἐκείνου, καὶ ζήλου πνέων ὑπὲρ τῆς κατ' αὐτὸν ἀληθείας ἀδικουμένης, καὶ τοὺς στασιαστὰς ἐκείνου ὑπὲρ αὐτῶν τούτων ἐλέγχων συνεχῶς δημοσίᾳ, καὶ τὴν τοῦ ἀρχιερέως προσονειδίζων ἐκείνοις ἀθέτησιν, ὡς καὶ τὸ σμῆνος ἐκεῖνο πολλάκις τουτοισὶ διεγείρειν, καὶ τὸν ἐκείνων ἐξάρχοντα δεινὰ μελετᾷν ποιεῖν κατ' αὐτοῦ καὶ λογίζεσθαι· ἃ κἂν εἰς τέλος παρήνεγκε, μὴ τοῦ Θεοῦ τὴν τυραννίδα καὶ τὴν στάσιν ἐκείνην ἄνωθεν παύσαντος. Ἐπεὶ δὲ καὶ τῆς πόλεως ὁ ἀρχιερεὺς ἐπέβη, καὶ ἡ Ἐκκλησία τὸν

Digitized by Google

ἑαυτῆς νυμφίον ἀπέλαβε, συνίσταται μὲν αὐτῷ παρὰ A τῶν συνήθων εἰς φιλίαν καὶ ὁ πρὶν ἰδεῖν φίλος· οὐδὲν ἧττον αὐτοῦ τε καὶ τῆς ἀληθείας οὑτοσί, καθὰ δὴ καὶ προὔφην· καὶ τῶν τούτου ποτιμωτάτων ναμάτων τῆς διδασκαλίας γευσάμενος, ἑάλω τε κατάκρας τῷ ἔρωτι, καὶ μᾶλλον συνεδέθη τῷ φίλτρῳ, καὶ τὴν ψυχὴν ἀχώριστος ἦν· οὐ μὴν ἀλλὰ καὶ τοῦ πρὸς τοὺς στασιαστὰς ἐκείνου λαμπροῦ ζήλου, καὶ τῆς ὑπὲρ ἀληθείας ἐνστάσεως τοῦ ἀνδρὸς διακούσας πῶς τοῖς ἄλλοις ὁ μέγας ἐπαινεῖ τε τὰ εἰκότα, καὶ τοιαύτην ἐπάγει τὴν εὐχὴν ἐπὶ τέλει· Τὸν ὑπὲρ ἀληθείας καὶ τοῦ καλοῦ τὸν ἀξιόλογον ζῆλον, ὦ φίλος, καὶ τὴν μεγάλην τῆς ψυχῆς ἔνστασιν Θεὸς ἀμειβόμενος ἔσται μόνος ἀξίως· ἡ γὰρ παρ' ἡμῶν ἀμοιβὴ ὁποία ποτ' ἂν ᾖ, σμικρά τις ἔσται καὶ οὐκ ἀνάλογος, τῆς ἀνθρωπείας φύσεως καὶ δυνάμεως οὖσα. Καὶ B ταῦτα μὲν τότε, καὶ οὐδὲ πόῤῥω θείας τινὸς ἐπιπνοίας τε καὶ προῤῥήσεως, ὡς τὰ ἑξῆς τοῦ λόγου δηλώσει. Χρόνου δὲ συχνοῦ μεταξὺ διαγεγονότος, ὁ καλὸς οὑτοσὶ φίλος πάθει περιπίπτει τοιῷδε· τύλοι τὸν ἀριθμὸν ὁμοῦ τέτταρες κατὰ τὴν εὐώνυμον ἀναδίδονται τούτῳ παλάμην ἀθρόον, μέγιστοι μὲν τὸν ὄγκον, σκληροὶ δέ τινες καὶ ἀντίτυποι τὴν διάθεσιν, καὶ τραχεῖς καὶ ἀκανθώδεις τὰ τῆς προσβολῆς ἄκρα, ὡς μήτε πρὸς ἑαυτὴν κατὰ φύσιν εἰς πυγμὴν ἐᾶν συνάγεσθαι τὴν παλάμην, καὶ πρὸς ἀφὴν ἀνεπιτηδείαν αὐτῷ τε τούτῳ πεφηνέναι, καὶ τῷ καθάπαξ ἀνωμάλῳ καὶ τραχεῖ καὶ ἀκανθώδει τῶν δακτύλων, καθάπερ ἔφην· ἦν δὲ πρὸς τούτοις καὶ ἄλλως αἰσχρόν τι καὶ δυσειδὲς τοῦτο, καὶ ἀκοσμία τῷ παντὶ σώ- C ματι. Ἐνιαυτὸς ὄγδοος ἐν τούτοις παρῄει, καὶ θεραπείας ἐλπίς τις ἦν οὐδαμοῦ· τῶν δὲ κατὰ τὴν τοῦ μεγάλου σορὸν τελουμένων θαυμάτων αὐτόπτης τε καὶ αὐτήκοος γιγνόμενος καθ' ἑκάστην, πρόσεισι καὶ αὐτὸς σὺν τοῖς ἄλλοις τῷ τάφῳ, καὶ προσκυνήσας ἵστατο, τὴν μὲν πάσχουσαν ἐπιτιθεὶς χεῖρα καὶ παρατρίβων τῷ λίθῳ, πρὸς δὲ τὸν θεῖον ὡσανεὶ ζῶντα βλέπειν δοκῶν Γρηγόριον διὰ τῆς εἰκόνος, καὶ τοιάδε φιλικῷ τινι καὶ ἀστείῳ τῷ ἤθει μετὰ πολλῆς τῆς εὐνοίας ὑποψιθυρίζων τε καὶ δεόμενος· Νῦν τῆς πρὸς Θεὸν παῤῥησίας τρανότερόν τε καὶ καθαρώτερον ἀπολαύων, ὦ φίλε Χριστοῦ γνήσιε σύ, ῥᾷστα τοῖς δεομένοις τὰς αἰτήσεις ἰσχύεις διδόναι, προϊστάμενος καὶ πρεσβεύων ὑπὲρ τούτων ἀμέσως· καιρὸς τοιγαροῦν καὶ ὑπὲρ ἐμοῦ καὶ τοῦ τῆς χειρὸς D τοῦδε πάθους, τῇ πρὸς Θεὸν ταύτῃ χρήσασθαί σε παῤῥησίᾳ καὶ τῇ δυνάμει, καὶ τὸν Θεὸν ἵλεων ἀπεργάσασθαι κἀμοὶ καὶ σωτῆρα, μνησθέντα κατὰ καιρὸν τῶν σαυτοῦ λόγων καὶ τῆς ἐπαγγελίας ἐκείνης, ἣν πρὸς ἡμᾶς τοὺς ἀναξίους ἐποιοῦ τότε, τῷ βίῳ καὶ τῇ σαρκὶ περιὼν ἔτι· Θεός, λέγων, ἀξίως ἀμείψεταί σου τὸν ὑπὲρ ἀληθείας καὶ τοῦ καλοῦ ζῆλόν τε καὶ τὴν ἔνστασιν. Ταῦτα χαριέντως πως, ὅπερ ἔφην, καὶ οἷον ὑπομειδιῶσι τοῖς χείλεσι, τῷ περιόντι τοῦ πόθου τε καὶ τῆς πίστεως δεομένῳ τἀνδρί, τῶν τις προσεδρευόντων ἐκεῖ θεραπείας χάριν ἐξ ἀλλοδαπῆς ἥκων, μοναχὸς τὴν τάξιν, βάρβαρος μὲν τὴν φωνὴν καὶ τὸ ἦθος, ἀγαθὸς δέ τις μάλα καὶ σπουδαῖος τὸν τρόπον, τὸν ὀφθαλμὸν ἐπιβαλὼν ἐκείνῳ,

καὶ τὸ ἦθος καὶ τὸν τῆς εὐχῆς ὑποπτεύσας τρόπον, ὡς οὐ καλῶς δῆθεν, οὐδὲ μετὰ σπουδῆς γεγενημένα καὶ κατανύξεως, πρῶτα μὲν ἤρετο τὸν ἄνθρωπον, τί ποτε ἄρα καὶ πάσχει· ὡς δὲ τὸ πάθος ἐκεῖνος τὴν χεῖρα προτείνας ὑπέδειξεν, Εἶθ' οὕτω κάκιστα νοσῶν, ὁ μοναχὸς αὖθις ἔφη, καὶ τὰ αἴσχιστα πάσχων, οὐ δάκρυσι καὶ κοπετοῖς τὴν πρὸς τὸν ἅγιον ἱκεσίαν συνείρεις, ἀλλ' οὕτως ἀκκιζόμενός τε καὶ θρυπτόμενος τούτῳ προσέρχῃ, καὶ ὡσανεὶ παίζων; Ὁ δ' ὑπολαβών, Οἶδε, φησί, Πάτερ, οὗτος, τὸν ἅγιον ὑποδείξας, μεθ' οἵων ἐγὼ τῶν λογισμῶν καὶ τῆς διανοίας τε καὶ τῆς διαθέσεως τὴν παρ' αὐτοῦ βοήθειαν καὶ τὴν θεραπείαν αἰτοῦμαι. Ταῦτ' εἰπών, φησὶν ὁ ἀνὴρ πρὸς ἐκεῖνον, οἴκαδε ἐπανήκω, καὶ τῆς νυκτὸς προσαγούσης, τρέπομαι πρὸς ὕπνον συνήθως, τῇ τοῦ μεγάλου συνὼν μνήμῃ καὶ τῇ πρὸς αὐτὸν ἱκεσίᾳ τῆς διανοίας. Ἐπεὶ δὲ τῆς νυκτὸς πρὸς ὄρθρον ἰούσης ὁ καιρὸς εἴς τε τὸν ἱερὸν νεὼν καὶ τοὺς θείους ὕμνους ἐκάλει συνήθως, ἐξανίσταμαι τῆς στρωμνῆς, καὶ τὴν παιδίσκην ὕδωρ αἰτήσας, ἐφ' ᾧ τῇ δεξιᾷ τέως ἀπονίψαι τὰ πρόσωπα· ἡ γὰρ ἑτέρα πάλαι πρὸς ταῦτ' ἦν ἀργός, ὃ δήπου καὶ φθάσας ὁ λόγος ἔφη· ἐπεὶ μεταξὺ νιπτόμενος, καὶ τῆς λαιᾶς ἡψάμην, ὡς ἔθος, εὑρίσκω τὸ μὲν πάθος ἐκεῖνο, τῶν καινῶν σου, Χριστέ, θαυμάτων! τῆς χειρὸς δραπετεῦσαν ἀθρόον, ὡς μηδ' ἴχνος αὐτοῦ παραμεῖναι, τὴν δὲ παλάμην ἀκωλύτως τε κινουμένην, καὶ εἰς πυγμὴν κατὰ φύσιν συναγομένην. Ταῦτα κατανοήσας, φῶτά τε παρὰ τῆς παιδίσκης εὐθέως αἰτῶ, καὶ τὴν ὁμόζυγον ἐμαυτοῦ καλέσας, καὶ αὐτῇ τε καὶ τοῖς συνοῦσιν ὑποδείξας τὸ θαῦμα, Θεὸν ἀνυμνοῦντες μετ' ἐκπλήξεως ἦμεν καὶ τὸν μέγαν ἐκείνου θεράποντα. Τί τὸ ἑξῆς; Πρόσεισι μὲν ὁ ἀνὴρ τῇ τοῦ ἁγίου καὶ αὖθις σορῷ, τὴν τῆς μεγάλης ταύτης εὐεργεσίας εὐχαριστίαν ἀποδιδοὺς μετὰ τοῦ προτέρου σχήματος καὶ τοῦ χαρίεντος ἤθους· ὁ δέ γε προῤῥηθεὶς μοναχὸς ἐνιδὼν καὶ αὖθις, καὶ αὖθις ὀνειδίζων ὡσαύτως ἦν, καὶ τὴν διάχυσιν, ὡς ᾤετο, καὶ τὴν περιφρόνησιν ἐγκαλῶν. Ὁ δ' ὑφαπλώσας εὐθέως τὴν ἰαθεῖσαν χεῖρα, καὶ σιωπῶν ἀνακηρύττει τὸ θαῦμα· ἣν κατιδόντι τῷ μοναχῷ καὶ ἐκπλήττεσθαι καὶ κροτεῖν, καὶ φωνῇ διαπρυσίῳ Θεὸν ἐποίει δοξάζειν, καὶ τὸν αὐτοῦ μεγαλύνειν θεράποντα. Εἶτα καὶ τῇ τοῦ ἁγίου προσσχὼν εἰκόνι, Ἐγὼ μέν, ἔλεγεν, ἄνθρωπε τοῦ Θεοῦ, μετ' ἀμφιβόλων τινῶν τῶν λογισμῶν ἐς δεῦρο προσεδρεύων τῷ σῷ θείῳ τάφῳ, καὶ διὰ ταῦτ' ἄρα καὶ τῆς αἰτήσεως, ὡς ἔοικε, καὶ τῆς θεραπείας ἀποτυγχάνων, ἤδη καὶ πρὸς τοὺς οἰκείους ὑποστρέφειν διενοούμην· ἀλλὰ νῦν οὐκ ἀφέξομαί σου καὶ τῶν σῶν χαρισμάτων· οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς σοὺς καμάτους καὶ τὰ μεγάλα ταυτὶ θαύματα· ἀλλ' ἐνταῦθα δὴ καὶ παραμενῶ καὶ προσδιατρίψω, ἕως ἂν καὶ αὐτὸς διὰ σοῦ καὶ τῆς σῆς δηλαδὴ μεσιτείας παρὰ Θεοῦ τῶν αὐτῶν ἐπιτύχω. Καὶ οὐχ ἥμαρτέ γε τοῦ σκοποῦ, καλῶς οὑτωσὶ καὶ κρίνας καὶ δεηθείς· ἀλλὰ καὶ τυγχάνει μάλα ταχέως, καὶ τὴν θεραπείαν κομισάμενος ὡς ἐπόθει, σπουδῇ πρὸς τοὺς οἰκείους ἐπάνεισι. Καὶ δῆλον ἐκεῖθεν· Ἐξ ἐκείνου καὶ γάρ, φησίν, ὁ πρότερος ἰαθεὶς ἐκεῖνος τὴν χεῖρα, καθ' ἑκάστην τῷ

Digitized by Google

A τοῦ μεγάλου προσιόντι μοι τάφῳ καὶ προσκυνοῦντι, καὶ τὴν κατὰ χρέος εὐχαριστίαν ἀποδιδόντι, ὁ μοναχὸς ἐκεῖνος οὐδαμῶς ὤπται· δῆλον ὡς καὶ τῆς θεραπείας τυχὼν, καὶ πορευθεὶς πρὸς τοὺς φίλους· πῶς γὰρ ἄν, φησὶ, μὴ τοῦ ζητουμένου τυχὼν ἐκείνων ἐξέστη καὶ οὕτω ταχέως, ὁ χθὲς ὁμωμοκὼς οὑτωσὶ μηδαμῶς ἀποστῆναι, πρὶν ἢ τῆς εὐχῆς τε καὶ τοῦ ζητουμένου τυχεῖν;

Ἀλλὰ τῆς μὲν ἰδίας Θεσσαλονίκης τε καὶ τῶν αὐτοχθόνων ἢ καὶ τῆς περιχώρου, καὶ δὴ καὶ τῶν ἐπηλύδων οὕτω θαυμαστῶς ὁ θαυμαστὸς Γρηγόριος καὶ ἰατρός ἐστι καὶ σωτὴρ καὶ κηδεμὼν ἐν τῷ καλοῦντι τῆς χρείας, τῶν δ' ὑπερορίων ὡς ἀγνώτων τε καὶ μακρὰν ὄντων ἐῤῥαστωνευμένως πως ἴσχει καὶ κατολιγωρεῖ; πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ μίαν οὖσαν B εἰδὼς τὴν ἀπανταχοῦ γῆς Χριστοῦ Ἐκκλησίαν, ἧς αὐτὸς καὶ περιὼν ἔτι τῷ βίῳ πάσης ὁμοτίμως προέστη, καὶ τὴν ψυχὴν, κατ' ἐκείνου δηλαδὴ μίμησιν, ὑπὲρ ἐκείνης εὐψύχως τέθεικε, κἀκεῖ τοῖς καλοῦσιν αὐτὸν ὡσαύτως καὶ σωτὴρ καὶ ῥύστης καὶ ἰατρὸς ἀνιάτων παθῶν ὁρᾶται γιγνόμενος. Καὶ μάρτυρες ἀψευδεῖς τοῦ λόγου Θετταλοὶ καὶ Ἰλλυριοὶ, καὶ οἱ ἐκεῖθεν τὰ τοῦ μεγάλου θαυμαστῶς διακομίζοντές τε καὶ διηγούμενοι θαύματα. Καὶ τί χρὴ λέγειν; ὅπου γε καὶ εἰκόνας ἐκεῖ γράφουσι τούτου, καὶ πυκνὰ τὴν αὐτοῦ πανηγυρίζουσι μνήμην σὺν μεγάλῃ τῇ πίστει καὶ τῷ τῆς ψυχῆς περιφανεῖ πόθῳ, καὶ νεὼς σπεύδουσιν ἀνεγείρειν, ὡς ἐνί τινι τῶν ἀποστόλων τε καὶ Πατέρων, καὶ κήρυκα τῆς εὐσεβείας, καὶ προστάτην C τῆς Ἐκκλησίας, καὶ διδάσκαλον καὶ φύλακα τῶν ὀρθῶν ταύτης δογμάτων μετὰ πολλοῦ γε τοῦ θαύματος ἀνακηρύττουσι τὸν μέγαν; ἐκεῖ πάντες ἐξ ἀντιῤῥόπου χωροῦντες ὡσανεὶ τῇ τούτου πατρίδι, καὶ Σαμαρείτας μιμούμενοι καλῶς τοὺς ἀλλογενεῖς καὶ μικροὺς ἐκείνους, καὶ τὴν πιστὴν Χαναναίαν, καὶ ὅσοι τοῦ κατ' αὐτοὺς καταλόγου τὴν μεγάλην Ἱερουσαλὴμ παρευδοκιμοῦντας τῇ πρὸς Χριστὸν πίστει, καὶ τὸν τῦφον καὶ τὸ κενὸν φύσημα καὶ τὸν φθόνον τῶν ἐν αὐτῇ Γραμματέων καὶ Φαρισαίων. Καὶ δέδοικα, σφόδρα δέδοικα, μὴ καὶ πρὸς αὐτὴν ταύτην ἐκεῖνά που τὰ τοῦ Δεσπότου φρικτῶς ἐπ' ἐσχάτων ῥηθείη· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτενοῦσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς σέ [17]· » καὶ ὅτι, « Πολλοὶ D ἥξουσιν ἐξ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω [18]. » Δι' ἃ δήπου καὶ ὁ τοῦ Χριστοῦ μιμητὴς οὗτος τοῖς οὕτω λαμπρῶς πιστεύουσιν ὀξέως ἐφίσταται, καὶ πληροῖ τὰς αἰτήσεις, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν, ἐξ ὧν καὶ ἡμᾶς ἀναγκαῖον ἑνός τινος ἢ δυοῖν ἀρτίως μνησθῆναι.

Γυναικί τινι τῶν εὐπατριδῶν καὶ κοσμίων, Ζωῇ τοὔνομα, δριμεῖά τις ὀδύνη προσγίνεται κατὰ τῶν ἐγκάτων, οὕτω τοι σφοδρῶς ἐκεῖνα πιέζουσα καὶ στροβοῦσα, ὡς καὶ ὀχετοὺς αἱμάτων ἐκεῖθεν κάτω καθ' ἑκάστην προχεῖσθαι. Πέμπτος ἐνιαυτὸς ἦν οὕτω βαρύτατα πασχούσῃ τῇ γυναικὶ, καὶ φάρμακον ἦν οὐδαμοῦ τῆς νόσου, καὶ ἰατρῶν ἐξηλέγχετο πᾶσα τέχνη, πλεῖστα μὲν ἐπιτηδεύουσα καθ' ἑκάστην, ἀνύουσα δὲ τὸ παράπαν οὐδὲν, ὡς καὶ τὸ ζῆν ἀπαγορεῦσαι τῇ κειμένῃ καθάπαξ· οὐκ ἂν δὲ καὶ πρὸς τοσοῦτον ἀντέσχε διάστημα χρόνου, διὰ παντὸς οὕτω δαπανωμένη τὴν σάρκα, μὴ σώματος εὐσθενοῦς τε καὶ ῥωμαλέου τυχοῦσα, καὶ πρὸς τροφὴν ἐῤῥωμένας ἔχουσα τὰς ὀρέξεις, κἀντεῦθεν τῆς φύσεως ἰσχυούσης, πρὸς τὸν τοσόνδε τοῦ νοσήματος παραβάλλεσθαι πόλεμον· ἀλλ' ἡττᾶται κατ' ὀλίγον τῷ μήκει κατεργασθεῖσα τοῦ χρόνου, καὶ κλινοπετὴς ἦν καὶ ἀκίνητος σχεδὸν ἐξ ἐκείνου, ἐνιαυτοὺς ὅλους δύω πρὸς τοῖς πέντε τοῖς προλαβοῦσι. Τῆς δὲ φήμης τῶν τοῦ μεγάλου Γρηγορίου θαυμάτων ὁσημέραι λαμπρῶς αἰρομένης, ὅσα τέ φημι παρ' ἐκείνοις, καὶ ὅσα παρὰ τῇ μεγάλῃ Θεσσαλονίκῃ παραδόξως τελεῖται· ἐπεὶ καὶ ἡ νοσοῦσα τῶν λαλουμένων ἦν ἐν αἰσθήσει, πρὸς τὴν ἐνεργοῦσαν ἐν ἐκείνῳ θείαν δύναμιν πιστῶς καταφεύγει, καὶ τοὺς πρεσβυτέρους προσκαλεσαμένη τῆς Ἐκκλησίας, κατὰ θείους δηλονότι χρησμοὺς, πρῶτα μὲν εὐχὴν ἱερὰν ἐλαίου κοινῇ τελέσαι παρασκευάζει, εἶτ' ἐπὶ τέλει ταύτης καὶ πρὸς τὸν θεῖον Γρηγόριον εὐχήν τε καὶ δέησιν ὑπὲρ αὐτῆς θέσθαι· ἧς δὴ καὶ τελουμένης ὑπὸ τῶν πρεσβυτέρων συνήθως, ἐπεὶ μὴ καὶ αὐτὴ συνίστασθαι καὶ συνᾴδειν εἶχε τὰ θεῖα τοῖς ὑπὲρ αὐτῆς εὐχομένοις καὶ ψάλλουσι, κλινοπετής τε καὶ ἀκίνητος οὖσα, κἀκεῖθεν ἐδεῖτο κειμένη θερμῶς τοῦ ἁγίου, καὶ τὴν παρ' ἐκείνου πιστῶς ἐξεκαλεῖτο χάριν καὶ τὴν βοήθειαν· καὶ, ὢ τῶν παραδόξων σῶν ἔργων, Χριστὲ, καὶ θαυμάτων! ἡ χρόνον ἤδη τοσοῦτον ἐκδαπανωμένη τὰς σάρκας, καὶ παρειμένη τις καὶ σχεδὸν ἀκίνητος γεγονυῖα, οὐ μεθ' ἡμέραν, οὐ μετὰ μικρᾶς τινος ὥρας διάστημα, ἀλλ' εὐθὺς ἐκείνων ἔτ' εὐχομένων τε καὶ ψαλλόντων, ἀθρόα τῆς κλίνης ἐξανίσταται, πάντων ὁρώντων, εὐσθενὴς, ἐῤῥωμένη τὸ σῶμα, μηδ' ἴχνος ἐν ἑαυτῇ σχεδὸν τοῦ χρονίου πάθους ἐκείνου καὶ τῆς νοσερᾶς ἕξεως φέρουσα· ὡς καὶ τοὺς ὁρῶντας ἅμα καὶ τοὺς ἀκούοντας ὑπερφυῶς καταπλήττειν ἔχειν τὸ θαῦμα, καὶ μηδὲν ἔλαττον τοῦτ' ἔχειν ἐκείνου τοῦ παρ' αὐτοῦ Χριστοῦ περὶ τὸν παράλυτον τὸ πρὶν ὑπερφυῶς διενεργηθέντος, εἴτε τὸν ἐν Καπερναοὺμ λέγει τις, εἴτε τὸν ἐν τῇ προβατικῇ κολυμβήθρᾳ, πλὴν ὅσον ἐκεῖ μὲν αὐτὸς δι' αὑτοῦ, ἐνταῦθα δὲ διὰ Γρηγορίου τοῦ μαθητοῦ καὶ φίλου τῆς κλίνης τε καὶ τοῦ χρονίου πάθους ἀθρόον ὡσαύτως τὴν νοσοῦσαν ἀνίστη.

Ἐντεῦθεν οἱ θεοφιλέστεροί τε καὶ προὔχοντες τῶν ἐκεῖ, καὶ μάλιστα τῶν εἰς ἱερέας τελούντων, εἰς ταυτὸ συνιόντες, εἰκόνα τε ἱερὰν ἱστῶσι τῷ Γρηγορίῳ, καθὰ δὴ καὶ φθάσας εἰρήκειν, ἑορτήν τε λαμπρὰν καὶ πάνδημον ἄγουσι τῆς αὐτοῦ τελειώσεως τὴν ἡμέραν, καὶ νεὼν αὐτῷ οἷα δὴ καὶ Χριστοῦ λαμπρῷ μαθητῇ σπεύδουσιν ἀνεγείρειν. Οὐ συνόδους μεγίστας καὶ κοινάς τινας ἀναμείναντες ψήφους ὥστ' ἐκεῖνον ἀνακηρύξαι, οἷς καὶ χρόνος καὶ ὄκνος καὶ μέλησις καὶ πλεῖστά τινα τῶν ἀνθρωπίνων ἔστιν

[17] Matth. XXIII, 37. [18] Matth. VIII, 1.

ὅτι προσίσταται, ἀλλὰ τῇ ἄνωθεν ψήφῳ τε καὶ ἀνακηρύξει, καὶ τῇ λαμπρᾷ καὶ ἀναμφιβόλῳ τῶν πραγμάτων ὄψει καὶ πίστει καλῶς ἀρχεσθέντες.

Μοναχός τις τῆς αὐτῆς ὁρμώμενος πόλεως, τὸν τρόπον ἐπιεικής, πολιὸς τὴν τρίχα, τὴν κλῆσιν Ἐφραὶμ, ἐν τῇ κατὰ Θεσσαλονίκην Ἐκκλησίᾳ πρὸ βραχέος γενόμενος, τοιάδε τινὰ δημοσίᾳ στὰς περὶ ἑαυτοῦ διηγήσατο· Ἐμοί, φησί, κατά τινα χρείαν ἐν Θετταλίᾳ πρὸ δύο τούτων ἐνιαυτῶν γενομένῳ, ἐν τῷ ὑποστρέφειν ἐκεῖθεν τοιοῦτό τι συμβέβηκε· σμικρᾶς μοι τινὸς ἐμπαρείσης ἀκάνθης τῷ δεξιῷ ποδὶ κατὰ τὴν ὁδὸν, ἐφ' ἡμέρας τινὰς ἦν ἐκεῖνον ἀλγῶν· εἶτ' ἐκεῖθεν, οὐκ οἶδ' ὅπως, ἡ ὀδύνη μεταπεσοῦσα πρὸς τὸν εὐώνυμον, ἀφόρητος ἦν· ἀπεῖργε γὰρ πρὸς τοῖς ἄλλο.. κατὰ μικρὸν καὶ τροφῆς καὶ ὕπνου. Ἡμερῶν δ' ἐν τούτοις παρελθουσῶν οὐκ ὀλίγων, φλεγμαίνει μὲν ὁ ποῦς, καὶ ἀσκοῦ δίκην ἐξογκοῦται, εἶτα καὶ εἰς ὀπὰς τοῦ οἰδήματος διατρηθέντος πλείους ἢ τετταράκοντα, ὧν καὶ τὰς οὐλὰς πάρεστιν ὁρᾷν δήπουθεν τῷ λόγῳ προσμαρτυρούσας μοι, ἕλκη πανταχόθεν ἐξέῤῥει, καθάπερ ἀπὸ πηγῆς τινος τοῦ ποδός· ἐνιαυτὸς πρὸς τῷ ἡμίσει παρῄει καὶ τὰ τῆς φλεγμονῆς οὐκ ἐνεδίδου. Καὶ ἰατρεία μὲν ἀργὸς πρὸς τὸ πάθος πᾶσα, καὶ κενὰ πάντα ὁμοῦ φάρμακα· ἐγὼ δ' ἀπογινώσκων ἐμαυτοῦ διὰ ταῦτα, καὶ τὴν κατώδυνον ἐκείνην ζωὴν πολλάκις ἀπολεγόμενος. Τὸ δὲ μετὰ τοῦτο τί; Ἀκούω καὶ αὐτὸς παρά τε τῶν αὐτοχθόνων, καὶ δὴ καὶ τῶν ἐκ Θεσσαλονίκης ἰόντων, τὰ τοῦ θαυμαστοῦ Γρηγορίου πλεῖστα καὶ ἐξαίσια θαύματα· πιστεύω τοῖς ἀκουσθεῖσι μάλα τρανῶς· στῦλον ἐκεῖνον ἀνακηρύττω τῆς Ἐκκλησίας, καὶ διδάσκαλον εὐσεβείας, καὶ πάσης ἁγιωσύνης καὶ ἀρετῆς καταγώγιον· καὶ πρὸς τούτοις, σημείων τε καὶ θαυμάτων θείων ἐργάτην, καὶ ἀποστολικῆς ἰσχύος τε καὶ χάριτος ἔμπλεων· εἶτα καὶ θερμῶς ὑπὲρ αὐτὸς ἐμαυτοῦ δεηθεὶς καὶ τοῦ πάθους, καὶ κλινοπετής, καθ' ὅσον οἷός τε ἦν, ἐπευξάμενος, καὶ τὴν τοῦ ποδὸς μετὰ θερμῶν δακρύων ὑγείαν αἰτήσας, ὡς ἂν καὶ αὐτὸς ἐῤῥωμένως ἔχων καὶ βαδίζειν ἀπταίστως δυνάμενος, εἰς Θεσσαλονίκην τε τὴν αὐτοῦ παραγένωμαι, καὶ τὸν ἱερὸν προσκυνήσας ἐκείνου τάφον, κῆρυξ ἐνταῦθα τῶν μεγάλων γένωμαι θαυμασίων, ὧν ἐν ἡμῖν Χριστὸς διὰ τῆς αὐτοῦ προστασίας ἐργάζεται· ταῦτα καὶ τὰ τοιαῦτα μετὰ πολλῆς τῆς κατανύξεως δεηθεὶς, ἐπεὶ καὶ νὺξ ἤδη καὶ ὕπνου καιρὸς ἦν, εἰς ὕπνον καὶ αὐτὸς μετὰ τὴν εὐχὴν ταύτην τρέπομαι· καὶ ἰδοὺ μοναχός τις τὰ συνήθη τοῖς ἀρχιερεῦσι περικείμενος σύμβολα, τὸν ἐπὶ κεφαλῆς λέγω σταυρὸν καὶ τὴν ἐπωμίδα τὴν ἱεράν, εἰσιὼν τὸν οἰκίσκον ἐδόκει τε προσαγορεύειν ἡμᾶς, καὶ παρακαθίσας διερωτᾷν ὅπως ἔχοι μοι. Ἐμοῦ δὲ τὸν τοῦ ποδὸς ὑποδείξαντος ὄγκον καὶ τὰς πληγάς, καὶ τὰς ἐκεῖθεν ἐξῆς προσθέντος ὀδύνας, καὶ τὴν μακρὰν ταλαιπωρίαν ἐκείνην, ἐκεῖνος εὐθὺς ἀμφοτέραις λαβόμενος τοῦ ποδὸς, καὶ ὥσπερ τὸ οἴδημα καταστέλλων, καὶ τὸ ἕλκος συνωθῶν πρὸς τὰ ἔξω, Ἀλλὰ μηκέτι λυποῦ, φησίν· οὐκέτι καὶ γὰρ ἀνιαρὸν ἔχεις οὐδοτιοῦν. Καὶ ὁ μὲν ταῦτα φιλανθρώπως εἰπών τε καὶ πράξας ἀπῄει· ἐμὲ δ' εἶχεν ἄρ' εὐθέως μετὰ τὴν ὄψιν ὕπνος ἡδύς

A τε καὶ μαλακὸς, καὶ οἷος οὐδέπω πρότερον. Ἐπεὶ δὲ καὶ ἡ νὺξ περὶ ὄρθρον ἦν, καὶ τὰ τῆς ἑωθινῆς εὐχῆς τε καὶ ψαλμῳδίας ἐτελεῖτο τοῖς μοναχοῖς, ἄπειμι δὴ καὶ αὐτὸς παρὰ τὸν νεὼν, βακτηρίᾳ τινὶ στηριζόμενος· θαῦμα τοῖς ὁρῶσιν ἀθρόον, καὶ οἷον οὐδ' ἄν τις αὐτὸς προσεδόκησεν· ἐπεὶ δὲ καὶ πρὸς τῶν μοναχῶν ἐρωτώμενος, τὸ θαῦμα καὶ τὴν τῆς καινῆς θεραπείας ἐξεῖπον αἰτίαν, καὶ μᾶλλον ἐκπλήττεσθαι καὶ θαυμάζειν ἐκείνους ἐποίουν ἀκούοντας. Ἡμέραι παρῆλθον ὀκτὼ μετὰ τοῦτο, καὶ πρὸς τὴν ἀρχαίαν ὑγείαν καὶ τὴν ἕξιν ἐπανιὼν καθαρῶς, παρὰ τὸν θεῖον ἐκεῖνον νεὼν ἔρχομαι, ἔνθα δὴ καὶ ἡ τοῦ θαυμαστοῦ Γρηγορίου εἰκὼν ἱερῶς ἵδρυται, καὶ προσκυνήσας καὶ προσπεσὼν, καὶ τὴν ὀφειλομένην ἀποδεδωκὼς εὐχαριστίαν, εἰς τὸ φροντιστήριον αὖθις

B καὶ τοὺς ἡμετέρους ἐπάνειμι. Ἐπεὶ δὲ καὶ τὴν εὐχὴν ἔδει καὶ τὰς συνθήκας τὰς πρὸς τὸν καινὸν ἰατρὸν ἐκπληροῦν, Ὁ μὲν καιρὸς, πρὸς ἐμαυτὸν ἔλεγον, ἤδη περὶ τὰς χειμερίους τροπὰς, καὶ διὰ τοῦτο καὶ προσάντης τις εἰς ὁδοιπορίαν καὶ δύσκολος, καὶ μάλιστα γέρουσι κατ' ἐμέ· διὸ τὴν μὲν εἰς Θεσσαλονίκην ἀπάγουσαν ἐατέον τό γε νῦν εἶναι, τοῦ καιροῦ μὴ διδόντος, καθάπερ ἔφην· ἔξεστι δὲ καὶ ἄλλως τὴν πρὸς τὸν μέγαν ὑπόσχεσιν διαθέσθαι, καὶ οὕτω γε τὰς συνθήκας μὴ παραβῆναι· συγκαλέσω καὶ γὰρ τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ δὴ καὶ τοὺς ὁμοταγεῖς μοναχοὺς, καὶ κοινὴν ἐκτελέσαντες ἑορτὴν τῷ μεγάλῳ, καὶ τὰ εἰκότα πανηγυρίσαντες, οὕτω καὶ Θεῷ τὸ χρέος, καὶ τῷ ἐκείνου θεράποντι τὴν

C ὀφειλομένην εὐχαριστίαν ἅμα καὶ τὴν τιμὴν ἀποδώσομεν. Ὁ μὲν οὖν Ἐφραὶμ ταῦτα καὶ καθ' ἑαυτὸν λογισάμενος, καὶ πρὸς τοὺς συνόντας εἰπὼν, τὰ τῆς ἑορτῆς ἔβλεπεν ἤδη, καὶ τοῖς ὑπηρέταις μάλα πλουσίως τε καὶ λαμπρῶς παρασκευάζειν ἐκέλευεν· ἀλλ' οὐ συνεδόκει καὶ τῷ τῆς πανηγύρεως αἰτίῳ ταυτί· οὐδ' ἐν ἐκείνοις ἐβούλετο μόνοις περιγραφῆναι τὸ θαῦμα, καὶ περαιτέρω μὴ προελθεῖν, ἀλλ' ὁδεῦσαι μᾶλλον καὶ κηρυχθῆναι καὶ πόῤῥω τὴν χάριν, ἵνα καὶ διὰ τούτων, ὥσπερ δὴ καὶ τῶν ἄλλων, Θεὸς πανταχοῦ δοξάζηται· καὶ ὁ τρόπος οἷος. Οὔπω τῆς ἡμέρας ἐκείνης πρὸς τέλος ἰούσης, φρίκη τε μεγίστη καὶ πυρετῷ λαύρῳ κάτοχος ὁ μοναχὸς γίνεται· ὄγκος τε τοῦ ποδὸς ἐπὶ τούτοις καὶ ὀδύναι, καθάπερ ἐξ ἄλλης ἀρχῆς, κατ' οὐδὲν τῶν προτέρων ἐλάττους, καὶ

D ὁ πάσχων αὐτίκα τοῦ τῆς πληγῆς αἰτίου συνεὶς, ἡμαρτηκέναι τε περὶ τὸν μέγαν διωμολόγει, τὰς πρὸς αὐτὸν συνθήκας ἐξ ἀπροσεξίας ψευσάμενος, καὶ πλείσταις ἱκετείαις τὴν συγγνώμην αὖθις ᾐτεῖτο, καὶ ταχίστην τὴν τῶν ὑπεσχημένων ἐκπλήρωσιν ἐπηγγέλλετο· οἷς δήπου καὶ ἡ ῥῶσις ἐξαισίως ἐπηκολούθει, καὶ τὸ δεινὸν αὖθις αὐθημερὸν διελύετο· καὶ βραχύ τι διαλιπὼν, οὕτως ἐῤῥωμένως καὶ τοῦ ποδὸς καὶ παντὸς ὁ Ἐφραὶμ ἔσχε τοῦ σώματος, ὡς καὶ ποσὶ τοῖς ἑαυτοῦ χρώμενος παρὰ τὴν τοῦ μεγάλου πόλιν ἐλθεῖν, τήν ἱεράν τε προσκυνῆσαι σορὸν, καὶ τὰ ἥδιστα περιπτύξασθαι, καὶ οὕτως ἐπ' ἐκκλησίας, καθὰ δὴ καὶ προὔφην, οἷον ἐνθουσιῶν, ἀνακηρύξαι τὰ τοῦ μεγάλου μέγιστα θαύματα.

Τὰ δὲ περὶ τὸν ἐκ Βεῤῥοίας Τζιμισχῆν τοῦ μεγά-



Digitized by Google

λου παραλιπόντες τῷ λόγῳ καινὰ θαύματα, πῶς οὐχὶ μετὰ τοῦ λόγου καὶ τὸ τῆς Ἐκκλησίας κοινὸν ζημιώσομεν; ὅσῳ καὶ πολέμιος ταύτης ἐκεῖνος ἄνωθεν ὢν, καὶ φίλος καὶ μαθητὴς γέγονε δι' αὐτά φημι ταῦτα, καὶ καλῶς οὕτω καὶ γνησίως πρὸς αὐτὴν ἔχων, τὸ τελευταῖον πρὸς Θεὸν ἄπεισι. Λεγέσθω τοιγαροῦν ἐν ἐπιτόμῳ κἀκεῖνα, καὶ ὑπ' ὄψιν οἷον ἀγέσθω καὶ πιστοῖς ὁμοῦ καὶ ἀπίστοις, καὶ μάλιστα τούτοις. Ἐκεῖνος τοιγαροῦν τῶν εὖ γεγονότων καὶ συνετῶν ὤν, περὶ ἓν τοῦτο κακῶς τε καὶ ἀναξίως ὦπται περὶ αὐτοῦ βουλευσάμενος· Ἀκινδύνῳ καὶ γὰρ τῷ κάκιστ' ἀπολουμένῳ πάλαι μαθητεύσας ἐν τῇ πατρίδι Βεῤῥοίᾳ, καὶ μικρὰ μέν τινα τῶν τῆς γραμματικῆς προτελείων ὑπ' αὐτοῦ διδαχθείς, τὴν δὲ τῶν αἱρέσεων πονηράν τε καὶ βορβορώδη κύλικα πᾶσαν ἐς ὕστερον παρ' αὐτοῦ ἐκπιών, ἄλλος Ἀκίνδυνος τὴν δυσσέβειαν ἄντικρυς ἦν· πλεῖστα μὲν καὶ μέγιστα παρά τε τοῦ θαυμαστοῦ Γρηγορίου περιόντος ἔτι τῷ βίῳ κατὰ Θεσσαλονίκην, καὶ δὴ καὶ κατὰ τὴν Κωνσταντίνου, παρ' ἡμῶν τε καὶ τῶν ἐνταῦθα Πατέρων τε καὶ διδασκάλων περὶ θείας ἐνεργείας καὶ χάριτος πολλάκις ἀκηκοώς, ἀναίσθητος δ' ἐπὶ μακρὸν τῶν ἱερῶν ἐκείνων διαγεγονὼς λόγων, καὶ τὴν ἔνστασιν καὶ τὴν ἔριν καὶ τὸ ψεῦδος ἐκοντὶ κατὰ τῆς ἀληθείας αἰεὶ προϊσχόμενος, ὡς καὶ γράφειν καὶ λογογραφεῖν δῆθεν κατὰ τῆς εὐσεβείας μὴ εἰδώς, ἀποστολικῶς εἰπεῖν, καὶ αὐτὸς κατὰ τὸν οἰκεῖον μυσταγωγόν, μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται. Ἔμελλε δὲ ἄρα καὶ τοῦτον ἡ θεία δεξιὰ μεταπλάττειν ἔσχατον τοῖς μεγάλοις τουτοισὶ θαύμασι Γρηγορίου, καὶ ταῖς σωματικαῖς εὐεργεσίαις θαυμαστῶς συνθεραπεύειν καὶ τὴν ψυχήν· ἔσχε γὰρ οὕτω.

Παιδίον ἄῤῥεν ἦν τῷ ἀνδρί· τούτῳ νόσος τις προσβαλοῦσα, πρὸς θάνατον ἤπειγεν· ἔκειτο τοιγαροῦν, παρὰ πάντων ἀπαγορευθείσης αὐτῷ τῆς ζωῆς, πνέον ἤδη τὰ λοίσθια. Ὁ μέντοι πατὴρ ὑπὸ τῆς λύπης ὥσπερ καταπτοηθείς, ὑπεχώρει μέν, καὶ αὐτὴν πως τὴν τοῦ παιδὸς ἀποτρεπόμενος θέαν, καὶ τὸ προσορᾷν αὐτὸν τῆς ψυχῆς χωριζόμενον· καθ' ἑαυτὸν δὲ καθεσθεὶς αὐτοῦ που, καὶ τοῖς μὲν γόνασι τὴν ἑαυτοῦ δεξιάν, τῇ δεξιᾷ δ' αὖθις τὴν κεφαλὴν ἐπιθείς, ὁποῖα δὴ τὰ τῶν πενθούντων ἤθη καὶ σχήματα, νῦν ἔλεγεν ὑποψιθυρίζων καθ' ἑαυτόν, Εἰ θαυμάτων ἦν ἀληθῶς ἐργάτης, ὥς φασιν, ὁ Γρηγόριος, καὶ τὰ τοιαῦτα πορίζειν δυνάμενος, ἔδειξεν ἂν τοῦτο καὶ ἐφ' ἡμῖν, τοῦ θανάτου τε καὶ τῆς νόσου διασώσας τὸν υἱὸν κινδυνεύοντα. Ταῦτα σὺν σφοδρᾷ τινι λογιζομένῳ τῇ λύπῃ, καὶ πειράζοντι μᾶλλον ἢ δεομένῳ, καὶ ὕπνος τις ὑπὸ πολλῆς τῆς ἀδημονίας εὐθὺς ἐπιγίνεται· καὶ ὁ ὕπνος τὸν θεῖον αὐτῷ παρεδείκνυ Γρηγόριον, ὢ τοῦ καινοῦ θαύματος! τὴν ἱεράν τε στολὴν περιβεβλημένον, καὶ φιλανθρώπως πρὸς τὸν μηδ' εὐξάμενον, μηδὲ πιστεύσαντα τέως οὑτωσὶ λέγοντα· Ἥκομεν, ὡς ὁρᾷς, ἐπειδή γε αὐτὸς ἡμᾶς κέκληκας· ὁ δ' εὐθέως τὸν βραχὺν ἐκεῖνον ἐκτιναξάμενος ὕπνον, καὶ παρὰ τὸ κινδυνεῦον ἤδη παιδίον γενόμενος, οὐ τοῦ προσδοκηθέντος θανάτου μόνον, ἀλλὰ καὶ τῆς βαρείας ἐκείνης νόσου τῇ τοῦ ἐπιστάντος θείᾳ δυνάμει παραδόξως εὗρεν ἀνώτερον. Τοῦτο παραδόξως οὑτωσὶ γεγονός, τῇ μὲν Ἐκκλησίᾳ προσάγει τὸν ἄνδρα, τὸν ὀρθὸν τῆς εὐσεβείας ἀσπασάμενον λόγον, καὶ φίλον αὐτῆς τε καὶ Γρηγορίου τοῦ μεγάλου προστάτου ταύτης ἀντ' ἐχθροῦ χρηματίσαντα· κατὰ δὲ τῶν ἐναντίων ὁπλίζει, καὶ περιφανῆ τῆς Βαρλαάμ τε καὶ Ἀκινδύνου πονηρᾶς πλάνης πολέμιον εὐθὺς ἀναδείκνυσιν· ὅθεν καὶ τῷ πυρὶ παραδοὺς τὰ κατὰ τῆς ὀρθῆς δόξης, καὶ δὴ καὶ τῶν ταύτης προμάχων πάνθ' ὁμοῦ βιβλία τε καὶ συγγράμματα, τὴν ὑγιᾶ πίστιν ἀπταίστως ὁμολογεῖ, καὶ ταύτῃ μετὰ χρόνον τῶν ἐνταῦθα λυθείς, πρὸς Θεὸν καλῶς συναπέρχεται.

Χρόνος οὐ συχνός τις παρῄει μετὰ τὴν τελευτὴν τοῦ ἀνδρός, καὶ νόσῳ βαρείᾳ τὸ προῤῥηθὲν παιδίον αὖθις κάτοχον γεγονός, ἔκειτο προσδοκῶν καὶ πάλιν ὁμοίως τὸν θάνατον· καὶ ἐπεὶ πᾶσα μὲν περιῄρητο ἀνθρωπεία ἐλπίς, βοήθεια δ' ἦν οὐδαμοῦ, πρὸς τὸν συνήθη καὶ πάλιν ἰατρὸν ἡ μήτηρ δι' εὐχῆς καταφεύγει, καὶ τὴν ἐκεῖθεν ἐξαιτεῖ περιπαθῶς θείαν βοήθειαν· καὶ ὃς αὐτίκα παρῆν, οὐδὲν ἀναδύς, οὐδ' ἀναβαλόμενος· καὶ ὑπνούσῃ τῇ γυναικὶ παραστάς, Θάῤῥει, φησί, γύναι· οὐ γὰρ ἀποθανεῖταί σου τὸ παιδίον. Καὶ ὁ λόγος ἦν ἔργον εὐθύς· καὶ μετὰ τοῦ προσδοκηθέντος θανάτου καὶ ἡ νόσος εὐθέως ἀπῆν, καὶ πρὸς ὑγείαν ὁ νοσῶν ἐπανήρχετο.

Προσκείσθω καὶ τρίτον ἐφεξῆς τοῦ μεγάλου θαῦμα κατὰ τὸν οἶκον τούτου δὴ τοῦ Τζιμισχῆ γεγονός, ἵν' ἔχοιμεν ἔτι κρεῖττον εἰδέναι, πῶς ὁ τοῦ Χριστοῦ μιμητὴς καὶ φίλους ἤδη γεγονότας τοὺς πρὶν πολεμίους πλουσίως ἄγαν ἀμείβεται. Νόσος ἐπιγίνεται τῇ ἀδελφῇ τῆς αὐτοῦ γυναικός, καὶ ἡ νόσος φοβερῶς ἠπείλει τὸν θάνατον· τῶν γοῦν ἀνθρωπίνων ἀπογνοῦσα πάντων ἡ ἀδελφή, ἐπὶ τὴν θείαν μόνην δεῖν ἔγνω καταφεύγειν βοήθειαν· καὶ δὴ νυκτῶν ἀωρὶ τῆς οἰκίας ὡς ἔτυχεν ἐξιοῦσα μόνη, τῷ τῆς ἀδελφῆς δηλαδὴ φίλτρῳ καὶ τῷ περιόντι τοῦ πάθους, ὥσπερ μεθύουσα, μέσην τὴν μεγίστην πόλιν διῄει, ὡς καὶ τοῖς ἐντυγχάνουσι καθ' ὁδόν, μαινομένης τινὸς καὶ ἐξεστηκυίας δόξαν παρέχειν· ἡ δ' ἀπῄει παρὰ τὸ σεπτὸν ἐκεῖνο τῶν μοναστῶν φροντιστήριον· ὃ Χώραν προσαγορεύουσιν ἄνωθεν, εἴτε τὴν τῶν ζώντων Χώραν, δηλαδὴ τὸν Χριστόν, εἴτε τὴν τοῦ ἀχωρήτου Χώραν αὐτοῦ τούτου, φημί, τὴν Παρθένον ἅμα καὶ Θεομήτορα· καὶ πλεῖστα τοῦ Χριστοῦ δεηθεῖσα, καὶ σὺν δάκρυσι πολλοῖς ὑπερευξαμένη τῆς ἀδελφῆς, εἰς τὸν οἶκον ὑποστρέφει καὶ αὖθις. Ἐπεὶ δ' ὁ θάνατος κατὰ μικρὸν προσελαύνων ἀναμφιβόλως ἐπῄει τῇ γυναικί, τὸν Γρηγόριον ἡ ἀδελφὴ καὶ πάλιν ἐκάλει, καὶ τὴν σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ τὴν μεγάλην τοῦ Χριστοῦ δύναμιν. Ὁ δ' αὐτίκα παρῆν ἑπόμενος τῷ Χριστῷ, τῇ γυναικὶ παραστὰς εἰς ὕπνον ἤδη τραπείσῃ· Ἥκομέν σοι, φησίν, ὡς ὁρᾷς, ἐπειδή γε καὶ ἡμᾶς ἐκάλεσας φθάσασα· πλὴν ἔσο κἀκεῖνο, φησίν, εἰδυῖα, ὡς οὐ τεθνήξεται τό γε νῦν ἔχον ἡ σὴ ἀδελφή. Τῆς δὲ γυναικὸς πυθομένης, Τίς δ' ἄρ' ἐστὶν οὗτος, ᾧπερ δὴ καὶ ἀκολουθεῖς αὐτός; Ὁ κοινός ἐστι τῶν ἁπάντων Δεσπότης Χριστός, ὁ ἱερὸς ὑποφθάσας ἔφη Γρηγόριος, ὁ τὸ φροντιστήριον ἐκεῖνο τῆς Χώρας οἰκῶν. Ταῦτα καθ' ὕπνους ἡ γυνὴ μυη-

Digitized by Google

θεῖα, διανίσταται μὲν θαύματος πλήρης, πράγματα [A] δ' ἑξῆς τοὺς μυστικοὺς ἐκείνους καὶ θείους ἰδοῦσα λόγους, Χριστόν τε σὺν τῇ ἀδελφῇ μεγαλύνει, καὶ τὸν ἐκείνου μέγαν ἀνακηρύττει θεράποντα.

Ἑνὸς ἔτι τὸν κατὰ τὸν μέγαν τουτονὶ θαυμάτων μνησθεὶς, καὶ οἱονεί τινα χρυσῆν ἐπιθεὶς κορωνίδα τοῦτο τοῖς φθάσασι, καταπαύσω τὸν λόγον, τῶν πλείστων παραχωρήσας τοῖς ἡμετέροις τούτοις σοφοῖς, θαυμαστῶς ἄνωθεν ἐξηγουμένοις τε καὶ λογογραφοῦσι ταυτὶ, καὶ πρὸ τῶν ἄλλων μάλιστα τἀδελφῷ, περιουσίᾳ λόγου τε καὶ σοφίας ὑψηλῶς ἐκεῖνα συγγραφομένῳ, παρ' οὗ καὶ ἡμεῖς τὰ προῤῥηθέντα δεδεγμένοι, καθ' ὅσον οἷόν τε, τῷ λόγῳ συνήψαμεν, ὡς ἂν μὴ παραλυπεῖν τινας δόξαιμεν, ἀτελῆ πως τοῦτον καταλιμπάνοντες. Ἔχει δὲ οὕτω· Τῶν κατὰ τὴν θαυμαστὴν λαύραν Ἀθανασίου τοῦ πάνυ τις [B] μοναστῶν, ἧς δὴ καὶ προλαβόντες ἤδη πολλάκις ἐμνήσθημεν, ἀνὴρ τῶν τὸν πάντη μοναδικόν τε καὶ ἡσύχιον ἑλομένων βίον, καὶ πλὴν ἑνός τινος ἢ δυοῖν τοῖς πᾶσι σχεδὸν τὸ παράπαν ἀθέατός τε καὶ ἀνομίλητος, πολύς τις ἦν νύκτωρ καὶ μεθ' ἡμέραν δεόμενος τοῦ Θεοῦ ἀποκαλυφθῆναι οἱ τὰ κατὰ τὸν θεῖον Γρηγόριον· οἷά τε λῆξις ἔχει δηλαδὴ τοῦτον, καὶ τίσι τῶν κατ' αὐτὸν εὐηρεστηκότων Θεῷ νῦν ἐκεῖ σύνεστι. Ταῦτ' ἐπὶ πολὺ δεομένῳ, τοιάδε τις ὄψις ἐφίσταται μιᾷ τῶν νυκτῶν. Ἐδόκει τῇ μεγάλῃ τοῦ Κωνσταντίνου πόλει παρὼν ἑστηκέναι μὲν ἔνδον τοῦ θαυμαστοῦ τῆς μεγάλης τοῦ Θεοῦ Σοφίας νεὼ, καὶ ταῦτα μηδ' ἐπιδημήσας ἐκεῖ τὸ παράπαν, μηδ' ὀφθαλμοῖς ἐκεῖνον ποτὲ θεασάμενος· σύνοδον δ' ἱερῶν Πατέρων μέσον προκαθημένην ὁρῶν τοῦ νεὼ, Ἀθα- [C] νάσιος ἦσαν ὁ μέγας Βασίλειός τε ὁμοῦ καὶ Γρηγόριος, καὶ Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, ὁ Νύσσης τε Γρηγόριος αὖθις, καὶ Κύριλλος ὁ σοφὸς, καὶ σὺν τούτοις καὶ μετὰ τούτους ἡ λοιπὴ τῶν θεολόγων ἁγίων πληθύς. Τούτοις τοιγαροῦν διαλεγομένοις ὁ βλέπων προσέχειν σπεύδων τὸν νοῦν, τῶν μὲν προκειμένων ἐκείνοις λόγων τε καὶ τῆς ὑποθέσεως μαθεῖν ἔσχε τι πλέον οὐδέν· ἐπεὶ δὲ καὶ πρὸς τέλος ἐδόκουν εἶναι τῶν λόγων, καὶ συμπεραίνειν τούτοις ἦν ἀναγκαῖον, ὡς ἔθος, ἀποφάσει τινὶ, τότε δὴ καὶ ὁ μοναχὸς κοινῇ τῶν προκαθημένων ἐκείνων πάντων λεγόντων ἤκουεν, ἀδύνατον εἶναι τὸ κῦρος παρ' ἡμῶν ἐπενεχθῆναι, καὶ τοῖς δεδογμένοις τοὺς παρόντας ἐπιψηφίσασθαι, ἣν μὴ καὶ Γρηγόριος ὁ Θεσσαλονίκης δηλαδὴ πρόεδρος τῇ συνόδῳ καὶ τῇ ψήφῳ παρῇ. [D] Καὶ δὴ τῶν τις ὑπηρετῶν εὐθὺς ἀποστέλλεται πρὸς τὴν ἱερὰν ἐκεῖνον μετακαλέσασθαι σύνοδον· ὁ δ' ἀπιὼν πρὸς ἐκεῖνον, ὑποστρέφει μετὰ μικρὸν, ἀδύνατον εἰρηκὼς εἶναι παρεῖναι τανῦν· τούτῳ καὶ διαλέγεσθαι, παρ' αὐτὸν ἑστῶτι τὸν βασιλικὸν θρόνον, καὶ μόνον μόνῳ προσλαλοῦντα τῷ βασιλεῖ. Οἱ δ' ἀπιέναι καὶ πάλιν ὡσαύτως ἐκέλευον, προσμένειν τε τὸ τῆς βασιλικῆς ὁμιλίας πέρας, καὶ οὕτως ἐντυχόντα τῷ Γρηγορίῳ τὰ παρ' αὐτῶν ἐξειπεῖν. Ἄπεισι καὶ αὖθις ἐκεῖνος, καὶ παραμείνας κατὰ τὰ προσταχθέντα, καὶ καιροῦ λαβόμενος τοῦ προσήκοντος, πάντ' ἐκεῖνα τῷ Γρηγορίῳ μηνύει, καὶ ὡς Ἀδύνατον ἐπικυρωθῆναι τῇ συνόδῳ τὰ δεδογμένα, φησὶ, σοῦ γε αὐτοῦ μὴ παρόντος. Ταῦτ' ἐκεῖνος μαθὼν ἔρχεται πρὸς τὴν σύνοδον· οἱ δὲ προσιόντα τοῦτον ἰδόντες, καὶ ὑπανίστανται πάντες, καὶ φιλοφρόνως πῶς ἂν εἴποις ὑποδεξάμενοι, μέσον αὐτῶν τῇ κορυφαίᾳ καὶ ὁμοτίμῳ καὶ σεπτῇ τῶν θεολόγων τριάδι φέροντες συγκαθίζουσι, καὶ οὕτω τὴν μελετωμένην ἐκείνην ψῆφον καὶ τὸ κῦρος τοῖς δεδογμένοις ἐπάγουσιν, ἢ τὰ προψηφισθέντα τε καὶ προκυρωθέντα μᾶλλον τοῖς αὐτῶν τε κἀκείνου λόγοις, εἰς δόξαν αὐτοῦ τε καὶ τῆς Χριστοῦ κοινῆς Ἐκκλησίας, δι' ἑαυτῶν καὶ νῦν ἐκφαίνουσι κάλλιστα· λόγοι καὶ γὰρ πάντων ὁμοῦ τῶν θεολόγων πρὸς τὸν Γρηγόριον ἦσαν ἐκεῖνα μεθ' ἱερᾶς τινος εὐχαριστίας καὶ εὐφροσύνης ἀποῤῥήτου καὶ τέρψεως, ὅτι τὰ κατὰ διαφόρους αἰτίας καὶ χρόνους ὑπ' ἐκείνων δηλαδὴ θεο- [B] λογηθέντα, πάντ' εἰς ἓν αὐτὸς συνειλοχὼς νῦν ἐπ' ἐσχάτων θείᾳ δυνάμει καὶ χάριτι, καὶ συνῆψε καλῶς, καὶ ἐπεξειργάσατο, καὶ τὸ κράτος αὐτοῖς δι' ἑαυτοῦ δεδωκὼς θείῳ Πνεύματι, τάς τε καινὰς αἱρέσεις ἐξαισίως τούτοις ἐτρέψατο, καὶ τοὺς ἑαυτοῦ λόγους οἱονεί τι συμπέρασμα καὶ ἀνάπτυξιν ἱερὰν τῶν ἱερῶν ἐκείνων λόγων εἰργάσατο. Ταῦτα, φησὶ, καὶ πάντες ὁμοῦ καὶ ἀνὰ μέρος τῶν θεολόγων ἕκαστος μετὰ πλείστης ὅσης τῆς θυμηδίας δόξαντες ἐφ' ἱκανὸν εἰπεῖν πρὸς Γρηγόριον, ἐξανέστησάν τε σὺν αὐτῷ τῆς καθέδρας, καὶ τὸν ἱερὸν ἐκεῖνον διέλυσαν σύλλογον.

Τοιαῦτα καὶ τὰ μετὰ τὴν πρὸς Θεὸν ἐκδημίαν καὶ μακαρίαν ὄντως ἐκείνην λῆξιν μεγάλα καὶ ὑπερφυᾶ τοῦ μεγάλου καὶ θαυμαστοῦ Γρηγορίου τῷ [C] ὄντι θαύματα. Ἄξια μὲν αὐτοῦ καὶ τῆς μεγάλης καὶ ἀγγελικῆς πολιτείας ἐκείνης, καὶ τῶν θαυμαστῶν ὑπὲρ εὐσεβείας ἀγώνων τε καὶ ἱδρώτων, καὶ δὴ καὶ τῶν συχνῶν διωγμῶν, καὶ τῆς καλλίστης ὁμολογίας· ὀλίγα δ' ἐκ πολλῶν τῶν τε ὄντων, τῶν τ' ἐσομένων, πρό τε ὄντων, καὶ ὅσα τὸ πᾶν ἀπὸ μέρους δεῖξαι· οὐ μᾶλλον οἶμαι δι' ἐκεῖνα θαυμαστῶς οὕτω καὶ πυκνῶς ὑπὸ τῆς θείας ὑπερφυῶς ἐνεργουμένα χάριτος, ἢ τοῦ τῆς εὐσεβείας ὑγιοῦς εἵνεκα λόγου, πολεμηθέντος μὲν ὑπὸ τῶν κακίστων τουτωνὶ καὶ πολυκεφάλων αἱρέσεων, καὶ νῦν κακῶς εἴπερ ποτὲ, στηριχθέντος δ' ὑπ' ἐκείνου καὶ ἀνακηρυχθέντος πολλάκις τοῖς ἐγγύς τε καὶ πόῤῥω, κατὰ θάλαττάν τε καὶ ἤπειρον τῇ δυνάμει τοῦ ἐνοικοῦντος αὐτῷ [D] θείου Πνεύματος, ὡς καὶ τούτου τὸν φθόγγον εἰς πᾶσαν τὴν γῆν ἀποστολικῶς ἐξελθεῖν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα· εἰ καὶ ἡ ἐκείνων παραφυάς αὕτη, καὶ τοῦ τῆς πλάνης πονηροῦ συστήματος οἱ οὐραγοὶ καὶ ἀκόλουθοι, τῇ παλαιᾷ πλάνῃ καὶ τῇ νυκτομαχίᾳ παραμένοντες ἔτι, καὶ, ὡσεὶ τυφλὸς, ψηλαφῶντες τοῖχον κατὰ τὸν μακάριον εἰπεῖν Ἡσαΐαν, οὐδὲ πρὸς τὸ μέγα τῶν θαυμάτων τουτωνὶ φῶς, καὶ τὸν τῆς ἀληθείας ἥλιον δύνανται διαβλέψαι· πρὸς οὓς, οἶμαι, καὶ τὸ Δεσποτικὸν ἐκεῖνο μικρὸν ὑφελὼν, δικαίως νῦν ἄν τις εἴποι· « Ἐὰν σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε » τοσοῦτον καὶ τὴν Ἰουδαίων ἀπιστίαν σπεύδουσι παρελαύνειν οἱ καινοὶ τῆς εὐσεβείας πολέμιοι· τοῖς μὲν γὰρ ὁ Χριστὸς τότε τὸ σημείων δίχα μὴ δύνασθαι τῷ λόγῳ

Digitized by Google

πιστεύειν εἰς ἔγκλημα προὔφερεν, «Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, λέγων, οὐ μὴ πιστεύσητε·» οἱ δὲ, καὶ σημεῖα καὶ δυνάμεις καὶ χαρίσματα ἰαμάτων διὰ τοῦ μεγάλου τούτου νῦν τὸν Χριστὸν θαυμαστῶς ἐνεργοῦντα βλέποντες, οὐ πιστεύουσι· τετύφλωκε γὰρ αὐτῶν, φησὶ, τοὺς ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, καὶ ὀφθαλμοὺς ἔχοντες ὄντως οὐ βλέπουσι, καὶ ὦτα ἔχοντες οὐκ ἀκούουσιν. Ἀλλὰ τὰ μὲν πρὸς ἐκείνους τό γε νῦν εἶναι τέως ἀναβεβλήσθω· ἱκανῶς καὶ γὰρ αὐτοῖς ἤδη καὶ λόγοις καὶ γράμμασι περὶ τῶν αὐτῶν διειλέγμεθα· ἴσως ποτὲ καὶ αὐτοὶ ταῖς μεγάλαις ταύταις καὶ συνεχέσι δυνάμεσι καὶ τοῖς ἔργοις, εἰ καὶ μὴ τοῖς λόγοις τέως πιστεύουσιν. Εἰ δ' οὖν, ἀλλ' ὅταν ἴδωσι τὸν μέγαν τουτονὶ σὺν ἀγγέλοις τε καὶ ἰσοθέοις ἀνδράσι, Χριστῷ συνανιστάμενον καὶ συνδοξαζόμενον, ἐν νεφέλαις τε σὺν ἐκείνοις μετάρσιον ἐκ γῆς ἁρπαζόμενον εἰς ἀέρα, κατὰ τὸν μακάριον εἰπεῖν Παῦλον, πρὸς τὴν τοῦ Κυρίου ἀπάντησιν, ὡς ἥλιόν τε σὺν ἐκείνοις τῇ τοῦ τῆς δικαιοσύνης ἡλίου κοινωνίᾳ τε καὶ θεώσει κατὰ τὸν αὐτοῦ, φημὶ, τοῦ μεγάλου ἡλίου λόγον, ὑπερφυῶς λάμποντα]· «τότε καὶ γὰρ, φησὶν, οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν·» καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμενον· εἴγε καὶ τοῦτο δοίημεν τέως, τὸ θεατὰς ἐκεῖ καὶ αὐτοὺς, φημὶ, τῶν θείων τε καὶ ὑπερφυῶν ἔσεσθαι. Ἔσονται δ', οἶμαι, πάντως, ὅσον ἐπιγνῶναι γοῦν, οἷς νῦν πιστεύειν οὐ βούλονται· ἐπεὶ καὶ τῆς θείας Γραφῆς περί γε τῶν Χριστὸν σταυρωσάντων ἐναργῶς ἀκούω λεγούσης, «Ὄψονται εἰς ὃν ἐξεκέντησαν.» Σὺ δ', ὦ τρισολβία καὶ σεπτὴ τῷ ὄντι καὶ περιπόθητε κεφαλὴ, τὸ τῆς ἡσυχίας κράτος, ἡ δόξα τῶν μοναζόντων, τὸ κοινὸν τῶν θεολόγων καὶ Πατέρων καὶ διδασκάλων καλλώπισμα, τῶν ἀποστόλων ὁ συναγωνιστής· ὁ τῶν ὁμολογητῶν καὶ μαρτύρων ἀναίμακτος ζηλωτὴς καὶ στεφανίτης καὶ λόγοις καὶ πράγμασι, καὶ τῆς εὐσεβείας ἀθλητὴς καὶ στρατηγὸς καὶ ὑπέρμαχος· ὁ τῶν θείων δογμάτων ὑψηλὸς ἐξηγητὴς καὶ διδάσκαλος· ὁ τῆς ἀθέου καὶ πολυθέου ταυτησὶ τῶν παντοδαπῶν αἱρέσεων πλάνης ἀναιρέτης ὀξύτατος·

A ὁ τῆς κοινῆς Χριστοῦ Ἐκκλησίας καὶ προστάτης καὶ φύλαξ καὶ ῥύστης καὶ σωτὴρ μετὰ τὸν πρῶτον καὶ μόνον Σωτῆρα· καλῶ δέ σε καὶ στόμα καὶ γλῶτταν καὶ ψυχὴν ταύτης καὶ νοῦν οὐ κατὰ τὸν παρ' Ἕλλησιν ἐπικληθέντα νοῦν, φημὶ, τὸν φιλόσοφον ἐκεῖνον Ἀναξαγόραν, ἀλλὰ νοῦν ἱερώτατόν τε καὶ ὑψηλότατον καὶ θεοειδῆ καὶ ἄντικρυς θεῖον καὶ κεφαλὴν μετὰ τὴν ὑπερφυᾶ καὶ κοινὴν κεφαλὴν τῶν πάντων Χριστὸν, καὶ λόγων παντοδαπῶν ἑστίαν, καὶ θαυμαστῶν χαρίτων φορὰν, καὶ ἄκρον ἀρετῆς παιδευτὴν, γνώμονά τε θεολογίας καὶ κανόνα δογμάτων, καὶ φιλοτιμίαν ἐξαίρετον Θεοῦ πρὸς ἀνθρώπους, καὶ κοινόν τινα κόσμον τῆς ἀνθρωπείας φύσεως, καὶ πᾶν εἴ τι θεῖον καὶ ὑψηλὸν καὶ σεβάσμιον· σὺ τοιγαροῦν καὶ μεταστὰς πρὸς Χριστὸν, ἐποπτεύεις

B μὲν καὶ νῦν τὴν σαυτοῦ ποίμνην, καὶ τὸ κοινὸν τῆς Ἐκκλησίας τρανότερον ἄνωθεν, καὶ νόσους παντοδαπὰς θεραπεύων, καὶ λόγοις τοῖς σοῖς καταρτίζων, καὶ τὰς αἱρέσεις ἐλαύνων, καὶ παντοδαπῶν παθῶν ἐξαιρούμενος· οὐδὲ γὰρ ἐπιλήσῃ ποτὲ τῆς ἱερᾶς ἐπιστήμης ἐκείνης καὶ τῶν μεγίστων ὑπὲρ ἡμῶν ἀγώνων καὶ τῶν ἱδρώτων, οἷς μεθ' ἡμῶν ὑπερκοσμίως συντραφεὶς καὶ συναυξηθεὶς, ὑπερφυῶς τελειωθεὶς συνδεδόξασαι. Δέχοιο δὲ καὶ τὸν ἡμέτερον εὐμενῶς τουτονὶ λόγον, τῷ περιόντι τοῦ πρὸς σὲ πόθου τυραννηθέντα, καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρήσαντα. Δέξῃ δὲ πάντως, εὖ οἶδα, τήν τε φιλίαν ὁμοῦ καὶ τὸ κατὰ δύναμιν ἐπαινῶν, καὶ ὡς οὐκ ἀκαίρως τέως νῦν, οὐδὲ περιττῶς πως πρὸς τὸ λέγειν τε καὶ γράφειν, εἰ καί ποτε ἴσως ὡς αὐτὸς εἶπας ἂν ἄλλοτε

C κεκινήμεθα· καὶ λύσας τὴν τῶν παντοδαπῶν τουτωνὶ παθῶν τε καὶ πειρασμῶν καταιγίδα, κορυφουμένην ἐφ' οὕτω μακρὸν, καὶ δεινὴν ὁσημέραι τὴν τρικυμίαν τε καὶ τὴν ζάλην ἐγείρουσαν, ἣ τῶν παρόντων ἡμᾶς τέως, μετὰ χρηστῶν τῶν ἐκεῖθεν ἐλπίδων, καὶ τῆς προσδοκωμένης μακαρίας ῥαστώνης καὶ τῆς ἀνέσεως ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

*ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ*

# ΚΥΡΟΥ ΝΕΙΛΟΥ

## ΕΓΚΩΜΙΟΝ

## ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΝ

### ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΤΟΝ ΠΑΛΑΜΑΝ (1).

Οὐδὲν οὕτως ἐπαχθὲς καὶ πολλῆς καὶ ἀμυθήτου γέμον τῆς δυσκολίας, ὡς τὸ περὶ μεγάλων τινῶν καὶ θαυμασίων λόγον ποιεῖσθαι, εἰ τύχοι πρότερον

D μὴ παρέργως, ἀλλὰ μεθ' ὅσης ὑφ' ἑτέρων εἰρημένα σπουδῆς, καὶ οὕτω θαυμασίων ἀνδρῶν, ὡς μὴ τῇ θείᾳ μόνον, ἀλλὰ καὶ τῇ θύραθεν σοφίᾳ πολλῷ τῷ

(1) Ex eadem editione Hierosolymitana anni 1857.

Digitized by Google

A μέτρῳ τῶν κατ' αὐτοὺς ἁπάντων διαφερόντων· οὐ μόνον γὰρ τότε φυλάξασθαι τὰ πρότερον εἰρημένα, τό θ' ἕτερα τῇ τοῦ εὐφημουμένου δόξῃ κατάλληλα ἐξευρεῖν, διπλῆν αὐτῷ παρασκευάζει τὴν ἀγωνίαν, ἀλλ' ὅτι καὶ τὴν οἰκείαν περὶ λόγους δύναμίν τε καὶ δόξαν πολλῷ τῶν προειρηκότων ἀποδέουσαν συνορῶν, οὐ σφόδρα προθύμως, οὐδ' ἐνακμάζουσαν ἔχων περὶ τοῦ λόγου τὴν ἐργασίαν τὴν ἔφεσιν, προσβάλλει τοῖς προκειμένοις, ἀπομαραινομένης οἷον αὐτῷ τῆς ὁρμῆς τὸ σφόδρα σαφῶς εἰδέναι, ὡς οὐδὲν ἔσται πλέον αὐτῷ λίαν προθυμηθέντι, ἀλλ' ἀνάγκη πᾶσα τῶν φθασάντων ἐλθεῖν κατόπιν, καὶ τὴν ἧτταν προφανῶς ἐνεγκεῖν. Οὐ μὴν ἀλλ' αὐτό γε τοῦτό ἐστι καὶ τὸ μάλιστά μοι τὸν λόγον πεποιηκὸς, ὅτι μὴ περὶ μεγάλης μόνον, ἀλλά γε καὶ πρὸς μεγάλους B ἡμῖν ἡ ἅμιλλα, οὐ τὸ πρὸς ἀμφοτέρων τὴν εὐδοξίαν δύνασθαι λογίζεσθαι τῶν λόγων ἀντικαθίστασθαι τῇ δυνάμει, ἀλλ' ὅτι παραίτησις ἡμῖν ἡ ἐκείνων δόξα πρὸς τὴν ἧτταν οὐ φαύλη παρ' εὐγνώμοσιν ἔσται κριταῖς, οὐ τὸ πρὸς ἀξίαν περὶ τῶν θαυμασίων, ἀλλὰ τὸ μικρὰ περὶ τοιούτων εἰπεῖν, κρίνουσι τῶν ἐπαινουμένων, ὅτι μὴ τῇ φύσει τοιαῦτα, τῇ τοῦ μείζονος δὲ παραθέσει σμικρὰ δοκεῖ, ὥσθ' ἡμῖν τοὐναντίον ἢ τοῖς μικρολόγοις συμβαίνειν· ἐκείνους μὲν, κἂν μεγάλα τινὰ περὶ μικρῶν λέγωσι, τὴν μέμψιν μὴ διαφεύγειν· ἡμᾶς δὲ, κἂν περὶ τῶν ὑπερεχόντων σύμμετρα φαινοίμεθα λέγοντες, πάσης ἀπολελύσθαι γραφῆς· οὐ ταύτῃ δὲ μόνον, ὅπερ ἔφημεν, περίεστιν ἡμῖν παραίτησις πρὸς τὴν ἧτταν, ἀλλ' ὅτι μηδ' αὐθαδείᾳ τινὶ καὶ λογισμῶν ἀκρισίᾳ C τουτονὶ τῶν λόγων ὑπήλθομεν τὸν ἀγῶνα, ἀλλ' αὐτοῖς ἐκείνοις τοῖς φθάσασι πεπεισμένοι, ἤ τό γε ἀληθέστερον εἰπεῖν, καὶ προστεταγμένοι, ἐπειδὴ τοιαύτης ἔτυχον παρὰ Θεοῦ τῆς τιμῆς, τῆς μεγάλης τῶν πιστῶν Ἐκκλησίας, ταυτὸν δ' εἰπεῖν καὶ πάσης τῆς οἰκουμένης τῇ ἐνοικούσῃ χάριτι τοῦ Πνεύματος ἐξηγεῖσθαι, καὶ βραβευτὰς εἶναι τοῖς ὑπὸ χεῖρα ἱερῶν καὶ πνευματικῶν ἀγώνων καὶ παλαισμάτων.

Τὸ μὲν οὖν ἔθνει τινὶ τῶν εὐδοκιμηκότων μεγάλα, ἢ καὶ πόλει πολλὰς ἐχούσῃ τῶν ἐγκωμίων τὰς ἀφορμὰς, καὶ μηδένα τόπον τοῖς βουλομένοις εὐφημεῖν ἀργὸν παρηκυίᾳ, τὴν ἀπὸ τῶν ἔργων δόξαν τοῖς λόγοις συναύξειν, καὶ λαμπροτέραν ἀπεργάζεσθαι πειρᾶσθαι τοῖς ἐγκωμίοις, ὥσπερ οἱ τοῖς φύσει καλοῖς D καὶ τὴν ἀπὸ τῶν ἔξωθεν εὐκοσμίαν περιτιθέντες, οὐ μικρὸν δοκεῖ τοῖς περὶ λόγους ἐπτοημένοις, ἓν τοῦτο τῆς σπουδῆς ἡγουμένοις τέλος, τῶν ἀκουσομένων τὴν εὐφημίαν· καὶ πρὸς τοῦτο κεχήνασιν ἀκρατῶς, καὶ νομίζουσι τῶν πόνων ἆθλον ἄξιον εἰληφέναι, ἂν παρὰ τῶν πολλῶν, ἢ καὶ τῶν σοφωτέρων τύχωσι θαυμασθέντες· ἀλλ' οὐχὶ καὶ τοῖς ὄντως σοφοῖς καὶ τὴν εὐτέλειαν τῶν παρόντων διεγνωκόσι, καὶ πεπαιδευμένοις καλῶς. Τί μὲν θαυμάζειν προσήκει; τίνων δὲ καὶ λίαν ὀλιγωρεῖν μέγα τὰ τοιαῦτα δοκεῖ; Μικρολόγου μὲν οὖν ψυχῆς καὶ δόξης κενῆς ἐρώσης, καὶ ὅ φασιν Ἑλλήνων παῖδες ἐν μύθοις, περὶ τῶν ἐν ᾅδου κολαζομένων τινὸς, εἰς τετρημένον ἀντλούσης πίθον. Ἂν δέ τις ὑπὲρ ἀρετῆς τε καὶ εὐσεβείας καὶ τῶν πολλὰ δὴ ταύταις ἐνιδρωσάντων λόγον ποιοῖτο, καὶ τούτων τὴν ἀξίαν ὡς οἷόν τ' ἐπὶ μέγα αἴρειν πειρῷτο, τοῦτον δ' εἰ καὶ μὴ λίαν ἔντεχνον μηδὲ περιηνθισμένον, ὥσπερ ἐν τρίμμασι ταῖς ἀπὸ τῆς τέχνης περιεργίαις, ἀλλ' ἀτεχνῶς ἀπέριττον καὶ πάσης φιλοτιμίας ἀπηλλαγμένον προάγοι τὸν λόγον, τῆς προθυμίας ἕνεκα καὶ ἐπαινοῦσι καὶ στεφανοῦσιν, ὡς τοῦ καλοῦ μόνον ἀλλ' οὐ φιλοτιμίας ἕνεκα τὸν πόνον ἀνῃρημένον· ἀλλ' ὥσθ' ὅτι μηδὲ τοῖς ἐντυγχάνουσιν ἀκερδὴς, σφόδρα μὲν οὖν καὶ λυσιτελὴς, καὶ τὴν ὄνησιν ἐν τοῖς καιριωτάτοις μάλιστα προσαρμόζων· ἐρεθίζειν γὰρ ὡς τὰ πολλὰ τῶν θαυμαζομένων ἕκαστον, καὶ πρὸς μίμησιν ἐφέλκεσθαι τῶν ἀκουόντων εἴωθε τὰς ψυχὰς, καὶ πρὸς ἐπίδοσιν ὥσπερ ἐκ φυσικῆς ἀνάγκης προκαλεῖσθαί τινος. Δι' ἃ δὴ μάλιστα τοῖς περὶ τοῦ μεγάλου Γρηγορίου καὶ αὐτὸς ἐμαυτὸν λόγοις καθῆκα, οὐ τῷ σφόδρα ἐμαυτῷ θαῤῥεῖν, ὡς ἄξιόν τι τῆς ἐκείνου μεγαλονοίας καὶ τῆς περιφανείας τοῦ βίου καὶ λόγου φθέγξασθαι δυνησομένῳ, ἀλλ' ὅτι καὶ ἀμφοτέρωθεν ἔπεισιν, οὐκ ἀγενεῖς τινας, οὐδὲ μικρὰς ἡμῖν, ἀλλὰ καὶ λίαν φιλοτίμους τῶν πόνων τὰς ἀντιδόσεις ἀπολήψεσθαι θαῤῥεῖν, ἢ τά γε δεύτερα ἐκ θατέρου· ἢ γὰρ κἀκείνῳ χαριούμεθα καὶ ἡμῖν, καίριόν τι φθεγξάμενοι καὶ τοῦ ἡμετέρου φίλτρου καὶ τῆς περὶ ἐκεῖνον ἀξιόχρεων σπουδῆς, ἢ τά γε δεύτερα παρ' ἐκείνῳ οὐχ ἡ τυχοῦσα πάντως κείσεται ἡμῖν ἐλπὶς, εὖ εἰδόσιν, ὡς οὐ πρὸς τὴν ἀξίαν ἀποβλέψει τῶν εἰρημένων, ἀλλά γε τῇ προθυμίᾳ καὶ τῷ περὶ ἐκείνῳ φίλτρῳ τὴν ἀντίδοσιν ἀντιμετρήσει.

Πάντα μὲν οὖν τὰ ἐκείνου διεξιέναι, ὥσπερ ἐν συγγραφῇ τοὺς ἐγκωμίων τηροῦντα νόμους, καὶ ὥσπερ ἀνδριάντα τινὰ τῶν ἐκείνου καλῶν, καὶ τοῖς ἐν λόγοις καὶ πράξεσι περιφανείας τὸν λόγον τοῖς εἰσέπειτα προστιθέναι, πρὸς τῷ δυσχερὲς εἶναι καὶ μεγάλης δεῖσθαι τῆς διανοίας, ἔτι καὶ πρὸ ἡμῶν ἀξίως τοῦ τε εἰρηκότος, καὶ ὑπὲρ οὗ ταῦτα εἴρηται καὶ συγγέγραπται, πολλὴν μὲν ἀπὸ τῶν ἔργων τοῦ δεδρακότος τὴν λαμπρότητα κεκτημένα, οὐκ ἐλάττω δ' ἐκ τῆς τοῦ λέγοντος δυνάμεως προσκτησάμενα τὴν ἰσχὺν, ὥστε μηδ' ἑτέρως τὸν λόγον, μηδ' ἀπολείπεσθαι τῆς ἄκρας φιλοτιμίας, ἀλλὰ λόγων δύναμιν καὶ βίου τὴν ἐν πᾶσι καλοῖς ἀκρότητα συνελθόντα, ἓν ἔργον οὐδενὸς ἀπολειπόμενον ἐξεργάσασθαι τῶν νῦν ἢ τῶν πρότερον ἐπὶ μεγέθει καὶ κάλλει βεβοημένων. Οὐ μὴν ἀλλ' ἐπειδὴ πάντ' ἐκείνου, ὡς εἴρηται, συνετέθη, καὶ πρόκειται τοῖς θέλουσιν οὐχ ἧττον χαρίεις ἢ ὅσον ὠφέλιμος διατριβή· δεῖ δὲ καὶ ἡμᾶς ὥσπερ ἔρανόν τινα ἀναγκαῖον καὶ συνεισφορὰν κοινὴν τὸν λόγον, ὀφειλομένην τῷ κοινῷ πατρὶ καὶ διδασκάλῳ συνεισενεγκεῖν, τῶν μὲν πολλῶν καὶ κατὰ μέρος ἀφεξόμεθα διηγημάτων, καὶ ὅσα μὴ πρὸς αὐτὸν ἐκεῖνον τείνει, μηδὲ σαφῆ καὶ καθαρὰν αὐτῷ φέρει φιλοτιμίαν· ἐκ τῶν εἰργασμένων δ' αὐτῷ μόνον ποιησόμεθα τὸν λόγον, καὶ τούτων ὅσα παρεθέντα λυμανεῖται τῇ διηγήσει, ἵνα ὀλίγα μὲν, φίλα δὲ μὴ τοῖς ἀκούουσιν ᾖ μόνον, ἀλλὰ καὶ τῷ εὐφημουμένῳ τὰ εἰρημένα. Καὶ γὰρ ὥσπερ ἐκείνῳ ζῶντι τῆς τε τοσαύτης ἐν λόγοις δυνά-

Digitized by Google

μεως, καὶ τῶν ἠθῶν τῆς εὐκοσμίας, καὶ τῆς ἐνοικούσης ἁπάσης ἀρετῆς καὶ μεγαλοψυχίας, κἀκ μικρᾶς συνουσίας σαφῆ δείγματα παρέχεσθαι ἐξῆν, οὕτω δὴ καὶ νῦν τοῖς τὰ ἐκείνου θαυμάζειν προῃρημένοις καὶ ἐξ ὀλίγων ἔξεστι τὸ πᾶν ἦθος ἐκείνου, καὶ τὴν ἐπανθοῦσαν αὐτῷ χάριν, καὶ τὴν εἰς ἓν ἁπάντων τῶν καλῶν συνδρομὴν, τοῖς ἀκροωμένοις ἐναργῆ καθιστᾷν· ὥσθ' ὥσπερ αἰνιγμά τι τοῖς τἀκείνου συμβαίνειν διηγουμένοις μήτε τοὺς πάντα διηγουμένους πλέον ἐσχηκέναι τῶν ὀλίγα εἰπόντων, μήτε τούτων ἐκ τῶν ὀλίγων ἔλαττον ταῖς ψυχαῖς τῶν ἀκουόντων ἐνθεῖναι θαῦμα δεδυνημένων.

Ἐκεῖνος τοίνυν ἀγαθὸς ἐξ ἀγαθῶν φὺς ὥσπερ δίκαιον, καὶ ῥίζης εὐγενοῦς εὐγενὴς βλαστὸς προελθὼν, οὐ συνέστειλε τὴν εὔκλειαν τῶν τεκόντων, ἀλλ' εἰ μηδὲν ἐπίφθονον εἰπεῖν, τῆς εἰς φῶς προαγωγῆς πολλαπλασίους αὐτοῖς ἀπεδεδώκει τὰς ἀμοιβὰς, κόσμος αὐτοῖς τε καὶ παντὶ τῷ γένει γεγενημένος· πάντα γὰρ, ὥσπερ ἐκ συνθήματος ἐφ' ἑνὸς ἀγαθοῦ σύστασιν, εἰς κοινὴν τῆς φύσεως ὥσπερ φιλοτιμίαν ἐπ' ἐκεῖνον συνέδραμε τὰ καλὰ, οἷος ἔσται προϊόντος αὐτῷ τοῦ βίου, τῷ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν πεφυκέναι, ὥσπερ ἀπὸ γραμμῆς ἐξ ἡλικίας πρώτης ἐναργῆ τεκμήρια στοχάζεσθαι πᾶσι παρεχομένου. Καὶ ὀρφανίᾳ γὰρ καὶ ταῖς αὐτῆς δυσχερείαις ἐξ ἡλικίας πρώτης σχεδὸν ἐκδοθείς· ἔτη γὰρ ἑπτὰ γεγονότι, ὁ πατὴρ αὐτῷ τὸν βίον ἀπελελοίπει· οὐδ' οὕτω πρὸς οὐδὲν τῶν ἀγαθῶν ἐκωλύθη, ἀλλ' ἐπεὶ μήπω τῶν ὑπὲρ αἴσθησιν, καὶ ὅσα πρὸς Θεὸν καὶ τὴν ἐκεῖθεν φέρει μακαριότητα διὰ τὴν ἡλικίαν ἐφάπτεσθαι δυνατὸς ἦν, τῶν ἐν τῷ βίῳ τῷ βελτίστῳ, καὶ ᾧ μόνῳ μετὰ τὴν πρώτην κτίσιν τῶν ἄλλων ἁπάντων ἄνθρωπος ὑπερέχει, σοφίᾳ λόγων καὶ ἐπιστήμῃ φέρων ἐκδέδωκεν ἑαυτόν. Σπουδῇ δὲ μέγεθος φύσεως συγκεράσας, καὶ τῷ τῶν ἄλλων ἁπάντων ὡς ὄντων δικαίων τοῖς νοῦν ἔχουσιν ἀμελεῖσθαι καθάπαξ ἀφεστακέναι, τὸν νοῦν τοῖς ποθουμένοις προσασχολήσας, οὕτως ἐν ὀλίγῳ ἦν θαυμαστὸς, καὶ τοῖς ἁπάντων ᾀδόμενος στόμασιν, ὡς τῶν ἐν ἡλικίᾳ μὲν ἐπ' ἐκεῖνο τοῦ χρόνου πάντων κρατεῖν, τῶν σοφωτέρων δὲ τοῖς ἄκροις περὶ πρωτείων ἀμφισβητεῖν, πάντων εἰκόντων, καὶ τὴν ἐκείνου τῶν λόγων δύναμιν ὡς ἄμαχόν τινα, καὶ τῇ ἐκείνου φύσει μόνῃ πρέπουσαν θαυμαζόντων. Καὶ τούτων ἔξεστι μαρτυρίαν σαφῆ τῷ βουλομένῳ παντὶ λαμβάνειν, οὐ τοὺς λόγους οὓς ἐκεῖνος ὕστερον δυνάμει Πνεύματος καὶ τῆς ἀληθινῆς σοφίας τε καὶ πρώτης ἐμπειρίᾳ καὶ ἐπιστήμῃ, ὑπὲρ τῶν αὐτῆς λαμπρότατα, καὶ ὡς ἂν ἕτερος συντέταχε τῶν πάντων οὐδείς· ἢ κατὰ τῶν ταῦτα μᾶλλον εἰπόντων κακῶς, καὶ τὰ σεμνότατα καὶ ἁγιώτατα κακῶς ἐξορχησαμένων, οἳ δὴ λόγοι καὶ δικαίως ἂν ἀλγοῖεν, τῆς κάτω καὶ πατουμένης, ἀλλὰ μὴ τῆς ἄνω καὶ ἐλευθέρας ἔκγονα καλούμενοι, καὶ πολίτιδος τῶν οὐρανῶν, οὐ δεῖ τούτους τῶν εἰρημένων μάρτυρας λαμβάνειν χρὴ, ἀλλὰ τὴν διὰ πάντων ἐξ ἀρχῆς αὐτῷ συστραφεῖσαν ἐπὶ σοφίᾳ καὶ συναυξηθεῖσαν φήμην, ἣν οὐδὲ πάμπαν ἀπόλλυσθαι τῶν πάλαι τις εἴρηκεν ἐπὶ σοφίᾳ θαυμαζομένων. Οὐ μὴν καίτοι τοσοῦτον κρατῶν ἐν λόγοις,

A καὶ τούτων οὐκ ἐφ' ἑνός τινος εἴδους, ἀλλὰ διὰ πάντων σχεδὸν, ὃ καὶ τῷ σφόδρα τῶν καλῶν ἐρῶντι πρὸς φιλοτιμίαν ἤρκεσεν ἂν, τὸ τῆς ψυχῆς εὐγενὲς ἐν τούτοις παραναλίσκειν οὐκ ἔκρινε δεῖν· ἀλλὰ τὸ μὲν τῇ θύραθεν σοφίᾳ ταύτῃ προσέχειν, καὶ τὴν τῶν ὄντων γνῶσιν ἐκ ταύτης θηρᾷν πρὸς τὸ μηδενὸς ἐπ' ἀσφαλοῦς βεβηκέναι· τοῖς γὰρ ἀλλήλων τῶν ταύτῃ προὐχόντων λόγοις ἡ περὶ τῶν ὄντων γνῶσις κλονεῖται καὶ ἀστατεῖ· ἔτι καὶ τῶν μηδὲν ἐννοουμένων ὑψηλότερόν τε καὶ θεῖον εἶναι νομίσας· αὐτὸς δ' ὑπεραρθῆναι καὶ τούτων, καὶ διαβῆναι τὴν φύσιν, καὶ τῇ τῆς σοφίας ἐννοήσας συγγενέσθαι πηγῇ, ἵν' ἀμεταβλήτως ἔχῃ, καὶ ἀληθῶς ἐκεῖθεν τοὺς τῶν ὄντων εἰδέναι λόγους, πάντων ὡς μηδένων καταφρονήσας, τὴν ἐν τοῖς πράγμασιν αἱρεῖται φιλοσοφίαν, B οὐ δοκεῖν μόνον, ἀλλὰ καὶ ὄντως φιλόσοφος ἐθέλων εἶναι, καὶ τὸ τῆς ἁγιωσύνης ἐπώνυμον ὄρος καταλαβὼν, ὡς ἂν μὴ τὸν νοῦν μόνον τῶν σωματικῶν ἢ καὶ τῶν γηΐνων ὑπερηρκὼς, ἀλλὰ καὶ αὐτὸ τὸ σῶμα μετεωρίσειε, πρόχειρον πρὸς Θεοῦ συνουσίαν παρασκευάσας, ὅλον ἐπιδέδωκεν ἑαυτὸν πρὸς κτῆσιν τῆς ἀρετῆς.

Καὶ πρῶτα μὲν τῶν ἐπ' ἐκεῖνο τοῦ χρόνου τῶν ἐν Ἄθῳ συγγενόμενος τῷ βελτίστῳ, ἵνα μηδ' ἐν τούτῳ μηδὲν ἀφιλόσοφον, μηδ' ἀγενὲς εἰργασμένος ᾖ, ἀλλὰ τῇ πρώτῃ καὶ καλλίστῃ φιλοσοφίᾳ, τὴν κοσμικὴν ταύτην καὶ δούλην καθυποτάξῃ, τῷ τε μοναζόντων παρ' ἐκείνου καταλέγεται χορῷ, καὶ τῶν ὀργίων τὰ τελεώτατα ἐκδιδάσκεται. Ἐπεὶ δ' ἐκεῖνος πρὸς ὃν ἐπόθει Θεὸν ἦν ἐκδεδημηκὼς, ἀξίας τῶν C καμάτων ἀποληψόμενος ἀμοιβὰς, ὁ Γρηγόριος ἔτι τῆς φίλης ἐκ παιδὸς καὶ συντρόφου ταπεινώσεως ἀντεχόμενος, καὶ διὰ τοῦτο μήπω θαῤῥῶν ἑαυτῷ, καίτοι πολλῶν ἑτέρων διὰ τὴν ἐπανθοῦσαν ἐν νεότητι πολιὰν καὶ τὴν ἐν πᾶσι τοῖς πνευματικοῖς ἐμπειρίαν, δυνατὸς ὢν ἐξηγεῖσθαι, τῇ Ἀθανασίου τοῦ μεγάλου λαύρᾳ φέρων ἐκδίδωσιν ἑαυτόν. Καὶ τοῦτο μὲν πρὸς ἑαυτὸν αὐτὸς ὥσπερ ἅμιλλαν ἐνστησάμενος, τοῦτο δ' ὑπὸ τῆς καλῆς ἀπληστίας ἐν τοῖς πόνοις πάντας ὑπερβαλέσθαι φιλονεικήσας, οὕτω πάντας ἐξέπληξεν ἐν βραχεῖ, ὡς πάντα μὲν τἀκείνου θαυμάζειν, μιμεῖσθαι δ' ἐθέλειν μὲν, ἀμήχανον δ' ἡγεῖσθαι, τὸ μέγεθος συνορῶντας καὶ τὴν συντονίαν τῶν πραττομένων· οὐ γὰρ τοῖς μὲν τῶν πρὸς τελειότητα φερόντων ἐπιμελῶς, D τοῖς δ' ἀνειμένως προσεῖχέ τε καὶ ῥαθύμως· οὐδὲ ποτὲ μὲν, ποτὲ δὲ μή· ἀλλ' ἀεὶ καὶ διὰ πάντων τῶν καλῶν αὐτῷ τὸν βίον ἁρμοσάμενος ἦν, ὥσπερ εἰκόνα τινὰ καὶ στήλην ἀγαθοῦ παντὸς εἰς κάλλος ἑαυτὸν ἀποξέσας.

Ἐπεὶ δ' ἱκανῶς εἶχεν αὐτῷ καὶ τῆς ἐν λαύρᾳ διατριβῆς, καὶ μὴ μόνον πρὸς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἀλλ' ἤδη καὶ τὰς ἀνάγκας αὐτὰς τοῦ σώματος ἠγωνισμένος ἄριστα ἦν, ἐπὶ τὴν φίλην ἔξεισιν ἡσυχίαν, ὥσπερ ὅπλοις τοῖς προτέροις καμάτοις καθωπλισμένος. Τὴν μὲν οὖν ἐκεῖ τῶν πόνων ὑπερβολὴν, καὶ ὡς ἀγώνισμα τοῦτο προὔθηκεν ἑαυτῷ, ὅσον τοὺς ἄλλους πρότερον ἑαυτὸν ἐν τοῖς ὑπὲρ ἀρετῆς πόνοις ὑπερβαλέσθαι, καὶ αὐτόθεν μὲν ἔξεστι συνορᾷν· τὴν γὰρ ἡσυχίαν οἱ τὰ θεῖα σοφοὶ καὶ ταῦ-

Digitized by Google

τα δεδιδαγμένοι, οἱονεὶ τέλους ἐπέχειν λόγον πρὸς τἄλλα τῆς ἀρετῆς μέρη φασί, καὶ τούτου χάριν ἐπιπονώτερον ὅσῳ καὶ ὑψηλότερον ἔργον εἶναι, καὶ πολλῆς δεόμενον συντονίας καὶ τῆς σπουδῆς· μάλιστα δ' ἐκ τῶν καρπῶν τοῦ Πνεύματος, τῶν θείων χαρισμάτων φημὶ, ἃ μετὰ πολλῆς αὐτῷ παρεσχέθη τῆς δαψιλείας, ὡς καὶ ὁρῶσι τοῖς πᾶσιν ἔκδηλα καθεστάναι, πάντων αὐτῷ προσόντων, ἃ Παῦλος ὁ τὰ θεῖα παθών τε καὶ διδαχθεὶς τοῦ Πνεύματος εἶπεν εἶναι καρποὺς ἀγάπης, χαρᾶς, εἰρήνης, μακροθυμίας, ἐπιεικείας τε καὶ χρηστότητος, καὶ τῶν ἀπηριθμημένων αὐτῷ δὴ πάντων. Τίς μὲν γὰρ αὐτοῦ τῆς πρὸς Θεὸν ἀγάπης καὶ τὸν πλησίον πλείω δείγματα ἐξήνεγκεν ἐν τῷ παρασχόντι παντί; τίς δ' ἐν πᾶσιν ὤφθη χαίρων ὥσπερ ἐκεῖνος, καὶ τὸ τοῦ Ἀποστόλου παράγγελμα σαφῶς ἐπὶ τῶν ἔργων ἀποπληρῶν; Πάντοτε χαίρων, καὶ πειρασμοῖς καὶ θλίψεσιν εὐδοκῶν, ὡς ἔδειξεν ὁ μετὰ ταῦτα βίος πολλαῖς αὐτῷ δυσχερείαις καὶ τοῖς δοκοῦσιν ἔξωθεν ἀνιαροῖς ἀνυσθεὶς, ἐν οἷς ἅπασιν οὐ τῇ ψυχῇ μόνον ἦν χαίρων, ἀλλὰ καὶ τῷ προσώπῳ τὴν ἔνδον ὑπεδείκνυ χαρὰν, σεμνῷ τινι μειδιάματι καὶ ἤθους εὐκοσμίᾳ, ὁμοίως ἐν ἀνέσεσί τε καὶ τοὐναντίον τοῖς πᾶσι προσομιλῶν.

Ἀλλὰ μὴν τήν γε μακροθυμίαν καὶ τὴν ἐπιείκειαν καὶ χρηστότητα οὐκ ἔσθ' ὅστις οὐκ ἂν θαυμάσαι, οὐκ ἐπὶ καιροῦ τινος, οὐδ' ἐν οἷς ἡδέως εἶχεν, ἀλλ' ἀεὶ καὶ τοῖς δυσκόλως ἔχουσιν ὁμοίως φυλαττομένην, ὥσπερ ἕν τι τῶν φυσικῶν ἐκ τῆς περὶ ταῦτα μελέτης τῇ ψυχῇ καλῶς ἐκτακέντα. Δακρύων δὲ πηγὰς, αἷς οὐ καθ' ἑκάστην νύκτα κατὰ τὸν θεῖον Δαβὶδ, ἀλλ' ἀεὶ τὴν τῆς καρδίας ἀρδεύων ἄρουραν ἦν, καὶ καρποφόρον τῷ Θεῷ καὶ πίονα καὶ εὔσταχυν ἐργαζόμενος, τούτων δὲ τὸ πλῆθος σαφῶς μὲν οὐδεὶς ἂν ἔχοι λέγειν, κρυπτῶς ἐν τῷ τῆς ἀρετῆς τελουμένων ἐργαστηρίῳ· δῆλος δ' ἦν κατὰ τὰς ἀεννάους βλύζων πηγὰς, εἴ ποτέ τις αἰτία πρὸς τοῦτο φέρουσα τύχοι. Οὕτω δ' ἑαυτῷ τε καὶ Θεῷ προσαδολεσχήσας ἐπὶ μακρὸν, καὶ ὑλικῆς ἁπάσης ἐννοίας ἀποστήσας τὸν νοῦν, καὶ τῷ ἀκραιφνεστάτῳ φωτὶ, καὶ ταῖς ἐκεῖθεν ἐλλάμψεσι συγγενόμενος, ὥσπερ ἄσαρκός τις διῆγεν ἐπὶ τῆς γῆς, θαῦμα τοῖς ὁρῶσιν ἅπασιν ἐντιθεὶς οὐχ ἧττον ἢ τοὺς πόῤῥω καὶ μὴ ἰδόντας κατέπληττεν ἀκοῇ· καὶ ἵνα τἀν μέσῳ παραλείπω, τοιαῦτα ὄντα, οἷα πρὸς εὐφημίαν ἤρκεσαν ἂν ἑτέρῳ παρόντα μόνον, ἐπεὶ καλῶς ἦν πᾶσαν αἴσθησιν ἐκπαιδεύσας, καὶ οἰκητήριον Θεοῦ καὶ τῶν ἐκεῖθεν χαρισμάτων ἑαυτὸν κατεσκευακὼς, τὸ τῆς ἱερωσύνης μέγα δέχεται χρῆμα· μύρον ἄν τις εἴποι διαυγεστάτῳ σκεύει καὶ καθαρωτάτῳ προσενεχθέν.

Ἐντεῦθεν αὐτὸν καὶ μείζους τῶν προτέρων κάματοι διαδέχονται, ἵνα μὴ τὸ δῶρον ᾖ τετιμηκὼς μόνον, ἀλλὰ καὶ φαιδροτέραν ἀποδείξῃ τὴν ἐνοικοῦσαν τοῦ Πνεύματος λαμπηδόνα· οὐ γὰρ ὥσπερ πρότερον ἑαυτὸν μόνον ῥυθμίζων καὶ ὑποτάττων τὴν σάρκα τῷ Πνεύματι, οὕτω δὴ καὶ μετὰ τὴν ἱερωσύνην ᾤετο δεῖν· ἀλλ' ἐκεῖνο καλῶς ἐννοήσας, ὡς τοῦ καθ' ἡσυχίαν Θεῷ συνεῖναι τὸ προσαγαγεῖν αὐτῷ θυσίαν ἁγίαν ζῶσαν, ψυχὰς καθαρὰς, καὶ τῆς αὐ-

A τοῦ κληρονομίας ἀξίας, κρεῖττον καὶ ὑψηλότερον εἰς λόγον εὐδοκιμήσεως, ὃ καὶ Πέτρῳ τῷ κορυφαίῳ τῶν ἀποστόλων αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος κατέστησεν ἐναργὲς τοῦ φίλτρου τοῦ πρὸς αὐτὸν, οἱονεί τι δεῖγμα καὶ μαρτύριον τὴν ἐπιστασίαν τῶν οἰκείων ἐκζητήσας προβάτων. Ἐπεὶ καὶ κοινὴ ψῆφος αὐτὸν τοῦ τε τῶν ἐν Ἄθῳ πάντων ἐξηγουμένου καὶ τῶν δι' ἀρετὴν καὶ προστασίαν ἐπιφανῶν εἰς προστασίαν μοναζόντων ἐκάλει διακοσίων τὸν ἀριθμὸν, τῶν τε ψηφισαμένων τὴν ἀξίαν εὐλαβηθεὶς, καὶ τὸ προσήκουσαν εἶναι καὶ δικαίαν τὴν ἀξίωσιν αὐτῶν, ἅμα δ' ὅτι καὶ πολὺ τὸ κέρδος καὶ λαμπρὰ τὰ βραβεῖα παρὰ τῷ βραβευτῇ τῶν τοιούτων καὶ ἀγωνοθέτῃ κεῖται Χριστῷ, ἑκὼν εἶναι τὴν λειτουργίαν καὶ σὺν προθυμίᾳ γίνεται πολλῇ· καίτοι μηδὲ πρότερον B ἀπείρατος ὢν μηδ' ἀμαθὴς τῶν τοιούτων, εἰ καὶ μὴ πλειόνων ἀλλ' ἐλαττόνων ἦρξε τὴν πνευματικὴν ταύτην ἀρχὴν καὶ πρὸς Θεὸν φέρουσαν· εἰ γὰρ καὶ σχολάζων ἑαυτῷ διηνεκῶς ἦν, καὶ Θεῷ προσαδολεσχῶν, ἀλλ' εἰς δέκα τὸν ἀριθμὸν ὁμοψύχοις συνέζη, καὶ ὑπ' αὐτὸν ταττομένους εἶχε, καὶ τὰ πνευματικὰ ῥυθμίζων, καὶ τὴν εἰς οὐρανοὺς ἦν φέρουσαν τρίβον ὑποδεικνὺς, οἷς καὶ κοινωνοῖς καὶ συνεργοῖς χρώμενος, καὶ ψυχῶν φροντιστήριον συνεστήσατο, τῷ πλήθει τῶν συνόντων προσῆκον. Ταῦτα μὲν δὴ πρότερον· τότε δ' εἰς προστασίαν πλειόνων, ὡς ὁ λόγος ἔφθη δηλώσας, ὑπὸ τῆς κοινῆς ψήφου, μᾶλλον δ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, ὑπ' αὐτοῦ κληθεὶς τοῦ Θεοῦ, τί μὲν οὐκ ἐφθέγξατο τῶν δεόντων; τί δὲ τῶν ὅσα C χειραγωγεῖν οἶδε πρὸς τὴν ἀπλανῆ τρίβον τῆς σωτηρίας ἄπρακτον παρῆκε κἂν πρὸς βραχὺ, ὁ τοὺς μὲν πρακτικοὺς ὑπερελάσας ἐν λόγοις, τῶν δὲ βιβλίοις βιούντων ἐν τῷ πράττειν κεκρατηκώς; μᾶλλον δὲ τοὺς μὲν πρακτικοὺς ἐν ἔργοις νικήσας, τοὺς δ' ἐπὶ σοφίᾳ μέγα φρονοῦντας ἐν τῷ λέγειν παραδραμὼν, καὶ ἀμφοτέρους τὸ κατ' ἄμφω τελείως ἔχειν κατόπιν θέμενος, λόγοις ἦν ὑπαλείφων πρὸς ἀρετὴν, νουθετῶν, παρακαλῶν, ὑποστηρίζων τοὺς καταπίπτοντας· ἔργοις ἑαυτὸν παράδειγμα προτιθεὶς, τοῖς πᾶσι πάντα γενόμενος, ἵνα μηδεὶς τῶν προκειμένων ἄθλων ὀλιγωρήσας, τῶν ἐπηγγελμένων ἀποτύχῃ στεφάνων τοῖς καλῶς ἀγωνισαμένοις. Τὴν δ' ἐπιείκειαν αὐτοῦ πρὸς τοὺς ἐξ ἀγνοίας ἢ ῥᾳθυμίας τῆς εὐθείας παρατραπέντας, εἶτ' ἐξ ἐπαινουμένης D ἐπιστροφῆς Θεῷ καὶ τοῖς ἐκείνου σπλάγχνοις ἐπιδραμόντας· τὸ δὲ στεῤῥὸν καὶ βεβηκὸς καὶ οἷον ἀπαραχώρητον πρὸς τοὺς ψυχῆς ἀπαιδευσίᾳ καὶ αὐθαδείᾳ τοῖς χείροσιν ἐπιμένοντας, ἵν' ἐκ δύο τῶν ἐναντίων ἓν σωτηρίας φάρμακον συγκεράσῃ· τὴν δὲ προστασίαν τῶν δεομένων· τὴν δ' ἄλλην ἅπασαν, ὅση τε πρὸς τοὺς ἔνδον, οὐ μὴν ἀλλὰ καὶ τοὺς θύραθεν προσιόντας, πολυειδῆ κηδεμονίαν καὶ τὴν ἑκάστῳ γιγνομένην ἐπικουρίαν, ταῦτα δὲ τίς ἂν ἐπαινέσηται κατ' ἀξίαν; Οὕτω διὰ πάντων ἀποστολικῶς ἦν τὸ ποίμνιον διεξάγων, ὧν οὐδὲ τῆς χάριτος καὶ τοῖς ἐν θαύμασιν ἐνεργείας ἄμοιρος ἦν, ἃ παρὰ τῶν τότε καλῶς ἐπὶ χλόην ποιμανθέντων τῆς εὐσεβείας εἰς ἔτι καὶ νῦν θρυλλεῖται, οὐδαμῶς ἀπολειπόμενα τῶν πώποτε θαυμασθέντων. Οὐ μὴν, καίτοι πολλὰς οὕτω

Digitized by Google

καὶ μεγάλας πρὸς εὐδοκίμησιν ἀφορμὰς ἐκ τῆς πνευματικῆς ἀρχῆς ἐκείνης ἐσχηκώς, καὶ τῆς τῶν λογικῶν ποιμνίων ἐπιμελείας ἐπὶ μακρὸν ἠδυνήθη χρόνον ἐγκαρτερῆσαι, καὶ τὴν διάζευξιν τῆς θρεψαμένης, καὶ τῆς πνευματικῆς ἡλικίας εἰς τέλειον μέτρον προαγαγούσης ἡσυχίας πρᾴως ὑπενεγκεῖν· ἀλλ' ἐπὶ νοῦν ἀεὶ στρέφων, καὶ τῷ ταύτης ἔρωτι τετρωμένος, καίτοι τίς οὕτως ὥσπερ ἐκεῖνος νοῦν ἀκίνητον ἔχειν καὶ Θεῷ προσηλωμένον ἐν μέσοις πλήθεσι στρεφόμενος ἠδυνήθη; ταχέως τὰ δεσμὰ διαῤῥήξας, καὶ τὸ κατέχον ἐκ μέσου θέμενος πᾶν, ταῖς ἐκείνης αὖθις πτέρυξιν ὑπέθηκεν ἑαυτὸν, « Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, » τὸ τοῦ Δαβὶδ ὑποψάλλων· καὶ τῇ Ἀθανασίου τοῦ θείου λαύρᾳ προσεχώρησεν αὖθις, ὅσον οἷόν τε ἦν τῶν ἀνθρώπων ἀναχωρῶν, καὶ ἑαυτῷ τε καὶ Θεῷ συγγινόμενος· οὐ γὰρ ὥσπερ πρότερον, ἔνδον τοῦ περιβόλου τὴν οἴκησιν ἔχειν ὑπέμεινε σὺν τοῖς ἄλλοις, ἀλλ' ἔξω τειχῶν τὸν τῶν πολλῶν ἐκκλίνων θόρυβον ἦν. Τὸ μὲν δὴ μέχρι τούτων ἐκείνῳ τε ὁ τοῦ βίου δίαυλος ῥᾷον ἐχώρει καὶ κατὰ ῥοῦν, καὶ ἡμῖν ὁμαλῶς ὁ λόγος, ὀλίγα ἢ οὐδὲν δυσχεραίνων· τὸ δὲ ἐντεῦθεν τί τις ἂν χρήσαιτο; ἢ ποτέραν ἀκινδύνως ἕλοιτο τῶν ὁδῶν; Πάντα μὲν γὰρ τἀκείνου καταλέγειν σὺν ἀκριβείᾳ καὶ λόγους καὶ πράξεις καὶ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνάς τε καὶ κινδύνους μόνης ἦν τῆς ἐκείνου γλώττης καὶ διανοίας τοῖς οὕτω μεγάλοις ἔργοις πρὸς διήγησιν ἐξαρκούσης. Τούτων δ' αὖθις ἐκλεξαμένους ὀλίγα, τῶν λοιπῶν καταψηφίσασθαι σιωπὴν, πρὸς τῷ ῥᾳθυμίας ἐγκλήματι σφᾶς ὑπάγειν, ἔτι καὶ τὰς φιλοθέους ζημιώσομεν ἀκοὰς, μεγάλων οὕτω καὶ θαυμασίων διηγημάτων ἀποστεροῦντες· μέσην τοιγαροῦν χωροῦντες ἡμεῖς, ἵνα μήτε τοῦ δέοντος ἀποπίπτωμεν, τοῦ ὑπὲρ δύναμιν ἐγχειροῦντες, μήτε ῥᾳθυμίαν κατακριθῶμεν, τὰ καιριώτατα καταλιπόντες, οὕτω ποιησόμεθα τὸν λόγον, ἐκεῖνον ἐπίκουρον προστησάμενοι καὶ τὴν ἐκείνου πρὸς Θεὸν παῤῥησίαν· ἵν' ὥσπερ ἐν τοῖς ἔργοις ἐκεῖνος μεῖζον ἢ κατὰ τὴν ἀνθρωπίνην δύναμιν καὶ εἰπὼν καὶ πράξας ὤφθη καὶ καρτερήσας, οὕτω δὴ καὶ τὸν ἡμέτερον πρὸς τὸ δέον εὐθύνοι λόγον, καὶ μὴ παντάπασιν ἐῴη τοῦ προσήκοντος ἁμαρτάνειν.

Εἶχε μὲν οὖν ἐκεῖνον, ὥσπερ ἔφημεν, ἡ Ἀθανασίου τοῦ μεγάλου λαύρα πάσης ὑλικῆς προσπαθείας κεχωρισμένον, καὶ καθ' ἡσυχίαν τὸ μέλι τῆς ἀρετῆς φιλοπονώτερον ἐργαζόμενον. Ἔδει δὲ πρὸς δοκιμασίαν ἡμῖν Ἄδερ ἐπενεχθῆναι τὸν ἀλιτήριον, οὐ γῆν ἀγαθὴν δῃοῦντα καὶ ἀποκείροντα, οὐδὲ πόλεις οἰκουμένας εὖ ἀναστατοῦντα καὶ κατασκάπτοντα, ἀλλὰ Χριστοῦ τὴν Ἐκκλησίαν πολιορκοῦντα, καὶ μηχανήμασι καὶ τάφροις καὶ πᾶσι τρόποις πειρώμενον καταβάλλειν. Εἰδόσι λέγω, τὸ ἐκ Καλαυρίας κακὸν, τυφῶνά τις ἂν ἢ κεραυνὸν, τὸ προστυχὸν ἅπαν ἐμπιπρῶντα καὶ διαφθείροντα, ἢ καταιγίδα πάντα φύρουσαν καὶ συγχέουσαν, ἢ οὐκ οἶδ' ὅ τι ἄν τις εἰπὼν, ἀξίαν προσαρμόσαι προσηγορίαν· τοῦτο δὴ τὸ κακὸν ἐπὶ λύμῃ καὶ φθορᾷ τῇ καθ' ἡμᾶς οἰκουμένῃ παρεισφθαρὲν, καὶ τῆς οἰκείας μοχθηρίας ἀρ- **A** χήν τινα μικρὰν καὶ φαύλην πεποιημένον, ἐπὶ τοσοῦτον ἦρε τὴν φλόγα τῆς ἀσεβείας, καὶ οὕτω λαμπρὸν καὶ περιφανῆ τὸν πόλεμον ἐνεστήσατο, ὡς μὴ τὰ ἡμέτερα συγχέαι μόνον καὶ πολλῆς ἀηδίας ἐμπλῆσαι καὶ ταραχῆς, ἀλλὰ καὶ μέχρι τῆς ὑπερορίας τὴν κακίαν προενεγκεῖν· καὶ νήσους μὲν ὅλας τῷ πυρὶ τῆς ἀσεβείας διαφθεῖραι καὶ κατατρέψασθαι, ἑῴοις δὲ καὶ ἑσπερίοις κλίμασιν ἐκταθῆναι, καὶ μηδὲν τῆς οἰκουμένης μέρος σχεδὸν ἀπείρατον τῆς οἰκείας λύμης καταλιπεῖν. Ὅθεν δὲ ἡ ἀρχή; καὶ σκοπεῖτε ὡς φαύλη καὶ τῆς ἐκείνου μικρολόγου καὶ χαμερποῦς ἀξία τῆς διανοίας.

Ὠήθη μηδὲν ἐκεῖνος τῆς Ἑλληνικῆς σοφίας, καὶ τῶν συλλογισμῶν τῆς ἀνάγκης, καὶ τῆς ἐκ τούτων οἱονεὶ θηρευομένης ἀληθείας μεῖζον εἶναι καὶ ὑψη- **B** λότερον, μηδ' ᾧ τις ἂν μᾶλλον ἐν περινοίᾳ γένοιτο, τοὺς τῶν ὄντων εἰδέναι λόγους. Τὸ δ' ἔτι τούτων ἀνοητότερον καὶ μηδεμίαν ὑπερβολὴν ἀτοπίας ἐκλελοιπὸς, μηδ' αὐτῷ Θεῷ δύνασθαί τινα συγγενέσθαι, εἰ μὴ ταύτην ἔλθοι πρότερον τὴν ὁδὸν, καὶ Πυθαγόρᾳ καὶ Ἀριστοτέλει καὶ Πλάτωνι συγγενόμενος, καὶ φύσεως ἀνάγκας ἐκεῖθεν καὶ γενέσεως τῶν ὄντων, καὶ φθορᾶς ἀκολουθίαν μεμαθηκὼς, οὕτως ἐπὶ τὴν κατάληψιν ἔλθοι τῆς ἀληθείας. Εἰ γὰρ ἀλήθεια μὲν, ἔφασκεν, ὁ Θεὸς καὶ ἔστι καὶ ὀνομάζεται, τὸ δὲ τὴν ἀλήθειαν ἀγνοεῖν τὸν Θεόν ἐστιν ἀγνοεῖν, πᾶς δ' ὁ μὴ τὴν ἔξω σοφίαν πεπαιδευμένος, ἃ περὶ κινήσεως τῶν οὐρανίων σωμάτων ἢ φύσεως τοῖς σοφοῖς ἐξεύρηται τῶν Ἑλλήνων ἠγνοη- **C** κὼς, τὴν ἀλήθειαν ἀγνοεῖ, οὐδὲν ἄλλο λείπεται ἢ τὸν μὴ ταῦτα πεπαιδευμένον τὸν Θεὸν ἀγνοεῖν· ἄγνοιαν δὲ οὐδὲν ἕτερον ἢ σκότος εἶναι ψυχῆς· ὥσπερ καὶ τοὐναντίον φωτισμὸν ψυχῆς τὸ πάντα τὰ τοιαῦτα εἰδέναι. Εἰ δὲ ταῦτα τοῦτον ἔχειν ἀνάγκῃ τὸν τρόπον, μηδένα δύνασθαι πεφωτισμένον εἶναι, εἰ μὴ ὃς εἴη τὴν σοφίαν ταύτην ἐξησκημένος, τὴν θύραθεν δηλαδή· ἡ δὲ τοιαύτη ἄνοια, ἢ τἀληθέστερον εἰπεῖν μᾶλλον παραπληξία, οὐκ ἐκείνῳ μόνον ἦν τότε πρεσβευομένη, ἀλλὰ καὶ τῷ Λατίνων γένει παντὶ σχεδὸν οὕτως ἐκ μακροῦ τοῦ χρόνου μέχρι νῦν ἐνετάκη, ὡς καὶ τοῖς παρ' αὐτοῖς τὰ θεῖα φιλοσοφοῦσι καὶ τὸν μονήρη βίον ἀνῃρημένοις μηδὲν περισπούδαστον εἶναι, μηδ' ὃ δοκεῖ μᾶλλον ἄγειν εἰς τελειότητα, ἢ τῇ μωρίᾳ ταύτῃ προσέχειν **D** καὶ περὶ ταῦτα κρατίστους εἶναι. Καὶ ἴδοις ἂν τι γελοῖον, ἢ μᾶλλον θρήνων ἄξιον ἐκείνοις συμβαῖνον· μειρακίοις ἐν παιδευτηρίοις ἐν ἡλικίᾳ συνόντας εἰ τύχοι πρεσβυτικῇ, καὶ τὴν ἔξω σοφίαν παιδευομένους, καὶ τῷ σεμνῷ τῆς πολιτείας τῷ ὄντι μὲν ἐνυβρίζοντας, αὐτοὺς δ' ὑπ' ἀνοίας μᾶλλον σεμνυνομένους, καὶ νομίζοντάς τι προὔργου ποιεῖν, τῶν ὄντως καλῶν καὶ οἰκειούντων Θεῷ, καὶ τὴν ψυχὴν δυναμένων φωτίζειν καταμελοῦντας.

Ἐκεῖνος μὲν οὖν περὶ τῶν μεγάλων οὕτω μικρολόγως διενοεῖτο, παρ' ἡμῖν δ' ἀκούων εἶναι τῶν ἐν ἡσυχίᾳ ζώντων τοὺς πλείστους, οἳ λόγου μὲν καὶ τῆς ἔξω σοφίας παντάπασιν ὄντες ἄγευστοι, παθῶν δὲ κρατοῦντες, καὶ πᾶσαν ἀρετὴν ἀκριβῶς μετιόντες, καὶ τῷ Θεῷ συγγινόμενοι νοῦ καθαρότητι

Digitized by Google

καὶ τῷ πάσης ὑλικῆς προσπαθείας ἀφεστακέναι, φωτίζονταί τε τὸν νοῦν τῇ τοῦ πρώτου καὶ ἀκραιφνεστάτου φωτὸς ἐλλάμψει, καὶ τοὺς τῶν ὄντων ἐκδιδάσκονται λόγους, καὶ σοφοὶ τὰ θεῖα καὶ τὰ ἀνθρώπινα γίνονται, ἤλγει σφοδρῶς, τὴν δόξαν τῆς τοῦ παντὸς αὐτῷ τιμωμένης σοφίας διαπίπτουσαν συνορῶν, καὶ ἠρεμεῖν οὐκ εἶχε τῷ φθόνῳ νενικημένος, καὶ διαβάλλειν ἐπειρᾶτο σθένει παντὶ οὐ τοὺς ἐν ἡσυχίᾳ μόνον βιοῦντας, ἀλλὰ καὶ ἡσυχίαν αὐτὴν πλάνην εἶναι τῶν μετιόντων πρὸς ἀπάτην συνεσκευασμένην τῶν ἀκουόντων διατεινόμενος· μηδὲ γὰρ ἐξεῖναι φωτισθῆναι τὸν νοῦν, ἀγνοίας αὐτὸν τοσαύτης περικεχυμένης· δεῖν γὰρ εἶναι μηδὲν ἀγνοεῖν τῶν τοῖς πρότερον σοφοῖς πᾶσιν ἐξευρημένων, καὶ πάντα ὁτιοῦν ἐκείνοις φοιτᾷν, οἳ τῶν βελτιόνων δύνανταί τι διδάξαι, κἂν Ἕλληνες ὦσι, κἂν Σκύθαι, κἂν βάρβαροι, εἰ μέλλοι τὸν νοῦν ἔχειν πεφωτισμένον, καὶ τῶν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων τὴν γνῶσιν ἔχοντα. Ταῦτα οὐ μόνον τοῖς αὐτῷ φοιτῶσι διελέγετο μειρακίοις, ἀλλὰ καὶ λογογραφῶν ἦν, καὶ οἷον ἐπιδεικνύμενος καὶ τὸ ἐκείνου μέρος ἐπανορθούμενος τῶν ἡσυχαζόντων τὴν πλάνην, καὶ πάσῃ πειρώμενος μηχανῇ τῆς μὲν ἡσυχίας ἀφίστασθαι πείθειν πάντας, τοῖς σοφοῖς δὲ τῶν Ἑλλήνων τὸν νοῦν προσέχειν, καὶ δι' ἐκείνων τῆς ἀγνοίας καθαίρειν αὐτὸν πειρᾶσθαι.

Ἐκείνῳ μὲν οὖν οὐκ ἐν παρέργῳ κατὰ τῆς ἡσυχίας τὰ τοιαῦτα ἐσκαιωρεῖτο· οὐ μὴν οὐδ' οἱ ταύτῃ συντεθραμμένοι, καὶ μόνην παθῶν ἀπαλλαγὴν εἶναι καὶ πρὸς Θεὸν οἰκείωσιν καὶ ἀνάβασιν τῇ πείρᾳ καλῶς εἰδότες, ἀμύνειν ἠμέλουν πολεμουμένῃ· ἀλλὰ σπουδῆς μὲν καὶ προθυμίας οὐδὲν ἐλλιπόντες, Γρηγόριον δὲ παρ' ἑαυτοῖς τὸν μέγαν μὴ κεκτημένοι· ἐν Θεσσαλονίκῃ γὰρ ὁ πόλεμος ἐλάμβανε τὴν ἀρχήν· ἐκείνου τῇ λαύρᾳ, καθὼς ὁ λόγος ἔφθη δηλώσας, ἐπιδημοῦντος· ἐπεὶ τοίνυν ἐκεῖνον ὁρᾷν οὐκ εἶχον, ὃν μόνον ᾔδεσαν ἀξιόχρεων καὶ λόγου δυνάμει καὶ τῇ τοῦ Πνεύματος χάριτι πρὸς τὸν οὕτω ποικίλον ἀντικαθίστασθαι δυνάμενον πόλεμον καὶ βαρὺν, γράμμασι πρεσβεύονται πρὸς αὐτὸν, τοῦτο μὲν ὅσα Βαρλαὰμ κατὰ τῆς ἱερᾶς ἡσυχίας καὶ τῶν ταύτῃ προσεχόντων εἶπε καὶ συνεγράψατο σαφῶς δηλοῦντες, τοῦτο δὲ καὶ δεόμενοι, πρὸς ἄμυναν ἀναστῆναι καὶ μὴ παριδεῖν τὸ νῦν μὲν εἶναι τὴν ἡσυχίαν ὑβριζομένην, μετ' ὀλίγῳ δὲ καὶ τῷ κοινῷ τῆς Ἐκκλησίας, εἰ παροφθείη, λυμανούμενον τὸ κακόν. Τί οὖν ἐκεῖνος; τῇ μὲν ἐνοικούσῃ τοῦ Πνεύματος χάριτι τὰ μέλλοντα προορώμενος, τὴν ἐσομένην προεῖπε βλάβην, ὡς πολλή τις ἔσται καὶ χαλεπὴ, καὶ ὡς καλῶς κυβερνωμένῃ τοῦ Πνεύματος αὔρᾳ, καὶ χρόνον οὐκ ὀλίγον ἤδη βαθεῖαν εἰρήνην ἀγούσῃ τῇ Ἐκκλησίᾳ σάλος οὐ μικρὸς καὶ χαλεπὸς ἐπεγερθήσεται κλύδων, καὶ τὴν πάλαι τῶν ἁγίων πρόῤῥησιν εἰς ἔκβασιν ἥκειν ἤδη, οἳ πρὸς τοῖς ἐσχάτοις ἔφασαν χρόνοις αἵρεσιν χαλεπὴν ἐπεισκωμάσειν τῇ Ἐκκλησίᾳ.

Διχῇ δὲ τῆς γνώμης διαιρουμένης, καὶ θορύβων μὲν ἀπηλλάχθαι, καὶ ἀπραγμοσύνῃ συζῆν, καὶ ψυχῆς ἠρεμίᾳ καὶ γαληνότητι τοῦ παντὸς τιμωμέ- A νῳ, τὸ δὲ τῆς εὐσεβείας ὑπερμαχεῖν, καὶ τὴν ἤδη φυομένην αἵρεσιν ἀναστέλλειν, καὶ λυσιτελὲς ἡγουμένῳ σφόδρα καὶ ἀναγκαῖον, τοῦ ἰδίου τὸ κοινὸν προτιμᾷ, καὶ τὸ τῆς ἀρετῆς ἐργαστήριον τὸν Ἄθω καὶ τὴν ἡσυχίαν ἀπολιπὼν, εὐθὺ Θεσσαλονίκης χωρεῖ. Ποθοῦσι δὲ τοῖς φίλοις ὀφθεὶς, πάνθ' ὅσα πρᾶξαι τε καὶ φθέγξαιτο κατ' αὐτῶν τε καὶ τῆς ἡσυχίας, ὁ πρὸς αὐτοὺς τὸν πόλεμον ἀνῃρημένος σαφῶς ἐκμαθὼν, ἐκείνου μὲν κατεγίνωσκεν ἀβελτηρίαν καὶ πολλὴν αὐθάδειαν τρόπων καὶ ἀκρισίαν λογισμῶν, εἰ ὧν καθάπαξ ἦν ἀμαθὴς, τοῖς σφόδρα περὶ ταῦτα ἠσχολημένοις καὶ διὰ βίου παντὸς ἐξητασκηκόσιν ἐνόμισεν ἀμφισβητεῖν δεῖν· καὶ μὴ μόνον εἰς λόγους ἥκειν, καὶ βλέμμασι σοφιστικοῖς τῶν ἐκ τῶν θεοφόρων ἀνδρῶν ἄνωθεν παραδεδομένων B ἀφίστασθαι πειρᾶσθαι πείθειν, ἀλλ' εἰ μὴ πείθοιντο καὶ συκοφαντίαις πολλαῖς καὶ λοιδορίαις καὶ ὕβρεσιν ὑποβάλλειν· οὐ μὴν καὶ πρὸς τὸ πολεμεῖν ἐκείνῳ πρόθυμος ἦν, ὅτι δέοι τῆς ἡσυχίας καὶ τῆς ἐν τῇ ψυχῇ γαλήνης ἐννοῶν, καὶ τῆς ἐκεῖθεν ἀγαλλιάσεως ἀποστὰς, ἀντιλογίαις προσέχειν, καὶ πολλῆς ἐμπίπλασθαι τῆς ἀηδίας καὶ ταραχῆς. Διὸ καὶ πάντα τρόπον ἐπειρᾶτο τὴν κινουμένην ἔριν κατακοιμίζειν καὶ πείθειν τὸν τῇ φλογὶ ταύτῃ τὴν αἰτίαν παρεσχηκότα, τὸν μὲν κεκινημένον πόλεμον κατατίθεσθαι, καὶ τῶν κατὰ τῆς ἡσυχίας ἀποσχέσθαι βλασφημιῶν, καὶ τοῖς πολεμηθεῖσιν ἀδίκως σπείσασθαι, σοφίᾳ δὲ τῇ ἔξω προσέχειν ἧς τὰ πρῶτα φέρεται, καὶ ταύτῃ πειρᾶσθαι τὴν παρὰ τῶν πολλῶν ἢ καὶ τῶν σοφωτέρων εὐφημίαν καρποῦσθαι, C καὶ μὴ πρὸς οὐδὲν αὐτῷ χρήσιμον ἀποδύεσθαι τὸν ἀγῶνα. Ὁ δὲ, καὶ γὰρ ἔδει χαλεπὸν ἡμῖν τὸ κλυδώνιον ἐγερθῆναι, καὶ θεραπευόμενος ὠλιγώρει, καὶ πρὸς εἰρήνην παρακαλούμενος οὐχ ὑπήκουεν· ὅθεν καὶ Γρηγόριος ἐχρῆτο τοῖς λόγοις, καὶ τὴν σοφίαν τοῦ Πνεύματος ἀντετίθει τῇ καταργουμένῃ κατὰ Παῦλον σοφίᾳ, καὶ τὰς ἐκ τῶν συλλογισμῶν ἀνάγκας, καὶ τὰ σοφίσματα διέλυεν εὐχερῶς· τῶν ἀγαθῶν μὲν εἶναι τὸν λόγον καὶ τὴν σοφίαν δὴ ταύτην ἀποδεικνὺς, ἀλλ' οὐχ ὥστε καὶ Θεῷ δύνασθαι οἰκειοῦν· μᾶλλον μὲν οὖν καὶ φυσῶσαν, καὶ Θεοῦ πόῤῥω βάλλουσαν, εἴ τις αὐτῇ μὴ κατὰ λόγον χρῷτο μηδ' ὡς προσῆκον, ἀλλ' αὐτῇ προσέχοι διηνεκῶς ματαίᾳ καὶ ἀνοήτῳ σχολῇ τὸν βίον καταD ναλίσκων, καὶ μηδὲν εἰς τὴν ἐκεῖθεν μακαριότητα συντελούσῃ, ἔνθα μὴ σοφία λόγων καὶ δύναμις πλέον ἔχει τῆς ἀμαθίας, ἀλλ' ἡ τῶν σωτηρίων ἐντολῶν τήρησις τοῦ Χριστοῦ, καὶ ἡ κατ' αὐτὰς ἐργασία καὶ ψυχῆς ἐκ τῶν αἰσχίστων παθῶν κάθαρσις καὶ συντήρησις, καὶ πρὸς Θεὸν καθ' ὅσον ἔξεστι νεῦσίς τε καὶ οἰκείωσις τῆς ἀλήκτου μακαριότητος καὶ τῆς αἰωνιζούσης εὐδαιμονίας γίνεται πρόξενος. Τοῖς γε μὴν τὸν μονήρη βίον ἀνῃρημένοις καὶ μέτρα τίθησι καὶ ὅρους τινὰς ἐφ' ὅσον δεῖ, καὶ ὅτε τῇ παιδείᾳ ταύτῃ προσέχειν, μᾶλλον δ' εἰ πρὶν εἰς τοῦτο σχήματος ἥκειν, ταύτης ὁπωσοῦν ἔτυχον μετασχόντες, ὅπως μὴ δέον τοῖς ματαίοις τούτοις τὴν διάνοιαν ἀσχολεῖν, ἀλλ' ὥσπερ ἄλλης πάσης ὑλικῆς προσπαθείας, οὕτω δὴ καὶ ταύτης χρήσιμον ὑπερ-

Digitized by Google

ηρκότας τὸν νοῦν, Θεῷ προσέχειν διηνεκῶς τὸ τῆς A ψυχῆς ἀποκαθαίροντας ὄμμα, καὶ δεκτικὸν ποιοῦντας τῶν θείων ἀπαυγασμάτων· καὶ ὥσπερ ἐκ ταπεινοτέρων, τῶν τῆς πράξεως δηλαδὴ μεταβαίνοντας ἀγώνων καὶ παλαισμάτων ἐπὶ τὴν θεωρίαν χωρεῖν, καθ' ἣν προκόπτοντας οὐ τὰς αἰσθήσεις μόνον ἀπράκτους μένειν συμβαίνειν, ἀλλὰ καὶ τὸν νοῦν αὐτὸν πᾶσαν νόησιν καὶ κίνησιν ἀποτίθεσθαι, καὶ ἄγεσθαι ᾗ ἂν ἄγωνται δοκρίῃ, ἐλλάμψεών τε καὶ φωτισμῶν ἐκεῖθεν ἀναπίμπλασθαι θείων, καὶ λόγους κτίσεως ἐκδιδάσκεσθαι, καὶ μυστηρίων ἀῤῥήτων γενομένους μετόχους, εἰς τὸ ἀρχαῖον ἐπανέρχεσθαι κάλλος, καὶ πάντα γίνεσθαι μετουσίᾳ, ὅσα φύσει φέφυκεν εἶναι Θεός. Ταῦτα δὲ πᾶσι κοινὰ προκεῖσθαι ἀγωνίσματα καὶ βραβεῖα οὐ τοῖς λόγου μόνον καὶ τῆς ἔξω σοφίας μετεσχηκόσιν, B ἀλλὰ καὶ τοῖς καθάπαξ τούτων ἀπείρως ἔχουσιν, οὐδὲν παραβλαπτομένοις πρὸς τὴν κτῆσιν τῶν ἀποῤῥήτων ἀγαθῶν ἐκείνων· ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν, ῥᾷον πρὸς τελειότητα τῆς πνευματικῆς ἡλικίας ἀφικνουμένοις, ἅτε δὴ πρὸς τὸ ἄτυφον καὶ ταπεινὸν εὖ μάλα διακειμένοις, ἐπειδὴ καὶ τοῖς τοιούτοις ἑαυτὸν ὡς τὰ πολλὰ φιλεῖ ἐμφανίζειν. Τοὺς γὰρ ὑπερηφάνους ὁ θεῖος ἔφη Δαβὶδ ἕως σφόδρα παρανομεῖν· ἐξ ὧν συμπεραίνεται, μὴ τὴν σοφίαν τοῦ κόσμου τούτου τὴν καταργουμένην φωτίζειν δύνασθαι τὴν κεκτημένην ψυχὴν, μηδ' οἰκειοῦν Θεῷ, ἀλλὰ τὴν διὰ τῶν ἔργων τῷ ὄντι φιλοσοφίαν, ἣ καὶ καθαίρειν δύναιτ' ἂν καὶ φωτίζειν, καὶ φίλους Θεῷ καὶ ἀσωμάτοις παραπλησίους τοὺς C αὐτῇ προσέχοντας ἀπεργάζεσθαι. Ὑπὲρ μέντοι τῆς ἱερᾶς ἡσυχίας οὕτω σαφῆ καὶ καθαρὸν πεποίηται τὸν λόγον, καὶ οὕτως ἐπὶ πᾶν ἀκριβείας ἥκοντα καὶ ἐμπειρίας τῆς κατ' αὐτὴν, ὡς μηδένα μηδαμῶς τῶν πρότερον θεοφόρων ἀνδρῶν ἐπὶ ταύτην ἑαυτοὺς καθέντων τὴν πραγματείαν, οὕτω κατάλληλον θέσθαι καὶ πᾶσιν ἐφαρμόζουσαν τὴν διδασκαλίαν, καὶ τελείοις καὶ ἀτελέσι καὶ μέσοις, καὶ μηδὲν ἐλλελοιπέναι τῶν ἑκάστῳ προσφυῶν τε καὶ οἰκείων θεωρημάτων.

Οἱ μὲν οὖν ὑπὲρ ἡσυχίας τοῦ μεγάλου Γρηγορίου λόγοι, λοιδορουμένης καὶ τὰ ἔσχατα πασχούσης ἀδίκως, οὕτω λαμπροὶ καὶ τῆς πνευματικῆς καὶ τῆς ἐκτὸς σοφίας οὐδεμίαν λελοιπότες ὑπερβολὴν· ὑπὲρ ὧν οὐδὲ βουλομένοις μὴ ὅτι γ' ἐπαινέσαι πρὸς D ἀξίαν ἡμῖν ἐξέσται, ἀλλ' οὐδ' ἁπλῶς ὑπογράψαι τῷ λόγῳ καὶ τὴν συντονίαν καὶ τὸ κάλλος καὶ τὸ βάθος τῶν νοημάτων, ὧν εἴ τις τὴν ἐν πᾶσιν ἀγαθοῖς ὑπερβολὴν ἐθέλοι καταμαθεῖν οὐκ ἑτέρωθέν ποθεν, ἀλλ' ἐξ αὐτῶν ἐκείνων τοῦ ποθουμένου τυχεῖν ἐξέσται. Λόγοις μὲν οὕτω τῇ εὐσεβείᾳ πολεμουμένῃ σὺν πολλῇ παρέστη τῇ προθυμίᾳ τε καὶ σπουδῇ· ἐπεὶ δὲ τὸν ὑπὲρ αὐτῆς ζῆλον οἷον ἐν τῇ ψυχῇ φέρων ἦν, καὶ ἔργοις ἔδει φανερὸν καθιστᾶν, καὶ μηδ' ἐν τούτῳ τῷ μέρει τῶν πολλὰ καμόντων ὑπὲρ τῆς εὐσεβείας ἀπολειφθῆναι, τί γίνεται; Τὸ πρὸς οὕτω γενναῖον ἀνταγωνιστὴν πολεμεῖν ὁ Βαρλαὰμ ἀπογνούς· ἤδη γὰρ ἐκ πρώτης ἀφετηρίας κατάκρας ἦν νενικημένος καὶ ᾐσχυμμένος, ἐπὶ τὴν μεγάλην πόλιν χωρεῖ οὐ κράτει λόγων θαῤῥῶν τοσοῦτον, ὅσον ᾤετο διαβολαῖς καὶ συκοφαντίαις τοῦ μεγάλου περιέσεσθαι Γρηγορίου, ἀλλ' ὥσθ' ἔτι καὶ τῶν Ἑλληνικῆς ἐνταυθοῖ μετεσχηκότων παιδείας ὄντων πολλῶν, καὶ διὰ τοῦτ' ἐκείνου σφοδρῶς περιεχομένων, ἐφ' οὕτω σαθροῖς ἐρείσμασι τὸ πρὸς ἐκεῖνον δυσμενὲς ὑπερείσας· ἤδη γὰρ πρὸς ἐκεῖνον πᾶς ὁ πόλεμος ἐξεῤῥάγη· τῶν προτέρων εἴχετο πάλιν πλάνην αὐτοῦ καταβοῶν, καὶ τὴν ἡσυχίαν ὡς τῆς πλάνης αὐτῷ ταύτης καταμεμφόμενος· διθεΐαν τε καὶ τῶν ὀρθῶν δογμάτων παρατροπὴν ἐγκαλῶν, καὶ πάντα ἀντινοῦν αὐτῷ πειρώμενος ἐπεγείρειν, καὶ ψῆφον ἐκείνου μηχανώμενος, ὡς ὀρθῶς μὴ φρονοῦντος ἐρήμην κατενεχθῆναι. Ὁ κἂν συνέβη ταῖς ἀπάταις ἐκείνου καὶ τοῖς σοφιστικοῖς κλέμμασι καὶ περινοίαις πάντων πλὴν ὀλίγων ὑπενεχθέντων, οὕτω σοφῶς τοῦ Θεοῦ τὰ κατὰ τὸν μέγαν τῆς εὐσεβείας ἀγωνιστὴν συγχωροῦντος, ἵνα καὶ μᾶλλον ἀνακηρυχθῇ καὶ λαμπρότερος ἐπὶ τῶν ἔργων δειχθῇ, ὡς μόνος οὕτω φλόγα τῆς ἀσεβείας πρὸς ὕψος ἀέριον ἐξαρθεῖσαν δυνηθεὶς κατασβέσαι, εἰ μὴ ταχέως ἐκεῖνος ἐπιφανεὶς, ἅπαντα ἀνέτρεψε καὶ διέλυσεν. Ὡς γὰρ ἐπὶ δίκην ἐδόκει καλεῖν ἐκεῖνον, τῶν μήπω συνθεμένων τῇ δυσσεβείᾳ τοῖς πράγμασι ὀρθῶς διαιτώντων, καὶ δεῖν οἰομένων καταψηφίζεσθαι μηδενὸς πρὶν καιρὸν εἰς ἀπολογίαν λαβεῖν, καὶ τῷ ἐγκαλοῦντι κατὰ πρόσωπον ἀντιστῆναι, ἐκεῖνος μὲν ἀναβαλλόμενος οὐδὲν ὀξέως παρῆν· πάντα δ' ὑπεχώρει τὰ χαλεπὰ ῥᾷον ἢ ἡ τοῦ φωτὸς παρουσία τὸ σκότος διαλυόμενα, καὶ ἡ ἀλήθεια τὴν προσήκουσαν ἐλάμβανε παῤῥησίαν, καὶ τὸ ψεῦδος κατησχύνετο δραπετεῦον· οὐ γὰρ ἦν οὐδεὶς, ὃς τῆς ἐκείνου γλώττης τῆς θεολόγου καὶ τῆς ὑψηλῆς διανοίας καὶ οὐρανίου πεῖραν λαμβάνων, οὐκ εὐθὺς ἐπὶ τὴν ἀποστολικὴν καὶ πατρικὴν ἐνήγετο πίστιν, καὶ σαφῆ τὴν συμφωνίαν τοῖς ὑπ' ἐκείνου λεγομένοις πρὸς τοὺς θεοφόρους θεολόγους καὶ τῶν πιστῶν τῆς Ἐκκλησίας διδασκάλους συνεμαρτύρει· εὐθὺς μὲν οὖν καὶ πρὶν εἰς χεῖρας ἥκειν τὸν πολέμιον τρεψάμενος ἦν, πάντων αὐτῶν δυσσέβειαν κατεγνωκότων πολλὴν, καὶ δεῖν οἰομένων μετὰ τῆς βλασφήμου γλώττης ποιεῖν ἐκ μέσου, καὶ μὴ πρόφασιν ἀπωλείας καταλείπειν τοῖς ἁπλουστέροις.

Ἐπεὶ δὲ καὶ λαμπρῶς ἐπὶ θεάτρου τὸν ἀθλητὴν ἀνακηρυχθῆναι προσῆκον ἦν, καὶ τὴν δυσσέβειαν μᾶλλον αἰσχυνθῆναι θριαμβευθεῖσαν, καὶ τοῦτο γίνεται μεθ' ὅσης ἂν τις εἴποι τῆς παῤῥησίας καὶ τῆς λαμπρότητος· τοῦ γὰρ πολλοῖς τροπαίοις τὴν ἑσπέραν διαλαβόντος, ἄρτι τῆς στρατείας ἐπανήκοντος βασιλέως, ἡ σύνοδος, αὐτοῦ παρόντος καὶ τοῖς πράγμασιν ἀξίως ἑαυτοῦ διαιτῶντος, συνεκροτεῖτο· οὐ τῶν λογάδων μόνον τῆς Ἐκκλησίας, καὶ τοῦ τὴν ἱερὰν ἀρχὴν τότε πεπιστευμένου, καὶ ὅσοι τῶν ἐν τέλει καὶ ἄλλως ἐπιφανῶν, ἀλλὰ καὶ τῆς πόλεως σχεδὸν ἁπάσης σπουδῇ συνδεδραμηκότων, ζημίαν οὐ μικρὰν ἑκάστου λογιζομένου πανηγύρεως τοιαύτης ἀπολειφθῆναι. Τὴν μὲν οὖν Γρηγορίου τοῦ μεγάλου τότε σπουδὴν, καὶ τὴν περὶ τὸ λέγειν τέχνην, ἢ τὴν πνευματικὴν μᾶλλον σοφίαν καὶ τὴν ἐξ ὕψους δύναμιν ἦν

Digitized by Google

ἐνεδίδοντο, καὶ ἡ τῶν ἐναντίων ἀπετέφρου τοὺς λόγους, οὐ ῥᾴδιον οὐδ' εὐχερὲς ἐμοὶ γοῦν διελθεῖν. ἐκεῖνο δὲ μόνον ἀναγκαῖον εἰπεῖν, ὅτι πάντας κατέπληξε καὶ φίλους καὶ πολεμίους· τοὺς μὲν οἷς ἦγχεν, ἐπιστομίζων στεῤῥαῖς ἀνάγκαις, τοὺς φίλους δὲ, καὶ τῶν πώποτε θαυμασθέντων ἐπὶ σοφίᾳ πολλῷ τῷ μέσῳ δόξας κεκρατηκέναι.

Ὁ μὲν οὖν περὶ εὐσεβείας ἀγὼν αὐτῷ τοιοῦτον εἰλήφει πέρας, λαμπρὸν οὕτως ἀπὸ τῶν πολεμίων τρόπαιον ἀναστήσαντι, καὶ τὸν πρὶν διώκτην καὶ ὑβριστὴν συνθέσθαι τῇ εὐσεβείᾳ καταναγκάσαντι, κἂν πρὸς ἀπάτην ἦν αὐτῷ καὶ ψεῦδος τὰ εἰρημένα, τῷ καιρῷ καὶ τοῖς πράγμασι πανούργως μεθαρμοσθέντι. Οὐ μὴν ὁ τοῖς ἀγαθοῖς ἐχθρὸς καὶ πολέμιος ἐξ ἀρχῆς Γρηγόριόν τε καὶ τὴν ὀρθὴν ὑπὲρ ἧς ἐκεῖνος ἠγωνίζετο πίστιν πολὺν χρόνον ἀπείραστον ὑπέμεινεν ἐκλιπεῖν· ἀλλ' ἐπεὶ μετὰ τῆς βλασφήμου γλώττης οὐκ ἐν πολλῷ τῷ μέσῳ τῆς κακίας ὁ ἀρχηγὸς ἐκεῖνος ἐκποδὼν ἦν, τοῖς φίλοις προσχωρήσας Λατίνοις, καὶ ἡ τῆς ἀσεβείας φλὸξ καλῶς ἐδόκει κατασβεσθῆναι, ἀθρόον ἐκείνου πολλῷ χαλεπώτερος πόλεμος ἐξεῤῥάγη· τῶν γὰρ ὁμιλητῶν ἐκείνου καὶ φοιτητῶν ὁ μάλιστα τῆς λύμης μετεσχηκὼς οὐ τοῦ πρὸς τὴν εὐσέβειαν μόνον, ἀλλὰ καὶ τοῦ πρὸς τὸν μέγαν πολέμου κληρονόμος εὐθὺς ἐδείκνυτο. Καὶ πάλιν ἀγώνων ἑτέρων καὶ σκαμμάτων ἀρχὴ πολλῷ τῆς προτέρας χαλεπωτέρα· ἐφιλονείκησε γὰρ ὁ δεύτερος ὑπερβαλέσθαι κακίᾳ τὸν πρὸ αὐτοῦ, καὶ τῆς ἀσεβείας καθόσον οἷόν τε πολλῇ προστῆναι σπουδῇ· μείζω τε γὰρ ἐκείνου καὶ χαλεπώτερα πρὸς λόγον ἀσεβείας ἐξεῦρε, καὶ τῆς βλασφημίας πολλοὺς εἰργάσατο κοινωνούς. Οὐ μὴν οὐδ' ὁ τῆς εὐσεβείας ἀγωνιστὴς Γρηγόριος ἠμέλει πρὸς ταῦτα, ἀλλὰ παντοῖος ἦν, ἔργοις καὶ λόγοις τὴν ἐξαφθεῖσαν φλόγα κατασβέσαι φιλονεικῶν· καὶ πρῶτα μὲν Ἀκινδύνῳ πολλὴν προσῆγε τὴν θεραπείαν, ἐλέγχων, ἀποδεικνὺς, τὴν κοινωνίαν τῆς ἀσεβείας προσονειδίζων, πάντα πράττων ὅπως ἐκεῖνον ἴδῃ πρὸς τὴν εὐσέβειαν μεταθέμενον· ἐπεὶ δ' ἀνίατα νοσῶν, καὶ τὴν τῆς ἀσεβείας ἄχρι τρυγίου κύλικα σπάσας ἐκεῖνος ἦν, τοῖς λόγοις ἐχρῆτο καθάπερ βέλεσι καὶ τὸ πονηρὸν ἐτίτρωσκε στῖφος, λογογραφῶν μὲν τὴν εὐσέβειαν, καὶ παντὶ τῷ βουλομένῳ προτιθέμενος ἀκριβῶς τὰ τῆς θεολογίας ἀπόῤῥητα, καὶ τὰ βάθη τοῦ Πνεύματος μετὰ τοῦ Πνεύματος ἐρευνῶν, καὶ διὰ πάντων τοῖς ὑπὲρ τῆς ἀληθείας ἠγωνισμένοις διδασκάλοις τῆς Ἐκκλησίας ὁμογνώμων καὶ σύμπνους ἀναδεικνύμενος· τοῖς δὲ ψευδέσιν ἐκείνων λόγοις κατὰ τῆς ἀληθείας ἐξευρημένοις πολέμιος ἀτεχνῶς, καὶ πάντα ὥσπερ ἀδρανῆ τινα καὶ σεσηπότα δίκτυα διαλύων. Δεῆσαν δὲ καὶ σύνοδον αὖθις πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν ἀθροισθῆναι, τάχιστα μὲν συνεκροτεῖτο μεγάλη καὶ πολυάνθρωπος· ὁ δὲ τῆς ἀληθείας ὑπέρμαχος καὶ στεῤῥὸς ἀγωνιστὴς, ὁ πολὺς ἐν σοφίᾳ καὶ πλείων ἐν εὐσεβείᾳ Γρηγόριος, οὐδὲ πολλῶν ἐδεήθη λόγων πρὸς ἔλεγχον τῆς κακίας, ἀλλ' ἤρκεσε μόνον τοῖς προτέροις ὁμογνώμονας ἀποδεῖξαι τοὺς ἀντικαθημένους καὶ ἀντιδόξους, καὶ πάντα ἦν ῥᾷστα διηνυκὼς, καὶ τῶν ὀρθῶν παραχαράκτας δογμάτων καὶ πολεμίους τῆς

A ἀληθείας τοὺς ἀντιπάλους ἀποδεικνύς· πάντες γὰρ ὥσπερ ἐκ μιᾶς καὶ γλώττης καὶ γνώμης δυσσέβειαν μὲν ἐκείνων κατεψηφίζοντο, καὶ ταῖς αὐταῖς ἐπῆγον ἐπιτιμίαις, αἷς καὶ τὸν πρώτως τῆς αἱρέσεως ταύτης ἄρξαντα, εἰ μὴ μεταβάλοιεν καὶ τὴν ὀρθὴν ἀσπάσαιντο πίστιν· Γρηγόριον δὲ καὶ λόγοις καὶ γράμμασιν ἀνεκήρυττον, καὶ τὰ βέλτιστα πάντα προσεμαρτύρουν, καὶ πολλῆς ἠξίουν τῆς εὐφημίας καὶ τῶν κρότων καὶ τῶν στεφάνων.

Ἆρ' οὖν ἐν μὲν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν οὕτως ἦν θερμὸς καὶ ζέων τῷ πνεύματι, καὶ πάνθ' ὅσα χρὴ τὸν θεολόγον μετὰ πολλῆς ὢν τῆς ὑπερβολῆς, ἐν τοῖς κατ' ἀρετὴν ἔργοις λαμπρὸς καὶ περιφανὴς, ὀξὺς τὸν νοῦν καὶ πεφωτισμένος τῷ θείῳ Πνεύματι, τῇ τῶν Γραφῶν ἐμπειρίᾳ τοὺς ἐπ' ἐκεῖνο τοῦ χρόνου κατό- B πιν θέμενος, οἶμαι δὲ καὶ τοὺς ὕστερον ἐσομένους· τοῦ χειμῶνος δὲ τῶν πειρασμῶν προσβαλόντος, καὶ σάλου πολλοῦ καὶ τοῦ ῥοθίου τῶν δεινῶν περισχόντος, μικρόψυχόν τι καὶ ἀγενὲς ἢ πράξας ὤφθη, ἢ καὶ μελετήσας; οὐδαμῶς· ἅπαν μὲν οὖν τοὐναντίον, μετὰ πολλῆς τὰς τῶν δεινῶν ἐπιφορὰς της πρᾳότητος καὶ τῆς μακροθυμίας ὑπενεγκών· ἐπειδὴ κἀκεῖνα πολλὴν αὐτῷ προξενήσοντα τὴν εὐδοκίμησιν ᾔδει, μᾶλλον δ' ὅτι καὶ ταῦθ' ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ἑαυτῷ συνῄδει καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας ὑπενεγκόντι. Ὡς γὰρ ὁ πρὸς ἀλλήλους τοῖς ὁμοφύλοις πόλεμος κακῶς μὲν, καὶ ὡς οὐκ ὤφελε, τὴν γὰρ κοινὴν εὐτυχίαν Ῥωμαίοις ἀνάλωσε καὶ διέφθειρε, κακοῖς περιέβαλε τοῖς ἐσχάτοις, ἀνῆπτον δ' οὖν ὅμως· τί γὰρ C δεῖ τὰ πᾶσι γνώριμα διεξιόντα, τῶν ἐντυγχανόντων ἀποκναίειν τὰς ἀκοάς; κινεῖται μὲν καὶ ὁ τὴν ἀρχὴν τηνικαῦτα τῆς μεγάλης τῶν πιστῶν Ἐκκλησίας πεπιστευμένος, ἀναλόγως ἂν τις εἴποι καὶ ἀνοήτως τοῖς ἰδίοις ἐπιβουλεύειν, λύκος ἀντὶ ποιμένος γενόμενος ἀτεχνῶς, ἀνάπτει δὲ τὴν φλόγα σφοδρῶς τοῦ πολέμου, καὶ πᾶσιν ἐπ' ἀλλήλους ἐκβαίνει τρόποις, οἷς ὁσημέραι τὴν εἰρήνην ἀναφωνῶν ἦν, καὶ τῆς οἰκείας ὥσπερ ἐπιλελησμένος ἀξίας, καὶ τοῦ καταλλάξαντος ἑαυτῷ τὸν κόσμον ἰδίῳ αἵματι, ὅτι μαθητὴς εἶναι πεπιστευμένος, εἶτα πᾶν τοὐναντίον δρῴη ἐπὶ κακῷ μὲν κεφαλῆς τῆς ἰδίας, κακῷ δὲ τῶν πειθομένων, ὅσους ἐξῆν ἐφέλκεται πρὸς τὸ πολεμεῖν, τοὺς μὲν πείθων, τοὺς δ' ὡς οἷόν τε βιαζόμενος.

Ἐπεὶ δὲ καὶ πρὸς τὴν ἔργοις καὶ λόγοις καὶ πᾶσιν D οἷς ἐκεκόσμητο καλοῖς ὁ πάντα θαυμαστὸς Γρηγόριος περιφάνειαν εἶδε, καὶ πολλῆς ἐνόμισε ῥοπῆς ἐκ τούτου πρὸς τὸ σπουδαζόμενον εὐπορήσειν, πάντα μὲν, ὅ φασι, κάλων ἐκίνει, καὶ πᾶσι τρόποις ὑπεποιεῖτο, τῆς οἰκείας κακοβουλίας συνεργὸν καὶ σπουδαστὴν ἐκεῖνον θέλων παραλαμβάνειν. Ἐκ πρώτης δὲ πείρας ἀποκρουσθεὶς, ὥσπερ κῦμα πέτρᾳ περιπεσὸν, καὶ τὸ κοινῇ συνοῖσον καὶ τὸ προσῆκον αὐτοῦ τῷ ἤθει καὶ τῷ σχήματι διδαχθεὶς, δέον ἀποσχέσθαι τῶν ἀτόπων ἔργων, καὶ τῆς ἐπανορθώσεως εἰδέναι χάριν τῷ πρὸς ἐλευθερίαν διειλεγμένῳ· ὁ δὲ τοὐναντίον ἅπαν ἦν, καὶ κακοῖς ἠμείβετο τὸν ἐκ βάθρου κακίας τό γε εἰς αὐτὸν ἧκον ἀναγαγόντα· καὶ διὰ πάσης ἦγε σπουδῆς κακοῖς ἐκεῖνον ἐσχάτοις περιβαλεῖν· οὔκουν οὐδὲ ἀπέσχετο τῶν περιέργων οὐδενὸς

Digitized by Google

καὶ μοχθηρίας ἐσχάτης πεπληρωμένων, ἕως τὴν πρὸς ἐκεῖνον τῆς ψυχῆς δυσμένειαν εἰς ἔργον εἶδεν ἐκβᾶσαν.

Ὡς γὰρ οὐδὲν ἐκείνῳ τῶν δημοσίων ἐγκλημάτων εἶχεν ἐπαγαγεῖν, ᾔδει γὰρ αὐτὸν τῶν κατὰ τὸν βίον θορύβων τε καὶ πραγμάτων οὐδὲν ἧττον ἢ οἱ πάλαι τεθνηκότες ἀπεσχημένον, ἐπὶ τὴν εὐσέβειαν εἶδε καὶ τὴν ταύτης συκοφαντίαν· καὶ θᾶττον ἢ ἄν τις ψῆφον μεταβαλὼν, τοὺς μὲν ἀποκηρύκτους καὶ πολεμίους τῆς ἀληθείας ἐν τοῖς πρώτοις εἶχε τῶν φιλουμένων, καὶ πάντα κατὰ τῆς εὐσεβείας ἢ τῆς ἰδίας μᾶλλον ἐχαρίζετο κεφαλῆς· οὓς δὲ πρότερον καὶ λόγοις καὶ γράμμασιν ἦν θαυμάζων, καὶ τῆς ἀληθείας πρεσβευτὰς καὶ τῆς ὀρθῆς πίστεως ἐκάλει προστάτας, τούτους δὲ τῶν αὐτῶν ὧνπερ καὶ πρότερον δογμάτων ἐξεχομένους, καὶ μηδεμίαν ἐπιδεδειγμένους παρατροπὴν, ἐγκλήμασι δυσσεβείας ὑπευθύνους καθίστη. Ἐντεῦθεν τί μὲν ἐπέλιπεν εἶδος κακίας; μᾶλλον δὲ ποῖον οὐκ ἐπεδείξατο μεθ' ὑπερβολῆς; Συλλόγους ἀθέσμους καὶ πονηρὰ συνέδρια συνεκρότει, καὶ γράμματα δυσσεβείας ἐξετίθετο μεστὰ, καὶ Γρηγόριος μετὰ τῆς ἀληθείας ὁ στεῤῥὸς ἠλαύνετο τῆς ἀληθείας προστάτης, καὶ κακῶς ἤκουε, καὶ δεσμωτήριον ᾤκει, καὶ διὰ πάσης μηχανῆς ἐκακοῦτο· ἡ δὲ τῆς ἀσεβείας ὑπερῄρετο φλὸξ, καὶ οἱ ταύτης σπουδασταὶ καὶ πρόμαχοι πολλῆς ἠξιοῦντο παρὰ τῷ καλῷ τῆς Ἐκκλησίας προστάτῃ τῆς κηδεμονίας καὶ τῆς αἰδοῦς, καὶ ἱερέων ἐνεγράφοντο καταλόγοις οἱ βέβηλοι τὰς χεῖρας καὶ τὰς ψυχὰς, καὶ πάντα τὰ δεινότατα ἐτολμᾶτο.

Ἆρ' οὖν ἢ κινουμένης τῆς αἱρέσεως εὐθὺς ἐξ ἀρχῆς τὸ δολερὸν ταύτης ἠγνόησε καὶ ἀπόκρυφον τοῖς ἄλλοις παραπλησίως καὶ Γρηγόριος, ὁ τῷ φωτὶ τῆς Τριάδος πεφωτισμένος; ἢ οὐκ ἠγνόησε μὲν, πρὸς δὲ τὸ τοῦ ἀγῶνος μέγεθος ἀπιδὼν, καὶ τοὺς πόνους καὶ τοὺς καμάτους ἑτέρῳ τὸ πρωτεῖον ἐν τοῖς πόνοις ἔχειν παρῆκεν, αὐτὸς ἐν ῥᾳθυμίᾳ ζῆν ᾑρημένος; ἢ τοῦτο μὲν οὔ, οὐ μετὰ πολλῆς δὲ τῆς προθυμίας καὶ τῆς σπουδῆς τῶν ὑπὲρ τῆς ἀληθείας ἥψατο παλαισμάτων, ἢ ἐν οἷς μὲν εὐδοκίμει καὶ παρὰ πάντων ἐκροτεῖτο καὶ ἐθαυμάζετο, θερμός τις καὶ ἀκάθεκτος ἦν, καὶ πρὸς τὴν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἔνστασιν ἀπερίτρεπτος, καὶ παῤῥησίας καὶ ζήλου πλήρης, ὥσπερ ὑπὸ τῶν ἐπαίνων καὶ τῶν κρότων ἐρεθιζόμενος, τῶν δὲ πραγμάτων ὀστράκου δίκην μεταπεσόντων, τῶν μὲν ἐναντίων ὑπὸ τῶν τοὺς καιροὺς θεραπευόντων, καὶ ἀγεννῶς καὶ μικροψύχως τοὺς ἐν ἐξουσίαις κολακευόντων ἐξαιρουμένων, αὐτοῦ δὲ κακῶς πάσχοντος καὶ εἰργομένου, καὶ παῤῥησίας οὐδαμῶς οὐδ' ἐλευθερίας ἀπολαύοντός τινος, τὴν ἀταξίαν ἔδεισε τῶν καιρῶν, ἢ τὴν ὠμότητα τῶν ἀρχόντων, καὶ μικρόν τι τῆς τόλμης ὑφῆκε, καὶ τῆς ὑπὲρ τῆς ἀληθείας ἐνστάσεως ὑπεχώρησεν; Οὐδαμῶς· ἀλλ' ἀεὶ καὶ διὰ πάντων ἴσος ἦν καὶ ὅμοιος ἑαυτῷ, καὶ καιρὸς ἀνέσεως καὶ πειρασμῶν παρ' αὐτῷ διενήνοχεν οὐδέν· ἀλλ' ἐλευθέρᾳ γλώττῃ καὶ γνώμῃ κἀν τοῖς κινδύνοις τὰ τῆς ὀρθῆς πίστεως δόγματα ἐξετίθετο, καὶ τοὺς δυσσεβοῦντας ὥσπερ βέλεσι κατετίτρωσκε τοῖς λόγοις ἀπὸ τῆς εἱρκτῆς ἀφιείς.

Ἀλλ' ἐπειδή ποτε καὶ τὴν ἀλήθειαν ἔδει παῤῥησίας τῆς ἀξίας τυχεῖν, καὶ τὸ ψεῦδος φυγαδευθῆναι ὥσπερ νόσος τῆς ὑγείας ὑποχωρῆσαν τῇ παρουσίᾳ, παύεται μὲν ὁ πολιτικὸς πόλεμος καὶ ἡ στάσις τῶν ὁμοφύλων μετὰ τὴν πολλὴν ἐκείνην κάκωσιν καὶ τὴν φορὰν τῶν ἀμυθήτων δεινῶν, ἐκείνῳ δὲ καὶ ὁ τῆς Ἐκκλησίας συναποσβέννυται, ἐπειδὴ καὶ τοῦτον ἔσχεν αἰτίαν, καὶ κατὰ τῆς ἀληθείας ὥσπερ ὑπασπιστὴν καὶ σύμμαχον ἰσχυρόν· λύεται δὲ καὶ τὰ δεινὰ Γρηγορίῳ. Καὶ ἦν αὖθις ἐν τοῖς προτέροις, καὶ παρὰ πάντων ἐκροτεῖτο καὶ ἐθαυμάζετο, καὶ τῷ τῆς Ἐκκλησίας μετὰ τὸν διώκτην καλῷ προστάτῃ διὰ πάσης ἦγετο τῆς τιμῆς, εὖ εἰδότι Θεῷ καὶ τοῖς ἐκείνου λατρευταῖς καὶ τῶν ὀρθῶν δογμάτων προστάταις τὸ προσῆκον σέβας ἀπονέμειν καὶ τὴν αἰδῶ· καὶ βασιλεῦσι καὶ τοῖς ἐν τέλει καὶ πᾶσιν ὁμοῦ ποθεινὸς ἦν καὶ ἡδὺς ἰδεῖν τε καὶ προστυχεῖν, καὶ τῶν ἐκείνου λόγων ἦσαν ἐξηρτημένοι· κανόνα τινὰ καὶ στάθμην θεολογίας καὶ δογμάτων ὀρθῶν ἀκρότητα τοῖς ἐπ' εὐσεβείᾳ γνωριμωτάτοις παραπλησίως καὶ διδασκάλοις τῆς Ἐκκλησίας ᾔδεσάν τε καὶ ἀνεκήρυττον.

Οὐ μὴν ἄχρι λόγων ἦσαν οὐδ' ἐν ἑαυτοῖς τὸ κατ' ἐκεῖνον περιφέροντες θαῦμα, ἀλλ' εὖ εἰδότες, ὡς οὐκ ἐκεῖνον μᾶλλον ἢ τὸ κοινὸν τῆς τῶν πιστῶν ζημιώσουσιν Ἐκκλησίας, τὸν τῆς σοφίας λύχνον ἐκεῖνον καὶ καθαρὸν τοῦ Πνεύματος καταγώγιον ὑπὸ τὸν μόδιον κατακρύψαντες, σιγῆς βυθῷ καὶ λήθης παραδοθέντα, μόλις μὲν καὶ μετὰ πολλῆς ἱκετηρίας καὶ πιθανότητος, πείθουσι δ' οὖν ὅμως τῆς περιωνύμου Θεσσαλονίκης ἱερῶς καὶ ὡς Θεῷ φίλον προστῆναι. Ἢ μεγέθους ὥσπερ καὶ κάλλους καὶ τῆς ἄλλης τῶν ἀγαθῶν χορηγίας ἀφθονωτάτης μετὰ τὴν πρώτην περίεστιν, οὕτω δὴ καὶ φορᾶς ἀγαθῶν ἀνδρῶν καὶ βίῳ καὶ λόγῳ καὶ πᾶσιν ὁμοῦ κεκοσμημένων τοῖς ἀγαθοῖς, ὥσπερ συγκεκληρωμένον ἄνωθεν ἐξ ἀρχῆς, οὐκ αὐτόχθοσι μόνον καὶ καρποῖς οἰκείοις καὶ παρ' αὐτῇ τραφεῖσι καὶ αὐξηθεῖσιν ἐγκαλλωπίζεσθαι, ἀλλὰ καὶ εἴ πού τις ἑτέρα γενναῖον τέκοι, ὑποδέχεσθαί τε καὶ οἰκειοῦσθαι, καὶ κοσμεῖν ὁμοῦ καὶ ἀντικοσμεῖσθαι δαψιλῶς τε καὶ φιλοτίμως. Ἀλλ' αὖθις ἀγώνων ἄλλων ἀρχαὶ καὶ στεφάνων ἀφορμαὶ φύονται, καὶ μεγαλοψυχίας καὶ καρτερίας δείγματα τῷ ἁγίῳ, ὥσπερ συγκεκληρωμένον αὐτοῦ τῇ φύσει διὰ βίου μὲν παλαίειν ἀνιαροῖς, νικῶντα δὲ διὰ πάντων ἀναγορεύεσθαι. Παρῆν μὲν γὰρ ἐν Θεσσαλονίκῃ εἰρήνην εὐαγγελιζόμενος ἀληθῶς καὶ ἀγαθῶν ἐσμὸν, καὶ πᾶν ὅ τι βέλτιστον ἐπαγόμενος· λείψανα δὲ τῆς στάσεως τὴν ἀρχὴν εἰσέτι παρελύπει Ῥωμαίων, καὶ τῆς φλογὸς κατασβεσθείσης, οἱ ἄνθρακες ὑπελείποντο· καὶ οἱ στασιασταὶ τῷ μὲν ἐδόκουν ὑπείκειν, τῷ δ' ἀντιπίπτειν τῶν βασιλέων· καὶ τῇ μὲν πόλει πράγματα παρεῖχον, καὶ κινδύνους ἐνειργάζοντο χαλεπούς, σφίσι δ' αὐτοῖς ἐκ τῶν τῆς πατρίδος κακῶν παρεῖχον πλουτεῖν.

Ταύτης δὴ τῆς μοχθηρίας τῶν ἐπὶ κακῷ τῆς πόλεως ἀρχόντων ὁ μέγας παραπολαύει ποιμήν· καὶ τὴν εἴσοδον τὴν εἰς τὴν πόλιν οὐ συγχωρεῖται, ἀλλὰ συνασχημονεῖν αὐτῇ, καὶ τὴν στάσιν συνεπεγείρειν

Digitized by Google

κατηναγκάζετο· καὶ τοῦ μὲν τῶν βασιλέων ὑπερεύχεσθαι καὶ μεμνῆσθαι, τοῦ δ' οὐδαμῶς, ἵν' εἴη στάσεως ἀφορμὴ καὶ πόλεμος τοῖς πολίταις ὁ τῶν ἀλλοτρίων ἀγαθῶν αὐτοῖς βίαιος ποριστής, ἢ μετὰ τῆς εἰρήνης συναπελαύνεσθαι, καὶ πλάνους ὑπομένειν καὶ πειραταῖς καὶ κλύδωσι, καὶ πᾶσιν ὁμοῦ παραβάλλεσθαι λυπηροῖς. Οἱ μὲν οὖν ἐπιεικεῖς τῶν πολιτῶν καὶ σώφρονες, οἵων ἀγαθῶν ἐκ τινῶν μοχθηρίας συνιέντες ἀποστεροῦνται, δεινὰ μὲν ἐποιοῦντο, καὶ τῆς ζημίας εὐχερῶς τὸ μέγεθος φέρειν οὐκ εἶχον, ἀμύνειν δ' ἑαυτοῖς οὐδαμῶς οἷοί τε ἦσαν, καὶ πρὸ τούτων γε τῷ δικαίῳ· ὁ γὰρ δῆμος θαλάττης δίκην, οὐχ ὅποι δέον, ἀλλ' ὡς ἂν ὁ προσπίπτων ἄνεμος ἐκταράττοι, φερόμενος ἀτάκτως καὶ θορυβούμενος τοῖς στασιασταῖς πολλὴν παρεῖχε ῥοπήν, τὴν οἰκείαν μοχθηρίαν εἰς πέρας ἄγειν.

Τί δὲ ὁ τοῦ Χριστοῦ μαθητὴς τοῦ πράου καὶ φιλανθρώπου, καὶ πάντα φέρειν ὑπ' ἐκείνου πράως δεδιδαγμένος; Ὡς μὴ τὰ οἰκεῖα μόνον, ἀλλὰ καὶ ταῖς ἑτέρων ψυχαῖς ἀνάπαυσιν ἐκπορίσῃ, τὰ σπλάγχνα μὲν ἤλγει καὶ συνεστρέφετο, τὴν ἀπώλειαν τῶν ταῦτα συσκευασάντων, τήν τε ζημίαν τῶν ἀναιτίων ὡς μεγάλη καὶ πρὸς ψυχὴν ἄγουσαν συνορῶν· τὴν μεγαλοψυχίαν δ' ὥσπερ τι φάρμακον ἑαυτῷ καὶ τὴν ἐν τοῖς δεινοῖς καρτερίαν ἐπιτιθείς, οὐδὲ ἄχρι λόγων ἢ σχήματος ἐφάνη τοῖς ἐλαύνουσιν ἐπαχθής, ἀλλὰ μετὰ τῆς συντρόφου καὶ φίλης αὐτῷ τῆς ψυχῆς γαλήνης καὶ τοῦ προσήκοντος καταστήματος ἀπεχώρει· καὶ νήσους ἐπὶ χρόνον τινὰ παρῴκει, καὶ τοὺς ἐν ἐρημίαις καὶ ὄρεσι κατὰ σχολὴν τὸ μέλι τῆς ἀρετῆς φιλοπόνως ἐργαζομένους ὥσπερ τις στρατηγὸς περιῄει, πρὸς τὸν ἔνδον καὶ κατὰ ψυχὴν πόλεμον ἐπεγείρων, καὶ κατὰ τῶν τῆς πονηρίας πνευμάτων διερεθίζων, καὶ νίκης ἀναδιδάσκων τρόπους καὶ παρατάξεως, ὡς ἂν μηδαμῶς ἀκερδὴς μηδὲ μικρὰν προσάγουσα γένοιτο τῷ Θεῷ τὴν καρποφορίαν καὶ ἡ πλάνη καὶ τῆς λαχούσης ἡ ἀποχώρησις.

Ἐν τούτοις δὲ ὄντι τῷ θαυμασίῳ, καὶ τῶν ἑτέροις σπουδασμάτων τὸ πάρεργον μεῖζον πολλῷ καὶ θαυμασιώτερον ποιουμένῳ, συμβάν τι τῶν ἀδοκήτων, εἰς Βυζάντιον ἠνάγκασεν ἐπανήκειν. Ὀλίγον τὸ μεταξὺ καὶ οἱ τὴν ἐκείνου πόλιν ἀναστατοῦντες ἐκποδὼν ἦσαν αὐτῇ στάσει καὶ πανουργεύμασι, τοῦ δήμου καὶ τῶν ἄλλων πολιτῶν αὐτοὺς ἐξοστρακισάντων· καὶ συμφρονήσαντες ἡ πόλις ποιμένα τὸν καλὸν ἐπεζήτουν, καὶ πρεσβεία παρ' αὐτῶν ἀφῖκτο κοινή, τῇ ποίμνῃ παρακαλοῦσα καὶ τοῖς θρέμμασιν ἐπιστῆναι. Ὁ δέ, καὶ γὰρ οὐδὲν ἧττον τὸν οἰκεῖον ἐπόθει κλῆρον, ἢ ὅσον ἀντεποθεῖτο, τάχιστά τε παρῆν ὡς ἐξῆν, καὶ πολλῆς ὀφθεὶς ἐνέπλησε θυμηδίας.

Τὴν μὲν οὖν ὑποδοχὴν τῆς πόλεως ὡς λαμπρά, καὶ τὸ προχυθὲν πλῆθος, οὐχ ὅσον εὐγενὲς μόνον καὶ προῦχον ἀξίᾳ, ἀλλὰ καὶ ὅσον ἄσημόν τε καὶ ἀγοραῖον, οὐκ ἀνδρῶν μόνον, ἀλλὰ καὶ γυναικῶν· τὸ γὰρ τῶν ἱερέων πλῆθος ἐῶ καὶ τῶν ἄλλως τῷ κλήρῳ κατειλεγμένων, οὐ μὴν ἀλλὰ καὶ ὅσον ἀνακείμενον ἦν Θεῷ καὶ κατὰ μόνας αὐτῷ ζῶν, καὶ κόσμου κεχωρισμένον· καὶ ὑμνῳδίας εἰς αἰθέρα διικνου- A μένας, καὶ μύρων καὶ λαμπάδων πολύ τι πλῆθος, καὶ τὴν ἄλλην τῆς πανηγύρεως πολυτέλειαν καὶ φαιδρότητα, δοκῶ μοι παρήσειν νῦν ἀναγκαίως· οὐ μόνον ὅτι πολλῆς ἡμῖν δεήσει σπουδῆς τε καὶ συντονίας, ὥστε πρὸς τοσοῦτον διηγήματος μέγεθος ἐξαρκέσαι, ἀλλ' ὅτι καὶ τὸ προκείμενον ἡμῖν καθ' ὅσον οἷόν τε τὸ μῆκος τοῦ λόγου περιαιρεῖν, καὶ τοῖς ἀναγκαίοις μόνοις ἐνδιατρίβειν· πλὴν ἐκεῖνο μόνον ἀναγκαῖον εἰπεῖν, ὡς τῆς μὲν ἀξίας οὐδὲν ἂν ἀφίκοιτο τῆς ἐκείνου. Ἡ πόλις δέ, καίπερ οὕτως οὖσα λαμπρὰ καὶ περιφανής, καὶ πᾶσιν οἷς ἂν ἀγάλλοιτο πόλις ἐς τὰ μάλιστα ἐρρωμένη, οὐδὲν τῶν εἰς αὐτὴν ἡκόντων παρῆκε τὸ μὴ οὐ πεπραχέναι. Ἆρ' οὖν τῇ πόλει μὲν οὕτω κρεῖττον ἢ κατὰ ἄνθρωπον ὑποδέδεικται ταῖς τιμαῖς, ἐπὶ τῶν ἔργων δ' ἠλέγχθη B μεῖζον ἢ προσῆκε τετιμημένος; τοὐναντίον μὲν οὖν ἅπαν ἔδοξε παραπολὺ τῆς ἀξίας ἀπολελεῖφθαι. Οὕτω τὰ κατὰ τὸν οἰκεῖον κλῆρον ἐτίθει καλῶς, καὶ τοῦ Πνεύματος ἀξίως τοῦ ἐνοικοῦντος, καὶ ὡς ἂν ἑτέρῳ μὲν οὐδενί, ἐκείνῳ δ' ἐξεῖναι μόνῳ.

Οὐ μὴν ὑπελώφησέ γε καθάπαξ τὸ κῦμα τῶν πειρασμῶν· οὐδ' ὁ πειράζων ἠρκέσθη τοῖς προλαβοῦσιν, ἀλλ' αὖθις ὑπεκινεῖτο, τοῦ πονηροῦ πνεύματος ἀντιπνέοντος· ὡς γὰρ οἱ τὰ Ἀκινδύνου κακῶς φρονοῦντες τὴν Ἐκκλησίαν αὖθις ἐπειρῶντο ταράττειν, καὶ θορυβοῦντες οὐκ ἐπαύοντο, καὶ πράγματα παρεῖχον τοῖς βασιλεῦσιν, ἐπὶ δίκην προκαλούμενοι τὴν Ἐκκλησίαν, καὶ ἀδικίαν τὸ πρᾶγμα προσαγορεύοντες, εἰ μὴ τὰ κατ' αὐτοὺς ἐξετάσεως C τύχοι καὶ ἀκριβοῦς τῆς βασάνου, βασιλεῖ μὲν ἐδόκει, καὶ τῷ τηνικαῦτα τῆς μεγάλης Ἐκκλησίας προεστηκότι, σύνοδον εἶναι δεῖν συγκροτεῖν. Τῶν ἀρχιερέων δὲ παρῆσαν μετακληθέντες ὅσοις ἐξῆν, καὶ μετὰ πάντων ἢ πρὸ τούτων μᾶλλον ὁ πολὺς τὰ θεῖα Γρηγόριος ἐπεδήμει τῇ Κωνσταντίνου, ἐπειδὴ καὶ πρὸς ἐκεῖνον μᾶλλον, ὡς τοῦ λόγου προστάτην καὶ τῆς ἀληθείας γενναῖον ἀγωνιστήν, τὸ πλεῖστον ἢ τὸ πᾶν ἔβλεπε τοῦ ἀγῶνος. Ἤθροιστο τοιγαροῦν ἐν βασιλείοις μεγάλη καὶ πολυάνθρωπος, καὶ τὰς προλαβούσας νικῶσα παραπολύ· καὶ βασιλεὺς ἐπεκόσμει ταύτην παρών, καὶ ὁ τῆς μεγάλης Ἐκκλησίας ποιμήν τε καὶ πατριάρχης, ἀρχιερέων δὲ πλῆθος οὐκ ὀλίγη, καὶ τῶν ἐν βασιλείοις ὅσον ἔκκριτον καὶ διαπρέπον ἐν ἀξιώμασι· τῶν γὰρ μοναστῶν ἑκὼν πα- D ρατρέχω πλῆθος καὶ τοῦ δήμου παντὸς, οἳ τοὺς ἐν τοῖς βασιλείοις οἴκους, καίτοι λίαν ὄντας λαμπροὺς καὶ περιφανεῖς, καὶ μεγέθει καὶ κάλλει τοὺς ὁπουδήποτε νικῶντας παραπολύ, στενοὺς ἀπέφαινον, καὶ τῷ πλήθει τῶν συνειλεγμένων οὐκ ἐξαρκοῦντας. Τότε δὴ τρίτον τοῖς ἐναντίοις κατὰ τοὺς γενναίους τῶν ἀθλητῶν ὁ τρισαριστεὺς Γρηγόριος συμβαλών, ἐνίκα τῷ περιόντι πολλῷ, οὐδὲ πρώτην προσβολὴν ὑποστάντος· καὶ τὸ ψεῦδος ᾐσχύνετο κατὰ κράτος, καὶ τὴν προσήκουσαν εἶχεν ἡ ἀλήθεια παῤῥησίαν, καὶ Γρηγόριος ὁ μέγας ἐν τοῖς ἁπάντων στόμασιν ἐκροτεῖτο, καὶ πράγμασιν αὐτοῖς καὶ λόγοις ἀνεκήρυττον.

Ἐπεὶ δὲ καὶ πρὸς τὴν λαχοῦσαν ἔδει τάχιστα ἐπανήκειν, ἐπάνεισι μὲν δὲ ὡς ὥσπερ τὸν καλὸν ἔδει

Digitized by Google

ποιμένα καὶ πολλὴν φροντίδα τοῦ ποιμνίου πεποιημένον, δυσχερείαις δ' αὖθις οὐ μικραῖς περιπίπτει καὶ τῆς πόλεως ἀπελαύνεται, καὶ τῆς τῶν δημοσίων νόσου παραπολαύει, τῆς ἀναφθείσης στάσεως ἐν τῷ τότε. Εἴ τις οἶδε τὴν πρὸς ἀλλήλους τῶν βασιλέων φιλονεικίαν καὶ τὴν διάστασιν, καὶ ὡς ἀλλήλοις ἐπολέμουν, τῆς ἀρχῆς ὅσον ἐξῆν ἐπισπασάμενοι μέρος, οἶδεν ὃ λέγω· καὶ ἐρημίας αὖθις ἀνερευνᾷ, καὶ τοὺς κατὰ μόνας τῷ Θεῷ ζῶντας πρὸς φιλοσοφίας ἐπίδοσιν ἐκκαλεῖται, καὶ τὸν καιρὸν τῶν πειρασμῶν καιρὸν ἐκεῖνος ἐμπορίας καὶ κέρδους ποιεῖται πνευματικοῦ. Οὕτως ἐκεῖνος ᾔδει καὶ τοῖς δοκοῦσιν ἐναντίοις ἐπωφελῶς κεχρῆσθαι καὶ συμφερόντως, ὥσπερ φασὶ τὴν μέλιτταν, πᾶσιν οἷς ἂν ἐντύχοι πρὸς ἐργασίαν μέλιτος καταχρῆσθαι.

Ἀλλ' ὁ τῶν πειρασμῶν χειμὼν καὶ αὖθις ἐδόκει διαλελύσθαι, τοῦ Θεοῦ τὰ κατ' αὐτὸν οὕτως οἰκονομοῦντος, καὶ διὰ τῶν λυπηρῶν ὁμοῦ καὶ χρηστοτέρων ἐξυφαίνοντος ἐκείνου τὸν βίον, ἵν' ἐπὶ τέλει τῶν ἄθλων ἀνακηρύξῃ τὸν ἀθλητὴν, καὶ τῆς ὑπομονῆς καὶ καρτερίας ἀμείψηται φιλοτίμως· ὥσπερ δῆτα καὶ εἰργάσατο, πολλοῖς αὐτὸν καὶ μετὰ τὴν σαρκὸς ἀποδημίαν κοσμήσας τοῖς θαυμασίοις, καὶ πρὸς τὴν ἰδίαν πόλιν μετακαλεῖται, καὶ τῆς καθέδρας ἀπολαύει μικρὸν, καὶ ἀγῶνες αὐτὸν ἕτεροι καὶ κάματοι διαδέχονται, καὶ τὸ ποίμνιον καταρτίζει λόγοις παιδεύων, καὶ διδασκαλίαις ἐκτρέφων ὁσημέραι πνευματικῶς, καὶ εὐεκτοῦν Θεῷ, καὶ σφόδρα πῖον, καὶ τῷ ἀρχιποίμενι Χριστῷ καλῶς ἑπόμενον παρεχόμενος. Ἐδόκει μὲν οὖν, ὥσπερ ἔφην, ὁ χειμὼν αὐτὸν διαλελύσθαι τῶν πειρασμῶν· ἀρχὴν δ' ἐλάμβανε μᾶλλον, οὐδὲ τῶν σαρκῶν αὐτοῦ φεισαμένου τοῦ πονηροῦ, ἀλλ' ἐξητηκότος μὲν εἰς μείζονα πεῖραν ὑπὸ πολλῆς πονηρίας καὶ τοῦ πρὸς ἐκεῖνον ἀκράτου μίσους, συγκεχωρηκότος δὲ Θεοῦ, ὡς ἂν κατὰ τὸν μέγαν ἀθλητὴν τῆς ὑπομονῆς ἐν πᾶσι καὶ διὰ πάντων θεράποντα τὸν οἰκεῖον ἄμεμπτον ἀποδείξῃ. Στέλλεται μὲν γὰρ εἰς Βυζάντιον αὖθις, τὰς κατ' ἀλλήλων τοῖς βασιλεῦσι διαλύσων διαφοράς· πειραταῖς δὲ περιτυγχάνει βαρβάροις, καὶ δεσμώτης ὑπ' αὐτῶν ἄγεται πρὸς Ἀσίαν, ἵνα κἀκεῖ πολλοὺς χρονίων λύσῃ δεσμῶν, ἀφύκτοις τῆς ἁμαρτίας δεδεμένους σειραῖς· καὶ τῶν τῆς αἰχμαλωσίας καὶ τῆς δουλείας κακῶν πειρᾶται ὁ τῆς ἄνω Σιὼν τῆς ἐλευθέρας πολίτης γνήσιος, καὶ τὸ τῆς υἱοθεσίας ἀξίωμα καθόσον ἔξεστιν ἀνθρώπῳ διατηρήσας, καὶ τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν ἀκίβδηλον εἰς τέλος διαφυλάξας.

Ὅπως μὲν οὖν ταῖς κακοπραγίαις εἰς δέον, καθάπερ οἱ τῶν στρατηγῶν ἄριστοι ταῖς διδασκαλίαις, ἐχρήσατο τῶν καιρῶν, καὶ ὡς κἀκεῖ τὸν λόγον κηρύξας τῆς ἀληθείας, καὶ παῤῥησιασάμενος τὴν εὐσέβειαν, κατῄσχυνε μὲν τῆς Περσικῆς λατρείας τὴν ἀτοπίαν, τοὺς παρ' ἐκείνοις καταπλήξας σοφοὺς, ὑπερῆρε δὲ τὰ ἡμέτερα, τῆς Περσικῆς ὠμότητος ἀμελήσας, καὶ ὡς ὑστέρησε τῶν μαρτυρικῶν ἀγώνων καὶ σκαμμάτων οὐδὲν, ὅσα γε εἰς ψυχῆς προθυμίαν ἥκει, πάντα παθεῖν ὑπὲρ τῆς εἰς Χριστὸν ὁμολογίας παρεσκευασμένος σαφῶς· τί γὰρ εἰ τῆς ἑτέρων ἕ-
A νεκα σωτηρίας, ὃ φιλεῖ Θεὸς ἀεὶ καὶ διὰ πάντων κατασκευάζειν, κἀκεῖνον ἥρπασε τῶν κινδύνων, ἵν' εἴη πολλοῖς πρὸς σωτηρίας ὁδοὺς ἀλείπτης, καὶ ὁδηγὸς πλανωμένοις καὶ τοῖς ἐν σκότει καθημένοις τῆς ἀγνωσίας χειραγωγός; Ταῦτα δὴ τὰ μεγάλα καὶ τῆς ἐκείνου ψυχῆς ἐπάξια, καὶ γνωρίσματα τῆς πρὸς Θεὸν παῤῥησίας, παρὰ τῆς καλῆς ἐκείνης γλώττης διηγουμένης ἀκούειν ἂν εἴη δίκαιον· ἐπειδὴ καὶ πράττειν ἐξήρκει μόνος, καὶ καταλλήλως τῇ πράξει τοῖς εἰσέπειτα διηγεῖσθαι. Ἡμᾶς δὲ τοσοῦτον ἀναγκαῖον μόνον εἰπεῖν, ὅτι ταῖς μὲν κατὰ τὸν βίον ἑτέραις πράξεσι τῶν ὁποιδήποτε γῆς ἐκράτει, ἑαυτὸν δ' ἐν τῆς αἰχμαλωσίας τοῖς καιροῖς ὅσον ἐν τοῖς ἄνω χρόνοις τοὺς ἄλλους ὑπερεβάλλετο· πάντα γὰρ τότε τοῖς τὴν Ἀσίαν οἰκοῦσιν ὤφθη πιστοῖς, διδά-
B σκαλος εὐσεβείας, ὀρθοῦ βίου καθηγητὴς, λογίων θείων ἐξηγητὴς, ἀληθὴς θεολόγος τῶν τῆς Τριάδος ὀρθῶν δογμάτων· τὸ μέγιστον, χωρὶς αἵματος ἀθλητὴς τοῦ Χριστοῦ καὶ στεφανίτης δίχα βασάνων.

Τὴν μὲν οὖν αἰχμαλωσίαν οὕτω διατίθεται καλῶς, ὥσπερ δὴ καὶ τὴν πλάνην πρότερον, ἵνα μηδὲν τῶν κατὰ τὸν βίον ἐκείνῳ συμπεπτωκότων ἄδοξον ᾖ, ἀλλ' ὥσπερ ἑαυτῷ στεφάνων καὶ ἀναῤῥήσεως παρὰ τῷ καλῷ τῶν ἡμετέρων ἀγωνοθέτῃ καὶ βραβευτῇ τῶν ἄθλων Χριστῷ, οὕτω δὴ καὶ τοῖς ὕστερον ἐπαίνων ἀφορμὰς παρέχοιτο πανταχόθεν. Ἐπεὶ δὲ κατῃσχυμμένος διὰ πάντων ὁ πονηρὸς ὑπεχώρει, καὶ ἡττημένος καὶ τοῦ πρὸς ἐκεῖνον πολέμου καὶ τῶν ποικίλων ἐπιφορῶν ἀπώνατο πλέον οὐδὲν, ὅτι μὴ
C γέλωτα ὦφλε, μᾶλλον δ' ἀφανῶς οὐδὲν ἧττον ἐκεῖνος, εἰ μὴ καὶ μᾶλλον εἰς πεῖραν ἧκε τῶν ἀλγεινῶν, λύεται μὲν ὁ τοῦ Θεοῦ ἄνθρωπος καὶ οἰκονόμος τῶν αὐτοῦ μυστηρίων τῆς βαρβαρικῆς ὠμότητος καὶ τῶν ἀδίκων δεσμῶν, τοῦ Θεοῦ ποθεν ἐκ γῆς ἐσχατιῶν τοὺς λυσομένους κεκινηκότος, δαψιλῶς καὶ φιλοτίμως καταβεβληκότων τὰ λύτρα, καὶ πάντων, εὐαγγελικῶς εἰπεῖν, ὧν εἶχον τὸν τίμιον μαργαρίτην ὠνησαμένων, ἐπάνεισι δ' ἐκ τῆς ὑπερορίας, ἢ τῆς καλῆς ἐμπορίας ὁ ἀθλητής· οὕτω γὰρ ἐγὼ καλῶ τὴν ἐκείνου πρὸς τὴν Ἀσίαν ἐπιστασίαν ἢ ἀποδημίαν, ἢ τῶν ἐκεῖσε πιστῶν ἐπίσκεψιν ὑπὲρ τῆς Τριάδος γεγενημένην. Οὕτω δ' ἀσμένως προσπίπτει τοῖς ἐν τῇ πόλει, μᾶλλον δὲ πᾶσι τοῖς περιοίκοις, καὶ Ἕλλησιν ὁμοῦ καὶ βαρβάροις εἰς ταυτὸ συνελθοῦσιν, ὥστε
D μηδὲν ἐκείνοις τῶν κατὰ τὸν βίον ἡδέων ἥδιον εὑρεῖν ἔχειν ἐκείνης τῆς εὐφροσύνης καὶ νομίζειν καὶ διηγεῖσθαι.

Τοιγαροῦν οὐδὲ διέλιπεν εὐεργετῶν αὐτοὺς καὶ λόγοις καὶ πράγμασι, διδάσκων, νουθετῶν, νομοθετῶν, πᾶσαν διάνοιαν πρὸς ἑαυτὸν ἐπιστρέφων, τοῖς ὀρθοῖς ὑποστηρίζων δόγμασι τῆς Τριάδος· καὶ τοῖς μὲν καλῶς ἑστῶσι βάσις γενόμενος ἀπερίτρεπτος, τοῖς δὲ κλονουμένοις καὶ στασιάζουσι τὴν μαγνήτου φύσιν ἀποπληρῶν, οὐ βίᾳ φύσεως ὥσπερ ἐκείνη τὸν σίδηρον ἐφελκόμενος, ἀλλὰ λόγοις ἀληθείας, καὶ τῇ ἐνοικούσῃ χάριτι τοῦ Πνεύματος οἰκειούμενος, ἕως ἔπεισε πάντας, τὸν ἰὸν ἀποθεμένους τῆς δυσσεβείας, εἴ τις ἔτυχεν αὐτῶν ὑπὸ τῶν κακοδόξων καταχρανθεὶς, ἀμέμπτως καὶ καθαρῶς λατρεύειν Θεῷ. Καὶ

Digitized by Google

νῦν ἕνα τινὰ μηδένα τῶν ὑπὸ τὴν ἐκείνου προστασίαν τελούντων ἔστιν εὑρεῖν τοῖς κακοῖς τῆς εὐσεβείας σπαράκταις προσεσχηκότα· τοὐναντίον μὲν οὖν καὶ μεθ' ὑπερβολῆς ἁπάσης, ὡς Θεοῦ πολεμίοις ἐκπεπολεμωμένους αὐτοῖς, καὶ μεθ' ὅσης ἄν τις εἴποι τῆς προθυμίας ἐλαύνοντας καὶ σπουδῆς.

Οὐ μὴν τῶν ψυχικῶν μὲν παθῶν τε καὶ νοσημάτων οὕτως ἦν ἄριστος ἰατρὸς, καὶ τῶν ἠθῶν διορθωτής, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν οἰκειούντων Θεῷ χειραγωγίᾳ καὶ ὁδηγίᾳ, τῶν σωματικῶν δ' ἠμέλει, εἴ τις ἀδιστάκτῳ ψυχῇ προσίοι, καὶ τὴν θεραπείαν ἐξαιτοῖτο πιστῶς, ἀλλὰ καὶ τούτων πολλοὺς ἀπήλλαξε χρονίων καὶ χαλεπῶν, καὶ ζῶν ὁμοίως καὶ πρὸς τὴν ἄνω λῆξιν μεταχωρήσας. Τίνα οὖν ἄν τις αὐτῷ προσαρμόσας προσηγορίαν, μᾶλλον ἂν ἐφάψασθαι δόξοι τῆς ἀληθείας; μᾶλλον δ' οὐ ποία καθαρῶς αὐτῷ προσήκουσα καὶ δικαίως; Ποιμὴν ἦν καλὸς τῶν ἑαυτοῦ προβάτων οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις προτιθεὶς τὴν ψυχήν· διδάσκαλος ἀληθὴς, καὶ βίῳ καὶ λόγῳ καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι τοὺς μαθητευομένους παιδεύων· ὀρθῶν δογμάτων ὑφηγητής, ἀπταίστως καὶ καθαρῶς τοὺς ὑπὲρ τῆς ἁγίας Τριάδος ἐκτιθέμενος λόγους, καὶ θεολογῶν τὰ πάσης ὑψηλότερα διανοίας, καὶ τὰ δυσέφικτα τρανῶς ἀναπτύσσων, καὶ τοῖς ἀληθῶς θεολόγοις ἐν ἅπασι συμφωνῶν, ἅτε δὴ καὶ αὐτὸς ὑπὸ τοῦ αὐτοῦ Πνεύματος ταῦτα δεδιδαγμένος· ψυχικῶν τε παθῶν ὁμοίως καὶ σωματικῶν ἀλγηδόνων ἄριστος ἰατρός· ὀρφανῶν καὶ χηρῶν προστάτης, τῶν ἐν εὐτυχίαις ἐπαιρομένων σωφρονιστής, τῶν ἀθυμούντων ἐν δυσπραγίαις παραμυθία, τὸ ἦθος ἁπλοῦς, τὸν τρόπον ἐπιεικής, σοφὸς τὸν λόγον, τὴν διάνοιαν ὑψηλὸς, τοῖς ταπεινοτέροις καὶ μετριάζουσι πάντα εἴκων καὶ συγκατιὼν αὐτοῖς καὶ συνταπεινούμενος· ὑψηλὸς τοῖς ἐπηρμένοις, καὶ τύφου παντὸς ὑπερορῶν, καὶ διαπτύων ὡς ὄναρ τὰς κοσμικὰς δόξας καὶ φαντασίας, τοῖς ὑπὲρ τοῦ Θεοῦ πεπολεμηκόσι, καὶ μοχθηρῶς καὶ φιλονείκως ἐκείνῳ προσενεχθεῖσι δυσὶ ταῖς στεῤῥοτάταις ὕλαις παραπλήσιος ἀναδειχθεὶς, ἀδάμαντι φημὶ καὶ σιδήρῳ· τῷ μὲν τῷ παίειν, ἐν δὲ τῷ πλήττεσθαι τὴν ἀδάμαντος φύσιν καθαρῶς διασώζων, οὐδεμίαν συντριβὴν ὑπομένων καὶ θραῦσιν, ἀλλ' ἄρτιος τὴν διάνοιαν, καὶ τὸν ὑπὲρ εὐσεβείας ζῆλον ἄχρι τέλους ἀπ' ἀρχῆς ἴσον διατηρήσας. Τοσαύτας καὶ πλείους τούτων ἡ τοῦ ἀνδρὸς ἀρετὴ τὰς κλήσεις αὐτῷ προσαρμόζειν πείθει, πανταχόθεν καλεῖν ἐθέλοντας.

Οὕτω δὲ καλῶς καὶ ὡς Θεῷ φίλον τοῦ παρόντος βίου τὸν δίαυλον ἐπελθὼν, καὶ πᾶσι χρησάμενος A ὁμοίως πρὸς εὐδοκίμησιν, ὥσπερ μισθόν τινα τῆς εὐσεβείας καὶ τῆς πολλῆς κακοπαθείας τὸ νῦν εἶναι λαμβάνει, ἐν οἷς ἐπόθει καὶ ἀντεποθεῖτο καταλύσας τὸν βίον, καὶ τοῖς τὸ πολίτευμα κτησαμένοις ἐν οὐρανοῖς Πατράσι καὶ πατριάρχαις καὶ ὑπερηθληκόσι τῆς ἀληθείας, ὁ τούτοις κατ' ἴχνος ἀκολουθήσας καλῶς προθέμενος. Καὶ ἵνα τι μικρὸν τῷ λόγῳ μετὰ τὴν ἐκείνου πρὸς Θεὸν ἐκδημίαν ἐνδιατρίψωμεν, ἐκεῖνον μὲν ἡ Ἐκκλησία τῶν πρωτοτόκων εἶχε, καὶ ὁμήγυρις Πατέρων καὶ προφητῶν καὶ ἀγγέλων χοροστασία, ἡ πόλις δ' ἀγῶνα προὔθηκεν ἑαυτῇ, τῆς εἰσόδου τιμῆς τὴν ἐξόδιον μείζω πολλῷ καὶ θαυμασιωτέραν ἐργάσασθαι τῷ ποιμένι· καὶ συνδραμόντες ἀξία πᾶσα καὶ ἡλικία ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν, πολλὰ μὲν δάκρυα κατέῤῥει τῶν ὀφθαλμῶν, πολλὰς B δ' ἀφῆκε μετ' οἰμωγῆς τὰς φωνὰς, τὸν καλὸν ποιμένα, τὸν πατέρα, τὸν διδάσκαλον ἀνακαλουμένη, καὶ τῶν ὁρώντων ταῖς διανοίαις ἢ καὶ ἀκοῇ δεχομένων τὰ τότε τετελεσμένα, μείζω τὴν περὶ ἐκείνου δόξαν ἢ κατὰ ἄνθρωπον ἐντιθεῖσα. Ἐπεὶ δὲ ἔδει καὶ τὸν ἐκείνου παραδοθῆναι τῇ γῇ νεκρὸν, μόλις τὰς χεῖρας τῶν κατεχόντων διαφυγόντα, προπέμπεται μὲν ὑπὸ παντὸς τοῦ πλήθους ὑπὸ λαμπάσι πολλαῖς καὶ μύροις καὶ ᾠδαῖς καὶ ὕμνοις πνευματικοῖς· πάντων δὲ τῶν ὅσα νόμος ἐκτελεσθέντων, οὕτω παραδίδοται τῇ σορῷ λαμπρῶς καὶ πολυτελῶς, παθῶν ποικίλων καὶ ψυχικῶν ἀλγηδόνων καὶ νόσων σωματικῶν ἄμισθον ἰατρεῖον καὶ ἀγαθοῦ παντὸς ἀνέκλειπτος θησαυρός.

C Ἀλλ' ὦ πολλὰ μὲν τοῖς ἀσκητικοῖς ἐνιδρώσας πόνοις, πολλὰ δὲ τοῖς ὑπὲρ εὐσεβείας καμάτοις, οὐ δύο καὶ τρισὶν ἔτεσιν, ἀλλὰ βίον ὅλον ἐνηθληκὼς, καὶ τοὺς ἀγῶνας καὶ τοὺς ἄθλους ἡμῖν οὐκ εὐσεβείας μόνον, ἀλλὰ καὶ ἀνδρίας καὶ καρτερίας παράδειγμα καλὸν καταλελοιπὼς, καὶ μέτρα λόγου καὶ σιωπῆς μετὰ τῶν ἄλλων καλῶν εἰδὼς, αὐτὸς μὲν τὸν ἡμέτερον τόνδε, εἰ καὶ πολὺ τῆς ἀξίας ἀπολειπόμενον, ἀλλ' οὐδὲν τῆς δυνάμεως ἐνδεέστερον ἔχεις λόγον· στήσαις δ' ἡμῖν τὴν τῶν παθῶν καταιγίδα δεινῶς στροβοῦσαν καὶ συνταράττουσαν· καὶ γαληνῶς παράσχοις τὸ κλυδώνιον τοῦ βίου διαδραμεῖν, καὶ ἀπαλλαγέντας ἐνθένδε, ταῖς ἑαυτοῦ σκηναῖς δέξαιο, κἂν μέγα πως καὶ ὑπὲρ τὴν ἡμετέραν ἀξίαν τὸ αἰτούμενον ᾖ, μὴ τὸν πόνον ἡμῖν ἀλλὰ τὸν πόθον ἀντιμε- D τρῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ Πατρὶ καὶ τῷ ζωοποιῷ Πνεύματι νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Digitized by Google

# TOMI SYNODICI TRES

IN CAUSA

# PALAMITARUM

—

(Ex libro cui titulus : Τόμος ἀγάπης, συλλεγεὶς καὶ τυπωθεὶς παρὰ Δοσιθέου, πατριάρχου Ἱεροσολύμων, ἐπὶ τῆς ἡγεμονίας τοῦ εὐσεβεστάτου καὶ ἐκλαμπροτάτου αὐθέντου καὶ ἡγεμόνος κυρίου Ἰωάννου Ἀντιόχου Κωνσταντίνου, βοεβόδα πάσης Μολδοβλαχίας. In fine legitur : Ἐτυπώσαμεν τὸν παρόντα τόμον ἐν Γιασίῳ τῆς Μολδοβλαχίας, χαλκοτυπίᾳ καὶ ἀναλώμασι τοῦ ἁγίου τάφου διὰ Διονυσίου μοναχοῦ, ὄντος διορθωτοῦ τοῦ λογιωτάτου διδασκάλου Ἱερεμία τοῦ Κακκαβέλα. Εἰ δὲ καὶ εἰσὶ σφάλματα εἰς τινὰ γράμματα ἢ λέξεις, τοῦτο συμβέβηκε διὰ τὸ εἶναι τὸν χαλκογράφον ἑτερόγλωσσον καὶ μὴ εἰδότα Ἑλληνικὰ γράμματα · καὶ λοιπὸν ἔστω συγγνώμη. Ἐν ἔτει τῷ σωτηρίῳ, ͵αχϞη' [1698] μηνὶ Μαρτίῳ.)

# I

## ΣΥΝΟΔΙΚΟΣ ΤΟΜΟΣ

### ΓΕΓΡΑΜΜΕΝΟΣ ΕΠΙ ΤΑΙΣ ΕΞΕΛΕΓΞΑΣΑΙΣ ΚΑΙ ΑΠΟΒΑΛΟΜΕΝΑΙΣ ΤΗΝ ΤΟΥ ΒΑΡΛΑΑΜ ΚΑΙ ΑΚΙΝΔΥΝΟΥ ΔΥΣΣΕΒΕΙΑΝ ΜΕΓΑΛΑΙΣ ΣΥΝΟΔΟΙΣ·

*Ἐν αἷς οὐχὶ Ἐκκλησία μόνον, ἀλλὰ καὶ ἡ σύγκλητος καὶ οἱ καθολικοὶ παρῆσαν τῶν Ῥωμαίων κριταὶ, προκαθημένου καὶ τοῦ θειοτάτου βασιλέως ἕως οὗ περιῆν.*

—

α'. Ἐπαινετὸς ἀληθῶς ὁ εἰπὼν τὴν ταπείνωσιν εἶναι A ἀληθείας ἐπίγνωσιν· αὕτη γὰρ καὶ τῶν οἰκείων μέτρων ἐστὶ κατάληψις καὶ δι' αὐτῆς τήν τε πρὸς τὸν Θεὸν εἰρήνην, καὶ τὴν πρὸς τὸν πλησίον καρπούμεθα, δι' ἧς αὖθις καὶ τὴν ἐπὶ τοῦ παρόντος καὶ τὴν ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἀνάπαυσιν πορίζόμεθα, κατὰ τὴν θεσπεσίαν ἐκείνην καὶ προτρεπτικὴν εἰς τοῦτο τοῦ Κυρίου φωνήν· *Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν*. Αὕτη πείθει τὸν κεκτημένον ἑαυτῷ μὲν προσέχειν, καὶ Θεῷ προσανέχειν, παντὸς δὲ κακοῦ τῷ τοῦ Κυρίου φόβῳ κατὰ τὸν τοῦ σοφοῦ Σολομῶντος λόγον ἐκκλίνοντα, εὐλαβῶς περὶ τὰ ὑπὲρ ἑαυτὸν καὶ σωφρόνως ἔχειν, ὅρια Πατέρων αἰώνια μὴ μεταίροντα, καὶ τὰς ἐφ' ἑκάτερα παρατροπὰς, ὑπερβολάς φημι καὶ ἐλλείψεις, ἀποτρεπόμενον, τὴν βασιλικὴν ὁδεύειν καὶ μέσην, καὶ πρὸς οὐρανοὺς καὶ Θεὸν ἀπλανῶς καὶ ἀσφαλῶς φέρουσαν.

β'. Ἀλλ' ὁ ἐκ Καλαβρίας ὁρμώμενος μοναχὸς Βαρλαὰμ, εἰς τὸ τῆς οἰήσεως πέλαγος ἐξ ἀφροσύνης πάντως καὶ ἰδιοῤῥυθμίας καθεὶς ἑαυτὸν, καὶ μέγα φρονῶν ἐπὶ τῇ τῆς θύραθεν ἐπιστήμῃ φιλοσοφίας, κατὰ τῆς ὑπερφυοῦς καὶ ὄντως φιλοσοφίας ἐχώρησεν, ἐπιστρατεύσας τῇ διδασκαλίᾳ τοῦ Πνεύματος, τὴν μηδὲ χωρεῖν ὅλως τὰ τοῦ Πνεύματος δυναμένην ψυχικὴν καὶ ἀποδεδοκιμασμένην φιλοσοφίαν. Τὸν μαθητιῶντα γὰρ οὗτος ὑποκριθεὶς, προσῆλθέ ποτε σὺν δόλῳ τισὶ τῶν παρ' ἡμῖν μοναχῶν, οἳ τὸν ἡσύχιον προελόμενοι βίον, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντες, Θεῷ προσανέχουσι. Καὶ τούτων οὐδενὶ μὲν τῶν ἐλλογιμωτέρων, τοῖς ἁπλουστέροις δὲ μᾶλλον ἐφοίτησεν ἐξεπίτηδες, δέει πάντως τοῦ μὴ φωραθῆναι. Μετὰ μικρὸν μέντοι καὶ αὐτῶν ἀποστὰς ἀποτρόπαιον ἐγγράφως τούτων κατηγόρηκε φρόνημα, ὡς δῆθεν ὑπ' αὐτῶν πρεσβευόμενον. Ἀκούσας γὰρ ἐκείνων λεγόντων, ὡς ἀπὸ παραδόσεως ἐχόντων τῶν ἁγίων Πατέρων, ὅτι οἱ διὰ τῶν ἐντολῶν τοῦ Θεοῦ κεκαθαρμένοι τὰς καρδίας ἐλλάμψεις θείας μυστικῶς καὶ ἀποῤῥήτως ἐγγινομένας αὐτοῖς δέχονται, κατηγόρησεν αὐτῶν ὡς τὴν οὐσίαν τοῦ B Θεοῦ μεθεκτὴν λεγόντων.

γ'. Τῶν δὲ ἀπολογουμένων οὐ τὴν οὐσίαν, ἀλλὰ τὴν ἄκτιστον καὶ ἀΐδιον καὶ θεοποιὸν χάριν τοῦ Πνεύματος, διθείας αὐτοὺς ἐντεῦθεν ἔγκλημα προστρίψασθαι ἐπεχείρησεν. Οὐ μὴν ἀλλὰ καὶ εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ παρελθὼν, καὶ τὰ περὶ τούτου ἀνενέγκας τῇ ἡμῶν μετριότητι, κατηγορῶν μάλιστα τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κὺρ Γρηγορίου τοῦ Παλαμᾶ, ἐξῄτησε μετακληθῆναι καὶ αὐτοὺς εἰς τὴν καθ' ἡμᾶς ἱερὰν καὶ θείαν σύνοδον.

δ'. Μετακληθέντων τοίνυν, ἐπεὶ ἄν ὁ Βαρλαὰμ

Digitized by Google

ἐτράπετο, ἀποφεύγων καὶ μὴ κατπειθὴς ὅλως γινόμενος εἰς τὴν σύνοδον ἀπαντῆσαι, καὶ τοῖς κατηγορηθεῖσι παρ' αὐτοῦ μοναχοῖς ἐς λόγους ἐλθεῖν καὶ ἀντικαταστῆναι αὐτοῖς, ἐφ' οἷς κατ' αὐτῶν συνεγράψατο, πρόφασιν μὲν τῆς ἀποφυγῆς ποιούμενος τηνικαῦτα τὴν βασιλικὴν ἀποδημίαν, τῇ δ' ἀληθείᾳ ἑαυτοῦ καταγνοὺς, καὶ τὸν ἐντεῦθεν ἔλεγχον δεδιώς.

ε'. Ἔπειτα συνόδου συγκροτηθείσης παρουσίᾳ καὶ τοῦ ἐκ Θεοῦ βασιλέως τοῦ ἀοιδίμου καὶ μακαρίτου ἐν τῷ περιωνύμῳ ναῷ τῆς τοῦ Θεοῦ Λόγου σοφίας, τῆς τε συγκλήτου καὶ οὐκ ὀλίγων ἀπό τε τῶν τιμιωτάτων ἀρχιμανδριτῶν καὶ καθηγουμένων, καὶ τῶν τῆς πολιτείας συνειλεγμένων, μεταπεμφθεὶς καὶ ὁ αὐτὸς Βαρλαὰμ, καὶ προτραπεὶς εἰπεῖν καὶ ἀποδεῖξαι εἴ τι εἰπεῖν ἔχει κατὰ τῶν καθ' ἡσυχίαν ζώντων μοναχῶν. Παρόντων ἤδη καὶ αὐτῶν τῇ συνόδῳ, αὐτὸς ὡσπερεὶ τοῦ προκειμένου λήθην παθὼν, μάλιστα δὲ συγχέειν πειρώμενος τὰ τῆς ὑποθέσεως, εἰς ἐρωτήσεις καὶ ἀπορίας ἐχωρεῖτο δογματικὰς, καὶ λύσεις τῶν ἀπορημάτων ἐζήτει. Εἷς δ' ὁ καὶ ἐνιστάμενος καὶ ἰσχυριζόμενος μηδέν τι πρότερον εἰπεῖν, πρὶν ἂν τὴν ἐπὶ ταῖς ἐρωτήσεσι ταύταις ἀπόκρισιν καὶ λύσιν κομίσηται, ἐπειδὴ ἅπαξ καὶ δὶς καὶ μετ' ἐμβριθείας ἀποκρουσθεὶς, οὐκ ἐνεδίδου τῆς ἐνστάσεως ταύτης, οὐδὲ ἐπείθετο λέγειν περὶ τῆς τῶν προκειμένων ἐξετάσεως, τῆς κατὰ τῶν μοναχῶν δηλαδὴ ἐγγράφου παρ' αὐτοῦ κατηγορίας.

ς'. Ἐπέτρεψεν ἡ μετριότης ἡμῶν ἀναγνωσθῆναι εἰς ἐπήκοον τῆς συνόδου τοὺς ἱεροὺς καὶ θείους κανόνας, δι' ὧν ἀπηγόρευται καὶ οὐδαμῶς παρακεχώρηται, μὴ μόνον τοῖς κατ' αὐτὸν, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσι μηδέν τι περὶ δογμάτων κινεῖν, καὶ τοῖς ἄλλοις ἐντεῦθεν πάντως ἀνάγκην ἐπιτιθέναι, περὶ τοιούτων ἀπολογεῖσθαι, μηδὲ διδασκαλικὸν ἑαυτοῖς περιτιθέντας ἀξίωμα, διεξιέναι περί τινων ἐκκλησιαστικῶν ὑποθέσεων. Μόνοις γὰρ ἐδόθη τοῦτο τοῖς ἀρχιερεῦσι Θεοῦ παρὰ τῆς ἄνωθεν χάριτος. Φησὶ γὰρ ὁ ξθ' κανὼν τῆς ς' συνόδου, Οὐ χρὴ λαϊκὸν δημοσίᾳ λόγον κινεῖν, ἢ διδάσκειν, ἀξίωμα διδασκαλικὸν ἐντεῦθεν περιποιούμενον, ἀλλ' εἴκειν τῇ παρὰ τοῦ Κυρίου παραδοθείσῃ τάξει, καὶ τὸ οὖς τοῖς τὴν χάριν τοῦ διδασκαλικοῦ λόγου λαβοῦσι διανοίγειν, καὶ τὰ θεῖα παρ' αὐτῶν ἐκδιδάσκεσθαι. Ἐν γὰρ τῇ μιᾷ Ἐκκλησίᾳ διάφορα μέλη πεποίηκεν ὁ Θεὸς, κατὰ τὴν τοῦ Ἀποστόλου φωνὴν ἣν ὁ Θεολόγος ἑρμηνεύων Γρηγόριος, σαφῶς τὴν ἐν τούτοις τάξιν παρίστησι λέγων· Ταύτην αἰδώμεθα τὴν τάξιν, ἀδελφοὶ, ταύτην φυλάττωμεν. Ὁ μὲν ἔστω τις ἀκοὴ, ὁ δὲ γλῶσσα, ὁ δὲ χεὶρ, ὁ δὲ ἄλλο τι· ὁ μὲν διδασκέτω, ὁ δὲ μανθανέτω· καὶ ὁ μανθάνων, ἐν εὐπειθείᾳ καὶ ὁ χορηγῶν ἐν ἱλαρότητι, καὶ ὁ ὑπουργῶν ἐν προθυμίᾳ. Μὴ πάντες ὦμεν γλῶσσα τὸ ἑτοιμότερον, μὴ πάντες ἀπόστολοι, μὴ πάντες προφῆται, μὴ πάντες διερμηνεύωμεν. Καὶ μετά τινα· Τί σεαυτὸν ποιεῖς ποιμένα, πρόβατον ὤν; Τί γίνῃ κεφαλὴ, ποὺς τυγχάνων; Τί στρατηγεῖν ἐπιχειρεῖς, τεταγμένος ἐν στρατιώταις; Καὶ ἑτέρωθι ἡ Σοφία διακελεύεται· *Μὴ ἴσθι ταχὺς ἐν λόγοις· Μὴ συμπαρεκτείνου πένης ὢν πλουσίῳ. Μηδὲ ζήτει τῶν σοφῶν εἶναι σοφώτερος.* Εἰ δέ τις ἀλῷ τὸν παρόντα παρασαλεύων κανόνα, ἐπὶ ἡμέρας ἀφοριζέσθω τεσσαράκοντα. Καὶ πάλιν ὁ τῆς ἐν Χαλκηδόνι κανὼν ἐννέα καὶ δέκατος, Δεῖ τοὺς τῶν ἐκκλησιῶν προεστῶτας, ἐν πάσῃ μὲν ἡμέρᾳ, ἐξαιρέτως δὲ ταῖς Κυριακαῖς, πάντα τὸν κλῆρον καὶ τὸν λαὸν ἐκδιδάσκειν τοὺς τῆς εὐσεβείας λόγους, ἐκ τῆς θείας Γραφῆς ἀναλεγομένους τὰ τῆς ἀληθείας νοήματά τε καὶ ῥήματα καὶ μὴ παραβαίνοντας τοὺς ἤδη τεθέντας ὅρους, ἢ τὴν ἐκ τῶν θεοφόρων Πατέρων παράδοσιν. Ἀλλὰ καὶ εἰ γραφικὸς ἀνακινηθείη λόγος, μὴ ἄλλως τοῦτον ἑρμηνευέτωσαν, ἢ ὡς ἂν οἱ τῆς Ἐκκλησίας φωστῆρες καὶ διδάσκαλοι διὰ τῶν οἰκείων συγγραμμάτων παρέθεντο. Καὶ μᾶλλον ἐν τούτοις εὐδοκιμείτωσαν, ἢ λόγους οἰκείους συντάττοντες, ἔστιν ὅτε ἀπόρως ἔχοντες πρὸς τοῦτο, ἀποπίπτοιεν τοῦ προσήκοντος. Διὰ γὰρ τῆς τῶν προειρημένων Πατέρων διδασκαλίας οἱ λαοὶ ἐν γνώσει γινόμενοι τῶν τε σπουδαίων καὶ αἱρετῶν καὶ τῶν ἀσυμφόρων καὶ ἀποβλήτων, τὸν βίον μεταῤῥυθμίζουσι πρὸς τὸ βέλτιον, καὶ τὸ τῆς ἀγνοίας οὐχ ἁλίσκονται πάθει, ἀλλὰ προσέχοντες τῇ διδασκαλίᾳ, ἑαυτοὺς πρὸς τὸ μὴ κακῶς παθεῖν παραθήγουσι, καὶ φόβῳ τῶν ἐπηρτημένων τιμωριῶν τὴν σωτηρίαν αὐτοῖς ἐξεργάζονται.

ζ'. Μετὰ μέντοι τὴν ἀνάγνωσιν τῶν αὐτῶν ἱερῶν καὶ θείων κανόνων προσεκομίσθησαν ἐπὶ τοῦ μέσου ἃς ὁ Βαρλαὰμ φθάσας ἐποιήσατο ἀναφορὰς κατὰ τῶν μοναχῶν· καὶ ἀναγνωσθεισῶν τῶν τοιούτων ἀναφορῶν, προετράπη ὁ διαληφθεὶς ἱερομόναχος κὺρ Γρηγόριος ὁ Παλαμᾶς τὴν ἐπ' αὐταῖς ποιήσασθαι ἀπολογίαν, ὡς αὐτοῦ μάλιστα καθαπτομέναις, ὅστις καὶ εἰπὼν ἐν προοιμίου λόγῳ, καὶ ἀπολογησάμενος ὅσα εἰκὸς, ἔπειτα διηγήσατο καὶ ὡς ἐπισυνέβη τὰ τῆς αὐτῶν διαφορᾶς, προτέρου τοῦ αὐτοῦ Βαρλαὰμ συγγραψαμένου καὶ κατηγορήσαντος αὐτῶν ἅπερ ἀνωτέρω εἴρηται, καὶ ἐναντία τοῖς τῶν Πατέρων θείοις λόγοις, ὡς ἀπεδείχθη, ἐκθεμένου, καὶ ὡς ἐξ ἀνάγκης καὶ αὐτὸς πρὸς τὴν ἀπολογίαν καὶ ἀντίῤῥησιν κεκίνηται.

η'. Ἔπειτα ὡρίσθη ἐνεχθῆναι τὰ τοῦ Βαρλαὰμ συγγράμματα, ἃ καὶ πρὸς ἐξαπάτην τῶν ἀκουόντων κατὰ Μασσαλιανῶν ἐπέγραφεν. Ἐν οἷς συγγράμμασιν ἔλεγε καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς μεταμορφώσεως τοῦ Δεσπότου Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν τῆς τοῦ φωτὸς τούτου θέας ἠξιωμένων προκρίτων μαθητῶν αὐτοῦ καὶ ἀποστόλων, λέξεσιν αὐταῖς τάδε· Τὸ ἐν Θαβωρίῳ λάμψαν φῶς θεότητος οὐκ ἀπρόσιτον ἦν, οὐδὲ κατὰ ἀλήθειαν ὑπῆρχε φῶς θεότητος, οὐδὲ ἀγγέλων ὅλως ἱερώτερον ἢ θειότερον, ἀλλὰ καὶ χεῖρον καὶ κατώτερον καὶ αὐτῆς τῆς ἡμετέρας νοήσεως. Πάντα γὰρ τά τε νοήματα καὶ τὰ νοούμενα σεμνότερά ἐστι τοῦ φωτὸς ἐκείνου, ὡς τῇ ὄψει διὰ τοῦ ἀέρος προσπίπτοντος, καὶ αἰσθητικῇ δυνάμει ὑποπίπτοντος, καὶ τὰ αἰσθητὰ μόνα δεικνύντος τοῖς ὁρῶσιν, ὑλικοῦ τε ὄντος καὶ ἐσχηματισμένου, καὶ ἐν τόπῳ καὶ ἐν χρόνῳ φαινομένου καὶ τὸν ἀέρα χρωματίζοντος, καὶ νῦν μὲν



Digitized by Google

συνισταμένου τε καὶ φαινομένου, νῦν δὲ διαλυομένου καὶ εἰς τὸ μὴ εἶναι χωροῦντος, ἅτε φανταστοῦ μεριστοῦ τε καὶ πεπερασμένου. Διὸ καὶ ὁρώμενον ἦν ὑπὸ τῶν στέρησιν πασχόντων τῶν νοερῶν ἐνεργειῶν, μᾶλλον δὲ μηδέπω ταύτας ὅλως κτησαμένων καὶ μήπω κεκαθαρμένων ὄντων, ἀλλὰ ἀτελῶν, καὶ ἐπ' αὐτῆς ἐκείνης τῆς ἐπὶ τοῦ ὄρους θέας, ὡς μηδέπω ἀξιωθέντων τῆς τῶν θεοειδῶν νοήσεως. Ἀναγόμεθα δὲ ἀπὸ τοῦ τοιούτου φωτὸς ἐπὶ νοήματα καὶ θεωρήματα, ἃ κρείττω ἐστὶν ἐγκρίτως τοῦ φωτὸς ἐκείνου. Τοιγαροῦν οἱ λέγοντες αὐτὸ ὑπὲρ νοῦν, καὶ ἀληθινὸν καὶ ἀπρόσιτον καὶ τὰ τοιαῦτα, πεπλανημένοι εἰσὶ καθάπαξ, καὶ οὐδὲν τῶν φαινομένων καλῶν ὑψηλότερον εἰδότες, ἀσεβεῖς τε διὰ τοῦτο, καὶ ὀλεθριώτατα δόγματα εἰς τὴν Ἐκκλησίαν εἰσάγοντες. Ταῦτα μὲν οὖν ὁ Βαρλαὰμ, ἑτερόδοξα προδήλως καὶ ἐναντία τοῖς περὶ τοῦ θείου τούτου φωτὸς ῥηθεῖσι παρὰ τῶν ἁγίων.

θ'. Τούτων γὰρ ταῖς ῥήσεσι σύμφωνα διαβεβαιούμενοι καὶ φρονεῖν καὶ λέγειν οἱ μοναχοὶ, ταύτας καὶ προεβάλλοντο. Φησὶ τοίνυν ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης· Σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος, ἐν τῷ Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται. Νῦν ἑωράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι. Σῶμα γήϊνον θείαν ἀπαυγάζει λαμπρότητα. Σῶμα θνητὸν δόξαν πηγάζει θεότητος. Ὁ γὰρ Λόγος σὰρξ, ἡ σάρξ τε Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον φύσεως, ὢ τοῦ θαύματος! Οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου ὑπερθέου θεότητος.

ι'. Ὢ γὰρ ἐν ἐκείνῳ οἱ ἄγγελοι ἀκλινὲς ἐρείδειν τὸ ὄμμα οὐ σθένουσιν, ἐν τούτῳ τῶν ἀποστόλων οἱ πρόκριτοι τῇ δόξῃ τῆς ἑαυτοῦ βασιλείας ὁρῶσιν ἐκλάμποντα.

ια'. Ἐντεῦθεν τοὺς κορυφαίους τῶν ἀποστόλων προσλαμβάνεται μάρτυρας τῆς οἰκείας δόξης τε καὶ θεότητος, ἀποκαλύπτει δὲ αὐτοῖς τὴν οἰκείαν θεότητα. Τελείους δὲ εἶναι τοὺς τὴν θείαν δόξαν εἰκὸς κατοπτεύοντας, τὴν ἁπάντων ἐπέκεινα, τὴν μόνην καὶ ὑπερτελῆ καὶ προτέλειον.

ιβ'. Ὁ θεῖος γὰρ ὄντως καὶ θεηγόρος Διονύσιος, Οὕτως ὁ δεσπότης, φησὶν, ὀφθήσεται τοῖς ἑαυτοῦ τελείοις θεράπουσιν, ὃν τρόπον ἐν ὄρει Θαβὼρ τοῖς ἀποστόλοις ὀπτάνεται. Ἰωάννην παραλαμβάνει, ὡς τῆς θεολογίας παρθένον καὶ καθαρώτατον ὄργανον, ὅπως τὴν ἄχρονον δόξαν τοῦ Υἱοῦ θεασάμενος, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*, βροντήσειε.

ιγ'. Μήτηρ γὰρ προσευχῆς ἡ ἡσυχία. Προσευχὴ δὲ θείας δόξης ἐμφάνεια. Ὅταν γὰρ τὰς αἰσθήσεις μύσωμεν, καὶ ἑαυτοῖς καὶ τῷ Θεῷ συγγενώμεθα, καὶ τῆς ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευθερωθέντες ἐντὸς αὐτῶν γενώμεθα, τότε τρανῶς ἐν ἑαυτοῖς τὴν τοῦ Θεοῦ βασιλείαν ὀψόμεθα. *Ἡ βασιλεία γὰρ τῶν οὐρανῶν, ἥτις ἐστὶ βασιλεία Θεοῦ, ἐντὸς ἡμῶν ἐστιν*, Ἰησοῦς ὁ Θεὸς ἀπεφθέγξατο.

ιδ'. Ἔμπροσθεν τῶν μαθητῶν μεταμορφοῦται ὁ

A ἀεὶ ὡσαύτως δεδοξασμένος καὶ λάμπων ἀστραπῇ θεότητος.

ιε'. Ἀνάρχως μὲν γὰρ ἐκ Πατρὸς γεννηθεὶς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, καὶ ἡ τῆς θεότητος δόξα τοῦ σώματος γίνεται.

ις'. Ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρχουσα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ καὶ ἀγγέλοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζε. Μεταμορφοῦται τοίνυν, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. Καὶ τοῦτό ἐστι τὸ, *Μετεμορφώθη ἔμπροσθεν αὐτῶν*. Μένων γὰρ αὐτὸς ἐν ταυτότητι, παρ' ὃ τὸ πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἑω- B ρᾶτο φαινόμενος, καὶ ἔλαμψε, φησὶν, ὡς ὁ ἥλιος. Οὐχ ὅτι μὴ τοῦ ἡλίου λαμπρότερον, ἀμήχανον γὰρ ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι, ἀλλ' ὅσον ἐχώρουν καθορᾷν οἱ βλέποντες.

ιζ'. Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καθὰ πέφυκε φύσεως. Καὶ ὃ δὲ ἑώρακεν, ἐν Πνεύματι τοῦτο τεθέαται. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Ταῦτά ἐστιν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε. Οὕτως ἐν τῷ αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν Θεῷ ἐσόμεθα, Χριστὸν ὁρῶντες τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος. Τοῦτο τὸ φῶς κατὰ πάσης φύσεως ἔχει τὰ νικητήρια, αὕτη ἡ ζωὴ ἡ τὸν κόσμον νικήσασα. Ἀλλ' ὁ Πέτρος, « Καλόν ἐστιν ὧδε ἡμᾶς εἶναι. Καὶ ἐντεῦθεν νεφέλη, οὐ γνόφου, C ἀλλὰ φωτὸς, ἐπεσκίασε· τὸ κεκρυμμένον γὰρ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν μυστήριον ἐκκαλύπτεται. Φωνὴ τοῦ Πατρὸς ἐκ νεφέλης τοῦ Πνεύματος γέγονε, καὶ δόξα διηνεκὴς καὶ διαιωνίζουσα δείκνυται. »

ιη'. Ὁ δὲ Κρήτης θεσπέσιος Ἀνδρέας, Ἐπὶ τὸ ὄρος, φησὶν, ἀνάγει τὸ ὑψηλὸν τοὺς μαθητὰς ὁ Σωτὴρ, τί ποιήσων; ἢ τί διδάξων; τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας θεότητος δόξαν τε καὶ λαμπρότητα.

ιθ'. Τοῦτο τοίνυν ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν καὶ ἀνάβασιν, καθ' ἣν καὶ τοῦ κρείττονος ἡ ἐκνίκησις, ἢ τόγε κυριώτερον εἰπεῖν, ἡ ἀνεκλάλητος θέωσις.

D κ'. Τοῦτο θαυμάζουσιν ἄγγελοι. Τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι.

κα'. Τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ Λόγου φιλανθρωπίας.

κβ'. Οὐκ ἔστι τῶν ἐν τῇ κτίσει θεωρουμένων, ὃ χωρήσει τούτου τὴν ὑπερβολὴν τῆς λαμπρότητος. Ὁ γὰρ ὑπερούσιος εἰς οὐσίαν οὐσιωθεὶς διὰ σαρκὸς ἡμῖν πεπολίτευται, ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν.

κγ'. Οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος, ἢ ὑψηλότερος, ἄπαγε! ἀλλ' ὅπερ καὶ πρότερον τοῖς τελουμένοις τῶν μαθητῶν καὶ μυουμένοις τὰ ὑψηλότερα, κατὰ ἀλήθειαν θεωρούμενος. Ἔξω γὰρ σαρ-

Digitized by Google

κῆς καὶ κόσμου γενόμενοι καθ' ὅσον ἐφικτὸν, ἐνταῦθα τὰ τῆς μελλούσης καταστάσεως ἤδη ἐξ ὧν ἐπειράθησαν ἐδιδάχθησαν. A

κδ'. Εἰ γὰρ καὶ μηδενὶ τῶν ἁπάντων ἀκοινώνητόν ἐστι καθόλου τὸ ἀγαθὸν, ἀλλ' οὐχὶ ὅλον ὅ τι ποτέ ἐστιν, ἀλλ' ὅσον καὶ ὅπως τοῖς μετέχουσιν ὡς ἐφικτὸν χωρητὸν γίνεται. Καὶ τοῦτο δι' ἄκραν ἀγαθότητα. ταῖς ἀπειροδώροις ἐλλάμψεσιν ἰδρῦον ἐπὶ πάντα καὶ προχεόμενον. Ἀπόδειξις δὲ τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος καὶ πολύυμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ ἀπόστολοι. Ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν, τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνεν, ὢ τοῦ θαύματος! κατ' ἔκστασιν τελεωτάτην τῆς φύσεως· πίπτουσιν ὕπνῳ βαρεῖ, καὶ φόβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν παντελῶς ἑαυτῶν ἀποσπάσαντες. Οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον καὶ ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ Θεῷ συνεγένοντο, τῷ μηδόλως ὁρᾷν, τὸ ὄντως ὁρᾷν εἰσδεχόμενοι, καὶ τῷ πάσχειν ἀγνώστως, τὴν καθ' ὑπεροχὴν ἀγνωσίαν πορίζόμενοι, καὶ τὴν πάσης νοερᾶς ἐπιστασίας ὑψηλοτέραν ἐγρήγορσιν ὕπνῳ μυσταγωγούμενοι ἔξω πάντων ἐγένοντο τῶν ὁρωμένων τε καὶ νοουμένων, ἔτι δὲ καὶ ἑαυτῶν, ἵνα τὸ πάσης θεώσεώς τε καὶ ἀφαιρέσεως ἐκθειβηκὸς, καθ' ὑπεροχὴν ὑπερούσιον, τῇ ἐκφάνσει τοῦ Λόγου, καὶ τῇ ἐπισκιάσει τοῦ Πνεύματος, καὶ τῇ ἄνωθεν ἐκ τῆς νεφέλης φερομένῃ τοῦ γεννήτορος φωνῇ δι' ἀγνωσίας καὶ ἀβλεψίας παιδευθῶσι μυστήριον. B C

κε'. Περὶ τοῦ θείου τούτου φωτὸς φησὶν ὁ μέγας Γρηγόριος ὁ Θεολόγος· Φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς μικροῦ στεῤῥοτέρα καὶ ὄψεως· καὶ αὖθις, Ἥξει μὲν ὡς ὁ ἐμὸς Λόγος, τοιοῦτος δὲ, οἷος ὤφθη τοῖς μαθηταῖς ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος.

κς'. Ὁ δὲ ἅγιος Μάξιμος, Τοῦτό ἐστι, φησὶ, τὸ τοῦ Θεοῦ Εὐαγγέλιον, πρεσβεία Θεοῦ καὶ παράκλησις πρὸς ἀνθρώπους δι' Υἱοῦ σαρκωθέντος, καὶ τῆς πρὸς τὸν Πατέρα καταλλαγῆς μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγένητον θέωσιν· ἀγένητον δὲ λέγω θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. D

κζ'. Καὶ αὖθις, Οὐ πᾶσιν ἀεὶ μετὰ δόξης, φησὶν, ὁ Κύριος ἐπιφαίνεται τοῖς παρ' αὐτῷ ἱσταμένοις, ἀλλὰ τοῖς μὲν εἰσαγομένοις ἐν δούλου μορφῇ παραγίνεται, τοῖς δὲ δυναμένοις ἀκολουθῆσαι αὐτῷ ἐπὶ τὸ ὑψηλὸν ἀναβαίνοντι τῆς αὐτοῦ μεταμορφώσεως ὄρος ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρὸ τοῦ τὸν κόσμον εἶναι.

κη'. Καὶ πάλιν ὁ αὐτὸς, Τὸ φῶς, φησὶ, τοῦ προσώπου Κυρίου, τὸ νικῆσαν τῆς ἀνθρωπίνης φύσεως τὴν ἐνέργειαν, τὸν τρόπον διετύπου τοῖς μακαρίοις ἀποστόλοις τῆς κατὰ ἀπόφασιν μυστικῆς θεολογίας, καθ' ἣν ἡ μακαρία καὶ ἁγία θεότης κατ' οὐσίαν ἐστὶν ὑπεράῤῥητος καὶ ὑπεράγνωστος, καὶ πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη οὐδ' ἴχνος ὅλως κατα-λήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασα.

κθ'. Ὁ τοῖς οὖσι γὰρ, φησὶν ὁ αὐτὸς, μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τρόπος καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος.

λ'. Φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος, Τὸ Πνεῦμα τὸ ἅγιον ἀπρόσιτον τῇ φύσει, χωρητὸν δι' ἀγαθότητα, πάντα μὲν πληροῦν τῇ δυνάμει, μόνοις δὲ ὂν μεθεκτὸν τοῖς ἀξίοις οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν, ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν.

λα'. Ὅλον ἑκάστῳ παρὸν, καὶ ὅλον πανταχοῦ ὂν, ἀπαθῶς μεριζόμενον, καὶ ὁλοσχερῶς μετεχόμενον, κατὰ τὴν εἰκόνα τῆς ἡλιακῆς ἀκτῖνος, καὶ ἑκάστῳ τῶν δεκτικῶν ὡς μόνῳ παρὸν, διαρκῆ τοῖς πᾶσι τὴν χάριν καὶ ὁλόκληρον ἐπαφίησι.

λβ'. Καὶ πάλιν· Αἱ μὲν γὰρ ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν, τῇ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος.

λγ'. Οὕτω γὰρ καὶ ὁ μέγας Ἀθανάσιος λέγει, ὅτι οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ. Ὅθεν πρόδηλον, ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν ἀποστόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν αὐτοῦ.

λδ'. Καὶ αὖθις ὁ αὐτὸς, Ἀπαθὴς, φησὶ, καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστὸς, ὡς Θεὸς νικήσας τὸν θάνατον, καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς τὸν οὐρανὸν, ἐν δόξῃ φυσικῇ καὶ οὐκ ἐν χάριτι, ἐρχόμενος ἐν τῇ αὐτοῦ θεότητι, καὶ ἐμφανῶς ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόῤῥητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστιν, ἀναλλοίωτος ὢν ἀεὶ καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα.

λε'. Οὕτω καὶ ὁ μέγας Διονύσιος, Ὅταν ἄφθαρτοι, φησὶ, καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς χριστοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις ἡμᾶς μαρμαρυγαῖς περιαυγαζούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας, ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες καὶ τῆς ὑπὲρ νοῦν ἑνώσεως, ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων.

λς'. Καὶ ὁ μέγας Βασίλειος, Ἄθλον, φησὶν, ἀρετῆς Θεὸν γενέσθαι, καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, τῆς ἡμέρας ἐκείνης υἱὸν γενόμενον, ἣ μὴ διακόπτεται ζόφῳ. Ἄλλος γὰρ ταύτην ποιεῖ

Digitized by Google

ἥλιος, ὁ τὸ ἀληθινὸν φῶς ἀπαστράπτων· ὃς ἐπειδὰν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλὰ πάντα τῇ φωτιστικῇ αὐτοῦ δυνάμει περιπτυξάμενος, διηνεκὲς καὶ ἀδιάδοχον τοῖς ἀξίοις τὸ φῶς ἐμποιεῖ, καὶ αὐτοὺς τοὺς μετέχοντας τοῦ φωτὸς ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος. « Τότε γὰρ, φησὶ, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος. »

λζ'. Καὶ ὁ θεῖος Μάξιμος· Ἡ ψυχὴ γίνεται Θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος, πασῶν τῶν κατὰ νοῦν τε καὶ αἴσθησιν ἐνεργειῶν αὐτή τε παυσαμένη, καὶ τὰς τοῦ σώματος φυσικὰς ἐνεργείας συναποπαύσασθαι, καὶ συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως· ὥστε μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος τότε φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων.

λη'. Καὶ ὁ μέγας Διονύσιος· Οὐδεμίαν ὁρῶμεν θέωσιν ἢ ζωὴν, ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ὑπερκειμένῃ αἰτίᾳ.

λθ'. Ὁ αὐτὸς ἐρωτώμενος, πῶς ὁ πάντων ἐπέκεινα ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ὑπὲρ ἀγαθαρχίαν, Εἰ θεότητα, φησὶ, καὶ ἀγαθότητα νοήσαις, αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ δώρου, καὶ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα. Καὶ γὰρ εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος, καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος ὡς θεαρχίας καὶ ἀγαθαρχίας ἐστὶν ἐπέκεινα.

μ'. Καὶ ὁ Νύσσης θεῖος Γρηγόριος, Εἰ τὰ κρίματα αὐτοῦ, φησὶν, ἐξερευνηθῆναι οὐ δύναται, καὶ αἱ ὁδοὶ οὐκ ἐξιχνιάζονται, καὶ ἡ τῶν ἀγαθῶν ἐπαγγελία πάσης ὑπέρκειται τῆς ἀπὸ στοχασμῶν εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ κατὰ τὸ ἄφραστόν τε καὶ ἀπροσπέλαστον ἄνω ἐστὶ καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον τῶν περὶ αὐτὸ νοουμένων;

μα'. Ἀλλὰ καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνὸς πάλιν ἐν τοῖς ἱεροῖς μέλεσιν, Ἵνα σου δείξῃς ἐμφανῶς τὴν ἀπόῤῥητον δευτέραν κατάβασιν, ὅπως ὁ ὕψιστος Θεὸς ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν τοῖς ἀποστόλοις ἐν Θαβὼρ, Μωσῇ σὺν Ἠλίᾳ τε ἀῤῥήτως ἔλαμψας.

μβ'. Καὶ ἐν ἑτέρῳ μέλει· Καὶ μικρὸν ὑποκρύψας τῆς σαρκὸς τὸ πρόσλημμα, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τὴν εὐπρέπειαν. Καὶ ταύτην οὐχ ὁλόκληρον, τὸ μὲν πληροφορῶν αὐτοὺς ἅμα καὶ φειδόμενος, μήπως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν, ἀλλ' ὡς ἠδύναντο χωρεῖν, τοὺς σωματικοὺς ὀφθαλμοὺς περιφέροντας.

μγ'. Καὶ ὁ μέγας Διονύσιος αὖθις, Ὁ θεῖος, φησὶ, γνόφος ἐστὶ τὸ ἀπρόσιτον φῶς. Ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται, καὶ ἀοράτῳ ὄντι διὰ τὴν ὑπερέχουσαν φανότητα, καὶ ἀπροσίτῳ δι' ὑπερβολὴν ὑπερουσίου φωτοχυσίας.

μδ'. Οὐχ ὁ Θεὸς δὲ, φησὶν ὁ Χρυσόστομος Πατὴρ, ἀλλ' ἡ χάρις ἐκχεῖται.

με'. Ἐπεὶ δὲ τὸν προσγενόμενον ἐπὶ τῆς θειοτάτης ἐκείνης θέας τοῖς ἀποστόλοις φόβον ἐκεῖνος αὖ- A θις προεβάλλετο, ὡς ἀτελεῖς καὶ ἐπ' αὐτῆς ἐκείνης δεῖξαι διὰ τούτου τοὺς ἀποστόλους, καὶ τὸ φῶς τοῦτο χαμαίζηλον τὸ τηνικαῦτα τούτοις ὁρώμενον, ὁ θειότατος καὶ ἀοίδιμος βασιλεὺς ὑπὸ τοῦ τοιούτου τότε φωτὸς πάντως καταυγασθεὶς τὴν διάνοιαν, Ἔστι καὶ φόβος, εἶπεν, οὐ τῶν εἰσαγομένων ἀλλὰ τῶν τελείων. Περὶ οὗ φησιν ὁ Προφήτης· *Ὁ φόβος Κυρίου ἁγνὸς διαμένων εἰς αἰῶνα αἰῶνος*. Καὶ ἀλλαχοῦ πάλιν· *Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ*. Δεῖγμα δὲ τοῦ μὴ τὸν εἰσαγωγικὸν ἀλλὰ τὸν τέλειον ἔχειν τότε φόβον τοὺς ἀποστόλους τὸ ζητεῖν παραμένειν ἀεὶ τῷ ἀῤῥήτῳ ἐκείνῳ θεάματι. *Ποιήσωμεν γὰρ ὧδε*, φησὶ, *τρεῖς σκηνὰς*, καὶ, *Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι*. Ὁ γὰρ ἕτερον τρόπον τὸν φόβον ἔχων ἀπ' ἐκείνου προθυμεῖται φεύγειν ὃ καὶ φοβεῖ- B ται. Πέτρος γὰρ ἡ κορυφαία τῶν ἀποστόλων ἀκρότης, νομίσας τὸν διαστηματικὸν τοῦτον καὶ πεπερασμένον αἰῶνα παραῤῥυῆναι, τὸν δὲ ἀδιάστατόν τε καὶ ἄληκτον τοῦ φωτὸς ἐκεῖνον ἐπιφανῆναι, *Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι*, ἀπὸ διαθέσεως τῆς ψυχῆς ἐνθεαστικῶς ἔλεγεν. Ἐκεῖνο γὰρ πάντως εἶδεν, ὃ οὐκ ἂν πάντως ἀνθρωπίνη φύσις ὁρᾷν δυνηθείη, εἰ μὴ πρὸς τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀνακραθείη. Τοσούτου γὰρ ἐκεῖνοι τότε ἠξιώθησαν, ὅσον ἀνθρωπίνη φύσις χωρήσειεν ἂν, συναιρομένου ταύτῃ τοῦ Πνεύματος.

μς'. Μηδεὶς δὲ ἡμῶν ἀκούων, αὖθις εἶπεν ὁ καὶ τὰ θεῖα σοφὸς βασιλεὺς, ἐφ' ὅσον εἰκὸς ἐξυμνούντων τὸ θειότατον ἐκεῖνο φῶς, τὴν τοῦ Θεοῦ φύσιν θεατὴν λέγειν ἡμᾶς ὑπολαμβανέτω· εἰ γὰρ πρὸς τοσοῦτον C ὕψος θεωρίας ἀνέδραμον, χάριν καὶ δόξαν εἶδον θείαν, ἀλλ' οὐ τὴν φύσιν αὐτὴν τὴν χορηγοῦσαν τὴν χάριν. Καὶ γὰρ ἴσμεν ἐκείνην, ὑπὸ τῶν θείων λογίων μεμυημένοι, ἀμέθεκτον, ἄληπτον, ἀόρατον καὶ αὐταῖς ταῖς ὑπερκοσμίοις καὶ ἀνωτάταις δυνάμεσιν, ὡς οὐδ' ἴχνος ὅλως καταλήψεως κἂν ψιλὸν τοῖς μετ' αὐτὴν καταλείψασαν. Ἐπεὶ καὶ Γρηγορίων ὁ θεολογικώτατος ἔστιν ἃ τῶν προφητικῶν θεαμάτων καταλέξας πρότερον, ἐφεξῆς εὐθὺς ἐπήνεγκεν, Ἀλλ' οὔτε οὗτοι ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατὰ τούτους ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου κατὰ τὸ γεγραμμένον, οὐδὲ Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν. Ἐξ ὧν δὴ ῥητῶν καὶ λόγων, ἀνιέρως τοῖς ἱεροῖς ἐπιβάλλων ὁ Βαρλαὰμ καὶ ἐπισφαλῶς, ἀπη- D λέγχετό τε καὶ κατῃσχύνετο.

μζ'. Ἔτι τε εὕρηται ὁ τοιοῦτος Βαρλαὰμ πολλὰ καὶ τῶν τῆς ἡσυχίας ἐθίμων ἐγγράφως διαστρέψας καὶ κατηγορήσας, ἅμα δὲ καὶ τῇ συνήθει τούτοις, μᾶλλον δὲ πᾶσι τοῖς Χριστιανοῖς προσευχῇ ἐπιθέμενος, τῇ, *Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με*. Διελάμβανε γὰρ καὶ περὶ ταύτης ἐπ' αὐτῶν τῶν λέξεων οὕτως.

Ἐγὼ πολλῶν ὄντων ἃ τις ἂν ἔχοι δικαίως ἐγκαλεῖν τῷ τῆς τοιαύτης διδασκαλίας ὑφηγητῇ, οὐδενὸς ἔλαττον ἡγοῦμαι καὶ τοῦτο, ὅτι τὰ Χριστιανῶν ἐπιχειρῶν διὰ τῶν εἰσπνόων ἀνατρέπειν μυστήρια, συκοφαντεῖ καὶ τοὺς Πατέρας, ὡς ἅπερ νῦν αὐτὸς ἐκδιδάσκει, ταῦτα κἀκείνους φρονήσαντας πρότερον. Ἐμβρόντητε καὶ μιαρὲ, καὶ τίς πώποτε ἐκείνων νη-

Digitized by Google

ξιν καὶ φυλακὴν καρδίας, καὶ προσοχήν, τοιαύτην τερατείαν οἵαν σὺ παραδίδως ὀνόμασι; Φασὶ δὲ τοῦτον νενομοθετηκέναι τοῖς μύσταις, εὐχῇ χρῆσθαι διαπαντὸς οὕτως ἐχούσῃ· Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με. Κἀκ τούτου οὖν ἔστι συνιδεῖν, ὁποῖος ἦν ὁ τῶν εἰσπνόων εὑρετής. Τὸ μὲν γάρ, *Πάτερ ἡμῶν*, ᾧ διαφερόντως οἱ Βωγόμιλοι χρῶνται, οὐ νομοθετεῖ· ᾤετο γὰρ οὕτω κατάδηλος ἔσεσθαι· οἷς δ' ὅμως ταύτῃ μόνῃ τῇ μικρᾷ εὐχῇ διὰ βίου προσανέχειν ὑποτίθεται, τούτοις τάς γε ἄλλας ἁπάσας εὐχὰς βαττολογίας καταλιμπάνειν νομίζεσθαι. Οἷς δὲ αὖθις πάντων Χριστιανῶν ἐν ταύτῃ τῇ εὐχῇ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεὸν ἡμῶν καλούντων, οὗτος τό, ὁ Θεὸς ἡμῶν, εἰς τό, Υἱὲ Θεοῦ μετείληφε, τούτοις τὸ πᾶν τῆς ἑαυτοῦ κακοδοξίας ἡμῖν ἐξεκάλυψε. Τῷ γὰρ τῶν Βωγομίλων ἀκολούθως δόγματι μεταβάλλει καὶ οὗτος ἐν τῇ εἰρημένῃ εὐχῇ τό, ὁ Θεὸς ἡμῶν, εἰς τό, Υἱὲ Θεοῦ. Ἐπεὶ ἄλλην γε αἰτίαν δι' ἣν τὴν τοιαύτην πεποίηκε μεταβολήν, οὐκ ἂν εἰπεῖν τις ἔχοι. Καὶ ταῦτα μὲν ὁ ἀθεώτατος Βαρλαάμ.

μη'. Τὰ δὲ καὶ αὐτὰ ἀπεναντίας ἔχει πάντως τῇ μακαριστῇ φωνῇ τοῦ θεμελίου τῆς πίστεως, τοῦ κορυφαίου τῶν μαθητῶν, καὶ τῷ ἐπ' αὐτῇ τοῦ δεσπότου μακαρισμῷ. Ὁ μὲν γὰρ εἶπε πρὸς αὐτόν, *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος*· ὁ δὲ Κύριος πρὸς αὐτόν, *Μακάριος εἶ Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς*. Ἀλλὰ καὶ ἐν τῷ συμβόλῳ τῆς πίστεως λέγομεν· *Πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, καὶ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων*. Ἆρ' οὖν οὐ Θεὸν εἶναι τὸν Χριστὸν δοξάζομεν, ἐπεὶ πιστεύειν φαμὲν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ; Φησὶ δὲ περὶ τῆς τοιαύτης ἱερᾶς προσευχῆς καὶ ὁ χρυσορρήμων καὶ θεῖος διδάσκαλος Ἰωάννης μονάζουσιν ἐπιστέλλων· Σχολάσατε διαπαντός, καὶ παραμείνατε Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς, καὶ μηδὲν ἕτερον ζητήσητε ἢ μόνον ἔλεος παρὰ τοῦ κυρίου τῆς δόξης. Ζητοῦντες δὲ ἔλεος, ἐν ταπεινῇ καὶ ἐλεεινῇ καρδίᾳ ζητεῖτε, καὶ βοᾶτε ἀπὸ πρωῒ ἕως ἑσπέρας, εἰ δυνατὸν καὶ ὅλην τὴν νύκτα, τό, Κύριε Ἰησοῦ Χριστὲ Υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς. Παρακαλῶ οὖν ὑμᾶς, βιάσασθε τὸν νοῦν ὑμῶν εἰς τοῦτο τὸ ἔργον ἕως θανάτου. Πολλῆς γὰρ βίας χρῄζει τὸ ἔργον τοῦτο, ὅτι στενὴ ἐστιν ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ οἱ βιαζόμενοι εἰσέρχονται ἐν αὐτῇ. Βιαστῶν γὰρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Παρακαλῶ οὖν ὑμᾶς, μὴ χωρίζετε τὰς καρδίας ὑμῶν ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ προσμένετε καὶ φυλάττετε αὐτὴν μετὰ τῆς μνήμης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε, ἕως οὗ ἐμφυτευθῇ τὸ ὄνομα τοῦ Κυρίου ἔσω ἐν τῇ καρδίᾳ, καὶ μηδὲν ἕτερον ἐννοεῖτε, ἢ ἵνα μεγαλυνθῇ Χριστὸς ἐν ὑμῖν. Παρακαλῶ οὖν ὑμᾶς, τὸν κανόνα ταύτης τῆς προσευχῆς μηδέποτε καταπαύσητε, ἢ καταφρονήσητε. ἀλλ' εἴτε ἐσθίετε, εἴτε πίνετε, εἴτε ὁδεύετε, εἴτε τι ποιεῖτε, ἀδιαλείπτως κράζετε, Κύριε Ἰησοῦ Χριστὲ

A Υἱὲ τοῦ Θεοῦ, ἐλέησον ἡμᾶς. « Ἀδιαλείπτως γάρ, φησίν, ὁ θεῖος ἀπόστολος, προσεύχεσθε χωρὶς ὀργῆς καὶ διαλογισμῶν. »

μθ'. Ἀλλὰ καὶ ὁ θεῖος Διάδοχος, Ἀπαιτεῖ, φησίν, ἡμᾶς πάντως ὁ νοῦς, ὅταν πάσας τὰς διεξόδους αὐτοῦ τῇ μνήμῃ ἀποφράξωμεν τοῦ Θεοῦ. Ἔργον ὀφεῖλον αὐτοῦ πληροῦν τὴν ἐντρέχειαν. Δεῖ οὖν αὐτῷ διδόναι, τό, Κύριε Ἰησοῦ Χριστέ, εἰς ὁλόκληρον πραγματείαν τοῦ σκοποῦ. Οὐδεὶς γάρ, φησί, λέγει Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. Ὅσοι γὰρ τοῦτο τὸ ἅγιον καὶ ἔνδοξον ὄνομα τῷ βάθει μελετῶσιν ἀεὶ τῆς καρδίας ἀπαύστως, αὐτοὶ καὶ τὸ φῶς αὐτῶν τοῦ νοῦ δύνανται ὁρᾷν ποτε. Πάντα γὰρ τὸν ἐπιπολάζοντα ῥύπον τῇ ψυχῇ B ἐν αἰσθήσει ἱκανῇ καταφλέγει. Καὶ γὰρ ὁ Θεὸς ἡμῶν φησί, *Πῦρ καταναλίσκον*. Ὅθεν εἰς ἀγάπην λοιπὸν πολλὴν τὴν ψυχὴν τῆς ἑαυτοῦ δόξης προσκαλεῖται Κύριος. Ἐγχρονίζον γὰρ τὸ ἔνδοξον ἐκεῖνο καὶ πολυπόθητον ὄνομα διὰ τῆς μνήμης τοῦ νοῦ τῇ θέρμῃ τῆς καρδίας, ἕξιν ἡμῖν πάντων ἐμποιεῖ τοῦ ἀγαπᾷν τὴν αὐτοῦ ἀγαθότητα. Οὗτος γάρ ἐστιν ὁ μαργαρίτης ὁ πολύτιμος, ὅντινα, πωλήσας τις τὴν περιουσίαν αὐτοῦ, εὑρεῖν δύναται, καὶ ἔχειν ἀνεκλάλητον ἐπὶ τῇ αὐτοῦ εὑρέσει χαράν. Καὶ μακρὸν ἂν εἴη λέγειν τὰς περὶ τούτου τῶν θεοφόρων Πατέρων εἰσηγήσεις καὶ προτροπάς. Ἰσχυριζομένων τοίνυν τῶν μοναχῶν, τῆς πνευματοκινήτου τῶν θεοφόρων διανοίας ἐπιπρεπές τε καὶ θεῖον ἐξ ἀρχῆς εἶναι μελέτημα τὴν εὐχὴν ταύτην, ἅμα δὲ καὶ βουλομένων C ἐφεξῆς συνείρειν ὅσα περὶ αὐτῆς ἐν τοῖς τῶν ἁγίων συγγράμμασι κεῖται, οἷόν ἐστι καὶ τῷ εἰρημένῳ τῷ διὰ λόγων δειμαμένῳ τὴν κλίμακα τῆς πνευματικῆς ἀναβάσεως, Μνήμη γάρ, φησιν, Ἰησοῦ κολληθήτω τῇ πνοῇ σου, καὶ τότε εἴσῃ ἡσυχίας ὠφέλειαν.

ν'. Τοιαῦτα προθυμουμένων ἐφεξῆς λέγειν τῶν μοναχῶν, ὁ τὰ πάντα θαυμάσιος βασιλεύς, νῦν δὲ καὶ μακαρίῳ τέλει κατακλείσας τὸν βίον, ὡς Χριστὸς Κυρίου τὸν ὑπὲρ τοῦ χρίσαντος λόγον αὖθις ὑπολαβών, Ἀλλ' ἔστω, φησί, καὶ δεδόσθω, τῶν κακοδόξων τοῦτο τινὰ φάναι τὴν ἀρχήν, Οὐδὲν παρὰ τοῦ Θεοῦ ἡμῖν ἔγκλημα, καλῶς χρωμένοις τὸ κακῶς ἐκείνοις νενοημένον. Οὐδὲ γὰρ ἐπειδὴ Θεὸν οὐρανοῦ λέγουσιν οἱ Πέρσαι τὸν Ἀβραάμ, κακῶς D ἐροῦμεν εἰπεῖν, Τὸν Θεὸν τὸν οὐρανοῦ ἐγὼ σέβομαι· οὐδὲ ἐπειδὴ κοσμοποιὸν νοῦν Ἕλληνές φασι τὸν Θεόν, ἡμεῖς τοῦτον τοῦ κόσμου ποιητὴν οὐκ ἐροῦμεν. Ἢ τοῦτο λέγοντες, ἐγκληθείημεν ἂν δικαίως, ὡς κατ' ἐκείνους φρονοῦντες. Ἕλληνες μὲν γὰρ τὴν ὕλην ἀγένητον καὶ τῷ Θεῷ συναΐδιον λέγοντες, εἰ καὶ ποιητὴν φασι τοῦ κόσμου Θεόν, ἀλλ' οὐχ ὡς προαγωγέα τοῦ μήπου πρότερον μηδαμῶς ὄντος, ἀλλ' ὡς τοῦ ὄντος κοσμήτορα, τάξιν μόνον καὶ εἶδος καὶ θέσιν ἐναρμόνιον προστιθέντα τοῖς οὖσι, μικροῦ τῆς κατ' ἀνθρώπους τέχνης μηδὲν πλέον τῇ δυνάμει τοῦ Θεοῦ νέμοντες· ἡμεῖς δέ, τὴν εἰς τὸ εἶναι πρόοδον ἐκ μὴ ὄντως τὰ πάντα δέξασθαι πιστεύοντες πρὸς Θεοῦ, ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ τούτων ἀκριβῶς γινώ-

Digitized by Google

σκομεν... Οὕτως καὶ Θεοῦ Υἱὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν λέγοντες, ὑμνοῦμεν καὶ ἐπιβοώμεθα αὐτὸν ὡς Θεὸν ἀληθινὸν, καὶ τὴν τοῦ Υἱοῦ θεότητα ὁμολογοῦντες, καὶ τὸν αἴτιον τῇ τοῦ Υἱοῦ θεότητι προσμαρτυροῦντες. Φασὶ δὲ καὶ Μασσαλιανοὺς καὶ Βογομίλους τὴν ὑπὸ τοῦ Κυρίου τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παραδεδομένην εὔχεσθαι εὐχήν. Τί οὖν; ἀποσχώμεθα ταύτης ἡμεῖς διὰ τοῦτο, καὶ καταπροδῶμεν τοῖς κεκλεφόσι κακῶς τὰ ἡμέτερα, καὶ διὰ τοὺς ὑποκρινομένους ἐν λόγοις τὸ εὐσεβὲς, τῶν ὄντως εὐσεβῶν ἡμεῖς ἀποστῶμεν φωνῶν; Ἄπαγε τῆς αἰσχίστης κακοβουλίας! Ἀλλ' ἐπειδὴ Παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, μετ' ἐλπίδος ἐπικαλεσόμεθα τὸ ὄνομα αὐτοῦ. Καὶ σωτηρίας ἐκ τῆς τοιαύτης ἐπικλήσεως τευξόμεθα κατὰ τὸ εἰρημένον ὑπὸ τοῦ Προφήτου, *Καὶ ἔσται, πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.* Καὶ ἐπειδήπερ οὐκ ἔστιν ὄνομα ἕτερον τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς, καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, καὶ, *Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων*· μακάριος ὁ διὰ τῆς διηνεκοῦς μελέτης τοῦ πολυυμνήτου τούτου ὀνόματος, ἔνοικον ἔχων ἐν ἑαυτῷ τὸν Θεόν· *Εἰς αἰῶνα γὰρ*, φησὶν, *ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου.* Πῶς δ' οὐκ ἂν γένοιτο Πνεύματος ἁγίου πλήρης ὁ τὸ θεῖον τοῦτο καὶ ὑπερδεδοξασμένον ὄνομα κατέχειν ἐν τῇ καρδίᾳ σπεύδων ἡμέρας καὶ νυκτὸς, τοῦ Κυρίου ἐν Εὐαγγελίοις λέγοντος, ὅτι δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτὸν ἡμέρας καὶ νυκτός;

να'. Ἀνεφάνη οὖν καὶ ἀπηλέγχθη ἐκ τούτων ὁ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως λαλῶν περί τε τοῦ ἐν τῷ Θαβωρίῳ θείου φωτὸς, καὶ ὧν κατὰ τῶν μοναχῶν περὶ τῆς μελετωμένης αὐτοῖς καὶ προφερομένης συχνῶς ἱερᾶς εὐχῆς συνεγράφετο. Οἱ δὲ μοναχοὶ ἀπεδείχθησαν ἀνώτεροι τῆς κατηγορίας αὐτοῦ, ὡς στέργοντες καὶ ἐμμένοντες ταῖς περὶ τούτων τῶν ἁγίων Πατέρων ἐξηγήσεσι καὶ παραδόσεσι, καθὼς καὶ αὐτοὶ ἀριδήλως διωμολόγησαν καὶ διεβεβαιώσαντο. Ἔνθεν τοι καὶ κοινῇ συνοδικῇ ψήφῳ ἅτε κακῶς καὶ ἐπισφαλῶς τοῖς θείοις ἐπιβαλὼν ὁ αὐτὸς Βαρλαὰμ, ὡς εἴρηται, καταψηφισθεὶς, συγγνώμην ἐπὶ τούτοις δῆθεν ᾐτήσατο. Καὶ γοῦν ἀποφαινόμεθα, ὡς εἰ μὲν ἐνδείξεται ἀληθῶς μετάνοιαν, καὶ διορθώσηται ἑαυτὸν, καὶ οὐδαμῶς οὐκέτι περὶ τῶν τοιούτων λέγων καὶ συγγραφόμενος φωραθείη, εὖ ἂν ἔχοι· εἰ δ' οὖν, ἀποκήρυκτος ἔσται καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος.

νβ'. Ἀλλὰ καὶ εἴ τις ἕτερος τι τῶν ὑπ' ἐκείνου βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ τῆς Ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων, φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἢ A ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος.

νγ'. Ἀποκήρυκτος ἔσται καὶ αὐτὸς, καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος.

νδ'. Μετ' ἐμβριθείας μέντοι καὶ πνευματικῆς αὐστηρίας καὶ ἐπὶ τιμήσεως λέγομεν, μηκέτι δογματίζειν ὅλως τινὰ τῶν ἁπάντων, κινοῦντα περὶ τούτων τε καὶ ἄλλων δογματικῶν λόγων, οὔτε ἐγγράφως δηλαδὴ, οὔτε ἀγράφως, ὡς οὐ μικρὸν ἐντεῦθεν εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ ἀνακυπτόντων σκανδάλων, καὶ συγχύσεως καὶ ταραχῆς καὶ σάλου καὶ τρικυμίας ἐπιγινομένης ταῖς ψυχαῖς τῶν ἀκουόντων, καὶ B τῶν ἀκεραιοτέρων μάλιστα. Δι' ἃ δὴ πάντως καὶ οἱ ἀνωτέρω ἐκτεθειμένοι θεῖοι κανόνες τοῖς θεοφόροις καὶ ἁγίοις Πατράσιν ἐξετέθησαν. Χάριν γὰρ τοῦ μηκέτι μηδένα ταῖς ὁμοίαις πλάναις περιπεσεῖν ποιούμενοι πρόνοιαν, καὶ τὸ παρὸν εἰς ἀσφάλειαν ἐκθέμενοι γράμμα, ταῖς οἰκείαις ὑπογραφαῖς ὑπεσημηνάμεθα, κατὰ μῆνα Αὔγουστον τῆς ἐννάτης ἰνδικτιῶνος. Εἶχε δὲ καὶ ὑπογεγραμμένον διὰ τῆς πατριαρχικῆς καὶ θείας χειρὸς τὸ, Ἰωάννης ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

νε'. Εἶχε καὶ ὄπισθεν τοῦ Κυζίκου, προσγεγραφότος καὶ ταῦτα· Οὐ συνεκλήθην τὴν ἀρχὴν, εἰς τὸ ἀκοῦσαι τὴν ὑπόθεσιν πρὸ τῆς συνόδου, ἀλλὰ καὶ ἐν C τῇ συνόδῳ κληθέντος μου, καὶ προενεγκόντος τινὰ γράμματα εἰς τὸ ἀναγνωσθῆναι, οὐκ ἀνεγνώσθη. Μετὰ δὲ τὴν κρίσιν πάλιν οὐκ ἐκλήθην εἰς τὴν συνδιάσκεψιν τοῦ γραφέντος τόμου· διὰ τοῦτο ἠθέλησα ὑπογράψαι εἰς τὸν τόμον ἐν τῷ τόπῳ μου. Ἐπεὶ δὲ καὶ συνέβη ἐνεγκεῖν μοι τινὰς μέρη τινὰ ἀπὸ τῶν συγγραμμάτων τοῦ τιμιωτάτου ἱερομονάχου κὺρ Γρηγορίου τοῦ Παλαμᾶ, ἅτινα ἦσαν παρακεχαραγμένα, ὡς ὕστερον ἰδὼν καὶ ἀναγνοὺς τὰ ἐκεῖνου συγγράμματα, ἔμαθον τὴν ἀλήθειαν, καὶ ἔμαθον ὅτι ἐν πᾶσι σύμφωνά εἰσι τοῖς ἁγίοις ἀκριβῶς κατὰ πάντα· ἀλλὰ καὶ τοὺς λόγους αὐτοῦ ἀκούσας, καὶ αὐτοὺς συμφώνους εὗρον τοῖς ἁγίοις κατὰ πάντα· διὰ τοῦτο ἰδίᾳ, εἰς μαρτυρίαν καὶ ἀσφάλειαν τῆς ἀληθείας τῶν λεγομένων καὶ γεγραμμένων ὑπὸ τε D τοῦ τιμιωτάτου ἱερομονάχου κὺρ Γρηγορίου τοῦ Παλαμᾶ καὶ τῶν λοιπῶν μοναχῶν, ὑπέγραψα καὶ διὰ τῆς ἐμαυτοῦ χειρὸς τὸ, Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀθανάσιος. Εἶχε δὲ καὶ ἑτέρων ἀρχιερέων ὑπογραφὰς, τῶν εὑρεθέντων, τοῦ Σάρδεων, τοῦ Δυῤῥαχίου, τοῦ Λακεδαιμονίας, τοῦ Μαδύτων, τοῦ Μεθύμνης, τοῦ Βιδύνης. Ἐξ οὗ ἴσου ἀντεγράφη ὁ παρὼν τόμος πρὸς ἀσφάλειαν τοῦ μὴ ὑποπτεύεσθαι ὡς οὐκ ἀληθὴς, καὶ ἴσος κατὰ πάντα τῷ πρωτοτύπῳ εὑρεθείς. Προσεγέγραπτο καὶ ταῦτα· Ἀντεβλήθη τὸ παρὸν ἴσον τοῦ συνοδικοῦ τόμου, καὶ εὑρεθὲν κατὰ πάντα ἐξισάζον τῷ πρωτοτύπῳ αὐτοῦ, ὑπεγράφη παρ' ἐμοῦ δι' ἀσφάλειαν.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου Ἀθανάσιος.

Digitized by Google

# II.

## ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

### ΚΑΤΑ ΠΡΟΧΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΚΥΔΩΝΗ ΤΟΥ ΦΡΟΝΗΣΑΝΤΟΣ ΤΑ ΒΑΡΛΑΑΜ ΚΑΙ ΑΚΙΝΔΥΝΟΥ,

*Ἐξ οὗ δείκνυται οὐ μόνον ἡ ἁγιότης τοῦ Παλαμᾶ, ἀλλ' ὅτι καὶ συνοδικῶς ὡρίσθη γίνεσθαι ἐν τῇ Ἐκκλησίᾳ κατ' ἔτος τὴν μνήμην αὐτοῦ.*

—

Οὐδὲν τῆς ὑπερηφανίας χεῖρον καὶ τῆς οἰήσεως. A Αὕτη τὸν Ἑωσφόρον ὑπάρχοντα τῇ παρὰ Θεοῦ δόξῃ τε καὶ λαμπρότητι τετιμημένον, καὶ λαμπρότητα καὶ φῶς χρηματίζοντα δεύτερον, σκότος κατὰ κράτος ἁλόντα εἰργάσατο. Αὕτη πολλοὺς ὕστερον εἰς βόθρον ἀπωλείας ἐνέβαλεν, οὐ πρὸ τῆς τοῦ Θεοῦ Λόγου παρουσίας μόνον καὶ ἐνανθρωπήσεως, ἀλλὰ καὶ μετ' αὐτὴν πολλῷ πλέον, ὅσῳ καὶ τὸν παρ' αὐτῆς ἀπατηθέντα πρῶτον λαβοῦσα συνεργὸν καὶ ὑπηρέτην τοῦ πράγματος τὸν ἄνθρωπον ἰδόντα πρὸς τὴν ἀρχαίαν ἐπανελθόντα τιμὴν καὶ τὴν θέωσιν ὅθεν ἐξέπεσε, τούτῳ συμβούλῳ χρησάμενος, εὐκόλως τοὺς ἀθλίους πρὸς ἑαυτὴν ὑφειλκύσατο. Μαρτυροῦσι τῷ λόγῳ Ἀρειός τε καὶ Εὐνόμιος, καὶ οἱ τούτοις, ὡς μὴ ὤφελεν, ἐξακολουθήσαντες, σύναμα Μακεδονίῳ, Νεστορίῳ τε καὶ τοῖς λοιποῖς ἅπασιν, οἱ τὴν ὑπερηφανίαν ἔνδυμα περιθέμενοι κατὰ τῆς Ἐκκλησίας ἐχώρησαν· καθ' ὧν αἱ τῶν θείων Πατέρων ἱεραὶ συγκροτούμεναι σύνοδοι, ταύτην ἐκράτυναν τῇ συνεργείᾳ τοῦ Πνεύματος. Αὕτη καθεξῆς, εἰρήνην ἀγούσης τῆς Ἐκκλησίας, κατὰ γενεὰν εἰσπηδήσασα, πολὺν ἐνεποίει ταύτῃ τὸν θόρυβον· αὕτη καὶ πρὸ ὀλίγου τὸν Βαρλαὰμ εἰσενεγκοῦσα, καὶ τὸν Ἀκίνδυνον, οὐκ ἔστιν εἰπεῖν ὁπόσην ταραχὴν ἀπειργάσατο, εἰ καὶ ῥᾳδίως παντελῶς ἀπεκρούσθη Θεῷ βοηθῷ χρησαμένης τῆς ἱερᾶς αὐτοῦ Ἐκκλησίας· αὕτη καὶ νῦν τὸ τελευταῖον ὥσπερ ἄγριος θὴρ κατὰ τῆς Ἐκκλησίας λυττήσασα, καὶ πάλιν τῷ πρώτῳ ταύτης φοιτητῇ τῷ ἀρχεκάκῳ Σατὰν συνεργῷ χρησαμένη καὶ ὑπηρέτῃ, ἐπεὶ καθ' ἑαυτὴν..... · αὕτη μετ' αὐτοῦ φύσις ἄϋλος πεφυκυῖα προβάλλειν ἑαυτὴν οὐκ ἐδύνατο, ὀργάνῳ χρῆται τῷ ἐκείνων φοιτητῇ, τῷ μοναχῷ Προχόρῳ τῷ Κυδώνῃ, καὶ φανερῶς χωρεῖ κατὰ τῆς Ἐκκλησίας. Ὃς ἐκείνους ἰδὼν οὐδὲν ἐκ ταύτης ἀπωναμένους, εἰ μὴ τὸν ἀπὸ Θεοῦ καὶ τῆς Ἐκκλησίας χωρισμὸν, καὶ τὴν καταδίκην τοῦ ἀναθέματος, ἵνα τι καὶ φιλοτιμήσηται πλέον, καὶ ὑπὲρ τοὺς διδασκάλους γένηται, κατὰ πάντων ὁμοῦ τὸ πρωτεῖον αἴρει, ὅσον εἰς δυσσεβείας λόγον, καὶ μικρούς τινας ἀποδείκνυσιν ἐκείνους πάντας πρὸς αὐτὸν συγκρινομένους εἰς τὴν ἀσέβειαν. Ὥσπερ γὰρ στεφάνους τὴν ἀποβολὴν ἐκείνων λογισάμενος καὶ τὸν ἀπὸ Θεοῦ χωρισμὸν φιλοτιμεῖται κερδᾶναι πλείους ἐκείνων, ἵνα ἐκείνων ἔχῃ καταχαυχᾶσθαι ἐν τούτοις.

Οὗτος ἐτύγχανεν εὑρισκόμενος ἐν τῇ κατὰ τὸ ἅγιον ὄρος τὸν Ἄθω ἱερᾷ καὶ μεγάλῃ λαύρᾳ, ἐκ παίδων ἐν αὐτῇ τὰ μοναχῶν τελεσθείς. Καὶ δέον ὂν τὴν ἱερὰν ἐν αὐτῇ παιδευθῆναι παιδείαν, ἐπεὶ καὶ τοῦ τῆς ἱερωσύνης ἐν ταύτῃ ἠξιώθη βαθμοῦ, τήν τε ἄλλην καὶ μάλιστα τὴν περὶ τὴν ὀρθὴν καὶ ὑγιᾶ πίστιν καὶ τὴν εὐσέβειαν, τοιοῦτον γὰρ περὶ ταῦτα τὸ ἱερὸν ἐκεῖνο πέφυκε σύστημα, ὁ δὲ, κἀν τούτῳ τὸν Ἰούδαν μιμούμενος, κατὰ τῶν διδασκάλων ὁμοῦ πάντων χωρεῖ, μᾶλλον δὲ κατ' αὐτοῦ τοῦ Θεοῦ, καὶ εἰς μυρίας ἐμπίπτει δόξας καὶ ἀλλοκότους αἱρέσεις· ὅτε καὶ ὁ τοῦ Καλαβροῦ Βαρλαὰμ ἐκείνου καὶ τοῦ Ἀκινδύνου κατὰ τῆς Ἐκκλησίας πόλεμος κινηθεὶς ἀξίαν εὗρε καὶ τὴν κατάλυσιν, ἥνπερ τὰ γνήσια τῆς Ἐκκλησίας τέκνα, εἰρήνην καὶ ὁμόνοιαν τῆς τῶν B Χριστιανῶν ἀμωμήτου πίστεως κρίναντα, καθαρὰν ἀνέπεμπον τὴν εὐχαριστίαν τῷ τοιούτων θηρῶν κακούργων τὴν Ἐκκλησίαν ἀπαλλάξαντι, ὥσπερ ἐξ ἀντιστρόφου διεπρίοντο οἱ τῇ ματαιότητι τῶν Ἑλληνικῶν μαθημάτων προσκείμενοι μανικῶς, καὶ τῆς ἐκείνων κακοδοξίας πλουσίως ἐμφορηθέντες. Ὧν ὁ ῥηθεὶς Πρόχορος πρῶτός τε καὶ μέγιστος ἦν, ὅσῳ κατὰ τὸν χρόνον ὑστερίζων, τοσοῦτον ὑπέρτερος φανεὶς κατὰ τὴν δυσσέβειαν τῶν τῆς κακίας ἀρχηγῶν. Προσέθηκε γὰρ τῆς ἐκείνων ἀτόποις τὰ πολλῷ χείρονα καὶ ἀτοπώτερα. Διὰ γοῦν τὰς τοιαύτας αὐτοῦ καινοφωνίας, καὶ τὸ νόθον καὶ ἀλλόκοτον καὶ δυσσεβὲς φρόνημα καὶ τὴν προσπάθειαν ἣν ἐδείκνυ πρὸς τοὺς διωχθέντας παρὰ τῆς Ἐκκλησίας, ὑποπτευόμενος παρὰ τῶν ἐν τῇ σεβασμίᾳ λαύρᾳ μοναχῶν ἡC συχίαν ἄγειν οὐκ ἐδύνατο. Ὅθεν καὶ πολλάκις ἀκηκοότες αὐτοῦ συνηγοροῦντος τῆς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἀντιλέγοντος τοῖς ὀρθοῖς τῆς Ἐκκλησίας δόγμασι, καὶ πολλὰ τούτῳ διενοχλήσαντες, ἤγαγον αὐτὸν εἰς τὸ μέσον, ζητοῦντες ὁμολογίαν λαβεῖν παρ' αὐτοῦ, ἵν' ἔχωσι παῤῥησίαν ἀκατακρίτως ἐν ἑνὶ στόματι δοξάζειν τὸν ἕνα τρισυπόστατον καὶ παντοδύναμον Θεόν. Ὁ δὲ, τὴν ἐπακολουθοῦσαν τοῖς αἱρετικοῖς καθαίρεσιν δεδοικὼς, ὑπεκρίνετο μὲν γλώττῃ τὴν εὐσέβειαν ἐν τῷ μέσῳ, καὶ στέργειν διισχυρίζετο τὰ τῆς Ἐκκλησίας, ἡ δὲ καρδία αὐτοῦ πόῤῥω ἐτύγχανε τῆς εὐθείας ὁδοῦ. Ὧν γὰρ ἔμπροσθεν ὑπεκρίνετο, ὅτε συνηθροισμένοι ὄντες ἐτύγχανον, καὶ τὰς εὐθύνας ἀπαιτοῦντες τῶν λόγων, ὧν ἰδίᾳ πολλάκις αὐτοῖς ὁμιλῶν ἐφαίνετο κατὰ κράτος

A ἀναιρῶν τὰ ἡμέτερα, στέργων δὲ μᾶλλον τὰς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου καὶ ἰδίας δόξας, εἰς τούτους καὶ αὖθις ἀντιλέγων ἐφαίνετο καθεκάστην, τοῦτο μόνον περιποιούμενος, τὸ μὴ γυμνῇ τῇ κεφαλῇ καὶ πεπαῤῥησιασμένῃ κἀπὶ συνόδου κηρύττειν τὴν αὐτοῦ δόξαν διὰ τὸ ἐμμάρτυρον, τοῦ δὲ ἰδίᾳ καθέκαστον καὶ πρὸς πάντας ἀντιλέγειν τοῖς ἡμετέροις οὐκ ἠμέλει. Ἐνεποίει γοῦν πᾶσι πολλὴν ταραχὴν, καὶ διέσχιζε τὸ ἱερὸν ἐκεῖνο τῶν μοναχῶν σύστημα, ὥστε καὶ πολλοὺς τῶν εὐλαβείας καὶ ἀρετῆς ἀντιποιουμένων οὐ μόνον τῶν ἐντὸς τῆς ἱερᾶς λαύρας, ἀλλὰ καὶ τῶν ἐν τῷ ἁγίῳ ὄρει παντὶ, ἤδη κατ' ὀλίγον ἀφίστασθαι τῆς ἐκκλησιαστικῆς κοινωνίας τῶν λαυριωτῶν διὰ τὴν αὐτοῦ κοινωνίαν· καθάπερ καὶ δι' ἐγγράφων ἀναφορῶν ἀνήνεγκαν τῇ ἡμῶν μετριότητι,
B προτείνοντες τὸ ἐν τῷ ἱερῷ συνοδικῷ τόμῳ κείμενον, ὅτι τοὺς κοινωνοῦντας τούτοις ἐν γνώσει ἀκοινωνήτους ἔχομεν· ὅτε καὶ ὁ μακαρίτης ἐκεῖνος τοῦ ἱεροῦ τούτου συλλόγου προστάτης τε καὶ ἡγούμενος κὺρ Ἰάκωβος, ἀνὴρ δυνάμει λόγου καὶ πνεύματος κατὰ πάντων ἐκείνων τὸ πρωτεῖον ἔχων, καὶ σοφὸς τὴν θείαν ὁμοῦ καὶ τὴν ἀνθρωπίνην σοφίαν ὢν, καὶ τῶν τῆς Ἐκκλησίας ἀπταίστων τε καὶ ὀρθῶν δογμάτων ἀντιποιούμενος ὅση δύναμις, τὴν σύγχυσιν ταύτην ὁρῶν τῶν μοναχῶν, καὶ ὁμοῦ μὲν καὶ τῆς εἰρήνης προνοούμενος πάντων, ὁμοῦ δὲ καὶ τῆς ἐπιστροφῆς καὶ μετανοίας τούτων, οὐκ ἐνέλειπε διὰ παντὸς εἰσηγούμενος τούτῳ καὶ παραινῶν ἀποθέσθαι τὴν κακίστην καὶ δυσσεβῆ πλάνην, ἣν ἐν τῇ ψυχῇ περιέφερε, συνθέσθαι δὲ ταῖς ἀληθείαις τῆς Ἐκ-
C κλησίας, καὶ κοινωνὸν τυγχάνειν καὶ αὐτὸν τῶν ἱερῶς ἀντιποιουμένων αὐτῆς. Ὁ δ' ἔνδον ἔχων τὸν αὐτῷ κατὰ μόνας συλλαλοῦντα διάβολον, ὀλίγα τῶν ἔξωθεν ὁμιλούντων καὶ διδασκόντων ἐφρόντιζεν· ὅθεν ἀπογνοὺς αὐτοῦ ὁ μακαρίτης ἐκεῖνος, γράφει καὶ ἀναφέρει περὶ τούτου τῇ ἡμῶν μετριότητι, γνωρίζων αὐτῶν περὶ πάντων· μᾶλλον δὲ πρὸ τοῦ γράψαι ἐκεῖνον, συναχθέντες οἱ ἡσυχασταὶ πάντες, ἔγραψαν καὶ ἀνέφερον τῇ ἡμῶν μετριότητι διὰ τοῦ εὐλαβεστάτου ἱερομονάχου κὺρ Ἰωσὴφ, δηλοποιοῦντες αὐτῇ περὶ τούτων. Εἶτα καιροῦ παρῳχηκότος ὀλίγου, ἀνήνεγκεν ὁ ἡγούμενος καὶ οἱ τοῦ μοναστηρίου ἱερεῖς δι' ἐγγράφου ἀναφορᾶς αὐτῶν, ἐν ᾗ καὶ ὑπέγραψαν πάντες καὶ πρὸ πάντων ὁ ἡγούμενος. Καὶ ἀπέστει-
D λαν ταύτην διὰ τοῦ τιμιωτάτου ἐν ἱερομονάχοις κὺρ Μαλαχίου, καὶ τοῦ τιμιωτάτου μοναχοῦ κὺρ Ἰώβ.

Ἐπεὶ δὲ τὰ συνοδικῶς συγγραφέντα κεφάλαια κατὰ Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ τεθέντα ἐν τῷ ἱερῷ συνοδικῷ τῷ ἀναγινωσκομένῳ ἐτησίως κατὰ τὴν Κυριακὴν τῆς ὀρθοδοξίας, ἐν οἷς ἀναθεματίζονται μὲν οὗτοι, καὶ πάντες οἱ ὁμόφρονες, καὶ οἱ ἐπεκδικοῦντες αὐτοὺς, ἀνακηρύττονται δὲ οἱ κατὰ κράτος τούτους καταβαλόντες, καὶ πάντες οἱ λόγῳ καὶ ἔργῳ καὶ παντὶ τῷ δυναμένῳ τὰ τῆς Ἐκκλησίας κρατύνοντες καὶ συνιστῶντες, ἐδέησε καὶ εἰς τὴν ἱερὰν λαύραν ἀποσταλῆναι παρὰ τῆς ἡμῶν μετριότητος, ὥστε καὶ ἐν τῷ ἐκεῖ ἀναγινωσκομένῳ ὁμοίως συνοδικῷ γραφῆναι, καὶ ὡσαύτως κατὰ τὸν αὐτὸν ἀναγινώσκεσθαι καιρὸν, ὥσπερ ἀναψυχήν τινα ἰδόντες ταῦτα οἱ μοναχοὶ, καὶ στήριγμα καὶ διόρθωσιν τῶν ἀμφιβαλλόντων, ἠνάγκασαν τὸν Πρόχορον, ἵνα ἀναγνῷ ταῦτα ἐν τῇ συνάξει, καὶ ὑπογραφῇ οἰκείᾳ βεβαιώσῃ. Ὁ δὲ ἐφαίνετο δυσχεραίνων καὶ ὑπερηφανευόμενος. Τὴν δι' ἰσχὺν τῶν πλειόνων δεδοικὼς, ἅμα δὲ καὶ τὸ ἄστατον ἔχων, ὅπερ οἱ ἐξ ἀρχῆς σκανδαλοποιοὶ ἐξηλέγχθησαν ἔχειν, ὑπέγραψεν ἅπερ οὐκ ἔστεργεν· ἀντέλεγε δ' αὖθις ὕστερον οἷσπερ ὑπέγραψε, καὶ ἦν τὸ καθόλου καρκῖνος λοξὰ βαδίζων, Εὐρίπου τε φέρων μεταβολὰς, καὶ τὰς χαμαιλέοντος ἀλλάττων μορφάς. Ἀλλ' ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, αὐτὸς πεποίηκε καὶ τοῦτον τοῖς ἰδίοις ἑαλωκέναι πτεροῖς. Εὑρέθη γὰρ ἔχων ἐν τῷ κελλίῳ αὐτοῦ συγγράμματα αἱρετικῶν τῶν κακοδόξων τούτων, ἅπερ καὶ εἰς χεῖρας ἐμπεσόντα τῶν ἱερῶν καὶ μοναχῶν, σφοδρὸν ἀνήγειρε τὸν κατ' αὐτοῦ πόλεμον. Ἐντεῦθεν γὰρ ὁρμῆς καὶ ζήλου πλησθέντες, χωρίζουσι μὲν αὐτὸν τῆς αὐτῶν κοινωνίας· στέλλουσι δὲ καὶ ταῦτα τῇ ἡμῶν μετριότητι μετὰ καὶ ἀναφορῶν αὐτῶν ἐπιβοώμενοι καὶ καθικετεύοντες μὴ περιιδεῖν τὴν ἀλήθειαν κινδυνεύουσαν.

Ὡς δ' οὐκ ἦν λαθεῖν τοῦτον ταῦτα, ἐν τῷ αὐτῷ τυγχάνοντα συστήματι, γράφει καὶ αὐτὸς καὶ ἀναφέρει, ἀδικίαν εἶναι διατεινόμενος καὶ συκοφαντίαν ἅπαν τὸ εἰς αὐτὸν γενόμενον. Ὁ δὲ τοσοῦτον ἀπέχει μήτοι γε τοῦ παραδογματίζειν, ἀλλὰ καὶ τοῦ ὅλως θεολογεῖν, ὅτι καὶ ἰδιωτείαν αἱρεῖται μᾶλλον καὶ τοῖς πολλοῖς ἄγροικος εἶναι δοκεῖν, ἢ θεολογῆσαι κἂν τὸ βραχύτατον. Ἡ δ' αἰτία (ἔλεγεν) ὅτι τὸ μέγα τῆς θεολογίας μυστήριον, ἄβατον ὁ Θεὸς ποιῆσαι τοῖς ἀνθρώποις βουλόμενος, τὸν αἰσθητὸν τοῦτον οὐρανὸν, ᾧπερ κάπηλοι καὶ μάγειροι καὶ οἱ ἀπὸ τῆς σκηνῆς ἐνέπαιξαν, οἱ πρὸ μικροῦ φανέντες νέοι δογματισταὶ, τοὺς ἡμετέρους πάντως οὕτω καλῶν, ὥσπερ ἡ ἀλήθεια ἐφανέρωσε. Δι' ἅπερ αὐτὸς αἱρεῖται τὴν ἰδιωτείαν καὶ τὴν σιγὴν, εὐλαβείας τῆς πρὸς τὸ θεολογεῖν ὑπερβολῇ. Προσετίθη δὲ καὶ τοῦτο, ὅτι Ἐπειδὴ στέλλω αὐτόθι τὰ ἐμὰ συγγράμματα, ἐξ αὐτῶν τούτων μέλλει φανῆναι τὸ ἡμέτερον φρόνημα, καὶ ὅπως ἐγὼ δοξάζω περὶ τῆς ὀρθῆς πίστεως, προσθεὶς καὶ ὅτι τῇ τῆς ἡμῶν μετριότητος διαγνώσει καὶ δοκιμασίᾳ ὑποτίθησι ταῦτα, ἵνα στερχθῶσι μὲν ἅπερ ἡμεῖς ἐγκρίνομεν, ἀποδοκιμασθῶσι δὲ καὶ ἀποβληθῶσιν ἅπερ ἡμεῖς ἀποδοκιμάζομεν, δολίως ταῦτα λέγων καὶ καθ' ὑπόκρισιν.

Βραχὺ τὸ μεταξὺ, καὶ μὴ φέρων τὴν ἐπήρειαν τοῦ τοσούτου πλήθους τῶν μοναχῶν, καὶ τὴν ἀπὸ τοῦ χωρισμοῦ τῆς ἐκείνων κοινωνίας μέμψιν, καταλαμβάνει πρὸς τὴν ἡμῶν μετριότητα, τὰ αὐτὰ καὶ αὖθις λέγων, ἅπερ καὶ πρότερον ἔγραφεν. Ἀπαιτηθεὶς δὲ παρ' αὐτῆς τὰ συγγράμματα ἅπερ ἐδήλου ἐν τῇ ἀναφορᾷ αὐτοῦ, φέρων ἐγχειρίζει ταῦτα αὐτῇ. Δεξαμένη οὖν αὐτὴ ταῦτα, καὶ μήπω φθάσασα κατὰ σχολὴν ἐντυχεῖν αὐτοῖς ὥσπερ ἐβούλετο, ἐπειδὴ καὶ αὖθις προσελθὼν ὁ αὐτὸς Πρόχορος, συμπαρόντος μοι καὶ τοῦ ἱερωτάτου μητροπολίτου Ἐφέσου, ὑπερτίμου καὶ ἐξάρχου πάσης Ἀσίας, τοῦ ἐν ἁγίῳ

Digitized by Google

Πνεύματι ἀγαπητοῦ ἀδελφοῦ καὶ συλλειτουργοῦ τῆς A ἡμῶν μετριότητος, ἠρωτήθη πῶς διάκειται περὶ τὰ τῆς Ἐκκλησίας δόγματα, καὶ πῶς ἔχει περὶ τὴν καταστροφὴν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ τὴν ἀποβολὴν, καὶ τὸν ἀναθεματισμὸν τῆς ἐκείνων κακοδοξίας καὶ τῶν συγγραμμάτων, καὶ τίνα τὴν γνώμην ἔχει περὶ τοῦ ἱεροῦ τῆς συνόδου τόμου, καὶ τοῦ κατ' αὐτὸν φρονήματος τῆς κοινῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἀμφιβολίαν μὲν ὡμολόγει ἔχειν ἐν τῇ ψυχῇ καὶ δισταγμὸν περὶ τὰ τοιαῦτα, ὅμως μὴ βούλεσθαι θαῤῥεῖν ἑαυτῷ ἔλεγεν, ἀλλὰ μᾶλλον ἕπεσθαι καὶ συμφωνεῖν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ· ἕπεσθαι δὲ, ἢ διδαχθεὶς δηλονότι περὶ ὧν, ὡς ἔλεγεν, ἀμφιβάλλων συνέγραψα, ἢ πίστει μόνῃ καὶ ὑποταγῇ μετὰ ἁπλότητος τὰ τῆς Ἐκκλησίας δεξάμενος, ὅπως ἂν B διακρίνῃ ἡ μετριότης ἡμῶν, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ὡς αὐτὸς ἔλεγεν.

Ἡ δὲ μετριότης ἡμῶν πρὸς ἐκεῖνον εἶπεν, ὅτι πρὸς μὲν τὸ παρὸν ἀναμφιβόλως ὀφείλει δέξασθαι τὸν τόμον, καὶ τὴν ἐν ἐκείνῳ τῶν θείων Γραφῶν καὶ τὴν τῶν ἁγίων Πατέρων ὑγιᾶ καὶ ἀπλανῆ δόξαν. Εἶναι γὰρ ἐκεῖνα ἐξήγησιν μᾶλλον καὶ ἑρμηνείαν τῆς ἱερᾶς ἡμῶν πίστεως, καὶ λύσιν πρὸς ἅπαν τὸ ἀμφιβαλλόμενον, ἀλλ' οὐκ ἀμφιβολίαν ἔχοντά τινα, ἢ ἑρμηνείας καὶ ἐξηγήσεως δεόμενα. Μετὰ δὲ τὴν αὐτοῦ καθαρὰν ὁμολογίαν καὶ τὴν ἀδίστακτον συμφωνίαν καὶ ἕνωσιν τὴν πρὸς τὴν Ἐκκλησίαν, τότε εἰ καί τι ζητεῖται παρ' αὐτοῦ, ἡμεῖς ἕτοιμοι πάλιν ἀπό τε τῶν θείων ἀποστόλων, καὶ τῶν αὐτῶν ἱερῶν Πατέρων διδασκαλικῶς τε καὶ πατρικῶς ὡς τῆς C Ἐκκλησίας υἱῷ τε καὶ μαθητῇ, διαλῦσαι πᾶν τὸ ἀμφισβητούμενον. Ταῦτα μὲν οὖν ἔλεγον αὐτῷ, μήπω τοῖς ἐκείνου συγγράμμασιν ἐντετυχηκώς· ἐπεὶ δὲ καί τισι μέρεσιν ἐκείνων ἐνέτυχον, εὐθὺς ἀπὸ τῆς ἐπιγραφῆς ἔγνων πάσης ἀσεβείας εἶναι μεστά. Ἦν γὰρ τοιαύτη· Ἔλεγχος εἰς τὰς παραχρήσεις τῶν κειμένων ῥητῶν ἐν τῷ κατὰ τοῦ Ἐφέσου καὶ Γρηγορᾶ τόμῳ, τὸ δὲ τοῦ λόγου προοίμιον οἷον.

Ἐπειδήπερ ἡμῖν ἡ πάλη κατὰ Παῦλον οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, δόξαν ἐλέγχειν τὰς ἐν τῷ κατὰ τοῦ Ἐφέσου καὶ Γρηγορᾶ τόμῳ παραχρήσεις τῶν ἁγίων Γραφῶν, τοῦ μὲν συγγραφέως καὶ ὧν συνεγράψατο τὰς γνώμας ἀπωστέον· καὶ γὰρ D συνήθεσι καὶ οἰκείοις τοῖς πολλοῖς αὐτῶν κατὰ τὸν βίον χρησάμενοι εἰκότα ἂν ποιοῖμεν καὶ μετὰ θάνατον αὐτῶν φειδόμενοι, καὶ ἀνεπαχθῆ τὴν μνήμην ἄγοντες, ἄλλως θ' ὅτι μηδὲ βλασφημεῖν ἀνθρώπους, ἀλλὰ θεολογεῖν προειλόμεθα· αὐτοῦ δὲ τοῦ συγγράμματος ὅτι δοκεῖ πρὸς τὸν ἀρχαῖον ἐξάγειν τῶν δογμάτων κανόνα, καὶ πρὸς τὴν ἀλήθειαν ἐπανάγειν πειρατέον. Γένοιτο δ' ἂν πρός τε τῶν τελευτηκότων αὐτῶν τὸ ἔργον, καὶ τῶν ἔτι περιόντων. Ἐκεῖνοί τε γὰρ πρᾳοτέρου τεύξονται τοῦ κριτοῦ εἰς ἐλάττους χυθέντος τοῦ βλάβους, οὗτοί τε τῆς οὐκ ἀληθοῦς δόξης ἀποκαθαρθέντες, ἐν τῇ ἀποστολικῇ καὶ πατρικῇ πίστει ζήσαντες, τὴν προσήκουσαν ἀμοιβὴν ἀπολήψονται. Ταῦτά τε οὖν εἰς τὴν συγγραφὴν ἐπῆρε καὶ μάλιστα ὁ τοῦ Θεοῦ ζῆλος. Εἰ μὲν γὰρ λογισμοῖς ἀνθρώπων τὸ ψεῦδος ἐῤῥάπτετο, ἦν ἂν φορητὸν ἀμηγέπῃ τὸ κακὸν, ἐπεὶ λογισμοὶ θνητῶν δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν, αὐτὸν δὲ τὸν Θεὸν συκοφάντην ἀνιστᾷν καθ' ἑαυτοῦ καὶ καπηλεύειν αὐτοῦ τὰ καθαρώτερα χρυσοῦ λόγια, τίς ἂν ἀνάσχοιτο, εἰ καὶ μηδὲν ἡμῖν ἐκ τοῦ ἐλέγχειν συνέβαινε κέρδος;

Ἡ μὲν οὖν ἐπιγραφὴ καὶ τὸ προοίμιον τοιαῦτα. Τὰ δὲ ἑξῆς ὑπερβαίνοντα εἰς δυσσεβείας ὑπερβολὴν πολλῷ τῷ μέσῳ τὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου κάκιστα συγγράμματα, καὶ γὰρ ὁ πρὸς τὸ βάθος τῆς θεολογίας εἰσδὺς, ὁ τὸ διάφραγμα αἰδούμενος τοῦ οὐρανοῦ, ἔδειξε μὲν πρῶτον τίνας ἐκάλει καπήλους καὶ μαγείρους, οὐκ ἐνέλιπε δὲ παντοίας ἀσεβείας ὑπερβολήν· ὁ γὰρ παράχρησιν ἡμῖν ἐγκαλῶν τῶν θείων ῥητῶν, ἔλαθεν ἑαυτὸν δι' ὧν ἐδοκίμασε συλλογιστικῶς ἐξηγήσασθαι ταῦτα, ὡς οὐ καθ' ἡμῶν, ἀλλὰ κατ' αὐτῶν τῶν ἁγίων τὸν πόλεμον ἤρατο. Τὰ γὰρ τῶν θεοφόρων Πατέρων ῥητὰ προθεὶς, οὐκ ἐχώρησε κατὰ τῆς ἡμῶν ἐπὶ τούτοις ἐξηγήσεως, ἀλλ' ἀναίδην οὕτω κατὰ τῆς τῶν ἁγίων διανοίας φανερῶς ἐναντιούμενος αὐτοῖς. Τοῦ γὰρ θεοφόρου Πατρὸς Ἰωάννου τοῦ Δαμασκηνοῦ λέγοντος οὑτωσὶ διαῤῥήδην. Ἰστέον ὡς ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργοῦν, ἐκεῖνός φησιν, ὅτι ἐπὶ μὲν τῶν ὄντων ἀληθὲς τὸ ἄλλο, καὶ ἄλλο πράγματα διακρίνειν, οὐ διὰ τὸ ἄλλο καὶ ἄλλο ἁπλῶς, ἀλλὰ διὰ τὸ ἄλλο καὶ ἄλλο ταῦτα πρᾶγμα τυγχάνειν· οὐδὲ γὰρ εἴ τι ἄλλο καὶ ἄλλο κατὰ τὸν λόγον, καὶ κατὰ τὸ πρᾶγμα ἄλλο καὶ ἄλλο, ὥσπερ οὐκ εἰ ἄνθρωπος καὶ ἐπιστητὸν ἄλλο καὶ ἄλλο κατὰ τὸν λόγον, ἂν τύχῃ τὸ αὐτὸ ὂν καὶ ἄνθρωπος καὶ ἐπιστητὸν, ἤδη τὸ αὐτὸ καὶ κατὰ τὸ πρᾶγμα ἄλλο καὶ ἄλλο. Διὸ δὴ καὶ ἐπὶ τοῦ Θεοῦ, οὐχὶ εἰ ἄλλο καὶ ἄλλο ἡ ἐνέργεια καὶ τὸ ἐνεργητικὸν, καὶ τὸ ἐνεργοῦν κατὰ τὸν λόγον, ἤδη καὶ κατὰ τὸ πρᾶγμα ἄλλο καὶ ἄλλο. Οὐ γὰρ ἐκ τοῦ δυνάμει πρόεισιν ὁ Θεὸς εἰς τὸ ἐνεργείᾳ, ἵνα ἄλλο ᾖ τὸ ἐνεργητικὸν κατὰ τὸ πρᾶγμα, καὶ ἄλλο τὸ ἐνεργοῦν. Μεταβάλλει γὰρ καὶ πρόεισιν ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον. Καὶ πάλιν ἐν ἑτέρῳ δεῖξαι βουλόμενος ὅτι οὐκ ἔχει ὁ Θεὸς ἐνέργειαν φυσικὴν καὶ οὐσιώδη, ἀλλ' οὐσία μόνον ἐστὶ, μετὰ πολλὰ λέγει καὶ τοῦτο, ὅτι ὥσπερ εἰ μὴ ἀπέχρη ἡ οὐσία τοῦ Πνεύματος πρὸς πάντα, ἀλλ' ἔδει ταύτῃ τινῶν ἐνεργειῶν ὑποδεεστέρων πρὸς τὴν τῶν ὄντων γένεσιν. Καὶ ἀλλαχοῦ, μηδαμῶς τοῦ Θεοῦ μετέχειν τοὺς ἀνθρώπους κατασκευάζων, τοιάδε φησὶν, Οὔτ' οὖν τὰ προτεινόμενα παρ' αὐτῶν ῥητὰ δεικνύουσι καθ' αὑτὸ τὴν κοινωνίαν τοῦ Πνεύματος, οὔτε ἀκτίστου τινὸς μετέχειν ἡμᾶς, οὔτε εἰ ἄλλο οὐσία, καὶ ἄλλο ἐνέργεια. Ἀφ' ὧν ὁ μυρίος ἕπεται τῶν βλασφημιῶν ἑσμὸς, καὶ τὸ κατατέμνειν εἰς ἄπειρα ἄνισα τὴν θεότητα, καὶ ἐκ μυρίων ἀνίσων συντιθέναι, καὶ τὰ μὲν εἶναι μεθεκτὰ, τὰ δὲ ἀμέθεκτα. Καὶ τὰ ἐξ ὧν ὁ Θεὸς, τὰ μὲν ὄντα, τὰ δὲ ὑπερόντα, καὶ τὰ μὲν καταληπτὰ, τὰ δὲ ἀκατάληπτα, καὶ ὅσα αἱ τίτθαι τοῖς παιδαρίοις κἂν ἐρυθριάσαιεν διαλέγεσθαι. Τοῦ δὲ θείου Χρυσοστόμου

Digitized by Google

τὸ ῥητὸν ἐξηγούμενος ἐν ᾧ τὴν εὐαγγελικὴν ἐκείνου διερμηνεύων ῥῆσιν, τὴν λέγουσαν, *Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*, λέγει, Ἴδωμεν τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν, ἆρα τὴν σοφίαν τοῦ Πατρός; ἆρα τὴν ἀγαθότητα; Οὐχὶ, ἀλλ' αὐτὸ ὅ τι ποτέ ἐστιν ὁ Θεὸς, αὐτὴν τὴν οὐσίαν· Πρῶτον, φησὶν, ἐκεῖνο λέγω, ὅτι ἡ τῆς σοφίας τοῦ Θεοῦ ἐπιστήμη ἡ αὐτή ἐστι τῆς οὐσίας ἐπιστήμη. Ὁ γοῦν εἰδὼς τὴν σοφίαν αὐτοῦ οἶδε τὴν οὐσίαν αὐτοῦ ἐφόσον ἡ τοῦ Θεοῦ σοφία ἐστὶν ἡ τῆς οὐσίας αὐτοῦ κατάληψις. Λέγω δὲ, ὅτι οὐδὲ ἡ τοῦ ἀγαθοῦ ἐπιστήμη ἕτερόν ἐστι τῆς ἐπιστήμης τῆς οὐσίας τοῦ Θεοῦ. Τὸ γὰρ ἀγαθὸν ᾧ ὁ Θεὸς ἀγαθόν ἐστιν, οὐκ ἔστι τις ἕξις ἐν ἑαυτῷ, ἀλλ' ἔστιν ἡ οὐσία αὐτοῦ. Μεταξὺ δὲ προϊὼν ἐπιγραφὰς τίθησι τοῖς κεφαλαίοις τοιαύτας·

Ὅτι ἡ νοερὰ τοῦ Θεοῦ ἐνέργειά ἐστιν ἡ οὐσία αὐτοῦ. Ὅτι ἡ νοερὰ τοῦ Θεοῦ δύναμίς ἐστιν ἡ οὐσία αὐτοῦ. Ὅτι ἡ σοφία τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ. Ὅτι ἡ ἀλήθεια τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ. Ὅτι ἡ τοῦ Θεοῦ θέλησίς ἐστιν ἡ οὐσία αὐτοῦ. Καὶ ταῦτα ἀποδείκνυσιν οὐκ ἀπὸ τῶν θείων Γραφῶν, οὐ ῥητὰ προφέρων ἁγίων, ἀλλὰ τοῖς ἰδίοις λογισμοῖς, καὶ ταῖς ἀποδείξεσι χρώμενος δῆθεν τοῖς Ἀριστοτελικοῖς συλλογισμοῖς. Περὶ δὲ τοῦ λάμψαντος ἀπὸ τοῦ Χριστοῦ ἐν τῷ ὄρει θειοτάτου φωτὸς θεολογῶν, μᾶλλον δὲ θεομαχῶν, ἐπιγραφὴν μὲν τίθησιν, ὅτι τὸ ἐν Θαβωρίῳ φῶς κτιστὸν, εἶτα τὰς παρὰ τῶν ἁγίων πολλὰς καὶ καλλίστας μαρτυρίας προθεὶς, δι' ὧν ἄκτιστον αὐτὸ θεολογοῦσι θεότητα, καὶ δόξαν φυσικὴν καὶ ἀπρόσιτον τῆς τρισυποστάτου θεότητος, καὶ θέωσιν ἀγένητον, καὶ φῶς ἄπλετον, καὶ αἴγλης θείας χύσιν ἀπεριόριστον, καὶ φῶς προκόσμιον καὶ ὑπερκόσμιον, καὶ τὰ τοιαῦτα, καὶ τοῦτο καὶ αὐτὸς διὰ τούτων κατασκευάσας, ἄκτιστον εἶναι τὸ φῶς ἐκεῖνο διὰ τὰ προειρημένα, ἔπειτα κατὰ πάντων ὁμοῦ τῶν ἁγίων χωρεῖ, καὶ φανερῶς ἀντιλέγων αὐτοῖς, οὕτως ἐπάγει ῥητῶς· Ἀλλὰ τοὐναντίον ἐστί. Καὶ τοῦτο διὰ πολλῶν ἀποδείκνυσιν τῶν τοῦ Ἀριστοτέλους συλλογισμῶν, καὶ πολλὰ ἕτερα βλάσφημα καὶ δυσσεβῆ λέγει καὶ συλλογίζεται, ἐναντιούμενα κατὰ πάντα τῷ τῆς θείας συνόδου τόμῳ, μᾶλλον δὲ ταῖς θεολόγοις αὐτοῖς, οἷς ἐκεῖνος ἐρείδεται. Λέγει γὰρ, Εἰ μὲν οὖν τὸ φῶς ἐκεῖνο σύμβολον ἦν τῆς ὑπὲρ νοῦν καὶ λόγον ἀληθείας, οὔτε ἐστὶν ἀλήθεια ἡ πρώτη, οὔτε ὑπὲρ νοῦν καὶ λόγον, ἀλλὰ μόνον ὑπὲρ αἴσθησιν. Ὃ δὲ μή ἐστιν ὑπὲρ νοῦν καὶ λόγον, οὐκ ἀλήθεια, οὐδ' ἄκτιστον· διὸ καὶ τὸ φῶς ἐκεῖνο κτιστὸν, εἰ ὑπὲρ νοῦν καὶ λόγον ἦν ἀλήθεια, πῶς ἴσμεν τί ἐστιν; Οἷον φῶς, καὶ ὁποῖον φῶς; Ὥσπερ λευκόν. Καὶ ποῦ; Οἷον ἐν τῷ Θαβωρίῳ. Καὶ πότε; Πρὸ τοῦ πάθους δηλονότι ἓξ ἡμέρας. Τὴν γὰρ ὑπὲρ νοῦν καὶ λόγον ἀλήθειαν εἶναι μόνον πιστεύομεν, περὶ τοῦ τί καὶ πῶς καὶ ὁποῖον καὶ πότε, μηδόλως τολμῶντες σκοπεῖν ἢ ἐννοεῖν ἀνεχόμενοι, τὸ ἀσεβὲς παραιτούμενοι. Ὥστε οἱ λέγοντες ἰδεῖν καὶ νοῆσαι ἐκεῖνο ἀλήθειαν οὖσαν τὴν ἐν τῷ Θεῷ, καὶ προτιθέντες εἶναί τι καὶ ὁποῖον, καὶ πότε, ἀσεβῆ πράγματα ἐπιχειροῦσι· καὶ πάλιν· Οὐδὲν κωλύει φαιδρότερον

A ἑαυτοῦ τότε τὸν Κύριον γενέσθαι, καὶ δεῖξαι ὅπερ καὶ πρὸ τοῦ ἦν, μὴ μέντοι ἦν τι τὸ φῶς ἐκεῖνο ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ, καὶ ἄκτιστον. Καὶ γὰρ καὶ ἐκ τῶν ἄλλων θεοφανειῶν ἐδείκνυ ὅπερ πρότερον ἦν, οὐ μὴν τὰ φαινόμενα πρὸς δεῖξιν τοῦ Θεοῦ, ἦν τι ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ. Ἀλλὰ καὶ πολλὰς πρεσβεύων θεότητας καὶ πολλοὺς θεοὺς κτιστοὺς ἀναδείκνυται ὁ τὴν πολυθεΐαν ἡμῖν ἐγκαλῶν καὶ συκοφαντῶν τὴν τοῦ Θεοῦ Ἐκκλησίαν μετὰ τῶν αὐτοῦ μυσταγωγῶν Βαρλαάμ τε καὶ Ἀκινδύνου. Λέγει γὰρ οὑτωσί· Τὰ προειρημένα δὲ ἄτοπα ἔνιοι συνιδόντες, ἐδόξασαν τὸ ἐν Θαβωρίῳ φῶς εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ, ἐφόσον τὸ μὲν εἶναί τι φῶς ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ ἕτερον παρ' αὐτὴν ἄτοπον ᾤοντο· οὐ συνίεσαν δὲ εἶναι τινὰ αἰσθητὰ καὶ νοητὰ φῶτα ἀναλογικῶς καλούμενα, ὧν
B ἴσως ἐνδέχεταί τι εἶναι τὸ ἐν Θαβωρίῳ φῶς. Μάλιστα δὲ ἠπάτηνται ἐκ τοῦ θεότητα λέγεσθαι ἢ θεοφάνειαν, καὶ μὴ οἴεσθαι εἶναι θεότητα κτιστήν. Καὶ μετ' ὀλίγα· Ἐπεὶ γὰρ τὰ δεύτερα ἁγιότητος, καὶ βασιλείας, καὶ θεότητος, καὶ κυριότητος, διὰ τῶν πρώτων μεταλαμβάνοντα, τὴν τῆς ἐκείνων διαδόσεως ἁπλότητα περὶ τὰς ἑαυτῶν διαφορὰς πληθύνουσι, δῆλον μὴ αὐτῆς μετέχειν καθ' αὐτὴν τῆς βασιλείας τοῦ Θεοῦ, καὶ κυριότητος, καὶ θεότητος, καὶ ἁγιότητος, ἀλλ' ἑτέρᾳ ἁγιότητι γίνονται ἅγια, καὶ ἑτέρᾳ βασιλείᾳ βασιλικὰ, καὶ ἑτέρᾳ θεότητι καὶ κυριότητι θεοὶ καὶ κύριοι. Καὶ μετὰ βραχύ· Διὸ καὶ ἄτοπον οὐδὲν, ὥσπερ θεοὺς πολλούς φαμεν, καὶ ἁγίους, καὶ βασιλεῖς, καὶ κυρίους κτιστούς, καίτοι γε ἑνὸς ὄντος ἁγίου, καὶ βασιλέως, καὶ Θεοῦ, καὶ Κυ-
C ρίου ἀκτίστου, οὕτω καὶ ἁγιότητας πολλὰς καὶ κτιστὰς λέγειν, καίτοι μιᾶς οὔσης βασιλείας τῆς αὐτῆς καὶ ἁγιότητος καὶ κυριότητος καὶ θεότητος ἀκτίστου, τῆς ὑπερουσίου θεότητος. Καὶ ἀλλαχοῦ πάλιν οὕτω λέγει, Ἐπεὶ πάσης ἱεραρχίας πέρας καὶ σκοπὸς καὶ ἀποτέλεσμα ἡ θέωσίς ἐστιν, ἡ πρὸς Θεὸν ὡς ἐφικτὸν ἀφομοίωσις, καὶ εἰσὶν αἱ προσεχεῖς ἀρχαὶ τῆς ἡμῶν θεώσεως κτισταὶ, οἷον αἱ ἱεραρχοῦντες, αἱ ἐπιστῆμαι καθ' ἃς ἱεραρχοῦσι, καὶ αἱ ἐνέργειαι καὶ δυνάμεις· φανερὸν ὅτι καὶ αἱ θεώσεις ἡμῶν, ὡς κτιστῶν ἀποτελέσματα, κτισταὶ καὶ ὑφειμέναι πρὸς τὰς τῶν θεούντων. Καὶ διὰ τοῦτο ὥσπερ εἰσὶ θεοὶ πολλοὶ κτιστοὶ, οὕτω καὶ θεότητες καὶ θεώσεις ὑφειμέναι καὶ ὑπερκείμεναι, καὶ καθόλου καὶ μερικαὶ, καὶ ἑκάστης ἰδίαν αἱ ἀνάλογοι. Διὸ καὶ τοσαῦτα ἔχοντες
D ὑπὲρ ἡμᾶς θεοὺς καὶ θεότητας καὶ θεώσεις κτιστὰ, ὧν οὔτε τῆς φύσεως, οὔτε τῆς δυνάμεως, οὔτε τῆς ἐνεργείας, ἢ τοῦ πάθους, καὶ τῆς ἐπιστήμης μετασχεῖν δυνάμεθα, ἄλλως τ' ἂν εἴη λέγειν, τοῦ ἀκτίστου Θεοῦ μετέχειν, ἢ τῆς θεώσεως, ἢ τῆς θεότητος, ἢ τινὸς ἐνεργείας αὐτοῦ καὶ δυνάμεως. Καὶ μακρὸν ἂν εἴη λέγειν ἑξῆς καὶ προτιθέναι καὶ τὰ λοιπὰ, πάσης ἀσεβείας ὄντα πεπληρωμένα πάντα, καὶ πολλῷ τῷ μέσῳ ὑπερβαίνοντα, εἰς δυσσεβείας λόγον τὰ πονηρὰ τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου συγγράμματα· μόνος γὰρ ἂν ἴσως, ὁ διάβολος εἶπε ταῦτα μετ' αὐτοῦ, ὁ καὶ ὁδηγὸς τούτου πρὸς ταῦτα καὶ διδάσκαλος.

Ἐκ δὲ τῶν πολλῶν καὶ ἀναριθμήτων σχεδὸν ἐτέθησαν τὰ ῥηθέντα πρὸς φανέρωσιν τῆς ἐκείνου κα-

Digitized by Google

κακοδοξίας καὶ ἀσεβείας, ἅτινα ὅτι δυσσεβῆ μέν εἰσι καὶ τοῦ τῆς κακίας ἀρχηγοῦ γεννήματα, διὰ τῆς αὐτοῦ λαλήσαντος γλώττης, καὶ τῇ τούτου χειρὶ χρησαμένου, οὐδένα τῶν πάντων ἀγνοεῖν οἶμαι τῶν τῆς ἡμετέρας αὐλῆς· εἰ δέ τινες καὶ τῶν ἁγίων Πατέρων βούλονται λόγους πρὸς κατάλυσιν τούτων, πρὸς τὸν ἱερὸν τῆς συνόδου τούτους παραπέμπομεν τόμον, πολλὰς ἔχοντα τὰς τῶν θεοφόρων Πατέρων ῥήσεις, καὶ τούτοις ἐρειδόμενον ἀπ' ἀρχῆς ἄχρι τέλους. Ἡμεῖς δὲ καὶ ἕτερα τῶν τῆς δυσσεβείας αὐτοῦ συγγραμμάτων, ἐν οἷς τοὺς προστάτας ὑβρίζει τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, τοῖς εἰρημένοις προσθήσομεν. Φησὶ γὰρ ἐπὶ λέξεως οὕτω·

Πρὸς δὲ τοὺς κατηγορήσοντάς μου τὴν τῶν συλλογισμῶν χρῆσιν ὥσπερ τινὰ θεολογίας χρησμὸν, ἐκεῖνο οἶμαι ἀπολογητέον, ὡς ἐπεὶ πᾶσα ἀλήθεια ἢ συλλογισμός ἐστιν, ἢ ἀρχὴ συλλογισμοῦ, καὶ ἐμοὶ καὶ τούτοις ἀνάγκη καὶ μὴ βουλομένοις συλλογισμοὺς λέγειν, εἴπερ ἀληθῆ λέγομεν. Διατί οὖν μὴ τὴν ἐπιστήμην ἔχοντες καὶ τοὺς κανόνας, τούς τε παραλογιζομένους ἐλέγχειν δυνάμεθα, καὶ αὐτοὶ πρὸς τὴν ἀλήθειαν ὥσπερ ἡνιόχῳ τῇ μεθόδῳ ἀπευθυνοίμεθα καὶ πρὸς τὸ κρίνειν καὶ πρὸς τὸ ποιεῖν εὐπορίαν τὴν ἐφικτὴν συμβαλλομένην; Εἰ μὲν γὰρ ἐξ ἀποκαλύψεως τὴν πίστιν εἴχομεν, ὥσπερ οἱ τῆς εὐσεβείας ταύτης ἡγεμόνες, ἢ διαγινώσκειν εὑρεθεῖσαν ἠδυνάμεθα, ἢ μὴ τῶν λόγων εὐθύνας ἀπῃτούμεθα. ἀξιοπιστίας ἡμῖν καὶ τοῦ συγκεχωρηκότος παρὰ πάντων ὑπάρχοντος, ἢ βίου λαμπρότητι, ἢ θαυμάτων ἐπιδείξει τοὺς λόγους βεβαιοῦντες, οὐδ' οὕτως ἂν ἡ τῶν συλλογισμῶν παρεῖλκε χρῆσις, συμφώνου τοῦ δοθέντος ἡμῖν πρὸς εὕρεσιν τῆς ἀληθείας λόγου τῇ ἀποκαλύψει δεικνυμένου, καὶ εὐπορίαν τῆς τέχνης παρεχούσης πρὸς τὰς παρενοχλούντων τὴν ἐπηρείας γυμνασίαν τε καὶ διατριβὴν οὐκ ἄχαριν τοῖς εὐσεβέσιν ἐμποιούσης· ἐπεὶ δὲ καὶ ἐφ' ἡμᾶς ἦλθε ἡ Ἰουδαϊκὴ ἀρὰ, καὶ ἐσκοτίσθησαν οἱ ὀφθαλμοὶ ἡμῶν τοῦ μὴ βλέπειν, καὶ σκοποὶ μὲν τυφλοὶ, κήρυκες δὲ κωφοὶ χειροτονούμεθα, οὐδὲ δίδωσιν ὁ Κύριος ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, τά τε πλήθη τῶν διδασκομένων οὕτω διαβόλως ἔχει πρὸς ἡμᾶς, ὡς μηδὲ λόγον ἁπάντων ὑπέχουσι πείθεσθαι, τί δεῖ καὶ τὸ μόνον ἀπολειφθὲν πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν ὄργανον ἀπὸ τῶν χειρῶν ῥίπτειν; Καὶ μετ' ὀλίγον· Ἐγὼ δὲ ἐπαινῶ μὲν τὴν τέχνην, καὶ ἀναγκαίαν εἴπερ τι τοῖς νῦν καιροῖς κρίνω, μόνης ἡμῖν ἐπικουρίας καὶ φωτὸς καταληφθείσης ἐρημωθεῖσι Θεοῦ. Καὶ ἀλλαχοῦ πάλιν· Νῦν δὲ ἄνθρωποι διαβολιμαῖοι, ὡς ἂν εἴποιεν αὐτοὶ οἱ ἄγγελοι καὶ ἐπίτριπτοι, ὥσπερ κάνθαροι καὶ μύρμηκες ἀπὸ χηραμῶν, ἢ βάτραχοι ἀπὸ τῶν τελμάτων κλώζοντες, σοφίαν αὐχοῦσι μείζω τῶν ἀγγέλων, παρωθούμενοι πάντας τοὺς νοεροὺς διακόσμους, καὶ αὐτόθεν ἀπὸ τοῦ Θεοῦ μυσταγωγεῖσθαί τινα ἀπαυθαδιαζόμενοι καὶ τούτων διδάσκαλοι γίνεσθαι τῶν ἀγγέλων.

Φησὶ δὲ καὶ τοῦτο λίαν ἀσεβῶς κατὰ ῥῆμα, ὅτι καὶ ἡ θεαρχία, καὶ ἡ ἀγαθαρχία, καὶ τὰ ἄλλα τὰ οὕτω λεγόμενα κτιστά ἐστι. Περὶ δὲ τοῦ Κυρίου καὶ A Θεοῦ ἡμῶν τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ οὕτω λέγει· Εἰ μὲν ἀληθές ἐστι τὸ ὑπὸ τοῦ Παύλου περὶ τοῦ Κυρίου εἰρημένον, ὅτι τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε, καὶ ὅτι ἦλθεν ἐν ὁμοιώματι ἁμαρτίας καὶ περὶ ἁμαρτίας· ἡ δὲ ἁμαρτία σκότος ὀνομάζεται, διὰ τὸ στέρησιν εἶναι τοῦ ὁπωσοῦν ἀγαθοῦ· πρόδηλον τὸν Χριστὸν ἐν ὁμοιώματι σκότους ἐλθεῖν, καὶ περὶ τοῦ ἀληθινοῦ σκότους ὥστε ἐκβαλεῖν αὐτὸ ἀπὸ τῶν ἀνθρώπων· καὶ διὰ τοῦτο μηδὲ ἦν καὶ τὸ σῶμα τοῦ Κυρίου ὁπωσοῦν χωρὶς ἁμαρτίας μόνον, ἀλλοῖον παρὰ τὰ ἡμέτερα σώματα. Ὥσπερ γὰρ ἡνωμένον ἦν τῇ αὐτοῦ ζωῇ, ἦν ὅμως θνητὸν, τοῦ θείου Λόγου ταπεινοῦντος ἑαυτὸν καὶ συγκαταβιβάζοντος, καὶ τῇ ἀπαθείᾳ καθ' ὑπόστασιν ἡνωμένον, παθητὸν ὅμως ἦν· οὕτω καὶ τῷ φωτὶ B καθ' ὑπόστασιν ἡνωμένον οὔπω μεταποιηθὲν εἰς φῶς ἦν πρὸ τῆς ἀναστάσεως· εἰ γὰρ κατ' αὐτὴν τὴν γέννησιν φωτεινὸν ἀνελάβετο, ὡς ἐν τῇ μεταμορφώσει δέδειχε, καθάπερ ἐγὼ τινῶν ἤκουσα ἀποφλαυριζόντων, ἐδείκνυ δὲ μόνον οἷς ἐβούλετο, τῶν ἄλλων ἀποσκιάζων τὰς ὄψεις, πρῶτον μὲν ὑποψίαν εἰσάγει, εἰ μὴ τὸ φαίνεσθαι φωτεινὸν φαντασία τις ἦν, μὴ ἄρα καὶ τὸ φαίνεσθαι· ἔπειτα τί δεῖ τῆς δευτέρας γεννήσεως, τῆς μείζονος καὶ τελειοτέρας, τῆς ἐξ ἀναστάσεως λέγω, καθ' ἣν πρωτότοκος ἐκ νεκρῶν λέγεται, εἰ μὴ ὅτι σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ, σπείρεται σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν; Εἰ γὰρ διὰ παθημάτων τὸν ἀρχηγὸν τῆς ζωῆς ἡμῶν ἐτελείωσε, δῆλον ὅτι τελειωτὸν ὁ C Χριστὸς ἀνελάβετο σῶμα οὐ τέλειον. Διὸ καὶ τὸ εἰρημένον παρὰ τοῦ Ἰωάννου, *Τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει*, καὶ ἑρμηνευόμενον παρὰ τοῦ Γρηγορίου, τῷ βίῳ τούτῳ καὶ τῷ σαρκίῳ, μή ποτε περὶ τοῦ κυριακοῦ σώματος εἴρηται, καὶ βίου, διὰ τοῦ καὶ παθητοῦ καὶ τῆς ταπεινότητος δεικνύοντος τὴν θεότητα. Τί γὰρ θαυμαστὸν σκότος τὸ τοῦ Κυρίου σῶμα ὑπὸ τῆς Γραφῆς καλεῖσθαι διὰ τὴν ταπείνωσιν ἐν ᾗ ἐφάνη, ὅπου γε καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐνδεδύσθαι φησὶν αὐτὸν ἡ θεία Γραφή; Εἰ γὰρ ἐν τῷ Χριστῷ ἀπεξεδύσατο, πρῶτον ἐνδεδυμένος ἦν, ὅθεν μήτε λέγομεν ἐφ' ὕβρει τοῦ Χριστιανισμοῦ, ἢ διαφανὲς εἶναι, καὶ ἀερῶδες τὸ σῶμα τοῦ Χριστοῦ, ἢ ἐκ τῆς ἁγίας μητρὸς αὐτοῦ οὕτω φωτεινὸν ἀναλαβεῖν αὐτὸ, οἷον τότε ἔδειξε καὶ ἔσται ἐξ ἀναστάσεως, μήτε D ἐνούσιον τοῦτο τὸ φῶς τῇ θεότητι.

Ταῦτα καὶ τὰ πολλῷ τούτων χείρω καὶ ἀτοπώτερα ἰδοῦσα ἡ μετριότης ἡμῶν καὶ πάσης ἀσεβείας μεστὰ, καὶ τοῦ διαβόλου γεννήματα κρίνασα, προσκαλεσαμένη καὶ αὖθις αὐτὸν, συμπαρόντος μοι καὶ πάλιν τοῦ ἱερωτάτου μητροπολίτου Ἐφέσου καὶ ὑπερτίμου, εἶπε πρὸς αὐτὸν οὕτως, ὡς Ἐνέτυχον μέρεσί τισι τῶν σῶν συγγραμμάτων, καὶ εὗρον αὐτὰ πάσης δυσσεβείας πεπληρωμένα. Τοῦ τε γὰρ ὅρου τῆς πίστεως, τοῦ ἱεροῦ, φημὶ, τῆς συνόδου τόμου, ὃν σὺν τῷ ἁγίῳ συμβόλῳ ἡ καθ' ἡμᾶς Ἐκκλησία στέργει, ὡς ἐκ τῶν θείων Γραφῶν καὶ τῶν συνοδικῶν καὶ πατρικῶν λόγων συντεθειμένον, καὶ ἀνάπτυξιν ὄντα τοῦ θείου συμβόλου τῆς πίστεως· ὡς γοῦν ἀνατροπὴν ἐκείνου, καὶ ὅτι καὶ τὸ λάμψαν ἐν

Digitized by Google

τῷ ὄρει φῶς τῆς τρισυποστάτου θεότητος ἐν τῷ A προσώπῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φανερῶς λέγουσιν εἶναι κτίσμα, τὰς τῶν ἁγίων Πατέρων καὶ διδασκάλων φωνὰς καθάπαξ ἀποβαλλόμενα, τὰς διδασκούσας ἄκτιστον αὐτὸ εἶναι θεότητα, καὶ φυσικὴν αὐτοῦ δόξαν καὶ λαμπρότητα, καὶ ἀΐδιον καὶ ἄναρχον χάριν, διὰ τοῦτο εἶπον αὐτὰ πάσης δυσσεβείας μεστὰ καὶ τῆς ὀρθοδόξου τοῦ Χριστοῦ Ἐκκλησίας ἀλλότρια. Ὁ δὲ λόγοις μὲν προσεποιεῖτο καὶ αὖθις ὑπείκειν τοῖς δοκοῦσι τῇ ἁγίᾳ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, ὑπούλως καὶ ῥερᾳδιουργημένως τοῦτο λέγων, οὐκ ἀπὸ ψυχῆς ὀρθῆς, ἰσχυρίζετο δὲ ψευδόμενος, μὴ εἰδέναι ὅλως τί οἱ θεοφόροι τῆς Ἐκκλησίας Πατέρες καὶ διδάσκαλοι ῥητῶς οὕτω λέγουσιν, ἄκτιστον εἶναι τὸ φῶς ἐκεῖνο. Πρὸς ἃ καὶ αὖθις ἤκουσε παρ' ἐμοῦ ὅτι ἢ εἰδὼς τοῦτο, τὸν μὴ εἰδότα B ἐπίτηδες ὑποκρίνεται, ἢ εἰ καὶ ἀγνοῶν, ὡς λέγει, τυγχάνει, ἀλλ' ἑκὼν ἀγνοεῖ. Ἐπείπερ εἰ ἐβούλετο, εὗρεν ἂν εὐθὺς τοῦτο φανερῶς ἐν τοῖς τῶν ἁγίων πανταχοῦ συγγράμμασι κείμενον. Καὶ οὐκ ἔστι δὲ τοῦτο ἀνθρώπου ὀρθοῦ, καὶ μαθεῖν βουλομένου τὸ ἀληθὲς, τὸ παρέρχεσθαι μὲν καὶ παραβλέπειν τὰς τῶν ἁγίων ῥήσεις, ἐν αἷς φανερῶς τοῦτο λέγουσι, ἑτέρας δὲ προφέρειν, ἐνδεχομένας ἴσως καὶ ἄλλως ἐξηγηθῆναι. Ἀλλὰ μᾶλλον εἰ βούλοιτο πληροφορῆσαι ἡμᾶς ἐν ἅπασι, δεῖ αὐτὸν καὶ τὸν ἱερὸν ὑπογράψαι τόμον, ὡς καὶ ἡμεῖς, καὶ τὰ κακῶς παρ' αὐτοῦ συγγραφέντα ἀνατρέψαι, οὐ λόγοις μόνον ἁπλῶς, ἀλλὰ καὶ συγγράμμασιν. Ἐπειδὴ καὶ λόγος μὲν ὀφείλει καταλύεσθαι λόγῳ, γράμματα δὲ γράμμασι. Τοῦ δὲ ἀνθυπενεγκόντος, ὅτι Γράψαι μὲν ἕτερα πρὸς ἀνα- C τροπὴν ὧνπερ ἔγραψα, οὐ δύναμαι· ἐπεὶ ἅπερ ἐφρόνουν συνεγραψάμην, καὶ οὐκ ἔχω πάλιν ἐναντία γράψαι· λέγω δὲ ἅπερ ἡ Ἐκκλησία λέγει, καὶ οὐ καταλύω αὐτὰ λόγοις, καὶ τοῦτο ψευδῶς καὶ ὑπούλως λέγων, καὶ οὐκ ἀληθῶς, ὡς ὕστερον ἀνεφάνη· ἡ μετριότης ἡμῶν ἀναγκαῖον ἔλεγον εἶναι πρὸς αὐτὸν καὶ ἀπαραίτητον τὸ συγγράμματι πάλιν μικρῷ ἑτέρῳ καταλῦσαι καὶ ἀνατρέψαι τὰ πρότερα, τοῖς τῶν θεοφόρων Πατέρων καὶ διδασκάλων τῆς Ἐκκλησίας λόγοις χρώμενον· οὐδὲ γὰρ ὑποστρέψει παραυτίκα πρὸς τὸ ἅγιον ὄρος, ἀλλ' ἐνταῦθα παραχειμάσειν ὀφείλει. Δι' ἅπερ ἐνετειλάμην αὐτῷ καὶ τὰς ἱερὰς βίβλους ἀναγνῶναι, δυναμένας αὐτῷ παρασχεῖν πολλὴν τὴν ὠφέλειαν, καὶ μάλιστα τὰ D Πρακτικὰ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἕκτης συνόδου, τόν τε πρὸς Πύῤῥον διάλογον τοῦ θείου Μαξίμου, καὶ τὴν δογματικὴν βίβλον τοῦ θεοφόρου Πατρὸς Ἰωάννου τοῦ Δαμασκηνοῦ. Ὁ δὲ πᾶς ἐμοὶ σκοπὸς ἐτύγχανεν ὤν, ἵνα ταύτας ἀναγνοὺς, καὶ τῶν ἱερῶν τῆς ὑγιοῦς ἡμῶν πίστεως δογμάτων ἐν γνώσει γεγονὼς, εἶτα καὶ τοὺς παρ' ἡμῶν λόγους ἀσμένως δέξηται, καὶ πᾶσαν ἀμφιβολίαν ἀπὸ τῆς ἰδίας περιέληται ψυχῆς καὶ πρὸς κατάλυσιν χωρήσαι τῶν ἑαυτοῦ δυσσεβῶν συγγραμμάτων δι' ἑτέρων ἐναντίων. Ὁ δὲ πρὸς ἡμᾶς μὲν ἐδόκει καλῶς δεχόμενος ταῦτα, καὶ ὡς ἡμεῖς ἐβουλόμεθα, καὶ τὸ πᾶν αὐτοῦ θέλημα τάχα ἡμῖν ἀνετίθει, καὶ τῇ ἡμετέρᾳ διαγνώσει καὶ διακρίσει· πρὸς τοὺς ἔξω δὲ πάντας τὰ

ἐναντία καὶ φρονῶν καὶ λέγων ἐφαίνετο, Ἵνα τί μοι δέδωκεν ὁ πατριάρχης, φάσκων, ἀναγνῶναι τὰ βιβλία, ὥσπερ ἂν εἰ μὴ εἶδον αὐτά; Ἐγὼ καλῶς ἀναγνοὺς ταῦτα καὶ μετὰ πολλῆς ἐπιμελείας, γινώσκω καὶ τὰ ἐγκείμενα τούτοις. Ὁ δὲ τὰ μὲν ἐμὰ συγγράμματα καὶ τὰς ἐν αὐτοῖς ἀπορίας οὐ λύει, ἀναγνῶναι δέ μοι λέγει τὰ τῶν ἁγίων βιβλία. Καὶ πολλὰ ἕτερα τοιαῦτα καὶ πλείονα τούτων ἔλεγεν, ἅπερ ἀκούων ἐγὼ παρὰ πολλῶν, τὸν ἀγνοοῦντα ὑπεκρινόμην. Ἐν τούτοις οὖν τῶν πραγμάτων ὄντων, γράφει τῷ ὁσιωτάτῳ καθηγουμένῳ τῆς ἱερᾶς λαύρας πιττάκιον, οὗ καὶ ἀναγνωσθέντος ἐκεῖ, πάντες ὁμοῦ διεταράχθησαν, καὶ ἡσυχασταὶ καὶ ἱερωμένοι, καὶ μοναχοὶ πάντες. Καὶ συναχθέντες ἅμα μετὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἱερισσοῦ καὶ ἁγίου ὄρους, ἀνεθεμάτισαν τοῦτον, ὡς ἀσεβῆ καὶ ἀδιόρθωτον. Εἶτα πέμπουσιν ἐκεῖνοι τὸν εὐλαβέστατον ἱερομόναχον κὺρ Ἰωσὴφ πρὸς τὴν ἡμῶν μετριότητα μετὰ καὶ ἐγγράφων ἀναφορῶν τοῦ ῥηθέντος θεοφιλεστάτου ἐπισκόπου, τοῦ ὁσιωτάτου καθηγουμένου τῶν ἡσυχαστῶν, καὶ τῶν ἱερέων, δεόμενοι καὶ παρακαλοῦντες διὰ τῶν εἰρημένων ἀναφορῶν τὸ κῦρος δέξασθαι καὶ παρ' ἡμῶν τὸν ἀναθεματισμὸν τοῦτον, καὶ ἀποβληθῆναι, καὶ καθαιρεθῆναι, καὶ μὴ δεχθῆναι τὸ σύνολον τοῦτον. Ἐπεὶ καὶ αὐτοὶ οὐ παρ' ἑαυτῶν πεποιήκασιν, ὅσον πεποιήκασιν, ἀλλὰ μᾶλλον ἐξακολουθοῦντες τῇ καθολικῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ τῷ ἱερῷ τῆς συνόδου τόμῳ, διαγορεύοντι τὰ αὐτὰ πάσχειν, εἴ τις εὑρεθείη τὰ αὐτὰ καὶ φρονῶν, καὶ λέγων, καὶ συγγραφόμενος τῷ τε Βαρλαὰμ καὶ τῷ Ἀκινδύνῳ. Ἀπέστειλαν δὲ καὶ τὸ πρὸς τὸν ὁσιώτατον καθηγούμενον γραφὲν παρ' αὐτοῦ πιττάκιον, πρὸς ἔνδειξιν τῆς αὐτοῦ δυσσεβείας. Ἅτινα πάντα ἰδοῦσα ἡ μετριότης ἡμῶν, ἀνάγκην ἔσχε δεῖξαι ταῦτα πρὸς τὴν περὶ αὐτὴν ἱερὰν καὶ μεγάλην σύνοδον. Ὅτι καὶ τοσούτου παρῳχηκότος καιροῦ, ἀφ' οὗπερ οὗτος ἦλθεν ἐνταῦθα, οὐκ ἐγνώρισεν αὐτῇ τὰ κατ' αὐτὸν, διὰ τὸ ἀκούειν παρ' αὐτοῦ τὴν ἡμῶν μετριότητα στέργειν ἅπερ ἡ τοῦ Χριστοῦ Ἐκκλησία στέργει, καὶ καταλύειν τὰ αὐτοῦ συγγράμματα, ὡς ἐκεῖνος ἔλεγε. Διὰ ταῦτα μὲν οὖν ἕως τοῦ νῦν οὐκ ἐκοινώσατο ταῦτα τῇ περὶ αὐτὴν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ, ἀναμένουσα τὴν ἐκείνου καθαρὰν μετάνοιαν. Ἐπεὶ δὲ τὰ ἀπὸ τοῦ ἁγίου ὄρους γράμματα ἐδέξατο, ἀνάγκην ἔσχε περὶ τούτων ἁπάντων καὶ αὐτῇ κοινώσασθαι. Καὶ δῆτα συναθροισθέντων τῶν ἱερωτάτων ἀρχιερέων καὶ ὑπερτίμων, τοῦ Καισαρείας, τοῦ Ἐφέσου, τοῦ Κυζίκου, διὰ γνώμης πρὸς τὴν ἡμῶν μετριότητα, τοῦ Χαλκηδόνος, τοῦ Βιζύης, καὶ τοῦ Βρύσεως, ἀλλὰ δὴ καὶ τῶν εὑρεθέντων ἐν τῇ βασιλίδι τῶν πόλεων θεοφιλεστάτων ἐπισκόπων, τοῦ μὲν Ἐφέσου, τοῦ Βορεία, καὶ τοῦ Ποταμίας, τοῦ δὲ Ἡρακλείας, τοῦ Πανίου, καὶ τοῦ Περιστάσεως, παρόντων καί τινων ἀρχιμανδριτῶν καὶ ἡγουμένων τῶν ἀπὸ τῆς βασιλίδος ταύτης τῶν πόλεων, τοῦ τε τιμιωτάτου ἀρχιμανδρίτου τῆς σεβασμίας μονῆς τοῦ Στουδίου ἱερομονάχου κὺρ Μακαρίου, καὶ ἑτέρων, καὶ μοναχῶν ἀπὸ τῶν ἐγκρίτων, προσεκλήθη παρὰ τῆς ἡμῶν μετριότητος καὶ ὁ Ὑρό-

Digitized by Google

χορος, ὥστε εἰπεῖν ἔμπροσθεν τῆς ἱερᾶς καὶ μεγάλης συνόδου ἅπερ, ὡς ἐδόκει, πρὸς ἐμὲ αὐτὸν ἰδίως καὶ πολλάκις ἔλεγεν, ὅτι τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἀκολουθῶν στέργει μὲν ἅπερ αὕτη φρονεῖ, καταλύει δὲ τὰ ἑαυτοῦ συγγράμματα, διὸ καὶ παραγενόμενον, καὶ προσηνῶς αὐτὸν καὶ ἡμέρως ἐδέξατο ἡ μετριότης ἡμῶν, καὶ προετρέψατο εἰπεῖν ἅπερ βούλεται. Ὁ δὲ ἀρξάμενος διηγεῖσθαι, πρῶτον μὲν ᾐτιᾶτο φθόνον κατ' αὐτοῦ τῶν λαυριωτῶν, ὡς αὐτὸς ἔλεγεν· ἔπειτα προϊὼν ἔδειξεν ὡς ἅπερ ἔλεγε πρός με ἰδίως, ψεῦδος ἦν ἅπαντα, καὶ ὑπόκρισις, καὶ δόλος. Δέον γὰρ ὂν νῦν μᾶλλον ἐπὶ τῆς ἱερᾶς συνόδου τοῦτο εἰπεῖν, καὶ ἀναθεματίσαι μὲν τὰ ἑαυτοῦ δυσσεβῆ καὶ παράνομα συγγράμματα, προσελθεῖν δὲ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ συγγνώμην αἰτήσασθαι, καὶ στέρξαι ἅπερ αὐτὴ στέργει καὶ φρονεῖ καὶ διδάσκει, ὁ δὲ πᾶν τοὐναντίον ἐποίει, τὰ ἑαυτοῦ συγγράμματα ζητῶν εἰς μέσην παραχθῆναι τὴν σύνοδον, καὶ ἀναγνωσθῆναι, καὶ νέα δόγματα καλῶν, ἅπερ ἡ Ἐκκλησία διδάσκει, καὶ λέγων ὅτι Ταῦτα στέργω τὰ παρ' ἐμοῦ συγγραφέντα, οἷσπερ ὁ βουλόμενος ἀντιλέγειν παρίτω, καὶ τὰς ἐν αὐτοῖς ἀπορίας λυέτω. Προτροπῇ οὖν τῆς ἡμῶν μετριότητος παρήχθησαν τὰ συγγράμματα ταῦτα, καὶ ἀνεγνώσθησαν μέρη τινά, ἅπερ ἀνωτέρω κατὰ μέρος ἐτέθησαν, καὶ ἕτερα τοιαῦτα, ὧν ἀναγινωσκομένων, σφοδρῶς οὗτος περὶ ταῦτα διέκειτο λύσιν ζητῶν τῶν ἐν αὐτοῖς ἀποριῶν κατὰ τὸν αὐτοῦ διδάσκαλον Βαρλαὰμ, ὃς τοιαῦτα λέγων ἀπὸ τῆς κατ' αὐτοῦ τότε συγκροτηθείσης συνόδου, παρ' αὐτῆς ἀπεκρούσθη τέλεον, τῶν ἱερῶν ἀναγνωσθέντων κανόνων, δι' ὧν ἀπηγόρευται καὶ οὐδαμῶς παρακεχώρηται τοῖς κατ' αὐτὸν καὶ πᾶσι τοῖς ἄλλοις περὶ δογμάτων ὅλως κινεῖν, καὶ τοῖς ἄλλοις ἀνάγκην ἐπιτιθέναι περὶ τοιούτων ἀπολογεῖσθαι. Μόνοις γὰρ δοθῆναι τοῦτο τοῖς ἀρχιερεῦσι παρὰ Θεοῦ. Κατ' ἐκεῖνον οὖν καὶ οὗτος τὰ ὅμοια λέγων, ἤκουσε παρὰ τῆς ἡμῶν μετριότητος ὡς ἕως ἂν οὕτω περὶ τὰ ὀρθὰ διάκειται τῆς Ἐκκλησίας δόγματα, καὶ φανερῶς ἀντιλέγῃ τούτοις, οὐδεμίαν ἀπολογίαν οὔτε λύσιν ἀκούσεται παρ' ἡμῶν. Πόθεν καὶ γὰρ τὴν λύσιν ἐπενέγκοιμεν ἂν τῶν ἱερῶν διδασκάλων τῆς Ἐκκλησίας μὴ στεργομένων παρ' αὐτοῦ, ἀλλ' ἀναιρουμένων ὅσον τὸ κατ' αὐτόν; Ὅταν δὲ συγγνώμην αἰτήσηται, καὶ ἀναθεματίσῃ τὰ ἑαυτοῦ συγγράμματα, καὶ τὴν κακίστην καὶ δυσσεβῆ δόξαν, καὶ ἀνατρέψῃ ταῦτα ἑτέρῳ συγγράμματι, καὶ γένηται κατὰ πάντα ὑπήκοος τῇ Ἐκκλησίᾳ ὡς μαθητής, τότε καὶ εἴ τι ἀπορεῖται παρ' αὐτοῦ, ἑτοίμως ἔχομεν ἡμεῖς ἀπὸ τῶν θείων Γραφῶν καὶ τῶν θεοφόρων Πατέρων καὶ διδασκάλων ἡμῶν ῥᾳδίως ἐπιφέρειν τὴν λύσιν. Ὁ δὲ, ἀκούων, οὐδὲ παρεδέχετο ταῦτα, ἀλλ' ἰσχυρῶς ἀντέχειτο λύσιν ζητῶν, καὶ ἀναγινώσκεσθαι ἀπαιτῶν ταῦτα. Ὡς οὖν ἀνεγινώσκοντο, καὶ φανερῶς ἐφαίνοντο δυσσεβείας πάσης μεστὰ, καὶ ἀναθεματιζόμενα συνεχῶς παρὰ τῆς θείας συνόδου, αὐτὸς καὶ τούτων λίαν ἦν ὑπερμαχῶν καὶ τῇ τούτων καταλύσει δακνόμενος. Περὶ μὲν οὖν τοῦ θειοτάτου τῆς μεταμορφώσεως φωτὸς θεομαχῶν, καὶ κτιστὸν αὐτὸ δεῖξαι βουλόμενος, πρὸς

A τοῖς ἄλλοις καὶ τοῦτο λέγει, ὅτι τοιοῦτον ἦν, οἷον τὸ φανὲν ἐν τῷ προσώπῳ τοῦ Μωσέως. Καὶ γὰρ, φησὶ, τὴν δόξαν ἐκείνην καὶ τὴν λαμπρότητα καταργουμένην καὶ παυομένην φησὶν ὁ Παῦλος. Περὶ ἧς καὶ ἐρωτηθεὶς παρὰ τῆς ἡμῶν μετριότητος εἰπεῖν ὅ τι φρονεῖ, Ἐγένετο, φησὶ, καὶ ἐφάνη ἐν τῷ προσώπῳ τοῦ Μωσέως, εἶτα ἔπαυσε, καὶ διελύθη καὶ εἰς τὸ μὴ ὂν ἐχώρησε, καὶ νῦν οὐκ ἔστιν οὐδέν· οἷον ἦν καὶ τὸ ἐν τῷ προσώπῳ τοῦ Χριστοῦ λάμψαν φῶς· οὐ γὰρ ὡς λαμπρότης τις ἦν, ἐνιδρυμένη τῇ οὐσίᾳ τοῦ Θεοῦ, ἀλλ' ὡς τῇ θεότητι ἀναφθὲν διὰ τῆς θείας ψυχῆς.

Πρὸς ταῦτα ἡ μετριότης ἡμῶν εἶπεν, ὡς εἰ καὶ καταργουμένην ὁ θεῖος Παῦλος ταύτην φησὶ, ἀλλ' οὐ τοιαύτην ὥστε διαλυθῆναι, καὶ εἰς τὸ μὴ ὂν χωρῆ-
B σαι. Θεία γὰρ χάρις οὖσα καὶ ἔλλαμψις, καὶ ἐνέργεια φυσικὴ καὶ παντοδυνάμου θεότητος, ἔλαμψεν ἐν τῷ Μωσῇ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸν αὐτὸν ἀτενίζειν ἄνευ παραπετάσματος· τοσοῦτον τὸ ἐκείνου κατελάμπρυνε πρόσωπον. Μένει δὲ καὶ ἔστιν εἰς τὸ διηνεκὲς παυσαμένου τοῦ προσώπου εἰς ὅπερ ἐκείνη ἐφαίνετο, ἀλλ' οὐκ ἐκείνη πέπαυται. Πέπαυται μὲν γὰρ μὴ φαινομένη ἐκεῖ, ἀλλ' οὐχ ὥστε καὶ εἰς τὸ μὴ ὂν διαλυθῆναι. Ὁ δὲ Χριστὸς οὐκ ἔξωθεν εἶχε τὴν ἄῤῥητον ἐκείνην δόξαν καὶ τὸ θειότατον φῶς. Φησὶ γὰρ ὁ Δαμασκηνὸς θεῖος Ἰωάννης, Σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος, ἐν Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται. Νῦν ἑωράθη τὰ τοῖς ἀν-
C θρωπίνοις ἀθέατα ὄμμασι, σῶμα γήϊνον θείαν ἀπαυγάζον λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζον θεότητος. Ὁ γὰρ Λόγος σὰρξ, ἡ σάρξ τε Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξέστη ἑκάτερον φύσεως. Ὢ τοῦ θαύματος! Οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου ὑπερθέου θεότητος. Καὶ πάλιν· Ἀλλὰ Μωσῆς μὲν ἔξωθεν τῆς δόξης προσγινομένης δοξάζεται, ὁ δὲ Κύριος Ἰησοῦς οὐκ ἐπίκτητον ἔσχε τὸ τῆς δόξης ὡραῖσμα, ἀλλ' ἐκ τῆς ἐμφύτου τῆς θείας δόξης λαμπρότητος. Καὶ ὁ θεῖος δὲ Χρυσόστομος ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ ἐπιστολῇ οὕτω λέγει· Ἡμεῖς δὲ πάλιν ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ
D δόξης εἰς δόξαν καθάπερ ἀπὸ Κυρίου Πνεύματος. Καὶ μετ' ὀλίγον· Τί δέ ἐστι, Τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα, σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει, πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν, πιστοὺς ὀφθαλμοὺς ἔχοντι. Ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει τῷ Πνεύματι καθαιρομένη. Καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθα τινὰ αἴγλην. Ὥσπερ γὰρ εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς, οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος, καὶ ταύτην

Digitized by Google

ἀντιπέμπει. Διὸ καί φησι, Κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης τοῦ Πνεύματος εἰς δόξαν τὴν ἡμετέραν τὴν ἐγγινομένην, καὶ τοιαύτην οἵαν εἰκὸς ἀπὸ Κυρίου Πνεύματος. Καὶ πάλιν ἀπὸ τῆς αὐτῆς ὁμιλίας· Θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην. Ἀτενίσαντας, φησὶν, εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον ἀγγέλου, ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδον ἐναστράπτουσαν αἴγλην. Ὅπερ γὰρ ὁ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτος ἐπὶ τῆς ψυχῆς περιέφερε, μᾶλλον δὲ καὶ πολλῷ πλέον. Ἔτι δὲ ἀναγινωσκομένων τῶν συγγραμμάτων αὐτοῦ, εὑρέθη λέγων, ὅτι οὐκ ἔστι τὸ φῶς τῆς μεταμορφώσεως ἐκεῖνο οὗπερ μέλλουσιν ἀπολαύσειν οἱ δίκαιοι, ἀλλὰ τοῦτό ἐστιν ὅπερ ὄψονται καὶ οἱ πονηροί. Καὶ τὸν Αὐγουστῖνον φέρει μάρτυρα δῆθεν, παρεξηγούμενος τὸ ἐκείνου ῥητὸν τὸ λέγον, ὅτι ἐπεὶ καὶ οἱ ἀγαθοὶ καὶ οἱ πονηροὶ ὄψονται τὸν κριτὴν ζώντων καὶ νεκρῶν, πόῤῥω πάσης ἀμφιβολίας. οὐκ ἂν ἄλλως αὐτὸν οἱ πονηροὶ ἰδεῖν δυνηθεῖεν, ὅτι μὴ κατὰ τὴν μορφὴν καθ' ἣν υἱὸς ἀνθρώπου ἐστίν· ὅμως μέντοι γε ἐν τῇ δόξῃ αὐτοῦ καθ' ἣν κρινεῖ, καὶ οὐκ ἐν τῇ ταπεινώσει αὐτοῦ καθ' ἣν κέκριται, καὶ ἐρωτηθεὶς πῶς νοεῖ τὸ, ἐν τῇ δόξῃ αὐτοῦ, τὴν δόξαν εἶπε τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἣν μετὰ Πατρὸς καὶ τοῦ Πνεύματος ἔχει κτιστὴν πεφυκυῖαν, ἥτις καὶ ἐν τῷ προσώπῳ τοῦ Χριστοῦ ἐφάνη ἐν τῷ ὄρει, καθ' ἣν ὄψονται αὐτὸν οἱ πονηροί. Ἀλλ' ἡ μετριότης ἡμῶν οὐχ οὕτως εἴρηκεν ἔχειν ταῦτα, ἀλλὰ τοῦτό ἐστιν ὅπερ ὁ θεῖος Αὐγουστῖνός φησιν, ὅτι οὐκ ὄψονται τὸν Κύριον οἱ πονηροὶ ἐν τῇ ταπεινώσει αὐτοῦ, ὡς κατάκριτον, ἐν ὕβρει καὶ χλεύῃ, καὶ ἀτιμίᾳ καὶ ἀδοξίᾳ, ἀλλ' ἐν τῇ δόξῃ καὶ τιμῇ αὐτοῦ, τουτέστιν ὡς κριτὴν τῶν ἁπάντων. Τοῦτο γὰρ καὶ αὐτὸς ἐπάγει λέγων, Ἐν τῇ δόξῃ αὐτοῦ καθ' ἣν κρινεῖ, καὶ οὐκ ἐν τῇ ταπεινώσει αὐτοῦ καθ' ἣν κέκριται, ἥτις δόξα οὐκ ἔστιν ἐκείνη ἡ δόξα ἡ κοινὴ τῆς τρισυποστάτου θεότητος, ἡ ἐν τῷ προσώπῳ τότε φανεῖσα τοῦ Χριστοῦ, ἀλλ' ἕτερον εἶδος τῆς αὐτοῦ δόξης, καθ' ἣν δηλονότι κριτὴς ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς. Οὐδὲ γὰρ ὁ Πατὴρ, φησὶ, κρίνει οὐδένα, ἀλλὰ τὴν πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα. Ἀλλ' ἐκεῖνος ἀσπὶς ἦν πρὸς ταῦτα βύων τὰ ὦτα τοῦ μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων τὰ θεῖα λόγια.

Πρὸς ταῦτα οὖν καὶ πρὸς τὰ ἕτερα τὰ ἀναγνωσθέντα, ἐν οἷς διαφορὰν ὅλως θείας οὐσίας καὶ θείας ἐνεργείας οὐ λέγει, ἀλλὰ καὶ πολλὰς λέγει θεότητας κτιστὰς, συκοφαντῶν καὶ τὸν ἅγιον Διονύσιον ὡς δῆθεν λέγοντα τοῦτο. Ἀπὸ τούτων οὖν πάντων, μᾶλλον δὲ ἀπὸ μόνης τῆς ἐπιγραφῆς τῶν αὐτοῦ συγγραμμάτων, ἔδει πάντως ἀποκηρῦξαι τοῦτον καὶ τῷ ἀναθέματι παραπέμψαι ὡς ἀλλότριον τῆς τοῦ Χριστοῦ Ἐκκλησίας. Ἀλλ' ἡ μετριότης ἡμῶν, καὶ ἡ περὶ αὐτὴν ἱερὰ καὶ μεγάλη σύνοδος τῇ συνήθει τῆς Ἐκκλησίας φιλανθρωπίᾳ χρώμενοι, καὶ ἔτι τὴν ἐπιστροφὴν αὐτοῦ ἀναμένοντες, καὶ καιρὸν ἀπολογίας αὐτῷ δεδώκαμεν, καὶ τοιαῦτα λέγειν ἐν τῇ συνόδῳ παρήκαμεν. Προτροπῇ δὲ τῆς ἡμῶν μετριότητος

A ἀνεγνώσθησαν καὶ αἱ παρὰ τῶν Ἁγιορειτῶν ἀναφοραὶ περὶ τούτου, καὶ τὸ τούτου πρὸς τὸν ὁσιώτατον καθηγούμενον Πιττάκιον, μυρίας ἔχον τὰς ἀτοπίας δι' οἰκειοχείρων αὐτοῦ γραμμάτων. Ἔλεγε γὰρ, Τυγχάνω ἀναδοχῆς παρὰ τῶν βασιλέων καὶ τοῦ πατριάρχου, πιστευσάντων ἀδικίαν εἶναι καὶ συκοφαντίαν καὶ φθόνον τὰ εἰς ἐμὲ γεγενημένα, ἐκεῖνα λέγω ἅπερ δικαίως ἔπαθεν ἐκεῖ παρὰ τῶν λαυριωτῶν δι' ἅπερ ἔλεγε.

Περὶ ὧν ἤκουε παρ' ἐμοῦ ὅτι κάκιστα εἰσὶ, καὶ αὐτὸς δῆθεν ὑπετίθει ταῦτα τῇ Ἐκκλησίᾳ. Καὶ μετ' ὀλίγα· Καὶ περὶ μὲν τοῦ τόμου καὶ τῶν ἐγκλημάτων τῶν λαυριωτῶν οὕτως ἀπηλλάγημεν ῥᾳδίως· πολλὰ δὲ ἀξιώσαντός γε τοῦ πατριάρχου ἵνα εἴπωμεν εἴ τι ἔχομεν ἐπιλαμβάνεσθαι τῶν συγγραμμάτων τοῦ B Παλαμᾶ, ἔδωκα αὐτῷ πραγματείας δύο, καὶ ἔχει ταύτας ἤδη μῆνας δύο, οὔπω δὲ ἀπελογήσατο τίποτε. Πλὴν καὶ οὕτως ἡμᾶς τῆς ἄκρας ἀξιοῖ τιμῆς καὶ ἀγάπης, καὶ θαυμάζει ἐπὶ σοφίᾳ, καὶ δείκνυσι τὰ συγγράμματα τοῖς ἐν τῇ Ἐκκλησίᾳ σοφοῖς, ζητῶν κοινὴν συνηγορίαν τῶν δογμάτων τοῦ Παλαμᾶ. Διὸ καὶ ἀναθεματίζουσι καὶ ἀφορίζουσι πάντας τοὺς ἐξεγείραντάς με εἰς τὸ συγγράφεσθαι, ὡς δι' αὐτοὺς εἰς τοὺς ἐσχάτους κινδύνους τῆς Ἐκκλησίας ἐλθούσης· ἐμὲ δὲ ἀξιοῦσι λῦσαι τὴν ἀντιλογίαν, καὶ χαλεπῶν ὀχλήσεων ἀπαλλάξαι τὴν Ἐκκλησίαν. Εἰ δ' καὶ μὴ ἐνδιδόντος ἐμοῦ, κοινὸν ἔρανον ποιησάμενοι . . . . . δεδώκασί μοι κατὰ τὸ παρὸν . . . . ἵνα καρτερήσω ἐνταῦθα τὸν χειμῶνα. πολλὰ πρὸς τοῦτο C ἀξιώσαντος τοῦ βασιλέως τοῦ Καντακουζηνοῦ καὶ τοῦ πατριάρχου, ἵνα μετὰ ἀνέσεως εὐπορήσωσιν ἀπολογίας, μέχρι γὰρ τούτου με ἀξιοῦσι προσκαρτερῆσαι· ἔλεγεν αὐτολεξεὶ ἐναντία πάντως ὧν ἔλεγε πρὸς ἐμὲ, καὶ ψευδῆ καὶ ἀνυπόστατα Ἐμέλλομεν οὖν καὶ πλείονα προσθήσειν, ἀλλ' ἀπὸ τούτων φανερῶς ὄντων ψευδῶν καὶ ἀνυποστάτων, καὶ ἐχόντων τὸν ἔλεγχον, δεῖ καὶ τὰ ἕτερα νοεῖν. Παρακατιὼν πάλιν φησίν· Σὺ δὲ λέγεις καὶ κατηγορεῖς μου διὰ τὰ Ἀκινδύνου, καὶ πιστεύω ὅτι ὁ πατριάρχης ἔνι πολλὰ μεγαλώτερος παρὰ τὴν ἁγιωσύνην σου, καὶ ἀντιλέγω αὐτῷ καὶ νῦν ἐγγράφως, καὶ πάλιν οὐδὲν με ἰσχαίνεται οὕτως, ὡς παριστᾷς σὺ τὸν ἑαυτόν σου, ψευδῆ καὶ ἐν τούτῳ λέγων· μᾶλλον μὲν οὖν ἔδωκέ μοι τὰ συγγράμματα αὐτοῦ, ὡς ἔλεγεν ἵνα D κατακαυθῶσι. Καὶ μετ' ὀλίγα· Ἐμὲ κατηγορήσατε, καὶ τέως μέχρι τῆς σήμερόν εἰμι ἀκαταδίκαστο, ὑμεῖς δὲ κατηγορεῖσθε εἰς αἱρέσεις ἀδιηγήτους· τὴν γὰρ ὁμολογίαν ἣν ἀπῃτήσατε τὸν ἀδελφόν μου, ἔφερον τοῖς ἐνταῦθα, καὶ εὑρέθη παρὰ τῇ συνόδῳ μόνον ὅτι ἔχει τέσσαρας αἱρέσεις· μίαν, ὅτι ἔλεγεν ὅτι γίνονται οἱ ἄνθρωποι πράγματι καὶ ἀληθείᾳ θεοὶ, ὥσπερ ὁ Χριστὸς πράγματι καὶ ἀληθείᾳ ἄνθρωπος. Δευτέραν αἵρεσιν περιεῖχεν, ὅτι ἔλεγε πράγματι καὶ ἀληθείᾳ ἑωρακέναι τοὺς προφήτας τὸν Θεὸν, ἀλλ' οὐ τυπικῶς καὶ συμβολικῶς. Εἰ γὰρ ὁ Θεὸς ὤφθη τοῖς ἀνθρώποις, ὡς πάρδαλις, καὶ λέων, καὶ ἀρνίον, καὶ μαργαρίτης, καὶ καθήμενος, καὶ παλαιὸς ἡμερῶν, καὶ ταῦτα οὐκ ἦσαν τύποι καὶ σύμβολα, ἀλλὰ πράγματι καὶ ἀληθείᾳ ἔνι ὁ Θεὸς

Digitized by Google

ταῦτα, τί ἀθλιώτερον τῆς πίστεως τῶν Χριστιανῶν; Τρίτον ὅτι τὸ ἐν Θαβωρίῳ φῶς οὐκ ἔστι κτιστὸν καὶ ἄκτιστον, θνητὸν καὶ ἀθάνατον, πρόσκαιρον καὶ αἰώνιον. Ἀγνοεῖτε γὰρ, ὡς φαίνεται, τὸ διττὸν τῆς φύσεως τοῦ Χριστοῦ καὶ τὸ ἑνιαῖον τῆς ὑποστάσεως. Ἐν δὲ τῷ τετάρτῳ ὅτε ἐλέγετε ὁρᾶσθαι τὴν ἐνέργειαν τοῦ Θεοῦ ὡς φῶς, πάντες ἐγέλασαν. Ἐπεὶ οὐδὲ ἐνόησαν τί λέγετε, ἀλλ' ἦν ἄγροικον τὸ πρᾶγμα καὶ ἀνόητον. Διὰ ταῦτα ὑβρίζεται, δέσποτά μου, ἡ ἁγιωσύνη σου ὡς αἱρετικὸς καὶ τὸ μοναστήριον ὅλον οὐ δι' ἐμὲ, καὶ βόθρον ὃν ὠρύξατε ἐμοὶ, ἐνεπέσετε ὑμεῖς. Ταῦτα δὲ πάντα κατηγόρησε τῆς θείας συνόδου ψευδῶς. Οὔτε γὰρ εἶδεν αὐτὸς ποτὲ συνηγμένην αὐτὴν, οὔτε ἤκουσε τοιαῦτα ποτὲ παρ' αὐτῆς, εἰ μήπου σύνοδον λέγει τοὺς ὁμόφρονας καὶ ὁμοδόξους αὐτῷ. Ἐκεῖνοι γὰρ ἴσως εἶπον ταῦτα, οἱ καὶ χαίροντες ἀεὶ ἐν τοῖς τοιούτοις, καὶ ταῦτα λέγοντες· ἡμεῖς δὲ τοὺς ἐν τῷ ἁγίῳ ὄρει κατοικοῦντας ὀρθοδόξους ἔχομεν καὶ τῶν ὀρθῶν δογμάτων προασπιστὰς καὶ τῶν αἱρετικῶν διώκτας, καὶ ὥσπερ δὲ λέγει τὴν ὁμολογίαν ἔχειν ἐκείνην, οὐχ ὡς ἐκείνη διέξεισι, προὔθηκε ταῦτα. Ἀλλὰ καὶ ταῦτα κακῶς ἐκείνης ἀπέσπασε. Ἀναγνωσθεῖσα γὰρ ἐπὶ τῆς ἱερᾶς συνόδου καὶ ὀρθόδοξος εὑρέθη καὶ μηδὲν ἄξιον κατηγορίας ἔχουσα. Ἃ γὰρ κατηγορεῖ ταύτης, ἔχουσιν ἐπὶ λέξεως οὕτω· Τοὺς τὴν τοῦ Θεοῦ μέθεξιν πράγματι καὶ ἀληθείᾳ γίνεσθαι δοξάζοντας ἐν Πνεύματι, δι' ἣν προφῆται, καὶ Θεοῦ παῖδες, καὶ θεοὶ χρηματίζουσιν ἄνθρωποι καθώσπερ καὶ Θεὸς πράγματι καὶ ἀληθείᾳ γέγονεν ἄνθρωπος, στέργω καὶ ἀποδέχομαι. Τοὺς δὲ κατὰ σχέσιν καὶ μίμησιν, ἀναλογίαν τε μόνον τῆς ἐν τοῖς κτίσμασι θεωρουμένης σοφίας τὸν Θεὸν ὡς ἐν αἰνίγματι νοεῖσθαί τε καὶ φαντάζεσθαι λέγοντας, ἀναθεματίζω. Ἔτι τοὺς θείᾳ χάριτι καὶ διὰ τῆς τῶν ἐντολῶν ἐργασίας καθαίρεσθαι λέγοντας τὴν τοῦ ἀνθρώπου καρδίαν, καὶ οὕτω τὴν Θεοῦ ἐνοίκησιν κατ' ἐνέργειαν ἐν ταύτῃ γίνεσθαι, καὶ ὡς φῶς τοῖς ἀξίοις ὁρᾶσθαι, ὃ δὴ φῶς ἡ βασιλεία οὐρανῶν, ἔλλαμψίς τε θεία καλεῖται, στέργω, καὶ ἀποδέχομαι. Τοὺς δὲ διαλοιδορουμένους καὶ κωμῳδοῦντας τούτους ὡς ἐνθουσιῶντας καὶ ὀμφαλοψύχους, καὶ καινοῦ φωτὸς λατρευτὰς ἀναθεματίζω. Ὅτι δοξάζω πράγματι καὶ ἀληθείᾳ γεγονέναι τὰς κατὰ καιρὸν ἐν τοῖς ἁγίοις γενομένας ὀπτασίας ἐν Πνεύματι· οἷον τὴν τοῦ Ἡσαΐου, τὴν τοῦ Ἀββακοὺμ, καὶ τὴν τοῦ θεσπεσίου Παύλου ἐν τῇ ὁδῷ ἀληθινὴν ἔλλαμψιν, τοὺς δὲ κατὰ φαντασίαν ταύτας γεγονέναι λέγοντας ἀναθεματίζω. Ἔτι πιστεύω καὶ δοξάζω τὸ ἐν Θαβωρίῳ τῆς τοῦ Χριστοῦ μεταμορφώσεως φῶς ἄκτιστον εἶναι καὶ ἀΐδιον, ἄναρχόν τε καὶ ἀτελεύτητον θεότητα, φυσικὴν ἀκτῖνα, οὐσιώδη καὶ θείαν ἐνέργειαν, ἔλλαμψίν τε καὶ λαμπρότητα καὶ κάλλος ἐράσμιον τῆς τοῦ Θεοῦ Λόγου θεότητος. Τοὺς δὲ λέγοντας αὐτὸ κτιστὸν καὶ ἄκτιστον, ὁρατὸν καὶ ἀόρατον, θνητὸν καὶ ἀθάνατον, ἔτι τε σύμβολον αἰσθητὸν, φάσμα τε καὶ ἴνδαλμα νοήσεων ἀσθενέστερον, ἀναθεματίζω. Περὶ τούτου οὖν τοῦ θείου φωτὸς ἐρωτηθεὶς ὁ Πρόχορος, πῶς τὸ αὐτὸ καὶ ἓν ὂν, κτιστὸν καὶ ἄκτιστον λέγει, Ἐπειδὴ καὶ ὁ Χριστὸς, εἶπεν, ἄκτιστός ἐστι καὶ κτιστός. Ὥσπερ γὰρ ἐκεῖνος διπλοῦς ὑπάρχων, Θεὸς καὶ ἄνθρωπος δηλαδὴ, ὡς μὲν Θεὸς ἄκτιστός ἐστιν, ὡς δὲ ἄνθρωπος κτιστός· οὕτω καὶ τὸ φῶς ἐκεῖνο τὸ λάμψαν ἀπὸ τοῦ Χριστοῦ κτιστοῦ καὶ ἀκτίστου πεφυκότος κτιστὸν καὶ ἄκτιστον ἂν εἴη.

Ἀλλ' ὁ Χριστὸς, εἴρηκεν ἡ μετριότης ἡμῶν, σύνθετός ἐστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος, καὶ διὰ τοῦτο σωζομένων τῶν ἑκατέρων ἰδιωμάτων, κτιστός ἐστι καὶ ἄκτιστος· τὸ δὲ φῶς ἐκεῖνο ἓν ὂν, καὶ τῆς τοῦ Χριστοῦ θεότητος, μᾶλλον δὲ τῆς τρισυποστάτου θεότητος αἴγλη καὶ ἔλλαμψις καὶ οὐ τῆς σαρκὸς, οὐδὲ γὰρ ἡ σὰρξ αὐτὴ καθ' ἑαυτὴν ἔχει φῶς, πῶς δυνατὸν τὸ ἓν καὶ ἄκτιστον εἶναι καὶ κτιστόν; Πρὸς ἅπερ ἀντιλέγων ἐκεῖνος, Ἀλλ' ἐγὼ, φησὶ, φῶς αὐτὸν νοῶ τὸν Χριστὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ μετὰ τοῦ καθ' ἡμᾶς προσλήμματος, καὶ διὰ τοῦτο καὶ ἄκτιστον αὐτὸν λέγω καὶ κτιστόν. Ἡ δὲ μετριότης ἡμῶν, Λοιπὸν, εἶπεν, ἐν τοῖς σοῖς συγγράμμασι τοῖς πρὸ ὀλίγου ἀναγινωσκομένοις, κτιστὸν μόνον κατασκευάζων εἶναι τὸ φῶς ἐκεῖνο, αὐτὸν τὸν Χριστὸν τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, τὸν δι' ἡμᾶς ἄνθρωπον χρηματίσαντα, ἔλεγες εἶναι κτιστὸν μόνον κατὰ τὰς σὰς ὑπολήψεις, καὶ οὐ κτιστὸν καὶ ἄκτιστον, καὶ διατί λοιπὸν Ἄρειον μόνον ἐλαύνομεν τὰ αὐτὰ καὶ σοῦ βλασφημοῦντος ἐκείνῳ, μᾶλλον δὲ καὶ πολλῷ χείρω καὶ ἀτοπώτερα; οὐδὲ γὰρ ἔχεις ἀντιλέγειν ὅτι τοῦτο οὐκ εἶπας· αὐτὰ γὰρ τὰ συγγράμματα φανερῶς δεικνύουσι τοῦτο. Ὁ δὲ πρὸς ταῦτα οὐδὲν ἀπεκρίνατο. Οὐδὲ γὰρ ἀκούειν ἤθελε τοῦ θείου Πατρὸς Ἰωάννου τοῦ Δαμασκηνοῦ, διαῤῥήδην λέγοντος, ὅτι ἔμπροσθεν τῶν μαθητῶν μεταμορφοῦται ὁ ἀεὶ ὡσαύτως δεδοξασμένος καὶ λάμπων ἀστραπῇ θεότητος· ἀνάρχως μὲν γὰρ ἐκ τοῦ Πατρὸς γεννηθεὶς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος· καὶ ἡ τῆς θεότητος δόξα καὶ δόξα τοῦ σώματος γίνεται· καὶ αὖθις· Καὶ ἔλλαμψε, φησὶν, ὁ ἥλιος· οὐχ ὅτι μὴ τοῦ ἡλίου λαμπρότερον, ἀμήχανον γὰρ ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι, ἀλλ' ὅσον ἐχώρουν καθορᾷν οἱ βλέποντες· οὐδὲ τοῦ μεγάλου Ἀθανασίου λέγοντος, Οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ. Ὅθεν πρόδηλον ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν ἀποστόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν αὐτοῦ.

Ἐπεὶ δὲ πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔλεγεν ἐν τῷ πρὸς τὸν ὁσιώτατον καθηγούμενον Πιττακίῳ αὐτοῦ περὶ τοῦ Θεσσαλονίκης, τοῦ ἱεροῦ δηλαδὴ Γρηγορίου, ὅτι δῆθεν οὐκ ἔγραψεν ἡ μετριότης ἡμῶν πρὸς τὸ ἅγιον ὄρος τὸν Ἄθω ἵνα ἑορτάζηται, οὐδὲ γὰρ αὐτὴ ἑορτάζει τοῦτον ἐνταῦθα, διὸ καὶ οὐκ ἀφῆκε κριθῆναι τοῦτον συνοδικῶς μετὰ τῶν ἀποσταλέντων ἐκεῖθεν, τοῦ τε τιμιωτάτου ἱερομονάχου κὺρ Μαλαχίου, καὶ τοῦ τιμιωτάτου μοναχοῦ κὺρ Ἰὼβ, περιποιουμένη τὴν τῆς ἱερᾶς λαύρας τιμὴν, ἵνα μὴ ἀτιμωθῇ ὡς ἔξω τῶν κανόνων πράττουσα, διὰ ταῦτα δέον ἔκρινεν ἡ μετριότης ἡμῶν εἰπεῖν τι περὶ τούτου.

Εἴρηκεν οὖν, ὅτι τὸν ἅγιον ἐκεῖνον ἐγὼ καὶ θεο-

Digitized by Google

φόρον ἄνδρα, τὸν ἱερὸν λέγω Γρηγόριον, καὶ ἀπὸ τῆς αὐτοῦ πολιτείας τῆς θαυμαστῆς ἐκείνης καὶ ἰσαγγέλου, καὶ τῶν μεγάλων ἀγώνων οὓς ἠγωνίσατο κατά τε τῶν παθῶν καὶ τῶν δαιμόνων, ὅσα ἐμὲ εἰδέναι τὸν ἐκείνου πεπειραμένον μάλιστα, ἔτι τε καὶ ἀφ' ὧν ὑπὲρ τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας γενναίως ἠγωνίσατο, καὶ ταύτης προέστη, καὶ συγγράμμασι καὶ λόγοις καὶ διαλέξεσι καὶ παντὶ τῷ δυναμένῳ στηρίξας αὐτήν, ἅγιον ἔχω τοῦτον, καὶ τῶν μεγάλων ἐκείνων διδασκάλων τῆς Ἐκκλησίας τῶν θεοφόρων Πατέρων κατ' οὐδὲν ἐλλείποντα. Καὶ μαρτυροῦσι τῷ λόγῳ τὰ ἐμὰ πρὸς ἐκεῖνον ἐγκώμια, διά τε κανόνων καὶ ὕμνων ἐμοὶ πονηθέντα, καὶ ὅσα ὁ παρ' ἐμοῦ συγγραφεὶς ἐκείνου βίος, καί τινων ἐγκωμίων μέρη. Μάλιστα δὲ ἀκριβῶς πεπληροφόρημαι τοῦτο καὶ στέργω καὶ τιμῶ τοῦτον ὡς ἅγιον ἀπὸ τῶν θαυμάτων αὐτοῦ, ἃ μετὰ τὴν ἐνθένδε πρὸς Θεὸν ἐκδημίαν εἰργάσατο, ἰαμάτων πηγὴν τὸν ἴδιον ἀναδείξας τάφον. Ἅπερ πληροφορηθῆναι βουλόμενος ἐγώ, οὐχ ὡς ἀμφιβάλλων περὶ τούτων, οἶδα γὰρ τὸν ἐκείνου βίον ἄξιον ὄντα τοιαῦτα ποιεῖν, ἀλλὰ διὰ τοὺς ἀμφιβάλλοντας καὶ τοὺς ἀπιστοῦντας αὐτοῖς, ἐμήνυσα τῷ ἐμῷ ἀδελφῷ τῷ μεγάλῳ οἰκονόμῳ τῆς Ἐκκλησίας ἐκείνης, ἵνα ἐξετάσῃ καὶ εὕρῃ τινὰ τῶν θαυμάτων ἐκείνου, καὶ γράψῃ μοι ταῦτα. Ὁ δὲ οὐ πρότερον ἠβουλήθη τοῦτο ποιῆσαι, πρὶν ἢ τοὺς ἰαθέντας αὐτούς, καὶ τῶν θαυμάτων ἀπολαύσαντας ἀμέσως θεάσηται, καὶ λάβῃ παρ' αὐτῶν μαρτυρίαν, ὅτι ἀληθῆ εἰσι τὰ λεγόμενα, καὶ οὕτως ἔγραψε πρός με, καὶ ἀπέστειλε ταῦτα, λαβὼν ἀξιοπίστους μάρτυρας. Ἀλλὰ καὶ ὁ πρὸ ἐμοῦ πατριάρχης ἀκούων ταῦτα, ἔγραψε πρὸς τοὺς ἐπισκόπους τῆς Θεσσαλονίκης, καὶ πρὸς τοὺς ἐκκλησιαστικούς, ἵνα συναχθέντες ὁμοῦ εὕρωσι τὰ ὁμολογούμενα καὶ προφανῆ θαύματα καὶ γράψωσι, καὶ ὑπογράψωσι, καὶ ἀποστείλωσι πρὸς αὐτόν, οἵτινες καὶ αὐτοὶ ὁμοίως πεποιήκασι, συναχθέντες εἰδήσει καὶ ὁρισμῷ καὶ τῆς μακαρίτιδος ἐκείνης καὶ ἁγίας δεσποίνης τῆς μητρὸς τοῦ κρατίστου καὶ ἁγίου ἡμῶν αὐτοκράτορος, καὶ τοὺς ἰαθέντας αὐτοὺς προσκαλούμενοι, καὶ μετ' ἀσφαλείας λαμβάνοντες παρ' αὐτῶν τὴν μαρτυρίαν, ὅτι ἀληθῆ εἰσι τὰ περὶ τούτων λεγόμενα. Οἳ καὶ γράψαντες ταῦτα καὶ ὑπογράψαντες, πρὸς τὸν πρὸ ἐμοῦ πατριάρχην ἀπέστειλαν, ὡς καὶ τὰ γράμματα μαρτυρεῖ παρ' ἡμῖν ἀρτίως. Διὰ τοῦτο καὶ ἐγὼ ἐν τῷ μοναστηρίῳ τοῦ Ἀκαταλήπτου καθήμενος, καὶ ἰδιάζων, περιφανῆ τινα καὶ μεγάλην ἑορτὴν ἐπετέλουν τῷ ἁγίῳ τούτῳ, καὶ τοὺς τῆς μεγάλης Ἐκκλησίας ταύτης μελῳδοὺς ἔχων μετ' ἐμοῦ, καὶ πολλοὺς τῶν τοῦ κλήρου, καὶ νῦν πάλιν ἐπανελθὼν εἰς τὸν ὑψηλὸν τοῦτον θρόνον, ἐπεὶ οἱ λαυριῶται ἔγραψαν καὶ ἀνέφερον ἡμῖν περὶ τούτου, ἔγραψα πρὸς ἐκείνους, ἵνα πᾶς ὁ βουλόμενος ἑορτάζῃ τούτῳ κατ' ἰδίαν. Καὶ νῦν τοῦτο λέγω, ὅτι πᾶς ὁ θέλων ἑορτὴν ἐπιτελεῖν τούτῳ ἀκωλύτως ταύτην ποιείτω. Ἐν τῇ μεγάλῃ δὲ Ἐκκλησίᾳ οὐκ ἐποιοῦμεν τοῦτο, καὶ καθόλου ἐν ταῖς λοιπαῖς ἐκκλησίαις πανταχοῦ, ὅτι οὔπω περὶ τούτου τῇ ἱερᾷ συνόδῳ ἐκοινωσάμην. Νῦν δὲ ἀπόφασιν δεδώκαμεν καὶ γνώμην κοινήν, ἵνα

A ἑορτάζηται. Τοῦτο δὲ σύνηθές ἐστι γινόμενον ἐν τοῖς ἁγίοις οὓς ὁ Θεὸς δοξάζει· οἷον γέγονε καὶ ἐπὶ τῷ ἁγίῳ Ἀθανασίῳ τῷ οἰκουμενικῷ πατριάρχῃ. Ἐπεὶ γὰρ ὁ Θεὸς ἐκεῖνον ἐδόξασε διὰ τῶν θαυμάτων, καὶ μήπω τῆς Ἐκκλησίας ἀναστηλωσάσης αὐτόν, ἑορτὴν ἐπετέλουν περιφανῆ οἱ τοῦ μοναστηρίου αὐτοῦ μοναχοί, καὶ τὴν ἱερὰν αὐτοῦ εἰκόνα ἔφερον ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ κατὰ Κυριακὴν τῆς ὀρθοδοξίας, καὶ ἐν ταῖς λοιπαῖς λιτανείαις διὰ μέσης τῆς πόλεως ἐπὶ χρόνοις πολλοῖς. ὕστερον δὲ τῆς ἱερᾶς συνόδου τοῦτο εἰπούσης, καὶ ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ ἑορτάζεται, καὶ ἐπὶ ἄλλοις δὲ πολλοῖς γέγονεν ἁγίοις ἀνδράσι καὶ γυναιξίν, ὧν τὰ τίμια λείψανα κεῖνται ἐν πολλοῖς τῶν κατὰ τὴν βασιλίδα ταύτην τῶν πόλεων εὐαγῶν μοναστηρίων, καὶ ἑορτάζονται παρὰ τοῦ B βουλομένου παντός, μήπω τῆς Ἐκκλησίας εἰπούσης τοῦτο οὐκ ἔτι. Τοιοῦτον οὖν γέγονε καὶ ἐπὶ τοῦ ἱεροῦ Γρηγορίου· πῶς γὰρ οὐκ ἂν ἔχοιμεν αὐτὸν ἅγιον καὶ θεοφόρον ὃν ὁ Θεὸς ἐδόξασεν οὕτω διὰ θαυμάτων, ὡς καὶ πολλοὺς ἑορτάζειν τούτῳ περιφανῶς ἐν ἑτέραις πόλεσι, καὶ μάλιστα ἐν τῇ Θεσσαλονίκῃ, καὶ ναὸν ἀνεγεῖραί τινα ἐπὶ τῷ τούτου ὀνόματι ἐν τῇ Καστορίᾳ, καὶ ἀλλαχοῦ πολλοὺς ἑορτὰς ἐκτελεῖν πανδήμους αὐτῷ; Ἅγιον οὖν ἔχω τοῦτον, καὶ τῆς Ἐκκλησίας διδάσκαλον, καὶ τῶν μεγάλων ἐκείνων θεοφόρων Πατέρων καὶ διδασκάλων ἕνα, ἅπερ ἡ θεία σύνοδος καὶ ἀπεδέξατο καὶ ἐπῄνεσεν. Οὕτως οὖν προβάσης τῆς ὑποθέσεως καὶ ὑπὲρ τῶν αὐτοῦ συγγραμμάτων ἐνστάντος πολλὰ τοῦ Προχόρου, καὶ C ἐπεκδικοῦντος αὐτὰ κατὰ κράτος, καὶ πολλὰ φιλονεικήσαντος, ἀνάγκην ἔσχεν ἡ ἱερὰ σύνοδος ἀποφήνασθαι τίνα γνώμην ἔχει περὶ αὐτοῦ. Καὶ ἐρωτηθέντες ἕκαστος τῶν ἱερωτάτων μητροπολιτῶν, καὶ τῶν θεοφιλεστάτων ἐπισκόπων, πάντες εἶπον, ὅτι ἐπεὶ τὰ αὐτοῦ συγγράμματα, καὶ αὐτὸς δὲ οὗτος παρὼν φαίνεται πολλὰς δυσσεβείας καὶ παρανομίας ἔχων, καὶ φρονῶν, καὶ λέγων, καὶ συγγραφόμενος, καὶ μὴ μόνον ἑπόμενος ταῖς τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου πονηροτάταις δόξαις, ἀλλὰ καὶ ἕτερα, καὶ Πατήρ, καὶ ἐφευρετὴς πολλῶν αἱρέσεων γεγονώς, εἰ μὲν μεταμεληθείη γνησίως, ἀναθεματίσας τὰ ἑαυτοῦ συγγράμματα, καὶ ἕτερα γράψας ὑπὲρ τῆς ὀρθῆς ἡμῶν πίστεως, δεχόμεθα αὐτὸν οὐχ ὡς ἱερέα, ἐπεὶ προστάτης ἐστὶ καὶ ἐφευρετὴς πολλῶν ἀτόπων D αἱρέσεων, ἀλλ' ἁπλῶς ὡς Χριστιανόν· ἀμεταμέλητον δὲ τυγχάνοντα καὶ ἀδιόρθωτον, καὶ καθῃρημένον αὐτὸν ἔχομεν πάσης ἱεροπραξίας, καὶ τῷ ἀναθέματι καθυποβάλλομεν, κατὰ τὴν ἐπὶ τούτοις τοῦ συνοδικοῦ τόμου διάγνωσιν καὶ ἀπόφασιν. Πολλῷ γὰρ χείρω καὶ ἀτοπώτερα φαίνεται νοσῶν τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ὅσῳ καὶ τὰ οἰκεῖα συγγράμματα αὐτὸς ἀφ' ἑαυτοῦ φέρων ἔδωκε τῇ Ἐκκλησίᾳ, οὐχ ὥστε καταλυθῆναι παρ' αὐτῆς ἢ στερχθῆναι, ψευδῶς γὰρ ἔλεγε τοῦτο καὶ δολίως, ἀλλ' ἀναισχυντῶν οὕτω κατὰ τῆς Ἐκκλησίας, καὶ διὰ τοῦτο μᾶλλον πλείονος ὀφείλει πειραθῆναι τῆς δίκης. Ἐπὶ τούτοις ἅπασιν ἡ μετριότης ἡμῶν, τὸ κῦρος τῆς ἀποφάσεως τῆς ἱερᾶς συνόδου ἐπαγαγεῖν ὀφείλουσα, τὰ αὐτὰ μὲν ἐφρόνει καὶ τότε κατ' αὐτοῦ καὶ αὐτή, καὶ ἔλεγεν·

Digitized by Google

ἔτι δὲ τὴν ἐπιστροφὴν αὐτοῦ καὶ διόρθωσιν βουλομένη, ἐπεὶ ἐρωτηθεὶς οὗτος παρ' αὐτῆς, τί λέγει πρὸς τὰ παρὰ τῆς ἱερᾶς ἀποφανέντα συνόδου, ἐξῃτήσατο μιᾶς ὑπέρθεσιν ἡμέρας, ὥστε μετὰ σκέψεως ἀπολογίαν τῇ ἐπαύριον δοῦναι, πρόφασιν τοῦτο εἰπὼν, ἵνα τὴν σύνοδον ἐκφύγῃ, τότε μὲν τέως τὴν ἑαυτῆς οὐκ ἀπεφήνατο γνώμην, ἀλλ' ἀπελθόντος ἐκείνου, πλατύτερον ὡμίλησε τῇ συνόδῳ περὶ τῆς ὀρθῆς ἡμῶν πίστεως, καὶ τῶν κακίστων ἐκείνου συγγραμμάτων· ὅτε καὶ περὶ ὧν λέγει ὅτι οὐκ ἐξ ἀποκαλύψεως ἔχομεν τὴν πίστιν, εἴρηκεν ἡ θεία σύνοδος, ὅτι Ἡμεῖς μὲν οὐκ ἀπεκαλύφθημεν τὴν πίστιν, ἀλλὰ μαθόντες ἔχομεν αὐτὴν παρὰ τῶν θείων Πατέρων καὶ διδασκάλων ἡμῶν, ἐχόντων αὐτὴν ἐξ ἀποκαλύψεως, καὶ διὰ ταύτης ἐλπίζομεν τῆς σωτηρίας τυχεῖν. Περὶ μέντοι τῶν Ἀριστοτελικῶν συλλογισμῶν, ἐφ' οἷς ἐκεῖνος μέγα φρονεῖ, καὶ οὓς φῶς ὀνομάζει, οὐδὲ λόγου τινὸς οὐδὲ παρεισδύσεως αὐτοὺς ἐξιοῦμεν. Ἐπεὶ καὶ τῆς ἁγίας καὶ οἰκουμενικῆς καθημένης συνόδου, τῆς ἕκτης φημὶ, μόνον φανέντας, εὐθὺς τούτους ἀπήλασαν οἱ τὸν σύλλογον ἐκεῖνον συγκροτοῦντες θεῖοι Πατέρες, οὐδὲν κοινὸν εἰπόντες τούτοις καὶ τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς λόγοις. Τῆς δὲ θείας καὶ ἱερᾶς διαλυθείσης τότε συνόδου, ἐπεὶ κατὰ τὴν ἐπιοῦσαν ὁ Πρόχορος οὐκ ἦλθε κατὰ τὴν ὑπόσχεσιν, μετὰ τρίτην ἡμέραν μηνυθεὶς παρὰ τῆς ἡμῶν μετριότητος, διὰ τῶν ἐντιμοτάτων ἀρχόντων τῶν νοταρίων τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας, τοῦ τε κῦρ Γεωργίου τοῦ Ματζουκάτου, καὶ κῦρ Δημητρίου τοῦ Μεγιστοῦ, οὐ μόνον ἀπαντῆσαι οὐκ ἠβουλήθη, ἀλλὰ καὶ ὁμοίως ἦν ἀντιλέγων, ὥσπερ ἐν τῇ συνόδῳ, στέργων ἅπερ συνεγράψατο καὶ φρονῶν τὰ αὐτὰ, λέγων ὅτι Πᾶν ὅπερ ἂν βούλωνται ὁ πατριάρχης καὶ ἡ σύνοδος ποιῆσαι κατ' ἐμοῦ, ποιησάτωσαν. Μετὰ δὲ ταῦτα συναχθείσης πάλιν τῆς ἱερᾶς συνόδου δι' ἑτέραν ἐκκλησιαστικὴν δουλείαν, καὶ ζητηθείσης καὶ τῆς προκειμένης ὑποθέσεως, ἀνεγνώσθησαν καὶ ἅπερ κατὰ τῶν τῆς Ἐκκλησίας προστατῶν κακῶς συνεγράψατο, ἐν οἷς καπήλους αὐτοὺς καὶ μαγείρους λέγει ὁ ἀναιδὴς καὶ τὰ θεῖα λόγια καπηλεύων· ὅτε καὶ τὴν καθαίρεσιν ἐξήνεγκεν ἡ θεία σύνοδος κατ' αὐτοῦ πάλιν, ὡς καὶ τὸ πρότερον, καὶ ἀνεθεμάτισεν αὐτὸν, καὶ παῤῥησίᾳ ἐπ' ἄμβωνος ἀναθεματίσαι ἠθέλησε. Τέως δὲ κατὰ μὲν τὸ παρὸν ἀφῆκε τοῦτο, ἀπεφήνατο δὲ, ὡς εἰ μὴ μεταμεληθείη ὕστερον, τότε καὶ τοῦτο γενήσεται. Καὶ ἡ μετριότης ἡμῶν σύμφωνον ἐξήνεγκε τὴν ψῆφον καὶ τὴν ἀπόφασιν κατ' αὐτοῦ, ὡς ἀμετανοήτου καὶ ἀδιορθώτου. Καὶ ἀνεθεμάτισε καὶ αὐτὴ τοῦτον πολλάκις. Πάλιν δὲ προνοουμένη τῆς ἐκείνου μεταμελείας, ἐμήνυσεν ἐκείνῳ διὰ τοῦ τιμιωτάτου μεγάλου σκευοφύλακος τῆς καθ' ἡμᾶς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας καὶ δικαιοφύλακος, διακόνου κῦρ Γεωργίου τοῦ Περδίκη, τοῦ θεοφιλεστάτου ἐπισκόπου Βορείας Ποταμίας, καὶ τοῦ τιμιωτάτου ἱερομονάχου κῦρ Γρηγορίου. Ὁ δὲ καὶ πάλιν τὰ αὐτὰ ἀντεμήνυσεν ἅπερ καὶ πρότερον. Διὰ ταῦτα οὖν ἡ μετριότης ἡμῶν ἅμα τῇ περὶ αὐτὴν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ τῶν ἱερωτάτων μητροπολιτῶν, καὶ τῶν θεο- A φιλεστάτων ἐπισκόπων ἔχει αὐτὸν δὴ τὸν ῥηθέντα Πρόχορον, ὡς διακείμενον οὐδὲν ἔλαττον τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἀλλὰ καὶ τὰ αὐτὰ φρονοῦντα καὶ τὰ αὐτὰ συγγραφόμενον, μᾶλλον δὲ καὶ πολλῷ χείρω καὶ ἀτοπώτερα καὶ δυσσεβέστερα ἐκείνων, ἀργόν τε καὶ καθῃρημένον εἰς τὸ διηνεκὲς πάσης ἱεροπραξίας, καὶ τῷ ἀναθέματι καθυποβάλλει κατὰ τὴν τοῦ ἱεροῦ συνοδικοῦ τόμου διάταξιν, οὕτω διαγορεύουσαν κατὰ ῥῆμα· Ἀλλὰ καὶ εἴ τις ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν, ἢ λέγων, ἢ συγγραφόμενος κατὰ τοῦ ἱερωτάτου Θεσσαλονίκης, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς Ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτῇ καταδίκῃ καὶ τῷ ἀναθέματι καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις, εἴτε B τῶν λαϊκῶν. Κατὰ γοῦν τὴν τοιαύτην διάταξιν ἐπεὶ εὕρομεν αὐτὸν οὕτω διακείμενον, καθῃρημένον αὐτὸν ἔχομεν, καὶ τῷ ἀναθέματι καθυποβάλλομεν καὶ αὐτὸν, καὶ πάντας τοὺς ὁμόφρονας καὶ ὁμοδόξους αὐτῷ, καὶ τοὺς ἀκολουθήσοντας, ἢ καὶ ἀκολουθοῦντας αὐτῷ ἐφ' οἷς βλασφημεῖ, καὶ τοὺς ἐπεκδικοῦντας αὐτόν τε καὶ τὰ αὐτοῦ συγγράμματα ἀκοινωνήτους ἔχομεν.

Εἰ μέντοι μεταμεληθείη γνησίως, ὡς εἴρηται, ἀνατρέψας ἑτέρῳ συγγράμματι τὰ ἑαυτοῦ κάκιστα συγγράμματα, καὶ ἀναθεματίσας αὐτὰ, ὡς ἱερέα μὲν οὐ παραδεχόμεθα, ὡς ἀρχηγὸν καὶ ἐφευρετὴν καινῶν καὶ ἀλλοκοτάτων αἱρέσεων, ὡς Χριστιανὸν δὲ τῆς ἡμετέρας ἀξιώσομεν κοινωνίας, κατὰ τὴν καὶ ἐν τούτῳ τοῦ ἱεροῦ τόμου διάταξιν. Αὐτὸν μέντοι τὸν C ἱερὸν συνοδικὸν τόμον, ὃν ἀνατρέψαι δῆθεν ἐπιχειρήσας οὗτος, κατὰ τῆς ἑαυτοῦ μᾶλλον ἐχώρησε κεφαλῆς, στήλην ὀρθοδοξίας ἔχομεν, καὶ κανόνα ἄπταιστον τῶν ὑγιῶν τῆς ἱερᾶς ἡμῶν πίστεως δογμάτων, καὶ τῶν ἱερῶν Εὐαγγελίων καὶ τοῦ θείου συμβόλου ἀνάπτυξιν καὶ ἐξήγησιν, καὶ συναπελθεῖν εὐχόμεθα τοῖς ἐγκειμένοις αὐτῷ δόγμασι. Τοὺς μέντοι κατοικοῦντας ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ οὐ μόνον ἀνωτέρους ἔχομεν παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δὲ τῶν κατὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐρεσχελιῶν, ἀλλὰ καὶ ἀσφαλεστάτους τῆς Ἐκκλησίας καὶ τῆς εὐσεβείας προμάχους, καὶ προαγωνιστὰς, καὶ βοηθοὺς ταύτης ἀποφαινόμεθα, καὶ τῶν αἱρετικῶν διώκτας, καὶ τὰ παρ' αὐτῶν πρὸς ἡμᾶς γραφέντα καὶ ὑγιῆ καὶ ὀρθὰ κατὰ πάντα ἔχομεν. D Πρὸς τούτοις οὖν ἅπασι παρακελεύεται συνοδικῶς ἡ μετριότης ἡμῶν μηδένα φωραθῆναί ποτε ἐπεκδικεῖν αὐτὸν τὸ σύνολον, μήτε γράμματα πέμπειν αὐτῷ ἔνθα ἂν τύχοι διάγων, μήτε δέχεσθαι παρ' αὐτοῦ· ὡς εἴ τις εὑρεθείη τῶν πάντων ἐν ὁποιῳδήποτε καταλόγῳ καὶ τάξει καὶ σχήματι τυγχάνων, εἴτε τῶν ἱερωμένων καὶ μοναχῶν, εἴτε τῶν λαϊκῶν, τὰ αὐτὰ καὶ φρονῶν καὶ λέγων καὶ συγγραφόμενος τούτῳ κατὰ τῶν Ἁγιορειτῶν, μᾶλλον δὲ κατὰ τῆς Ἐκκλησίας αὐτῆς, καὶ τὰ αὐτὰ βλασφημῶν καὶ δοξάζων, ἢ καὶ ἐπεκδικῶν αὐτὸν ὅλως, καὶ παθαινόμενος τῇ αὐτοῦ καταδίκῃ οὐ διὰ τὸ φίλοικτον, ἀλλὰ διὰ τὸ συναπαχθῆναι ταῖς τούτου κακίσταις καὶ δυσσεβέσι δόξαις, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτοῦ καταδίκῃ καὶ τῷ ἀναθέματι καθυποβάλλομεν.



Digitized by Google

Αὐτὸν μέντοι τὸν πολλάκις ῥηθέντα Πρόχορον, οὕτω A διακείμενον, καὶ οὕτω βλασφημήσαντα, ὡς καὶ μέχρι τοῦτο τολμῆσαι καὶ εἰπεῖν, μὴ ὁπωσοῦν εἶναι χωρὶς ἁμαρτίας τὴν σάρκα ἣν ὁ Θεὸς Λόγος ἀνελάβετο, μηδὲ τελείαν ἐξ αὐτῆς τῆς προσλήψεως, ἀλλὰ τελειωτήν, καὶ ἀποκήρυκτον ἔχομεν καθάπαξ ἀπὸ πάσης τῆς τῶν πιστῶν Ἐκκλησίας, ὡς αἱρέσεις καινὰς καὶ ἀλλοκότους γεννήσαντα, ἃς οὐδεὶς τῶν μετὰ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν αἱρετικῶν εἰπεῖν τετόλμηκε, δι' ἃ καὶ ἀπὸ τούτων ἡ καταδίκη τούτῳ, εἰ μὴ ἄρα μεταμεληθείη ἐπεκυρώθη, καὶ τὰ συνοδικῶς ἡμῖν ἀρτίως διαγνωσθέντα τὸ ἀσφαλὲς ἐν πᾶσι καὶ βέβαιον ἕξει. Καὶ ὁ παρὼν τόμος σύμφωνος πάντως ὢν τοῖς πρὸ αὐτοῦ συνοδικοῖς τόμοις, τὸ κῦρος ἕξει καὶ βέβαιον. Καὶ ἡ ἔνθεσμος διὰ πάντων καὶ κανονικὴ αὕτη ψῆφος, γραφεῖσα καὶ ὑπογραφεῖσα ἀρτίως, ἀκίνητος εἰς αἰῶνα τὸν ἅπαντα διατηρηθήσεται τῇ πάντα δυναμένῃ ἐνεργείᾳ καὶ χάριτι τοῦ παντοδυνάμου, τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ἐν ἔτει ἑξακισχιλιοστῷ ὀκτακοσιοστῷ ἑβδομηκοστῷ ἕκτῳ, κατὰ μῆνα Ἀπρίλλιον τῆς νῦν τρεχούσης ἕκτης ἰνδικτιῶνος.

Φιλόθεος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ ταπεινὸς μετροπολίτης Καισαρείας Καππαδοκίας, πανυπέρτιμος καὶ ἔξαρχος πάσης ἀνατολῆς, Μεθόδιος.

Ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἀσίας, Θεοδώρητος.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ἑλλησπόντου Ἀρσένιος.

Ὁ ταπεινὸς μητροπολίτης Χαλκηδόνος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας, Ἰάκωβος.

Ὁ ταπεινὸς μητροπολίτης Βιζύης, καὶ τὸν τόπον ἐπέχων τοῦ Σταυρουπόλεως, Νεόφυτος.

Ὁ ταπεινὸς μητροπολίτης Βρύσεως, Θεοδώρητος.

Ὁ ταπεινὸς ἐπίσκοπος Βορείας Ποταμίας, Θεοφύλακτος.

Ὁ ταπεινὸς ἐπίσκοπος Πανίου, Ἰγνάτιος.

Ὁ ταπεινὸς ἐπίσκοπος Περιστάσεως, Διονύσιος.

Εἶχε καὶ ἀπὸ τοῦ ὄπισθεν μέρους τὰς τῶν δύο πατριαρχῶν ὑπογραφάς.

Ἡμεῖς εἰ καὶ ἐν τῇ βασιλίδι ταύτῃ τῶν πόλεων παρῆμεν, ἀλλ' ἐπεὶ διά τινα περίστασιν καὶ ἐμποδισμὸν οὐ συμπαρῆμεν τῷ παναγιωτάτῳ δεσπότῃ τῷ οἰκουμενικῷ πατριάρχῃ, τῷ ἐν ἁγίῳ Πνεύματι ποθεινοτάτῳ ἀδελφῷ ἡμῶν καὶ συλλειτουργῷ, καὶ τῇ περὶ αὐτὸν ἱερᾷ καὶ μεγάλῃ συνόδῳ, ὅτε συνοδικῶς ἐλαλοῦντο τὰ ἐνταῦθα δηλούμενα, ὕστερον τὸν παρόντα τόμον γεγονότα παρ' αὐτῶν καὶ ὑπογραφέντα ἰδόντες καὶ ἡμεῖς καὶ ἀναγνόντες ἀκριβῶς, καὶ ἰδόντες σύμφωνον ὄντα καὶ συνᾴδοντα τοῖς ὑγιαίνουσι δόγμασι τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ τῷ σεπτῷ καὶ ἱερῷ συνοδικῷ τόμῳ τῷ προγεγονότι κατὰ τῶν αἱρέσεων τοῦ Βαρλαὰμ καὶ Ἀκινδύνου, ἐν ᾧ καὶ ἡμεῖς ὑπεγράψαμεν πρότερον, στέργομεν καὶ ἡμεῖς τοῦτον κατὰ πάντα ὅσα ἔχει, καὶ B ἔχομεν αὐτὸν συνᾴδοντα τοῖς ὀρθοῖς δόγμασι τῆς Ἐκκλησίας, καὶ τῷ προτέρῳ συνοδικῷ τόμῳ, καὶ τὸν ἀποκηρυχθέντα παρ' αὐτῶν αἱρετικὸν τὸν μοναχὸν Πρόχορον τὸν Κυδώνην ἀργὸν ἔχομεν καὶ καθῃρημένον διὰ βίου παντός, καὶ εἰ μὴ μεταμεληθείη, καὶ τῷ ἀναθέματι καθυποβάλλομεν. Διὰ τοῦτο καὶ ὑπογράφομεν τὸν παρόντα τόμον δι' ἀσφάλειαν.

Νήφων ἐλέῳ Θεοῦ πάπας καὶ πατριάρχης Ἀλεξανδρείας, Πενταπόλεως, Λιβύης, Αἰθιοπίας, καὶ κριτὴς τῆς οἰκουμένης.

Λάζαρος ἐλέῳ Θεοῦ πατριάρχης Ἱεροσολύμων, ἁγίας Σιών, πάσης Παλαιστίνης, Συρίας, Ἀραβίας, πέραν Ἰορδάνου, καὶ Κανᾶ τῆς Γαλιλαίας.

Εἶχεν ἀπὸ τοῦ αὐτοῦ ὄπισθεν μέρους καὶ τῶν ἐκ- C κλησιαστικῶν ἀρχόντων ταύτας τὰς ὑπογραφάς·

Ὁ μέγας σακελλάριος τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας διδάσκαλος τῶν διδασκάλων, καὶ ἀρχιδιάκονος τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου, Θεοδώρητος ὁ Μελητινιώτης.

Ὁ μέγας σκευοφύλαξ καὶ διαιοφύλαξ διάκονος Γεώργιος ὁ Περδίκης.

Ὁ μέγας ἐκκλησιάρχης καὶ δικαιοφύλαξ πρεσβύτερος Ἰωάννης ὁ χαρτοφύλαξ.

Ὁ πρωτέκδικος τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας Θεοδόσιος πρεσβύτερος ὁ Ματζουκάτος.

Εἶχε καὶ τὰς τῶν λοιπῶν ἐκκλησιαστικῶν ἀρχόντων καθεξῆς ὑπογραφάς.

Digitized by Google

# III

## ΤΟΜΟΣ ΣΥΝΟΔΙΚΟΣ

*Ἔκθεσις (a) παρὰ τῆς θείας καὶ ἱερᾶς συνόδου τῆς συγκροτηθείσης κατὰ τῶν φρονούντων τὰ Βαρλαὰμ τε καὶ Ἀκινδύνου ἐπὶ τῆς βασιλείας τῶν εὐσεβῶν καὶ ὀρθοδόξων βασιλέων ἡμῶν Καντακουζηνοῦ καὶ Παλαιολόγου* (*).

—

Οὔτε τὴν κατὰ τῆς Ἐκκλησίας τοῦ κοινοῦ πολεμίου μανίαν ἀγνοεῖν οὐδένα νομίζομεν, οὔτε τὴν παρὰ τοῦ Σωτῆρος ῥοπὴν, δι' ἣν μυρίων ἐπιῤῥυέντων αὐτῇ τῶν δεινῶν, οὐ τῶν βελῶν περιγίνεται μόνον, ἀλλὰ καὶ λαμπρὰ διαδείκνυται. Ἀπόδειξις δὲ τῆς μὲν ἐκείνου μανίας αἷμα Θεοῦ, καὶ πάθος ἑκούσιον καὶ σταυρὸς, τῆς δὲ παρὰ τοῦ Θεοῦ συμμαχίας οἱ τὴν Ἐκκλησίαν διώκοντες μαρτύριον ἀκριβές· οἱ μὲν εἰς εὐαγγελιστὰς μετασκευασθέντες, οἱ δὲ τρόπαιον τῆς τοῦ Θεοῦ δυνάμεως οὐ δι' ὧν ἀνεστάθησαν, ἀλλὰ δι' ὧν κατέπεσον ἀνακηρυχθέντες. Ἦν ταῦτα, καὶ τὸν κοινὸν πολέμιον οὐκ ἦν ἠρεμεῖν· ἀλλ' ὥσπερ ἑαυτοῦ καταγνοὺς, ὡς μὴ προσηκόντως βουλευσαμένου, οὐκ ἔθνει μικρῷ, ὥσπερ πάλαι τοῖς Ἰουδαίοις, τὸν κατὰ τῆς Ἐκκλησίας πόλεμον ἐγχειρίζει· οἰκουμένην ὅλην πικρῶς κατ' αὐτῆς ὁπλίζει. Στρατηγοὶ δὲ αὐτῷ οἱ περὶ Διοκλητιανὸν καὶ Μαξιμῖνον καὶ Δέκιον, καὶ εἴ τις κατ' ἐκείνους· οἳ τοσοῦτον αἰσχρῶς ἀπώλοντο, ὁπόσον καὶ πολεμεῖν ἐγνώκεσαν. Τῶν μὲν γὰρ οἴχεται τὸ μνημόσυνον μετ' ἤχου· τῆς δὲ τοῦ Θεοῦ Ἐκκλησίας ὁ φθόγγος ἐξῆλθεν εἰς πᾶσαν τὴν γῆν· μαρτύριον δὲ τῆς δυνάμεως αὐτῆς ἀψευδέστατον οἱ τῶν μαρτύρων νεκροὶ, δαίμονας πάντας ἐλαύνοντες. Οὕτως ἡ τοῦ Θεοῦ δύναμις ὑπερφυὴς καὶ διὰ τῶν συμφορῶν ἀναδείκνυται.

Ἀλλ' ὁ πονηρὸς οὐδὲ παθὼν ἔγνω, καὶ ταῦτα νήπιος ὤν, ἀλλ' ἑτέραν τραπόμενος, προσβάλλει τῇ Ἐκκλησίᾳ· τοῦ μὲν γὰρ φανερῶς πολεμεῖν καὶ λίαν ἀπέγνω, πρὸς φανερὰν αἰσχύνην ἀηδῶς ἔχων· τοὺς δὲ περὶ Σαβέλλιον καὶ Ἄρειον καὶ τοὺς εἰς ἐκείνους τελοῦντας ὑποδὺς, πολυθεΐαν δῆθεν ἐκ τοῦ μέσου ποιήσασθαι βουλευόμενος, πείθει τοὺς ἀνοήτους προφάσει τῆς εἰς τὸν ἕνα τιμῆς ἥκιστα τὸν ἀληθῆ νομίζειν Θεόν. Ἀλλὰ καὶ τοῦτο αὐτὸς κατ' αὐτοῦ βουλευσάμενος ὤφθη. Τοῦ πολέμου τοῦτο λάφυρον τῆς τοῦ Θεοῦ Ἐκκλησίας, τὸ τῆς Τριάδος ὁμότιμον.

Πολλοὺς δὲ καὶ ἄλλους κύκλους ὁ πονηρὸς οὗτος A κατὰ τῆς Ἐκκλησίας περιβαλλόμενος, καὶ νῦν μὲν ὑποχωρῶν, νῦν δὲ προσβάλλων, ποτὲ μὲν δόγμασι μηδὲν ὑγιὲς ἔχουσι, ποτὲ δὲ ἡδοναῖς, αἷς ἐκεῖνος εἴωθε χαίρειν, ὧν τέλος ὁ ἀπὸ Θεοῦ χωρισμὸς, ἔσχατον τὸν Βαρλαὰμ ὑποδὺς, ἐπιστρατεύει τῇ ἀληθείᾳ. Οὗτος δὴ μοναχὸς ὢν, καὶ τῆς Καλαβρίας ὁρμώμενος, καὶ τῇ τῶν Ἑλλήνων παιδείᾳ πολὺς γεγονὼς, καὶ ὅλον ἐκείνης ἑαυτὸν ἐξαρτήσας, κατὰ τῆς ἀληθείας χωρεῖ, καὶ τῶν ἱερῶς ἀντεχομένων αὐτῆς· καὶ διθεΐαν τούτων κατηγορήσας, οὐ μόνον τὴν τρισυπόστατον καὶ πᾶσιν ἀμέθεκτον οὐσίαν τοῦ Θεοῦ ἄκτιστον εἶναι λεγόντων, ἀλλὰ καὶ τὴν ἀΐδιον καὶ θεοποιὸν καὶ τοῖς ἀξίοις μετεχομένην χάριν τοῦ Πνεύματος, συνόδου θείας ἐπὶ τούτοις συγκροτηθείσης, ἐξηλέγχθη καὶ ἀπεκηρύχθη παρὰ τῆς τοῦ B Χριστοῦ ἁγίας καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας διὰ τῶν τοῖς ἁγίοις Πατράσι θεολογικῶς συγγραφέντων, τοῦ τῆς ἀληθείας λόγου προϊσταμένων, τοῦ τε νῦν ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης τοῦ Παλαμᾶ καὶ τῶν μοναχῶν. Μετὰ μικρὸν δὲ, τῆς ἐκείνου πονηρᾶς δόξης γενόμενος ὁ Ἀκίνδυνος, μηδαμῶς τῇ τοῦ διδασκάλου καταδίκῃ σωφρονισθεὶς, μηδὲ βελτίων γενόμενος, τῶν αὐτῶν πάλιν ἐπὶ τοῖς αὐτοῖς κατηγορεῖν ἐπεχείρησεν· ἔξαρνος μὲν σὺν δόλῳ τοῦ διδασκάλου γινόμενος, καὶ τὰ δεινότατα ἐπαράμενος ἐκείνῳ, καὶ μηδέποτε τὰ αὐτὰ φρονεῖν τῷ Βαρλαὰμ ἢ λέγειν ἰσχυριζόμενος, ἵν' ἐντεῦθεν αὐτῷ λέγειν ἐξῇ· οἷς δὲ ἔλεγε, τὸν κρυπτόμενον ὑποδεικνὺς Βαρλαὰμ, καὶ τὴν αὐτὴν ἐκείνῳ πονηρὰν δόξαν καὶ φρονῶν καὶ λέγων καὶ συγγραφόμενος. C Ταύτῃ τοι καὶ συνόδου συγκροτηθείσης δευτέρας, ἧς προεκάθητο καὶ ὁ νῦν κραταιὸς καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ, ὁ κύριος Ἰωάννης Καντακουζηνὸς, ἐξηλέγχθη τὰ αὐτὰ τῷ Βαρλαὰμ καὶ φρονῶν καὶ λέγων, καὶ τῶν μοναχῶν κατηγορῶν· δι' ἃ καὶ τὴν τῷ Βαρλαὰμ ἐπεσπάσατο καταδίκην, Τόμου προβάντος συνοδικοῦ κατὰ τῶν τοῦ Βαρλαὰμ ἐκείνου βλασφημιῶν, δι' οὗ παντὸς τοῦ Χριστιανικοῦ πληρώμα-

### Fr. Combefisii notæ.

(*) Magna cautela legenda hæc omnia, hæretico plane spiritu conscripta, et mendaciis conferta, ut quod damnatum Barlaamum asserit synodus in prooemio ob Palamitarum dogma impugnatum, cum nihil de dogmate disceptatum sit in ea synodo, ut auctor est Gregoras, qui ipse in hac synodo ut Palamitarum erroris impugnator damnatur. Videatur Leo Allat. t. I *Græciæ orth.* et *De consensu utriusque Ecclesiæ*, Demetrius Cydon. et Cyparissiota.

(a) Hunc tomum edidit etiam Combefisius in *Auctario.*

Digitized by Google

τος ἀποκέκοπται, ὡς αὐτὸς οὗτος ὁ συνοδικὸς Τόμος διέξεισι, πολλῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι τὸ φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως, τὸ τοῖς συναναβᾶσιν αὐτῷ μακαρίοις μαθηταῖς καὶ ἀποστόλοις ὀφθὲν, κτιστὸν ἐπεχείρει δεικνύναι καὶ περιγραπτὸν, καὶ τῶν αἰσθητῶν φώτων πλέον ἔχον οὐδέν. Οὐχ οὗτος δὲ μόνον ὁ Βαρλαὰμ τῷ συνοδικῷ ἀποκεκήρυκται Τόμῳ, ἀλλὰ ταῖς αὐταῖς ἐπιτιμίαις ἔνοχον ἑαυτὸν καθίστησι, καὶ εἴ τις ἐκείνῳ ἑπόμενος τοῖς μοναχοῖς καὶ τῇ Ἐκκλησίᾳ Θεοῦ πολεμεῖ· φησὶ γὰρ ἐπὶ λέξεως, *Ἀλλὰ καὶ εἴ τις ἕτερός τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον κατὰ τῆς Ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων, φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἢ ὅλως ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ* B *τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς, καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν πληρώματος.*

Ἀλλ' ὡς εἶδεν ὁ ἐνεργῶν ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, κατὰ τὸ γεγραμμένον, πονηρὸς καὶ ἀρχέκακος δράκων, ὅτι κατὰ τῆς εὐσεβείας καὶ τῶν ἀσφαλῶς ἀντεχομένων αὐτῆς προσβαλὼν, ἀνδράσι χρησάμενος οὐκ ἐν ἀξιώμασιν ἐξεταζομένοις, ἥκιστα ἠδυνήθη διὰ ταῦτα τῶν κατὰ γνώμην τυχεῖν, ὑποδύεται τὸν εἰς πατριάρχας τότε τελοῦντα Ἰωάννην, σκεῦος ἄντικρυς τῆς ἐκείνου κακονοίας χωρητικόν. Ὃς ὁμοφρονήσας τῷ Ἀκινδύνῳ, καὶ πολλὰ κατὰ τῆς εὐσε- C βείας καὶ τῶν ἀντιποιουμένων αὐτῆς, μᾶλλον δὲ κατ' αὐτὸς αὐτοῦ (1) καὶ γράψας καὶ πράξας καὶ βουλευσάμενος (οὗτος γὰρ ἦν ὁ τὴν καταδίκην ἐγγράφως ἐπενεγκὼν τῷ ἀποκηρύκτῳ Βαρλαὰμ ἐκείνῳ), ἅμα καὶ τὴν ἐμφύλιον μάχην ὡς ἕρμαιον ἁρπάσας, εὗρε καὶ οὗτος τῆς ἑαυτοῦ σπουδῆς καὶ τῶν πονηρῶν βουλευμάτων ἀξίας τὰς ἀμοιβάς. Ἐξελεγχθεὶς γὰρ, καθαιρεῖται· καὶ ἀποκηρυχθέντος καὶ τούτου συνοδικῇ διαγνώσει, Τόμος ἱερὸς ἐκτίθεται τῇ συνόδῳ, ἅμα μὲν ἀποδεικνὺς ἐκεῖνον τῆς Ἀκινδύνου κακοδοξίας ἐχόμενον, ἅμα δὲ καὶ τὴν πρὸς τοὺς ὀρθοδόξους αὐτοῦ σὺν οὐδενὶ λόγῳ μανίαν. Ὁ δὲ δὴ Τόμος ὑπογραφαῖς ἀρχιερέων τριάκοντα τὸ βέβαιον ἔχων, οἷς συνεῖπε δι' ὑπογραφῆς ὕστερον καὶ ὁ ἁγιώτατος πατριάρχης Ἱεροσολύμων, οὐ τὸν Ἀκίνδυνον οὐδὲ τὸν πατριαρχεύσαντα ἐκβάλλει μόνον D

A τῆς καθολικῆς Ἐκκλησίας καὶ τοῦ τῶν Χριστιανῶν τελέως ἐκκόπτει πληρώματος· *Ἀλλὰ καὶ εἴ τις*, φησὶν, *ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθῇ ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ ἱερομονάχου κυρίου Γρηγορίου Παλαμᾶ καὶ τῶν σὺν αὐτῷ μοναχῶν, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων, καὶ τῆς Ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ καὶ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων τις εἴη, εἴτε τῶν λαϊκῶν. Αὐτὸν δὲ τοῦτον τὸν πολλάκις ῥηθέντα τιμιώτατον ἱερομόναχον κύριον Γρηγόριον τὸν Παλαμᾶν καὶ τοὺς αὐτῷ συνᾴδοντας μοναχοὺς, μηδὲν ἀπᾷδον τῶν θείων λογίων γράφοντάς τε καὶ φρονοῦντας, μετ' ἐξετάσεως καταλαβόντες ἀκριβῶς· μᾶλλον δὲ τῶν* B *θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας καὶ παραδόσεως πᾶσι τρόποις, ὡς προσῆκεν, ὑπερμαχοῦντας, οὐκ ἀνωτέρους μόνον παντάπασι τῶν κατ' αὐτῶν, μᾶλλον δὲ κατὰ τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἐρεσχελιῶν, ὡς καὶ ὁ πρώην συνοδικὸς Τόμος, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλεστάτους τῆς Ἐκκλησίας προμάχους τε καὶ προαγωνιστὰς καὶ βοηθοὺς ταύτης ἀποφαινόμεθα.* Οὕτω γὰρ καὶ ὁ ἐπὶ ταῖς συνόδοις ἐκείναις προβὰς Τόμος διέξεισι, καθάπερ οὖν ἔχει τὸ ἀσφαλές τε καὶ βέβαιον.

Ἀλλ' ὁ τοῖς ἡμετέροις κακοῖς ἐπιχαίρων ἀεὶ οὐδ' οὕτως ἡσυχίαν ἄγειν ἐγνώκει, οὐδὲ γὰρ ὀργάνων ἀπορῶν, περιῄει ταῦτα ζητῶν· ἀλλ' ἔχων ἔτι τινὰς παρὰ τὸν Βαρλαὰμ καὶ Ἀκίνδυνον ἐκείνοις φοιτή- C σαντας, καὶ τὰ ἐκείνων ἐσχάτως νοσοῦντας, δι' ἐκείνων ὑφ' ἑαυτὸν ποιεῖται τόν τε χρηματίσαντα Ἐφέσιον καὶ τὸν Γάννον, Γρηγορᾶν τε καὶ Δεξιόν· οἳ καὶ σύστημα ποιησάμενοι, καὶ ἄλλους προσεταιρισάμενοι ἀνθρωπίσκους οὐδὲν ὑγιὲς διανοηθέντας οὐδέποτε, θόρυβον ἐγείρουσι κατὰ τῆς Ἐκκλησίας Θεοῦ, σπουδὴν ποιούμενοι ἀποπλανᾷν τοὺς πολλοὺς, καὶ τῆς Ἐκκλησίας ἀποτέμνειν ἐλεεινῶς, δόξαν ἑαυτοῖς ἐκ τούτων πορίζειν οἰόμενοι. Ἐδέησε γοῦν διὰ ταῦτα σύνοδον συγκροτηθῆναι μεγάλην, τοῦ γαληνοτάτου βασιλέως ἡμῶν ἔλεον λαβόντος τῶν ἀπολλυμένων ψυχῶν. Διὸ καὶ μεταπεμφθέντες παρὰ τῆς ἐκ Θεοῦ κραταιᾶς καὶ ἁγίας βασιλείας αὐτοῦ, καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Καλλίστου, οἱ ἱερώτατοι ἀρχιερεῖς καὶ ὑπέρτιμοι (2), ὅ D τε Ἡρακλείας, ὁ Θεσσαλονίκης, ὁ Κυζίκου, ὁ Φιλαδελφείας, ὁ Χαλκηδόνος, ὁ Μελενίκου, ὁ Ἀμασείας, ὁ

## Fr. Combefisii notæ.

(1) *Μᾶλλον δὲ κατ' αὐτὸς αὐτοῦ.* Sic quasi elegantiæ causa quandoque in istis inversæ voces. Porro Joannes hic Beccus est egregius confessor, ob catholicæ fidei defensionem de processione Spiritus sancti, ab Andronico sede pulsus. Potuit hic Barlaamum damnare petulantiæ in monachos, ipsiusque Palamæ errores postmodum approbare. Ejus plura edidit Allat. Nicephori Blemmidæ scriptis adductus est, ut fidei catholicæ animum accommodaret, exque Ecclesiæ sensu esse Spiritum et ex Filio agnosceret. Palamitarum factione factitatum ut deponeretur, seu, in eam rem eos operam contulisse, vel ex iis quæ sequuntur, liquet, ac quod cum Acindyno sentire accusatus est; qui ipse errorem turpissimum egregie exagitaret. Legatur ejus Opusc. eo argum. apud Leonem Allat. citatum.

(2) *Ἀρχιερεῖς καὶ ὑπέρτιμοι.* Quasi, *episcopi et metropolitæ.* Hypertimi enim dicti omnes metropolitico jure gaudentes, sive erant ἔξαρχοι saltem ἐπαρχιῶν, quos fere recenti usu archiepiscopos dicimus, et vere metropolitæ sunt, capita scilicet provinciarum, plures sub se episcopos habentes, sive solum metropolitæ quasi nomine tenus, hoc scilicet aucti honore, favore ac diplomate principis. Quomodo sæpe in eadem provincia plures erant hypertimi. Videtur hoc concilium, τῶν ἐπιδημούντων, ex illis duntaxat præsulibus qui Constantinopoli inventi sunt, coactum, ut et alia duo, alterum in quo Barlaamus, alterum in quo Acindynus

Digitized by Google

λέξεων ἕνεκεν ἐνταῦθα συνεληλύθαμεν· *οὐδὲ γὰρ* A *περὶ τῶν ὀνομάτων*, κατὰ τὸν Θεολόγον, *ζυγομαχήσομεν*, κίνδυνον οὐδένα εἰδότες περὶ τὰς λέξεις, ἕως ἂν ὁ νοῦς ὑγιαίνειν δοκῇ.

Ἐπὶ τούτοις ὁ Θεσσαλονίκης, Λέξεων ἐμοὶ λόγος ὀλίγος, ἔφη· *Οὐ γὰρ ἐν ῥήμασιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ ἀλήθειά τε καὶ ἡ εὐσέβεια*, κατὰ τὸν Θεολόγον Γρηγόριον. Περὶ δὲ δογμάτων καὶ πραγμάτων τὸν ἀγῶνα ποιοῦμαι. Κἄν τις ἐπὶ τῶν πραγμάτων ὁμοφωνῇ, πρὸς τὰς λέξεις οὐ διαφέρομαι. Πρὸς δὲ τὴν παρὰ τῶν λεγόντων κατηγορίαν ἐκεῖνο λέγω· Δύο μὲν ἐγὼ Θεότητας ἢ πολλὰς καὶ διαφόρους ἐπὶ τῆς ἁγίας Τριάδος, ὡς ἄλλην μὲν εἶναι τοῦ Πατρὸς, ἄλλην δὲ τοῦ Υἱοῦ, ἄλλην δὲ τοῦ Πνεύματος, οὔτε ἐφρόνησα, οὔτε φρονῶ, οὔτε μὴν φρονήσω τῇ χάριτι τοῦ Χριστοῦ· ἀλλὰ καὶ τοὺς οὕτω φρονοῦντας B καθυποβάλλω τῷ ἀναθέματι. Ἀλλ' οὐδὲ ἄλλο τί φημι Θεότητα ἐκτὸς τῆς τρισυποστάτου Θεότητος· οὔτε οὐσίαν θείαν ἢ ἀγγελικὴν, οὔτε ὑπόστασιν, κατὰ τὸν μέγαν Διονύσιον, ἀλλ' ἐνεργείας θείας καὶ προόδους τινὰς φύσει προσούσας καὶ ἐξ ἀϊδίου τῷ Θεῷ τῷ τῆς Θεότητος ὀνόματι προσηγόρευσα, τοῖς ἁγίοις οἰόμενος σύμφωνα λέγειν. Ἀλλ' οὐδὲ ταῦτα εἶπον ἂν, εἰ μὴ πρὸς ἀνάγκην ἦλθον παρὰ τοῦ ἀντιλέγοντος, καὶ κατὰ ἀντιπαράστασιν καὶ πρὸς ἐκεῖνον ἀγωνιζόμενος, μόνην ἄκτιστον λέγοντα Θεότητα τὴν οὐσίαν τοῦ Θεοῦ, πᾶσαν δὲ δύναμιν καὶ ἐνέργειαν θείαν, τῆς οὐσίας διαφέρουσαν, εἰς κτίσμα κατασπῶντα. Ἄλλως τε καὶ τοῦτ' εἶπον, οὐ πολλὰς συνάγων ἐντεῦθεν Θεότητας, ὡς αὐτοὶ καταψεύδονται· καὶ δῆλον ἐκ C τῶν ἐμῶν συγγραμμάτων, τῶν τε ἄλλων καὶ τῆς ὁμολογίας. Ἐν πᾶσι γὰρ οὕτω τοῦτο προάγεται παρ' ἐμοῦ ὡς ὑπὸ τῶν ἀντιλεγόντων μὲν λεγόμενον, ὑπ' ἐμοῦ δὲ μὴ στεργόμενον· μίαν γὰρ οἶδα Θεότητα, τὴν αὐτὴν τρισυπόστατον, καὶ παντοδύναμον καὶ ἐνεργῆ. Πλὴν οὔτε τότε περὶ τῶν λέξεων ὁ σκοπὸς ἐμοὶ, ἀλλ' ἅπας ὁ ἀγὼν περὶ τῶν πραγμάτων· οὔτε νῦν περὶ ὀνομάτων καὶ συλλαβῶν διαφέρομαι, ἀλλὰ τῶν πραγμάτων εὐσεβῶς ἀνακηρυχθέντων, Χριστοῦ χάριτι ἕτοιμός εἰμι πᾶν ὅπερ ἂν ἡ θεία σύνοδος περὶ τῶν λέξεων διαγνῷ, στέρξαι καὶ ἀποδέξασθαι. Ἐφ' οἷς ὅ τε εὐσεβέστατος καὶ γαληνότατος βασιλεὺς καὶ ἡ θεία σύνοδος τὸν Θεσσαλονίκης ἀποδεξάμενοι διὰ πάντων τῆς εὐσεβοῦς διανοίας, ᾗ περὶ τὰ θεῖα κεχρημένος διετέλει, καὶ μάλιστα τῆς εὐγνωμοσύνης D αὐτὸν ἐπαινέσαντες, Θεότητας μὲν δύο ἢ πολλὰς, ἢ ὅλως ἀριθμὸν Θεοτήτων, μήτε λέγεσθαι μήτε μὴν νοεῖσθαι ἀσφαλῶς διωρίσαντο· μηδὲ γὰρ εἰρῆσθαι τοῦτο παρὰ τῶν θεολόγων ῥητῶς· διαφορὰν μέντοι οὐσίας θείας καὶ θείας ἐνεργείας, ἢ καὶ θείων ἐνεργειῶν, καὶ μάλα καὶ νοεῖσθαι καὶ λέγεσθαι προετρέψαντο· διαῤῥήδην τοῦ τοιούτου δόγματος παρὰ τῆς Ἐκκλησίας κεκηρυγμένου, ὡς καὶ κάτω δειχθήσεται. Ὁ δὲ Θεσσαλονίκης προθύμως καὶ λίαν ἀσμένως τοῦτο κατεδέξατο· καὶ ἡ μὲν τρίτη συνέλευσις ἐν τούτοις ἐτελεύτησεν.

Γενομένης δὲ καὶ τετάρτης, ἤρξαντο πάλιν οἱ διαφερόμενοι λέξεις τινὰς αἰτιᾶσθαι ἐμφερομένας ἐν τοῖς τοῦ Θεσσαλονίκης συγγράμμασι, τῶν πραγμάτων ἀφέμενοι. Τοῦ δὲ θειοτάτου βασιλέως καὶ τῆς συνόδου τῆς τῶν πραγμάτων ἐξετάσεως γινομένων, καὶ παρὰ τῶν τῆς Ἐκκλησίας θεολόγων τὰς ἀποδείξεις τῶν προβεβλημένων ζητούντων, προεκομίσθη ὁ κατὰ τοῦ Βαρλαὰμ ἐκτεθεὶς συνοδικὸς Τόμος. Ὃς ἀναγνωσθεὶς κελεύσει θείᾳ τοῦ γαληνοτάτου βασιλέως ἡμῶν, κοινωνοὺς διὰ πάντων τῆς τοῦ Βαρλαὰμ κακοδοξίας τοὺς διαφερομένους ἀπέδειξεν. Οὐ γὰρ ἠνέσχοντο μὴ διὰ τέλους ἀντιλέγειν τοῖς ἐκεῖ γεγραμμένοις περί τε ἄλλων, καὶ μάλιστα περὶ τοῦ θειοτάτου φωτὸς τῆς τοῦ Κυρίου Μεταμορφώσεως. Οὐ μὴν ἀλλ' ἐρωτωμένων τοῦ τε Θεσσαλονίκης καὶ τῶν διαφερομένων τῇ Ἐκκλησίᾳ, ὅπως ἔχουσι δόξης περὶ τοῦ θειοτάτου φωτὸς, ὁ μὲν δι' ὧν εἶπε καὶ ὧν ἀνέγνω εἰς ἐπήκοον πάντων ἐκ τῶν ἑαυτοῦ συγγραμμάτων, διὰ πάντων ἀνεφαίνετο ἀσφαλῶς τῆς τῶν θεολόγων διανοίας ἐξηρτημένος· οἱ δὲ, δι' ὧν τε εἶπον καὶ ὧν ἑάλωσαν συγγραφόμενοι, ἐξηλέγχθησαν διχοτομοῦντες εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν Θεότητα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, τῷ τὴν μὲν οὐσίαν τοῦ Θεοῦ ἄκτιστον λέγειν θεότητα, ἐστερημένην πάσης δυνάμεως καὶ ἐνεργείας θείας· πᾶσαν δὲ δύναμιν καὶ ἐνέργειαν Θεοῦ, καὶ ἁπλῶς τὸ τούτου παντοδύναμον ἀθετοῦντές τε καὶ ἀρνούμενοι, καὶ εἰς κτίσματα κατασπῶντες τὸν Θεὸν, καὶ δύο λέγοντες αὐτὸν Θεότητας, ἄκτιστόν τε καὶ κτιστὴν, ὑπερκειμένην τε καὶ ὑφειμένην ὄντως· ἐπεὶ καὶ τὸ ἐν τῷ Θαβωρίῳ λάμψαν τῆς Θεότητος φῶς ποτὲ μὲν οὐσίαν ἔλεγον εἶναι Θεοῦ, ποτὲ δὲ φάσμα καὶ παραπέτασμα καὶ ἴνδαλμα καὶ κτίσμα· ὡς εἶναι κατ' αὐτοὺς τὸ αὐτὸ κτίσμα καὶ οὐσίαν Θεοῦ. Προεκομίσθησαν δὲ παρὰ τοῦ Θεσσαλονίκης καὶ γράμματα ἐκείνων οἰκειόχειρα, ἐν οἷς κατηγόρουν αὐτοῦ, ἄκτιστον εἶναι λέγοντος τὸ θειότατον ἐκεῖνο φῶς καὶ ἔλλαμψιν, ἀλλ' οὐχ οὐσίαν Θεοῦ. Ἀλλὰ καὶ δι' ὧν κατηγόρουν τοῦ Θεσσαλονίκης, ὡς πολλὰς λέγοντος Θεότητας, ἐπειδήπερ πάσας τὰς θείας καὶ κοινὰς τῶν τριῶν ὑποστάσεων δυνάμεις τε καὶ ἐνεργείας ἀκτίστους εἶναι διατείνεται, φανεροὶ γεγόνασιν, ὡς οὐ πρὸς τὰς λέξεις αὐτοῖς ὁ πόλεμος· ἀλλ' οὔτε διαφορὰν θείας οὐσίας καὶ θείας ἐνεργείας, οὔτε μὴν ἄκτιστον εἶναι τὴν θείαν καὶ παντοδύναμον ἐνέργειαν νομίζουσι. Ἐφ' οἷς προτεθέντων τῶν θεολόγων τῆς Ἐκκλησίας, ἀνεγνώσθη ἀπὸ μὲν τοῦ μεγάλου Βασιλείου πολλά τε ἄλλα καὶ δὴ καὶ ταῦτα· *Εἰ γὰρ οὐδὲν* (7) *ὅλως ἐπὶ Θεοῦ κατ' ἐπίνοιαν ὁ Εὐνόμιος θεωρεῖ, ἵνα μὴ δόξῃ ἀνθρωπίναις τὸν Θεὸν σεμνύνειν προσηγορίαις, πάντα ὁμοίως οὐσίαν ὁμολογήσει τὰ ἐπιλεγόμενα τῷ Θεῷ. Πῶς οὖν οὐ καταγέλαστον τὸ δημιουργικὸν οὐσίαν εἶναι λέγειν· τὸ προνοητικὸν πάλιν οὐσίαν, τὸ προγνωστικὸν ὡσαύτως, καὶ ἁπαξαπλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι;*

## Fr. Combefisii notæ.

(7) Inepte assumpta hæc pro Palama, cum sermo sit de distinctione rationis.

Digitized by Google

Ἀπὸ δὲ τοῦ θεολόγου Δαμασκηνοῦ, ἐν οἷς περὶ τῶν δύο ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ διδάσκει, λέγων, *Ἰστέον ὡς ἄλλο ἐστὶν ἐνέργεια καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργῶν. Ἐνέργεια μὲν οὖν ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δὲ ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις.*

Ὁ δὲ θεῖος Μάξιμος ἐν τῷ κεφαλαίῳ τῷ ἐπιγραφομένῳ, « Ἐκ τῆς ἐπὶ σεκρέτου διαλέξεως,» *Πάντως*, φησὶν, *ἀνάγκη ἐπὶ Χριστοῦ θελήσεις λέγεσθαι καὶ ἐνεργείας, καὶ πᾶσα ἀνάγκη· οὐδὲν γὰρ τῶν ὄντων χωρὶς ἐνεργείας φυσικῆς ὑφέστηκεν. Οἱ γὰρ ἅγιοι Πατέρες φανερῶς λέγουσι μήτε εἶναι μήτε γινώσκεσθαι χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τὴν οἱανδήποτε φύσιν.*

Ἐπεὶ δὲ οἷς ἔλεγον, μὴ μόνον τοῖς ἁγίοις διετέλουν καθ' ἕνα μαχόμενοι, ἀλλ' ἤδη καὶ αὐτὴν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον ἀνατρέπειν καὶ καταλύειν ἐπεχείρουν, ᾗ δὴ οὐκ ἄλλος ἦν ὁ σκοπὸς, περὶ δὲ τῶν δύο φυσικῶν θελημάτων καὶ τῶν δύο φυσικῶν ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν Ἰησοῦ Χριστῷ πᾶσα ἡ πρόθεσις γέγονε, καὶ ἦν ἀνάγκη διὰ ταῦτα προκομισθῆναι τῆς τοιαύτης συνόδου Πρακτικὰ, καὶ ἀναγνωσθῆναι, καὶ ἀπὸ τούτων τὸ εὐσεβὲς ἀνακηρυχθῆναι, τὰ μὲν προετέθησαν ἐπὶ τοῦ μέσου· οἱ δ' εὐθὺς ἅμα τῷ προτεθῆναι ἀνέκραξαν, *Μὴ τὰ Πρακτικὰ τῆς συνόδου, ἀλλὰ τὸν ὅρον μόνον ἀνάγνωθι.* Τῆς δὲ θείας συνόδου διαπορουμένης ὅ τί ποτε βούλεται ἡ τοιαύτη φωνὴ, καὶ ἀνθ' ὅτουπερ ἀποδοκιμάζουσι, καὶ οὐ δέχονται τὰ Πρακτικὰ, ἐκεῖνοι καὶ οὕτω τῆς αὐτῆς περιέργου κακονοίας καὶ διεστραμμένης γνώμης οὐδ' ὁπωσοῦν ἀφίσταντο, τῶν Πρακτικῶν μηδόλως προσιέμενοι τὴν ἀνάγνωσιν. Ἐπὶ τούτοις κελεύσει θείᾳ τοῦ γαληνοτάτου βασιλέως ἡμῶν ἀνεγνώσθη ῥῆσις ἀπὸ τοῦ συνήθως ἐπὶ ἄμβωνος ἀναγινωσκομένου τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας συνοδικοῦ, ἥτις καὶ ἐπὶ λέξεως ἔχει οὕτως· *Τοῖς ἀποβαλλομένοις τὰς τῶν ἁγίων Πατέρων φωνὰς τὰς ἐπὶ συστάσει τῶν ὀρθῶν δογμάτων τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἐκφωνηθείσας, Ἀθανασίου, Κυρίλλου, Ἀμβροσίου, Ἀμφιλοχίου, τοῦ θεηγόρου Λέοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, καὶ τῶν λοιπῶν· ἔτι τε καὶ τὰ τῶν οἰκουμενικῶν συνόδων Πρακτικὰ, τῆς τετάρτης, φημὶ, καὶ τῆς ἕκτης, μὴ κατασπαζομένοις, ἀνάθεμα.* Ἐπὶ τούτοις ἀνεγνώσθη καὶ ῥῆσις τῶν Πρακτικῶν ἔχουσα ἐπὶ λέξεως οὕτως· *Τίς γὰρ, εἰ καὶ βραδὺς εἴη πρὸς τὸ νοῆσαι, οὐ θεωρήσει, ὅπερ πᾶσι φαίνεται, ὅτι ἀδύνατον καὶ παρὰ τὴν τάξιν τῆς φύσεώς ἐστι δύνασθαι εἶναι φύσιν, καὶ ἐνέργειαν μὴ ἔχειν φύσεως, ὅπερ οὐδὲ ἀπὸ τῶν αἱρετικῶν ποτε ἐδοκιμάσθη λέγεσθαι, οἵτινες πάσας τὰς ἀνθρωπίνας κακουργίας καὶ σκολιὰς ζητήσεις κατὰ τῆς ὀρθότητος τῆς πίστεως, καὶ συναθροισμοὺς ταῖς φαυλότησιν αὐτῶν προσφόρους ἐξεῦρον. Πῶς* [A] *οὖν ὅπερ οὔτε ἀπὸ τῶν ἁγίων Πατέρων ἐῤῥέθη ποτὲ, οὔτε ἀπὸ τῶν βεβήλων αἱρετικῶν τετόλμηται εὑρεθῆναι, ἐπὶ τοῦ παρόντος δυνήσεται προσπετευθῆναι, ἵνα τῶν δύο φύσεων τοῦ Χριστοῦ, τῆς θείας δηλονότι καὶ τῆς ἀνθρωπίνης, ὧντινων αἱ ἰδιότητες ἀκέραιοι εἶναι γνωρίζονται ἐν Χριστῷ, μίαν ἔχωσιν ἐνέργειαν; Τίς ποτε ὀρθῶς φρονῶν δυνήσεται ἀποδεῖξαι; ὁπόταν, ἐὰν μία ἐστὶν, εἴπωσιν, Ἡ χρονικὴ ἡ ἀΐδιος λεχθήσεται, θεία ἢ ἀνθρωπίνη, ἄκτιστος ἢ κτιστή· ἡ αὐτὴ ἥτις καὶ τοῦ Πατρός ἐστιν, ἢ ἑτέρα παρὰ τὸν Πατέρα. Εἰ τοίνυν μία ἐστὶν ἡ αὐτὴ, μία καὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κοινή ἐστιν, ὅπερ ἀλλόκοτόν ἐστι λέγεσθαι. Οὐκοῦν ἐπὰν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπός ἐστι,* [B] *τὰ ἀνθρώπινα ἐνεργήσας ἐπὶ τῆς γῆς, ὁμοίως αὐτῷ καὶ ὁ Πατὴρ ἐνήργησε φυσικῶς. Ἐπειδὴ* ἃ ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. *Ἐπεὶ, ὅπερ ἡ ἀλήθεια περιέχει, ἐν ὅσῳ ἀνθρώπινά τινα ἐνήργησεν ὁ Χριστὸς, πρὸς μόνον τὸ πρόσωπον αὐτοῦ ὡς Υἱοῦ ἐπαναφέρεται. Ἅτινα οὐκ ἔστι τὰ αὐτὰ οἷα καὶ τοῦ Πατρός. Κατ' ἄλλο γὰρ δηλονότι καὶ ἄλλο ἐνήργησεν ὁ Χριστὸς, ἵνα κατὰ τὴν θεότητα, ἃ ποιεῖ ὁ Πατὴρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιῇ· καὶ κατὰ τὴν ἀνθρωπότητα, ἅ εἰσι τοῦ ἀνθρώπου ἴδια, ὁ αὐτὸς οὗτος ἐνεργεῖ ὡς ἄνθρωπος, ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς καὶ ἄνθρωπος. Ὅθεν καὶ ἀληθῶς πιστεύεται ὅτι ὁ αὐτὸς οὗτος εἷς ὢν ἔχει φυσικὰς ἐνεργείας,* [C] *τὴν θείαν δηλονότι καὶ τὴν ἀνθρωπίνην· τὴν ἄκτιστον καὶ τὴν κτιστὴν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς, καὶ ἀληθινὸς καὶ τέλειος ἄνθρωπος, εἷς ὁ αὐτὸς, μεσίτης Θεοῦ καὶ ἀνθρώπων, Κύριος Ἰησοῦς Χριστός.*

Καὶ πάλιν ἀπὸ τῶν αὐτῶν Πρακτικῶν προσεκομίσθη ἑτέρα ῥῆσις, ἔχουσα ἐπὶ λέξεως οὕτω· *Τῆς ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον· ἀδιαιρέτως προϊοῦσαν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα, καὶ τὴν ἀμέριστον ὁμοῦ καὶ ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γὰρ καὶ τῶν ἐνεργειῶν ἐπὶ Χριστοῦ ποιεῖ τὸ διάφορον, ὥσπερ δὴ καὶ τὸ εἶναι τὰς φύσεις* [D] *τῶν φύσεων.*

Ἀλλὰ καὶ ὁ παρ' αὐτῶν ζητούμενος ὅρος ἀναγνωσθεὶς εἶχεν ἐπὶ λέξεως οὕτως· *Ἡ παροῦσα καὶ οἰκουμενικὴ σύνοδος, πιστῶς δεξαμένη καὶ ὑπτίαις χερσὶν ἀσπαζομένη τήν τε τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου πάπα τῆς πρεσβυτέρας Ῥώμης* Ἀγάθωνος *γενομένην ἀναφορὰν πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα.* Καὶ μετά τινα· *Ἑπομένη τε ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς πέντε συνόδοις, καὶ τοῖς ἁγίοις καὶ ἐκκρίτοις Πατράσι, καὶ συμφώνως ὁρίζουσα, ὁμολογεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν τὸν ἕνα τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος τέλειον ἐν θεότητι καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, κατὰ πάντα ὅμοιον ἡμῖν*

Digitized by Google

*χωρὶς ἁμαρτίας· πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, τῆς κυρίως καὶ κατὰ ἀλήθειαν Θεοτόκου κατὰ τὴν ἀνθρωπότητα· ἕνα καὶ τὸν αὐτὸν Χριστὸν, Υἱὸν, Κύριον, Μονογενῆ, ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν· σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν μονογενῆ, Θεὸν Λόγον, Κύριον Ἰησοῦν Χριστὸν, καθάπερ ἄνω οἱ προφῆται περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τῶν ἁγίων Πατέρων ἡμῶν ἐξεπαίδευσε Σύμβολον· καὶ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως, κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν, ὡσαύτως κηρύττομεν· καὶ δύο μὲν φυσικὰ θελήματα, οὐχ ὑπεναντία, μὴ γένοιτο, καθὼς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικοὶ, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιπίπτον, ἢ ἀντιπαλαῖον· μᾶλλον μὲν οὖν καὶ ὑποτασσσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι.*

Τούτων δὲ ἀναγνωσθέντων, κωφοῖς ἐοίκεσαν οἱ τῆς αἱρέσεως προϊστάμενοι, ἓν καὶ πάντῃ ἀδιάφορον βοῶντες καὶ διατεινόμενοι τὴν θείαν τε καὶ ἄκτιστον οὐσίαν, καὶ τὴν θείαν καὶ ἄκτιστον ταύτης ἐνέργειαν· προφέροντες καὶ ῥητὰ, ὧν τὸ μὲν ἦν τοῦ θείου καὶ ὁμολογητοῦ Μαξίμου, τὸ δὲ τοῦ ἐν ἁγίοις ὁμολογητοῦ Θεοδώρου τοῦ Γραπτοῦ, διαστρέφοντες καὶ παρερμηνεύοντες ταῦτα πρὸς τὴν οἰκείαν δυσσέβειαν. Πῶς γὰρ ἂν ὁ θεῖος Μάξιμος τῇ τοῦ Θεοῦ ἐνεργείᾳ πολεμεῖν ἔμελλεν (8), ὅς γε ὑπὲρ τῶν ἐν Χριστῷ δύο ἐνεργειῶν, τῆς τε θείας δηλαδὴ καὶ τῆς ἀνθρωπίνης, δρόμους μὲν ἠλάθη τοσούτους, γλῶτταν δὲ τὴν θεόφθογγον ἐκείνην ἀφῄρηται, χεῖρα δὲ ἐκκέκοπται, καὶ τέλος ἀειφυγίαν καταδικασθεὶς, μαρτυρικὸν γενναίως ἠσπάσατο θάνατον; Τῶν δὲ καὶ ἔτι ἀντιλεγόντων, καὶ προφερόντων τῷ Θεσσαλονίκης Θεότητα λέγοντι τὴν θείαν ἐνέργειαν, ἀνεγνώσθησαν ῥήσεις τῶν ἁγίων, τοῦ μὲν μεγάλου Βασιλείου, ἐν οἷς πρὸς Εὐστάθιον τὸν ἰατρὸν γράφει, *Οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς Θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς Γραφῆς ὅτι χειροτονητὴ φύσις οὐ γίνεται* (9). *Μωσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη θεὸς, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος, Ὅτι θεόν σε δέδωκα τῷ Φαραώ. Οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος.*

Τοῦ δὲ Νύσσης ἐν τῷ περὶ Θεότητος Υἱοῦ καὶ Πνεύματος λέγοντος, *Φασὶν οἱ Πνευματομάχοι φύσεως εἶναι σημαντικὴν τὴν Θεότητα. Ἡμεῖς δέ φαμεν ὅτι ὄνομα σημαντικὸν ἡ θεία φύσις ἢ οὐκ ἔχει, ἢ ἡμῖν οὐκ ἔχει· ἀλλ' εἴ τι καὶ λέγεται εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας, εἴτε παρὰ τῆς θείας Γραφῆς, τῶν περὶ αὐτὴν ἀποσημανθέντων ἐστί τι. Αὐτὴ δὲ ἡ θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν. Λαβέτωσαν δὲ τῆς αὐτῶν ἀνοήτου σημασίας τὸν ὄφιν κατήγορον, ὃς δείκνυσιν ὅτι τὸ τῆς Θεότητος ὄνομα τῆς ὁρατικῆς ἐνεργείας τὴν σημασίαν ἔχει. Συμβουλεύων γὰρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο ἐπαγγέλλεται, Ὅτι ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί. Ὁρᾷς ὅτι τὴν θεατικὴν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; Οὐ γάρ ἐστι θεάσασθαί τι μὴ τῶν ὀφθαλμῶν ἀνοιγέντων. Οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν.* Καὶ πάλιν ὁ αὐτὸς πρὸς Ἀβλάβιον γράφων, *Θεὸς*, φησὶν, *ἐνεργοῦντα δηλοῖ· θεότης δὲ ἐνέργειαν. Οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν.*

## Fr. Combefisii notæ.

(8) Suppressæ auctoritates quæ Palamitarum nugas omnes possent elidere.

(9) *Ὅτι χειροτονητὴ φύσις οὐ γίνεται.* Apud Basilium, χειροτονίᾳ φύσις οὐ γίνεται, ubi interpr. *Ordinatio non est natura.* Quod mihi non placet; melius Laurent. Siphanus apud Greg. Nyss. cui perinde tractatus ille tribuitur: *Quod natura non sit ejus conditionis, ut constitui, eligi et designari possit.* Malim ego χειροτονίᾳ in dandi casu. *Natura non fit electione et quasi creatione, quæ per suffragia est;* factitie nimirum et institutione seu designatione, sed ipsa nascitur vel a se est, et quasi fundamentum reliquorum; quod nobis in Deo ignotum, nec nisi ex effectibus nominatur, tum etiam cum Deum dicimus. Ut enim auctor est Greg. Nyss. ad Ablabium, vox illa, τὴν ἐποπτικὴν καὶ θεατικὴν δύναμιν sonat, *vim inspectatricem et spectatricem*, ἥνπερ δὴ Θεότητα λέγομεν· *quam Deitatem dicimus.* Nec aliter ejus frater hic, nempe Basil. Ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. *Potestatis cujusdam sive inspectricis sive effectricis significandi vim habet;* ubi non bene Basilii interpres, *potestatis sacrorum vel mundanæ administrationis.* Non enim Moses datus est deus Pharaoni, ut quasi illi in sacris præesset, sed ut in ipsum adverteret, ejusque pervicaciam edomaret, juxta ejus vocis duplex etymum, quod magis Basilio arrisit, ἀπὸ τοῦ θεᾶσθαι· quod videat, inspectet omnia, nec eum quidquam lateat: καὶ παρὰ τοῦ θῶ τὸ κατασκευάζω καὶ ποιῶ, ait Magnum Etymolog. ὁ πάντων ποιητὴς καὶ τῆς τῶν πάντων κατασκευῆς αἴτιος, quod omnium creator et auctor; τὸ ἐποπτικὸν, de illis qui sacra jam velut intuentur, ac inspectare censentur, in eis scilicet perfecti, quo respexit interpr., non videtur ad rem, vel ex mente Basilii. Alia vide in Etymolog. Porro hæc, ac sequentia Nysseni, ne vel in specie Palamitis favent, ineptissimeque velut ex eis victores, adversarios in erroris sui consensum pœnarum severitate cogunt.

Digitized by Google

Οὕτω δὲ διὰ πάντων τούτων ἐξεληλεγμένοι, προσεκλήθησαν παρὰ τῆς Ἐκκλησίας εἰς μετάνοιαν, πολλὰ πρότερον τοῦ γαληνοτάτου βασιλέως ἡμῶν μὴ ἀποπηδῆσαι τοῦ καλοῦ τῆς μετανοίας φαρμάκου λόγοις πολὺ τὸ ἐπαγωγὸν καὶ χάριεν ἔχουσι παρακεκληκότος αὐτούς. Οἱ δὲ οὐ κατεδέξαντο, ἄντικρυς λέγοντες, *Τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι.* Ἐνέμενον γὰρ οἷς κακῶς ἔγνωσαν ἐξ ἀρχῆς. Διὰ τοῦτο κελεύσει θείᾳ τοῦ κρατίστου βασιλέως ἡμῶν καὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου ἀνεγνώσθη Τόμος ἐπὶ καθαιρέσει μὲν προβὰς πρὸ καιροῦ τινος τοῦ Ἐφέσου, τοῦ Γάννου καὶ ἑτέρων, ὡς τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου νενοσηκότων· μήπω δὲ εἰς ἔργον προβάς, διὰ τὸ τὴν ἐπιστροφὴν αὐτῶν καὶ μετάνοιαν ἀναμένειν, καὶ πᾶσι τρόποις καὶ μηχαναῖς ἀνακαλεῖσθαι ταύτην ὅλῃ προθυμίᾳ τε καὶ σπουδῇ. Καὶ ἀναγνωσθέντος, ἤρξατο ὁ τιμιώτατος μέγας χαρτοφύλαξ καὶ ὕπατος τῶν φιλοσόφων, κατὰ τὸ ἐκκλησιαστικὸν ἔθος, ἐρωτᾷν ἕκαστον ὅπερ ἔχει γνώμης περὶ τῶν κατὰ μέρος λαληθέντων τε καὶ ἐξετασθέντων δογματικῶν κεφαλαίων. Καὶ πάντες ἑνὶ στόματι ὡς ἐξ ἑνὸς κινούμενοι Πνεύματος, μετὰ τοῦ ἡνωμένου καὶ θεοπρεπῆ διάκρισιν καὶ διαφορὰν τῆς θείας οὐσίας καὶ ἐνεργείας φανερῶς ὡμολόγησαν, τοῖς θεολόγοις ἑπόμενοι, ἄκτιστόν τε τὴν θείαν ἐνέργειαν, οὐ δῆτα καὶ τὴν οὐσίαν ἔστερξαν. Καὶ θεότητα καὶ ταύτην δὴ τὴν θείαν ἐνέργειαν ὀνομάζεσθαι παρὰ τῶν αὐτῶν θεολόγων ἀκούσαντες, ἀσμένως ἐδέξαντο.

Ἐπὶ τούτοις ἐρωτηθεὶς καὶ ὁ ἁγιώτατος καὶ οἰκουμενικὸς πατριάρχης καὶ αὐτὸς τὴν οἰκείαν γνώμην ἐξενεγκεῖν, λόγον τε διεξελθὼν πρότερον περὶ διαφορᾶς θείας οὐσίας καὶ θείας ἐνεργείας, καὶ τοὺς παρὰ τῶν ἁγίων λεγομένους τῆς διαφορᾶς τρόπους, πάντα καλῶς καὶ κατὰ μέρος διευκρινήσας, ἔτι τε καὶ τὸ ἡνωμένον καὶ ἀχώριστον ταύτης πρὸς τὴν θείαν οὐσίαν ἀποδείξας, ἐν οἷς καὶ ἄκτιστον ἐνέργειαν, καὶ Θεότητα παρὰ τῶν ἁγίων εἰρῆσθαι ἀπεφήνατο, τῆς πρὸς τοὺς διαφερομένους ἔπειτα παραινέσεως ὅλος ἐγένετο, παρακαλῶν, νουθετῶν, ἐλέγχων· πᾶσι τρόποις πρὸς μετάνοιαν αὐτοὺς ἐκκαλούμενος, καὶ τὴν πρὸς τοὺς ἁγίους καὶ τὴν ἱερὰν σύνοδον συμφωνίαν, μετ' ἔτι πλείστης προθυμίας καὶ σπουδῆς θεοφιλῶς προτρεπόμενος. Ὡς δὲ καὶ οὕτω τούτους ἑώρα ἀνιάτως ἔχοντας, τῶν τε προτέρων βλασφημιῶν ἐχομένους καθάπαξ, καὶ τὴν μετάνοιαν παντάπασιν ἀποσειομένους, ζῆλον ἀναλαβὼν ἄξιον μὲν ἑαυτοῦ καὶ τῆς ἐκ παιδὸς ἀρετῆς, ἄξιον δὲ τοῦ θρόνου, τὸν μὲν Ἐφέσου καὶ τὸν Γάννου τῶν ἀρχιερατικῶν συμβόλων καὶ πάσης ἱερωσύνης ἀπογυμνοῖ, τοῦτο καὶ τῆς ἱερᾶς συμψηφισαμένης συνόδου· οἱ δὲ σὺν αὐτοῖς ἕτεροι, οἵ τε τῆς αἱρέσεως προϊστάμενοι, καὶ οἱ τούτοις κακῶς ἑπόμενοι, τὴν καταδίκην μεθ' ἑαυτῶν ἔχοντες, ἀποπέμπονται, τινῶν συγγνώμην αἰτησάντων, καὶ διὰ μετανοίας ταύτης τετυχηκότων. Καὶ ἡ μὲν συνέλευσις αὕτη ἐν τούτοις ἐτελεύτησε.

Ἡμέραι δ' ἐξ ἐκείνου παρεῤῥύησαν ὀλίγαι, οὕτω τοῦ γαληνοτάτου καὶ ἁγίου βασιλέως ἡμῶν κελεύσαν- A τος, καὶ μετανοίας ἐντεῦθεν θύραν τοῖς διαφερομένοις σοφῶς ὑπανοίγοντος· τῶν δὲ καὶ ἔτι ἀνιάτως ἐχόντων, ἔδοξε δίκαιον σύνοδον ἑτέραν πάλιν συγκροτηθῆναι, ὥστε δι' ἐξετάσεως φανερωτέραν γενέσθαι περὶ τῶν προβεβλημένων τὴν τῆς εὐσεβείας ἀλήθειαν ἐκ τῶν τοῖς ἁγίοις τεθεολογημένων. Καὶ δὴ γενομένης, τῶν ἑτεροδοξούντων ἀπαντῆσαι μὴ βουληθέντων, ἀλλ' ἀπειπόντων τοῦτο καθάπαξ, ὁ εὐσεβέστατος ἐκέλευσε βασιλεύς, πολλῶν δογματικῶν κεφαλαίων προβεβλημένων εἰς ζήτησιν, πρῶτον μὲν εἰ ἔστιν ἐπὶ Θεοῦ θεοπρεπὴς διάκρισις οὐσίας καὶ ἐνεργείας· ἔπειτα διακρίσεως ἀναφανείσης, πότερον ἡ ἐνέργεια αὕτη κτιστή ἐστιν, ἢ ἄκτιστος· τρίτον δὲ εἴγε ἄκτιστος ἀποδειχθείη ἡ θεοπρεπὴς αὕτη ἐνέργεια, πῶς ἄν τις ἐκφύγοι τὸ μὴ παρὰ τοῦτο B σύνθετον τὸν Θεὸν εἶναι νομίζειν, ὅπερ οἱ ἑτεροδοξοῦντες προφέρειν τολμῶσι τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ. Τέταρτον δέ, εἴγε ἡ φωνὴ τῆς Θεότητος οὐκ ἐπὶ τῆς οὐσίας μόνον, ἀλλὰ καὶ τῆς θείας ἐνεργείας παρὰ τῶν θεολόγων ὕμνηται. Καὶ ἐκ τούτου γὰρ τὴν τῆς διθείας ἀμορφίαν τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταχέουσιν οἱ ταύτης πολέμιοι. Πέμπτον δέ, εἴπερ οἱ θεολόγοι κατά τι τὴν οὐσίαν τῆς ἐνεργείας ὑπερκεῖσθαί φασιν, ἐπεὶ καὶ τοῦτο τοῖς ἐναντιουμένοις ὑπὸ μέμψιν τελεῖ. Καὶ λοιπὸν ἔτι Θεοῦ μετεχομένου, πότερον κατὰ τὴν οὐσίαν μετοχή, ἢ κατὰ τὴν ἐνέργειαν. Τοσούτων προκειμένων ἡμῖν ζητημάτων ἀρτίως, οὐ χρὴ περὶ πάντων ὁμοῦ ποιῆσθαι τοὺς λόγους· γένοιτο γὰρ ἂν οὕτως ἡ τοῦ ζητουμένου C κατάληψις οὐδαμῶς ἀκριβής, οὐδὲ κατὰ τὴν ἡμετέραν πρόθεσιν, ἀλλὰ περὶ ἑκάστου ἰδίᾳ διαλάβωμεν, ὃ δὴ τοῖς ἀπλανέσι χρώμενοι τοῖς σεπτοῖς θεολόγοις.

Καὶ πρῶτον εἰ δοκεῖ περὶ τοῦ πρώτου λέγωμεν· Ἆρ' ἔστι θεοπρεπὴς διάκρισις ἐπὶ Θεοῦ οὐσίας καὶ ἐνεργείας, ὅπερ τοῖς διαφερομένοις ἀπείρηται, πολλά τε ἄλλα ἄτοπα καὶ πολυθεΐαν ἐκ τούτου συνάγειν οἰομένοις, ἢ ταυτὸν πάντη καὶ ἀδιάφορον;

Ταῦτα τοῦ κρατίστου βασιλέως κελεύσαντος, ἡ θεία σύνοδος τοῖς λεγομένοις προσέχουσα, Οὐκ ἄλλην, εἶπον, ἴσμεν ὁδόν, θειότατε βασιλεῦ, ῥᾳδίως πρὸς ἀλήθειαν φέρουσαν ἢ ταύτην ἣν ἀρτίως ἡμῖν ὑπέδειξας· καὶ τῶν θεολόγων ὡς ἔχουσι περὶ τού- D των γνώμης εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων, ἀπεδείχθη ὅτι οἱ μὴ μετὰ τοῦ ἡνωμένου καὶ τὸ διακεκριμένον τῆς θείας οὐσίας καὶ ἐνεργείας πρεσβεύοντες ἄθεοί τέ εἰσι καὶ πολλοῖς ἑτέροις ἀτόποις ἑαυτοὺς περιβάλλουσι. Κατὰ γὰρ τὸν μέγαν Διονύσιον, *Τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν· οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις ἢ ἀφαίρεσις.* Τὸ δὲ ἔχον, οὗ ἔχει κατά τι διαφέρει πάντως. Εἰ οὖν οὐκ ἔστι διαφορὰ τῆς θείας οὐσίας καὶ ἐνεργείας, οὐκ ἔστιν ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν. Τὸ δὲ μὴ ἔχον ἐνέργειαν ἀνενέργητόν ἐστι, τὸ δὲ ἀνενέργητον καὶ ἀνύπαρκτον.

Τοῦ δὲ θεοφόρου Δαμασκηνοῦ γράφοντος, *Ἔργον μὲν θείας φύσεως ἡ προαιώνιος γέννησις· ἔργον*

Digitized by Google

*δὲ θείας θελήσεως ἡ κτίσις* καὶ τοῦ ἁγίου Κυρίλλου, *Τὸ μὲν ποιεῖν ἐνεργείας ἐστί· φύσεως δὲ τὸ γεννᾷν. Φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν·* οἱ ἀδιάφορον εἶναι λέγοντες τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν, ἐπειδὴ κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τὸ γεννᾷν, ἔστι δὲ κατ' αὐτοὺς ἀδιάφορος τῆς φύσεως ἐνέργεια, ἔσται κατ' αὐτοὺς καὶ τῆς ἐνεργείας τὸ γεννᾷν· καὶ οὕτω τὰ ποιήματα ἔσονται γεννήματα ἀΐδια, ὡς ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεὶ δὲ πάλιν τῆς ἐνεργείας ἐστὶ τὸ ποιεῖν, ἡ δὲ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ, κατ' αὐτοὺς τῆς φύσεως ἔσται τὸ ποιεῖν. Καὶ οὕτω κατ' αὐτοὺς τὰ ἐκ τῆς φύσεως ἔσονται ποιήματα.

Καὶ πάλιν, τοῦ αὐτοῦ γράφοντος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν διαλόγων, *Πρὸς δὲ τούτοις ἅπασι πεποιῆσθαί φαμεν ἐξ ἐνεργείας Θεοῦ πῦρ τε τὸ καυστικὸν, καὶ μὴν καὶ τὸ ὕδωρ διαψύχειν εἰδός·* οἱ ταυτὸν καὶ ἀδιάφορον οὐσίαν καὶ ἐνέργειαν εἶναι λέγοντες ἐκ τῆς τοῦ Θεοῦ οὐσίας τό τε πῦρ καὶ τὸ ὕδωρ λέγειν ἀναγκασθήσονται· καὶ οὕτω τῆς Ἑλλήνων πλάνης χείρων ἡ νῦν κακοδοξία καθέστηκεν, εἴπερ ἐκεῖνοι τὴν λογικὴν μόνην ψυχὴν ἐκ τῆς οὐσίας τοῦ Θεοῦ εἶναι ἐνόμισαν· οὗτοι δέ γε καὶ τὰ ὑλικὰ δὴ ταῦτα καὶ αἰσθητὰ σώματα.

Ἀλλὰ καὶ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, εἰρηκότος, ὁ θεῖος Χρυσόστομος ἐν ὁμιλίᾳ ἑξηκοστῇ τῆς εἰς τὸ τοιοῦτον Εὐαγγέλιον ἑρμηνείας τοῦτο διασαφῶν τὸ ῥητὸν, *κατὰ τὴν δύναμιν ἐνταῦθά* φησιν *εἰρῆσθαι αὐτό.* Καὶ γὰρ περὶ ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ. *Εἰ δὲ ἡ δύναμις ἡ αὐτὴ, εὔδηλον ὅτι καὶ ἡ οὐσία.* Καὶ μετὰ βραχέα, *Οὐδὲ γάρ ἐστιν ἄλλην δι' ἄλλης, οὔτε οὐσίαν, οὔτε δύναμιν μαθεῖν.* Καὶ πάλιν ἐν τῷ αὐτῷ Εὐαγγελίῳ, τοῦ ἀποστόλου Φιλίππου εἰπόντος, *Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*, ὁ θεῖος οὗτος Χρυσόστομος ἐν τῇ αὐτῇ ὁμιλίᾳ, « *Ἴδωμεν*, » φησὶ, *τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν· ἆρα τὴν σοφίαν τοῦ Πατρὸς, ἆρα τὴν ἀγαθότητα; Οὐχὶ, ἀλλ' αὐτὸ ὅ τί ποτέ ἐστιν ὁ Θεός· αὐτὴν τὴν οὐσίαν.* Καὶ πάλιν ὁ αὐτὸς, τὸ ἀποστολικὸν ῥητὸν ἐξηγούμενος τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, τὸ λέγον, *Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος· τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ* D *καὶ εἰρήνη. Φρόνημα*, εἶπε, *σαρκὸς τὴν κακίαν φησί· καὶ φρόνημα πνεύματος τὴν χάριν τὴν διδομένην, καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κιρνωμένην τῇ χρηστῇ, οὐδαμοῦ περὶ ὑποστάσεως ἐνταῦθα καὶ οὐσίας διαλεγόμενος.* Καὶ αὖθις ὁ αὐτὸς Χρυσόστομος ἐν τῷ λόγῳ ἐν ᾧ ἐξηγεῖται τὸ, *Θὲς τὴν χεῖρά σου ἐπὶ τὸν μηρόν μου* (10), *καὶ ὄμοσον*, τάδε κατὰ λέξιν φησίν·

A *Λυχνία ἦν ἀληθὴς ἡ σὰρξ ἡ δεσποτικὴ, ἡ τοῦ ἁγίου Πνεύματος τὰς ἐλλάμψεις ἑπταπλασίονι χάριτι δείξασα.* « *Ἐξελεύσεται γὰρ*, » φησὶν Ἠσαΐας, « *ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ.* » *Ποῖον; Τὸ πολυμερὲς ταῖς ἐνεργείαις, καὶ πολὺ τῇ φύσει·* « *Ἐπαναπαύσεται Πνεῦμα Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος, πνεῦμα γνώσεως καὶ εὐσεβείας· πνεῦμα φόβου Θεοῦ.* » *Τὰς ἑπτὰ χάριτας τοῦ ἁγίου Πνεύματος, τὰς ἐπαναπαυσαμένας τῷ σώματι τῷ δεσποτικῷ, ἐκείνας σχηματίζει ἐν τύπῳ ἑπταλύχνῳ.* Καὶ πάλιν ὁ αὐτὸς θεῖος Χρυσόστομος ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ, *Οὐ πάντα*, φησὶ, *τὰ χαρί-* B *σματα λαμβάνει τις, ἵνα μή τις τὴν χάριν φύσιν εἶναι νομίσῃ.*

Ἀλλὰ καὶ τοῦ ἁγίου μάρτυρος καὶ φιλοσόφου Ἰουστίνου, γράφοντος, *Ὡς ἄρα τοῦ Θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν*, ὁ ἀποῤῥίπτων οὐσίας τε καὶ βουλῆς τὴν διαφορὰν καὶ τὴν ὕπαρξιν ἀποῤῥίπτει τοῦ Θεοῦ καὶ τὴν ποίησιν· οὐ φανερῶς οἱ τὴν διαφορὰν ἀθετοῦντες, οὗτοι καὶ τὸν Θεὸν ἀρνούμενοι, καὶ τὸ αὐτόματον δοξάζοντες δείκνυνται; Κατὰ γὰρ τὸν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην, *Ἐνέργειά ἐστι καὶ ἡ βούλησις*, ὡς ἐν τῷ περὶ ἐνεργείας τριακοστῷ ἕκτῳ τῶν δογματικῶν κεφαλαίων διασαφεῖ. Εἰπὼν γὰρ πρότερον περί τε ἄλλων, καὶ δὴ καὶ βουλή- C σεως ἀνθρωπίνης τε καὶ θείας, ἐπάγει εὐθὺς ἐν τῇ ἀρχῇ τοῦ ἐφεξῆς κεφαλαίου ἐπὶ λέξεως οὕτως· *Χρὴ γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ προειρημέναι, αἵ τε γνωστικαὶ, αἵ τε ζωτικαὶ, καὶ φυσικαὶ καὶ τεχνικαὶ ἐνέργειαι λέγονται. Ἐνέργεια γάρ ἐστιν ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις, ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν.*

Τούτων τοίνυν οὕτω σαφῶς διευκρινηθέντων, καὶ τῆς διαφορᾶς μάλα ἐναργῶς, καὶ ὡς οὐχ ἄλλως ἐνὸν, ἀποδεδειγμένης, *οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις*, κατὰ τὸν θεσπέσιον Παῦλον, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, ταῖς τῶν Πατέρων δήπου θεοπνεύστοις θεολογίαις, ἔδει τοὺς καὶ ὁπωστιοῦν, ἔφη ἡ θεία σύνοδος, περὶ τούτου διαφέρεσθαι πειραθέντας, νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, τὴν τῆς φιλονεικίας νόσον τῆς ἑαυτῶν διανοίας εὐσεβῶς ἐξεληλακέναι, καὶ τοῖς κοινοῖς ἡμῶν καθηγεμόσι καὶ διδασκάλοις τῆς εὐσεβείας εὖ μάλα προθύμως ἐθελῆσαι πεισθῆναι, σάλπιγγος ἁπάσης περὶ διαφορᾶς θείας οὐσίας καὶ θείας ἐνεργείας μονονουχὶ λαμπροτέρας φωνὰς ἀφιεῖσι· καὶ μηδέν τι πλέον μηδόλως ἐπιχειρεῖν αὐτοῖς ἀντιβαίνειν, καὶ πειρᾶσθαι πολυπραγμονεῖν περαιτέρω, τίς ἡ ἐνέρ-

## Fr. Combefisii notæ.

(10) *Ἐπὶ τὸν μηρόν μου.* Reliqui omnes, et ipse Chrys. in eo tractatu et in Gen. ὑπὸ habent, ipsaque Hebr. ut vel librarii errore, vel lapsu memoriæ, alterum alterius loco obrepserit. Sic Matth. VIII. Interpr. Æthiop. ἐπὶ ἐξουσίαν legerit, pro ὑπὸ ἐξουσίαν, dum ex illo redditur, *Nam et ego quidam præfectus sum;* cum aliud potius sonet, *Sub præfecto sum* (sub tribuno scilicet), cum tamen manus aliqua militum ei subesset, sicque illi dicto audiens esset.

Digitized by Google

γεια, καὶ ποταπὴ ἡ διαφορὰ, καὶ πῶς ἂν γένοιτο αὕτη.

Οὐ γὰρ, ὡς ἔοικε, τοῦ Χρυσοστόμου Πατρὸς ἀκηκόασιν, ἐν οἷς τὸ κατὰ Ἰωάννην θεῖον Εὐαγγέλιον ἐξηγεῖται, διδάσκοντος ἀνερμήνευτον καὶ ἀπερινόητον καὶ ὑπὲρ τοὺς τῆς φύσεως νόμους τὴν θείαν ἐνέργειαν εἶναι. *Εἰ γὰρ τούτου*, φησὶ, *τοῦ πνεύματος, οὗ τὴν αἴσθησιν δέχῃ τῇ ἀκοῇ καὶ τῇ ἀφῇ, ἑρμηνεῦσαι οὐκ οἶδας οὐδὲ τὴν ὁδὸν, πῶς τὴν ἀπὸ τοῦ θείου Πνεύματος ἐνέργειαν περιεργάζῃ, τὴν τοῦ ἀνέμου οὐκ ἐπιστάμενος, καίτοι φωνὴν ἀκούων; Τὸ δὲ*, « *Ὅπου θέλει πνεῖ*, » *πρὸς παράστασιν τῆς τοῦ Παρακλήτου εἴρηται ἐξουσίας. Εἰ γὰρ τοῦτο οὐδεὶς κατέχει, ἀλλ' ὅπου θέλει, φέρεται, πολλῷ μᾶλλον τὴν τοῦ Πνεύματος ἐνέργειαν οὐ φύσεως δυνήσονται νόμοι κατασχεῖν, οὐχ ὅροι σωματικῆς γεννήσεως, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν·* οὐδέ γε τοῦ μεγάλου Βασιλείου Εὐνομίῳ ἀντιλέγοντος καὶ θεολογοῦντος, « *Ὡς ἄρα εἰ μέλλοιμεν ἅπαντα τῇ καταλήψει μετρεῖν, καὶ τὸ τοῖς λογισμοῖς ἀπερίληπτον μηδὲ εἶναι τὸ παράπαν ὑπολαμβάνειν, οἰχήσεται μὲν ὁ τῆς πίστεως, οἰχήσεται δὲ ὁ τῆς ἐλπίδος μισθός*. Πῶς δ' ἂν εἴημεν ἔτι τῶν μακαρισμῶν ἄξιοι, τῶν ἐπὶ τῇ πίστει τῶν ἀοράτων ἐπικειμένων, οἱ μόνοις τοῖς κατὰ λογισμὸν ἐναργέσι πειθόμενοι; Πόθεν ἐματαιώθησαν τὰ ἔθνη, καὶ ἐσκοτίσθη ἀσύνετος αὐτῶν καρδία; οὐκ ἐπειδὴ τοῖς τῷ λογισμῷ φαινομένοις ἀκολουθοῦντες, τῷ κηρύγματι τοῦ Πνεύματος ἀπειθοῦσι; Τίνας δὲ Ἡσαΐας ἀπολωλότας ὀδύρεται; οὐ καὶ οἱ σοφοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες; οὐ τοὺς τοιούτους;

Ταῦτα ἐχρῆν αὐτοὺς τῶν ἁγίων θεολογούντων ἀκούειν, καί γ' εὐθὺς ἀσμένως ὑπακούειν, ὡς ἥδιστά τε τούτοις προσεσχηκέναι, καὶ ἀβασανίστως ταῖς τὴν διαφορὰν σημαινούσαις θείαις φωναῖς αὐτῶν ὑποπεπτωκέναι, εὐσεβεῖ σιωπῇ ταύτην στέργοντάς τε καὶ δεχομένους· τὸ δ' ὅπως, ἢ μηδαμοῦ, ἢ μὴ ἐπ' ἀναιρέσει τῆς διαφορᾶς προστιθέντας, εἴπερ ἄρα τοῖς καὶ ὁπωσοῦν εἰς εὐσεβοῦντας τελεῖν δοκοῦσιν, ἑαυτοὺς συγκαταλέγειν ἠξίουν. Ἐπεὶ δὲ εἰς τοσοῦτον ὕβρεως καὶ ἀναιδείας, μᾶλλον δὲ παραπληξίας ἀφίκοντο, ὡς καὶ κατ' αὐτῶν μανῆναι τῶν τε ἁγίων καὶ οἰκουμενικῶν συνόδων, καὶ πάντων, ὡς εἰπεῖν, τῶν ἱερῶν θεολόγων, καὶ τολμᾷν εἰς εὐθύνας ἤδη καὶ τούτους ἄγειν, καὶ τοὺς μὲν, φεῦ! τῶν Ἑλληνικῶν ἔτι καὶ συντρόφων αὐτοῖς δογμάτων ἀπόζειν λέγειν, τοὺς δ' ἀμαθίας γράφεσθαι πλείστης, ὅλην καὶ ταῦτα σύνοδον ὄντας, ἐνίους δ' ὑπ' ἀνάγκης εἰς ταύτην θεολογίαν ἐξῆχθαι, καίτοι μαρτυρίου θάνατον προθύμως ὑπὲρ αὐτῆς ἑλομένους, ἄλλους δ' ἐγκωμιάζοντας οὐκ ἀληθεύοντας ταῦτα γράψαι, (πῶς ἄν τις ἐν μέρει λέγειν τὰς αὐτῶν ἀνάσχοιτο βλασφημίας;) φέρε νῦν ἡμεῖς, διὰ τὸ μὴ καταδέχεσθαι τῶν φιλοχρίστων τὴν ἀκοὴν, ὥς πού τις ἔφη τῶν παρ' αὐτοῖς ἀθετουμένων Πατέρων, ὅ τί ποτε περὶ θείου δόγματος (11) εἴρηται τοῖς ἁγίοις, μὴ σφόδρα ἀληθείας καὶ θεολογικῆς ἀκριβείας ἐξηρτημένον, τῷ παρ' αὐτῶν πρεσβευομένῳ Θεῷ θαῤῥήσαντες, περί τε ἑνώσεως καὶ διακρίσεως τρόπου θείας οὐσίας καὶ ἐνεργείας βραχέ' ἅττα πειραθῶμεν διεξιέναι· οὐκ οἴκοθεν λογισμοὺς ἐφευρίσκειν ἐπιχειροῦντες, εἰς συνηγορίαν τινὰ τῶν ὑπ' αὐτῶν εὐσεβῶς πάλαι τε θεολογηθέντων· ἀλλ' ὅνπερ ἁπανταχοῦ τηρεῖν ἐσπουδάκαμεν νόμον, τὰ τῆς Ἐκκλησίας διὰ τῶν τῆς Ἐκκλησίας διδασκάλων πιστοῦσθαι, καὶ μηδαμοῦ παρ' ἑαυτῶν προστιθέναι ἢ ἀφαιρεῖν τῶν τούτοις δογματισθέντων, τούτῳ δὴ κεχρημένοι κἀνταῦθα, τὴν θείαν ἐνέργειαν ἐκ τῆς θείας οὐσίας εἶναι διαῤῥήδην τῶν ἁγίων βοώντων ἀκηκοότες, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ, καὶ ταύτην εἶναι νομίζομεν, καθάπερ τοῖς διαφερομένοις σὺν πολλοῖς ἑτέροις ἀτόποις καὶ τοῦτο δοκεῖ. Τὸ μὲν γὰρ ἐκ τοῦ Θεοῦ κἀπὶ τῶν κτισμάτων εἴρηται· τὸ δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἐπ' οὐδενὸς εἴρηταί ποτε τῶν ποιημάτων. Μάλιστα μὲν οὖν καὶ ἀπείρηται παντελῶς τοῦτό γε τοῖς ἁγίοις.

Ὅ τε γὰρ μέγας Βασίλειος, *Τὸ ποιούμενον*, φησὶν, *οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντός ἐστι*· καὶ ὁ θεῖος Δαμασκηνὸς, *Ἡ κτίσις, εἰ καὶ μετὰ ταῦτα γέγονεν, ἀλλ' οὐκ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας*. Καὶ πάλιν, *Κτίσις δὲ καὶ ποίησις, τῷ ἔξωθεν, καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος καὶ ποιοῦντος, γενέσθαι, τὸ κτιζόμενον καὶ ποιούμενον, ἀνόμοιον παντελῶς*. Οὐ μὴν ἀλλ' οὐδ' ὡς ἔξω τῆς θείας οὐσίας, αὐτὴν ἐκ τῆς θείας οὐσίας ὑπειλήφαμεν εἶναι, ὥσπερ καὶ τοῦτο ληρεῖν οὐ τοσοῦτον ἀσεβῶς ὅσον ἀμαθῶς τοῖς δι' ἐναντίας ἐπῆλθεν· μήποτέ τις οὕτω φρενῶν ἐκσταίη· ἀλλ' οὐσιώδη καὶ φυσικὴν ταύτην τοῦ Θεοῦ κίνησιν οὖσαν κατὰ τοὺς θεολόγους εἰδότες, ὡς ἐκ πηγῆς ἀεννάου φαμὲν τῆς θείας οὐσίας προέρχεσθαί τε καὶ πηγάζειν, καὶ ταύτης χωρὶς οὐδέποτε θεωρεῖσθαι· ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεὶ διαμένειν, ἐξ ἀϊδίου τε τῇ θείᾳ συνυπάρχειν οὐσίᾳ, καὶ ἀχωρίστως ἡνωμένην εἶναι, μήτ' αἰῶνι μήτε χρονικῷ ἢ τοπικῷ τινι διαστήματι τῆς θείας οὐσίας διαιρεῖσθαί ποτε δυναμένην, ἀλλ' ἀχρόνως καὶ προαιωνίως ἐξ αὐτῆς τε προϊοῦσαν, καὶ ἀδιασπάστως αὐτῇ συνοῦσαν. Ὁ γὰρ μέγας Ἀθανάσιος, *Ὅταν δὲ*, φησὶ, *τὰ πάντα ἐνεργεῖται ὑπὸ τοῦ Θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ Πνεύματι*,

## Fr. Combefisii notæ.

(11) *Ὅ τι ποτὲ περὶ θείου δόγματος*. Verum istud cum, plerique Patres consentiunt, nec alii aliis adversantur, ut sint testes communis fidei, et traditionis vindices. Hic vero nullus est Patrum quem Palamitæ evincant sic crasse, sic stupide ac illi, de Deo sensisse, nec ejus in nobis dona, creata agnovisse, ipsa Dei in se virtute, increata; virtualiter solum, non reipsa emanante ab essentia, deque illa exsistente : quod habent omnes Dei dotes, quas vocant attributa; de quibus proinde est divina scientia, id est, theologia; vere ipsa demonstrans per causam virtualem, seu rationem formalem; non quod sint aliqua vere producta, eoque realiter distincta, nec ipsa Dei essentia.

Digitized by Google

*ἀχώριστον ὁρῶ ἐνέργειαν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος.* Καὶ ὁ ἐν ἁγίοις θεῖος Ἀναστάσιος, οὗ καὶ ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος (12) μεμνημένη, *Μέγαν* τοῦτον προσείρηκεν, ἐν τῷ περὶ ἀπεριγράπτου αὐτοῦ δευτέρῳ λόγῳ, *Ἴδωμεν*, φησὶν, *οἷα λέγειν περὶ Θεοῦ ἀνέχονται οἱ αἱρετικοί. Τῇ ἐνεργείᾳ*, φησὶν, *ἐν πᾶσίν ἐστιν ὁ Θεὸς* (13), *τῇ οὐσίᾳ δὲ οὐδαμοῦ· ἐνέργειαν λέγοντες τὸ προϊὸν ἐκ τῆς ἐνεργείας ἀποτέλεσμα. Φαίην δ' ἂν ἔγωγε, τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ.* Καὶ μετά τινα, *Ἔνθα ἂν ἡ ἐνέργεια φάναι, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία, ἐξ ἧς προέρχεται. Ἑκάτερον γὰρ ἀπερίγραπτον, καὶ διὰ τοῦτο παντελῶς ἀλλήλων ἐστὶν ἀχώριστα. Κηρύττει μὲν γὰρ ἡ ἐνέργεια τὴν λανθάνουσαν οὐσίαν·* B *θεωρεῖται δὲ συμπαροῦσα τῇ ἐνεργείᾳ, χωρὶς αὐτῆς εἶναι μὴ δυναμένη.* Καὶ αὖθις, *Περὶ τὸ πᾶν ἐστιν ἡ ἐνέργεια· ταύτης δὲ ἀχώριστος ἡ οὐσία καθέστηκεν.*

Ἀλλὰ μὴν ὥσπερ τὴν ἕνωσιν θείαν καὶ ἀΐδιον οὐ μόνῳ τῷ ἀχωρίστῳ, ἀλλ' ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ τῇ κοινότητι τοῦ ἀκτίστου καὶ ἀπεριγράπτου κατὰ τὴν τῶν ἁγίων θεολογίαν κηρύττομεν, οὕτω καὶ τὴν διαφορὰν κατ' αὐτοὺς πάλιν θεοπρεπῆ, καὶ ταύτην δοξάζειν ἐγνώκειμεν· οὐκ εἰς παντελῆ διασπασμὸν ἐντεῦθεν αὐτὰ καὶ διαίρεσιν κατασπῶντες οὐδέ τινα ἔμφυλον τὴν διαφορὰν ταύτην καὶ φυσικὴν ἀλλοτρίωσιν ἐννοοῦντες, ἢ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἄπαγε, ἀλλ' οἵαν ἐπιδέχεσθαι C τὰ κατὰ φύσιν αἴτια καὶ αἰτιατὰ μεμυήμεθα παρὰ τῶν ἁγίων, μόνῳ τῷ λογισμῷ θεοπρεπῶς διακρίνοντες τὰ φύσει ἡνωμένα καὶ ἀδιαίρετα. Ἀθανάσιος γὰρ ὁ μέγας ἐν τῷ κατὰ Ἀρειανῶν πέμπτῳ λόγῳ αὐτοῦ, *Ἄλλο* φησὶν *εἶναι τὸ ἔκ τινος καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι* (14). *Κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατὸν, γεννῶν καὶ γεννώμενον, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται.* Οὐκοῦν καὶ τὴν ἐνέργειαν ἐκ τῆς οὐσίας εἶναι, καὶ δύο εἶναι, κἀντεῦθεν διενηνοχέναι ἀλλήλων, ἐναργῶς ἀναπέφηνε, κατὰ τὸ ἐξ οὗ καὶ ἔκ τινος, τὸ αἴτιον δηλαδὴ καὶ τὸ αἰτιατὸν, ὡς ὁ πολὺς οὗτος τὰ θεῖα διδάσκει θεολογῶν. Καὶ μετά τινα, *Ἔστω* A *δὲ*, φησὶ, *παράδειγμα ἀνθρώπινον· τὸ πῦρ, καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα· δύο μὲν τῷ εἶναι καὶ ὁρᾶσθαι, ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ.* Ὥσπερ τοίνυν ἐπὶ τοῦ πυρὸς καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς, τοῦ μὲν φύσεως καὶ αἰτίου ὄντος, τοῦ δὲ φυσικοῦ καὶ αἰτιατοῦ, τό τε ἓν διὰ τὸ ἀχώριστον, καὶ τὸ διάφορον αὖθις διὰ τὸ αἴτιον καὶ αἰτιατὸν εἴρηκεν· οὕτω κἀπὶ τῆς θείας φύσεως καὶ τῆς ἐξ αὐτῆς ἐνεργείας τὸ ἓν καὶ τὸ διάφορον ἡμῖν ἐκληπτέον· τὸ μὲν κατὰ τὸ ἡνωμένον καὶ ἀδιαίρετον, τὸ δὲ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ δὴ τοῦ αἰτίου. Οὔτε γὰρ τὸ ἓν τὴν διαφορὰν ἀπελαύνει, οὔτε μὴν ὅλως ἡ διαφορὰ τὸ ἓν ἀνατρέπει· ἀλλ' ἑκάτερον κατὰ τοὺς ἁγίους εὐσεβῶς θεωρούμενον οὐδ' ὁτιοῦν παρὰ θατέρου ὑποστῆναι B δυνήσεται.

Ἀλλὰ καὶ ὁ Νύσσης Γρηγόριος τὴν ἐν τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς διαφορὰν εὖ μάλα εἰδὼς ἀληθείας ἐξεχομένην, καὶ μηδ' ὁπωσοῦν τῷ κατὰ τὴν φύσιν διαφόρῳ λυμαινομένην, Ἀβλαβίῳ γράφων, *Τὸ ἀπαράλλακτον*, ἔφη, *τῆς φύσεως ὁμολογοῦντες, καὶ τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον ἐκ τοῦ ἑτέρου καταλαμβάνομεν, ἐν τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δ' ἐκ τοῦ αἰτίου.* Ὁ δέ γε ἀδελφὸς αὐτοῦ καὶ μέγας ὄντως Βασίλειος τοσαύτην φαίνεται ἁπαξαπλῶς τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς τὴν διαφορὰν παρέχων, ὡς καὶ τάξιν ἐκ φυσικῆς ἀκολουθίας ἐπ' αὐ- C τῆς δογματίζειν, καὶ τὸ πρότερον καὶ τὸ δεύτερον ἐπί τε αἰτίου καὶ αἰτιατοῦ λέγειν· οὑτωσὶ διαῤῥήδην, ὡς καὶ τῶν ἀτόπων καὶ παραλόγων εἶναι νομίζειν τὸ μὴ ὁμολογεῖν, ἀλλ' ἀρνεῖσθαι ταῦτα πειρᾶσθαι· καὶ ἢ μὴ συνιδεῖν τὴν διαφορὰν τὸν Εὐνόμιον ταύτην ἔφη, ἢ καὶ ἀποκρύψασθαι ταύτην ἑκόντα, γράφων, *Ἐκεῖνο δὲ ἢ οὐ σύνοιδεν ὁ Εὐνόμιος, ἢ ἑκὼν ἀπεκρύψατο· ὅτι ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῖν θεωρίας συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν· δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ· οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον.*

## Fr. Combefisii notæ.

(12) Nempe synodus VII.

(13) *Τῇ ἐνεργείᾳ ἐν πᾶσίν ἐστιν ὁ Θεός.* Ἐνέργειαν accipit Anastasius, ut se tenet ex parte Dei; virtutem scilicet agendi connotando effectum, quæ sane ab essentia inseparabilis est, eamque manifestat et prædicat, illi perpetuo comes; sed non velut alia res, sed ipsa essentia, etsi non sub ratione essentiæ. Sic ait eam esse περὶ τὸ πᾶν, *circa universum*, prout scilicet providentia est; quam aliud ab essentia ipsoque Deo reipsa facere, longe abest a vero.

(14) *Ἄλλο τὸ ἔκ τινος καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι.* Ita recte Athanasius in Trinitate, in qua fides distinctas personas et subsistentes κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν docet: nec locum in ἐνεργείᾳ aut virtute habet, ne tot in Deo personas admittamus, quot sunt in eo dotes et ἐνέργειαι, vel tot acci- D dentia et qualitates realiter distinctas habere, iisque compositum esse; quod erratica synodus et Palamas debuit advertere, non sic Athanasii Patrumque aliorum auctoritates alio sensu detorquere. Athanasii interpr. sive Nannius sive alius est: *Aliud fuerit quod ex aliquo naturam accepit: et aliud quod sui alteram naturam dedit*, scripserit: *Quod suam alteri naturam dedit.* Sic enim sensus constat, cum alias gravis error in Trinitate sit. Sequentibus etiam quod ita habet Athan. Ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ, non bene redditum: *Cum tamen splendor ab igne sit indivisibilis.* Est enim. *Unum vero* (ignis et splendor sive lux, quæ duo et esse et videri dixerat) *ea ratione quod splendor ex illo est et ab eo indivisibilis.*

Digitized by Google

Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας;

Πάρεστι τοίνυν ἅπασιν ἀκριβῶς συνειδεῖν ἐκ τούτων τοῖς καὶ ὁπωσοῦν λογίζεσθαι δυναμένοις, ὅπως τὸν ἴσον τρόπον ἀληθείας ὁμοῦ καὶ εὐσεβείας ἐμέλησε τῷ ἁγίῳ. Τῷ μὲν γὰρ *οὐκ ἐκ τῆς παρ' ἡμῶν θεωρίας συνίστασθαι φάναι, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαίνειν*, ἐξ ἀφύκτου καὶ πολλῆς καὶ φυσικῆς ἀνάγκης καὶ λαμπρᾶς ἀληθείας ἔδειξεν οὖσαν τὴν ἐν τῇ τάξει ταύτῃ διαφορὰν τῶν αἰτιατῶν τε καὶ τῶν αἰτίων· καὶ ἄλλως ἔχειν μηδέποτε ἐγχωροῦσαν, ἀλλ' ἀεὶ τούτοις ἀναγκαίως αὐτὴν ἐνθεωρουμένην· τῷ δὲ μὴ διαστήματι, ἀλλὰ τῷ λογισμῷ χωρίζειν ταῦτα ἐπενεγκεῖν, καὶ τὴν ἐν τῷ προτέρῳ καὶ δευτέρῳ διαφορὰν μόνῳ τῷ νῷ θεωρεῖν, φαίνεται δήπου τὸ τῆς ἑνώσεως χρῆμα εὐσεβῶς κατησφαλισμένος, καὶ μηδεμίαν εἰς αὐτὴν ἐκ τῆς διακρίσεως ταύτης βλάβην εἰσάγων, ἀλλ' αὐτὴν τὴν ἕνωσιν ἀσύγχυτον εἶναι θεολογῶν, καὶ τὴν διαφορὰν ἀδιαίρετον πάντῃ διδάσκων.

Πάλιν τοίνυν Εὐνομίου τὴν τοιαύτην διαφορὰν ἀνελεῖν πειρωμένου ὁ μέγας οὗτος, *Πῶς*, φησίν, *οὐδεμίαν διαφορὰν καταλείπεις, οὐδὲ τὴν ἐν τοῖς αἰτίοις πρὸς τὰ ἐξ αὐτῶν ἐνυπάρχουσαν* (15); Οὕτω τὸ μηδεμίαν διαφορὰν ἐπὶ τῶν αἰτίων καὶ αἰτιατῶν εἶναι δοξάζειν τῆς Ἀρείου καὶ Εὐνομίου μανίας πρόδηλός ἐστι τόκος. Ἐκεῖνοι γὰρ τὸ ὁμοούσιον ἀναιρεῖν πᾶσι τρόποις ἐσπουδακότες, ἀκηκοότες ἐν Εὐαγγελίοις τοῦ Κυρίου τὸν Πατέρα μείζονα ἑαυτοῦ εἰρηκότος, ἐντεῦθεν εὐθὺς τὴν μὲν κατὰ φύσιν διαφορὰν δυσσεβῶς παρεισάγειν ἐτόλμων· τὴν δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατόν, ὡς μηδεμίαν μηδαμοῦ φυσικὴν ἀλλοτρίωσιν ἢ διαίρεσιν δυναμένην εἰσάγειν εἰδότες, ἀλλὰ καὶ οὕτω τὴν τῆς φύσεως ἕνωσιν ἀδιάλυτον ἀεὶ συντηροῦσαν, ἀπηρνοῦντο καθάπαξ· πρὸς οὓς οἱ τρεῖς οὗτοι, τὸν ὑπὲρ τῆς Τριάδος ἀνελόμενοι γενναίως ἀγῶνα, ὡς ἐκείνων τὴν δυσσέβειαν ταύτην οὖσαν, καὶ τὸ μέγα καὶ ὑπερφυὲς τῆς Τριάδος μυστήριον ἀναιροῦσαν, τῆς ἡμετέρας αὐτὸ Ἐκκλησίας ἀπελαύνουσιν ὡς δυνατὸν πῤῥωτάτω.

Τοιγαροῦν εἰκότως οἱ μὲν τὴν διαφορὰν ταύτην ἀθετοῦντες νῦν τῆς ἐκείνων κακοδοξίας ἁλίσκονται μετεσχηκότες· οἱ δὲ στέργειν τε καὶ ἀσπάζεσθαι προθύμως ὁμολογοῦντες τῆς τῶν ἁγίων τούτων εὐσεβείας τε καὶ θεολογίας, μᾶλλον δὲ τῆς τοῦ Χριστοῦ μερίδος, διατελοῦσιν ὄντες· ἡνωμένως κατ' αὐτοὺς τὰ θεῖα διακρίνοντες, καὶ διακεκριμένως ταῦτα ἑνοῦντες. Ἓν μὲν δὴ καὶ πρῶτον, καὶ κυρίως ἄν τις φαίη τῆς τε θείας οὐσίας καὶ ἐνεργείας διακρίσεως εἶδος.

Διενηνόχασι δὲ ἀλλήλων καὶ τῷ τὴν μὲν θείαν ἐνέργειαν μετέχεσθαι καὶ μερίζεσθαι ἀμερίστως, καὶ ὀνομάζεσθαι καὶ νοεῖσθαι καί πως, εἰ καὶ ἀμυδρῶς, ἐκ τῶν αὐτῆς ἀποτελεσμάτων· τήν γε μὴν οὐσίαν ἀμέθεκτον καὶ ἀμέριστον καὶ ἀνώνυμον εἶναι, ὡς ὑπερώνυμον δηλονότι καὶ ἀπερινόητον παντελῶς.

Μετὰ τοῦτο ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν ἁγίων, εἰ ἔστιν ἄκτιστος (16) ἡ ἀχώριστος μέν, διαφέρουσα δὲ τῆς θείας φύσεως, αὕτη ἐνέργεια, ὅπερ οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ ἥκιστα ἐδέχοντο. Καὶ ἀπεδείχθη καὶ τοῦτο ὑπὸ τῶν ἁγίων ἐναργῶς κηρυττόμενον· ὧν κεφάλαιον ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, καθὼς ἀνωτέρω διὰ τῶν κατὰ μέρος προτεθέντων αὐτῆς ῥητῶν μάλιστα ἱκανῶς ἀποδέδεικται.

Συναπεδείχθη δὲ καὶ τοῦτο, ὅτι οἱ μὴ δεχόμενοι ἄκτιστον τὴν ἀχώριστον μὲν καὶ φυσικὴν τῆς θείας οὐσίας ἐνέργειαν, διαφέρουσαν δὲ αὐτῆς, ὥσπερ εἴρηται, κτίσμα τε ποιοῦσι καὶ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ. Κατὰ γὰρ τὸν ἅγιον Μάξιμον, *Ἀπὸ τῆς ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται*· τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνυούσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς· ἔτι τε κατὰ τὸν Δαμασκηνὸν θεῖον Ἰωάννην φάσκοντα, *Ἡ κτιστὴ ἐνέργεια κτιστὴν δηλώσει καὶ φύσιν· ἡ δὲ ἄκτιστος ἄκτιστον χαρακτηρίζει οὐσίαν*. Οἱ οὖν λέγοντες κτιστὴν τὴν θείαν ἐνέργειαν, ἀφ' ἧς ἡ θεία φύσις χαρακτηρίζεται, κτιστὴν ἐξ ἀνάγκης παριστῶσι καὶ τὴν θείαν φύσιν.

Οὐ μὴν ἀλλὰ καὶ Μονοθελῆταί εἰσι, τῶν πώποτε ἐκείνων χείρους καὶ ἀτοπώτεροι· καὶ προαιώνια δοξάζουσιν εἶναι κτίσματα. Ἐπεὶ γὰρ δύο φύσεις ὁμολογοῦμεν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν (17)· οἱ μὴ λέγοντες ἔχειν τὴν θείαν φύσιν καὶ θέλημα καὶ ἐνέργειαν ἄκτιστον ἓν θέλημα καὶ μίαν ἐνέργειαν δοξάζουσιν ἐπὶ Χριστοῦ, ὅπερ ἡ ἕκτη σύνοδος ἀπεκήρυξε καὶ ἀνεθεμάτισε. Κἀντεῦθεν Μονοθελῆται καὶ αὐτοὶ ἀναδείκνυνται· χείρους δὲ ἐκείνων πολλῷ, ὅσον κἀκεῖνοι μὲν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔλεγον ἐπὶ Χριστοῦ, ἀλλὰ ἄκτιστον, τὴν κτιστὴν δήπουθεν ἀναιροῦντες· οὗτοι δὲ ἓν θέλημα καὶ μίαν ἐνέργειαν, ἀλλὰ κτιστήν, τὴν ἄκτιστον φανερῶς μὴ δεχόμενοι.

Ἀλλὰ καὶ τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρὸς Ἀμφιλόχιον γράφοντος, *Τὰ μὲν ὀνόματα τοῦ Πνεύματος τοιαῦτα ὑπερφυῆ καὶ μεγάλα, οὐ μέντοι ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν· αἱ δὲ ἐνέργειαι τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος· πῶς γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα*; Τίνες ἦσαν αὐτοῦ πρὸς τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Οἱ λέγοντες κτιστὰς τὰς θείας ἐνεργείας φανερῶς δοξάζουσιν εἶναι κτίσματα τῶν αἰώνων ἐπέκεινα. Ἐδείχθη δὲ καὶ τοῦτο, ὅτι ἄκτιστοι αἱ κοιναὶ καὶ φυσικαὶ τῆς τρισυποστάτου φύσεως θεῖαι ἐνέργειαι· οὐ

## Fr. Combefisii notæ.

(15) Ita sane in Trinitate divinisque personis, non in operatione seu virtute.

(16) Increata in se, non in effectu, id est virtus agendi, non ἐνέργημα. quod ipsum ἐνέργεια dicitur.

(17) Nugæ, una illa distinctione elidendæ.

Digitized by Google

διὰ δύο ἢ τριῶν μαρτυριῶν, ἀλλὰ διὰ πάσης τῆς θεοπνεύστου Γραφῆς.

Μετὰ τοῦτο ἐζητήσαμεν παρὰ τῶν ἁγίων, εἰ μηδεμίαν ἔχοι τις ἂν ἐπινοεῖν σύνθεσιν ἐπὶ Θεοῦ διὰ τὴν τῆς θείας οὐσίας καὶ ἐνεργείας διαφοράν. Καὶ τοῦτο γὰρ οἱ ἀντιλέγοντες ἰσχυρίζονται. Ἀπεδείχθη οὖν παρὰ τῶν ἁγίων ἁπάντων κηρυττόμενον ὡς οὐκ ἔστι σύνθεσίν τινα παρὰ τοῦτο νομίζειν ἐπὶ Θεοῦ. Ὁ γὰρ θεῖος Μάξιμος ἐν οἷς πρὸς Πύῤῥον διαλέγεται, φανερώτατα δείκνυσιν μή τινα σύνθεσιν ἐκ τῆς ἐνεργείας γίνεσθαι· *Ὁρᾷς*, λέγων τῷ Πύῤῥῳ, *ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων, καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων* (18) *εἰσίν· καὶ τοῦτο κοινὸν φρόνημα πάντων, καὶ τῶν ἔξω φιλοσόφων, καὶ τῶν τῆς Ἐκκλησίας θεοσόφων* B *μυσταγωγῶν. Εἰ δὲ τῶν θελημάτων σύνθεσιν λέγετε, καὶ τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε.*

Ἀλλὰ καὶ ὁ Νύσσης Γρηγόριος ἐν ἕκτῳ κεφαλαίῳ τῆς εἰς τὴν Ἑξαήμερον ἀναπληρώσεως οὕτω πρὸς λέξιν διέξεισιν· *Εἰ τοίνυν ἐν τῷ ἀνθρώπῳ, κἂν διάφορα τυγχάνῃ τὰ πρὸς αἴσθησιν κατεσκευασμένα παρὰ τῆς φύσεως ὄργανα, διὰ πάντων ὁ νοῦς ἐνεργῶν καὶ κινούμενος, καὶ καταλλήλως ἑκάστῳ πρὸς τὸ προκείμενον κεχρημένος, εἷς ἐστι καὶ ὁ αὐτὸς, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάττων τὴν φύσιν· πῶς ἄν τις ἐπὶ Θεοῦ διὰ τῶν ποικίλων δυνάμεων πολυμερὲς τὰ τῆς αὐτοῦ οὐσίας καθυποπτεύσειεν;* C

Ἀλλὰ καὶ τοῦτο συναπεδείχθη, ὅτι οἱ κατὰ τοὺς ἀντιλέγοντας μὴ δεχόμενοι τὴν διαφορὰν τῆς θείας ἐνεργείας, καὶ ἁπλῶς πάντων τῶν περὶ τὴν φύσιν καὶ οὐσίαν φυσικῶς θεωρουμένων, ἐκεῖνοι σύνθετον μᾶλλον ποιοῦσι τὸν Θεὸν, τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος, *Εἴπερ εἰς τὴν οὐσίαν φέροντες πάντα τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι·* καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου γράφοντος, *Ἢ καὶ τὸ ἀθάνατον καὶ τὸ ἄκακον καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ. Ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον τὸ Θεῖον ἐκ τούτων. Οὐ γὰρ ἀσυνθέτως ταῦτα,* D *εἴπερ οὐσίαι·* ἔτι καὶ τοῦ θείου Κυρίλλου, *Οὐ γὰρ οὐσία τὸ ἀγέννητον, ἢ τὸ ἄφθαρτον ἢ τὸ ἀθάνατον ἢ τὸ ἀόρατον. Εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκει-* A *ται ὁ Θεὸς, ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται. Πολλὰ γάρ ἐστιν, ἃ μόνῳ μὲν αὐτῷ πρόσεστιν, ἑτέρῳ δὲ τῶν ἁπάντων οὐδενί·* καὶ τοῦ θείου Χρυσοστόμου, *Τοῦ Πνεύματος τὴν χάριν ἡ Γραφὴ ποτὲ μὲν πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ταῦτα ὀνόματα, ἀλλ' ἐνεργείας· οὐ γὰρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τὸ Πνεῦμα, ἀόρατόν τε καὶ μονοειδὲς ὄν·* καὶ τοῦ Νύσσης πρὸς Εὐνόμιον λέγοντος, *Τίς ὁ διφυᾶ τὸν Θεὸν εἶναι λέγων πλὴν σοῦ τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Πατρὸς οὐσίᾳ συμφύοντος, καὶ μηδὲν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ τῶν θείων ὀνομάτων τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐγκεντρίζοντος;*

Μετὰ τοῦτο ἐζητήθη, εἴ γε ἡ θεία καὶ ἄκτιστος B ἐνέργεια Θεότης παρὰ τῶν ἁγίων προσαγορεύεται. Οὐδὲ γὰρ τοῦτο οἱ νῦν ἀντιλέγοντες παρεδέχοντο. Καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ τῶν θεολόγων κηρυττόμενον. Αὐτίκα γὰρ ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου, *Καὶ αὐτὸ*, φησι, *τὸ τῆς Θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικὴν εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, οἰκείως εἶχε πρὸς τὸ ἀνθρώπινον.* Καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Εὐστάθιον τὸν ἰατρὸν ἐπιστολῇ, *Οὐκοῦν*, φησίν, *ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον. Ὥστε, κἂν φύσιν σημαίνῃ τὸ τῆς Θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν προσαρμόζε-* C *σθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς Θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες.* Καὶ μετά τινα· *Οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν* D *αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μέν ἐστιν οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας*

Fr. Combefisii notæ.

(18) *Καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων*, sive ut alii Romæ codd., καὶ οὐχ ἰδίῳ λόγῳ θεωρουμ. Et hic Palamitarum strues, Maximique auctoritatis abusus. Respondet Maximus Pyrrho, volenti ex duabus voluntatibus unam voluntatem compositam fieri: idque Maximus inficiatur, omnique sacræ ac profanæ philosophiæ merito adversari contendit, nec esse eorum quæ sic in alio spectentur, non propria ratione inter se compositionem; non autem negat esse cum substantia, ad quod tamen inficeti homines assumunt. Quis enim neget compositionem subjecti et accidentis, ubi maxime realis distinctio est, quæ manifestior apparet in qualitatibus tertiæ speciei; quæ præcipue accedunt et recedunt? nam potentias, sunt qui nolint plus quam ratione aut formaliter ab essentia distingui; cum qua proinde non tam physica et realis, quam metaphysica et rationis compositio erit; quæ nec ipsa in Deo ob summam eminentiam et quasi transcendentiam admittenda sit: eo scilicet fundamento, quod in creatis, quantumvis simplicibus, occurrit.

Digitized by Google

*ὀνομαζομένων*. Καὶ πάλιν ὁ αὐτὸς μέγας Βασίλειος A ἐν τῇ αὐτῇ ἐπιστολῇ, *Εἴτε ἐνεργείας ὄνομα ἡ Θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὕτω μίαν φαμὲν εἶναι καὶ τὴν Θεότητα· εἴτε καὶ κατὰ τὰς τῶν πολλῶν δόξας φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς Θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν, οὐκ ἀπεικότως μιᾶς Θεότητος τὴν ἁγίαν Τριάδα ὁριζόμεθα.*

Καὶ ὁ ἅγιος Ἀναστάσιός φησιν, *Ἡ Θεὸς προσηγορία πρόδηλον ὡς ἐνεργητικὴ τυγχάνει· οὐ γὰρ αὐτὴν τὴν τοῦ Θεοῦ οὐσίαν παρίστησιν· ἀδύνατον γὰρ ταύτην γνῶναι· ἀλλὰ τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν ἡμῖν παρίστησι καὶ δηλοῖ τὸ Θεός*. Καὶ πάλιν ὁ αὐτὸς, *Τὸ Θεὸς ὄνομα οὐ τὴν οὐσίαν τῆς Θεότητος σημαίνει· ἀκατά-* B *ληπτος γὰρ αὕτη καὶ ἀνώνυμός ἐστιν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας Θεὸς εἴρηται, ὥς φησιν ὁ ἅγιος Διονύσιος, ἢ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, ἢ ἐκ τοῦ αἴθειν, ὅ ἐστι φλογίζειν*. Ὁ δὲ αὐτὸς μέγας Διονύσιος, *Εἰ τὴν ὑπερούσιον*, φησὶ, *κρυφιότητα Θεὸν ἢ ζωὴν ἢ οὐσίαν ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικὰς ἢ οὐσιοποιοὺς, ἢ ζωογόνους ἢ σοφοδώρους. Αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, μηδεμίαν ὁρῶντες θέωσιν ἢ ζωὴν ἢ οὐσίαν, ἥτις ἐμφερής ἐστι τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ.*

Καὶ πάλιν ὁ αὐτός φησι, *Θεότης ἐστὶν ἡ πάντα* C *θεωμένη πρόνοια*. Ὅτι δὲ ἡ πρόνοια ἐνέργειά ἐστιν, καὶ ἀπ' ἄλλων μὲν τοῦτο γνώριμον, μάλιστα δὲ καὶ ἀφ' ὧν ὁ μέγας Ἀθανάσιος γράφει, λέγων, *Οὐ κατὰ ἄλλην καὶ ἄλλην πρόνοιαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐργάζεται, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτὴν οὐσιώδη τῆς Θεότητος ἐνέργειαν*. Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος πάλιν ἐν τῇ πρὸς Γάϊον δευτέρᾳ ἐπιστολῇ *Θεότητά* φησιν *εἶναι τὸ χρῆμα τοῦ θεοποιοῦ δώρου, καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα.*

Ἐπὶ τούτοις, ἐπειδήπερ τὴν τοιαύτην δωρεὰν τοῦ Πνεύματος καὶ ἐνέργειαν, δηλαδὴ τὴν θέωσιν, καθ' ἣν οἱ ἅγιοι θεοῦνται, Θεότητα παρὰ τῶν ἁγίων προσαγορευομένην, οἱ τῷ Θεσσαλονίκης ἀντιλέγοντες λέγουσιν εἶναι θεότητα κτιστὴν, κατασκευάζοντες τοῦτο ἐκ τοῦ ὑποστάτην αὐτῆς εἰρῆσθαι παρὰ τοῦ μεγάλου Διονυσίου τὸν Θεὸν, καὶ μίμημα καλέσαι ταύτην, καὶ τῶν μετεχόντων σχέσιν, δυσσεβῶς μὲν αὐτοὺς λέγειν ἀπεφήνατο ἡ ἱερὰ σύνοδος· ὅμως ζητηθέντος καὶ τούτου παρὰ τῆς θείας συνόδου, Εἴπερ εἶπέ τις τῶν ἁγίων ἄκτιστον εἶναι B τὴν θέωσιν, καὶ εἴπερ ἡ σχέσις καὶ τὸ μίμημα καὶ τὸ ὑπέστη καὶ ἐπὶ τῶν ἀκτίστων λέγεται, προεκομίσθησαν ῥήσεις τῶν ἁγίων, οὐκ ἀεὶ ἐπὶ κτιστῶν δηλοῦσαι λέγεσθαι ταῦτα. Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν, *Ὁ τετοκὼς βώλους δρόσου* (19) *οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν ὑπεστήσατο*. Κἂν τῷ πρώτῳ δὲ τῆς Ἑξαημέρου, *Ἵνα δειχθῇ*, φησὶν, *ὅτι ὁ κόσμος τεχνικόν ἐστι κατασκεύασμα, προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτοῦ τὴν τοῦ ποιήσαντος σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινὶ φωνῇ ἐχρήσατο ὁ σοφὸς Μωϋσῆς περὶ αὐτοῦ, ἀλλ' εἶπεν, « Ἐν ἀρχῇ ἐποίησεν, » οὐχὶ ἐνήργησεν, οὐδὲ ὑπέστησεν, ἀλλ' ἐποίησεν· καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ* C *Θεῷ τὸν κόσμον οὐχὶ γεγεννῆσθαι παρ' αὐτοῦ συνεχώρησαν*. Συναπεδείχθη δὲ ἀπὸ τούτου ὅτι καὶ τὸ ἐνεργεῖν καὶ τὸ ἐνεργεῖσθαι οὐ μόνον ἐπὶ κτιστῶν, ἀλλὰ καὶ ἐπὶ ἀϊδίων καὶ ἀκτίστων δύναται λέγεσθαι· ἐπεὶ καὶ τὴν χάριν ἐνεργουμένην ἀκούοντες οἱ διαφερόμενοι, κτιστὴν εὐθὺς εἶναι νομίζουσιν. Ὁ γὰρ μέγας ἐν θεολογίᾳ Γρηγόριος, *Ἔστω*, φησὶ, *καὶ ἐνεργείας, εἰ τοῦτο δοκεῖ· οὐδὲ οὕτως*

## Fr. Combefisii notæ.

(19) *Ὁ τετοκὼς βώλους δρόσου*. Sic Sixt. nulla alia lect. Flaminio adducta, cum Complut., Basil., etc, melius habeant βόλους, *stillas roris*: quid enim glebæ ad rorem, cum glebæ crassiores sint, ros guttis minutissimis cadat, Deo terram (seu potius in ea plantas et fruges) molliter infundente, eoque munere roris quasi parente ac genitore, ut debuerint sapientissimi senes οἱ LXX, βώλους reddere, reclamantibus Hebr. ac quotquot ex illis vel pressa interpretatione, vel paraphrasi reddidere? Codex Alexandr. συνοχὰς καὶ βώλους δρόσου habet; sed adjectitiam vocem συνοχὰς nemo non videt, ac scholii loco primum positam, studioso quodam molliente τὸ βώλους, et ostendente ut *roris glebæ* dici ac intelligi queant; nempe ut jam ros infudit terræ faciem, certisque partibus illi continue hæret. Vis ista in verbis, satis molesta; nec ex illis facile consurgat theologicum argumentum, quod omnino sit efficax, tanta Græcis in verbis licentia, ubi præsertim ἀντιλογία est non ὁμολογία, in quarum prima non omnino servatur ἀκρίβεια. Satis enim est undecunque adversarium elidas probabili quadam specie, etsi non accurata omnino et explorata veritate illius argumenta eludendo, qua se methodo usum profitetur Palamas. D Videtur Basilius in voce ἐνεργεῖν, velut naturalem quamdam operationem spectasse et quasi necessariam emanationem, secundum quam mundus coævus Deo posset intelligi, ea ratione qua ἐνέργεια cujusque rei actus dicitur et virtus. Vox vero ὑφίστημι sonat subsistentiam dare, cujus usus frequentissimus est in incarnatione, in qua passim Verbum dicitur sibi ὑποστήσασθαι humanam naturam, quasi in se condidisse, ut in se subsisteret ei dedisse. Nostri theologi longe barbara voce *suppositandi* videntur expressisse, Deus Dionysio ἄσχετος celebratur, supra omnem σχέσιν quod Maxim. et Pachym. de habitu exponunt; potestque exponi de omni habitu, et quasi qualitate, vel relatione et habitudine, ut ἄσχετος sit absolutus et πάντων ἐξῃρημένος, ut alibi loquitur idem Dionys. Hincque nostri theologi veram in Deo seu realem relationem ad creaturas negant, voluntque denominari a relatione quæ est in creatura, et quasi extrinsece; ut relatio in Deo sit ipsa divina virtus, ἐνέργεια, vis ipsa agendi, ut connotat effectum, ipsa in se semper eadem, nulla evariatione aut mutatione ante et post effectum, perseverans.

Digitized by Google

*ἡμᾶς αἱρήσετε· αὐτὸ δὲ τοῦτο ἐνηρτηκὼς ἂν εἴη τὸ ὁμοούσιον.*

Καὶ ὁ Νύσσης δὲ θεῖος Γρηγόριος, *Οὐ τρεῖς Θεοὺς ὀνομάζειν*, φησὶ, *δυνάμεθα, τοὺς τὴν θεϊκὴν καὶ ἐποπτικὴν ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας.* Περὶ δὲ τοῦ μιμήματος εἶπεν ὁ Θεσσαλονίκης ὡς ὁ μέγας Διονύσιος τῷ μιμήματι τὸ ἀμίμητον προσέθηκεν· ὥστε τὸ θεοποιὸν δῶρον οὐ μᾶλλον μίμημα ἢ ἀμιμησία. Φησὶ καὶ ὁ Θεολόγος Γρηγόριος μίμημα εἶναι καὶ τοῦ Πατρὸς τὸν Υἱὸν, γράφων ἐν τῷ δευτέρῳ τῶν περὶ Υἱοῦ, *Εἰκὼν τοῦ Πατρὸς ὡς ὁμοούσιος, καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ. Αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ λέγεται.* Ὥστε τὸ μίμημα οὐκ ἐμποδίζει πρὸς τὸ ἄκτιστον εἶναι τὴν θέωσιν. Σχέσις δέ ἐστι καὶ ἡ τοῦ Θεοῦ πρόνοια πρὸς τὰ προνοούμενα· καὶ ἡ πρόγνωσις αὐτοῦ πρὸς τὰ προγινωσκόμενα· καὶ οἱ ἐξ ἀϊδίου ἐν τῷ Θεῷ προορισμοὶ, πρὸς τὰ προοριζόμενα. Ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τὸ σχέσιν εἶναι πρὸς τὸ ἄκτιστον εἶναι. Ὥστε οὐδὲ ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος, αὐτὴ ἡ θέωσις, ἔστι κτιστὴ, διότι σχέσις ἐστὶ πρὸς τὰ θεούμενα. Ὅτι γὰρ ἄκτιστός ἐστι, σαφῶς καὶ συντόμως παραστήσει καὶ ὁ θεῖος Μάξιμος, γράφων, *Ἡ θεία χάρις, εἰ καὶ ἀπόλαυσιν δίδωσι τοῖς κατὰ χάριν μετέχουσι, ἀλλ' οὐ κατάληψιν. Μένει γὰρ καὶ τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος, ὅτι κατὰ φύσιν ὡς ἀγέννητος ἔχει τὴν ἀπειρίαν.* Καὶ πάλιν, *Τοῦτό ἐστι τοῦ Θεοῦ Εὐαγγέλιον πρεσβεία Θεοῦ πρὸς ἀνθρώπους, καὶ Υἱοῦ σαρκωθέντος καὶ μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν.*

Μετὰ δὲ τὸ φανῆναι καὶ τὴν θείαν ἐνέργειαν Θεότητα ὀνομαζομένην, ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν θεολόγων, εἰ τῆς θείας ἐνεργείας ταύτης, καὶ τῶν οὐσιωδῶς περὶ αὐτὴν θεωρουμένων, ὑπέρκειται κατ' οὐσίαν ὁ Θεός· καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ πάντων κηρυττόμενον τῶν ἁγίων. Συναπεδείχθη δὲ καὶ τοῦτο, ὅτι οἱ μὴ τοῦτο παραδεχόμενοι πολύθεοί εἰσι, πολλὰς λέγοντες ἀρχὰς, ὡς μὴ ἀναφέροντες εἰς ἓν αἴτιον καὶ μίαν ἀρχὴν τὰ περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρούμενα. Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν, *Ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον· ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τοῖς τοιούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ· οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον.* Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν,

A ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Ἀλλὰ καὶ ἐν τοῖς πρὸς Ἀμφιλόχιον γράφει, *Αἱ δὲ ἐνέργειαι τοῦ Πνεύματος τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Πῶς γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; Τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; Πόσαι δὲ αἱ ἀπ' αὐτοῦ περὶ τὴν κτίσιν χάριτες; Τίς δὲ ἡ πρὸς τοὺς αἰῶνας τοὺς ἐπερχομένους δύναμις; Ἦν μὲν γὰρ καὶ προῆν καὶ συμπαρῆν τῷ Υἱῷ καὶ τῷ Πατρὶ πρὸ τῶν αἰώνων. Ὥστε κἂν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, καὶ τοῦτό ἐστι τοῦ Πνεύματος κατωτέρω· τὰς προαιωνίους ἐνεργείας Πνεύματος κατωτέρω τοῦ Πνεύματος ἀποφαινόμενος εἶναι.* Ἐν δὲ τῷ περὶ Θεότητος Υἱοῦ καὶ Πνεύματος λόγῳ
B ὁ Νύσσης θεῖος Γρηγόριος φησιν, *Ἡ μὲν θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν.* Οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν τοῦ Πνεύματος, ἡ τῆς Θεότητος προσηγορία παρίστησιν. Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν δευτέρῳ λόγῳ, τῶν αἱρετικῶν λεγόντων τῆς θελήσεως εἶναι τὸν Υἱὸν, ἀλλ' οὐ τῆς φύσεως τοῦ Πατρὸς, *Εἰ τὸ βούλεσθαι*, φησὶ, *περὶ τῶν μὴ ὄντων διδόασι τῷ Θεῷ, διατί τὸ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ;* Κἂν τῷ τρίτῳ κατὰ τῶν αὐτῶν, *Τὸ μὲν ἀντικείμενον τῆς βουλήσεως ἑωράκασιν οἱ αἱρετικοί· τὸ δὲ μεῖζον καὶ ὑπερκείμενον οὐ τεθεωρήκασιν. Ὥσπερ γὰρ ἀντίκειται τῇ βουλήσει τὸ παρὰ γνώμην, οὕτως ὑπέρ-*
C *κειται καὶ προηγεῖται τοῦ βούλεσθαι τὸ κατὰ φύσιν.* Καὶ κατὰ Μακεδονίου γράφων ὁ αὐτὸς, *Γίνωσκε*, φησὶν, *ὅτι τὸ Θεὸς εἶναι δεύτερόν ἐστι· καὶ γὰρ ἡμεῖς ἐὰν μιμηταὶ γενώμεθα τοῦ Θεοῦ, κατὰ τὸν Παῦλον, θεοὶ γινόμεθα· τῆς δὲ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα.* Ὁ δὲ θεῖος Μάξιμος, *Πάντων*, φησὶ, *τῶν ὄντων, καὶ μετεχόντων καὶ μεθεκτῶν ἀπείρως ὁ Θεὸς ὑπερεξῄρηται.*

Ἀλλὰ καὶ ὁ θεῖος Διονύσιος ἐν τῷ περὶ θείων ὀνομάτων δωδεκάτῳ φησὶν, *Καθόσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα ἅγια ἢ θεῖα ἢ κύρια ἢ βασιλικὰ, καὶ αὐτῶν μετεχόντων αἱ αὐτομετοχαί· κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα τὰ ὄντα· καὶ πάντων τῶν μετεχόν-*
D *των καὶ τῶν μετοχῶν ὁ ἀμέθεκτος αἴτιος.* Καὶ τῇ δευτέρᾳ δὲ πρὸς Γάϊον ἐπιστολῇ, *Πῶς*, φησὶν, *ὁ πάντων ἐπέκεινα καὶ ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ὑπὲρ ἀγαθαρχίαν; Εἰ θεότητα καὶ ἀγαθότητα νοήσαις, αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ καὶ θεοποιοῦ δώρου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα· καὶ γὰρ εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις* (20), *ὁ πάσης ἀρχῆς ὑπεράρχιος, καὶ τῆς οὕτω λεγομένης θεότητος καὶ ἀγαθότητος,*

## Fr. Combefisii notæ.

(20) *Τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις.* Sic quoque Sandionys. Reliqui, τοὺς θεουμένους. Nec sensu differt utrumvis scribatur. In verbis sequentibus, ὡς θεαρχίας καὶ ἀγαθαρχίας, subaudi, οὔσης· *Quæ sint deitas et bonitas, qua dii bonique efficimur;* male Cord. ad Deum refert, quasi dicat Dionysius, Deum antecellere deitati et bonitati, tanquam ipse θεαρχία et ἀγαθαρχία, non quæ sint θεαρχία et



Digitized by Google

*ὡς θεαρχίας καὶ ἀγαθαρχίας, ἐστιν ἐπέκεινα.* Καὶ πάλιν ὁ αὐτὸς, *Μετιτέον νῦν ἐπὶ τὴν ὄντως οὖσαν τοῦ ὄντως ὄντος θεολογικὴν οὐσιωνυμίαν* (21). *Τοσοῦτον δὲ ὑπομνήσομεν, ὅτι τῷ Λόγῳ σκοπὸς οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος, ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο καὶ ἄγνωστον καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι.* Ὁ δὲ θεῖος Μάξιμος ἐν τοῖς Σχολίοις, *Πρόοδόν φησιν ἐνταῦθα τὴν θείαν ἐνέργειαν, ἥτις πᾶσαν οὐσίαν παρήγαγεν.*

Καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῷ περὶ Ἀκαταλήπτου πρώτῳ λόγῳ φησὶν, *Οἱ προφῆται οὐ μόνον τί τὴν οὐσίαν ἐστὶν ὁ Θεὸς ἀγνοοῦντες φαίνονται, ἀλλὰ καὶ περὶ τῆς σοφίας αὐτῆς, πόση τίς ἐστιν ἀποροῦσιν. Καίτοι γε οὐχ ἡ οὐσία ἀπὸ τῆς σοφίας, ἀλλ' ἡ σοφία ἀπὸ τῆς οὐσίας. Ὅταν δὲ μηδὲ ταύτην δύνανται καταλαβεῖν μετὰ ἀκριβείας, πόσης ἂν εἴη μανίας τὸ τὴν οὐσίαν αὐτὴν νομίζειν δύνασθαι τοῖς οἰκείοις ὑποβάλλειν λογισμοῖς;* Καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ πάλιν ὁ αὐτός φησιν, *Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. Ἡμεῖς γὰρ πάντες μέτρῳ τὴν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν. Πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει· αὕτη γάρ ἐστιν ἡ μεριζομένη. Τοῦτο δὲ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν. Εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία.*

Μετὰ τοῦτο ἐζητήθη παρ' ἡμῶν, ἐπειδήπερ οἱ τὴν Ἐκκλησίαν ἐλαύνοντες, οὗτοι τῆς οὐσίας τοῦ Θεοῦ μετέχειν ἅπαντά φασιν, ὡς ἀδιαφόρου οὔσης τῆς τε θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας, καὶ μηδὲν ἕτερον τοῦ Θεοῦ κατ' αὐτοὺς πλὴν οὐσίας μόνης· ἡμεῖς δὲ παρὰ τῶν ἁγίων ἐδιδάχθημεν Γραφῶν καὶ οὐσίαν ἔχειν τὸν Θεὸν καὶ δύναμιν καὶ ἐνέργειαν, τῆς θείας οὐσίας διαφέρουσαν, μᾶλλον δὲ καὶ δυνάμεις καὶ ἐνεργείας· οὕτω γὰρ οὐ μόνον τρισυπόστατος, ἀλλὰ καὶ παντοδύναμος ἔσται· ἐζητήθη οὖν τίνος μετέχουσι τὰ πάντα, τῆς θείας οὐσίας, ἢ τῆς τοῦ Θεοῦ θείας ἐνεργείας. Ἡ θεία σύνοδος, Ἀχώ-

A ριστον μὲν ἴσμεν, ἔφη, τὴν θείαν οὐσίαν καὶ τὴν θείαν φυσικὴν ἐνέργειαν· οὐ γάρ ποτε ἐνέργεια εἴη ἂν τῆς ἑαυτῆς οὐσίας χωρίς. Περὶ μέντοι τῶν ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ δεδημιουργημένων ἔφη, τίς οὐκ οἶδεν, εἰ μὴ κατὰ τοὺς ἀντιλέγοντας παραπαίοι, ὅτι πᾶν δημιούργημα τῆς ἐνεργείας τοῦ δημιουργήσαντος, ἀλλ' οὐχὶ τῆς οὐσίας μεταλαγχάνει; Οὐ γὰρ ἡ οἰκία τῆς τοῦ οἰκοδόμου, οὐδὲ ναῦς τῆς τοῦ ναυπηγοῦ μετείληχεν οὐσίας, ἀλλὰ τῆς τέχνης καὶ τῆς ἐνεργείας κατὰ τὸν Νύσσης Θεολόγον. Ὅτι δὲ καὶ οἱ ἅγιοι, τῇ πρὸς Θεὸν ἑνώσει θεοποιούμενοι, οὐ τῆς θείας οὐσίας, ἀλλὰ τῆς αὐτοῦ θείας ἐνεργείας μετέχουσιν, ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος παρίστησι, γράφων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, *Ὅτι χριστὸς λέγεται διὰ τὴν θεότητα· χρίσις γὰρ* B *αὕτη τῆς ἀνθρωπότητος· οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος.* Καὶ ὁ μέγας Βασίλειος, *Πάντα μενς* φησὶ, *πληροῦν ἐστι τῇ δυνάμει τὸ Πνεῦμα τὸ ἅγιον· μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν.* Καὶ ἀλλαχοῦ πάλιν, *Ὥσπερ αἱ τῶν προσώπων ἐμφάσεις οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις· οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς οὐδὲν σκολιὸν ἐχούσαις οὐδὲ στραγγαλιῶδες.* Ὁ δὲ ἅγιος Μάξιμος, *Πάντα,* φησὶν, *ὅσα ὁ Θεὸς, καὶ ὁ διὰ τῆς χάριτος* C *τεθεωμένος ἔσται, χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος.* Ὁ δὲ μέγας Διονύσιος, *Κυκλικῶς,* φησὶν, *οἱ θεῖοι κινοῦνται νόες, ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ.* Πληθυντικῶς μὲν οὖν αὐτὰς προενεγκὼν, ἔδειξεν οὐκ οὐσίαν οὔσας τοῦ Θεοῦ· οὐδέποτε γὰρ ἐκείνη πληθυντικῶς ἐκφέρεται· ἐλλάμψεις δὲ αὐτὰς καλέσας καὶ ἀνάρχους καὶ ἀτελευτήτους προσειπὼν, θείας καὶ ἀκτίστους ἐνεργείας ταύτας ἔδειξεν. Ὁ δὲ Κύριος ἡμῶν καὶ Θεὸς ἐν τῷ κατὰ Ἰωάννην ἁγίῳ Εὐαγγελίῳ, *Ὁ πιστεύων εἰς ἐμὲ,* φησὶν, *καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐ-*

## Fr. Combefisii notæ.

ἀγαθαρχία, formales scilicet deitatis et bonitatis participationes, ac proinde earum in nobis principia, quod sonant illæ voces: nec male Lanselius reddiderat.

(21) *Θεολογικὴν οὐσιωνυμίαν. Theologicam essentiæ entisque nomen.* Sic Pachym. in paraphrasi. Ὡς ἀγαθωνυμίαν λέγει τοῦ ἀγαθοῦ ὀνομασίαν, οὕτω καὶ οὐσιωνυμίαν, τὴν τοῦ ὄντος ὀνομασίαν, οἱονεὶ ὀντωνυμίαν. Τὸ δὲ ὂν καὶ ἡ οὐσία ταυτόν. *Sicut* ἀγαθωνυμίαν, *boni nomen vocat, sic et* οὐσιωνυμίαν *nomen entis, velut* ὀντωνυμίαν. Male Cord. ὡς ἀντωνυμίαν (quod in Lansel. potuit esse erratum typogr.), *sicut* ἀντωνυμίαν· nec sequentia docere potuerunt, quibus Pachym. duas has voces, τὸ ὂν, et ἡ οὐσία, ait idem significare. Sequentibus magis erratum Cordério, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· quod Maxim. et Pachym. de entis illo uno dictum volunt, quod Deo singularissimum est, non ut principium numeri, sed qua Deus omnibus eminet, in seque absolutissimus est, quod nec ipsum tamen illa ὑπερούσιος Dei essentia est; dum ita reddit: *Et ipsam* D *copulationem mentis superat. Entis* voluisse dicerem, si major in aliis esset viri diligentia, non omnia ei arbitraria, et qui eadem eodem procinctu diverse alioque sensu passim reddat, uti hic in Dionysio et Pachym. τὸ, τοσοῦτον ὑπομνήσομεν· in altero, *Tantum commentabimur, quantum propositi ratio postulat,* inepta etiam additione auctoris sensum ac seriem turbans; in altero, *Tantum admonebimus,* quod unum aptum est, potuitque et in Dionysio ex Lanselio habere. Palamitarum unus ubique error, quod participationes formales apud Dionysium aliosque Patres, in Deo velint aliquid reipsa medium ac distinctum inter ipsum et effectum creatum, velut fere Platonici ideas comminiscebantur, cum sufficiant ex parte Dei ipsæ veræ ideæ virtusque agendi. Ipsa nimirum divina ratio et voluntas, nihil a Deo vel ejus essentia distincta, nisi ratione, ipsa efficax ut præstet quidquid velit et quando velit: unusque maxime rem explicat Maximus, quidquid Palamitæ ejus sæpe locos usurpent.

Digitized by Google

τοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε A περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη. Ὅπερ ὁ θεῖος Χρυσόστομος ἐξηγούμενος, *Ποταμοὶ*, φησὶν, *ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν, τὸ δαψιλὲς καὶ ἄφθονον τῆς χάριτος αἰνιττόμενος· ὅπερ ἀλλαχοῦ φησι, « Πηγὴ ὕδατος ζῶντος ἁλλομένου εἰς ζωὴν αἰώνιον· » τουτέστι πολλὴν ἕξει χάριν. Ἀλλαχοῦ μὲν οὖν ζωὴν αἰώνιον λέγει, ἐνταῦθα δὲ ὕδωρ ζῶν. Ζῶν δὲ λέγει τὸ ἐνεργοῦν ἀεί. Ἡ γὰρ τοῦ Πνεύματος χάρις, ἐπειδὰν εἰς διάνοιαν ἔλθῃ καὶ ἱδρυνθῇ* (22), *πάσης πηγῆς μᾶλλον ἀναβλύζει, καὶ οὐ διαλιμπάνει, οὐδὲ κενοῦται, οὐδὲ ἵσταται. Ὁμοῦ δὲ καὶ τὸ ἀνελλιπὲς τῆς χορηγίας δηλῶν καὶ τὸ ἄφατον τῆς ἐνεργείας,* B *πηγὴν καὶ ποταμὸν ἐκάλεσεν· οὐχ ἕνα ποταμὸν, ἀλλὰ ἀφάτους· καὶ ἐκεῖ δὲ τὴν πλημμύραν διὰ τοῦ ἅλλεσθαι παρέστησεν.* Καὶ μετά τινα ὁ αὐτὸς, *Οὐκ ἔτι προφήτης παρ' αὐτοῖς ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις· ἐπεὶ οὖν ἀνέσταλται μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγένετο· οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων· καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεὰ, ὡς ὅταν λέγῃ, « Οὐκ οἴδατε ποίου Πνεύματός ἐστε. » Καὶ πάλιν, « Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας. » Καὶ γὰρ καὶ οἱ παλαιοὶ Πνεῦμα μὲν εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον.* C *Οἱ δὲ ἀπόστολοι μυριάδας ἐνέπλησαν. Ἐπεὶ δὲ ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτό φησιν, « Οὔπω ἦν Πνεῦμα ἅγιον· » τουτέστι δοθὲν, ἐπεὶ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, δόξαν Κυρίου τὸν σταυρὸν καλῶν. Ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες, καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοστυγεῖς· ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις· δῶρον δὲ οὐ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται, καὶ τοῖς εὐηρεστηκόσιν, ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι· καὶ γενέσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραὰμ, πολλῷ* D *μᾶλλον ἐπὶ τῆς χάριτος.*

Καὶ πάλιν ὁ αὐτὸς ἐν τριακοστῇ ἕκτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας, *Καὶ ἐφ' ἡμῶν*, φησὶν, *οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τὴν τοῦ Πνεύματος χάριν δέξηται, τότε ἅπαντα λύει τὰ ἁμαρτήματα.* Καὶ μετὰ βραχέα, *Ἀλλὰ κἂν ἡ οἰκουμένη πᾶσα ἔλθῃ, ἡ χάρις οὐ καταναλίσκεται· οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὁμοίως μένει, καὶ τοιαύτη οἵα καὶ πρὸ τοῦ. Καὶ καθάπερ αἱ ἡλιακαὶ ἀκτῖνες καθ' ἑκάστην φωτίζουσι τὴν ἡμέραν, καὶ οὐ δαπανῶνται, οὐδὲ ἀπὸ τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τὸ φῶς· οὕτω καὶ πολλῷ μᾶλλον ἡ τοῦ Πνεύματος ἐνέργεια οὐδὲν ἐλαττοῦται παρὰ τῶν ἀπολαυόντων αὐτῆς.* Καὶ πάλιν ὁ αὐτὸς ἐν πέμπτῃ ὁμιλίᾳ τῆς αὐτῆς πραγματείας τὸ, *Πάντα δι' αὐτοῦ ἐγένετο*, ἐξηγούμενός φησιν, *Εἰπὼν περὶ τῆς δημιουργίας ὁ Ἰωάννης, ἐπάγει καὶ τὸν περὶ τῆς Προνοίας λόγον, « Ἐν αὐτῷ ζωὴ ἦν, » λέγων. Καὶ γὰρ ἵνα μηδεὶς ἀπιστήσῃ πῶς τὰ τοσαῦτα καὶ τηλικαῦτα δι' αὐτοῦ γέγονεν, ἐπήγαγεν ὅτι ἐν αὐτῷ ζωὴ ἦν. Καθάπερ οὖν ἐπὶ τῆς πηγῆς τῆς τικτούσης ἀβύσσους, ὅσον ἂν ἀφέλῃς, οὐδὲν ἠλάττωσας τὴν πηγήν· οὕτω καὶ ἐπὶ τῆς ἐνεργείας τοῦ Μονογενοῦς* (23), *ὅσα ἂν πιστεύσῃς παρῆχθαι δι' αὐτῆς καὶ πεποιῆσθαι, οὐδὲν ἐλάττων γέγονεν.* Καὶ πάλιν, *Τοῦ Εὐαγγελίου εἰρηκότος, « Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, » ἐπὶ γὰρ τοῦτο τέως ἀκτέον τὸν λόγον· Οὐ μεθεκτὴν,* φησὶν, *ἔχει τὴν δωρεὰν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτοῤῥίζα ἐστὶ τῶν καλῶν· αὐτοζωὴ καὶ αὐτόφως καὶ αὐτοαλήθεια· οὐκ ἐν αὐτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτόν· καὶ μετὰ τὸ ὑπερβλύσαι, μένων πλήρης, καὶ οὐδενὶ ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων, καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. Ὃ δὲ ἐγὼ φέρω, μεθεκτόν ἐστι· παρ' ἑτέρου γὰρ ἔλαβον αὐτὸ, καὶ μικρόν τι τοῦ παντὸς, καὶ οἱονεὶ σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον καὶ πέλαγος ἄπειρον. Μᾶλλον δὲ οὐδὲ τοῦτο τὸ παράδειγμα παραστῆσαι δύναιτ' ἂν, ὅπερ ἐπιχειροῦμεν εἰπεῖν. Σταγόνα μὲν γὰρ ἀπὸ τοῦ πελάγους ἂν ἐξέλῃς, αὐτῷ τούτῳ τὸ πέλαγος ἠλάττωσας, εἰ καὶ ἀφανὴς ἡ ἐλάττωσις· ἐπὶ δὲ τῆς πηγῆς ἐκείνης οὐκ ἔστι τοῦτο εἰπεῖν· ἀλλ' ὅσον ἄν τις ἀρύσηται, μένει μηδὲν ἐλαττούμενος. Διὸ χρὴ μάλιστα ἐφ' ἕτερον ὑπόδειγμα ἐλθεῖν, ἀσθενὲς μὲν καὶ αὐτὸ, καὶ οὐ δυνάμενον ὅπερ ζητοῦμεν παραστῆσαι· μᾶλλον δὲ τοῦ προτέρου χειραγωγοῦν ἡμᾶς*

## Fr. Combefisii notæ.

(22) *Ἱδρυνθῇ*. Sic et Savil. in margine vero ἱδρυθῇ, quod Ducæus habuit. Ignotam vocem Aretinus sic ex suo capite reddidit, *eamque irrigavit*. Scripserit Joannes ἱδρύῃ neutra significatione, eodem sensu ac ἱδρυνθῇ. Necessaria Spiritus mora in anima, ut sic veniens manensque jugis in ea fons fiat, salianique ejus latices in vitam æternam; quod irrigandi voce, et ut irrigandi actu fons ille in anima concrescat, non satis apte exprimitur.

(23) *Ἐπὶ τῆς ἐνεργείας τοῦ Μονογενοῦς*. Nihil bene Aretinus, suaque hæc mala sic bonis ac claris Chrysost. subdit: *Sic in operibus Unigeniti, quodcunque ex his productum factumve credideris, nihilominus effecit*. Quam hæc apte, assumptam Chrysostomo reddunt similitudinem fontis abyssos implentis? ἐνέργεια virtus, ipsa in eo vis, sic fontis rationem habens, quam Palamitæ hac auctoritate totque aliis ab essentia distinctam nituntur probare. Nobis sufficit distinctio virtualis. Non pauca per interpretes non satis accuratos, viris magnis, Chrysostomo aliisque Ecclesiæ Græcæ luminibus, menda adhæsere: nec qui faciat medicinam facile occurrit, aut qui saltem volenti facere, æquus satis sit, juvetque opera.

Digitized by Google

πρὸς τὴν ἔννοιαν τὴν προκειμένην ἡμῖν νῦν. Ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγὴν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς τοσούτους καὶ τρὶς, καὶ πολλάκις. Ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας αὐτοῦ; Παντί που δῆλόν ἐστι. Εἰ δὲ ἐπὶ τῶν σωμάτων, τῶν μεριστῶν, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον καὶ σῶμα, καὶ μερίζεται, καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐκ τῆς ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὰ τοῦτο καὶ ὁ Ἰωάννης ἔλεγεν, « Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν. » Ἡμεῖς πάντες ἐλάβομεν. Ἡμεῖς οἱ δώδεκα, οἱ τριακόσιοι (24), οἱ πεντακόσιοι, οἱ τρισχίλιοι, οἱ πεντακισχίλιοι, αἱ πολλαὶ τῶν Ἰουδαίων μυριάδες, ἅπαν τὸ πλήρωμα τῶν πιστῶν καὶ τῶν τότε, καὶ τῶν νῦν, καὶ αὖθις ἐσομένων, ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν. Τί δὲ ἐλάβομεν; « Χάριν ἀντὶ χάριτος, » φησίν.

Καὶ ὁ μέγας Βασίλειος τὸν τεσσαρακοστὸν ὄγδοον ψαλμὸν ἐξηγούμενος, φησίν, Τὸν μὲν ἄνθρωπον ὁ Θεὸς ἐποίησεν ἀπὸ τῆς γῆς, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· ἀλλ' ὅμως ἥ γε τοῦ νοεῖν καὶ συνιέναι τὸν ἑαυτῶν κτίστην καὶ δημιουργὸν **C** δύναμις καὶ ἐν ἀνθρώποις ὑπάρχει. « Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον, » τουτέστι μοῖράν τινα τῆς ἰδίας χάριτος ἐναπέθετο τῷ ἀνθρώπῳ, ἵνα τῷ ὁμοίῳ ἐπιγινώσκῃ τὸ ὅμοιον. Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος, Ἀνακαινίζων, φησὶ, τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος αὐτοῦ, ταύτην πάλιν ἀποδιδοὺς, ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησιν; « Λάβετε Πνεῦμα ἅγιον. » Καὶ ὁ θεῖος Δαμασκηνὸς ἐν τῷ περὶ προγνώσεως καὶ προορισμοῦ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων, Τοῦτον, φησὶ, τὸν ἄνθρωπον ὁ Δημιουργὸς ἄῤῥενα κατεσκεύασε, μεταδοὺς ἑαυτοῦ θείας χάριτος, καὶ ἐν κοινωνίᾳ ἑαυτοῦ διὰ ταύτης αὐτὸν ποιησάμενος. Καὶ πάλιν ὁ μέγας **D** Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον, Τίς, φησὶν,

**A** οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων ἀγαθῶν παρὰ Θεοῦ τοῖς ἀξίοις, ὡς ἀγνοεῖν ὅτι τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις δαψιλεστέρα τότε καὶ τελεωτέρα παρεχομένη;

Ἀλλὰ καὶ ὁ ἅγιος Κύριλλος ἐν τῷ τρίτῳ τῶν πρὸς Ἑρμείαν, ἐρωτῶντος αὐτὸν τούτου δὴ Ἑρμείου περὶ τῆς ἐν ἡμῖν θείας ἐνοικήσεως καὶ μετοχῆς, καὶ λέγοντος, Πλὴν ὡς ἥδιστα ἂν σου διαπυθοίμην τὸ, ὅπως ἂν ἐν ἡμῖν ἥ τε τοῦ Πατρὸς καὶ Υἱοῦ πλήρωσις νοοῖτό τε καὶ πράττοιτο, μία τις οὖσα καὶ οὐ διάφορος, ἀποκρινόμενος αὐτὸς δὴ ὁ ἅγιος Κύριλλος, Καὶ μὴν, φησὶν, οὐδ' ὁπωστιοῦν ἔν γε δὴ τούτῳ χαλεπὸν ἢ δυσέφικτον. Πῶς γὰρ ἂν ἑτέρως ἢ διὰ τοῦ ἁγίου Πνεύματος, θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι' ἑαυτοῦ, καὶ τῆς **B** ἀῤῥήτου φύσεως κοινωνοὺς ἀποφαίνοντος; Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς Θησαυροῖς, Ἀλλ' εἴπερ ἦν ὄντως ποίημα κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, τοῦ φρονεῖν ὀρθῶς ἐκβήσεται, ὡς τολμῆσαι καὶ μόνον εἰπεῖν τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν, ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων, διακονεῖσθαι πρὸς ἐνέργειαν (25), τὴν ἐξ αὐτῆς διαβαίνουσαν φυσικῶς πρός τινας ἐπιτηδείους πρὸς τὸ λαβεῖν.

Καὶ ὁ μέγας Ἀθανάσιος ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, Πάντα, φησὶ, τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι· διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα, καὶ τοῦ **C** Πνεύματος ὄντος ἐν ἡμῖν· καὶ ὁ Λόγος, ὁ τοῦτο διδοὺς, ἔστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ· καὶ οὕτως ἐστὶ τὸ, « Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν, » καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα· καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐγοειδὴς χάρις. Καὶ τοῦτο πάλιν ὁ Παῦλος διδάσκων, ἔγραφεν αὖθις Κορινθίοις ἐν τῇ δευτέρᾳ ἐπιστολῇ, λέγων, « Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴη μετὰ πάντων ὑμῶν. » Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ἐκ Πατρός ἐστι διὰ Υἱοῦ ἡ διδομένη χάρις, οὕτως **D** οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν εἰ μὴ ἐν Πνεύματι τῷ ἁγίῳ. Τούτου γὰρ μετέχοντες,

## Fr. Combefisii notæ.

(24) *Οἱ τριακόσιοι.* Putem σφάλμα μνημονικὸν, ac respexisse Chrysost. τοὺς ἑκατὸν εἴκοσι, *centum viginti*, qui Actuum I leguntur, cum in reliquis certos in Scriptura fidelium numeros respiciat, qui sic omnes de Christi plenitudine acceperint. Abundant hæc præ Græcis editis, ipsa non aliena a Chrysostomi vena.

(25) *Διακονεῖσθαι πρὸς ἐνέργειαν.* Vulcan. *Administrare operationem.* Idem quidem sensus; malui tamen vim ipsam vocis magis exprimere, *uti ad operationem*, τὴν ἐξ αὐτῆς φυσικῶς διαβαίνουσαν. Vulcan. *quæ ipsa naturaliter transit*, pro *quæ ex ipsa*: quod velim typorum. Cyrilli argumentum est, non esse creaturam Spiritum, qui omnem habeat Dei virtutem, ac per quem Deus omnia operetur; cum sit absurdum id præstare velut per quoddam extrinsecus creatum organum. Ἐνέργεια hæc, quod φυσικῶς ex Dei essentia transire dicitur in eos qui apti sint ut suscipiant, sic accipiendum, ut cum dicitur naturale Deo, seu ex natura, benefacere; etsi libere exque voluntate benefaciat; ac creatis rebus, hoc quod bonæ sunt, tribuat. Nempe, est Dei hæc natura, quod sit illi consentaneum ea præstare, si tamen decreverit, ad divinarum suarum dotum imitationem trahendo creaturam; non quod ulla ad extra necessaria Deo emanatio sit, illique coæva ac increata, ut frustra Palamitæ tanta locorum congerie nituntur probare.

Digitized by Google

*ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν. Μίαν ἄρα ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται.*

Ἀλλὰ καὶ ὁ ἅγιος Ἀναστάσιος ἐν τῷ περὶ τοῦ Πνεύματος λόγῳ αὐτοῦ, *Συνῳδά*, φησί, *καὶ τὰ παρὰ τοῦ θεσπεσίου Παύλου περὶ τοῦ Πνεύματος εἰρημένα. Τοὺς γὰρ πεπιστευκότας ναοὺς Θεοῦ προσηγόρευσεν, ἔνοικον ἐσχηκότας τὴν χάριν τοῦ Πνεύματος· « Οὐκ οἴδατε γὰρ ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ἡμῖν; » Καὶ πάλιν, « Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ; » Ταῦτα δὲ ἄντικρυς διδάσκει τῆς θείας φύσεως εἶναι τὸ πανάγιον Πνεῦμα. Εἰ γὰρ ναὸς Θεοῦ χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τοῦ Πνεύματος τὴν χάριν ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον. Τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, Θεοῦ ναοὶ ὠνομάσθησαν.*

Καὶ ὁ θεῖος Χρυσόστομος ἐν τῷ δ' τῶν εἰς τὰς Πράξεις ἐξηγητικῶν, τὸ, *Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός*, ἀναπτύσσων, *Καλῶς*, φησίν, *εἶπε διαμεριζόμεναι· ἐκ μιᾶς γὰρ ἦσαν ῥίζης· ἵνα μάθῃς ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ Παρακλήτου πεμφθεῖσα*. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῷ αὐτῷ, *Καὶ ἐπλήσθησαν*, φησίν, *ἅπαντες· οὐχ ἁπλῶς ἔλαβον τοῦ Πνεύματος τὴν χάριν, ἀλλ' ἐπλήσθησαν.*

Ἀλλὰ καὶ τῶν Μασσαλιανῶν λεγόντων ὡς τῆς οὐσίας τοῦ Θεοῦ ἐν μετοχῇ καθίστανται οἱ παρ' ἐκείνοις κεκαθαρμένοι, καὶ προφερόντων τὸ εὐαγγελικὸν ἐκεῖνο, τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, καὶ τοῦτο πρὸς τὴν ἑαυτῶν δυσσέβειαν λίαν ἀνοήτως διαστρεφόντων, ἡ κατ' αὐτῶν δὴ τῶν Μασσαλιανῶν συστᾶσα σύνοδος, τὴν ἐκείνων πονηρὰν δόξαν ἀποῤῥαπίζουσα, *Γίνεταί τις*, φησίν, *ἐπιδημία τοῦ Παρακλήτου, καὶ ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης.*

Μετὰ τοῦτο ἐζητήθη δειχθῆναι παρὰ τῶν ἁγίων ὅτι τι ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως, καὶ ὅτι οὐκ ἔστι τοῦτο ἡ οὐσία τοῦ Θεοῦ. Καὶ πάντες σχεδὸν εἶπον ὅτι ἀπεδείχθη τοῦτο κατὰ τὴν τετάρτην συνέλευσιν, ἐν ᾗ παρόντες οἱ ἀντιλέ- D γοντες τῇ Ἐκκλησίᾳ νῦν μὲν κτιστὸν εἶναι τοῦτο καὶ φάντασμα καὶ παραπέτασμα καὶ ἴνδαλμα φανερῶς βλασφημοῦντες ἔλεγον· νῦν δὲ, καὶ τοῦτο ἀσεβῶς, ἔλεγον ἄκτιστον καὶ οὐσίαν εἶναι Θεοῦ. Προηνέχθη γὰρ ἐν ἐκείνῃ τῇ συνελεύσει ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος, γράφων, *Οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου, κατὰ τὸ γεγραμμένον, καὶ Θεοῦ φύσιν ἢ οἶδεν ἢ ἐξηγόρευσεν.* Καὶ ὁ

A θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς τρίτης τῶν θεολογικῶν Ἑκατοντάδος, *Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται*. Καὶ ὁ θεῖος Χρυσοῤῥήμων εἰς τὴν αὐτὴν ἑορτὴν γράφων, *Ἐν τῷ ὄρει*, φησί, *μεταμορφωθεὶς ὁ Σωτὴρ, μικρῶς πως ὡς Δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. Ἀλλ' εὐθὺς ἐροῦσιν οἱ ἀπόλυτον καὶ θηρευτικὴν περιφέροντες γλῶσσαν· Ναὶ εἰ ἀθέατος ἡ θεϊκὴ αὐτοῦ δόξα, πῶς ὑπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; Εἰ γὰρ ὁρατὴ, οὐκ ἀθέατος· εἰ δὲ ἀθέατος, οὐχ ὁρατή. Διὸ ἄκουε συνετῶς. Ἐνταῦθα ὁ Δεσπότης Χριστὸς τοῖς ἑαυτοῦ μαθη-* B *ταῖς ἐπέδειξε τῆς ἀθεάτου αὐτοῦ βασιλείας τὴν δόξαν, καὶ οὐκ ἐπέδειξε· τουτέστι μικρὸν παρήνοιξε τὴν θεότητα* (26), *καὶ οὐ τελείως· τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος· πληροφορῶν μὲν γὰρ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἠδύναντο βλέπειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν οὐκ ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν πᾶσαν θεϊκὴν αὐτοῦ δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὴν ζωὴν ἀπολέσωσιν*. Ἀλλὰ καὶ πάντες οἱ ἅγιοι, ἔλλαμψιν αὐτὸ λέγοντες καὶ λαμπρότητα καὶ χάριν, καὶ θέωσιν καὶ θεότητα παραδειχθεῖσαν μικροῦ στεῤῥοτέραν καὶ ὄψεως, καὶ φῶς ἀπρόσιτον, καὶ φυσικὴν C ἀκτῖνα τοῦ Υἱοῦ· ἄναρχον βολίδα θεότητος, ἀστραπὴν θεότητος, καὶ τὰ τοιαῦτα. Προηνέχθη δὲ ἐν ἐκείνῃ τῇ συνελεύσει καὶ ὁ ἐπὶ τούτοις συνοδικὸς πρῶτος Τόμος, ὃς τοῦτο φιλευσεβῶς καὶ βεβαίως ἀπέδειξεν, ἄκτιστον καὶ οὐκ οὐσίαν διὰ πολλῶν τῶν ἐκ τῆς θείας Γραφῆς μαρτυριῶν, καὶ τῶν τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου βασιλέως ἡμῶν ἐκείνου κυρίου Ἀνδρονίκου τοῦ Παλαιολόγου συμφώνως τοῖς ἁγίοις ῥημάτων, καὶ θεοσεβῶν θεσπισμάτων, πρὸς ὃν ἱερὸν καὶ θεῖον Τόμον ἀντικειμένους ἰδόντες τότε καὶ ἀντιλέγοντας τοὺς καὶ τῷ ἱερωτάτῳ Θεσσαλονίκης ἀντικειμένους, ἀπεβαλόμεθα τούτους· ὡς νῦν μὲν κτιστὸν τὸ φῶς τῆς τοῦ Κυρίου Μεταμορφώσεως, νῦν δὲ λίαν ἀνοήτως οὐσίαν εἶναι τοῦτο τιθεμένους τοῦ Θεοῦ· καὶ ὡς μὴ στέργοντας ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ δύναμιν ἄκτιστον καὶ ἐνέργειαν, ἀλλὰ πάσας τὰς κοινὰς δυνάμεις τε καὶ ἐνεργείας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἀφρόνως εἰς κτίσμα κατασπῶντας, καὶ πολυθέους νομίζοντας τοὺς ἄκτιστον ἀνομολογοῦντας τὸν Θεὸν, μὴ κατ' οὐσίαν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ὑποστάσεις, καὶ κατὰ τὰς κοινὰς τῶν τριῶν ὑποστάσεων θείας δυνάμεις τε καὶ ἐνεργείας.

Ἐπὶ τούτοις ἅπασι τὸ τοῦ Ἀκινδύνου βιβλίον εἰς

## Fr. Combefisii notæ.

(26) *Μικρὸν παρήνοιξε τὴν θεότητα.* Desunt hæc in Orat. ex Reg. codice Savilio repræsentata. Sic quæ habentur veterum theologorum Homiliæ in libris Græcorum ecclesiasticis, non ubique omnino habentur integræ; pro exscribentium scilicet libidine usuque Ecclesiarum, majori minorive ambitu comprehensæ. Sit forte ista Amphilochii, cui familiare illud, ἄκουε συνετῶς· insuetum autem vero Chrysostomo. Antiqui Theologi monumentum prælert. Deitatis vocem etiam in creatis usurpari ex Dionysio Maximoque liquet.

Digitized by Google

μέσον προενεχθὲν ἀνεγνώσθη· ἐν ᾧ καὶ ἄλλας μὲν κακοδοξίας παλαιάς τε καὶ νέας δογματίζων ἐφαίνετο· διισχυρίζετο δὲ καὶ μηδεμίαν πρεσβεύειν ἐνέργειαν ἄκτιστον κοινὴν τῆς τρισυποστάτου Θεότητος, εἰ μὴ τὸν Υἱὸν μόνον καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' ἡ θεία σύνοδος, καλῶς τε καὶ θεοφιλῶς ἐπιγνοῦσα Μαρκέλλου καὶ Φωτεινοῦ καὶ Σωφρονίου τῶν παλαιῶν αἱρετικῶν τὴν δυσσέβειαν ταύτην οὖσαν, εὐθὺς τὸν θεῖον Χρυσόστομον κατὰ τῆς κακοδοξίας ταύτης ἀντεπεξάγουσι, καθάπερ τινὰ οὐρανόθεν αὐτὸν ἀφιέντες πρηστῆρα, τὰ φρυγανώδη τοῦ Ἀκινδύνου ληρήματα κατακαύσοντα· ὅς δὴ καὶ τὴν πρὸς Φιλιππησίους ἐπιστολὴν ἐξηγούμενος, *Μάρκελλος*, φησί, *καὶ Φωτεινὸς καὶ Σωφρόνιος, τὸν Λόγον ἐνέργειαν εἶναί φασιν· τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβίδ, οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος Υἱὸν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνῳ· κτίσμα δὲ εἶναί φησι, καὶ τοῦ Πατρὸς ἐλάττονα πολύ. Ἕτεροι δὲ οὔ φασιν ἔχειν αὐτὸν ψυχήν. Εἶδες τὰ ἅρματα ἑστῶτα; Θεώρει τοίνυν αὐτῶν καὶ τὰ πτώματα, πῶς ὁμοῦ πάντας καταστρουμένων βάλλει, καὶ μιᾷ πληγῇ πάντας ἀθρόον. Πῶς οὖν καταβάλλει; « Τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, φησίν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Ἐντεῦθεν καὶ Παῦλος ὁ Σαμοσατεὺς ἔπεσε, καὶ Μάρκελλος καὶ Σαβέλλιος. Ἐν μορφῇ γάρ, φησί, Θεοῦ ὑπάρχων. « Πῶς οὖν λέγεις, Ἀπὸ Μαρίας, ὦ μιαρέ, ἤρξατο, καὶ πρὸ τούτου οὐκ ἦν; Πῶς δὲ σὺ λέγεις, Ἐνέργεια ἦν; Μορφὴ γὰρ Θεοῦ, φησίν, μορφὴν δούλου ἔλαβεν. Ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστίν, ἢ φύσις δούλου; Πάντως δήπου φύσις δούλου· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ Θεοῦ φύσις· οὐκ ἄρα ἐνέργεια.*

Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος ἐν τῷ πρὸς Ἀβλάβιον λόγῳ, *Θεός*, φησίν, *ἐνεργοῦντα δηλοῖ· Θεότης δὲ ἐνέργειαν. Οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια· ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν.* Ἐκ δὴ τούτων ἡ θεία σύνοδος, Ἀποδέδεικται, φησίν, ὡς ὁ λέγων μόνον τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀκτίστους ἐνεργείας εἶναι τοῦ Θεοῦ, ὡς μὴ κοινὴν ἐνέργειαν δοξάζων φυσικὴν τῶν τριῶν ὑποστάσεων, ἣν ὁ Ἀκίνδυνος ἀθετεῖ, τὴν Μαρκέλλου καὶ Φωτεινοῦ καὶ Σωφρονίου αἵρεσιν, πάλαι τεθνηκυῖαν καὶ καταργηθεῖσαν, εἰς τὴν Ἐκκλησίαν τολμᾷ παρεισάγειν Θεοῦ. Εἰ δὲ καὶ τισι τῶν ἁγίων δύναμις ἢ ἐνέργεια εἴρηται ὁ Υἱὸς ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῦ Πατρός· καὶ οὕτως ἑκάτερον ὡς ὑπόστασις τελεία καὶ ἐνέργειαν καὶ δύναμιν ἔχον· καὶ ἔστι τοῦτο κοινὸν ὄνομα, κατὰ τὸν θεῖον Διονύσιον, τῆς ὁλοτελοῦς καὶ ὑπερπλήρους Θεότητος· καθ' ὃ σημαινόμενον καὶ ὁ Πατὴρ δύναμις καλεῖται. Ἡμῖν δὲ ἀλλ' οὐ περὶ ταύτης τῆς ἐνεργείας καὶ δυνάμεως, ἀλλὰ περὶ τῆς κοινῆς τῆς τρισυποστάτου Θεότητος, ἥτις οὐχ ὑπόστασίς ἐστι, ἀλλὰ φύσει καὶ ὑπερφυῶς πρόσεστιν ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων, κατὰ τὴν τῶν θεολόγων παράδοσιν. Ἕνα γὰρ Θεὸν ἐν τρισὶν ὑποστάσεσι κατὰ τὸν μέγαν Ἀθανάσιον θεολογοῦμεν, μίαν ἔχοντα τὴν οὐσίαν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, καὶ ὅσα ἄλλα περὶ τὴν οὐσίαν θεωρεῖται θεολογούμενα καὶ ὑμνούμενα. Καὶ ἵνα τύπον δῶμεν τῷ λόγῳ, καὶ ἄθροισμα ἢ πλήρωμα τὰ κατὰ θεολογίαν ἔχωμεν καθεξῆς, ἀκούσωμεν, ὅτι τὸ ἄκτιστον, τὸ ἀσώματον, τὸ ἄχρονον, τὸ ἄναρχον, τὸ ἀΐδιον, τὸ ἀτελεύτητον, τὸ ἄπειρον, τὸ ἄγνωστον, τὸ ἀσχημάτιστον, τὸ ἀνερμήνευτον, τὸ ἀνεξιχνίαστον, τὸ Θεὸν θεῶν λέγεσθαι αὐτόν, τὸ Κύριον κυρίων, τὸ Βασιλέα βασιλευόντων, τὸ Παντοκράτορα, τὸ Ποιητήν, τὸ Δημιουργόν, τὸ φῶς, τὸ ἅγιον, τὸ ζωήν, τὸ ἀγαθόν, τὸ ἰσχυρόν, τὸ παντοδύναμον, καὶ ὅσα ἄλλα κατά τε ὑπεροχὴν καὶ αἰτιολογίαν, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν· ἃ καὶ ἄθροισμα καὶ πλήρωμα Θεότητος λέγεται κατὰ τὴν Γραφήν, καθ' ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καὶ θεολογούμενα. *Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι· καὶ δεδόξασμαι ἐν αὐτοῖς·* ἄλλως τε δύναμις καλεῖται ὁ Υἱὸς τοῦ Πατρός, ἢ καὶ τὸ Πνεῦμα ἅγιον, καὶ δι' ἄλλας μὲν αἰτίας, ἃς οἱ θεολόγοι παρέδοσαν, μάλιστα δέ, ὡς ὅλης τῆς Πατρικῆς δυνάμεως ἐναποκειμένης τῷ Υἱῷ, ὡς ὁ μέγας Βασίλειος ῥητῶς τοῦτο γράφει Εὐνομίῳ παλαίων. Πῶς οὖν δίκαιον ἀναιρεῖν τὴν φυσικὴν καὶ κοινὴν τῆς τρισυποστάτου Θεότητος δύναμιν, δι' ἣν καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον δύναμις τοῦ Πατρὸς παρὰ τῶν θεολόγων ὕμνηται;

Ἐπὶ τούτοις ὁρισμῷ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐτοκράτορος καὶ βασιλέως ἠρωτᾶτο παρὰ τοῦ μεγάλου χαρτοφύλακος καὶ ὑπάτου τῶν φιλοσόφων τῶν ἀρχιερέων ἕκαστος καὶ τῶν συγκλητικῶν καὶ ἐκκλησιαστικῶν ἀρχόντων, τίνα γνώμην ἔχει περὶ τῶν λαληθέντων καὶ ἐξετασθέντων τῶν πάντων νῦν ἐπὶ θείας καὶ ἱερᾶς συνόδου. Καὶ καθ' ἕνα πάντες ἀναμφιβόλως ἔχειν περὶ τούτων ἀπεφήναντο, καὶ πολλὴν χάριν εἰδέναι τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης ἔλεγον, ὡς συμφώνως τοῖς ἁγίοις πᾶσιν εἰπόντι καὶ συγγραψαμένῳ, καὶ εἰς συνηγορίαν τῆς κατ' εὐσέβειαν ἀληθείας ἐπὶ τοσοῦτον σπουδάσαντι, καὶ τοσαύτας ὕβρεις τε καὶ συκοφαντίας καὶ ἐπηρείας ἄλλας ὑπενεγκόντι ὑπὲρ τοῦ ἐξελέγξαι Βαρλαὰμ ἐκεῖνον, καὶ τὸν Ἀκίνδυνον, καὶ τοὺς μετὰ ταῦτα μέχρι νῦν ἀναφανέντας συμφώνους αὐτοῖς, καὶ τῆς πατροπαραδότου πρὸς Θεὸν πίστεως καὶ εὐσεβείας τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν μεταστῆσαι σπουδάζοντας. Μετὰ δὲ πάντας ὕστερον ἀπεφήνατο καὶ ὁ μεγαλοφυέστατος ὄντως καὶ τὰ θεῖα σοφός, γαληνότατος, κράτιστος καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ καὶ βασιλεύς, πάντων τῆς καθέδρας ἐξαναστάντων τῶν τε λαμπροτάτων συγκλητικῶν καὶ τῶν ἱερωτάτων ἀρχιερέων, ὥσπερ δὴ νόμος ἐν τοῖς τοιούτοις, κύριος Ἰωάννης ὁ Καντακουζηνός, διορισάμενος, Ὅτι μέγα ἡ ἀδικία κακὸν καὶ ἐπὶ τῶν γηΐνων τούτων καὶ χαμερπῶν, ὡς καὶ ἔθνος ὅλον ἀχρειῶσαι καὶ κατασπᾶσαι δυνάμενον· ἐπεὶ καὶ τὸ ἐναντίον ταύτης, *Ἡ δικαιοσύνη*, κατὰ τὸ γεγραμμένον, *ὑψοῖ ἔθνος*. Εἰ δὲ ἐπὶ τῶν κάτω ἡ ἀδικία τοσοῦτον μέγα κακόν, πόσῳ μᾶλλον, ὅταν εἰς τὸ θεῖον ὕψος λαλῆται παρὰ τῶν κακῶς φρονούντων, καὶ αὐτὴ ἡ ἐν τῷ Θεῷ ἀλή-

Digitized by Google

θεία ἀδικῆται παρὰ τῶν ἀθετούντων αὐτὴν, καὶ οἱ ταύτην στέργοντες καὶ ἀνακηρύττοντες, ἔτι δὲ καὶ συνηγοροῦντες πρὸς δύναμιν, ἐπηρεάζωνται καὶ συκοφαντῶνται καὶ διαβάλλωνται παρὰ τῶν ἐν διαστρόφῳ γνώμῃ πλανᾷν τοὺς ὄχλους ἐπιχειρούντων; Ἐγὼ γοῦν τοσαύτην ὁρῶ τὴν πρὸς ἁγίους συμφωνίαν τῶν παρὰ τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης λελεγμένων, καὶ νῦν ἀναγνωσθέντων αὐτοῦ συγγραμμάτων εἰς συνηγορίαν τῆς εὐσεβείας· καὶ τοσαύτην ποιησαμένους τοὺς ἁγίους σπουδὴν ἐν τοῖς οἰκείοις συγγράμμασιν ὑπὲρ τῶν προκειμένων ἀρτίως θείων δογμάτων, ὡς μηδένα τῶν μετ' εὐγνωμοσύνης ζῆν ἐθελόντων πλείω ταύτης ἐθελῆσαι ζητῆσαι. Ὑπὲρ δὲ ὧν τοῖς τε μακαρίοις τοῦ Χριστοῦ μαθηταῖς καὶ ἀποστόλοις καὶ ταῖς ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις καὶ τοῖς ἁγίοις Πατράσι τεθεολόγηται τοσοῦτον τὸ ἐν ἐμοὶ πρόθυμον διὰ τῆς ἐν ἐμοὶ τοῦ Χριστοῦ χάριτος, ὡς ἕτοιμος εἶναι, εἴπερ μοι καὶ μία κοτύλη προσῆν αἵματος, ταύτην ἐκχέαι προθύμως ὑπὲρ αὐτῶν. Χάριν δὲ ἔχω καὶ τῷ ἐπὶ πάντων Θεῷ τῷ Δεσπότῃ καὶ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὅτι μέγα ἔλεος ἐποίησε μεθ' ἡμῶν, εὐδοκήσας φανερωθῆναι καὶ στηριχθῆναι σήμερον τὴν τῆς εὐσεβείας ἀλήθειαν, καὶ οὐκ ἐνδοὺς παρατραπῆναί τι ταύτης, καὶ σαλευθῆναι παρὰ τῶν πολλοῖς ἐπιχειρήμασι καὶ δόλοις καὶ μηχανήμασι ἐπιχειρούντων ταύτην ἐπὶ τεσσαρεσκαίδεκα ἐνιαυτοὺς ἤδη διαστρέψαι καὶ κατασεῖσαι. Ταῦτα μὲν οὖν καὶ ὁ θειότατος βασιλεύς.

Ἐπεὶ δὲ ἀπελύθη τούτου θεῖον καὶ σεπτὸν πρόσταγμα καὶ πρὸς τὸ ἅγιον ὄρος, ὡς ἂν οἱ ἐν τούτῳ συνέσει καὶ ἀρετῇ διαφέροντες ἐπιδημήσωσιν εἰς τὴν κατὰ τὴν εὐδαίμονα ταύτην μεγαλόπολιν συγκεκροτημένην σύνοδον· ἐκεῖνοι δὲ διά τε τὸ τῆς ὁδοῦ μῆκος, καὶ τὴν τοῦ καιροῦ δυσχέρειαν ἐπιδημῆσαι οὐκ ἴσχυσαν, δύο τῶν ἱερωμένων μοναχῶν ἀρετῇ τε καὶ λόγῳ σεμνυνομένους πέμπουσι, καὶ ἀναφορὰν πρὸς τὸν κραταιὸν καὶ ἅγιον ἡμῶν αὐτοκράτορα καὶ βασιλέα παραδηλοῦσαν ὅτι καὶ ἔγγραφον τὴν οἰκείαν γνώμην τῇ συνόδῳ ἀπέστειλαν. Ἀνέστησαν οὖν οἱ πεμφθέντες ἱερομόναχοι, καὶ ἀπέδωκαν τῇ συνόδῳ λόγους, ὡς κοινοὺς τοῦ Ἁγίου ὄρους παντὸς, οὓς καὶ συνεγράψατο ἐκεῖ ἔτι παραμένων μετ' αὐτῶν ὁ ἱερώτατος μητροπολίτης Ἡρακλείας κύριος Φιλόθεος (27). Προεκόμισαν δὲ τὴν νῦν ἐκεῖθεν πεμφθεῖσαν ἔγγραφον ἁπάντων γνώμην, ἥτις καὶ ἀναγνωσθεῖσα εἰς ἐπήκοον πάντων, συμφωνοῦσα καὶ συνεπιμαρτυροῦσα διετέλει τῷ ἱερωτάτῳ μητροπολίτῃ Θεσσαλονίκης διὰ πάντων κατὰ τὴν τῆς εὐσεβείας ἀλήθειαν. Ταῦτα δὲ καὶ τὸ Ἅγιον ὄρος ἅπαν.

Ἡμεῖς δὲ πᾶσα ἡ συναθροισθεῖσα ἐν τῷ Τρικλίνῳ A τῷ οὕτως ἐπιλεγομένῳ Ἀλεξιακῷ τῶν ἱερῶν Βλαχερνῶν θεία καὶ ἱερὰ σύνοδος χάριτι Χριστοῦ, καὶ νῦν τῆς εὐσεβείας ὑπερμαχοῦντες, καὶ ἀκριβῆ καὶ προσήκουσαν τὴν περὶ τῶν προκειμένων σκέψιν καὶ ἐξέτασιν ποιησάμενοι, καὶ τοὺς πρώτους ἐπὶ τούτοις συνοδικοὺς τόμους ὡς εὐσεβεστάτους ἐπικυροῦντες, μᾶλλον δὲ καὶ τούτοις ἑπόμενοι, τὸν μὲν Βαρλαὰμ ἐκεῖνον καὶ τὸν Ἀκίνδυνον, ὡς εἰς αὐτὰ τὰ καίρια τῆς εὐσεβείας ἐμπαροινήσαντας, καὶ μηδαμῶς μεταμεληθέντας ἔτι περιόντας τῷ βίῳ, τῷ ἀπὸ Χριστοῦ ἀναθέματι δικαίως καθυποβάλλομεν· τοὺς δὲ νῦν ἀναφανέντας καὶ συνοδικῶς ἐξελεγχθέντας ἐκείνοις ὁμόφρονας, καὶ ἁπλῶς ὅσοι τῆς συμμορίας αὐτῶν, ἀποκηρύκτους τε καὶ ἀποβλήτους ἔχομεν τῆς καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ Ἐκκλησίας, εἰ B μὴ μεταμεληθεῖεν, καὶ τῷ ἀπὸ Χριστοῦ ἀναθέματι καθυποβάλλομεν, καὶ τοὺς κοινωνοῦντας τούτοις ἐν γνώσει ἀκοινωνήτους ἔχομεν· καὶ πάσης ἱερατικῆς λειτουργίας τοὺς ἔχοντας ἀπογυμνοῦμεν. Τοὺς δ' ὑπὸ τούτων συναρπαγέντας τε καὶ παρασυρέντας, καὶ μὴ τῶν ἐξάρχων τῆς αἱρέσεως ὄντας, ἀμεταμελήτους μὲν μένοντας, τοῖς ὁμοίοις καθυποβάλλομεν· μεταμεληθέντας δὲ γνησίως καὶ ἀναθεματίζοντας τήν τε τοιαύτην κακοδοξίαν καὶ τοὺς εἰς τέλος ἐμμείναντας ταύτῃ, μὴ μόνον εἰς κοινωνίαν τὴν κατ' εὐσέβειαν, ἀλλὰ καὶ εἰς ἱερωσύνην ἀσμενέστατα προσιέμεθα, μηδαμῶς τούτους ὑποβιβάζοντες, κατὰ τὴν ἐπὶ τοῖς τοιούτοις διάγνωσιν καὶ ἀπόφασιν τῆς ἁγίας καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου διοριζομένης, C « *Ὅτι τοὺς μὲν πρωτάρχους καὶ προϊσταμένους καὶ τῆς ἀσεβείας ἐκδικητὰς οὐδὲ μεταμελομένους ὅλως εἰς ἱερωσύνην παραδεχόμεθα· τοὺς δὲ βιασθέντας, ἢ συναρπαγέντας τε καὶ παρασυρέντας, μεταμελομένους ἀληθῶς καὶ γνησίως, εἰς ἱερωσύνην κατὰ τὸν οἰκεῖον ἕκαστον βαθμὸν προσδεχόμεθα.* » Ἀλλὰ καὶ εἴ τις ἕτερος τῶν ἁπάντων τὰ αὐτά ποτε φωραθείη ἢ φρονῶν ἢ λέγων ἢ συγγραφόμενος κατὰ τοῦ ἱερωτάτου Θεσσαλονίκης, μᾶλλον δὲ κατὰ τῶν ἱερῶν θεολόγων καὶ τῆς Ἐκκλησίας αὐτῆς, τὰ αὐτὰ κατ' αὐτοῦ ψηφιζόμεθα, καὶ τῇ αὐτῇ καταδίκῃ καθυποβάλλομεν, εἴτε τῶν ἱερωμένων εἴη τις, εἴτε τῶν λαϊκῶν. Αὐτὸν μέντοι τὸν πολλάκις ῥηθέντα ἱερώτατον μητροπολίτην, μηδὲν ἀπᾷδον τῶν θείων λογίων γράφοντά τε καὶ φρονοῦντα D μετ' ἐξετάσεως καταλαβόντες, μᾶλλον δὲ τῶν θείων λογίων καὶ τῆς κοινῆς ἡμῶν εὐσεβείας ὡς προσῆκεν ὑπερμαχοῦντα, οὐκ ἀνώτερον μόνον παντάπασι τῶν κατ' αὐτοῦ, μᾶλλον δὲ κατὰ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἐρεσχελιῶν, ὡς καὶ οἱ πρώην συνοδικοὶ Τόμοι προβάντες, ἔχομεν, ἀλλὰ καὶ ἀσφαλέστατον τῆς εὐσεβείας πρόμαχον καὶ προαγωνιστὴν καὶ βοη-

## Fr. Combefisii notæ.

(27) *Κύριος Φιλόθεος*. Hic ipse est, qui brevi post Constantinopoli sedit, olimque imbutus Palamæ erroribus in monte, jam non sancto, sed exstincta fidei luce in plerisque in eo Hesychastis, profano eorum antistitem Palamam ipsum vindicavit, celebrique elogio, Synaxario Dominicæ τῆς Ὀρθοδοξίας (secundæ scilicet Quadragesimæ) magna piorum offensione, adjunxit. Cujus etiam exstant aliquot orationes; ut fuerit vir satis eruditus et facundus, qui sic sermones votaque monachorum totius Montis sancti exceperit et conscripserit; in hoc forsitan a Callisto patriarcha vel ab imperatore missus.

Digitized by Google

πλείω τούτων καὶ μηδὲν ἧττον εἰς ἀσέβειαν φέροντα οὐδὲ ἀριθμεῖν ῥᾴδιον. Διὸ καὶ ἀπὸ τούτων ἡ καταδίκη τούτοις, εἰ μὴ ἄρα μεταμεληθεῖεν, ἐπεκυρώθη· καὶ τὰ συνοδικῶς ἡμῖν ἀρτίως μετὰ τῆς ἐκ Θεοῦ βασιλείας ἐξετασθέντα καὶ διαγνωσθέντα, καὶ θείοις Πατράσι πᾶσι, καὶ ταῖς προγεγενημέναις τούτου χάριν ἱεραῖς καὶ θείαις συνόδοις, καὶ τοῖς ἐπ' αὐταῖς συνοδικοῖς Τόμοις· καὶ ἡ ἔνθεσμος διὰ πάντων καὶ κανονικὴ αὕτη ψῆφος, γραφεῖσα καὶ ὑπογραφεῖσα ἀρτίως, ἀκίνητος εἰς αἰῶνα τὸν σύμπαντα διατηρηθήσεται τῇ πάντα δυναμένῃ ἐνεργείᾳ καὶ χάριτι τοῦ παντοδυνάμου καὶ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ὑπὲρ ἧς καὶ δι' ἧς ὁ παρὼν ἡμῖν ἀγὼν ἤνυσται.

Εἶχεν ὑπογραφὰς τὸ πρωτότυπον διὰ μὲν ἐρυθρῶν γραμμάτων τῶν θειοτάτων βασιλέων ἀμφοτέρων τό,

ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ ΠΙΣΤΟΣ ΒΑΣΙΛΕΥΣ ΚΑΙ ΑΥΤΟΚΡΑΤΩΡ ΤΩΝ ΡΩΜΑΙΩΝ Ο ΚΑΝΤΑΚΟΥΖΗΝΟΣ.

ΙΩΑΝΝΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΩ ΘΕΩ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Παλαιολόγος.

Διὰ δὲ τῆς σεβασμένης καὶ πατριαρχικῆς χειρὸς τό, Κάλλιστος ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας, Φιλόθεος.

Ὁ ταπεινὸς μητροπολίτης Θεσσαλονίκης, Ὑπέρτιμος καὶ ἔξαρχος πάσης Θετταλίας, Γρηγόριος.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, καὶ ἔξαρχος πάσης Ἑλλησπόντου, Ἀρσένιος.

Ὁ μητροπολίτης Φιλαδελφείας, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λυδίας καὶ καθολικὸς κριτὴς τῶν Ῥωμαίων, Μακάριος.

Ὁ ταπεινὸς μητροπολίτης Χαλκηδόνος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Βιθυνίας, Ἰάκωβος.

Ὁ μητροπολίτης Μελανίκου (31), ὑπέρτιμος καὶ καθολικὸς κριτὴς τῶν Ῥωμαίων, Μητροφάνης.

Ὁ ταπεινὸς μητροπολίτης Ἀμασείας καὶ ὑπέρτιμος.

Ὁ ταπεινὸς μητροπολίτης Ποντοηρακλείας καὶ ὑπέρτιμος Μεθόδιος.

Ὁ ταπεινὸς μητροπολίτης Πηγῶν καὶ Παρίου ὑπέρτιμος (32), Γεώργιος.

Ὁ ταπεινὸς μητροπολίτης Βεῤῥοίας, ὑπέρτιμος καὶ τὸν τόπον ἐπέχων τοῦ Τυάνων, Διονύσιος.

Ὁ ταπεινὸς μητροπολίτης Τραπεζοῦντος καὶ ὑπέρτιμος, Νήφων.

Ὁ ταπεινὸς μητροπολίτης Τραϊανουπόλεως ὑπέρτιμος καὶ ἔξαρχος πάσης Ῥοδόπης, Γερμανός.

Ὁ ταπεινὸς μητροπολίτης Σηλυβρίας, ὑπέρτιμος καὶ τὸν τόπον ἐπέχων τοῦ Κοτυαίου, Ἡσαΐας.

Ὁ ταπεινὸς μητροπολίτης Εὔπρω, ὑπέρτιμος καὶ τὸν τόπον ἐπέχων τοῦ Εὐχαΐτων, Γαβριήλ.

Ὁ ταπεινὸς μητροπολίτης Ἀμάστριδος καὶ ὑπέρτιμος, Καλλίνικος.

Ὁ ταπεινὸς μητροπολίτης Σουγδαίας καὶ ὑπέρτιμος, Εὐσέβιος.

Ὁ ταπεινὸς μητροπολίτης Αἴνου καὶ ὑπέρτιμος, Δανιήλ.

Ὁ ταπεινὸς μητροπολίτης Βρύσεως καὶ ὑπέρτιμος, Θεοδώρητος.

Ὁ ταπεινὸς μητροπολίτης Μαδύτων καὶ ὑπέρτιμος, Ἰάκωβος.

## Fr. Combefisii notæ.

simus ordo nuper in suis comitiis generalibus, et qui illi, a se invitatus, ultroque præiverat, meritis, quam purpura, clarior, litterarum reique ecclesiasticæ columen, eminentissimus cardinalis Bullionius: per quos Maximus, Deo auspice, brevi lucem videbit.

(31) *Ὁ μητροπολίτης Μελανίκου.* Videtur, quam Melantiam Ferrarius vocat, Thraciæ urbem ad Propontidem, inter Byzantium et Selymbriam. Quod se solum Hypertimum scribit, non item exarchum, indicio est, ex illis metropolitis fuisse, qui nomine tenus solum metropolitæ erant, eo honore donati ab imperatoribus, cum nullas provincias, nullasve alias urbes metropolitica potestate, et quasi patriarchali, regendas haberent. Hi enim omnes Hypertimi dicebantur, quasi honore primi aliisque in provincia episcopis prælati; non tamen exarchi, quod idem est ac patriarcha, uti etiam archiepiscopus; quanquam patriarchæ nomen ad majores primarias κατ' ἐξοχὴν sedes usu restrictum est, ut et archiepiscopi apud Græcos. Vel certe ἐξάρχους magis propria notione sese inscribunt, qui primatis jure plures provincias verasque metropoles subjectas haberent, non qui solum veri metropolitæ essent, eoque jure episcopis aliis in sua provincia præessent: velut qui statim sequitur, Ὁ Ἀμασείας, quam liquet veram metropolim ac claram urbem in Ponto fuisse, cum ejus episcopus non dicatur ἔξαρχος, quod et ipse forte Cæsariensi exarcho subesset; nisi deest aliquid in ejus subscriptione, cum et ipsum illius nomen desideretur. Fuerunt Græci mire liberales in titulis, eoque liberaliores, quo accisa nimis ditione, magis defici rebus videbantur. Quid vero istud officii, in Philadelphiæ et Melanici metropolitis, καθολικὸς κριτὴς τῶν Ῥωμαίων, *Judex universalis Romanorum*, id est, Græcorum, malim audire ab alio, quam ipse dicere. Num et istud honorarium quid ab imperatoribus in eos collatum, vel etiam judiciaria vera potestas, ipsa episcopis omnibus non communis; velut in illis est quos rex Christianissimus consistorianos comites vel episcopos, vel alias honoratiores clericos adlegit, qui ei sint a sanctioribus consiliis, seu magis una cum ipso judices vere καθολικοὶ sedeant; astantibus, quos libellorum supplicum magistros vocant *Conseillers d'Etat*, et *maîtres de requêtes*. Sedent prætera in Parlamento (suprema scilicet regni curia) Parisiis, episcopi, quos *pares* vocant, nec non archiepiscopus Parisiensis, suarum sedium jure; præter clericos senatores, quos sic καθολικοὺς κριτὰς nihil vetat dicere.

(32) *Μητροπολίτης Πηγῶν καὶ Παρίου ὑπέρτιμος.* Duplex hæc metropolis, ex illis quas novas metropoles vocant, ex aliis substractas, factasque privilegio metropolitici juris. Amborum unus antistes, Georgius, quanquam erant sedes satis dissitæ, nec ex eadem antiquiori metropoli divisæ. Nam altera jam Turcarum ditioni cesserat, alteram ejus vere pastor præsens ipse regebat? Vel commendata altera sedium fuerat. Pegæ seu Pagæ, Bœotiæ urbs in Isthmo Corinthiaco, sub Atheniensi olim metropolita; Parium, Mysiæ urbs ad Hellespontum, sub Cyziceno olim metropolita.

Digitized by Google

A

Ὁ ταπεινὸς μητροπολίτης Βιζύης καὶ ὑπέρτιμος, Νεόφυτος.

Ὁ ταπεινὸς μητροπολίτης Καλλιουπόλεως (33), Ἰωσήφ.

Ὁ ταπεινος μητροπολίτης Ἐξαμιλίου.

Ὁ ταπεινὸς μητροπολίτης Σωζοπόλεως, Θεοδόσιος.

Ἦσαν καὶ διὰ γνωμῶν οὗτοι, ὁ Ἀδριανουπόλεως, ὁ Σταυρουπόλεως, ὁ Διδυμοτείχου.

Παρῆσαν τῇ συνόδῳ καὶ ἐπίσκοποι τοῦ μὲν Ἡρακλείας ὁ Πανίου, ὁ Καριουπόλεως, ὁ Παμφύλου, ὁ Ἀθύρα· τοῦ δὲ Θεσσαλονίκης ὁ Καμπανίας· τοῦ Σάρδεων, ὁ Συνάδων, ὁ Ἐλευθερουπόλεως.

Διαλαθόντα τὰ δύο ταῦτα, ὕστερον προσετέθησαν.

B

Ὁ ταπεινὸς μητροπολίτης Διδυμοτείχου καὶ ὑπέρτιμος, Θεόληπτος.

Ὁ Λιτιτζίτζης μητροπολίτης βεβαιῶν ὑπέγραψα.

Ὁ μέγας χαρτοφύλαξ τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας καὶ ὕπατος τῶν φιλοσόφων, ὁ Ἔμπαρις.

Ὁ μέγας σκευοφύλαξ, Εὐθύμιος ὁ Ἀπόκαυχος.

Ὁ σακελλάριος τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας καὶ ἀρχιδιάκονος, Μιχαὴλ ὁ Καβασίλας.

Ὁ Ῥαιφερενδάριος τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας, Μανουὴλ ὁ Σίλβεστρος.

C

Ὁ ἐπὶ τῶν δεήσεων τῆς ἁγιωτάτης τοῦ Θεοῦ Μεγάλης ἐκκλησίας, Θεόδωρος διάκονος ὁ Περδίκης.

Ὁ σκευοφύλαξ τοῦ εὐαγοῦς βασιλικοῦ κλήρου, Γεώργιος διάκονος ὁ Περδίκης.

Ὁ ἐπὶ τῆς ἱερᾶς καταστάσεως τῆς ἁγιωτάτης Μεγάλης τοῦ Θεοῦ ἐκκλησίας, Μιχαὴλ διάκονος ὁ Μανιάκης.

Ὁ ἄρχων τῶν μοναστηρίων διάκονος ὁ Χωνειάτης.

*Εἶχεν ἑτέραν ὑπογραφὴν ὁμοίως τὸ πρωτότυπον τοῦ ὕστερον γενομένου θειοτάτου βασιλέως ἡμῶν μετὰ καὶ προγράμματος τοῦδε·*

Ἡ βασιλεία μου μέλλουσα ὑπογράψειν ἐν τῷ παρόντι Τόμῳ, προγεγονότι παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου μοναυτοκράτορος καὶ βασιλέως τοῦ πατρὸς τῆς βασιλείας μου καὶ τῆς θείας καὶ ἱερᾶς συνόδου ἐπὶ βεβαιώσει μὲν τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, ἐπὶ καθαιρέσει δὲ τῆς ἀθεωτάτης Βαρλαὰμ καὶ Ἀκινδύνου αἱρέσεως, τάττει καὶ διορίζεται στέργεσθαι τοῦτον παρ' αὐτῆς ἀμεταποίητον καὶ ἀμετακίνητον, χωρὶς βασάνου καὶ δοκιμασίας τῆς οἱασδήτινος, ὡς ἐκ Θεοῦ γραφέντα διὰ τῶν ἐν αὐτῷ λαλούντων ἁγίων, δεχομένης μὲν τῆς βασιλείας μου καὶ ἀσπαζομένης, ἅπερ καὶ ὁ παρὼν Τόμος προσίεται, ἀναθέματι δὲ παραδιδούσης, ὅσα καὶ αὐτὸς τῷ ἀναθέματι παραδέδωκε· καὶ πρὸς μὲν τοὺς ἐναντιουμένους τῷ τοιούτῳ θείῳ καὶ ἱερῷ Τόμῳ τάττει ἡ βασιλεία μου καὶ λόγοις καὶ ἔργοις κάτ' αὐτῶν ἵστασθαι, καὶ ὡς κοινοὺς τῆς Ἐκκλησίας ἀπελαύνειν ἐχθρούς· τοὺς δὲ ἐμμένοντας τούτῳ ἀποδοχῆς καὶ εὐμενείας τῆς δυνατῆς ἀξιοῦν. Ταῦτα δὲ τάττει ἡ βασιλεία μου, ὡς ἐκ Θεοῦ καταστᾶσα διὰ τῆς αὐτοῦ χάριτος δηφένσωρ καὶ ἐκδικητὴς τῆς αὐτοῦ Ἐκκλησίας. Ὥστε δὲ μένειν τὸν παρόντα ὁρισμὸν βέβαιον καὶ ἀκίνητον τῆς βασιλείας μου εἰς αἰῶνα τὸν ἅπαντα, καὶ ὑπογέγραπται παρ' αὐτῆς, καὶ τῷ ἁγίῳ θυσιαστηρίῳ ταῖς ἐμαυτοῦ χερσὶν ὥσπερ ἱερὸν ἀνάθημα φέρων ἀνέθηκα, παρουσίᾳ τοῦ κραταιοῦ καὶ ἁγίου μου αὐτοκράτορος καὶ βασιλέως, τοῦ πατρὸς τῆς βασιλείας μου, καὶ τοῦ παναγιωτάτου μου δεσπότου τοῦ οἰκουμενικοῦ πατριάρχου κυρίου Φιλοθέου, καὶ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου· μηνὶ Φεβρουαρίῳ ἰνδ. ζ'. Ματθαῖος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ τῶν Ῥωμαίων Ἀσάνης ὁ Καντακουζηνός.

—

## ΟΜΟΛΟΓΙΑ ΤΗΣ ΟΡΘΟΔΟΞΟΥ ΠΙΣΤΕΩΣ,

## ΕΚΤΕΘΕΙΣΑ ΠΑΡΑ ΤΟΥ ΙΕΡΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ ΚΥΡΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΠΑΛΑΜΑ.

D

Εἷς Θεὸς πρὸ πάντων, καὶ ἐπὶ πάντων, καὶ ἐν πᾶσι, καὶ ὑπὲρ τὸ πᾶν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι παρ' ἡμῶν προσκυνούμενός τε καὶ πιστευόμενος· Μονὰς ἐν Τριάδι, καὶ Τριὰς ἐν Μονάδι ἀσυγχύτως ἑνουμένη, καὶ ἀμερίστως διαιρουμένη· Μονὰς ἡ αὐτὴ καὶ Τριὰς παντοδύναμος· Πατὴρ ἄναρχος, οὐ μόνον ὡς ἄχρονος, ἀλλὰ καὶ ὡς κατὰ πάντα τρόπον ἀναίτιος· μόνος αἰτία καὶ ῥίζα καὶ

### Fr. Combefisii notæ.

(33) *Μητροπολίτης Καλλιουπόλεως*. *Calliopolis* ut in *Thesauro linguæ Latinæ*, quidquid Ferrarius vituperet. Sic certe Κωνσταντινούπολιν. *Constantinopolim* reddimus: etsi aliis forte melius Καλλίπολις sit. Nec enim diversas putem urbes, sed ipsam Thraciæ ad Propontidem contra Lampsacum, *Gallipoli* Italis. De ea exstat egregia Demetrii Cydonii Oratio deliberativa, mihi edita ad calcem libri *De hæresi Monothelitarum*; qua vir sapientissimus vario argumentorum genere probat. non esse illam cedendam petenti Amurathi, graviaque inde damna Græcorum imperio creanda, rite præsagit. Hinc quippe Turcarum in Europam propagatum imperium, ipsa illorum regia, facta Turcarum late metropoli. Quod tribus his metropolitis non adjectus Hypertimi titulus argumento est, non sic quoslibet metropolitas dictos esse, ac si nulla distinctio esset, sed fuisse qui sic nudo metropolitæ titulo potirentur, ut etiam Hypertimi appellatione gauderent, qua etiam alii sic ambitiose metropolitæ titulum in seipsis honestarent. Ferrarius has tres urbes solum episcopales vocat; atque adeo novæ admodum erant inter metropoliticas, necdum sic honoratæ, ut qui illis præessent episcopi, Hypertimi audirent, adhuc forte synodo provinciæ, veroque metropolitæ subjecti.

Digitized by Google

πηγὴ τῆς ἐν Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένης Θεότητος· μόνος αἰτία προκαταρκτικὴ τῶν γεγονότων· οὐ μόνος Δημιουργὸς, ἀλλὰ μόνος ἑνὸς Υἱοῦ Πατὴρ, καὶ Πνεύματος ἁγίου ἑνὸς Προβολεύς· ἀεὶ ὢν, καὶ ἀεὶ ὢν Πατὴρ, καὶ ἀεὶ ὢν μόνος Πατήρ τε καὶ Προβολεύς· μείζων Υἱοῦ καὶ Πνεύματος, τοῦτο μόνον ὡς αἴτιος· τἆλλα δὲ πάντα ὁ αὐτὸς αὐτοῖς καὶ ὁμότιμος· οὗ Υἱὸς εἷς, ἄναρχος μὲν ὡς ἄχρονος· οὐκ ἄναρχος δὲ, ὡς ἀρχὴν καὶ ῥίζαν καὶ πηγὴν ἔχων τὸν Πατέρα· ἐξ οὗ μόνου πρὸ πάντων τῶν αἰώνων ἀσωμάτως, ἀῤῥεύστως, ἀπαθῶς, γεννητῶς προῆλθεν, ἀλλ' οὐ διῃρέθη, Θεὸς ὢν ἐκ Θεοῦ· οὐκ ἄλλος μὲν καθ' ὃ Θεὸς, ἄλλος δὲ καθ' ὃ Υἱὸς, ἀεὶ ὢν, καὶ ἀεὶ ὢν Υἱὸς καὶ μόνος Υἱός· καὶ ἀεὶ πρὸς τὸν Θεὸν ἀσυγχύτως ὢν, οὐκ αἰτία καὶ ἀρχὴ τῆς ἐν Τριάδι νοουμένης θεότητος, ὡς ἐξ αἰτίας καὶ ἀρχῆς ὑπάρχων τοῦ Πατρὸς, ἀλλ' αἰτία καὶ ἀρχὴ τῶν γεγονότων πάντων, ὡς δι' αὐτοῦ πάντων γεγονότων· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἐπὶ συντελείᾳ τῶν αἰώνων ἑαυτὸν ἐκένωσε, μορφὴν τὴν καθ' ἡμᾶς λαβὼν, καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας εὐδοκίᾳ τοῦ Πατρὸς καὶ συνεργίᾳ τοῦ ἁγίου Πνεύματος κυηθεὶς τε νόμῳ φύσεως καὶ γεννηθεὶς, Θεὸς ὁμοῦ καὶ ἄνθρωπος, καὶ ὡς ἀληθῶς ἐνανθρωπήσας γέγονε ὅμοιος ἡμῖν κατὰ πάντα πλὴν ἁμαρτίας, μείνας ὅπερ ἦν, Θεὸς ἀληθινὸς, ἑνώσας ἀσυγχύτως καὶ ἀτρέπτως τὰς δύο φύσεις καὶ θελήσεις καὶ ἐνεργείας, καὶ μείνας εἷς Υἱὸς ἐν μιᾷ ὑποστάσει καὶ μετὰ τὴν ἐνανθρώπησιν, ἐνεργῶν τὰ θεῖα πάντα ὡς Θεὸς, καὶ τὰ ἀνθρώπινα πάντα ὡς ἄνθρωπος, καὶ τοῖς ἀνθρωπίνοις ἀδιαβλήτοις ὑποκείμενος πάθεσιν. Ἀπαθὴς μὲν καὶ ἀθάνατος ὢν καὶ διαμένων ὡς Θεὸς, ἑκὼν δὲ σαρκὶ παθὼν ὡς ἄνθρωπος· καὶ σταυρωθεὶς καὶ θανὼν καὶ ταφεὶς, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστάς· ὃς καὶ τοῖς μαθηταῖς μετὰ τὴν ἀνάστασιν ἐπιφανεὶς, καὶ τὴν ἐξ ὕψους δύναμιν ἐπαγγειλάμενος, καὶ παραγγείλας μαθητεύειν πάντα τὰ ἔθνη, καὶ βαπτίζειν εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, καὶ τηρεῖν διδάσκειν ὅσα ἐνετείλατο, αὐτὸς ἀνελήφθη εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρὸς, ὁμότιμον καὶ ὁμόθρονον ὡς ὁμόθεον ποιήσας τὸ ἡμέτερον φύραμα, μεθ' οὗ πάλιν φυράματος ἥξειν μέλλει μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Τότε δὲ πρὸς τὸν Πατέρα ἀνελθὼν ἔπεμψεν ἐπὶ τοὺς ἁγίους αὐτοῦ μαθητὰς καὶ ἀποστόλους τὸ Πνεῦμα τὸ ἅγιον, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται· συνάναρχον μὲν ὂν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὡς ἄχρονον, οὐκ ἄναρχον δὲ, ὡς καὶ αὐτὸ ῥίζαν καὶ πηγὴν καὶ αἰτίαν ἔχον τὸν Πατέρα, οὐχ ὡς γεννητὸν, ἀλλ' ὡς ἐκπορευτόν· ἐκ Πατρὸς γὰρ καὶ αὐτὸ πρὸ πάντων τῶν αἰώνων ἀῤῥεύστως καὶ ἀπαθῶς, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς προῆλθεν, ἀδιαίρετον ὂν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὡς ἐκ τοῦ Πατρὸς προερχόμενον καὶ ἐν Υἱῷ ἀναπαυόμενον, ἀσύγχυτον καὶ τὴν ἕνωσιν ἔχον, καὶ ἀμέριστον τὴν διαίρεσιν· Θεὸς ὂν καὶ αὐτὸ ἐκ τοῦ Θεοῦ, οὐκ ἄλλος μὲν καθ' ὃ Θεὸς, ἄλλος δὲ καθ' ὃ Παράκλητος·

A Πνεῦμα αὐθυπόστατον, ἐκ Πατρὸς ἐκπορευόμενον καὶ δι' Υἱοῦ πεμπόμενον, τουτέστι φανερούμενον, αἴτιον καὶ αὐτὸ τῶν γεγονότων πάντων, ὡς ἐν αὐτῷ τετελεσιουργημένων· τὸ αὐτὸ καὶ ὁμότιμον Πατρί τε καὶ Υἱῷ, χωρὶς τῆς ἀγεννησίας καὶ τῆς γεννήσεως. Ἐπέμφθη δὲ παρὰ τοῦ Υἱοῦ πρὸς τοὺς οἰκείους μαθητὰς, τουτέστι πεφανέρωται. Πῶς γὰρ ἂν ἄλλως παρ' αὐτοῦ πεμφθείη τὸ μὴ χωριζόμενον αὐτοῦ; Πῶς δ' ἂν ἄλλως ἔλθοι μοι τὸ ὑπάρχον πανταχοῦ; Διὸ μὴ μόνον παρὰ τοῦ Υἱοῦ, ἀλλὰ καὶ παρὰ τοῦ Πατρὸς, καὶ διὰ τοῦ Υἱοῦ πέμπεται· καὶ παρ' ἑαυτοῦ ἔρχεται φανερούμενον. Κοινὸν γὰρ ἔργον ἡ ἀποστολὴ, δηλονότι ἡ φανέρωσις τοῦ Πνεύματος. Φανεροῦται δὲ οὐ κατὰ τὴν οὐσίαν, *Οὐδεὶς γάρ* B *ποτε Θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν*, ἀλλὰ μετὰ τὴν χάριν καὶ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος. Ἴδιον μὲν γὰρ ἑκάστου τούτων ἡ ἑκάστου ὑπόστασις, καὶ ὅσα τείνει πρὸς αὐτήν· κοινὰ δὲ οὐχ ἡ ὑπερούσιος οὐσία μόνον, ἡ παντάπασιν ἀνώνυμος καὶ ἀνέκφαντος καὶ ἀμέθεκτος, ὡς ὑπὲρ πᾶσαν ἐπωνυμίαν οὖσα καὶ ἔκφανσιν καὶ μετοχὴν, ἀλλὰ καὶ ἡ χάρις καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια καὶ ἡ λαμπρότης, καὶ ἡ βασιλεία καὶ ἡ ἀφθαρσία, καὶ πάνθ' ἁπλῶς καθ' ἃ κοινωνεῖ, καὶ κατὰ χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καὶ ἀνθρώποις ὁ Θεός· μήτε διὰ τὸ μεριστὸν καὶ διάφορον τῶν ὑποστάσεων, μήτε διὰ τὸ μεριστὸν καὶ ποικίλον τῶν δυνάμεών τε καὶ ἐνεργειῶν, τῆς ἁπλότητος ἐκπίπτων οὕτως C ἡμῖν εἷς ἐστι παντοδύναμος Θεὸς ἐν μιᾷ θεότητι. Οὔτε γὰρ ἐξ ὑποστάσεων τελείων γένοιτ' ἄν ποτε σύνθεσις, οὔτε τὸ δυνάμενον, ὅτι δύναμιν ἢ δυνάμεις ἔχει, δι' αὐτὸ τὸ δύνασθαι σύνθετον ἀληθῶς ποτε λεχθείη ἄν.

Πρὸς τούτοις προσκυνοῦμεν σχετικῶς τὴν ἁγίαν εἰκόνα τοῦ περιγραφέντος ὡς δι' ἡμᾶς ἐνανθρωπήσαντος Υἱοῦ τοῦ Θεοῦ, πρὸς τὸ πρωτότυπον ἀναφέροντες σχετικῶς τὴν προσκύνησιν· καὶ τὸ τίμιον τοῦ σταυροῦ ξύλον, καὶ τὰ σύμβολα πάντα τῶν αὐτοῦ παθημάτων, ὡς ὄντα τρόπαια θεῖα κατὰ τοῦ κοινοῦ πολεμίου τοῦ γένους ἡμῶν· πρὸς δὲ καὶ τὸν τύπον τοῦ τιμίου σταυροῦ σωτήριον, καὶ τοὺς θείους ναοὺς καὶ τόπους, καὶ τὰ ἱερὰ σκεύη καὶ θεοπαράδοτα λόγια διὰ τὸν αὐτοῖς ἐνοικοῦντα Θεόν. Ὡσαύ- D τως προσκυνοῦμεν καὶ τὰς τῶν ἁγίων πάντων εἰκόνας διὰ τὴν πρὸς αὐτοὺς ἀγάπην καὶ τὸν Θεὸν, ὃν οὗτοι ἀληθῶς ἠγάπησάν τε καὶ ἐθεράπευσαν· ἐν τῇ προσκυνήσει πρὸς τὰς εἰκόνων μορφὰς ἀναφέροντες τὴν διάνοιαν. Προσκυνοῦμεν καὶ αὐτὰς τὰς τῶν ἁγίων σοροὺς, ὡς τῆς ἁγιαστικῆς χάριτος τῶν αὐτῶν οὐκ ἀποπτάσης ἱερωτάτων ὀστῶν· ὥσπερ οὐδὲ τοῦ δεσποτικοῦ σώματος ἐν τῷ τριημέρῳ ἡ θεότης διῃρέθη θανάτῳ.

Κακὸν κατ' οὐσίαν ἴσμεν οὐδέν· οὐδ' εἶναι τοῦ κακοῦ ἀρχὴν ἑτέραν ἢ τὴν ἐκτροπὴν τῶν λογικῶν, κεχρημένων τῇ παρὰ τοῦ Θεοῦ δεδομένῃ αὐτεξουσιότητι κακῶς. Στέργομεν πάσας τὰς ἐκκλησιαστικὰς παραδόσεις, ἐγγράφους τε καὶ ἀγράφους, καὶ πρὸ πάντων τὴν μυστικωτάτην τε καὶ πανίερον τελετὴν

Digitized by Google

καὶ κοινωνίαν καὶ σύναξιν, παρ' ἧς καὶ ταῖς ἄλλαις A τελεταῖς ἡ τελείωσις, καθ' ἣν εἰς ἀνάμνησιν τοῦ κενώσαντος ἑαυτὸν ἀκενώτως, καὶ σάρκα λαβόντος καὶ παθόντος ὑπὲρ ἡμῶν, κατὰ τὴν θεσπεσίαν ἐκείνου παραγγελίαν καὶ αὐτουργίαν, τὰ θειότατα ἱερουργεῖται καὶ θεουργεῖται, ὁ ἄρτος καὶ τὸ ποτήριον· καὶ αὐτὸ τὸ ζωαρχικὸν ἐκεῖνο τελεῖται σῶμα καὶ αἷμα· καὶ τὴν ἀπόῤῥητον αὐτῶν μετουσίαν καὶ κοινωνίαν τοῖς εὐαγῶς προσιοῦσι χαρίζεται. Πάντας δὲ τοὺς μὴ ὁμολογοῦντας καὶ πιστεύοντας ὡς τὸ Πνεῦμα τὸ ἅγιον προεμήνυσε διὰ τῶν προφητῶν, ὡς ὁ Κύριος ἐθέσπισε διὰ σαρκὸς ἡμῖν ἐπιφανείς, ὡς οἱ ἀπόστολοι ἐκήρυξαν πεμφθέντες ὑπ' αὐτοῦ, ὡς οἱ Πατέρες ἡμῶν καὶ διάδοχοι ἐκείνων ἐδίδαξαν ἡμᾶς, ἀλλ' αἱρέσεως οἰκείας ἢ ἄρξαντας, ἢ τοῖς κακῶς ἄρξασιν εἰς τέλος ἐπηκολουθηκότας, ἀποβαλλόμεθα καὶ ἀναθέματι καθυποβάλλομεν.

Δεχόμεθα δὲ καὶ ἀσπαζόμεθα τὰς ἁγίας καὶ οἰκουμενικὰς συνόδους, τὴν ἐν Νικαίᾳ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων κατὰ τοῦ θεομάχου Ἀρείου, κατασπῶντος ἀσεβῶς εἰς κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ κατατέμνοντος εἰς κτιστὰ καὶ ἄκτιστα τὴν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι προσκυνουμένην Θεότητα· τὴν μετ' αὐτὴν ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν πεντήκοντα ἁγίων Πατέρων κατὰ Μακεδονίου Κωνσταντινουπόλεως, ἀσεβῶς εἰς κτίσμα κατασπῶντος τὸ Πνεῦμα τὸ ἅγιον, καὶ κατατέμνοντος μηδὲ ἧττον καὶ τούτου εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν Θεότητα· τὴν μετ' αὐτὴν ἐν Ἐφέσῳ τῶν διακοσίων Πατέρων κατὰ C Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως, τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀθετοῦντος ἐπὶ Χριστοῦ τῆς αὐτοῦ θεότητος καὶ ἀνθρωπότητος, καὶ τὴν ὡς ἀληθῶς τεκοῦσαν τὸν Θεὸν Παρθένον, Θεοτόκον καλεῖν μηδαμῶς βουλομένου· καὶ τὴν τετάρτην τὴν ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα Πατέρων κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου, μίαν φύσιν ἐπὶ Χριστοῦ δογματιζόντων κακῶς· καὶ τὴν μετ' αὐτὴν ἐν Κωνσταντινουπόλει τῶν ἑκατὸν ἑξήκοντα πέντε Πατέρων κατὰ Θεοδώρου καὶ Διοδώρου τὰ αὐτὰ τῷ Νεστορίῳ φρονούντων, καὶ διὰ συγγραμμάτων τὰ ἐκείνου συνιστώντων, Ὠριγένους τε καὶ Διδύμου καὶ Εὐαγρίου τινός, τῶν παλαιῶν μὲν ὄντων, μυθώδη δέ τινα ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεισάγειν ἐπιχειρούντων· καὶ τὴν μετ' αὐτὴν ἐν τῇ αὐτῇ πόλει τῶν ἑκατὸν ἑβδομήκοντα Πατέρων κατὰ Σεργίου, Πύῤῥου, Παύλου, Κωνσταντινουπόλεως ἀρξάντων, ἀθετούντων ἐπὶ Χριστοῦ τὰς καταλλήλους ταῖς δύο φύσεσιν δύο ἐνεργείας καὶ δύο θελήματα· καὶ τὴν ἐν Νικαίᾳ πάλιν τῶν ἑπτὰ καὶ ἑξήκοντα καὶ τριακοσίων Πατέρων κατὰ τῶν Εἰκονομάχων.

Ἀσπαζόμεθα καὶ πάσας τὰς κατὰ Θεοῦ χάριν κατὰ καιρὸν ἢ τόπον πρὸς βεβαίωσιν εὐσεβείας καὶ εὐαγγελικῆς πολιτείας συναθροισθείσας ἁγίας συνόδους· ὧν εἰσι καὶ αἱ συγκροτηθεῖσαι κατὰ τὴν μεγαλόπολιν ταύτην ἐν τῷ περιβοήτῳ ναῷ τῆς ἁγίας B τοῦ Θεοῦ Σοφίας κατὰ τοῦ Καλαβροῦ Βαρλαὰμ, καὶ τοῦ μετ' ἐκεῖνον τὰ ἐκείνου φρονοῦντος, καὶ δόλῳ σπεύδοντος ἐπεκδικεῖν, Ἀκινδύνου· οἳ τὴν κοινὴν χάριν Πατρὸς, Υἱοῦ καὶ Πνεύματος, καὶ τὸ φῶς τοῦ μέλλοντος αἰῶνος, καθὸ καὶ οἱ δίκαιοι λάμψουσιν ὡς ἥλιος, ὡς καὶ ὁ Χριστὸς προϋπέδειξεν ἐπ' ὄρους λάμψας, καὶ ἁπλῶς πᾶσαν δύναμίν τε καὶ ἐνέργειαν τῆς τρισυποστάτου Θεότητος, καὶ πᾶν τὸ διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως κτιστὸν εἶναι δογματίζουσι, καὶ κατατέμνουσι καὶ οὗτοι δυσσεβῶς εἰς κτιστὰ καὶ ἄκτιστα τὴν μίαν Θεότητα, καὶ τοὺς εὐσεβῶς ἄκτιστον τὸ θειότατον ἐκεῖνο φῶς, καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενὸς ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, διθεΐτας ὀνομάζουσι καὶ C πολυθέους, ὡς καὶ Ἰουδαῖοι Σαβελλιανοί τε καὶ Ἀρειανοὶ ὀνομάζουσιν ἡμᾶς. Ἀλλ' ἡμεῖς τούτους τε κἀκείνους, ὡς ὄντως ἀθέους τε καὶ πολυθέους, ἀποβαλλόμεθα, καὶ τοῦ πληρώματος τῶν εὐσεβούντων, ὡς καὶ ἡ ἁγία τοῦ Χριστοῦ καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία διὰ τοῦ συνοδικοῦ Τόμου καὶ Ἁγιορειτικοῦ, τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν Θεότητα τρισυπόστατον καὶ παντοδύναμον, οὐδαμῶς τοῦ ἑνιαίου καὶ τῆς ἁπλότητος ἐκπίπτουσαν διὰ τὰς δυνάμεις ἢ τὰς ὑποστάσεις. Ἐπὶ τούτοις πᾶσι προσδοκῶμεν ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος ἄληκτον αἰῶνος. Ἀμήν.

## ΑΝΑΦΟΡΑ ΤΩΝ ΑΡΧΙΕΡΕΩΝ

πρὸς τὴν κρατίστην καὶ ἁγίαν ἡμῶν κυρίαν καὶ δέσποιναν κυρίαν Ἄνναν τὴν Παλαιολογίναν.

Κρατίστη καὶ ἁγία ἡμῶν κυρία καὶ δέσποινα, D ἡμεῖς οἱ ἀρχιερεῖς οἱ καθεζόμενοι ἐν τοῖς κελλίοις ἡμῶν ἀποκεκλεισμένοι, ὁ Ἐφέσου, ὁ Κυζίκου, ὁ Ἀλανίας, ὁ Χριστουπόλεως, ὁ Ἄπρω, ὁ Λοπαδίου, δεξάμενοι παρὰ τῆς χάριτος τοῦ παναγίου Πνεύματος τὸν τοῦ Εὐαγγελίου ζυγὸν, καὶ χρέος ἔχοντες ἀντιτάττεσθαι τοῖς ἀντικειμένοις τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ νοητοῖς τε καὶ αἰσθητοῖς δαίμοσι, καὶ ὑπομιμνήσκειν τῇ εὐσεβεστάτῃ καὶ ἁγίᾳ βασιλείᾳ σου, καὶ παρακινεῖν τὸ φιλευσεβὲς αὐτῆς εἰς τὸ καθαίρειν πᾶν ὕψωμα κατὰ τοῦ Θεοῦ ἐπαιρόμενον, ὑπομιμνήσκομεν ἤδη καὶ ἀναφέρομεν, ὅτι ὁ νῦν πατριαρχεύων, ἅλους τῷ τῆς φιλαργυρίας δεινῷ καὶ ἀλογίστῳ πάθει, ὡς μισθωτὸς ἀνεστράφη ἐν τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, συνάγων ἀργύριον καὶ χρυσίον ὑπὲρ τῶν υἱῶν καὶ τῶν θυγατέρων αὐτοῦ, παρὰ τοὺς ὅρους τῶν ἁγίων, καὶ τοὺς ἱεροὺς κανόνας τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, πωλῶν ἀνυποστόλως τὰς χηρευούσας ἐκκλησίας, πωλῶν τὰς ἐξαρχίας, καπηλεύων τὰς ἡγουμενείας, ὁδῷ προβαίνων ἐπὶ τὸ χεῖρον, καὶ τὸ δίκαιον δικάζων, καὶ κρίνων ἐνδιαστρόφως τὰς ἀνακυπτούσας ἐκκλησιαστικάς τε καὶ πολιτικὰς ὑποθέσεις, ὡς καὶ διπλᾶς σημειώσεις ἀντιθέτους ἐπὶ πολλῶν εἶναι τοῦ αὐτοῦ,

Digitized by Google

ὢ φεῦ τῆς τόλμης! ὕστερον καὶ ἐπὶ τῆς εὐσεβείας φανερῶς ἐποίησε περὶ τῶν ἱερῶν κειμηλίων τί χρὴ λέγειν. Πολλὰ γὰρ καὶ τῶν καθιερωμένων τῷ Θεῷ σκευῶν, τολμηρᾷ καὶ χειρὶ καὶ γνώμῃ ἀδεῶς ἀφελόμενος, εἰς ἴδιον, βαβαὶ, πορισμὸν, καὶ κατέλυσε καὶ ἐπώλησεν. Ἐπὶ δὲ τούτοις πᾶσι κατέλιπε διὰ φιλοδοξίας ὑπερβολὴν καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ χρονίας καταμονὰς ἐποίησε φορτικῶς ἐν τοῖς βασιλείοις. Ὁ δὲ τοῦ Θεοῦ μέγιστος ναὸς, ἀπρονόητος καὶ ἀνεπιμέλητος περιλειφθεὶς, ἐγένετο πτῶμα ἐλεεινόν. Τὰς δὲ ψευδολογίας, καὶ τὰς ἄλλας αὐτοῦ πλάνας καὶ ὑποκρίσεις ἃς ἐπὶ τῶν ὁμιλούντων αὐτῷ καθ' ἑκάστην ἐπιδείκνυται τὴν ἡμέραν, ποία διηγήσεται γλῶσσα; Οὐ γὰρ οἶδε τὸ στόμα αὐτοῦ ἀλήθειαν, καὶ ἠχρείωται κατ' αὐτὸν τὸ μέγα τῆς ἀρχιερωσύνης ἀξίωμα. Ἡμεῖς δὲ ἐν ἐνδείᾳ καὶ στενώσει καθήμενοι, παρακαλοῦμεν τὸν Θεὸν, ἵνα ἐμβατεύσῃ εἰς τὴν καρδίαν τῆς ἁγίας βασιλείας σου, καὶ ἀποκαλυφθῇ τὰ ἔργα αὐτοῦ. Νῦν οὖν ὡς ὁρᾷς, δέσποινα ἡμῶν ἁγία, εἰς βάθος κακῶν ἐμπεσὼν ὁ ἄθλιος ὄντως καταφρονεῖ, καὶ ἀνομίαν προστιθεὶς ἀνομίᾳ, ἐγκατελείφθη ὑπὸ Θεοῦ, καὶ ἐξέπεσε καὶ τῆς εὐσεβείας αὐτῆς, καὶ ἐξεκυλίσθη εἰς πλάνην κακοδοξίας, καὶ ὑπὸ ἀναθεματισμοὺς ἐγγράφους πεποίηκεν ἑαυτὸν, ἀθετήσας τὰς ὑπὲρ εὐσεβείας διαγνώσεις καὶ ἀποφάσεις τῆς συνόδου ἐκείνης, καθ' ἣν προεκάθητο καὶ ὁ τρισμακάριστος καὶ ἅγιος ἡμῶν αὐθέντης καὶ βασιλεὺς, καὶ χωρήσας μὲν κατὰ τῆς εὐσεβείας τῶν τότε δικαιωθέντων, ὡς συνηγορῶν τῆς κατ' αὐτὴν ἀληθείας, ὁμοφρονήσας δὲ τοῖς μαθηταῖς καὶ διαδόχοις, τῆς τοῦ Βαρλαὰμ ἐκείνου κακοδοξίας. Καὶ νῦν μὲν ἀναιρῶν τὰς τοῦ Θεοῦ θείας καὶ δημιουργικὰς ἐνεργείας παντελῶς, καὶ διαφέρειν ὅλως ταύτας τῆς οὐσίας λέγων, οὐσίαν εἶναι μόνον δογματίζει τὸν Θεὸν, ἔρημον καὶ γυμνὴν τῆς περὶ αὐτὸν προνοίας καὶ δικαιοσύνης καὶ ἀγαθότητος, καὶ τῶν ἄλλων τῆς θεότητος αὐχημάτων· νῦν δὲ τὰς δημιουργικὰς ταύτας ἐνεργείας τοῦ Θεοῦ κτιστὰς εἶναι παριστῶν, καὶ αὐτὴν τὴν λαμπρότητα τῆς θείας φύσεως, καθ' ἣν καὶ ὁ Χριστὸς ἐπ' ὄρους ἤστραψε, προφάσει τοῦ διαφέρειν τῆς οὐσίας τοῦ Θεοῦ, καὶ κατατέμνων εἰς κτιστὰ καὶ ἄκτιστα τὸ θεῖον, καὶ καταλύων τὴν ἀντίθετον τοῖς τοσούτοις καὶ τηλικούτοις δυσσεβήμασιν ὀρθὴν διάγνωσιν, καὶ τοὺς φρονοῦντας καὶ γρά- A φοντας τοιαύτας δυσσεβείας ἱερεῖς καὶ ἀρχιερεῖς χειροτονῶν, τοὺς δὲ ἀντιλέγοντας αὐτοῖς διώκων καὶ ἀποκηρύττων, προστιθεὶς καὶ τοὺς ὁμόφρονας αὐτῶν, μηδὲ γοῦν τὸν εὐσεβέστατον ἐκεῖνον ἡμῶν βασιλέα δυσωπούμενος, σύμφωνον προδήλως ὄντα τοῖς μοναχοῖς. Παρακαλοῦμεν οὖν καὶ δεόμεθα τῆς ἁγίας βασιλείας σου, μηδὲν κινδυνεύσῃ τὰ τῆς Ἐκκλησίας καὶ τὰ τῆς εὐσεβείας διὰ ἕνα ἄνθρωπον, καὶ ταῦτα φανερῶς κατάκριτον. Ὥσπερ γὰρ ἡ κατὰ Ἀρείου σύνοδος πάντας τοὺς ὁποτεδήποτε ἀναφανέντας Ἀρειανοὺς καταδικάζει, οὕτω καὶ ἡ κατὰ τοῦ Βαρλαὰμ σύνοδος πάντας τοὺς τὰ ἐκείνου ἐπεκδικοῦντας καὶ μαχομένους τοῖς ἀντιλέγουσιν αὐτοῖς. Οὗτος δὲ γυμνῇ τῇ κεφαλῇ, τὸ λεγόμενον, καὶ λαλῶν B καὶ γράφων καὶ χειροτονῶν, καὶ ψηφιζόμενος, τὴν πρὸς τοὺς τὰ τοῦ Βαρλαὰμ φρονοῦντας ὁμοφροσύνην ἐπεδείξατο· οὐκέτι γοῦν ἔχει μοῖραν μετὰ τῶν εὐσεβῶν· ἀπελαθήτω ὡς λύκος, ὡς ὄφις, ὡς λέων ἀνήμερος, τῶν τοῦ Χριστοῦ θρεμμάτων. Εἰ δὲ χρῄζει καὶ ἐλέγχων, ἔχειν τι νομίζων ἀπολογίας, προαγέσθω εἰς κρίσιν. Παρακαλοῦμεν οὖν, καὶ αὖθις παρακαλοῦμεν, μηδὲν ἐπιπλέον κινδυνεύσῃ τὰ τοῦ Χριστιανισμοῦ, ὅτι πολλοὶ τῶν Χριστιανῶν δι' αὐτὸν ἀποθνήσκουσιν ἀκοινώνητοι τῶν ἀχράντων τοῦ Χριστοῦ μυστηρίων, καὶ ἄλλοι οὐδὲ εἰς ἐκκλησίαν εἰσέρχονται. Πολλοὶ δὲ τῶν ἱερέων, καὶ τοῦ ὅλως λειτουργεῖν ἐπαύσαντο. Ταῦτα ὡς χρέος ἔχοντες, καὶ ὡς εὔχεται, καὶ ὡς δοῦλοι ἀναφέρομεν, καὶ C διὰ τὸ ἀξιόπιστον καὶ οἰκείαις ὑπογραφαῖς ὑπεσημηνάμεθα. Μηνὶ Σεπτεμβρίῳ ἰνδικτιῶνος ιε'.

Εἶχε καὶ ὑπογραφάς·

Ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου, Ματθαῖος.

Ὁ ταπεινὸς μητροπολίτης Κυζίκου, Ἀθανάσιος.

Ὁ ταπεινὸς μητροπολίτης πάσης Ἀλανίας καὶ Σωτηρουπόλεως, Λαυρέντιος.

Ὁ ταπεινὸς μητροπολίτης Χριστουπόλεως, Μακάριος.

Ὁ ταπεινὸς μητροπολίτης Ἄπρω, Χαρίτων.

Ὁ ταπεινὸς ἀρχιεπίσκοπος Λοπαδίου, Ἱερόθεος.

Τὸ παρὸν ἴσον ἀντιβληθὲν τῷ πρωτοτύπῳ αὐτοῦ, καὶ εὑρεθὲν κατὰ πάντα ἐξισάζον ὑπεγράφη παρ' ἐμοῦ δι' ἀσφάλειαν·

D Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφίας, Μακάριος.

—

## ΠΡΟΣΤΑΓΜΑ

Τοῦ εὐσεβεστάτου βασιλέως Ἰωάννου τοῦ Καντακουζηνοῦ βεβαιοῦν τὰς κατὰ τοῦ αὐτοῦ πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου Καλέκα τοῦ Βαρλααμίτου συνοδικὰς ἀποφάσεις.

Εὐνούστατοι καὶ πιστότατοι τῇ βασιλείᾳ μου οἰκήτορες ἅπαντες τῆς θεοδοξάστου, θεοφυλάκτου, καὶ θεομεγαλύντου Κωνσταντινουπόλεως, οἵ τε κληρικοὶ, μονάζοντες, καὶ ὅσοι τῆς πολιτείας, καὶ ἅπας ὁ κοινὸς λαὸς, τὰ κινηθέντα παρὰ τοῦ Βαρλαὰμ ἐκείνου κατὰ τῆς εὐσεβείας, καὶ ὅπως ἐξηλέγχθησαν παρὰ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις κὺρ Γρηγορίου τοῦ Παλαμᾶ, καὶ κατεδικάσθη συνοδικῶς παρούσης καὶ τῆς βασιλείας μου, καὶ ὡς ὁ Ἀκίνδυνος μετὰ μικρὸν τὰ ἐκείνου φρονῶν ἐξελεγχθεὶς συνοδικῶς καὶ αὐτὸς, προκαθημένης ἐν τῇ συνόδῳ τηνικαῦτα καὶ τῆς βασιλείας μου, τῇ αὐτῇ καταδί- E

Digitized by Google

δικαίως καθυπεβλήθη, καὶ τόμος συνοδικὸς ἐπὶ τούτοις προέβη, συμπεριληπτικῶς ἀποτέμνων τῆς τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ παντὸς τοῦ τῶν ὀρθοδόξων πληρώματος, εἴ τις τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ κατὰ τῶν μοναχῶν, τοῦ τε δηλονότι κυροῦ Γρηγορίου τοῦ Παλαμᾶ, καὶ τῶν σὺν αὐτῷ, λαληθέντων, ἢ συγγραφέντων φανείη πάλιν τῶν αὐτῶν κατηγορῶν, οὐδένα τῶν ἁπάντων ἀγνοεῖν οἶμαι, ἀλλὰ μετὰ μικρὸν ὑπὸ πονηρᾶς καὶ φιλάρχου γνώμης κατὰ τῆς βασιλείας μου πλασαμένων τινῶν ἃ καὶ ὑμεῖς ἴστε, κἀντεῦθεν χαλεπῆς συγχύσεως καταλαβούσης τὴν τῶν Ῥωμαίων ἀρχὴν, ὁ Ἀκίνδυνος ὡς ἑρμαίῳ τῇ τοιαύτῃ τοῦ καιροῦ μοχθηρίᾳ χρησάμενος, καὶ πολλοὺς ἀπατήσας καὶ προσεταιρισάμενος, μεθ' ὧν καὶ τὸν χρηματίσαντα πατριάρχην, στάσιν ἤγειρε κατὰ τῆς Ἐκκλησίας δεινὴν, τῆς κατὰ τὴν πολιτείαν μηδὲν ἀποδέουσαν, ἐκδικῶν μὲν τὰς τοῦ Βαρλαὰμ ἐκείνας κακοδοξίας, τὸ ὄνομα δὲ μόνον ἐκείνου καὶ αὐτὸς πρὸς ἀπάτην ἀποκηρύττων, εἰ καὶ τῶν συνετῶς ἀκουόντων οὐδένα διέλαθεν. Ἐπεὶ δὲ βεβαιωτὴς καὶ προστάτης Ἀκινδύνου καὶ τῶν κατ' αὐτὸν ὁ χρηματίσας πατριάρχης γενόμενος, αὐτόν τε τὸν Ἀκίνδυνον χειροτονίας ἠξίωσε, καί τινας τῶν ὁμοφρονούντων αὐτῷ εἰς τὰς ἐκκλησιαστικὰς προῆγεν ἀρχὰς, ἅμα καὶ πρὸς τὴν ὑψηλοτάτην δέσποιναν τῶν Ῥωμαίων, καὶ ἐρασμιωτάτην ἀδελφὴν τῆς βασιλείας μου, ἐπὶ τοῖς τοιούτοις δόγμασι παῤῥησιαζόμενος, καὶ κατὰ τῶν δικαιωθέντων ὑπ' εὐσεβείᾳ μοναχῶν αὖθις χωρῶν, καταλαβοῦσα ἐντεῦθεν αὕτη, τὰς ὑπὲρ εὐσεβείας συνοδικῶς ἐκείνας διαγνώσεις, καὶ ἀποφάσεις ἀκυρουμένας, καὶ τὸν ἐπ' αὐταῖς συνοδικὸν τόμον τελείως ὑπ' αὐτοῦ ἀθετούμενον καὶ καταλυόμενον, πολλάκις πρότερον μετὰ τῶν ἱερωτάτων ἀρχιερέων τὰ περὶ τούτων ἐξετάσασα, εἶτα καὶ σύνοδον συγκροτεῖ, καθ' ἣν ἐξετάσεως καὶ διαγνώσεως ἀκριβοῦς γενομένης, καθαιρέσει κοινῇ πάντες τοῦτον καθυποβάλλουσι, κἂν εἰ μὴ μεταμεληθείη καὶ τὸν Ἀκίνδυνον, καὶ τοὺς κατ' αὐτὸν ἀποβάλλοιτο, καὶ τῆς μοίρας τῶν ὀρθοδόξων ἐκτέμνουσι. Τούτου δὲ τοῦ θεαρέστου τελεσθέντος ἔργου, ἐπαινετὸν γὰρ κατὰ τὸν εἰπόντα καὶ ἡ τῆς κακίας κόλασις, λύει τὴν ἐμφύλλιον στάσιν ὁ Κύριος, καὶ βραβεύει τὴν εἰρήνην τῇ βασιλείᾳ Ῥωμαίων. Καὶ οὕτως εἰσελθοῦσα ἡ βασιλεία μου Θεοῦ εὐδοκοῦντος εἰς τὴν μεγαλόπολιν ταύτην, αὐτὸν μὲν εὗρε καθῃρημένον, Ἀκίνδυνον δὲ καὶ τοὺς σὺν αὐτῷ ἀποκεκηρυγμένους πάλιν συνοδικῶς, ὃ μὴ μόνον ἐνταῦθα κατὰ τὴν σύνοδον ταύτην οἱ συνελθόντες ἔπραξαν, ἀλλὰ καὶ οἱ ἐν τοῖς ἰδίοις κελλίοις σχολάζοντες ἱερώτατοι μητροπολῖται, ἐγγράφως συνεψηφίσαντο, προστιθέντες αὐτοὶ μετὰ τῆς ἐν τοῖς δόγμασι παραφορᾶς, καὶ τὰς ἄλλας ἀθέσμους κατὰ τῆς Ἐκκλησίας καὶ τῆς βασιλείας γεγενημένας πράξεις αὐτοῦ· ὃ καὶ οἱ ἐκτὸς συνόντες τῇ βασιλείᾳ μου, ὅ τε Ἱεροσολύμων ἁγιώτατος πατριάρχης καὶ οἱ λοιποὶ πάντες ἱερώτατοι μητροπολῖται, σύνοδον καὶ αὐτοὶ συγκροτήσαντες ἀπεφήναντο, πρὸς τοῖς ἄλλοις, καὶ τῆς τοῦ Ἀκινδύνου κοινωνίας χάριν, πάσης ἱερωσύνης τοῦτον ἀπογυμ-

A νώσαντες. Εἰ γὰρ καὶ τόπῳ καὶ σώματι διῃρημένοι ἦσαν, ἀλλ' ὡς ἑνὸς Πνεύματος ἐν αὐτοῖς λαλοῦντος, τὸ αὐτὸ πάντες συναπεφήναντο, ὃ καὶ ἡ βασιλεία μου Χριστοῦ χάριτι στέργει καὶ στηρίζει, καὶ νῦν καὶ πρότερον. Μετὰ μέντοι τὴν τῆς βασιλείας μου ἐπιδημίαν, καίτοι δι' ἐγγράφου τόμου πεμφθείσης αὐτῷ παρὰ τῶν ἀρχιερέων τῆς καταδίκης, ἐπειδήπερ ἔμαθον προφασιζόμενον αὐτὸν καὶ ἐνιστάμενον ἔτι, ὡς ἀπόντα καταδικασθέντα, καὶ ἕτοιμον εἶναι παρεῖναι καὶ ἀπολογεῖσθαι λέγοντα, προκαθίσας μετὰ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Ῥωμαίων, καὶ ἐρασμιωτάτου υἱοῦ τῆς βασιλείας μου, καὶ μετὰ τῶν ἱερωτάτων ἀρχιερέων καὶ τῆς συγκλήτου, διεμηνυσάμεθα τοῦτον, εἰς τὴν σύνοδον ἀπαντῆσαι. Ὁ δὲ ἐφάνη μάτην τὴν ἀπουσίαν προφασιζόμενος· οὐ γὰρ
B ἐθάῤῥησεν ἀπαντῆσαι καὶ ὅλως εἰς λόγους ἐλθεῖν, καίτοι καὶ τρὶς καὶ τετράκις εἰς τὴν σύνοδον προσκληθείς· διὰ τοῦτο ταῖς αὐταῖς αἷς καὶ πρότερον καταδίκαις καθυποβάλλεται, συνευδοκούσης δικαίως καὶ τῆς βασιλείας μου, ὃ καὶ διὰ τοῦ παρόντος δεικνῦσα καὶ βεβαιοῦσα προστάγματος, διορίζεται πᾶσι, στέργειν μὲν τὰς τοιαύτας ἐνθέσμους καὶ συνοδικὰς διαγνώσεις καὶ ἀποφάσεις, ἀποτρέπεσθαι, δὲ τοὺς τὰ τοῦ Ἀκινδύνου φρονοῦντας, καὶ πάντας τοὺς κατὰ τοῦ εἰρημένου ὁσιωτάτου ἱερομονάχου κὺρ Γρηγορίου τοῦ Παλαμᾶ, καὶ τῶν σὺν αὐτῷ μοναχῶν αὖθις χωροῦντας, ὡς ἀπατεῶνας ὄντας, καὶ τὴν Ἐκκλησίαν αὖθις ταράσσοντας. Τούτου γὰρ χάριν καὶ τῆς κατὰ εὐσέβειαν εἰρήνης καὶ ἀσφαλείας
C τὸ παρὸν ἀπελύθη τῆς βασιλείας μου πρόσταγμα. Εἶχε καὶ δι' ἐρυθρῶν γραμμάτων τῆς βασιλικῆς καὶ θείας χειρὸς τὸ μηνὶ Μαρτίῳ, ἰνδικτιῶνος ιε'.

Τὸ παρὸν ἴσον τῷ ἐμφανισθέντι μοι θείῳ καὶ προσκυνητῷ προστάγματι ἀντιβαλὼν, καὶ πάντα εὑρὼν ἐξισάζον, ὑπέγραψα.

Ὁ ταπεινὸς μητροπολίτης Φιλαδελφίας, Μακάριος.

Ἰδέτωσαν οἱ παπισταὶ ποῖον πατριάρχην αἱρετικὸν, φαυλόβιον, σιμωνιακὸν, παλίμβουλον, ὑπὸ τοσούτων συνόδων ἀνατεθεματισμένον, καὶ ὑπὸ βασιλέων ἀποβεβλημένον, ἐπαινοῦσι, καὶ λέγουσιν ὅτι ἐκάθηρε τὸν Παλαμᾶν ὁμοῦ μὲ τὸν Ῥώμης Κλήμην, ἴδε σελίδι λβ'.

Ἐπεὶ κατὰ διαφόρους καιροὺς συνέβησαν σκάν-
D δαλα εἰς τὴν Ἐκκλησίαν Χριστοῦ, κἀντεῦθεν ἐπηκολούθησαν στάσεις καὶ διαιρέσεις, συνέβη δὲ καὶ πρὸ καιροῦ τινος ταῦτα γενέσθαι εἰς τὴν Ἐκκλησίαν Χριστοῦ ἐξ ὑποβολῆς ἀνθρώπων τινῶν κακοτρόπων καὶ κακοδόξων, τοῦ τε Βαρλαὰμ καὶ Ἀκινδύνου, οἵτινες ἐτάραξαν καὶ συνέχεαν αὐτὴν, δόγματα τὰ μὲν αὐτοὶ λέγοντες, τὰ δὲ ἄλλων κατηγοροῦντες, καὶ διὰ τὸ ἀνεξέταστα ἡμῖν τὰ πλεῖστα καταλειφθῆναι ἔτι οὖσιν ἐν Ἐφέσῳ, ἐκρίναμεν δέον συσταλῆναι εἰς ἑαυτοὺς καὶ τῆς κοινωνίας τῆς ἱερᾶς ἀποστῆναι. Νῦν δὲ Θεοῦ ἐλεοῦντος διὰ τῆς ἐπιστασίας καὶ ἐμμερίμνου ἐπιμελείας τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως τοῦ Καντακουζηνοῦ ἐγένετο ἐξέτασις ἀκριβὴς διά τε θείων καὶ λογίων πνευματικῶν τῶν ἁγίων Πατέρων καὶ διδα-

Digitized by Google

σκάλων τῆς Ἐκκλησίας, προστατοῦντος καὶ ὑπασπίζοντος αὐτῶν τοῦ αὐτοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, καὶ ἀνεφάνησαν τὰ κατηγορούμενα κατὰ τοῦ τελευτήσαντος ἁγιωτάτου πατριάρχου κὺρ Ἰσιδώρου, καὶ τοῦ ἱερωτάτου μητροπολίτου Θεσσαλονίκης κὺρ Γρηγορίου τοῦ Παλαμᾶ, καὶ τῶν ἄλλων τιμιωτάτων μοναχῶν τὸ ἄπταιστον καὶ ἀνεπίληπτον ἔχοντα, ἔδοξε τῇ ἡμῶν ταπεινότητι, δι' αὐτό τε τοῦτο, καὶ διὰ τὸ τῆς εἰρήνης καλὸν, πᾶσαν ἀμφιβολίαν ἀποθέμενοι τὰ περὶ τῶν λαληθέντω κατ' αὐτῶν καὶ κατηγορηθέντων, συνελθεῖν καὶ κοινωνῆσαι τῇ θείᾳ ἱερᾷ συνόδῳ, καὶ μηκέτι διΐστασθαι τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας, ἀλλ' ὁμοφρονεῖν κατὰ πάντα κατὰ τὸν ἐνόντα μοι καὶ δυνατὸν τρόπον, εἰ καί τις ἐγένετό μοι συναρπαγὴ, καὶ ἀπὸ τοῦ νῦν ἀποβάλλομαι ἅπερ καὶ οὕστινας ἀποβάλλεται ἡ Ἐκκλησία A τοῦ Χριστοῦ, καὶ στέργω οὓς στέργει αὕτη. Ὅσα δὲ ἔφθασα καὶ ἔγραψα ἢ εἶπον κατ' αὐτῶν ἕνεκεν τῶν εἰρημένων δογμάτων, ἔχω ταῦτα πάντα ἄκυρα καὶ ἀνατετραμμένα. Τούτου γὰρ χάριν ἐγράφη διὰ χειρὸς τοῦ υἱοῦ μου τοῦ Γαβαλᾶ ὑπαγορεύσει ἡμετέρᾳ. Εἶχε δὲ καὶ τὸ, ὑπεγράφη, παρὰ τῆς ἐμῆς ταπεινότητος. Ἔτους ,ϛωνη', μηνὶ Ἀπριλλίῳ κβ', ἰνδικτιῶνος γ'.

Καὶ δι' οἰκειοχείρου ὑπογραφῆς τὸ, ὁ ταπεινὸς μητροπολίτης Ἐφέσου, Ματθαῖος.

Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ κατὰ πάντα τῷ πρωτοτύπῳ εὑρεθὲν ἐξισάζον, ὑπεγράφη καὶ παρὰ τῆς ἡμῶν ταπεινότητος.

Ὁ ταπεινὸς μητροπολίτης Ἡρακλείας, πρόεδρος τῶν ὑπερτίμων, καὶ ἔξαρχος πάσης Θρᾴκης καὶ Μακεδονίας, Φιλόθεος.

---

# PHILOTHEI

## CONSTANTINOPOLITANI PATRIARCHÆ

## ANTIRRHETICI LIBRI XII

### CONTRA GREGORAM *.

—

### ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

## ΦΙΛΟΘΕΟΥ

*ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ*

Πρὸς τὰ συγγραφέντα τῷ φιλοσόφῳ Γρηγορᾷ, κατά τε τοῦ ἱεροῦ τῆς Ἐκκλησίας τόμου, καὶ θείας ἐνεργείας, καὶ θεοποιοῦ χάριτος, καὶ δὴ καὶ τῆς ὁραθείσης ἐν Θαβωρίῳ ὑπερφυῶς θεοφανείας τε καὶ θεότητος, πρὸς τὸν πρῶτον αὐτοῦ λόγον

### ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΠΡΩΤΟΣ.

—

Ἐδεξάμην τὰ καθ' ἡμῶν τε καὶ τῆς εὐσεβείας τῷ φιλοσόφῳ Γρηγορᾷ πονηθέντα συγγράμματα, κράτιστε βασιλεῦ, καὶ τὴν πρὸς ἀνατροπὴν αὐτῶν ἐπῄνεσα σὴν σπουδήν τε καὶ πρόκλησιν. Σὸν γὰρ ἔργον ἔδει, καὶ τῆς σῆς σοφίας εἶναι καὶ τοῦτο, τοῦ καὶ πόῤῥωθεν μὲν, κἀκ τῶν προοιμίων αὐτῶν, νῦν μὲν σὺν τἀδελφῷ καὶ σύμπνῳ, τῷ μακαρίτῃ φημὶ καὶ θαυμαστῷ βασιλεῖ, νῦν δὲ καὶ μόνον μετὰ τὴν ἐκείνου δηλαδὴ σιγήν τε καὶ ἐκδημίαν τὰς τῆς αἱρέσεως πονηρὰς ἐκτεμόντος ῥίζας Ἀκίνδυνόν τε καὶ Βαρλαὰμ, τὴν πονηρὰν τοῦ πονηροῦ ξυνωρίδα, B τοὺς προξένους ἀλλήλοις καὶ διαδόχους τῆς κατὰ Χριστοῦ, καὶ τῆς Ἐκκλησίας μανίας, ἐν πανδήμῳ σὺν αὐτῇ καθελόντος θεάτρῳ, καὶ τοὺς μὲν ἀποκηρύξει, καὶ τομῇ καθαπερεὶ σεσηπότα, καὶ νεκρὰ μέλη τοῦ ὑγιαίνοντος κάλλιστα παρεσκευακότος διαιρεθῆναι, τῇ δ' Ἐκκλησίᾳ Χριστοῦ δεδωκότος τὸ κράτος, ἔπειτα, καὶ μετὰ τὸ διάδημα, καὶ τὸ βασίλειον κράτος ὕστερον, τὴν καταλειφθεῖσαν ἐκείνων ἀηδῆ συμμορίαν, καθαπερεί τινα δράκοντος ὁλκὸν τῆς κεφαλῆς δηλαδὴ συντριβείσης σπαίροντα τῷ οὐραίῳ, καὶ πρὸς ἄμυναν ἐπειγόμενον δῆθεν κατα-

* *Τόμος ἀγάπης*, p. 1. — Ii sunt Philothei antirrhetici libri contra Gregoram, quos Boivinus in notis ad Gregoræ Historiam Byzantinam non semel laudat ut ineditos; editionem enim Iazzensem anni 1698, qua utimur, omnino ignoravit.

Digitized by Google

τμηθῆναι ποιήσαντος εἰς λεπτὰ, καὶ νεκρωθῆναι καθάπαξ τῷ τοῦ Πνεύματος ξίφει διὰ τῆς ἱερᾶς ἐκείνης τῶν Πατέρων συνόδου, ἧς δήπου καὶ αὐτὸς βασιλικῶς τότε προὐκάθητο, τὸ μὲν νόθον τε καὶ παρέγγραπτον, καὶ τῶν ἱερῶν λόγων ἀλλότριον ἅπαν ἐκ μέσου τιθεὶς σὺν ἐκείνῃ, τὸν δ' ἀποστολικόν τε καὶ πατρικὸν, καὶ θεόπνευστον λόγον τῆς ἀληθείας, καὶ κρατύνοντες, καὶ κηρύττοντες, καὶ κυροῦντες ὁμοῦ καὶ λόγοις καὶ πράγμασιν. Ἔδει τοιγαροῦν, ὅπερ εἶπον, σὲ τὸν οἰκονόμον καὶ συνεργὸν, καὶ πρύτανιν ἐκ Θεοῦ χρηματίσαντα τῶν τοιούτων, καὶ τῆς συστάσεως αὐτῶν, καὶ τῆς διαμονῆς, καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας πρὸ τῶν ἄλλων φροντίζειν, Θεὸν ἐκμιμούμενον κατὰ δύναμιν καὶ ἐν τούτῳ, καὶ τὴν αὐτοῦ περὶ τὰ αὐτοῦ κηδεμονίαν καὶ πρόνοιαν. Μᾶλλον δὲ οἱ μὲν τῆς ὀρθοδοξίας λόγοι τε καὶ τὰ γράμματα, καὶ ὁ τῆς ὀρθῆς καὶ ἀπταίστου πίστεως οὑτοσὶν ὅρος, Πνεύματι θείῳ ῥηθέντα, νῦν τε καὶ εἰς αἰῶνας τὸ ἀσάλευτον ἕξει, κατὰ τὸν Χριστοῦ λόγον. *Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται*, γάρ φησιν, *οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.*

Σὺ δὲ καὶ τοῦ κοινοῦ καὶ καθόλου τῆς παγκοσμίου τοῦ Χριστοῦ Ἐκκλησίας καλῶς ἄγαν φροντίζων, καὶ τὴν τῶν πολλῶν ἀσφάλειαν περὶ πλείστου ποιούμενος, οὐδὲ γὰρ πάντων ἡ γνῶσις, τὰ κατὰ τῆς ἱερᾶς ἐκείνης συνόδου καὶ τοῦ ταύτης σεπτοῦ τόμου, ταυτὸ δ' εἰπεῖν τὰ κατὰ τῆς εὐσεβείας, καὶ τῶν ταύτης ἱερῶν θεολόγων καὶ διδασκάλων συγγραφέντα τῷ φιλοσόφῳ, πρὸς ἀνασκευὴν καὶ ἡμῖν προὔθηκας φέρων, τῷ τῆς ἀληθείας φωτὶ δεῖν εἶναι λέγων ἄντικρυς διωχθῆναι τὸ σκότος τοῦ ψεύδους. Τῆς γὰρ κατὰ τὸν Βαρλαὰμ τε καὶ Ἀκίνδυνον φατρίας τε καὶ τοῦ κόμματος εἷς ὢν οὑτοσὶ καὶ πάλαι, μᾶλλον δὲ καὶ τὰ πρῶτα φέρειν ἐκείνων φιλοτιμούμενος, ὡς αἱ κατὰ τὴν ἱερὰν ἐκείνην σύνοδον ἐναργέστερον ἔδειξαν διαλέξεις, ἐπεὶ μηδὲν ἔσχεν εἰπεῖν ἐκεῖ τῶν καιρίων, μᾶλλον δὲ μηδὲ πρὸς ἔπος ὅλως εἰπεῖν ἔσχεν, ὡς ἴσασιν οἱ τὴν θείαν ἐκείνην τελετὴν τότε, καὶ τὸ στάδιον συμπληροῦντες, ἄλλως τε καὶ τοῖς ἐλέγχοις τῶν τῆς ἀληθείας ἱερῶν λόγων καθαπερεί τινι κέντρῳ τὴν καρδίαν πληγεὶς, καὶ τὴν δικαίαν ἐκείνην καταδίκην, κατὰ κεφαλῆς ἐπιοῦσαν αὐτῷ μάλιστα τελευταῖον ἀκούσας, ἐπεὶ μηδὲ συνιέναι, μηδ' ἀκούειν τῶν διδασκόντων, μηδὲ πρὸς τὸ τῆς μεταμελείας καλὸν ἀπιδεῖν ὅλως ἔγνω· οὐδὲ γὰρ ἔμαθεν ἴσως ὁ διαλεκτικὸς, καὶ φιλόσοφος παρὰ τοῦ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας, καὶ φίλου καὶ διδασκάλου τὴν θαυμαστὴν καὶ φιλόσοφον συμβουλὴν ὄντος ἐκείνην, οὐ πανταχοῦ τὸ νικᾷν καλὸν εἰρηκυῖαν, ἀλλ' ἔστιν οὗ καὶ ἡττᾶσθαι λυσιτελέστερον, τὴν κατὰ τῆς εὐσεβείας ὕβριν, καὶ τὸν ἔσχατον τουτονὶ πόλεμον, καὶ λόγοις ἐξέῤῥηξε καὶ συγγράμμασιν, ἐπὶ τοὺς ἰδίους αὐτοῦ καθηγητὰς, καὶ τοὺς ἐκείνων λόγους, καὶ τὰς κενοφωνίας ἰὼν, ὡς ἐξ ἄλλης ἀρχῆς αὖθις, καὶ κύκλον τινὰ περιτρέχων ἀδιεξίτητον, καὶ τοὺς τῆς ἰδίας ἀστρονομίας πλανήτας καὶ αὐτὸς κἀνταῦθα μιμούμενος.

Διὸ καὶ μᾶλλον αὐτὸς τὸν παρόντα τουτονὶ λόγον ὤκνουν ὡς μάλιστα, καὶ ἀνεβαλλόμην τὸ τοῖς αὐτοῖς

A ὡσαύτως ἐπεξιέναι, καὶ ἀντιλέγειν πολλάκις περιττόν τι νομίζων, ἵνα μὴ καὶ αὐτοὶ δόξωμεν πως τοῖς κακῶς περιφερομένοις, καὶ στρεφομένοις εἰκῆ συμπροφέρεσθαί τε καὶ στρέφεσθαι, κἂν ἀπέστην τῆς περιττῆς ἀσχολίας ταυτησὶ καὶ τοῦ πόνου, εἰ μὴ τὸ πρὸς σὲ τὸν κράτιστον φίλτρον καὶ ἡ αἰδὼς ἅμα κατεῖχε, καὶ ὅτι δίκαιον εἶναι πάντως ἐρεῖς τοὺς τῆς μεγάλης ἐκείνης συνόδου τῶν ἐκείνης ἱερῶν ὑπερμαχεῖν αὖθις καὶ γραμμάτων καὶ λόγων, μᾶλλον δὲ τὰς εὐσεβεῖς καὶ θείας ὄντως πράξεις ἐκείνας, λόγοις ἐναντίοις αὖθις πολεμουμένας, μὴ παραβλέψαι, ἀλλὰ καὶ προστῆναι, καὶ πολεμῆσαι δικαίως, τῷ τῆς ἀληθείας λόγῳ τοὺς λόγους τοὺς οἰκείους δεδωκότας καὶ πάνυ δικαίως.

B Φέρε τοιγαροῦν τὴν ἀθετουμένην παρ' ἐκείνων τοῦ θείου Πνεύματος ἐνέργειάν τε καὶ χάριν αὐτοὶ τοῦ λόγου πιστῶς προστησάμενοι, καὶ τοῖς δι' ἐκείνης ἐκείνην θεολογοῦσί τε καὶ διδάσκουσιν ὁδηγοῖς, καὶ καθηγηταῖς ἀπλανέσι συνήθως ἐν ἅπασι χρώμενοι, τῶν τοῦ φιλοσόφου τουτουῒ διακούσωμεν λόγων, ἵν' ἐναργέστερον γνῶμεν, τίνα τὰ καθ' ἡμῶν τε καὶ τῆς εὐσεβείας ἐγκλήματα, ἣν ἡ τῶν Πατέρων ἐκείνη θεία σύνοδος ἀνεκήρυξε διὰ τοῦ ἱεροῦ φημι τόμου. Ἐβουλόμην μὲν οὖν εἰσιὼν τουτονὶ τὸν ἀγῶνα, καὶ τῶν ἀντιῤῥητικῶν ἁπτόμενος ἤδη λόγων, τῆς καινοφανοῦς ταυτησὶ δεκαλόγου, ἢ δεκαβίβλου μᾶλλον τοῦ φιλοσόφου, τοῦ πρώτου βιβλίου μηδὲ μνησθῆναι καθάπαξ, μηδὲν πρὸς τὸν λόγον ἄντικρυς ὄντος, μηδὲ τῆς προκειμένης ὑποθέσεως, μηδὲ δογματικῶν μηδοτιοῦν ἁπτομένου λόγων.

C Ἐπεὶ δὲ προκατασκευή τις οἱονεὶ, καὶ θύρα τῶν ἐφεξῆς ῥηθησομένων αὐτῷ τουτοὶ τὸ βιβλίον ἐστὶ, καὶ θεμελίους τινὰς, καὶ προοίμια φθάσας ἐν τούτῳ προκαταβάλλεται τῆς παντοδαπῆς καθ' ἡμῶν συκοφαντίας τε καὶ τῶν ὕβρεων, οὐκ ἄκαιρον οὐδὲ περιττὸν τέως κἀμοὶ κατεφάνη τὸ τινὰ τῶν ἐκείνου τοῖς ἀκροαταῖς προσθεῖναι τῷ λόγῳ, καὶ δεῖξαι, καθόσον οἷόν τε τὸν διαλεκτικὸν τουτονὶ, καὶ φιλόσοφον, καὶ τολμηρὸν ἐξηγητὴν τῶν θείων τε καὶ ὑψηλοτάτων, ὅπως τε καὶ ὅθεν τῆς διαλέξεως καὶ τῆς θεολογίας τῶν προκειμένων ἄρχεται καὶ ὅπως ἀληθείας καὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας ἐξ αὐτῶν φροντίζει τῶν προοιμίων.

Ἔστι μὲν οὖν οὐ πάνυ τοι ῥᾴδιον πρὸς οὕτω δει- D νὰς, καὶ συνεχεῖς, καὶ ἀλλεπαλλήλους συκοφαντίας, καὶ φορυτὸν ἀμύθητον ὕβρεων χωροῦντα τὸν λόγον ἀμόλυντόν τε καὶ καθαρὸν τηρηθῆναι μέχρι δὴ καὶ τοῦ σμικροτάτου. Πειράσεται δ' οὖν ὅμως, καθόσον ἂν οἷός τε ᾖ, τοῦ μὲν λέγοντος ὑποχωρῶν, καὶ τῶν ἴσων ἐκείνῳ φειδόμενος, κατὰ δὲ τοῦ λόγου, καὶ τῆς αἱρέσεως, καὶ τοῦ ψεύδους χωρῶν μάλιστα, κατὰ τὴν τοῦ σοφοῦ δηλαδὴ θεολόγου περὶ τῶν τοιούτων νομοθεσίαν. Οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν, φησὶν ἐκεῖνος, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολλοὶ, μὴ τῷ λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι, καὶ τὴν ἀσθένειαν ἔστιν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες. Ὁ δὴ καὶ ὁ φιλόσοφος ἐναργῶς οὑτοσὶν οὐχ ἁπλῶς, ἀλλὰ καὶ καθ' ὑπερβολὴν πέπονθεν, ὡς ἐν τοῖς ἑξῆς εἰς πλάτος διαδειχθήσε-

Digitized by Google

ται. Ἀλλὰ χωρῶμεν πρὸς αὐτὸ ἤδη, καὶ τὸ βιβλίον. Τὸν ἑταῖρον καὶ φοιτητὴν νυκτῶν ἀωρὶ τῷ λόγῳ πρὸς ἑαυτὸν εἰσαγαγὼν Ἀγαθάγγελον καθειργμένον ὑπὲρ εὐσεβείας αὐτὸν ἐπισκεψόμενον, ὡς αὐτός φησιν, ὁ μὲν τὸ πολὺ τῆς περικεχυμένης ἀθυμίας, καὶ τὴν μὴ οὖσαν παρὰ τῶν προστατῶν τῆς εὐσεβείας πρὸς τὸν φίλον ἀποδύρεται κάθειρξιν, καὶ λίαν αὐτῷ κατὰ καιρὸν γενέσθαι τὴν πρὸς αὐτὸν ἐπιδημίαν φησί, δρόσον τινά, καὶ αὔραν ἡδίστην φέρουσαν ἀναψύξεως· ὁ δὲ μέγιστόν τινα τὴν πρὸς ἐκεῖνον φιλίαν ἑαυτὸν ἀναδείξας τῷ λόγῳ, καὶ ὑπὲρ τοὺς μυθευομένους ἐκείνους Ὀρέστας τε καὶ Πυλάδας, καὶ τοῦ καιροῦ κατατολμῆσαι, καὶ τῶν προκαθημένων καὶ περικυκλούντων, ὡς αὐτός φησιν, ἀγρίων φυλάκων, οὐκ οἶδ᾽ ὡντινωνοῦν τούτων, καὶ ποῦ, καὶ πότε, ἡδέως καὶ γὰρ ἔχειν, καὶ αὐτὴν τὴν φίλην ψυχὴν ὑπὲρ αὐτοῦ, καὶ τὸ αἷμα προέσθαι, διά τε τὸ σῶζον, φησί, τῆς φιλίας, καὶ τὸ ποθεῖν ὑπὲρ εὐσεβείας τεθνάναι· αὐτὸ γὰρ τοῦτ᾽ ἄντικρυς εἶναι τὸ θανεῖν ὑπὲρ τοῦ διδασκάλου, τὸ τῆς καινῆς καὶ προσφάτου ταυτησὶν ἀθυμίας αἴτιον ζητεῖ παρ᾽ αὐτοῦ διδαχθῆναι· εἶναι καὶ γάρ τι πάντως φησὶ νεώτερον ὅσον τὴν ταραχὴν ἐνεποίησε ταυτηνί, καὶ τὴν ζάλην, καίτοι γε τἄλλα γενναίῳ καὶ καρτερικῷ πεφηνότι, καὶ τοὺς ὑπὲρ εὐσεβείας εἰωθότι ῥᾷστα διαφέρειν κινδύνους· οὕτω τὰ μὴ ὄντα καὶ ἀκούσας πρὸς τοῦ διδασκάλου, καὶ εἰπὼν Ἀγαθάγγελος, τὰ μηδαμῶς ὄντα παρ᾽ ἐκείνου παραπλησίως καὶ αὖθις ἀκούει. Δρᾶμα καθαπερεί τι καὶ σκηνὴν ἐξυφαίνοντες, καὶ ὑποτιθέμενοι τὰ μὴ ὄντα τοῖς λόγοις κατὰ τοὺς παλαιοὺς τῶν Ἑλλήνων ποιητάς τε, καὶ μυθολόγους, ἢ τραγελάφους καὶ σκινδαψούς τινας ἀναπλάττοντες τερατώδεις.

Ταύτην μὲν οὖν καὶ διὰ πάσης ὡς εἰπεῖν τῆς ὑποθέσεως τουτονὶ τὸν φιλόσοφον ἴδοις ἂν μετ᾽ ὀλίγον μετὰ πλείστης τινὸς τῆς φιλοτιμίας ἀνερυθριάστως ἰόντα, καὶ τὰ ἐν ταῖς ὁμιλίαις πρὸς τοὺς καθ᾽ ἑκάστην συγγινομένους παίγνια, καὶ τὴν εἰρωνείαν, καὶ τοὺς σκορδακισμοὺς πρὸς τοὺς λόγους ὥσπερ μετενεγκόντα, πλὴν ὅσον καὶ τὰς ὕβρεις ἐν τούτοις ἐπιδαψιλεύεται, μᾶλλον δὲ καὶ ὕβριν ὅλην κατὰ τῶν τῆς Ἐκκλησίας προστατῶν ἐξυφαίνει, καὶ αὐτοῦ δέ, φημί, τοῦ τῆς εὐσεβείας λόγου, μηδὲ τὸ μὴ δεῖν ὀνομαστὶ κωμῳδεῖν τέως εὐλαβηθεὶς ὁ φιλόσοφος, καὶ αὐτοῖς γε τοῖς τῶν Ἑλλήνων ἀπειρημένον σοφοῖς. Καὶ καινὸν οὐδέν, τὸν ἐν τοῖς μεγάλοις τε καὶ περὶ τῶν μεγάλων οὑτωσὶ καὶ λέγειν ἡρημένον καὶ γράφειν, περὶ τὰ σμικρὰ καὶ ὀλίγου τινὸς ἄξια τοῖς οἰκείοις τῶν λόγων κανόσι χρῆσθαι καὶ τύποις. Ἀλλὰ σκοπήσωμεν, εἰ δοκεῖ, καὶ αὐτὰς τὰς τῆς συκοφαντίας ἀρχάς, καὶ τὸ τῆς προσφάτου λύπης, ὡς αὐτὸς πρὸς τὸν οἰκεῖον φίλον φησὶν αἴτιον. Ἃς εἶχε κατ᾽ οἶκον ἱερὰς βίβλους ἀφαιρεθῆναί φησι πρὸς τῶν διωκτῶν, καθαπερεί τινων θηρίων ἐπεισπεσόντων, οὕτω τοὺς τῆς Ἐκκλησίας προεστηκότας ἄρχοντάς τε καὶ ὑπηρέτας ἐκεῖνος ἀποκαλῶν. Ἐγὼ δ᾽ εἰ μὲν ἀληθὴς ἦν ὁ λόγος, καὶ οὕτω κατ᾽ ἐκεῖνον εἶχε τὰ πράγματα, οὐ μόνον οὐκ ἂν ἠρυθρίασα πρὸς τὴν μέμψιν, οὐδὲ πρὸς ἄρνησιν, ἢ παραιτήσεις ἐχώ-

A ρουν, ἀλλὰ καὶ προσεπῄνεσα ἄν, καὶ τοὺς ἐνηργηκότας δικαίως ἀπεδεξάμην, κάλλιστα τῷ ὄντι, καὶ κατὰ τὴν δεσποτικὴν ἐντολὴν τῶν ἁγίων μὴ παραχωροῦντας τοῖς δεινοῖς σπαράκταις τοῦ λόγου, μηδὲ τὸ λαμπρὸν αὐτοῦ καὶ μαργαρῶδες τοῖς καταπατοῦσιν αἰσχρῶς τοῖς ποσὶ ῥιπτοῦντας· νῦν δὲ τὸ μηδὲ τὴν ἀρχὴν γεγονὸς ὡς ἔγκλημα φέρουσι δῆθεν κατὰ τῆς Ἐκκλησίας, ἐν τούτῳ μόνον ποιοῦντες καλῶς, τῷ τὰ εἰκότα δοξάζειν, καὶ ἅπερ ἔδει γενέσθαι, εἰ καὶ ψευδῶς ἄλλως, καθάπερ ἔφην.

Ἀπὸ δὴ τῆς ἐκεῖθεν προσγενομένης ἀθυμίας, φησὶν ὁ φιλόσοφος ἀλγῶν τὴν ψυχήν, καὶ συγχυθεὶς τοὺς λογισμοὺς καὶ τὴν διάνοιαν, καὶ δυσχεραίνων ὡσανεί, καὶ πρὸς αὐτὴν τὴν συνήθη καθέδραν, καὶ τὸν οἰκίσκον, ἐξ ἀπόπτου διά τινος παρακύψας θυρί-
B δος (καίτοι γε ψεῦδος καὶ αὐτὸ τοῦτο, τῆς οἰκίας αὐτῷ χαμαιζήλου, καὶ ταπεινῆς οὔσης, καὶ μηδαμῶς πεφυκυίας πρὸς ταῦτα, ἀλλὰ καὶ τοῖς ἀμφόδοις τοῖς ἔξω μηδόλως προσεγγιζούσης, καθὰ δὴ καὶ ὁρᾶται), τὰς ἀγυιὰς καὶ τὰς τριόδους ἐσκόπει, παραψυχήν τινα πορίζειν τοῖς λογισμοῖς ἐκεῖθεν βουλόμενος. Καὶ μέντοι γε καὶ πορίζει τοῦ τόπου καὶ τῆς θέας ἀξίαν. Αὐλητῶν καὶ γάρ φησί τινων καὶ τυφλῶν λυριζόντων, ἢ παραληρούντων ἀκηκοέναι, μέλη τινὰ ξυντιθέντων πρὸς λύραν συνήθως, αὐτὰ δὴ ταῦτα λέγων τὰ τραγικὰ τῶν τυφλῶν ᾄσματα, οἷς ἐκεῖνοι τὰ δυστυχῆ γύναια συναθροίζουσιν ἐπὶ τῶν ἀμφόδων, κοινὴν ἐμπορίαν τῶν ἀναγκαίων
C ποιούμενοι τὰ τῶν ἀλγούντων γραϊδίων τε καὶ πενήτων καὶ ἀργῶν γυναικῶν ἄλλως πένθη, διά γε τὸ τοῖς μέλεσι καὶ ταῖς ᾠδαῖς ταῖς παρ᾽ αὐτῶν προσερεθίζειν ἐκεῖνα. Τούτοις δὴ τοῖς δυστυχέσι γραϊδίοις καὶ ὁ φιλόσοφος ἑαυτόν, ὥς φησιν, ἄνωθεν παραμίξας, καὶ τὴν ἀκοὴν καὶ τὴν διάνοιαν ὑποθεὶς τοῖς τὰ τοιαῦτα λυρῳδοῦσι καὶ μυρομένοις, τὸν θρῆνον συνεργαζόμενος ἦν ἐκείνοις, καὶ οὕτω θαυμασίως ἑαυτῷ μνηστευόμενος τὴν παραμυθίαν, οὕτω καὶ γὰρ ἔδει τὸν σοφὸν καὶ φιλόσοφον, καὶ τὸ μὴ δεδομένον διδασκαλικὸν ἀξίωμα σφετεριζόμενον βίᾳ κατὰ τῆς Ἐκκλησίας, μὴ τὸν σοφὸν Ἱερεμίαν, καὶ τοὺς κατ᾽ αὐτὸν ἱεροὺς τε καὶ θεοειδεῖς ἄνδρας ἐκείνους συνεργάτας ἔχειν τῶν θρήνων, εἴπου καὶ πενθεῖν ὑπὲρ τῶν τοιούτων ἔδει, καὶ ὀδυρμοῖς χώραν
D διδόναι ὅλως, ἀλλὰ τοὺς ἀγύρτας τουτουσί, καὶ μυθολόγους μᾶλλον, καὶ λήρους, καὶ τὸν ἐλεεινὸν καὶ καταγέλαστον χορὸν τῶν κωθωνιζομένων, ἢ μυρομένων δυστυχῶν γραϊδίων, τὰς τῶν γειτονούντων τουτωνὶ βαρβάρων συνήθεις ἐπιδρομάς, ὥς φησι, καὶ λεηλασίας, καὶ τῶν πέριξ χωρῶν τε καὶ ἀγροίκων τοὺς ἀνδραποδισμούς, καὶ τὰς αἰχμαλωσίας τῶν θρήνων ἀφορμὴν ποιουμένους, ἀμέλει καὶ τῆς κατὰ τῶν βασιλέων καταδρομῆς, καὶ τοῦ κοινοῦ τῆς τῶν πιστῶν Ἐκκλησίας. Ἐντεῦθεν αὐτός τε καὶ ὁ μύστης καὶ φίλος Ἀγαθάγγελος ἄρχεται, δίκην ἄντικρυς εἶναι λέγων ταῦτα κατὰ τῆς εὐσεβείας, δυσχεραίνοντος τοῦ Θεοῦ κατὰ τῶν ταύτης προμάχων, καὶ ταῖς κοιναῖς ταυταισὶ πληγαῖς κατὰ τοῦ κοινοῦ τῆς Ἐκκλησίας καὶ τῶν Ῥωμαίων χρωμένου. Ἐπειδή, φησί, τὸ δυσσεβὲς ἐξήλεγξαν φανερῶς δόγμα, καὶ


Digitized by Google

τοῖς προστάταις τῆς καινοφωνίας, καὶ τῆς αἱρέσεως A τὴν προσήκουσαν ἀρὰν, καὶ τὴν δίκην ἔλαχον, ὥσπερ ἂν, εἰ καὶ τὸν λαμπρόν τις ἥλιον τουτονὶ σκότους ἐγράφετο διὰ τοὺς ὀφθαλμιῶντας, ἢ καὶ τῆς Ἰουδαϊκῆς ἐσχάτης αἰχμαλωσίας καὶ τῆς ἁλώσεως, καὶ τοῦ μυρίου φόνου ἐκείνου, μὴ τὴν θεομαχίαν τε καὶ Χριστοκτονίαν τῶν Ἰουδαίων, ἀλλὰ τὴν σωτήριον ἐπιδημίαν Χριστοῦ, καὶ τὰ ὑπερφυᾶ θαύματα, καὶ τὴν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς θαυμαστὴν ἄνοδον ἀντιστρόφως αἴτια λέγοι.

Ταῦτα τῶν ἀνευθύνων ἐκεῖνοι, μᾶλλον δὲ τῶν καὶ στεφάνων ἀξίων δι' ἐκεῖνα, καὶ ἀναῤῥήσεως κοινῇ καταψηφισάμενοι. Ὁ φοιτητὴς Ἀγαθάγγελος ἀξιοῖ τὸν μυσταγωγὸν ἑξῆς, ἑαυτῷ τε καὶ τοῖς λόγοις ἐν καιρῷ χρήσασθαι, κατὰ τῆς κοινῆς τῶν πιστῶν Ἐκκλησίας, λόγους ἀντιῤῥητικοὺς ἐκθέμενον καθ' ἡμῶν, καὶ τοῦ ἱεροῦ ταύτης τόμου, μᾶλλον δὲ καὶ κατὰ τῆς ἱερᾶς καὶ θεοπνεύστου Γραφῆς, καὶ τῶν αὐτῆς ἐξηγητῶν τε καὶ θεολόγων ὁμοῦ πάντων, παρ' ὧν δήπου καὶ ὁ προῤῥηθεὶς δηλαδὴ τῆς ἱερᾶς Ἐκκλησίας τόμος ἔχει λαβὼν ἅπερ ἔχει, μηδέν τι μηδὲ ὁτιοῦν κατά τινος παρ' ἑαυτοῦ δογματίσας τε καὶ εἰπών. Τοῦτο καὶ γάρ φησιν Ἀγαθάγγελος ἀξιοῦν, δι' ἐμοῦ τε τὴν συμμορίαν τῶν ὁμοδόξων καὶ φίλων, καὶ ἐπ' αὐτῷ τούτῳ μάλιστα νῦν ἥκειν ἐμὲ παρ' ἐκείνων μέρη τινὰ, καὶ μόρια τοῦ παντὸς ὑφελόμενον σώματος τοῦ τόμου τῆς συνόδου ἐκείνης· εἶτα καὶ τῷ ψεύδει προστιθεὶς αὖθις ὁ τοῦ Γρηγορᾶ Ἀγαθάγγελος ἢ ἄγγελος οὑτοσὶ, πλείστην ὅσην φησὶ τὴν σπουδὴν εἰσφέρειν τοὺς ἐκθεμένους τὸν τόμον, ὥστε ἐν γωνίᾳ που καὶ σκότει τοῦτον κεκρύφθαι. Ἐπειδὴ, φησὶ, τὰ μὲν κατ' ἀλήθειαν ἐν τῇ συνόδῳ λαληθέντα τε καὶ πραχθέντα, πάνθ' ὁμοῦ σεσιώπηκεν οὗτος ἐπίτηδες, ἅπαν δ' ὁμοῦ ψεῦδος συναγαγὼν φέρει παρ' ἑαυτῷ.

Τί οὖν; προσερήσομαι γὰρ αὐτοὺς ἐνταῦθά τι μικρὸν, καὶ τοῦτο ψευδὲς καθ' ὑμᾶς, ὦ μακάριοι, ὅτι συνήχθημεν ὅλως ἐν βασιλείοις ἡμεῖς τε καὶ ὑμεῖς διαλέξεως ἕνεκα, καὶ σύνοδος συνεκροτήθη μεγάλη, τῶν ἱερῶν προκειμένων Εὐαγγελίων ἐν μέσῳ, καὶ βασιλέως τοῦ θαυμαστοῦ σὺν τῷ πατριάρχῃ ταύτης προκαθημένων, καὶ τοῦ φιλευσεβοῦς τῶν ὀρθοδόξων παρισταμένων πληρώματος;

Ἀλλ' ὅτι μετὰ Σαβελλίους, καὶ Ἀρείους, καὶ Νεστορίους, καὶ τὸν ὄχλον τῶν παλαιῶν ἐκείνων αἱρέσεων, D καὶ τοὺς μακροὺς κατὰ τῆς Χριστοῦ Ἐκκλησίας πολέμους, καὶ τὴν ἐκείνων ἧττάν τε καὶ φθορὰν, Βαρλαὰμ τε καὶ Ἀκίνδυνος εἰσκωμάσαντες αὐτῇ πρὸ ὀλίγου μετὰ τῆς ὑπ' αὐτῶν δογματισθείσης δυσσεβείας, ἢ ἀθεΐας, συνόδοις μεγίσταις καὶ θαυμασταῖς τισι, καὶ βασιλέων ἅμα καὶ πατριαρχῶν προκαθημένων, ὑπὸ τῆς τῶν ὀρθοδόξων Ἐκκλησίας ἐξηλέγχθησάν τε καὶ ἀπηλάθησαν, ἀρχαῖς ταῖς φρικωδεστάταις, καὶ τῷ ἀπὸ Χριστοῦ ἀναθέματι καθυποβληθέντες τε καὶ ἀποβληθέντες δικαίως ὡς ἀνίατα καὶ νεκρὰ μέλη, τοῦτο φῂς εἶναι ψεῦδος; ἢ κἀκεῖνο ψεῦδος ἐρεῖς, καὶ πλάσμα, καὶ συκοφαντίαν τῶν ὀρθοδόξων, ὅτι καὶ ὑμεῖς τὴν ἐκείνων κακῶς διαδεξάμενοι κακοδοξίαν, καὶ λύμην σὺν ἐκείνοις, καὶ αὖθις πολεμεῖτε τῷ κοινῷ

τῆς Χριστοῦ Ἐκκλησίας δίχα προσωπείου καὶ προκαλύμματός τινος. Καὶ εἴθε τοῦτο ψεῦδος ἦν μόνον, καὶ μὴ τὰ φυσικὰ τοῦ Θεοῦ, καὶ ἡ θεοποιὸς τοῦ Πνεύματος χάρις, καὶ τὸ λάμψαν ἐπ' ὄρους ἀπὸ Χριστοῦ φυσικὸν καὶ ἀπρόσιτον φῶς, καὶ περιλάμψαν τοὺς ἐκκρίτους τῶν μαθητῶν, μᾶλλον δὲ καὶ τὸ πλήρωμα τῆς θεότητος πᾶν, μὴ διὰ τούτων ὑμῖν τολμηρῶς αὖθις ἐβλασφημεῖτο. Ἦ γὰρ ἂν οὑτωσὶ διακειμένων ὑμῶν, μηδὲν τῶν ἱερῶν τε καὶ πατρίων μετακινούντων κακῶς, οὐδὲ συνόδων ἡμῖν, οὐδὲ διαλέξεων, οὐδὲ τόμων ἐδέησε καθ' ὑμῶν ὅλως, εἰρήνῃ μάλιστα χαιρούσης καὶ ὁμονοίᾳ τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας, καὶ κλῆρον ὑπέρτιμόν τινα καὶ θαυμαστὸν ἀπ' αὐτοῦ τοῦτον λαχούσης. Νῦν δ', ὢ τῆς συμφορᾶς! φεῦ τοῦ πάθους! τοσοῦτον ταῖς ἀλλοκότοις καὶ πο- B νηραῖς ἐκείναις προστετήκατε δόξαις, καὶ οὕτω μεμήνατε κατὰ τῆς ὀρθῆς περὶ Θεοῦ δόξης, ὡς καὶ καθ' ἡμῶν, καὶ τῆς κοινῆς Χριστοῦ Ἐκκλησίας, ὡς ἔγκλημα τὰ θεῖα καὶ ὑψηλὰ προφέρειν ἐκεῖνα, καὶ λόγοις καὶ γράμμασι κατ' αὐτῶν ἀναιδὴν οὕτω κεχρῆσθαι, περὶ ὧν δήπου καὶ νῦν ἡμῖν ὁ λόγος.

Τί δὲ, κἀκεῖνο ψεῦδος ἐρεῖς, εἰπέ μοι, ὅτι καὶ ἅπαξ καὶ δὶς ὁμοῦ πάντες ἐπεπηδήσατε τῆς ἱερᾶς ἐκείνης συνόδου, καίτοι γε καὶ βασιλέως, καὶ πατριάρχου καὶ πάντων ὁμοῦ παραμένειν ὑμᾶς ἀξιούντων, καὶ μὴ τὴν ὑπόθεσιν ἐπίτηδες διαφθείρειν; Ἀλλ' ὑμεῖς ὑποστρέψειν ἐς νέωτα φήσαντες, οὔτε καὶ νῦν ἥκετε. Εἰ δὲ ταῦτα ψευδῶς ὑπαγορεύειν τὸν τόμον ἐρεῖτε, συγχωρήσουσιν οὐδαμῶς οἱ τῇ συνόδῳ τότε παρόντες, καὶ αὐτὸ δέ φημι τὸ περιεστηκὸς φι- C λευσεβὲς πλῆθος, καὶ ψευδομένους ὑμᾶς ἐξ ἀντιστρόφου κατὰ τῆς ἀληθείας ἐλέγξουσι, καὶ μηδὲν λέγοντας καὶ γράφοντας ὑγιές. Λείπεται δὴ, τούτων οὕτως ἀποδεδειγμένων, καὶ οἴκοθεν καὶ παρ' ἑαυτῶν ἐχόντων τὸν ἔλεγχον, ταῖς ἐκεῖ κειμέναις τῶν θείων Γραφῶν ῥήσεσι, καὶ ταῖς τῶν θεολόγων θεοπνεύστοις ἐξηγήσεσί τε, καὶ συγγραφαῖς· διὰ γὰρ τούτων ὁ ἱερὸς ἐκεῖνος ὁδεύει τόμος διόλου, καὶ τούτοις ὅλος ἐρήρεισται· λείπεται τοιγαροῦν, ἐκείναις ὑμᾶς τὸ ψεῦδος ἐπικαλεῖν, καὶ τοῦτο τριχῶς· ἢ γὰρ αὐτὰς ἐκείνας τὰς θεοπνεύστους φωνὰς μηδὲν ὑγιὲς εἶναι λέγετε, ἢ τοὺς συντεταχότας καὶ γραψαμένους ἡμᾶς, ἢ κἀκεῖνά τε καὶ ὑμᾶς ὁμοῦ.

Ἀλλὰ τὰ μὲν εἰ καὶ λέγουσιν ἔστιν οὗ, καὶ πρὸς οὓς, ἀλλ' ἐπεὶ τὸ τῶν εὐσεβῶν δεδοίκασι πλήρωμα, παῤῥησιάζεσθαι, καὶ δημοσιεύειν οὐ τολμῶσι τὴν ὕβριν, μὴ καὶ λάθωσι τὰ τῶν διδασκάλων Βαρλαὰμ τε καὶ Ἀκινδύνου καὶ αὐτοὶ πεπονθότες, ἢ καὶ χείρω πολλῷ τῶν ἐκείνων· κατὰ δὲ τῶν συγγραψαμένων τὸν ἱερὸν τόμον ἡμῶν, καὶ τῆς ἱερᾶς ἐκείνης τῶν διδασκάλων συνόδου χωροῦσιν ὁμοῦ, λόγων μεταποιήσειν θείων, καὶ ἀφαιρέσεις, καὶ προσθέσεις, καὶ παρεξηγήσεις ἐγκαλοῦντες, καὶ τἄλλα πάνθ', ὅσοις ἐκείνους ὑπευθύνους μᾶλλον ἐν τοῖς κατὰ μέρος κατὰ μικρὸν ὁ τῆς ἀληθείας προϊὼν ἐναργῶς ἀποδείξει λόγος, ὡς μηδὲ γρύζειν, ὅ φασιν, ἔχειν· καὶ ὅρα κἂν τοῖς ἐλαχίστοις τε καὶ μικροῖς τὸ σύνηθες καὶ φίλον αὐτοῖς ψεῦδος ἐντεῦθεν.

Πάσῃ φυλακῇ τηρεῖν τοὺς τῆς Ἐκκλησίας ἡμᾶς

Digitized by Google

εἶπον, μᾶλλον δὲ καὶ σκότει καὶ ἀφανίᾳ κρύπτειν τὸν ἱερὸν τουτονὶ τόμον, ὡς ψεύδους τε καὶ συκοφαντίας μεστόν. Καὶ ὅτι ψεῦδος προφανὲς τοῦτο μᾶλλον καὶ συκοφαντία κατὰ τῆς ἀληθείας, ὁ δὲ δι' αὐτῆς ὅλος ἥκει διόλου, τὸ μὲν ἤδη δέδεικται, τὸ δὲ καὶ διαδειχθήσεται μετὰ μικρὸν, καθὰ δὴ καὶ προὔφην. Ὥρα δὴ δεῖξαι, καὶ ὡς οὐ κέκρυπται παρ' ἡμῶν, οὐδὲ κρύπτεται, ἀλλὰ καὶ κεκήρυκται καὶ ἀνηγόρευται φιλοτίμως ἐπ' ἐκρίβαντος δημοσίᾳ ὁ συνοδικὸς οὑτοσὶ τόμος.

Πρῶτα μὲν γὰρ μετὰ τὴν συγγραφὴν ἐπὶ τῆς ἱερᾶς ἐκείνης εὐθὺς ἀναγινώσκεται παῤῥησίᾳ συνόδου, καὶ κατὰ συνήθειαν ὑπογράφεται· τῆς δ' ἱερᾶς ἐπιστάσης μετὰ μικρὸν τῆς Θεομήτορος τελετῆς τε καὶ πανηγύρεως, ἣν ἐτησίως ἐπὶ τῇ ταύτης ἱερᾷ τε καὶ σεπτῇ μεταστάσει πάνδημόν τινα καὶ B περιφανεστάτην ἐν τῷ μεγίστῳ ναῷ τῆς ἐνυποστάτου καὶ συνανάρχου Θεοῦ σοφίας τελοῦμεν πᾶσαν, ἐκεῖ σχεδὸν συγκαλοῦντες τὴν πόλιν, μετὰ τοὺς ἑωθινοὺς ὕμνους, δευτέραν ἤδη τῆς ἡμέρας ὥραν ἐχούσης, ἐπ' ἐκρίβαντος ἱεροῦ λαμπράν τε καὶ πεπαῤῥησιασμένην ἐποιησάμεθα τὴν ἀνάγνωσιν τούτου, αὐτοῦ τε τοῦ πατριαρχοῦντος τότε προκαθημένου, καὶ ἀρχιερέων, καὶ πρεσβυτέρων σύναμα παντὶ παρισταμένων τῷ κλήρῳ, καὶ δὴ καὶ ἀρχόντων, καὶ τοῦ πλείστου μέρους τῆς μεγάλης ταυτησὶ πόλεως περιισταμένων, ἡνίκα δὴ καὶ βασιλεὺς ὁ κράτιστος ἄνωθεν ἐκ τῶν ἱερῶν ὑπερῴων ἀκροώμενος τῆς ἀναγνώσεως ἦν, τῆς τε συγκλήτου περιισταμένης αὐτὸν, κἀκ τοῦ στρατιωτικοῦ, καὶ δὴ καὶ τῶν πολιτῶν αὐτῶν ἄλλου C πλήθους μυρίου. Τρεῖς δ' ἦμεν οἱ κατὰ διαδοχὴν ἀνεγνωκότες ἐκεῖνον, Γαλησιώτης, φημὶ, καὶ Μάξιμος ὁ σοφὸς, καὶ τρίτος ἐπ' ἐκείνοις ὁ Ἡρακλείας, καὶ τελευταῖος, ὃς δὴ καὶ προτραπεὶς, καὶ διδασκαλικόν τινα βραχὺν περὶ τῶν προκειμένων ἀπὸ στόματος ἐξέδωκε μετὰ τὴν ἀνάγνωσιν λόγον. Ἐκεῖθεν δ' ὁ ἱερὸς ὁρμηθεὶς, ὥσπερ ἐξ ἀφετηρίας τινὸς, τόμος, μᾶλλον δ' οἱ τόμοι, τρεῖς γὰρ ἦσαν κατὰ ταυτὸ κύριοι τῇ συνόδῳ συντεθειμένοι, καὶ ὑπογεγραμμένοι κατὰ ταυτὰ, ὁμοῦ μὲν καὶ ξυνημμένως οἱ δύο, μετὰ μικρὸν δ' ὡσαύτως ὁ τρίτος· οὕτω καὶ γὰρ ἐκρύπτετο παρ' ἡμῶν ὁ τόμος ἐν σκότει τε καὶ γωνίᾳ· ἐκεῖθεν οὖν ὁρμηθέντες οἱ τόμοι, οὐ τὴν μεγάλην ταυτηνὶ διῆλθον ἐν βραχεῖ μόνον πόλιν, καὶ ἀναγινωσκόμενοι καὶ μεταγραφόμενοι παρὰ τῶν D σπουδαστῶν τοῦ λόγου τῆς εὐσεβείας, μᾶλλον δὲ καὶ τῶν ἀντιθέτων αὐτῶν, ἀλλὰ καὶ μέχρι τῆς ὑπερορίας τρέχοντες ὀξέως, προῆλθον Θεσσαλονίκην τε καὶ Ἄθω τὸ ἱερὸν, καὶ τὰς ἑξῆς νήσους τε καὶ πόλεις διαλαβόντες. Ὅθεν καὶ οἱ τῆς ἀντιθέτου μοίρας μετὰ πάσης ἐκεῖνον ἀδείας λαβόντες ἔχουσιν, οὐ μόνον οὐδὲν ἀπειργόντων ἡμῶν, ἀλλὰ καὶ διδόντων, καὶ προτρεπομένων τοὺς βουλομένους εἰς τοῦτο.

Ἀλλὰ τούτων μὲν ἅλις· σκεπτέον δ' ἡμῖν ἤδη καὶ τὰ ἑξῆς. Ὑπισχνεῖται μὲν ὁ φιλόσοφος τὸν κατὰ τῆς Ἐκκλησίας ἀγῶνα, καὶ τοὺς ἀντιῤῥητικοὺς ἐκδώσειν ἐπαγγέλλεται λόγους, ἑαυτῷ λέγων τῶν τοιούτων προσήκειν, εἴπερ τινί· ἀλλὰ τὸ τοῦ ψεύδους ἀνίσχυρον, καὶ τὴν τῆς ἀληθείας ἐκεῖθεν δύνα- A μιν ὑποπτήσσων αὖθις, καὶ πρός γε ἔτι τὸ περὶ τὰς ἱερὰς Γραφὰς, καὶ τὴν τῶν θείων δογμάτων ἐξέτασιν ἀγύμναστον τῆς ἑαυτοῦ διανοίας καὶ ἀμαθὲς, ἄλλα ἐπ' ἄλλοις προβάλλεται, ὁμοῦ μὲν ἀπολογίαν ἑαυτῷ τῶν μελλουσῶν βλασφημιῶν καὶ τοῦ ψεύδους προκατασκευάζων καὶ ξυντιθεὶς, ὁμοῦ δὲ καὶ ἀκκιζόμενος ὡσανεὶ καὶ θρυπτόμενος ἐπὶ τῇ προκλήσει τῶν ὁμοδόξων. Καὶ δὴ θέσιν τινὰ πλησάμενος ἑαυτῷ, καὶ διαμαρτυράμενος τὸ μὴ πᾶσιν ἐπεξελθεῖν ἂν, μηδὲ ἀντειπεῖν τοῖς ἐμφερομένοις τῷ ἱερῷ τόμῳ, καίτοι γε καὶ πᾶσιν ἐχρῆν, ἐπειδὴ καὶ πάντα ψευδῆ κατὰ τὰς ὑποθέσεις ἐκείνου, εἰ δ' οὖν, ἀλλὰ τοῖς ἀναγκαίοις ὁμοῦ πᾶσιν ἀπαραλείπτως τέως, καὶ ὅσα τοῦ σκοποῦ μόνου καὶ τῆς προκειμένης αὐτῆς ἐκείνης ὑποθέσεως, εἰς ὀλίγα τινὰ συναγομένης, B ἢ διῃρημένης κεφάλαια· τοῦτο τοιγαροῦν ἑαυτῷ προϋποθέμενος, καὶ μέλλων εἰσέρχεσθαι τὸν ἀγῶνα, τὰς αἰτίας τῆς ἐσχηματισμένης ἀναβολῆς ἑξῆς εὐθέως προτίθησι. Καὶ πρώτην μὲν, ὡς οὐ θεολογεῖν δεῖ, φησὶν, οὐδὲ κινεῖν ὅλως περὶ τῶν τοιούτων, ἐπεὶ καὶ τοῖς ἱεροῖς Πατράσι καὶ θεολόγοις ἄριστον εἶναι τοῦτο καὶ ἀσφαλὲς ἔδοξε. Καὶ εἰ θεολογεῖν οὐ χρὴ, μηδὲ τὰ δόξαντα κινεῖν τῷ ἁγίῳ Πνεύματι πάλαι, καὶ τοῖς δι' ἐκείνου θείως καὶ ὑψηλῶς τὰ θεῖα καὶ ὑψηλὰ θεολογήσασι, καὶ ἀπόφασις τοῦτ' ἐκείνων, ὡς καὶ αὐτὸς φῂς, ὦ φιλόσοφε, τοῦ χάριν αὐτὸς εἵλου παραλύειν τὰ πάλαι καλῶς δεδογμένα, καὶ οἷς μὴ προσῆκέ σοι, καὶ τοῖς κατὰ σὲ μάλιστα, θρασέως καὶ τολμηρῶς ἄγαν ἐπιχειρεῖν, μᾶλλον δ' οὐ θεολογεῖν, ἀλλὰ πολεμεῖν τοῖς ἱεροῖς θεολόγοις καὶ ἀντι- C λέγειν ἐτόλμησας; καὶ κατὰ τῆς καθολικῆς καὶ ἀποστολικῆς Χριστοῦ Ἐκκλησίας μετὰ Βαρλαὰμ τε καὶ Ἀκινδύνου τῶν τῆς αἱρέσεως ἀρχηγῶν λέγειν καὶ γράφειν, ἀντὶ σοφοῦ, καὶ φιλοσόφου, καὶ ἀστρονόμου, ταῦτα καὶ γάρ σε πάλαι Χριστιανοὶ μετὰ πολλῆς ἐκάλουν τῆς ἀξιώσεως, ὄνομα σεαυτῷ περιθεὶς, οὗπερ ἐγὼ καὶ μεμνημένος, ἢ καὶ ἀκούων μόνον, καὶ ἀλγῶ καὶ αἰσχύνομαι; Εἰ δὲ μὴ καλῶς σοι περὶ Θεοῦ τε καὶ τῶν θείων ἡμεῖς ἐδόξαμεν λέγειν καὶ γράφειν ἄνωθεν, εἰς πρεσβυτέρους ἔτι τελοῦντες, καὶ Βαρλαὰμ καὶ Ἀκινδύνῳ τοῖς τῶν αἱρέσεων καθηγηταῖς λόγοις τε καὶ γράμμασιν ἀντικαθιστάμενοι, οὐδὲ γὰρ ἔχει τίς ποτε δεῖξαι λόγων ἡμᾶς καὶ γραμμάτων πρὸς οὑστινασοῦν τῶν ἁπάντων ὑπὲρ D δογμάτων ἱερῶν ἄρξαντας, ἀλλ' ἐγκαλούμενοι τὴν εὐσέβειαν ὡς δυσσέβειαν ὑπ' ἐκείνων μᾶλλον, εἰς ἀπολογίαν ἐξ ἀνάγκης κατέστημεν, ὡς καὶ ὁ πρότερος συνοδικὸς ἡμῖν προσμαρτυρεῖ τόμος, καὶ βασιλεῖς καὶ πατριάρχαι, καὶ σχεδὸν ὁμοῦ πάντες· εἰ τοίνυν Γρηγόριος ἐκεῖνος ὁ μετὰ τὸν ὁμώνυμον σοφὸν θεολόγον, καὶ θεολόγος, καὶ σοφὸς, καὶ θεοειδὴς κατ' ἐκεῖνον οὐδὲν ἧττον, μετὰ τοῦ περὶ αὐτὸν ἱεροῦ καὶ θεοφιλοῦς συστήματος, Ἀκινδύνῳ τε καὶ Βαρλαὰμ ὑπὲρ τῆς κατ' εὐσέβειαν ἀληθείας γραφικῶς τε καὶ πατρικῶς ἀνθιστάμενοι καὶ προπολεμοῦντες, οὐ καλῶς, οὐδὲ ὑγιῶς, ὡς ἂν αὐτὸς φαίης, καὶ γράφειν, καὶ λέγειν, καὶ θεολογεῖν ἐδόξαμεν, διατί μὴ καὶ αὐτὸς κατὰ τὸν Βαρλαὰμ ἐκεῖνον τῇ κρίσει τῆς καθολικῆς Ἐκκλησίας, καὶ τῇ συνόδῳ τῇ

Digitized by Google

κατ' αὐτὴν καὶ τῷ χορῷ τῶν προὐχόντων ἱερέων τὸ καθ' ἡμᾶς φέρων ὑπέθηκας; ἵνα καὶ πατρικῶς καὶ κανονικῶς ἡ δίκη προχωρήσῃ καὶ ἡ τῶν λόγων ἐξέτασις, καὶ αὐτὸς σὺν ἐκείνῳ τῶν ἴσων, ἢ καὶ μειζόνων ἀξιωθείης γερῶν, καὶ τῆς ἀναῤῥήσεως;

Ἀλλὰ πῶς ἂν αὐτός ποτ' ἐνενόησας τοῦτο, ὁ μὴ κατὰ τοῦ δεῖνος, ἢ τοῦ δεῖνος ἁπλῶς μόνον, ἀλλὰ καὶ κατὰ πάσης ὁμοῦ τῆς καθολικῆς Χριστοῦ Ἐκκλησίας, καὶ θεολόγων, καὶ Πατέρων ἅμα πάντων, καὶ διδασκάλων τὸν καινὸν τοῦτον ἀράμενος πόλεμον; Καίτοι γε τούτοις καὶ θεολογεῖν, καὶ δογματίζειν, καὶ διδάσκειν, καὶ σὲ, καὶ πάντας ἄνωθεν δέδοται· μᾶλλον δὲ καὶ αὐτοὶ τῆς τῶν πιστῶν Ἐκκλησίας ὁμοῦ ξυμπάσης εἰσὶν οἱ ποιμένες, καὶ ὁδηγοὶ, καὶ διδάσκαλοι, τοῦ θρόνου καὶ τῆς ἀποστολικῆς ἀξίας καὶ τῆς ἱερουργίας τοῦ Εὐαγγελίου B διάδοχοι χειροτονηθέντες ὑπὸ τῆς τοῦ θείου Πνεύματος χάριτος. Σὺ δὲ πόθεν καὶ παρὰ τίνος ἔχεις τὸ κατὰ τῆς Ἐκκλησίας κράτος λαβὼν, καὶ τὸ διδασκαλικὸν ἀξίωμα; Πῶς σεαυτὸν αὐτὸς ποιεῖς τῶν τηλικούτων κριτὴν καὶ αὐτοχειροτόνητον καθηγεμόνα; καὶ ταῦτα μηδὲ τὸν λαὸν, μηδὲ τοὺς κάτω καὶ ὑποτεταγμένους, ἀλλὰ τοὺς κοινοὺς διδασκάλους καὶ ὁδηγοὺς τῆς Ἐκκλησίας κρίνειν ἐπιχειρῶν, καὶ ἄνω ποταμῶν, τὸ τοῦ λόγου, κελεύων χωρεῖν, καὶ πάντα συνταράττων καὶ συγχέων τὸ κατὰ σέ; Οὐκ ἤκουσας τῆς φιλοσοφωτάτης καὶ θεολόγου φωνῆς ἐκείνης λεγούσης, *Τὰ πρόβατα μὴ ποιμαίνετε τοὺς ποιμένας, μηδὲ κρίνετε τοὺς κριτὰς, μηδὲ νομοθετεῖτε τοῖς νομοθέταις*; καὶ, *Μὴ ἔστω τις κεφαλὴ, μόγις που* C *χεὶρ, ἢ ποὺς τυγχάνων, μηδὲ ποιῶμεν ἀναρχίαν τὴν πολυαρχίαν, μηδὲ ὁ τῆς ὑποταγῆς νόμος καταλυέσθω, ἣν καὶ τὰ ἐπίγεια συνέχει καὶ τὰ οὐράνια*; Τί δὲ, ὅταν ὁ αὐτός σοι νομοθετῇ μετὰ τῆς πνευματικῆς ἀξίας, καὶ τοῦ διδασκαλικοῦ ἀξιώματος, *Ἕκαστος*, λέγων, *ἐν ᾗ ἐκλήθη μενέτω τάξει, κἂν ᾖ τῆς κρείττονος ἄξιος, ἐν ᾧ στέργει τὴν παροῦσαν πλέον εὐδοκιμῶν, ἢ ἐν τῷ ζητεῖν ἣν οὐκ ἔλαβεν*. Ἢ οὐδὲ τοῦτον σὺ δέχῃ νομοθέτην τε καὶ διδάσκαλον, κατὰ τοὺς παλαιοὺς Βυζαντίους ἐκείνους ἴσως μικροπολίτην αὐτὸν ἀποκαλῶν, καὶ κακόπατριν, κἀκ τῆς ὑπερορίου, καὶ ξένης, εἰς τὴν μεγαλόπολιν ἥκοντα τῆς ἀπονοίας.

Ἀλλὰ καὶ τὴν ἰδιωτείαν καὶ τὴν ἀγροικίαν ἐγκαλεῖς D τῷ χορῷ τῶν τῆς Ἐκκλησίας ποιμένων καὶ διδασκάλων τουτωνὶ, καὶ μηδαμῶς ἐκεῖναι τῷ καταλόγῳ φῂς ἕνα μηδένα τὸν εἰδότα γράφειν τε καὶ λογογραφεῖν σὺν ἐπιστήμῃ. Διὰ τοῦτο καὶ τὸν τόμον τὸν ἱερὸν ἀμαθῶς, ὡς ἂν αὐτὸς φαίης, καὶ μὴ κατὰ νόμους τῆς ὑπὸ σοῦ προσκυνουμένης ῥητορικῆς συντετάχθαι, μᾶλλον δ' οὐ κατὰ τὰς δόξας, καὶ τὰς καινὰς καὶ προσφάτους θεολογίας ἢ γλωσσαλγίας, καὶ τὸ τῆς γνώμης αὐθέκαστον. Ἐγὼ δ' εἰ μὲν πολύν τινα λόγον ᾔδειν τουτουσὶ τοὺς μακαρίους ποιουμένους τοῦ πράγματος, καὶ προὔργου τιθεμένους ταυτὶ, πολλοὺς ἄν σοι καὶ ταυτηνὶ τὴν σοφίαν σοφοὺς, καὶ ῥήτορας, καὶ λογογράφους τῶν προὐχόντων ἱερέων τούτων ὑπέδειξα. Καὶ οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν αὐτοῖς ἑπομένων, Λουκᾶς τινας ἄλλους, καὶ Τιμοθέους, A καὶ Ἀπολλὼς, εἰ δὲ βούλῃ, Διονυσίους, καὶ Πολυκάρπους, καὶ Κλήμεντας, ὅσον τὰ ἐς λόγους φημὶ καὶ τὴν ὑπὸ σοῦ θαυμαζομένην σοφίαν ὑπὲρ τοὺς σοὺς δηλαδὴ μυσταγωγοὺς, Δημοσθένην τε, καὶ Ἀριστείδην, καὶ τὸν παρ' ὑμῖν θρυλλούμενον Πλάτωνα, ἐπειδὴ τούτους αὐτὸς παρατρέχεις, δι' ἑκούσιον ἄγνοιαν. Καὶ ἔμαθες ἂν ὡς οὐκ ἀπὸ σκαπάνης καὶ λατομίας, οὐδὲ ἀπὸ κώπης ἐπὶ βῆμα, κατὰ τὰς σὰς λογογραφίας, ἢ λοιδορίας, ἀλλ' ἀπὸ σοφίας ἐπὶ σοφίαν ἦλθον τῆς καταργουμένης τὴν ὑπὸ τοῦ θείου Πνεύματος ἐνεργουμένην, τὴν πρώτην, τὴν ἄνωθεν, τὴν ἁγνὴν, τὴν εἰρηνικὴν, τὴν μεστὴν ἐλέους, καὶ καρπῶν ἀγαθῶν κατὰ τοὺς ἐμοὺς θεολόγους, καὶ ἀπὸ τῶν θύραθεν μουσείων τε καὶ τοῦ βήματος, ἐπὶ τὴν ἱερὰν ταύτην σχολὴν, καὶ τὸ θεῖον βῆμα, καὶ τὰ B ἄδυτα, καὶ τὸ μέγα, καὶ ὑπερουράνιον ὄντως θυσιαστήριον. Νῦν δ' ὀλίγος αὐτοῖς τῶν λόγων τῆς ἔξω σοφίας ὁ λόγος. Ἴσασι καὶ γὰρ ὄντες ἁλιέων τε καὶ ἀγροίκων μαθηταὶ, ἐκείνων φημὶ τῶν ὑπὸ Χριστοῦ τῆς αὐτοσοφίας πρώτων κληθέντων εἰς ἀποστόλους καὶ μαθητὰς, καὶ ἀπὸ κώπης, καὶ δικτύων, καὶ κύρτων, ἐπὶ τὴν ἄνω καθέδραν ἰόντας, καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ἀδέκαστον βῆμα, κατὰ τὸν Χριστοῦ λόγον, ἐν ᾧ δήπου καὶ κριταὶ καθεδοῦνται, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Ἐῶ γὰρ νῦν λέγειν θεοφανείας τὰς ὀραθείσας ἐκείνοις ἐν Πνεύματι, καὶ μυστηρίων ἀποκαλύψεις, καὶ τὰς μεγάλας καὶ ὑπερφυεῖς θεολογίας ἐκείνας, καὶ τὸν συντετελεσμένον καὶ συντετμημένον λόγον τὴν καταργουμένην σοφίαν C νικήσαντα.

Τοιούτων διδασκάλων τε καὶ πατέρων οὗτοι μαθηταὶ καὶ υἱοὶ, οὓς ἐν τοῖς λόγοις αὐτῆς κωμῳδεῖς καὶ διασύρεις, ἀπὸ γεωργῶν καὶ ναυτῶν, καὶ οὐκ οἶδ' ὡντινωνοῦν ἄλλων, λέγων ἐλθεῖν ἐπὶ τὸ βῆμα. Αὐτοὶ δὲ οὐδὲ σκυτοτόμον, καὶ σκηνοῤῥάφον αἰσχύνονται διδάσκαλον ἑαυτοῖς ἐπιφημίζειν, ἵν' εἰδῇς τὴν αὐτῶν φιλοσοφίαν, φιλόσοφε, καὶ ὅπως οὐ μόνον οὐ δάκνονταί σου ταῖς κατ' αὐτῶν λοιδορίαις, ἀλλὰ καὶ προσφιλοτιμοῦνται, καὶ ἐπιδαψιλεύονται, καὶ χορηγοῦσιν ἀφθόνως ταῖς καθ' ἑαυτῶν ὕβρεσι, μετὰ Παύλου δηλαδὴ τοῦ μεγάλου βοῶντες· *Ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ, διηκόνησαν αἱ χεῖρες αὗται. Καὶ βλέπετε*, φησὶ, *τὴν κλῆσιν ἡμῶν, ἀδελφοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ* D *δυνατοὶ, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύνῃ. Κἀγὼ ἐλθὼν*, φησὶν, *ἀδελφοὶ, πρὸς ὑμᾶς, οὐκ ἦλθον καθ' ὑπεροχὴν λόγου, ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Καὶ ὁ λόγος μου, καὶ τὸ κήρυγμά μου, οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.*

Ἀλλ' ὁ φιλόσοφος, ἀντινομοθετῶν ἄντικρυς τῷ κοινῷ τούτῳ τῆς Χριστοῦ Ἐκκλησίας νομοθέτῃ καὶ διδασκάλῳ, τὴν ἀνθρωπίνην ἀντεισάγει σοφίαν αὖθις, καὶ τὴν πειθὼ τῶν καταργουμένων λόγων, τὰς ἀποδείξεις καὶ τὴν ἐνέργειαν τοῦ Πνεύματος παραιτού-

Digitized by Google

μενος. Ἀλλ' ὅπερ ἤδη φθάσαντες ἔφημεν, πρώτην μὲν ἐκείνην αἰτίαν φησὶ τῆς προσποιήτου καὶ πεπλασμένης παραιτήσεως τῶν κατὰ τῆς εὐσεβείας λόγων, τὸ μὴ δεῖν εἶναι θεολογεῖν, ὡς καὶ τοῖς Πατράσι καὶ νομοθέταις, φησὶ, τῆς Ἐκκλησίας ἀπειρημένον· ἐκεῖθεν γὰρ καὶ ἡμεῖς ὁρμηθέντες, εἰς μακρὸν προενεγκεῖν τὸν πρὸς τὸν φιλόσοφον λόγον ἀνάγκην ἔσχομεν. Δευτέραν δ' ἐπ' ἐκείνῃ καὶ τρίτην, τὴν μὲν τὸν ἐπικείμενόν φησι διωγμὸν, καὶ τοὺς μὴ ὄντας ἀκριβεῖς φύλακας, καὶ τὴν ἐκεῖθεν ἐπιγιγνομένην δειλίαν καὶ ἀκαιρίαν, ἅπερ αὐτὸς ἤδη φθάσας ἀνέπλασε· τὴν δ' ὅτι καὶ ἀκοὴ πᾶσα, φησὶ, πρὸς τοὺς τῆς κακοδοξίας ἀποκέκλεισται λόγους, τοῦτο τέως ἀληθῶς ὁμοῦ καὶ δικαίως, παντὸς ἅμα τοῦ τῆς Ἐκκλησίας πληρώματος, πλὴν ὀλίγης τινὸς καὶ φαύλης μερίδος, τὴν καινοτομίαν, καὶ τὴν τῆς θεότητος ὕβριν, καὶ τοὺς ὑπὲρ αὐτῆς ἀποστρεφομένων λόγους, εἰ καὶ τῇ ἀληθείᾳ κἀνταῦθα τὸ ψεῦδος παρέμιξε, τοὺς μὲν εἰπὼν ἤδη προκατειλῆφθαι τῷ λόγῳ τῆς ἀληθείας, τοὺς δ' ὑποκύπτειν ὑπὸ δειλίας, τὴν δυναστείαν καὶ τὸ κράτος κατεπτηχότας.

Πρὸς δέ γε τοῖς εἰρημένοις πᾶσι καὶ τὸν ἀληθῆ, καὶ σώζοντα λόγον ὄντως τῆς ἐπιπλάστου ταύτης ἀναβολῆς τελευταῖον προστίθησι, φημὶ δὴ τὸ τοὺς ἐλέγχους τῶν τῆς εὐσεβείας ἀγωνιστῶν καὶ προμάχων οὐ μικρῶς ὑφορᾶσθαι, καὶ δεδιέναι, καὶ τὸν δίκαιον μυκτηρισμόν τε καὶ τὴν ἀνατροπὴν, ἅπερ αὐτῷ καὶ τοῖς αὐτοῦ λόγοις συμβαίνειν ἔμελλεν ὕστερον. Καὶ θαῦμα, πῶς τοὺς ἀπὸ κώπης τε καὶ σκαπάνης, ὡς αὐτός φησι, καὶ τῆς ἐφημέρου τῶν χειρῶν ἐργασίας εἰς τὴν τῆς Ἐκκλησιας παρελθόντας κυβέρνησιν, καὶ διὰ τοῦτο μηδὲ λέγειν, μηδὲ γράφειν ἐπισταμένους σὺν λόγῳ, ὁ ἄμαχος οὑτοσὶ διαλεκτικὸς, καὶ φιλόσοφος, καὶ τῶν θείων καὶ ἱερῶν ἐξηγητὴς, καὶ διδάσκαλος αὐτοχειροτόνητος, οὕτω δειλιᾷ καὶ πέφρικε πόῤῥωθεν; πῶς δὲ καὶ τοὺς ἀκροατὰς οὐκ αἰδεῖται, οὐδ' ἐρυθριᾷ, ταῦτά τε κἀκεῖνα λέγων ὁμοῦ, καὶ κατὰ ταυτὸ, καὶ τοῖς ἰδίοις ἁλισκόμενος λόγοις, καὶ περιπετὴς ἑαυτῷ γιγνόμενος; Ἢ γὰρ οὐκ ἀληθῶς ἐκεῖνα, ἢ ταῦτα ψευδῶς· οὐ γὰρ δὴ καὶ ἄμφω δώσομεν ἀληθεύειν ἐπίσης, ἐπεὶ μηδ' ἐνδέχεται τἀναντία συνελθεῖν εἰς ταυτό. Εἰ δὲ τὰ ὕστερα ταῦτ' ἀληθεύειν πᾶσα ἀνάγκη, καὶ τοῦτ' ἂν εἴποι πᾶς τις νοῦν κεκτημένος, οὐδὲ γὰρ ἄν ποτ' ἠνέσχετο δειλίαν ἑαυτοῦ καὶ φόβον οὑτωσὶ καταψεύδεσθαι τὸν μὴ ὄντα, καὶ τῆς τῶν πραγμάτων ἀληθείας κατεπειγούσης, ὁ φιλοδοξότατος καὶ φιλοτιμότατος πάντων ὧν ἴσμεν σχεδὸν, εὔδηλον ὡς τὰ πρότερα ἐκεῖνα μετὰ τοῦ ψεύδους. Καὶ δέδοικεν ὄντως, καὶ ἀγωνιᾷ μετὰ τῆς κατ' εὐσέβειαν ἀληθείας ἱσταμένας τὰς τῶν ἐμῶν λογοποιων καὶ ῥητόρων σοφὰς ὄντως γλώττας, καὶ θεολόγους, ἐξ ὧν αὐτόματος ἡ * ιθὼ προϊοῦσα πάντας χειροῦται κατὰ τὸν αὐτοῦ τοῦ κατηγόρου φημὶ λόγον, καὶ τοὺς ἐκεῖθεν ἐλέγχους, καὶ τὴν δικαιοτάτην καὶ λαμπρὰν καταδίκην.

Ἀλλ' ὁ μύστης καὶ φίλος Ἄγγελος, μᾶλλον δ' αὐτὸς ἑαυτὸν ὁ μυσταγωγὸς τῶν τοιούτων καὶ μύστης, τὰ μὲν πρὸς τὸν τῆς εὐσεβείας παραθαῤῥύνων ἐν γράμμασι πόλεμον, τὰ δὲ καὶ τῆς προκατασχούσης

A αὐτὸν δειλίας τε καὶ τοῦ δέους, ὃ δὴ καὶ πρώφην ἐξαίρων καὶ ἀνακτώμενος, οὔτε τῶν ὀρθῶς ἐλλογίμων, οὔτε τῶν εὖ γεγονότων ἕνα μηδένα συνηγορῆσαι, μηδ' ἐξακολουθῆσαι τῇ τῶν Πατέρων συνόδῳ καὶ τῇ εὐσεβείᾳ φησὶν, ὥσπερ ἐν Ὑπερβορέοις, ἢ στηλῶν Ἡρακλείων ἔξω, καὶ τῆς καθ' ἡμᾶς οἰκουμένης τοὺς λόγους ποιούμενος, καὶ μηδένα τῶν συνεγνωκότων τε καὶ συνόντων, τῶν λαλουμένων ἔχων ἀκροατήν.

Καὶ τίς, ὦ ἑταῖρε, τῶν βασιλέων, τῶν τε ὄντων, τῶν τε μακαρίως ἀπιόντων, ἵν' ἐκ τῶν ἀρχῶν καὶ τῆς κορυφῆς, ἧς αὐτὸς φῂς ἀνθρωπίνης εὐγενείας, καὶ αὐτὸς ἄρξωμαι· τίς οὖν ἐκείνων, ἢ τῶν εὐσεβῶν βασιλίδων, ἢ καὶ τῶν θεοφυλάκτων τούτων βλαστῶν ἀῤῥένων ἅμα καὶ θηλειῶν, οὐ τῶν ἡλικίας μόνον καὶ φρονήματος ἀψαμένων ἤδη, ἀλλὰ καὶ τῶν ἀτελῶν ἔτι
B τὴν ἡλικίαν, τελείων δὲ τὸ κατ' εὐσέβειαν φρόνημα, τῆς κατ' εὐσέβειαν ἀληθείας οὐκ ἔστι, καὶ τὴν Χριστοῦ Ἐκκλησίαν, καὶ τὸ ταύτης ὑγιὲς οὐ γνησίως φιλεῖ φρόνημα; καὶ τοὺς ἑτεροδόξους καὶ ἀντιθέτους ἐπίσης αὐτῇ καὶ μισεῖ, καὶ ἐκ ψυχῆς ἀποστρέφεται; Τί δὲ τὸ χρυσοῦν μετ' ἐκείνους γένος ἐκείνων, ἀδελφοὶ, καὶ ἀδελφιδοῖ, φημὶ, καὶ νύμφαι, καὶ κηδεσταὶ, καὶ τὰ μεγάλα, καὶ πρῶτα μετὰ τὴν βασιλείαν εὐθὺς ἀξιώματα, ἵνα μηδὲ γυναικῶν τῶν ἐκ βασιλείου γένους ὁ κατάλογος ἄμοιρος εἴη, καὶ τοῦτο διὰ σὲ τὸν τούτοις ἐναμβρυνόμενόν τε καὶ πτερούμενον, οὐ πάντες ἅμα, καὶ πᾶσαι τῶν ὀρθῶν λόγων τῆς εὐσεβείας, καὶ τῆς ἀποστολικῆς Ἐκκλησίας, καὶ σπουδασταὶ, καὶ ζηλωταὶ, καὶ πρόμαχοι χρηματίζουσι, πᾶσαν ἀλλόκοτον αἵρεσιν καὶ κακοδοξίαν, κα-
C θαπερεί τινα Σκύλλαν καὶ Χάρυβδιν καὶ ᾅδου κυνῆν γενναίως ἀποστρεφόμενοι; εἰ μήπου μειράκιά τινα φῂς ἀμαθῆ, χθὲς καὶ πρότριτα τῆς τῶν παιδίων προελθόντα σχολῆς, καὶ τὰ μὲν ἀμηγέπη τῶν προτελείων ἀψάμενα λόγων, τὰ δὲ μηδὲ ἐκείνων, ἀλλὰ στοιχείων τινῶν καὶ συλλαβῶν τῆς εἰσαγωγῆς ἐκείνων ἐν ἀκροάσει μόνον γενόμενα, ὡς μηδὲ τὰ ἐν λογισμοῖς τῶν κοινῶν διοικήσεων γράφειν ἀπταίστως δύνασθαι. Τί γὰρ, εἰ καὶ πολιάν τις ἐν τούτοις καὶ βαθὺν προβέβληται πώγωνα, παιδαριώδη δὲ οὐχ ἧττον καὶ αὐτὸς περιφέρει τὸν νοῦν καὶ ἀμύητον, ἃ μὴ ἑώρακεν ἐμβατεύων, καὶ τοσοῦτον σοφίας ἀφεστηκὼς, οὐ τῆς ἄνω φημὶ μόνον καὶ πρώτης, ἀλλὰ καὶ τῆς κάτω ταύτης καὶ ἀνθρωπείας, ὅσον καὶ πλήρης, ἢ
D καὶ μέτοχος εἶναι ταύτης κακῶς οἴεται;

Εἶτ' οὐκ αἰσχύνεσθε τοὺς ὁρῶντας, εἰπέ μοι, καὶ τοὺς ἀκούοντας, εἰς οὐδὲν τῆς φατρίας ὑμῶν πάσης περιγραφείσης ἤδη σχεδὸν, καὶ αὐτῆς δὲ ταύτης ἀστατούσης, καὶ τῇδε κἀκεῖσε πυκνὰ περιφερομένης, ὡς τοὺς μὲν ὑπ' ἀπορίας τοῦ τοῖς ἁγίοις ἀντιλέγειν, καὶ λέγειν τι καίριον ἔχειν, καὶ πρὸς τὴν λαμπρὰν τῆς ἀληθείας ἡμέραν καὶ τὸ ἀπρόσιτον ἐκεῖνο φῶς ἀντιβλέπειν, καὶ ταῦτα κἀκεῖνα σιγᾶσθαι δεῖν εἶναι λέγειν, καὶ μηδὲν περὶ δογμάτων θείων κινεῖν, ἐπίσης τῷ ψεύδει καὶ τὴν ἀλήθειαν, καὶ τῷ σκότει τὸ φῶς ἐλαύνοντας, τοὺς δὲ πλέον τι τῶν ἄλλων ἔχειν δοκοῦντας, ὅσον εἰς εὐλάβειάν τε καὶ σχῆμα, τοὺς μὲν ὡς ἐν μυστηρίῳ καὶ κρύβδην, τοὺς δὲ καὶ προφανῶς ἤδη λύπην εἶναι λέγειν δικαίαν τὸ τῆς δια-

Digitized by Google

στάσεως αὐτοῖς αἴτιον, καὶ τοῦ πολέμου τοῦ πρὸς τὴν Ἐκκλησίαν ὑπὸ τῶν ταύτης προεστηκότων ἀδικηθεῖσί φησι, καὶ τῆς προσδοκηθείσης, ἢ καὶ διδομένης πάλαι προεδρίας καὶ τῶν διδασκαλικῶν ἀποστερηθεῖσι θρόνων; Ἐῶ γὰρ νῦν τὴν ἑτέραν ὑμῶν μοῖραν λέγειν, οἵτινες ὀνόματος ἐφιέμενοι, καὶ παῤῥησίας, ἢ καὶ λημμάτων, καὶ ζωμοῦ, καὶ σμικρᾶς τινος μάζης, ἐπείπερ παρ' ἑαυτῶν καλῶς τε καὶ ὡς ἐχρῆν ἑαυτοῖς δύνανται τὰ τοιαῦτα πορίζειν, αἰσχρῶς ἐκεῖθεν ταῦτα συλλέγουσιν.

Ἀλλὰ τὸν ἔσχατον ἐκεῖνον κολοφῶνα τοῦ ψεύδους, καὶ τὴν ὡς ἐν ὀνείρῳ, καὶ μέθῃ τινὶ, καὶ κάρῳ φαντασίαν, καὶ πλάνην τῆς διανοίας τοῦ πεπλανημένου τουτουὶ φιλοσόφου, πῶς ἄν τις παντελεῖ σιγῇ διενέγκοι; Εἰσάγει καὶ γὰρ τῷ λόγῳ τὸν τῆς εὐσεβείας B θεῖον προστάτην, Γρηγόριόν φημι τὸν ἱερὸν τῆς Θεσσαλονίκης, μᾶλλον δὲ καὶ ξυμπάσης ὁμοῦ τῆς Χριστοῦ Ἐκκλησίας φωστῆρα, μετὰ τὴν τῆς ἱερᾶς ἐκείνης συνόδου διάλυσιν, ἐλαυνόμενόν τε καὶ δυσφημούμενον, ὡς αὐτός φησιν, ὑπὸ τοῦ τῶν συνειλεγμένων αὐτόθι πλήθους, ὑπ' ἀνάγκης τε πρὸς βασιλέα τε καὶ τὴν ἐπικουρίαν καταφεύγοντα τὴν αὐτοῦ, καὶ μόλις οὑτωσὶ διαφεύγοντα τοὺς ἐσχάτους κινδύνους, στένοντά τε καὶ τρέμοντα, αὐταῖς καὶ γὰρ ταῖς ἐκείνου καὶ αὐτὸς κέχρημαι λέξεσιν. Οὐ μὴν ἀλλὰ καὶ τὴν ἱερὰν τῶν Πατέρων ὁμοῦ σύνοδον πρὸ πυλῶν τῶν βασιλείων ἐκεῖ τὸ τῶν αἱρεσιωτῶν αὐτοῦ φησι σμῆνος καθάπερεί τινες κύνες λυσσῶντες τοῖς ὀδοῦσι διαῤῥῆξαί τε καὶ κατασπαράξαι καὶ ἡμιθνῆτας ἀπαλλάξαι μόγις ἡμᾶς ἐκεῖθεν πεποιηκέναι, ὡς καὶ τὰ τῆς C ἐλπισθείσης, ἢ ὀνειροπολη θείσης αὐτῷ καθ' ἡμῶν νίκης, ἵν' οἰκειότερον εἴπω, τὰ προοίμια κατὰ τὸν αὐτοῦ λόγον αὐτὸν ἐντεῦθεν λαβεῖν.

Βαβαὶ! τίνες τοὺς τίνας; οἱ κατάπτυστοι, καὶ ἐναγεῖς, καὶ μιαροὶ, καὶ ἐπίῤῥητοι διὰ τὰς κατὰ Θεοῦ βλασφημίας, καὶ τὴν θεομαχίαν οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς, καὶ τρὶς, καὶ πολλάκις ἐπ' αὐτῆς ἐκείνης τῆς ἱερᾶς ἐξεληλεγμένοι συνόδου, οἱ σὺν Βαρλαὰμ τε καὶ Ἀκινδύνῳ, τοῖς ἀρχηγοῖς καὶ μυσταγωγοῖς τῆς αἱρέσεως, ὡς ὀπαδοὶ καὶ ὁμόφρονες ἐκείνων, ταῖς παλαμναιοτάταις ἀραῖς, καὶ ταῖς φρικταῖς ἀποκηρύξεσι τῆς Χριστοῦ Ἐκκλησίας ἐγγράφως ὑποβληθέντες ὁμοῦ, καὶ ἀποβληθέντες οἷα δὴ σεσηπότα καὶ νεκρὰ μέλη, οἱ τὴν ἱερὰν Γρηγορίου γλῶτταν καὶ θεολόγον, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, καὶ τὰ D ἐν χειρὶ τοῦ δυνατοῦ βέλη μηδὲ πρὸς ὀλίγον ὑπενεγκόντες, καὶ ὅλῳ ποδὶ διὰ ταῦτα τὸν ἱερὸν ἐκεῖνον σύλλογον, καὶ ἅπαξ, καὶ δὶς ἀποδράντες ἀνεπιστρόφως, καὶ πρὸς χηραμούς τινας καὶ καταδύσεις ἀφανεῖς ἀπιδόντες μᾶλλον τῇ ἀνατολῇ τοῦ τῆς δικαιοσύνης ἡλίου, καθὰ καὶ τὰ αἰσθητὰ ταῦτα θηρία, καὶ ἑρπετὰ δήπου, τὴν αἰσθητὴν τῶν ἡλιακῶν ἀκτίνων οὐ φέροντα προσβολὴν, τοὺς τῆς ἀληθείας Χριστοῦ, καὶ τῆς εὐσεβείας λαμπροὺς ὁμολογητὰς, καὶ μυσταγωγοὺς, καὶ θεολόγους, καὶ κήρυκας τοὺς τῆς μεγάλης καὶ πρώτης θεολογίας ἐξηγητάς τε καὶ μύστας, τοὺς τῶν ἱερῶν εὐαγγελιστῶν τε καὶ ἀποστόλων, καὶ δὴ καὶ τῶν μετ' ἐκείνους θεολόγων, καὶ διδασκάλων, καὶ τῆς εὐσεβείας ἀγωνιστῶν τε καὶ προμάA χων ὁμιλητὰς ἀψευδεῖς καὶ διαδόχους καὶ λόγοις, καὶ πράγμασιν. Οἳ καὶ μετὰ τὴν σὴν καὶ τῶν σῶν ἑταίρων, καὶ δὴ καὶ τὴν τῆς αἱρέσεως, καὶ τοῦ ψεύδους ἐκείνην καταστροφὴν, καὶ τὴν λαμπρὰν ἀνακήρυξιν, καὶ τὴν εὐφημίαν τῆς κατ' εὐσέβειαν ἀληθείας, καθαπερεί τινες Ὀλυμπιονῖκαι μετὰ τῆς μεγάλης Ἐκκλησίας ἐκείνης ὑπέστρεφον, ὑψηλοί τινες, καὶ λαμπροὶ, καὶ θεοειδεῖς, καὶ ἄνω βλέποντες τῷ τῆς ψυχῆς παραστήματι, οὐ τὸν Σιὼν καθελόντες τὸν βασιλέα τῶν Ἀμοῤῥαίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, ἢ καὶ καθάπερ ὁ Δαβὶδ τὸν Γολιὰθ ὕστερον, ἀλλὰ τὸν νοῦν τὸν μέγαν τὸν Ἀσσύριον, ἥ φησιν ὁ σοφὸς Ἡσαΐας, ἢ τὸν ὄφιν, τὸν δράκοντα τὸν σκολιὸν κατὰ τὸν αὐτὸν αὖθις εἰπεῖν, τὸν ἐν ταῖς θεομάχοις, B καὶ βλασφήμοις ταυταισὶ λαλήσαντα γλώσσαις τὴν εἰς τὸ ὕψος πονηρὰν βλασφημίαν, τὴν μάχαιραν ἐκείνην τοῦ Θεοῦ τὴν ἁγίαν καὶ τὴν μεγάλην, καὶ ἰσχυρὰν ἐπαγαγόντες αὐτῷ κατ' ἐκεῖνόν φημι τὸν ἱερὸν λόγον, ὅ ἐστι ῥῆμα Θεοῦ, φησὶν ὁ θεῖος Ἀπόστολος.

Μετὰ τοιαύτης τῆς πομπῆς καὶ τῶν ἱερῶν θριάμβων, καὶ τῶν ἐπινικίων καὶ τῶν κρότων, καὶ τῶν παιάνων ἐξῄεσαν ἐκεῖθεν οἱ μεγάλοι τοῦ Χριστοῦ καὶ στρατιῶται καὶ στρατηγοὶ, καὶ τῆς αὐτοῦ Ἐκκλησίας ἀῤῥαγεῖς πρόβολοι, Γρηγόριον ἔχοντες ἐν μέσῳ τὸν φίλον, τὸν τοῦ λόγου τεχνίτην, τὸν κορυφαῖον καὶ προστάτην τῆς ἱερᾶς ἀγωνίας ἐκείνης, τὸν συγγραφέα, καὶ ῥήτορα, καὶ σοφιστὴν τῶν τῆς εὐσεβείας δογμάτων, τὸν τῆς αἱρέσεως καὶ πάλαι καὶ νῦν καταλυτὴν, τὸν ἔλεγχον τοῦ σκότους, τὸν τοῦ C ἀληθινοῦ φωτὸς διαπρύσιον διδάσκαλόν τε καὶ κήρυκα, οὐ κότινον ἐπὶ κεφαλῆς φέροντα, οὐδὲ στεφάνῳ χρυσῷ κατά τινας τῶν ἀρχαίων ἀναδούμενον ταύτην, ἀλλὰ τοῖς ὑπερφυέσι καὶ ἀποῤῥήτοις τοῦ Πνεύματος χαρίσμασιν ἄνωθεν ἐστεμμένον, καὶ τῷ φωτὶ τοῦ Πνεύματος ὑπὲρ πάντα βασιλικὸν λίθον τε καὶ διάδημα περιστελλόμενον, καὶ κατακοσμούμενον ἀοράτως, καὶ στόμα θεολογίας, καὶ γλῶτταν τῆς εὐσεβείας, καὶ τέμενος θείων δογμάτων, καὶ ὄργανον ἱερῶν λόγων, καὶ μύστην καὶ μυσταγωγὸν τῆς ἀληθινῆς καὶ πρώτης σοφίας, καὶ Πνεύματος καταγώγιον ἱερὸν, καὶ πᾶν ὅ τι θεῖον καὶ ὑψηλὸν παρὰ τῆς τῶν πιστῶν Ἐκκλησίας καὶ νομιζόμενον, καὶ λεγόμενον σὺν μεγίστῳ τινὶ καὶ ἀποῤῥήτῳ τῷ θαύματι. Ἅπερ ὁ βέλτιστος ἀγνοῶν Γρηγορᾶς, εἶθ' ἑκὼν ὑπὸ D τῆς λαμπρᾶς καθ' ἡμῶν ἐκείνης μανίας τε καὶ τοῦ φθόνου, εἴτε καὶ ἄκων, μετὰ τὴν ἀπὸ συνόδου σὺν τοῖς ἑταίροις αἰσχρὰν ἀναχώρησιν καὶ φυγὴν, τὴν ᾍδου κυνῆν, ὅ φασιν, ὑποδύντες, καὶ μηδέν τι σαφῶς ἔχοντες εἰδέναι τῶν κατ' ἀλήθειαν πραττομένων, τὰ καταγέλαστα καὶ μηδεμίαν ὑπερβολὴν καταλείποντα ψεύδους καὶ φλυαρίας, ἐκεῖνα καθάπερ ἐν σκηνῇ τε καὶ δράματι, πλέκει τε καὶ συγκλώθει, οἱονεὶ τὸ ἐξ ἄμμου, πλέκων σχοινίον ἢ καὶ ὀνειροπολῶν ὡς ἐν μέθῃ τινὶ, καὶ μελαγχολίᾳ, καὶ κάρῳ, καθὰ δὴ καὶ προὔφην, καὶ μηδὲ εἰδὼς ἃ λέγει, πρὸς μὲν τοὺς περὶ ὧν ὁ λόγος, οὐδὲν ὄντα, μεγίστην δέ τινα τὴν ἄνοιαν, καὶ τὴν μανίαν, καὶ τὴν αἰσχύνην ὁμοῦ προσμαρτυροῦντα τῷ ταῦτα λογογραφοῦντι, ὡς μηδὲ λέγειν ἀκριβῶς, μηδὲ γράφειν ἐξεῖναι. Ὡς ἐν-

Digitized by Google

τεῦθεν τρανῶς μάλα τοῖς συνιεῖσι λογίζεσθαι δήπου, καὶ τὰ ἑξῆς περὶ δογμάτων καὶ θείων Γραφῶν τοῦ φιλοσόφου γράμματα καὶ συγγράμματα, τῆς αὐτῆς ὄντα φασὶ κεραμείας. A

Ἐνῆν καὶ περὶ τῶν εὐγενῶν ἐκείνων γυναικῶν πλατύτερόν τι τῷ λόγῳ διαλαβεῖν, ἃς αὐτὸς ἔφης φυγάδας ὑμῶν, καὶ ἀποίκους διὰ τὴν εὐσέβειαν γεγενῆσθαι, ἃς καὶ ταῖς Χριστοῦ μυροφόροις ἀκαταλλήλως καὶ ἀναρμόστως πάντη παρέβαλες, περί τε τῶν ἔξω πόλεων, καὶ τῆς μάχης, καὶ τῆς τῶν ἐθνῶν ἁπανταχοῦ γῆς κατ' ἀλλήλων ἐπαναστάσεως, καὶ τῆς ἀταξίας, κατὰ σοῦ μᾶλλον ὄντων, καὶ τοῦ σοῦ κλήρου, ἀλλ' οὐ κατὰ τῆς Χριστοῦ Ἐκκλησίας, καὶ τῆς ὀρθῆς δόξης, καθ' ὧν αὐτὸς ταῦτα προφέρεις μετ' Ἀχαιμενιδῶν δηλαδὴ καὶ τῶν ἐκ τῆς Ἄγαρ. Ταῦτα γὰρ δὴ κἀκεῖνοι τῇ Χριστοῦ προφέρουσιν ὀνειδίζοντες Ἐκκλησίᾳ, τὸ τοῦ οἰκείου ψευδοπροφήτου κράτος καὶ τὸν πλατυσμὸν, καὶ τὸν πλοῦτον ἀντιθέντες ταῖς δυσπραγίαις, καὶ τῇ ταπεινώσει τῇ ἡμετέρᾳ, καὶ τὸν Θεὸν οἰόμενοι κακῶς σὺν ἐκείνοις μεθ' ἑαυτῶν ἔχειν, ἀγνοοῦντες ὡς *Ὁ κόσμος ἅπας ἐν τῷ πονηρῷ κεῖται*, καὶ ὅτι *Κρεῖσσον εἷς ποιῶν τὸ θέλημα τοῦ Θεοῦ ἢ μύριοι παράνομοι*, καὶ ἔτι *Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε*, καὶ, *Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσι*, καὶ τὰ τούτοις προσόμοια, πρὸς τῆς αὐτοαληθείας Χριστοῦ τοῖς οἰκείοις μαθηταῖς, καὶ δι' ἐκείνων ἡμῖν εἰρημένα. Ἐνῆν τοιγαροῦν καὶ σὲ σὺν ἐκείνοις ἐξελέγξαι πλατύτερον, ὅπερ ἔφην, ἐπειδὴ καὶ ταυτὰ καὶ φρονῶν καὶ γράφων ἐκείναις καθ' ἡμῶν ἑάλως ἐν τούτῳ τῷ μέρει· ἀλλὰ τὸν κόρον καὶ τὰ περιττὰ φεύγων ὁ λόγος ἐνταῦθα τόγε νῦν εἶναι τέως τὸν δρόμον στήσει, τοῖς ἀναγκαίοις αὖθις αὐτὸν διδοὺς ἀναγκαίως, καὶ περὶ ὧν ὁ σκοπὸς ἡμῖν προηγουμένως τοῦ λόγου. B

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΤΟΝ ΚΑΤΑ ΤΗΣ ΕΥΣΕΒΕΙΑΣ, ΚΑΙ ΤΟΥ ΙΕΡΟΥ ΤΑΥΤΗΣ ΤΟΜΟΥ, ΔΕΥΤΕΡΟΝ ΔΙΑΛΟΓΟΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΓΡΗΓΟΡΑ, ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΔΕΥΤΕΡΟΣ

### Περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας.

Οὐκ ἐργῶδες μέντοι πάνυ καὶ χαλεπὸν, ὦ σοφώτατε καὶ φιλόχριστε βασιλεῦ, τὸ τοῖς λόγοις τῆς δυσσεβείας ἀντεπεξάγειν λόγον, καὶ τὴν ἀλήθειαν ἐπιστρατεύειν τῷ ψεύδει, καὶ τὴν τῶν θεοφόρων θεολογίαν κατὰ τῆς πολυκεφάλου ταυτησὶ βλασφημίας ὁπλίζειν. C Τό τε γὰρ ψεῦδος αὐτόθεν εὐφώρατον, καὶ δι' αὐτό γε τοῦτο καὶ εὐπερίτρεπτον κἂν πολλούς τινας περιβάληται κύκλους, καὶ συχνὰ τὰ τῆς ἀληθείας προσωπεῖα προβάληται, καὶ ὁ τοῦ Θεοῦ λόγος, ᾗ φησι τὰ σεπτὰ λόγια, ζῶν τε καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, ὑπὲρ οὗ καὶ πρὸς ὃν τοῖς θεολόγοις ὁ λόγος. Οὐ τοῦτο τοιγαροῦν, ὡς ἔφην, ἐργῶδες, οὐδὲ χαλεπὸν ἐξανύσαι, ἀλλ' ἐκεῖνο καὶ δυσχερές τι καὶ πρόσαντες ἐς τὰ μάλιστα, τὸ τοσαύτην ἀταξίαν καὶ σύγχυσιν λόγων, καὶ ψευδοὺς, D καὶ συκοφαντίας ἑσμὸν οὕτως ἀναιδῆ, καὶ συνεχῆ, καὶ ἐπάλληλον, τὸ γὰρ τῶν λοιδοριῶν καὶ τῶν ὕβρεων αἰσχρόν τε καὶ ἀκρατὲς, καὶ ὥσπερ ὑπὸ δαιμονικῆς τινος ἐνεργείας ἐκβεβακχευμένον, καὶ μεμηνὸς παρίημι λέγειν νῦν, τὸ γοῦν ἐκεῖνα πρὸς τάξιν τινὰ καὶ ἀκολουθίαν τῷ λόγῳ μετενεγκεῖν, καὶ τίσι μὲν ἀντειπεῖν εὑρεῖν, ὡς λέγειν τι, καὶ ἀντιλέγειν τῷ τῆς ἀληθείας ὁπωσδήποτε λόγῳ δοκοῦσι, τίνα δ' ἐκπέμψαι τοῦ λογικοῦ τουτουῒ σταδίου τε καὶ τῆς ἀγωνίας μύρῳ χρίσαντας, καὶ στέψαντας ἐρίῳ κατὰ τὸν εἰπόντα, πῶς οὐ χαλεπόν τι καὶ βίαιον, καὶ πορθμὸς Σικελίας ἀντικρύς; Διὸ καὶ τῶν μακρῶν ἐκείνων δρόμων καὶ περιδρόμων, καὶ τῆς συχνῆς ἀφέμενοι φλυαρίας, ἐπὶ τἀναγκαῖα, καθόσον οἷόν τε, τὸν λόγον τρέψωμεν.

Τί δ' ἂν ἄλλο τῶν ἀναγκαίων εἴη, καὶ προὔργου, ἢ τὸ τοῖς κεφαλαίοις κατὰ μέρος ἐπεξελθεῖν αὖθις ἐκείνου τοῦ τῆς εὐσεβείας ἱεροῦ τόμου, καὶ συνάψαι μὲν ἐκείνοις τὰ παρὰ τῆς ἱερᾶς τότε συνόδου, καλῶς ἔκ τε τῆς θείας Γραφῆς, καὶ τῶν θεολογικῶν καὶ πατρικῶν συντεθέντα λόγων, κάκιστα δ' ὑπὸ τοῦ κακῶς ἀντικειμένου τουτουῒ διασπαραχθέντα, καὶ τῆς ἁρμονίας τε καὶ τῆς συναφείας διαζευχθέντα, προσθεῖναι δὲ καὶ τῇ ἐξηγήσει παρὰ τῆς θείας Γραφῆς αὖθίς φημι καὶ τῶν αὐτῆς ἐξηγητῶν τε καὶ θεολόγων, καὶ πλατύτερον ἐπεξεργάσασθαι καθόσον οἷόν τε; ἐπειδὴ καὶ τοῦτο καθ' ἡμῶν ὁ φιλόσοφος οὑτοσὶ καὶ διαλεκτικὸς ἐν ἐκείναις ταῖς λοιδορίαις προφέρει, τὸ μηδὲ ἐπεξεργάσασθαί φημι, μηδὲ συλλογίζεσθαι, μηδὲ κατασκευάζειν εἰδέναι τὰ προτεθέντα, ἀλλ' ἕτερα μὲν, ὡς ἐκεῖνός φησι, τὰς προτάσεις ἡμῶν εἰσάγειν, ἄλλως δὲ συμπεραίνειν ὑπ' ἀμαθίας· μηδὲ αὐτὸ τοῦτο δυνάμενος συνιδεῖν, ἢ καὶ κακουργῶν ἑκόντι, καὶ διαστρέφων, ὡς οὐ λογογραφεῖν, ἀλλὰ τομογραφεῖν μᾶλλον τότε προὔκειτο τῇ τῶν Πατέρων συνόδῳ, ὅπερ ἐστὶν, οἶμαι, τὸ συντετμημένως ἐκδιδόναι, καὶ οἷον ὁρίζεσθαι τὰ διὰ μακρῶν λαληθέντα καὶ γραφέντα πολλάκις.

Καὶ εἰ βούλει, φιλόσοφε, πρὸς ἐκεῖνον ἂν εἴποιμι, καὶ αὐτούς σοι παρελθόντες τοὺς πολλοὺς καὶ καλοὺς ὑποδείξομεν λόγους, καὶ τὰ βιβλία τὰ πρὸς τοὺς σοὺς ἑταίρους τε καὶ καθηγητὰς οὐκ ἀγεννῶς συντεθέντα πάλαι, καὶ ὄψει, καὶ ἀκούσεις ἐπεξεργασιῶν πλῆθος, καὶ συλλογισμῶν ἀνάγκην, καὶ κατασκευὴν, καὶ κράτος, καὶ ἰσχὺν λόγων, μετὰ τοῦ Πνεύματος τὰ τοῦ Πνεύματος καλῶς βεβαιοῦντα, καὶ πᾶσαν αἰσχίστην αἵρεσιν καὶ κακοδοξίαν, ὡς καλάμην πυ-

Digitized by Google

ρὸς ῥύακας εἰς τέλος ἀποτεφροῦντα. Ἀλλὰ πῶς ἂν ἐκείνοις αὐτὸς μετὰ τῆς γιγνομένης ἀληθείας προσέσχες, ὁ μηδ' αὐτὸν τουτονὶ τὸν ἱερόν φημι τῆς συνόδου τόμον ἀναγνοὺς ὑγιῶς καὶ ἀπταίστως, ἀλλὰ σπαράξας, καὶ κατατεμὼν, καὶ τῆς συναφείας τὸ πλεῖστον, ἢ καὶ τὸ πᾶν, πλὴν ὀλίγου γέ τινος, ἀφελόμενος, ὡς προϊόντες μετὰ μικρὸν δείξομεν; Ὁ μὲν οὖν κατὰ τοῦ τῆς εὐσεβείας ὅρου τοιαῦτα τετολμηκὼς ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ φασι, καὶ δίχα παντὸς ἐρυθήματος, κατὰ τῶν ἱερῶν ἐκείνων μερῶν τε καὶ σπαραγμάτων τοῦ τῆς εὐσεβείας ὅρου χωρεῖ, διωγμοὺς καὶ καθείρξεις, καὶ δημεύσεις, καὶ φόβους ἀναπλάττων, τὰ μηδαμῶς ὄντα, καὶ πρὸς τούτοις ὡς ἐν σκηνῇ καὶ δράματι μύστην τινὰ καὶ φίλον ἀωρὶ νυκτῶν ψευδῶς εἰσάγων πρὸς ἑαυτὸν, τὰ τοῦ ἱεροῦ τόμου ῥήγματα δῆθεν ἐπιδιδόντα, καὶ πρὸς ἀντιλογίαν, διαστροφὴν δὲ καὶ συκοφαντίαν μᾶλλον εἰπεῖν ἐκείνων παρακαλοῦντα, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἐδήλωσε, τόμον, ὃν ἐκεῖνοι φθάσαντες ἔσχον ὅλον παρ' ἑαυτοῖς, καθάπερ δὴ καὶ ἡμεῖς.

Ὁ γοῦν τῷ τῆς ἀληθείας ἡρημένος ἀντιλέγειν οὑτωσὶ λόγῳ, μαινόμενος μὲν ἀκρατῶς, καὶ σφαδάζων κατ' αὐτοῦ καὶ ἡμῶν, πρὸς δὲ τὴν ἰσχὺν ἐκείνου μηδ' ἀντιβλέψαι μηδὲ χᾶναι δυνάμενος, πρὸς τὰ κατατμηθέντα διαγωνίζεται μέρη, παρακερδαίνειν μάτην ἐντεῦθεν οἰόμενος, καθάπερ ἐπὶ τῶν στρατοπέδων, οἱ ταῖς μὲν φάλαγξι τῶν πολεμίων δι' ἀδυναμίαν προσβάλλειν κατὰ μέτωπον παραιτούμενοι, τοὺς δὲ καθένα, καὶ σύνδυο μᾶλλον λοχῶντες, ἢ καὶ τοῖς οὐραγοῖς ἀνάνδρως ἐπιτιθέμενοι. Ἐγὼ δ' εἰ μὲν ἑώρων ἐκεῖνον, πρὸς ἔπος τι λέγειν ὅλως δοκοῦντα, καὶ λόγοις οἱστισινοῦν καὶ νοήμασι, κατὰ τοὺς αὐτοῦ μυσταγωγοὺς τέως ἐκείνους, τοῖς ὑγιέσι τῆς εὐσεβείας ἀντιλέγοντα δόγμασιν, οὐκ ἂν οὐδὲ αὐτὸς ἀπώκνησα πρὸς τὸ μῆκος τοῦ λόγου, τῇ ἀληθείᾳ κατὰ τοῦ ψεύδους ὡς ἂν οἷός τε ὦ χρώμενος· ἐπεὶ δὲ ῥημάτων ἄλλως ὄχλος ἐκεῖνα, καὶ συρφετὸς, καὶ σύγχυσις ἄντικρυς, καὶ οὐδὲν ὑγιὲς, τοῦτό μοι δοκεῖ ποιητέον εἶναι, καθὰ δὴ καὶ προὔφην, προθεῖναι μὲν καὶ συναγαγεῖν εἰς ἓν, καὶ τὴν γιγνομένην ἁρμονίαν τε καὶ τὴν τάξιν ἀποδοῦναι τοῖς τοῦ ἱεροῦ τῆς εὐσεβείας ὅρου κεφαλαίοις εἰς ἑπτὰ τοῖς πᾶσιν ἀριθμουμένοις, οἷς καὶ οἱ τοῦ φιλοσόφου δήπουθεν πολεμεῖν προσποιοῦνται λόγοι. Εἶτα καὶ τὴν ἀνάπτυξιν, καὶ τὴν ἐξεργασίαν, ἐκ τῶν τοῦ Πνεύματος λόγων ἐπενεγκὼν, καθ' ὅσον ἂν αὐτὸ παράσχοι τὸ Πνεῦμα, τούς τε γραφικοὺς καὶ πατρικοὺς εὐσεβῶς λόγους διευκρινῆσαι, οὓς ἐκεῖνος κακῶς ἐξηγούμενος διαστρέφει, καὶ οὕτω πρὸς τοὺς ἐκείνου λόγους καὶ τὰ τῆς διανοίας γεννήματα, καὶ τὰς ἀντιλογίας τε καὶ συκοφαντίας τὰς ἐφ' ἑκάστῳ δηλαδὴ κεφαλαίῳ χωρῆσαι, καὶ δεῖξαι μὴ μόνον οὐκ ἀληθεύοντα τὸ παράπαν, σὺν Θεῷ δὲ ὁ λόγος, ἀλλὰ καὶ συκοφαντοῦντα, καὶ βλασφημοῦντα, καὶ κατὰ πάσης ἱστάμενον ἀναίδην τῆς ἱερᾶς τῶν ἁγίων θεολογίας, καὶ αὐτοῦ δέ φημι τοῦ τῶν ἱερῶν θεολόγων ἑνὸς, καὶ μόνου Πατρός τε καὶ καθηγητοῦ Χριστοῦ, κατὰ τὸν αὐτοῦ τοῦτον λόγον. Καὶ δὴ ῥητέον ἅπερ ἔφην ἐκεῖνα.

Μετὰ τὴν δικαίαν καθαίρεσιν τε καὶ καταστροφὴν A τῶν τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου φρονούντων ἐπὶ τῆς ἱερᾶς ἐκείνης συνόδου, φησὶν ἐπὶ λέξεως ὁ ταύτης ἱερὸς τόμος οὕτως· « Τῶν δὲ διαφερομένων καὶ ἔτι ἀνιάτως ἐχόντων, ἔδοξε δίκαιον σύνοδον ἑτέραν πάλιν συγκροτηθῆναι, ὥστε δι' ἐξετάσεως φανερωτέραν γενέσθαι περὶ τῶν προβεβλημένων τὴν τῆς εὐσεβείας ἀλήθειαν ἐκ τῶν τοῖς ἁγίοις τεθεολογημένων. Καὶ δὴ γενομένης, τῶν ἑτεροδοξούντων ἀπαντῆσαι μὴ βουληθέντων, ἀλλ' ἀπειπόντων τοῦτο καθάπαξ, ὁ εὐσεβέστατος ἐκέλευσε βασιλεὺς, πολλῶν δογματικῶν κεφαλαίων προβεβλημένων εἰς ζήτησιν. »

« Πρώτου μὲν, εἰ ἔστιν ἐπὶ Θεοῦ θεοπρεπὴς διάκρισις οὐσίας καὶ ἐνεργείας· ἔπειτα διακρίσεως ἀναφανείσης, πότερον ἡ ἐνέργεια αὕτη κτιστή ἐστιν, ἢ B ἄκτιστος· τρίτον δὲ, εἴ γε ἄκτιστος ἀποδειχθείη ἡ θεοπρεπὴς αὕτη ἐνέργεια, πῶς ἄν τις ἐκφύγοι τὸ μὴ παρὰ τοῦτο σύνθετον τὸν Θεὸν εἶναι νομίζειν, ὅπερ οἱ ἑτεροδοξοῦντες προφέρειν τολμῶσι τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ· τετάρτου δὲ, εἴ γε ἡ φωνὴ τῆς θεότητος οὐκ ἐπὶ τῆς οὐσίας μόνον, ἀλλὰ καὶ τῆς θείας ἐνεργείας παρὰ τῶν θεολόγων ὕμνηται. Ἐκ τούτου γὰρ τὴν τῆς διθεΐας ἀμορφίαν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταχέουσιν οἱ ταύτης πολέμιοι· πέμπτου δὲ, εἴπερ οἱ θεολόγοι κατά τι τὴν οὐσίαν τῆς ἐνεργείας ὑπερκεῖσθαί φασιν, ἐπεὶ καὶ τοῦτο τοῖς ἐναντιουμένοις ὑπὸ μέμψιν τελεῖ. »

« Καὶ λοιπὸν ἔτι Θεοῦ μετεχομένου, πότερον κατὰ τὴν οὐσίαν ἡ μετοχὴ, ἢ κατὰ τὴν ἐνέργειαν. »

C « Τοσούτων προκειμένων ἡμῖν ζητημάτων ἀρτίως, οὐ χρὴ περὶ πάντων ὁμοῦ ποιεῖσθαι τοὺς λόγους, γένοιτο γὰρ ἂν οὕτως ἡ τοῦ ζητουμένου κατάληψις οὐδαμῶς ἀκριβὴς, οὐδὲ κατὰ τὴν ἡμετέραν πρόθεσιν, ἀλλὰ περὶ ἑκάστου ἰδίᾳ διαλαβόντες, ἐφ' ἕτερον ἤδη χωρῶμεν, ὁδηγοῖς ἀπλανέσι χρώμενοι τοῖς σεπτοῖς θεολόγοις. »

« Καὶ πρῶτον, εἰ δοκεῖ, περὶ τοῦ πρώτου λέγωμεν. Ἆρ' ἔστι θεοπρεπὴς ἐπὶ Θεοῦ διάκρισις οὐσίας καὶ ἐνεργείας, ὅπερ τοῖς διαφερομένοις ἀπείρηται, πολλά τε ἄλλα ἄτοπα, καὶ πολυθεΐαν ἐκ τούτου συνάγειν οἰομένοις, ἢ ταυτὸν πάντῃ καὶ ἀδιάφορον; »

Καὶ μετὰ μικρὸν, « Καὶ θεολόγων, φησὶν, ὡς ἔχουσι περὶ τούτων γνώμης, εἰς ἐπήκοον πάντων ἀναγνωσθέντων, ἀπεδείχθη, ὅτι οἱ μὴ μετὰ τοῦ ἡνωμένου D καὶ τὸ διακεκριμένον τῆς θείας οὐσίας καὶ ἐνεργείας πρεσβεύοντες ἄθεοί τέ εἰσι, καὶ πολλοῖς ἀτόποις ἑαυτοὺς περιβάλλουσι. »

« Κατὰ γὰρ τὸν μέγαν Διονύσιον, τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις, οὐδὲ ἀφαίρεσις. Τὸ δὲ ἔχον, οὗ ἔχει κατά τι πάντως διαφέρει. Εἰ οὖν οὐκ ἔστι διαφορά τις θείας οὐσίας καὶ ἐνεργείας, οὐκ ἔστιν ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν. Τὸ δὲ μὴ ἔχον ἐνέργειαν ἀνενέργητόν ἐστι, τὸ δὲ ἀνενέργητον καὶ ἀνύπαρκτον. »

« Τοῦ δὲ θεοφόρου Δαμασκηνοῦ γράφοντος, Ἔργον μὲν θείας φύσεως ἡ προαιώνιος γέννησις, ἔργον δὲ θείας θελήσεως ἡ κτίσις· καὶ τοῦ ἁγίου Κυρίλλου, Τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν,

Digitized by Google

φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν· οἱ ἀδιάφορον εἶναι λέγοντες τὴν θείαν οὐσίαν, καὶ τὴν θείαν ἐνέργειαν, ἐπειδὴ κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τὸ γεννᾷν, ἔστι δὲ κατ' αὐτοὺς ἀδιάφορος τῆς φύσεως ἡ ἐνέργεια, ἔσται κατ' αὐτοὺς καὶ τῆς ἐνεργείας τὸ γεννᾷν, καὶ οὕτω τὰ ποιήματα ἔσονται γεννήματα ἀΐδια, ὡς ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεὶ δὲ πάλιν τῆς ἐνεργείας ἐστὶ τὸ ποιεῖν, ἡ δὲ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ κατ' αὐτούς, τῆς φύσεως ἔσται τὸ ποιεῖν. Καὶ οὕτω κατ' αὐτοὺς τὰ ἐκ τῆς φύσεως ἔσονται ποιήματα.» Καὶ τοιαῦτα μὲν τὰ τοῦ σεπτοῦ τόμου.

Ὁ δὲ Γρηγορᾶς, τούτοις αἰσχρῶς πάνυ καὶ ἀδόξως ἐπιφυόμενος, καὶ παρεξηγεῖσθαι καὶ διαστρέφειν ἐπιχειρῶν, νῦν μὲν διὰ τοῦ τῆς συνόδου τότε προεστηκότος, καὶ τῶν ἱερῶν ἀγώνων τε καὶ δογμάτων ἐξάρχοντος, Γρηγορίου φημὶ τοῦ πάνυ, τοῦ τῆς μεγάλης Θεσσαλονίκης, μᾶλλον δὲ δι' ἐκείνης τῆς Χριστοῦ καθολικῆς Ἐκκλησίας κοινοῦ φωστῆρος, νῦν δὲ καὶ διὰ πάσης ὁμοῦ τῆς τῶν Πατέρων ἐκείνης συνόδου πλείστην ὅσην τὴν συκοφαντίαν τε καὶ τὴν βλασφημίαν κατὰ τῶν ἱερῶν ὁμοῦ διδασκάλων καὶ τῆς ὑψηλῆς καὶ ὑπερφυοῦς τοῦ Πνεύματος θεολογίας ἐκχεῖ, ὥσπερ εἰς τοῦτο τάξας ἐπίτηδες αὐτὸς ἑαυτόν, καὶ τοῦτ' αὐτὸ καινὴν ἐμπορίαν γήρως ἐσχάτου καὶ κενῆς φιλοσοφίας πεποιημένος, τὴν τῶν ἀῤῥήτων καὶ ὑπερφυῶν φημι καταδρομὴν καὶ χλεύην, καὶ ἀκόλαστον καὶ τολμηρὰν ὕβριν, οἷς ἀντεπεξιέναι νῦν, καὶ τοὺς πρέποντας ἐπάγειν ἐλέγχους τὸ συνεχὲς διακόψαντα τῶν ἱερῶν ἐκείνων ἐλέγχων καὶ λόγων τοῦ προτεθέντος συνοδικοῦ τόμου, καὶ ἄκαιρόν πως, καὶ οὐδὲ συγχύσεως ἐκτὸς εἶναι νομίζω. Διὸ καὶ τῆς ἀκολουθίας ἐχόμενοι τῶν προλαβόντων καὶ αὖθις, καὶ μάλιστα διὰ τοῦτον τὸν συκοφάντην, ὃς τὰς μακρὰς ἐκείνας λοιδορίας κατὰ τῆς συνόδου συνείρων, κἀκεῖνα τοῖς ἄλλοις προστίθησιν, ὡς οὐδὲ λέγειν, οὐδ' ἐπεξεργάζεσθαι τοπαράπαν ἴσμεν τὰ προτεθέντα, οὐδέ γε τοὺς τῆς Ἐκκλησίας θεολόγους καὶ διδασκάλους εἰς μαρτυρίαν τῶν οἰκείων λόγων εἰσάγειν, ἀλλὰ κομπάζειν μὲν εἰκῇ πάντας ἁγίους, ὀνόματι μόνῳ προβεβλημένοι, παράγειν δὲ ταῖς ἀληθείαις οὐδένας, μηδὲ γὰρ εὐπορεῖν ὅλως τοιούτων· διὰ δὴ ταῦτα πάντα, καὶ τὸ τὸν λόγον τῆς ἀληθείας εὐθῆ, καὶ ἀσύγχυτον καὶ εἰλικρινῆ, καὶ παρ' ἡμῶν τοῖς ἐντευξομένοις πᾶσι προκεῖσθαι, καθὰ δὴ καὶ φθάσας ἄνωθεν κοινῇ παρὰ τῆς κοινῆς τῶν Πατέρων προὐτέθη συνόδου, ἐπὶ τὸ συνεχὲς καὶ τὴν ἁρμονίαν ἀνακτέον αὖθις τὸν λόγον. Τί γοῦν ὁ ἱερὸς αὖθις τόμος; «Τοῦ ἁγίου Κυρίλλου, φησί, καὶ πάλιν γράφοντος ἐν τῷ δευτέρῳ τῶν πρὸς Ἑρμείαν διαλογικῶν, Πρὸς δὴ τούτοις ἅπασι πεποιῆσθαί φαμεν ἐξ ἐνεργείας Θεοῦ πῦρ τε τὸ καυστικόν, καὶ μὴν καὶ τὸ ὕδωρ διαψύχειν εἰδός, οἱ ταυτόν, καὶ ἀδιάφορον οὐσίαν καὶ ἐνέργειαν εἶναι λέγοντες, ἐκ τῆς τοῦ Θεοῦ οὐσίας τό τε ὕδωρ, καὶ τὸ πῦρ λέγειν ἀναγκασθήσονται. Καὶ οὕτω καὶ τῆς Ἑλλήνων πλάνης ἡ νῦν κακοδοξία χείρων καθέστηκεν, εἴπερ ἐκεῖνοι μὲν τὴν λογικὴν μόνην ψυχὴν ἐκ τῆς οὐσίας
A τοῦ Θεοῦ εἶναι ἐνόμισαν, οὗτοι δέ γε καὶ τὰ ὑλικὰ ταῦτα καὶ αἰσθητὰ σώματα.»

«Ἀλλὰ καὶ τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, εἰρηκότος, ὁ θεῖος Χρυσόστομος ἐν ὁμιλίᾳ ἑξηκοστῇ τετάρτῃ τῆς εἰς τὸ τοιοῦτον Εὐαγγέλιον ἑρμηνείας, τοῦτο διασαφῶν τὸ ῥητόν, κατὰ τὴν δύναμιν ἐνταῦθά φησιν εἰρῆσθαι αὐτό. Καὶ γὰρ περὶ ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ. Εἰ δὲ ἡ δύναμις ἡ αὐτή, εὔδηλον ὅτι καὶ ἡ οὐσία.» Καὶ μετὰ βραχέα, «Οὐδὲ γὰρ ἔστιν ἄλλην δι' ἄλλης οὔτε οὐσίαν, οὔτε δύναμιν μαθεῖν.» Καὶ πάλιν ἐν τῷ αὐτῷ Εὐαγγελίῳ τοῦ ἀποστόλου Φιλίππου εἰπόντος, *Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*, ὁ θεῖος οὗτος Χρυσόστομος ἐν τῇ αὐτῇ ὁμιλίᾳ, «Ἴδωμεν, φησί, τί
B ὁ Φίλιππος ζητεῖ ἰδεῖν· ἆρα τὴν σοφίαν τοῦ Πατρός; ἆρα τὴν ἀγαθότητα; Οὐχί, ἀλλ' αὐτὸ τί ποτέ ἐστιν ὁ Θεός, αὐτὴν τὴν οὐσίαν.» Καὶ πάλιν ὁ αὐτὸς τὸ ἀποστολικὸν ῥητὸν ἐξηγούμενος τῆς πρὸς Ῥωμαίους ἐπιστολῆς, τὸ λέγον, *Τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη*, «Φρόνημα εἶπε σαρκὸς τὴν κακίαν, φησί, καὶ φρόνημα πνεύματος τὴν χάριν τὴν διδομένην, καὶ τὴν ἐνέργειαν τὴν τῇ προαιρέσει κιρνωμένην τῇ χρηστῇ, οὐδαμοῦ περὶ ὑποστάσεως ἐνταῦθα καὶ οὐσίας διαλεγόμενος.» Καὶ αὖθις ὁ αὐτὸς Χρυσόστομος ἐν τῷ λόγῳ ᾧ ἐξηγεῖται τό, *Θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου, καὶ ὄμοσον*, τάδε κατὰ λέξιν φησί· «Λυχνία ἦν ἀληθῶς ἡ σὰρξ ἡ δεσποτική, ἡ τοῦ ἁγίου
C Πνεύματος τὰς ἐλλάμψεις ἑπταπλασίονι χάριτι δείξασα. *Ἐξελεύσεται*, γάρ φησιν Ἡσαΐας, *ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ*, ποῖον; Τὸ πολυμερὲς ταῖς ἐνεργείαις, καὶ πολὺ τῇ φύσει. Ἐπαναπαύσεται Πνεῦμα Θεοῦ. Ἐνταῦθα τὴν οὐσίαν ἑρμηνεύει. Τὸ δὲ ἐπαγόμενον τὰς ἐνεργείας τοῦ Πνεύματος λέγει, Πνεῦμα Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ, τὰς ἑπτὰ χάριτας τοῦ ἁγίου Πνεύματος τὰς ἐπαναπαυσαμένας τῷ σώματι τῷ δεσποτικῷ, ἐκείνας σχηματίζει ἐν τύπῳ ἑπταλύχνῳ.» Καὶ πάλιν ὁ αὐτὸς θεῖος Χρυσόστομος, ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ, «Οὐ πάντα, φησί, τὰ χαρίσματα λαμβάνει τις,
D ἵνα μή τις τὴν χάριν φύσιν εἶναι νομίσῃ.»

Ἤκουσας, ὦ φιλόσοφε, διαφορὰν οὐσίας θείας, καὶ δυνάμεώς τε καὶ ἐνεργείας, οὐ κάτωθεν καὶ ἀπὸ γῆς, ἀλλ' ἐξ αὐτῶν τῶν οὐρανῶν ἄντικρυς, δι' εὐαγγελιστῶν τε καὶ ἀποστόλων, καὶ τῶν τούτους ἐξηγουμένων ἱερῶν Πατέρων καὶ θεολόγων, ἐξαίσιόν τι καὶ λαμπρὸν ἀστράπτουσαν, καὶ δᾳδουχοῦσαν πᾶσαν ὁμοῦ τὴν Χριστοῦ Ἐκκλησίαν, ὡς ἐξ ἀνατολῶν εἰς δυσμὰς διαδίδοσθαι τὰς ὑπερφυεῖς καὶ ταύτης ἀκτῖνας, οὐδὲν ἀλαμπές τε καὶ σκοτεινόν, οὐδὲ σκολιόν τι καὶ στραγγαλιῶδες καὶ γρῖφον ἐν ἑαυτῇ φέρουσαν, ἀλλὰ πάντα προτιθεῖσαν εὐθέα τοῖς νοοῦσι κατὰ τὸν παροιμιακόν φημι λόγον, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι χάριν; Καὶ εἰ πρὸς τὴν ἀστραπὴν ταυτηνί, μᾶλλον δὲ τὸν ἱερὸν ἂν εἴποιμι τῆς θεολο-

Digitized by Google

γίας ἥλιον, ἀντιβλέπειν τε καὶ ἀντιλέγειν ἴσχυες A ὅλως, διατί μὴ κατὰ πρόσωπον ἀσκαρδαμυκτὶ πρὸς τὰς λαμπρὰς ἐκείνας καὶ ὑπερκοσμίους ἔστης ἀκτῖνας, καθὰ δὴ καὶ τοὺς ἀετοὺς τούτους φασὶ ταῖς ἡλιακαῖς ἀκτῖσι τὰ τέκνα προσάγειν, καὶ οὕτω τῶν γνησίων διακρίνειν τὰ νόθα, ἀλλὰ πρὸς μὲν ἐκεῖνα γλαυκὸς ὀφθαλμοὺς ἢ νυκτερίδος ἄντικρυς φέρεις, πρὸς δὲ τοὺς παρηλίους, ἢ καὶ τὴν τῆς σελήνης παραβλέπων, οἰκειότερον εἰπεῖν μᾶλλον, ἢ βλέπων, ἀχλύν τινα, καὶ σκότος, καὶ βαθεῖαν ὁμίχλην καταψεύδεσθαι τολμᾷς τοῦ νοητοῦ ἐκείνου ἡλίου, τὰ τῆς σῆς δηλαδὴ ψυχῆς τε καὶ διανοίας ἀλλόκοτα πάθη, ὑφ' ὧν ἐλαυνόμενος ὡς μὴ ὤφελες κάκιστα, καὶ ἐν νυκτὶ πονηρὰν ἐσχηκὼς ἐλπίδα κατὰ τὸν μακάριον εἰπεῖν Ἡσαΐαν, καὶ τῷ ψεύδει κατὰ τὸν αὐτὸν αὖθις εἰρηκὼς, B καὶ αὐτὸς σκεπασθήσεσθαι, τὰς καταγελάστους ἐκείνας ἐνστάσεις, καὶ τὰ τῶν συλλογισμῶν εἴδωλα, καὶ τὰς κοινὰς τῶν θεολόγων παρεξηγήσεις, καὶ τὴν διάκενον ἔριν, καὶ τὴν ἀδολεσχίαν συνείρεις, τὸ ἐξ ἄμμου πλέκων σχοινίον, καὶ τῆς σκιᾶς κατατρέχων τῆς σῆς, καὶ καινόν τι παράδειγμα καὶ συμφορὰν ἄντικρυς τῇ τῶν πιστῶν Ἐκκλησίᾳ παρεισάγων τὰ σὰ, πρὸς ἃ καὶ παιδίον ἠρυθρίασεν ἄν;

Ἀλλὰ πρὸς μὲν ἐκεῖνα, καθὰ προὔφην, ὕστερον Θεοῦ δηλαδὴ λόγον διδόντος κατὰ μέρος ἐροῦμεν· νῦν δὲ ἐπὶ τὴν ἀκολουθίαν, καὶ τὸν ὅρον τῆς εὐσεβείας στρεπτέον ἡμῖν αὖθις τὸν λόγον, καὶ τὰ λείποντα τοῖς φθάσασι προσθετέον. Οὐδὲ γὰρ ὅσιον ὅλως οὐδὲ λυσιτελὲς, ἐκείνων πρὸ τοῦ τέλους ἀποσχέσθαι τῶν λόγων.

C Ἀνάγνωθι τοιγαροῦν. Ἀλλὰ καὶ τοῦ ἁγίου μάρτυρος καὶ φιλοσόφου, φησὶν, Ἰουστίνου γράφοντος, ὡς ἄρα τοῦ Θεοῦ ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀποῤῥίπτων οὐσίας τε καὶ βουλῆς τὴν διαφορὰν, καὶ τὴν ὕπαρξιν ἀποῤῥίπτει τοῦ Θεοῦ, καὶ τὴν ποίησιν, οὐ φανερῶς οἱ τὴν διαφορὰν ἀθετοῦντες οὗτοι, καὶ τὸν Θεὸν ἀρνούμενοι, καὶ τὸ αὐτόματον δοξάζοντες δείκνυνται; Κατὰ γὰρ τὸν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην ἐνέργειά ἐστι καὶ ἡ βούλησις, ὡς ἐν τῷ περὶ ἐνεργείας τριακοστῷ ἕκτῳ τῶν δογματικῶν κεφαλαίων διασαφεῖ. Εἰπὼν γὰρ πρότερον περί τε ἄλλων, καὶ δὴ καὶ βουλήσεως ἀνθρωπίνης τε καὶ θείας, ἐπάγει εὐθὺς ἐν τῇ ἀρχῇ τοῦ ἐφεξῆς κεφαλαίου ἐπὶ λέξεως οὕτω· « Χρὴ γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ προει- D ρημέναι, αἵ τε γνωστικαὶ, αἵ τε ζωτικαὶ καὶ φυσικαὶ καὶ τεχνικαὶ, ἐνέργειαι λέγονται. Ἐνέργεια γάρ ἐστιν ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε, καὶ κίνησις, ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν. »

Τούτων τοίνυν οὕτω πάνυ τοι σαφῶς διευκρινηθέντων, καὶ τῆς διαφορᾶς μάλ' ἐναργῶς καὶ ὡς οὐκ ἄλλως ἐνῆν ἀποδεδειγμένης, οὐκ ἐν πειθοῖ ἀνθρωπίνης σοφίας, κατὰ τὸν θεσπέσιον Παῦλον, ἀλλ' ἐν διδακτοῖς Πνεύματος ἁγίου, ταῖς τῶν Πατέρων δήπου θεοπνεύστοις θεολογίαις ἡ θεία σύνοδος, Ἔδει τοὺς καὶ ὁπωστινοσοῦν, ἔφη, περὶ τούτου διαφέρεσθαι πειραθέντας, νῦν γοῦν εἰ καὶ μὴ πρότερον, τὴν τῆς φιλονεικίας νόσον, τῆς ἑαυτῶν διανοίας εὐσεβῶς ἐξεληλακέναι, καὶ τοῖς κοινοῖς ἡμῶν καθηγεμόσι καὶ διδασκάλοις τῆς εὐσεβείας εὖ μάλα προθύμως ἐθελῆσαι πεισθῆναι, σάλπιγγος ἁπάσης περὶ διαφορᾶς οὐσίας καὶ ἐνεργείας, μονονουχὶ λαμπροτέρας φωνὰς ἀφιεῖσι, καὶ μηδέν τι μηδόλως ἐπιχειρεῖν αὐτοῖς ἀντιβαίνειν, καὶ πειρᾶσθαι πολυπραγμονεῖν περαιτέρω, τίς ἡ ἐνέργεια, καὶ ποταπὴ ἡ διαφορὰ, καὶ πῶς ἂν γένοιτο αὕτη· οὐ γὰρ, ὡς ἔοικε, τοῦ Χρυσοστόμου Πατρὸς ἀκηκόασιν, ἐν οἷς τὸ κατὰ Ἰωάννην θεῖον Εὐαγγέλιον ἐξηγεῖται, διδάσκοντος, ἀνερμήνευτον, καὶ ἀπερινόητον, καὶ ὑπὲρ τοὺς τῆς φύσεως νόμους, τὴν θείαν ἐνέργειαν εἶναι.

« Εἰ γὰρ τούτου, φησὶ, τοῦ Πνεύματος, οὗ τὴν αἴσθησιν δέχῃ τῇ ἀκοῇ καὶ τῇ ἁφῇ, ἑρμηνεῦσαι οὐκ οἶδας οὐδὲ τὴν ὁδὸν, πῶς τὴν ἀπὸ τοῦ θείου Πνεύματος ἐνέργειαν περιεργάζῃ, τὴν τοῦ ἀνέμου οὐκ ἐπιστάμενος, καίτοι φωνὴν ἀκούων; Τὸ δὲ, Ὅπου θέλει πνεῖ, πρὸς παράστασιν τῆς τοῦ Παρακλήτου εἴρηται ἐξουσίας. Εἰ γὰρ τοῦτο οὐδεὶς κατέχει, ἀλλ' ὅπου θέλει φέρεται, πολλῷ μᾶλλον τὴν τοῦ Πνεύματος ἐνέργειαν οὐ φύσεως δυνήσονται νόμοι κατασχεῖν, οὐχ ὅροι σωματικῆς γεννήσεως, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. »

Οὐδέ γε τοῦ μεγάλου Βασιλείου, Εὐνομίῳ ἀντιλέγοντος, καὶ θεολογοῦντος, ὡς ἄρα εἰ μέλλοιμεν ἅπαντα τῇ καταλήψει μετρεῖν, καὶ τὸ τοῖς λογισμοῖς ἀπερίληπτον μηδὲ εἶναι τὸ παράπαν ὑπολαμβάνειν, οἰχήσεται μὲν ὁ τῆς πίστεως, οἰχήσεται δὲ ὁ τῆς ἐλπίδος μισθός. Πῶς δ' ἂν εἴημεν ἔτι τῶν μακαρισμῶν ἄξιοι τῶν ἐπὶ τῇ πίστει τῶν ἀοράτων ἀποκειμένων, οἱ μόνοις τοῖς κατὰ λογισμὸν ἐναργέσι πειθόμενοι; *Πόθεν ἐματαιώθησαν τὰ ἔθνη, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία;* Οὐκ ἐπειδὴ τοῖς τῶν λογισμῶν φαινομένοις ἀκολουθοῦντες, τῷ κηρύγματι τοῦ Πνεύματος ἀπειθοῦσι; Τίνας δὲ Ἡσαΐας ἀπολωλότας ὀδύρεται; *Οὐαὶ οἱ σοφοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.* Οὐ τοὺς τοιούτους; Καὶ μετά τινα πάλιν ὁ τόμος, Φέρε νῦν ἡμεῖς, φησὶ, τῷ παρὰ τῶν Πατέρων πρεσβευομένῳ Θεῷ θαῤῥήσαντες, περί τε ἑνώσεως καὶ διακρίσεως τρόπου θείας οὐσίας καὶ ἐνεργείας βραχέ' ἄττα πειραθῶμεν διεξιέναι, οὐκ οἴκοθεν λογισμοὺς ἐξευρίσκειν ἐπιχειροῦντες, εἰς συνηγορίαν τινὰ τῶν ὑπ' αὐτῶν εὐσεβῶς πάλαι τεθεολογημένων, ἀλλ' ὅνπερ ἁπανταχοῦ τηρεῖν ἐσπουδάκαμεν νόμον, τὰ τῆς Ἐκκλησίας δόγματα διὰ τῶν διδασκάλων τῆς Ἐκκλησίας πιστοῦσθαι, καὶ μηδαμοῦ παρ' ἑαυτῶν προστιθέναι, ἢ ἀφαιρεῖν τῶν τούτοις δογματισθέντων, τούτῳ δὴ κεχρημένοι κἀνταῦθα, τὴν θείαν ἐνέργειαν ἐκ τῆς θείας οὐσίας εἶναι διαῤῥήδην βοώντων ἀκηκοότες, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ καὶ ταύτην εἶναι νομίζομεν, καθάπερ τοῖς διαφερομένοις σὺν πολλοῖς ἑτέροις ἀτόποις καὶ τοῦτο δοκεῖ. Τὸ μὲν γὰρ ἐκ τοῦ Θεοῦ κἀπὶ τῶν κτισμάτων εἴρηται· τὸ δ' ἐκ τῆς οὐσίας τοῦ Θεοῦ ἐπ' οὐδενὸς εἴρηταί ποτε τῶν ποιημάτων, μάλιστα μὲν οὖν καὶ ἀπείρηται παντελῶς τοῦτό γε τοῖς ἁγίοις. Ὅ τε γὰρ μέγας Βασίλειος, Τὸ ποιούμενον, φησὶν, οὐκ ἐκ τῆς οὐσίας τοῦ ποιοῦντός ἐστι· καὶ ὁ θεῖος Δαμασκηνὸς, Ἡ κτίσις εἰ καὶ μετὰ ταῦτα γέγονεν, ἀλλ' οὐκ ἐκ

Digitized by Google

τῆς τοῦ Θεοῦ οὐσίας. Καὶ πάλιν, Κτίσις δὲ καὶ ποίησις τὸ ἔξωθεν, καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος καὶ ποιοῦντος γενέσθαι, τὸ κτιζόμενον καὶ ποιούμενον, ἀνόμοιον παντελῶς.

Οὐ μὴν ἀλλ' οὐδ' ὡς ἔξω τῆς θείας οὐσίας αὐτὴν ἐκ τῆς θείας οὐσίας ὑπειλήφαμεν εἶναι, ὥς που καὶ τοῦτο ληρεῖν, οὐ τοσοῦτον ἀσεβῶς, ὅσον ἀμαθῶς, τοῖς δι' ἐναντίας ἐπῆλθε, μή ποτέ τις οὕτω φρενῶν ἐκσταίη, ἀλλ' οὐσιώδη καὶ φυσικὴν ταύτην τοῦ Θεοῦ κίνησιν οὖσαν κατὰ τοὺς θεολόγους εἰδότες, ὡς ἐκ πηγῆς ἀεννάου φαμὲν τῆς θείας οὐσίας προέρχεσθαί τε καὶ πηγάζειν, καὶ ταύτης χωρὶς οὐδέποτε θεωρεῖσθαι, ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεὶ διαμένειν, ἐξ ἀϊδίου τε τῇ θείᾳ συνυπάρχειν οὐσίᾳ, καὶ ἀχωρίστως ἡνωμένην εἶναι, μήτ' αἰῶνι, μήτε χρονικῷ, ἢ τοπικῷ τινι διαστήματι διαιρεῖσθαι τῆς θείας οὐσίας ποτὲ δυναμένην, ἀλλ' ἀχρόνως, καὶ προαιωνίως, ἐξ αὐτῆς τε προϊοῦσαν, καὶ ἀδιασπάστως αὐτῇ συνοῦσαν. Ὁ γὰρ μέγας Ἀθανάσιος, Ὅταν δὲ, φησὶ, τὰ πάντα ἐνεργῆται ὑπὸ τοῦ Θεοῦ διὰ Χριστοῦ ἐν ἁγίῳ Πνεύματι, ἀχώριστον ὁρῶ ἐνέργειαν τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ ὁ ἐν ἁγίοις θεῖος Ἀναστάσιος, οὗ καὶ ἡ ἁγία οἰκουμενικὴ σύνοδος μεμνημένη, μέγαν τοῦτον προσείρηκεν, ἐν τῷ περὶ ἀπεριγράπτου δευτέρῳ λόγῳ αὐτοῦ, Ἴδωμεν, φησὶν, οἷα λέγειν περὶ Θεοῦ ἀνέχονται οἱ αἱρετικοί. Τῇ ἐνεργείᾳ, φησὶν, ἐν πᾶσίν ἐστιν ὁ Θεός· τῇ οὐσίᾳ δὲ οὐδαμοῦ, ἐνέργειαν λέγοντες τὸ προϊὸν ἐκ τῆς ἐνεργείας ἀποτέλεσμα. Φαίην δ' ἂν ἔγωγε, τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ. Καὶ μετά τινα, Ἔνθα ἂν ἡ ἐνέργεια φάναι, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία, ἐξ ἧς προέρχεται. Ἑκάτερον γὰρ ἀπερίγραπτον, καὶ διὰ τοῦτο παντελῶς ἀλλήλων ἐστὶν ἀχώριστα. Κηρύττει μὲν γὰρ ἡ ἐνέργεια τὴν λανθάνουσαν οὐσίαν, θεωρεῖται δὲ συμπαροῦσα τῇ ἐνεργείᾳ, χωρὶς αὐτῆς εἶναι μὴ δυναμένη. Καὶ αὖθις· Περὶ τὸ πᾶν ἐστιν ἡ ἐνέργεια, ταύτης δὲ ἀχώριστος ἡ οὐσία καθέστηκεν. Ἀλλὰ μὴν, ὥσπερ τὴν ἕνωσιν θείαν καὶ ἀΐδιον, οὐ μόνον τῷ ἀχωρίστῳ, ἀλλ' ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ τῇ καινότητι τοῦ ἀκτίστου καὶ ἀπεριγράπτου κατὰ τὴν τῶν ἁγίων θεολογίαν κηρύττομεν, οὕτω καὶ τὴν διάκρισιν καὶ διαφορὰν, κατ' αὐτοὺς πάλιν, θεοπρεπῆ καὶ ταύτην δοξάζειν ἐγνώκειμεν, οὐκ εἰς παντελῆ διασπασμὸν ἐντεῦθεν αὐτὰ καὶ διαίρεσιν κατασπῶντες, οὐδέ τινα ἔκφυλον τὴν διαφορὰν ταύτην καὶ φυσικὴν ἀλλοτρίωσιν ἐννοοῦντες, ἢ διαστήμασι χωρίζοντες ἀλλήλων ταῦτα, ἄπαγε! ἀλλ' οἵαν ἐπιδέχεσθαι τὰ κατὰ φύσιν αἴτια καὶ αἰτιατὰ μεμυήμεθα παρὰ τῶν ἁγίων, μόνῳ τῷ λογισμῷ θεοπρεπῶς διακρίνοντες τὰ φύσει ἡνωμένα καὶ ἀδιαίρετα. Ἀθανάσιος γὰρ ὁ μέγας ἐν τῷ κατὰ Ἀρειανῶν πέμπτῳ λόγῳ αὐτοῦ ἄλλο φησὶν εἶναι τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐστι, κατὰ τοῦτο ἄρα δύο. Εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ αἴτιον καὶ αἰτιατὸν, γεννῶν καὶ γεννώμενον, ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται. Οὐκοῦν καὶ τῆς ἐνεργείας ἐκ τῆς οὐσίας εἶναι κατὰ τοὺς θεολόγους ἅπαντας πεπιστευμένης, τό τε ἄλλο

A καὶ ἄλλο εἶναι, καὶ δύο εἶναι, κἀντεῦθεν διεγνωκέναι ἀλλήλων ἐνεργῶς ἀναπέφηνε, κατὰ τὸ ἐξ οὗ, καὶ ἔκ τινο[ς], τὸ αἴτιον δηλαδὴ καὶ τὸ αἰτιατὸν, ὡς ὁ πολὺς οὗτος τὰ θεῖα διδάσκει θεολογῶν. Καὶ μετά τινα· Ἔστω δὲ, φησὶ, παράδειγμα ἀνθρώπινον, τὸ πῦρ καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, δύο μὲν τῷ εἶναι καὶ ὁρᾶσθαι, ἓν δὲ τῷ ἐξ αὐτοῦ καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ. Ὥσπερ τοίνυν ἐπὶ τοῦ πυρὸς, καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς, τοῦ μὲν φύσεως καὶ αἰτίου ὄντος, τοῦ δὲ φυσικοῦ καὶ αἰτιατοῦ, τό τε ἓν διὰ τὸ ἀχώριστον καὶ τὸ διάφορον αὖθις, διὰ τὸ αἴτιον καὶ αἰτιατὸν εἴρηκεν, οὕτω κἀπὶ τῆς θείας φύσεως, καὶ τῆς ἐξ αὐτῆς ἐνεργείας, τὸ ἓν καὶ τὸ διάφορον ἡμῖν ἐκληπτέον, τὸ μὲν κατὰ τὸ ἡνωμένον
B καὶ ἀδιαίρετον, τὸ δὲ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ δὴ τοῦ αἰτίου. Οὔτε γὰρ τὸ ἓν τὴν διαφορὰν ἀπελαύνει, οὔτε μὴν ὅλως ἡ διαφορὰ τὸ ἓν ἀνατρέπει. Ἀλλ' ἑκάτερον κατὰ τοὺς ἁγίους εὐσεβῶς θεωρούμενον, οὐδ' ὁτιοῦν ὑπὸ θατέρου παραβλαβῆναι δυνήσεται. Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος τὴν ἐν τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς διαφορὰν εὖ μάλα εἰδὼς ἀληθείας ἐξεχομένην, καὶ μηδ' ὁπωσοῦν τῷ κατὰ τὴν φύσιν ἀδιαφόρῳ λυμαινομένην, Ἀβλαβίῳ γράφων, Τὸ ἀπαράλλακτον, ἔφη, τῆς φύσεως ὁμολογοῦντες, καὶ τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον ἐκ τοῦ ἑτέρου καταλαμβάνομεν, ἐν τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου.

Ὁ δέ γε ἀδελφὸς αὐτοῦ, καὶ μέγας ὄντως Βασί-
C λειος τοσαύτην φαίνεται ἀπαξαπλῶς τοῖς αἰτίοις τούτοις καὶ αἰτιατοῖς τὴν διαφορὰν παρέχων, ὡς καὶ τάξιν ἐκ φυσικῆς ἀκολουθίας ἐπ' αὐτὴν δογματίζειν, καὶ τὸ πρότερον, καὶ τὸ δεύτερον ἐπί τε τοῦ αἰτίου καὶ αἰτιατοῦ λέγειν οὑτωσὶ διαῤῥήδην, καὶ τῶν ἀτόπων καὶ παραλόγων εἶναι νομίζειν τὸ μὴ ὁμολογεῖν, ἀλλὰ ἀρνεῖσθαι ταῦτα πειρᾶσθαι. Καὶ ἢ μὴ συνιδεῖν τὴν διαφορὰν ταύτην τὸν Εὐνόμιον ἔφη, ἢ καὶ ἀποκρύψασθαι ταύτην ἑκόντα γράφων. Ἐκεῖνο δὲ, ἢ οὐ σύνοιδεν ὁ Εὐνόμιος, ἢ ἑκὼν ἀπεκρύψατο, ὅτι ἐστί τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θεωρίας συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ. Ἐν τούτῳ γὰρ πρότερον τὸ αἴτιον λέγομεν,
D δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ, τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον, καὶ δεύτερον οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Πάρεστι τοίνυν ἅπασιν ἀκριβῶς συνιδεῖν ἐκ τούτων τοῖς καὶ ὁπωσοῦν λογίζεσθαι δυναμένοις, ὅπως τὸν ἴσον τρόπον ἀληθείας ὁμοῦ καὶ εὐσεβείας ἐμέλησε τῷ ἁγίῳ. Τῷ μὲν γὰρ οὐκ ἐκ τῆς παρ' ἡμῶν θεωρίας συνίστασθαι φάναι, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαίνειν, ἐξ ἀφύκτου, καὶ πολλῆς καὶ φυσικῆς ἀνάγκης, καὶ λαμπρᾶς ἀληθείας ἔδειξεν οὖσαν τὴν ἐν τῇ τάξει ταύτῃ διαφορὰν τῶν αἰτιατῶν τε καὶ τῶν αἰτίων, καὶ ἄλλως ἔχειν μηδέποτε ἐγχωροῦσαν, ἀλλ' ἀεὶ τούτοις ἀναγκαίως αὐτὴν ἐνθεωρουμένην τῷ δὲ

Digitized by Google

μὴ διαστήματι, ἀλλὰ τῷ λογισμῷ χωρίζειν ταῦτα ἐπενεγκεῖν, καὶ τὴν ἐν τῷ προτέρῳ καὶ δευτέρῳ διαφορὰν μόνῳ τῷ νῷ θεωρεῖν, φαίνεται δήπου τὸ τῆς ἑνώσεως χρῆμα σφόδρα εὐσεβῶς κατησφαλισμένος, καὶ μηδὲ μίαν εἰς αὐτὴν ἐκ τῆς διακρίσεως ταύτης βλάβην εἰσάγων, ἀλλ' αὐτήν τε τὴν ἕνωσιν ἀσύγχυτον εἶναι θεολογῶν, καὶ τὴν διαφορὰν ἀδιαίρετον πάντη διδάσκων. Πάλιν τοίνυν Εὐνομίου τὴν τοιαύτην διαφορὰν παντάπασιν ἀνελεῖν πειρωμένου, ὁ μέγας οὗτος, Πῶς, φησὶν, οὐδεμίαν διαφορὰν καταλείπεις, οὐδὲ τὴν ἐν τοῖς αἰτίοις πρὸς τὴν ἐξ αὐτῶν ἐνυπάρχουσαν; Οὕτω τὸ μηδὲ μίαν διαφορὰν ἐπὶ τῶν αἰτίων καὶ αἰτιατῶν εἶναι δοξάζειν τῆς Ἀρείου καὶ Εὐνομίου πρόδηλός ἐστι τόκος. Ἐκεῖνοι γὰρ τὸ ὁμοούσιον ἀναιρεῖν πᾶσι τρόποις ἐσπουδακότες, ἀκηκοότες ἐν Εὐαγγελίοις τοῦ Κυρίου τὸν Πατέρα μείζονα ἑαυτοῦ εἰρηκότος, καὶ ταύτην πάντως διαφορὰν ἐννοεῖν δεδωκότος, ἐντεῦθεν εὐθὺς τὴν μὲν κατὰ φύσιν διαφορὰν δυσσεβῶς παρεισάγειν ἐτόλμων, τὴν δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν, ὡς μηδὲ μίαν μηδαμοῦ φυσικὴν ἀλλοτρίωσιν ἢ διαίρεσιν δυναμένην εἰσάγειν εἰδότες, ἀλλὰ καὶ οὕτω τὴν τῆς φύσεως ἕνωσιν ἀδιάλυτον ἀεὶ συντηροῦσαν ἀπηρνοῦντο καθάπαξ. Πρὸς οὓς οἱ τρεῖς οὗτοι τὸν ὑπὲρ τῆς Τριάδος ἀνελόμενοι γενναίως ἀγῶνα, ὡς ἐκείνων τὴν δυσσέβειαν ταύτην οὖσαν, καὶ τὸ μέγα καὶ ὑπερφυὲς τῆς Τριάδος μυστήριον ἀναιροῦσαν, τῆς ἡμετέρας αὐτὴν Ἐκκλησίας ἀπελαύνουσιν ὡς δυνατὸν πορρωτάτω. Τοιγαροῦν εἰκότως οἱ μὲν τὴν διαφορὰν ταύτην ἀθετοῦντες νῦν τῆς ἐκείνων κακοδοξίας ἁλίσκονται μετεσχηκότες, οἱ δὲ στέργειν τε καὶ ἀσπάζεσθαι προθύμως ὁμολογοῦντες τῆς τῶν ἁγίων τούτων εὐσεβείας τε καὶ θεολογίας, μᾶλλον δὲ τῆς τοῦ Χριστοῦ μερίδος διατελοῦσιν ὄντες, ἡνωμένως κατ' αὐτοὺς τὰ θεῖα διακρίνοντες, καὶ διακεκριμένως ταῦτα ἑνοῦντες.

Ἓν μὲν δὴ καὶ πρῶτον, καὶ κυρίως ἂν τις φαίη τῆς τε θείας οὐσίας καὶ ἐνεργείας διακρίσεως εἶδος, διενηνόχασι δ' ἀλλήλων καὶ τῷ τὴν μὲν θείαν ἐνέργειαν μετέχεσθαι, καὶ μερίζεσθαι ἀμερίστως, καὶ ὀνομάζεσθαι, καὶ νοεῖσθαί πως, εἰ καὶ ἀμυδρῶς ἐκ τῶν αὐτῆς ἀποτελεσμάτων, τὴν γε μὴν οὐσίαν ἀμέθεκτον, καὶ ἀμέριστον καὶ ἀνώνυμον εἶναι, ὡς ὑπερώνυμον δηλονότι καὶ ἀπερινόητον παντελῶς.

Τοσαῦτα καὶ τηλικαῦτα περὶ διακρίσεως οὐσίας Θεοῦ καὶ ἐνεργείας ὁ τῶν Πατέρων συνοδικὸς τόμος, πλείονα μὲν ἢ κατὰ τόμον τῷ μέτρῳ, οὕτω δ' ἰσχυρά τε καὶ ἀναντίῤῥητα, ὡς μηδὲ προσθήκης ἡστινοσοῦν, μηδ' ἐξεργασίας ἑτέρας καὶ ἐξηγήσεως δεῖσθαι. Ἀλλ' ὁ Γρηγορᾶς, καίτοι γε τὴν ἀντιλογίαν καὶ τοὺς ἐλέγχους, ὡς αὐτὸς ἐκεῖνός φησι, πρὸς τὴν οἰκείαν ὑποσχόμενος συμμορίαν, καὶ αὐτῷ μάλα προσήκειν εἰπὼν τὴν τῆς εὐσεβείας ἀντίθεσιν καὶ τοὺς κατ' αὐτῆς ἀντιῤῥητικοὺς λόγους, οὐκ οἶδ' ὅ τι παθὼν, ἐξ ἀφετηρίας εὐθὺς ἀθετεῖ τὰς ὑποσχέσεις, καὶ τῶν συνθηκῶν καταψεύδεται προφανῶς. Τοσαῦτα καὶ γὰρ τῶν ἱερῶν θεολόγων ἐν Πνεύματι φιλοσοφησάντων περὶ τοῦ προκειμένου,

A ὡς καὶ δὶς κατὰ ταυτὸ, καὶ τρὶς περὶ τῶν θεολογῆσαι τούτων τινὰς, τοσαῦτα δὲ καὶ τῆς ἱερᾶς ἐκεξεργασαμένης τε καὶ θεολογησάσης συνόδου, ὁ δὲ καθάπερ ἐκκεκωφωμένος, ἢ καὶ καθεύδων πρὸς πάντα σχεδὸν, τῆς ἀρχῆς μόνης ἀπογεύεται, καὶ τοῦ τέλους τῶν θεολογικῶν λόγων· οὐχ ὥστε τι τῶν προσηκόντων εἰπεῖν, ἢ ἀντειπεῖν, ὡς αὐτός φησι τέως, ἦν γὰρ ἄν τι κἀκεῖνο, ἀλλ' ὥστε συκοφαντῆσαι, καὶ καταψεύσασθαι, καὶ ὑβρίσαι μόνον συνήθως, πρῶτα μὲν τὴν σύνοδον καὶ τὸν ἱερὸν ὅρον ἐκεῖνον, ἔπειτα δὲ καὶ τοὺς κοινοὺς Πατέρας καὶ θεολόγους τῆς Ἐκκλησίας, καθὰ δὴ καὶ προϊὼν ὁ λόγος κατὰ μέρος δηλώσει.

Εἰπὲ γοῦν, ὦ φιλόσοφε· προσερήσομαι καὶ γὰρ B ἀναγκαίως· πόθεν τὸν καινὸν τῆς διαλέξεως τουτονὶ τρόπον αὐτός τε μαθὼν ἔχεις, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ παρεισενεγκών; Τίνας τῶν ἱερῶν θεολόγων ἐν τοῖς ἀντιῤῥητικοῖς ἐμιμήσω τούτοις; καίτοι γε, καὶ πολλῶν καὶ μεγάλων ὄντων, τῶν μὲν μετὰ τοὺς ἀποστόλους εὐθὺς, τῶν δὲ χρόνοις ὕστερον, τῶν αἱρέσεων ἐκείνων, καὶ τῶν πολεμίων ἀκμασάντων τῶν κατὰ τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας. Εἰ δὲ τούτοις οὐκ ἠβουλήθης ἀκολουθῆσαι, καθάπερ ἔδει, ἀλλὰ τούς γε σοὺς φιλοσόφους καὶ διδασκάλους, καθηγεμόνας καὶ ὁδηγοὺς, ἔδει σε κἂν τούτοις λαβεῖν τέως διαλέξεως τρόπους, καὶ λόγων ἀντιῤῥητικῶν ἰδέαν παρ' αὐτῶν παιδευθῆναι, καὶ οὕτω γράφειν τε καὶ λέγειν, καθ' ὧν ἐπεχείρησας λέγειν. Ἐκεῖνοι καὶ γὰρ, ὡς οἶσθα, πάντες σχεδὸν C ἀντειπόντες ἀλλήλοις, καὶ τὰς ἀλλήλων περὶ τῶν ὄντων ἀνατετραφότες δόξας, καὶ τελευτῶν Ἀριστοτέλης τοῖς πᾶσιν ὡς εἰπεῖν ἐν τοῖς πλείοσιν ἀντειπὼν ὁμοῦ, οὐδαμοῦ τῷ σῷ κεχρημένοι φαίνονται τρόπῳ, καὶ τῇ τῶν λόγων ἰδέᾳ, οὐδὲ ἐγγύς. Πῶς γάρ; τοῦ τῶν μὲν ζητουμένων, καὶ τῶν κεφαλαίων ὁμοῦ τῆς ὑποθέσεως τοσούτων καὶ τηλικούτων ὄντων, μηδ' ἐπιστρεφομένου, μηδὲ λόγον ὑπὲρ ἐκείνων τινὰ διδόντος, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν εἴρητο, τῶν δὲ προοιμίων τε καὶ τῶν ἐπῳδῶν τῶν θεολογικῶν ἐκείνων λόγων, ὅπερ ἔφην, ἄκροις δακτύλοις ὥσπερ παραπτομένου, οὐχ ἵν' εἴπῃς τι τῶν δεόντων, ἀλλ' ἵν' ὑβρίσῃς ἀκρατῶς, καὶ συκοφαντήσῃς, καὶ καταψεύσῃ τῆς ἀληθείας, καὶ τοῦτο πόῤῥω καθ' D ὑπερβολὴν, καὶ ἀναξίως τῶν σῶν φιλοσόφων καὶ διδασκάλων.

Εἰ δὲ λέγοις, ὡς οὐκ ἔσχες εὑρεῖν ὅλον ὁμοῦ τὸν συνοδικὸν τόμον, ἀλλὰ τὰς βραχείας ἐκείνας λέξεις πρὸς τοῦ σοῦ δεδεγμένος Ἀγαθαγγέλου, πρὸς μόνας ἐκείνας ἐξ ἀνάγκης καὶ αὐτὸς λέγειν ἐγνώκεις, πρῶτον μὲν οὐδὲ ἀληθὲς, ἀλλὰ πλάσμα, καὶ σκηνὴν, καὶ ψεῦδος προλαβὼν ὁ λόγος ἔδειξε τοῦτο. Εἰ δὲ καὶ ἀληθὴς καθ' ὑπόθεσιν ἦν ὁ σὸς οὑτοσὶ λόγος, οὐδὲν πρὸς τὸν λόγον. Ἔδει σε γὰρ καὶ τὸ πλέον, μᾶλλον δὲ καὶ τὸ πᾶν ἅμα ζητεῖν, καὶ οὕτως ἀντιλέγειν τοῖς κατὰ μέρος, καὶ λέγειν, καὶ γράφειν, καὶ μὴ ψεύδεσθαι προφανῶς οὕτω καὶ κατὰ σαυτοῦ, καὶ τῆς προστησαμένης σε σῆς φατρίας περιτρέπειν τὸν λόγον, καὶ τὴν ὑπόθεσιν αἴσχιστα διαφθείρειν.

Ἀλλὰ τί ταῦτα δεῖ λέγειν, καὶ τὸ εἰκὸς ἀπαιτεῖν

Digitized by Google

καὶ λογίζεσθαι; Σὺ γὰρ καὶ τὸν συνοδικὸν αὐτὸν ἐκεῖνον τόμον αἰτήσας καὶ λαβὼν, ἔσχες ἐφ' ὅσον ἐβούλου τότε. Καὶ μάρτυς ὁ δεδωκὼς οὑτοσὶ κράτιστος βασιλεὺς, ὁ τὴν ἱερὰν συγκροτήσας ἐκείνην σύνοδον, καὶ προστὰς εὐσεβῶς τοῦ τῆς πίστεως ὀρθοῦ λόγου, καὶ πρὸ τῶν ἄλλων οἰκείᾳ χειρὶ καὶ γράμμασι βασιλικοῖς τὸν ἱερὸν ὑποσημηνάμενος ὅρον. Καὶ οὐδὲ τοῦτον τὸν μέγαν ᾐδέσθης παρόντα, καὶ πολλοὺς καὶ καλοὺς κεκτημένον τοὺς συνειδότας, ζῶντας ἔτι καὶ περιόντας. Οὕτω, φιλόσοφε, φιλοσοφίας τε καὶ ἀληθείας θαυμαστῶς φροντίζεις ἐν ἅπασιν.

Οὗτος μὲν οὖν τὸν ἱερὸν τουτονὶ τῆς συνόδου A δεξάμενος τηνικαῦτα τόμον, ὡς ἔφην, παρὰ τοῦ θαυμαστοῦ βασιλέως, καὶ μηδὲ ἀντιβλέψαι, μηδὲ στῆναι πρὸς τὴν ὑπερφυᾶ τῆς ἀληθείας ἐκείνην ἰσχὺν ἔχων, πρὸς τὴν σκιὰν ἐκείνης, καὶ τὰ ἀπηχήματα λέγειν δῆθεν ἐπιχειρεῖ τὰ μηδενὸς ἄξια λόγου, μᾶλλον δὲ τὰς κατὰ τῶν ἁγίων, καὶ αὐτοῦ δὲ τοῦ παρ' ἐκείνων θεολογουμένου Θεοῦ βλασφημίας συνείρων, σπερμολογῶν τε καὶ συμπλάττων ἐκεῖνα τὰ καταγέλαστα καὶ μηδενὸς ἄξια λόγου. Ἃ δὴ καὶ διαδειχθήσεται, προϊόντος τοῦ λόγου. Ἡμᾶς δὲ, καὶ πρὸς ἐκεῖνα καταβῆναι καιρὸς ἤδη, τῶν κατὰ μέρος αὐτοῦ διακοῦσαι λόγων, ἐπειδὴ καὶ τὴν ἀρχὴν ἑκόντες εἰς τοῦτο καθήκαμεν ἑαυτούς.

---

# ΤΟΥ ΑΥΤΟΥ

## ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΓΡΗΓΟΡΑΝ ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΤΡΙΤΟΣ,

### Περί τε διαφορᾶς ἔτι θείας οὐσίας καὶ ἐνεργείας, καὶ περὶ θείας δυνάμεως, ἣν ὁ Θεὸς φυσικῶς ἔχει κατὰ τοὺς ἱεροὺς θεολόγους.

Λέγε δὴ οὖν, ὦ καλὲ Γρηγορᾶ, τὰ κατὰ τῆς ἱερᾶς B ἐκείνης συνόδου τε καὶ τοῦ τόμου γυμνὰ, τὸ μεταξὺ φορυτὸν τῶν ὕβρεων, καὶ τὴν μακρὰν ἀδολεσχίαν περιελὼν καθόσον οἷόν τε, ἣν δὴ καὶ μάλιστα πρὸς τὸν σὸν διαλεγόμενος Ἀγαθάγγελον κατὰ τοῦ τῆς συνόδου καὶ τῶν θείων δογμάτων προεστηκότος αὐχεῖς ἀκρατῶς, Γρηγορίου φημὶ τοῦ μεγάλου. Πρῶτον, φησὶν, ὡς ὁρᾷς, ἔστιν ἐπιχείρημα, ὃ τὸν μέγαν παράγει λέγοντα Διονύσιον, ὡς τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτ' ἔστιν, οὔτ' ἔστι παντελῶς αὐτοῦ θέσις οὐδὲ ἀφαίρεσις. Καὶ ὅρα ὡς οὐχ ἁπλοῦν, οὐδὲ τοῦτ' εὐθὺς ἀνειλήφει, ἀλλὰ μετὰ τῆς αὐτῷ καὶ τοῦτο συνήθους παρεκτροπῆς. Σκεπτέον γὰρ ὡς Διονύσιος μὲν περὶ θείας θεολογῶν δυνάμεως, πρός γε τοῖς ἄλλοις καὶ τοῦτό φησιν, Ὅτι τὸ μηδεμίαν δύναμιν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι C παντελῶς αὐτοῦ θέσις· ὁ δὲ συκοφάντης παρεντέθεικε μὲν κἂν τῷ τέλει, παρεντέθεικε δ' οὖν μᾶλλον ἐν τῇ τοῦ κόμματος ἀρχῇ τὴν ἐνέργειαν, ἵν' ἐφόδιον ἔχῃ πρὸς τὴν αὐτοῦ κακίαν. Προϊὼν γὰρ εὐθὺς τὸ μὲν τῆς δυνάμεως ὄνομα λήθης ἀφῆκε φέρεσθαι ῥεύμασι, τὴν δὲ ἐνέργειαν ὥσπερ θεμέλιον ὑποθεὶς τῇ κακοβουλίᾳ τὸν τῆς Χαλάννης ἐποικοδομεῖ κατὰ τῆς εὐσεβείας πύργον. Καὶ δείκνυται δι' οὐδὲν ἕτερον τῷ ῥητῷ χρησάμενός τε καὶ λυμηνάμενος, ἢ ἵνα τῆς ἑαυτοῦ συλλήπτορά τε δῆθεν ποιήσηται δυσσεβείας καὶ κακουργίας τὸν θεῖον ἐκεῖνον ἄνδρα, καὶ δι' ἐκείνου ῥᾳδίως ἤδη χειροῦσθαι καὶ τὴν τῶν ἀκροωμένων ἔχῃ ἀπλήστητα.

Ὁ μὲν οὖν σκοπὸς ἅπας ἐστὶ τῷ λόγῳ τοῦ ἀντικειμένου τουτουῒ τῇ κατ' εὐσέβειαν ἀληθείᾳ τὸ δεῖξαι μηδεμίαν ἐνέργειαν καὶ δύναμιν φυσικὴν ἔχειν τὸν Θεὸν, καὶ ὁπωσοῦν τῆς αὐτοῦ διαφέρουσαν φύσεως. Καὶ τοῦτ' αὐτῷ διὰ παντός ἐστι τοῦ λόγου τὸ σπουδαζόμενον, ὡς ἐν τοῖς ἑξῆς κατὰ μέρος δειχθήσεται. Περιουσίᾳ γε μὴν μανίας τῆς καθ' ἡμῶν, ἢ καὶ λόγων ἀπορίᾳ τῶν καιριωτέρων καὶ ἀναγκαίων, καὶ τοῖς περιττοῖς, καὶ μηδεμίαν πρὸς τὸ σπουδαζόμενον ἄντικρυς οὖσιν, ἐπιχειρεῖ. Καὶ γίγνεται τούτῳ προάγων οἱονεί τις τοῦ κατὰ τῆς εὐσεβείας πολέμου, ἣν αὐτὸς παραποίησιν οἴεται, καὶ προσθήκην ἐν τῷ τοῦ θείου Διονυσίου ῥητῷ, κακῶς ἐκεῖνο εἰδώς. Πρῶτον μὲν οὖν εἰ καὶ προσθήκη τις ἦν, καὶ μετάθεσις λέξεως, ὦ φιλόσοφε, τῆς διανοίας ἁπτομένη τῆς θεολογικῆς, ὡς αὐτὸς φῄς, ἕτερόν τινα τῶν ὑγιαινόντων τὰ τοιάδε περὶ τῶν τοιούτων καὶ ζητεῖν καὶ λέγειν ἐχρῆν, ἀλλ' οὐχὶ σὲ τὸν καθ' ὑπερβολὴν ἀληθῶς τὰ τοιαῦτα νοσοῦντα, ἃ τοῖς ἀνευθύνοις μάτην αὐτὸς ἐγκαλεῖς. Καὶ τοῦτ' ἔδειξεν αὐτὸς οὗτος, ὁ τῆς συνόδου φημὶ τόμος, οὕτω διασπαραχθεὶς ὑπὸ τῆς σῆς λογογραφίας, καὶ τῶν κεφαλαίων, οἷς ἐπεχείρησας δῆθεν τὰ καιριώτατα, ἢ καὶ τὸ πᾶν ὁμοῦ πλὴν ὀλίγου τινὸς ἀφαιρεθεὶς, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἔδειξεν, οὐ μὴν ἀλλὰ κἂν τοῖς ἑξῆς αὐτὸ τοῦτο προϊὼν δείξει πλατύτερον. Ἔπειτα πῶς οὐκ ἐνεθυμήθης κἀκεῖνο, καίτοι γε καὶ μέγας τις καὶ ἀπαράμιλλος ἐν σοφοῖς τε καὶ λογοποιοῖς οἰόμενος εἶναι, ὅτι καὶ σοφοὶ, καὶ λογογράφοι, καὶ ῥήτορες ὅσοι τε τῶν ἔξω, καὶ ὅσοι τῶν καθ' ἡμᾶς, τὰ τῶν παλαιῶν εἰς μαρτυρίαν λαμβάνοντες, ἔστι μὲν ὅτε καὶ τὸ μέρος ἐκεῖνο τὸ ληφθὲν παραφράζουσι πᾶν λέξεσιν ἰδίαις, καὶ φράσει τὴν ἐκείνων διάνοιαν ἐξαγγέλλοντες, ἔστι δ' οὗ καὶ τὴν ἐξαγγελίαν καὶ τὴν φράσιν ἐκείνων τηροῦντες, καὶ λέξεις ἀμείβουσι, καὶ πλαγίας ὀνομάτων, καὶ χρόνους ῥημάτων, καὶ πρόσωπα μετατιθέασι, καὶ συλλαβὰς ὑφαιροῦσιν, ἔστιν D ὅπου καὶ προστιθέασι σαφηνείας ἕνεκα, μηδὲν ἔν γε τοῖς τοιούτοις μηδοτιοῦν περιεργαζόμενοι, μόνον εἰ τὰ τῆς διανοίας τῶν ἐκδεδωκότων ἐκεῖνα πρώτως ἀσφαλῶς διασώζοιτο;

Καὶ τί χρὴ λέγειν περὶ τῶν ἄλλων; ὅπου γε καὶ οἱ τῆς καθ' ἡμᾶς εὐσεβείας καθηγεμόνες τε καὶ διδάσκαλοι, καὶ Διονύσιος οὑτοσὶ πρὸ τῶν ἄλλων, καὶ τὰς θείας Γραφὰς ἐξηγούμενοι, καὶ διδάσκοντες, καὶ

Digitized by Google

τοῖς ἀντιλέγουσιν ἀντικαθιστάμενοι πλείστας καὶ ἀμείβουσι, καὶ μεταποιοῦσι, καὶ προστιθέασιν, ὅπερ ἔφην, τῶν συλλαβῶν καὶ τῶν λέξεων, ἐν μηδενὶ τῷ τοῦ λόγου σκοπῷ λυμαινόμενοι. Ἀλλὰ καὶ ἀπόστολοι πρὸ τούτων, καὶ εὐαγγελισταὶ, ἵν' ἐπὶ τὰ κορυφαῖα, καὶ πρῶτα, καὶ αὐτά φημι τὰ στοιχεῖα τῆς ἱερᾶς ὁμοῦ πάσης θεολογίας ἀγάγω τὸν λόγον, τὰ τοῦ νόμου τε καὶ τῶν προφητῶν, καὶ ἁπλῶς τὰ τῆς Παλαιᾶς ὁμοῦ πάσης εἰς μαρτυρίαν τῶν οἰκείων λαμβάνοντες λόγων, ὡς ἐπὶ πολὺ τῷ προῤῥηθέντι κέχρηνται τρόπῳ, πρὸς μὲν τὴν τῶν παλαιῶν διάνοιαν, ᾗπερ ἔφην, βλέποντες μόνην, καὶ ὅπως ἂν μετὰ τῆς δεούσης σαφηνείας τοῖς προκειμένοις ἀνοθεύτως ἁρμόσωσι τὰ κατάλληλα, λέξεων δὲ καὶ συλλαβῶν τοῦ σκοποῦ τηρουμένου τοῦ γράψαντος ὀλίγα φροντίζοντες. Καὶ εἰ βούλει, καὶ αὐτά σοι παρελθόντες ὑποδείξομεν τὰ βιβλία, καὶ τοὺς οὑτωσὶ διακειμένους λόγους, καὶ τὰς ἱερὰς ῥήσεις, μέχρι δὴ καὶ τῶν σεπτῶν Εὐαγγελίων ἰόντα, καὶ αὐτοῦ φημι τοῦ πρώτου καὶ μόνου διδασκάλου πάντων Χριστοῦ.

Ἀλλὰ κἀμοὶ, φησὶ, πρὸς ἐκεῖνο βλέπων ὁ λόγος, καὶ διασύρει, καὶ βάλλει τὸν κακῶς γράψαντα, ὅτι μὴ τῆς διανοίας αὐτῆς ἐκείνης καὶ αὐτὸς ἔχεται τοῦ θεολόγου, ἀλλ' ἀντὶ τῆς δυνάμεως, ἣν ἐκεῖνός φησι, τὴν οἰκείαν αὐτὸς μετ' ἐξουσίας ὡσανεί τις αὐτοκράτωρ εἰσάγει ἐνέργειαν, πάνυ τοι διεστηκυῖαν ἐκείνης, ὡς μηδὲ παραβάλλεσθαι. Καλῶς. Εἰ δὲ ἑτερόν σοι κατ' ἐκεῖνον ἡμεῖς καὶ θεολόγον ἱερὸν, καὶ φιλόσοφον εἰσενέγκοιμεν νῦν τῷ λόγῳ, θεολόγοις καὶ γὰρ τὰ τῶν θεολόγων ἐξηγεῖσθαι δίκαιον ἂν εἴη, εἰ γοῦν ἐκεῖνος νῦν παρελθὼν, δύναμιν εἶναι τὴν φυσικὴν ἐνέργειαν διδάξει τρανῶς, μᾶλλον δὲ αὐτὴν ἐκείνην τὴν φυσικὴν δύναμιν, ἧς ὁ ἱερός φησι Διονύσιος μηδέν τι τῶν ὄντων ἀμοιρεῖν, ἢ γὰρ ἂν οὐδὲ ὂν εἴη, φησὶ, τὸ παράπαν, ἐμφύτου δυνάμεως ἔρημον ὂν, τοῦ γοῦν θεολόγου τουτουῒ δεδειχότος ἂν, ὡς ἐγώ φημι τὴν φυσικὴν ταυτηνὶ δύναμιν, ἐνέργειαν οὖσαν φυσικὴν, καταθήσῃ καὶ αὐτὸς τὴν μάχην, μᾶλλον δὲ τὴν σκιαμαχίαν ταύτην, καὶ σπείσῃ πρὸς τὸν ἀληθῆ λόγον, καὶ τῇ συμφωνίᾳ τῶν λαμπρῶν τουτωνὶ διδασκάλων, οὓς καὶ αὐτὸς μάρτυρας τῶν οἰκείων προσποιῇ φέρειν λόγων, ὑποτάξεις τὸν σαυτοῦ λόγον, ἢ τί φῄς; Ὑποτάξεις, εὖ οἶδα, καὶ ἡττηθήσῃ, εἰ καὶ μὴ ἑκὼν, ἀλλ' ἄκων γε πάντως, κατὰ πᾶσαν ἀνάγκην. Παρίτω τοιγαροῦν ἡ τῆς ἱερᾶς θεολογίας τῶν ἀποστόλων τε καὶ Πατέρων ἐπίσημος ἀνακεφαλαίωσις, τὸ κοινὸν στόμα τῶν θεολόγων Ἰωάννης ὁ Σύρος, φημὶ, τὸ ζητούμενον διδάξων ἡμᾶς. Οὗτος καὶ γὰρ πολλὰ περὶ θελημάτων, καὶ θελήσεως, καὶ βουλῆς θείας καὶ ἀνθρωπείας ἐν τοῖς θεολογικοῖς φιλοσοφήσας, ὡς καὶ ὁ τόμος ἡμῖν μικρῷ πρότερον ἔφη δείξας, οὕτω πως μετ' ἐκεῖνα περὶ ἐνεργείας εὐθὺς ἐπιφέρει λέγων· Χρὴ γινώσκειν ὡς πᾶσαι αἱ δυνάμεις αἱ προειρημέναι, αἵ τε γνωστικαὶ, αἵ τε ζωτικαὶ, καὶ φυσικαὶ, καὶ αἱ τεχνικαὶ, ἐνέργειαι λέγονται· ἐνέργεια γάρ ἐστιν ἡ φυσικὴ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις. Καὶ πάλιν, Ἐνέργειά ἐστι φυσικὴ ἡ πάσης οὐσίας ἔμφυτος κίνησις. Καὶ μετὰ βραχὺ, Ἐνέργεια πάλιν ἐστὶ φυσικὴ ἡ δηλωτικὴ ἑκάστης οὐσίας δύναμις· καὶ πάλιν, Ἐνέργειά ἐστι φυσικὴ ἡ ἑκάστης οὐσίας δύναμίς τε καὶ κίνησις, ἧς χωρὶς μόνον τὸ μὴ ὄν. Ἤκουσας, ὦ φιλόσοφε, τῆς θαυμαστῆς διδασκαλίας καὶ συμφωνίας τῶν ἱερῶν τουτωνὶ καὶ ἀληθινῶν φιλοσόφων καὶ θεολόγων; Ἐπειδὴ καὶ γὰρ εἷς καὶ ὁ αὐτός ἐστι τεχνίτης ὁ καθαπερεί τισιν ὀργάνοις κατὰ καιρὸν ἑκατέρῳ τούτων χρησάμενος, τὸ τοῦ Θεοῦ Πνεῦμά φημι, τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ τῆς σοφίας, καὶ τῆς συνέσεως, καὶ νοήμασι, καὶ ῥήμασι μικροῦ τὰ αὐτὰ φθέγγονται. Ἣν γὰρ ἐκεῖ Διονύσιος ἔφη δύναμιν, ἧς τὸ μὴ μετέχον ὅλως οὔτ' ἔστιν, οὔτε τί ἐστιν, οὔτ' ἔστι τις παντελῶς αὐτοῦ θέσις, ταύτην Ἰωάννης ὁ θεῖος ἐνταῦθα καὶ ἐνέργειαν φυσικήν φησιν ἑκάστης οὐσίας, καὶ δύναμιν, ἧς χωρὶς τὸ μὴ ὂν μόνον, καθάπερ ἤκουσας. Τούτου τί ἂν γένοιτο σαφέστερόν τε καὶ συντομώτερον εἰς ἀπόδειξιν, καὶ μάλισθ' οὕτω τρὶς καὶ τετράκις ὡσαύτως κατὰ ταυτὸ παρὰ τοῦ θεολόγου ῥηθέν;

Βούλει σοι καὶ δεύτερον εἰσαγάγω τοῦ προκειμένου φιλόσοφον μάρτυρα, οὐ λόγοις μόνον τῆς ἀληθείας, ἀλλὰ καὶ θανάτῳ τὸ τελευταῖον οἰκείῳ τὸ μέγα τουτὶ τῆς μαρτυρίας ἐπισφραγίσαντα πρόσρημα; Λεγέτω καὶ μαρτυρείτω ταυτὶ καὶ Ἰουστῖνος, ὁ μέγας τῆς Ἐκκλησίας καὶ μάρτυς ὁμοῦ, καὶ φιλόσοφος. Ἐνέργεια, φησὶν, ἐστὶ φυσικὴ ἡ ἀμιγῆ τὴν οὐσιώδη πάντων πρὸς ἅπαντα διάκρισιν διασώζουσα δύναμις. Ἐνέργεια φυσική ἐστιν ἡ πάσης οὐσίας ἔμφυτος κίνησις. Ἐνέργειά ἐστι φυσικὴ ἡ δηλωτικὴ πάσης οὐσίας δύναμις. Ὥστε καλῶς οἱ τῆς ἱερᾶς ἐκείνης συνόδου τὴν τοῦ σοφοῦ Διονυσίου ῥῆσιν, καὶ κατὰ τὸν ἐκείνου σκοπὸν καὶ τὴν διάνοιαν ἐξειλήφασιν, ἐνέργειαν φυσικὴν τὴν φυσικὴν μετὰ τῶν θεολόγων εἰπόντες δύναμιν, ἧς μόνον ἐστέρηται τὸ μὴ ὄν. Ψευδὴς ὁ τοῦ Γρηγορᾶ λόγος ἐκεῖνος, ὁ λέγων ὅτι τὰ τῶν ἁγίων ὁ τόμος συκοφαντεῖ, καὶ παραχαράττει πρὸς ἐξαπάτην τῶν ἀκουόντων. Καὶ ὁ τῶν βλασφημιῶν, καὶ τῶν ὕβρεων ἐκείνων ἑσμὸς, οὐ πρὸς τοὺς συκοφαντουμένους, ἀλλὰ πρὸς τοὺς συκοφαντοῦντας καὶ ψευδομένους ἐξ ἀνάγκης ὁρᾷ.

Ἀλλ' ὁ μὲν περὶ τῆς ἐνεργείας ἐντελέστερος λόγος τό γε νῦν ἔχον ἀναμενέτω, τὸν προσήκοντα τόπον καὶ λόγον μετ' ὀλίγον ἀποληψόμενος, οὐχ ὑπὸ δυοῖν τε καὶ τριῶν θεολόγων, ἀλλὰ σχεδὸν καὶ παρὰ πάντων ὁμοῦ· νῦν δὲ πρὸς τὸν φιλόσοφον αὖθις καὶ τοὺς ἐκείνου καθ' ἡμῶν λόγους ἔλθωμεν. Ἐμοῦ δὲ πολλή τις ἐντρέχει φρίκη τῇ διανοίᾳ, φησὶ, θεολογίας ἅπτεσθαι μέλλοντος, ὅμως ἀνάγκη πρὸς τὴν πολέμιον ταυτηνὶ φλυαρίαν ἐνστῆναι, καὶ μὴ ἐρήμην ἁλῶναι, λόγον τε ἔχοντα, καὶ ἅμα ἀληθείᾳ συνηγοροῦντα, καὶ Πνεύματι. Ἐπανακτέον τοίνυν τὸν λόγον, κἀκεῖνα πρὸς μέσον ἀκτέον, ἐν οἷς τὸν μέγαν ὁ συκοφάντης καὶ παραβλὼψ οὑτοσὶ παράγει λέγοντα Διονύσιον, ὡς τὸ μηδεμίαν δύναμιν ἢ ἐνέργειαν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις. Καὶ εἰκότως· οὐδὲν γὰρ οὔτε φύσις, οὔτε τέχνη μάτην ποιεῖ, ἀλλ' ἕνεκά του τῶν γινομένων ἅπαντα γίνεται. Οὗτος δὲ διὰ κακοτεχνίαν μετ-

Digitized by Google

ενεγκών, Ἐπεὶ τὸ ἔχον, φησὶν, οὗ ἔχει, κατά τι A διαφέρει πάντως, εἰ οὐκ ἔστι διαφορά τις θείας οὐσίας καὶ ἐνεργείας, οὐκ ἔστιν ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν. Τὸ δὲ μὴ ἔχον ἐνέργειαν ἀνενέργητόν ἐστι, τὸ δ' ἀνενέργητον καὶ ἀνύπαρκτον. Θεολογίας μὲν οὖν εἵνεκα, καὶ τῆς κατ' αὐτὴν ἱερᾶς ἐπιστήμης, καὶ θεωρίας, πρὸς αὐτὸν ἔγωγ' ἂν φαίην εὐκαίρως, Μὴ δέδιθι μηδαμῶς, ὦ φιλόσοφε. Ἐγώ σοι τῶν τοιούτων ἐγγυητὴς ἀξιόχρεως, ὡς οὐ θεολογήσεις οὐδοτιοῦν, οὐδὲ παρακύψεις ὅλως αὐτὸς εἰς Θεοῦ μυστήρια. *Ἔθετο καὶ γὰρ σκότος ἀποκρυφὴν αὐτοῦ*, κατὰ τὸν εἰπόντα, ἵνα μὴ ῥᾳδίως ἴδῃ σκοτεινὴ φύσις τὸ ἀπόθετον κάλλος, καὶ τοῖς πολλοῖς ἄγνωστον. *Οὐδὲ γὰρ ψύχει τὸ πῦρ*, φησὶν, *οὔτε θερμαίνει ὁ κρύσταλλος*· ἄλλως τε καὶ δεσποτικῆς περὶ τῶν τοιούτων κειμένης ἄνωθεν ψήφου καὶ ἀπο- B φάσεως, *Οὐ γὰρ ἐκ βάτου τρυγῶσι σταφυλὴν, οὐδ' ἐκ τριβόλων σῦκα*, περὶ τῶν γραμματέων καὶ φαρισαίων ὁ Χριστὸς εἴρηκεν. *Ἀλλ' ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ προφέρει τὸ ἀγαθὸν, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ προφέρει τὸ πονηρόν*. Οὐ θεολογήσεις τοιγαροῦν καὶ αὐτὸς, ὅπερ εἶπον, ἀλλὰ πολεμήσεις μὲν οὖν τοῖς θεολογοῦσιν ἁγίοις τὰ θεῖα, καὶ βλασφημήσεις, καὶ θεομαχήσεις ἀπέραντα. Τοιαῦτα καὶ γὰρ ἐναπόκειταί σου πάλαι τῷ πονηρῷ θησαυρῷ τῆς καρδίας, ἃ κακῶς ἐπ' ἐσχάτων νῦν ἐξέῤῥηξας, ὡς μὴ ὤφελες. Ὑπὲρ ὧν καὶ δεδιέναι σε καὶ φρίττειν ἔδει μᾶλλον, καὶ ἀναδύεσθαι, τοῦτο γὰρ ἂν ἴσως τι καὶ πρὸς διόρθωσιν, καὶ σωτηρίαν σοι συνεβάλλετο. Νῦν δὲ οὗ μὲν οὐκ ἔστι φόβος, πεφόβησαι, οὗ δὲ φοβεῖσθαι καὶ ὑποχωρεῖν ἔδει, καὶ δειλίαν ὁμοῦ, καὶ αἰδῶ πᾶσαν ἀποῤῥίψας, γυμνῇ τῇ κεφαλῇ χωρεῖς οὐχ ὑπὲρ τοῦ Πνεύματος, ἧπερ ἔφης, ἀλλὰ κατὰ τοῦ Πνεύματος, πολέμιον φλυαρίαν, φεῦ! τὴν τῶν ἁγίων αὐτοῦ θεολογίαν ἀποκαλῶν· ταῦτα καὶ γὰρ ὁ ἱερὸς οὑτοσὶ τῆς συνόδου τόμος, οὐχ ἕτερα· καὶ τοῖς λόγοις ἐφ' οἷς φιλοτιμῇ, καὶ οὓς ἐκτήσω κακῶς, κάκιστα κατὰ σαυτοῦ χρώμενος, καὶ κατὰ κρημνοῦ τρέχων, καὶ διὰ σαυτοῦ τὸ ξίφος ἐλαύνων, ὃ κατὰ τῶν ἐχθρῶν εἴληφας. Ἐντεῦθεν καὶ τὸν ἱερὸν ἄνδρα καὶ θεόπτην ἐκεῖνον, οὗ κατὰ τὸ ἱερὸν ᾆσμα οἱ ὀφθαλμοὶ περιστεραὶ, οὕτω καὶ γὰρ ὁ σοφὸς ἐκεῖνος ᾀσματογράφος οἶμαι τὴν τοῦ Πνεύματος χάριν ᾐνίξατο, ἐν ᾗ, καὶ δι' D ἧς οἱ κατ' αὐτὸν τοῦτον ὁρῶντες Θεὸν ὡς ἐφικτὸν βλέπουσιν, ἐντεῦθεν αὐτὸς παραβλέπων, καὶ ὡς ἐν σκότει, καὶ νυκτὶ ψηλαφῶν τὰ μὴ ὄντα, παραβλῶπα, συκοφάντην ἀποκαλεῖς, φεῦ! ἅπερ αὐτὸς μᾶλλον παρά γε τῶν ἐθελόντων λέγειν δικαίως καὶ κατὰ λόγον ἂν ἤκουσας. Ἀλλὰ τούτων μὲν ἅλις· ἐκεῖνο δ' ὅπερ παρέῤῥιψας ἢ προέῤῥιψας οὕτως εἰκῇ, τὴν τοῦ θαυμαστοῦ Διονυσίου ῥῆσιν ἀναγνοὺς, οὐδὲ συμβαλεῖν ὅλως ἔχω τί σοι βούλεται. Τοῦ μὲν γὰρ θεοφόρου κατατρέχων ἐκείνου, μᾶλλον δὲ τῆς συνόδου πάσης ὁμοῦ τῶν Πατέρων, μεθ' ἧς ἐκεῖνος τὸν ἱερὸν τουτονὶ τῆς πίστεως ὅρον Πνεύματι δηλαδὴ θείῳ συνέταξεν, ἐκείνων τοιγαροῦν ὁμοῦ κατεξανιστάμενος πάντων, καίτοι γε μήπω περὶ δυνάμεως θείας καὶ ἐνεργείας τῶν προκειμένων θεολογησάντων μη-

A δὲν, ἀλλὰ τοῦτο μόνον προειπόντων, ὅτι τὸ ἔχον, οὗ ἔχει διαφέρει κατά τι, καὶ τὸν ἰσαπόστολον ἐκεῖνον ἄνδρα τὸν Διονύσιον προτεθεικότων λέγοντα, ὅτι τὸ μηδεμίαν δύναμιν ἔχον οὔτ' ἔστιν, οὔτε τί ἐστιν, οὔτ' ἔστι παντελῶς αὐτοῦ θέσις, σὺ καὶ πρὸ τῶν σῶν ἐνστάσεων, καὶ τῶν καθ' ἡμῶν ἐγκλημάτων ἐκεῖνο προλαβὼν παρέῤῥιψας ἐφεξῆς μετὰ τὸ τοῦ θεολόγου ῥητὸν εὐθὺς, τὸ, εἰκότως· οὐδὲν γὰρ οὔτε φύσις, οὔτε τέχνη μάτην ποιεῖ, ἀλλ' ἕνεκά του τῶν γινομένων ἅπαντα γίνεται. Ὅπερ οὐδὲ συνιδεῖν ὅλως ἔστιν, ὅπερ ἔφην, οὐδ' ἐννοῆσαι, τί πρός γε τὸν τοῦ θεολόγου σκοπὸν, καὶ τὸν λόγον, καὶ ὁπωσοῦν συμβάλλεται, Τὸ μηδεμίαν δύναμιν ἔχον, λέγοντος, οὔτ' ἔστιν, οὔτε τί ἐστιν, οὔτ' ἔστι παντελῶς αὐτοῦ θέσις. Καίτοι γε εἰ σαφηνίζειν, ἢ ἐπεξεργάζεσθαι, ἢ B ὅπως ἂν αὐτὸς φαίης, ἐβούλου τὴν τοῦ διδασκάλου ῥῆσιν, ἐκεῖνά σε μᾶλλον ἔδει λέγειν, εἰκότως· οὐδὲν γὰρ μὴ δύναμιν ἔχον τὴν ἔμφυτον καὶ κατάλληλον ἑαυτῷ, εἴτε τι τῶν νοερῶν εἴποις, εἴτε τῶν λογικῶν, εἴτε τῶν ἀλόγων, εἴτε καὶ τῶν ἀψύχων αὐτῶν, εἶναι δύναται τοπαράπαν. Οὕτω γὰρ ἂν καὶ θεολόγοις καὶ σοφοῖς συνεφώνεις, καὶ πρὸ τῶν ἄλλων Διονυσίῳ τῷ τοῦ λόγου πατρί. Νῦν δ' ἐκεῖνα λέγων, οὐκ οἶδα, εἰ καὶ σαυτῷ γοῦν λαλεῖς συνετά. Ὥσπερ γὰρ εἴ τινος εἰπόντος ὅτι σφαιροειδοῦς ὄντος τοῦ οὐρανοῦ, ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς αὐτὸν, αὐτὸς ἔλεγες, Εἰκότως, οὐδὲ γὰρ οὐδὲν τῶν χερσαίων ὅλως δύναται ζῆν, δίχα τοῦ τὸν ἀέρα τοῦτον ἀναπνεῖν, ἢ ὁ κύων τετράπουν, Εἰκότως, ὁ γὰρ ἄνθρωπος γελαστικόν· οὕτω κἀκεῖνα παραπλησίως λέγεις, οὐκ οἶδ' εἴτε D κατὰ σαυτοῦ παίζων συνήθως, εἴτε καὶ κατὰ τῶν σῶν ἀκροατῶν. Ἀλλὰ ταῦτα μὲν, ὅσον κἀκ τῶν μικρῶν τούτων ὑποδεῖξαι τὸν φιλόσοφον, οὐκ ἐν τοῖς μεγάλοις καὶ ὑψηλοῖς μόνον, οἷς κακῶς ἐπεχείρησεν, ἀλλὰ κἀν τοῖς προστυχοῦσι, καὶ σμικροτάτοις, ἀφυᾶ τινα, καὶ πλημμελῆ, καὶ τὸ ξύμπαν ἀνάρμοστον· πρὸς δὲ τὰς περὶ τοῦ ἔχειν ἐνστάσεις, καὶ τἀγκλήματα, καὶ τὰς συκοφαντίας ἐκείνου τὰς καθ' ἡμῶν, μᾶλλον δὲ τῆς κοινῆς τῶν ἁγίων θεολογίας, καὶ αὖθις ἔλθωμεν.

Τὰ γοῦν τοῦ συνοδικοῦ τόμου προθεὶς ὁ φιλόσοφος ἐκεῖνα, καθάπερ ἔφην, οὕτω πως ἔχοντα· Κατὰ γὰρ τὸν μέγαν Διονύσιον, τὸ μηδεμίαν δύναμιν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις· D τὸ δὲ ἔχον, οὗ ἔχει, κατά τι διαφέρει πάντως· εἰ οὖν οὐκ ἔστι διαφορά τις θείας οὐσίας καὶ ἐνεργείας, οὐκ ἔστιν ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ ἐνέργειαν, τὸ δὲ μὴ ἔχον ἐνέργειαν ἀνενέργητον καὶ ἀνύπαρκτον· ταῦτα τοίνυν ἀπὸ τοῦ τόμου προσθεὶς, ἐπιφέρει τὰ ἑαυτοῦ, λέγων, Ἐνταῦθα τριῶν ὄντων ἁμαρτημάτων, ἀμαθίας, καὶ ἀσεβείας, καὶ ἧς εἰρήκειμεν κλοπῆς, καὶ βωμολοχίας, τέταρτον μεταξὺ παρυφίσταται τὸ τῆς συκοφαντίας, ᾗ κατὰ τῆς διανοίας τοῦ θείου χρῆται Διονυσίου. Σοφὸς γὰρ ὢν ὁ θεῖος ἐκεῖνος ἀνὴρ, καὶ τοῖς κτίσμασιν ἀπονενεμημένον εἰδὼς τὸ τοῦ ἔχειν πολύσημον, εἰκότως κἀνταῦθα τοῖς κτίσμασιν ἀποδέδωκεν. Ὁ δὲ ἀναιδὴς οὑτοσὶν, ἅτε ὢν αὐτὸς ἀσεβὴς, ὁμόφρονά πη καὶ τὸν θεῖον ἐκεῖνον ἄν-

Digitized by Google

δρα δεικνύειν ἐπείγεταί τε καὶ συκοφαντεῖ. Γνώριμον γάρ, οἷς καὶ ὁπωσοῦν λογικῆς μέτεστιν ἐπιστήμης, ὁμώνυμον εἶναι καὶ ἥκισθ' ἁπλῆν τὴν τοῦ ἔχειν φωνήν, καὶ μὴ μόνον τῇ τῶν ἔξω τοῦτο σοφῶν ἐπιστήμῃ δοκεῖν, ὅτι μὴ καὶ πᾶσιν ὁμοῦ τοῖς τῶν θείων τῆς Ἐκκλησίας σοφοῖς διδασκάλοις. Ὧν εἰς ἡμῖν εἰς διδασκαλίαν ἀποχρήσει τήμερον Ἰωάννης ὁ θεῖος ἐκ Δαμασκοῦ, ὃς ὀκταχῇ τὴν τοῦ ἔχειν ἡμῖν διαιρῶν σημασίαν, κατ' οὐδένα γέ τινα τούτων τρόπον τῇ θείᾳ καὶ ἁπλουστάτῃ ἐκείνῃ φύσει τὸ ἔχειν διδοὺς εὑρίσκεται. Πῶς γάρ; φυσικῆς μεσολαβούσης ἀλλοτριώσεως, καὶ τοῦ ἔχοντος τὸ ἐχόμενον διιστώσης μὲν οὑτωσί, συναγούσης δὲ ἄλλως τὸν νόθον τε καὶ ἐπίκτητον τρόπον.

A καὶ χεῖρα, καὶ ἀγρόν, καὶ τά γε τοιαῦτα, ἢ ὡς συμβεβηκός· καὶ τοῦτο διχῇ πως αὖ ὑποδιαιρούμενον εἴς τε τὴν τῶν χωριστῶν δηλαδή, καὶ τῶν γε μηδαμῇ χωριζομένων δύναμιν. Τὸ μὲν γὰρ ἐνδεχομένως ἔχειν λέγεται, καὶ μή, καθ' ὅ γε σημαινόμενον ἐνδέχεσθαί φαμεν βαδίζειν τὸ βαδιστικόν, καὶ τοὐναντίον αὖ μὴ βαδίζειν. Τὸ δὲ καθ' ἕξιν καὶ διάθεσιν ἔχειν παρείληπται, ὡς μέλιτι δηλαδὴ συμπεφυκυῖαν γλυκύτητα, καὶ χιόνι λευκότητα, καὶ γνῶσιν ἀνθρωπίνῃ ψυχῇ. Εἶτα καὶ τὴν ἑαυτοῦ περὶ τούτων δόξαν τοῖς εἰρημένοις ἐπάγων ὁ Γρηγορᾶς, Τούτων ἁπάντων ἓν ὁποιονοῦν, φησίν, εἴ τις ὁποτέρωθεν εἰληφὼς τῇ θείᾳ κυριωνυμεῖν καὶ ἁπλῇ βούλοιτο φύσει, ἴστω περιφανῶς ἁμαρτάνων.

Τέτταρα ταῦτα, καθάπερ ἠκούσαμεν, ὁ κενὸς φιλόσοφος οὑτοσὶν ἅμα κατὰ τοῦ συνοδικοῦ τόμου προφέρει ἐγκλήματα, ἀμαθίαν τε καὶ ἀσέβειαν, κλοπήν τὴν καὶ βωμολοχίαν, ὡς αὐτός φησι, καὶ τὴν συκοφαντίαν τέταρτον, ἀμαθίαν μὲν καὶ ἀσέβειαν λέγων ὡς ἄν τις αὐτοῦ τῆς ματαιότητος τῶν λογισμῶν, καὶ τῆς διανοίας καταστοχάσαιτο· οὐδὲ γὰρ αὐτόθεν ὁ λογοποιὸς διεῖλεν οὐδ' ἐσαφήνισεν, ὅτι τε τοῦ ἔχειν ἐπὶ τῶν κτισμάτων, ὡς αὐτὸς κακῶς οἴεται, μόνων, ἀλλ' οὐχὶ καὶ ἐπὶ τοῦ Θεοῦ τὸ παράπαν λαμβανομένου, ὁ τόμος καὶ ἐπὶ τοῦ Θεοῦ τοῦτ' ἐδέξατο φυσικὴν ἐνέργειαν λέγων ἔχειν αὐτόν, καὶ ὅτι διαφέρουσάν πως τῆς θείας οὐσίας, καὶ ἄκτιστον τὴν φυσικὴν ταύτην φησὶν ἐνέργειαν. Τοῦτο καὶ γὰρ προϊὼν αὐτὸς διὰ τῶν αὐτοῦ λόγων δείξει σαφέστερον. Κλοπὴν δὲ καὶ βωμολοχίαν οἶμαι λέγειν αὐτόν, ὅτι τὰς ἱερὰς τῶν Γραφῶν ἀποφάσεις, καὶ δὴ καὶ τὰς τῶν θεολόγων διδασκάλων κοινὰς περὶ Θεοῦ δόξας, οἷς ἐξ ἀρχῆς εἰς τέλος ὅλος ὁ τόμος καλῶς ἐξυφαίνεται, καὶ στηρίζεται, καὶ λαμβάνων ἐκεῖθεν εἰς μαρτυρίαν ἐναργῆ τῆς κατ' εὐσέβειαν ἀληθείας αὐτὸς οὗτος προτίθησι, καὶ ὅτι καὶ τῇ τῆς δυνάμεως λέξει τὴν ἐνέργειαν ταυτὸ πεφυκυῖαν, καθὰ δὴ καὶ φθάσαντες οἱ θεολόγοι διὰ τῶν οἰκείων λόγων ὑπέδειξαν σαφηνείας χάριν ἐν τῷ περὶ δυνάμεως τοῦ ἱεροῦ Διονυσίου προσέθηκε. Τὸ δὲ τέταρτον ἐπὶ τούτοις καὶ τελευταῖον αὐτὸς δι' ἑαυτοῦ σαφηνίζει, συκοφαντίαν, καὶ δὴ καὶ ἀσέβειαν αὖθις καταψηφιζόμενος τῶν ἐκθεμένων τὸν ὅρον, ἐπειδὴ καὶ τὸν σοφὸν Διονύσιον ταυτά φασι καὶ φρονεῖν, καὶ λέγειν αὐτοῖς ἐντεῦθεν, καὶ γὰρ καὶ τῆς συμπλοκῆς ὅλος γίνεται καὶ τῆς μάχης.

Ὥρα δὴ λοιπόν, Θεοῦ χεῖρα διδόντος ἄνωθεν, οὐ μόνον αὐτὸν ἀναιδῶς τὰ εἰρημένα δεῖξαι ψευδόμενον, ἀλλὰ καὶ ὑπεύθυνον ὄντα καὶ Θεῷ, καὶ τῇ ἀληθείᾳ πάντ' ἐκεῖνα ὁμοῦ. Καὶ δὴ πρῶτον περὶ τοῦ πρώτου λέγωμεν· μᾶλλον δ' ἀναγκαῖον εἶναί μοι δοκεῖ, καὶ τὰ λείποντα τοῦ κόμματος προσθεῖναι τοῦ φιλοσόφου πρότερον, ἐν οἷς, ὡς αὐτός φησι, τὸν ἐκ Δαμασκοῦ θεῖον εἰσάγει θεολόγον, τὸν περὶ τοῦ ἔχειν φιλοσοφοῦντα λόγον, καὶ οὕτως ἐπὶ τὴν ἀνασκευὴν τῶν ἐκείνου λόγων ἐλθεῖν. Προάγει τοιγαροῦν, ὥς φησι Γρηγορᾶς, τὸν ἱερὸν ἐκεῖνον θεολόγον οὑτωσὶ λέγοντα· Ἢ γὰρ ὡς οὐσίαν ἀνάγκη τὸ ἐχόμενον τῇ ἐχούσῃ συνεῖναι οὐσίᾳ, καθάπερ ἱμάτιον,

Καὶ τί τοῦτο πέπονθας, ὦ διαλεκτικὲ σύ, καὶ τὴν

B καταργουμένην, ὡς νομίζεις, σοφίαν ἀπρόσιτε; Δεῖ γὰρ ἐντεῦθεν ἄρξασθαι πρῶτον κατὰ πᾶσαν ἀνάγκην, καὶ οὕτως ἔπειτα καὶ πρὸς ἐκεῖνα κατὰ τὴν ὑπόσχεσιν αὖθις ἀναδραμεῖν. Ἐκ γὰρ τῶν τοῦ σοῦ κατηγοριῶν Ἀριστοτέλους τῶν κατὰ Θεοῦ λόγων ὁρμήσας ἅψασθαι, προκάλυμμα μὲν οἱονεὶ τῆς κατὰ τῶν ἱερῶν ὕβρεως τὸν θαυμαστὸν τουτονὶ θεολόγον προάγεις· τοσοῦτον δ' αὐτοῦ τολμηρῶς καταχεῖς τὸ ψεῦδος καὶ τὴν συκοφαντίαν, ὅσον ὁ λόγος αὐτίκα δείξει. Ἀλλὰ πρὶν ἐξελεγχθῆναί γε ταῦτα, ἐκεῖνό σε προηγουμένως ἐρέσθαι βούλομαι· πῶς τὸν θεολόγον τουτονὶ προφέρων εἰς μαρτυρίαν δῆθεν τῶν σῶν λόγων, οὐκ αὐτὸς ἐκείνου τὰς λέξεις, καὶ τὸν περὶ τοῦ ἔχειν ὅλον προὔθηκας ἀπαραποιήτως λόγον; Οὐ γὰρ δὴ καὶ σοὶ καθαπερεὶ καὶ τοῖς ἄλλοις λογογράφοις,

C καὶ ῥήτορσι, καὶ ἐξηγηταῖς ἔξεστιν, ἢ τὸν νοῦν τῶν ῥητῶν μόνον, ἢ τὰ μέρη λαμβάνειν, ἢ προστιθέναι συλλαβάς, ἢ καὶ ἀφαιρεῖν ὅλως, τῷ πικρῶς οὕτω τῇ δίκῃ, καὶ ταῖς σαῖς νομοθεσίαις καθ' ἡμῶν διὰ ταῦτα χρωμένῳ, καὶ μυρίαις ὅσαις ταῖς λοιδορίαις, καὶ ταῖς βλασφημίαις καθυποβάλλοντι. Ἢ σὲ μὲν δεῖ καθαπερεί τινα δυνάστην καὶ τύραννον λόγων αὐτονομίᾳ κεχρῆσθαι καὶ τῷ σῷ βουλομένῳ περὶ τοὺς λόγους, ἡμᾶς δὲ πικρῶς ὑποκεῖσθαι καὶ δουλεύειν ταῖς σαῖς νομοθεσίαις, κἂν που τοῖς κειμένοις μετά γε τοῦ δέοντος χρησώμεθα νόμοις, τὰ δεινότατα πάσχειν ὑπὸ τῆς αὐτοχειροτονήτου ταυτησὶ καὶ καινῆς αὐτονομίας.

Καὶ εἰ μὲν περὶ τὰ γράμματα καὶ τὰς λέξεις

D ἡμάρτανες μόνον, οὐδ' οὕτως ἂν ἦς φορητός, οὕτως ἐκ τοῦ σύνεγγυς τοὺς σοὺς θαυμαστοὺς καταλύων νόμους· νῦν δ' ὀκταχῇ μὲν προθέμενος τὴν περὶ τοῦ προκειμένου τοῦ θεολόγου διαίρεσιν, δύο δ' αὐτὸς ἢ τρία μόνα λαβὼν τῶν ὀκτώ, τοσοῦτον καὶ τούτοις τὸ κίβδηλον, καὶ ψευδές, καὶ συγκεχυμένον κατέμιξας, ὅσον αὐτίκα δὴ καὶ φανήσεται. Δεῖ καὶ γὰρ αὐτὰς ἐκείνας τὰς τοῦ θεολόγου παρ' ἡμῶν προτεθῆναι ῥήσεις ὑγιεῖς τε καὶ ἀνοθεύτους ἐνταῦθα, ἵνα τὸ ψεῦδος περιφανῶς ἐλεγχθῇ τῇ φανερώσει τῆς ἀληθείας. Φησὶ τοίνυν ὁ μακάριος Ἰωάννης ἐν ἑξηκοστῷ τρίτῳ τῶν θεολογικῶν κεφαλαίων οὕτως· Τὸ ἔχειν κατὰ ὀκτὼ τρόπους λέγεται. Ἢ γὰρ ὡς ἕξιν, ἢ διάθεσιν, ἢ κατὰ ἄλλην ποιότητα· λεγόμεθα γὰρ ἔχειν ἐπιστήμην καὶ ἀρετήν· ἢ ὡς ποσόν· λέγεται γὰρ τρίπηχυ

Digitized by Google

A μέγεθος ἔχειν τὸ ξύλον· ἢ ὡς οὐσία περὶ οὐσίαν, ὅπερ ἐστὶ γενικώτατον γένος. Τοῦτο δὲ ἢ περὶ ὅλον τὸ σῶμα, ὡς χιτών, ἢ περί τι μέρος, ὡς δακτύλιος ἐν δακτύλῳ, ἢ ὡς μέρος ἐν ὅλῳ· λεγόμεθα γὰρ ἔχειν χεῖρα· ἢ ὡς ἐν ἀγγείῳ· ὡς λέγομεν οἶνον ἔχειν τὸ κεράμιον· ἢ ὡς κτῆμα· λεγόμεθα γὰρ οἰκίαν ἔχειν, ἢ ἀγρόν· καὶ τὰ ἑξῆς. Ἐν δὲ τῷ πεντηκοστῷ ἑβδόμῳ τῶν αὐτῶν, Διαφοραί, φησί, τοῦ ἔχειν γίνονται κατὰ τὴν διαφορὰν τῶν ὄντων. Ἢ γὰρ ἔμψυχόν ἐστιν, ἢ ἄψυχον. Καὶ ἔμψυχον μὲν ἔχειν λεγόμεθα, ὡς παῖδα, ἵππον, καὶ τὰ τοιαῦτα· ἄψυχον δέ, ὡς δακτύλιον, ὑπόδημα, καὶ τὰ τοιαῦτα. Λέγεται δὲ τὸ ἔχειν καὶ κατὰ πολλῶν ἑτέρων σημαινομένων ὁμωνύμως. Ὅση μὲν οὖν ἡ κατά τε φράσιν καὶ τὴν διάνοιαν παρὰ τοῦ Γρηγορᾶ μεταποίησις καὶ ἀφαίρεσις τοῦ ῥητοῦ, οὐδὲ λέγειν ἡμᾶς οὐδ' B ἐπεξεργάζεσθαι χρεία, φανεροῦ προκειμένου τοῖς ἀναγινώσκουσι πᾶσιν· ἐκεῖνό γε μὴν ἀναγκαίως τὸν φιλόσοφον ἐρωτήσωμεν· Πόθεν ἔχεις λαβὼν πρὸς τῶν σῶν κατηγοριῶν, ὦ φιλόσοφε, τουτωνὶ ὅτι ὡς οὐσία περὶ οὐσίαν λέγεται τὸ χεῖρα ἔχειν τινά; Ὁ μὲν γὰρ τῆς Ἐκκλησίας φιλόσοφος Ἰωάννης ὁ θεῖος οὗτος, φημί, ἕνα τῶν περὶ τοῦ ἔχειν ὀκτὼ τρόπων, καὶ τὸ ὡς μέρος ἐν ὅλῳ εἰπών, παράδειγμα τούτου τὴν χεῖρα τέθεικε. Λεγόμεθα γάρ, φησίν, ἔχειν χεῖρα. Εἶπε δ' ἂν ὡσαύτως καὶ πόδα, καὶ ὀφθαλμόν, καὶ τὰ λοιπὰ τοῦ σώματος μέλη, μέρη κατὰ τὴν χεῖρα πεφυκότα κἀκεῖνα τοῦ ὅλου. Σὺ δὲ ὡς οὐσίας οὐσίαν τὸν ἄνθρωπον λέγεις ἔχειν τὴν χεῖρα, συγκαταμίξας αὐτήν, ὡς αὐτὸς ἂν εἰδείης, ἱματίοις, καὶ C ὅπλοις καὶ ἀγρῷ καὶ τοῖς τοιούτοις. Καὶ εἰ τὴν χεῖρα φῄς, ὡς οὐσία οὐσίαν ἁπλῶς ἔχειν τὸ σῶμα, καὶ τῆς τοῦ διδασκάλου περὶ τὸ ἔχειν διαιρέσεως οὕτω ῥᾳδίως κατεξανίστασαι, καίτοι γε καὶ πρὸς μαρτυρίαν τοῦ σοῦ λόγου, καθάπερ ᾠήθης, ἐκεῖνον προσενεγκών, ἰδοὺ πρὸς τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τρίτην οὐσίαν ἔχεις αὐτὸς τὴν χεῖρα, μᾶλλον δ' οὐ τρίτην μόνην, ἀλλὰ καὶ πολλοστήν, καὶ ἁπλῶς ὅσα σοι καὶ τὰ μέλη τοῦ σώματος. Καὶ ἴσως καὶ διὰ τοῦτο καὶ ἀκρατῶς οὕτω κατεπαίρῃ τῶν ἄλλων ἀνθρώπων, ἐκ πολλῶν τινων οὐσιῶν αὐτὸς μόνος συγκείμενος, ὑπεράνθρωπός τις διὰ ταῦτα καὶ τερατώδης γε ὤν. Εἰ γὰρ καὶ ἄλλως ὁ σὸς Ἀριστοτέλης καὶ χεῖρα καὶ κεφαλὴν οὐσίας ἐκάλεσεν, ἅτε δὴ μὴ ἐν ὑποκειμένῳ ὄντα, ὥσπερ τὰ συμβεβηκότα, D ἀλλ' ἐνταῦθα τὸ τοιοῦτον οὐκ ἔχει χώραν. Ὡς γὰρ μέρος τοῦ ὅλου ὁ ἄνθρωπος ἔχει τὴν χεῖρα, φιλόσοφε, καὶ οὐχ ὡς οὐσίαν· ἐπεὶ καὶ τὰ ὑπάλληλα γένη, καὶ εἴδη, καὶ ἄμφω ταῦτ' εἰσὶν ἅπερ καλοῦνται, καὶ γένη, καὶ εἴδη. Ἀλλὰ τῶν γενῶν, ᾗ γενῶν, εἰσὶν εἴδη, καὶ τῶν εἰδῶν, ᾗ εἰδῶν, εἰσὶ γένη, οὐχὶ τῶν γενῶν γένη, καὶ τῶν εἰδῶν εἴδη, ἢ τῶν συμβεβηκότων, ᾗ συμβεβηκότων, καὶ τῶν πρός τι, ᾗ πρός τι, γένη καὶ εἴδη εἰσί. Ταῦτα γὰρ οὐ ψεῦδος μόνον ὁ σὸς φιλόσοφος ἂν εἴποι, ἀλλὰ καὶ γέλως ὄντως πλατύς. Καὶ ἡ χεὶρ τοιγαροῦν οὐχ ὡς οὐσία σὺν οὐσίᾳ τῷ σώματι, οὐδ' ὡς περὶ οὐσίαν τὴν χεῖρα, οὐσία τὸ σῶμα, ὥσπερ ὁ χιτών, καὶ τὰ ὅπλα περὶ τὸ σῶμα· ἀλλ' ἔχει δηλονότι τὴν χεῖρα ὁ ἄνθρωπος, ὅπερ ἔφην, ὡς μέρος σώματος, ὃ δὴ καὶ ὁ τῆς Ἐκκλησίας φιλόσοφος ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης φησίν. Οὐ μὴν ἀλλὰ καὶ Ἀριστοτέλης αὐτός, ὁ σὸς δηλαδὴ διδάσκαλος, ᾧ τέως ἔδει σε πείθεσθαι, κατ' αὐτό τε τοῦτό φημι, καὶ ὅτι καὶ τὸν περὶ τοῦ ἔχειν ἑαυτῷ συμπληρῶν λόγον ἐκεῖνος, οὐκ ἐν τοῖς ὀκτὼ περιώρισε τοῦτον μόνοις, ἀλλ' ἴσως ἄν, φησί, καὶ ἄλλοι τινὲς τρόποι φανείησαν τοῦ ἔχειν. Ὃ δὴ καὶ ὁ σοφώτατος ἡμᾶς ὡσαύτως διδάσκει Δαμασκηνός.

Ἀλλὰ σὺ τὴν τῶν σῶν λόγων ἀταξίαν τε καὶ τὴν ἄγνοιαν, καὶ τὴν σύγχυσιν ταύτην ὄντως, ἢ οὐκ οἶδ' ὅπως ἂν ἀξίως προσείπω τὸ κατ' αὐτούς, καὶ ἐπὶ τὴν ὑψηλὴν θεολογίαν τοῦ Πνεύματος ἀπὸ τῶν κάτω τουτωνὶ καὶ περιπεζίων μετενεγκών, ἀσχημοσύνης καὶ γέλωτος, μᾶλλον δὲ καὶ δακρύων ἀξίους τοῖς γε νοῦν ἔχουσι τούτους ἀπέδειξας. Ὅταν γὰρ τὸ δημιουργικὸν τοῦ Θεοῦ, καὶ τὸ προγνωστικόν, καὶ τὴν πρόνοιαν καὶ ἁπλῶς πᾶσαν δύναμίν τε καὶ ἐνέργειαν, οὐσίαν εἶναι λέγῃς Θεοῦ, τί ἄλλο γε φῂς ἢ τῶν δύο τούτων τὸ ἕτερον, λέγω δή, ἢ τὸ πολλὰς οὐσίας ἔχειν τὸν Θεόν, ἢ τὴν οὐσίαν αὐτοῦ οὐ μόνον ἐκ πολλῶν οὐσιῶν συγκεῖσθαι, ἀλλὰ καὶ ἐξ ἀνομοίων μερῶν; ὃ δὴ καὶ Εὐνομίῳ οἱ καθ' ἡμᾶς φημι θεολόγοι διδάσκαλοι προφανῶς ἐνεκάλουν. Ἀλλ' οὐκ οὐσίας Θεοῦ ταῦτα κατ' Εὐνόμιον λέγεις αὐτός, ἀλλὰ κτίσματα· τοῦτο γὰρ καὶ τῶν βλασφημιῶν τὸ κεφάλαιον, φημὶ δὴ τὸ εἰς κτίσμα σπεύδειν συγκατασπᾶν τὸν Θεὸν διὰ τῶν αὐτοῦ φυσικῶν. Δεῖ γὰρ κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικά, λόγος ἀνακηρύττει θεολογικός τε καὶ φυσικός· ἀλλὰ μήπω τοῦτο, ἀλλ' ἐπ' ἐκεῖνα πάλιν ἴωμεν. Φησὶ γὰρ ὁ διαλεκτικὸς οὑτοσὶ καὶ φιλόσοφος ἐκ τῶν Ἀριστοτελικῶν, ὡς ἔφην, ὁρμώμενος κατηγοριῶν, καὶ ταύτας ἐπιστρατεύων τῇ θεολογίᾳ τοῦ Πνεύματος, οὗ δὴ χάριν καὶ τὸν ἐκ Δαμασκοῦ θεολόγον τε καὶ φιλόσοφον καὶ τοὺς ἐκείνου κακῶς ὑποδύεται λόγους, ὅτι τὸ ἔχειν ὁμώνυμος οὖσα φωνή, καὶ πολύσημος τοῖς κτίσμασι μόνοις προσήκει, ἀλλ' οὐχὶ καὶ τῇ ἁπλουστάτῃ τοῦ Θεοῦ φύσει. Τοῦτο καὶ γὰρ τῶν τεττάρων αὐτοῦ κεφαλαίων τὸ πρῶτον, δι' οὗ τοὺς ἐκτεθεικότας τὸν τόμον ἀμαθίας τε καὶ ἀσεβείας ἐγράψατο· ἀμαθίαν μὲν ἐκεῖνο, τὴν δὲ τῆς θείας ἐνεργείας πρὸς τὴν πηγάζουσαν θείαν οὐσίαν διαφορὰν ἀσέβειαν εἰρηκώς. Ἀλλὰ περὶ μὲν ἐνεργείας θείας καὶ τῆς κατ' αὐτὴν διαφορᾶς μετ' ὀλίγον ἐροῦμεν πλατύτερον. Νῦν δὲ περὶ τῆς τοῦ ἔχειν φωνῆς βραχέ' ἄττα λεκτέον ἂν εἴη πρὸς τὸν φιλόσοφον.

Πῶς φῄς, ὦ βέλτιστε, μηδαμῶς τὴν μακαρίαν καὶ ἁπλουστάτην τοῦ Θεοῦ φύσιν κεκτῆσθαι τὸ ἔχειν; Εἰ μὲν γάρ τι τῶν ὄντων ἓν ὁποιοῦν, ἢ καὶ δύο, ἔλεγες μὴ ἔχειν αὐτήν, οὐδ' οὕτως ἂν ἦς ἀνεκτός, τὸν πάντων αἴτιον δυσσεβῶς ἀφαιρῶν τῶν αὐτοῦ· νῦν δὲ οὐχ ἓν καὶ δύο καὶ τρία, ἀλλ' αὐτὴν τὴν τοῦ ἔχειν δύναμιν ἀφαιρῶν καθάπαξ αὐτοῦ, μὴ ὄντα, φεῦ! κατασκευάζεις κάκιστα τὸν Δεσπότην τῶν ὄντων. Ἀλλ' οὐ πάντη τε καὶ πάντως φημὶ τὸν Θεὸν μὴ κεκτῆσθαι τὸ ἔχειν.

Ἀλλ' οὐ κυρίως, φησὶν ὁ φιλόσοφος. Καὶ εἰ μὴ κυρίως ὁ Θεὸς ἔχει τὸ ἔχειν, λοιπὸν οὐ πάντοτε αὐτὸ


Digitized by Google

ἔχει, οὐδὲ ὅσα ἔχει φυσικῶς τε ἅμα καὶ δεσποτικῶς· τοιοῦτον καὶ γὰρ τὰ μὴ κυρίως.· Ἐνδέχεται γοῦν καὶ ἀποβαλεῖν αὐτά. Καὶ σκόπει δὴ τὰ ἑπόμενα, τούτου κατὰ τὸν φιλόσοφον τοῦ λόγου κρατοῦντος. Ἔχει βασιλείαν ὁ Θεὸς, καὶ κυριότητα, καὶ δύναμιν. Βασιλεὺς γὰρ τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυρίων, καὶ μόνος κραταιὸς καὶ δυνατὸς παρὰ τῆς θεολογίας ὑμνεῖται, καὶ ζωῆς αἰωνίου χορηγὸς, καὶ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον. Εἰ οὖν οὐ κυρίως ἔχει ταῦτα, καθά φησιν ὁ κενὸς οὑτοσὶ θεολόγος, πῶς τοῖς ἄλλοις αὐτὰ δίδωσι, βασιλέας, καὶ κυρίους καὶ ἀθανάτους ποιῶν;

Τί δὲ, οὐδὲ τοὺς ἀγγέλους ἔχει κυρίως, οἷς ἔργον ἄληκτόν τε καὶ ἀκατάπαυστον ὁ ὕμνος ἐκεῖνος; τοῦτο γὰρ ἡ θεολογία ταῖς φύσεσιν ἐκείναις ἐξαιρέτως προσμαρτυρεῖ, καὶ προσέτι τὸ, *Δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.* Ἢ οὐδὲ τὴν αἰσθητὴν ταύτην, καὶ ὁρωμένην ἔχει ξύμπασαν κτίσιν, ἣν πάλαι παραγαγὼν ἐξ οὐκ ὄντων, εἰσέτι καὶ νῦν τὴν αὐτῆς ἐργάζεται πρόνοιαν καὶ οἰκονομίαν. *Ὁ Πατήρ μου*, καὶ γάρ φησιν, *ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι.* Ἢ ἔχειν μὲν φῂς ταῦτα τὸν Θεὸν, ἵνα τι καὶ συγκατέλθωμεν τοῖς σοῖς λόγοις, οὐ λέγεσθαι δὲ κυρίως ἔχειν αὐτά. Τῆς αἰσχύνης! Διατί καὶ γὰρ, εἰπέ μοι, ἢ πόθεν ἔχεις μαθὼν τὴν καινὴν ταύτην καὶ τερατώδη θεολογίαν; Ὅτι οὐ βούλεται, φησὶν, ἡ φιλόσοφος κατηγορία ἐκείνη τοῦτο, καὶ ὁ τοῦ ἔχειν λόγος.

Ἔδει μὲν οὖν μηδὲ ἀποκρίσεως ἡστινοσοῦν ἀξιοῦν σε πρὸς ταῦτα, ἀλλὰ τὴν δεσποτικὴν μόνην φωνὴν ἐπειπόντα, ἣν δὴ καὶ Βασίλειος ὁ μέγας Εὐνομίῳ προήνεγκε τὰ τοιαῦτα ληροῦντι, τὴν, Ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλῇ, καὶ ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ, ἐπὶ τὴν τῆς ἀληθείας θεολογίαν τρέψαι τὸν λόγον. Ὡς ἂν δὲ μὴ δόξαιμεν καὶ ἡμεῖς δι' ἀπορίαν ταυτὶ παρατρέχειν, ὅ φησιν ὁ μακάριος ἐκεῖνος, εἰπὲ δή μοι, φιλόσοφε· οὐδὲ ὡς κτήτορα λέγεις γοῦν τὸν Θεὸν ἔχειν τόν τε νοητὸν καὶ αἰσθητὸν κόσμον; ἐπεὶ καὶ τοῦτο ἓν τῶν τοῦ ἔχειν σημαινομένων ἡ σὴ φιλοσοφία φησί. Λεγόμεθα γὰρ, φησὶν, ἔχειν ἀγρὸν, καὶ ἵππον, καὶ παῖδα, καίτοι γε τῶν ἀνθρώπων οἱ ταῦτα κεκτημένοι οὐ δημιουργοὶ τῶν τοιούτων εἰσί. Καὶ διὰ τοῦτο οὐδὲ κυρίως ἅπερ ἔχουσιν, οὐδὲ δεσπόται κυρίως ἐκείνων εἰσὶν, ὑπὸ τὴν αὐτὴν ὄντες δεσποτείαν ἐκείνοις, εἰ καὶ κατὰ φιλοτιμίαν ἐκείνου καὶ χάριν πρὸς καιρὸν κτισμάτων αὐτοῦ τινων ἄρχουσιν.

Ὁ δὲ Θεὸς καὶ δημιουργὸς, καὶ ποιητὴς τῶν ὄντων ἐκ τοῦ μὴ ὄντος, καὶ διὰ τοῦτο καὶ κυρίως ἔχων πάντα, καὶ βασιλεύων, καὶ δεσπόζων ἁπάντων κυρίως, *Τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.* Μᾶλλον δὲ τί χρὴ περὶ τῶν ζώντων πυνθάνεσθαι τὰ νεκρά; Τοιαῦτα καὶ γὰρ τὰ τῆς ματαίας καὶ κενῆς τῷ ὄντι σοφίας, ἀλλὰ μὴ τῆς ἐνυποστάτου Θεοῦ σοφίας, τοῦ μόνου καθηγητοῦ καὶ διδασκάλου πάντων ἀκούειν Χριστοῦ λέγοντος· *Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν*, καὶ, *Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν.*

Καὶ πρὸς αὐτῷ δὲ τῷ σταυρῷ καὶ τῷ θανάτῳ γενόμενος, πρὸς τοὺς ἰδίους μαθητὰς ἔλεγε, *Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι.* Καὶ πρὸς τὸν ἴδιον δὲ Πατέρα, *Καὶ νῦν δόξασόν με σὺ*, φησὶ, *Πάτερ, τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.* Τὸ δὴ ταῦτα καὶ τὰ τοιαῦτα μὴ κυρίως ἔχειν τὸν Θεὸν λέγειν, ἢ μὴ κυρίως λέγεσθαι ἔχειν, ὅπερ ἡ κενὴ τοῦ Γρηγορᾶ σοφία φησὶ, πῶς οὐ ψεύδεσθαι τὴν αὐτοαλήθειαν λέγειν ἐστίν; ὅπερ ὁ τῶν ἀσεβειῶν ἄντικρυς κολοφὼν, καὶ οὐδὲ Χριστιανῶν ἀκοαῖς γοῦν φορητόν. Ἀλλ' ἐπαναχτέον αὖθις τὸν λόγον ἐπὶ τὰ πρῶτα καὶ ὄντως ὄντα μόνα καὶ ὑψηλότατα. Οὐδὲ τρεῖς ὑποστάσεις ὁ Θεὸς ἔχει κυρίως, ὦ καλὲ Γρηγορᾶ, οὐδὲ Υἱὸν ὁ Πατὴρ, οὐδὲ Πνεῦμα ἔχει; Ὁμοούσια καὶ γὰρ, ἀλλ' οὐχ ὡς οὐσία περὶ οὐσίαν ταῦτα, οὐδ' ὡς συμβεβηκὸς περὶ τὴν οὐσίαν, οὐδὲ ὡς κτίσμα καὶ κτῆμα τοῦ ἔχοντος, ἅπερ ἡ σὴ μόνη σοφία περὶ τοῦ ἔχειν βούλεται, καὶ διὰ τοῦτ' ἐπὶ τῶν κτισμάτων αὐτὸ μόνον, ἀλλ' οὐκ ἐπὶ Θεοῦ λέγεσθαι βούλεται. Καὶ εἰ ταῦθ' οὕτω φῂς ἔχειν, τίνος χάριν Σαβέλλιον μόνον ἐλαύνομεν; Αὐτὰ καὶ γὰρ ταῦτα κἀκεῖνός φησι, καὶ οὐχ ἕτερα, ὥσπερ οὐσίαν μίαν, οὕτω δὲ καὶ πρόσωπον ἓν λέγων, καὶ μηδένα τῶν ὑποστάσεων λόγον ποιούμενος. Ἐῶ γὰρ νῦν λέγειν, ὅτι καὶ τὴν Εὐνομίου τε καὶ Ἀρείου δόξαν ὑπερβαίνει κακῶς τὰ τοιαῦτα. Πρόθυμοι καὶ γὰρ ἂν εἶπον ἐκεῖνοι τῇ περὶ τοῦ ἔχειν συντρέχοντες σῇ φιλοσοφίᾳ, ὅτι καὶ Υἱὸν ὁ Πατὴρ καὶ Πνεῦμα λέγεται ἔχειν, ὡς οὐσία περὶ οὐσίαν, ἐπειδὴ τὰς τρεῖς ὑποστάσεις ἀνομοίους ἀλλήλαις καὶ ἑτεροουσίους δοξάζοντες ἦσαν.

Ὅπερ ἵνα μὴ πάθῃς αὐτὸς, ὡς ἔοικε, μηδὲ κάμῃς συνιστάμενος τοῖς ὑπὲρ Θεοῦ λόγοις, τῇ μὲν οὐσίᾳ συνάπτων, ταῖς δ' ὑποστάσεσι διαιρῶν, εὐσεβῶς τε καὶ ἀποστολικῶς ἄμφω, ἑνὶ λόγῳ τὸ πᾶν διὰ τῆς σῆς θαυμαστῆς φιλοσοφίας ἀνεῖλες, καὶ τοῖς ἐχθροῖς κατὰ τὸν εἰπόντα προδέδωκας τὸ ζητούμενον, μήτε Υἱὸν ἔχειν μήτε Πνεῦμα τὸν Πατέρα κατασκευάσας, ἐπειδὴ τὸ ἔχειν οὐ κυρίως προσήκει Θεῷ, οὔτε τὸν Πατέρα τιμήσας ὡς ἀρχὴν ἄναρχον ὄντα τῶν ἐξ αὐτοῦ, καὶ ἀτιμάσας, μᾶλλον δ' ὅσον τὸ ἐπὶ σοὶ, καὶ ἀνελὼν καὶ ταῦτα κἀκεῖνον. Ἢ διὰ τὸ, πρός τι, καὶ ἀναφορικὰ πρὸς τῶν σῶν κατηγοριῶν ταυτὶ λέγεσθαι, τὸ ἔχειν οὐ δώσεις ἄλληλα τούτοις, ἵνα μή τι περὶ ταύτας παρανομήσῃς, καίτοι γε τοῦ Πνεύματος μηδ' ἐκεῖνα ὄντος, οὐδὲ γὰρ τῶν ἀναφορικῶν κατὰ τὸν Υἱὸν καὶ τοῦτο, πλὴν καὶ τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, ἀϊδίως τε καὶ συνανάρχως ὡς ἴδιον ἐχόντων τοῦτο καὶ ὁμοούσιον. Τῶν ληρημάτων!

Οὕτως ὁ φιλόσοφος οὐ μόνον ἀσεβείας καὶ ἀμαθίας, οὐδὲ κλοπῆς καὶ βωμολοχίας, καὶ δὴ καὶ συκοφαντίας πρὸς τούτοις, ὡς αὐτός φησιν, οὐχ εἷλε τοὺς ἐκδεδωκότας τὸν τόμον, ἀλλὰ πρός γε τῷ ψεύδεσθαι περιφανῶς καὶ αναισχυντεῖν κἀκεῖνα πάνθ' ὁμοῦ, μᾶλλον δὲ καὶ τὰ πολλῷ χείριστα καὶ ἀτοπώτατα νοσῶν ἐκ περιουσίας αὐτὸς ἀνεφάνη, ὅπερ ὁ λόγος ὑπέσχετο δεῖξαι.

Digitized by Google

Φέρε δὴ καὶ τὸν ἄκρον ἐκεῖνον μετὰ τοὺς ἀποστόλους θεολόγον, τὸν ἱερόν φημι κατίδωμεν Διονύσιον, ὃν καὶ συκοφαντεῖν ἔφη τὴν Χριστοῦ Ἐκκλησίαν ὁ Γρηγορᾶς, ἔν γε τῷ περὶ δυνάμεως ἱερᾶς ἐκείνου λόγῳ, καὶ πόῤῥω τῆς ἐκείνου διανοίας καὶ τῆς σοφίας γίγνεσθαι, μᾶλλον δὲ τὰ ῥηθέντα πρὸ μικροῦ περὶ τούτου κατὰ τοῦ τόμου τῷ Γρηγορᾷ, καὶ αὖθις πρὸ ἐκείνων ἐπαναλάβωμεν. Σοφὸς, φησὶν, ὢν ἐκεῖνος ὁ θεῖος ἀνὴρ, τὸν θεῖον δηλαδὴ δηλῶν Διονύσιον, καὶ τοῖς κτίσμασιν ἀπονενεμημένον εἰδὼς τὸ τοῦ ἔχειν πολύσημον, εἰκότως κἀνταῦθα τοῖς κτίσμασιν ἀποδέδωκε.

Καὶ βλέπε μοι πρὸ τῶν ἄλλων κἀνταῦθα τοῦ κενοῦ τῶν θεολόγων ἐξηγητοῦ τούτου τῶν λόγων τὸ ἀδιανόητόν τε καὶ ἀκατάλληλον. Αὐτὸς γάρ ἐστιν οὗτος ὁ μικρὸν ἀνωτέρω λέγων ἐκεῖνα, ὅτι Διονύσιος μὲν περὶ θείας θεολογῶν δυνάμεως πρός γε τοῖς ἄλλοις τοῦτό φησιν, ὅτι τὸ μηδεμίαν δύναμιν ἔχον οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις. Εἶτα μικρὸν παρακατιὼν, ἧπερ ἔφην, περὶ κτισμάτων μόνων ἐκεῖνον ποιεῖσθαι τὸν λόγον φησὶν, ὥσπερ ἔξω κατὰ τὴν χείρω γε ἔκστασιν αὐτὸς ἑαυτοῦ γεγονὼς, καὶ οὐκ εἰδὼς ἃ λέγει. Εἰ γὰρ περὶ κτισμάτων μόνων ἁπλῶς ὁ λόγος ἐνταῦθα τῷ θεολόγῳ, καὶ οὐδὲ ἄλλο πλὴν τούτου, πῶς περὶ δυνάμεως θείας θεολογεῖν αὐτὸν προλαβὼν εἴρηκας; Οὔτε γὰρ θεῖον ἄν ποτε τῶν κτισμάτων ἐν οὐδὲν εἴη παρ' ἑαυτοῦ, οὔτε θεολογοῦνται τὰ κτίσματα, εἰ μὴ βούλοιτο τῇ κτίσει λατρεύειν κατὰ τὴν παλαιὰν ἀθεΐαν ὁ ταῦτα θεοποιεῖν τε καὶ θεολογεῖν ᾑρημένος. Πῶς οὖν αὐτὸς λέγεις περὶ θείας θεολογεῖν δυνάμεως τὸν περὶ τῶν κτισμάτων ἁπλῶς λέγοντα; Ἢ γὰρ καὶ τὰ κτίσματα θεῖα, καὶ θεολογοῦνται καθὸ θεοὶ κατὰ τὸν σὸν λόγον, ἢ ταυτόν τι καὶ ἓν κτίσμα καὶ θεία δύναμις. Εἰ δὲ μὴ θάτερον τούτων, ἀλλ' οὐσίαν ἐρεῖς ἐξ ἀνάγκης Θεοῦ τὴν φυσικὴν αὐτοῦ δύναμιν, καὶ ἄμφω μὲν οὖν ταῦτα λέγεις, καὶ διαῤῥήδην κηρύττεις τε καὶ φιλοσοφεῖς· καὶ οὗτος ὁ τοῦ πολυστίχου σοι τουτουῒ βιβλίου λόγος τε καὶ σκοπὸς, τὸ τὰ μὲν πολυύμνητα τῆς τοῦ Θεοῦ φύσεως ἰδιώματα, ἃ καὶ φυσικὰ τοῦ Θεοῦ, καὶ φυσικῶς τῷ Θεῷ προσόντα διαφόρως οἱ θεολόγοι Πατέρες ἐδίδαξαν, κτίσματα πάνθ' ὁμοῦ μετὰ τῶν τὰ Ἀρείου φρονούντων ἀποδεῖξαι, τὴν δὲ θείαν οὐσίαν δογματίσαι μόνην, πάντων τῶν προσόντων γυμνὴν, ὑπὲρ οὗ καὶ τοῖς κορυφαίοις δηλαδὴ τῶν Πατέρων ὁ πολυθρύλλητος πρὸς Εὐνόμιον ἐκεῖνος ἦν πόλεμος· καὶ δι' ἃ καὶ αὐτὸς τῆς Ἐκκλησίας ἀποῤῥαγεὶς, τὴν συχνὴν ταυτηνὶ βλασφημίαν, καὶ τὴν ὕβριν, καὶ τὴν συκοφαντίαν, καὶ τὸν κενὸν κατ' αὐτῆς, μᾶλλον δ' εἰπεῖν ἀληθῶς κατὰ τῆς σεαυτοῦ κεφαλῆς, ψυχῆς ἀνεδέξω πόλεμον.

Ἀλλ' ἄγε δὴ πρὸς τὸν ἱερὸν Διονύσιον καὶ τοὺς ἐκείνου περὶ δυνάμεως θείας ἔλθωμεν λόγους, μικρὸν ἄνωθεν ἀναλαβόντες τὸν λόγον. Δύναμις, φησὶν, ἐστιν ὁ Θεὸς ὡς πᾶσαν δύναμιν ἐν ἑαυτῷ προέχων καὶ ὑπερέχων, καὶ ὡς πάσης δυνάμεως αἴτιος· καὶ πάντα κατὰ δύναμιν ἄκλιτον καὶ ἀπεριόριστον παράγων, καὶ ὡς αὐτοῦ τοῦ εἶναι δύναμιν, ἢ τὴν ὅλην, A ἢ τὴν καθέκαστον αἴτιος ὢν, καὶ ὡς ἀπειροδύναμος, οὐ μόνον τῷ πᾶσαν δύναμιν παράγειν, ἀλλὰ καὶ τῷ ὑπὲρ πᾶσαν, καὶ τὴν αὐτοδύναμιν εἶναι, καὶ τῷ ὑπερδύνασθαι, καὶ ἀπειράκις ἀπείρους τῶν οὐσῶν δυνάμεων ἑτέρας παραγαγεῖν, καὶ τῷ μὴ ἄν ποτε δυνηθῆναι τὰς ἀπείρους καὶ ἐπ' ἄπειρον παραγομένας δυνάμεις τὴν ὑπεράπειρον αὐτοῦ τῆς δυναμοποιοῦ δυνάμεως ἀμβλῦναι ποίησιν, καὶ τῷ ἀφθέγκτῳ, καὶ ἀγνώστῳ, καὶ ἀνεπινοήτῳ τῆς πάντα ὑπερεχούσης αὐτοῦ δυνάμεως. Ἣ διὰ περιουσίαν τοῦ δυνατοῦ, καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς συνέχει, καὶ διακρατεῖ. Λέγε δὴ οὖν, ὦ φιλόσοφε, καὶ ἐξηγοῦ τὸν ἀληθῆ τουτονὶ φιλόσοφόν τε καὶ θεολόγον ὀρθῶς τε καὶ ἀπταίστως, καὶ ὡς αὐτὸς B οὗτος ἀληθῶς βούλεται· εἰ δ' οὖν, ἀλλὰ τὴν γλῶτταν ἐπισχὼν τέως τῶν αὐτοῦ λόγων ἄκουε νουνεχῶς, οὐχ ἑρμηνείας οὐδὲ σαφηνείας τῆς ἔξωθεν δεομένων.

Ὁ μὲν γὰρ σκοπός ἐστιν ἐνταῦθα τούτῳ τοῦ λόγου περὶ θείας θεολογῆσαι δυνάμεως, καθὰ καὶ αὐτὸς εἴρηκας δήπουθεν· προάγει δ' οὑτωσὶ τὴν θεολογίαν, καθάπερ ἀκούεις· δύναμιν καὶ γάρ φησι λέγεσθαι τὸν Θεὸν, κατά τε διαφόρους αἰτίας καὶ τρόπους, ἃ καὶ μέχρι δεκάδος διελὼν ἤδη προήνεγκε, καὶ ὡς αὐτοῦ τοῦ εἶναι δύναμιν, ἢ τὴν ὅλην, ἢ τὴν καθέκαστον αἴτιος ὢν, καὶ ὡς ἀπειροδύναμος.

Ἀπειροδύναμον δὲ τοῦτον ὑμνεῖ, καθάπερ ἀκού- C εις, οὐ μόνον διὰ τὸ πᾶσαν δύναμιν παράγειν, φησὶν, ἀλλὰ καὶ διὰ τὸ ὑπὲρ πᾶσαν, καὶ τὴν αὐτοδύναμιν εἶναι, καὶ διὰ τὸ ὑπερδύνασθαι, καὶ ἀπειράκις ἀπείρους τῶν οὐσῶν δυνάμεων ἑτέρας παραγαγεῖν, καὶ διὰ τὸ μὴ ἄν ποτε δυνηθῆναι τὰς ἀπείρους, καὶ ἐπ' ἄπειρον παραγομένας δυνάμεις τὴν ὑπεράπειρον αὐτοῦ τῆς δυναμοποιοῦ δυνάμεως ἀμβλῦναι ποίησιν, καὶ διὰ τὸ ἄφθεγκτον, καὶ ἄγνωστον καὶ ἀνεπινόητον τῆς πάντα ὑπερεχούσης αὐτοῦ δυνάμεως, ἥτις, φησὶ, διὰ περιουσίαν τοῦ δυνατοῦ καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς συνέχει καὶ διακρατεῖ. Αἱ μὲν οὖν πᾶσαι δυνάμεις, ἃς ὁ ἀπειροδύναμος παράγει Θεὸς, καὶ ὧν ἀπειράκις ἀπείρους δυνάμεις ἑτέρας δύναται, μᾶλλον δὲ ὑπερδύναται παραγαγεῖν, δηλονότι D αἱ τῶν κτισμάτων ἑκάστου ἀνάλογοι φυσικαὶ δυνάμεις εἰσὶ, τῶν τε νοητῶν καὶ αἰσθητῶν, ἐμψύχων τε καὶ ἀψύχων, καὶ ἁπλῶς πάντων ὁμοῦ· τὸ γὰρ μηδεμίαν δύναμιν ἔχον, φησὶν, οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις.

Ἡ δὲ ὑπεράπειρος αὐτοῦ δυναμοποιὸς δύναμις, καὶ αὐτοδύναμις, ἧς τὴν ποίησιν οὐκ ἄν ποτέ φησιν ἀσθενῆσαι δυνηθῆναι ποιῆσαι τὰς ὑπ' αὐτῆς ποιουμένας, ἢ καὶ ποιηθησομένας καθ' ὑπόθεσιν ἀπείρους ἑτέρας δυνάμεις, ἥτις, ὡς αὐτός φησι, καὶ ἄφθεγκτος, καὶ ἀνεπινόητος, καὶ πάντα ὑπερέχουσα δύναμίς ἐστι τοῦ Θεοῦ, καὶ διὰ περιουσίαν ἰσχύος καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς συνέχει καὶ διακρατεῖ, τὴν γοῦν τὰ θεοπρεπῆ ταυτὶ πάντα πλουτοῦσαν αὐχήματα·

Digitized by Google

A τὴν τῶν ἁπασῶν ὁμοῦ δυνάμεων ποιητικὴν, καὶ αὐτῶν δηλαδὴ τῶν ἀγγελικῶν, τὴν ἄφθεγκτον καὶ ἀνεπινόητον καὶ πάντα ὑπερέχουσαν δύναμιν τοῦ Θεοῦ, ἥτις διὰ περιουσίαν τοῦ δυνατοῦ, καὶ τὴν ἀσθένειαν δυναμοῖ, καὶ τὰ ἔσχατα τῶν ἀπηχημάτων αὐτῆς διακρατεῖ, ταύτην τοιγαροῦν τὴν οὕτως ὑπερφυᾶ τε καὶ πολυύμνητον, ὁποίαν τινὰ ἐκλαμβάνεις αὐτὸς εἶναι, Γρηγορᾶ; Καίτοι γε καὶ ἄῤῥητον καὶ ἀνεπινόητον πρός γε τοῖς ἄλλοις ὁ θεολόγος αὐτὴν καθ' αὑτὴν φθάσας ὕμνησεν.

Ἐκ δὲ τῶν εἰρημένων ἀποτελεσμάτων ἤτοι τῶν ποιημάτων ἔστι τοῖς ὀρθῶς σκοποῦσιν ἀμηγέπη τεκμήρασθαι. Τί οὖν αὐτὴν φῄς; Πάντως ἢ Θεοῦ κτίσμα τὴν ἔμφυτον τοῦ παντοδυνάμου Θεοῦ δύναμιν ἐρεῖς, ἢ οὐσίαν Θεοῦ. Ταῦτα καὶ γὰρ διαδεξάμενος B ἔχεις παρὰ τῶν σῶν ἑταίρων τε καὶ καθηγητῶν, Βαρλαὰμ καὶ Ἀκινδύνου φημὶ, καὶ οὗτος ὑμῶν τῆς κενῆς θεολογίας ὁ τρόπος· μᾶλλον δὲ τὸ μὲν κτίσμα, εἰ καὶ φθάσας εἰρήκεις ἐν τοῖς σοῖς ἤδη λόγοις, διὸ δὴ καὶ τὴν συχνὴν ἐκείνην ἀδολεσχίαν τε καὶ τὴν βλασφημίαν κατὰ τῶν ἐκθεμένων τὸν τόμον ἐξήμεσας, καὶ συκοφάντας, καὶ βωμολόχους, καὶ παραβλῶπας τῶν ἱερῶν λόγων πρὸς τοῖς ἄλλοις ἀποκαλῶν, ἀλλ' ἀρνήσασθαι νῦν τέως καὶ διαγράψαι μοι δοκεῖς, τῷ τῶν θεοπρεπῶν ὀνομάτων καὶ λόγων ἀφύκτῳ τοῦ θεολόγου τούτου πανταχόθεν συνελαυνόμενός τε καὶ οἷον ἀγχόμενος.

Ἐπὶ δὲ τὴν οὐσίαν τοῦ Θεοῦ καταφεύξῃ, ἐπειδὴ καὶ, καθὰ φθάσας ἔφην, οὐσίαν τὸν Θεὸν οἶσθα μόνην, C πάσης φυσικῆς ἐνεργείας καὶ δυνάμεως καὶ χάριτος ἄμοιρον, καὶ ὡς ὁ θεολόγος οὑτοσὶ καὶ θεόπτης διὰ πλείστων θεολογεῖ προόδους Θεοῦ, καὶ διαδόσεις, καὶ προνοίας, καὶ ἀγαθότητας, καὶ μετοχὰς, καὶ αὐτομετοχὰς ταύτας θεολογῶν, ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑποβλυζούσας. Μᾶλλον δ' αὐτῶν ἐκείνων τῶν περὶ θείων ὀνομάτων αὐτοῦ λόγων καὶ πάλιν ἀπὸ μέρους ἀκούσωμεν.

Ἐν γοῦν κεφαλαίῳ πέμπτῳ περὶ τοῦ ὄντος θεολογῶν ἐξ αὐτῶν τῶν προοιμίων τοιάδε φησί· Τῷ λόγῳ σκοπὸς οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιον, ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο καὶ ἄγνωστόν ἐστι, καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα D πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι. Εἶτα μεταξὺ περὶ τῆς μετοχῆς καὶ θεοπρεποῦς ὑπεροχῆς τῶν θείων τουτωνὶ προόδων ἐν ἐπιτόμῳ θεολογήσας, τοῦ ἀγαθοῦ, τοῦ ὄντος, τῆς ζωῆς, τῆς σοφίας, καὶ τῶν τοιούτων, ἐπάγει πάλιν ἑξῆς· Ταύτας οὖν ὁ λόγος ὑμνῆσαι ποθεῖ, τὰς τῆς προνοίας ἐκφαντορικὰς θεωνυμίας. Οὐ γὰρ ἐκφράσαι τὴν αὐτοϋπερούσιον ἀγαθότητα, καὶ οὐσίαν, καὶ ζωὴν, καὶ σοφίαν τῆς αὐτοϋπερουσίου θεότητος ἐπαγγέλλεται, τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα, καὶ θεότητα, καὶ οὐσίαν, καὶ ζωὴν, καὶ σοφίαν ἐν ἀποκρύφοις, ὡς τὰ λόγιά φησιν, ὑπεριδρυμένην· ἀλλὰ τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν, καὶ ὑπεροχικῶς ἀγαθότητα, καὶ πάντων ἀγαθῶν αἰτίαν ὑμνεῖ, καὶ ὂν, καὶ ζωὴν, καὶ σοφίαν τὴν οὐσιοποιὸν, καὶ σοφοδότιν αἰτίαν, τῶν οὐσίας, καὶ ζωῆς, καὶ νοῦ, καὶ λόγου, καὶ αἰσθήσεως μετειληφότων.

Συνῆκας νῦν γοῦν, ὦ φιλόσοφε, τῆς θαυμαστῆς ταύτης τοῦ ἀληθινοῦ τούτου φιλοσόφου καὶ θεοσόφου περὶ τὰ θεῖα καὶ ὑψηλὰ φιλοσοφίας καὶ γνώμης; καὶ ὅπως καὶ τὸ ὑπερούσιον ἀμέθεκτον, καὶ ἄῤῥητον, καὶ ἀπόκρυφον τῆς τοῦ Θεοῦ οὐσίας σιγῇ τὰ πλεῖστα τιμᾷ, καὶ τῶν αὐτομετοχῶν αὐτοῦ καὶ προόδων, καὶ μεθέξεων, τὸ θεῖον αὖθις, καὶ ὑψηλὸν, καὶ θεοπρεπὲς, καὶ μεθεκτὸν ἀνυμνεῖ; Ἆρ' οὐχὶ σαφῶς τε καὶ ἀριδήλως πάνυ παρίστησιν ἐκ τῶν θείων, ὡς αὐτός φησι, μυηθεὶς λόγων, ὅτι τοῦ Θεοῦ τὸ μὲν ὡς ὑπερούσιον καὶ ἄῤῥητόν ἐστι, καὶ ἄγνωστον, καὶ ἀμέθεκτον, τὸ δὲ καὶ ῥητὸν, καὶ μεθεκτὸν τοῖς κτίσμασιν ἀναλόγως, καὶ ἀπὸ μέρους διὰ φιλανθρωπίαν ληπτόν; Τὸ γὰρ τὴν ὑπερούσιον, φησὶν, οὐσίαν ἐκφαίνειν, καθὸ ὑπερούσιος, ἄῤῥητον καὶ ἄγνωστόν ἐστι, καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν. Τίς δ' αὕτη ἡ ἕνωσις, ἐν τοῖς ἑξῆς καὶ ταύτην αὐτὸς οὗτος ὑποδείκνυσι κάλλιστα τοῖς βουλομένοις μαθεῖν. Ἀλλὰ τὴν οὐσιοποιόν φησιν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον. Καὶ πάλιν· Οὐκ ἐκφράσαι ποθεῖ, φησὶν, ὁ λόγος τὴν αὐτοϋπερούσιον ἀγαθότητα τῆς αὐτοϋπερουσίου θεότητος, τὴν ὑπὲρ πᾶσαν ἀγαθότητα καὶ θεότητα, ἐν ἀποκρύφοις, ὡς τὰ λόγιά φησιν, ὑπεριδρυμένην· ἀλλὰ τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν, καὶ ὑπεροχικῶς ἀγαθότητα, καὶ πάντων ἀγαθῶν αἰτίαν ὑμνεῖ. Οὐκ ἐκείνην φησὶ τὴν ὑπερούσιον οὐσίαν, ἀλλὰ ταύτην τὴν ἐκπεφασμένην ἀγαθοποιὸν πρόνοιαν, καὶ ὑπεροχικῶς ἀγαθότητα. Τί φῄς, ὦ φιλόσοφε; Ὁρᾷς ἐν τοῖς εἰρημένοις ἐνταῦθα τῷ θεολόγῳ τούτῳ διαφοράν τινα Θεοῦ οὐσίας πρὸς τὴν ταύτης μετοχήν τε καὶ πρόοδον; Ἢ πάλιν ἓν ὁρᾷς τὰ πάντα, καὶ ἀδιάφορον τὴν οὐσίαν τοῦ Θεοῦ; Εἰ δ' ἄλλα μὲν ἐκεῖνο, ἄλλα δὲ ταῦτα, οὐκ ἐκείνην γὰρ, φησὶν ὁ θεολόγος, ἀλλὰ ταύτας ὑμνεῖν τῷ λόγῳ σκοπὸς, τί ταύτας φῂς πρὸς τῆς ἀληθείας αὐτῆς; Ἆρα πρὸς τὰ κτίσματα βλέψεις, ἢ παραβλέψεις πάλιν, ὥσπερ οἱ τὴν ἐν Χριστῷ θεοπρεπῆ παραβλέποντες πάλαι δύναμιν εἰς Βεελζεβούλ; Καὶ μὴν ἀποδέδεικται πρὸ βραχέος, ἐκ τούτου τοῦ θεολόγου φημὶ, μηδαμῶς εἶναι κτίσματα ταῦτα, ἀλλ' ἰδιώματα φυσικὰ τοῦ Θεοῦ. Ὅρα δὲ καὶ αὖθις ἐκ τῶν αὐτῶν. Οὐσιοποιὸν φησι ταυτηνὶ τὴν πρόοδον ὁ θεολόγος, καὶ οὐσιαρχίαν, καὶ πρόνοιαν ἀγαθοποιὸν, καὶ ὑπεροχικῶς ἀγαθότητα, καὶ πάντων ἀγαθῶν αἰτίαν. Ὃ δὴ καὶ ὁ θεοφόρος ἐξηγούμενος Μάξιμος, Οὐσιαρχίαν λέγει, φησὶ, τὴν πάσης οὐσίας ἀρχὴν καὶ αἰτίαν· αὐτὴ γὰρ ἡ θεότης ὑπὲρ πᾶσαν οὐσίαν· πρόοδον δὲ τὴν θείαν ἐνέργειαν λέγει, ἥτις πᾶσαν παρήγαγεν οὐσίαν. Εἰ γοῦν καὶ ἡ οὐσιοποιὸς αὐτοῦ δύναμις κτίσμα, κατὰ σὲ, πρῶτον μὲν ὁ κτίσμα τὴν οὐσιώδη δύναμιν ἔχων, κτίσμα καὶ αὐτὸς ἂν εἴη· ἔπειτα, καὶ εἰ κτίσμα ἡ δύναμις αὕτη, δι' ἑτέρας ἂν καὶ αὐτὴ κτισθείη δυνάμεως, κἀκείνη δι' ἄλλης, καὶ τοῦτο ἐπ' ἄπειρον. Ποῖον ἐκ τούτων τῶν οὕτως ὑψηλῶν, τῶν οὕτω θεοπρεπῶν, τῶν πάντα λόγον ὑπερβαινόντων, ὦ κενὲ θεολόγε, βούλει δυ-

Digitized by Google

ναι τοῖς κτίσμασιν; Ἑλοῦ τῶν ἀσεβειῶν, ἣν ἂν ἐθέλῃς, φησὶν, ἐπειδὴ διὰ τέλους βλασφημεῖν ἔγνωκας. Ὁ μὲν γὰρ θεοφόρος διδάσκαλος οὑτοσὶ τὸν Θεὸν εἶναι ταύτας λέγει, οὐ καθὸ ὑπερούσιος καὶ ἀμέθεκτος, ἀλλὰ καθὸ, φησὶν, οὐσιοποιὸς καὶ μεθεκτὸς, καὶ πάντων ἀγαθῶν αἴτιος.

Σὺ δὲ λέγε καὶ ἀντιτίθει τούτῳ τὰς ἐνεργείας σου τὰς ἀνυποστάτους, μᾶλλον δὲ τὰς ἀνυπάρκτους καθάπαξ, τὰς θεότητας τὰς κτιστὰς, τὰς ποτὲ μὲν σχέσιν, κατὰ σὲ, μόνην οὔσας, καὶ πλέον οὐδὲν, ποτὲ δὲ μέχρι φωνῆς μόνης οὔσας, μᾶλλον δὲ μηδαμῶς οὔσας, ὡς ἅμα τῷ ῥηθῆναι διαλυομένας, κατὰ σὲ, καὶ χωρούσας εἰς τὸ μὴ ὄν. Ταῦτα καὶ γὰρ τὰ τῆς σῆς κενῆς καὶ τερατώδους τῷ ὄντι θεολογίας, ἃ προσεξεῦρες τῇ θεολογίᾳ τῶν σῶν καθηγητῶν τε καὶ θεολόγων αὐτὸς παρὰ σεαυτοῦ· οὐδὲ γὰρ ἐκείνοις, καίτοι γε καὶ πολλὰς ἑαυτοῖς βλασφημίας τεμοῦσιν ὁδοὺς, οὐδέν τι τῶν τοιούτων ἐπῆλθεν εἰπεῖν.

Ἀλλὰ δέδοικας μὴ διθεΐᾳ περιπέσῃς ἢ πολυθεΐᾳ, διὰ τὴν διάκρισιν ταυτηνὶ τῆς θείας οὐσίας καὶ τῶν περὶ αὐτήν; Τοιαῦτα καὶ γὰρ τὰ τῶν ἀφρόνων μορμολύκειά τε καὶ φόβητρα, οἷς οὐχ ἄνδρες θορυβοῦνται μᾶλλον, ἀλλὰ νήπια γαλακτοτροφούμενά τε καὶ ψελλιζόμενα· καὶ διὰ τοῦτο τὴν ἀθεΐαν ὡς ῥάστην τε καὶ ἄπονον εἵλου, ναυαγήσας ἐν ὀλίγῳ τὴν σωτηρίαν, οὐ τὴν σὴν φημὶ μόνον, ἀλλὰ καὶ τὴν πολλῶν ἑτέρων τῶν σοι πεισθέντων κακῶς. Εἰκότως· οὐ γὰρ ὦτά σοι πέφυκεν, ὥστε ἀκούειν. Καὶ διὰ τοῦτό που καὶ ὁ Κύριος τοῖς ἀκροαταῖς ἔλεγε τοῦ οἰκείου λόγου· *Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.* Εἰ γάρ τι τούτων εὐπορῶν εἴης, ἤκουες ἂν ἑξῆς τοῦ αὐτοῦ θεολόγου κἀκεῖνα διεξιόντος. Οὐκ ἄλλο δὲ εἶναι τἀγαθόν φησιν, ὁ λόγος δηλαδὴ, καὶ ἄλλο τὸ ὄν, καὶ ἄλλο τὴν ζωὴν, ἢ τὴν σοφίαν, οὐδὲ πολλὰ τὰ αἴτια, καὶ ἄλλων ἄλλας παρεκτικὰς θεότητας, ὑπερεχούσας καὶ ὑφειμένας· ἀλλ' ἑνὸς Θεοῦ τὰς ὅλας ἀγαθὰς προόδους, καὶ τὰς παρ' ἡμῶν ἐξυμνουμένας θεωνυμίας. Καὶ πάλιν· Οὐ γὰρ οὐσίαν τινὰ θείαν ἢ ἀγγελικὴν εἶναί φαμεν τὸ αὐτοεῖναι, τοῦ εἶναι τὰ ὄντα πάντα αἰτίαν· μόνον γὰρ τοῦ εἶναι τὰ πάντα καὶ αὐτὸ τὸ εἶναι, τὸ ὑπερούσιον ἀρχὴ, καὶ οὐσία, καὶ αἴτιον· οὐδὲ ζωογόνον ἄλλην θεότητα παρὰ τὴν ὑπέρθεον πάντων ὅσα ζῇ, καὶ τῆς αὐτοζωῆς αἰτίαν ζωὴν, οὔτε συνελόντα εἰπεῖν, ἀρχικὰς τῶν ὄντων, καὶ δημιουργικὰς οὐσίας, καὶ ὑποστάσεις, ἅς τινες καὶ θεοὺς τῶν ὄντων, καὶ δημιουργοὺς αὐτοσχεδιάσαντες ἀπεστομάτισαν, οὓς ἀληθῶς καὶ κυρίως εἰπεῖν οὔτε αὐτοὶ ᾔδεισαν ἅτε δὴ οὐκ ὄντας, οὔτε οἱ πατέρες αὐτῶν. Προσέσχες; Οὐχ ὡς οὐσίας, φησὶν, ἢ ὑποστάσεις διακρίνομεν ἀπὸ τοῦ Θεοῦ τὸ ὂν, καὶ τὴν ζωὴν, καὶ τὸ ἀγαθὸν, καὶ τὴν σοφίαν καὶ τἄλλα,
A ἵν' ὡς θεοὶ καὶ δημιουργοὶ τῶν κτισμάτων εἶεν αὐτὰ αἴτια· ταῦτα γὰρ τὰ τῆς πολυθεΐας ἄντικρυς· ἀλλ' ἕν φαμεν τὸ ὑπερούσιον πάντων αἴτιον, καὶ αὐτῶν τούτων φημὶ τῶν ἑαυτοῦ προόδων, καὶ δὴ καὶ τῶν κτισμάτων, τῶν μὲν δημιουργικῶς ὡς κτισμάτων αὐτοῦ, τῶν δὲ φυσικῶς, ὡς ἰδιωμάτων αὐτοῦ φυσικῶν, ὡς καὶ ὁ μέγας φησὶ Βασίλειος. Δυνάμεις γὰρ οὐ καθ' ἑαυτὰς ὑφεστώσας, ἀλλ' ἐνθεωρουμένας τῇ ὑπερουσίῳ ἐκείνῃ οὐσίᾳ, Διονύσιος ταύτας φησὶν, ὡς εἶναι σὺν ἐκείνῃ ταύτας. Ἀχώριστοι γὰρ καθάπαξ ἐκείνης, καὶ ἀδιαίρετοι, ὡς τοῦ ἡλίου ἀκτῖς, καὶ ἀπαύγασμα τοῦ πυρὸς, ἕνα Θεὸν τῶν ἁπάντων, τρισυπόστατόν τε καὶ παντοδύναμον. Μᾶλλον δὲ καὶ αὖθις αὐτῶν ἐκείνων διακοῦσαι τῶν τοῦ διδασκάλου
B λόγων καλόν. Αὐτοεῖναι, φησὶ, καὶ αὐτοζωὴν, καὶ αὐτοθεότητά φαμεν ἀρχικῶς μὲν, καὶ θεϊκῶς, καὶ αἰτιατικῶς, τὴν μίαν πάντων ὑπεράρχιον καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις, τὴν αὐτοουσίωσιν, αὐτοζώωσιν, αὐτοθέωσιν, ὧν τὰ ὄντα, οἰκείως ἑαυτοῖς μετέχοντα, καὶ ὄντα, καὶ ζῶντα, καὶ ἔνθεα καὶ ἔστι, καὶ λέγεται, καὶ τἄλλα ὡσαύτως.

Ἀλλὰ τὰ μὲν ἀρκούντως εἰρήσθω τοτήμερον εἶναι· περὶ δὲ ἐκείνων τί φῄς, ὦ καλὲ Γρηγορᾶ; δεῖ καὶ γὰρ ἐκεῖσε πάλιν ἐπανελθεῖν. Ἔχει ταύτας τὰς φυσικὰς δυνάμεις καὶ προόδους καὶ προνοίας, καὶ ἐνεργείας, καὶ αὐτομετοχὰς ὁ Θεὸς, ἢ οὐκ ἔχει; Ἔχει δηλαδὴ, καὶ ἀδιαιρέτως ἔχει, καὶ ἀσυνθέτως,
C καὶ ἀσυγχύτως, ὡς ὁ θεολόγος οὑτοσὶ διδάσκαλος ἀπέδειξε μάλα λαμπρῶς, καὶ εἷς ἐστι Θεὸς διὰ πάντων, ὃ δὴ καὶ προλαβὼν εἶπον, ἐνεργὴς, θελητικὸς, παντοδύναμος· καὶ ὁ τούτων ἐπιχειρῶν τῇ ἀνατροπῇ κακῶς ὡς οὐκ οἶδεν ὁπλίζει καὶ χεῖρα καὶ γλῶτταν κατὰ Θεοῦ. Καὶ ὁ μὲν, ὅστις ποτ' ἂν εἴη, μετὰ τῶν δυσσεβῶν καὶ θεομάχων συντριβήσεται, ἡ δ' ἱερὰ σύνοδος ἐκείνη καὶ καλῶς εἶπε καὶ θεοπρεπῶς τὸν Θεὸν ἔχειν ταῦτα μετά γε τοῦ θεολόγου τουτουΐ, καὶ τὸν τόμον καλῶς τε καὶ θεοφιλῶς τὸν ἱερὸν τοῦτον ἐξέδωκε, καὶ συμφώνως αὐτῷ τε τούτῳ τῷ θεολόγῳ, τῷ μακαρίῳ Διονυσίῳ φημὶ, καὶ δὴ καὶ τοῖς λοιποῖς θεολόγοις Πατράσιν, ὃ δὴ καὶ προϊόντες αὐτίκα συναιρομένου Θεοῦ δείξομεν.

Ἀλλ' ἐπεὶ πρὸς τὸν περὶ ἐνεργείας Θεοῦ λόγον
D φέρων ἡμᾶς ὁ λόγος ἤγαγε, καιρὸς ἂν εἴη λοιπὸν τὸν παντελῆ λόγον, ὅσος τε περὶ ἑνώσεως καὶ διαφορᾶς, καὶ ὅσος περὶ τοῦ ἀκτίστου καὶ μεθεκτοῦ, καὶ ῥητοῦ, καὶ γνωστοῦ, καὶ ἀγνώστου, ταύτης, ἔκ γε τῶν ἀποστόλων τε καὶ Πατέρων, καὶ αὖθις ἀναλαβεῖν· ἐπειδὴ καὶ πρὸς τοῦτο πᾶς ὁ τῶν ἐναντίων σχεδὸν καὶ λόγος καὶ πόλεμος.

Digitized by Google

# ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΓΡΗΓΟΡΑΝ

## ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΤΕΤΑΡΤΟΣ,

ὅτι περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας, καὶ περὶ δυνάμεως Θεοῦ φυσικῆς, ἑρμηνεία τε τῶν ῥητῶν Κυρίλλου καὶ Ἰωάννου τῶν ἱερῶν θεολόγων· ἅπερ ὁ Γρηγορᾶς καθ' ἡμῶν ὡς ἡμέτερα δῆθεν κατατεμὼν, καὶ διαστρέψας, κακῶς προσήνεγκε· καὶ περὶ αἰτίου καὶ αἰτιατοῦ, καὶ ὅπως οἱ ἅγιοι ἐχρήσαντο ταῖς τοιαύταις φωναῖς θεολογοῦντες.

A Ἀλλὰ πρὶν εἰς τοὺς ἱεροὺς ἐμβαλεῖν λόγους ἐκείνους, φημὶ δὴ τοὺς περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως, καὶ τὰ λείποντα τοῦ πολεμίου τουτουῒ, τοῖς φθάσασιν ἀναγκαῖον εἶναι νομίζω προσθεῖναι, καὶ τὴν συκοφαντίαν, καὶ τὸ ψεῦδος, καὶ τὴν ἀναιδῆ βλασφημίαν ἀνακαλύψαι καθόσον οἷόν τε· μᾶλλον δ' αὐτὸς ἐκεῖνος ὁ τῶν κενῶν ἐκείνων λόγων καὶ τοῦ ψεύδους πατὴρ δι' ἑαυτοῦ τὰ οἰκεῖα γεννήματα καὶ τοὺς καρποὺς παραγαγέτω καὶ αὖθις· οὐδὲ γὰρ ὅσιον ἄλλως οὐδ' εὐπρεπές. Λέγε τοιγαροῦν, ὦ φιλόσοφε, καὶ προτίθει καὶ πάλιν τὰ σὰ, καὶ πλήρου τὸν σύλλογον, καὶ τοὺς συνετοὺς τῶν ἀκροατῶν τῆς συνήθους ἀηδίας καὶ πάλιν· ἄμεινον γὰρ ἂν αὐτὸς καὶ ὑπὲρ τοὺς ἄλλους τοῦτο ποιήσαις.

B Ὁρᾷς, φησὶ, πῶς καταχρηστικῶς καὶ οὐ κυρίως τὸ ἔχειν τοῖς θείοις παρείληπται Πατράσι τε καὶ σοφοῖς διδασκάλοις ἡμῶν ἐπὶ τῆς ἁπλῆς καὶ ἀσυνθέτου θείας ἐκείνης φύσεως; Ὁ δ' ἀμαθὴς οὑτοσὶ λογογράφος καὶ ἀσεβὴς δογματιστὴς, αὐτούς τε διαβάλλων οὐ μάλα αἰδεῖται, κἀκ τῶν ἀνθρωπίνων καὶ συνθέτων ὑποδειγμάτων τὰ τῆς θείας Γραφῆς κιβδηλεύων οὐ φρίττει μυστήρια, κἀντεῦθεν ποιῶν κἀκείνην τὴν μόνην ἁπλῆν καὶ ἄκτιστον φύσιν σύνθετον ὁμοῦ καὶ κτιστήν. Τὸ γὰρ διαιρεῖν τὴν ἀδιαίρετον αὐτοσοφίαν, καὶ αὐτογνῶσιν, καὶ αὐτοδύναμιν, καὶ αὐτενέργειαν, καὶ αὐτοζωὴν, ποίαν οὐκ ἂν ἀσέβειαν ὑπερβέβληκεν; Ἐγὼ δ' ἐκεῖνο μᾶλλον ἐγέλασα τοῦ ἀμαθοῦς ἐκείνου, ὁπότε τὴν μὲν αὐτοζωὴν, καὶ αὐτενέργειαν, καὶ αὐτοδύναμιν, C ἄζωον, καὶ ἀνενέργητον, καὶ ἀδύναμον εἶναι δογματίζει, τὸ δ' ἔξωθεν, καὶ διάφορον ἔχον ἐνέργειαν, καὶ ζωὴν καὶ δύναμιν, ἐκεῖνο μᾶλλον εἶναι ζῶν, καὶ ἐνεργὲς καὶ δυνατόν. Τοῦτο γὰρ αἰνίγματι ἔοικε, καὶ ὅμοιον ὥσπερ ἂν εἴ τις λέγοι ψύχειν τὸ πῦρ, διότι θερμὸν, ἢ τὴν χιόνα θερμαίνειν, διότι ψυχρά. Ἡδέως δ' ἂν ἔγωγε καὶ τοῦτ' ἐκείνου πυθοίμην, πῶς Διονυσίου περὶ δυνάμεως ἐνταῦθα τεχνολογοῦντος, αὐτὸς ἐκεῖνον παραδραμὼν, τὴν ἐνέργειαν προὔθηκεν· οὐ γὰρ ἂν εἴη τῶν ἀπεικότων πρὸς αὐτόν γε ποιουμένοις τοὺς λόγους ἡμῖν τοιαῦτα ζητεῖν, ὃς πάντα δὴ τἄλλα τολμηρὸς ὢν, οὐδὲ τούτου κέκρικε δεῖν ἀπέχεσθαι τοῦ νοσήματος, τὰ τῆς ἁπλῆς ἐκείνης δηλαδὴ καὶ θείας οὐσίας θεοπρεπῆ διαιρεῖν ὀνόματα, D καὶ θεότητας ἕκαστα τούτων ἀκτίστους καλεῖν ἰδίως, καὶ ἄλλο μὲν νοεῖν οὐσίαν, ἄλλο δὲ δύναμιν, ἄλλο δ' ἐνέργειαν καὶ σοφίαν, καὶ τὰ τοιαῦτα. Εἰ γὰρ ταυτὸ δύναμιν καὶ ἐνέργειαν ἡγηται, καὶ οὐδὲν οἴεται διάφορον, εἰ θάτερον λέγων τις, συνεισφέρεσθαι νομίζει καὶ θάτερον ἅμα τῇ διανοίᾳ, εὖ μὲν δρῶντα αὐτὸν, εὖ δρῶσι καὶ ἡμῖν ἀνάγκη συγχωρεῖν. Εἰ δ' ἕτερον θατέρου κατὰ τὴν σημασίαν τοῦ ὑποκειμένου, πῶς ἐκείνην μὲν τὴν τῆς δυνάμεως λέξιν πρὸ ὀφθαλμῶν κειμένην σιγῇ παρελθὼν, μεταβέβηκεν ἐφ' ἣν οὐχ ἔβλεπεν ἐνέργειαν, τῆς τοῦ ἁγίου καταψευδόμενος ἄντικρυς ῥήσεως; ἢ πάντως δεδιὼς μὴ τῷ Εὐνομίῳ καὶ αὐτὸς ἐκείνῳ τῷ δυσσεβεῖ καὶ αὐτοῦ γε ὁμόφρονι συγκαταψηφισθείη πρὸς τοῦ θείου Πατρὸς Γρηγορίου τοῦ Νύσσης.

Πᾶσαν ἐφεξῆς ὁμοῦ τὴν ῥῆσιν ταυτηνὶ τοῦ συκοφάντου τῷ λόγῳ φέρων ἐπίτηδες προὔθηκα, μᾶλλον δ' αὐτὸς ἐκεῖνος τὰ ἑαυτοῦ καὶ νοήμασι καὶ λόγοις οἰκείοις αὖθις ἡμῖν, ὡς ὁρᾶται, προτίθησιν, ἵν' ἐν ταυτῷ καὶ τὴν διαβολὴν, καὶ τὸ ψεῦδος, καὶ τὴν κατὰ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ βλασφημίαν, καὶ τὴν ἀλλόκοτον ὕβριν, ἐναργέστερον γνοίημεν. Πλὴν ὅσον οὐ τὰ τῶν ὕβρεων ἑξῆς πάντα προάγεται. Ἢ γὰρ ἂν ἡμῖν καὶ δευτέρου βιβλίου καὶ τοσούτων ἄλλων, ἢ καὶ πλειόνων ἐδέησε λόγων, ἐκεῖνά γε σκοπουμένοις· ἐπεὶ καὶ πλείω τῶν ἐπιχειρημάτων, καὶ πρὸς τὸ ζητούμενον δῆθεν ἐκείνου λόγων, τὰ τῶν ὕβρεών φημι καὶ τῶν αἰσχρῶν ταυτὶ παραληρημάτων, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι.

Τὰς μὲν οὖν ἱερὰς τῶν θεολόγων ῥήσεις ἐκείνας, οἷς προφανῶς ἀντιδογματίζων τε καὶ ὑβρίζων τολμηρῶς, ἔπειτα πρὸς μαρτυρίαν δῆθεν λαμβάνει, κενοφωνῶν καὶ παρεξηγούμενος, καὶ τὴν ὑπ' αὐτῶν κηρυττομένην διαστρέφων ἀλήθειαν εἰς ἐξαπάτην τῶν ἀκουόντων, ὕστερον συναγαγὼν αὐτὸς ὁμοῦ πάσας, τήν τε προσήκουσαν ἑκάστῃ καὶ κατάλληλον λύσιν ἀποστολικῶς τε καὶ πατρικῶς προσαρμόσω· σὺν Θεῷ δὲ ὁ λόγος, καὶ αὐτόθεν διελεγχθῆναι τὴν κενοφωνίαν καὶ τὸ ψεῦδος ποιήσω.

Νῦν δ' ἀκούσατε τῆς τοῦ πλαστοῦ θεολόγου καὶ θεομάχου τουτουῒ βλασφημίας εὐθὺς ἐκ πρώτης βαλβῖδος. Ὁρᾷς, φησὶ, πῶς καταχρηστικῶς, καὶ οὐ κυρίως ἡ θεία καὶ ἁπλῆ φύσις ἔχει τὸ ἔχειν; Καὶ εἰ αὐτὴν, ὡς φῂς, τὴν τοῦ ἔχειν δύναμιν οὐ κυρίως, ἀλλὰ καταχρηστικῶς ἔχει, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἰδίων αὐτοῦ καὶ τῶν φυσικῶς προσόντων ἔχοι. Τί δὲ καὶ τοῦτ' αὐτό ἐστιν, ὅπερ καταχρηστικῶς λέγεις; Ἢ γὰρ ἔξωθεν αὐτὸ καὶ ἐπίκτητον λέγεις τὸν Θεὸν ἔχειν, καὶ οὐ κατὰ φύσιν, οὐδὲ κυρίως, ἢ τὸ καταχρηστικῶς ἀντὶ τοῦ μάτην, καὶ ψευδῶς λαμβάνεις

Digitized by Google

ἀντικρυς. Καὶ εἰ μὲν ὡς ἐπίκτητον καὶ ἔξωθεν, ἀλλ' οὐ κατὰ φύσιν οὐδὲ κυρίως λέγοις αὐτὸ τὸν Θεὸν ἔχειν, πόθεν, ὦ φιλόσοφε, καὶ παρὰ τίνος ὁ πάντων Δεσπότης καὶ Θεὸς δανεισάμενος ἔχει; καὶ ταῦτα τὴν τοῦ ἔχειν αὐτὴν δύναμιν, καὶ οὐκ ἄλλο τι; Ἐκεῖνο γὰρ τὸ δεδωκὸς καὶ μετεχόμενον ἂν εἴη μᾶλλον Θεὸς, οὐ τὸ ἐνδεὲς καὶ μετέχον· τὸ μὲν γὰρ τῶν κτισμάτων, ἴδιον δὲ τὸ μετέχεσθαι τῆς θεότητος.

Διὸ καὶ Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, Οὐκ ἐκ προσθήκης, φησὶ, τὸ τέλειον τῷ Θεῷ· οὐ γὰρ ἦν ὅτε ἄλογος ἦν, οὐδὲ ὅτε οὐκ ἀληθὴς, οὐδὲ ἄσοφος, ἢ ἀδύνατος, ἢ ζωῆς ἐνδεὴς, ἢ λαμπρότητος, ἢ ἀγαθότητος.

Καὶ Κύριλλος μὲν ὁ σοφὸς ὑπὲρ τοῦ Υἱοῦ πρὸς Ἀρειανοὺς τὸν λόγον ποιούμενος, Εἰ μὴ ζωὴ κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, φησὶ, πῶς ἀληθεύσει λέγων, *Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον*; Εἰ δὲ ὡς φύσει προσοῦσαν ἑαυτῷ τὴν ζωὴν, καὶ οὐσιωδῶς ὑπάρχουσαν, δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται, πῶς ἐνδέχεται νοεῖν, οὐκ ἔχοντα τὸν Υἱὸν εἰληφέναι ταύτην παρὰ τοῦ Πατρός; Ἀλλ' ὡς προείρηται, προελθὼν ἐκ Πατρὸς πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. Ἓν δὲ τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή. Οὐκοῦν οὐκ ἐπείσακτος τῷ Υἱῷ ἡ ζωοποιὸς δύναμις, ἀλλὰ κατὰ φύσιν αὐτῷ προσοῦσα καὶ οὐσιωδῶς, ὥσπερ καὶ τῷ Πατρί. Ὁ δὲ ἐκ Δαμασκοῦ θεοῤῥήμων Ἰωάννης, Ἔχει, φησὶ, τῆς θείας καὶ πατρικῆς φύσεως ἰδιώματα ὁ Χριστὸς, τὸ ἄκτιστον, τὸ θελητικὸν, τὸ ἐνεργητικὸν, τὸ παντοδύναμον, τὸ δημιουργικὸν, τὸ ἀμέτοχον· μεθεκτὸν δὲ τῆς ἐνεργείας, οὐ φύσεως. Περὶ δὲ τοῦ ἁγίου Πνεύματος αὖθις ὁ τῆς θεολογίας ἐπώνυμος, Ἦν ἀεὶ, φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον μεταληπτὸν, οὐ μεταληπτικὸν, τελειοῦν, οὐ τελειούμενον, πληροῦν, οὐ πληρούμενον, ἁγιάζον, οὐχ ἁγιαζόμενον, θεοῦν, οὐ θεούμενον. Ὁ δὲ σύμπνους αὐτῷ Βασίλειος ὁ μέγας, φημὶ, Διαφορὰ, φησὶ, ταῖς ἁγίαις δυνάμεσι πρὸς τὸ Πνεῦμα τὸ ἅγιον αὕτη, ὅτι τῷ μὲν φύσις ἡ ἁγιωσύνη, ταῖς δὲ ἐκ μετουσίας ὑπάρχει τὸ ἁγιάζεσθαι.

Τὸ δὴ λέγειν ἐκ μετοχῆς ἐκεῖνα τὸν Θεὸν ἔχειν, ἀλλ' οὐκ ἐκ φύσεως, καὶ τῶν περὶ Ἄρειόν τε καὶ Μακεδόνιον ἀκριβῶς τὴν βλασφημίαν παρήλασεν. Οἱ μὲν γὰρ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν, καὶ δὴ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τῆς θείας οὐσίας τολμῶντες χωρίζειν, οὐ κυρίως οὐδὲ φυσικῶς, ἀλλ' ἐπίκτητα καὶ κατὰ μετοχὴν ἐκ τοῦ Θεοῦ κεκτῆσθαι τὰ ἰδιώματα τῆς θείας φύσεως ἔλεγον.

Διὸ καὶ πρὸς αὐτοὺς ὁ μὲν τῆς θεολογίας στῦλος Ἀθανάσιος ὁ μέγας, Μὴ γένοιτό μοι, φησὶν, ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος εἰπεῖν. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ Θεὸν θεωρουμένων λέγω εἶναι ἐπίκτητον τῷ ἁγίῳ Πνεύματι· ἀλλὰ φύσει ἅγιον, φύσει ἀγαθὸν, φύσει ἀθάνατον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον.

Ἡ δὲ τῆς εὐσεβείας ἀπερίτρεπτος βάσις, ὁ μέγας, φημὶ, Βασίλειος, Ἐκεῖ, φησὶ, τὸ Πνεῦμα τὸ A ἅγιον, ὅπου ὁ Υἱὸς, καὶ ὅπου ὁ Πατὴρ, πάντα ἔχον καὶ αὐτὸ συνουσιωμένως κατὰ φύσιν, τὴν ἀγαθότητα, τὴν εὐθύτητα, τὸν ἁγιασμὸν, τὴν ζωήν. Τούτων οὐδὲν ἐπίκτητον αὐτῷ, οὐδὲ ὕστερον ἐπιγενόμενόν ἐστι. Σὺ δὲ νῦν τὴν τρισυπόστατον ὁμοῦ θεότητα, τὴν μίαν καὶ παντοδύναμον, ἐπικτήτους καὶ οὐ κυρίως φῂς ἔχειν τὰς φυσικὰς ἰδιότητας, οὐκ οἶδα παρὰ τίνος Θεοῦ δανεισαμένην αὐτάς. Ἄλλως τε καὶ πῶς ὁ κατὰ τῆς Ἐκκλησίας καὶ τοῦ ταύτης ἱεροῦ τόμου μικρῷ προϊὼν ἔγκλημα συκοφαντῶν αὐτὸς φέρεις, καθάπερ ἠκούσαμεν; Ἔφης καὶ γὰρ ἀμαθίας ἡμᾶς γράφεσθαι, καὶ γελᾷν, ὅτι τὴν μὲν αὐτοζωὴν καὶ αὐτενέργειαν καὶ αὐτοδύναμιν ζωῆς καὶ δυνάμεως ἄμοιρον, ὡς αὐτὸς ἡμῶν καταψεύδῃ, δογματίζομεν, τὸ δ' ἔξωθεν καὶ διάφορον ἔχον ἐνέρ- B γειαν, καὶ ζωὴν, καὶ δύναμιν, ἐκεῖνο μᾶλλον εἶναι ζῶν, καὶ ἐνεργὲς, καὶ δυνατόν. Πῶς οὖν, ὅπερ ἡ σύνοδος καὶ ὁ ταύτης εὐσεβὴς ὅρος οὐκ εἶπε, μᾶλλον δὲ καὶ σφοδρῶς ἀπεῖπε, καὶ μεθ' ὑπερβολῆς, οὐσιώδη, καὶ γάρ φησι, καὶ φυσικὴν κίνησιν τοῦ Θεοῦ, τὴν αὐτοῦ ἐνέργειαν οὖσαν εἰδότες, κατὰ τοὺς θεολόγους, ὡς ἐκ πηγῆς ἀεννάου φαμὲν τῆς θείας οὐσίας προέρχεσθαί τε καὶ πηγάζειν, καὶ ταύτης χωρὶς οὐδέποτε θεωρεῖσθαι, ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεὶ διαμένειν; Τῆς γοῦν συνόδου πατρικῶς τε καὶ ἀποστολικῶς, καὶ τοῦτ' αὐτὸ θεοπρεπῶς οὑτωσὶ θεολογησάσης τὰ θεῖα, αὐτὸς καθάπερ οἱ ναυτιῶντες, καὶ τὸν ἐγκέφαλον στρεφόμενοι, τὰ ἄνω κάτω, καὶ τοὐναντίον ἄνω τὰ κάτω παραβλέπων καὶ λογιζό- C μενος, ἐκεῖνα λέγεις, καὶ συκοφαντεῖς αὐτὴν δογματίζειν, ἅπερ οὕτω περιφανῶς ἀποφάσκει.

Σὺ ἐκ τῶν σῶν λόγων ἑάλως ἀφύκτως αὐτὰ ταῦτα καὶ νοσῶν, καὶ δογματίζων, καὶ γράφων, ἃ κατὰ τῶν ὑγιαινόντων θεολόγων τῆς Ἐκκλησίας προφέρεις· καὶ τὸ μεῖζον εἰς προσθήκην κακοῦ, ὅτι καὶ κατὰ πόδας, κἀν τοῖς λόγοις αὐτοῖς, ἐν οἷς τὴν συκοφαντίαν καὶ τὴν ὕβριν κατ' ἐκείνων τῶν ἱερῶν ἀνδρῶν πλέκεις. Καταχρηστικῶς γὰρ, καὶ οὐ κυρίως οὐδὲ φυσικῶς, ἀλλ' ἔξωθεν καὶ ἐπίκτητον ἔφης τὸν Θεὸν τὴν δυνάμιν ἔχειν, μᾶλλον δὲ καὶ αὐτὸ τοῦτο τὸ ἔχειν. Τῶν γὰρ Πατέρων εἰρηκότων ἐν τῷ τόμῳ, ὅτι Εἰ τὸ μηδεμίαν δύναμιν ἔχον, ὅ φησιν ὁ ἱερὸς Διονύσιος, οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παν- D τελῶς αὐτοῦ θέσις, ἐπεὶ τὸ ἔχον οὗ ἔχει διαφέρει κατά τι, οἱ μὴ διδόντες τὴν οἱανοῦν διαφορὰν τῇ θείᾳ οὐσίᾳ πρὸς τὴν ταύτης δύναμιν καὶ ἐνέργειαν οὔ φασιν ἔχειν αὐτὴν ἐνέργειαν, τὸ δὲ ἀνενέργητον καὶ ἀνύπαρκτον. Ταῦτα τοίνυν ἐνθέως εἰπόντων ἐκείνων, αὐτὸς ἀνακεκαλυμμένῃ κεφαλῇ μὴ ἔχειν φυσικὴν δύναμιν κυρίως τὸν Θεὸν ἔφης, μᾶλλον δὲ μηδ' αὐτὸ καθάπαξ τὸ ἔχειν. Διὸ καὶ τοῦ σοῦ καταγέλωτος καὶ τῶν συχνῶν ὕβρεων καὶ τῆς αἰσχύνης ἐκείνης αὐτὸς ἂν εἴης κληρονομεῖν δίκαιος, παρ' αὐτὸς σαυτοῦ, καὶ κατὰ σαυτοῦ τὰς ἀξίας ἐξενεγκὼν ψήφους, καὶ ἅπερ ἔφης αἰνίγματα πλέξας, καὶ ὅτι ψύχει τὸ πῦρ, διότι θερμὸν, καὶ θερμαίνει ἡ χιὼν, διότι ψυχρὰ, καὶ ὅσα τῶν μακρῶν φληνάφων ἐκείνων, οὓς κατελίπομεν ἐν τοῖς σοῖς λόγοις, τοῦ τε

Digitized by Google

λόγου καὶ τοῦ καιροῦ φειδόμενοι, καὶ ἅμα τὰ σὰ συγκαλύπτοντες αἴσχη καθ' ὅσον οἷόν τε.

Εἰ δὲ μὴ οὕτω δοξάζειν αὐτὸς φῇς, μηδὲ ταυτὶ βούλεσθαι τὸ καταχρηστικῶς, καὶ οὐ κυρίως, ἅπερ αὐτὸς ἰδίᾳ γλώττῃ καὶ γράμμασι λέγεις, ἐκεῖνο λείπεται, καὶ οὐκ ἄλλο προδήλως, καθὰ δὴ καὶ προὔφην, λέγω δὴ, τὸ ἀντὶ τοῦ μάτην καὶ ψευδῶς ἐκδέξασθαι καὶ εἰπεῖν σε ταῦτα· διατί καὶ γὰρ ἕτερον; ὡς μηκέτι συνάγεσθαι τὴν αἵρεσιν, καὶ ἅπερ ἡ σύνοδος εἶπε κατὰ σοῦ καὶ τῆς σῆς συμμορίας, ὅτι τὸ ἀνύπαρκτον καὶ μὴ ὂν τῷ ἀεὶ ὄντι, καὶ τῶν ὄντων ἁπάντων αἰτίῳ Θεῷ, οὐκ ἀνοήτως μόνον καὶ ἀμαθῶς, ἀλλὰ καὶ ἀσεβῶς περιάπτετε, ἀλλ' αὐτόθεν σαφῶς, κἀκ τῆς ὑμετέρας λαμβάνεσθαι θέσεως. Τοιαῦτα κατὰ Θεοῦ καὶ τῆς αὐτοῦ Ἐκκλησίας πεπαρῳνηκὼς ὁ τῆς ψευδωνύμου σοφίας καὶ γνώσεως B οὑτοσὶ μαθητὴς, καὶ φίλος, καὶ γράμμασι, καὶ βιβλίοις ἐκθέσθαι τολμήσας, δι' ἃ δήπου καὶ τύμπανα καὶ κύφωνας ἐπ' αὐτὸν ἔδει καλεῖν, τὰ τῆς φίλης αὐτῷ κωμῳδίας, ὁ δὲ καὶ παῤῥησιάζεσθαι μᾶλλον τολμᾷ, καὶ προστίθησι μᾶλλον τῷ ψεύδει τε καὶ τῇ βλασφημίᾳ. Καὶ τὰ μὲν παρὰ τῆς συνόδου τε καὶ τοῦ τόμου θείως καὶ ὑψηλῶς ἔκ τε τῆς θείας Γραφῆς καὶ τῶν θεολόγων φιλοσοφηθέντα Πατέρων, καίτοι γε καὶ τοσαῦτα πεφηνότα καὶ τηλικαῦτα, ὡς μηδὲ τὴν ἀρχὴν εἰρημένα παρέρχεται· θεότητας δὲ κατ' αὐτῶν ἀναπλάττει, καὶ τὴν πολυθρύλλητον ἐκείνην καὶ πανταχοῦ περιᾳδομένην πολυθεΐαν ὑπ' αὐτοῦ τε καὶ τῶν αὐτοῦ Πατέρων, καὶ διδασκάλων, τὰ μηδαμοῦ τῇ συνόδῳ καὶ τῷ τόμῳ C ῥηθέντα, μᾶλλον μὲν οὖν καὶ ἀποβληθέντα καὶ ἐξελεγχθέντα μετὰ τῶν αὐτὰ πρεσβευσάντων Ἑλλήνων πάλαι καὶ κακοδόξων.

Ἀλλ' αὐτὸς εἰς τὴν θείαν, καὶ ὑπερφυᾶ, καὶ ἀόριστον τῆς θεότητος ἐνέργειαν καὶ τὰ φυσικὰ τοῦ Θεοῦ ἰδιώματα συνήθως ὑβρίζων, ἐκεῖνα κατὰ τῶν Πατέρων προφέρει ψευδόμενος, ἵνα καὶ τὴν οἰκείαν αὐτοῦ συσκιάζῃ δόξαν, καὶ τοὺς ἁπλουστέρους θορυβῇ τῶν πιστῶν, τῷ δέει μορμολυττόμενος τῆς ὑπ' αὐτοῦ πλαττομένης πολυαρχίας. Εἶτα καὶ τὴν οἰκείαν ἑαυτοῦ δόξαν εἰσάγων, καὶ τὴν ἐν προσχήματι μοναρχίας ἀθεΐαν, καὶ ὅπως ἐν τούτοις Εὐνομίῳ κατὰ πάντα, καὶ δὴ τῷ Γαλάτῃ συνᾴδει δεικνὺς, ἐκεῖνα παῤῥησιάζεται τῆς συνόδου κατηγορεῖν καὶ τοῦ τόμου, ὅτι τὰ τῆς θείας καὶ ἁπλῆς οὐσίας, φησὶ, D διαιροῦσιν ὀνόματα, καὶ ἄλλο μὲν νοοῦσιν οὐσίαν, ἄλλο δὲ δύναμιν, ἄλλο δ' ἐνέργειαν, καὶ σοφίαν, καὶ τὰ τοιαῦτα· αὐτὰς καὶ γὰρ τὰς ἐκείνου λέξεις καὶ αὖθις προτίθημι.

Σὺ δὲ λοιπὸν, ὦ σοφὲ, πρὸς ἐκεῖνον ἂν φαίην, τὴν πολυθεΐαν, ὡς φῄς, φεύγων, ἓν καὶ πάντη ἀδιάφορον εἶναι φῇς αὐτὰ καὶ τῇ οὐσίᾳ καὶ ἀλλήλοις, καὶ τὸ παράδοξον ἐπὶ τούτοις, ὅτι καὶ κτιστὰ καὶ ἠργμένα ταῦτα δοξάζων. Τοῦτο καὶ γὰρ τῆς τοῦ Χριστοῦ κατηγόρηκας Ἐκκλησίας ἤδη, ὅτι καὶ διάφορα ταῦτά φησι καὶ τῆς οὐσίας, καὶ ἀλλήλων κατά τι, καὶ ἄκτιστα. Ὥστε κατὰ σὲ, εἰ μὲν οὐδοτιοῦν καὶ ἀλλήλων καὶ τῆς οὐσίας διαφέρουσι, καὶ κτιστὰ, καὶ χρονικῶς εἰσιν ἠργμένα, εἷς ἐστιν ὁ A Θεὸς καὶ ἓν πάντη τε καὶ πάντως τὸ μόνον ἄκτιστον, ἡ οὐσία αὐτοῦ· εἰ δὲ διαφέρουσι κατά τι καὶ ἀλλήλων καὶ τῆς οὐσίας, ἐν ᾗ καὶ θεωροῦνται, φυσικὰ ταύτης ἰδιώματα, καὶ ἀδιαίρετα πεφυκότα καθάπαξ καὶ ἄκτιστα, καὶ συναΐδια τῇ πηγαζούσῃ φύσει κατὰ τοὺς θεολόγους Πατέρας, οὐκέτι εἷς ἄκτιστος ὁ Θεὸς, ἀλλὰ πολυαρχία τε καὶ πολυθεΐα τὸ παρ' ἡμῶν πρεσβευόμενον.

Καὶ πῶς, ὦ φιλόσοφε, τὰ πολλὰ οὐχὶ τῷ ἀριθμῷ κατὰ σὲ, ἀλλὰ τῷ λόγῳ; Κτιστὰ καὶ γὰρ αὐτὸς διαῤῥήδην ταῦτα δοξάζεις· πῶς οὖν τὰ τοιαῦτα τῇ ἀκτίστῳ ἑνούμενα φύσει, ἕν εἰσιν ἄκτιστον πάντη τε καὶ πάντως; Εἰ μὲν ὡς οὐσίας οὐσία, ἀλλὰ τοῦτό γε καὶ αὐτὸς ἀδύνατον ἂν εἴποις. Οὐσίαν γὰρ οἱανδήτινα συνελθεῖν οὕτως εἰς ἓν ἑτέρᾳ οὐσίᾳ ἀμήχανον, τῶν οὐσιωδῶν B διαφορῶν ἀπειργουσῶν τοῦτο. Ἄλλως τε εἰ καὶ κατὰ μίξιν καὶ ἀνάκρασιν ἡ ἕνωσις γένοιτο μετὰ τοῦ φυρμοῦ τε καὶ τῆς συγχύσεως, καὶ ἑτερογενές τι καὶ οὐδέτερον τῶν συντεθεισῶν φύσεων ἔσται τὸ ἀποτελούμενον. Τοιαῦτα καὶ γὰρ ὁρῶμεν τὰ ἐκ διαφόρων οὐσιῶν συντιθέμενα. Ἐπὶ δὲ τοῦ Θεοῦ πάντη τε καὶ πάντως ἀδύνατον τοῦτο κἀκεῖνο. Οὔτε γὰρ γένος καὶ εἴδη πέφυκεν ὁ Θεὸς, ἵνα καὶ διαφορὰς οὐσιώδεις ἔχῃ τὰς διαιρούσας καὶ συνιστάσας, καὶ οὐσίαν Θεοῦ οὐκ ἂν ἐνέγκοι ποτέ τις οὐσία, μὴ διαφθαρεῖσα, καὶ πρὸ τοῦ συνανακραθῆναι καὶ συγχυθῆναι. Διὸ καὶ τὴν τῶν φύσεων τοῦ Χριστοῦ ἕνωσιν οὐ κατ' αὐτὰς, ἀλλὰ καθ' ὑπόστασιν ἡ τοῦ Χριστοῦ πάλαι καλῶς ἐδόξασεν Ἐκκλησία.

Εἰ δὲ ὡς ὑποστάσεις φῇς τὰ τοιαῦτα ἡνῶσθαι ἀλλήλοις, Νεστόρειον ἀκριβῶς τὸ πτῶμα, καὶ δεῖ πόῤῥω που τῆς Ἐκκλησίας ἐλαύνεσθαι κατὰ κρημνῶν καὶ βαράθρων. Ἐκεῖνος καὶ γὰρ καὶ οἱ κατ' ἐκεῖνον ἐτόλμησαν πάλαι τῶν ὑποστάσεων τὰς τοιαύτας ἑνώσεις, διὸ καὶ υἱῶν δυάδα, τὸν μὲν ὡς Θεοῦ Λόγον, τὸν δ' ὡς υἱὸν ἀνθρώπου, κατὰ σχέσιν ἡνωμένους, καὶ ὁμοβουλίαν μόνην ἀλλήλοις τὸν ἕνα Υἱὸν τοῦ Θεοῦ, τὸν αὐτὸν Θεὸν ὁμοῦ τε καὶ ἄνθρωπον ληληρηκότες, τοῦ τῶν εὐσεβῶν αἰσχρῶς ἀπηλάθησαν καταλόγου, ἐνυπόστατον εἰπόντων τὴν ὑπὸ τῆς θεότητος προσληφθεῖσαν ἐν Χριστῷ ἔννουν καὶ ἔμψυχον σάρκα, ἀλλ' οὐχ ἑτεροϋπόστατον, ὡς ἐκεῖνοι.

Ὑμεῖς δ' οὐχὶ δύο κατ' ἐκείνους συνελθεῖν ὑποστάσεις ἀλλήλαις, ἀλλὰ τοσαύτας εἰ λέγοιτε, ὅσον κἀκείνους ὑπερβάλλετε ταύταις ταῖς ἀτοπίαις. Εἰ δὲ μήτε τοῦτο, μήτε ἐκεῖνο λέγοιτε, ἑκατέρωθεν καὶ γὰρ ὡσαύτως τὸ πτῶμα, αὐτὸς δίκαιος ἂν εἴης ἐξῆς διδάσκειν καὶ σαφηνίζειν τὸ σὸν δόγμα. Οὐ γὰρ δὴ ὡς ἐν οὐσίᾳ συμβεβηκότα ταῦτα ἂν λέγοις· οὐ μόνον ὅτι σύνθετον ἐκ συμβεβηκότων τε καὶ οὐσίας κατασκευάσεις τὴν ἁπλῆν καὶ ὑπερούσιον φύσιν, οὑτωσὶ λέγων, ἀλλ' ὅτι καὶ πρὸς ἄλληλα τὰ συμβεβηκότα μὴ διαφέρειν ἀμήχανον, οὐ τῷ ἀριθμῷ φημι μόνον, ἀλλὰ καὶ τῷ λόγῳ.

Καὶ δὴ φράσον, ὀνόματα, φησὶν, ἐκεῖνα πάντα φαμὲν τοῦ Θεοῦ, καθ' ἑνὸς ὑποκειμένου λεγόμενα, καὶ μήτε τῆς οὐσίας τοῦ Θεοῦ μήτ' ἀλλήλων μηδ' ὁτιοῦν ἐνὶ μηδενὶ διαφέροντα. Καὶ εἰ ὀνόματα ταῦτα μόνον λέγοις, φιλόσοφε, πραγμάτων ψιλὰ, καὶ οὐ-

Digitized by Google

τως ὀνομάζεσθαι ταυτὶ σκοπεῖς τὸν Θεὸν, ὥσπερ κἀκεῖνα τὰ πολυώνυμα, ὡς ὅταν ἄορ, ξίφος, φάσγανον τὸ αὐτὸ λέγωμεν, ἢ τὸν αὐτὸν Ἰούδαν τε καὶ Λεββαῖον ὁμοῦ καὶ Θαδδαῖον, καὶ δὴ καὶ Βαρσαββᾶν καὶ Ἰωσὴφ τὸν αὐτὸν καὶ Ἰοῦστον, καὶ οὐχ ὑποβέβληταί τι σημαινόμενον κατάλληλον ἑκάστῳ τῶν τοῦ Θεοῦ ὀνομάτων, ἀλλὰ καὶ Θεὸν καὶ βασιλέα καὶ κριτὴν, καὶ ἀγαθὸν, καὶ φιλάνθρωπον, καὶ δίκαιον, καὶ Πατέρα, καὶ δημιουργὸν αὐτὸν λέγοντες, οὐδέν τι πρᾶγμα, κατά σε, δηλοῦν ἕκαστον τῶν εἰρημένων οἰόμεθα, μάτην ἐγκαλεῖται τὴν σύγχυσιν ταύτην Εὐνόμιος μόνος, οὐδὲν ἧττον καὶ σοῦ τὰ αὐτὰ περὶ τῶν αὐτῶν καὶ φρονοῦντος καὶ γράφοντος.

Καίτοι γε καὶ ἐπὶ τῶν αἰσθητῶν τούτων καὶ ὁρωμένων, ἐξ ὧν καὶ ταῖς θείαις ἐνεργείαις δήπουθεν τίθεται τὰ ὀνόματα, εἷς μέν ἐστιν ὁ βασιλεὺς καὶ ὁ αὐτὸς, οὐ διάφορος, ἀλλ' ἐξ ὧν ἐνεργεῖ κατὰ καιροὺς διαφόρως, διαφόρως αὐτὸν καὶ προσαγορεύομεν. Καὶ τὸν αὐτὸν βασιλέα νῦν μὲν ἄρχειν καὶ βασιλεύειν λέγομεν, νῦν δὲ κρίνειν, νῦν δὲ εὐεργετεῖν· καὶ ποτὲ μὲν τοῖς ἐχθροῖς μάχεσθαι, καὶ προπολεμεῖν τῶν οἰκείων, ποτὲ δὲ νομοθετεῖν, ἄλλοτε δὲ τῶν ἀδικουμένων προΐστασθαι, καὶ πρέσβεσι καὶ πόλεσι χρηματίζειν, καὶ ἡγεμόνας, καὶ στρατηγοὺς χειροτονεῖν κατὰ γῆν τε καὶ θάλατταν. Καὶ ἡ τούτων ἑκάστου ἐνέργεια καὶ προσηγορία καὶ ὄνομα κατὰ καιρὸν γίγνεται δηλαδὴ τῷ βασιλεῖ· καὶ ὁ αὐτός τε καὶ εἷς πολλά τε καὶ διάφορα τὰ ὀνόματα κέκτηται, οὔτε πρὸς τὸν τῆς οὐσίας αὐτοῦ λόγον καὶ ὅρον ἀναγόμενα, οὔτε ἕν τι καὶ τὸ αὐτὸ τὰ πάντα ὁμοῦ σημαίνοντα, οὔτε ὀνόματα μόνα πραγμάτων ἔρημα πεφυκότα, ἀλλὰ πρὸς τὸ οἰκεῖον σημαινόμενον λεγόμενον ἕκαστον, καὶ πρὸς ἕν τι τῶν περὶ τὸ ὑποκείμενον, δηλαδὴ τὴν οὐσίαν, καταλλήλως λεγόμενον.

Εἰ γοῦν περὶ τὸν ἄνθρωπον οὕτω κατὰ φύσιν ἕπεται τὰ τοιαῦτα, καὶ οὔτε τῷ τῆς οὐσίας οὐδοτιοῦν λυμαίνεται λόγῳ, καὶ πραγμάτων προσφυῶν τε καὶ καταλλήλων εἰσὶ δηλωτικὰ τὰ ὀνόματα, περὶ τοῦ Θεοῦ τί ἄν τις καὶ φῇ τοῦ κατὰ φύσιν παντοδυνάμου μόνου, καὶ ὑπὲρ πᾶσαν ὄντα; καὶ δύναμιν, καὶ σοφίαν, καὶ ζωὴν, καὶ ἐνέργειαν, καὶ ὅσα τοιαῦτα, ᾧ πρὸς πάντα τὸ θέλειν ἀρκεῖ μόνον, καὶ τὸ ἐννόημα ἔργον συντετελεσμένον ἐστὶ, καὶ διὰ τοῦτο καὶ ζῶν, καὶ αὐτοζωὴ, καὶ σοφὸς, καὶ αὐτοσοφία, καὶ δυνατὸς, καὶ αὐτοδύναμις, καὶ δὴ καὶ τῶν τοιούτων ὑποστάτης παρὰ τῆς θεολογίας κηρύττεται; Τὸ μὲν πρῶτον διὰ τὸ ἐνυπόστατον, ἵνα μὴ δύναμίς τις ἀνυπόστατος νομισθῇ· τὸ δεύτερον, ἵνα μὴ δόξῃ κατὰ μέθεξιν καὶ αὐτὸς τὰ τοιαῦτα κεκτῆσθαι· τὸ δὲ τρίτον, ὅτι μὴ τῶν μετεχόντων μόνον ἐκείνων, φημὶ δὴ τῶν κτισμάτων, ἀλλὰ καὶ αὐτῶν τῶν μετοχῶν, ὡς ἰδίων καὶ φυσικῶν δυνάμεων αἴτιος, ὃ δὴ καὶ ὁ σοφὸς Διονύσιος φθάσας ἡμᾶς ἐδίδαξεν.

Εἰ δὲ λέγεις ὅτι ἁπλοῦς ἐστιν ὁ Θεὸς, καὶ ὅπερ ἂν τις αὐτὸν προσείπῃ, τῆς οὐσίας αὐτοῦ, καὶ οὐχ ἄλλου του σημαντικόν ἐστι, τοῦτο καὶ γὰρ μάλα τρανῶς καὶ διισχυρίζῃ καὶ γράφεις, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο, καὶ οὐκ ἄλλο τὴν πρὸς Εὐνόμιόν σοι

A προσμαρτυρεῖ συμφωνίαν, ὦ τᾶν, ἀκριβῶς. Ἡμεῖς γὰρ οὐ μόνον ἁπλοῦν ἴσμεν ἡμῶν τὸν Θεὸν, ἀλλὰ καὶ ὑπὲρ αὐτὴν ἀκριβῶς τὴν ἁπλότητα, καὶ ὑπὲρ πᾶσαν οὐσίαν καὶ δύναμιν. « Τί καὶ γὰρ ὂν τὸ θεῖον ἁπλῆς ἐστι φύσεως, ὁ Θεολόγος φησὶ Γρηγόριος, ἐπιζητήσωμεν. Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης, εἴπερ μηδὲ τοῖς συνθέτοις μόνον τὸ εἶναι συνθέτοις. » Ἄκουε δ' ἑξῆς καὶ τῶν ὁμοτρόπων καὶ συμφυῶν αὐτῷ θεολόγων τὰ αὐτὰ πρὸς τοὺς αὐτοὺς, ὥσπερ ἐξ ἑνὸς στόματος, περὶ τῶν αὐτῶν ὡσαύτως φιλοσοφούντων. Βασίλειος μὲν οὖν ὁ μέγας πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον γράφων, Ἡμεῖς, φησὶ, τὴν μεγαλειότητα τοῦ Θεοῦ εἰδέναι λέγομεν, καὶ τὴν δύναμιν, καὶ τὴν σοφίαν, καὶ τὴν ἀγαθότητα, καὶ τὴν πρόνοιαν, ᾗ ἐπιμελεῖται ἡμῶν, καὶ

B τὸ δίκαιον αὐτοῦ τῆς κρίσεως, οὐκ αὐτὴν τὴν οὐσίαν. Ἀλλ' ἁπλοῦς, φησὶν, ὁ Θεὸς, καὶ ὅπερ ἂν αὐτοῦ ἀπαριθμήσῃς, γνωστὸν τῆς οὐσίας ἐστί. Τοῦτο δὲ σόφισμά ἐστι μυρίας τὰς ἀτοπίας ἔχον. » Καὶ πάλιν ὁ αὐτὸς πρὸς Εὐνόμιον· « Εἰ μὲν γὰρ οὐδὲν ὅλως κατ' ἐπίνοιαν ὁ Εὐνόμιος θεωρεῖ, ἵνα μὴ δόξῃ ἀνθρωπίναις τὸν Θεὸν σεμνύνειν προσηγορίαις, πάντα ὁμοίως οὐσίαν ὁμολογήσει τὰ ἐπιλεγόμενα τῷ Θεῷ. Πῶς οὖν οὐ καταγέλαστον τὸ δημιουργικὸν οὐσίαν εἶναι λέγειν, τὸ προνοητικὸν πάλιν οὐσίαν, τὸ προγνωστικὸν ὡσαύτως, καὶ ἁπαξαπλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι; Καὶ εἰ ταῦτα πάντα πρὸς ἓν σημαινόμενον τείνει, ἀνάγκη πᾶσα ταυτὸν ἀλλήλοις δύνασθαι τὰ ὀνόματα, ὡς ἐπὶ τῶν πολυω-

C νύμων, ὅταν Σίμωνα καὶ Πέτρον καὶ Κηφᾶν τὸν αὐτὸν λέγωμεν. Οὐκοῦν ὁ ἀκούσας τὸ ἀναλλοίωτον τοῦ Θεοῦ πρὸς τὸ ἀγέννητον ὑπαχθήσεται, καὶ ὁ ἀκούσας τὸ ἀμερὲς πρὸς τὸ δημιουργικὸν ἀπενεχθήσεται. Καὶ ταύτης τί ἂν γένοιτο τῆς συγχύσεως ἀτοπώτερον, ἀφελόμενον τὴν ἰδίαν ἑκάστου τῶν ὀνομάτων σημασίαν, ἀντινομοθετεῖν τῇ τε κοινῇ χρήσει καὶ τῇ νομοθεσίᾳ τοῦ Πνεύματος; » Καὶ μετ' ὀλίγον· « Πῶς οὖν οὐχὶ μανία σαφὴς μὴ ἴδιον σημαινόμενον ἑκάστῳ τῶν ὀνομάτων ὑποβεβλῆσθαι λέγειν, ἀλλὰ παρὰ τὴν ἐνέργειαν πάντα ταυτὸν δύνασθαι ἀλλήλοις διορίζειν τὰ ὀνόματα; » Ὁ δὲ τούτων συμφυὴς ἀδελφὸς καὶ ὁμότροπος, Γρηγόριος ὁ Νύσσης φημὶ, τὰ αὐτὰ καὶ διανοίᾳ καὶ λέξεσι σχεδὸν πρὸς τὸν αὐτὸν εἰπὼν ἀντικείμενον, εἶτα ἐπά-

D γει· Καὶ εἰ ταῦτα νομοθετεῖ ὁ Εὐνόμιος, τί μάτην αἱ Γραφαὶ πολυωνύμως τὴν θείαν φύσιν ἀνακαλοῦσι Θεὸν κριτὴν, δίκαιον, ἰσχυρὸν, μακρόθυμον, ἀληθινὸν, ἐλεήμονα, καὶ ἄλλα τοιαῦτα κατονομάζουσαι; Εἰ γὰρ οὐδὲν τῶν ὀνομάτων ἐπί τινος ἰδιαζούσης ἐννοίας καταλαμβάνεται, πάντα δὲ ἀλλήλοις διὰ τῆς κατὰ τὸ σημαινόμενον συγχύσεως ἀναπέφυρται, μάταιον ἂν εἴη πολλαῖς ἐπὶ τοῦ αὐτοῦ ταῖς ἐπωνυμίαις κεχρῆσθαι, μηδεμιᾶς τῆς κατὰ τὸ σημαινόμενον διαφορᾶς ἀπ' ἀλλήλων τὰ ὀνόματα διαστελλούσης. Ἀλλ' ἡμεῖς οὐ τὸ ὑποκείμενον ταῖς ἐννοίαις ταύταις συνδιασχίζομεν, ἀλλ' ὅ τί ποτε κατ' οὐσίαν ἐστὶν ἓν εἶναι πεπιστευκότες, πρὸς πάσας τὰς τοιαύτας ὑπολήψεις οἰκείως ἔχειν τὸ νοηθὲν ὑπειλήφαμεν. Οὐ γὰρ μάχεται πρὸς ἄλληλα τὰ ὀνόματα κατὰ

Digitized by Google

τὴν τῶν ἀντιθέτων φύσιν, ὡς εἰ τὸ ἓν ὑπάρχει, μὴ ἂν τῷ αὐτῷ συνθεωρηθῆναι τὸ ἕτερον, ὡς οὐκ ἐνδέχεται ζωὴν ἅμα καὶ θάνατον περὶ τὸν αὐτὸν νοηθῆναι· ἀλλὰ τοιαύτη ἐστὶν ἑκάστη τῶν ἐπὶ τῆς θείας φύσεως λεγομένων ἡ ἔμφασις, ὥστε κἂν ἰδιάζῃ τῷ σημαινομένῳ, μηδεμίαν ἔχειν πρὸς τὸ συνονομαζόμενον ἐναντίωσιν.

Ὁρᾷς, ὦ φιλόσοφε, πῶς μεθ' ἡμῶν οἱ θεολόγοι Πατέρες ἵστανται, μᾶλλον δ' ἡμεῖς τῇ ἐκείνων ἀψευδεῖ θεολογίᾳ διὰ πάντων καὶ συνηγοροῦμεν καὶ συνιστάμεθα· καὶ οὐδέν ἐστι τῆς ἡμετέρας περὶ Θεοῦ δόξης, ὃ μὴ τῆς ἐκείνων ἤρτηται διδασκαλίας τε καὶ τῶν λόγων· σὺ δὲ κατ' ἐκείνων τὴν μάχην ἀράμενος, εἰ καὶ καθαπερεί τινι προσωπείῳ καὶ προκαλύμματι τῷ ἱερῷ τόμῳ καὶ τοῖς ἐκεῖνον ἐκτεθεικόσι κέχρησαι, μετὰ τῶν πολεμίων γίνῃ τῆς Ἐκκλησίας, καὶ τὴν ἐκείνων καταδίκην ὥσπερ ἐπίτηδες ἕλκεις κατὰ τῆς σεαυτοῦ κεφαλῆς; Ἀλλὰ τῆς περιττῆς ἐκείνης καὶ μακρᾶς ἀδολεσχίας ἡμᾶς τε καὶ σαυτὸν ἀπαλλάττων τό γε νῦν εἶναι τέως, καὶ τὸ περὶ τὰ αὐτὰ στρέφεσθαι μάτην, καὶ γελοῖα πλέκειν, καὶ ἀσχημονεῖν παῤῥησίᾳ, λέγε προϊὼν καὶ τὰ λοιπὰ τῶν σῶν λόγων, καὶ οὓς αὐτὸς ὀνομάζεις ἐλέγχους τῶν ἱερῶν ἀνδρῶν τε καὶ λόγων, μᾶλλον δὲ τῆς μὲν σῆς δόξης καὶ τῶν τρόπων ἐλέγχους, βλασφημίας δὲ καὶ συκοφαντίας τῶν μακαρίων ἐκείνων, ὧν τὰ μὲν ἡμῖν ἔδειξεν ἤδη φθάσας ὁ λόγος, τὰ δὲ καὶ αὖθις δείξει σαφέστερον. Λέγε τοιγαροῦν· Ἀλλ' ἐπειδή, φησί, τὸ ἀνύπαρκτον ἐν πρώτοις ὀνειδίσας ἡμῖν ὁ ἀσεβὴς ἀμαθῶς, εἰς τὸ ἀνύπαρκτον πιστεύειν αὐτὸς σαφῶς ἐξελήλεγκται, φέρε καὶ κατὰ τῶν ἑτέρων ἑξῆς τῆς ἀσεβείας ἐπιχειρημάτων ἡμῖν ἐπιχειρητέον αὐτοῦ. Βουλόμενος γὰρ τὰ εἰρημένα περὶ διαφορᾶς αὐτῷ βεβαιοῦν, καὶ δεύτερον τίθησιν ἐπιχείρημα, τῇ ὁμοίᾳ συκοφαντίᾳ κατὰ τῶν θείων αὖθις Πατέρων χρώμενος ἐξ ἀμαθίας ἅμα καὶ κακουργίας. Παράγει γὰρ Ἰωάννην τὸν θεῖον ἐκ Δαμασκοῦ, ἔργον μὲν θείας φύσεως τὴν προαιώνιον λέγοντα γέννησιν, ἔργον δὲ θείας θελήσεως τὴν κτίσιν, καὶ ἅμα τὸν θεῖον Κύριλλον, τὸ μὲν ποιεῖν ἐνεργείας λέγοντα εἶναι, φύσεως δὲ τὸ γεννᾷν. Εἶτα ἐπιφέρει τοὺς γραώδεις τῶν ἑαυτοῦ συλλογισμῶν λήρους, τὸ ἐν ἀρχῇ αἰτούμενον ὡς ὁμολογούμενον λαμβάνων, τοῦτο δὴ τὸ σύνηθες τῇ αὑτοῦ ἀμαθίᾳ, καί φησιν· Ἐπειδὴ φύσις καὶ ἐνέργεια οὐ ταὐτόν, οἱ ἀδιάφορον εἶναι λέγοντες τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν, ἐπειδὴ κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τὸ γεννᾷν, ἔστι δὲ κατ' αὐτοὺς ἀδιάφορος τῆς φύσεως ἡ ἐνέργεια, ἔσται κατ' αὐτοὺς καὶ τῆς ἐνεργείας τὸ γεννᾷν· καὶ οὕτω τὰ ποιήματα ἔσονται γεννήματα ἀΐδια, ὡς ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεὶ δὲ πάλιν τῆς ἐνεργείας ἐστὶ τὸ ποιεῖν, ἡ δὲ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ κατ' αὐτούς, τῆς φύσεως ἔσται τὸ ποιεῖν· καὶ οὕτω κατ' αὐτοὺς τὰ ἐκ φύσεως ἔσονται ποιήματα.

Ἔοικάς μοι νῦν, ὦ Γρηγορᾶ, τῷ Σοφοκλεῖ μαστιγοφόρῳ ἐκείνῳ Αἴαντι. Σοὺς δὲ λέγω τοὺς τῶν Ἑλλήνων τουτουσὶ ποιητάς τε καὶ φιλοσόφους, ἐπειδὴ περ' ἐκείνων τὰ τῆς καταργουμένης ἐκείνων σοφίας A μαθήματα δεξάμενος καὶ αὐτός, οὐχ ὡς περὶ καταργουμένων καὶ παυομένων ἐκείνων ἐφρόνησας. Οὐδὲ τοῦ σοφοῦ διδασκάλου τῆς Ἐκκλησίας ἤκουσας Παύλου λέγοντος, ὅτι ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου, καὶ ὅτι, ἐπειδὴ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας.

Ταῦτα τοιγαροῦν μὴ ἀκούσας καθάπερ ἔδει, μηδὲ συνεὶς, μηδὲ τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσας, μηδὲ καθαπερεί τινα δούλην καὶ θεράπαιναν τὴν τοῦ κόσμου σοφίαν ὑποτάξας τῇ ἄνω καὶ πρώτῃ κατὰ τοὺς τῆς Ἐκκλησίας φιλοσόφους καὶ σοφοὺς ὄντως τούτους, ταύτην τε κἀκείνην ἀπώλεσας, φεῦ! καὶ παρεδόθης εἰς ἀδόκιμον B νοῦν σὺν ἐκείνοις, ὅ φησιν ὁ μακάριος Παῦλος, ποιεῖν τε καὶ λέγειν τὰ μὴ καθήκοντα· καὶ διὰ τοῦτο καὶ σοὺς ἐκείνους ἀεὶ λέγω. Κἀκείνων ὅλον αὖθις ἐξεφάμιλλόν σε, ἐπειδήπερ ἐκείνοις, ὡς μὴ ὤφελες, ἅπαν εἰς τέλος πιστεύσας τὰ κατὰ σέ, ἀντὶ προφητῶν τε καὶ ἀποστόλων καὶ Πατέρων ἐλεεινῶς ἔσχες ἐκείνους, οἷς δὴ καὶ συνιστάμενος, καὶ συμμαχούμενος νῦν ἐν τοῖς σοῖς λόγοις, συκίνην εἶπεν ἄν τις ἐπικουρίαν, ἢ καλαμίνην ῥάβδον, κατὰ τῶν θεολόγων καὶ διδασκάλων ὁμοῦ πάντων τῆς Ἐκκλησίας χωρεῖς, εἰ καὶ προσποιῇ δῆθεν ἐν ῥήμασι τὴν θεολογίαν τε καὶ τὴν συμφωνίαν αὐτῶν, παίζων ἐν οὐ παικτοῖς, καὶ τὸν πολὺν καὶ ἁπλοῦν ἄνθρωπον, ἅτε δὴ καὶ δογμάτων θείων καὶ λόγων C ἄπειρον, σπεύδων ὑποποιεῖσθαί τε καὶ παράγειν.

Ἀλλ' ὅπερ ἔλεγον, ἐκείνῳ μοι δοκεῖς ἐοικέναι νῦν τῷ τοῦ προῤῥηθέντος σου ποιητοῦ Αἴαντι. Ὥσπερ γὰρ ἐκεῖνος ὑπὸ τῆς ἐκεῖ μυθευομένης Ἀθηνᾶς τὸν ἐγκέφαλον καὶ τὰς φρένας διασεισθείς, κατὰ τῶν ἡγεμόνων καὶ στρατηγῶν ἀωρὶ νυκτῶν ἐδόκει χωρεῖν τοῦ τῶν Ἑλλήνων στρατοῦ, ὡς καὶ νομίζειν ἐν χεροῖν ἔχειν αὐτούς, καὶ δεσμοῖς ὑπὸ τὴν ἰδίαν σκηνήν, τὸ δ' ἦν ἀκριβὴς ἀπάτη τε καὶ μελαγχολία, ὑφ' ἧς δήπου καὶ τοῦ καθήκοντος ἔξω γενόμενος, κριοὺς ἀργίποδας κατ' ἐκεῖνον τοὺς μὲν ἀνῄρει, τοὺς δὲ ἐδέσμει, τὰ φρικωδέστατα διαπειλούμενος, ἔστι δὲ ὅτε χεῖρας ἅμα καὶ πόδας οἰόμενος στραγγαλοῦν, ἀνήρτει τῆς ἄντυγος, μέχρι δὴ καὶ τῆς ἡμέρας διαλαμψάσης, καὶ τοῦ φρονοῦντος αὖθις ἐπανιόντος αὐ- D τῷ, αὐτόχειρ ὑπ' αἰσχύνης γέγονεν ἑαυτοῦ· οὕτω δὴ καὶ αὐτὸς ὑπὸ λύπης ἀλογίστου, καὶ μανίας, καὶ δεινοῦ φθόνου, καθαπερεί τινων ἐλαυνόμενος δαιμόνων ἀγρίων, τὰ τῶν ἐξεστηκότων ἀκριβῶς καὶ μαινομένων ἐργάζῃ, τὸν μὲν ἱερὸν τῆς συνόδου τόμον καὶ τοὺς ἐκεῖνον καλῶς ἐκθεμένους, καθαπερεί τινας ἡγεμόνας καὶ στρατηγοὺς ἱεροὺς τῆς Χριστοῦ Ἐκκλησίας ἐν χεροῖν ἔχειν δοκῶν, καὶ δεσμεῖν τοῖς σοῖς λόγοις, καὶ ὠθεῖν ἐπὶ κεφαλήν, μᾶλλον δὲ καὶ πανωλεθρίᾳ διδόναι, καὶ τὸ τρόπαιον ἤδη κατὰ τούτων περιφανῶς ἀνιστᾷν· ἔφης καὶ γάρ, Ἐπειδὴ τὸ ἀνύπαρκτον ὀνειδίσας ἡμῖν ὁ ἀσεβὴς ἀμαθῶς, εἰς τὸ ἀνύπαρκτον πιστεύειν αὐτὸς σαφῶς ἐξελήλεγκται, φέρε καὶ κατὰ τῶν ἑτέρων ἑξῆς τῆς ἀσεβείας ἐπιχειρημάτων ἡμῖν ἐπιχειρητέον αὐτοῦ.

Digitized by Google

διὰ δὲ τῶν ἐγκάτων αὐτὸς ἑαυτοῦ τὸ ξίφος κατ' ἐκείνου ἐλαύνων, καὶ πτῶμα πίπτων ἐλεεινὸν, πλὴν ὅσον ἐκεῖνος μὲν, ὡς ὁ μῦθός φησιν, ἐπ' ἐρημίας τε καὶ ὄρους, καὶ μετὰ τὸ τῆς μανίας ἐκείνης ἐκνῆψαι, καὶ σωματικῶς· σὺ δ' ἐπὶ μέσης τῆς κοινῆς, φεῦ! τῶν πιστῶν Ἐκκλησίας, καὶ τῇ μανίᾳ κάτοχος ὢν ἔτι, καὶ ψυχικῶς τε καὶ αἰωνίως, ὡς μηδὲ ἐλπίδα γοῦν τὴν οἱανοῦν ὑπολιπέσθαι σαυτῷ.

Ἀλλὰ τὰ μὲν ἱκανῶς ἡμῖν ἔφθη δεῖξας ὁ λόγος, καὶ περίεργον ἂν εἴη πως καὶ τῆς ὥρας τε καὶ τῆς χρείας ἔξω, τὰ αὐτὰ καὶ λέγειν, καὶ περιστρέφειν αὖθις τοῖς λόγοις, καὶ εἰς οὐδὲν ἀναγκαῖον πονεῖν. Ἐπὶ δὲ τὰ ἑξῆς ἰτέον ἡμῖν ἤδη τοῦ λόγου. Τὸν περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας λόγον ὁ Γρηγορᾶς ἔφη, βουλομένους ἡμᾶς βεβαιοῦν, δύο τῶν θεοφόρων διδασκάλων εἰς μαρτυρίαν καὶ αὖθις παράγειν, Ἰωάννην τε τὸν θεῖον ἐκ Δαμασκοῦ, καὶ τὸν θεῖον σὺν αὐτῷ Κύριλλον. Καὶ σύνηθες ἐπὶ τούτοις εὐθὺς αὐτῷ καθ' ἡμῶν ἔγκλημα τῆς ἀμαθίας ἅμα καὶ κακουργίας, καὶ δὴ καὶ τῆς συκοφαντίας τῆς κατ' ἐκείνων καὶ τῆς βωμολοχίας καὶ τῆς ἐκτροπῆς, ὥς φησι, τῶν ἱερῶν λόγων.

Εἰ μὲν οὖν ταῦτ' ἦν αὐτῷ μόνα, τὸ καθ' ἡμῶν φημι ψεῦδος, καὶ ἡ ἀναιδὴς αὕτη συκοφαντία, καὶ οὐδὲν ἄλλο προσῆν, ἦν ἂν ἴσως καὶ φορητὸν, καὶ οὐδὲ λόγου πολλοῦ τινος ἄξιον. Ὁ γὰρ τῶν πάντων Δεσπότην οὕτω τολμήσας συκοφαντεῖν, ὡς μηδ' ἐνέργειαν αὐτὸν, μηδὲ θεοπρεπῆ τε καὶ φυσικὴν χάριν, μηδέ τι τῶν φυσικῶν καὶ ἰδίων ὅλως λέγειν κεκτῆσθαι, μηδὲ θεώσεως μηδ' ἐνεργείας αὐτοῦ φυσικῆς μηδ' ὁτιοῦν κοινωνῆσαι τῇ ἀνθρωπείᾳ δηλαδὴ φύσει, δι' ὅπερ ἄρα καὶ Υἱὸς ἀνθρώπου γενέσθαι τε καὶ κληθῆναι δι' ὑπερβολὴν ἀῤῥήτου φιλανθρωπίας ὁ μονογενὴς Υἱὸς ἠξίωσε τοῦ Θεοῦ, πῶς ἂν οὗτός ποτε τὴν κατ' ἀνθρώπων εὐλαβηθείη συκοφαντίαν, καὶ τὴν διαβολὴν, καὶ τὸ ψεῦδος, κἂν εἰς ἄτοπον τὴν ὑπερβολὴν ταύτην ἐξάγῃ, κἂν κατὰ Θεοῦ καὶ τῆς ἐκείνου δόξης ὁ κατὰ τῶν τοιούτων αὐτῷ λόγος προΐῃ; Νῦν δὲ κατὰ τοὺς τῆς παροιμίας φῶρας ἀναισχυντῶν, καὶ τὰς οἰκείας κακουργίας, καὶ τὴν κλοπὴν, καὶ τὴν ἀμαθίαν, καὶ τὴν διαστροφὴν, καὶ τὴν παρεξήγησιν τῶν θεολογικῶν λόγων, καὶ πάνθ' ὅσοις αὐτός ἐστιν ὑπεύθυνος μόνος, ἡμῖν ἀνερυθριάστως προσεγκαλεῖ. Καὶ μάρτυς τῶν παρ' ἐμοῦ λεγομένων αὐτὸς ἐκεῖνος εὐθύς. Τοῦ γὰρ συνοδικοῦ τόμου τὸν ἱερὸν παρενεγκόντος Κύριλλον περὶ τῆς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ θείας καὶ ἀῤῥήτου γεννήσεως, λογικῶς πρὸς τοὺς αἱρετικοὺς διαλεγόμενον, καὶ ταῦτα πρός τισιν ἄλλοις πολλοῖς φάσκοντα, Εἰ τῷ γεννᾷν ταυτόν ἐστι τὸ ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν γεννῶν τὸ ποιούμενον, ἀλλὰ τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν, φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν, οὐκ ἄρα τῷ γεννᾷν τὸ ποιεῖν ταυτόν ἐστι, δεῖ γὰρ ἐξ ὁλοκλήρου καὶ ἡμᾶς ἐνταῦθα τὴν ῥῆσιν εἰπεῖν· οὕτως οὖν ὑπὸ τοῦ τόμου τοῦ θεολογικοῦ προτεθέντος ῥητοῦ, ὁ τοῖς ἱεροῖς διδασκάλοις τὴν ἀμαθίαν τε καὶ τὴν κακουργίαν ἐγκαλῶν Γρηγορᾶς, αὐτὸς ἀμαθὴς ἀληθῶς εὐθὺς ὁμοῦ καὶ κακοῦργος ἐλέγχεται. Τὴν γὰρ

A εἰρημένην τοῦ θείου Κυρίλλου χρῆσιν κακῶς τε καὶ ἀμαθῶς ἀναγνοὺς, καὶ μήτε τῆς τοῦ θείου θεολογίας ἀνδρὸς ἐν ἐπιστήμῃ γεγονὼς τοπαράπαν, μήτε τῆς ἀκολουθίας τοῦ λόγου τῶν χρησαμένων, καὶ τῆς διανοίας τοῦ τόμου, καθάπερ ἔδει, συνεὶς, τὸ μὲν ἐκείνης ἡγήσατο τοῦ θείου πεφυκέναι Κυρίλλου, τὸ δὲ ὅτι φύσις καὶ ἐνέργεια οὐ ταυτὸν, ἀποῤῥήξας ἐκεῖθεν τῷ τόμῳ μετὰ πολλῆς τῆς ἀναισχυντίας προσέῤῥιψεν ὡς δῆθεν ἡμέτερον, γραώδεις συλλογισμῶν λήρους, καὶ ἀμαθίαν ἡμῖν ἐγκαλῶν συνήθη, ἅτε δὴ τὸ αἰτούμενον ἐν ἀρχῇ, τὸν περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας λέγων δηλαδὴ λόγον, ὡς ὁμολογούμενον λαβοῦσιν.

Ἐντεῦθεν ἐναργῶς ὑπέδειξεν ὁ γεννάδας, ὅπως τοὺς θεολογικοὺς λόγους καὶ τὰ δόγματα μετ' ἐπι- B στήμης ἀναγινώσκει, καὶ οἵαν τῶν ἱερῶν λόγων ἔχει τὴν ἕξιν, καὶ πρὸς τούτοις ὁποῖος ἐν τοῖς λογικοῖς ὢν τυγχάνει, καὶ ὅπως τοῖς συλλογισμοῖς ἐπιβάλλει, ὃ δὴ καὶ μᾶλλον ὥσπερ ἴδιον αὐτοῦ τι νομίζει, ὡς καὶ ἀπὸ τούτων τοὺς πάντας αὐτὸν καλεῖν ἀξιοῦν. Τοῦτο καὶ γὰρ τὸ τῆς φιλοσοφίας ὁ σοφὸς ἄντικρυς ἥγηται πρόσρημα. Μήτε γὰρ τῆς τοῦ σεπτοῦ τόμου διανοίας, καθὰ δὴ καὶ προὔφην, ἐφικέσθαι δυνηθεὶς ὅλως, εὐτάκτως τε καὶ λογικῶς, καὶ μετὰ τῆς δεούσης ἐπιστήμης, καὶ πρὸ πάντων Πνεύματι θείῳ τὸν λόγον οἰκονομοῦντος, καὶ κατὰ τάξιν τε καὶ χρείαν ἀναλόγως τιθέντος ἕκαστα, μήτε τὰ τοῦ σοφοῦ Κυρίλλου κατανοήσας, θείας καὶ ἀνθρωπίνης ὄντα σοφίας μεστὰ, καὶ ὡς ἐκείνου τοῦ μέρους C ἀπόντος, ἀτελὲς ἂν εἴη τῷ διδασκάλῳ τὸ ἐπιχείρημα, καὶ πρὸς τὸν σώζοντα λόγον οὐδὲν ὑγιὲς, ἀσυλλογίστως ἐπιῤῥίπτει τῷ τόμῳ παρὰ τὸν τόπον τε καὶ τὴν χρείαν, οὐ μᾶλλον τοὺς ἐκδεδωκότας ἐκεῖθεν αἰσχύνων, ὡς ᾤετο κακῶς, καὶ συκοφαντῶν, ὅσον ἑαυτῷ, καὶ δικάζων ἐνδίκως, καὶ καταισχύνων, καὶ τὴν προσήκουσαν δίκην τοιαῦτα τολμῶντι λαγχάνων αὐτός. Εἰ γὰρ ὁ τὰ τοιαῦτα λογιζόμενός τε καὶ γράφων κατὰ τὰς τοῦ φιλοσόφου φημὶ ψήφους καὶ ἀποφάσεις, γραώδεις συλλογισμῶν ἐπάγει λήρους τῷ λόγῳ, καὶ σύντροφός εἰς ἐστι, καὶ συνήθης ἀμαθίᾳ δήπου, καὶ κακουργίᾳ καὶ ἱεροσυλίᾳ τρίτῃ πρὸς τούτοις, ἀναπέφανται δὲ νῦν ἐναργῶς, οὐχ ὁ τόμος ἐκεῖνα λέγων καὶ γράφων, οὐδὲ οἱ καλῶς ἐκεῖνον ἐκδεδωκότες, ἀλλ' αὐτὸς οὗτος ὁ καὶ συγγρα- D φεὺς, καὶ πατὴρ, καὶ ζηλωτὴς ὁμοῦ, καὶ κατήγορος, καὶ δικαστὴς τῶν τοιούτων, δίκαιος ἂν εἴη πάντως, καὶ πᾶς τις, οἶμαι, συμφήσει, καὶ οὐδεὶς ἀντερεῖ, παρ' αὐτὸς αὐτοῦ καὶ τῶν σεμνῶν αὐτοῦ λόγων κακομίσθαι τὰς ψήφους τε καὶ τὰς ἀναῤῥήσεις τῶν τοιούτων τροπαίων, καὶ θρίαμβον ἑαυτῷ κατάγειν, καὶ τελετάς τινας, καὶ χορείας ἐπινικίους, ὡς αὐτὸς δήπου προϊὼν ἐγκαυχᾶται τοῖς λόγοις, μᾶλλον δὲ καὶ Διονύσους, καὶ Σατύρους, καὶ Βάκχας, καὶ χορόν τινα μεθυόντων, ἵν' οἰκεῖά πως εἴη τῷ φιλοσόφῳ καὶ ταῦτα, ἅτε δὴ καὶ παρὰ τῶν οἰκείων αὐτοῦ σοφιστῶν τε καὶ ποιητῶν καὶ μύθων καταλλήλως αὐτῷ προσαγόμενα.

Ἀλλ' ἐκεῖνα μὲν ἐχόντων ὡδί· οὐδὲ γὰρ ἡμέτερον ἂν εἴη τό γ' ἐκείνοις ἐπὶ πλεῖστον ἐθέλειν προσασχολεῖσθαι· φέρε δὴ καὶ τὰς προαδοθείσας ἐκείνας

Digitized by Google

τῶν θεολόγων Πατέρων ἱερὰς ῥήσεις εἰς μέσον ἐνεγκόντες τῷ λόγῳ, ἀκριβέστερον ἐπιστήσωμεν τοῖς παρ' αὐτῶν λεγομένοις, καὶ δείξωμέν πως γυμνότερον, τί μὲν οἱ διδάσκαλοι, τί δὲ ὁ τόμος περὶ τούτων αὐτῶν βούλεται, καὶ δὴ καὶ τὰ τοῦ Γρηγορᾶ καθ' ἡμῶν ὑπὲρ τούτων ἐγκλήματα, καὶ τὰς μακρὰς μέμψεις, μᾶλλον δὲ καὶ πρὸ τοῦ ταῦτα βασάνῳ δοῦναι, καὶ διακωδωνίσαι τοὺς λόγους, κἀνταῦθα νικητὰς ἡμᾶς, εἰ καὶ μὴ κατὰ γνώμην καὶ πρόθεσιν, ἀλλὰ κατὰ συμβεβηκὸς οἷον, οἱ τοῦ ἀντιπάλου θαυμαστῶς ἀπεργάζονται λόγοι. Εἰ γὰρ τὸ ζητούμενον ἐν ἀρχῇ κατά γε τὸν προῤῥηθέντα καθ' ἡμῶν τοῦ Γρηγορᾶ λόγον, ὡς ὁμολογούμενον λαμβάνοντες, καὶ τοῦτον ὡς ἀληθῆ καθ' ἡμῶν κρατοῦντα δεικνύντες τὸν λόγον περί τε τοὺς λόγους αὐτοὺς ἡμαρτάνομεν ἂν ὡς εἰκὸς, καὶ τὸν περὶ τοῦ ζητουμένου λόγον οὐδὲν μᾶλλον ἐλύομεν, ὅσον κατ' αὐτό γέ φημι τοῦτο τέως, ἀλλὰ καὶ ἔτι ζητεῖσθαι τὸ ζητούμενον πᾶσά γε ἦν ἀνάγκη, πρόδηλον ὅτι τὸ ὁμολογούμενον ὡς ὁμολογούμενόν τε καὶ ἀληθὲς παρὰ τοῦ τῆς ἀληθείας καλῶς εἰληφότες καὶ θεολόγου καὶ κήρυκος, μεθ' ἡμῶν ἔχομεν τὴν νικῶσαν, καὶ οὐδεὶς ἀντερεῖ, εἰ μή τις ἀνοήτως ἐθέλοι λέγειν καὶ τὴν ἀντίφασιν ἑαυτῇ σπείσασθαι. Μάλιστα δὲ τί χρὴ μακρὰ λέγειν, ὅπου γε καὶ τὸν κατήγορον καὶ δικαστὴν τῶν τοιούτων, τὸν Γρηγορᾶν αὐτόν φημι, μεθ' ἡμῶν ἱστάμενον ἔχομεν, καὶ τῇ πολεμουμένῃ παρ' αὐτοῦ ἀληθείᾳ προσμαρτυροῦντα μάλα τρανῶς; Ἐπειδὴ καὶ αὐτός ἐστιν, οὐκ ἄλλος, ὁ λέγων, καθάπερ ἠκούσαμεν, ὅτι τὸ ζητούμενον ἐλάβομεν ὡς ὁμολογούμενον. Ἐπεὶ οὖν καὶ κατὰ Γρηγορᾶν ὁμολογούμενον ἐκεῖνο καὶ ἀληθές, λέγω δὴ τὸ ἄλλο φύσις, καὶ ἄλλο ἐνέργεια, καὶ οὐκέτι ζητούμενον οὐδὲ ἀμφιβαλλόμενον εἴη γ' ἄν, εἴληπται δὲ οὐ παρ' ἡμῶν καὶ τῶν ἡμετέρων αὐτῶν λόγων, ὡς κακῶς αὐτὸς ᾤετο δήπουθεν, ἀλλὰ παρὰ τοῦ τῆς Ἐκκλησίας κοινοῦ διδασκάλου καὶ θεολόγου Κυρίλλου τοῦ θείου φημὶ, μετὰ τοῦ τόμου τε καὶ τῆς Ἐκκλησίας ἡ νίκη περιφανῶς, καθὰ δὴ καὶ εἰπὼν ἔφθην, καὶ δῆλος καὶ σαφὴς ὁ περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας λόγος, καὶ ἀληθείας περιουσία, καὶ παρ' αὐτῶν τῶν ἐχθρῶν μαρτυρούμενος. Καὶ ψεῦδος ἐκεῖνα πάντα, καὶ μῦθος, καὶ λῆρος, καὶ συκοφαντία, καὶ γέλως πλατὺς ἄντικρυς τὰ κατ' αὐτῆς καὶ λαλούμενα καὶ γραφόμενα, καὶ οὐδὲ λέγειν ἡμᾶς οὐδὲ γράφειν ἐξῆς περὶ τούτων ἔδει, ὅ γε καὶ παιδίον ἄν, οἶμαι, δικάζον εἶπεν.

Ἀλλ' ἵνα μὴ δόξωμεν ἀτελῆ πως τὸν ἡμέτερον καταλείπειν ἐνταῦθα λόγον, καὶ μεταξὺ τῶν ἀγώνων οἷον ἀναχωρεῖν, φέρε τοὺς προῤῥηθέντας τῶν Πατέρων ἱεροὺς λόγους, καὶ ἅ φησιν ὁ Γρηγορᾶς ἐπ' αὐτοῖς, καὶ αὖθις ἐπισκεψώμεθα. Εἰσάγει μὲν τὸν συνοδικὸν οὑτοσὶ τόμον, καθὰ δὴ καὶ πρὸ μικροῦ δεδειχὼς ὦπται, τὰς τῶν θεολόγων ἐν ἐπιτομῇ ῥήσεις οὕτω διεξιόντα. Μᾶλλον δὲ καὶ πλατύτερον ἡμεῖς ἐκεῖνα προθῶμεν ἐνταῦθα, ἐπειδὴ καὶ τῷ κατηγόρῳ τοῦτ' ἔδοξεν. Ὁ γοῦν θεοφόρος Δαμασκηνὸς περὶ τῆς ἁγίας Τριάδος θεολογῶν, Γέννησις μέν ἐστι, φησὶ, τὸ ἐκ τῆς οὐσίας τοῦ γεννῶντος προάγεσθαι τὸ γεννώμενον, ὅμοιον κατ' οὐσίαν, κτίσις δὲ καὶ ποίησις τὸ ἔξωθεν, καὶ οὐκ ἐκ τῆς οὐσίας τοῦ κτίζοντος, ποιοῦν-
A τος γενέσθαι, τὸ κτιζόμενον, καὶ ποιούμενον, ἀνόμοιον παντελῶς· καὶ μετὰ μικρόν· Ἀλλ' ἡ μὲν γέννησις ἄναρχος καὶ ἀΐδιος, φύσεως ἔργον οὖσα, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα, ἵνα τροπὴν ὁ γεννῶν μὴ ὑπομείνῃ, καὶ ἵνα μὴ Θεὸς πρῶτος καὶ Θεὸς ὕστερος εἴη, καὶ προσθήκην δέξηται· ἡ δὲ κτίσις Θεοῦ θελήσεως ἔργον οὖσα, οὐ συναΐδιός ἐστι τῷ Θεῷ· ἐπειδὴ οὐ πέφυκε τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενον συναΐδιον εἶναι τῷ ἀνάρχῳ καὶ ἀεὶ ὄντι. Κύριλλος δὲ ὁ μέγας Ἀρειανοῖς ἀντικαθιστάμενος ποίημα τὸν Υἱὸν τοῦ Θεοῦ κακῶς δογματίζουσιν, Εἰ τῷ γεννᾷν ταυτόν ἐστι τὸ ποιεῖν, φησὶν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν τὸ ποιούμενον. Ἀλλὰ τὸ ποιεῖν ἐνεργείας ἐστὶ, φύσεως
B δὲ τὸ γεννᾷν. Φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν· οὐκ ἄρα τῷ γεννᾷν τὸ ποιεῖν ταυτόν ἐστι.

Τούτων ὧδε παρὰ τῶν θεολόγων εἰρημένων, ὁ τῆς συνόδου τόμος φησὶν, Οἱ ἀδιάφορον εἶναι λέγοντες τὴν θείαν οὐσίαν καὶ τὴν θείαν ἐνέργειαν, ἐπειδὴ κατ' ἐκεῖνον τῆς φύσεώς ἐστι τὸ γεννᾷν, ἔστι δὲ κατ' αὐτοὺς ἀδιάφορος τῆς φύσεως ἡ ἐνέργεια, ἔσται κατ' αὐτοὺς καὶ τῆς ἐνεργείας τὸ γεννᾷν· καὶ οὕτω τὰ ποιήματα ἔσονται γεννήματα ἀΐδια, ὡς ἐκ τῆς θείας φύσεως ὄντα. Ἐπεὶ δὲ πάλιν τῆς ἐνεργείας ἐστὶ τὸ ποιεῖν, ἡ δὲ φύσις ἀδιάφορος τῇ ἐνεργείᾳ κατ' αὐτοὺς, τῆς φύσεως ἔσται τὸ ποιεῖν· καὶ οὕτω κατ' αὐτοὺς τὰ ἐκ τῆς φύσεως ἔσονται ποιήματα. Μετὰ δὲ ταῦτα τὰς οἰκείας ἀντιθέσεις πρὸς τοὺς γεγραφότας τὸν τόμον δῆ-
C θεν, μᾶλλον δὲ κατ' αὐτῶν ἄντικρυς τῶν ἱερῶν τοῦ Πνεύματος θεολόγων, ὁ κοινὸς τούτων εἰσάγων πολέμιος οὕτω πρὸς τὸν ἑαυτοῦ Ἀγαθάγγελον αὖθις φησιν· Ἀλλὰ γὰρ ἔξεστί σοι κἀνταῦθα, φιλότης, ὁρᾷν, τῇ συνήθει βωμολοχίᾳ καὶ παρεκτροπῇ κατὰ τῶν θείων ῥητῶν κεχρημένον τὸν ἀλιτήριον· οὐδὲ γὰρ κύων ἂν σκυτοτραγεῖν μαθοῦσα παύσαιτό ποτε, φησὶν ἡ παροιμία. Ἔξεστι δὲ ἀναπτύξαντι πρότερον τὴν τῶν προτεθειμένων ῥητῶν διάνοιαν, ἔπειτ' ἐπενηνεγμένας συνορᾷν τὰς ἐκείνου παρεκτροπάς. Ὁ μὲν γὰρ Ἰωάννης γέννησιν λέγει, τοῦτο Κύριλλος γεννᾷν, ὡς εἶναι ταυτὸν παρ' ἀμφοῖν γεννᾷν καὶ γέννησιν. Πλὴν ὅ τι ὁ μὲν περὶ Θεοῦ φησιν, ὁ δὲ ἁπλῶς περὶ πάσης γεννώσης φύσεως· καὶ ὥσπερ ἐκεῖνος θελήσεως φάσκει τὴν κτίσιν, οὕτω Κύριλλος ἐνερ-
D γείας τὴν ποίησιν. Ὃν γοῦν λόγον θέλησις ἔχει πρὸς κτίσιν, τὸν αὐτὸν πρὸς ποίησιν ἐνέργεια· καὶ ἐναλλὰξ, ὃν θέλησις πρὸς ἐνέργειαν, τὸν αὐτὸν κτίσις πρὸς ποίησιν· καὶ ἀνάπαλιν, ὡς κτίσις πρὸς θέλησιν, οὕτω πρὸς ἐνέργειαν ποίησις, ἐπί τε θείων ἀναλόγως καὶ ἀνθρωπίνων πραγμάτων. Καὶ οὕτω πανταχόθεν ὑγιῶς ἔχοντα δείκνυται τὰ τῆς τεχνικῆς ἀναλογίας περὶ τοὺς τῶν ἁγίων λόγους.

Καὶ μὴν ἀποδέδεικται, ἐξελήλεγκταί γε ἤδη τῷ λόγῳ, τίς ὁ τὰς βωμολοχίας, καὶ τὰς παρεκτροπὰς καὶ συκοφαντίας τῶν θείων ἐργαζόμενος λόγων ἀναίδην, ὃν δὴ καὶ ἀλιτήριον ἀξίως πρὸς τοῖς ἄλλοις προσεῖπες, καὶ τὴν προσήκουσαν δίκην αὐτὸς ἔλαχες σαυτῷ διὰ τῶν σῶν λόγων δικαίως, καθὰ δὴ καὶ προὔφην, καὶ σὰ δήπου παιδικὰ, καὶ σὸς κόσμος

Digitized by Google

καὶ ταῦτα σύν γε τοῖς ἄλλοις, φημὶ δὴ τὰ τῆς σῆς A παροιμίας, καὶ τῆς κυνὸς τῆς σκυτοτραγούσης, καὶ τῷ χορῷ, καὶ καταλόγῳ τῶν ἀνωτέρω μοι λεχθέντων σῶν Διονυσίων μάλα προσήκοντα, ἵν' ἁπλῶς ἔχοις πάντα παρὰ τῶν σῶν ψήφων, καὶ τῆς καθ' ἑτέρων, ὡς ἐδόκεις, ἐρεσχελίας. Ὅρα δὲ πῶς καὶ τοὺς λογισμοὺς καὶ διάνοιαν ὁ δείλαιος ἐκτραπεὶς ὑπό τε τῆς συνοίκου μανίας τε καὶ τοῦ φθόνου, καὶ δὴ καὶ τῆς τοῦ λέγειν ἔχειν τι τῶν καιρίων περιφανοῦς ἀπορίας, καθάπερ οἱ παραφρονοῦντες καὶ παραπαίοντες, νῦν μὲν κατὰ τοῦ τόμου, νῦν δὲ κατὰ τῶν κοινῶν διδασκάλων τῆς Ἐκκλησίας, νῦν δὲ κατὰ τοῦ προστυχόντος παντὸς λόγου, εἴτε τῶν ἐντός τε καὶ ἡμετέρων, εἴτε καὶ τῶν θύραθεν εἴη, καὶ πρό γε τῶν ἄλλων κατ' αὐτὸς ἑαυτοῦ χωρεῖ, μὴ συνιεὶς τῶν παρ' αὐτοῦ λεγομένων ὅλως, καὶ ὅτι καθ' ἑαυτοῦ ταῦτα προφέρει.

Πρῶτον μὲν γὰρ τὸν θεῖόν φησι Κύριλλον, μὴ καὶ περὶ Θεοῦ τὸν συλλογισμὸν ἐκεῖνον εἰπεῖν, μὴ εἰδὼς ἅπερ λέγει περιφανῶς. Ὁ γὰρ κοινὸς οὑτοσὶ τῆς Χριστοῦ Ἐκκλησίας διδάσκαλος, καθὰ δὴ καὶ προλαβὼν ἔφην, πρὸς Ἀρειανοὺς τὸν λόγον ποιούμενος, κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ λέγειν τολμῶντας, ἐν διαφόροις τισὶ κεφαλαίοις διαφόρως ἐπιχειρεῖ καὶ συλλογίζεται περὶ τῶν αὐτῶν. Διὸ καὶ τὴν ἐπιγραφὴν ὡδί πως αὐτοῖς ἐπιτίθησιν, ὅτι μὴ ταυτὸν κτίσμα καὶ γέννημα, μηδὲ τῷ κτίζειν τὸ γεννᾷν ἐπὶ Θεοῦ. Πρῶτον μὲν οὖν αὐτὸ τοῦτο συκοφαντεῖ τὸν ἱερὸν Κύριλλον, μὴ καὶ περὶ Θεοῦ προηγουμένως λέγων αὐτὸν εἰπεῖν, ἔπειτα τὰ ἑξῆς αὐτῷ τί καὶ βούλεται, χαλεπὸν ἂν εἴη καὶ συνιδεῖν· μᾶλλον δὲ τὸ μὲν συνιδεῖν καὶ ῥᾷστον, καὶ τοῦ βουλομένου πάντως, τί δὲ πρὸς τὸν τοῦ λόγου σκοπὸν ταῦτα οὐδὲ ἂν αὐτὸν οἶμαι τὸν γεννήτορα τούτων ἔχειν εἰπεῖν. Ὥσπερ γάρ τινος καθ' ὑπόθεσιν εἰρηκότος, ὡς οἱ πολλάκις ῥηθέντες οὗτοι θεολόγοι, Κύριλλός τε καὶ Ἰωάννης, οὐ συμφωνοῦσιν ἀλλήλοις ἔν γε τοῖς εἰρημένοις, ἀλλὰ περὶ μὲν τὸ πρόβλημα καὶ τὰς προτάσεις ὑγιαίνειν, καὶ συνᾴδειν ἀλλήλοις δοκοῦσι, περὶ δὲ τὸ συμπέρασμα καὶ τὸν σκοπὸν καὶ σφόδρα γε διαφωνοῦσιν ἀλλήλοις, καὶ προδήλως ἀντίκεινται· οὕτως ὁ φιλόσοφος ἀγωνίζεται, καὶ μάλα συμφωνοῦντας ἀλλήλοις διὰ πάντων αὐτοὺς δεῖξαι, καὶ μηδέν τι τοπαράπαν διαφωνοῦντας μηδὲ ὁτιοῦν. Ὁ μὲν γάρ, φησίν, Ἰωάννης γέννησιν λέγει, τοῦτο Κύριλλος γεννᾷν· καὶ ὥσπερ ἐκεῖνος θελήσεως εἶναι φάσκει τὴν κτίσιν, οὕτω Κύριλλος ἐνεργείας τὴν ποίησιν. Ἔπειτα καὶ τὴν ἐναλλὰξ ἀναλογίαν ὁ φιλόσοφος ἐπιφέρει τῇ τῶν ἁγίων ἀμφοτέρων θεολογίᾳ, καὶ πανταχόθεν ὑγιῶς ἔχειν φησὶ τὰ τῆς τεχνικῆς ἀναλογίας περὶ τοὺς λόγους αὐτῶν.

Ἐγὼ δ' εἰ καὶ μὴ κατὰ λόγον μηδὲ ἀναγκαίως ἔν γε τοῖς τοιούτοις τῷ φιλοσόφῳ τὰ τῆς ἐναλλὰξ ἀναλογίας παρείληπται (ἐπὶ γὰρ ἀριθμῶν τε καὶ μεγεθῶν μόνων ἀληθεύουσαν ἴσμεν ταύτην, οὐχ ἐπὶ πάντων ἁπλῶς, ἀλλ' ἐπεὶ κατὰ συμβεβηκὸς οὐδὲ ἐνταῦθα νῦν ψεύδεται ταύτην δεχόμενος), ἡδέως ἂν ἐροίμην αὐτόν, τί βούλεται τὰ τῆς σπουδῆς αὐτῷ ταύτης, καὶ πρὸς τίνα τὸν σκοπὸν αὐτῷ βλέπων ὁ λόγος τὴν ἀναλογίαν καὶ τὴν συμφωνίαν τὴν πρὸς A ἀλλήλους κατασκευάζει τοῖς θεολογικοῖς λόγοις. Οὐδὲ γὰρ ἐργῶδες πάνυ μαθεῖν, ὅτι ὃν λόγον ἔχει ὁ ἐννέα ἀριθμὸς πρὸς τὸν τρία, τὸν αὐτὸν ἔχει καὶ ὁ ἓξ πρὸς τὸν δύο, καὶ ἐναλλὰξ ὃν ἔχει ὁ τρία πρὸς τὸν δύο, τὸν αὐτὸν ἔχει καὶ ὁ ἐννέα πρὸς τὸν ἕξ.

Ἀλλὰ τὰ τοιαῦτα συνιστάντων ἐστὶ τοὺς τῶν θεολόγων ἱεροὺς λόγους ἐκείνους, ταυτὸ δ' εἰπεῖν καὶ τὸν σεπτὸν τῆς συνόδου τόμον, ᾧπερ ἐκεῖνοι προσμαρτυροῦσιν, οὐ καθαιρούντων. Εἰ μὲν οὖν καὶ αὐτὸς ἐκείνοις συνίστασθαι δεῖν μόλις, καὶ τῇ κατ' εὐσέβειαν ἀληθείᾳ συνηγορεῖν, καλῶς εὗρες, ὅθεν ἂν σου τὸν σκοπὸν ὑποδείξαις, καὶ τὸ τῆς γνώμης βουλόμενον· εἰ δὲ ἐκείνοις μὲν συμφωνεῖς οὐδὲν μᾶλλον, ὥσπερ οὐδ' ἡ ἀντίφασις ἑαυτῇ, διαφωνεῖς μὲν οὖν καὶ ἀντιλέγεις εἴπερ τις, καὶ παντοδαποὺς περι- B βάλῃ κύκλους, καὶ πάντα κάλων κινεῖς, ὅ φασιν, ἀποδεῖξαι φιλονεικῶν πᾶν τοὐναντίον, εἰ καὶ εἰς μάτην πονεῖς, κύβον ἄντικρυς φιλονεικῶν ἀποδεῖξαι τὴν σφαῖραν, ἢ τὸν κῶνον τρίγωνον ἰσοσκελές, ὅτου χάριν ἐκεῖνα προφέρεις, καὶ ἀντιλογίας τοῖς ἱεροῖς προσαρμόζεις λόγοις, οὐδὲ τὴν σὴν οἶμαι Πυθίαν, οὐδὲ τοὺς ἀστρολάβους εὑρεῖν ἄν ποτε σχεῖν, οἷς δήπου καὶ πολλὰ τῶν μελλόντων αὐτὸς πρὸς τοὺς σοὺς προφοιβάζειν ἐσχηματίζου πολλάκις. Πρὸς ἡμῶν καὶ γάρ ἐστιν, ἀλλ' οὐχ ὑπὲρ σοῦ πάντ' ἐκεῖνα, καθάπερ ᾠήθης, λέγω δὴ τό, ὃν λόγον ἔχει θέλησις πρὸς κτίσιν, τὸν αὐτὸν ἐνέργεια πρὸς ποίησιν ἔχει, καὶ ἐναλλάξ, καὶ ὅτι τῆς μὲν θείας θελήσεως καὶ τῆς ἐνεργείας ἡ κτίσις, τῆς δὲ φύσεως ἡ C ἄναρχος γέννησις ἔργον· τοῦτο γὰρ καὶ τὸ τοῦ λόγου κεφάλαιον τοῖς ἱεροῖς θεολόγοις. Ὅπερ αὐτὸς νῦν μὲν ὡς μηδὲ ῥηθὲν μεγέθει διανοίας καὶ φύσεως παρατρέχων, περὶ τὰς ἀναλογίας ἀσχολεῖς τὸν σεαυτοῦ λόγον· κατὰ μικρὸν δὲ καὶ λόγοις ἐκεῖνα διεξιών, καὶ τὴν διαφορὰν τῆς οὐσίας πρὸς τὴν ἐνέργειαν τοῖς λόγοις ἐκείνων ἀνακηρύττων, οὐδὲ αἰσθάνῃ τῶν λεγομένων, ὥσπερ οἱ νυκτὸς καὶ σκότους ἐπικρατοῦντος, τῶν σοφῶν ἔφη τις, ὁμοίως τόν τε χρυσὸν καὶ τὸν σίδηρον ἐπ' ἐδάφους κείμενα παρερχόμενοι. Τί καὶ γὰρ ὅλως νοεῖς, φράσον ἡμῖν καθαρῶς, ὦ φιλόσοφε, ὅταν τὸν ἱερὸν Ἰωάννην ἀναγινώσκῃς, καὶ γράφῃς ἐν τοῖς σοῖς λόγοις οὕτω θεολογοῦντα· Ἡ μὲν γέννησις ἄναρχος καὶ ἀΐδιος, φύσεως ἔργον οὖσα, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα, ἵνα D τροπὴν ὁ γεννῶν μὴ ὑπομείνῃ, καὶ ἵνα μὴ Θεὸς πρῶτος καὶ Θεὸς ὕστερος εἴη, καὶ προσθήκην δέξηται· ἡ δὲ κτίσις Θεοῦ θελήσεως ἔργον οὖσα, οὐ συναΐδιός ἐστι τῷ Θεῷ· ἐπεὶ οὐ πέφυκε τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενον συναΐδιον εἶναι τῷ ἀνάρχῳ καὶ ἀεὶ ὄντι; Συνάγεις ἐκ τῶν εἰρημένων τούτων διαφοράν τινα τῆς θείας οὐσίας πρὸς τὴν ταύτης ἐνέργειαν, ἢ οὔ; Καίτοι γε οὐδὲ συνάγειν ἔστιν ἐκ τῶν θεολογικῶν τουτωνὶ λόγων ταύτην· ἀλλὰ καὶ τυφλῷ, φασί, δῆλον, ὡς αὐτόθεν λαμβάνειν ταύτην ἔστι. Τοσαύτην καὶ γὰρ ὁ θεολόγος διδάσκει τὴν τούτων διαφοράν, ὅτι καὶ διάφορα τῶν ἑκατέρων ὑποδείκνυσιν ἔργα. Τῆς μὲν γὰρ φύσεως ἔργον εἶναί φησι τὴν ἄναρχον καὶ ἀΐδιον γέννησιν, τῆς δὲ θείας θελήσεως τὴν κτίσιν οὐ συναΐδιον οὖσαν τῷ Θεῷ.

Digitized by Google

ὁ δὴ καὶ ὁ θεοφόρος συνᾴδων Κύριλλος, καθὰ δὴ καὶ αὐτὸν πρὸ βραχέος ἀνέγνως. Τὸ μὲν ποιεῖν, φησὶν, ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν, φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν. Καὶ σὺ δὲ αὐτὸς τὴν ἐναλλὰξ ἀναλογίαν εἰσάγων ἐν τοῖς σοῖς λόγοις, τῆς τε κτίσεως καὶ τῆς ποιήσεως ἐξίσου τὴν φυσικὴν θέλησιν καὶ τὴν ἐνέργειαν διεῖλες, καὶ φύσιν οὐδόλως ἐτόλμησας αὐτὰς προσειπεῖν τοῦ Θεοῦ, τούς τε θεολόγους ἄμφω κατὰ πρόσωπον ἱσταμένους ἔχων, καὶ διαμαρτυρομένους ὡς οὐ ταυτόν ἐστι τῷ γεννᾷν τὸ ποιεῖν· ἢ γὰρ ἂν ὁ γεννῶν εἴη ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν γεννῶν τὸ ποιούμενον· καὶ ἅμα δεδοικὼς οὐσίας πολλὰς εἰπεῖν τοῦ Θεοῦ, μὴ καὶ λίθους ἑλκύσῃς κατὰ τῆς σεαυτοῦ κεφαλῆς, οὕτως ἀνακεκαλυμμένῃ κεφαλῇ καὶ Μακεδόνιον ἅμα καὶ Ἄρειον τῇ διαιρέσει καὶ κατατομῇ τῆς θείας φύσεως B παρελαύνων.

Τί δὲ καὶ περὶ τῆς θείας καὶ ἀνάρχου γεννήσεως φῄς τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὁ μόνην οὐσίαν μετ' Εὐνομίου τὸν Θεὸν εἶναι λέγων, τῶν δὲ φυσικῶν αὐτοῦ, καὶ δὴ τῶν ὑποστατικῶν ὁμοῦ κατεξανιστάμενος πάντων, καὶ ποτὲ μὲν μηδὲ εἶναί τι λέγων ὅλως πλὴν ὀνομάτων ψιλῶν τε καὶ ἀνυπάρκτων, ἀλλὰ τρέποιτο κατὰ κεφαλῆς τῶν ἀρχηγῶν τῆς βλασφημίας ὁ λόγος, ποτὲ δὲ τοῖς κτίσμασιν αὐτὰ συναριθμῶν; Ἢ γὰρ κτίσμα λέγεις ἐκείνην πάντως, ἢ οὐσίαν Θεοῦ, ἢ ὑπόστασιν, ἢ σχέσιν, ἣν αὐτὸς λέγεις· τί καὶ γὰρ ἂν εἴποις ἄλλο; Ἀλλὰ κτίσμα μὲν οὐκ ἐρεῖς· ἄναρχον γὰρ καὶ ἀΐδιον τῶν θεολόγων ἀκούεις αὐτὴν λεγόντων, καὶ ἐκ τῆς οὐσίας τοῦ Θεοῦ προάγουσαν, C τὸν ὁμοούσιον Υἱὸν δηλονότι, ἵνα μὴ Θεὸς πρῶτος καὶ Θεὸς ὕστερος εἴη. Ἀλλ' οὐδὲ οὐσίαν αὐτὴν φήσεις· κοινὴ καὶ γὰρ αὕτη ταῖς τρισὶν ὑποστάσεσιν· ἡ δὲ γέννησις μόνου τοῦ Υἱοῦ. Οὗτος καὶ γὰρ ὁ Μονογενὴς μόνος, ἄλλως τε καὶ φύσεως ἔργον, ἀλλ' οὐ φύσιν αὐτὴν τῶν θεολόγων εἰπόντων. Ἀλλ' οὐδὲ ὑπόστασιν τὴν θείαν γέννησιν ἂν εἴποις ποτέ· τρεῖς γὰρ αἱ θεαρχικαὶ ὑποστάσεις, Πατὴρ δηλαδὴ, καὶ Υἱὸς, καὶ Πνεῦμα, καὶ οὐδὲν τῶν τριῶν γέννησις, ἀλλ' ὁ μὲν γεννῶν, ὁ δὲ γεννώμενος, τὸ δ' ἐκπορευόμενον ἐκ Πατρός. Λείπεται τοιγαροῦν, σχέσιν σε ταύτην λέγειν, καὶ κίνησιν θεοπρεπῆ τοῖς ἄκροις μεσιτεύουσαν, καὶ φύσεως ἔργον, ὅ φασιν οἱ θεολόγοι, προάγουσαν ἐκ τοῦ ὁμοουσίου τὸ ὁμοούσιον.

Τί οὖν, διότι σχέσις οὐκ ἄναρχος καὶ ἀΐδιος ἡ ἀνύπαρκτος, D δι' αὐτὸ τοῦτο καὶ οὐδὲν ἄλλο πλὴν ἤχου, καὶ ψιλῶν ῥημάτων φωνῆς; Οὕτω καὶ γὰρ προϊὼν αὐτὸς φιλοσοφεῖς περὶ ἧς φιλοσοφεῖς σχέσεως. Καίτοι γε καὶ ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, σχέσεώς εἰσιν ὀνόματα, καθὰ δὴ καὶ πρὸς Ἀρειανούς φησιν ὁ τῆς θεολογίας ἐπώνυμος. Οὔτε οὐσίας γὰρ, φησὶν, ὄνομα ὁ Πατὴρ, ὦ σοφώτατοι, οὔτε ἐνεργείας, σχέσεως δὲ, καὶ τοῦ πῶς ἔχει πρὸς τὸν Υἱὸν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς πρὸς τὸν Πατέρα. Καὶ τὸ Θεὸς δὲ, καὶ τὸ Κύριος, τῶν πρός τι λεγομένων ἐστὶν ὡσαύτως, ὡς ὁ αὐτὸς καὶ τοῦτό φησιν. Ἡ γὰρ τοῦ Θεοῦ, φησὶ, κλῆσις, κἂν ἀπὸ τοῦ θέειν, ἢ αἴθειν, ἡτυμολόγηται τοῖς περὶ ταῦτα κομψοῖς διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων, καὶ γὰρ *πῦρ καταναλίσκον* ἐντεῦθεν λέγεται, ἀλλ' οὖν τῶν πρός τι λεγομένων ἐστὶ, καὶ οὐκ ἄφετος, ὥσπερ καὶ ἡ Κύριος φωνὴ, ὄνομα εἶναι Θεοῦ καὶ αὐτὴ λεγομένη. Ἐγὼ γὰρ, φησὶ, Κύριος ὁ Θεός σου, τοῦτό μου ὄνομα. Καὶ Κύριος ὄνομα αὐτῷ.

Τί οὖν, ἐπειδὴ ὀνόματα θεῖα τὸ Θεὸς καὶ τὸ Κύριος, καὶ σχετικὰ, καὶ τῶν πρός τι κατὰ τοὺς θεολόγους τούτους, εἰς τὸ ἀνύπαρκτον παραπέμψομεν, ὦ φιλόσοφε, καὶ ταῦτα; Τῆς ἀσεβείας! Ἔστι μὲν οὖν ἡ ἄναρχος καὶ ἀΐδιος τοῦ Θεοῦ γέννησις, καὶ σχέσις θεοπρεπὴς τοῦ Πατρὸς πρὸς τὸν Υἱόν. Ἀλλ' αὐτή ἐστιν ἡ τῆς τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ὑποστάσεως ὕπαρξις, ἢ ὁ τρόπος αὐτὴ τῆς ὑπάρξεως, ἄγνωστος ὢν πάσῃ γενητῇ δηλαδὴ φύσει, καὶ ἀνερμήνευτος, καθ' ὃν ἀλλήλων τὰ θεαρχικὰ καὶ ὁμοούσια πρόσωπα, τοῦ Πατρός φημι καὶ τοῦ Υἱοῦ, διακρίνεται, ὥσπερ καὶ τοῦ Πνεύματος ἡ ἐκπόρευσις, ἄλλος τρόπος ὑπάρξεως οὗτος, ὡσαύτως ἀκατάληπτός τε καὶ ἄρρητος, καθ' ὃν τῶν ὁμοουσίων Πατρός τε καὶ Υἱοῦ διακρίνεται, καὶ οὕτω Τριὰς ἡμῖν ὁ εἷς τῶν ἁπάντων Θεὸς καὶ γινώσκεται, καὶ πιστεύεται. Σὺ δὲ τῶν θείων Γραφῶν κατολιγωρῶν, βραχὺν δὲ ἢ καὶ οὐδένα τῆς τῶν κοινῶν διδασκάλων καὶ Πατέρων θεολογίας λόγον ποιούμενος ἀπὸ κοιλίας ἅπαντα φθέγγῃ, καὶ θεολογεῖν οἴει, τὰ τῆς σῆς διανοίας αἰσχρὰ καὶ εἰδεχθῆ προτιθεὶς ἀμβλωθρίδια, καὶ νῦν μὲν τὴν ἐναλλὰξ ἀναλογίαν, νῦν δὲ τὴν σχέσιν, καὶ πρὸ τούτων ὅτι τὸ ἔχειν ὁ Θεὸς οὐκ ἔχει, παιδαρίοις ἐπιδεικνύμενος, χθὲς καὶ πρότριτα τῆς σχολῆς τῶν ἐγκυκλίων καὶ μύθων καὶ ποιητῶν ἀποστᾶσι, καὶ γενναῖον μὲν ἐκεῖ καὶ ἄξιον λόγου κατωρθωκόσιν οὐδὲν, πλὴν ὅσον ἀπηχήματά τινα καὶ φωνὰς τῶν προτελείων ἐκεῖθεν λαβεῖν παρὰ σοῦ, καὶ τὸ παιδευτὴν αὐχεῖν τὸν φιλόσοφον, τὰς δὲ πονηρὰς νῦν δόξας, ὑπὸ σοὶ μυσταγωγῷ, καὶ τὴν κατὰ Θεοῦ βλασφημίαν, καὶ τὴν τῆς αὐτοῦ Ἐκκλησίας ἀθέτησιν, καὶ πάνθ' ὁμοῦ τὰ κακὰ κατὰ τῆς σφετέρας αὐτῶν κεφαλῆς ὀργιάζουσι, μᾶλλον δὲ καὶ θριαμβεύουσιν ἀναίδην, καὶ κομπεύουσι κατὰ μέσης τῆς πόλεως.

Εἶτα τοῖς οὕτω κακῶς τε καὶ ἀναρμόστως καὶ πόῤῥω τῶν ἱερῶν εἰρημένοις λόγων, ὥσπερ οὐκ ἀρκεσθεὶς ὁ φιλόσοφος, καὶ μέμψιν ἑτέραν, ὡς οἴεται, τῷ τῆς Ἐκκλησίας ἐπάγει τόμῳ, ὅτι φησὶν, Οὐ τῆς φύσεως εἶπε τὸ γεννώμενον, ἀλλ' ἐκ τῆς φύσεως, παρ' ἑαυτοῦ προστεθεικὼς ἐκείνῳ τὴν *ἐκ*, δι' ἣν, φησὶν, ἡ οἰκουμένη συγχέεται, ἐπειδὴ βούλεται κατασκευάζειν ὁ τόμος δῆθεν τὴν ἐνέργειαν ὡς ἐξ αἰτίας εἶναι τῆς φύσεως, καὶ Υἱὸν αὐτὴν εἶναι συνάγει, καὶ τὸ τῆς εὐσεβείας ὅλον, φησὶν, ἀνατρέπει μυστήριον. Ἅμα δὲ, φησὶ, καὶ τοῖς Λατίνοις κατά γε τὴν προσθήκην ταύτην συνᾴδει, προστιθεῖσι ταῖς ἱεραῖς ῥήσεσι, ταῖς Πνεῦμα Χριστοῦ λεγούσαις τὸ Πνεῦμα τὸ ἅγιον παρ' ἑαυτῶν καὶ τὴν *ἐκ*, καὶ οὕτω βλασφημοῦσιν αὐτὸ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι· καὶ βλασφημιῶν καὶ συκοφαντιῶν τούτοις σωροὺς ἐπιφέρει καὶ τὰς ἐξ ἁμαξῶν ἀναιδεῖς ὕβρεις· οὐδὲ γὰρ ἔχω κατὰ λέξιν ἐκεῖνα προφέρειν τοῦ καιροῦ καὶ τοῦ μήκους φειδόμενος.

Ἀλλὰ τὰ μὲν τῆς πρὸς τοὺς Λατίνους συμφωνίας

Digitized by Google

καὶ κοινωνίας, οὐ λέξεων ἕνεκά φημι καὶ προθέσεων, A ἀλλὰ τῶν καιριωτέρων αὐτῶν, καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεώς τε καὶ μετοχῆς ἐν τοῖς ἑξῆς ὑποδείξομεν. τίς ὁ ὑπεύθυνος ἐκεῖνα, εἴτε ὁ τῆς συνόδου φημὶ τόμος, εἴτε δὴ καὶ Γρηγορᾶς αὐτός· περὶ δὲ τῆς προσθήκης τῆς ἐκ ἢ τὸν κωφὸν καὶ τὰς ὄψεις πεπηρωμένον ἑκὼν ὁ Γρηγορᾶς ὑποκρίνεται, ἢ καὶ τῶν λεγόντων ἀκούων, καὶ ὁρῶν τὰ γεγραμμένα τὴν κατ' ἐκείνων βλασφημίαν ἐπίτηδες ἐπάγει τῷ τόμῳ, τὴν παῤῥησίᾳ πρὸς ἐκείνους ἀναισχυντεῖν δεδιώς· τῶν γὰρ θεολόγων οἱ λόγοι, ἀλλ' οὐχ ἡμέτεροι, μᾶλλον δὲ καὶ ἡμέτεροι, ἐπειδή γε ἐκείνων· οὓς δὴ καὶ πρὸ βραχέος αὐτὸς ὁ Γρηγορᾶς δι' ἑαυτοῦ μεταξὺ τῶν ἰδίων ἀνεγίνωσκε λόγων, οὕτως ἔχοντας. Γέννησίς ἐστι, φησὶ, τὸ ἐκ τῆς οὐσίας τοῦ γεννῶντος προάγεσθαι τὸ γεννώμενον, ὅμοιον κατ' οὐσίαν. Καὶ μετ' ὀλίγον, Ἡ γέννησις, φησὶν, ἄναρχος καὶ ἀΐδιος φύσεως ἔργον οὖσα, καὶ ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα.

Καὶ ὅτι μὲν πρὸς τοὺς θεολόγους ὁ πόλεμος τῷ ἀντικειμένῳ, δέδεικται παρ' αὐτῶν ἐκείνων· εἰ δὲ καὶ μὴ προσέκειτο παρ' ἐκείνων ἡ πρόθεσις, ὦ Γρηγορᾶ, καθάπερ ἀναγινώσκεις, ἀλλὰ τῆς οὐσίας ἁπλῶς ἔλεγον τὸ γεννώμενον, οὐκ ἂν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς τὸν Υἱὸν εἶπας, ὡς μὴ καὶ ῥητῶς τῆς προθέσεως προσκειμένης; Μᾶλλον δὲ τί χρὴ τὰ τοιαῦτα λέγειν τε καὶ πυνθάνεσθαι; ὅπου γε καὶ ῥητῶς παρὰ τῶν ἁγίων κειμένης, αὐτὸς ἀπαρνεῖται, ἀποδυσπετεῖ, καὶ καταβοᾷ τῶν λεγόντων ἐκ τῆς οὐσίας εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, καὶ τὰ πέρατα τῆς C οἰκουμένης διαστῆσαι τοῦτό φησι, καὶ τοὺς οἰκείους μαθητὰς διδάσκει, μὴ ἐκ τῆς φύσεως τοῦ γεννῶντος λέγειν τὸν γεννηθέντα, ὁμώνυμον φωνὴν καθαρῶς μετὰ Ἀρείου δογματίζων τὸ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, κάτω τε μετὰ τῆς κτίσεως τὸν τῆς κτίσεως Δεσπότην τολμηρᾷ καὶ δαιμονιώδει γνώμῃ καὶ γλώττῃ τιθείς, καὶ τὸν τῆς πίστεως κοινὸν ἀνατρέπων ὅρον, τὸ τῆς εὐσεβείας φημὶ σύμβολον, καὶ οὓς φησι Λατίνους ἐξ ἀντιστρόφου μιμούμενος, μᾶλλον δὲ καὶ παρελαύνων ἐπὶ τὸ χείριστόν τε καὶ ἀτοπώτατον, ὅσον ἐκεῖνοι μὲν Θεὸν ἐκ Θεοῦ τὸ Πνεῦμα φρονοῦντες, τὴν μὴ οὖσαν ἐκ τοῦ Υἱοῦ ἐκπόρευσιν φιλονείκως καὶ κακῶς προστιθέασιν, ὁ δὲ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν μὴ ἐκ τῆς οὐσίας D τοῦ Θεοῦ εἶναι, καὶ δοξάζει, καὶ γράφει, καὶ αἱρετικοὺς ἀποκαλῶν ἅμα τοὺς τοῦτο λέγοντας, οὐκ Ἄρειον μόνον, ἀλλὰ καὶ Εὐνόμιον ὁμοῦ, καὶ Εὐδόξιον, καὶ πᾶσαν τὴν ἄθεον κατ' ἐκείνους φατρίαν, πάλαι νεκρωθεῖσάν τε καὶ μετ' ἤχου γενομένην ἐκ μέσου, πειρώμενος εἰς τὴν Ἐκκλησίαν εἰσάγειν. Καὶ ἡ σκῆψις ὡς εὐπρεπής! Ἐπειδὴ, φησὶν, ὁ τόμος τὴν θείαν ἐνέργειαν σπεύδει δεῖξαι διὰ τούτων, ὡς ἐξ αἰτίας τῆς θείας φύσεως οὖσαν, καὶ υἱὸν αὐτὴν τοῦ Θεοῦ κατασκευάζει, καὶ πᾶν ἀνατρέπει τὸ τῆς εὐσεβείας μυστήριον.

Καὶ ποῦ τῶν ἐνταῦθα λόγων ἀκήκοας, βέλτιστε, περὶ ἐνεργείας εἰπόντων τοιαῦτα; Ὅτι μὲν γὰρ ἡ θεία ἐνέργεια ἐκ τῆς θείας ἐστὶν οὐσίας, οὐχ ὡς Υἱὸς ἐκ Πατρὸς γεννηθεῖσα, καθάπερ αὐτὸς A λέγεις συκοφαντῶν, ἀλλ' ὡς φυσικὴ δύναμίς τε καὶ πρόοδος, τὸ μὲν εἴρηται, τὸ δὲ καὶ αὖθις εἰρήσεται· ἐν δὲ τοῖς προῤῥηθεῖσιν ὁ τόμος περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας τὸν λόγον ποιούμενος ἄλλους τε πολλοὺς καὶ μεγάλους τῶν ἱερῶν διδασκάλων λόγους προήνεγκεν, οὓς αὐτὸς ὡς μηδὲ τὴν ἀρχὴν εἰρημένους παρέδραμες, καὶ δὴ καὶ τοὺς σοφοὺς τουτουσὶ διδασκάλους, Ἰωάννην λέγω καὶ Κύριλλον, οὕτω τὴν διαφορὰν τῆς οὐσίας ἐναργῆ μαρτυροῦντας πρὸς τὴν ἐνέργειαν, ὡς ἄλλο τὸ τῆς οὐσίας ἔργον εἶναι λέγειν, καὶ τὸ τῆς ἐνεργείας ἕτερον, καὶ τὸν αὐτὸν καὶ ἕνα Θεὸν διὰ μὲν τῆς οὐσίας αὐτοῦ τὴν ἄναρχον καὶ ἀΐδιον τοῦ Υἱοῦ ἐνεργοῦντα γέννησιν, διὰ δὲ τῆς φυσικῆς ἐνεργείας ποιοῦντα τὴν κτίσιν, ὡς καὶ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς B τοὺς Ἀρειανοὺς ἐπιστομίζειν τὸν μέγαν Κύριλλον. Εἰ τῷ γεννᾷν γὰρ, φησὶ, ταυτόν ἐστι τὸ ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν γεννῶν τὸ ποιούμενον.

Καίτοι γε, εἰ καὶ περὶ τῆς θείας ἐνεργείας ἦν ὁ λόγος, ὅτι ἐκ τοῦ Θεοῦ ὡς ἐξ αἰτίου ἐστὶν, οὐδὲ οὕτω σε μανικῶς ἔδει κατὰ τοῦ τοιοῦδε λόγου χωρεῖν, καὶ λέγειν εὐθὺς, καὶ συκοφαντεῖν ἀνερυθριάστως ἡμᾶς, ὅτι Υἱὸν Θεοῦ φαμεν τὴν ἐνέργειαν, ἐπειδὴ τὴν θείαν οὐσίαν αἰτίαν ταύτης ὡς φυσικῆς λέγομεν, τοῖς θεολόγοις ἀκολουθοῦντες. Ἐπεὶ καὶ τῶν κτισμάτων αἴτιόν φαμεν τὸν Θεὸν, καὶ ἐξ αὐτοῦ λέγομεν εἶναι τὰ κτίσματα· καὶ Πατέρα αὐτόν φαμεν τῶν ἁπάντων, ἀλλ' οὐχὶ φύσει, ἀλλ' ὡς δημιουργόν. Καὶ C τοὺς ἀνθρώπους υἱοὺς αὐτοῦ λέγομεν, ἀλλὰ νῦν μὲν ὡς κτίσματα, νῦν δὲ ὡς υἱοθετηθέντας χάριτι· φύσει δὲ μόνον Υἱὸν τὸν μονογενῆ καὶ ὁμοούσιον Υἱὸν τοῦ Θεοῦ.

Τίς οὖν ἡ μανία καὶ ὁ κατὰ τῶν φυσικῶν τοῦ Θεοῦ δαιμονιώδης πόλεμος οὗτος, ὡς καὶ τῶν κτισμάτων ἐκ τοῦ Θεοῦ λεγομένων, καὶ μηδενὸς ὄντος υἱοῦ φύσει, τὰ φυσικὰ τοῦ Θεοῦ εἰ ἐκ τῆς φύσεως αὐτοῦ λέγοιτο, ἢ καὶ υἱοὶ τοῦ Θεοῦ εἶναι, ἢ μηδὲ τὴν ἀρχὴν εἶναι; ὥσπερ εἴ τις ἔλεγε τὸν λέοντα ἢ λογικὸν εἶναι ζῶον, ἢ μηδὲ ζῶον εἶναι, ἢ τὴν συκῆν ἢ ἀειθαλὲς φυτὸν εἶναι, ἢ μηδὲ φυτὸν τὴν ἀρχὴν πεφυκέναι.

Ἀλλ' αἱ μὲν τῶν θεολόγων Πατέρων περὶ τῶν τοιούτων πολλαὶ καὶ καλαὶ μαρτυρίαι διεξοδικώτερον ἔν γε τοῖς ἑξῆς μοι προενεχθήσονται· νῦν δὲ καὶ D εἷς ἢ δύο τῶν κορυφαίων ἀρκέσουσιν ἀντὶ πάντων.

Ὁ γοῦν μέγας Βασίλειος Εὐνομίῳ περὶ τῶν τοιούτων διαλεγόμενος, τοιάδε φησὶν ἐν τοῖς Ἀντιῤῥητικοῖς· Τὸ ἔκ τινος, ἢ δημιουργικῶς ἐστιν ἐξ αὐτοῦ, ὡς τὸ, *Εἷς ὁ Θεὸς ὁ Πατὴρ, ἐξ οὗ τὰ πάντα*, ἢ γεννητικῶς ὡς τὸ, *Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον*, καὶ τὸ, *Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε*, ἢ φυσικῶς, ὡς *Ἡ ἐνέργεια ἡμῶν ἐξ ἡμῶν*, ἢ ὡς *Τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτοῦ*.

Ὁ δὲ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης τὸν Εὐαγγελιστὴν ἐξηγούμενος Ἰωάννην, καὶ τὴν ῥῆσιν ἐκείνην τὴν θείαν ἐξετάζων τὴν λέγουσαν, *Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος*, Ὑποθώμεθα,

Digitized by Google

φησιν, εἶναι πυρὸς πηγὴν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς, καὶ τρὶς, καὶ πολλάκις. Ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ, καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας αὐτοῦ; Παντί που δῆλόν ἐστι. Καὶ μετὰ μικρόν· Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον σῶμα, καὶ μερίζεται, καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγεν, *Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.*

Ἄλλως τε τὸ μὲν τινὸς ὂν οὐκ ἀνάγκη καὶ ἐξ ἐκείνου εἶναι. Οὐδὲ γὰρ τὸ τινὸς διπλάσιον καὶ ἐξ ἐκείνου ἐστίν· οὐδὲ ὁ τινὸς ἀδελφὸς ἤδη καὶ ἐξ ἐκείνου· οὐδὲ φίλος ἐκ φίλου, οὐδὲ δεσπότης ἐκ δούλου, καὶ ἁπλῶς ὅσα τῶν σχετικῶν καὶ πρός τι λεγομένων. Τὸ δὲ ἔκ τινος ἀνάγκη καὶ ἐκείνου λέγεσθαι· ὥσπερ Υἱὸς τοῦ Πατρὸς, καὶ τὰ κτίσματα τοῦ Θεοῦ, καὶ τὸ φῶς τοῦ πυρὸς, καὶ ἡ ἀκτὶς τοῦ ἡλίου, καὶ ἡ δύναμις τοῦ δυνατοῦ, καὶ ὅσα τοιαῦτα. Θαῦμα τοιγαροῦν ἂν εἴη, πῶς ὁ φιλόσοφος οὗτος ἀκούων, ὅτι τὸ μὲν γεννᾷν ἔργον θείας φύσεως, τὸ δὲ ποιεῖν ἔργον θείας θελήσεως, οὐ συνῆκεν, ὅτι τὸ μὲν τοῦ Θεοῦ ἐστιν ὡς ὑποστατικὸν ἰδίωμα καὶ χαρακτηριστικὸν τῆς πατρικῆς ὑποστάσεως, προάγον ἐκ τοῦ ὁμοουσίου τὸν ὁμοούσιον· τὸ δὲ ποιεῖν καὶ τοῦ Θεοῦ ἐστι καὶ ἐκ τοῦ Θεοῦ ὡς φυσικὸν, ἃ δὴ καὶ ἀνάρχως, καὶ ἀϊδίως, καὶ ἄμφω πρόσεστι τῷ Θεῷ· οὐ γὰρ ἦν ὅτε Πατὴρ οὐκ ἦν ὁ Πατὴρ, οὐδὲ ἦν ὅτε ποιητής τε καὶ δημιουργὸς οὐκ ἦν ὁ Πατὴρ ἅμα καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα, εἰ καὶ τὰ κτίσματα πρόσφατα καὶ ὑστερογενῆ, τηνικαῦτα τῆς δημιουργικῆς ἐνεργησάσης καὶ ἐνεργηθείσης θείας δυνάμεως κατὰ τοὺς θεοφόρους ἡμῶν διδασκάλους, ὅτε ὁ Θεὸς ἐβουλήθη.

Ἀλλὰ τί χρὴ λέγειν, ὅπου γε καὶ ῥητῶς ἀκούων οὕτω τοῦ θεολόγου φιλοσοφοῦντος, ὡς ἡ μὲν ἄναρχος καὶ ἀΐδιος γέννησις ἔργον θείας φύσεως οὖσα, ἐκ τοῦ γεννῶντος προάγει τὸ γεννώμενον, ἡ δὲ κτίσις Θεοῦ θελήσεως ἔργον οὖσα, οὐ συναΐδιός ἐστι τῷ Θεῷ, οὔτε τοῦ *ἐκ τοῦ γεννῶντος* αἰσθάνεται, ἀλλὰ καὶ διαγράφειν ἐπισκήπτει τὴν *ἐκ*, ὡς ταραχῆς, φησὶ, πρόξενον; Καθάπερ καὶ αὐτὸς ἔφθην εἰπὼν, οὔτε τῆς θείας θελήσεως ἔργον ἀκούων τὴν κτίσιν, τὸ τῆς θείας θελήσεως ἄκτιστον ἐπιγινώσκει, οὐ γὰρ εἴη κτίσεως ἔργα τὰ κτίσματα, ἀλλὰ δυνάμεως θείας, καὶ πρὸς τὴν διαφορὰν τῆς τε θείας φύσεως καὶ τῆς θείας θελήσεως τυφλώττει περιφανῶς, οὕτω προφανῆ τοῖς πᾶσι κειμένην, καὶ ἑαυτὴν οἷον ἀνακηρύττουσαν.

Ἀλλ' ἄγε τὸν σὸν μετακαλεσάμενος Ἄγγελον ἢ Ἀγαθάγγελον, ὡς φῄς, Γρηγορᾶ, λέγε καὶ αὖθις τὰς κατὰ τῶν Πατέρων βλασφημίας, καὶ τὰ ἐγκλήματα, τὸν μεταξὺ τοῦ ψεύδους τε καὶ τῶν κενῶν ὕβρεων συνήθη καταλιπὼν συρφετόν. Ἀθανάσιον, φησὶν, ἐπὶ τοῖς ῥηθεῖσιν εἰσάγει τὸν μέγαν ἐν τῷ παρανόμῳ τόμῳ ἐκείνῳ, ἄλλο τὸ ἔκ τινος, καὶ ἄλλο τὸ ἐξ οὗ ἐστιν εἶναι λέγοντα. Κατὰ τοῦτο ἄρα δύο· εἰ δὲ μὴ δύο εἴη, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ λέγοιτο, ἔσται τὸ αὐτὸ καὶ αἴτιον καὶ αἰτιατὸν, γεννῶν καὶ γεννώμενον· ὅπερ ἄτοπον ἐπὶ Σαβελλίου δέδεικται. Ἔστω A δὲ καὶ παράδειγμα ἀνθρώπινον, τὸ πῦρ, καὶ τὸ ἐξ αὐτοῦ ἀπαύγασμα, δύο μὲν τῷ εἶναι καὶ ὁρᾶσθαι, ἓν δὲ τῷ ἐξ αὐτοῦ, καὶ ἀδιαίρετον εἶναι τὸ ἀπαύγασμα αὐτοῦ. Εἶτα τὴν τοῦ μιαροῦ καὶ ἀπαθοῦς ἑρμηνέως ἐκείνου μιαρὰν καὶ ἀμαθεστάτην ἐπέφερεν ἑρμηνείαν, Ὥσπερ ἐν συμπεράσματος τρόπῳ, λέγων, οὐκοῦν καὶ τῆς ἐνεργείας ἐκ τῆς οὐσίας εἶναι κατὰ τοὺς θεολόγους ἅπαντας πεπιστευμένης, τό τε ἄλλο καὶ ἄλλο εἶναι, καὶ δύο εἶναι, κἀντεῦθεν διενηνοχέναι ἀλλήλων ἐναργῶς ἀναπέφηνε, κατὰ τὸ ἐξ οὗ, καὶ ἔκ τινος, τὸ αἴτιον δηλαδὴ καὶ τὸ αἰτιατὸν, ὡς ὁ πολὺς οὗτος τὰ θεῖα διδάσκει θεολογῶν. Ὥσπερ τοίνυν ἐπὶ τοῦ πυρὸς καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς, τοῦ μὲν φύσεως καὶ αἰτίου ὄντος, τοῦ δὲ φυσικοῦ καὶ αἰτιατοῦ, τό τε ἓν διὰ τὸ ἀχώριστον, καὶ τὸ B διάφορον αὖθις, διὰ τὸ αἴτιον καὶ αἰτιατὸν εἴρηκεν· οὕτω κἀπὶ τῆς θείας φύσεως, καὶ τῆς ἐξ αὐτῆς ἐνεργείας, τὸ ἓν καὶ τὸ διάφορον ἡμῖν ἐκληπτέον, τὸ μὲν κατὰ τὸ ἡνωμένον καὶ ἀδιαίρετον, τὸ δὲ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ δὴ τοῦ αἰτίου.

Τοιαῦτα μὲν ὁ ἱερὸς τῶν Πατέρων τόμος, τοῖς θεολόγοις Πατράσι καὶ διδασκάλοις τὸ ἡνωμένον καὶ διακεκριμένον θεολογοῦσι τῆς θεότητος διὰ φυσικῶν τε καὶ καταλλήλων παραδειγμάτων, ὡς ἔθος, ἑπόμενός τε καὶ συνθεολογῶν, μᾶλλον δὲ καὶ τοῦτο, κακῶς ὁ τῶν ἁγίων ὑβριστὴς ἐκεῖνος προήνεγκε, τήν τε κατασκευὴν τῆς ἐξεργασίας ἀποτεμὼν ἐκεῖθεν, καὶ οὐδὲ αὐτὰ τὰ ῥηθέντα κατὰ χώραν ἀφεὶς, ἀλλὰ καὶ τῇ λέξει συνήθως ἐπηρεάσας. Ἀλλὰ περὶ μὲν C τῆς κατὰ τὴν λέξιν ἐπηρείας τε καὶ παρατροπῆς οὐ πολὺς ὁ λόγος, ταυτὸ γάρ τι καὶ ἕν ἐστιν ἡμῖν εἰπεῖν ἐπὶ τῆς θείας φύσεως, καὶ τῆς φυσικῆς αὐτῆς ἐνεργείας, καὶ ἐπὶ τῆς θείας φύσεως, καὶ τῆς ἐξ αὐτῆς ἐνεργείας, ὅπερ αὐτὸς τῆς φίλης κακουργίας ἀντεισήγαγε μεταποιήσας, ἅμα μὲν οὐδὲ ἀντιβλέψαι δυνάμενος πρὸς τὴν λέξιν, καὶ τὰ φυσικὰ τοῦ Θεοῦ, καιρίαν οἱονεὶ κατὰ τῆς αὐτοῦ δόξης ὄντα, ἅμα δὲ καὶ τὸ ἐκ τῆς οὐσίας ὡς ἔγκλημα καὶ αὖθις τοῖς Πατράσι δῆθεν προφέρων, καθὰ δὴ καὶ φθάσας αὐτὸς εἴρηκε· τὴν δέ γε κατασκευὴν τῆς ἐξεργασίας τῶν θεολογικῶν ῥητῶν ἀναγκαῖον τοῖς εἰρημένοις ἤδη προσθεῖναι. Εἰπὼν γὰρ ὁ τῶν Πατέρων ἱερὸς τόμος, καθάπερ ἠκούσαμεν ἤδη, Οὕτω κἀπὶ τῆς θείας φύσεως, καὶ τῆς φυσικῆς αὐτῆς ἐνεργείας τὸ D ἓν καὶ τὸ διάφορον ἡμῖν ἐκληπτέον, τὸ μὲν κατὰ τὸ ἡνωμένον καὶ ἀδιαίρετον, τὸ δὲ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ δὴ τοῦ αἰτίου, τὸν ἑαυτοῦ λόγον οὕτως ἐπάγων κατασκευάζει. Οὔτε γὰρ τὸ ἓν τὴν διαφορὰν ἀπελαύνει, οὔτε μὴν ὅλως ἡ διαφορὰ τὸ ἓν ἀνατρέπει· ἀλλ' ἑκάτερον κατὰ τοὺς ἁγίους εὐσεβῶς θεωρούμενον, οὐδοτιοῦν ὑπὸ θατέρου παραβλαβῆναι δυνήσεται.

Ἀλλ' ὁ κατηγορῶν ἡμῶν Γρηγορᾶς τὸ μὴ σαφηνίζειν εἰδέναι τοὺς λόγους, μηδὲ ἐπεξεργάζεσθαι τῇ καλῇ ταύτῃ νῦν ἐπεξεργασίᾳ τῶν θεολογικῶν ἐντυχὼν λόγων, τὴν κατασκευὴν ἐκείνης ἀποτεμὼν, τὴν μὲν λήθῃ καὶ σιγῇ παντελεῖ δέδωκε, τὸ ἰσχυρὸν διασαλεύων τοῦ λόγου, καὶ τὰ νῶτα παίειν ἐπιχειρῶν, ἐπειδὴ κατ' ὄψιν οὐδὲ ἀντιβλέπειν, μέντοι γε καὶ

Digitized by Google

βάλλειν ὁπωσοῦν δύναται· ἐπὶ δὲ τοὺς οἰκείους αὖθις χωρεῖ λόγους, καὶ τὸν ὁμιλητὴν Ἀγαθάγγελον.

Τί οὖν φησιν ἐκεῖνος ἑξῆς; Καὶ αὕτη μὲν ἡ τοῦ μιαροῦ ἑρμηνεία, παρὰ πᾶν τὸ εἰκὸς τὴν ἔννοιαν τοῦ ῥητοῦ πρὸς τὴν ἀνύπαρκτον μεταφέρουσα καὶ ἀνυπόστατον αὐτοῦ ἐνέργειαν. Ἔπειτα προϊών, καὶ συνείρων τὰ ὅμοια, καὶ τὸν μέγαν παράγει Βασίλειον, Εὐνομίῳ τάξεως εἶδος εἶναι λέγοντα, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ· ἐν τούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ, τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Οὐδὲ ἐνταῦθα τῆς συνήθους κλοπῆς τε καὶ ἱεροσυλίας, ἢ βωμολοχίας κατ' αὐτὸν ἐκεῖνον εἰπεῖν ὁ χρηστὸς Γρηγορᾶς ἐπελάθετο. Κἀνταῦθα καὶ γὰρ τὸ τέλος καὶ οἱονεί τι συμπέρασμα τῆς τοῦ μεγάλου ῥήσεως τουτουΐ, τῆς θεολογίας ὑφελόμενος τοῦ σεπτοῦ τόμου, τῷ οἰκείῳ σκότει καὶ τῷ ψεύδει κατέκρυψεν. Ἐπάγει καὶ γὰρ οἱονεὶ τὸν ἑαυτοῦ λόγον ἀπαρτίζων καὶ συμπεραίνων ὁ μέγας Βασίλειος· Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν, ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν ἐνυπαρχούσης αὐτοῖς ἀκολουθίας; Καὶ μετ' ὀλίγον αὖθις ὁ τόμος· Πάλιν τοίνυν Εὐνομίου τὴν τοιαύτην διαφορὰν παντάπασιν ἀνελεῖν πειρωμένου, ὁ μέγας Βασίλειος, Πῶς, φησίν, οὐδεμίαν διαφορὰν καταλείπεις; οὐδὲ τὴν ἐκ τοῖς αἰτίοις πρὸς τὰ ἐξ αὐτῶν ἐνυπάρχουσαν; Οὕτως ἐν ἅπασιν ὁ Γρηγορᾶς ἁλίσκεται ψευδόμενος, καὶ συκοφαντῶν, καὶ τὰς ἱερὰς ῥήσεις διὰ πάντων κατατέμνων τε καὶ σπαράττων, κἀκεῖνο τῇ κακουργίᾳ προστιθείς, καὶ τῇ καινῇ μοχθηρίᾳ καὶ ἀταξίᾳ τῶν λόγων, τὸ τοῖς ἀνευθύνοις τὰ οἰκεῖα περιάπτειν αἴσχη τολμᾷν.

Ἀλλ' ἀκούσωμεν ἤδη καὶ τῶν ἐπιχειρημάτων αὐτοῦ, καὶ τῆς πρὸς τοὺς ἱεροὺς θεολόγους ἀντιλογίας, ἃ πρὸς τὸν ῥηθέντα μύστην αὐτοῦ καὶ φίλον διέξεισιν.

Ὁρᾷς, φησίν, ὅπως σκοπὸν ἔχων ὁ ἀναιδὴς τὰ τῆς αὐτοῦ κακουργίας γεννήματα δημοσίᾳ κἀνταῦθα βεβαιοῦν, ἀνωτέρω μὲν εἰς δύο καὶ διάφορα τὴν ἀμέριστον τῆς θεότητος φύσιν διεῖλε μέρη, νῦν δὲ βουλόμενος ἔτι καὶ ὑπερκειμένας καλέσαι, καὶ ὑφειμένας ἀκτίστους θεότητας, καὶ πρῶτον καὶ δεύτερον τῇ φύσει, τὸ αἴτιον καὶ αἰτιατόν, προτίθησι, καὶ τὸ ἄλλο καὶ ἄλλο, καὶ τὸ γεννῶν καὶ τὸ γεννώμενον; Τοῦτο γὰρ ποιεῖ, ἵνα πρῶτον μὲν καὶ αἴτιον, καὶ Πατέρα γεννῶντα δείξῃ τὴν οὐσίαν, δεύτερον δὲ καὶ αἰτιατόν, καὶ γεννώμενον Υἱὸν τὴν ἐνέργειαν. Καὶ μετ' ὀλίγον· Ἀκήκοας γὰρ τὴν ἔκτοπον ἑρμηνείαν αὐτοῦ. Τῶν γὰρ ἁγίων, οὓς αὐτὸς εἰς μαρτυρίαν ἤγαγε, περὶ Πατρὸς καὶ Υἱοῦ λεγόντων ὁμοουσίων, ἐνέργειαν αὐτὸς ἀνούσιον ἐκ τῆς οὐσίας ἡρμήνευσε, κἀκείνων τὸ ἄλλο, καὶ ἄλλο μὴ κατὰ τὴν οὐσίαν λεγόντων, τοῦτο γὰρ οὐδὲ τοῖς δαίμοσιν ἂν ῥηθείη κατ' οὐσίαν ἄλλο, καὶ διάφορον εἶναι τοῦ A Πατρὸς τὸν Υἱόν, ἀλλὰ κατὰ τὴν σχέσιν, καθ' ἣν αἴτιον μὲν ὁ γεννῶν Πατήρ, αἰτιατὸν δ' ὁ γεννώμενος Υἱὸς λέγεται (δέδεικται γὰρ ἡμῖν ἀνωτέρω σχέσεως εἶναι ταῦτα, καὶ οὐχ οὐσίας ὀνόματα), αὐτὸς ἢ μὴ συνιείς, ἢ ἑκὼν ἀποκρυψάμενος, παρέδραμε μὲν ἀνεπεξέργαστα, ὡς οὐδὲν ὂν πρᾶγμα μετρίαν γοῦν τῶν τοιούτων φροντίδα ποιεῖσθαι. Μόνας δ' ἀποσυλήσας, ἀπειληφὼς τὰς καὶ λέξεις, τό τε ἄλλο καὶ ἄλλο εἶναι, καὶ δύο, καὶ αἴτιον, καὶ αἰτιατόν, εὐθὺς ἀπεπήδησε, μικρὰ μὲν φροντίσας τῶν δηλουμένων ἐκείνοις τοῖς ῥήμασιν ἐννοιῶν, οὐδὲν δὲ λογισάμενος τὴν ἐντεῦθεν ἀσέβειαν. Καὶ μετὰ μικρόν· Ὁρᾷς, φησί, πῶς δεικνύειν ἐθέλων αὐτὸς αὐτῷ συμμαχοῦντας πάντας ἁγίους, δείκνυσι μᾶλλον οὐδένα τῶν ἁγίων αὐτῷ συμμαχοῦντα; Οὐδεὶς γὰρ τὴν ἀνύπαρκτον B ταύτην καὶ ἄλλο τι τῆς οὐσίας οὖσαν καθ' αὑτὴν ἐνέργειαν ἄκτιστον αἰτιατὸν ἐκ τῆς οὐσίας εἶναι λέγων δείκνυται, καθάπερ τὸν Υἱὸν καὶ Λόγον ἐκ Πατρός· καὶ βοῶν ἀεὶ καὶ διατεινόμενος τοῖς ἁγίοις ἀκόλουθα δογματίζειν, δείκνυσι μᾶλλον αὐτὸς ἑαυτὸν τὰ πάντων ἐναντιώτατα λέγοντα. Καὶ μετά τινα· Ἐμοὶ δὲ πυθέσθαι, φησίν, ἔδοξε τουτουΐ, πῶς ἐκ τῆς θείας οὐσίας καὶ φύσεως εἶναι νοεῖ τὴν ἐνέργειαν, καὶ κατὰ τίνα τὸν τρόπον αἰτίαν μὲν τὴν θείαν δογματίζει φύσιν, αἰτιατὴν δὲ τὴν ἐνέργειαν. Τὸ γὰρ αἴτιον καὶ αἰτιατόν, καὶ ἀγέννητον καὶ γεννητόν, ἅπερ ἡ τῆς γεννήσεως σχέσις διὰ τῆς ἀποφάσεώς τε καὶ καταφάσεως ὁρᾷ, καὶ πρός γε τὸ ἐκπορευτόν, ἰδιώματά εἰσιν ὑποστατικά· καὶ ὁ τῆς τούτων ὑπάρξεως τρόπος τουτοισὶ χαρακτηρίζεται τοῖς ὀνόμασι. C Καὶ μετά τινα· Ἐπεὶ δὲ καὶ ὑπερκειμένας βουλόμενος ἔτι καὶ ὑφειμένας θεότητας δογματίζειν ἀκτίστους, αἴτιον εἰσάγει τε καὶ αἰτιατόν, καὶ ἅμα πρῶτον τῇ τάξει καὶ δεύτερον, καὶ ἁγίοις μάρτυσι χρώμενος, πρῶτον ἐν ὑποδείγματι λέγουσιν εἶναι τῇ τάξει τὸ πῦρ, δεύτερον δ' αὖ τὸ ἐξ αὐτοῦ φῶς, αὐτὸς τὴν μὲν θείαν φύσιν ἀνάλογον θεὶς τῷ πυρί, τὸ πρωτεῖον αὐτῇ καὶ τῆς τάξεως ἐδεδώκει, δευτέραν δὲ τὴν ἐνέργειαν ἐτετάχει, καὶ ἀνάλογον τῷ φωτὶ τοῦ πυρός· δεῖξαι ἔστιν ἐνταῦθα πρῶτον μὲν ὡς οὐδὲ ἐνταῦθα τοὺς ἁγίους συκοφαντεῖν ὁ ἀναιδὴς ἀτόλμητον εἴασε· δεύτερον δὲ ὅτι καὶ τὴν ἐνέργειαν, ἣν ἀνύπαρκτόν τε καὶ ἀνυπόστατον δογματίζει θεότητα, Υἱὸν Θεοῦ δείκνυσι νῦν· ὡς δυοῖν ἐξ ἀνάγκης D γίνεσθαι θάτερον, ἢ τέσσαρας σέβειν ἡμᾶς ὑποστάσεις, ἢ διπλοῦν τὸν Υἱόν, ἔκ τε οὐσίας ἐνυποστάτου συγκείμενον καὶ ἐνεργείας ἀνυποστάτου.

Πᾶσαν ὡς ἐν κεφαλαίῳ σχεδὸν ἐνταῦθα τὴν ἰδίαν αἵρεσιν ἐξήμεσεν ὁ φιλόσοφος. Οὔτε γὰρ ἄκτιστον καὶ θεοπρεπῆ κατὰ φύσιν ἔχειν φησὶ τὸν Θεὸν ἐνέργειαν, οὔτε κτιστήν τινα γοῦν καὶ ἐπείσακτον κατὰ τοὺς πρώτους ἐκείνους φημὶ νομοθέτας καὶ καθηγητὰς αὐτοῦ τέως Βαρλαὰμ καὶ Ἀκινδύνου· ὡς μὴ μόνον τῶν πάλαι Μονοθελητῶν τε καὶ Μονοφυσιτῶν ἐκείνων χεῖρον πολλῷ τινι διακεῖσθαι τῷ μέσῳ καὶ ἀτοπώτερον· ἐκεῖνοι καὶ γὰρ τὸ τῆς θεότητος θέλημα καὶ τὴν ἐνέργειαν ἅμα τὸν Χριστὸν ἔχειν οὐκ ἀπηρνοῦντο, εἰ καὶ τὰ τῆς ἀνθρωπείας φύσεως ἔχειν αὐτὸν ἀπηρνοῦντο κακῶς· ὁ δὲ τὴν φυσικὴν ἐνέρ-



Digitized by Google

γειάν τε καὶ θέλησιν τὸν ἕνα τρισυπόστατόν τε καὶ παντοδύναμον Θεὸν ἀφαιρεῖσθαι πειρᾶται ὅσον τὸ ἐπ' αὐτῷ, ἀλλὰ καὶ μὴ ὄντα τὸν ὄντα Θεὸν, καὶ τῶν ὄντων ἁπάντων ποιητὴν τε καὶ Κύριον, δι' ὧν δογματίζει κακῶς, σπεύδει κατασκευάζειν κατὰ τὴν ἱερὰν τῶν Πατέρων θεολογίαν.

Φησὶ γὰρ ὁ θεῖος καὶ σοφώτατος Μάξιμος· Τοῦ φυσικοῦ θελήματος καὶ τῆς οὐσιώδους ἐνεργείας ἀναιρούμενος οὔτε Θεὸς ἔσται, οὔτε ἄνθρωπος· ἀμήχανον γὰρ οὐσίαν ἄμοιρον εἶναι φυσικῆς ἐνεργείας, ἧς μόνης ἐστέρηται τὸ μὴ ὄν. Καὶ πάλιν ὁ αὐτός· Εἰ οὐσιωδῶς πρόσεστι τῷ Θεῷ ἡ φυσικὴ ἐνέργεια, τὰ δὲ οὐσιωδῶς προσόντα, καὶ ἀναφαίρετα, ἀνάγκη αὐτοὺς ἢ τῆς αὐτῆς τῷ Πατρὶ καὶ μετὰ σάρκωσιν ἐνεργείας αὐτὸν οὐ λέγοντας, μηδὲ τῆς αὐτῆς αὐτῷ λέγειν οὐσίας εἶναι· ἔνθα γὰρ ἡ κατὰ φύσιν ἐνέργεια οὐκ ἔστιν, οὐδὲ ἡ φύσις ἔσται ποτ' ἄν· ἢ τῆς αὐτῆς αὐτῷ λέγοντας αὐτὸν οὐσίας, καὶ τῆς αὐτῆς λέγειν ἐνεργείας· ἔνθα γὰρ ἡ φύσις, ἐκεῖ καὶ ἡ κοινὴ κατ' αὐτὴν ἀπαραλείπτως ἔσται ἐνέργεια.

Ἡ δὲ ἐκ Δαμασκοῦ μελιχρὰ τῷ ὄντι καὶ φιλόσοφος γλῶττα, Ἰωάννης ὁ θεῖός φημι, μετά γε τοῦ αὐτοῦ θείου Μαξίμου καὶ αὖθις, Δεῖ, φησὶ, πάντως κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικά· ἀδύνατον γὰρ ἐλλειποῦς φύσεως ὕπαρξιν εἶναι. Ἡ δὲ κατὰ φύσιν ἐνέργεια οὐ τῶν ἐκτὸς ὑπάρχει. Καὶ δῆλον, ὅτι οὔτε εἶναι οὔτε γινώσκεσθαι τὴν φύσιν δυνατὸν ἐνεργείας δίχα. Δι' ὧν γὰρ ἐνεργεῖ ἕκαστον τὴν οἰκείαν φύσιν πιστοῦται, ὅπερ ἐστὶ μὴ τρεπόμενον.

Ἀλλ' ὁ φιλόσοφος, ταῦτά τε καὶ τὰ ξυγγενῆ καὶ προσόμοια τούτοις μηδὲ εἰς νοῦν τὸ παράπαν βαλλόμενος, καὶ ὃν προσεχῶς νῦν ἀνέγνω σεπτὸν τῆς συνόδου τόμον ἀγνοεῖν προσποιεῖται καθάπαξ, μήτε τῶν περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας λόγων αὐτοῦ μάρτυρας οὐστινασοῦν τῶν ἁγίων προενεγκεῖν αὐτὸν λέγων, ἀλλ' ἐπαγγέλλεσθαι μὲν καὶ μάλα πλείστους παράγειν, παράγειν δὲ, ὥς ἐκεῖνός φησιν, οὐδὲν μᾶλλον, καὶ ἀσαφῆ καὶ σκοτεινά τινα, καὶ τῆς δεούσης ἄνευ ἐξεργασίας, καὶ κατασκευῆς, παρατρέχειν ἐκεῖνα πάντα, ἅ τις οὐκ ἂν αὐτοῦ καταγελάσαι δικαίως, τὴν θεολογίαν ἐκείνην τὴν πολλὴν καὶ μεγάλην διεξιὼν τῶν Πατέρων, ἧς τὸ πλεῖστον ἡμεῖς ἀπολαβόντες τοῦ θείου τόμου, διεξοδικώτερον ἐν τῷ δευτέρῳ κατεστρώσαμεν λόγῳ, καὶ τὴν προσήκουσαν ἐξεργασίαν καὶ τὴν κατασκευὴν τῶν θεολογικῶν λόγων, εἰ καὶ μὴ πᾶσαν μεθ' ἑαυτῆς κεκτημένην.

Εἰ δέ γε τοῖς εἰρημένοις ἐκείνοις ὁ καινὸς οὑτοσὶ δογματιστὴς καὶ παράλογος θεολόγος οὐκ ἀρκεῖται, ἀλλ' ἡμεῖς καὶ τὰ πλείω προσθήσομεν τοῖς τότε ῥηθεῖσι, καὶ δείξομεν ἔκ τε τῶν θείων Γραφῶν, καὶ δὴ καὶ τῶν θεολόγων Πατέρων τὸν παντελῆ τῆς θείας διακρίσεως καὶ ἑνώσεως λόγον, μόνον εἰ μὴ καὶ αὖθις ἐθέλοι βύειν ὡσαύτως τὰ ὦτα, καὶ μάτην κατὰ τῆς ἀληθείας ἀφιέναι τὰ βέλη τοῦ ψεύδους καὶ τῆς συκοφαντίας. Ἀλλὰ τὸ μὲν μετ' ὀλίγον· τὸ δὲ νῦν εἶναι τέως ἴδωμεν τίνα τὰ κατὰ τῶν θεολόγων ἐγκλήματα, καὶ τοῦ σεπτοῦ τόμου, ἐν οἷς A τὴν καθ' ἡμῶν ὕβριν καὶ τὴν συκοφαντίαν πανηγυρίζει χορεύων συνήθως.

Τὸ αἴτιον, φησὶ, καὶ αἰτιατὸν τὸν Πατέρα καὶ τὸν Υἱὸν δηλοῦντα μόνον, καὶ ὑποστατικὰ ἰδιώματα πεφυκότα, καὶ κατὰ τοῦτον τὸν λόγον, καὶ τοῦ πυρὸς, καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς εἰς παράδειγμα παρὰ τῶν θεολόγων Πατέρων εἰλημμένου, τῇ οὐσίᾳ καὶ τῇ ἐξ αὐτῆς ἐνεργείᾳ δίδωσι φέρων ὁ τόμος. Κἀντεῦθεν κατασκευάζει Πατέρα μὲν τὸν τρισυπόστατον Θεὸν, Υἱὸν δὲ τὴν αὐτοῦ φυσικὴν ἐνέργειαν. Ὅθεν δὴ καὶ αἱ τέσσαρες ἀντὶ τῶν τριῶν ὑποστάσεις, καὶ ὁ σύνθετος καὶ τερατώδης τοῦ φιλοσόφου Θεὸς, καὶ Υἱὸς, ὡς αὐτός φησι, καὶ ὁ τῶν βλασφημιῶν κολοφών.

Εἶπε τοιγαροῦν, ὦ ἑταῖρε, καὶ εἰ Πατρὸς καὶ B Υἱοῦ τὸ αἴτιον καὶ τὸ αἰτιατὸν οὕτως ἐστὶν ὑποστατικὸν, ὡς αὐτὸς φῂς, ἰδίωμα, ὡς μηδενί τινι τῶν πάντων τῆς σχέσεως καὶ τοῦ προσρήματος τοῦδε προσήκειν, τί περὶ τοῦ ἁγίου διδάσκεις Πνεύματος, τί δὲ περὶ τῆς ἀοράτου καὶ ὁρατῆς ἁπάσης ὁμοῦ κτίσεως, τοῦ μὲν ἐκπορευτῶς ὡς ὁμοουσίου καὶ συμφυοῦς ἐκ τοῦ Πατρὸς ὄντος, τῆς δὲ κτίσεως δημιουργικῶς ἐκ τοῦ τρισυποστάτου τε καὶ παντοδυνάμου Θεοῦ; Ἢ γὰρ υἱοὶ καὶ ταῦτα Θεοῦ κατὰ τὴν μετέωρον σὴν θεολογίαν, καὶ ἀπώλεσας ἃς κατεσκεύασας φθάσας τέσσαρας ὑποστάσεις, ἢ καὶ τὸ Πνεῦμα σύνθετον ἐξ Υἱοῦ σοι καὶ Πνεύματος, καὶ τῶν ἄλλων, ὧν ἐκεῖ κακῶς τερατεύῃ, ἢ οὐδὲ αἴτιος ὁ Θεὸς τούτων, οὐδὲ ὡς ἐξ αἰτίου του Θεοῦ ταῦτα, ἐπειδὴ Πατρός τε καὶ Υἱοῦ μόνου τὸ αἰτιατὸν καὶ τὸ C αἴτιον, ὡς αὐτὸς δογματίζεις. Ἄλλως τε καὶ Βασίλειος καὶ Ἀθανάσιος ὑπὸ μέμψιν ἂν εἶεν δικαίαν, κατὰ τὸν σὸν λόγον, οἱ πρῶτοι τὸ πῦρ καὶ τὸ ἐξ αὐτοῦ φῶς, καὶ ὅσα γε παραπλήσια τούτοις, τὰ μὲν αἴτια, τὰ δὲ αἰτιατὰ προσειπόντες, οὐχ ὁ τόμος ὁ τῷ παρ' ἐκείνων προτεθέντι χρησάμενος παραδείγματι.

Ἀλλ' οὔτε Ἀθανάσιος καὶ Βασίλειος ἐν αἰτίαις ἄν ποτε γένοιντο, καὶ ταῦτ' ἐπὶ τοῖς τοιούτοις, ἕως ἂν ὦσι δηλαδὴ καὶ διδασκάλων ἄκροι καὶ θεολόγων, καὶ μεγάλοι διὰ ταῦτα παρὰ πάσῃ τῇ Χριστοῦ Ἐκκλησίᾳ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐδεὶς ἂν εἴποι ποτὲ τῶν εἰς εὐσέβειαν τελεῖν ἐλυμένων, μὴ ὡς ἐξ αἰτίας τῆς πατρικῆς ὑποστάσεως αἰτιατὸν καὶ ὁμοούσιον εἶναι, οὔτε μὴν τὸν τρισυπόστατον Θεὸν μὴ D αἴτιον ὡς δημιουργὸν εἶναι τῶν ἰδίων κτισμάτων.

Ἀλλὰ σὺ μᾶλλον ἂν εἴης πάντ' ἐκεῖνα τῇ ἀληθείᾳ ὑπεύθυνος, καὶ ἡ σὴ κενὴ φιλοσοφία τε καὶ θεολογία τῇ γεννήσει μόνῃ τὸ αἰτιατὸν διδοὺς καὶ τὸ αἴτιον, καὶ τοῖς μερικοῖς ἀναιρῶν τὰ καθόλου, καὶ τὴν τῶν πραγμάτων ὁμοῦ καὶ τῶν λόγων τάξιν συγχέων. Οὐδὲ γὰρ ἁπλῶς ὁ γεννῶν αἴτιον, ὦ φιλόσοφε, οὐδὲ ὁ γεννώμενος ἁπλῶς αἰτιατὸς, ἀλλ' ὥσπερ ἐκεῖνος αἴτιος ὡδὶ, οὕτω καὶ οὗτος ὡδὶ αἰτιατός· ἐπεὶ καὶ τὸ Πνεῦμα αἰτιατὸν ὡδὶ, καὶ τὰ κτίσματα, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν. Καὶ καθὸ μὲν αἴτιον καὶ αἰτιατὰ, οὐδὲ μία τούτοις ἡ διαφορά· καθὸ δὲ τὸ μὲν ὡδὶ αἴτιον, τὰ δὲ ὡδὶ αἰτιατὰ, κατὰ τοῦτο καὶ ἡ διαφορά· ὅτι ὁ μὲν γεννητῶς

Digitized by Google

ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, τὸ δὲ ἐκπορευτῶς ἐξ αὐτοῦ, τὰ δὲ κτίσματα δημιουργικῶς, ἅτε δὴ καὶ θελήσεως καὶ δυνάμεως ἔργα θείας, ἀλλ' οὐχὶ φύσεως, καθὰ δὴ καὶ φθάσαντες οἱ θεολόγοι ἐδίδαξαν.

Σὺ δὲ τὸν γεννῶντα καὶ τὸν γεννώμενον μόνα λέγων εἶναι αἴτια καὶ αἰτιατὰ, ταυτόν τι λέγειν δοκεῖς, ὥσπερ ἂν εἴ τινος τὴν οὐσίαν κατηγοροῦντος τοῦ λίθου, αὐτὸς μὴ τὸν λίθον, ἀλλὰ τὸ ζῶον ἔλεγες τὴν οὐσίαν εἶναι, ἢ τὸ ζῶον ἐκείνου κατηγοροῦντος τοῦ ἐλέφαντος, μὴ τὸν ἐλέφαντα, τὸν δὲ ἄνθρωπον αὐτὸς ἔλεγες εἶναι τὸ ζῶον. Παρὰ γὰρ τὸ λογικόν τε καὶ τὸ ἄλογον ἡ διαφορὰ τούτοις, ὅτι τὸ μὲν τοιόνδε ζῶον, ὁ δὲ ἄνθρωπος τοιόνδε, οὐ παρὰ τὸ ζῶον ἁπλῶς· ὥσπερ ἐν ἐκείνοις παρὰ τὸ ἔμψυχόν τε καὶ ἄψυχον, ἀλλ' οὐ παρὰ τὴν οὐσίαν ἡ διαφορὰ, ἐπεὶ καὶ λίθος, καὶ ζῶον οὐσία. Εἰ δὲ λέγοις, παρὰ μὲν τῶν θεολόγων Πατέρων καταλλήλως εἰλῆφθαι τὴν εἰκόνα τοῦ πυρὸς, καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς, τὴν τοῦ Μονογενοῦς ἐκ Πατρὸς σκοπουμένοις γέννησιν, καὶ καλῶς τὸ αἰτιατόν τε καὶ τὸ αἴτιον ἐκ τούτων ὡς ἐξ εἰκόνων ἐκείνοις προσηρμόσθαι τοῖς ἀῤῥήτοις τε καὶ ὑπερφυέσι, τὸν δὲ τόμον ἁμαρτάνειν καὶ τοὺς ἐκτεθεικότας, τὰς τῶν θεαρχικῶν ὑποστάσεων εἰκόνας τε καὶ τὰ παραδείγματα τῇ ἐνεργείᾳ προσάπτοντας, καὶ τὴν μὲν ἐντεῦθεν Υἱὸν, τὴν δὲ τρισυπόστατον θεότητα, μᾶλλον δὲ τὴν ταύτης οὐσίαν Πατέρα ταύτης κατασκευάζοντας, εἰ δὴ ταῦτα λέγων ὁ φιλόσοφος, ἀναξίως ἡμᾶς φησι τῷ παραδείγματι τῶν ἁγίων, καὶ μὴ κατὰ τὸν σκοπὸν ἐκείνων κεχρῆσθαι, σκοπεῖτε δὴ καὶ τὸν ἡμέτερον λόγον πρὸς ταῦτα, ταυτὸ δ' εἰπεῖν καὶ τοῦ τόμου καὶ τῶν ἁγίων· οὐδὲ γὰρ ἔξω τι τῶν ἐκείνοις δοκούντων, ἀλλὰ τὰ ἐκείνων καὶ αὖθις ἐροῦμεν.

Πρῶτον μὲν οὖν ἀποδέδεικται ὅτι τὸ αἰτιατὸν καὶ τὸ αἴτιον, ἢ αἰτιατόν τε καὶ αἴτιον, οὐ τοῦ Πατρὸς μόνον καὶ τοῦ Υἱοῦ, ἀλλὰ καὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος, καὶ Θεοῦ καὶ κτισμάτων ἐστίν· καὶ οὐ τούτων μόνων, ἀλλὰ καὶ πλείστων ἑτέρων ἐν τοῖς κτίσμασι τῶν ἐξ ἀλλήλων ὄντων, ὧν ἐστιν ἓν καὶ τὸ ῥηθὲν ἐκεῖνο τοῖς ἁγίοις παράδειγμα, τὸ πῦρ φημι καὶ τὸ ἐξ αὐτοῦ φῶς. Καὶ κείσθω τοῦτο. Ἔπειτα κἀκεῖνο δεῖ σκοπεῖν ἀναγκαίως. Τῶν αἰσθητῶν τούτων καὶ ὑλικῶν εἰκόνων τε καὶ παραδειγμάτων ἀσθενῶν ὄντων καὶ σαθρῶν πάνυ, πρὸς τὸ τὰ ὑπὲρ αἴσθησίν τε καὶ νοῦν εἰκονίζειν· Οὐδὲν γάρ ἐστι, φησὶν ὁ τῆς θεολογίας ἐπώνυμος, ὃ μοι τὴν διάνοιαν ἵστησιν, ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι τὸ φανταζόμενον, πλὴν εἴ τις ἕν τι λαβὼν τῆς εἰκόνος ὑπ' εὐγνωμοσύνης τὰ πολλὰ ῥίψειε· καὶ πάλιν· Κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον ἀφέν με κάτω μετὰ τοῦ ὑποδείγματος· ἐπεὶ οὖν οὕτω ἀσθενῆ πρὸς τὰ θεῖα τὰ κάτω ταῦτα καὶ ἀνθρώπινα ὑποδείγματα, ἀναγκαῖά γε μὴν ἄλλως δι' ἡμᾶς τοὺς πρὸς οὓς ὁ λόγος, ὡς καὶ τῷ φιλοσόφῳ τούτῳ δοκεῖ, ἐκεῖνο τῶν ὑποδειγμάτων μᾶλλον ἂν εἴη ξυγγενὲς πρὸς τὸ εἰκονιζόμενον, καὶ κατάλληλον, ὅπερ προσαρμόζει μᾶλλον, καὶ οἰκειοῦται διὰ πλειόνων, καθόσον οἷόν τε.

A Ἴδωμεν οὖν καὶ τὴν τοῦ πυρός τε καὶ τοῦ φωτὸς εἰκόνα, τίνι μᾶλλον καὶ κατὰ πλείονάς περ προσήκει τοὺς λόγους, τῇ ἐκ Πατρὸς ὑπερφυεῖ καὶ ἀϊδίῳ τοῦ Υἱοῦ γεννήσει, ἢ τῇ ἐκ τῆς θείας φύσεως ἀῤῥήτῳ καὶ ἀϊδίῳ προόδῳ τῆς ἐνεργείας. Ἡ μὲν γὰρ ἐκ τῆς τοῦ πυρὸς οὐσίας ἐστὶ τὸ φῶς, καὶ ἢ πρόεισιν ἐξ αὐτοῦ, καὶ προϊὸν ἀδιαίρετον μένει, καὶ ἢ τῇ μὲν τάξει δεύτερον ἐπινοίᾳ θεωρεῖται, τῷ χρόνῳ δὲ οὐδαμῶς, καὶ ᾗ ἡνωμένον ἅμα καὶ διακεκριμένον ἐστὶ, τὸ μὲν τῷ ἓν καὶ ἀχώριστον εἶναι, τὸ δὲ τῷ ἐξ αὐτοῦ εἶναι ὡς ἐξ αἰτίου, κατὰ ταῦτα τοίνυν ἀμυδρὰν εἰκόνα τινὰ φέρει τὸ πῦρ, καὶ τὸ ἐξ αὐτοῦ φῶς, ὡς ἐξ ὑλικοῦ καὶ σωματικοῦ παραδείγματος φάναι τῆς ἐκ Πατρὸς ἀῤῥήτου καὶ ἀϊδίου γεννήσεως τοῦ Υἱοῦ. Καθὸ δὲ πάλιν οὐ δύναμίς ἐστιν ὁ Υἱὸς οὐκ ἐν B ὑποστάσει οὖσα ἰδίᾳ καὶ ἐν ἑτέρῳ θεωρουμένη, ἀλλ' ὑπόστασις τελεία ἐκ τῆς πατρικῆς ὑποστάσεως γεννητῶς προϊοῦσα, ζῶσα καθ' ἑαυτὴν καὶ ὑφεστῶσα, καὶ θεοπρεπῶς ἐνεργοῦσα, Θεὸς τέλειος ἐκ Θεοῦ τελείου, φῶς ἐκ φωτὸς, καὶ ζωὴ, καὶ σοφία, καὶ δύναμις ἐνυπόστατος, ἐκ ζωῆς, καὶ σοφίας, καὶ δυνάμεως ἐνυποστάτου Λόγος ἐνυπόστατος, καὶ Υἱὸς πάντα ἔχων ὅσα ὁ Πατὴρ πλὴν τῆς αἰτίας, κατὰ ταῦτα δὲ οὐκ ἂν εἰκόνα σχοίη ποτὲ τὸ φῶς τὸ ἐκ τοῦ πυρός.

Ἡ μέντοι φυσικὴ τοῦ Θεοῦ ἐνέργεια, καὶ κατ' ἐκεῖνα τὰ πρότερα καταλλήλως ἔχουσα πρὸς τὴν ῥηθεῖσαν εἰκόνα τοῦ φωτὸς, καὶ γὰρ καὶ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας ἐστὶ φυσικῶς, καὶ προϊοῦσα ἐκεῖθεν ἀδιαίρετος μένει καὶ τῇ τάξει δευτέρα τῆς πηγαC ζούσης ἐστὶ φύσεως, τῷ χρόνῳ δὲ οὔ, καὶ τὸ ἡνωμένον ὁμοῦ καὶ τὸ διακεκριμένον ἔχει, καὶ τἄλλα, κἀκεῖνα τὰ ὕστερα μεθ' ἑαυτῆς οὐδὲν ἧττον ἔχουσα φαίνεται· φημὶ δὴ τὸ μὴ ὑπόστασις, ἢ οὐσία, ἀλλὰ δύναμις εἶναι μᾶλλον, ἐν τῇ οὐσίᾳ ὡς ἐν ὑποκειμένῳ θεωρουμένη· οὐδεμία γὰρ ἐνέργεια ἐνυπόστατος, φησὶν ὁ μέγας Βασίλειος, τουτέστιν αὐθυπόστατος· καὶ πρός γε ἔτι, ὅτι καὶ μεθεκτή ἐστι κατὰ τὴν τοῦ φωτὸς φύσιν, ἀμεθέκτου κατ' οὐσίαν τοῦ πυρὸς ὄντος, ὅπερ οὐδαμῶς ἔστιν εἰπεῖν ἐπὶ τοῦ Υἱοῦ· ἀμέθεκτος γὰρ καθ' ἑαυτὸν ἐκεῖνος, ὥσπερ δὴ καὶ ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Ἐπεὶ τοίνυν δέδεικται κατὰ πλείονας λόγους, εἰκόνα πεφυκέναι τὸ πῦρ, καὶ τὸ ἐξ αὐτοῦ φῶς, τῆς D θείας οὐσίας, καὶ τῆς φυσικῆς αὐτῆς ἐνεργείας, ἢ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ, μᾶλλον ἂν εἴη καὶ προσφυέστερον ἐκείνων παράδειγμα ἢ τούτων. Καὶ εἰκότως καὶ κατὰ τὸν προσήκοντα λόγον ἡ τῶν Πατέρων σύνοδος ἐχρήσαντο τούτῳ, καὶ τῷ σεπτῷ δεδώκασι τόμῳ τὸ ἡνωμένον τε καὶ διακεκριμένον, καὶ τὸ ἀδιαιρέτως ἐκ τῆς θείας οὐσίας προϊέναι τὴν θείαν ἐνέργειαν παριστάντες, καὶ ψεῦδος ἄντικρυς τὰ τοῦ Γρηγορᾶ, καὶ κακῶς, καὶ δυσσεβῶς κατὰ τῆς Ἐκκλησίας καὶ τοῦτο τὸ βέλος ἀφῆκε. Δεῖ δὲ καὶ τοῖς θεολογικοῖς καὶ πατρικοῖς λόγοις πιστώσασθαι τὰ ῥηθέντα, ἵνα μὴ τισι δόξωμεν ἁπλῶς τὰ παρ' ἑαυτῶν λέγειν. Ἥλιον ἐνεθυμήθην, καὶ ἀκτῖνα, καὶ φῶς, φησὶν ὁ τῆς θεολογίας στῦλος Γρηγόριος, περί τε τοῦ ὁμοουσίου, καὶ δὴ καὶ τοῦ ἡνωμένου, καὶ

Digitized by Google

διακεκριμένου τῆς ἀνωτάτω Τριάδος θεολογῶν. Ἀλλὰ κἀνταῦθα, φησὶ, δέος πρῶτον μὲν μὴ σύνθεσίς τις ἐπινοῆται τῆς ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ· δεύτερον δὲ μὴ τὸν Πατέρα μὲν οὐσιώσωμεν, τὸν Υἱὸν δὲ καὶ τὸ Πνεῦμα μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις τινὰς ποιήσωμεν, ἐνυπαρχούσας, οὐχ ὑφεστώσας. Οὐδὲ γὰρ ἀκτὶς ἄλλος ἥλιος, ἀλλ' ἡλιακαί τινες ἀπόῤῥοιαι καὶ ποιότητες οὐσιώδεις.

Ὁρᾷς ὅπερ ἔλεγον, ὅτι τὸ τοῦ πυρός τε καὶ τοῦ φωτὸς παράδειγμα, αὐτὸ δὲ εἰπεῖν τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος, μᾶλλον τῇ θείᾳ οὐσίᾳ καὶ τῇ ἐνεργείᾳ προσήκουσιν ἢ τῷ Πατρὶ καὶ τῷ Υἱῷ; Ὁ μὲν γὰρ ὑπόστασις τελεία ἐξ ὑποστάσεως τελείας, καὶ δέος, φησὶν ὁ θεολόγος, μὴ τὸν Πατέρα μὲν οὐσιώσωμεν, τὸν Υἱὸν δὲ καὶ τὸ Πνεῦμα οὐ καθ' ὑπόστασίν ἰδίαν εἶναι φήσωμεν, ἀλλὰ δυνάμεις τινὰς ποιήσωμεν ἐνυπαρχούσας, οὐχ ὑφεστώσας· αἱ δὲ θεῖαι ἐνέργειαι δυνάμεις οὐσιώδεις εἰσὶν, οὐ καθ' ἑαυτὰς ὑφεστῶσαι, ἀλλ' ἐνυπάρχουσαι τῇ οὐσίᾳ, ὃ δὴ μᾶλλον καὶ οἰκειότερον τὸ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος παράδειγμα βούλεσθαί φησιν ὁ θεολόγος διδάσκαλος.

Ὁ δὲ συμφυὴς τούτῳ καὶ σύμπνους, ὁ μέγας φημὶ Βασίλειος, καὶ ἄμφω τὰ παραδείγματα συναγαγὼν εἰς ἓν, τό τε τοῦ ἡλίου καὶ τὸ τῆς ἀκτῖνός φημι, καὶ δὴ καὶ τὸ τοῦ πυρὸς καὶ τοῦ ἐξ αὐτοῦ φωτὸς τῷ Πνεύματι τῷ ἁγίῳ καὶ τῇ ἐξ αὐτοῦ προϊούσῃ φυσικῶς ἐνεργείᾳ καὶ χάριτι δίδωσιν, οὕτω λέγων· Ἐκεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ὅπου ὁ Υἱὸς, καὶ ὅπου ὁ Πατὴρ, πάντα ἔχον καὶ αὐτὸ συνουσιωμένως κατὰ τὴν φύσιν. Καὶ μετὰ μικρόν· Ἀλλ' ὥσπερ ἀχώριστον τῷ πυρὶ τὸ θερμαίνειν, καὶ φωτὶ τὸ λάμπειν, οὕτω τῷ Πνεύματι τὸ ἁγιάζειν, τὸ ζωοποιεῖν, ἡ ἀγαθότης, ἡ εὐθύτης· καὶ ὥσπερ ὁ ἥλιος ἐπιλάμπων τοῖς σώμασι, καὶ ποικίλως ὑπ' αὐτῶν μετεχόμενος, οὐδὲν ἐλαττοῦται παρὰ τῶν μετεχόντων, οὕτω τὸ Πνεῦμα πᾶσι τὴν ἑαυτοῦ χάριν παρέχον ἀμείωτον μένει, καὶ ἀδιαίρετον.

Καὶ ὁ θεοφόρος δὲ Δαμασκηνὸς τὴν τοῦ πυρὸς καὶ τοῦ φωτὸς ταύτην εἰκόνα κατὰ τοὺς προῤῥηθέντας δηλαδὴ θεολόγους ἐπὶ Πατρὸς καὶ Υἱοῦ λαμβάνων, ἀτελῆ κατὰ τοὺς ἤδη λεχθέντας ἡμῖν λόγους ταύτην εὐθὺς δείκνυσι. Φησὶ γάρ· Ὥσπερ τὸ φῶς ἐκ τοῦ πυρὸς γεννώμενον ἀεὶ ἐν αὐτῷ ἐστι, μηδαμῶς αὐτοῦ χωριζόμενον, οὕτω καὶ ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννᾶται, μηδαμῶς αὐτοῦ χωριζόμενος, ἀλλ' ἀεὶ ἐν αὐτῷ μένων. Ἀλλὰ τὸ μὲν φῶς, ἐκ τοῦ πυρὸς γεννώμενον ἀχωρίστως καὶ ἐν αὐτῷ ἀεὶ μένον, οὐκ ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὸ πῦρ· ποιότης γάρ ἐστι φυσικὴ τοῦ πυρός· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς, ἐκ τοῦ Πατρὸς γεννηθεὶς ἀχωρίστως καὶ ἀδιαστάτως, καὶ ἐν αὐτῷ μένων ἀεὶ, ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὴν τοῦ Πατρός.

Ὅρα πῶς καὶ τὰ τῷ θεολόγῳ τούτῳ ῥηθέντα τοῖς προῤῥηθεῖσι ταυτὰ βούλεται, ὅτι τῇ ἐκ τῆς θείας οὐσίας δηλαδὴ φυσικῇ προόδῳ καὶ ἐνεργείᾳ καὶ χάριτι μᾶλλον αἱ τοῦ πυρὸς καὶ τοῦ ἡλίου, καὶ δὴ καὶ τῶν ἐξ αὐτῶν εἰκόνες προσήκουσί πως ἢ τῇ ἐκ τοῦ Πατρὸς ἀνάρχῳ τε καὶ ἀῤῥήτῳ γεννήσει τοῦ A Υἱοῦ. Ὁ μὲν γὰρ μονογενὴς, φησὶν, Υἱὸς τοῦ Θεοῦ ἐκ τοῦ Πατρὸς γεννηθεὶς ἀχωρίστως, καὶ ἐν αὐτῷ μένων ἀεὶ, ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὴν τοῦ Πατρός· ἡ δὲ τοῦ ἡλίου ἀκτὶς καὶ τὸ φῶς τὸ ἐκ τοῦ πυρὸς, ἀπόῤῥοιαί τινές εἰσιν ἐκείνων, καὶ ποιότητες οὐσιώδεις καὶ φυσικαὶ, οὐκ ἰδίαν ὑπόστασιν ἔχουσαι, ἀλλ' ἐν ἐκείναις ταῖς φύσεσι θεωρούμεναι, ὃ δὴ καὶ κατάλληλόν ἐστι μάλιστα τῇ φυσικῇ τοῦ Θεοῦ ἐνεργείᾳ, καθὰ δὴ καὶ δείξας ὁ λόγος ἔφθη. Οὐ γὰρ ἰδίαν ὑπόστασιν ἔχει, ἀλλ' ἐν τῇ θείᾳ καὶ τρισυποστάτῳ θεωρεῖται φύσει, οἷα δὴ φυσικὸν ἰδίωμα ταύτης καὶ οὐσιώδης δύναμις. Ὅπερ γάρ ἐστιν ἐν ἐκείναις ταῖς οὐσίαις ἡ φυσικὴ καὶ οὐσιώδης ποιότης, καὶ τὸ συμβεβηκὸς, τοῦτ' ἔστιν ἐπὶ τῆς θείας καὶ ἀσυνθέτου, καὶ ἁπλῆς οὐσίας κατὰ τοὺς B θεολόγους Πατέρας τὰ φυσικὰ ἰδιώματα· ἃ δὴ καὶ ποιότητάς τινες φυσικὰς τῶν θεολόγων ἐκείνων εἰρήκασι, σαφηνείας ἕνεκα, καὶ τοῦ δεῖξαι τὸν Χριστὸν καταλλήλως ταῖς διτταῖς αὐτοῦ φύσεσι, καὶ τὰ διττὰ φυσικὰ θελήματα, καὶ τὰς φυσικὰς ἐνεργείας, ὡς ἴδια τῶν αὐτοῦ φύσεων φυσικῶς κεκτημένον.

Ὅ γε μὴν Γρηγορᾶς μήτε τῷ ἡνωμένῳ τῆς θεότητος, μήτε τῷ διακεκριμένῳ ταύτης θεοπρεπῶς τε καὶ θεολογικῶς ἐπιβάλλων μηδοτιοῦν, μᾶλλον μὲν οὖν καὶ τὴν φωνὴν καὶ τοὺς λόγους κατὰ τῶν ἐκεῖνα θεολογούντων διδασκάλων ὁπλίζων κακῶς, εἰ καὶ τὸν τόμον, καὶ τοὺς ἐκεῖνον ἱερῶς ἐκτεθεικότας Πατέρας σχηματίζεται δῆθεν, καὶ ἣν μόνην ἐδόκει πρεσβεύειν διάκρισιν ἐπὶ τῶν θεαρχικῶν τῆς θεότητος C προσώπων, καὶ ταύτην ἀπώλεσε, φεῦ! Οὐδὲ γὰρ ὑποστάσεις φησὶ τρεῖς, οὐδὲ ταύταις διακρίνεσθαι τὸν ἕνα λέγει Θεὸν, κατά γε τὸν τῆς εὐσεβοῦς ἡμῶν πίστεως ὅρον καὶ λόγον, καὶ τὰς ἐκεῖθεν ὑπερφυεῖς ἐντολάς τε καὶ παραδόσεις.

Ἀλλ' ἐπειδὴ τὸ Πατρὸς ὄνομα καὶ Υἱοῦ σχέσεως ἤκουσεν ὀνόματα πρὸς τοὺς αἱρετικοὺς τῶν θεολόγων εἰπόντων, αὐτὸς τὸ τῶν ὑποστάσεων, καὶ δὴ καὶ τὸ τῶν προσώπων ἀφελὼν ὄνομα, σχέσει μόνῃ διακρίνεσθαι λέγει τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, καινήν τινα καὶ ἀήθη φωνὴν ἐπεισαγαγὼν τῇ θεολογίᾳ τῆς μακαρίας Τριάδος ἀντὶ τῆς Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ἣν φησι σχέσιν. Καὶ εἰ μὲν ἐκείνην προτιθεὶς, φημὶ δὴ τὴν τῶν ὑποστάσεων ἱερὰν θεολογίαν, ταῖς τρισὶν ὑποστάσεσιν D ἔλεγε κατὰ τὸν τῶν θεολόγων καὶ τῶν Πατέρων χορὸν διακρίνεσθαι τὴν μίαν θεότητα, οὐδὲν ἂν ἦν ἴσως καινὸν, εἰ καὶ τὴν σχέσιν τῶν προσώπων κατὰ τοὺς Πατέρας ἐπῆγε· νῦν δὲ τὸ τρισυπόστατον ἀφελὼν, ἧπερ ἔφην, καὶ τὸ ὑποστατικὴν, ἢ προσωπικὴν διαφορὰν εὐσεβῶς καὶ ἀξίως εἰπεῖν τοῦ Θεοῦ, καινήν τινα θεολογίαν εἰσάγει τὴν σχέσιν, σχέσει μόνῃ διακρίνεσθαι λέγων τὴν θεότητα.

Κἀνταῦθα μὲν μέχρι τούτου· μικρὸν δὲ προϊὼν καὶ φωνὴν ψιλὴν μόνην τὴν σχέσιν ταύτην ἐρεῖ, πράγματος οὖσαν ἐρήμην, καὶ μὴ καθ' ὑποκειμένου τινὸς μηδαμῶς λεγομένην, τὴν Λιβυκὴν ἐριννὺν αὖθις ἐκείνην, τὴν τοῦ Σαβελλίου φημὶ σύγχυσιν, ἐπεισάγων τῇ τῆς μεγάλης Τριάδος θεολογίᾳ, ὀνόματα ψιλὰ δογματίσασαν τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ

Digitized by Google

Πνεῦμα τὸ ἅγιον, καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου μόνου λεγόμενα. Τοῦτο καὶ γάρ ἐστιν ἄντικρυς τὸ σχέσει μὲν διακρίνεσθαι μόνῃ τὴν ἁγίαν Τριάδα, τὴν δὲ σχέσιν ἐκείνην κατὰ τὸν Γρηγορᾶν πρᾶγμα μηδαμῶς εἶναι, μᾶλλον δὲ μηδὲ εἶναι καθάπαξ, πλὴν μόνης φωνῆς ψιλῆς, ὃ δὴ καὶ προϊὼν αὐτὸς διὰ τῶν ἑαυτοῦ λόγων δείξει, καθάπερ ἔφην. Ἡμᾶς δὲ ἀναγκαῖον ἤδη τὸν περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως κατὰ τὰ ὑπεσχημένα πλατύτερον λόγον ἐκθέσθαι, καὶ διδάξαι τὸν φιλόσοφον τοῦτον εὐαγγελικήν τε καὶ ἀποστολικὴν ἄνωθεν δόξαν τε, καὶ νομοθεσίαν οὖσαν τὸ ἡνωμένον ὁμοῦ, καὶ διακεκριμένον τῆς ἱερᾶς θεολογίας. Οὐ τὸ κατὰ τὴν θείαν οὐσίαν φημὶ μόνον, καὶ τὰς τρεῖς θεαρχικὰς ὑποστάσεις, ἢ τὰ πρόσωπα, ἀλλὰ καὶ τὸ κατὰ τὴν θείαν οὐσίαν, καὶ τὴν ταύτης οὐσιώδη ἐνέργειάν τε καὶ δύναμιν, ἢ τὰς ἐνεργείας καὶ τὰς δυνάμεις, ἐπειδὴ καὶ ἑνικῶς ὁμοῦ καὶ πληθυντικῶς παρὰ τῶν θεολόγων ἡ τοῦ Θεοῦ φυσικὴ δύναμις καὶ ἐνέργεια προάγεται, καθὰ δὴ καὶ τοῦ λόγου προϊόντος ἡμᾶς διδάσκουσι κάλλιστα. Μᾶλλον δ' ὁ μὲν φιλόσοφος οὐκ ἔτ' ἂν οὔτε διδάσκεσθαι καὶ μανθάνειν, οὔτε μεταμανθάνειν ἔχοι τὰ κακῶς αὐτῷ καὶ γνωσθέντα, καὶ δόξαντα· πάλαι γὰρ ἔδει ταῦτα ζητεῖν παρὰ τῶν εἰδότων, καὶ μανθάνειν ἀφιλονείκως ἃ μὴ μεμάθηκεν. Ἀλλὰ τότε μὲν τὸ μανθάνειν ἀφεὶς εὐσεβῶς, κατὰ τῶν διδασκάλων δυσσεβῶς καὶ A χεῖρα καὶ γλῶτταν ἐπῆρε, κατὰ πάσης θεολογίας καὶ πάντων ἱερῶν διδασκάλων μετὰ πολλῆς τῆς ἀπονοίας χωρήσας, καὶ στήλην σχεδὸν πάσης αἱρέσεως, ὡς μὴ ὤφελε, τὰ οἰκεῖα ταυτὶ συγγράμματα καταλελοιπώς.

Νῦν δὲ παρὰ τοὺς πλείους γενόμενος, καὶ τὴν τελευταίαν, οἴμοι! σιγήσας σιγήν, καὶ μήτ' ἀκούειν, μήτε λέγειν, μήτε μεταμανθάνειν τε, καὶ μανθάνειν ἔχων μηδοτιοῦν, ἀνόνητα μετὰ τῶν οἰκείων ἑταίρων τε καὶ μυσταγωγῶν μετακλαύσεται, οὐχ ὑπὲρ ἑαυτοῦ φημι μόνον, καὶ τῆς οἰκείας ἀπωλείας, ἀλλὰ καὶ πολλῷ πλέον ὑπὲρ ὧν ἐδίδαξε, καὶ διέστρεψε κάκιστα καὶ λόγοις, καὶ γράμμασιν, ὃ δὴ καὶ τῶν ἄλλων πάντων βαρύτατον. *Οὐαὶ* γάρ, φησίν, *ὁ ποτίζων τὸν πλησίον ἀνατροπὴν θολεράν*· καὶ B μάλιστα τῶν μετηλλαχότων κατ' ἐκεῖνον τὸν βίον καὶ σὺν τῇ παρούσῃ ζωῇ, καὶ τὴν ἐλπίδα, φεῦ! ἀπολωλεκότων τῆς μεταμελείας τε καὶ τῆς διορθώσεως. Πρὸς μὲν οὖν ἐκείνους οὐδέν, ὅπερ ἔφην, ὁ λόγος· ἀναγκαῖος δ' ὡς οἶμαι πρὸς τοὺς περιόντας τούτους τῶν ἀδελφῶν. Καλῶ γὰρ ἀδελφοὺς ἔτι τὴν κοινὴν κεφαλήν, καὶ Πατέρα διὰ φιλανθρωπίαν, καὶ τὴν κλῆσιν, καὶ τὴν ἄρρητον ἐκείνην μυσταγωγίαν αἰδούμενος, καὶ ἅμα τῷ τῶν τοιούτων ἀκούειν τέως αὐτοὺς ἐθέλειν, ἐλπίδας ὁρῶν ἡμῖν ἀγαθὰς διδόντας περὶ τοῦ μέλλοντος.

# ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΓΡΗΓΟΡΑΝ

## ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΠΕΜΠΤΟΣ

Περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας, καὶ περὶ διαφορᾶς ἰδικῶς αὖθις θείας οὐσίας καὶ ἐνεργείας, καὶ δὴ καὶ περὶ τοῦ αὐτῶν ἡνωμένου, καὶ ὅτι ἡ μὲν ἕνωσις αὐτῶν πράγματι θεωρεῖται κατὰ τοὺς θεολόγους, ἡ διαφορὰ ἐπινοίᾳ· αἱ δὲ τούτων ἀποδείξεις ἔκ τε Διονυσίου καὶ Ἱεροθέου τῶν διαδόχων τῶν ἀποστόλων ἐκ τῶν θείων Γραφῶν, ἀπὸ τῶν οἰκουμενικῶν συνόδων, καὶ τινων ἀπὸ μέρους θεολόγων διδασκάλων.

Νῦν δ' ἐπὶ τὴν θείαν καὶ ὑπερφυᾶ τῆς θεότητος C ἕνωσίν τε καὶ διάκρισιν ἰόντες τῷ λόγῳ, εἰ μέν τι τῶν οἰκείων λογισμῶν ἐσκοποῦμεν καὶ λόγων, τολμηροί τινες ἂν ἦμεν καὶ θρασεῖς ὄντως, τοῖς ὑπὲρ ἡμᾶς πολλῷ τινι τῷ μέσῳ καὶ καθ' ὑπερβολὴν ἀσκόπως ἐπιχειροῦντες· ἐπεὶ δὲ τὰ τῆς θείας θεολογίας παρὰ τῶν θεολόγων ἐκείνης λαβόντες καθόσον ἐφικτὸν ταῖς προκειμέναις προσαρμόζομεν ὑποθέσεσι καὶ τοῖς λόγοις, ἐκεῖνα καὶ νῦν ἐροῦμεν, ὅσαπερ ἂν ἀκοῦσαι δυνηθείημεν, πρὸς τῆς ἐκείνων ὁδηγούμενοι χειραγωγίας τε καὶ θεολογίας εἰς τὴν ἀπλανῆ τῶν θείων λόγων ἀλήθειαν. Οὐχ ὅτι μὴ τὰ προγραφέντα καὶ ὁρισθέντα τῷ ἱερῷ τῶν Πατέρων ἐκείνῳ συλλόγῳ πρὸς τὸν σκοπὸν ἱκανῶς ἔσχε, πῶς γάρ; ἀλλ' ὅτι καὶ μετὰ τοὺς θείους λόγους ἐκείνους καὶ τὴν λαμπρὰν τῶν ζητουμένων ἀπόδειξιν λέγειν τι καὶ γράφειν οἱ περὶ τὸν Γρηγορᾶν ἔδοξάν τισι. Πρὸς μὲν ἐκείνους καὶ τὴν τῶν πραγμάτων ἀλήθειαν τὸ παράπαν οὐδὲ γρῦ φασιν οἱ ἐκείνων σοφοί· πλὴν ὅτι τοῖς βουλομένοις ἐκείνων ἀκούειν, καὶ τοῖς τοῦ Βαρλαὰμ τε καὶ Ἀκινδύνου πως ἥδεσθαι, τέως τι λέγειν ἔδοξαν.

Διὰ τοῦτο καὶ πρὸς αὐτὴν ἐκείνην τὴν τῶν θείων Γραφῶν οἱονεὶ κορυφὴν καὶ ἀκρώρειαν, εὐαγγελιστάς φημι καὶ ἀποστόλους, καὶ δὴ καὶ τοὺς τούτων ὁμιλητάς τε καὶ διαδόχους, νῦν δέον ἀναδραμεῖν, καὶ παρὰ τῆς ἀποστολικῆς θεολογίας τε καὶ διδασκαλίας ἀκοῦσαι, εἴ τίς ἐστιν ἕνωσίς τε καὶ διάκρισις ἐπὶ τῆς θεότητος, καὶ τίς αὕτη, καὶ τί μὲν περὶ αὐτῆς τοὺς τῆς Ἐκκλησίας ἀπλανῶς τε καὶ θεοπρεπῶς λέγειν δεῖ καὶ φρονεῖν, τί δὲ σιωπᾶν αὖθις κατὰ θείους δηλαδὴ νόμους.

Τίνες δ' ἂν εἶεν ἄλλοι πρῶτοι τῶν θείων εὐαγγελιστῶν τε καὶ ἀποστόλων ἀκροαταὶ καὶ μύσται καὶ σοφοὶ D μὲν τὰ θεῖα, σοφοὶ δὲ τὰ ἀνθρώπινα, θεολογίας δὲ καὶ θεωρίας ἐπὶ τοσοῦτον ἀναδραμόντες, ὡς μὴ μόνον μαθεῖν κατ' αὐτοὺς ἐκείνους εἰπεῖν, ἀλλὰ καὶ παθεῖν ὑπερφυῶς τὰ θεῖα, καὶ διὰ τοῦτο καὶ ἀποστόλων αὐ-

Digitized by Google

τοὶ χρηματίσαι καταξιωθῆναι καθηγηταὶ τὰ τοιαῦτα; A Τιμόθεος καὶ Τίτος, καὶ εἴ τις κατ' ἐκείνους ἄλλος ταὐτά φησι. Τίσιν οὖν ἄλλοις εἰ μὴ Διονυσίῳ τε καὶ Ἱεροθέῳ μετὰ τοὺς πρώτους εὐθὺς ἀποστόλους ἡμᾶς αὐτοὺς ἐγχειρίζειν δεῖ, καὶ τὰ τῶν εὐαγγελιστῶν τε καὶ ἀποστόλων, καθόσον ἂν ἐξῇ, παρ' αὐτῶν καὶ διδάσκεσθαι, καὶ μανθάνειν; Ἀκούωμεν δὴ τῶν διδασκάλων τουτωνὶ καὶ θεολόγων λεγόντων· Ἡ θεολογία, φησὶ, τὰ μὲν ἡνωμένως παραδίδωσι, τὰ δὲ διακεκριμένως· καὶ οὔτε τὰ ἡνωμένα διαιρεῖν θεμιτὸν, οὔτε τὰ διακεκριμένα συγχεῖν, ἀλλ' ἑπομένους αὐτῇ κατὰ δύναμιν, ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν. Ἤκουσας; κανόνα τινὰ, καὶ τύπον, ἢ θεμέλιον οἱονεὶ θεολογίας ἀπλανοῦς ὁ θεολόγος ἡμῖν τουτονὶ δίδωσιν, ἐξίσης τό τε ἡνωμένον καὶ διακεκριμένον θεολογοῦντα, καὶ ἑκάτερον ἀπαράτρεπτον B ἀπαιτοῦντα μετὰ τοῦ προσήκοντος καιροῦ τε καὶ λόγου. Οὔτε γὰρ τὰ ἡνωμένα διαιρεῖν, φησὶ, χρὴ, καὶ πρὸς Ἀρείους τε καὶ Μακεδονίους, καὶ τὴν διαίρεσιν τῆς φύσεως, καὶ τὴν πολυαρχίαν βλέπειν, οὔτε τὰ διακεκριμένα συγχεῖν διὰ τῆς κακῆς ἑνώσεως δηλονότι, καὶ Σαβελλίους, καὶ Μονοφυσίτας τε καὶ Μονοθελήτας, καὶ δὴ καὶ τοὺς μετ' ἐκείνους νενοσηκότας μετὰ μείζονος τῆς προσθήκης τοὺς περὶ Βαρλαὰμ καὶ Ἀκίνδυνον τούτους φημὶ, καθαπερεὶ τινα συμφορὰν ἐπεισάγειν τῇ Ἐκκλησίᾳ· ἀλλ' ἑπομένους τῇ θείᾳ θεολογίᾳ, κατὰ δύναμιν ἐπὶ τὰς θείας μαρμαρυγὰς ἀνανεύειν.

Τούτῳ τοιγαροῦν καὶ ἡμεῖς καὶ λύχνῳ, καὶ ὁδηγῷ, καὶ κανόνι χρώμενοι, πρὸς τὰ ἑξῆς τῆς θεολογίας C ἐκείνης χωρῶμεν. Ἐπὶ τῆς ἑνώσεως, φησὶ, τῆς θείας, ἤτοι τῆς ὑπερουσιότητος, ἡνωμένον μὲν ἐστι τῇ ἐναρχικῇ Τριάδι, καὶ κοινὸν ἡ ὑπερούσιος ὕπαρξις, ἡ ὑπέρθεος θεότης, ἡ ὑπεράγαθος ἀγαθότης. Καὶ μετὰ μικρόν· Ἡ ἐν ἀλλήλαις, εἰ οὕτω χρὴ φάναι, τῶν ἐναρχικῶν ὑποστάσεων μονὴ καὶ ἵδρυσις, ὁλικῶς ὑπερηνωμένη, καὶ οὐδενὶ μέρει συγκεχυμένη. Καὶ μικρὸν ἀνωτέρω τούτων, Τὰ μὲν οὖν ἡνωμένα, φησὶ, τῆς ὅλης θεότητός ἐστιν, ὡς ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσι διὰ πλειόνων ἐκ τῶν λογίων ἀπεδείξαμεν, τὸ ὑπεράγαθον, τὸ ὑπέρθεον, τὸ ὑπερούσιον, τὸ ὑπέρσοφον, καὶ ὅσα τῆς ὑπεροχικῆς ἐστιν ἀφαιρέσεως· μεθ' ὧν καὶ τὰ αἰτιολογικὰ πάντα, τὸ ἀγαθὸν, τὸ καλὸν, τὸ ὂν, τὸ ζωογόνον, τὸ σοφὸν, καὶ ὅσα ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν ἀπάντων ἀγαθῶν D αἰτία κατονομάζεται· τὰ δὲ διακεκριμένα τὸ τοῦ Πατρὸς ὑπερούσιον ὄνομα καὶ χρῆμα, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἢ ὅλως κοινότητος ἐπεισαγομένης. Καὶ μετά τινα· Ἔστι δὲ καὶ διάκρισις ἐν ταῖς ὑπερουσίοις θεολογίαις, οὐχ ἣν ἔφην μόνον, ὅτι κατ' αὐτὴν τὴν ἕνωσιν ἀμιγῶς ἵδρυται καὶ ἀσυγχύτως ἑκάστη τῶν ἐναρχικῶν ὑποστάσεων, ἀλλ' ὅτι καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα. Μόνη δὲ πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατὴρ, οὐκ ὄντος Υἱοῦ τοῦ Πατρὸς, οὐδὲ Πατρὸς τοῦ Υἱοῦ, φυλαττόντων δὲ τὰ οἰκεῖα τῶν ὕμνων εὐαγῶς ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων. Καὶ περὶ μὲν τούτων ἀρκούντως. Τό τε γὰρ τῆς θείας φύσεως ἡνωμένον, μᾶλλον δὲ καὶ ὑπὲρ πᾶσαν ἕνωσιν ἓν, καὶ τὸ τῶν θεαρχικῶν ὑποστάσεων διακεκριμένον διὰ βραχέων ὁ θεολόγος ἐδήλωσε, καὶ δὴ καὶ τὰ πάντα τὰ φυσικὰ, καὶ περὶ τὸν Θεὸν ἰδιώματα κοινῶς τε καὶ ἡνωμένως καθὰ δὴ καὶ τὴν θεότητα, καὶ τὴν θεαρχικὴν Τριάδα κεκτῆσθαι, ἅτε δὴ καὶ ἡνωμένα φυσικῶς ταύτῃ, καὶ ἀδιάσπαστα, καὶ ἐπινοίᾳ μόνῃ τὴν διαφορὰν ἔχοντα· ὧν τὰ μὲν καὶ τοῖς ἀντιλέγουσιν, ὥς φασι, τούτοις δοκεῖ, τὰ δὲ οὔ.

Σκεπτέον δὲ ἑξῆς ἂν εἴη, καὶ εἴ τινα διάκρισιν ἄλλην παρὰ τὴν ὑποστατικὴν ἐπὶ τῆς θεότητος οἱ θεολόγοι διδάσκουσιν οὗτοι· ἐπεὶ καὶ τοῦθ' ἡμῖν ἄνωθεν ἦν ὁ σκοπὸς τοῦ λόγου. Χρὴ δὲ, φησὶν, ὡς οἶμαι, μᾶλλον ἀναλαβόντας ἡμᾶς τὸν παντελῆ τῆς θείας ἑνώσεώς τε καὶ διακρίσεως ἐκθέσθαι τρόπον, ὅπως ἂν ἡμῖν εὐσύνοπτος ὁ πᾶς γένηται λόγος, τὸ μὲν ποικίλον ἅπαν καὶ ἀσαφὲς ἀπαναινόμενος, εὐδιακρίτως δὲ, καὶ σαφῶς, καὶ εὐτάκτως τὰ οἰκεῖα κατὰ δύναμιν ὁροθετῶν. Ταῦτα τῷ προῤῥηθέντι συνάψαντας ἡμᾶς θεολογικῷ κανόνι, οὕτως ἐπὶ τὴν ἀκρόασιν ἰέναι δεῖ τῆς ἑξῆς πάσης τῶν θεολόγων τούτων διδασκαλίας, ἵν' ὥσπερ ἐξ ἐκείνου μαθόντες ἔχωμεν, ὡς ἡ θεολογία τὰ μὲν ἡνωμένως, τὰ δὲ διακεκριμένως παραδίδωσι, καὶ οὐ χρὴ οὔτε τὰ ἡνωμένα διαιρεῖν, οὔτε τὰ διακεκριμένα συγχεῖν, οὕτω κἀκ τούτων τε κἀκείνων αὖθις μαθόντες, ὅτι περὶ Θεοῦ, καὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως ἡ πᾶσα σπουδὴ τοῖς θεολόγοις, καὶ οὐδεὶς ὁστισοῦν ἐνταῦθα περὶ κτισμάτων λόγος αὐτοῖς, ἀλλὰ νῦν μὲν περὶ τοῦ κρυφίου τε καὶ ἀῤῥήτου τῆς ὑπερουσιότητος, νῦν δὲ περὶ τοῦ ῥητοῦ καὶ γνωστοῦ ταύτης. Ὃ δὲ καὶ προϊόντες σαφέστερον αὗται δείξουσι, νῦν δὲ περὶ τῶν θεαρχικῶν τριῶν ὑποστάσεων, καὶ πλέον οὐδὲν, εὐδιακρίτως, καὶ εὐτάκτως, καὶ συνετῶς ἀπαντῶμεν καὶ αὐτοὶ καθόσον οἷόν τε πρὸς τὴν ἀκρόασιν τῆς ὑψηλῆς ταυτησὶ θεολογίας· ἐπεὶ καὶ εὐσύνοπτον ἔσεσθαι πάντα τὸν λόγον ἐπαγγέλλεται, καθάπερ ἠκούσαμεν, τὸ μὲν ποικίλον ἅπαν καὶ ἀσαφὲς ἀπαναινόμενον, σαφῶς δὲ καὶ εὐτάκτως ὁροθετοῦντα τὰ οἰκεῖα. Ὅθεν οὐδὲ χρή τινα τὴν εὐταξίαν ἐκείνην, καὶ τοὺς ὅρους κακῶς ὑπερβαίνοντα Θεὸν μὲν ἀκούειν, καὶ θεολογίαν, καὶ θείαν ἕνωσιν, καὶ θείαν διάκρισιν, πρὸς δὲ τὰ κτίσματα βλέπειν γελοίως πάντῃ καὶ ἀμαθῶς.

Φησὶ τοίνυν ὁ θεολόγος ἑξῆς· Καλοῦσι γὰρ, ὅπερ καὶ ἐν ἑτέροις ἔφην, οἱ τῆς καθ' ἡμᾶς θεολογικῆς παραδόσεως ἱερομύσται τὰς μὲν ἑνώσεις τὰς τῆς ὑπεραῤῥήτου καὶ ὑπεραγνώστου μονιμότητος κρυφίας καὶ ἀῤῥήτους ὑπεριδρύσεις, τὰς δὲ διακρίσεις τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας προόδους τε καὶ ἐκφάνσεις.

Καὶ μετά τινα· Εἰ δὲ καὶ θεία διάκρισίς ἐστιν ἡ ἀγαθοπρεπὴς πρόοδος, τῆς ἑνώσεως τῆς θείας ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι πληθυνούσης τε καὶ πολυπλασιαζούσης, ἡνωμέναι μέν εἰσι κατὰ τὴν θείαν διάκρισιν αἱ ἄσχετοι μεταδόσεις, αἱ οὐσιώσεις, αἱ ζωώσεις, αἱ σοφοποιήσεις, αἱ ἄλλαι δωρεαὶ τῆς πάντων αἰτίας ἀγαθότητος, καθ' ἃς ἐκ τῶν μετοχῶν καὶ

Digitized by Google

ἐκ τῶν μετεχόντων ὑμνεῖται τὰ ἀμεθέκτως μετεχόμενα.

Εἶτα περὶ μετοχῆς εἰπὼν θείας, καὶ δὴ καὶ περὶ τῆς κατὰ σάρκα τοῦ Χριστοῦ θείας οἰκονομίας, βραχέ' ἄττα φιλοσοφήσας, ἐπιφέρει· Ἀλλὰ τούτων μὲν τῶν ἑνώσεών τε καὶ διακρίσεων, ὅσας ἐν τοῖς λογίοις θεοπρεπεῖς αἰτίας εὑρήκαμεν, ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσιν ἰδίᾳ περὶ ἑκάστου διαλαβόντες, ὡς ἐφικτὸν ἐξεθέμεθα τὰ μὲν ἀνελίξαντες τῷ ἀληθεῖ λόγῳ, καὶ ἀναπτύξαντες, καὶ τὸν ἱερὸν καὶ ἀνεπιθόλωτον νοῦν ἐπὶ τὰ φανερὰ τῶν λογίων θεάματα προσαγαγόντες, τοῖς δὲ ὡς μυστικοῖς κατὰ τὴν θείαν παράδοσιν ὑπὲρ νοερὰν ἐνέργειαν ἐπιβαλόντες. Πάντα γὰρ τὰ θεῖα, καὶ ὅσα ἡμῖν ἐκπέφανται ταῖς μετοχαῖς μόναις γινώσκεται. Αὐτὰ δὲ ὁποῖά ποτέ ἐστι κατὰ τὴν οἰκείαν ἀρχὴν καὶ ἵδρυσιν ὑπὲρ νοῦν ἐστι καὶ πᾶσαν οὐσίαν καὶ γνῶσιν· οἷον, εἰ τὴν ὑπερούσιον κρυφιότητα Θεὸν, ἢ ζωὴν, ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς ἐξ αὐτῆς εἰς ἡμᾶς προαγομένας δυνάμεις, ἐκθεωτικὰς, ἢ οὐσιοποιοὺς, ἢ ζωογόνους, ἢ σοφοδώρους, αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδεμίαν ὁρῶντες θέωσιν, ἢ ζωὴν, ἡ οὐσίαν, ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ. Εἶτα μεταξὺ πάλιν δι' ὀλίγων τινῶν τὴν ὑπὲρ ἡμῶν διὰ σαρκὸς τοῦ Χριστοῦ θείαν οἰκονομίαν θεολογήσας, ἐπάγει κἀκεῖνα· Ταῦτα δὲ ἡμῖν τε ἐν ἄλλοις ἱκανῶς εἴρηται, καὶ τῷ κλεινῷ καθηγεμόνι κατὰ τὰς θεολογικὰς αὐτοῦ στοιχειώσεις ὕμνηται λίαν ὑπερφυῶς. Ἅπερ ἐκεῖνος, εἴτε πρὸς τῶν ἱερῶν θεολόγων παρείληφεν, εἴτε καὶ ἐκ τῆς ἐπιστημονικῆς τῶν λογίων ἐρεύνης συνεώρακεν, ἐκ τῆς πολλῆς περὶ αὐτὰ γυμνασίας καὶ τριβῆς, εἴτε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας ἐπιπνοίας, οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθὼν τὰ θεῖα, κἀκ τῆς πρὸς αὐτὰ συμπαθείας, εἰ οὕτω χρὴ φάναι, πρὸς τὴν ἀδίδακτον αὐτῶν καὶ μυστικὴν ἀποτελεσθεὶς ἕνωσιν καὶ πίστιν.

Τὸ μὲν οὖν ἡνωμένον καὶ διακεκριμένον τῆς θεότητος, κατὰ ταύτης φημὶ τὰς φυσικὰς αὐτῆς δυνάμεις, καὶ μεταδόσεις, καὶ προόδους, καὶ μετοχὰς, καὶ προνοίας, καὶ ἀγαθότητας, καὶ δωρεὰς, τούτοις καὶ γὰρ ὁ θεολόγος περιεκτικῶς, καθάπερ ἠκούσαμεν, ὑμνεῖ πᾶσιν ὁμοῦ τοῖς ἱεροῖς ὀνόμασι τὰ τῆς θείας φύσεως ἰδιώματα, καὶ τὰς ἐνεργείας, ἃ δὴ καὶ κατὰ μέρος ἑξῆς ὑμνήσει καὶ θεολογήσει, καὶ οἰκείως τε καὶ θεοπρεπῶς τὴν ἀνάλογον καὶ συμφυᾶ προσαρμόσει θεωνυμίαν ἑκάστῳ, τοῦτο καὶ γὰρ ὁ σκοπὸς αὐτῷ τοῦ παρόντος βιβλίου, αὐτόθεν ἔστι λαβεῖν, ἐκ τῶν ἤδη ῥηθέντων αὐτῷ. Τὰ ἡνωμένα καὶ γὰρ, φησὶ, τῆς ὅλης θεότητός εἰσι, τὸ ὑπεράγαθον, τὸ ὑπέρθεον, τὸ ὑπερούσιον, τὸ ὑπέρζωον, τὸ ὑπέρσοφον. Καὶ μετ' ὀλίγον· Καὶ ὅσα ἐκ τῶν ἀγαθοπρεπῶν αὐτῆς δωρεῶν ἡ πάντων ἀγαθῶν αἰτία κατονομάζεται. Ἐν δέ γε τῇ ἀρχῇ τοῦ περὶ ἡνωμένης καὶ διακεκριμένης θεολογίας τουτουῒ φημι τοῦ λόγου οὕτω πώς φησι· Τοῦτο μὲν οὖν καὶ ἐν ἄλλοις ἐξετασθὲν ἡμῖν ἀποδέδεικται, τὸ πάσας ἀεὶ τὰς θεοπρεπεῖς θεωνυμίας οὐ μερικῶς, ἀλλ' ἐπὶ τῆς ὅλης, καὶ παντελοῦς, καὶ ὁλοκλήρου, καὶ πλήρους θεότητος ὑπὸ τῶν λογίων ὑμνεῖσθαι. Πάλιν, καὶ ἵνα συλλήβδην φαίη τις, αὐτὸς ὁ θεαρχικὸς Λόγος ἔφη, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*. καὶ, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι*, καὶ, *Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά*. Καὶ αὖθις· ὅσα ἐστὶ τοῦ Πατρὸς, καὶ αὐτοῦ τῷ θεαρχικῷ Πνεύματι κοινωνικῶς καὶ ἡνωμένως ἀνατίθησι. Καὶ μετ' ὀλίγον· Ὁποίαν ἀναπτύξαι θεωνυμίαν ὁλικὴν ἐγχειρήσομεν, ἐπὶ τῆς ὅλης αὐτὴν θεότητος ἐκληπτέον. Οὕτω μὲν οὖν τὴν τῶν φυσικῶν τοῦ Θεοῦ ἕνωσιν ὁ θεολόγος ὑπέδειξεν, ὡς ἐν βραχεῖ καὶ ἡμᾶς δεῖξαι, ἀμέριστα καὶ κοινὰ ταῦτα φήσας τῆς θεαρχικῆς Τριάδος. Οὐ γὰρ τὸ μὲν τοῦδε τοῦ θείου προσώπου, φησὶ, τὸ δὲ τοῦδε, ἀλλὰ κοινῶς, καὶ ἡνωμένως, καὶ ὁλικῶς, καὶ ἀδιαιρέτως πάντων ὁμοῦ πάντα, ὡς ἑνὸς καὶ τοῦ αὐτοῦ Θεοῦ. Καὶ εἰ μὴ περὶ τῆς ὅλης θεότητος φαίη τις ταῦτα εἰρῆσθαι, φησὶν ὁ αὐτὸς, βλασφημεῖν καὶ ἀποσχίζειν ἀθέσμως τολμᾷ τὴν ὑπερηνωμένην ἑνάδα.

Καὶ αὕτη ἐστὶ, καθάπερ εἴρηται, ἡ κατὰ τὰς ἐνεργείας ἡνωμένη θεολογία τῆς θεότητος. Καὶ τὸ διακεκριμένον δ' ὡσαύτως ἠκούσαμεν ταύτης, εὐδιακρίτως τοῦ θεολόγου καὶ σαφῶς καὶ εὐτάκτως ὁροθετήσαντος κατὰ τὴν ὑπόσχεσιν. Θεία καὶ γὰρ, φησὶ, διάκρισίς ἐστιν ἡ ἀγαθοπρεπὴς πρόοδος τῆς ἑνώσεως τῆς θείας, ὑπερηνωμένως ἑαυτὴν ἀγαθότητι πληθυνούσης τε καὶ πολυπλασιαζούσης. Καὶ πάλιν· Πάντα γὰρ τὰ θεῖα καὶ ὅσα ἡμῖν ἐκπέφανται ταῖς μετοχαῖς μόναις γινώσκεται. Αὐτὰ δὲ ὁποῖά ποτέ ἐστι κατὰ τὴν οἰκείαν ἀρχὴν καὶ ἵδρυσιν, ὑπὲρ νοῦν ἐστι καὶ πᾶσαν οὐσίαν καὶ γνῶσιν. Καὶ μικρῷ πρόσθεν· Μετὰ τὴν σεπτὴν δηλαδὴ τοῦ θείου Ἱεροθέου θεολογίαν διάκρισιν, φησὶν, θείαν εἶναί φαμεν, ὡς εἴρηται, τὰς ἀγαθοπρεπεῖς τῆς θεαρχίας προόδους. Δωρουμένη γὰρ πᾶσι τοῖς οὖσι, καὶ ὑπερχέουσα τὰς τῶν ὅλων ἀγαθῶν μετουσίας, ἡνωμένως μὲν διακρίνεται, πληθύνεται δὲ ἑνικῶς, καὶ πολλαπλασιάζεται ἀνεκφοιτήτως.

Καὶ τοῦ πέμπτου δὲ κεφαλαίου τοῦ παρόντος ἀρχόμενος βιβλίου, καὶ περὶ τοῦ ὄντος μέλλων θεολογεῖν, Τῷ λόγῳ σκοπὸς, φησὶν, οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο, καὶ ἄγνωστόν ἐστι, καὶ παντελῶς ἀνέκφαντον, καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν· ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι. καὶ τἄλλα, ὅσα παρὰ τοῦ θεολόγου τούτου λαβόντες ἡμεῖς ἐν τῷ τρίτῳ φθάσαντες ἤδη κατεστρώσαμεν λόγῳ, ἡνίκα δὴ καὶ τὰ περὶ θείας δυνάμεως ἐσκοποῦμεν. Νῦν δὲ σκοπεῖν, οἶμαι, δεῖ πρὸ τῶν ἄλλων, τίνες οἱ διδάσκοντες οὗτοι, καὶ θεολογοῦντες ταυτὶ, καὶ πόθεν ἔχουσι τὰ τοιαῦτα μαθόντες, καὶ εἰ δεῖ πείθεσθαι τούτοις ἀναμφιβόλως, ἢ μή. Πρῶτον μὲν οὖν τοσαύτη τίς ἐστιν ἡ τῶν ἀνδρῶν ἀρετὴ, καὶ σοφία, καὶ θεολογικὴ ἐπιστήμη, καὶ θεωρία, καὶ τὸ διδασκαλικὸν μετὰ τοὺς ἐγκρίτους τῶν ἀποστόλων κατὰ πάντων σχεδὸν κράτος, ὃ δὴ καὶ ἀρχόμενος εἶπον τοῦ λόγου. ὡς εἰ καὶ μὴ τὸ μαθητεῦσαι τοῖς κορυφαίοις τῶν ἀποστόλων καὶ

προύχουσι τούτοις προσῆν καὶ τὴν τῶν ἐκκλησιῶν ἱερὰν προστασίαν τε καὶ δημαγωγίαν ὑπ' αὐτῶν πιστευθῆναι, καὶ ἀποστολικὸν μὲν δραμεῖν δρόμον καὶ ἀμφοτέρους, τὸν ἕτερον δὲ τούτων ὑπερβολῇ προθυμίας ὑπερόριον γεγονότα καὶ πρὸς Ἰταλούς τε καὶ Γάλλους ἐλαύνοντα, μαρτυρικὸν ἐπὶ πᾶσι δι' αἵματος ἀναδήσασθαι στέφανον, διά γε τὰ προῤῥηθέντα μόνα, τοῖς ἄκροις τῶν θεολόγων καὶ διδασκάλων συναριθμεῖσθαι δεῖν εἶναι τῆς Χριστοῦ Ἐκκλησίας. Νῦν δὲ πρόσεστιν ἐκείνοις καὶ ταῦτα, οὕτω τοι μεγάλα, καὶ θαυμαστὰ, καὶ πλείστου παρὰ πᾶσιν ἄξια λόγου, μᾶλλον δὲ καὶ λόγου καὶ θαύματος κρείττω, τῷ καινῷ φημι συνδυασμῷ, καὶ τῇ πρὸς ἐκεῖνα συνδρομῇ καὶ ἑνώσει, ὡς κἂν μόνων τῶν ὀνομάτων καὶ τῆς προσηγορίας αἰδέσιμοι καὶ ὑπερφυεῖς τινες εἶναι τοῖς πᾶσι, καὶ τὴν τούτων ἱερὰν θεολογίαν τε καὶ τὰ δόγματα Θεοῦ φωνὰς ἄντικρυς, καὶ λόγια δεύτερα καὶ νενομίσθαι, καὶ ὠνομάσθαι τῇ αὐτοῦ Ἐκκλησίᾳ. Καὶ τοιοῦτοι μὲν οἱ θεολόγοι, ὡς ἐξ ὀνύχων φασὶ δεῖξαι τὸν λέοντα, καὶ οὐδένα τῶν εὐσεβῶν ἀντερεῖν οἶμαι τοῖς ὑπὲρ αὐτῶν εἰρημένοις· πρὸς δὲ τούτῳ κἀκεῖνο δεῖ συνορᾷν, ὅπως τε καὶ ὅθεν ἔχουσιν ἐκεῖνοι τὰ θεῖα καὶ ὑψηλὰ ταῦτα μαθόντες. Καίτοι γε καὶ περιττόν πως ἦν καὶ τῆς χρείας ἔξω τὸ ταῦτα ζητεῖν περὶ τῶν τοιούτων, ἕως ἂν ὁμιλητὰς αὐτοὺς εἰδῶμεν Παύλου καὶ Ἰωάννου τῶν ἄκρων Χριστοῦ ἀποστόλων, καὶ θεολόγων, ὧν οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων ἡ κλῆσίς τε καὶ τὸ Εὐαγγέλιον, ἀλλ' ἐξ αὐτῆς ἑνώσεώς τε καὶ ὁμιλίας Χριστοῦ. Ἐπεὶ δὲ οὐδὲ τοῦτο διδάξαι παρῆκαν οἱ θεολόγοι, σκοπῶμεν καὶ τοῦτο.

Τρισσῶς φησι κατὰ τρόπους καὶ λόγους τρεῖς ὁ ἱερὸς Διονύσιος αὐτόν τε καὶ τὸν κλεινὸν Ἱερόθεον τὴν θείαν ταυτηνὶ μυηθῆναι θεολογίαν, καθάπερ ἠκούσαμεν ἤδη· ἑνὶ μὲν τῷ τῶν ἄκρων ἀποστόλων ἐκείνων ὁμιλητὰς αὐτοὺς χρηματίσαι, καὶ τοῦτ' ἔστιν ἀκούειν ἐν ταῖς θεολογίαις αὐτοῦ, πυκνὰ τοὺς ἀποστόλους καὶ διδασκάλους προϊσταμένου, καὶ τὰς ἱερὰς παραδόσεις ἐκείνων, καὶ νῦν μὲν ὀνόματι κοινῷ θεολόγους, καὶ ἀποστόλους, καὶ ἱερομύστας, καὶ καθηγητὰς, καὶ ἱεροδιδασκάλους ἀποκαλοῦντος, νῦν δὲ καὶ ὀνομαστὶ, καὶ μάλιστα Παύλου τοῦ κορυφαίου τῶν διδασκάλων, μετὰ πλείστης ὅσης τῆς ἀξιώσεως μεμνημένου· δευτέρῳ δὲ τῷ ἐκ τῶν θείων ἀεὶ Γραφῶν, καὶ τῶν ταύταις δοκούντων ὁρμᾶσθαι, καὶ μηδὲν ἐπιχειρεῖν, μηδὲ λογίζεσθαι μηδοτιοῦν παρὰ τὴν τῶν λογίων ἀκολουθίαν τε καὶ θεολογίαν. Ἔστω καὶ γὰρ ἡμῖν καὶ νῦν, φησὶν, ὁ τῶν λογίων θεσμὸς προδιωρισμένος τὸ τὴν ἀλήθειαν ἡμᾶς καταδήσασθαι τῶν περὶ Θεοῦ λεγομένων, οὐκ ἐν πειθοῖς σοφίας ἀνθρωπίνης λόγοις, ἀλλ' ἐν ἀποδείξει τῆς πνευματοκινήτου τῶν θεολόγων δυνάμεως. Καὶ αὖθις· Καθόλου τοιγαροῦν οὐ τολμητέον εἰπεῖν, οὔτε μὴν ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν θείων λογίων ἐκπεφασμένα. Καὶ πάλιν· Τὰ δὲ ἄῤῥητα σώφρονι σιγῇ τιμῶντες, ἐπὶ τὰς ἐλλαμπούσας ἡμῖν ἐν τοῖς ἱεροῖς λογίοις αὐγὰς ἀνατεινόμεθα, καὶ πρὸς αὐτῶν φωταγωγούμεθα, πρὸς τοὺς θεαρχικοὺς ὕμνους ὑπ' αὐτῶν ὑπερκοσμίως A φωτιζόμενοι, καὶ πρὸς τὰς ἱερὰς ὑμνολογίας τυπούμενοι, πρὸς τὸ καὶ ὁρᾷν τὰ συμμέτρως ἡμῖν δι' αὐτῶν δωρούμενα θεαρχικὰ φῶτα, καὶ τὴν ἀγαθοδότιν ἀρχὴν ἁπάσης ἱερᾶς ὑμνεῖν, ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς ἱεροῖς λογίοις παραδέδωκε. Καὶ πάλιν· Εἰ μὲν γάρ ἐστί τις ὅλως ὁ τοῖς λογίοις ἀντανιστάμενος, πόῤῥω που πάντως ἔσται καὶ τῆς καθ' ἡμᾶς φιλοσοφίας, καὶ εἰ μὴ τῆς ἐκ τῶν λογίων αὐτῷ θεοσοφίας μέλει, πῶς ἂν ἡμῖν μελήσῃ τῆς ἐπὶ τὴν θεολογικὴν ἐπιστήμην αὐτοῦ χειραγωγίας; Εἰ δὲ εἰς τὴν τῶν λογίων ἀλήθειαν ἀποσκοπεῖ, τούτῳ καὶ ἡμεῖς κανόνι καὶ φωτὶ χρώμενοι, πρὸς τὴν ἀπολογίαν, ὡς οἷόν τέ ἐσμεν, ἀκλινῶς βαδιούμεθα.

Καὶ μακρὸν ἂν εἴη, καὶ τῆς ὥρας ἔξω, τὰ τοῦ θεολόγου τούτου πάντα νῦν ἑξῆς καταλέγειν, ὅπως B τε καὶ ὅπου τῶν θείων Γραφῶν ἐν ταῖς αὐτοῦ μεμνημένος εἴη θεολογίαις τῆς ἱερᾶς αὐτοῦ πάσης ὁμοῦ πραγματείας ὑπ' ὄψιν ἅπασι προκειμένης, καὶ τὴν τῶν Εὐαγγελίων, καὶ ἀποστόλων καὶ προφητῶν συμφωνίαν, καὶ ῥητῷ φημι, καὶ διανοίᾳ, καὶ πᾶσιν οἷς ἔξεστι, λαμπρῶς ἀνακηρυττούσης. Λοιπὸν ἔτι καὶ τρίτον αὐτοῖς ἐστι πρὸς τὴν τῆς ὑπερφυοῦς θεολογίας μυσταγωγίαν, ᾧ δὴ καὶ τῶν πλείστων ὑπερέχοντες διδασκάλων, τοῖς οἰκείοις μυσταγωγοῖς τε καὶ κορυφαίοις ἁμιλλῶνται τῶν ἀποστόλων, ἡ καινὴ τῶν μυστηρίων ἄνωθεν ἀποκάλυψις δι' ἐλλάμψεως ἱερᾶς φημι καὶ γνώσεως ἀγνώστου, καὶ ἑνώσεως νοερᾶς ὑπερφυοῦς τε καὶ ἀποῤῥήτου, καθ' ἣν ἀποκαλύπτεται τὰ μυστήρια τοῖς θεοειδέσιν. Ἣν ὁ σοφὸς Διονύσιος ἐν μὲν τοῖς φθάσασι διδάσκων, καθάπερ C ἠκούσαμεν, περὶ μὲν αὐτὸς ἑαυτοῦ, Ἀλλὰ τούτων μὲν, φησὶ, τῶν ἑνώσεών τε καὶ διακρίσεων, ὅσα ἐν τοῖς λογίοις θεοπρεπεῖς αἰτίας εὑρήκαμεν, ἐν ταῖς θεολογικαῖς ὑποτυπώσεσιν ἰδίᾳ περὶ ἑκάστου διαλαβόντες, ὡς ἐφικτὸν ἐξεθέμεθα, τὰ μὲν ἀνελίξαντες τῷ ἀληθεῖ λόγῳ, καὶ ἀναπτύξαντες, καὶ τὸν ἱερὸν καὶ ἀνεπιθόλωτον νοῦν ἐπὶ τὰ φανὰ τῶν λογίων θεάματα προσαγαγόντες, τοῖς δὲ ὡς μυστικοῖς κατὰ τὴν θείαν παράδοσιν ὑπὲρ νοερὰν ἐνέργειαν ἐπιβαλόντες. Ἐν δὲ τῷ ἑβδόμῳ κεφαλαίῳ τοῦ αὐτοῦ βιβλίου περὶ τῶν αὐτῶν τοιάδε φησί· Καὶ ἐκ τῶν ὄντων ἁπάντων ὁ Θεὸς ὑμνεῖται, κατὰ τὴν πάντων ἀναλογίαν ὧν ἐστιν αἴτιος, καὶ ἔστιν αὖθις ἡ θειοτάτη Θεοῦ γνῶσις ἡ δι' ἀγνωσίας γινωσκομένη κατὰ τὴν ὑπὲρ νοῦν ἕνωσιν, ὅταν ὁ νοῦς τῶν ὄντων πάντων ἀποστὰς, ἔπειτα D καὶ ἑαυτὸν ἀφεὶς, ἑνωθῇ ταῖς ὑπερφαέσιν ἀκτῖσιν, ἐκεῖθεν καὶ ἐκεῖ τῷ ἀνεξερευνήτῳ βάθει τῆς σοφίας καταλαμπόμενος. Περὶ δέ γε τοῦ θείου Ἱεροθέου ταῦτά φησιν· Εἴτε πρὸς τῶν ἱερῶν θεολόγων παρείληφεν, εἴτε καὶ ἐκ τῆς ἐπιστημονικῆς τῶν λογίων ἐρεύνης συνεώρακεν, ἐκ τῆς πολλῆς περὶ αὐτὰ γυμνασίας καὶ τριβῆς, εἴτε καὶ ἔκ τινος ἐμυήθη θειοτέρας ἐπιπνοίας, οὐ μόνον μαθὼν, ἀλλὰ καὶ παθὼν τὰ θεῖα, κἀκ τῆς πρὸς αὐτὰ συμπαθείας, εἰ οὕτω χρὴ φάναι, πρὸς τὴν ἀδίδακτον αὐτῶν, καὶ μυστικὴν ἀποτελεσθεὶς ἕνωσιν καὶ πίστιν. Τούτων οὕτως ἐχόντων, καὶ τοιαύτης μὲν τῆς ἱερᾶς οὔσης θεολογίας, καὶ τῶν μυστηρίων, περὶ ὧν σκοπούμεθα νῦν, τοιούτων δὲ τῶν θεολόγων τουτωνὶ καὶ κηρύκων, τηλικαύτης δὲ καὶ

Digitized by Google

τῆς μυσταγωγίας, μεθ' ἧς ἐπὶ τοὺς λόγους ἦλθον αὐτοὶ τούτους, ἀξιώσομεν νῦν ἡμεῖς τοὺς περὶ τὸν φιλόσοφον Γρηγορᾶν, τί περὶ τούτων ἀξιοῦσιν εἰπεῖν. Εἰ μὲν γὰρ πείθονται τούτοις τε τοῖς ἤδη ῥηθεῖσι, καὶ πᾶσιν ἐξῆς ὅσα περὶ τῶν αὐτῶν οἱ Πατέρες οὗτοι τῆς Ἐκκλησίας κατὰ μέρος θεολογοῦσι διὰ παντὸς τοῦ βιβλίου, ἔχομεν τὸ ζητούμενον ἤδη, καὶ οὐδὲ πυκτίων, οὐδὲ λόγων ἑτέρων σχεδὸν χρεία. Αὐτὸ γὰρ τοῦτο, καὶ οὐκ ἄλλο σκοπός ἐστι τοῖς θεολόγοις τούτοις ἐν τῷ παρόντι φημὶ τῶν θείων ὀνομάτων βιβλίῳ, τὸ περὶ τῶν φυσικῶν τοῦ Θεοῦ θεολογῆσαι, καὶ τὸ ἡνωμένον ὁμοῦ καὶ διακεκριμένον αὐτῶν πρὸς τὴν θείαν φύσιν εἰπεῖν, καὶ ὀνομάσαι, καὶ ἀνυμνῆσαι, καὶ διδάξαι καθάπερ ἐδιδάχθησαν ταῦτα τὴν Χριστοῦ Ἐκκλησίαν, περὶ ὧν δήπου καὶ ἡμεῖς νῦν σκοποῦμεν· εἰ δ' ἀπιστοῦσιν, οὐ πρὸς αὐτούς, ἀλλὰ πρὸς πᾶσαν ὁμοῦ τὴν εὐαγγελικὴν, καὶ ἀποστολικήν τε καὶ προφητικὴν θεολογίαν, καὶ τὸν ἐν αὐτῇ τε καὶ τούτοις λαλήσαντα Θεὸν, τὰ τῆς ἀπιστίας καθαρῶς διαβαίνει. Καὶ τίς ἔτι πρός γε τοὺς τοιούτους λόγος ἡμῖν, καὶ ταῦτα περὶ τοιούτων; Ἃ γάρ, φησὶν, ὁ νόμος λαλεῖ, τοῖς ἐν τῷ νόμῳ λαλεῖ, τοῖς γοῦν ἀπιστοῦσι περὶ τῆς ὅλης θεότητος, ὅτι καὶ μονάς ἐστι, καὶ τριάς, καὶ ὅτι κατ' ἐκεῖνο μὲν ὑπερφυῶς τε καὶ ἀῤῥήτως ἥνωται, κατὰ τοῦτο δὲ διαιρεῖται ἀδιαιρέτως, καὶ ἔστιν ὑπὲρ πάντα λόγον ὁμοῦ ἐν αὐτῇ ἥ τε διάκρισις καὶ ἡ ἕνωσις, καὶ ὅτι μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ, καὶ τὰ τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρὸς ἄλληλα, καὶ ὅσα τούτοις ἀκολούθως οἱ θεολόγοι φασὶ, τοῖς οὖν ἀπιστοῦσι τῇ περὶ τῆς ὑπερουσίου οὐσίας καὶ τῶν ταύτης θεαρχικῶν ὑποστάσεων ἀποστολικῇ παραδόσει τε καὶ θεολογίᾳ, πῶς ἄν τις περὶ τῶν φυσικῶν τοῦ Θεοῦ διαλέγηται, καὶ τὸ πρὸς τὴν ὑπερφυᾶ φύσιν ἡνωμένον τε καὶ διακεκριμένον αὐτῶν μετὰ τῶν ἀποστολικῶν τούτων ἀνδρῶν θεολογῇ; Τοῦτο καὶ γὰρ ἂν εἴη τὸ καθ' ὕδατος γράφειν, ἢ διανεύειν τυφλῷ. Εἰ δὲ ἐκείνῃ μέν φασιν ἴσως τῇ θεολογίᾳ πιστεύειν, ταύτῃ δὲ οὐδαμῶς, πρῶτον μὲν οὐδὲ πιστεύειν ὅλως αὐτοῖς ἔξεστιν ἀδύνατα λέγουσι, καὶ σοφιζομένοις προφανῶς τοὺς ἀκροατάς· φύσιν γὰρ ἄνευ τῶν αὐτῆς φυσικῶν οὐδὲ ἐν λογισμοῖς γοῦν δυνατὸν ἀναπλάσαι καὶ ὑποστήσασθαι· τὰ δὲ φυσικὰ κατάλληλα δεῖ πεφυκέναι τῇ πηγαζούσῃ φύσει, ἵν' αὐτὸ τοῦτο καὶ φυσικὰ τυγχάνοιεν ὄντα, καὶ καταλλήλως δι' αὐτῶν ἐνεργεῖν τὴν φύσιν· ἔπειτα δὲ πῶς ἐν ἐκείνοις μέν φασι τοῖς πρώτοις, Ἱεροθέῳ τε καὶ Διονυσίῳ, θεολογοῦσι πείθεσθαι, καὶ ταῦτα περὶ τοιούτων εἰποῦσιν, ὧν οὐδὲ ἀρχὰς ἔστιν εὑρεῖν οὐδὲ παραδείγματα, ἀλλὰ πίστεως δεῖ μόνης, καὶ ὑπακοῆς, εἰ μὴ μέλλοι τις ἔξω τοῦ λόγου καὶ τῆς θείας τρέχειν διδασκαλίας, ἐν δὲ τοῖς δευτέροις τούτοις, περὶ ὧν νῦν ἡμῖν ὁ λόγος, μετὰ πολλῆς τινος τῆς ἐνστάσεως ἀπειθεῖν, ὅπου καὶ ἀρχὰς ἔνι τῶν λόγων εὑρεῖν, καὶ φυσικὴν ἀκολουθίαν τινὰ, καὶ παραδειγμάτων ἀμηγέπη βοήθειαν; Εἰ μὲν γὰρ ἐν ἐκείνοις μόνοις τοῖς πρώτοις Διονύσιός τε καὶ Ἱερόθεος ἀποστόλων εἰσὶ φοιτηταὶ καὶ διάδοχοι, καὶ τῆς Ἐκκλησίας μυσταγωγοί, ἢ περὶ ἐκείνων μόνων εἰληφέναι τὰς παραδόσεις,

A καὶ τὰς θεοπνεύστους τῶν λογίων μαρτυρίας, καὶ δὴ καὶ τὰς ἱερὰς ἀποκαλύψεις φασὶ, περὶ δὲ τῶν δευτέρων τούτων οὐδέν τι τῶν εἰρημένων οὐδοτιοῦν, ἔστω ταῦτα κατὰ τὸν ὑμέτερον λόγον, καὶ πιστευέσθωσαν μὲν ἐν ἐκείνοις, ἀπιστείσθωσαν δ' ἐν τούτοις καθ' ὑμᾶς οἱ κοινοὶ τῆς Ἐκκλησίας διδάσκαλοι· φείδομαι γάρ τι πλέον εἰπεῖν· εἰ δὲ ὥσπερ ἐν ἐκείνοις, οὕτω κἀν τούτοις, καὶ ἀποστόλων εἰσὶν ἀκροαταὶ, καὶ διάδοχοι, καὶ θεολόγοι, καὶ διδασκάλων ἄκροι, κἀκ τῶν λογίων πᾶσαν ὁμοῦ θεολογίαν μαθόντες ἔχουσι, καὶ περὶ πάντων ὡσαύτως τὴν ἄνωθεν ἀποκάλυψιν καὶ τὴν ἄῤῥητον μυσταγωγίαν δεξάμενοι, καὶ μαθόντες, καὶ παθόντες ἐκεῖνα, καὶ διαστολή τις ἐν ἐκείνοις καὶ διαίρεσις οὐδαμοῦ, τίς ἡ καινὴ καὶ παράλογος αὕτη τόλμα, ὡς νῦν μὲν
B αὐτοὺς τοῖς διδασκάλοις τε καὶ τοῖς θεολόγοις ἐγκρίνειν, νῦν δὲ τοὺς αὐτοὺς διαγράφειν μετὰ πολλῆς τῆς ἐξουσίας, καὶ τοτὲ μὲν Ἱερόθεόν τε καὶ Διονύσιον μετὰ τῶν ἀποστόλων τε καὶ θεολόγων ἱστάναι, καὶ διδασκάλους εἶναι καὶ κήρυκας τῶν ὑπερφυεστάτων περὶ Θεοῦ λόγων, ἂν καὶ τὰ ὑμῖν θεολογῶσι δοκοῦντα, τοτὲ δὲ ὑπερορίαν αὐτῶν τε καὶ τῆς αὐτῶν καταψηφίζεσθαι θεολογίας, εἰ μὴ ταῖς ὑμετέραις συμπεριφέροιντο δόξαις; Ἢ γὰρ κἀν τούτοις τε κἀκείνοις ἀληθεῖς οἱ διδάσκαλοι, καὶ δεῖ τὸν ἀληθῆ τοῦ Εὐαγγελίου μύστην ὡσαύτως ἐν ἀμφοτέροις αὐτοῖς πείθεσθαι, ἢ ψευδεῖς καὶ κατ' ἄμφω, καὶ δεῖ καὶ κατ' ἄμφω τούτοις ἀπειθεῖν· οὐ γὰρ δὴ τοῦτο κἀκεῖνό γ' ἂν εἴη, τὸ θάτερον μέν φημι ψεύδεσθαι,
C θάτερον δὲ ἀληθεύειν, ἐπεὶ οὕτω που καὶ τὴν ἀντίφασιν συμφωνεῖν ἂν εἴη πρὸς ἑαυτήν. Ἄλλως τε καὶ τὸ τῷ διδασκάλῳ νῦν μὲν ἕπεσθαι νῦν δ' ἀντιλέγειν ἐθέλειν, καὶ ταῦτ' ἐν τοῖς ἀξιώμασι, μαθητοῦ γε οὐκ ἂν εἴη. Τοῦτο γάρ ἐστιν οὐ μυσταγωγουμένου καὶ τυπουμένου, τὸν δὲ μυσταγωγὸν καὶ τὸν κανόνα μᾶλλον πρὸς ἑαυτὸν ἕλκοντος, καὶ τὰς πηγὰς ἄνω ποταμῶν χωρεῖν κελεύοντος ἄντικρυς.

Εἰ δὲ δὴ λέγοιεν οἱ περὶ τὸν φιλόσοφον αὖθις, ὡς ἐκείνη μὲν ἡ περὶ μοναρχίας, καὶ δὴ καὶ τῶν τριῶν θεαρχικῶν ὑποστάσεων θεολογία, παρὰ τῇ θείᾳ κηρύττεται πάσῃ Γραφῇ, καὶ οὐδεὶς ὁστισοῦν ἐστι τῶν πιστῶν, ὃς ἀντιλέγειν, ἢ γοῦν ἀμφισβητεῖν ὅλως περὶ τῶν ἀξιωμάτων ἐθέλει, τὰ δὲ περὶ προόδων ταυτὶ καὶ
D ἐνεργειῶν τε καὶ μεταδόσεων καὶ διαφορᾶς φύσεως θείας, καὶ φυσικῶν ἰδιωμάτων, καὶ ὅσα τούτων ἐξῆς ὑμεῖς αὐτοὺς λέγειν φατὲ, ταῦτα τοίνυν οὐκ ἔστι λαβεῖν ὡσαύτως ἐκ τῶν θείων Γραφῶν. Καὶ διὰ τοῦτο καὶ ἡμεῖς ἀντιλέγομεν τούτοις, ἔξω τοῦ καθ' ἡμᾶς λόγου δοκοῦσι, ψεῦδος καὶ τοῦτο. Περὶ μὲν γὰρ τῆς παλαιᾶς πάσης Γραφῆς, Μωσέως φημὶ, καὶ τῶν καθεξῆς προφητῶν, οὐδὲ ἔστιν εἰπεῖν ὅσον τὸ τῆς Τριάδος ἀπέκρυψαν μυστήριον, σφόδρα δεδοικότες τὸ περὶ τὴν πολυθεΐαν εὐπερίτρεπτον καὶ λίχνον τῶν Ἰουδαίων, καὶ διὰ τοῦτο, καὶ τὸ, *Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι*, καὶ, *Κύριος ὁ Θεὸς μόνος*, καὶ, *Ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστιν*, ἐκ προσώπου δηλαδὴ τοῦ Θεοῦ λεγόμενα πολὺ παρ' ἐκείνοις, καὶ τὰ παραπλήσια τούτοις. Οὐ μὴν

Digitized by Google

οὐδὲ αὐτὸ τοῦτο, τὸ τῆς μιᾶς φημι θεότητος καὶ τῆς A μοναρχίας ἔστι ῥητῶς ἐκεῖθεν λαβεῖν, καθάπερ νῦν παρ' ἡμῖν πολιτεύεται καὶ κηρύττεται. Ποῦ γὰρ οὐσίας ἐκεῖ θείας, ἢ φύσεως λόγος καὶ ὄνομα; οὐσία γὰρ καὶ ὑποστάσεις Θεοῦ ἀλλήλοις συγκέκρανται, ὡς ἐκείνην ταύτας, καὶ ταύτας ἐκείνην εἰσφέρειν κατὰ πᾶσαν ἀνάγκην, καὶ τούτων σιωπωμένων αὖθις ἐξ ἀντιστρόφου σιωπᾶσθαι κἀκείνην, ὥσπερ καὶ ταύτης μὴ λεγομένης, μηδὲ ἐκείνας ἐξ ἀνάγκης λαλεῖσθαι. Καὶ οὐ τοῦτό φημι νῦν, ὅτι μονάδα τε καὶ τριάδα τὸν Θεὸν ὁ νόμος οὐκ ἔγνω καὶ οἱ προφῆται· πῶς γὰρ οἱ μὴ ταῦτα μόνον, ἀλλὰ καὶ τὸ κατὰ Χριστὸν ἱερὸν μυστήριον ἅπαντες οὕτω καὶ γνόντες τρανῶς, καὶ κηρύξαντες, μᾶλλον δὲ καὶ δι' αὐτὰ ταῦτα, φημὶ δὴ τὰ τῆς χάριτος, καὶ παρελθόντες εἰς ἀνθρώπους τότε καὶ τύποι, καὶ εἰκόνες καὶ παρα- B δείγματα μυστικὰ γεγονότες τοῦ μέλλοντος; ἀλλ' ἐκεῖνό φημι τέως, ὡς αἰνιγματωδῶς τε καὶ συγκεκαλυμμένως ἐῤῥέθη τοῖς ἀρχαίοις ἐκεῖνα, ὡς μηδὲ τοὺς ἀκούοντας καὶ ὁρῶντας ἔχειν εἰδέναι πάντας ἁπλῶς τῶν μυστηρίων τὴν δύναμιν. Καὶ τί χρὴ λέγειν, ὅπου γε καὶ μέχρι τῆς σήμερον Παῦλός φησιν ὁ μέγας περὶ τῶν χρόνων καὶ τῶν καιρῶν ἐκείνων, « Ἡνίκα ἂν ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν αὐτῶν κεῖται καρδίαν· ἡνίκα δὲ ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα; » Ἀλλ' οὐδὲ ἐκ τῶν Εὐαγγελίων τε καὶ τῶν ἀποστόλων οὕτω ῥητῶς ἔστι λαβεῖν τὴν τῆς μονάδος τε καὶ τριάδος, οὐσίας τε καὶ ὑποστάσεων, καὶ τῶν ἑπομένων τούτοις πᾶσαν θεολογίαν, ὡς ἐν τῇ Ἐκκλησίᾳ κηρύττεται νῦν. Ποῦ γὰρ παρ' ἐκείνοις ῥητῶς κείμενον, ὅτι C ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ, ἢ ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ὁμοούσιον Πατρὶ καὶ Υἱῷ; Ποῦ δὲ ὅτι Θεὸς εἷς τὰ τρία, ποιητὴς ἀοράτου τε καὶ ὁρωμένης ἁπάσης κτίσεως, καὶ ὅτι Θεὸς μὲν εἷς τὰ τρία σὺν ἀλλήλοις νοούμενα, Θεὸς δὲ ὡσαύτως τέλειος ἕκαστον καθ' ἑαυτὸ θεωρούμενον, ὁ αὐτὸς μονὰς ἀδιαίρετος καὶ τριὰς ἀσύγχυτος, τὸ μὲν διὰ τὴν οὐσίαν, ἢ τὴν θεότητα, τὸ δὲ διὰ τὰς ὑποστάσεις ἢ πρόσωπα, τὸ παραδοξότατον, Θεὸς, καὶ Θεὸς, καὶ Θεὸς, ἀλλ' εἷς Θεὸς, καὶ οὐ τρεῖς, ἐπειδὴ μία ἐν τρισὶν ἡ θεότης; Παρὰ τίνων Εὐαγγελίων ἢ ἀποστόλων ῥητῶς τὸ τῆς ὑποστάσεως ἤκουσας ὄνομα; καὶ ὅτι μία μὲν οὐσία τὰ τρία, ὑποστάσεις δὲ τρεῖς; Ποῦ παρ' ἐκείνοις τὸ ἄναρχον, καὶ τὸ συνάναρχον, καὶ τὸ συναΐδιον, καὶ D τὸ ὁμοούσιον, καὶ τὴν ἐν ἀλλήλαις τῶν θεαρχικῶν ὑποστάσεων περιχώρησιν, καὶ μονὴν, καὶ ἵδρυσιν εὗρες λεγόμενα;

Εἰ δὲ πρὸς τὴν τοῦ Χριστοῦ βλέψεις οἰκονομίαν καὶ τὰ ἐκεῖ μυστήρια, δέδοικα μὴ καὶ ἀπιστήσῃς, πᾶσιν ἐντυχὼν ἀθρόοις τοῖς ἐκεῖ λαλουμένοις ὀνόμασι, καὶ ταῖς λέξεσιν, ἅπερ ἡ τῶν πραγμάτων καὶ τῶν καιρῶν ἐξεῦρε χρεία μετὰ τοῦ Πνεύματος, καὶ τύπους οἱονεὶ, καὶ κανόνας εὐσεβείας τοῖς πιστοῖς ἐνεχείρισεν. Εἰ δὲ τὰς τῆς πίστεως ἀρχὰς, καὶ τοὺς τῆς θεολογίας τουτουσὶ θεμελίους ὁμοῦ πάντας, καίτοι γε παρὰ τῶν λογίων ῥητῶς οὐκ ἔχων οὑτωσὶ κείμενα, ὅμως τῇ τῶν Πατέρων θεολογίᾳ τούτων θαῤῥεῖς περὶ τοῦ παντὸς, τῶν ἄκρων ἀποστόλων A ἀκροατάς τε καὶ διαδόχους αὐτοὺς εἰδὼς, διδασκάλους τε τῆς Ἐκκλησίας πρώτους εὐθὺς μετὰ τοὺς πρώτους ἐκείνους καὶ μύστας ἀκριβεῖς ἐξηγητὰς τῶν λογίων, καὶ δὴ καὶ ἀποκαλύψεσι θείαις ἐκεῖνα μαθόντας τε καὶ παθόντας, ὡς καὶ λόγια δεύτερα, καθάπερ ἔφθην εἰπὼν, τὴν τούτων ἱερὰν προσειρῆσθαι θεολογίαν, πῶς ἐν τῷ μέρει τούτῳ τῆς θεολογίας τοῖς αὐτοῖς οὐ θαῤῥεῖς ὡσαύτως, καίτοι γε τὴν τῶν ἄκρων ἀποστόλων παράδοσιν, καὶ τὴν τῶν λογίων ἱερὰν μαρτυρίαν συνεχῶς ὑπὲρ τούτων ἀκούων βοώντων, καὶ δὴ καὶ τὰς θείας ἀποκαλύψεις; Τοῦτο καὶ γὰρ οὐ τῆς καθ' ἡμᾶς μόνον θεοσόφου διδασκαλίας τε καὶ θεολογίας, καὶ τῆς ἀποστολικῆς παραδόσεως, ἀλλὰ καὶ λογισμῶν ἐστι πόῤῥω, καὶ εἰς αἴνιγμα πίπτειν δοκεῖ. Οἱ δὲ τοσοῦτον τῇ θεολογίᾳ B θαῤῥοῦσι τῇ ἑαυτῶν καὶ τῇ τῶν λογίων ἱερᾷ ἐπιστήμῃ, καὶ πρὸ τούτων τῷ καλῶς ὁδηγοῦντι καὶ φωτίζοντι Πνεύματι, ὡς καὶ τὴν μαρτυρίαν καὶ τὰς πίστεις ἐκεῖθεν ἐπάγειν τοῖς παρ' αὐτῶν εἰρημένοις, καὶ πόῤῥω πᾶσαν ἀμφιβολίαν καὶ λογισμοὺς ἀνθρωπίνους ἐλαύνειν. Οὕτω καὶ γὰρ, φησὶν, ἡμεῖς τὰ θεῖα καὶ ἑνοῦν τῷ λόγῳ, καὶ διακρίνειν σπεύδομεν, ὡς αὐτὰ τὰ θεῖα καὶ ἥνωται, καὶ διακέκριται. Οὐ στοχασμὸς, φησὶν, ἐνταῦθα, καὶ λογισμῶν τις ἀμφιβολία, καὶ ὑπόνοια, καὶ λόγων ἀνθρωπίνων κτύπος, καὶ θόρυβος· ἀλλὰ Θεός ἐστιν ἄντικρυς ὁ δι' ἡμῶν τὴν θεολογίαν διδάσκων. Τοῦτο καὶ γὰρ ἡμῖν ἐστιν ἡ τοῦ λόγου σπουδὴ, τὸ οὕτω καὶ ἑνοῦν καὶ διακρίνειν τὰ θεῖα, ὡς αὐτά γε ἐκεῖνα καὶ ἥνωται, καὶ διακέκριται, καὶ οὐκ ἄλλως· ὡς εἶναι πᾶσαν C ἀνάγκην τοὺς μὴ κατὰ τὴν τούτων θεολογίαν ἑνοῦντάς τε καὶ διακρίνοντας τὰ θεῖα, μὴ οὐχ ὡς αὐτὰ τὰ θεῖα ἥνωται, καὶ διακέκριται, καὶ ἑνοῦν, καὶ διακρίνειν. Ἀλλὰ πῶς; Ἐγὼ μὲν ὀκνῶ τὸ βλάσφημον, οἱ δὲ νοῦν ἔχοντες οἶδ' ὅτι συνίασι πάντως. Καὶ γὰρ ἀνάγκη καὶ Θεὸν ἐπεισάγειν ἀλλότριον τὴν ἀλλοτρίαν ἕνωσίν τε καὶ διάκρισιν, καὶ διὰ τοῦτο δήπουθεν καὶ Γρηγόριος ὁ Νύσσης θαυμαστὸς πρόεδρος, Τοιοῦτος ἡμῖν, ἔλεγεν, ὁ τοῦ Εὐνομίου Θεὸς ἀναδέδεικται.

Ἔδει μὲν οὖν ἐνταῦθα στῆναι τὸν περὶ τούτων λόγον ἡμῖν, ὥσπερ εἰς ἔφεσίν τινα τοὺς θείους χρησμοὺς ἀναδραμόντα, καὶ τὰς ἐκεῖθεν μετὰ πλείστης ῥᾳστώνης τῆς ἀξιώσεως κομισάμενον ψήφους· ἢ τί γὰρ ἄν τις καὶ προσπεριεργάζοιτο, καὶ προσεξετάζοι, D Θεοῦ τὸ κῦρος διδόντος τοῖς λόγοις; ἀλλ' ὁ λόγος βούλεται τῇ τῆς ἀληθείας περιουσίᾳ, καί τινα τῶν τοῦ Πνεύματος λογίων αὐτῶν ῥητῶς παραγαγεῖν ὑπὲρ τῶν προκειμένων ἐνταῦθα, καὶ βεβαιῶσαι τὰ οἰκεῖα κἀντεῦθεν. Εἰ μὲν οὖν κἀκεῖνο παρῆν, τὸ τοῦ θείου φημὶ Διονυσίου βιβλίον σύν γε τοῖς ἄλλοις, ὃ δὴ καὶ θεολογικὰς ὑποτυπώσεις αὐτὸς οὗτος καλῶν, συνεχῶς ἐν τούτῳ μάλιστα μέμνηται τῷ βιβλίῳ, πάλαι ἂν ἦμεν ἀπηλλαγμένοι πραγμάτων· ἐν ἐκείνῳ καὶ γάρ φησιν ὁ θεολόγος τὰς ἐκ τῶν λογίων ἱερὰς μαρτυρίας αὐτῷ προτεθεῖσθαι, ὅσαι δηλαδὴ περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως διειλήφασιν· ἐκείνου δὲ μὴ παρόντος, μηδὲ ἐγνωσμένου τοπαράπαν ἡμῖν, τὰς περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας,

Digitized by Google

ἡ περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως εἰς μνήμην ἰούσας ἡμῖν εὐαγγελικάς τε καὶ ἀποστολικὰς ῥήσεις ὁ λόγος ἤδη προσθήσει. Εὐχῆς δ' ἂν ἔργον εἴη καὶ τοῦτο, καὶ τῆς τῶν θεολόγων τουτωνί φημι προστασίας, τὰ μὴ πόῤῥω τῆς αὐτῶν διαγνώμης καὶ τῶν θεολογικῶν ἐκείνων ὑποτυπώσεων, μηδ' ἔξω τοῦ σκοποῦ παντάπασιν ἂν τοῦτον βαλεῖν. Ἰωάννης τοιγαροῦν ὁ τῶν εὐαγγελιστῶν τε καὶ θεολόγων κορυφαῖος, μετὰ τὴν ὑψηλὴν ἐκείνην τοῦ Θεοῦ Λόγου θεολογίαν, τὸν Βαπτιστὴν Ἰωάννην εἰσάγων τῷ λόγῳ τῇ ἐκείνου θεότητι μαρτυροῦντα, τοιάδε πρὸς Ἰουδαίους αὐτὸν εἰρηκέναι φησίν· *Οὗτος ἦν ὃν εἶπον, Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν· καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτος.* Ὅπερ ὁ τούτων ὁμώνυμος, ὁ Χρυσόστομος φημι Πατὴρ, ἐξηγούμενος, Καὶ τί ποτέ ἐστι, φησι τὸ *Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν*; Οὐ μεθεκτὴν, φησὶν, ἔχει τὴν δωρεὰν, ἀλλ' αὐτοπηγὴ, καὶ αὐτόῤῥιζα ἐστὶ πάντων τῶν καλῶν, αὐτοζωὴ, καὶ αὐτοφῶς, καὶ αὐτοαλήθεια, οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτὸν, καὶ μετὰ τὸ ὑπερβλύσαι μένων πλήρης, καὶ οὐδενὶ ἐλαττούμενος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων, καὶ πᾶσι τούτοις μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. Καὶ μετά τινα· Ὑποθώμεθα γὰρ εἶναι πυρὸς πηγὴν, εἶτα ἀπὸ τῆς πηγῆς ἐκείνης μυρίους ἀνάπτεσθαι λύχνους, καὶ δὶς τοσούτους, καὶ τρὶς, καὶ πολλάκις. Ἆρα οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας αὐτοῦ; Παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐπὶ τῶν σωμάτων τῶν μεριστῶν τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβήσεται. Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον καὶ σῶμα, καὶ μερίζεται, καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐκ τῆς ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὰ τοῦτο καὶ Ἰωάννης ἔλεγεν, *Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.*

Περὶ τούτου τοῦ πληρώματος τῆς θεότητος καὶ ὁ ἀπόστολος Παῦλος Κολασσαεῦσι γράφων ἔλεγε· *Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας, καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι.* Τούτου δὲ ἐξηγητὴς ὁ τῆς Ἐκκλησίας φωστὴρ Ἀθανάσιος ὁ μέγας ἡμῖν ἔσται, καθάπερ Ἰωάννης ἐκείνου. Τί οὖν ὁ κλεινός φησιν Ἀθανάσιος; Ἕνα Θεὸν ἐν τρισὶν ὑποστάσεσι θεολογοῦμεν, μίαν ἔχοντα τὴν οὐσίαν, καὶ τὴν δύναμιν, καὶ τὴν ἐνέργειαν, καὶ ὅσα ἄλλα περὶ τὴν οὐσίαν θεωρεῖται θεολογούμενα καὶ ὑμνούμενα· καὶ ἵνα τύπον δῶμεν τῷ λόγῳ, καὶ ἄθροισμα,

A ἢ πλήρωμα, τὰ κατὰ θεολογίαν ἔχομεν, τὸ ἄκτιστον, τὸ ἀσώματον, τὸ ἄχρονον, τὸ ἄναρχον, τὸ ἀΐδιον, τὸ ἀτελεύτητον, τὸ ἄπειρον, τὸ ἄγνωστον, τὸ ἀσχημάτιστον, τὸ ἀνερμήνευτον, τὸ ἀνεξιχνίαστον, τὸ Θεὸν θεῶν λέγεσθαι αὐτὸν, τὸ Κύριον κυρίων, τὸ Βασιλέα βασιλευόντων, τὸ Παντοκράτορα, τὸ ποιητὴν, τὸ δημιουργὸν, τὸ φῶς, τὸ ἅγιον, τὸ ζωὴν, τὸ ἀγαθὸν, τὸ ἀθάνατον, τὸ ἰσχυρὸν, τὸ παντοδύναμον, καὶ ὅσα ἄλλα κατά τε ὑπεροχὴν καὶ αἰτιολογίαν, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν ὡς ἐν δύο καὶ πλειόνων ἐπὶ ἓν ἔχοντα τὴν ἀναφορὰν κατὰ τὸ ἐπιμεριζόμενον, ὡς ἐμάθομεν. Ἃ καὶ ἄθροισμα καὶ πλήρωμα λέγεται τῆς θεότητος, κατὰ τὴν Γραφὴν, καθ' ἑκάστην τῶν τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καὶ θεολογούμενα. *Πάντα γὰρ ὅσα*
B *ἔχει ὁ Πατὴρ ἐμά ἐστι, καὶ δεδόξασμαι ἐν αὐτοῖς.*

Δήλη μὲν οὖν κἀκ τῶν νῦν εἰρημένων ἡ συμφωνία τῆς τοῦ μεγάλου φημὶ τούτου θεολογίας πρὸς τὴν προῤῥηθεῖσαν τοῦ θείου Διονυσίου. Ταυτὰ καὶ γὰρ ἐκείνῳ διὰ πάντων ὑπὲρ τῶν νῦν ἡμῖν προκειμένων θεολογεῖ, περὶ τὰς λέξεις, καὶ τὴν φράσιν μόνα τι διαλλάττων. Ἵνα δὲ καὶ ἐναργέστερον ἔτι τὰ τῆς συμφωνίας διαδειχθῇ, τὴν δεσποτικὴν ἐκείνην ῥῆσιν, ἧς ἐν τῷ τέλει τῆς προῤῥηθείσης θεολογίας ὁ μέγας οὗτος ἐμνήσθη, καὶ ἡμεῖς ἐνταῦθα προθῶμεν τῷ λόγῳ, ἐπεὶ καὶ τὰ τῶν λογίων ἄρτι σκοποῦμεν. Φησὶ τοίνυν ὁ Χριστὸς πρὸς τοὺς μαθητὰς τῇ πρὸ τοῦ πάθους ἑσπέρᾳ τὰ τελευταῖα διδάσκων, κατὰ τὸν Εὐαγγελιστὴν Ἰωάννην· *Πάντα ὅσα ἔχει ὁ*
C *Πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει, καὶ ἀναγγελεῖ ὑμῖν,* περὶ τοῦ Παρακλήτου δηλαδὴ λέγων· καὶ πάλιν πρὸς τὸν ἑαυτοῦ Πατέρα· *Τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, καὶ δεδόξασμαι ἐν αὐτοῖς.* Ἐν γοῦν τῇ κατὰ Νίκαιαν μεγάλῃ συνόδῳ τοῖς περὶ Ἄρειον ὁ μέγας διαλεγόμενος οὗτος τοιάδε φησί· *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν.* Οὐχ ἕνεκεν κτιστῶν πραγμάτων τοῦτο ἔφη ὁ Σωτὴρ, τὸ *Πάντα ὅσα ἔχει ὁ Πατὴρ,* ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, αὐτοῦ ἴδια ἔφη ὁ Κύριος· οἷον τὸ ἀθάνατον, τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατὸν, τὸ προγνωστικὸν, καὶ ὅσα ἐστὶν ὁ Πατὴρ, ταῦτα ἴδια τοῦ Υἱοῦ τυγχάνειν. Καὶ πάλιν πρὸς τοὺς αὐτοὺς ὁ αὐτός· *Πάντα*
D *ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν.* Ἀνάγκη τοίνυν νοεῖν ἡμᾶς, ὅτι ἐστὶν ἐν τῷ Πατρὶ τὸ ἀΐδιον, τὸ αἰώνιον, τὸ ἀθάνατον· ἔστι δὲ αὐτοῦ οὐχ ὡς ἀλλότρια αὐτοῦ, ἀλλ' ὡς ἐν πηγῇ ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα. Ὅταν τοίνυν περὶ Υἱοῦ νοεῖν ἐθέλῃς, μαθὼν τίνα ἐστὶ τὰ ἐν τῷ Πατρὶ, ταῦτα καὶ ἐν τῷ Υἱῷ εἶναι πίστευε. Καὶ αὖθις· *Πάντα ὅσα ἔχει ὁ Πατήρ.* Ἔχει δὲ τὸ κτίζειν, τὸ δημιουργεῖν, τὸ ἀΐδιον, τὸ εἶναι Παντοκράτωρ, τὸ ἄτρεπτον. Ἔχει δὲ ταῦτα καὶ ὁ Υἱὸς, οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι.

Ποῦ νῦν εἰσιν οἱ λέγοντες μὴ εἶναι τὰ εἰρημένα ἐν τῷ Θεῷ πράγματα, μηδὲ ἄκτιστόν τι τὸν Θεὸν ἔχειν ἐν ἑαυτῷ πλὴν τῆς οὐσίας; Αἰσχυνέσθωσαν καὶ νῦν εἴπερ ποτὲ, τοῦ μεγάλου τούτου διδασκάλου, καὶ θεολόγου, καὶ πράγματα ταῦτα τρανῶς οὕτω λέγοντος

Digitized by Google

A ἀκούοντες, καὶ ἄκτιστα, καὶ μηδὲ τὴν οὐσίαν ὄντα τοῦ Θεοῦ ταῦτα, ἀλλ' ἐκ τῆς οὐσίας αὐτοῦ πηγαζόμενα καὶ ἐν αὐτῷ ἀναπαυόμενα. Οὐ γὰρ ἕνεκεν κτιστῶν πραγμάτων ὁ Σωτὴρ, φησὶν, ἔφη τοῦτο, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*, ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, αὐτοῦ ἴδια ἔφη ὁ Κύριος. Καὶ πάλιν, Ἔστι δὲ αὐτοῦ, φησὶν, οὐχ ὡς ἀλλότρια αὐτοῦ, ἀλλ' ὡς ἐν πηγῇ ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα. Ὧ δὴ καὶ ὁ τῶν Πατέρων ἱερὸς ἐξακολουθῶν τόμος, καθὰ δὴ καὶ προὔφην, οὐσιώδη καὶ φυσικὴν, φησὶ, κίνησιν τοῦ Θεοῦ τὴν θείαν ἐνέργειαν οὖσαν εἰδότες κατὰ τοὺς θεολόγους, ὡς ἐκ πηγῆς ἀεννάου φαμὲν τῆς θείας οὐσίας προέρχεσθαί τε καὶ πηγάζειν, καὶ ταύτης χωρὶς οὐδέποτε θεωρεῖσθαι, ἀλλ' ἀδιαίρετον αὐτῆς ἀεὶ διαμένειν, ἐξ ἀϊδίου τε τῇ θείᾳ συνυπάρ- B χειν οὐσίᾳ, καὶ ἀχωρίστως ἡνωμένην εἶναι. Καὶ πάλιν ὁ μέγας Ἀθανάσιος· Ἔχει δὲ τὰ προειρημένα, φησὶ, καὶ ὁ Υἱὸς, οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι. Ἤκουσας ὅτι τῆς οὐσίας αὐτοῦ ἐστι; καὶ τοσοῦτόν ἐστιν ἴδια τῆς οὐσίας αὐτοῦ, ὅτι καὶ ἐκ τούτων συνάγει τὸ ὁμοούσιον τῷ Υἱῷ πρὸς τὸν αὐτοῦ Πατέρα, ὑπὲρ οὗ καὶ πρὸς Ἀρειανοὺς ὁ πόλεμος ἦν τότε τοῖς θεολόγοις. Ὃ δὴ καὶ ὁ μέγας φησὶ Βασίλειος. Ὧν αἱ αὐταὶ, λέγων, ἐνέργειαι, τούτων καὶ οὐσία μία. Ἐνέργεια δὲ Πατρὸς καὶ Υἱοῦ μία, ὡς τὸ, *Ποιήσωμεν ἄνθρωπον*. Καὶ πάλιν· Ἃ γὰρ ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Ἄρα οὐσία μία Πατρὸς καὶ Υἱοῦ. Εἰ δὲ τῆς οὐσίας αὐτοῦ ἐστιν ἴδια, πρόδηλον ὅτι οὐκ C εἰσὶν αὐτὰ ἡ οὐσία. Οὐδὲ γὰρ ἡ οὐσία οὐσίας τινός ἐστι. Ταῦτα δὲ τῆς θείας εἶναι οὐσίας πολλάκις ὁ θεολόγος οὗτος ἔφη. Ἄλλως τε ἡ μὲν οὐσία οὐ πληθυντικῶς λέγεταί ποτε, μία καὶ γάρ. τὰ δὲ πληθυντικῶς ἐκφέρεται, πλεῖστα καὶ γάρ· Ἔπειτα καὶ ῥητῶς οὕτω περὶ αὐτῶν ὁ θεολόγος οὗτος εἰπὼν ἔφθη, ὅτι οὐχ ἕκαστον τούτων οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν. Διὸ καὶ πλήρωμα τῆς θεότητος ὁ θεῖος Παῦλος ταῦτά φησι. Καὶ πῶς ἂν ἢ κτίσμα εἴη τὸ κατοικῆσαν ἐν τῷ Χριστῷ πλήρωμα τῆς θεότητος, ἢ ἀνύπαρκτόν τι, καὶ μὴ ὂν, κατὰ τὴν ὑμετέραν κενὴν σοφίαν;

Ταῦτα τοίνυν ἀκούων, κἀκεῖνο μάθε, ὅτι οὕτως ἔχει αὐτὰ, οὐχ ὡς ἀλλότρια τῆς φύσεως αὐτοῦ, ἀλλ' D ὡς φυσικὰ, ἵνα τὸ περὶ τοῦ ἔχειν Ἀριστοτελικὸν φρόνημα πόῤῥω τῶν περὶ Θεοῦ λόγων ῥίψῃς, καὶ ἀπομάθῃς ἐκεῖνο τὸ βλάσφημον, τὸ ὅτι τὸ ἔχειν οὐ κυρίως ὁ Θεὸς ἔχει, καὶ μεταμάθῃς μᾶλλον τὸ ὑψηλὸν καὶ θεοπρεπὲς τοῦτο, τὸ ὅτι ὅσα ὁ Θεὸς ἔχει ὑπερουσίως ἔχει, καὶ ὥσπερ καὶ ἀγαθὸς ὢν, καὶ Θεὸς, καὶ ὢν, καὶ τἄλλα πάντα, κατὰ τὴν ἀποφατικὴν θεολογίαν οὐδὲ ὤν ἐστιν, οὐδὲ ἀγαθὸς, οὐδὲ Θεὸς, οὐδὲ Κύριος, οὐ κατὰ στέρησιν, τοῦτο γὰρ τῆς ἐσχάτης βλασφημίας τε καὶ ἀνοίας, ἀλλὰ καθ' ὑπεροχὴν, ὡς ὑπὲρ ἐκεῖνά γε πάντα ὢν, οὕτω καὶ πάντα ἔχει, καὶ οὐδὲν τῶν πάντων αὐτοῦ ἔξω. Ὅρος γὰρ μόνος αὐτὸς πάντων τῶν τε θείων καὶ ἀνθρωπίνων· ῥηθείη δὲ ἂν κατ' ἐκεῖνον τὸν λόγον, ὥς φασιν οἱ θεολόγοι, καὶ μηδὲν ἔχειν μηδὲ αὐτὸ τοῦτο τὸ ἔχειν, οὐ κατὰ στέρησιν, ἄπαγε τῆς βλασφημίας, τοῦτο γὰρ δὴ καὶ πεπόνθασιν οἱ μὴ κυρίως εἰπόντες τὸν Θεὸν ἔχειν τὸ ἔχειν, ἀλλὰ καθ' ὑπεροχὴν ὑπερφυᾶ καὶ θεοπρεπῆ, καθάπερ ἔφην, ἣν δὴ καὶ ἀποφατικὴν θεολογίαν εἶπον οἱ θεολόγοι.

Διὸ καὶ Ἀθανάσιος ὁ μέγας ἔφη, καθάπερ ἤκουσας, ὅτι ἔστιν αὐτοῦ ἐκεῖνα οὐχ ὡς ἀλλότρια αὐτοῦ, ἀλλ' ὡς ἐν πηγῇ ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα. Καὶ πάλιν· Ἔχει δὲ ταῦτα καὶ ὁ Υἱὸς οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι, τὴν περὶ τοῦ ἔχειν πένητα καὶ χαμαίζηλον σὴν δόξαν ἀποῤῥαπίζων, καὶ Στωϊκοῖς καὶ Ἐπικουρείοις, ἢ καὶ τοῖς ταπεινοῖς ἄλλως τούτοις, καὶ περιγείοις, ἀλλ' οὐ τοῖς περὶ Θεοῦ λόγοις τολμηρῶς περιάπτειν σε ταῦτα διδάσκων, περὶ ὧν δήπου καὶ ὁ κλεινὸς Διονύσιος τὰ αὐτὰ διὰ πλειόνων φησὶν ἐν ἄλλοις τε πλείστοις, καθάπερ ὁ λόγος ἔφθη δείξας, καὶ δὴ καὶ ἐν τούτοις. Φησὶ γὰρ ἐν τῷ περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως αὖθις λόγῳ· Ὅτι δὲ καὶ κυρίαν ἔχει τῶν ὅλων ἡ ὅλη θεότης περὶ μὲν τῆς θεογόνου θεότητος, ἢ τῆς υἱικῆς οὐδὲ εἰπεῖν ἔστιν, ὡς οἶμαι, ποσαχῇ τῆς θεολογίας ἐπὶ Πατρὸς καὶ Υἱοῦ διαθρυλλεῖται τὸ Κύριος. Ἀλλὰ καὶ Κύριος τὸ Πνεῦμά ἐστι, καὶ τὸ καλὸν δὲ, καὶ σοφὸν, ἐπὶ ὅλης θεότητος ὑμνεῖται, καὶ τὸ φῶς, καὶ τὸ θεοποιὸν, καὶ τὸ αἴτιον, καὶ πάντα ὅσα τῆς ὅλης θεαρχίας ἐστὶν, εἰς πᾶσαν ἀνάγει τὰ λόγια τὴν θεαρχικὴν ὑμνῳδίαν. Καὶ μετὰ μικρόν· Καὶ ἵνα συλλήβδην φαίη τις, αὐτὸς ὁ θεαρχικὸς Λόγος ἔφη· *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, καὶ, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστι, καὶ πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά*. Καὶ αὖθις· Ὅσα ἐστὶ τοῦ Πατρὸς, καὶ αὐτοῦ, τῷ θεαρχικῷ Πνεύματι κοινωνικῶς, καὶ ἡνωμένως ἀνατίθησι, τὰς θεουργίας, τὸ σέβας, τὴν πηγαίαν καὶ ἀνέκλειπτον αἰτίαν καὶ διανομὴν τῶν ἀγαθοπρεπῶν δώρων. Καὶ οὐδένα τῶν ἐν τοῖς θείοις λογίοις ἀδιαστρόφοις ἐννοίαις ἐντεθραμμένων οἶμαι πρὸς τοῦτο ἀντερεῖν, ὅτι τὰ θεοπρεπῆ πάντα τῇ ὅλῃ θεαρχίᾳ προσένεστι, κατὰ τὸν θεοτελῆ λόγον.

Ἀλλ' ἐπὶ τὴν αὐτὴν τῶν λογίων ἐξέτασιν ἔλθωμεν αὖθις. Εἰσάγει τὸν Χριστὸν ὁ ἐπιστήθιος Εὐαγγελιστής τε καὶ Θεολόγος, μετὰ τὴν ἐπὶ τῷ τυφλῷ θαυματουργίαν, ἄλλα τε πλεῖστα τοῖς Ἰουδαίοις διαλεγόμενον καὶ δημηγοροῦντα, καὶ δὴ καὶ ταῦτα· *Οὐχ ἁρπάσει τις ἐκ τῆς χειρός μου*, τὰ λογικὰ δηλονότι πρόβατα. *Ὁ Πατήρ μου ὃς δέδωκέ μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ Πατρός μου. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*. Ὁ δὲ θεῖος Χρυσόστομος τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, εἰς ἐξήγησιν ἑαυτῷ προτιθεὶς τοῦτο, τάδε φησί· Κατὰ τὴν δύναμιν ἐνταῦθά φησι. Καὶ γὰρ περὶ ταύτης ἦν ὁ λόγος ἅπας αὐτῷ. Εἰ δὲ ἡ δύναμις ἡ αὐτὴ, εὔδηλον ὅτι καὶ ἡ οὐσία. Οὐ γάρ ἐστιν ἄλλην δι' ἄλλης οὔτε δύναμιν μαθεῖν, οὔτε οὐσίαν.

Τοῦ δὲ Χριστοῦ πάλιν τῇ πρὸ τοῦ τιμίου πάθους ἑσπέρᾳ τοῖς μαθηταῖς διατιθεμένου τὰ ὕστατα καὶ διδάσκοντος κατὰ τὸν αὐτὸν εὐαγγελιστὴν, κἀκεῖνα λέγοντος πρὸς τοῖς ἄλλοις, *Εἰ ἐγνώκειτέ με, καὶ τὸν Πατέρα μου ἐγνώκειτε ἄν, καὶ ἀπάρτι γινώ-*

Digitized by Google

*σκετε αὐτὸν, καὶ ἑωράκατε αὐτὸν*, λέγει αὐτῷ Φίλιππος· *Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*. Ταύτην οὖν τὴν τοῦ Φιλίππου πεῦσιν ὁ θεῖος αὖθις Χρυσόστομος ἐν ταῖς εὐαγγελικαῖς σκοπούμενος ἐξηγήσεσιν, ἀκούσωμεν οἷα λέγει. Ἴδωμεν, φησὶ, τί ὁ Φίλιππος ζητεῖ ἰδεῖν. Ἄρα τὴν σοφίαν τοῦ Πατρός; ἄρα τὴν ἀγαθότητα; Οὐχὶ, ἀλλ' αὐτὸ τί ποτέ ἐστιν ὁ Θεὸς, αὐτὴν τὴν οὐσίαν.

Ὅ γε μὴν εὐαγγελιστὴς Λουκᾶς μετὰ τὴν τῶν προὐχόντων ἀποστόλων ἐκλογὴν πρὸς Χριστοῦ, καὶ κλῆσιν κατ' ὄνομα, καὶ τάδε φησὶ περὶ αὐτοῦ, προϊών· *Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας*. Ὅπερ ὁ μέγας διερμηνεύων Κύριλλος, Εἰκότως οἱ μὲν προφῆται, φησὶν, οὐκ εἶχον δυνάμεις ἀπ' αὐτῶν ἐξερχομένας· χάριτι γὰρ Θεοῦ ἐθαυματούργουν· ὁ δὲ Ἰησοῦς πηγὴ ὢν παντὸς ἀγαθοῦ καὶ πάσης δυνάμεως, ἔχει δυνάμεις ἀπ' αὐτοῦ ἐξερχομένας. Τοῦ δὲ αὐτοῦ πάλιν εὐαγγελιστοῦ τὸ περὶ τὴν αἱμόῤῥουν διεξιόντος τοῦ Χριστοῦ θαῦμα, καὶ τοῦτον εἰσάγοντος οὕτω πρὸς τοὺς ἰδίους λέγοντα μαθητάς· *Ἥψατό μού τις, ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ*, ὁ θεῖος αὖθις ἐξηγούμενος ταυτὶ Κύριλλος, Ἐξέρχεται, φησὶ, δύναμις ἀπὸ Χριστοῦ, οὐ τοπικῶς μεταβαίνουσα, ἀλλὰ πρὸς τοὺς ἄλλους διαδιδομένη καὶ ἐν τῷ Χριστῷ μένουσα, ὥσπερ καὶ τὰ μαθήματα καὶ παρὰ τοῖς διδασκάλοις εἰσὶ καὶ τοῖς μανθάνουσι παραδίδοται.

Δῆλον μὲν οὖν, ὅτι δύναμιν ἐνταῦθα οὐ τὴν οὐσίαν οὔτε ὁ Χριστός φησιν, οὔτε Κύριλλος ὁ τὰ αὐτοῦ ἐξηγούμενος. Ἔγνων γὰρ, φησὶ, δύναμιν ἐξελθοῦσαν, καὶ δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ὅτι ὁ Ἰησοῦς, φησὶν, ἔχει δυνάμεις ἐξερχομένας ἀπ' αὐτοῦ. Καὶ αὖθις· Ἐξέρχεται δύναμις ἀπὸ Χριστοῦ. Τὸ δὲ ἐξερχόμενον, ὡς καὶ αὐτά φησι τὰ θεῖα ῥητὰ, ἔκ τινος ἐξέρχεται. Τὸ δὲ λέγειν, ἔκ τινος πρόερχεσθαι τὴν θείαν οὐσίαν, παραφροσύνης ἐγγύς. Εἰ γὰρ τὴν οὐσίαν δοίημεν ἔκ τινος προέρχεσθαι, ἐκεῖνο πάντως καὶ αἴτιον ταύτης ἐροῦμεν· ὅπερ οὐ Θεοῦ μόνον ἀλλότριον, ἀλλὰ καὶ προδήλως ἀδύνατον. Ὅθεν καὶ Διονύσιος ὁ μέγας τῶν πάντων αἰτίαν ταύτην μᾶλλον θεολογεῖ, λέγων οὕτως· Πάντα μετέχει Θεοῦ προνοίας, ἐκ τῆς ὑπερουσίου καὶ παναιτίου θεότητος ἐκβλυζομένης. Ἄλλως τε, εἴ τι τῆς θείας οὐσίας ἐρεῖ τις αἴτιον εἶναι, τοῦτ' αὐτὸ καὶ τῶν τριῶν θεαρχικῶν ὑποστάσεων αἴτιον ἐξ ἀνάγκης εἶναι κατασκευάσει, κοινὴ καὶ γὰρ ἡ οὐσία, καὶ μία Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Αἴτιον δέ τι τῶν τριῶν προσκυνητῶν ὑποστάσεων λέγειν, οὐκ οἶδα ποίαν οὐ παρελαύνει πονηρὰν αἵρεσιν. Οὐ μόνον καὶ γὰρ τετράδα τὴν ἁγίαν Τριάδα ποιεῖ, ἀλλὰ καὶ παντοδαπῶν ἑτέρων ἀτόπων ἑσμὸν ἐπεισάγει. Τί δὲ ὅτι καὶ δίδοσθαι τὴν θείαν ἐκείνην δύναμιν ὁ θεσπέσιος ἔφη Κύριλλος; Ἡ γὰρ θεία οὐσία οὐ δίδοται, φησὶν ἡ καθ' ἡμᾶς ἱερὰ θεολογία. Ἀμέθεκτος γὰρ τοπαράπαν, καὶ ἄληπτος ἐξίσης ἁπάσῃ γεννητῇ φύσει. Ἀλλ' οὐδὲ κτιστή ποτ' ἂν ἡ τοιαύτη ῥηθείη δύναμις, ἕως ἂν οἱ λέγοντες σωφρονῶσιν. Οὐδὲ γὰρ κτίσμα γε ἂν εἴη τὸ πάντας ἰώμε-
A νον, κατὰ τὸν τοῦ εὐαγγελιστοῦ λόγον. Πῶς δὲ καὶ κτίσμα τις ἐρεῖ τὴν ἐν Χριστῷ μένουσαν ἀμείωτον δύναμιν κατὰ τὸν εἰπόντα τουτονὶ θεολόγον, εἰ μὴ μετὰ τῶν μαινομένων καὶ παραπαιόντων αὐτὸς ἀριθμεῖσθαι θέλοι;

Ἀλλ' ἐπὶ τὸν μέγαν καὶ αὖθις ἴωμεν Παῦλον, καὶ σκοπήσωμεν τὰ πρὸς Ῥωμαίους αὐτῷ γεγραμμένα περὶ τῆς θείας ταύτης δυνάμεως. *Ἀποκαλύπτεται*, φησὶν, *ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων, τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων. Διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. Ὁ Θεὸς γὰρ αὐτοῖς ἐφανέρωσε. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης.*
B Ἅπερ οἱ θεολόγοι Πατέρες, Κύριλλός τε καὶ Ἀθανάσιος ἀναπτύσσοντες, ἀκούσωμεν οἷά φασιν. Εἶπεν ἄνω, ὅτι τὴν τοῦ Θεοῦ γνῶσιν ἠδίκησαν οἱ Ἕλληνες, κακῶς αὐτῇ χρησάμενοι. Πόθεν οὖν δῆλον ὅτι γνῶσιν ἔσχον, νῦν φησιν· ὅτι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν ἐν αὐτοῖς. Εἶτα καὶ τοῦτο κατασκευάζει, λέγων, ὅτι ἀπὸ τῆς εὐταξίας τῶν κτισμάτων ἐκηρύττετο ὁ δημιουργός· ὡς ὁ Δαβὶδ λέγει, *Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ*. Τὸ δὲ γνωστὸν τοῦ Θεοῦ τί ἐστιν, οὕτως ἂν μάθοις. Τοῦ Θεοῦ τὸ μὲν ἐστιν ἄγνωστον, ἤγουν ἡ οὐσία αὐτοῦ, τὸ δὲ γνωστὸν, οἷον πάντα τὰ περὶ τὴν οὐσίαν, τουτέστιν ἡ ἀγαθότης, ἡ σοφία, ἡ δύναμις, ἡ θειότης, ἃ καὶ ἀόρατα ὁ Παῦλος λέγει, νοούμενα τοῖς ποιήμασι. Τοῖς οὖν
C Ἕλλησιν ἔδειξε τὸ γνωστὸν αὐτοῦ πᾶν, ἤτοι τὰ περὶ τὴν οὐσίαν πάντα, ἃ ὀφθαλμοῖς μὲν αἰσθητοῖς ἀόρατά εἰσι, νῷ δὲ καταληπτὰ διὰ τῆς ἐν τοῖς ποιήμασιν εὐταξίας.

Περὶ τούτων καὶ Βασίλειος ὁ μέγας πρὸς Εὐνόμιον γράφων οὕτω φησίν· Εἰκὸς αὐτὴν μὲν τὴν οὐσίαν ἀπερίοπτον εἶναι παντὶ, πλὴν ἢ τῷ Μονογενεῖ, καὶ τῷ ἁγίῳ Πνεύματι· ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ Θεοῦ ἀναγομένους ἡμᾶς, καὶ διὰ τῶν ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνειν τὴν αἴσθησιν. Τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ Θεοῦ, ὃ πᾶσιν ἀνθρώποις ὁ Θεὸς ἐφανέρωσεν. Ὁ δὲ ἀδελφὸς τούτου καὶ φύσιν, καὶ τρόπον, καὶ λόγους, καὶ θεωρίαν, Γρηγόριος ὁ Νύσσης φημὶ, τοὺς εὐαγγελικοὺς ἑρμηνεύων μακαρι-
D σμοὺς, καὶ κατ' ἐκεῖνο τὸ θεῖον ῥητὸν γενόμενος, φημὶ δὴ τὸ, *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*. Ἡ θεία φύσις, φησὶν, αὐτὸ ὅ τί ποτέ ἐστι κατ' οὐσίαν, πάσης ὑπέρκειται καταληπτικῆς ἐπινοίας. Τοιοῦτος δὲ ὢν κατὰ τὴν φύσιν ὁ ὑπὲρ πᾶσαν φύσιν, ἄλλῳ λόγῳ καὶ ὁρᾶται, καὶ καταλαμβάνεται, ὁ ἀόρατος καὶ ἀπερίληπτος. Πολλοὶ δὲ οἱ τῆς τοιαύτης κατανοήσεως τρόποι. Ἔστι γὰρ καὶ διὰ τῆς ἐμφαινομένης τῷ παντὶ σοφίας, τὸν ἐν σοφίᾳ τὰ πάντα πεποιηκότα στοχαστικῶς ἰδεῖν. Καὶ γὰρ πρὸς τὸν ἐν τῇ κτίσει βλέποντες κόσμον, ἔννοιαν οὐ τῆς οὐσίας, ἀλλὰ τῆς σοφίας τοῦ τὰ πάντα πεποιηκότος ἀνατυπούμεθα. Κἂν τῆς ἡμετέρας ζωῆς τὴν αἰτίαν λογιζώμεθα, ὅτι οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐξ ἀγαθῆς προαιρέσεως ἦλθεν

Digitized by Google

εἰς τὸ κτίσαι τὸν ἄνθρωπον, πάλιν καὶ διὰ τούτου τοῦ τρόπου ἑωρακέναι λέγομεν τὸν Θεὸν, τῆς ἀγαθότητος, οὐ τῆς οὐσίας ἐν περινοίᾳ γινόμενοι. Οὕτω καὶ ἐπὶ τῶν ἄλλων πάντων· ὁ γὰρ τῇ φύσει ἀόρατος ὁρατὸς ταῖς ἐνεργείαις γίνεται, ἔν τισι τοῖς περὶ αὐτὸν ἰδιώμασι καθορώμενος. Ἀλλ' οὐ πρὸς τοῦτο βλέπει μόνον τοῦ μακαρισμοῦ ἡ διάνοια, τὸ ἔκ τινος ἐνεργείας τὸν ἐνεργοῦντα δύνασθαι τοῦτον ἀναλογίσασθαι. Γένοιτο γὰρ ἂν ἴσως καὶ τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς διὰ τῆς τοῦ κόσμου εὐαρμοστίας ἡ τῆς ὑπερκοσμίου σοφίας τε καὶ δυνάμεως κατανόησις. Μάξιμος δὲ ὁ μέγας κατ' ἄμφω, τήν τε θείαν φημὶ καὶ τὴν ἀνθρωπίνην σοφίαν, καὶ δὴ καὶ ὁμολογητὴς τῶν τοιούτων μέχρις αἵματος, τὸ ῥηθὲν ἀποστολικὸν ῥητὸν ἐξηγούμενος, τοιάδε φησίν· Οἱ τῶν ὄντων λόγοι προκαταρτισθέντες πρὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, καθὼς οἶδεν αὐτὸς, ἀόρατοι ὄντες, οὓς καὶ ἀγαθὰ θελήματα καλεῖν τοῖς θείοις ἐστὶν ἔθος ἀνδράσιν, ἀπὸ τῶν ποιημάτων νοούμενοι καθορῶνται. Πάντα γὰρ τὰ ποιήματα τοῦ Θεοῦ, κατὰ φύσιν μετὰ τῆς δεούσης ἐπιστήμης γνωστικῶς ὑφ' ἡμῶν θεωρούμενα, τοὺς καθ' οὓς γεγένηνται λόγους, κρυφίως ἡμῖν ἀπαγγέλλουσι, καὶ τὸν ἐφ' ἑκάστῳ ποιήματι θεῖον σκοπὸν ἑαυτοῖς συνεκφαίνουσι· καθὸ καὶ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ τὸ στερέωμα τὴν τῶν χειρῶν ἀναγγέλλει ποίησιν. Ἀΐδιος δὲ δύναμίς ἐστι, φησὶ, καὶ θειότης, ἡ συνεκτικὴ τῶν ὄντων πρόνοια, καὶ ἡ κατ' αὐτὴν ἐκθεωτικὴ τῶν προνοουμένων ἐνέργεια.

Εἰ δὲ καὶ πράγματα τὰ περὶ τὸν Θεὸν ταῦτα περὶ ὧν ὁ Χριστὸς ἔλεγε πρὸς τὸν ἑαυτοῦ Πατέρα, *Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμὰ*, καὶ, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*, εἰ οὖν καὶ πράγματα, καὶ ἄκτιστα, καὶ οὐκ οὐσία Θεοῦ ταῦτά εἰσι, κατὰ τοὺς ἐξηγητὰς τῶν Εὐαγγελίων καὶ θεολόγους τούτους, ἃ δὴ καὶ γνωστὸν τοῦ Θεοῦ, καὶ πλήρωμα τῆς θεότητος καὶ ἀΐδιον αὐτοῦ δύναμιν, καὶ θειότητα ὁ Ἀπόστολος γράφων ἐδίδαξε, λείπεται τῆς θείας φύσεως ἰδιώματα ταῦτα λέγειν, καὶ ἐνεργείας οὐσιώδεις αὐτῆς μετὰ τῶν θεολόγων τούτων, Βασιλείου φημὶ τοῦ μεγάλου, καὶ Γρηγορίου, καὶ Μαξίμου, καὶ δὴ καὶ τοῦ χοροῦ τῶν λοιπῶν θεολόγων, οἷς δὴ καὶ ὁ ἐκ Δαμασκοῦ θεολόγος Ἰωάννης συνᾴδων, ἄλλα τε πλεῖστα περὶ τούτων θαυμασίως θεολογεῖ, ἐξ ὧν δὴ καὶ ἡμεῖς ἐροῦμεν κατὰ καιρὸν, καὶ ὅτι αὐχήματα τῆς θεότητος εἰσι ταῦτα, ὧν αὐτὴ μετέδωκε τῷ σώματι τῷ Δεσποτικῷ.

Καὶ τὰ μὲν τῶν λογίων ἅλις ἡμῖν ἐχόντων, τοτήμερον εἶναί φημι τέως, ὀλίγα μὲν ἐκ πολλῶν, ἱκανὰ δὲ, ὡς ἐγὼ φημὶ καὶ ταῦτα πιστώσασθαι τὴν τῶν ἀρχαίων ἐκείνων διδασκάλων καὶ διαδόχων τῶν ἀποστόλων θεολογίαν, Ἱεροθέου τε καὶ Διονυσίου, ὅπερ ὁ λόγος ὑπέσχετο δεῖξαι, καὶ πρός γε ἔτι καὶ συνῳδοὺς καὶ συμφώνους τοῖς καθεξῆς Πατράσι καὶ θεολόγοις τῆς Ἐκκλησίας ὡς μηδὲν παρὰ μέλος ἠχεῖν μηδὲ ἔξω τοῦ σκοποῦ βάλλειν τούτους κἀκείνους, ἅτε δὴ καὶ ὑφ' ἑνὶ τεχνίτῃ, καὶ μυσταγωγῷ, καὶ παιδευτῇ τῶν τοιούτων ἀγομένους ὁμοῦ πάντας, τῷ τοῦ Θεοῦ φημι Πνεύματι. Λοιπὸν δὲ ἂν εἴη καὶ πρὸς

A τὰς οἰκουμενικὰς ἐξῆς βλέψαι τῷ λόγῳ συνόδους, καὶ μαθεῖν εἰ καί τινες ἐξ αὐτῶν περὶ θείας οὐσίας ἅμα καὶ ἐνεργείας εἶπον, καὶ εἴ γε καὶ διαφοράν τινα θεοπρεπῆ καὶ διάκρισιν ἐπὶ τούτων καὶ αὗται σκοποῦσιν, ἢ ἁπλῶς ἕν τι καὶ ἀδιάφορον ἴσασι ταῦτα, καὶ τὸ αὐτὸ νῦν μὲν οὐσίαν λέγεσθαί φασι, νῦν δ' ἐνέργειαν, νῦν δὲ τὴν μὲν οὐσίαν ἄκτιστον, τὴν δὲ ἐνέργειαν κτίσμα τὴν θείαν. Πάτρια καὶ γάρ πως τοῖς περὶ τὸν φιλόσοφον Γρηγορᾶν νομίζεται τὰ τοιαῦτα, καὶ πίστεως ἄντικρυς ὅρος, καὶ σύμβολον, ἐξ Ἀκινδύνου τε καὶ Βαρλαὰμ εἰς αὐτοὺς ἄνωθεν κατιόντα· τούτους καὶ γὰρ καὶ πατέρας καὶ διδασκάλους θείων δογμάτων, καὶ Χριστοῦ Ἐκκλησίαν, οὐκ ἄλλους ἀκριβῶς ἴσασιν, εἰ καὶ κρύπτουσιν, ὑπ' αἰσχύνης τὰς προσηγορίας ἐκείνων, ἔστι δὲ ὅτε καὶ

B τῷ ἀναθέματι παῤῥησίᾳ καθυπέβαλον ὑπ' ἀνάγκης, ἔν γε τοῖς κοινοῖς ἡμῶν τε κἀκείνων συλλόγοις μάλιστα. Ἐπεὶ γοῦν τὰς ἱερὰς ἐκείνας τῶν θεσπεσίων Πατέρων συνόδους μετὰ τὰ τέσσαρα Χριστοῦ Εὐαγγέλια τάξει τινὶ καὶ ἀξιώματι ἔσχεν εὐθὺς ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ παρὰ τούτων αὐτῶν τὸν τῆς πίστεως εὐσεβῆ λαβόντες ἔχομεν ὅρον, καὶ τὰ αὐτῶν ἱερὰ δόγματα, πίστις ἡμῖν ἀπλανὴς, καὶ εὐσέβεια, καὶ ὀρθοδοξία νομίζεται, ὅσα τέ φημι περὶ τῆς θεαρχικῆς καὶ ὁμοουσίου Τριάδος, καὶ ὅσα περὶ τῆς διὰ σαρκὸς οἰκονομίας, καὶ τῆς θεότητος τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ τοῦ τῆς ζωαρχικῆς ταύτης Τριάδος ἑνός. Οἱ αὐτοὶ γὰρ καὶ καθαιρέται πάσης αἱρέσεως καὶ κακοδοξίας, καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας πά-

C σης μετὰ τὴν τῶν λογίων διδασκαλίαν Πατέρες τε καὶ διδάσκαλοι, καὶ διὰ τοῦτο καὶ τὴν πρὸς ἐκείνους ἱερὰν συμφωνίαν μετὰ τὴν τῆς θεότητος πᾶσαν ὁμολογίαν εὐθὺς, καὶ ἱερέας ἅμα, καὶ βασιλέας, καὶ τοὺς ἐξ οἱασοῦν αἱρέσεως προσιόντας τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ πάντας ἀπαιτοῦμεν ὁμοῦ, φέρε καὶ τἀκείνων ἐκ μέρους ἀναλαβόντες κατίδωμεν. Ἡ μὲν οὖν ἁγία καὶ οἰκουμενικὴ πέμπτη σύνοδος τὰ Ὠριγένους τε καὶ Διδύμου, καὶ Εὐαγρίου, καὶ τῆς περὶ ἐκείνους συμμορίας, μετὰ πλείστων ἐνιαυτῶν περιόδους κάκιστα συγγράμματά τε καὶ δόγματα σκοπουμένη, ἑώρα καὶ γὰρ τοῦ τῆς Ἐκκλησίας κακῶς τινας ὑπ' αὐτῶν τούτων ἐπηρεαζομένους, Ἔλεγε, φησὶν, ὁ Ὠριγένης ἔν γε τοῖς αὐτοῦ δηλονότι συγγράμμασι, συναΐδια εἶναι τὰ τῷ Θεῷ, καὶ ἐξ ἀϊ-

D δίου ὄντος τοῦ Θεοῦ ἐξ ἀϊδίου εἶναι τὰ κτίσματα. Εἰ δὲ μὴ ἐξ ἀϊδίου τὰ κτίσματα, ἐτράπη πάντως ὁ Θεὸς ἀπὸ τοῦ μὴ κτίζειν ἐλθὼν εἰς τὸ κτίζειν. Ἡμεῖς δὲ πρὸς ταῦτα, φησὶ, λέγομεν· Οὐκ ἐτράπη κατὰ τὴν φύσιν, ἀλλὰ κατὰ τὴν ἐνέργειαν, μᾶλλον δὲ οὐδὲ κατὰ τὴν ἐνέργειαν. Εἶχε μὲν γὰρ ἀεὶ τὴν δύναμιν τοῦ κτίζειν· ἐνηργήθη δὲ ἡ τοιαύτη δύναμις, ὅτε ἐβουλήθη ὁ Θεός.

Ἤκουσας διαφορὰν οὐσίας θείας καὶ ἐνεργείας παρὰ τῶν θεοφόρων τούτων μυσταγωγῶν; Οἱ μὲν γὰρ αἱρετικοὶ, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, ἄτοπον γὰρ καὶ αὐτοῖς τε, ὡς ἐδόκει, τὸ τροπὴν ὑπομένειν δύνασθαι λέγειν τὸν μόνον ἀπαθῆ τε καὶ ἄτρεπτον, τὸ τούτου ἀτοπώτερον ἐπείγοντο κατασκευάζειν, ὅτι δὴ συναΐδια τὰ κτίσματα τῷ Θεῷ. Οἱ δὲ τῆς ἱερᾶς συνόδου Πατέρες, τῇ

Digitized by Google

καλῇ καὶ θεοπρεπεῖ διαφορᾷ τῆς θείας οὐσίας πρὸς τὴν θείαν ἐνέργειαν τό τε ἀμφίκρημνον τοῦτο λύουσι ζήτημα, καὶ τῶν βάθρων ἑκατέρων τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ἀπαλλάττουσι κάλλιστα, τῆς ἐνεργείας, ἀλλ' οὐ τῆς φύσεως τοῦ Θεοῦ εἰπόντες ἔργα τὰ κτίσματα. Διὸ τὰ μὲν τῆς φύσεως ἴδια τοῦ Θεοῦ ἔργα· ὅπερ ἐστὶ δηλαδὴ ἡ τῶν ὁμοουσίων Υἱοῦ τε καὶ Πνεύματος γέννησις ὁμοῦ καὶ ἐκπόρευσις, συναΐδια μὴ εἶναι οὐ πέφυκε, καὶ διὰ τοῦτο καὶ ἄναρχος καὶ συναΐδιος τῷ Πατρὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἵνα μὴ τροπὴν ὁ ἄτρεπτος ὑπομείνῃ, οὐκ ἐξ ἀϊδίου γεννῶν, καὶ ἐκπορεύων τὰ ὁμοούσια, καὶ ἵνα μὴ Θεὸς πρῶτος καὶ ὕστερος νομισθῇ, κατὰ τοὺς ἤδη διδάξαντας ταῦτα θεολόγους Πατέρας· τὰ δὲ κτίσματα, θελήσεως καὶ ἐνεργείας ἔργα γε ὄντα, καὶ ἔξω καθάπαξ τῆς τοῦ Θεοῦ φύσεως, οὐ δύναται τροπὴν ἐπενεγκεῖν καὶ ὕστερον γινόμενα· ἀπὸ γὰρ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη θελήσει καὶ ἐνεργείᾳ Θεοῦ. Εἶτα καὶ τὸ ἄκτιστον καὶ ἀΐδιον τῆς θείας ἐνεργείας, καὶ τὸ κατὰ ταύτην ἄτρεπτον τοῦ Θεοῦ συνεκφαίνοντες οἱ θεῖοι διδάσκαλοι, Οὐδὲ κατὰ τὴν ἐνέργειαν, φασίν, ἐτράπη ὁ Θεὸς, ὡς ἐξ ἀϊδίου μὲν ταύτην μὴ ἔχειν φυσικῶς, ὕστερον δὲ αὐτὴν προσκτήσασθαι, καὶ τροπήν τινα κατὰ τοῦτο δέξασθαι. Εἶχε μὲν γάρ, φησίν, ἀεὶ τὴν δύναμιν τοῦ κτίζειν, ἅτε δὴ καὶ φυσικὴν αὐτοῦ πεφυκυῖαν· ἐνηργήθη γε μὴν ἡ τοιαύτη δύναμις, ὅτε ὁ Θεὸς ἐβουλήθη.

Τὰ δὲ τῆς οἰκουμενικῆς ἕκτης συνόδου μέλλων σκοπεῖν, πρὸ τῶν ἄλλων ἐκεῖνό λέγω, ὡς εἰ μὴ καὶ τὰ προειρημένα πάντ' ἐκεῖνα περὶ διαφορᾶς θείας οὐσίας καὶ θείας ἐνεργείας ἡμῖν ἦσαν, καὶ δὴ καὶ τὰ ἑξῆς περὶ τούτων αὐτῶν τοῖς ἱεροῖς ὡσαύτως ῥηθησόμενα Πατράσι καὶ θεολόγοις, ἤρκει τὰ παρ' αὐτῆς ταύτης μόνα τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ πρός γε τὸν ἐντελῆ τῆς ὑποθέσεως λόγον, οἰκουμενικῆς τε οὔσης, καὶ οὕτω λαμπρῶς, καὶ παρὰ τοσούτων διδασκάλων, οὐκ ἐπ' ἄλλοις, ἀλλ' ἐπὶ τοῖς προκειμένοις τούτοις συγκροτηθείσης, καὶ ταῦτα μόνα προὔργου κεκτημένης. Ὑπὲρ οὗ καὶ θαυμάζειν οὐ μικρῶς, ἀλλὰ καθ' ὑπερβολὴν ἂν εἴη Γρηγορᾶν τε καὶ τοὺς ἐκείνου Πατέρας καὶ μυσταγωγοὺς τῆς καινοφανοῦς ταύτης θρησκείας, ποῦ τὰ τοῦ ἀγῶνος καὶ τῶν κατορθωμάτων παρέῤῥιψαν τῆς μεγάλης ταύτης συνόδου, ὥσπερ μηδὲ γεγενημένης ὅλως μηδὲ συστάσης τὴν ἀρχήν, μηδὲ ἐν ὀνείροις μνησθέντες, μᾶλλον δὲ καὶ μνησθέντες, εἰ καὶ μὴ γράμμασιν, ἀλλὰ τοῖς ἀπὸ στόματος λόγοις, ὡς ἐγώ τινος ἤκουσα τῶν πεπλησιακότων ἐκείνοις, κάκιστά μέντοι καὶ ἀτοπώτατα, καὶ τῶν ὑπ' ἐκείνης καλῶς τε καὶ δικαίως ἀποκηρυχθέντων Μονοθελητῶν οὐδὲν ἄμεινον. Τῶν γὰρ ὁμιλητῶν Ἀκινδύνου τινὲς, τὰ κατὰ τῆς θείας ἐνεργείας ὑπ' ἐκείνου μυσταγωγούμενοι συνήθως, ποτὲ μὲν κτίσμα Θεοῦ τὴν φυσικὴν αὐτοῦ ταύτην καὶ θεοπρεπῆ δύναμίν τε καὶ κίνησιν ἀποκαλοῦντος, ποτὲ δὲ τὴν οὐσίαν αὐτὴν εἶναι τοῦ Θεοῦ, καὶ κατ' οὐδὲν διαφέρειν, ἄλλοτε δ' αὖθις τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ, καὶ τὸ αὐτοῦ Πνεῦμα, ταῦτα καὶ γὰρ τὰ τῆς θεολογίας ἢ βλασφημίας οἰκειότερον μᾶλλον εἰπεῖν Ἀκινδύνου πρῶτα στοιχεῖα, οἷς δὴ καὶ εἰσέτι τά τε

A ἐκείνου συγγράμματα καὶ οἱ διάδοχοι μαρτυροῦσι παρόντα, ἐκείνου τοιγαροῦν δι' ἑαυτοῦ τοὺς ἰδίους ἀκροατὰς τὰ τοιαῦτα διδάσκοντός τότε, καὶ τὰ τῶν ἁγίων ῥητὰ καὶ τοὺς περὶ θείας ἐνεργείας ἱεροὺς λόγους, καὶ τὴν ἐκείνων παρεξήγησιν καὶ τὴν διαστροφήν, ἔργον ἑαυτοῦ ποιουμένου καὶ σπούδασμα, καὶ περὶ τῆς μεγάλης ταυτησὶ καὶ οἰκουμενικῆς ἕκτης συνόδου τῶν φοιτητῶν ἤροντό τινες τί δεῖ φρονεῖν ἐκείνους καὶ λέγειν, οὔπω διαῤῥήδην τἀναντιώτατα τῶν αὐτῷ δοκούντων καὶ φρονούσης καὶ κηρυττούσης· Ὁ δὲ χρηστὸς Ἀκίνδυνος, ὥσπερ ἐπιλελησμένος ἐνταῦθα τῆς ἐν χεροῖν ἐπιστήμης, καὶ τοῦ διαστρέφειν τε καὶ συκοφαντεῖν τὰ πάσης διαστροφῆς τε καὶ συκοφαντίας ἀνώτερα, τοῦτο καὶ μόνον ἐνταῦθά πως καλῶς καὶ ἀξίως τὰ τῆς οἰκείας B κακοδοξίας τε καὶ τῆς ἀπιστίας ἀνερυθριάστως ἀποκαλύπτει, ἀγροίκους τινὰς καὶ βαρβάρους καὶ λόγον καὶ ἦθος, καὶ ἀμαθεῖς ἀποκαλέσας ὁμοῦ πάντας τοὺς τῆς ἁγίας ἐκείνης συνόδου Πατέρας, καὶ μηδὲν ὑγιὲς περὶ τῶν προκειμένων ἐκείνοις τότε φρονήσαντας, σύνοδον οἰκουμενικὴν ὁμοῦ πᾶσαν ὡς ἕν τι τῶν εὐτελῶν καὶ παροράσεως ἀξίων ἀποβαλλόμενός τε καὶ διαγράφων, εἰς ἑκατὸν καὶ ἑξήκοντα Πατέρας καὶ διδασκάλους ἀριθμουμένην, πατριάρχας ὁμοῦ προκαθημένους ἑαυτῆς ἔχουσαν πάντας, καὶ βασιλέα θαυμαστόν τε καὶ μέγαν σύν γε τῇ περὶ αὐτὸν πάσῃ συγκλήτῳ, καὶ σὺν τούτοις τε καὶ πρὸ τούτων τὸν τῶν ἐκκλησιῶν ἁπασῶν ὁμοῦ τὸ πρεσβεῖον ἔχοντα τότε, φημὶ δὴ τὸν τῆς πρεσβυτέρας C Ῥώμης ἱερὸν πάπαν· μᾶλλον δ' οὐχ ἕνα μόνον, ἀλλὰ καὶ δεύτερον μετ' ἐκεῖνον καὶ τρίτον, καὶ δὴ καὶ τὴν ὑπ' αὐτοὺς τῶν ἐκκλησιῶν ἱερὰν σύνοδον ὁμοῦ πᾶσαν, λόγοις καὶ πρέσβεσι, καὶ τοποτηρηταῖς οἰκείοις, καὶ πρός γε ἔτι γράμμασι συνοδικοῖς καὶ ἐπιστολαῖς μακραῖς τισι καὶ πολυστίχοις, οὐκ ἐξ ἰδίων λογισμῶν, ἀλλ' ἐκ τῆς ἱερᾶς λογίων θεολογίας, καὶ τῆς τῶν πρὸ αὐτῶν ὁμοῦ θεοπνεύστου διδασκαλίας τὸν ὀρθὸν τε καὶ ἀπλανῆ τῆς πίστεως βεβαιοῦντας λόγον. Καὶ τί χρὴ λέγειν τούτους κἀκείνους; ὅπου γε μὴ τὴν οἰκουμενικὴν ταύτην σύνοδον, καὶ τοὺς κατ' αὐτὴν μόνον, ἀλλὰ καὶ πάσας ὁμοῦ τάς τε πρὸ αὐτῆς καὶ τὰς μετ' αὐτήν, ὡσαύτως ἀπεβάλλετο κάκιστα σὺν ἐκείνῃ, ὧν τὰς μὲν ὡσανεί τινα θεμέλιον ἔσχεν αὕτη καὶ βάσιν, τοῖς ἐκείνων ὅροις τε καὶ ταῖς ἱεραῖς περὶ D θεότητος δόξαις τὸν οἰκεῖον ἐποικοδομήσασα λόγον καθαπερεί τινα στῦλον καὶ πύργον ἀσειστον εὐσεβείας, αἱ δὲ μετ' αὐτὴν ὡσαύτως ταύτην ἔσχον αὖθις, καὶ συναριθμήσασαι ταῖς πρὸ αὐτῆς, μετὰ πλείστης ἴσης τῆς ἀξιώσεως σὺν ἐκείναις ἀνακηρύξασαι καὶ ταύτην, καὶ οὕσπερ ἀνηγόρευσε συναναγορεύσασαι, καὶ οὓς ἀπεκήρυξεν ἐξ ἀντιστρόφου καὶ αὗται συναποκηρύξασαι, καὶ ὅρον εὐσεβείας, καὶ κανόνα δόξης ὀρθῆς, καὶ στάθμην λογισάμεναι τὰ ἐκείνης, ὡς καὶ ταῖς ἐσχάταις ἀραῖς καὶ ἀποκηρύξεσι καθυποβαλεῖν τοὺς ἐκεῖνα μὴ δεχομένους, ὃ δὴ καὶ προϊὼν ὁ λόγος δείξει σαφέστερον.

Ἀλλ' οἱ μὲν ἐῤῥίφθων, οὕτω περὶ τὰ τῆς κοινῆς ἡμῶν πίστεως ἀξιώματα καὶ τὰ μεγάλα στοιχεῖα τῆς εὐσεβείας κάκιστά τε καὶ ἀτοπώτατα διανοηθέν-

Digitized by Google

τες τε καὶ εἰπόντες, ὡς κἀντεῦθεν μόνον Χριστανοὺς ἅπασιν εἶναι δήλοι τοῦ τῶν πιστῶν καταλόγου διαγράψαντες σφᾶς αὐτούς, καὶ πόῤῥω που γεγονότες ἑκόντες τῆς τοῦ Χριστοῦ μοίρας· ἡμεῖς δὲ οἱ τῆς αὐτοῦ σεπτῆς Ἐκκλησίας, οἱ μετὰ τῶν ἱερῶν Εὐαγγελίων κἀκείνας αἰδούμενοι τὰς σεπτὰς τῶν Πατέρων συνόδους, καὶ ὅρον, καὶ κανόνα, καὶ στάθμην τῆς εὐσεβοῦς ἡμῶν αὐτὰς ἡγούμενοι πίστεως, φέρε καὶ τὰ τῇ ἁγίᾳ ταύτῃ συνόδῳ περὶ τῆς ἐν Χριστῷ θείας ἐνεργείας δογματισθέντα καλῶς ἀπὸ μέρους κατίδωμεν. Τῶν γάρ τοι τὰ Σεργίου, καὶ Πύῤῥου, καὶ Κύρου, καὶ Θεοδώρου τηνικαῦτα φρονούντων, τοῖς ὀρθοδόξοις ἀντικαθισταμένων καὶ λόγοις, καὶ γράμμασι, καὶ τὸν θεάνθρωπον Λόγον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μίαν ἔχειν λεγόντων ἐνέργειαν, τὴν αὐτὴν ὁμοῦ τῆς σαρκός τε καὶ τῆς θεότητος, ἄλλα τε πλεῖστα καὶ μέγιστα Πνεύματι θείῳ πρὸς ἐκείνους ἡ θεία τῶν Πατέρων διεξίασι σύνοδος, καὶ πρὸς τοῖς ἄλλοις κἀκεῖνα.

Τὴν ἑκατέρας φύσεως ἑκατέραν, φησὶν, ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη, καὶ φυσικὴν, καὶ κατάλληλον, ἀδιαιρέτως προϊοῦσαν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα, καὶ τὴν ἀμέριστον ὁμοῦ καὶ ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γὰρ καὶ τῶν ἐνεργειῶν ἐπὶ Χριστοῦ ποιεῖ τὸ διάφορον, ὥσπερ καὶ τὸ εἶναι τὰς φύσεις τῶν φύσεων. Καὶ πάλιν· Κατ' ἄλλο γὰρ δηλονότι καὶ ἄλλο ἐνήργησεν ὁ Χριστὸς, ἵνα κατὰ τὴν θεότητα, ἃ ποιεῖ ὁ Πατὴρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιῇ, καὶ κατὰ τὴν ἀνθρωπότητα, ἃ εἰσι τοῦ ἀνθρώπου ἴδια, ὁ αὐτὸς οὗτος ἐνήργει ὡς ἄνθρωπος· ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς, καὶ ἄνθρωπος. Ὅθεν καὶ ἀληθῶς πιστεύεται, ὅτι ὁ αὐτὸς οὗτος εἷς ὢν, ἔχει φυσικὰς ἐνεργείας, τὴν θείαν δηλαδὴ καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ τὴν κτιστὴν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς, ἀληθινὸς καὶ τέλειος ἄνθρωπος, εἷς ὁ αὐτὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, Κύριος Ἰησοῦς Χριστός.

Ἰδοὺ καὶ τὸ ἓν, καὶ τὸ διάφορον τῆς θείας φύσεως πρὸς τὴν θείαν ἐνέργειαν, καὶ τὸ φυσικὸν, καὶ τὸ ἀσύγχυτον, καὶ τὸ ἀδιαίρετον ἅμα ἡ ἁγία σύνοδος ὁμοῦ διὰ τῶν ὀλίγων τούτων ῥημάτων ἐδίδαξεν ἄριστα, καὶ ὅτι τὸ πρὸς ἀλλήλας τε καὶ πρὸς τὰς φύσεις διάφορον τῶν ἐνεργειῶν τοῦ Χριστοῦ, ὅπερ ἐκ τῶν ἀποτελεσμάτων δείκνυται δηλαδὴ, τοῦτο καὶ δύο τὰς ἐνεργείας ἔχειν τὸν ἕνα Χριστὸν δείκνυσιν, οἷα Θεὸν τέλειον καὶ τέλειον ἄνθρωπον, ὥσπερ, φησὶ, καὶ ἡ διαφορὰ τῶν φύσεων δείκνυσι τὸ δύο τὰς τοῦ Χριστοῦ φύσεις εἶναι. Διαφορὰν δὲ γνῶναι τῶν φύσεων ἄλλως οὐκ ἔστιν ἐπὶ Χριστοῦ εἰ μὴ ἐκ τῶν ἐκείνου φυσικῶν, κατὰ τοὺς αὐτοὺς θεολόγους· ὥσπερ καὶ γὰρ τὰ ὑποστατικὰ χαρακτηριστικὰ ὑποστάσεως, οὕτω καὶ τὰ φυσικὰ χαρακτηριστικὰ φύσεως, τῆς τε θείας καὶ τῆς ἀνθρωπείας ὡσαύτως. Φυσικὰ δέ φαμεν τὰ θελήματα, καὶ τὰς ἐνεργείας, οἱ αὐτοὶ καὶ τοῦτό φασι. Ταῦτά τε τοιγαροῦν διὰ τῶν προῤῥηθέντων ἀσφαλῶς θεολογήσαντες οἱ τῆς συνόδου Πατέρες, καὶ δὴ καὶ τὸ ἄκτιστον ὁμοῦ τῆς θείας συν-

A εκφήναντες ἐνεργείας, οὐσιώδη καὶ γὰρ αὐτὴν προσεῖπον, καὶ φυσικὴν, καὶ ἐκ τῆς θείας οὐσίας αὐτὴν προϊέναι, καὶ ἀδιαίρετον αὐτῆς εἶναι, ἅπερ ἐπὶ κτισμάτων οὐκ ἄν ποτε ῥηθείη, οὐδὲ γὰρ πέφυκεν, οὐ μᾶλλον ἢ τὸ ἐκ χιόνος ἐξέρχεσθαι φλόγα, ἔπειτα καὶ ῥητῶς καὶ λέξεσιν αὐταῖς ἐπήνεγκαν τοῦτο, Ὁ Χριστὸς, εἰπόντες, εἷς ὢν, ἔχει φυσικὰς ἐνεργείας, τὴν θείαν δηλαδὴ καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ τὴν κτιστήν. Διὸ καὶ ἡ μετὰ τὴν δευτέραν εἰκονομαχίαν τὰ τῆς αἱρέσεως καθελοῦσα μερικὴ θεία σύνοδος, καὶ λόγοις καὶ πράγμασι κρατύνασα τὴν ὀρθοδοξίαν, οὕτως ἐπ' ἐκκλησίας ἐτησίως ἀνακηρύττεσθαι πρός γε τοῖς ἄλλοις καὶ τὰς τῆς οἰκουμενικῆς συνόδου ταύτης ἐτύπωσε πράξεις· Τοῖς ἀποβαλλομένοις τὰς τῶν ἁγίων Πατέρων φωνὰς B τὰς ἐπὶ συστάσει τῶν ὀρθῶν δογμάτων τῆς τοῦ Θεοῦ Ἐκκλησίας Ἀθανασίου, Κυρίλλου, Ἀμβροσίου, Ἀμφιλοχίου τοῦ θεηγόρου, Λέοντος τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου τῆς πρεσβυτέρας Ῥώμης, ἔτι τε καὶ τὰ τῶν οἰκουμενικῶν συνόδων Πρακτικὰ, τῆς τετάρτης τέ φημι, καὶ τῆς ἕκτης, μὴ κατασπαζομένοις, ἀνάθεμα.

Τούτων δ' οὕτως ἐχόντων, καὶ οὕτω μὲν τῶν οἰκουμενικῶν συνόδων συνδεδεμένων οἱονεὶ καὶ συμπεφυκυιῶν ἀῤῥήκτως ἀλλήλαις, καὶ τὰ αὐτὰ συμπνεουσῶν ἑαυταῖς τε καὶ τῷ κινοῦντι παντοδυνάμῳ τοῦ Θεοῦ Πνεύματι, καὶ δὴ καὶ τῶν μετ' ἐκείνας ὁμοφυῶν τε καὶ σύμπνων τουτωνὶ Πατέρων καὶ διδασκάλων, οὕτω θεοπνεύστως τε καὶ φρικτῶς τάς τε C πράξεις ἀνακηρυττόντων ἐτησίως ἐπ' ἐκκλησίαις ἐκείνων, καὶ τοὺς ἐκείνας μὴ κατασπαζομένους ἀποβαλλομένων τε καὶ τῷ ἀναθέματι καθυποβαλλόντων, ἔτι Γρηγορᾶς, εἰπέ μοι, καὶ Νίφων, καὶ Δεξιὸς, καὶ εἴ τις ἕτερος κατ' ἐκείνους, τὸν συνοδικὸν αἰτιάσονται τόμον, ἢ τὸν δεῖνά τε καὶ τὸν δεῖνα, τοὺς τῆς συνόδου τε καὶ τῆς ἱερᾶς Ἐκκλησίας προεστηκότας, ἐπειδὴ μετὰ τὰς πολλὰς συνόδους, καὶ τὰς μακρὰς καὶ συνεχεῖς διαλέξεις, καὶ τοὺς πολλοὺς καὶ καλοὺς λόγους, καὶ τὸν χρόνον, καὶ τὴν διὰ λόγων τε καὶ πραγμάτων διάπειραν, Βαρλαὰμ τε καὶ Ἀκινδύνῳ τοῖς πρώτοις μυσταγωγοῖς αὐτῶν καὶ αἱρεσιάρχαις, καὶ συναπεκήρυξαν, καὶ τῷ ἀναθέματι καθυπέβαλον τοὺς ἀπειθοῦντας διὰ τέλους καὶ πολεμοῦντας τῇ κατ' εὐσέβειαν ἀληθείᾳ τοῖς θείοις ἐκείνοις ἀκολου- C θοῦντες Πατράσι; Καὶ πῶς οὐ κἀνταῦθα καὶ συκοφαντοῦντες, καὶ ἀδικοῦντες ἡμᾶς ἔσονται, καθὰ δήπου κἂν τῷ τῆς πίστεως λόγῳ; Οὐδὲ γὰρ ὅρον ἐξ ἑαυτῶν ἐκτεθεικότες πίστεως οἱ τῆς καθ' ἡμᾶς συνόδου Πατέρες, ἔπειτα τοὺς μὴ πειθομένους ἐκείνῳ τῇ καταδίκῃ καὶ ταῖς φρικώδεσιν ἐκείναις ἀραῖς ὑπέβαλον, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ τὸν τῆς πίστεως ὅρον προτεθεικότες, καὶ τοὺς κοινοὺς τῆς Ἐκκλησίας κανόνας, φημὶ δὴ τὰς ἱερὰς ἐκείνας τῶν Πατέρων συνόδους, τοὺς ἀπειθοῦντας ἐκείναις εἰς τέλος, οὐχ ἡμεῖς, ἀλλ' ἐκεῖναι μᾶλλον, καθάπερ πάλαι καὶ νῦν ἀποκηρύξασαι, τῷ ἀναθέματι καθυπέβαλον. Ἃ δὴ καὶ ἡ καθ' ἡμᾶς τῶν Πατέρων συνεξέφηνε σύνοδος, ἱερέων τε καὶ ἀγγέλων Θεοῦ πεποιηκότες ἔργον, καὶ τὴν οἰκείαν τετηρηκότες τάξιν τε καὶ τὸ σχῆμα,

Digitized by Google

καθάπερ ἔδει, ἐπειδή γε καὶ ἄγγελος Κυρίου παντοκράτορός ἐστιν ὁ ἱερεὺς, ὅ φασι τὰ ἱερὰ λόγια, καὶ ὁ σοφὸς Διονύσιος, Ἐξαγγελτικὸς, φησὶν, ἔστιν ὁ ἱερεὺς τῶν θείων χριμάτων, ἀγγέλου δὲ ἀρετὴ τὸ ἐξαγγέλλειν ἀνοθεύτως τε καὶ καθαρῶς τὸ τοῦ πέμποντος βούλημα, ὥσπερ αὖ καὶ κακία τὸ παραχαράττειν τε καὶ νοθεύειν, εἰσάγοντα δηλαδὴ τὰ παρ' ἑαυτοῦ, ὃν μηδὲ ἱερέα, μηδὲ ἄγγελον τῶν θείων χριμάτων εἶναι δεῖν ἀξιοῦν, ἀλλὰ ψεύστην τινὰ καὶ ἀπατεῶνα, καὶ τοῦ Θεοῦ ἀλιτήριον, ὁ προῤῥηθεὶς ἀπεφήνατο θεολόγος. Ἅπερ ἡμεῖς μήτε παθεῖν, μήτε ἀκοῦσαι βουλόμενοι, τοὺς δοθέντας ἡμῖν θείους χρησμοὺς, καὶ τὰς τῶν Πατέρων θεολογίας τε καὶ τὰς ἀποφάσεις, κατὰ θείους ἐξηγγείλαμεν νόμους. Ὅθεν οὐδὲ παρὰ τῆς ἡμῶν ἱερᾶς συνόδου τε καὶ τοῦ τόμου τοῖς ἀπειθοῦσιν ἥ τε ἀποκήρυξις αὕτη, καὶ ἡ φρικώδης ἀρὰ, ἀλλὰ παρὰ τῆς οἰκουμενικῆς ἐκείνης συνόδου, καὶ δὴ καὶ τῶν μετ' ἐκείνην θείων Πατέρων, ὅσοι τε τὰς αὐτῆς πράξεις ἐκύρωσαν, καὶ ὅσοι τοὺς μὴ κατασπαζομένους ἐκείνας τῷ γε ἐπ' ἐκκλησίας ἐτησίως ὑπέθηκαν ἀναθέματι, καθὰ δὴ καὶ φθάσαντες ἡμᾶς διὰ τοῦ λόγου αὐτῶν ἐδίδαξαν· μᾶλλον δὲ οὐχ αἱ μετ' ἐκείνην τὴν σύνοδον μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνης ὁμοῦ πᾶσαι, καθὰ δὴ καὶ προὔφην, ἐπειδὴ καὶ σύμφωνοι πᾶσαι ἀλλήλαις, καὶ τὰ αὐτὰ καὶ φρονοῦσαι, καὶ λέγουσαι, καὶ πρεσβεύουσαι, καὶ τὰ ἀλλήλων πως ἂν εἴποις κυροῦσαι, καὶ μεθ' ὅσης τῆς ἀξιώσεως, ἅτε δὴ καὶ τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ λαλοῦντος ἐν πάσαις. Καὶ πῶς ἂν ἀποδράσῃ τις ἀπειθῶν τὴν δίκην ἐκείνην, οὐ παρὰ τῆς συνόδου ταυτησὶ, καὶ τοῦ τόμου κατά γε τὰς ἀλόγους τινῶν ὑπολήψεις, ἀλλὰ παρὰ πασῶν ὁμοῦ τῶν οἰκουμενικῶν ἐξενηνεγμένην συνόδων, οὐχ ἑπτάκις μόνον, οὐδὲ δίς τε καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις τοῦτο, ἐπειδὴ καὶ καθεκάστην ἐκείνων αἱ πᾶσαι καὶ κηρύττουσιν ἅμα τὰ δεδογμένα πάσαις καλῶς, καὶ ἀνακηρύττουσι τοὺς ταῦτα φρονοῦντας, καὶ δὴ καὶ τοὺς ἀντιλέγοντας ἀποκηρύττουσιν ἐξ ἐφαμίλλου φοβερῶς ὁμοῦ πᾶσαι; Ἀγνοῶ δὲ καὶ πῶς τῇ τοῦ Χριστοῦ μοίρᾳ, καὶ τῇ καθολικῇ τε καὶ ἀποστολικῇ Ἐκκλησίᾳ συγκαταλέγειν ἑαυτοὺς ἀξιοῦσι, καὶ τοῦ προτερήματος κοινωνεῖν, καὶ τῆς ἀξίας οἱ περὶ τὰ καιριώτατά τε καὶ κράτιστα καὶ αὐτά φημι τὰ τῆς πίστεως ἀξιώματα, καὶ τοὺς ὅρους, ταῦτα καὶ γὰρ αἱ οἰκουμενικαὶ πᾶσαι ὁμοῦ σύνοδοι, καθὰ δὴ καὶ αὐτὸς ἔφην πολλάκις, ὡς καὶ πᾶν τοὐναντίον ἐκείναις περὶ τὸ ἡνωμένον τε καὶ διακεκριμένον τῆς θεολογίας δοξάζειν, μᾶλλον δὲ οὐ μόνον τἀναντία καὶ φρονεῖν, καὶ δοξάζειν, ἀλλὰ καὶ πόλεμον πρὸς ἐκείνας, καὶ δι' ἐκείνων πρὸς τὸν Θεὸν, καὶ Δεσπότην ἐκείνων, καὶ τὴν αὐτοῦ Ἐκκλησίαν οὕτως ὑπερφυᾶ τε καὶ ἄτοπον ὑπὲρ αὐτῶν, ἢ κατ' αὐτῶν μᾶλλον εἰπεῖν, ἄρασθαι. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Τοιαύτη μὲν ἡ εὐαγγελική τε καὶ ἀποστολικὴ παράδοσις ἄνωθεν περί τε τοῦ ἡνωμένου καὶ διακεκριμένου τῆς θεότητος, ἀλλὰ δὴ καὶ περὶ διαφορᾶς ἰδικῶς θείας οὐσίας καὶ ἐνεργείας, τὰ μὲν δι' ἑαυτῶν, τὰ δὲ καὶ διὰ τῶν αὐτῶν ὁμιλητῶν τε καὶ διαδόχων, Ἱεροθέου φημὶ καὶ Διονυσίου, οἱ τὰς θείας ἐκφαντορίας ἐκεῖθεν παραλαβόντες ὥσπερ τινὰ κανόνα κάλλιστον ἀληθείας, τὰ γὰρ αὐτῶν ἐκείνων καὶ αὖθις ἐρῶ, οὕτω τὰ ἐκεῖ κείμενα φρουρεῖν ἐν ἑαυτοῖς ἀπλήθυντα, καὶ ἀμείωτα, καὶ ἀπαράτρεπτα σπεύδουσιν, ὡς κἀκεῖνο θαῤῥῆσαι μετὰ πλείστης ὅσης τῆς ἀξιώσεως προσθεῖναι τῷ αὐτῶν λόγῳ, καθὰ δὴ καὶ ἀνωτέρω φθάσαντες εἴπον, φημὶ δὴ τὸ, Οὕτως ἡμεῖς τὰ θεῖα καὶ ἑνοῦν τῷ λόγῳ, καὶ διακρίνειν σπεύδομεν, ὡς αὐτὰ τὰ θεῖα καὶ ἥνωται, καὶ διακέκριται.

Καὶ τοιαῦτα μὲν τὰ τῶν λογίων, καὶ οὕτω σαφῆ τε καὶ εὐδιάκριτα, καὶ τὸ ποικίλον ἅπαν καὶ ἀσαφὲς κατ' αὐτοὺς τούτους ἀπαναινόμενα, οἷς δήπου καὶ οἱ μετ' ἐκείνους ἄχρι τῶν θεολόγων, ἐν ταῖς ἐξηγήσεσι τῶν αὐτῶν, ἄριστα καὶ ὡς οὐκ ἄν τις ἐνθυμηθείη, συνεῖπον. Τοιαῦτα δὲ καὶ οἱ μετὰ τὰ σεπτά φημι λόγια τῆς εὐσεβείας ὅροι τε καὶ κανόνες, αἱ οἰκουμενικαὶ δηλαδὴ σύνοδοι, περὶ τῶν αὐτῶν ὡσαύτως καὶ σκοποῦσι, καὶ κανονίζουσι, καὶ νομοθετοῦσι τὴν Ἐκκλησίαν. Δεῖ δὲ καὶ τῶν αὐτῶν διδασκάλων, οἶμαι, καὶ θεολόγων αὖθις ἐκ πολλῶν ὀλίγα ἄττα προσθεῖναι τοῖς εἰρημένοις, καὶ οὕτω διὰ πάντων τρανῶς τὴν συμφωνίαν δείξαντα πάντων, τὸ συνεχὲς τό γε νῦν εἶναι διακόψαι τοῦ λόγου. Ἀλλ' Ἰουστῖνος ὁ φιλόσοφός τε καὶ μάρτυς πρὸ τῶν ἄλλων αὖθις παρίτω τῷ λόγῳ, πλατύτερον ὑποδείξων τὴν διαφορὰν τῆς θείας ἐνεργείας πρὸς τὴν θείαν οὐσίαν, ἐπειδὴ καὶ κατ' ἐπιδρομήν πως καὶ ἀπὸ μέρους ἥψατο τῶν αὐτοῦ λόγων διὰ συντομίαν ὁ τῶν Πατέρων ἱερὸς τόμος. Παρίτω τοιγαροῦν ἐκεῖνος, διδάσκαλος ὢν ἀρχαῖος τῆς Ἐκκλησίας, τοῖς διαδόχοις μαθητεύσας τῶν ἱερῶν ἀποστόλων, σοφός τε καὶ μάρτυς, καὶ πανταχόθεν εἴπερ τις κεκτημένος τὸ ἀξιόπιστον. Φησὶ τοιγαροῦν ὁ τοῦ Χριστοῦ μάρτυς, πρὸς Ἕλληνας τότε διαλεγόμενος· Εἰ τῷ εἶναι, καὶ οὐ τῷ βούλεσθαι ποιεῖ ὁ Θεὸς, οἷον θερμαίνει τὸ πῦρ τῷ εἶναι, πῶς τὸ μὲν ἕν ἐστι καὶ ἁπλοῦν καὶ μονοειδὲς, διαφόρων δὲ οὐσιῶν ἐστι ποιητής; Πρὸς δὴ τοῦτο παῖδες Ἑλλήνων ἀποκρινόμενοι, τοιάδε φασὶν, Οὐκ οἰητέον ὥσπερ ἐν ἡμῖν ἄλλο μέν ἐστι τὸ εἶναι, ἄλλο δὲ τὸ βούλεσθαι, οὕτω καὶ ἐν τῷ Θεῷ· ἀλλὰ τὸ αὐτὸ ἀντικρυς ὑπάρχει τὸ εἶναι, καὶ τὸ βούλεσθαι ἐν τῷ Θεῷ. Ὁ γὰρ ἔστι, καὶ βούλεται, καὶ ὃ βούλεται, καὶ ἔστι· καὶ οὐδεμία διαίρεσις ἐπὶ τοῦ Θεοῦ, διὰ τὸ αὐτοπάρακτον εἶναι τὸν Θεόν. Ὥστε καὶ τὴν διαίρεσιν τοῦ εἶναι πρὸς τὸ βούλεσθαι ἐπὶ τοῦ Θεοῦ ἀποῤῥιπτέον. Καὶ τοιαῦτα μὲν ἐκεῖνοι συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὰ ὑπ' αὐτοῦ κτισθέντα, κακῶς συνάγοντες· Ἕλληνες γάρ. Ἀκούσωμεν δὲ ὅπως αὐτοὺς ὁ τοῦ Χριστοῦ μαθητὴς οὗτοσὶ ψευδομένους ἐλέγχει διὰ βραχέων καλῶς. Αὐτὰ δὲ ταῦτα καὶ ὁ Ἰουλιανὸς, ὁ τῆς κατ' εὐσέβειαν ἀληθείας τὸ τοῦ Ἑλληνισμοῦ ψεῦδος καὶ τὴν ἀσέβειαν κακῶς ἀλλαξάμενος, ἐν τῷ ἐγκωμίῳ φησὶ τοῦ ἰδίου Θεοῦ, τὸν ἥλιον κακῶς ἀνυμνῶν.

Τοῦ Θεοῦ, φησὶν ὁ θεῖος Ἰουστῖνος, ἔχοντος οὐσίαν μὲν πρὸς ὕπαρξιν, βούλησιν δὲ πρὸς ποίησιν, ὁ ἀποῤῥίπτων οὐσίας καὶ βουλῆς τὴν διαφορὰν, καὶ τὴν ὕπαρξιν ἀποῤῥίπτει τοῦ Θεοῦ καὶ τὴν ποίησιν, ὕπαρξιν μὲν τὴν αὐτοῦ, ποίησιν δὲ τῶν οὐκ ὄντων. Καὶ πάλιν· Εἰ ἄλλο τὸ ὑπάρχειν, καὶ ἄλλο τὸ ἐνυπάρ-



Digitized by Google

χειν, καὶ ὑπάρχει μὲν τοῦ Θεοῦ ἡ οὐσία, ἐνυπάρχει δὲ ἡ βουλή, ἄλλη ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καὶ ἄλλη ἡ βουλή. Καὶ αὖθις· Τὸ βούλεσθαι ἢ οὐσία ἐστὶν, ἢ πρόσεστι τῇ οὐσίᾳ. Ἀλλ' εἰ μὲν οὐσία ἐστὶν, οὐκ ἔστιν ὁ βουλόμενος· εἰ δὲ πρόσεστι τῇ οὐσίᾳ, ἐξ ἀνάγκης ἄλλο καὶ ἄλλο ἐστίν. Οὐκ ἔστι γὰρ τὸ ὂν καὶ τὸ προσὸν ταυτόν. Καὶ πάλιν· Εἰ πολλὰ μὲν βούλεται ὁ Θεὸς, πολλὰ δὲ οὐκ ἔστι, οὐκ ἄρα ταυτὸν παρὰ Θεῷ τὸ εἶναι καὶ τὸ βούλεσθαι. Καὶ τοιαῦτα μὲν ὁ διδάσκαλος. Ὅτι δὲ τὸ βούλεσθαι καὶ ἡ βουλὴ ἐνέργεια καὶ κίνησίς ἐστι φυσικὴ, κἀκ πολλῶν μὲν ἑτέρων δῆλον· δείκνυσι δὲ αὐτὸ τοῦτο καὶ ὁ θεσπέσιος Ἰωάννης, ὁ Σύρος φημὶ, ἐν ἕκτῳ καὶ τριακοστῷ κεφαλαίῳ τῶν Θεολογικῶν, ὃ δὴ καὶ ὁ τῶν Πατέρων φθάσας ἐδήλωσε τόμος.

Κύριλλος δὲ ὁ σοφὸς κατ' ἐπίνοιαν ἐπὶ Θεοῦ φησι τὸ συμβεβηκός. Οὐ γὰρ οὐσία τὸ ἀγέννητον, ἢ τὸ ἄφθαρτον, ἢ τὸ ἀθάνατον, ἢ τὸ ἀόρατον. Εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεὸς ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται. Εἰ τοίνυν οὐχ ὅσα προσεῖναι λέγεται κατὰ φύσιν τῷ Θεῷ, ταῦτα πάντα ἔσται αὐτῷ καὶ οὐσία, λείπεται λέγειν αὐτῇ τῇ οὐσίᾳ συμβεβηκέναι, μέχρι μόνης φωνῆς οὕτω νοούμενα· οὐκ ἔχει γὰρ ἡ ἀνθρώπου φύσις μεῖζόν τι τῶν καθ' ἑαυτὴν λέγειν ἐπὶ Θεοῦ. Ἃ δὴ τοῖς ἰδίοις ἤθεσιν ἐπ' αὐτοῦ κεχρήμεθα, τὰ καθ' ἑαυτοὺς μειζόνων ὑποδείγματα ποιούμενοι, ὥσπερ οἱ ἐν μικρῷ πίνακι οὐράνιον καταγράφοντες κύκλον.

Εἰ δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ οὐδεὶς ἀντερεῖ ποτε λόγος, πρόδηλον, ὡς ἡ μὲν Ἐκκλησία, τὸ διάφορον καὶ εἰδυῖα τῆς τοῦ Θεοῦ οὐσίας καὶ ἐνεργείας, καὶ κηρύττουσα καλῶς τε καὶ εὐσεβῶς, μετὰ τῶν μαθητῶν ἕστηκε τῶν τοῦ Χριστοῦ, καὶ αὐτοῦ δέ φημι τούτου τοῦ μόνου καθηγητοῦ ταύτης τε κἀκείνων· οἱ δ' ἐκεῖνα κακῶς εἰδότες καὶ λέγοντες βλασφημοῦσιν ἄντικρυς εἰς Χριστὸν, Ἰουλιανῷ τε καὶ Ἕλλησιν ἑαυτοὺς συντάξαντες κάκιστα. Βασίλειος μὲν οὖν ὁ μέγας πρὸς Εὐνόμιον τὸν Ἀρείου διάδοχον γράφων, Δυνάμεως, φησὶ, καὶ σοφίας καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς, ἐνδεικτικά ἐστι τὰ ποιήματα, καὶ οὐδὲ αὐτὴν πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησιν. Ἐνδεχόμενόν ποτε τὸν τεχνίτην μὴ πᾶσαν ἑαυτοῦ τὴν ἰσχὺν ἐναποθέσθαι ταῖς ἐνεργείαις, ἀλλ' ὑφειμένοις πολλάκις ἐπὶ τῶν ἔργων τῆς τέχνης τοῖς τόνοις χρήσασθαι. Εἰ δὲ καὶ ὅλην τὴν δύναμιν ἐπὶ τὸ ἔργον ἀνακινήσειε, καὶ οὕτως ἂν ὑπάρχοι τὴν ἰσχὺν αὐτοῦ διὰ τῶν ἔργων ἀναμετρεῖσθαι, οὐχὶ δὲ τὴν οὐσίαν, ἥτις ποτέ ἐστι καταλαμβάνεσθαι. Πρὸς δ' Ἀμφιλόχιον τὸν ἱερὸν ἐπιστέλλων αὖθις, Τοσούτων, φησὶ, τῶν ἀπηριθμημένων ὄντων, περὶ τὸν Θεὸν δηλονότι, πότερον ταῦτα μιᾶς οὐσίας ὀνόματα, καὶ ἰσοδυναμεῖ ἀλλήλοις τὸ φοβερὸν αὐτοῦ, καὶ τὸ φιλάνθρωπον, καὶ τὸ δίκαιον, καὶ τὸ δημιουργικὸν, τὸ προγνωστικὸν, καὶ τὸ ἀνταποδοτικὸν, τὸ μεγαλεῖον, καὶ τὸ προνοητικὸν, ἢ ὅπερ ἂν τούτων εἴπωμεν, οὐ τὴν οὐσίαν δηλοῦμεν; Εἴπερ γὰρ τοῦτο λέγουσι, μὴ ἐρωτάτωσαν, εἰ τὴν οὐσίαν οἴδαμεν τοῦ Θεοῦ, ἀλλὰ πυνθανέσθωσαν ἡμῶν, εἰ φοβερὸν οἴδαμεν τὸν Θεὸν, ἢ δίκαιον, ἢ φιλάνθρωπον. Ταῦτα ὁμολογοῦμεν εἰδέναι. Εἰ δὲ ἄλλο τι λέγουσι τὴν οὐσίαν, μὴ παραλογιζέσθωσαν ἡμᾶς διὰ τῆς ἁπλότητος. Αὐτοὶ γὰρ ὡμολόγησαν ἄλλο καὶ ἄλλο εἶναι τήν τε οὐσίαν, καὶ τῶν ἀπηριθμημένων ἕκαστον, ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἐκ μὲν τῶν ἐνεργειῶν γινώσκειν λέγομεν τὸν Θεὸν ἡμῶν, τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν ἐνέργειαι αὐτοῦ πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος. Καὶ αὖθις· Εἴπερ εἰς τὴν οὐσίαν ἅπαντα φέροντες τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐχὶ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι. Καὶ πάλιν· Ἄλλο μὲν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Ὁ δὲ τῆς θεολογίας ἐπώνυμος, Γρηγόριος ὁ μέγας φημὶ, Ἢ καὶ τὸ ἀθάνατον, φησὶ πρὸς Ἀρειανούς, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ· ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον. Οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι. Καὶ πάλιν· Οὐ γὰρ δὴ τοῦτο φύσις αὐτῷ ἡ ἁπλότης, εἴπερ μηδὲ τοῖς συνθέτοις τὸ εἶναι μόνον συνθέτοις. Καὶ αὖθις· Ἄλλο γεννῶν καὶ γέννησις, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν· τὰ μὲν ὁ κινούμενος, τὰ δὲ οἷον ἡ κίνησις. Τί δὲ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος πρὸς τὸν αὐτόν φησι γράφων Εὐνόμιον; Καθάπερ τοίνυν, φησὶ, κριτὴν, ἢ μακρόθυμον παρὰ τοῦ Δαβὶδ εἶναι τὸν Θεὸν διδαχθέντες, οὐ τὴν θείαν οὐσίαν, ἀλλὰ τί χρὴ περὶ τὸ ὑποκείμενον νοεῖν ἐδιδάχθημεν, τὸ δὲ κατ' οὐσίαν ὅτιπέρ ἐστιν, οὐδὲν ἧττον ἐν ἀδήλῳ μένει, οὕτω καὶ τῆς ἁγίας Γραφῆς, τὰ μὲν λοιπὰ τῶν θείων ὀνομάτων κατὰ τοῦ ὄντος κατηγορούσης, αὐτὸ δὲ τὸ ὂν ἀκατονόμαστον τῷ Μωϋσεῖ παραδεικνύσης. Ὁ τοίνυν τοῦ ὄντος ἐκκαλύπτων τὴν φύσιν μὴ τὰ περὶ τὸ ὂν διεξιέτω, ἀλλ' αὐτὴν ἡμῖν φανερούτω δι' ὧν λέγει τὴν φύσιν. Πᾶν γὰρ ὅ τιπερ ἂν εἴποις ὄνομα, περὶ τὸ ὂν ἐστιν, οὐκ ἐκεῖνό ἐστιν, ἀγαθὸς, ἀγέννητος, ἄφθαρτος· ἀλλὰ τὸ ἔστιν ἑκάστου τούτων οὐκ ἀπολείπεται. Τούτου τοίνυν τοῦ ὄντος ἀγαθοῦ, καὶ ὄντος ἀγεννήτου, καθό ἐστι τὸν λόγον τις ἀποδώσειν ἐπαγγειλάμενος, μάταιος ἂν εἴη, τὰ μὲν ἐπιθεωρούμενα λέγων, αὐτὴν δὲ σιωπῶν τὴν οὐσίαν ἣν ἑρμηνεύειν τῷ λόγῳ κατεπαγγέλλεται. Τὸ γὰρ ἀγεννήτως εἶναι ἓν τῶν ἐπιθεωρουμένων ἐστὶ τῷ ὄντι. Ἄλλος δὲ τοῦ εἶναι, καὶ ἄλλος τοῦ πῶς εἶναι ὁ λόγος, ὃ μέχρι τοῦ νῦν ἄρρητόν τε καὶ ἀνερμήνευτον ἐκ τῶν εἰρημένων ἐστί. Καὶ πάλιν πρὸς τὸν αὐτόν· Ἡ κυριότης οὐχὶ οὐσίας ὄνομα, ἀλλ' ἐξουσίας ἐστὶ, καὶ ἡ τοῦ Χριστοῦ προσηγορία τὴν βασιλείαν ἐνδείκνυται. Ἄλλος δὲ τῆς βασιλείας, καὶ ἕτερος ὁ τῆς φύσεως λόγος.

Κύριλλος δὲ ὁ μέγας, τῶν περὶ τὴν θείαν φύσιν ὀνομάτων τε καὶ ἰδιωμάτων καὶ ἐνεργειῶν τούτων μνησθεὶς ἐν τοῖς Θησαυροῖς, οὕτω φησίν· Οὐδὲν ἐπίκτητον τῶν θείων ἰδιωμάτων. Ἐκ μέντοι τῶν ἀποτελεσμάτων, δηλαδὴ τῶν κτισμάτων, κατὰ τὰς

Digitized by Google

ἐνεργείας ταύτας, ἀλλ' οὐ κατ' οὐσίαν ὁ Θεὸς ὁρᾶται. A Ὅτι δὲ ἄλλο ἡ θεία οὐσία, καὶ ἕτερον ἡ ἐνέργεια, φανερώτερον δεικνὺς ὁ αὐτὸς, ὃ δὴ καὶ ὁ συνοδικὸς τόμος ἤδη φθάσας ὑπέδειξεν, οὕτω φησὶν ἐν τοῖς αὐτοῖς Θησαυροῖς· Τὸ μὲν ποιεῖν ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν. Φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν. Οὐκ ἄρα τῷ γεννᾷν τὸ ποιεῖν ταυτὸν ἔσται.

Τούτῳ καὶ ὁ Δαμασκηνὸς θεῖος Ἰωάννης ἑπόμενος ἄλλο τὴν ἐνέργειαν εἶναι καὶ ἄλλο τὴν θείαν φύσιν ἐθεολόγησεν, οὕτως εἰπών· Δύο τὰς ἐνεργείας φαμὲν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἶχε γὰρ ὡς Θεὸς καὶ τῷ Πατρὶ ὁμοούσιος τὴν θείαν ἐνέργειαν, καὶ ὡς ἄνθρωπος γενόμενος καὶ ἡμῖν ὁμοούσιος τῆς ἀνθρωπίνης φύσεως τὴν ἐνέργειαν. Ἰστέον δὲ, ὡς ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνερ- B γητικὸν, καὶ ἄλλο ἐνέργημα. Ἐνέργεια μὲν οὖν ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα. Καὶ πάλιν· Ἕτερόν ἐστι θέλησις, καὶ ἕτερον τὸ θελητικόν. Θέλησις μὲν γὰρ ἡ τοῦ θέλειν δύναμις· θελητικὸν δὲ τὸ τὴν θέλησιν ἔχον. Καὶ πάλιν ὁ αὐτός· Εἰ πᾶσα ἐνέργεια φύσεως οὐσιώδης ὁρίζεται κίνησις, ποῦ φύσιν τις οἶδεν ἀκίνητον ἢ παντελῶς ἀνενέργητον, ἢ ἐνέργειαν εὕρηκεν οὐ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; Καὶ αὖθις· Ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ἐκ τῆς ταυτότητος τῆς ἐνεργείας καὶ τοῦ θελήματος τὴν ταυτότητα τῆς φύσεως ἐπιγινώσκομεν. Καὶ πάλιν· Ὧν C ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτή, τούτων καὶ ἡ οὐσία ἡ αὐτή· ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἡ ἐνέργεια, τούτων καὶ ἡ οὐσία διάφορος. Καὶ αὖθις· Φυσικὰ δέ φαμεν τὰ θελήματα καὶ τὰς ἐνεργείας, λέγω αὐτὴν τὴν θελητικὴν καὶ ἐνεργητικὴν δύναμιν, καθ' ἣν θέλουσι, καὶ ἐνεργοῦσι τὰ θέλοντα καὶ ἐνεργοῦντα.

Καιρὸς δ' ἂν εἴη λοιπὸν καὶ τὸν μέγαν ἀγωνιστήν τε καὶ ὁμολογητὴν τῆς εὐσεβείας ταυτησὶ καὶ θεολογίας, Μάξιμόν φημι τὸν σοφὸν, παρελθεῖν καὶ αὖθις τῷ λόγῳ, καὶ ὥσπερ ἐπισφραγίσαι τοῖς ἑαυτοῦ λόγοις τὰ τοῖς θεολόγοις ἤδη ῥηθέντα Πατράσι καὶ διδασκάλοις, ἵν' ἅπερ αἵμασιν ὑπέγραψε πρότερον, καὶ νῦν ὥσπερ ὑπογράψῃ τοῖς γράμμασι, μᾶλλον δὲ καὶ τότε, καὶ νῦν, καὶ αἵμασιν ἰδίοις ὡσαύτως, καὶ γράμμασι. Φησὶ τοιγαροῦν ὁ μέγας, ἐπὶ σεκρέτου διαλεγόμε- D νος· Πάντως ἀνάγκη ἐπὶ Χριστοῦ θελήσεις λέγεσθαι καὶ ἐνεργείας, καὶ πᾶσα ἀνάγκη· οὐδὲν γὰρ τῶν ὄντων χωρὶς ἐνεργείας φυσικῆς ὑφέστηκεν· οἱ γὰρ ἅγιοι Πατέρες φανερῶς λέγουσι μήτε εἶναι, μήτε γινώσκεσθαι χωρὶς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τὴν οἱανδήτινα φύσιν. Καὶ πάλιν· Καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν ὁ Χριστὸς, ἤγουν ὡς ἑκάστη πέφυκεν, ἤθελέ τε καὶ ἐνήργει. Δύο δὲ αἱ φύσεις αὐτοῦ· δύο οὖν πάντως καὶ τὰ φυσικὰ θελήματα, καὶ αἱ τούτων ἰσάριθμοι καὶ οὐσιώδεις ἐνέργειαι. Ἐν δὲ τῷ περὶ ἀγάπης κεφαλαιώδει λόγῳ τοιάδε περὶ τῶν ἰδιωμάτων τῆς θείας φύσεως καὶ τῶν ἐνεργειῶν τούτων φησίν. Οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ, φησὶ, τὸν Θεὸν γινώσκομεν, ἀλλ' ἐκ τῆς μεγαλουργίας καὶ προνοίας τῶν ὄντων. Διὰ τούτων γὰρ ὡς δι' ἐσόπτρων τὴν ἄπειρον ἀγαθότητα καὶ σοφίαν, καὶ δύναμιν κατανοοῦμεν. Καὶ πάλιν· Ἐν τῷ Θεῷ γενόμενος ὁ νοῦς, τοὺς περὶ τῆς οὐσίας αὐτοῦ πρῶτον λόγους ζητεῖ μὲν ὑπὸ τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ' αὐτὸν δὲ τὴν παραμυθίαν εὑρίσκει. Ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γεννητῇ φύσει ἐξ ἴσου. Ἐκ δὲ τῶν περὶ αὐτὸν παραμυθεῖται, λέγω δὴ τῶν περὶ ἀϊδιότητος, ἀπειρίας τε καὶ ἀοριστίας, ἀγαθότητός τε καὶ σοφίας, καὶ δυνάμεως δημιουργικῆς τε καὶ προνοητικῆς καὶ κριτικῆς τῶν ὄντων. Καὶ τοῦτο πάντῃ καταληπτὸν αὐτοῦ μόνον, ἡ ἀπειρία. Καὶ αὖθις· Θεολογεῖν μέλλων, μὴ τοὺς κατ' αὐτὸν ζητήσῃς λόγους· οὐ μὴ γὰρ εὕρῃ ἀνθρώπινος νοῦς· ἀλλ' οὐδὲ ἄλλου τινὸς τῶν μετὰ Θεὸν, ἀλλὰ τοὺς περὶ αὐτὸν ὡς οἷόν τε διασκόπει· οἷον τοὺς περὶ ἀϊδιότητος, ἀπειρίας τε καὶ ἀοριστίας, ἀγαθότητός τε καὶ σοφίας, καὶ δυνάμεως δημιουργικῆς τε καὶ προνοητικῆς, καὶ κριτικῆς τῶν ὄντων· οὗτος γὰρ ἐν ἀνθρώποις μέγας θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς ἐξευρίσκων. Ταῦτα καὶ τὰ τῶν σοφῶν διδασκάλων, καὶ θεολόγων, ὅσον ἀπὸ μέρους φημὶ δεῖξαι τό γε νῦν εἶναι, οὕτω διὰ πάντων κατάλληλα, καὶ συνῳδὰ τοῖς τε λογίοις αὐτοῖς, καὶ δὴ καὶ ταῖς κοιναῖς τῶν ἁγίων συνόδοις. Ἅπερ εἰ Γρηγορᾶς σὺν τοῖς αὐτοῦ μυσταγωγοῖς ἀξίως ἐσκόπει, καὶ μὴ τὰ ἑαυτοῦ, ἀλλὰ τὰ Χριστοῦ καὶ τῆς κατ' αὐτὸν ἱερᾶς θεολογίας ἐζήτει τε καὶ προὐτίθε, οὐκ ἂν εἰρωνικῶς τε καὶ γελοίως ἠρώτα, Πῶς ἡ θεία ἐνέργεια ἐκ τῆς θείας οὐσίας; ἔγνω γὰρ ἂν καλῶς παρ' ἐκείνων τῶν διδασκάλων, ὅτι ὡς φυσικὸν ἐκ τῆς φύσεως, ὥσπερ δὴ καὶ τὸ φῶς ἐκ τοῦ πυρὸς, καὶ ἡ ἀκτὶς ἐκ τοῦ ἡλίου, ὡς τὸ πηγαζόμενον ἐκ τοῦ πηγάζοντος, ὡς ἡ ἐπιστήμη ἐκ τοῦ ἔχοντος αὐτὴν, καὶ τῷ μανθάνοντι μεταδιδομένη, καὶ παρὰ τῷ διδάσκοντι ἀμείωτος μένουσα, ὡς ἡ δύναμις ἐκ τοῦ δυνατοῦ, ὡς ἡ κίνησις ἐκ τοῦ κινοῦντος, ὡς τὸ ὁρᾷν ἐκ τοῦ ὀφθαλμοῦ, ὡς διάνοια ἐκ τοῦ νοῦ, καὶ τὰ παραπλήσια τούτοις κατὰ τοὺς θεολόγους Πατέρας. Τούτων γὰρ ἕκαστον καὶ διακεκριμένον ἐπινοίᾳ ἐστὶν ἐκείνου τοῦ ἐξ οὗ ἐστι, καὶ ἡνωμένον ἀμερίστως κατὰ τὸ ὑποκείμενον, ὥσπερ ἠκούσαμεν.

Ἓν μὲν δὴ καὶ πρῶτον διακρίσεως εἶδος ὁ τῆς καθ' ἡμᾶς ἱερᾶς συνόδου τόμος φησὶ, τῆς θείας οὐσίας δηλονότι πρὸς τὴν θείαν ἐνέργειαν τὸ κατὰ τὸ αἴτιον καὶ τὸ ἐξ αὐτοῦ. Διακρίνονται δὲ ἀλλήλων καὶ τούτοις. Ἡ μὲν θεία ἐνέργεια μετέχεται, ἡ δὲ θεία οὐσία οὐδαμῶς. Ἡ ἐνέργεια μερίζεται ἀμερίστως, ἡ δὲ οὐσία οὐδοπωσοῦν. Ἡ ἐνέργεια ὀνομάζεται, ἡ δὲ οὐσία ἀνώνυμος. Ἡ ἐνέργεια νοεῖταί πως, ἐκ τῶν κτισμάτων δηλονότι· ἡ γε μὴν οὐσία καθάπαξ ἀπερινόητος. Καὶ ταῦτα μὲν ὁ τόμος· ἡμεῖς δέ σοι καὶ τὰ λοιπὰ νῦν ἐφεξῆς τῷ λόγῳ προσθήσομεν, ὅσα δηλαδὴ τῇ ἑαυτοῦ συντομίᾳ χρώμενος ἐκεῖνος παρέλιπε.

Διαφέρει τοιγαροῦν ἡ θεία ἐνέργεια τῆς θείας οὐσίας· ἐπειδὴ ἡ μὲν οὐσία ἁπλῆ ἐστι μόνον, ἡ δὲ ἐνέργεια καὶ ἁπλῆ καὶ ποικίλη· ἁπλῆ μὲν καθ' ἑαυτὴν δηλονότι, ποικίλη δὲ πρὸς τὰς τῶν μετεχόντων

Digitized by Google

διαφορᾶς. Διαφέρουσι πάλιν ἀλλήλων, ὅτι ἡ μὲν οὐσία ὑπέρκειται ὡς οὐσία, καὶ καθ' ἑαυτὴν οὖσα, ἡ δὲ ἐνέργειά ἐστι κατωτέρω, ὡς μὴ καθ' ἑαυτὴν ὑφεστῶσα, ἀλλ' ὡσανεὶ ποιότης ἢ συμβεβηκὸς κατὰ τοὺς θεολόγους Πατέρας, μᾶλλον δ' εἰπεῖν οἰκειότερον, ὡς ἰδίωμα φυσικὸν, ἐν τῇ φύσει τὸ εἶναι ἔχουσα. Ἔτι διαφέρει ἡ θεία οὐσία τῆς θείας ἐνεργείας τῷ τὴν μὲν εἶναι μίαν, τὰς δ' ἐνεργείας πολλάς. Αἱ γὰρ ἐνέργειαι τοῦ Πνεύματος, κατὰ τὸν μέγαν Βασίλειον, ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Τὸ δ' αὐτὸ καὶ ὁ θεῖός φησι Μάξιμος, καὶ Διονύσιος πρὸ τούτων ὁ μέγας. Ἔτι διαφέρει ἡ θεία οὐσία τῆς αὐτῆς ἐνεργείας, ὅτι ἡ μὲν ἐνέργειά ἐστι τὸ χαρακτηρίζον, καὶ δεικνύον τὴν ταύτης οὐσίαν, ἡ οὐσία δ' αὐτὴ τὸ ὑπὸ τῆς ἐνεργείας, ὡς οὐσιώδους καὶ φυσικῆς δεικνύμενόν τε καὶ χαρακτηριζόμενον. Ἀπὸ τῆς ἐνεργείας καὶ γὰρ, φησὶν ὁ σοφὸς Μάξιμος, ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς. Ἔτι διαφέρει ἡ θεία οὐσία τῆς θείας ἐνεργείας κατὰ τὸ ὑπάρχειν, καὶ ἐνυπάρχειν, καὶ εἶναι, καὶ προσεῖναι. Τὰ μὲν γάρ ἐστιν ἡ θεία οὐσία καθ' ἑαυτὴν ὑφεστῶσα· ἐνυπάρχει δὲ καὶ πρόσεστιν ἡ ἐνέργεια. Τὸ δὲ ἄλλο καὶ ἄλλο, καθὰ δὴ καὶ ὁ μέγας Ἰουστῖνος ἤδη φθάσας ἐδίδαξεν, ἄλλο λέγων εἶναι τὸ ὑπάρχειν καὶ τὸ ὂν, καὶ ἄλλο τὸ ἐνυπάρχειν καὶ τὸ προσόν. Ἔτι διαφέρουσιν ἀλλήλων θεία οὐσία καὶ θεία ἐνέργεια, καὶ ὅτι διάφορα τὰ αὐτῶν ἔργα, καὶ οὐ τὰ αὐτά. Ὃ δὴ καὶ ὁ θεοφόρος Δαμασκηνὸς διὰ τοῦ συνοδικοῦ τόμου πρὸ βραχέος ἐδίδαξεν. Ἔργον μὲν γὰρ, φησὶ, θείας φύσεως ἡ προαιώνιος καὶ ἀΐδιος γέννησις, ἔργον δὲ θείας θελήσεως ἡ κτίσις.

Ἔτι διαφέρουσιν ἀλλήλων οὐσία θεία καὶ θεία ἐνέργεια καὶ κατὰ τὸ ἄλλο καὶ ἄλλο εἶναι τὸ δεικνύον καὶ γνωρίζον ταύτην κἀκείνην. Δείκνυσι μὲν γὰρ λανθάνουσαν τὴν οὐσίαν κατὰ τοὺς θεολόγους Πατέρας ἡ ἀδιαιρέτως συνοῦσα ταύτης ἐνέργεια· ταύτην δὲ τὴν θείαν ἐνέργειαν δι' ἑαυτῶν δεικνύει τὰ κτίσματα. Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, φησὶν ὁ Ἀπόστολος. Διὸ καὶ ὁ μέγας ἔφη Βασίλειος, Δυνάμεως, καὶ σοφίας, καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα. Καὶ Μάξιμος ὁ θεῖος αὖθις, Ἀπὸ τῆς ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς.

Ταῦτά γε μὴν καὶ τὰ παραπλήσια τούτοις οὐ τὴν διαφορὰν μόνον τῆς θείας ἐνεργείας πρὸς τὴν θείαν οὐσίαν, ἀλλὰ καὶ τὸ θεῖον, καὶ ἄπειρον, καὶ ἀόρατον, καὶ φυσικὸν, καὶ ἄκτιστον, καὶ δημιουργικὸν, καὶ τὰ θεοπρεπῆ πάντα τῇ τοῦ Θεοῦ ἐνεργείᾳ δι' ὀλίγων προσμαρτυρεῖ.

Ἀλλὰ μακρὰς τινας καὶ πλείους ἀπαιτεῖς τῶν εἰρημένων τὰς ἀποδείξεις; Μάλιστα μὲν καὶ διὰ πολλῶν ταῦτα πάντα παρὰ τῶν θεολόγων ἤδη φθάσαντες ἐδιδάχθημεν, καὶ μάλιστ' ἐν οἷς τὰ ἱερὰ σὺν ἐκείνοις διεσκοπούμεθα λόγια, καὶ δὴ καὶ τῶν συνόδων τὰς οἰκουμενικάς· ἐγὼ δὲ οὐκ ὀκνήσω κἀκεῖνα προσθεῖναι διὰ τῶν ἑξῆς λόγων, καὶ δεῖξαι πλατύτερον τό τε θεῖον τῆς θείας ἐνεργείας, καὶ ἄκτιστον, καὶ τὸ διάφορον καὶ θεοπρεπὲς τῆς θείας μεθέξεως, καὶ τὴν τῶν ἐκθεουμένων ἀῤῥήτως ἱερὰν καὶ ἀπόῤῥητον θέωσιν, ἐπειδὴ καὶ ὁ τῆς συνόδου σεπτὸς τόμος πρὸς αὐτὰ βλέπει. Τούτοις τοὺς ἑαυτοῦ λόγους ὥσπερ εἰς οὐρανὸν τοξεύων ἀντεπεξάγειν ἐτόλμησεν ὁ φιλόσοφος, καὶ τούτοις αὐτοῖς καὶ ἡμεῖς συνηγορήσειν καθόσον οἷόν τε διὰ τῶν πατρικῶν αὖθις λόγων ἄνωθεν ὑπεσχόμεθα. Νῦν δὲ ἀναγκαῖον καὶ τοὺς τῆς ἑνώσεως τρόπους τῆς τε θείας οὐσίας καὶ τῆς αὐτῆς ἐνεργείας δι' ὀλίγων ἐνταῦθα προσθεῖναι, καὶ δεῖξαι τό τε διάφορον καὶ τὸ ἓν ἐπίσης προσὸν, καὶ μηδοτιοῦν ἀλλήλοις ἐν μηδενὶ λυμαινόμενα, ὅπερ ὁ τῶν ἀντιθέων ἀεὶ σπεύδει λόγος, τῷ διακεκριμένῳ τῆς θεολογίας ὥσπερ ἐπιστρατεύων τὸ ἡνωμένον, καὶ δι' ἀλλήλων συγχέων ἑκάτερα. Οὕτω μὲν οὖν κατὰ τοὺς εἰρημένους λόγους διαφέρουσιν ἀλλήλων ἡ τοῦ Θεοῦ οὐσία, καὶ ἡ ταύτης ἐνέργεια, καθ' οὓς δὴ καὶ παρὰ θεολόγων καὶ ἄλλο καὶ ἄλλο εἴρηνται· ὅτι δὲ καὶ καθ' ἑτέρους ἥνωνται λόγους, καὶ διὰ τούτους, καὶ ἕν πως ἔστιν οὐ λέγονται; γνοίης ἂν ὧδε.

Ἕν εἰσιν ἀλλήλαις κατὰ τὸ ἄκτιστον, κατὰ τὸ ἀπερίγραπτον, καθὰ δήπου καὶ Ἀναστάσιος ὁ μέγας ἤδη φθάσας ἐδίδαξεν, Ἔνθα ἂν ἡ ἐνέργεια φανῇ, λέγων, συνθεωρεῖται ταύτῃ καὶ ἡ οὐσία, ἐξ ἧς προέρχεται· ἑκάτερον γὰρ ἀπερίγραπτον, καὶ διὰ τοῦτο παντελῶς ἀλλήλων εἰσὶν ἀχώριστα. Καὶ αὖθις ὁ αὐτός· Ἀλλ' ἡ μὲν διάκρισις ἐπινοίᾳ, ἡ δὲ ἕνωσις πραγματικὴ, ἀχώριστος· περὶ τὸ πᾶν γὰρ, φησὶν, ἡ ἐνέργεια. Ταύτης δὲ ἀχώριστος ἡ οὐσία καθέστηκεν. Ἕν εἰσιν ἀλλήλαις ἡ θεία οὐσία καὶ ἡ ἐνέργεια καὶ κατὰ τὸ ἄπειρον· ἄπειρος γὰρ ὡσαύτως καὶ αὕτη κἀκείνη. Διὸ καὶ ἡ οἰκουμενικὴ πέμπτη σύνοδος οὕτω πώς φησι, περὶ θείας δυνάμεως, εἴτουν ἐνεργείας, ποιουμένη τὸν λόγον· Εἴ τις λέγοι, ἢ ἔχοι τὴν δύναμιν τοῦ Θεοῦ πεπερασμένην, ἀνάθεμα. Ἔτι ἥνωνται ἀλλήλαις οὐσία τε καὶ ἐνέργεια καὶ κατὰ τὸ κοινὰς εἶναι καὶ ἀμφω τῶν τριῶν ὑποστάσεων. Ἕν εἰσιν ἀλλήλαις καὶ κατὰ τὸ πάντη ἀχώριστόν τε καὶ ἀδιάσπαστον. Πρόεισι μὲν γὰρ ἡ ἐνέργεια ἐκ τῆς οὐσίας, ἀλλ' ἀδιαιρέτως, καθὰ δὴ καὶ ἡ οἰκουμενικὴ ἁγία σύνοδος εἴρηκε φθάσασα, καὶ δὴ καὶ πρὸ αὐτῆς ὁ πρὸ αὐτῆς θεῖος Ἀναστάσιος, ὃν καὶ μέγαν αὕτη προσείρηκε, Περὶ τὸ πᾶν ἐστι, φήσας, ἡ ἐνέργεια, ταύτης δὲ ἀχώριστος ἡ θεία οὐσία καθέστηκε. Καὶ πάλιν ὁ αὐτός· Φαίην δὲ ἂν ἔγωγε τῆς τοῦ Θεοῦ φύσεως ἀχώριστον εἶναι τὴν ἐνέργειαν αὐτοῦ. Κατὰ τούτους τοὺς λόγους καὶ τρόπους, τούς τε προτέρους καὶ τοὺς ὑστέρους φημὶ, καὶ δύο, ἤτοι ἄλλο καὶ ἄλλο εἰσὶν ἡ θεία οὐσία καὶ ἡ ἐνέργεια, οὐ πράγματι κατὰ τοὺς θεολόγους Πατέρας, ἀλλ' ἐπινοίᾳ τῆς διαφορᾶς αὐτῶν νοουμένης ἅμα καὶ λεγομένης, καὶ ἕν εἰσιν αὖθις αἱ αὐταὶ, οὐκ ἐπινοίᾳ, ἀλλὰ πράγματι τῆς ἑνώσεως αὐτῶν θεωρουμένης καὶ λεγομένης, καθ' ὃν δήπου λόγον καὶ ὁ μέγας ἔφη Βασίλειος, ὅτι ἐπὶ τῆς ἁπλῆς

καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν λόγον ἐπιδέχεται τῇ οὐσίᾳ ἡ ἐνέργεια.

Καὶ χρὴ τούτοις ἑπόμενον κατὰ πάντα τὸν ἀληθῶς εὐσεβεῖν ᾑρημένον, καὶ τὰς περὶ Θεοῦ ὑπολήψεις ὀρθάς τε καὶ ἀπλανεῖς ἔχοντα, κἀκείνοις καὶ τούτοις ὡσαύτως πείθεσθαι, καὶ τὸ ἡνωμένον τε καὶ διακεκριμένον τῆς θεολογίας ἐξ ἴσης μετὰ τῶν θεολόγων τούτων πρεσβεύειν, ὥσπερ ἕνα, καὶ τρία A τὸν Θεὸν, τὸ μὲν ταῖς ὑποστάσεσι, τὸ δὲ αὖ τῇ οὐσίᾳ πιστεύοντα, οὕτω καὶ ἕνα τι καὶ πολλὰ τὸν αὐτὸν εἰδότα τε, καὶ πιστεύοντα, τὸ μὲν κατ' οὐσίαν καὶ πράγματι, τὸ δὲ κατ' ἐπίνοιαν, ὡς πολλάκις εἶπον οἱ θεολόγοι, ὡς ἕνα καὶ τὸν αὐτὸν, τρισυπόστατον ὄντα Θεὸν, ἐνεργὸν, θελητικὸν, παντοδύναμον· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

---

## ΠΡΟΣ ΤΟΝ ΤΡΙΤΟΝ ΚΑΙ ΤΟΝ ΤΕΤΑΡΤΟΝ ΛΟΓΟΝ

# ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΑ

### ΠΕΡΙ ΜΕΤΟΧΗΣ ΘΕΙΑΣ, ΚΑΙ ΕΝΕΡΓΕΙΑΣ, ΚΑΙ ΧΑΡΙΤΟΣ, ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΚΤΟΣ.

Ἃ μὲν οὖν ὁ τὴν μεμωραμένην σοφίαν περιττός τις οἰόμενος εἶναι φιλόσοφος οὑτοσὶν εἴς τε τὴν κατ' εὐσέβειαν ἱερὰν, καὶ τὸν ταύτης Θεὸν ἄντικρυς ἀναίδην οὕτω, καὶ δίχα φρίκης ὑβρίζει, ἀπὸ τῆς κατὰ τῶν θεολόγων μάχης τῶν τε νῦν ὄντων, τῶν τ' ἐσομένων, πρό τ' ἐόντων, ἐπὶ τὴν ἱερὰν ἐκείνων θεολογίαν, εἶτ' ἐκεῖθεν πρὸς τὴν ἄτοπον χωρήσας θεομαχίαν, καὶ τολμηρᾷ καὶ ἀκρατεῖ γλώττῃ τὴν ὑπὲρ νοῦν ἀθετῶν δύναμιν, καὶ βλασφημίαν εἰς τὸ ὑπερφυὲς ὕψος λαλῶν τοῦ Θεοῦ, ὡς καὶ τὸ τῆς θείας ἐκείνο Γραφῆς μηδὲν εἶναι πρὸς ταῦτα σχεδὸν, τὸ *Θήσω τὸν θρόνον μου ἐπὶ τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ*, παρὰ τῆς ἀρχεκάκου πονηρᾶς εἰρημένον δυνάμεως, οὐ φορτικὸν ἂν εἴη, καὶ μακρὸν μόνον, πάντα κατὰ μέρος ἐφεξῆς προτιθέναι καὶ τοῖς καθέκαστον ἐπεξιέναι τῷ λόγῳ, ἀλλὰ καὶ περιττόν πως, καὶ περίεργον ἅμα, καὶ δὴ καὶ τῶν πατρικῶν καὶ διδασκαλικῶν ἔξω νόμων, καὶ οὐδὲ ῥύπου καὶ κηλῖδος ἂν φαίην ἐκτός. Πῶς γὰρ ἂν εὐσεβὴς ἀκοὴ καὶ γλῶττα συνεχῶς ἐκείνοις ἐξυπηρετοῦσαι δουλεύοιεν; Κἂν εἰ καὶ κατ' ἐκείνων εὐσεβῶς ἑκατέρα λέγοι τε καὶ ἀκούοι, νῦν μὲν τὰ τῶν θεολόγων ἱερὰ παραδείγματα, ὅσα περὶ αἰτίου τέ φημι, καὶ αἰτιατοῦ, καὶ συκοφαντοῦσι, καὶ διαστρέφουσι, καὶ δι' αὐτῶν, καὶ σὺν αὐτοῖς τῷ μεγαλείῳ τῆς θεότητος ἀκρατῶς ἐνυβρίζουσιν, ὑπὲρ ἧς καὶ τοῖς θεολόγοις πάνυ σοφῶς τε καὶ ὑψηλῶς, καὶ φιλανθρώπως ἅμα διὰ τὴν ἡμετέραν ἀσθένειαν τὰ τῶν θεοπρεπῶν εἰκόνων ἐκείνων παρείληπται· νῦν δὲ μηδὲ δύναμιν θείαν, μηδὲ θέλησιν, μηδὲ πρόνοιαν, μηδέ τι τῶν φυσικῶν καὶ ἰδίων τὸν Θεὸν ὅλως κεκτῆσθαι, μᾶλλον δὲ μηδὲ Θεὸν εἰπεῖν συνελόντα πεφυκέναι, ἢ κτιστὸν, καὶ ἠργμένον εἶναι κακῶς δογματίζουσι· νῦν δὲ αὖθις μετὰ πολλῆς τῆς εἰρωνείας τε καὶ τῆς χλεύης τὴν παντοδύναμον καὶ δημιουργὸν τῶν ὅλων θείαν ἐνέργειαν τῷ τοῦ λόγου τῆς εὐσεβείας προμάχῳ, Γρηγορίῳ τῷ πάνυ φημὶ, καὶ Θεῷ δι' ἐκείνου προφέρουσι. Λέγε καὶ γὰρ, φησὶν, ἡ τολμηρὰ γλῶσσα καὶ θεομάχος πρὸς τῶν σῶν ἐνεργειῶν· καὶ αὖθις, Λέγε, φησὶ, τὰς σὰς ἀνουσίους καὶ ἀνυπάρκτους ἐνεργείας τε καὶ θεότητας, καὶ τοῦτο πυκνὰ, καὶ συνεχῶς, καὶ πλειστάκις, ὅπερ οὐδ' ἂν αὐτὸς ὁ πονηρὸς τῆς κακίας ἀρχηγὸς δαίμων εἰπεῖν B ἅπαξ, οἶμαι, τετόλμηκε· μᾶλλον δὲ ἐκεῖνος μὲν, καίτοι γε καὶ σάρκα τὸν Δεσπότην ὁρῶν, καὶ τῆς κεκρυμμένης ὑπ' αὐτὴν ἀστραπῆς τῆς θεότητος μηδοτιοῦν αἰσθέσθαι δυνάμενος ἐκ τῆς παντοδυνάμου καὶ θεοπρεποῦς ἐνεργείας, δι' ἧς ἐκ τῆς ἀνθρωπείας ψυχῆς ἀοράτως ἐκεῖνος ἠλαύνετο, Θεὸν εἶναι καὶ Θεοῦ Υἱὸν τὸν Χριστὸν ἀνεκήρυττεν. Ὁ δὲ Γρηγορᾶς μηδ' ἐξ ἐκείνου γοῦν δυνηθεὶς μαθεῖν, μηδὲ τῆς φυσικῆς τοῦ Θεοῦ δυνάμεως λαβὼν οὐδοτιοῦν αἴσθησιν, καίτοι γε μηδὲ τῆς σαρκὸς καὶ τῆς καθ' ἡμᾶς φύσεως, ὥσπερ κἀκεῖ, προσισταμένων κἀνταῦθα, κατ' αὐτῆς ἵσταται γυμνῇ τῇ κεφαλῇ τῆς μιᾶς τρισυποστάτου θεότητος, διὰ τῆς κατ' αὐτὸν τῶν φυσικῶν τοῦ Θεοῦ ὕβρεώς τε καὶ ἀναιρέσεως Θεὸν ἀτόπως ὑβρίζων, μᾶλλον δὲ τὸ μηδὲ εἶναι Θεὸν μετὰ C τοῦ ἄφρονος ἐκείνου κατασκευάζων, ὃς, κατὰ τὸν θεοφόρον Δαβὶδ εἶπεν, *Ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός*.

Ἐκεῖνα μὲν οὖν ἱκανῶς ἔν γε τοῖς προλαβοῦσιν εἰρήσθω. Ὅ τε γὰρ περὶ θείας ἑνώσεώς τε καὶ διακρίσεως ἀρκούντως τοῖς θεολόγοις ἀποδέδοται λόγος, καὶ τὸ τῆς θείας ἐνεργείας θεοπρεπές τε καὶ ἄκτιστον, τὸ μὲν δέδεικται, τὸ δὲ μετ' ὀλίγον αὖθις δειχθήσεται. Οὐ μὴν ἀλλὰ καὶ ἃ Γρηγορᾶς ἔδοξε λέγειν, καὶ ἀντιλέγειν ἐκείνοις, οὐχ ἱκανῶς ὑπὸ τῆς ἐκείνων οἶμαι διαλελύσθαι μόνον θεολογίας καὶ μούσης, ἀλλὰ καὶ κατὰ τῆς τοῦ λέγοντος εὖ μάλα κεφαλῆς τε καὶ διανοίας καλῶς ἀντεστράφθαι, ὡς μηδὲ λέγειν ἔτ' ἔχειν πρὸς ταῦτα, μηδὲ ἀντιβλέπειν ἐκείνον. D Πλὴν ὅτι τοῖς προτεθεῖσι κακῶς παρ' ἐκείνου τῶν ἁγίων ῥητοῖς οὐχ ὑπὲρ αὐτοῦ μᾶλλον, ἀλλὰ κατ' αὐτοῦ, καὶ τῆς αὐτοῦ δόξης, οὔπω κατὰ σκοπὸν ἐπεξῆλθεν ὁ λόγος, ἔσχατον ἐκεῖνα ταμιευόμενος ἆθλον, καθὰ δὴ καὶ φθάσας ὑπέσχετο. Λεκτέον δ' ἂν εἴη καὶ περὶ τῶν ἑξῆς ὡσαύτως καὶ θεωρητέον, ἑπομένοις καὶ αὖθις τοῖς θεολόγοις Πατράσι, τῶν προτεθέντων ἐξ ἀρχῆς κεφαλαίων ἑκάστου τὸν σκοπὸν καὶ τὴν δύναμιν, καὶ ἅπερ ἐκείνοις ἀντιλέγειν δοκῶν ἑξῆς ὁ φιλόσοφος, τὴν Ἐκκλησίαν Χριστοῦ, καὶ δὴ καὶ τὸν ταύτης ἱερὸν τόμον ὡσαύτως κακῶς εἴρηκεν. Ἐκεῖ δὲ ἐκεῖνος οὐδὲ ἐνταῦθα τὴν τάξιν τετήρηκεν, οὐδὲ πᾶσιν ἐφεξῆς ἀντεῖπε τοῖς κεφαλαίοις, καίτοι γε καὶ τοῦτ' αὐτὸ σκοπήσας ἐξ ἀρχῆς.

Digitized by Google

καὶ προθέμενος, ὡς αὐτὸς ἤδη φθάσας εἰρήκει, ἀλλὰ μετὰ τὸ πρῶτον εὐθὺς ἐπὶ τὸ ἕκτον μετέβη, ἀτακτῶν, καὶ συγχέων κἀνταῦθα, καὶ μηδὲ ἐν τοῖς μικροῖς γοῦν τούτοις ἑαυτῷ συμφωνῶν. Ἀνάγκη καὶ ἡμᾶς ἐκεῖ μεταβαίνειν, ἐλαύνοντας δικαίως τὸν ἀδίκως διώκοντα.

Ἀλλὰ πρὸ τῆς δοκούσης ἀντιλογίας τε καὶ διαστροφῆς ἐκείνου ἀκόλουθον εἶναι νομίζω τὸ τὰ ἀντιλεγόμενα παρελθεῖν εἰς τὸν ἀγῶνα τοῦ λόγου, καὶ αὖθις καὶ δεῖξαι τὴν τῆς ἀληθείας ἰσχὺν καὶ τὴν ὥραν, καὶ ὧν ἐκεῖνος παραψάμενος ἀρχῆς ἄκρης, τῆς παντελοῦς ἀναγνώσεως εὐθέως ἀπέστη, πλεῖστα μὲν καὶ διὰ μακρῶν ἐνυβρίσας τοῖς μορίοις ἐκείνοις, ἃ τοῦ παντὸς ἀπέσπασε λόγου, καὶ πολύν τινα τὸν φλήναφον καὶ τὴν συκοφαντίαν ὡς ἔθος κατ' ἐκείνων συνείρας, ἐπεξελθεῖν δὲ τοῖς πᾶσι μὴ δυνηθεὶς, μηδὲ ἀντιστῆναι, ἀλλὰ τὸ τοῦ αἰσθητοῦ σκότους καὶ αὐτὸς παθὼν ἄντικρυς τῇ τοῦ φωτὸς παρουσίᾳ μακρόθεν ἐλαυνομένου, καὶ χωροῦντος εἰς τὸ μὴ ὄν. Ἀνάγνωθι τοιγαροῦν τὰ τοῦ τόμου. Μετὰ τοῦτο, φησὶν, ἐζητήθη παρ' ἡμῶν, ἐπειδήπερ οἱ τὴν Ἐκκλησίαν ἐλαύνοντες οὗτοι τῆς οὐσίας τοῦ Θεοῦ μετέχειν ἅπαντά φησιν, ὡς ἀδιαφόρου οὔσης τῆς τε θείας οὐσίας, καὶ τῆς θείας ἐνεργείας, καὶ μηδὲν ἕτερον κατ' αὐτοὺς ὄντος τοῦ Θεοῦ πλὴν οὐσίας μόνης, ἡμεῖς δὲ παρὰ τῶν ἁγίων ἐδιδάχθημεν Γραφῶν καὶ οὐσίαν ἔχειν τὸν Θεὸν, καὶ δύναμιν, καὶ ἐνέργειαν τῆς θείας οὐσίας διαφέρουσαν, μᾶλλον δὲ καὶ δυνάμεις καὶ ἐνεργείας· οὕτω γὰρ οὐ μόνον τρισυπόστατος, ἀλλὰ καὶ παντοδύναμος ἔσται· ἐζητήθη οὖν τίνος μετέχουσι τὰ πάντα, τῆς θείας οὐσίας, ἢ τῆς τοῦ Θεοῦ ἐνεργείας; Ταῦτα μὲν οὖν ὁ τῆς ἱερᾶς συνόδου τόμος, ἃ δὴ καὶ Γρηγορᾶς ἐκεῖθεν λαβὼν ἐν τοῖς αὐτοῦ προὔθηκε γράμμασι. Τὰ δὲ τούτων ἑξῆς, τὰ μὲν συνταράξας τε καὶ διαστρέψας, τὰ δὲ πλεῖστα παραλιπὼν ἔλεγχον ὄντα τοῦ καθ' ἡμῶν ψεύδους καὶ τῆς συκοφαντίας, πῶς γὰρ ἂν καὶ προσέσχεν ἐκείνοις ὁ θεότητα; πλείστας, καὶ ἀνυπάρκτους ἐνεργείας, καὶ αἰσθήσει μεριστάς τε καὶ μεθεκτὰς, καὶ διαφερούσας τῆς οὐσίας μακροῖς τισι διαστήμασι, καὶ ἀπειράκις ἀπείροις πλέθροις, καὶ παρασάγγαις, καθάπερ αὐτὸς τερατεύεται καὶ μυθολογεῖ, τῆς Ἐκκλησίας τε καὶ τῶν ἁγίων σὺν μακρᾷ τῇ χλεύῃ καὶ εἰρωνείᾳ καταψευδόμενος; οὕτω πως ἐκεῖνα προφέρει κακῶς. Ἐκείνου, φησὶ, ζητηθέντος ὑπὸ τῆς συνόδου τῆς θείας ἀπεδείχθη, ὅτι πᾶν δημιούργημα τῆς ἐνεργείας τοῦ δημιουργήσαντος, ἀλλ' οὐχὶ τῆς οὐσίας μεταλαγχάνει. Οὐ γὰρ ἡ οἰκία τοῦ οἰκοδόμου, οὐδὲ ἡ ναῦς τῆς τοῦ ναυπηγήσαντος μετείληφεν οὐσίας, ἀλλὰ τῆς τέχνης καὶ τῆς ἐνεργείας.

Ἀλλ' ἐκεῖνος μὲν ταῦτα σκεπασθήσεσθαι δήπουθεν προσδοκήσας τῷ ψεύδει, καὶ μετὰ τῶν ἀγνοούντων καὶ αὐτοὺς τοὺς εἰδότας διαλαθεῖν· ἡμεῖς δὲ τῇ φανερώσει τῆς ἀληθείας τῶν εἰρημένων αὐτίκα μάλα τὸ ψεῦδος ἐλεγχθῆναι παρασκευάζομεν. Ἔχει δὲ οὕτως· Ἐζητήθη, φησὶ, τίνος μετέχουσι τὰ πάντα, τῆς θείας οὐσίας, ἢ τῆς τοῦ Θεοῦ θείας ἐνεργείας; Ἡ δὲ θεία σύνοδος, Ἀχώριστον μὲν ἴσμεν, ἔφη,
A τὴν θείαν οὐσίαν καὶ φυσικὴν ἐνέργειαν. Οὐ γάρ ποτε ἐνέργεια εἴη ἂν τῆς ἑαυτῆς οὐσίας χωρίς. Περὶ μέντοι τῶν ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ δεδημιουργημένων ἔφη· Τίς οὐκ οἶδεν, εἰ μὴ κατὰ τοὺς ἀντιλέγοντας τῇ Ἐκκλησίᾳ παραπαίοι, ὅτι πᾶν δημιούργημα τῆς ἐνεργείας τοῦ δημιουργήσαντος, ἀλλ' οὐχὶ τῆς οὐσίας μεταλαγχάνει; οὐδὲ γὰρ ἡ οἰκία τῆς τοῦ οἰκοδόμου, οὐδὲ ναῦς τῆς τοῦ ναυπηγήσαντος μετείληχεν οὐσίας, ἀλλὰ τῆς τέχνης καὶ τῆς ἐνεργείας, κατὰ τὸν Νύσσης Θεολόγον. Ὅτι δὲ καὶ οἱ ἅγιοι τῇ πρὸς Θεὸν ἑνώσει θεοποιούμενοι, οὐ τῆς θείας οὐσίας, ἀλλὰ τῆς θείας ἐνεργείας μετέχουσιν, ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος παρίστησι, γράφων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι Χριστὸς λέγεται
B κατὰ τὴν θεότητα· χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνέργεια κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος.

Ταῦτ' εἰ καὶ Γρηγορᾶς ὑγιῶς τε καὶ ἀνόθευτος πάλαι καὶ ἀνέγνω, καὶ ἔγνω, τό τε φυσικὸν καὶ ἀδιαίρετον τῆς θείας ἐνεργείας πρὸς τὴν πηγάζουσαν αὐτὴν θείαν φύσιν, καὶ δὴ καὶ τὸ θεοπρεπῶς διακεκριμένον καλῶς ἂν ἐθεολόγει μετὰ τῆς Ἐκκλησίας, Ἀχώριστον ἴσμεν, εἰπούσης, θεολογικῶς τε καὶ ἀποστολικῶς τὴν θείαν οὐσίαν, καὶ τὴν θείαν καὶ φυσικὴν ἐνέργειαν· οὐ γάρ ποτε ἐνέργεια εἴη ἂν τῆς ἑαυτῆς οὐσίας χωρὶς, καὶ παρὰ τῶν θεολογικῶν ἑξῆς φωνῶν οἱονεί τινων ἱερῶν σαλπίγγων τὴν τοῦ Θεοῦ μετοχὴν κηρυττομένην λαμπρῶς ἂν ἐμάνθανεν, ὅση τε, φημὶ, δημιουργικὴ διὰ τῶν
C ἀποτελεσμάτων τε καὶ κτισμάτων τῆς οὐσιοποιοῦ δυνάμεως καὶ παντουργοῦ ἐνεργείας, καὶ ὅση θεοποιός τε καὶ θεουργὸς, ἣ δὴ καὶ μετοχὴ Θεοῦ κυρίως, καὶ κοινωνία, καὶ θέωσις πρὸς τῶν ἱερῶν εἴρηται θεολόγων, ἔργον ὑπερφυέστατόν τε καὶ ἄρρητον ὄντως οὖσα τῆς περὶ ἡμᾶς μεγίστης καὶ φιλανθρωποτάτης διὰ σαρκὸς οἰκονομίας τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἣν ὑπερφυῶς, ὡς αὐτὸς οἶδε μόνος, ἐνήργησε, τὸ αὐτοῦ τε καὶ τοῦ Πατρὸς κατὰ τὴν κοινὴν αὐτῶν ἐνέργειαν δεδωκὼς Πνεῦμα, καὶ θείας κοινωνοὺς ἐργασάμενος φύσεως, οἷς κατὰ τὸν θεολόγον Εὐαγγελιστὴν ἔδωκεν ἐξουσίαν, τέκνα Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, οὓς οὐκ ἐπαισχύνεται ἀδελφοὺς καλεῖν, οὓς υἱοὺς κληρονόμους Θεοῦ καὶ συγ-
D κληρονόμους ἰδίους εἰργάσατο, ὡς ἐγένετο πρωτότοκος ἐκ νεκρῶν δι' αὐτοὺς, οὕτω καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, αὐτοῖς φημι τούτοις, γεγονὼς, ὢ τοῦ θαύματος!

Ἀλλ' ὁ φιλόσοφος Γρηγορᾶς, καὶ ὅσοι τοῦ κόμματος, ἀφιλοσόφως καὶ χωρὶς ἐρυθήματος, μᾶλλον δὲ εἰπεῖν ἀληθῶς, ἱερᾶς φιλοσοφίας ἁπάσης πόῤῥω καὶ Πνεύματος, δι' ὑπερβολὴν φιλανθρωπίας πρὸς τὴν υἱοθεσίαν ἀφηνιάζουσι. Καὶ οὐκ ἀφηνιάζουσι μόνον, ἀλλὰ καὶ πολεμοῦσι, καὶ διαστρέφειν μηχανῇ πάσῃ τὴν θεολογίαν καὶ τὴν χάριν ἐπιχειροῦσι, καὶ κατ' αὐτῆς ἐκείνης, καὶ τοῦ δεδωρημένου Θεοῦ καινόν τινα καὶ ἄτοπον τὸν πόλεμον καὶ τὴν μάχην κινοῦσι. Διὸ δὴ κἀνταῦθα τὸ μὲν καιριώτατον τῆς τοῦ τόμου θεολογίας, ὁ περὶ τοῦ ἡνωμένου τῆς θείας ἐνερ-

Digitized by Google

γείας, καθὰ δὴ καὶ προὔφην, ἐφιλοσόφησεν ἀποτε- A μόμενος κακῶς ὁ φιλόσοφος, τὴν δὲ μακρὰν ἐκείνην καὶ εἰλικρινῆ, καὶ σαφεστάτην περὶ μετοχῆς θείας τῶν ἁγίων θεολογίαν, ὡς μηδὲ τὴν ἀρχὴν εἰρημένην ῥηθὲ οὖσαν παραδραμὼν, καὶ μάλιστα τὴν τῆς χρυσῆς καὶ θεολόγου γλώττης ἐκείνην, ἐν οἷς φημι τὰ περὶ τῆς θείας ἐνεργείας εἰρημένα διασκοπεῖται τῷ Εὐαγγελιστῇ θεολόγῳ, ὀλίγα δέ τινα τῶν εἰρημένων ἐκεῖ τοῖς λοιποῖς θεολόγοις ἀποσπάσας, καὶ κατὰ τῆς διανοίας ὁμοῦ καὶ τῶν λόγων ἐκείνων συνήθως χωρίσας, τοσοῦτον τὸ ψεῦδος, καὶ τὸν γέλωτα, καὶ τὴν κατὰ τῶν ἁγίων ἀναιδῆ συκοφαντίαν τοῖς ἑαυτοῦ λόγοις κατέμιξε· τὴν γὰρ καθ' ἡμῶν τῶν ὕβρεων ἀπέραντον φλυαρίαν καὶ αὖθις λέγειν ἀφίημι, ὅσον αὐτίκα δὴ καὶ φανήσεται. Τὸν τοίνυν προσδιαλεγόμενον φοιτητὴν Ἀγαθάγγελον εἰσαγαγὼν ὁ φιλόσοφος αὖθις, πυνθανόμενον αὐτοῦ δῆθεν περὶ τῶν προκειμένων, καὶ τὰ τοῦ τόμου συνήθως ἀναγινώσκοντα, ἅπτεσθαι μὲν δοκεῖ τινων τῶν περὶ μετοχῆς θείας ὑψηλῶς ἐκεῖ τοῖς θεολόγοις εἰρημένων Πατράσι, Βασιλείῳ τε, Γρηγορίῳ, καὶ Διονυσίῳ φημὶ, καὶ πρὸς τούτοις Ἀθανασίῳ τῷ πάνυ· πλημμελῶς μέντοι, καὶ διεφθαρμένως, καὶ τούτων αὐτῶν, ὃ δὴ καὶ μετὰ μικρὸν δι' αὐτῶν ἐκείνων τῷ λόγῳ παρελθόντων φανήσεται.

Εἶτ' ἐφεξῆς τὸ πᾶν ὡς εἰπεῖν καταλιπὼν τῆς ἀκολουθίας καὶ συναφείας τῶν ἱερῶν λόγων, τῇ περὶ τοῦ ἁγίου Πνεύματος ἐπιτίθεται θεολογίᾳ τοῦ τῆς Ἐκκλησίας ἱεροῦ διδασκάλου, Ἀναστασίου φημὶ τοῦ σοφοῦ, καὶ δι' ἐκείνης τῷ τῆς Ἐκκλησίας ἱερῷ τόμῳ, συκοφαντῶν ὁμοῦ κἀκεῖνον καὶ τοῦτον, καὶ πολλῷ χεῖρον καὶ ἀτοπώτερον ἢ Κύριλλον ἐν τοῖς φθάσασιν ἤδη τὸν μέγαν. Τοῦ γὰρ συνοδικοῦ τόμου, τὸν προῤῥηθέντα θεῖον Ἀναστάσιον μετὰ τῆς τοῦ Πνεύματος ἱερᾶς θεολογίας παραγαγόντος ουτωσὶ λέγοντα· Συνῳδὰ καὶ τὰ παρὰ τοῦ θεσπεσίου Παύλου περὶ τοῦ Πνεύματος εἰρημένα· τοὺς γὰρ πεπιστευκότας ναοὺς Θεοῦ προσηγόρευσεν, ἔνοικον ἐσχηκότας τὴν χάριν τοῦ Πνεύματος, *Οὐκ οἴδατε γὰρ, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν*; καὶ πάλιν, *Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ*. Ταῦτα δὲ ἄντικρυς διδάσκει τῆς θείας φύσεως εἶναι τὸ πανάγιον Πνεῦμα· εἰ γὰρ Θεοῦ ναὸς χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τοῦ Πνεύματος τὴν χάριν ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον· τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, Θεοῦ ναοὶ ὠνομάσθησαν· ταῦτα τοίνυν ὑπὲρ τοῦ θείου Πνεύματος οὕτως εἰρηκότος τοῦ διδασκάλου, ὁ ταῖς προτάσεσι, καὶ τοῖς μέσοις ὅροις, καὶ συμπεράσμασι, καὶ τῇ ματαιότητι τῶν ἀνθρωπίνων λογισμῶν τε καὶ συλλογισμῶν βρενθυόμενος οὑτοσὶν ὁ φιλόσοφος, τῇ καταργουμένῃ σοφίᾳ τῶν ἔξω μονονουχὶ θύων, καὶ τῆς τοῦ Εὐαγγελίου καὶ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας ὁμιληταῖς τὴν ἁπλότητα καὶ τὴν ἀμαθίαν ὀνειδίζων πυκνὰ, καὶ ἀμαθὴς, καὶ ἄσοφος, καὶ ἀπαίδευτος αὐτὸς καθ' ὑπερβολὴν δείκνυται τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην σοφίαν ὁμοῦ, τὸν ἐγκέφαλον καθαπερεὶ διασεσεισμένος, καὶ μὴ εἰδὼς μήτε ἃ λέγει, μήτε περὶ τίνων διαβεβαιοῦται. Τὸν γὰρ τοῦ διδασκάλου σκοπὸν ἀγνοήσας καθάπαξ, ὃ δὴ καὶ πρὸ παντὸς ἄλλου σκοπεῖν ἔδει κατὰ τοὺς θεολόγους Πατέρας, καὶ μάλιστα τὸν τὰς θείας Γραφὰς καὶ δὴ καὶ τοὺς τούτων ἐξηγητάς τε καὶ θεολόγους ἀναγινώσκοντα, μᾶλλον δὲ καὶ αὐτὸν ἐκεῖνον τὸν ἱερὸν ἀποκρυψάμενος τῆς Ἐκκλησίας διδάσκαλον, οὐκ οἶδ' εἴτ' ἐθελοντὴς ὑπὸ πολλῆς κακουργίας τε καὶ σκαιότητος, εἴτ' ἐξ ὑπερβαλλούσης ἀγνοίας τῶν ἱερῶν λόγων, ἀνίερός τις καὶ τὸ παράπαν ἀμαθής τε καὶ ἀμύητος ὢν τὰ θεῖα, ἁρπάζει μὲν τῆς ἐκείνου θεολογίας τὸ ἀποστολικὸν ἀποσυλήσας ῥητὸν, οὐδὲ B ἐκεῖνο καθάπερ ἡμεῖς προὐθήκαμεν ἄρτιον φθάσαντες ἀνωτέρω, καὶ ὡς αὐτὸς ἐκεῖνος ὁ διδάσκαλος ἐκεῖθεν εἰληφὼς κέχρηται, ἀλλὰ παρακεκομμένον τε καὶ ἡμίτομον, τῇ συνόδῳ δὲ καὶ τῷ τόμῳ μετὰ πολλῆς τῆς ἀναισχυντίας προσρίψας, ὡς παρ' αὐτῶν δῆθεν κακῶς εἰρημένον, εἶτα τὴν ἑξῆς ἑρμηνείαν τε καὶ κατασκευὴν τοῦ λόγου, καὶ τὸ συμπέρασμα παρὰ τοῦ διδασκάλου, καθαπερεί τινα τεθηγμένην ῥομφαίαν, ὡς ἡμέτερον δῆθεν, καὶ τῆς ἡμῶν διανοίας, καθάπερ ᾤετο, λαβὼν καθ' ἡμῶν, ἐκεῖνα τρανῶς διά γε τῆς καθ' ἡμῶν ἀναισχύντου συκοφαντίας, κατὰ τῆς ἱερᾶς τοῦ διδασκάλου θεολογίας καὶ λέγει καὶ γράφει, ὧν αὐτὸς μέν ἐστι μόνος ἄξιος ὁ λέγων καὶ γράφων, εἶπε δὲ ἂν σὺν ἐκείνῳ καὶ κατὰ τῆς Χριστοῦ Ἐκκλησίας μόνος ὁ διάβολος ἴσως τολμήσας. Τί γοῦν φησι; δίκαιον γὰρ οἶμαι κἀκείνων ἀπὸ C μέρους μνησθῆναι δείγματος χάριν· οὐδὲ γὰρ πάντων οἷόν τε.

Ἀπαγγέλλει μὲν ὁ ἀκροατὴς Ἀγαθάγγελος ὀλίγ' ἄττα τῶν ἁγίων ῥητὰ, ἐκ τῶν εἰρημένων δηλονότι τῷ τόμῳ· εἶτ' ἐφεξῆς καὶ τὰ τοῦ Ἀποστόλου πλημμελῶς ἄγαν συνάψας, ὡς εἰρημένα δῆθεν ὑπὸ τῆς συνόδου καὶ ταῦτα, καθὰ δὴ καὶ προὔφην, ἐπάγει κἀκεῖνα. Ταῦτα δὴ, φησὶ, κομίσας τὰ θεῖα ῥητὰ σῶα, τὸν τῆς εὐσεβείας ἀγωνιστὴν, τὸν θεῖον δηλαδὴ λέγων Γρηγόριον, τὰ μὲν ἄλλα καταλέλοιπε, φησὶν, ἀνερμήνευτα, μόνῳ δὲ τῷ ὑστέρῳ τοῦ Ἀποστόλου ῥητῷ βραχυσύλλαβον ἀποκομίσας κἀνταῦθ' ἑρμηνείαν, ὑφ' ἕτερα κεχώρηκεν αὖθις ὁμοίως· ἡ δέ ἐστιν, Εἰ γὰρ Θεοῦ ναὸς χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τοῦ Πνεύματος τὴν χάριν ἐδέξαντο, D ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον· τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, ναοὶ Θεοῦ ὠνομάσθησαν. Ταῦτα καθ' ἡμῶν ὡς ἡμέτερα ὁ Γρηγορᾶς προενεγκὼν διὰ τοῦ ἰδίου Ἀγαθαγγέλου, ἀκούετε δὴ τῶν ἑξῆς ὅπως καθ' ἡμῶν ὀξύς τις καὶ ἀνυπόστατος ῥεῖ, καθαπερεί τινα κοινὴν συμφορὰν τῆς Ἐκκλησίας δι' ἡμῶν τὴν τῶν ἁγίων θεολογίαν ἐλαύνων, καὶ τοῦτο λίαν αἰσχρῶς καὶ μετὰ μακρᾶς τῆς ἀδολεσχίας καὶ τῆς συκοφαντίας, καὶ ὥσπερ ἐκεῖνον εἰκός. Τί γὰρ, φησὶν, ὁρᾷς, ὦ φιλότης, ὡς ἀεὶ περὶ τῶν αὐτῶν τὰ αὐτὰ παρεισκυκλῶν ἁλίσκεται, καὶ ὁμοίως ἀεὶ τὴν αὐτοῦ δημοσιεύων ἀμαθίαν οὐ σφόδρα αἰδεῖται; κακοτέχνῳ γὰρ ψυχῇ μήτε διδακτὴν ἐγγίνεσθαί ποτ' ἀρετὴν, μήτε μὴν βουλήσει γίνεσθαί ποτ' ἁλωτήν. Ἀρετῆς δ' ἂν εἴη μάθησίς τε

Digitized by Google

καὶ αἰδὼς μόρια. Ἃ δὴ οὔτ' εἰσῆλθεν εἰς τὴν αὐτοῦ κακότεχνον ψυχὴν, οὔτε μήποτ' εἰσέλθῃ. Καὶ μεταξὺ φλυαρήσας τε καὶ ὑβρίσας τὰ πολλῷ χείρω καὶ ἀτοπώτερα τούτων, ἐπάγει· Ὥστε καὶ λέγειν πολλάκις ἐπῄει μοι, ὡς εἰ δέκα μόνον τῶν ἐξ αἰῶνος αἱρέσεων ἐγεγόνεισαν ἀρχηγοὶ, οὐχ ἕνα τοῦτον ἂν τῶν δέκα ἡγησάμην, ἀλλ' ἐννέα τῶν δέκα. Νῦν δ' οὕτω πολλῶν καὶ δυσαρίθμων ὄντων, οὐχ ἕνα τοῦτον, οὐδὲ τῶν πολλῶν ἐκείνων ἥγημαι, ἀλλὰ παρ' ἕνα πάντας· μᾶλλον μὴν οὐδὲ παρ' ἕνα, ἀλλὰ παρ' οὐδένα καθάπαξ ἅπαντας. Πάντων γὰρ τὸ δυσσεβὲς συνειλοχὼς, οὐ μόνον πάντας τῇ ἀμαθίᾳ καὶ ἀναιδείᾳ νενίκηκεν, ἀλλὰ καὶ οἷς βλασφημεῖ.

Ταῦτ' οὐκ ἄν τις, οἶμαι, τῶν πάντων, ὦ Γρηγορᾶ, ἢ ῥᾳδίως οὕτως ἐξεῦρεν, ἢ καὶ ἐξευρὼν οὐκ ὤκνησεν ἂν εὐθὺς καὶ λόγοις καὶ συγγραφῇ μετὰ τοσαύτης δοῦναι τῆς προθυμίας, καθάπερ αὐτὸς σὺ, κατὰ σαυτοῦ φημι καὶ τῆς σεαυτοῦ κεφαλῆς, ὥσπερ ἑορτάζων ἐξήνεγκας. Εἰ γὰρ σὺ μὲν ἐκεῖνα πάντα καθ' ἡμῶν, ὡς τὰς θείας παρεξηγουμένων Γραφὰς, καὶ βλασφημούντων ἄντικρυς εἰς Θεόν τε καὶ τοὺς ἐκείνου θεολόγους λέγεις καὶ γράφεις, ἀναπέφανται δ' ἅπερ ἡμεῖς λέγομεν, οὐχ ἡμῶν αὐτῶν παρεξήγησις καὶ βλασφημία, καθάπερ αὐτὸς κακῶς ὑπέλαβες δήπουθεν, ἀλλὰ τῶν θείων τῆς Ἐκκλησίας διδασκάλων θεοπρεπὴς ἐξήγησις καὶ θεολογία· πῶς οὐ καὶ τυφλῷ, φασὶ, δῆλον, ὡς τὰ μὲν τοῦ σεπτοῦ τόμου καὶ τῆς τοῦτον ἐκδεδωκυίας συνόδου τῇ τῶν ἁγίων καὶ σφόδρα συνᾴδει θεολογίᾳ, καὶ κατὰ τῶν αἱρέσεων μάλα γενναίως ἐκείνοις συναγωνίζεται, καὶ δὴ καὶ συνδοξάζεται τούτοις, Θεὸν ἀξίως θεολογοῦσί τε καὶ δοξάζουσι, *Τοὺς δοξάζοντας*, καὶ γὰρ, *μὲ δοξάσω*, φησὶ, σὺ δὲ μετὰ τῶν πολεμούντων ἐκείνοις καὶ Θεῷ, ταυτὸν τάξας, τῆς καταδίκης τούτων καὶ μοίρας ἕνα σεαυτὸν ἀπειργάσω, μᾶλλον δὲ καὶ τὴν τῶν ἁπάντων αἱρεσιαρχῶν ὁμοῦ καταδίκην μόνος κατὰ τῆς σεαυτοῦ κεφαλῆς ἐφειλκύσω; τοῦτο καὶ γὰρ αἱ σαὶ φασι ψῆφοι καὶ ἀποφάσεις, καὶ πρὸς τούτοις, καὶ ὅσα πρὸ βραχέος ἐκεῖ καθ' ἡμῶν ἔλεγες, ὡς κακοτέχνῳ ψυχῇ μήτε διδακτὴν ἐγγίνεσθαί ποτε ἀρετὴν, μήτε βουλήσει ποτὲ ἁλωτὴν, καὶ ὅτι μάθησίς τε καὶ αἰδὼς, ἀρετῆς ὄντα μόρια, τὴν σὴν κακότεχνον οὐκ εἰσῆλθε ψυχήν. Σὰ καὶ γὰρ ταῦτα καὶ τῷ σῷ καταλόγῳ τῶν ἐγκωμίων καὶ τῷ τῆς ὕβρεως στεφάνῳ καὶ μάλα προσήκοντα, ὃν αὐτὸς σεαυτῷ καὶ τῇ σῇ κεφαλῇ, ἀλλ' οὐχ οἷς κακῶς εἴπας, δικαίως ἔπλεξας· ἐπεὶ καὶ σύ γε αὐτὸς, οὐκ ἄλλος ἐστὶν ὁ καὶ πᾶσαν ἱερῶν λόγων ἄσκησίν τε καὶ ἐπιστήμην τῶν προθύρων τῆς σῆς ψυχῆς ἀπελάσας, καθὰ δὴ καὶ προὔφην, καὶ τὴν μὲν προσήκουσαν αἰδῶ Χριστιανοῖς ἀποῤῥίψας, τῇ δὲ μεγάλῃ καὶ πρώτῃ θεολογίᾳ, ταῖς ἱεραῖς φημι καὶ θεοπνεύστοις Γραφαῖς, καὶ δὴ καὶ τοῖς τῶν διδασκάλων ἱεροῖς λόγοις μετὰ τοσαύτης τῆς ἀναισχυντίας ἐπιπηδήσας, ὡς κατὰ τοῦτο δὴ καὶ μόνον κυνικὸν σεαυτὸν ἀποφῆναι, μᾶλλον δὲ κατὰ τὴν ἀναισχυντίαν καὶ χείρω πολλῷ γε ἐκείνων· οὐδὲ γὰρ ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ἐπανακτέον καὶ αὖθις ἐπ' ἐκεῖνα τὸν λόγον.

Τὸν περὶ τῆς θεότητος τοῦ Πνεύματος ὁ θεῖος

A Ἀναστάσιος σκοπούμενος λόγον, καὶ τῆς Τριάδος ἕνα Θεὸν τὸν Παράκλητον βουλόμενος δεῖξαι ὁμοούσιον καὶ ὁμότιμον πεφυκότα Πατρὶ, καὶ Υἱῷ, ἄλλοις τε πολλοῖς ὡς εἰκὸς εἰς παράστασιν χρῆται τοῦ λόγου, καὶ δὴ καὶ τοῖς εἰρημένοις πάλαι πρὸς Κορινθίους τῷ σοφῷ Παύλῳ, *Οὐκ οἴδατε γὰρ*, φησὶν, *ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;* καὶ πάλιν· *Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν οὗ ἔχετε ἀπὸ Θεοῦ;* Ἐντεῦθεν ὁ διδάσκαλος ὥσπερ τοὐνδόσιμον εἰληφὼς, οὐκ ἀνθρωπίνως καθαπερεὶ Γρηγορᾶς, ἢ τῶν κατ' αὐτόν τις ματαιοσόφων ἕτερος, ἀλλὰ θεολογικῶς ὁμοῦ καὶ θεοπρεπῶς ἑξῆς συλλογίζεται, καὶ συμπεραίνει B τὸν οἰκεῖον σκοπὸν καὶ τὴν ἀλήθειαν ἄριστα. Ταῦτα καὶ γὰρ, φησὶν, ἄντικρυς διδάσκει, τῆς θείας εἶναι φύσεως τὸ πανάγιον Πνεῦμα. Εἰ γὰρ Θεοῦ ναὸς χρηματίζουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τοῦ Πνεύματος τὴν χάριν ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον· τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, ναοὶ Θεοῦ ὠνομάσθησαν. Τὰς γὰρ προτάσεις ἑκατέρας ἐκ τῶν λογίων εἰληφὼς ὁ διδάσκαλος, ὅτι Θεὸς τὸ Πνεῦμα συμπεραίνει τὸ ἅγιον· ὃ δὴ καὶ σκοπὸς ἦν αὐτῷ δεῖξαι. Αὐτὰ δὲ ταῦτα περὶ τῶν αὐτῶν καὶ ὁ μέγας φησὶ Βασίλειος, Θεὸν ἀποδεικνὺς εἶναι τὸ Πνεῦμα, ἐπειδὴ τοὺς ἔνοικον αὐτὸ κτησαμένους ναοὺς εἶναι Θεοῦ Παῦλος ὁ θεῖος ἐδίδαξεν. Ἡ δὲ καθ' ἡμᾶς τῶν Πατέρων ἱερὰ σύνοδος, ἐπειδὴ σκοπὸς ἦν αὐτῇ δεῖξαι, ὅτι Θεοῦ μετεχόντων C τῶν θεουμένων, οὐχ ἡ θεία ἐστὶν οὐσία τὸ μετεχόμενον, πῶς γὰρ, εἰ μὴ μέλλοιμεν πάντας υἱοὺς Θεοῦ κατὰ φύσιν καὶ χριστοὺς τερατεύεσθαι; ἀλλ' ἡ φυσικὴ χάρις αὐτοῦ καὶ θεοποιὸς ἐνέργεια, καὶ τοῦτον τὸν θεολόγον πρός γε τοῖς ἄλλοις παρήγαγε, ναοὺς Θεοῦ τοὺς πιστοὺς εἰρῆσθαι λέγοντα πρὸς τοῦ Ἀποστόλου, ἐπειδὴ ἐδέξαντο τὴν τοῦ Πνεύματος χάριν. Καὶ πάλιν, Ναοὶ, φησὶ, Θεοῦ ὠνομάσθησαν, ἔνοικον ἐσχηκότες τὴν τοῦ Πνεύματος χάριν. Τί οὖν ἀσυλλογίστως τε καὶ ἀτέχνως, καὶ ἀμαθῶς ἐν τούτοις εἰρηκέναι τοὺς Πατέρας φῄς, ὦ φιλόσοφε, ὁ τοὺς συλλογισμοὺς ἀντὶ τοῦ Εὐαγγελίου κακῶς προσκυνῶν, μηδὲ τούτοις αὐτοῖς γοῦν μετὰ τοῦ προσήκοντος χρώμενος λόγου; Οἱ μὲν γὰρ καὶ τὰς προτάσεις, καὶ τὸν μέσον καὶ κοινὸν ὅρον, ὑπὲρ D οὗ καὶ φιλοτιμούμενος ἐκεῖ διδάσκεις αὐτὸς ὡς περί τινος μεγίστου καὶ ὑψηλοῦ πράγματος, καὶ τὸ συμπέρασμα, καὶ ἁπλῶς ὁμοῦ πάντα, παρ' ἐκείνου τοῦ τῆς Ἐκκλησίας διδασκάλου λαβόντες ἔχουσι μηδὲν παρ' ἑαυτῶν τὸ παράπαν τοῖς ἱεροῖς ἐκείνοις ῥητοῖς ἐπεισάγοντες, ἀλλὰ γυμνὴν τὴν ἐκείνου θεολογίαν εἰς μαρτυρίαν τῆς κατ' εὐσέβειαν ἀληθείας εἰσφέροντες. Λέγω γὰρ δὴ καὶ ταῦθ' οὕτω διὰ σὲ καὶ τὴν σὴν ἀδολεσχίαν καὶ ματαιολογίαν αὐτόθεν ἐπιχειροῦντος, ὡς ἂν τοῖς σοῖς ἑταίροις τε καὶ ὁμιληταῖς δοκοίης μεγάλα τινὰ λέγειν· ἐπεὶ πόῤῥω τῆς θείας αὐλῆς τὰ τοιαῦτα, καὶ τοῦ ἀποστολικοῦ, καὶ τοῦ πατρικοῦ συνεδρίου, οἳ καὶ τῆς οἰκουμενικῆς τῆς ἕκτης προκαθημένης συνόδου παραφανέντα μόνον εὐθὺς ἀπήλασαν τοῦ θείου συλλόγου, μηδὲν κοινὸν

Digitized by Google

ὅλως εἰπόντες τοῖς Ἀριστοτελικοῖς, καὶ τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς λόγοις. Καὶ εἰκότως· ἐπειδὴ μηδὲ κοινωνία φωτί, φησί, πρὸς τὸ σκότος, μηδὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ. Σὺ δὲ τί λέγεις πρὸς ταῦτα; Τίνι τὴν συκοφαντίαν καὶ τὴν μακρὰν ὕβριν, καὶ τὴν διαβολὴν τῆς βλασφημίας, καὶ τὴν ἄκαιρον ἐκείνην καὶ ἄπληστον περιάπτεις καταδρομήν; Πότερον Ἀναστασίῳ, δηλαδὴ τῷ τῆς Ἐκκλησίας διδασκάλῳ, καὶ οἷς ἐκεῖνος ὑπὲρ τοῦ θείου Πνεύματος χρώμενος ἐξηγεῖται λογίοις, ἢ τῷ σεπτῷ τόμῳ καὶ τοῖς ἐκεῖνον ἐκτεθεικόσι Πατράσιν; ἢ κἀκείνοις καὶ τούτοις ὁμοῦ; Μᾶλλον δὲ τῷ μὲν δοκεῖν τούτοις χρώμενος προσωπείῳ, καθάπερ ἐπὶ σκηνῆς τινος καὶ δράματος, ἐκείνοις τὴν βλασφημίαν καὶ τὴν ὕβριν πᾶσαν ἀνάπτειν τολμᾷς· ἐκείνων καὶ γὰρ οἱ λόγοι πάντες, ἀλλ' οὐχὶ τούτων, καθάπερ ἐδείχθη· τῇ δ' ἀληθείᾳ οὔτε κατὰ τούτων, οὔτε κατ' ἐκείνων ὅλως τὰ τῆς σῆς βλασφημίας. Ῥᾷον καὶ γὰρ τὸν οὐρανὸν ἢ τὸν ὀφθαλμὸν τουτονὶ τῆς ἡμέρας τὸν ἥλιον κατατοξεύσεις καὶ πλήξεις, ἢ τοὺς τῆς ἀληθείας κήρυκας, καὶ τούτους κἀκείνους ταῖς σαῖς βλασφημίας ὑπευθύνους ἐργάσῃ, κἂν διαῤῥαγῇς τὰ τοιαῦτα λέγων καὶ γράφων, κἂν δεκαπλασιάσῃς τὴν ἐκ τοῦ πονηροῦ σὴν δεκάλογον ταύτην, καὶ τοῦτο δίς, καὶ τρίς, καὶ πολλάκις. Ἀκούσατε γὰρ οἷα καὶ καθεξῆς ὁ φιλόσοφος γράφει καὶ βλασφημεῖ κατά τε τῶν ἁγίων, καὶ αὐτοῦ δέ φημι τοῦ τῶν ἁγίων Θεοῦ. Ἀνούσιον γάρ, φησίν, ἐνέργειαν διικνύειν ἐπαγγελλόμενος ἄκτιστον, τὴν μετεχομένην τε καὶ μεριζομένην τοῖς κτίσμασι, καὶ οὐδαμῇ τὴν θείαν ἐκείνην οὐσίαν μετεχομένην τὴν μόνην ἄκτιστον, ὁ δὲ τὸ Πνεῦμα τὸ ἅγιον καθαρῶς ἀπεφήνατο δίχα τινὸς ἐπικρύψεως. Τὸ δέ ἐστι τοὐναντίον ἅπαν, οὗπερ ἐβούλετο.

Τρισὶν ἀτόποις ὁ Γρηγορᾶς ἐν τοῖς βραχέσι τούτοις ῥήμασι περιπίπτει, τῇ ἀποστολικῇ τε καὶ πατρικῇ θεολογίᾳ φανερῶς ἀντικείμενος. Τήν τε γὰρ θείαν ἐνέργειαν ἀρνεῖται, καὶ διὰ τοῦτο μόνον ἄκτιστον εἶναι τὴν θείαν οὐσίαν φησίν, ἵν' ἐκείνην τὴν φυσικὴν τοῦ Θεοῦ δύναμιν εἰς τὰ κτίσματα κατασπάσῃ, καὶ τὴν θείαν οὐσίαν μεθεκτὴν εἶναι λέγει, ὃ δὴ Βαρλαὰμ καὶ Ἀκίνδυνος οἱ τούτου μυσταγωγοὶ πρῶτοι καὶ μόνοι, παρὰ τοῦ Σατανᾶ μυσταγωγηθέντες, εἰπεῖν ἐτόλμησαν. Οὐδὲ γὰρ οὐδεὶς τῶν ἀρχαίων αἱρετικῶν σχεδόν, πολλῶν τινων καὶ παντοδαπῶν τὰς αἱρέσεις ἀναδειχθέντων, ῥητῶς εἰπὼν ἐφάνη τοῦτό ποτε. Καὶ τρίτον ἐπὶ τούτοις ἀρνεῖται τὸ μὴ διὰ Πνεύματος ἁγίου, ταυτὸ δὲ εἰπεῖν διὰ τῆς αὐτοῦ φυσικῆς δωρεᾶς τε καὶ χάριτος τὴν θείαν γίνεσθαι μέθεξιν, πᾶσαν ἱερὰν Γραφὴν καὶ θεολογίαν θείαν τὰς τοῦτο λαμπρῶς κηρυττούσας ἀποποιούμενος, καὶ τοὺς αὐταῖς ἑπομένους Πατέρας τὴν ἐναντίαν ἰέναι διδάσκων, Ὥσπερ ἂν εἴ τις, φησί, τὴν ἐς Σοῦσα καὶ Ἐκβάτανα φέρουσαν ἰέναι προθέμενος, ὁ δὲ τὴν ἐς νήσους ἀπήει τὰς Βρεττανικάς. Ἀλλὰ περὶ μὲν τούτων μετὰ μικρόν, ὦ φιλόσοφε· τὸ δὲ νῦν ἔχον λέγε καὶ προστίθει, καὶ τὰς ἑξῆς βλασφημίας τε καὶ διαστροφὰς τῶν θεολογικῶν δηλαδὴ λόγων, ἵνα καὶ πᾶσιν ὁμοῦ τοῖς παρὰ σοῦ κακῶς εἰρημένοις καλῶς

A αὐτοὶ τὴν καταστροφὴν καὶ τὴν λύσιν παρ' ἑαυτῶν ἐπενέγκωσιν. Ἵνα γάρ, φησί, τὸ τελευταῖον ἀρχὴν ποιήσωμαι, διά τε τὸ ἔναυλον εἶναι μᾶλλον τῇ ἀκοῇ τουτοΐ, ἢ ὅσα πρότερον τέθειται τουτῳΐ, καὶ διὰ τὸ τἄλλα μὲν ἐκεῖνα παραδραμεῖν ἀνερμήνευτα, τούτῳ δὲ βραχυσύλλαβον μέν, παρασχεῖν δ' οὖν ἑρμηνείαν ἡντιναοῦν. Φέρει γὰρ τὸν θεῖον Ἀπόστολον λέγοντα, *Οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ;* καὶ τοῦθ' ἑρμηνεύων αὐτὸς ὑποθετικῷ τινι κέχρηται συλλογισμῷ, μᾶλλον δ' οὐ κέχρηται, ἀλλὰ βούλεται μέν, κεχρῆσθαι δὲ οὐ δύναται. Οὐδὲ γὰρ βάλλει κατὰ σκοπόν, οὐδὲ οἶδε τί ἐστι συλλογισμός, καὶ τί ὅρος, καὶ τί πρότασις, καὶ τί συμπέρασμα, καὶ τίνα πρὸς ἄλληλα τὴν σχέσιν B ἔχειν ὀφείλει ταυτί, κατά γε τοὺς τῆς ἐπιστήμης ὅρους. Ἔχει δὲ οὑτωσίν· Εἰ ναὸς Θεοῦ τυγχάνουσιν οἱ πιστεύσαντες, ἐπειδὴ τὴν χάριν τοῦ Πνεύματος ἐδέξαντο, ἐκ τοῦ Θεοῦ ἄρα τὸ Πνεῦμα τὸ ἅγιον. Τὴν γὰρ τούτου χάριν ἔνοικον ἐσχηκότες, ναοὶ Θεοῦ ὠνομάσθησαν. Ἀλλὰ ταῦτα μὲν ὡς ἡμέτερα δῆθεν καθ' ἡμῶν τὰ τῶν ἁγίων λαμβάνων ἐκεῖνος, καὶ συκοφαντῶν μὲν ἡμᾶς οὕτως αἴσχιστά τε καὶ ἰταμώτατα, ὑβρίζων δ' ἀναιδῶς ἄγαν καὶ τολμηρῶς εἰς τὴν τῶν ἁγίων θεολογίαν, οὐ τὰ προῤῥηθέντα ταυτὶ μόνον, ἀλλὰ καὶ τὰ πολλῷ τούτων ἀτοπώτατά τε καὶ χείριστα, καθὰ δὴ καὶ εἰπὼν ἔφθην, ἃ δὴ καὶ παρῆκεν ὁ λόγος, τὸν βόρβορον καὶ τὴν συχνὴν ἀηδίαν τῶν ἐκείνου λόγων ἐκφεύγων· ἐπὶ δὲ τὴν ἐκείνου θεο- C λογίαν, μᾶλλον δὲ τὴν κατὰ τῆς θεότητος τολμηρὰν βλασφημίαν τὸν λόγον ἑξῆς ἐνέγκωμεν, ὅπως τὰ τῆς καινοφανοῦς ἐκείνης αἱρέσεως γυμνότερον καὶ αὖθις διαδειχθῇ. Οὐκ οἶδα δ' ὁπότερον, φησίν, εἴτε τὴν ἀμαθίαν αὐτοῦ φαίην ἂν τῆς ἀσεβείας αἰτίαν αὐτοῦ, εἴτε τὴν ἀσέβειαν τῆς ἀμαθίας, εἴτ' ἄμφω ἀμφοῖν. Ἵνα γὰρ τἄλλα παρῶμεν, τοσούτῳ καὶ αὐτὸς οἴκοθεν, οὐκ οἶδ' ὁπόθεν κινηθείς, ἐξ ὧν προήνεγκε μαρτυριῶν ὑπὲρ ἑαυτοῦ γραφικῶν, ἐπεπράχει σαφές τε καὶ πρόδηλον, ὡς καὶ τὸν ἠλιθιώτατον αἰσθέσθαι δίχα τῆς οἱασοῦν ἀποδείξεως, αὐτὴν τὴν οὐσίαν τοῦ θείου Πνεύματος εἶναι τὴν ἐνοικεῖν ἀποῤῥήτως λεγομένην τοῖς τῶν ἀνθρώπων ἀξίοις, καὶ διὰ τοῦτο ναοὺς Θεοῦ λέγεσθαι αὐτούς. Ὁ δ' ἀναίσθητος καὶ ὢν αὐτὸς προκαθίστασθαι ἔοικεν εἶναι. Φέρει γὰρ D πρὸ τούτου, καθάπερ οἶσθα μᾶλλον αὐτὸς ὁ καὶ ταῦτα κεκομικὼς ἡμῖν, τὸν μέγαν Ἀθανάσιον λέγοντα, ὡς τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδοὺς ἐστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ. Καὶ οὕτως ἐστὶ τό, *Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.* Ἐντεῦθεν γὰρ ἔτι γίνεται πάλιν ἄμφω πολλῷ σαφέστερα, τό τε δὴ τὴν τῆς Τριάδος οὐσίαν αὐτὴν ἐνοικεῖν τοῖς ἀξίοις καὶ μονὴν παρ' ἀνθρώποις ποιεῖν, καὶ ἅμα τὰ τῆς ἀσεβείας τοῦ καταράτου δόγματα τουτουΐ, ἐνεργείας ἄλλας παρὰ τὴν θείαν οὐσίαν εἶναι, μὴ μόνον τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν λέγοντος. Ἢ γὰρ οὐχ ὁρᾷς, ὡς ἡ μὲν τοῦ ἁγίου μαρτυρία τὴν τῆς ἁγίας Τριάδος οὐσίαν οἰκεῖν τοῖς ἀξίοις φησίν, αὐτὸς δὲ μὴ

Digitized by Google

νοῦν. Ἐς τὴν συνήθη παλινδρομεῖ κακίαν, καὶ μετοχετεύει τὸν νοῦν τοῦ ἁγίου εἰς τὰς ἀνουσίους αὐτοῦ καὶ ἀνυποστάτους ἐνεργείας ἐκείνας; καὶ οὐκ ἐγκαλύπτεται ὁ λίαν ἀναιδής, ἀλλὰ τὸ πληθυντικὸν ἐνταυθοῖ τῆς φωνῆς τῶν τριῶν ὑποστάσεων, ὡς ἀνυποστάτων ἀπείρων ἐνεργειῶν, καὶ ἀνουσίων θεοτήτων διαστρέφειν ἐθέλων δήλωσιν ὁ τὸν νοῦν καὶ τὴν γλῶσσαν διάστροφος, καὶ τὸν μέγαν διαβάλλει προφανῶς Διονύσιον, εἰς μαρτυρίαν τῆς ἑαυτοῦ προβαλλόμενος παρανοίας, ὡς ἀκήκοας ἀνωτέρω βραχύ. Πληθυντικῶς γάρ, φησί, προενεγκὼν Διονύσιος τὰς ἐλλάμψεις, οὐκ οὐσίαν οὔσας ἔδειξε τοῦ Θεοῦ. Οὐδέποτε γὰρ ἐκείνην πληθυντικῶς προάγεσθαι δίδωσιν. Ἐλλάμψεις δ' αὐτάς, φησί, καλέσας, ἀνάρχους καὶ ἀτελευτήτους αὐτὰς προσειπὼν, θείας καὶ ἀκτίστους ἐνεργείας ταύτας ἔδειξεν.

Ἠκούσατε οἷα τετόλμηκεν ὁ φιλόσοφος τοῖς περὶ Θεοῦ κακῶς ἐνυβρίζων λόγοις αὐτὸς, ἐν τοῖς αὐτοῦ λόγοις φάναι περὶ Θεοῦ; Καὶ τὸν ἠλιθιώτατον γάρ φησιν αἰσθέσθαι δίχα τῆς οἱασοῦν ἀποδείξεως, ἐκ τῶν εἰρημένων δηλαδὴ τοῖς ἁγίοις αὐτὴν τὴν οὐσίαν τοῦ θείου Πνεύματος εἶναι τὴν ἐνοικεῖν ἀποῤῥήτως λεγομένην τοῖς τῶν ἀνθρώπων ἀξίοις, καὶ διὰ τοῦτο ναοὺς Θεοῦ λέγεσθαι αὐτούς.

Καὶ αὖθις· Ἐντεῦθεν γάρ, φησί, γίνεται σαφέστερον τὸ τὴν τῆς Τριάδος οὐσίαν αὐτὴν ἐνοικεῖν τοῖς ἀξίοις, καὶ μονὴν παρ' ἀνθρώποις ποιεῖν. Καὶ πάλιν· Ἢ γὰρ οὐχ ὁρᾷς, ὡς ἡ μὲν τοῦ ἁγίου μαρτυρία τὴν τῆς ἁγίας Τριάδος οὐσίαν οἰκεῖν τοῖς ἀξίοις φησίν;

Ἆρα πεφώραταί τις τῶν μετὰ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, καίτοι γε καὶ πολλῶν τινων καὶ πολυειδῶς, ὥσπερ εἴρηται, βλασφημησάντων κατὰ καιροὺς εἴς τε τὸ τῆς θεότητος ὕψος, καὶ δὴ καὶ τὴν ἄῤῥητον οἰκονομίαν αὐτὴν, οὕτως ἰταμῶς, καὶ δίχα τινὸς προσωπείου ταυτηνὶ τὴν βλασφημίαν, ὡς ὁ κακοδαίμων καὶ πάντολμος οὗτος, οὐ φρονῶν μόνον, ἀλλὰ καὶ γράμμασι καὶ λόγοις ἀνακηρύττων, καὶ οὕτω πυκνά; Ἐγὼ μὲν οὐκ οἶμαι· πλὴν εἰ πρὸς Βαρλαὰμ καὶ Ἀκίνδυνον ἀναφέροι τις αὖθις τοὺς τῆς νέας αἱρέσεως ἀρχηγοὺς, καὶ αὐτοῦ δὲ τούτου πατέρας. Εἰπὲ γὰρ ἡμῖν, ὦ φιλόσοφε, πόθεν κἀκ τίνων ὁρμώμενος τῶν ἀρχῶν, τὴν κενὴν ταύτην θεολογίαν, μᾶλλον δὲ βλασφημίαν ἐφιλοσόφησας. Οἱ μὲν γὰρ τῆς ἱερᾶς θεολογίας ἐξηγηταὶ καὶ διδάσκαλοι, οἷς δὴ καὶ οἱ τῆς συνόδου Πατέρες ἐρειδόμενοι τὸν τόμον ἐξέδωκαν, καθόλου φασὶν, Οὐ τολμητέον εἰπεῖν, ἢ ἐννοῆσαί τι περὶ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. Τῆς γὰρ ὑπὲρ λόγον, καὶ νοῦν, καὶ οὐσίαν αὐτῆς ὑπερουσιότητος ἀγνωσίας αὐτῇ τὴν ὑπερούσιον ἐπιστήμην ἀναθετέον. Καὶ πάλιν· Περὶ ταύτης οὖν, ὡς εἴρηται, τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος οὐ τολμητέον εἰπεῖν οὔτε μὴν ἐννοῆσαί τι παρὰ τὰ θειωδῶς ἡμῖν ἐκ τῶν ἱερῶν λογίων ἐκπεφασμένα. Καὶ γὰρ ὡς αὐτὴ περὶ ἑαυτῆς ἐν τοῖς λογίοις ἀγαθοπρεπῶς παραδέδωκεν, ἡ αὐτῆς, ὅ τι ποτέ ἐστιν, ἐπιστήμη καὶ θεωρία, πᾶσιν ἄβατός ἐστι τοῖς οὖσιν, ὡς πάντων ὑπερουσίως ἐξῃρημένη.

A Κἀκεῖνοι μὲν ταῦτά τε καὶ τὰ παραπλήσια τούτοις· οὐδὲ γὰρ πάντα καιρὸς νυνὶ καταλέγειν ἑξῆς· σὺ δὲ πόθεν ἔχεις ἐκεῖνα λαβών; Ἐκεῖνοι γὰρ καὶ ἄῤῥητον εἰδότες τὸν Θεὸν καὶ ῥητὸν, καὶ ἄγνωστον καὶ γνωστὸν, καὶ μεθεκτὸν καὶ ἀμέθεκτον τὸν αὐτὸν, τὰ μὲν ἐκ τῶν κατ' αὐτὸν, τὰ δὲ ἐκ τῶν περὶ αὐτὸν, ὡς αὐτοί φασι, νῦν μὲν καὶ ῥητῶς διὰ τῆς φυσικῆς τοῦ Πνεύματος χάριτός τε καὶ δωρεᾶς φασι μετόχους γίγνεσθαι τοὺς ἀξίους Θεοῦ, καθὰ δήπου καὶ τὸν ἱερὸν Ἀναστάσιον τὴν ἀποστολικὴν ἐξηγούμενον ῥῆσιν καὶ ἅπαξ καὶ δὶς κατὰ ταυτὸ πρὸ βραχέος ἠκούσας λέγοντα· ὥσπερ δὴ καὶ τὰ πάντα μετέχειν οἱ αὐτοὶ Θεοῦ λέγουσι, κατὰ τοὺς δημιουργικοὺς δηλαδὴ καὶ προνοητικοὺς λόγους. Μηδὲ γὰρ εἶναί τι τοπαράπαν ἔξω τῆς δημιουργικῆς αὐτοῦ καὶ B προνοητικῆς ἐνεργείας τε καὶ δυνάμεως, ὅσα ἐν οὐρανῷ, καὶ ὅσα ἐπὶ γῆς. Νῦν δὲ καὶ Θεοῦ λέγοντες ἁπλῶς μετέχειν εἴτε τὰ παρ' ἐκείνου δημιουργηθέντα ταυτὶ ἔμψυχά τε καὶ ἄψυχα, εἴτε καὶ τοὺς ἀξίους τῆς αὐτοῦ υἱοθεσίας καὶ θεοποιοῦ ἐνοικήσεως, ἐκεῖνο διδόασιν ἡμῖν ἐννοεῖν, ὅπερ ἐν ἄλλοις αὐτοὶ διερμηνεύουσι, καθάπερ εἴρηται. τὸ τοὺς μὲν τῆς φυσικῆς αὐτοῦ δωρεᾶς τε καὶ χάριτος αὐτῆς ἐκείνης ἐν μεθέξει θεοπρεπεῖ γίγνεσθαι, τοῦτ' αὐτὸν κατὰ χάριν πεφηνότας κατ' αὐτοὺς ἐκείνους εἰπεῖν, ὅπερ κατὰ φύσιν αὐτός ἐστι, καὶ διὰ τοῦτ' αὐτὸ καὶ θεοὺς καὶ ἁγίους αὐτοὺς προσειρῆσθαι, τῇ πρὸς τὸν μόνον ἅγιον καὶ Θεὸν κατὰ φύσιν, ἐγγύτητί τε καὶ ὁμοιώσει· τὰ δὲ πάντα τῆς θελητικῆς καὶ δημιουργικῆς δυνάμεως τοῦ Θεοῦ μετέχειν, ὡς ἐκείνης ἔργα τε καὶ ἀποτε-C λέσματα, κατὰ τὰ προῤῥηθέντα τοῖς θεολόγοις ἤδη Πατράσι, καὶ προσέτι τῆς ἐκείνου προνοίας τὴν τοῦ εἶναι διαμονὴν, καθ' οὓς γεγόνασι λόγους συντηρούσης ἑκάστῳ.

Ἄλλως τε καὶ πῶς φῂς ἐνοικεῖν τοῖς ἀξίοις αὐτὴν τὴν τῆς ἁγίας Τριάδος οὐσίαν; Καὶ τίς, καὶ ποταπὴ ἡ τοιαύτη μετοχὴ τοῦ Θεοῦ; Δημιουργικὴ μὲν γὰρ οὐκ ἔστιν, ἀλλ' οὐδὲ προνοητική. Διότι πρῶτον μὲν ἐνέργειαν αὐτὸς οὐ δέχῃ τοῦ Θεοῦ εἶναι φυσικὴν καὶ θεοπρεπῆ· ταύτης δὲ κατὰ σὲ μὴ οὔσης, οὐδὲ ἐνεργεῖν, οὐδὲ δημιουργεῖν ἔστι τὸν Θεόν· ὡς γὰρ ὑπάρχειν οὐκ ἔστι, φησὶν ὁ σοφὸς Μάξιμος, ὑπάρξεως δίχα, οὕτως οὐδὲ ἐνεργεῖν ἐστιν ἐνεργείας δίχα· δεύτερον δ' ὅτι τῆς δημιουργικῆς καὶ προνοητικῆς τοῦ D Θεοῦ δυνάμεως καὶ ἐνεργείας οὐχ οἱ ἄξιοι τοῦ Θεοῦ μόνοι μετέχουσι, μᾶλλον δὲ οὐδὲ οἱ ἀνάξιοι μόνοι πρὸς τούτοις, ἀλλ' ἁπλῶς πάντα τὰ ὄντα. Αὐτὸς καὶ γὰρ εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. Καὶ πάντα μετέχει προνοίας, ὁ ἱερός φησι Διονύσιος, ἐκ τῆς παναιτίου θεότητος ἐκβλυζομένης. Ἀλλ' οὐδὲ τῆς οὐσίας αὐτῆς, φησί, καθ' αὐτὴν ἂν εἴη ποτὲ ἡ μετοχή. Ἡ γὰρ οὐσία καθ' ἑαυτὴν αὐτὴ, εἰ καὶ θεωρεῖται ὅ τι ἐστὶ δηλονότι, καθ' ὃ καὶ ἄλλο φαμὲν οὐσίαν, καὶ ἄλλο ὑπόστασιν, ἀλλ' οὐκ ἔστι δίχα τῶν αὐτῆς ὑποστάσεων. Οὐδὲ γὰρ ἄλλο τι πεφυκέναι τὴν ὑπόστασιν, οἱ θεολόγοι φασὶ Πατέρες, ἢ οὐσίαν μετὰ τῶν ὑποστατικῶν ἰδιωμάτων. Λείπεται τοιγαροῦν τὴν τῆς Τριάδος οὐσίαν κατὰ σὲ οὐκ ἄλλως ἐνοικεῖν ἀξίοις ἢ κατὰ τὰς θεαρ-

Digitized by Google

χικὰς ὑποστάσεις. Κατὰ ταῦτα γὰρ καὶ Τριὰς ἡ Τριάς. Εἰ οὖν αἱ τρεῖς θεαρχικαὶ ὑποστάσεις, ὡς φῄς, ἐνοικοῦσιν ἑκάστῳ τῶν ἀξίων Θεοῦ, τοσοῦτον ἕκαστος τῶν θεοειδῶν ἕξει κατὰ σὲ πλέον τοῦ θείου ναοῦ, ὃν δηλονότι δι' ἡμᾶς ᾤκησεν ὑπὲρ λόγον ὁ μονογενὴς Υἱὸς Θεοῦ, ὅσῳ τὸν μὲν ἕνα τῆς Τριάδος ἐκεῖνος ἔσχεν ἐν ἑαυτῷ καθ' ὑπόστασιν ἑνωθείς. Τούτοις καὶ γὰρ ὁ Πατὴρ, καὶ τὸ Πνεῦμα κατ' οὐδένα κεκοινώνηκε λόγον, ὁ ἱερός φησι Διονύσιος, εἰ μή που φαίη τις κατὰ τὴν ἀγαθοειδῆ καὶ φιλάνθρωπον ὁμοβουλίαν, καὶ κατὰ πᾶσαν τὴν ὑπερκειμένην καὶ ἄῤῥητον θεουργίαν, τῶν δὲ θεοφόρων ἕκαστος οὐ τὸν Υἱὸν τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα συνουσιωμένως ἑαυτῷ φέρει, καθάπερ αὐτὸς φῄς. Καὶ τί τῆς μυθολογίας καὶ τερατείας ταύτης, μᾶλλον δὲ τῆς καινῆς καὶ ἀτόπου θεομαχίας, ἴσον γένοιτ' ἄν; Καὶ ὁ μὲν προσληφθεὶς ἐκ τῆς παναγίας Παρθένου ναὸς, καὶ καθ' ὑπόστασιν ἑνωθεὶς τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ, καὶ Υἱός ἐστι τοῦ Θεοῦ καὶ Χριστὸς, εἷς καὶ γὰρ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ μετὰ τὴν σάρκωσιν, ὁ αὐτὸς Θεός τε καὶ ἄνθρωπος τέλειος, χρισθεὶς οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς, ὅ φησιν ὁ Θεολόγος Γρηγόριος, ἀλλὰ παρουσίᾳ τοῦ χρίοντος ὅλον· υἱοθετεῖ δὲ καὶ τοὺς πιστοὺς κατὰ χάριν διὰ τοῦ Πνεύματος ἑαυτῷ τε καὶ τῷ Πατρὶ, καὶ τῷ Πνεύματι, καὶ ἄλλους χριστοὺς αὐτοὺς ἐν αὐτῷ κατὰ τὸν θεῖον Ἀπόστολον ἀπεργάζεται· τοῦτο καὶ γὰρ τὸ τῆς ὑπὲρ ἡμῶν οἰκονομίας κεφάλαιον. Εἰ δ' οὐχ οὕτω ταῦτα κατὰ τὴν ἱερὰν δηλαδὴ θεολογίαν τε καὶ μυσταγωγίαν, ἀλλ' ἡ τρισυπόστατος θεότης κατ' οὐσίαν, ἢ καὶ κατὰ τὰς ὑποστάσεις, ὡς αὐτὸς φῄς, ἑκάστῳ τῶν ἀξίων ἐνοικεῖ, οὔτε φυσικῶς ἐστί τις ἐξ αὐτῶν υἱὸς τοῦ Θεοῦ· οὐδὲ γὰρ τὴν τοῦ Υἱοῦ μόνον ὑπόστασιν ἔσχεν ἐν ἑαυτῷ ὥσπερ ὁ ναὸς καθ' ὑπόστασιν ἑνωθεὶς μόνον τῷ Υἱῷ τοῦ Θεοῦ, ἀλλὰ καὶ τὰς τρεῖς ὑποστάσεις ὁμοῦ κατὰ σὲ, καὶ πῶς, ἢ τίνος εἴη Υἱός; Ἄλλως τε καὶ τοῦ κατὰ φύσιν Υἱοῦ, ἑνός τε καὶ μονογενοῦς ὄντος, οὔτε μὴν κατὰ χάριν Υἱὸς ἂν ἐκεῖνος γένοιτο· τίνι γὰρ ἂν καὶ υἱοθετηθείη ἔτι ὁ τῇ Τριάδι κατὰ τὰς ὑποστάσεις κατὰ σὲ ἡνωμένος; Ἀλλ' οὐδὲ Χριστὸς ἂν εἴη ὅ γε τοιοῦτος. Ὁ μὲν γὰρ προσληφθεὶς ναὸς, εἰ καὶ παρουσίᾳ ὅλου τοῦ χρίοντος, ἀλλ' οὐκ ἐνεργείᾳ κατὰ τοὺς ἄλλους ἡγιάσθη Χριστοὺς, καὶ πάσας ὁμοῦ τὰς δυνάμεις, καὶ τὰς ἐνεργείας τοῦ Πνεύματος ἔσχεν ἐν ἑαυτῷ, ἀλλ' οὐ καθ' ὑπόστασιν ἡνώθη τῷ Πνεύματι. Ἦ γὰρ ἂν καὶ Πνεῦμα ἅγιον ἦν ὁ Χριστὸς, καθ' ὑπόστασιν ἑνωθεὶς ἐκείνῳ, ὥσπερ δὴ καὶ Υἱός ἐστιν ἀληθὴς διὰ τὴν τοιαύτην ἕνωσιν. Ἀλλ' οὐκ ἔστιν. Ἓν γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ δὴ καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ καὶ μετὰ τὴν σάρκωσιν εἷς· εἰ μή που πρὸς τὴν Σαβέλλειον εἴη τις βλέπων συναλοιφὴν, καὶ ταύτῃ γε πῶς ἂν εἴποι τις ἡδόμενος. Ὁ δὲ τὸ Πνεῦμα κατ' οὐσίαν ἔνοικον ἔχων, ὡς αὐτὸς φῄς, ἦν μὲν ἂν καὶ Πνεῦμα ἅγιον καθ' ὑπόστασιν ἡνωμένος ἐκείνῳ, εἰ μὴ καὶ τῇ πατρικῇ τε καὶ υἱικῇ ὑποστάσει ἥνωτο κατὰ σέ· ἐπεὶ δὲ καὶ ταύταις, ὡς αὐτὸς φῄς, ὡσαύτως ἥνωται, οὐ μᾶλλον ἂν εἴη Πνεῦμα ἢ καὶ Πατὴρ, καὶ Υἱὸς, καὶ Πνεῦμα. Ἀλλ' οὐδὲ κατὰ χάριν οὗτος ἔσται Χριστὸς κατὰ σὲ, οὐ μόνον ὅτι τὴν τοιαύτην ἀπαρνῇ θεοπρεπῆ χάριν, ὑπὲρ οὗ σοι καὶ ὁ πόλεμος οὑτοσὶ πᾶς, ἀλλ' ὅτι καὶ χάριτι τοῦ Πνεύματος οὐκ ἔνι χρίεσθαι τὸν καθ' ὑπόστασιν ἡνωμένον αὐτῷ κατὰ σέ.

Ἀλλὰ ταύτην μὲν τὴν ἄτοπον αἵρεσιν, μᾶλλον δὲ τὰς αἱρέσεις, οὐδὲ ἔνι πρὸς ἡντιναοῦν τῶν ἀρχαίων αἱρέσεων ἀναγαγεῖν καθαρῶς, οὕτω πάσας τὸ κατ' αὐτὴν ὑπερήλασεν· εἰ μὴ πρὸ τὴν τῶν Μασσαλιανῶν φαίη τις. Ἐκείνῃ καὶ γάρ πως ἔοικε. Διὸ δὴ κἀκείνων αὐτὰ ταῦτα προϊσχομένων τὰ σὰ, καὶ τὴν τοῦ Θεοῦ οὐσίαν ἐνοικεῖν τοῖς παρ' ἐκείνοις κεκαθαρμένοις λεγόντων, καὶ τὴν Δεσποτικὴν ἐν Εὐαγγελίοις ἐκείνην διαστρεφόντων φωνὴν, τὴν, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, λέγουσαν, ἡ κατ' ἐκείνων συγκροτηθεῖσα τηνικαῦτα τῶν ὀρθοδόξων ἱερὰ σύνοδος, Γίνεταί τις, φησὶν, ἐπιδημία τοῦ Παρακλήτου, καὶ ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεός· ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης. Ἀγνοῶ δὲ ἐγὼ, καὶ πῶς ἂν ἡ κατὰ φύσιν ἐνοίκησις αὕτη τῶν θεαρχικῶν τριῶν ὑποστάσεων κατὰ τὴν τοῦ Γρηγορᾶ τερατείαν ἐν τοῖς ἀξίοις γίγνοιτο. καὶ τῆς οὐσίας αὐτῆς τοῦ Θεοῦ μετέχοιεν οἱ μετέχοντες. Τὸ μὲν γὰρ μετέχειν μέρος ἐστὶ τοῦ ὅλου λαμβάνειν, ὡς καὶ αὐτὸ δηλοῖ τὸ τῆς μετοχῆς ὄνομα. Διὸ καὶ τὴν εἰς τοὺς ἀποστόλους τοῦ θείου Πνεύματος ἐπιφοίτησιν ὁ θεηγόρος Λουκᾶς ἐν ταῖς αὐτῶν ἱστορῶν Πράξεσι, *Καὶ ὤφθησαν*, φησὶν, *αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός*· ὅπερ ὁ θεῖος Χρυσόστομος ἑρμηνεύων, Καλῶς, φησὶν, εἶπε, *διαμεριζόμεναι*. Ἐκ μιᾶς γὰρ ἦσαν ῥίζης, ἵνα μάθῃς, ὅτι ἐνέργειά ἐστιν ἐκ τοῦ Παρακλήτου πεμφθεῖσα.

Καὶ Παῦλος δὲ ὁ μέγας τὰ διάφορα χαρίσματα τοῦ θείου Πνεύματος ἀπαριθμησάμενος, *Πάντα δὲ*, φησὶ, *ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται*. Ἡ οὐσία δὲ καὶ αἱ ταύτης θεαρχικαὶ ὑποστάσεις ἀμέριστοι. Διὸ οὐδὲ μετοχὴ αὐτῶν ἂν εἴη ποτὲ, εἰ μὴ κατὰ τὰς φυσικὰς αὐτῶν ἐνεργείας. Ὅθεν καὶ ὁ θεῖος αὖθις Χρυσόστομος τὴν εὐαγγελικὴν ἐκείνην ἐξηγούμενος ῥῆσιν, τὴν, *Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα*, λέγουσαν, Ἡμεῖς, φησὶ, πάντες, περὶ τῶν ἀποστόλων δηλαδὴ λέγων, μέτρῳ τὴν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν (Πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει· αὕτη γάρ ἐστιν ἡ μεριζομένη)· οὗτος δὲ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν. Εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Ἀλλ' οὐδ' ἡ τῶν ὑποστάσεων ἕνωσις οὕτω γίγνεται, ὥστε ὑπόστασιν ὑποστάσει τινὶ συνελθοῦσαν, μίαν ἐξ ἀμφοῖν ἀναδεῖξαι ὑπόστασιν· αὕτη καὶ γὰρ ἡ ἕνωσις οὐχὶ τῇ Χριστοῦ Ἐκκλησίᾳ, ἀλλὰ Νεστορίῳ προσήκουσα μᾶλλόν ἐστι, καθὰ δὴ καὶ προὔφην, υἱῶν ἐπεισαγαγόντι δυάδα κακῶς. Μᾶλλον δ' ἐκεῖνος μὲν τὰς τοιαύτας κακῶς ἑνώσεις παραληρῶν, καὶ κατὰ σχέσιν ἡνῶσθαι λέγων τὰς ὑποστάσεις, οὐ μίαν ἐξ ἀμφοῖν ἀποτελεῖσθαι τῶν ὑποστάσεων ἔλεγε, τῆς τε θείας καὶ τῆς ἀνθρωπίνης, ἀλλὰ διπλᾶς ἔλεγε τὰς ὑποστάσεις, υἱῶν ἐπεισ-

Digitized by Google

ἄγων δυάδα, καὶ τὸν ἕνα καὶ μετὰ σάρκωσιν μονογενῆ Υἱὸν τοῦ Θεοῦ εἰς δύο διαιρῶν κάκιστα. Γρηγορᾶς δ' οὑτοσὶν ἑκάστῳ τῶν ἀξίων τὴν θεαρχικὴν ἐνοικίζων Τριάδα, μόνος αὐτὸς ἂν λέγοι τί τὸ ἐκ τούτου συναγόμενον, καὶ ὅσον ὑπερήλασε κακῶς κατὰ ταῦτα καὶ τὸν λῆρον ἐκεῖνον Νεστόριον. Ὅθεν καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τὴν τῶν δύο τοῦ Χριστοῦ φύσεων ἀσύγχυτον ἕνωσιν καθ' ὑπόστασιν γεγενῆσθαι διδάσκουσα, οὐ τὴν θείαν ὑπόστασιν τοῦ Μονογενοῦς ἀνθρώπου ὑποστάσει φησὶν ἐνοικῆσαι· ἦσαν γὰρ ἂν οὕτω δύο ὑποστάσεις ἐξ ἀνάγκης, καὶ δύο υἱοί· ἀλλ' ἐῤῥέτω, φασὶ, τὸ Νεστόρειον πτῶμα, καὶ σὺν ἐκείνῳ γε οἱ τἀκείνου φρονοῦντες κακῶς, ἀλλὰ τὴν ἀνθρωπείαν φύσιν τελείαν, ἔν γε τῇ ἑαυτοῦ ὑποστάσει ὁ Μονογενὴς ὑποστήσας Υἱὸς τοῦ Θεοῦ, μίαν ἀμφοτέρων τῶν αὐτοῦ φύσεων δέδειχε τὴν ὑπόστασιν, καὶ οὕτω καὶ μετὰ τὴν ἀπόῤῥητον ἕνωσιν εἷς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐν δυσὶ τελείαις ταῖς φύσεσι, τῇ τε θείᾳ φημὶ καὶ τῇ ἀνθρωπείᾳ, ὁ αὐτὸς καὶ γνωρίζεται καὶ προσκυνεῖται καλῶς καὶ πιστεύεται.

Ὁ δὲ Γρηγορᾶς ὡσανεὶ κοιμωμένῳ καὶ ῥέγχοντι ἐοικὼς πρὸς ταῦτα πάντα, ἢ καὶ μεθύων ἄνευ οἴνου, τὸ τῆς θείας φάναι Γραφῆς, τοὺς μὲν περὶ μετοχῆς θείας καὶ ἐνεργείας τῶν ἁγίων πολλοὺς καὶ καλοὺς λόγους, καὶ ταῦτα πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ κειμένους, ὡς μηδὲ λαλοῦντας, μηδὲ ὄντας παρέρχεται· μέρη δέ τινα τῆς ἐκείνων κακῶς ἀποῤῥήξας θεολογίας ὡς ἔπος αὐτῷ, ἔπειτα κἀκείνοις διεστραμμένως τε καὶ κακῶς ἐπιφύεται, τὴν προῤῥηθεῖσαν ἐν Εὐαγγελίοις Δεσποτικὴν ἐκείνην φωνὴν, τὴν, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, μετὰ Μασσαλιανῶν κακῶς ἐξηγούμενος, καὶ τὸ μεθεκτὴν εἶναι τοῦ Θεοῦ τὴν οὐσίαν ἐντεῦθεν συνάγει οἰόμενος, καὶ μηδὲ τὴν κατ' ἐκείνων ἀπόφασιν τῆς κατ' ἐκείνων αἰδούμενος ἱερᾶς συνόδου, μεταξὺ τοῦ συνοδικοῦ τόμου καὶ τῶν θεολογικῶν λόγων κειμένην.

Ἀλλὰ καλὸν ἂν εἴη, καὶ αὖθις ἡμᾶς τοὺς περὶ μετοχῆς θείας τῶν ἱερῶν Πατέρων λόγους καὶ τὴν θεολογίαν ἐκ τοῦ τόμου προενεγκεῖν, οὓς δὴ κακούργως ὁ Γρηγορᾶς ἀπεκρύψατο. Καὶ δὴ πρὸ τῶν ἄλλων ἡμῖν Ἀθανάσιος ὁ μέγας εἰσαγέσθω τῷ λόγῳ περὶ τῶν προκειμένων διδάξων, ἐπειδὴ καὶ τὰ τούτου πρὸ τῶν ἄλλων ὁ Γρηγορᾶς διασπάσας τε καὶ ἀποσυλήσας κακῶς ἔκ γε τοῦ συνοδικοῦ τόμου δείκνυται. μᾶλλον δὲ πρὸ τοῦ τὰς ῥήσεις ἐκείνας ὡς ἔχουσιν ἐκθέσθαι τοῦ θεολόγου, τὴν ἱεροσυλίαν τοῦ Γρηγορᾶ τῶν ἐκείνου λόγων ἀπολαβόντες εἰς μέσον ἑλκύσωμεν, ἵνα κἀντεῦθεν παρὰ πόσον ἐκεῖνος ἥκει τῆς ἀληθείας δῆλον τοῖς πᾶσι γένηται. Φέρει πρὸ τούτου, φησὶ πρὸς τὸν ἑαυτοῦ ἀκροατὴν Ἀγαθάγγελον, καθάπερ οἶσθα μᾶλλον αὐτὸς ὁ καὶ ταῦτα κεκομικὼς ἡμῖν, τὸν μέγαν Ἀθανάσιον λέγοντα, ὡς τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδοὺς ἔστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατὴρ, καὶ οὕτως ἐστὶ τὸ, *Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*. Καὶ ταῦτα μὲν ὁ φιλόσοφος ἀφιλοσόφως τε καὶ αἰσχρῶς πάνυ, τὴν

A μὲν τοῦ διδασκάλου περὶ τοῦ θείου Πνεύματος ἱερὰν σχεδὸν πᾶσαν θεολογίαν ἐκ μέσου ποιήσας, καὶ ταῦτα καθ' ἡμῶν ταύτην προφέρων ὡς κακῶς δῆθεν, καὶ μὴ κατὰ τὸν τοῦ θεολόγου σκοπὸν αὐτῇ χρησαμένων, βραχύτατον δέ τι χωρίον καθ' ἑαυτοῦ τοῦ παντὸς ἀποτεμόμενος λόγου, αὐτὸ δὴ τοῦτό φημι, τὸ παρὰ τῶν Μασσαλιανῶν συληθὲν ἐκ τῶν θείων λογίων, ὃ δὴ καὶ τῇ συνόδῳ τότε πρὸς τὴν ἐκείνων καταδίκην ἐξήρκεσεν, Ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεὸς, εἰπόντων τῶν Πατέρων, ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης. Ἀλλ' ὁ τόμος αὖθις λεγέτω καὶ διεξιέτω τὰ ἑαυτοῦ, μᾶλλον δὲ τὰ τῶν θεολόγων Πατέρων ἀσφαλῶς τε καὶ ἀνοθεύτως ὡς ἔχουσι.

Καὶ ὁ μέγας, φησὶν, Ἀθανάσιος, ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ, Πάντα, φησὶ, τὰ τοῦ Πατρὸς B τοῦ Υἱοῦ ἐστι. Διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα, καὶ τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδοὺς ἐστιν ἐν ἡμῖν, καὶ ἐν τῷ Λόγῳ ἐστὶν ὁ Πατήρ. Καὶ οὕτως ἐστὶ τὸ, *Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, καθάπερ εἴρηται. Ἔνθα γὰρ τὸ φῶς, ἐκεῖ καὶ τὸ ἀπαύγασμα· καὶ ἔνθα τὸ ἀπαύγασμα, ἐκεῖ καὶ ἡ τούτου ἐνέργεια καὶ αὐτοειδὴς χάρις.

Καὶ τοῦτο πάλιν διδάσκων ὁ Παῦλος ἔγραφεν αὖθις Κορινθίοις ἐν τῇ δευτέρᾳ ἐπιστολῇ λέγων· *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, μετὰ πάντων ἡμῶν*. Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ Πατρὸς διὰ C Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ γὰρ ὡς ἐκ Πατρός ἐστι διὰ Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν Πνεύματι τῷ ἁγίῳ. Τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν· μία ἄρα ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται.

Τί πρὸς ταῦτα λέγεις, ὦ Γρηγορᾶ; Τίς ἐστιν ὁ κατατέμνων καὶ διαστρέφων τὰς θείας Γραφάς; Θείας καὶ γὰρ τὰ τῶν θεολόγων σὺ λέγεις Γραφὰς συνεχῶς, μηδὲ αὐτὸ τοὔνομα καλῶς εἰδὼς, μηδὲ ἐπιστάμενος, τίνα μὲν θεῖαι Γραφαὶ, ὅσα τῆς Παλαιᾶς φημι καὶ ὅσα τῆς Νέας, τίνα δὲ διδασκάλων καὶ θεολόγων λόγοι, καὶ ἐξηγήσεις καὶ ἑρμηνεῖαι D μᾶλλον ἐκείνων, ἀλλ' οὐχὶ θεῖαι Γραφαί. Τίς ἐστιν ὁ διαστρέφων ταῦτα καὶ ἀπαλείφων, καὶ ταῦτ' οὐχ ἁπλῶς, ἀλλ' ὅτε καὶ ἀντιλέγειν καὶ ἀντιπίπτειν δι' αὐτῶν ἐπιχειρεῖς τῇ Χριστοῦ Ἐκκλησίᾳ; Τίς ὁ τούτων ἄτοπος τολμητὴς καὶ βωμολόχος, καὶ ἱερόσυλος, ἃ σὺ πολλάκις ἡμῶν συκοφαντῶν κατεψεύσω; ὁ τόμος καὶ ἡ σύνοδος, καὶ ὁ ταύτης ἱερὸς προστάτης Γρηγόριος, ἢ σύ; Εὔδηλον ὅτι σὺ, καὶ οὐδὲ ἀποφυγεῖν οὐδὲ ἀρνήσασθαι δήπουθεν ἔξεστιν, οὕτω σοι παρὰ σαυτοῦ τῶν ἐλέγχων καὶ μάλα γε λαμπρῶς ἐπιόντων. Ἐμοὶ δὲ καὶ θαυμάζειν ἔπεισιν ἄλλως, τίσιν ἄρα λογισμοῖς χρησάμενος Γρηγορᾶς, τῇ καινοτομίᾳ ταύτῃ κατὰ τῶν τοῦ διδασκάλου λόγων οὕτω κακῶς ἐχρήσατο. Ἐπεὶ γὰρ ἀντειπεῖν ἐσκέψατο πᾶσι τοῖς κεφαλαίοις ἐκείνοις, ἅπερ αὐτὸς ἀπὸ τοῦ

Digitized by Google

συνοδικοῦ τόμου προὔθηκε λαβὼν ἑαυτῷ, πᾶσιν ἐξῆς ἐπεξελθεῖν ἔδει, καὶ πάντα διαλῦσαι κατὰ μέρος, οἷς ἕκαστον ἐκείνων ἐρείδεται, ἀλλὰ μὴ τὰ μὲν πάντα πλὴν ὀλίγων σιγῇ παρελθεῖν, ἐνίων δὲ ἀποτεμὼν τινα μόρια τοῦ παντὸς, ἑαυτοῦ δῆθεν ἔργον ποιήσασθαι, καὶ οὕτω τοὺς ἑαυτοῦ λόγους ἀντιῤῥητικοὺς ἐπιγράψαι τοῦ τόμου ψευδῶς. Ἄλλως τε ὁ μὲν τοῦ σκοποῦ καὶ τοῦ λόγου τῶν προκειμένων ἔν γε ταῖς τοιαύταις ἀντιλογίαις ἐχόμενος, τὰς ἐνστάσεις τε λύων τῷ προσδιαλεγομένῳ, καὶ πρὸς τὰς ὑπ' ἐκείνου προαγομένας Γραφικάς τε καὶ θεολογικὰς μαρτυρίας ὑγιῶς τε καὶ κατὰ νόμους θείους ἀπολογούμενος, εἰ καὶ τὰ πλεῖστα παρατρέχοι τῶν ἀντιλεγομένων, ἀλλὰ τὸν σκοπὸν, ᾗπερ ἔφην, καὶ ὑπόθεσιν διασώζων, οὐ λυμαίνεται τῷ παντί· δυνάμει καὶ γὰρ οἱονεὶ καὶ πρὸς πάντ' ἐκεῖνα τὴν ἀπολογίαν ἐκτείνει, καὶ τοῖς παραληφθεῖσι διὰ τὸ μῆκος οὐδὲν ἧττον διὰ τῶν εἰρημένων καλῶς ἐπεξέρχεται· τοῦτο καὶ γὰρ τοῖς τε θεολόγοις Πατράσιν ἐν τοῖς ἀντιῤῥητικοῖς ἄνωθεν ὥσπερ νενόμισται, καὶ ἡμεῖς τοῖς αὐτοῖς ὡσαύτως κεχρήμεθα, τοῖς διδασκάλοις ἑπόμενοι· ἐπεὶ μηδὲ ἔξεστιν ἄλλως· ὁ δὲ μήτε πρὸς τὸν σκοπὸν μήτε πρὸς τὸν λόγον ἄντικρυς λέγων μηδὲν ὑγιὲς, οὐ μὴν οὐδὲ τὰς ἐνστάσεις οὐδοπωστιοῦν λύων, καὶ τὸ χεῖρον ἐκείνων πάντων καὶ ἀτοπώτατον, τὰ κοινὰ παρατρέχων τῆς πίστεως ἀξιώματα, καὶ τοὺς τούτων ἐξηγητάς τε καὶ θεολόγους, καὶ ταῦτα τοσούτους ὄντας καὶ τηλικούτους, τοὺς μὲν σιωπῇ παρατρέχων, τοὺς δὲ συκοφαντῶν, καὶ ταῖς ὕβρεσι τολμηρῶς πλύνων, ὡς δὴ τὸν τόμον καὶ ἡμᾶς δῆθεν, τοῦ δὲ τὰ μὲν πλεῖστα λήθης διδοὺς φέρεσθαι κύμασι, σμικρὰ δέ τινα τοῦ παντὸς ἀποκλέπτων καὶ δι' ἐκείνων κακῶς οἰόμενος ἐπιτίθεσθαι τῷ παντὶ, ταῦτα δὴ τὰ τῷ Γρηγορᾷ συχνῶς ἐν τοῖς λόγοις τολμώμενα, τὸν δὴ τοιοῦτον τί ἄν τις εἰπὼν, ἀξίως τῆς ἀνοίας αὐτοῦ καὶ τῆς τόλμης προσείποι; τά τε ἄλλα φημὶ, καὶ ὅτι λήσειν οὕτω προδήλως ἐνασελγαίνων τοῖς θείοις τοὺς πάντας κακῶς ἤλπισε.

Φέρε καὶ γὰρ τὸν σὸν σκοπὸν, καὶ τοὺς λόγους αὐτὸς δίδαξον ἡμᾶς, Γρηγορᾶ. Οὐδὲ γὰρ ἔχομεν ἀφ' ἑαυτῶν ἀκριβῶς αὐτοὶ συνιδεῖν. Ἡ γὰρ ὑπὲρ σοῦ καὶ τῆς σῆς δόξης, ἢ πρὸς ἡμῶν τε καὶ τοῦ συνοδικοῦ τόμου, ἢ πρὸς μηδένας ἡμῶν τοὺς θεολογικοὺς, ὁρᾷν ἐκείνους λόγους ἡγήσω, ἀλλ' ἁπλῶς οὕτω καὶ εἰκῇ παρ' ἡμῶν προσεῤῥίφθαι. Καὶ εἰ μὲν τὸ πρῶτον καινὸν ἂν εἴη, καὶ εἰς αἴνιγμα πίπτον, εἰ πάντα κάλων αὐτὸς κινῶν, ὃ δὴ λέγεται, καὶ βιβλία καθ' ἡμῶν τοσαῦτα συντάττων, καὶ πάντας μὲν Ἑλληνικοὺς ἀνακινῶν λόγους καὶ μύθους καὶ παροιμίας, πάσας δὲ παρεξηγούμενος σχεδὸν ἱερὰς ῥήσεις, καὶ καθ' ἡμῶν τὰ μὴ ὄντα συμπλάττων, τοὺς τῶν θεολόγων μεταξὺ λόγους πολλοὺς καὶ μεγάλους καθ' ἡμῶν ὄντας παρῆκας, ὥσπερ ἐπίτηδες αὐτὸς ἀντιλέγων σαυτῷ, καὶ τὴν ἰδίαν ἧτταν κατασκευάζων· εἰ δὲ πρὸς ἡμῶν τε καὶ τῆς ἀληθείας ἐκεῖνα νομίσας, ἔπειτα κρύπτειν ὑπ' αἰσχύνης δεῖν ᾤου, καὶ σιγῇ καὶ σκοτίᾳ τὸν λόγον διδόναι, καὶ πῶς οὐκ ᾐσχύνθης μᾶλλον, ἀδυνάτοις ἐπιχειρῶν; Τό τε γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, χρησμοὶ θεῖοι τοῦτό φασι, καὶ ὁ τοῦ Θεοῦ λόγος αὖθις οὐ δέδεται. Μᾶλλον μὲν οὖν δυοῖν θάτερον ἔδει σε πρᾶξαι, ἢ τῇ Ἐκκλησίᾳ προσελθεῖν καὶ ὑπογράψαι τῷ ταύτης ὅρῳ, τὴν ἀλήθειαν ὡς ἔδει μεταμαθόντα, οὕτω καὶ γὰρ ἂν ἀνδρὸς εὐσεβοῦς τε καὶ φιλοσόφου καλῶς ἐπεπράχεις ἔργον, ὑπὲρ γὰρ Θεοῦ καὶ τῆς κατ' αὐτὸν ἀληθείας οἱ λόγοι, ἢ σιωπᾷν γοῦν, καὶ ὑποχωρεῖν, καὶ καταδύεσθαι, καὶ μὴ γρύζειν. Οὕτω καὶ γὰρ ἂν εἴης σαυτῷ γοῦν συμφωνῶν. Εἰ δὲ τὸ τρίτον, οὐδὲ οὕτω σε τοὺς τῶν διδασκάλων λόγους, τοὺς μὲν διασπαράττειν, τοὺς δὲ καὶ ἀποκρύπτειν εἰσάπαν ἔδει. Προάγειν μὲν οὖν καθ' ἡμῶν σε καὶ ἀνακηρύττειν ἐκείνους ἐχρῆν, καὶ τοῖς μὲν τὴν τιμὴν καὶ τὰ γιγνόμενα σώζειν, καταισχύνειν δὲ τοὺς εἰκῇ καὶ παρὰ τὸν σκοπὸν ἐκείνοις χρωμένους, καὶ οὕτως οὐδὲν ἧττον τὴν νικῶσαν κἀντεῦθεν περιποιεῖσθαι σαυτῷ. Νῦν δὲ λῆρος καὶ γέλως πλατὺς ἄντικρυς πάντα τὰ παρὰ σοῦ, καὶ πάντα ὁμοῦ φασι χρήματα, καὶ οὐδὲν ὑγιές.

Ἀλλὰ σκοπήσωμεν, εἰ δοκεῖ, καὶ τοὺς προῤῥηθέντας περί τε τοῦ θείου Πνεύματος, καὶ θείας μετοχῆς, Ἀθανασίου τοῦ μεγάλου φημὶ, λόγους, καὶ τὰ παρ' ἡμῶν τε καὶ τοῦ φιλοσόφου παραθέντες ἐκείνοις, σκεψώμεθα τήν τε διαφορὰν ὡσαύτως καὶ τὴν ὁμοίωσιν. Θεοῦ τοιγαροῦν μετεχομένου, καὶ τοῖς ἀξίοις τοῦ Πνεύματος ἐνοικοῦντος κατά τε τὰς ἱερὰς δηλαδὴ Γραφὰς, καὶ τὰς τῶν διδασκάλων ἐξηγήσεις τε καὶ θεολογίας, καὶ αὐτὸν δέ φημι Γρηγορᾶν, δοκεῖ καὶ γὰρ εἰ καὶ μὴ καλῶς, ἀλλ' ὁμολογεῖν ὁπωσδήποτε τοῦτο, ἡμεῖς μὲν οὐ κατ' οὐσίαν ἀλλὰ κατ' ἐνέργειαν φυσικήν τε καὶ χάριν τὴν τοῦ Θεοῦ μετοχὴν ταύτην καὶ τὴν ἀπόῤῥητόν φαμεν ἐνοίκησιν γίγνεσθαι. Τοῦτο καὶ γὰρ ἄντικρυς καὶ Γραφὴν πᾶσαν καὶ διδασκαλίαν θεόπνευστον καὶ βούλεσθαι καὶ κηρύττειν· ἐκεῖνο δὲ μηδαμῶς· μηδὲ γὰρ ὅλως ἐξεῖναι. Ὁ δὲ Γρηγορᾶς κατ' ἐνέργειαν μέν φησι καὶ χάριν οὐδοτιοῦν. Μηδὲ γὰρ εἶναι περὶ τὸν Θεὸν φυσικόν τι καὶ ἄκτιστον, μήτε δύναμιν μήτ' ἐνέργειαν μήτε χάριν, ἀλλ' ὀνόματα ταῦτα πάντα κατὰ τῆς θείας οὐσίας εἶναι λεγόμενα· τὸ δὲ μόνην οὐσίαν εἶναι. Διὸ καὶ τοῖς ἀξίοις αὐτήν φησι τὴν τῆς θεαρχικῆς ἐνοικεῖν Τριάδος οὐσίαν, καὶ ταύτην ὑπ' ἐκείνων οὐκ ἄλλο μετέχεσθαι.

Φέρε τοιγαροῦν Ἀθανάσιον τῷ λόγῳ παραγαγόντες τὸν μέγαν, καθὰ δὴ καὶ προὔφην, παρ' ἐκείνῳ καὶ δὴ τὰ ἡμέτερα θεωρήσωμεν· διαιτήσει καὶ γὰρ ἑκατέροις ἐκεῖνος καλῶς. Καὶ πρῶτόν γε τῶν ἄλλων τὸν τοῦ λόγου σκοπὸν, καὶ τὴν βούλησιν τοῦ μεγάλου σκοπήσωμεν. Σκοπὸς καὶ γὰρ αὐτῷ πρός γε τὴν ἐπίσκοπον Σεραπίωνα, περὶ τοῦ θείου Πνεύματος ποιουμένῳ τὸν λόγον, ὁμοούσιον αὐτὸ, καὶ ὁμοδύναμον, καὶ ὁμόθεον, ἵν' οὕτως εἴπω, δεῖξαι τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Ἀποδείκνυσιν τοίνυν συλλογιζόμενος ἱερῶς ἔκ τε τῆς τῶν θείων πραγμάτων προσγενομένης ἱερᾶς αὐτῷ πείρας, καὶ δὴ καὶ τῆς ἀποστολικῆς θεολογίας, ὅτι τὰ διδόμενα τοῖς ἀξίοις ἐν τῇ ἁγίᾳ Τριάδι θεῖα χαρίσματα παρὰ Πατρὸς διδόντα. δι'

Υἱοῦ ἐν ἁγίῳ Πνεύματι. Οἱ δὲ τὰ αὐτὰ διδόντες ἐξ ἑαυτῶν τῆς αὐτῆς εἰσι δυνάμεως καὶ ἐνεργείας. Ὁ Πατὴρ ἄρα καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὰ αὐτὰ διδόντες θεῖα χαρίσματα, μίαν καὶ τὴν αὐτὴν ἐνέργειαν ἔχουσι. Τῷ δὲ ἄρα καὶ τὸ ὁμοούσιον καὶ ὁμόθεον τῆς θεαρχικῆς Τριάδος αὐτίκα συναποδείκνυται, ἀξιώματος ὑποκειμένου φυσικοῦ τε καὶ θεολογικοῦ, τοῦ τὰ τῆς αὐτῆς ἐνεργείας τε καὶ δυνάμεως ὄντα καὶ τῆς αὐτῆς εἶναι οὐσίας, ὥσπερ δὴ καὶ τὸ ἔμπαλιν, τὸ τὰ μὴ τῆς αὐτῆς ἐνεργείας πεφυκότα μηδὲ τῆς αὐτῆς πεφυκέναι οὐσίας· ὅπερ αὐτῷ τε τούτῳ σύν γε τοῖς λοιποῖς θεολόγοις Πατράσι πεφιλοσόφηται κάλλιστα, καὶ πρὸς τούτοις Βασιλείῳ γε τῷ σοφῷ. Ποῦ τοίνυν ἐν ἐκείνοις Ἀθανάσιος εἶπεν ὁ μέγας, φιλόσοφε, αὐτὴν τὴν οὐσίαν τοῦ θείου Πνεύματος, αὐτὴν τὴν τῆς ἁγίας Τριάδος οὐσίαν ἐνοικεῖν τοῖς ἀξίοις, ὡς αὐτὸς φῄς; Τὴν μὲν γὰρ δωρεὰν, καὶ τὴν χάριν, καὶ τὴν ἀγάπην, ὅπερ ἡμεῖς λέγομεν ἄνω τε καὶ κάτω, καὶ ἁπλῶς πανταχοῦ τοῦ λόγου· τὴν οὐσίαν δὲ ποῦ; Πάντως οὐδαμοῦ. Ἢ δεῖξον αὐτὸς, καὶ ἡμεῖς σιωπήσομεν. Καὶ οὐ μόνον ἀπεσιώπησεν ὁ διδάσκαλος τοῦτο καθάπαξ, ἅτε δὴ μηδὲ ὂν τὴν ἀρχὴν, ἀλλὰ καὶ τὸν θεῖον ἐκεῖνον χρησμὸν, τὸν, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, ὅπως δεῖ νοεῖν μεταξὺ διερμηνεύει, ἵνα μὴ κατ' οὐσίαν ὑπολάβῃ τις τὸν Θεὸν εἶναι μεθεκτὸν κατὰ σὲ, κατὰ δὲ τὴν χάριν καὶ τὴν δωρεὰν μᾶλλον, ὡς αὐτὸς οὗτος ὑπέδειξε. Καὶ ὅρα μοι τὸ θεολογικὸν ἐκεῖνο χωρίον, ἄνωθεν κἀξ αὐτῆς φημι τῆς ἀρχῆς. Πάντα, φησὶ, τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι. Διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πνεύματός ἐστι χαρίσματα· καὶ τοῦ Πνεύματος ὄντος ἐν ἡμῖν, καὶ ὁ Λόγος ὁ τοῦτο διδοὺς ἔστιν ἐν ἡμῖν. Καὶ οὕτως ἐστὶ τὸ, *Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, καθάπερ εἴρηται. Πάντα, φησὶ, τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι. Διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα.

Τίνα ταῦτα σὺ λέγεις εἶναι, φιλόσοφε, τοῦ Πατρὸς τὰ χαρίσματα, τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα; Κτίσματα γὰρ οὐκ εἰσί. Πῶς γάρ; ὧν ἐν ἡμῖν γινομένων, τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν ὁ θεολόγος οὗτος εἶναί φησι, καὶ ἐν τῷ Πνεύματι τὸν Υἱὸν σὺν τῷ Πατρί. Ὃ δὴ καὶ ὁ θεῖος ὡσαύτως δεικνὺς Κύριλλος, πρὸς μὲν Ἑρμείαν αὐτὸ τοῦτο δηλαδὴ πυθόμενον, πῶς ἂν ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐνοίκησις ἐν ἡμῖν νοοῖτο καὶ πράττοιτο, μία τις οὖσα καὶ οὐ διάφορος; Καὶ μὴν, φησὶν, οὐδοπωστιοῦν ἔν γε δὴ τούτῳ τὸ χαλεπὸν καὶ δυσέφικτον. Πῶς γὰρ ἂν ἑτέρως ἢ διὰ τοῦ ἁγίου Πνεύματος θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι' ἑαυτοῦ, καὶ τῆς ἀῤῥήτου φύσεως κοινωνοὺς ἀποφαίνοντος; Ἐν δὲ τοῖς *Θησαυροῖς* ὁ αὐτὸς, Ἀλλ' εἴ περ ἦν, φησὶν, ὄντως ποίημα κατὰ τὴν τῶν ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, τοῦτο φρονεῖν ὀρθῶς ἐκβοήσεται, ὡς τολμῆσαι καὶ μόνον εἰπεῖν, τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων διακονεῖσθαι πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς διαβαίνουσαν φυσικῶς πρός τινας τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν.

Ἄλλως τε, οὐδὲ σύ γ' αὐτὸς ἂν, οἶμαι, τοῦτο φαίης ποτὲ, τὸ διὰ κτισμάτων τὸ θεῖον ἐνοικεῖν Πνεῦμά φημι τοῖς ἀξίοις, ὁ τὴν οὐσίαν αὐτὴν τοῦ Πνεύματος, καὶ αὖθις τὴν τῆς ἁγίας Τριάδος οὐσίαν, ἀνωτέρω πολλάκις ἐνοικεῖν ἐκείνοις εἰπών. Ἢ γὰρ τἀναντία τῶν σῶν δογμάτων τε καὶ λόγων κατασκευάσεις, εἰ ταῦθ' οὕτως ἀντιστρόφως ἐκ τοῦ σύνεγγυς λέγοις, ἢ ταυτὸν εἶναι δοξάσεις κατὰ πᾶσαν ἀνάγκην οὐσίαν Θεοῦ, καὶ κτίσμα Θεοῦ. Ὅπερ οὐχ ἁπλῶς ἄτοπον, ἀλλ' ἀθεΐα καὶ λατρεία κτισμάτων, οὐκ οἶδ' εἴτε τὴν Περσικὴν εἴτε τὴν τῶν Χαλδαίων ἐκείνων χρὴ λέγειν.

Κτίσματα μὲν οὖν οὐκ ἂν εἶεν ἐκεῖνα, οὐδὲ κατὰ σὲ, ἀλλ' οὐσία γε ἐκεῖνα τῆς τρισυποστάτου θεότητος. Μία μὲν γὰρ ἐκείνη καὶ ἔστι καὶ λέγεται πανταχοῦ, καὶ τοῦτο πρῶτον καὶ κοινὸν ἀξίωμα τῆς τῶν πιστῶν εὐσεβείας, ὡς καὶ αὐτὸς ἂν εἴποις· τὰ δὲ οὐχ ἓν, ἀλλὰ πολλά· πάντα γὰρ, φησὶ, τὰ παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι διδόμενα. Καὶ ἡ μὲν θεία οὐσία οὐ δίδοταί τινι οὐδὲ χαρίζεται· πῶς γάρ; ἡ διδοῦσα γὰρ, ἀλλ' οὐχὶ τὸ διδόμενόν ἐστιν ἐκείνη· τὰ δὲ δίδοται, καθάπερ ἀκούεις· χαρίσματα γάρ. Διὸ καὶ ὁ θεῖος Κύριλλος οὐκ ἄλλως ἐνοικεῖν ἔφη τοῖς ἀξίοις τὸν Πατέρα καὶ τὸν Υἱὸν ἢ διὰ τοῦ ἁγίου Πνεύματος. Πῶς δὲ τοῦτο, καὶ κατὰ τίνα τὸν τρόπον; Θείων, φησὶ, χαρισμάτων τοῦ ἁγίου Πνεύματος ἀναπιμπλάντος αὐτούς. Καὶ τὰ μὲν τὸν διδόντα χαρακτηρίζει, ὅτι Θεὸς, ὅπερ καὶ ὁ θεῖος Ἀναστάσιος εἰπὼν ἔφθη· ἡ δὲ οὐσία χαρακτηρίζει οὐδέν· τῶν γὰρ χαρακτηριζομένων, οὐ τῶν χαρακτηριζόντων ἐστίν.

Ἐπεὶ τοίνυν οὔτε κτίσματα ταῦτα, οὔτε μὴν ἡ οὐσία τοῦ Θεοῦ, καθὰ δὴ καὶ δέδεικται παρὰ τῶν θεολόγων, ἀπώλεσεν ὁ φιλόσοφος ἐν βραχεῖ οὐ τοὺς κατ' αὐτὸν ἀξίους τῆς τοῦ Θεοῦ ἐνοικήσεως, ἀλλὰ καὶ τὸν ἴδιον ἑαυτοῦ Θεόν. Ἀλλ' οἱ πείρᾳ καὶ ἕξει τὸν ἀληθινὸν εὑρηκότες Θεὸν, καὶ κατ' ἀλήθειαν ἔνοικον αὐτὸν σχόντες, καὶ διὰ ταῦτ' ἄρα καὶ θεολογεῖν αὐτὸν ἀσφαλῶς ἐπιστάμενοι, καὶ ἤδη μὲν φθάσαντες ἔδειξαν διά γε τῶν εἰρημένων, ὡς οὔτε φύσις, οὔτε κτίσματα ταῦτα, ἴδια δὲ μᾶλλον ἐκείνου καὶ φυσικὰ, ὧν δὴ καὶ μετέχοντες ἀποῤῥήτως, θείας ἀποτελοῦνται κοινωνοὶ φύσεως, ὅπερ ὁ θεῖος ἀνωτέρω Κύριλλος ἔλεγε, παρὰ τοῦ κορυφαίου τῶν ἀποστόλων ἐκδεξάμενος Πέτρου. Δείξουσι δ' οἱ αὐτοὶ καὶ πλατύτερον ἔτι, καὶ πρό γε τῶν ἄλλων Ἀθανάσιος αὖθις ὁ μέγας αὐτὸς δι' ἑαυτοῦ τὰ αὐτοῦ διερμηνευέτω καὶ διδασκέτω. Πάντα, φησὶ, τὰ τοῦ Πατρὸς τοῦ Υἱοῦ ἐστι. Τίνα ταῦτα φῄς, ὦ θεολόγων καὶ διδασκάλων ἀκρότης; Δίδαξον ἔτι σαφέστερον διά γε τουτουσὶ τοὺς ἐθελοκωφοῦντας. Ἡμεῖς καὶ γὰρ τῆς σῆς θεολογικῆς σάλπιγγος πάλαι καλῶς ἐπαΐομεν. Καὶ μὴν οὐδὲ αὐτοὶ, φησὶν ὁ διδάσκαλος, τῶν ἐκ τῆς ἐπὶ σεκρέτου μου πρὸς Ἀρειανοὺς διαλέξεως ἀνήκοοι πάλαι τυγχάνουσι, καὶ νῦν ἐν τοῖς προλαβοῦσι ῥηθέντων μάλιστα. Τὸν γὰρ μονογενῆ τοῦ Θεοῦ Υἱὸν εἰσαγαγὼν κἀκεῖ, τοῦτ' αὐτὸ τὸ νῦν εἰρημένον παρ' ἐμοῦ λέγοντα, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*, οὐχ ἕνεκεν κτιστῶν εἶπον ἐγὼ πραγμάτων τοῦτο, ἔφη ὁ

Digitized by Google

Σωτὴρ, τὸ, *Πάντα ὅσα ἔχει ὁ Πατήρ*· ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, αὐτοῦ ἴδια ἔφη ὁ Κύριος· οἷον τὸ ἀθάνατον, τὸ ἄφθαρτον, τὸ ἄτρεπτον, τὸ ἀκατάληπτον, τὸ δυνατὸν, τὸ προγνωστικόν. Καὶ πάλιν, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἐμά ἐστιν*. Ἀνάγκη τοίνυν νοεῖν ἡμᾶς ὅτι ἐστὶν ἐν τῷ Πατρὶ τὸ ἀΐδιον, τὸ αἰώνιον, τὸ ἀθάνατον. Ἔστι δὲ αὐτοῦ οὐχ ὡς ἀλλότρια αὐτοῦ, ἀλλ' ὡς ἐν πηγῇ ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα. Ἔχει δὲ ταῦτα καὶ ὁ Υἱὸς οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστιν.

Ἤκουσας τῆς ἀπλανοῦς τοῦ διδασκάλου θεολογίας καὶ σαφηνείας ὁμοῦ τῶν προῤῥηθέντων αὐτῷ; *Πάντα*, φησὶν, *ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστιν*. Ἀλλ' οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ὁ Σωτὴρ, φησὶν, εἶπε τοῦτο. Τῶν δὲ κτισμάτων ἄνω ταῦτα θεὶς οὕτως, ὡς φυσικὰ τοῦ Θεοῦ, ἄκουε πῶς ἐξίσης καὶ τὸ μὴ τὴν οὐσίαν αὐτὴν εἶναι τοῦ Θεοῦ ταῦτα δείκνυσιν· ὡς ἐν πηγῇ γὰρ, φησὶν, ἐστιν ἐν αὐτῷ ἀναπαυόμενα.

Καὶ πάλιν, Ἔχει ταῦτα καὶ ὁ Υἱὸς, φησὶν, οὐκ ἐξ ἀρετῆς, ὡς εἴπομεν, ἀλλὰ τῆς οὐσίας αὐτοῦ ἐστι. Τὰ δὲ τῆς οὐσίας τοῦ Θεοῦ ὄντα, καὶ ὡς ἐν πηγῇ ἐν αὐτῷ ἀναπαυόμενα, πῶς ἂν εἴη τὰ αὐτὰ καὶ οὐσία Θεοῦ; ἄλλο γὰρ τὸ πηγάζον καὶ ἄλλο τὸ πηγαζόμενον, πᾶς τις ἂν ἐγκέφαλον ἔχων εἴποι. Ἡ φύσις οὖν τὸ πηγάζον κατὰ τὸν θεολόγον, τὰ δ' ὑπ' αὐτῆς πηγαζόμενα ὡς φυσικά. Ὁ δὴ καὶ ἡ οἰκουμενικὴ σύνοδος περὶ τῶν ἐνεργειῶν τε καὶ τῶν θελημάτων εἰποῦσα τοῦ Χριστοῦ ἔφθη, πηγὴν μὲν τὴν φύσιν, πηγαζόμενα δὲ τὰ κατάλληλα θελήματα καὶ τὰς ἐνεργείας εἰρηκυῖα.

Τούτων δὴ τῶν τοῦ Θεοῦ φυσικῶν οἱ τοῦ Θεοῦ μετέχοντες ἄξιοι ἔν γε τῷ αὐτοῦ Πνεύματι, κοινὰ γὰρ, ὥσπερ ἡ φύσις, οὕτω καὶ τὰ φυσικὰ τῇ ἁγίᾳ Τριάδι, τοῦ ἁγίου μετέχειν λέγονται Πνεύματος, καὶ δι' αὐτοῦ καὶ σὺν αὐτῷ τὸν Πατέρα καὶ τὸν Υἱὸν ὡς ἀχωρίστως ἡνωμένους ἔχειν ἐν ἑαυτοῖς, καθὰ δήπου τῶν θεολόγων ἀκούεις λεγόντων. Μετέχεται γοῦν τὸ Πνεῦμα τὸ ἅγιον οὐ κατὰ τὴν οὐσίαν, οὐ κατὰ τὴν ὑπόστασιν, τοῦτο γὰρ τῆς θεολογίας ἀλλότριον, ὡς ἤδη πολλάκις ἤκουσας, ἀλλὰ κατὰ τὰ θεῖα χαρίσματα καὶ τὰς ἐνεργείας. Πνεῦμα δὲ καὶ ἡ τοῦ Πνεύματος ἐνέργεια εἴρηται, καθὰ δὴ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης τὸν Εὐαγγελιστὴν ἐξηγούμενος Θεολόγον πρὸ βραχέος εἰρήκει. Οὐ Πνεῦμα δὲ μόνον, ἀλλὰ καὶ πνεύματα πληθυντικῶς τὰς τοῦ θείου Πνεύματος ἐνεργείας ταύτας φησὶν ἡ θεία Γραφή. *Ἐξελεύσεται* γὰρ, φησὶν ὁ προφήτης Ἡσαΐας, *ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν, Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν*. Ὅπερ ὁ μὲν Θεολόγος Γρηγόριος ἀναπτύσσων διὰ βραχέων, Τὰς ἐνεργείας, φησὶ, τοῦ Πνεύματος πνεύματα φίλον οἶμαι τῷ Ἡσαΐᾳ καλεῖν. Ὁ δὲ Χρυσόστομος Ἰωάννης πλατύτερον περὶ τούτων διδάσκων, *Ἐξελεύσεται*, φησὶ, *ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπ' αὐτῷ Πνεῦμα τοῦ Θεοῦ*. Ὥστε τὸ ὄνομα τῆς φύσεως αὐτοῦ τοῦ Πνεύματος. A Λοιπὸν δὲ τὰ χαρίσματα, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας, Πνεῦμα φόβου Θεοῦ. Καὶ πάλιν ὁ αὐτός· Ἐπειδήπερ τὸ δωρούμενον τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρισαμένῳ. Διὰ τοῦτο λέγει Παῦλος· *Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας*· καὶ πάλιν· *Οὐ γὰρ ἔδωκεν ὑμῖν πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ*. Πνεῦμα δὲ λέγει, φησὶν, ἐνταῦθα τὸ χάρισμα· καὶ αὖθις· Εἴρηται πρὸ τούτου, ὅτι ἄλλο ἐστὶ Πνεῦμα ἅγιον, ἄλλο χάρισμα, ἄλλο βασιλεὺς, ἄλλο τὸ δῶρον τοῦ βασιλέως. Καὶ ταῦτα μὲν ὁ θεῖος Χρυσόστομος· ὁ δὲ σοφώτατος καὶ τὰ θεῖα πολὺς Μάξιμος, τὴν αὐτὴν διασκοπούμενος B προφητικὴν ῥῆσιν, τοιάδε φησίν· Ὁ μὲν ἅγιος Ἡσαΐας ὁ προφήτης, ἐν τῇ κατ' αὐτὸν προφητείᾳ, ἑπτὰ πνεύματα τῷ ἐκ τῆς ῥίζης ἀνατείλαντι Σωτῆρι λέγει ἐπαναπαύεσθαι, οὐχ ἑπτὰ πνεύματα τοῦ Θεοῦ γινώσκων, καὶ οὕτω καὶ τοὺς ἄλλους ἐκδέχεσθαι διδάσκων, ἀλλὰ τὰς ἐνεργείας τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ ἁγίου Πνεύματος πνεύματα καλέσας, διὰ τὸ πάσῃ ἐνεργείᾳ ὅλον ἀνελλειπῶς ὑπάρχειν ἀναλόγως τὸ ἐνεργοῦν ἅγιον Πνεῦμα. Ὁ δὲ θεῖος Ἀπόστολος τὰς διαφόρους ἐνεργείας αὐτοῦ τοῦ ἑνὸς ἁγίου Πνεύματος χαρίσματα λέγει διάφορα, ὑφ' ἑνὸς δηλονότι καὶ τοῦ αὐτοῦ ἐνεργούμενα Πνεύματος. Καὶ μεθ' ὀλίγα, Ταῦτα δὲ, φησὶ, τὰ χαρίσματα κατὰ τὸν Ἡσαΐαν πνεύματα καλέσας τις, ὡς οἶμαι, τῆς ἀληθείας οὐ διαπίπτει. C Παντὶ γὰρ χαρίσματι ὅλον ὡς ἐνεργοῦν ἀναλόγως ὑπάρχει τὸ Πνεῦμα τὸ ἅγιον, εἴτε μείζονι, εἴτε ἥττονι.

Ἔμαθες διὰ τούτων πάντων ὅτι ἐνεργητικῶς, ἀλλ' οὐχ ὑποστατικῶς, δηλονότι ἡ ἐνέργεια, ἀλλ' οὐχὶ ἡ ὑπόστασις τοῦ ἁγίου Πνεύματός ἐστιν ἡ τοῖς ἀξίοις ἐνοικοῦσα, καὶ Θεοῦ ναοὺς τούτους ἐργαζομένη, καὶ ὅτι διὰ τῆς θείας ἐνεργείας καὶ χάριτος ὅλον αὐτοῖς ἐνοικεῖ τὸ Πνεῦμα; Παντὶ γὰρ χαρίσματι, φησὶν, ὅλον ὡς ἐνεργοῦν ἀναλόγως ὑπάρχει τὸ Πνεῦμα τὸ ἅγιον, εἴτε μείζονι, εἴτε ἥττονι. Τῷ δὲ θείῳ Πνεύματι τοῦτον ἐνοικοῦντι τὸν τρόπον ἐκείνοις καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς σύνεστιν ὅλος ὡσαύτως, ἐπειδὴ καὶ μία καὶ ἡ αὐτὴ τοῖς τρισὶ φυσικὴ χάρις τε καὶ ἐνέργεια, καθάπερ δὴ καὶ ἡ φύσις, ὡς D ἤδη πολλάκις δέδεικται. Καὶ τοῦτό ἐστιν ἡ Δεσποτικὴ ἐπαγγελία ἐκείνη κατὰ τοὺς πείρᾳ μαθόντας τε καὶ διδάξαντας θεοφόρους, ἡ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, λέγουσα. Τοσοῦτον δὲ τῇ θεολογίᾳ περὶ τῶν τοῦ Πνεύματος ἐνεργειῶν ἐμέλησε τούτων, ὡς μὴ μόνον τὸν προφήτην Ἡσαΐαν ἄνωθεν ἑπτὰ πνεύματα προσειπεῖν ταύτας, ἐπαναπαυόμενα τῷ πάντων Σωτῆρι κατά γε τὰ ἤδη ῥηθέντα, καὶ πρὸς τούτῳ τὸν θεόληπτον Ζαχαρίαν ἑπτὰ ὀφθαλμοὺς τοῦ Κυρίου ἐν Πνεύματι φάναι ταύτας. *Ὁ λίθος*, καὶ γάρ φησιν, *ὃν ἔδωκα πρὸ προσώπου Ἰησοῦ ἐπὶ τὸν λίθον τὸν ἕνα, ἑπτὰ ὀφθαλμοί εἰσι*· καὶ πάλιν· *Ἑπτὰ οὗτοι οἱ ὀφθαλμοὶ Κυρίου εἰσὶν οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν*. Ἀλλὰ καὶ τὸν θεσπέσιον Εὐαγ-

Digitized by Google

γελιστὴν Ἰωάννην φημὶ τὸν τῆς βροντῆς υἱὸν οὕτω A τὰς ἐκκλησίας ἐν τῇ σεπτῇ προσαγορεύειν Ἀποκαλύψει. Ἰωάννης φησὶ ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· *Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων ἃ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ, καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ*· τὰς ἐνεργείας τοῦ Πνεύματος, ἀντὶ τῆς ὑποστάσεως οὕτως, ἢ μετὰ τῆς ὑποστάσεως μᾶλλον, καὶ τῆς οὐσίας ἀποῤῥήτως ὡς αὐτὸ τὸ Πνεῦμα γινώσκει θεολογήσας.

Πλὴν ὅσον ἐκ μέρους καὶ ἡμᾶς ἔχειν εἰδέναι παρὰ τῶν ἐκείνου μετόχων καὶ θεολόγων μαθόντας, ὅτι τῆς οὐσίας τε καὶ τῆς ὑποστάσεως, μᾶλλον δὲ εἰπεῖν ἀκριβῶς καὶ τῶν ὑποστάσεων ὡς ἰδιώματα φυσικὰ, τοπαράπαν ἡνωμέναι, καὶ συμφυεῖς, καὶ ἀχώριστοι πεφύκασιν αἱ ἐνέργειαι αὗται, ὡς ἡ διάνοια καὶ ἡ B ἐπιστήμη τοῦ νοῦ, καὶ ἡ δύναμις τοῦ δυνατοῦ, καὶ τοῦ κινουμένου ἡ κίνησις, φασὶν οἱ αὐτοὶ, καὶ ὅτι ὅλον ἐν ἑκάστῳ τὸ ἅγιόν ἐστι Πνεῦμα ὡς ἐνεργοῦν, κατὰ τούτους αὐτοὺς αὖθις. Ἅπερ οἱ μὴ βουλόμενοι μαθεῖν τυφλώττουσί τε περὶ τὸ φῶς ἔχοντι, ἅτης ἐν χειμῶνι κατὰ σκότον ἠλάσκοντες· ἢ τὸ τῆς θείας μᾶλλον εἰπεῖν καὶ αὖθις Γραφῆς, *Τυφλοὶ μυωπάζοντες ὄντες, καὶ ὡς μὴ ὑπαρχόντων αὐτοῖς ὀφθαλμῶν, ψηλαφῶντες τοῖχον*, φησίν.

Ἤρκει μὲν οὖν καὶ ταῦτα πρός γε τὸν ἄνωθεν σκοπὸν καὶ τὸ ζητούμενον· ἀλλ' ἡμεῖς περιουσίᾳ τοῦ τῆς ἀληθείας λόγου, καὶ τὰς λοιπὰς τῶν θεολόγων αὖθις φωνὰς τῷ λόγῳ συνεισενεγκεῖν σπεύσομεν, καὶ δεῖξαι καὶ αὖθις τοῖς ἀντιλέγουσι τούτοις C ῥητῶς τὸ τῆς θείας οὐσίας ἀμέθεκτον· ἐπειδὴ καὶ κρύπτειν ἐκεῖνοι μάλιστα ταῦτα; σπουδάζοντες, πενίαν ἡμῖν λόγου καὶ ἀποδείξεως, καὶ συμμαχίας ἱερῶν θεολόγων, ἐν τοῖς σφετέροις αὐτῶν λόγοις συνεχῶς ὀνειδίζουσι. Μᾶλλον δὲ τὰ τῆς συνόδου καὶ τοῦ ταύτης ἱεροῦ τόμου κἀνταῦθα λεγέσθω πρότερα, ἵνα κἀντεῦθεν καὶ ψευδόμενος καὶ συκοφαντῶν ὁ τούτων ἐξελεγχθείη κατήγορος. Τί οὖν ὁ τόμο ; Ὁ γοῦν μέγας, φησὶ, Βασίλειος τὸν ἕνα θεολογῶν τῆς Τριάδος Θεὸν, τὸ Πνεῦμα τὸ ἅγιον, τοιάδε φησί· Πάντα μέν ἐστι πληροῦν τῇ δυνάμει τὸ Πνεῦμα τὸ ἅγιον, μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, οὐχ ἑνὶ μέτρῳ μετεχόμενον, ἀλλὰ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν. Ἀκούεις; ἵνα μὴ ταυτόν τι νομίσῃς τὸ πανταχοῦ τὸν Θεὸν παρεῖναι, καὶ τὸ μετέχεσθαι, διαιρεῖ μεταξὺ τῶν ἀμφοτέρων σοφώτατά τε καὶ ὑψηλότατα, καί φησι· Τὸ Πνεῦμα Θεὸς ὤν, καὶ ἐν τῷ παντὶ, καὶ ὑπὲρ τὸ πᾶν ὤν, πάντα μέν ἐστι πληροῦν τῇ τῆς θεότητος δυνάμει, καὶ οὐδὲν τοῦ παντὸς ἄβατον καὶ κενὸν αὐτοῦ. Μετέχεται δὲ οὐχ ὑπὸ πάντων, οὐδὲ γὰρ τὸ τοῦ αἰσθητοῦ τοῦδε ἡλίου φῶς, καίτοι γε πάσῃ τῇ αἰσθητῇ κτίσει κοινῶς ἐπιλάμπον ὡσαύτως, καὶ πᾶσιν ὡσαύτως πέφυκε μεθεκτὸν, ἀλλὰ τοῖς ἐπιτηδείως ἔχουσι μόνοις πρὸς τὴν τοῦ φωτὸς ὑποδοχὴν καὶ μετάληψιν· κἀκείνοις οὐκ ἐξίσης, ἀλλὰ κατ' ἀναλογίαν τῆς ἑκάστου δυνάμεως. Τοῦτο τοίνυν ὡς ἐξ ἀμυδρᾶς αἰσθητῆς εἰκόνος καὶ ἐπὶ τοῦ ὑπερουσίου σκόπει Θεοῦ. Μόνοις γάρ ἐστι, φησὶ, μεθεκτὸν τοῖς ἀξίοις, τοῖς ἐπιτηδείως ἔχουσι δηλαδὴ διὰ καθαρότητα πρὸς τὴν ἐκείνου ὑποδοχήν τε καὶ μέθεξιν. Ἀλλ' οὐδ' ἐκείνοις ἐξίσης· οὐχ ἑνὶ γὰρ μέτρῳ, φησὶν, ἔστι μετεχόμενον, ἀλλὰ κατ' ἀναλογίαν τῆς πίστεως διαιροῦν τὴν ἐνέργειαν.

Ἅμα δὲ καὶ τὸν τῆς μετοχῆς ἀπόῤῥητον τρόπον καθόσον οἷόν τε τούτοις συναποδείκνυσιν ὁ διδάσκαλος, κατ' ἐνέργειαν θείαν τοῦ Πνεύματος, μετέχειν τοὺς ἀξίους εἰπών. Εἰ γὰρ ἐπὶ τοῦ αἰσθητοῦ τούτου ἡλίου, ἔτι γὰρ ἔχομαι τῆς εἰκόνος ἐκείνης, εἰ γοῦν ἐπ' ἐκείνου οἱ τῆς ἀκτῖνος μετέχοντες οὐ τῆς ὑποστάσεως οὐδὲ τῆς φύσεως αὐτῆς τοῦ ἡλίου μετέχουσιν, ἀλλὰ τῆς φυσικῆς ἀποῤῥοίας ἐκείνου καὶ ποιότητος, καὶ ἀδιαιρέτου δυνάμεως, καὶ ταυτὸ πεφυκυίας τῷ ἡλίῳ καὶ ἕτερον, κατὰ τοὺς προσήκοντάς φημι λόγους, πόσῳ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτ' ἔσται τοῦ ἀσωμάτου, καὶ ἀΰλου καὶ παντοδυνάμου, ὃς κἀκείνοις περιουσίᾳ δυνάμεως τὸ ταῦτα δύνασθαι δίδωσι; Διαιρεῖ γοῦν τὸ θεῖον Πνεῦμα τὴν ἑαυτοῦ ἐνέργειαν τοῖς μετέχουσιν, ὁ θεολόγος φησὶ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως παρὰ τοῦ Ἀποστόλου τοῦτο λαβών. Περὶ οὗ καὶ ὁ θεῖος ἤδη Χρυσόστομος εἰπὼν ἔφθη, τὰ τοῦ Εὐαγγελιστοῦ σκοπούμενος Ἰωάννου. Πνεῦμα γάρ, φησὶν, ἐνταῦθα τὴν ἐνέργειαν λέγει. Αὕτη γάρ ἐστιν ἡ μεριζομένη. Εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Ὁ δὲ μέγας Ἀθανάσιος αὖθις, Ἕν, φησὶ, καὶ τὸ αὐτὸ Πνεῦμά ἐστιν, οὗπερ καὶ αἱ πᾶσαι διαιρέσεις εἰσίν. Αὐτὸ δὲ ἀδιαίρετόν ἐστι κατὰ φύσιν.

Ἀλλ' ἐπὶ τὸν τόμον αὖθις καὶ τὸν μέγαν Βασίλειον ἔλθωμεν. Ὥσπερ αἱ τῶν προσώπων ἐμφάσεις, φησὶν, οὐκ ἐν πάσαις ταῖς ὕλαις γίνονται, ἀλλ' ἐν ταῖς λειότητά τινα καὶ διαφάνειαν κεκτημέναις, οὕτως οὐκ ἐν πάσαις ταῖς ψυχαῖς ἡ τοῦ Πνεύματος ἐνέργεια, ἀλλ' ἐν ταῖς μηδὲν σκολιὸν ἐχούσαις οὐδὲ στραγγαλιῶδες. Ὁ δὲ ἅγιος Μάξιμος, Πάντα, φησὶν, ὅσα ὁ Θεὸς, καὶ ὁ διὰ χάριτος τεθεωμένος ἔσται χωρὶς τῆς κατ' οὐσίαν ταυτότητος. Τοὺς δέ γε Ψαλμοὺς ἐξηγούμενος Βασίλειος ὁ μέγας αὖθίς φησι· Τὸν μὲν ἄνθρωπον ὁ Θεὸς ἐποίησεν ἀπὸ τῆς γῆς, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλλ' ὅμως ἥ γε τοῦ νοεῖν καὶ συνιέναι τὸν ἑαυτῶν κτίστην καὶ δημιουργὸν δύναμις καὶ ἐν ἀνθρώποις ὑπάρχει. Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον, τουτέστι, μοῖράν τινα D τῆς ἰδίας χάριτος ἐναπέθετο τῷ ἀνθρώπῳ, ἵνα τῷ ὁμοίῳ γινώσκῃ τὸ ὅμοιον. Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς πρὸς Ἀμφιλόχιον περὶ τοῦ ἁγίου Πνεύματος, Ἀνακαινίζων, φησὶ, τὸν ἄνθρωπον ὁ Κύριος, καὶ ἣν ἀπώλεσε χάριν ἐκ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, ταύτην πάλιν ἀποδιδοὺς, ἐμφυσήσας εἰς τὸ πρόσωπον τῶν μαθητῶν, τί φησι; *Λάβετε Πνεῦμα ἅγιον*.

Καὶ ταῦτα μὲν ὁ συνοδικὸς τόμος. Ὁ δὲ θεῖος Χρυσόστομος περὶ αὐτοῦ τούτου ποιούμενος τὸν λόγον, οὐ τὴν οὐσίαν, οὐδὲ τὴν ὑπόστασιν τοῦ Πνεύματος διὰ τοῦ ἐμφυσήματος μετὰ τὴν ἀνάστασιν πρὸς Χριστοῦ δεδόσθαι τοῖς ἀποστόλοις φησὶν, εἰ καὶ, *Λάβετε Πνεῦμα ἅγιον*, εἶπεν, ἀλλ' ἐξουσίαν τινὰ καὶ χάριν πνευματικὴν κοινὴν τῆς Τριάδος οὖσαν. Τὸν γὰρ Εὐαγγελιστὴν ἐξηγού-

μενος Θεολόγον, ὅς ἐν τῷ Εὐαγγελίῳ περὶ τούτου φησί, τινὲς μὲν, φησὶ λέγουσιν, ὅτι οὐ τὸ Πνεῦμα ἔδωκεν, ἀλλ' ἐπιτηδείους αὐτοὺς πρὸς ὑποδοχὴν δι' ἐμφυσήματος κατεσκεύασεν.

Οὐκ ἂν δέ τις ἁμάρτοι, καὶ τότε αὐτοὺς εἰληφέναι λέγων ἐξουσίαν τινὰ πνευματικὴν καὶ χάριν, ὥστε ἀφιέναι ἁμαρτήματα, διὸ ἐπήγαγεν, *Ὧν ἀφῆτε, ἀφέωνται*, δεικνὺς ποῖον εἶδος ἐνεργείας δίδωσι. Καὶ γὰρ ἄφατος ἡ τοῦ Πνεύματος χάρις, καὶ πολυειδὴς ἡ δωρεά. Τοῦτο δὲ γίνεται, ἵνα μάθῃς ὅτι Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος μία ἡ δωρεὰ καὶ ἐξουσία· ἃ γὰρ δοκεῖ εἶναι ἰδιάζοντα τοῦ Πατρὸς, ταῦτα καὶ τοῦ Υἱοῦ εἶναι καὶ τοῦ Πνεύματος τοῦ ἁγίου φαίνεται· καὶ τὰς διαιρέσεις τῶν χαρισμάτων Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὁρῶμεν οὔσας.

Συνίης κἂν νῦν ἐκ τῆς θεολογίας τῶν οἰκουμενικῶν τουτωνὶ διδασκάλων καὶ ἀληθινῶς φιλοσόφων, φιλόσοφε, μᾶλλον δὲ ἐξ αὐτοῦ τοῦ πρώτου καὶ μόνου καθηγητοῦ καὶ διδασκάλου πάντων Χριστοῦ, καὶ τῶν αὐτοῦ θείων Εὐαγγελίων, ὅτι τὸ τοῖς πιστοῖς χορηγούμενον καὶ ἐνοικοῦν θεῖον Πνεῦμα οὐχ ἡ τοῦ Πνεύματος ὑπόστασις, οὐχ ἡ οὐσία αὐτὴ τῆς ὑπερουσίου Τριάδος ἐστὶ, ὡς αὐτὸς κακῶς εἶπας, ἀλλὰ μοῖρά τις τῆς θείας χάριτος, καὶ ἐνέργεια καὶ δωρεὰ κοινὴ τῆς μιᾶς τρισυποστάτου θεότητος ἐν ἁγίῳ Πνεύματι διδομένη, καὶ διὰ τοῦτ' αὐτὸ καὶ Πνεῦμα ἅγιον λεγομένη; Ἢ καὶ ἔτι τὴν τῆς ὑπερουσίου οὐσίας, καὶ τῆς τρισυποστάτου θεότητος ἐνοίκησίν τε καὶ μέθεξιν κακῶς μετὰ Μασαλιανῶν ὀνειροπολήσεις τε καὶ μυθολογήσεις, περιφράσεις τινὰς καὶ παραφράσεις καὶ παρεξηγήσεις κατὰ τῆς σεαυτοῦ κεφαλῆς ἀναπλάττων, μόνον ἵνα μὴ κατὰ θείαν ἐνέργειάν τε καὶ χάριν σὺν τοῖς κεχαριτωμένοις τουτοισὶ θεολόγοις τὸν Θεὸν εἶναι μεθεκτὸν ὁμολογήσῃς· ἀλλὰ κατ' οὐσίαν, ὡς αὐτὸς φῄς, ὑπὸ τῶν τοῦ Σατανᾶ μαθητῶν ἐκείνων. Βαρλαάμ τε καὶ Ἀκινδύνου κάκιστα μυηθεὶς καὶ διδάξας. Τοῦτο μὲν οὖν οὐκ εἰκάζειν, ἀλλὰ καὶ ὁρᾷν ἐναργῶς ἔστιν ἐν τοῖς σοῖς γράμμασιν, ὅτι τὸ δεύτερον εἵλου σὺν μεγίστῃ τῇ προθυμίᾳ, ὑπὲρ οὗ σοι καὶ ὁ μακρὸς οὑτοσὶ πόλεμος πρὸς ἡμᾶς καὶ τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν. Ἀλλ' ἡμεῖς, εἰ καὶ μὴ σοῦ, ἀλλὰ τῶν γε ὑπὸ σὲ τούτων χάριν, καὶ τῆς ὑπὲρ αὐτῶν ἀγαθῆς ἐλπίδος, καὶ τὰ λείποντα τοῖς εἰρημένοις προσθήσομεν.

Φησὶ τοιγαροῦν ὁ συνοδικὸς τόμος καὶ πάλιν, καὶ ὁ θεῖος Δαμασκηνὸς ἐν τῷ περὶ προγνώσεως καὶ προορισμοῦ τῶν θεολογικῶν αὐτοῦ κεφαλαίων, Τοῦτον, φησὶ, τὸν ἄνθρωπον ὁ δημιουργὸς ἄῤῥενα κατεσκεύασε μεταδοὺς αὐτῷ τῆς ἑαυτοῦ θείας χάριτος, καὶ ἐν κοινωνίᾳ ἑαυτοῦ διὰ ταύτης αὐτὸν ποιησάμενος. Καὶ πάλιν ὁ μέγας Βασίλειος ἐν τοῖς πρὸς τὸν ἱερὸν Ἀμφιλόχιον, Τίς, φησὶν, οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων ἀγαθῶν παρὰ Θεοῦ τοῖς ἀξίοις, ὡς ἀγνοεῖν ὅτι τῶν ἁγίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελεωτέρα παρεχομένη; Τὰ δὲ τοῦ Χρυσοῤῥόου ῥεύματα τίνας οὐ κατακλύζει τῶν ἀντιθέτων οἰκοδομάς, ἐπὶ ψάμμου σαθρῶς τε καὶ ἀστηρίκτως παρ' αὐτῶν οἰκοδομη-

A θείσας; Ποία, οὐκ ἄρδει καὶ καταχρυσοῖ τῶν εὐσεβῶς αὐτὰ δεχομένων ψυχάς; Ὧν καὶ ὁ τῆς συνόδου τόμος πλεῖστα λαβὼν ἔχει παρ' ἑαυτῷ. Ἀλλ' ἡμεῖς ὀλίγα λαβόντες ἐκεῖθεν διὰ τὸ μῆκος, οὐδὲν ἧττον κἀκ τούτων κοσμήσομεν καὶ καταχρυσώσομεν τὸν περὶ τοῦ Πνεύματος τουτονὶ λόγον.

Τὴν γοῦν ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ θεσπεσίαν ἐκείνην διεξιὼν τοῦ Σωτῆρος φωνὴν, *Ὁ πιστεύων εἰς ἐμὲ*, λέγουσαν, καθὼς εἶπεν ἡ Γραφὴ, *ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος. Τοῦτο δὲ εἶπε*, φησὶν ὁ Εὐαγγελιστὴς, *περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη*. Περὶ γοῦν τούτων τῶν θείων ῥημάτων ὁ μέγας οὑτοσὶ Πατὴρ τινα B προειπὼν, ἑξῆς ἐπιφέρει καὶ ταῦτα· Οὐκέτι προφήτης παρὰ τοῖς Ἰουδαίοις ἦν, οὐδὲ ἐπώπτευεν αὐτῶν τὰ ἅγια ἡ χάρις. Ἐπεὶ οὖν ἀνέσταλται μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἔμελλε δὲ λοιπὸν ἐκχεῖσθαι δαψιλῶς, ταύτης δὲ τῆς διανομῆς ἀρχὴ μετὰ τὸν σταυρὸν ἐγένετο οὐ μόνον δαψιλείας, ἀλλὰ καὶ μειζόνων χαρισμάτων, καὶ γὰρ θαυμαστοτέρα ἦν ἡ δωρεὰ, ὡς ὅταν λέγῃ, *Οὐκ οἴδατε ποίου Πνεύματός ἐστε*, καὶ πάλιν, *Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας*· καὶ γὰρ καὶ οἱ παλαιοὶ καὶ αὐτοὶ μὲν Πνεῦμα εἶχον, ἄλλοις δὲ οὐ παρεῖχον, οἱ δὲ ἀπόστολοι μυριάδας νέπλησαν. Ἐπεὶ οὖν ταύτην ἔμελλον λαμβάνειν τὴν χάριν, οὔπω δὲ ἦν δοθεῖσα, διὰ τοῦτό φησιν, *Οὔπω ἦν Πνεῦμα ἅγιον*. Ἐπεὶ οὖν περὶ C ταύτης λέγων τῆς χάριτος ὁ Εὐαγγελιστὴς, ἔλεγεν *Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον*, τουτέστι δοθὲν, ὅτι *Ἰησοῦς οὐδέπω ἐδοξάσθη*, δόξαν καλῶν τὸν σταυρὸν, ἐπειδὴ γὰρ ἐχθροὶ ἦμεν καὶ ἡμαρτηκότες, καὶ ὑστερούμενοι τῆς δωρεᾶς τοῦ Θεοῦ, καὶ θεοστυγεῖς, ἡ δὲ χάρις καταλλαγῆς ἦν ἀπόδειξις, δῶρον δὲ οὐ τοῖς ἐχθροῖς, οὐδὲ τοῖς μισουμένοις, ἀλλὰ τοῖς φίλοις δίδοται καὶ τοῖς εὐηρεστηκόσιν· ἔδει πρότερον προσενεχθῆναι τὴν ὑπὲρ ἡμῶν θυσίαν, καὶ τὴν ἔχθραν ἐν τῇ σαρκὶ καταλυθῆναι, καὶ γενέσθαι τοῦ Θεοῦ φίλους, καὶ τότε λαβεῖν τὴν δωρεάν. Εἰ γὰρ ἐπὶ τῆς ἐπαγγελίας τοῦτο γέγονε τῆς πρὸς Ἀβραὰμ, πολλῷ μᾶλλον ἐπὶ τῆς χάριτος. Καὶ πάλιν ὁ αὐτὸς ἐν ταῖς αὐταῖς εὐαγγελικαῖς ἐξηγήσεσι, Καὶ ἐφ' ἡμῶν, D φησὶν, οὐχ ἁπλῶς τὸ ὕδωρ ἐργάζεται, ἀλλ' ὅταν τὴν τοῦ Πνεύματος χάριν δέξηται, ἅπαντα λύει τὰ ἁμαρτήματα· καὶ μετὰ βραχέα· Ἀλλὰ κἂν ἡ οἰκουμένη ἅπασα ἔλθῃ, ἡ χάρις ἀναλίσκεται, οὐδὲ ἡ ἐνέργεια δαπανᾶται, ἀλλ' ὁμοία μένει καὶ τοιαύτη, οἵα καὶ πρὸ τοῦ. Καὶ καθάπερ αἱ ἡλιακαὶ ἀκτῖνες καθ' ἑκάστην φωτίζουσι τὴν ἡμέραν καὶ οὐ δαπανῶνται, οὐδὲ ἀπὸ τῆς πολλῆς χορηγίας ἔλαττον αὐταῖς γίνεται τὸ φῶς, οὕτω καὶ πολλῷ μᾶλλον ἡ τοῦ Πνεύματος ἐνέργεια οὐδὲν ἐλαττοῦται παρὰ τῶν ἀπολαυόντων αὐτῆς.

Ἔχε δὲ καὶ σκόπει. Ἰδοὺ γὰρ ὁ χρυσοῦς οὑτοσὶ θεολόγος πλεῖν ἢ ὀκτωκαίδεκα τοῦ Πνεύματος τοῦ ἁγίου μνησθεὶς ἔν γε ταῖς εὐαγγελικαῖς ταύταις ἐξηγήσεσι, νῦν μὲν Πνεῦμα, νῦν δὲ τοῦ Πνεύματος χάριν, ποτὲ δὲ δω-



Digitized by Google

A ρεὰν τοῦτο, ἄλλοτε δὲ ἐνέργειαν τοῦτό φησι, δεικνὺς ὅτι τὸ χορηγούμενον πρὸς Χριστοῦ, καὶ μετεχόμενον ὑπὸ τῶν πιστῶν θεῖον Πνεῦμα, οὐ κατὰ τὴν οὐσίαν, οὐ κατὰ τὴν ὑπόστασιν ἑαυτοῦ χορηγεῖται καὶ μετέχεται, ἀλλὰ κατὰ τὴν χάριν αὐτοῦ καὶ τὴν δωρεὰν καὶ τὴν ἐνέργειαν, ἥτις καὶ αὐτὴ κατά τε τὰς προῤῥηθείσας θείας Γραφὰς καὶ τοὺς ἐκείνων ἐξηγητὰς θεολόγους Πνεῦμα καλεῖται, ἅτε δὴ φυσικὴ καὶ ἀδιαιρέτως ἐκείνῳ συνοῦσα, καὶ δι' αὐτῆς ὅλου μετεχομένου καὶ συνόντος ὡς ἐνεργοῦντος τοῦ Πνεύματος. Περὶ ἧς δήπου κἀν τῷ περὶ τοῦ Πνεύματος αὐτοῦ λόγῳ πρὸ βραχέος ὁ αὐτὸς εἰπὼν ἔφθη Χρυσόστομος· Ἐπειδήπερ τὸ δωρούμενον τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι, καλεῖται καὶ τὸ δῶρον ὁμωνύμως τῷ χαρισαμένῳ. Διὰ τοῦτο λέγει Παῦλος, *Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ δυνά-* B *μεως, καὶ ἀγάπης, καὶ σωφρονισμοῦ.* Πνεῦμα δὲ λέγει, φησὶν, ἐνταῦθα τὸ χάρισμα. Καὶ πάλιν, Εἴρηται πρὸ τούτου, φησὶν, ὅτι ἄλλο ἐστὶ Πνεῦμα ἅγιον, ἄλλο χάρισμα, ἄλλο βασιλεὺς, ἄλλο τὸ δῶρον τοῦ βασιλέως. Καὶ αὖθις· Ἵνα μάθητε ὅτι ἡ δωρεὰ πέμπεται, τὸ δὲ Πνεῦμα οὐκ ἀποστέλλεται, ὁ Σωτὴρ λέγει τοῖς ἀποστόλοις, *Μείνατε ἐν Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους· καὶ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς.* Ἄλλο δύναμις ἡ χορηγουμένη, ἄλλο τὸ Πνεῦμα τὸ χορηγοῦν. *Πάντα γὰρ ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.*

Ταῦτα δὲ πολλάκις κατὰ ταυτὸ, καὶ συνεχῶς καὶ πυκνῶς ὁ μέγας οὗτος τῆς οἰκουμένης διδάσκαλος C Ἰωάννης διδάσκει, εἰ καὶ μὴ πάντα κατὰ μέρος ἡμεῖς διὰ τὸ μῆκος ἑξῆς καταλέγομεν, ἐκ τῶν θεοπνεύστων λογίων λαβὼν, τῶν τε ἄλλων, ὡς αὐτὸς ὑπέδειξε φθάσας, καὶ δὴ καὶ τῶν εἰρημένων τοῖς ἱεροῖς ἀποστόλοις περὶ τοῦ θείου φημὶ Πνεύματος ἔν γε ταῖς αὐτῶν ἱεραῖς Πράξεσι.

Φησὶ τοίνυν ἱστορῶν ἐκείνας ὁ θεῖος Λουκᾶς· *Θεασάμενος ὁ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον.* Τὸ δὲ αὐτὸ τοῦτο καὶ Παῦλος ὁ θεῖος Κορινθίοις ἐπιστέλλων φησίν· *Οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβετε, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ.* Ἐνταῦθα τὸ Πνεῦμα τὸ ἅγιον καὶ δίδοσθαι, καὶ λαμβάνειν τοὺς πιστοὺς, καὶ Παῦλος καὶ Λουκᾶς ἱστοροῦσιν. D Ὁ δὲ κορυφαῖος τῶν ἀποστόλων Πέτρος, ὥσπερ ἐξηγούμενος ταύτην τὴν τοῦ Πνεύματος δόσιν, μικρῷ προϊόντος ἐκείνου τοῦ λόγου, *Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν,* λέγει, *ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι,* τοῦτ' ἐκεῖνο τὸ προῤῥηθὲν ἡμῖν δεικνὺς ἄντικρυς, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον κατὰ τὴν ὑπερφυᾶ χάριν καὶ τὰς αὐτοῦ δωρεὰς, καὶ τὰς ἐνεργείας, ἀλλ' οὐ κατὰ τὴν ἑαυτοῦ ὑπόστασιν καὶ δίδοται καὶ λαμβάνεται. Πάλιν ὁ θεῖος Λουκᾶς ἐν ταῖς Πράξεσιν· *Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας.* Ὧδε τὸ Πνεῦμα τὸ ἅγιον, εἶτα μικρὸν προελθὼν, *Καὶ ἐξέστησαν,* φησὶν, *οἱ ἐκ περιτομῆς πιστοὶ, ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται·* καὶ μετ' ὀλίγον πάλιν· *Ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη ὁ Πέτρος· Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς ἡμεῖς;* Ὥστε δῆλον τὴν θείαν ἐστὶν ἰδεῖν Γραφὴν διὰ τῶν τοιούτων τὰ ἑαυτῆς πλέκουσαν, καὶ σκοπὸν αὐτὸ τοῦτο ποιουμένην, τὸν Θεὸν αὐτὸν εἶναι νομίζειν τὸν μετεχόμενον κατὰ τὰ φυσικὰ καὶ ὑπερφυᾶ ἑαυτοῦ ἰδιώματα, ὃ δὴ καὶ πολλάκις ἤδη καὶ εἴρηται καὶ δέδεικται. Εἰ δὲ ἡ τοῦ Πνεύματος αὕτη φυσικὴ χάρις καὶ ἡ ἐνέργεια κτίσμα, καὶ διέστηκεν αὐτοῦ, πρῶτον μὲν μετὰ τῆς ἀτόπου βλασφημίας, καὶ τοῦ κατὰ τῶν θείων Γραφῶν, καὶ τῶν θεολόγων πολέμου, καὶ πρός γε τοὐναντίον ἅπαν τὰ τοῦ σκοποῦ τῷ φιλοσόφῳ περιτραπήσεται, αὐτὴν τὴν οὐσίαν τῆς ἁγίας Τριάδος ἐνοικεῖν διατεινομένῳ τοῖς ἀξίοις· οὐ γὰρ δὴ ταυτὸν ἂν εἴη Θεός τε καὶ κτίσμα, ὃ δὴ καὶ φθάσας πρὸς αὐτὸν πλατύτερον ἔφην· ἔπειτα καὶ πῶς ἡ Ἐκκλησία, παρὰ τῶν ἱερῶν ἀποστόλων δηλαδὴ διαδεξαμένη, καὶ Μακεδονίου καὶ τῆς περὶ αὐτὸν θεομάχου φατρίας, χείρονα πολλῷ καὶ ἀτοπώτερα φρονῆσαι περὶ τοῦ Πνεύματος ἐνεθυμήθη τὸν Σίμωνα καὶ εἴ τίς γε κατ' αὐτὸν ἕτερος, ἐπειδήπερ οἱ περὶ Μακεδόνιον δοῦλον μὲν εἶπον τὸ Πνεῦμα, ἀλλὰ Πατρὸς καὶ Υἱοῦ, οἱ δὲ περὶ Σίμωνα δοῦλον ἀνθρώπων ἐνόμισαν; ὤνιον ἐνθυμηθέντες θέσθαι τὴν χάριν αὐτοῦ. Εἰ δὲ ἡ χάρις αὕτη γε κτίσμα, φιλόσοφε, κατὰ σὲ, πῶς ἂν μετέχοι τὸ Πνεῦμα τῆς εἰς ἐκείνην ὕβρεως, ὅπερ ἀπόστολοι καὶ Πατέρες ἐνόμισαν μετ' ἐκείνους, Θεὸς ἄκτιστος ὤν; Ἀλλ' οὐκ ἂν εἴη γε ἐκεῖνό ποτε κατὰ τὰς σὰς ὑπολήψεις, ἕως ἂν ᾖ φυσικὸν ἰδίωμα, καὶ χάρις, καὶ ἐνέργεια συνουσιωμένη, καὶ ἀδιαίρετος τοῦ Θεοῦ, δι' ἧς ὅλος αὐτὸς ὡς ἐνεργῶν παρὼν δὴ καὶ μετέχεται φιλανθρώπως ἅμα καὶ ἀποῤῥήτως, καθὰ δὴ καὶ τοῖς ἱεροῖς θεολόγοις ἤδη διὰ πολλῶν ἐκ τῶν θείων Γραφῶν δέδεικται.

Καὶ ταῦτα μὲν δι' ὀλίγων περὶ τῆς θείας ἐνεργείας τε καὶ τῆς χάριτος, καὶ τῆς κατ' αὐτὴν τοῦ Θεοῦ μετοχῆς, ἅπερ ἐξίσης αὐτά τε ταῦτα δεδειχότα γε ἂν εἴη λαμπρῶς, καὶ δὴ καὶ τὸ τῆς θείας οὐσίας ἀμέθεκτον σὺν τούτοις κατὰ πᾶσαν ἀνάγκην. Ἀλλ' ἐγὼ δεῖν εἶναι κἀκεῖνο νομίζω τὸ καὶ περὶ αὐτοῦ τούτου, φημὶ δὴ τοῦ τῆς θείας οὐσίας ἀμεθέκτου, βραχέ' ἄττα κατὰ τὴν ὑπόσχεσιν παρὰ τῶν θεολόγων προσθεῖναι, καὶ οὕτω πρὸς ὀλίγον διαναπαῦσαι τὸν λόγον. Φησὶ τοίνυν ὁ σοφώτατος Μάξιμος· Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς ἐξίσταται, ὁπότε καὶ αὐτὸς ὁ τρόπος, καθ' ὃν θέλων μετέχεται, μένει διηνεκῶς τοῖς πᾶσιν ἀνέκφαντος. Ὁ δὲ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης, Τὸ θεῖον ἀκατάληπτον, φησὶν, ὂν πάντως καὶ ἀνώνυμον ἔσται. Ἀγνοοῦντες οὖν τὴν οὐσίαν αὐτοῦ, τῆς οὐσίας μὴ ἐκζητήσωμεν ὄνομα. Δηλωτικὰ γὰρ τῶν πραγμάτων εἰσὶ τὰ ὀνόματα. Ἀλλὰ ἀγαθὸς ὢν ὁ Θεὸς, καὶ ἐπὶ μεθέξει τῆς ἀγαθότητος αὐτοῦ παρα-

Digitized by Google

γαγὼν ἡμᾶς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, καὶ γνωστικοὺς ποιήσας ἡμᾶς, ὥσπερ οὐ τῆς οὐσίας αὐτοῦ μετέδωκεν, οὕτως οὐδὲ τῆς γνώσεως τῆς οὐσίας αὐτοῦ.

Καὶ βλέπε τὸν σοφὸν τουτονὶ θεολόγον ἀκριβῶς ἐν τοῖς εἰρημένοις, ὅπως περί τε τοῦ ἀγνώστου καὶ ἀῤῥήτου τῆς θείας οὐσίας τὸν λόγον ποιούμενος, τοῦ μὲν καὶ λόγους καὶ ἀποδείξεις παράγει κατὰ τὸ ἐγχωροῦν, ὅτι δ' ἀμέθεκτος τοπαράπαν ἡ ὑπερούσιος οὐσία ἐκείνη ὡς τοῖς πᾶσιν ὡμολογημένον λαμβάνων καὶ κείμενον, οὐ μόνον οὐ δίδωσιν ὑπὲρ τούτου λόγον, ἀλλὰ κἀκεῖνο τὸ προῤῥηθὲν μᾶλλον διὰ τούτου βεβαιοῖ καὶ συνίστησιν, ὥσπερ οὐ τῆς οὐσίας αὐτοῦ μετέδωκε, λέγων, οὕτως οὐδὲ τῆς γνώσεως τῆς οὐσίας αὐτοῦ. Καὶ πάλιν ὁ αὐτὸς θεολόγον ἕτερον ἐξηγούμενος, τοιάδε φησί· Καὶ πέρας τοῦ μυστηρίου τῇ πρὸς Θεὸν νεύσει θεούμενον, θεούμενον δὲ τῇ μετοχῇ τῆς θείας ἐλλάμψεως, οὐκ εἰς τὴν θείαν μεθιστάμενον οὐσίαν. Εἰ γὰρ ὁ ἥλιος ἡμῖν, φησὶ, τῶν οἰκείων ἐνεργειῶν μεταδιδοὺς μένει τῶν ἡμετέρων ἀμέτοχος, πόσῳ μᾶλλον ὁ τοῦ ἡλίου ποιητής τε καὶ Κύριος; Καὶ πάλιν· Τοῦτον τοίνυν, φησὶ, τὸν ἄνθρωπον ὁ Δημιουργὸς ἄῤῥενα κατεσκεύασε, μεταδοὺς αὐτῷ τῆς θείας χάριτος ἑαυτοῦ, καὶ ἐν κοινωνίᾳ ἑαυτοῦ διὰ ταύτης αὐτὸν ποιησάμενος· ὅθεν καὶ τὴν τῶν ζώων ὀνομασίαν προφητικῶς, ὡς δούλων αὐτῷ δοθέντων, δεσποτικῶς ἐποιήσατο.

Ἀθανάσιος δὲ ὁ μέγας τὰ κατὰ τὸν εὐαγγελισμὸν τῆς ἀειπαρθένου καὶ Θεομήτορος σκοπούμενος, Ὡς πρὸς τοὺς ἀποστόλους, φησὶ, τὸ Πνεῦμα καὶ ἡ δύναμις τοῦ Ὑψίστου ἐπήγγελται, οὕτω καὶ πρὸς τὴν Παρθένον. Καὶ εἰ ἐν τοῖς ἀποστόλοις οὐ παρηκολούθησε σάρκωσις, δῆλον ὅτι οὐδὲ ἐν τῇ Παρθένῳ ἡ δύναμις ἐσαρκώθη, οὔτε τὸ Πνεῦμα ἐνηνθρώπησεν. Ἀλλ' ὥσπερ ἐν τοῖς ἀποστόλοις ἡ δύναμις πρὸς τὸ δύνασθαι κατὰ πάσης ἀντικειμένης δυνάμεως ἐγένετο, καὶ ἡ ἐπέλευσις τοῦ Πνεύματος καθ' ὅλα τὰ οὐσιωδῶς προσόντα αὐτῷ, ἐνεργοῦσα ἐν πᾶσι σημείοις καὶ τέρασι, καὶ δυνάμεσι πρὸς βεβαίωσιν καὶ πίστωσιν τῆς Χριστοῦ ἐπαγγελίας, οὕτω καὶ ἐπὶ τῇ Παρθένῳ ἡ ἐπέλευσις τοῦ Πνεύματος ἐγένετο ἐν πᾶσι τοῖς οὐσιωδῶς προσοῦσιν αὐτῷ κατὰ τὴν θεαρχίαν, χάριν ἐμποιοῦν, πρὸς τὸ ἐν πᾶσι χαίρειν αὐτήν. Καὶ μετὰ μικρόν· Ἀλλ' ὅτι δυνάμεως τοῦ Πνεύματος ἐπλήσθη ἡ Παρθένος, πρὸς ἁγιασμὸν μέντοι τῆς σαρκὸς αὐτῆς, καὶ πρὸς τὸ δύνασθαι φέρειν τὸ σωτήριον κύημα· καὶ οὕτως ἀκολούθως ἐν αὐτῇ τὸ δυνάμει καὶ ἐνεργείᾳ, ἀλλὰ καθ' ὅλον τὸ πλήρωμα τῆς θεότητος, αὐτὴ ἡ ἀρχίθεος καὶ ὑπεράρχιος τοῦ Υἱοῦ τοῦ Θεοῦ ὑπόστασις ἐσαρκώθη καὶ ἐνηνθρώπησε. Προαπεδείχθη γὰρ, ὅτι ὥσπερ ἡ ἐξουσία καὶ ἡ βασιλεία, καὶ τὰ ἄλλα πάντα, ἃ κατὰ θεολογίαν προτέθειται, οὐχ ὑπόστασιν ἕκαστον λέγεται, ἀλλὰ περὶ τὴν ὑπόστασιν κατ' οὐσίαν ἰδίᾳ διερμηνευόμενα, οὕτω καὶ ἡ δύναμις καὶ ἡ ἐνέργεια περὶ τὴν ὑπόστασιν οὐσιωδῶς ἀναφέρεται κοινῶς μὲν ἐφ' ἑκάστην τῶν τριῶν θεαρχικῶν ὑποστάσεων, ἰδίως δὲ καὶ ἐπ' αὐτὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ τὴν μίαν σαρκωθεῖσαν καὶ ἐνανθρωπήσασαν. Καὶ ταῦτα μὲν οἱ θεολόγοι Πατέρες A αὐτοὶ καὶ κοινοὶ τῆς Ἐκκλησίας διδάσκαλοι, οὕτω τὰ τῶν ἱερῶν Εὐαγγελίων καὶ ἀποστόλων ἐκδεξάμενοι, καὶ οὕτω καὶ τοὺς μαθητὰς ἡμᾶς καὶ φρονεῖν καὶ διδάσκειν τοὺς ἀδελφοὺς ἐκεῖνα διδάξαντες, καὶ οὐκ ἔδει τοὺς ἀντιλέγειν τῇ Ἐκκλησίᾳ προειρημένους τοῖς οὕτω φανεροῖς ἀντιπίπτειν, καὶ διαστρέφειν ἐπιχειρεῖν τὰ διαστροφῆς καὶ ἀντιλογίας πάσης ἀνώτερα.

Ἀλλ' ἵνα καὶ τοὺς ἐκείνων ἑταίρους τε καὶ διαδόχους εἰσαγάγωμεν νῦν τῷ λόγῳ, καὶ δείξωμεν διά τε τῶν λόγων καὶ τῆς διδασκαλίας ἐκείνων, ὅπως καὶ αὐτοὶ τὰ τῶν ἀρχαίων Πατέρων τε καὶ διδασκάλων ἐδέξαντο, καὶ ὅτι καὶ συνᾴδομεν αὐτοῖς κατ' ἐκεῖνα, καὶ οὐδαμοῦ τῆς αὐτῶν ἀφιστάμεθα διανοίας, B ὥσπερ οὐδὲ τῆς ἐκείνων αὐτοὶ τοπαράπαν, ἐν τῷ αὐτῷ δηλαδὴ φθεγγόμενοι Πνεύματι τὰ τοῦ Πνεύματος πάντες ὁμοῦ, Γερμανὸς ὁ τῆς οἰκουμενικῆς Ἐκκλησίας ἱερὸς Πατὴρ καὶ διδάσκαλος πρὸ τῶν ἄλλων παρίτω, καὶ τὴν συμφωνίαν διὰ τῶν ἱερῶν αὐτοῦ λόγων ὑποδεικνύτω. Οὗτος καὶ γὰρ ὁ μέγας, πρὸς Λατίνους ὑπὲρ τῆς τοῦ θείου Πνεύματος ἐκπορεύσεως τὸν ἑαυτοῦ ποιούμενος λόγον, καὶ τῶν εὐαγγελικῶν τε καὶ πατρικῶν προϊστάμενος ὅρων, ἐπειδὴ τὰ περὶ μετοχῆς καὶ κοινωνίας Θεοῦ διασκοπούμενος ἦν, καὶ τοὺς περὶ τούτων τῶν θεολόγων ἱεροὺς λόγους, ἄλλους τε πολλοὺς, καὶ τοὺς κορυφαίους μάλιστα καὶ προὔχοντας αὐτῶν ἐπεισάγει, διὰ τῆς ἐκείνων θεολογίας τὴν καινοφανῆ τῶν Λατίνων δόξαν C ἐλέγχων, κακῶς οἰομένων, τῆς οὐσίας αὐτῆς, καὶ οὐ τῆς οὐσιώδους ἐνεργείας καὶ τῆς χάριτος τοῦ Θεοῦ, τοὺς ἁγίους μετέχειν. Τὰ γοῦν προῤῥηθέντα περὶ τούτων Ἀθανασίῳ τῷ μεγάλῳ ἐν τῇ περὶ τοῦ θείου Εὐαγγελισμοῦ ὁμιλίᾳ Γερμανὸς ὁ θεῖος οὑτοσὶν ἀναγνοὺς, οὕτω πως ἐπιφέρει τὴν ἑαυτοῦ γνώμην. Ὁρᾷς, φησὶν, ὡς ὅταν λέγωσιν οἱ Πατέρες τὸ Πνεῦμα τὸ ἅγιον ἐπιφοιτᾷν καὶ ἐνσκηνοῦν τοῖς ἁγίοις, οὐ τὴν ὑπόστασιν αὐτὴν, ἀλλὰ τὴν χάριν φασί; Καὶ πάλιν, Ὁ δὲ θεῖός φησι Κύριλλος, τὸ προφητικὸν ἐξηγούμενος ἐκεῖνο, τὸ, *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*, Εἰ μέν ἐστι Θεὸς, φησὶν, ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς, γεγέννηται γὰρ ἐκ Θεοῦ καὶ Πατρὸς, ἴδιον αὐτοῦ τε καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ αὐτοῦ τοῦ Πα- D τρός. Καὶ ἐν τῇ πρὸς Θεοδόσιον· Βαπτίζοντα τὸν Ἰησοῦν ἐν πυρὶ καὶ ἁγίῳ Πνεύματι, οὐ τὸ ἀλλότριον τοῖς βαπτιζομένοις ἐνιέναι Πνεῦμα δουλοπρεπῶς καὶ ὑπηρετικῶς, ἀλλ' ὡς Θεὸν κατὰ φύσιν, μετ' ἐξουσίας τῆς ἀνωτάτω τὸ ἐξ αὐτοῦ καὶ ἴδιον αὐτοῦ. Καὶ μετ' ὀλίγα· Ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῇ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι· ὅπερ ἐνίησι μὲν αὐτὸς ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως.

Οὕτω καὶ τὰ τοῦ μεγάλου Κυρίλλου, κατὰ λέξιν ὁ θεῖος ἐκθέμενος Γερμανὸς, ὅρα πῶς ἐκλαμβάνει καὶ διερμηνεύει σοφῶς. Ἀλλ' ἐνταῦθα τὴν χάριν καὶ τὴν ἐνέργειαν, φησὶ, προδήλως τῆς μακαρίας Τριάδος φησὶν, ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου προχεομένην Πνεύματος, καθὼς αὐτὸς ὁ προ-

Digitized by Google

φήτης φησὶν, *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου*, ἵνα ἀπὸ τῆς ταυτότητος τῆς ἐνεργείας, καὶ τὸ ταυτὸν τῆς οὐσίας παραστήσῃ. Εἰ μὲν γὰρ, Ἐκχεῶ τὸ Πνεῦμά μου, ἔφασκεν, ἴσως ἂν ὑπέλαβέ τις αὐτὸν τὸν Παράκλητον ἔκ τε τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ προχεόμενον· ἐπεὶ δὲ, *ἐκ τοῦ Πνεύματος*, ἔφησε, καὶ τὴν αἰτίαν προσέθηκε παρ' αὐτὰ, *ἐπὶ πᾶσαν σάρκα*, εἰπὼν, οὐ τὴν ὑπόστασιν, ἀλλὰ τὴν χάριν, ὡς ἔφημεν, παρεστήσατο· ὅτι μηδὲ ἐκείνης ἐσμὲν δεκτικοὶ, ἀλλὰ ταύτης, ἧς δῆτα καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον μετέχομεν, καθὼς πίστεως καὶ καθαρότητος ἕκαστος ἔχομεν. Ἐκείνη γὰρ ἡ ἐκπορευομένη ἐκ τοῦ Πατρὸς οὐκ ἔστιν οὐδεμιᾷ οὐσίᾳ κατὰ τὸ μᾶλλον καὶ ἧττον ληπτή τε καὶ μεριστή. Διὸ τὴν χάριν καὶ τὴν ἐνέργειαν καὶ τὴν ἔλλαμψιν καὶ τὴν δύναμιν, ἥν φαμεν ἐκ τῆς θείας οὐσίας πηγαζομένην εἶναι, πιστεύομεν. Εἰ γὰρ μὴ ἔστιν ἀνενέργητος καθ' ἑαυτὴν ἡ θεία οὐσία, καὶ ἀχαρίτωτος, ἀλαμπὴς, καὶ ἀδύναμος, ἔστι δὲ καὶ ἐπίκτητος ἡ τοιαύτη χάρις, ἀλλὰ μὴν οὐδὲν ἐπίκτητον αὐτῇ τῇ θείᾳ οὐσίᾳ καὶ κατὰ συμβεβηκός.

Ἀλλὰ καλὸν ἂν εἴη, φησὶν ὁ θεῖος Γερμανὸς αὖθις, καὶ τὰς προβαλλομένας παρὰ Λατίνων χρήσεις παραθέσθαι τῶν Πατέρων ἡμῶν. Καὶ γοῦν αὐτίκα τοῦ μεγάλου Ἀθανασίου ἐν τῷ περὶ τῆς ἐνσάρκου ἐπιφανείας τοῦ Θεοῦ Λόγου. Τῷ εὐαγγελίῳ, φησὶν, ὁ Ἰησοῦς ἐπαγγέλλεται διδόναι ὕδωρ τοῖς πιστοῖς ἐν δίψῃ, λέγων τῇ Σαμαρείτιδι περὶ τοῦ ἁγίου Πνεύματος· *Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι ὕδωρ πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.* Καὶ μετ' ὀλίγα λέγει αὐτῇ· *Πᾶς ὁ πίνων ἐκ τούτου τοῦ ὕδατος διψήσῃ πάλιν. Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον.* Καὶ διὰ τοῦτο ψάλλει Δαβὶδ ἐν τῷ Θεῷ λέγων, *Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.* Οἶδε γὰρ παρὰ τῷ Θεῷ καὶ Πατρὶ ὄντα τὸν Υἱὸν, τὴν πηγὴν τοῦ ἁγίου Πνεύματος, ὡς καὶ διὰ Ἱερεμίου ὁ Υἱὸς λέγει· *Δύο καὶ πονηρὰ ἐποίησεν ὁ υἱός μου· ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξεν ἑαυτῷ λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν.* Καὶ πάλιν· Τοῦ Πατρὸς ὄντος πηγῆς, τοῦ δὲ Υἱοῦ ποταμοῦ λεγομένου, πίνειν λεγόμεθα τὸ Πνεῦμα. Λέγουσιν οὖν οἱ τὰ Λατίνων δηλονότι φρονοῦντες, Ὁ σοφὸς αὖθίς φησι Γερμανὸς, ὅτι τῆς τοῦ Παρακλήτου ὑποστάσεώς ἐστι πηγὴ ὁ Υἱὸς, καὶ ἡμῖν τοῖς διψῶσιν ἀνθρώποις ταύτην πηγάζει, καὶ ὡς ὕδωρ λαμβάνομεν καὶ πίνομεν οἱ πιστεύοντες. Ἀλλ' οὐ τῆς οὐσίας ἐσμὲν, φησὶ, δεκτικοὶ, ἢ γὰρ ἂν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἦμεν συγκείμενοι, ἀλλὰ τῆς θείας χάριτος καὶ δωρεᾶς. Ὅπερ ὁ Κύριος ἐδήλωσεν ἐκ τοῦ, *Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ*, ἧς οὐ μόνον ὁ Πατὴρ καὶ ὁ Υἱὸς πηγὴ, ἀλλὰ καὶ αὐτὸς ὁ Παράκλητος. Καὶ τοῦτο αὐτὸ ὁ προβληθεὶς ἐν τῷ δευτέρῳ κεφαλαίῳ λέγων· Λέγει γὰρ ὁ προφήτης, *Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος*, καὶ ὁ Δαβίδ· *Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.* Ὁρᾷς ὅτι ὁ Πατὴρ πηγὴ ἐκλήθη καὶ ὁ Υἱὸς, ὁμοίως καὶ τὸ Πνεῦμα τὸ ἅγιον;

Ἄκουσον δὲ καὶ τῶν παρ' αὐτοῦ τοῦ μεγάλου ἀνωτέρω μικρόν. Φησὶ γὰρ αὐτὸς ὁ Κύριος· *Ὁ πιστεύων εἰς ἐμὲ, ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ.* Τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. Καὶ ἐν τῷ Ἰωὴλ ἐκ προσώπου τοῦ Πατρὸς, *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου.* Καὶ διὰ τοῦτο ἐμφυσᾷ εἰς τὸ πρόσωπον τῶν μαθητῶν, λέγων, *Λάβετε Πνεῦμα ἅγιον*, ἵνα μάθωμεν, ὅτι ἐκ τοῦ πληρώματος τῆς θεότητός ἐστι τὸ διδόμενον ἅγιον Πνεῦμα. *Ἐν Χριστῷ* γὰρ, φησὶ, *κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*, τουτέστιν ἐν τῇ σαρκὶ αὐτοῦ, καθὰ καὶ ὁ Εὐαγγελιστὴς λέγει· *Ἡμεῖς ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν.* Τοῦτο δέ φησιν ὁ ἱερὸς Γερμανὸς ἀναπτύσσων, ἢ ἐπεξεργαζόμενος δηλονότι τὰ εἰρημένα, καὶ τὸ *ἐκχεῶ*, καὶ τὸ *ἐμφυσῶ*, καὶ τὸ *ἐκ τοῦ πληρώματος*, καὶ τὸ *ἡμεῖς αὐτοῦ*· Πάντα ταῦτα τῆς θείας χάριτος καὶ ἐλλάμψεως καὶ ἐνεργείας τῆς ἁγίας Τριάδος εἰσὶ δηλωτικά. Εἶτα τοῦ Χρυσοστόμου Πατρὸς μνησθεὶς ὁ σοφὸς Γερμανὸς καὶ αὖθις, νῦν μὲν ἐν τῇ εἰς τὴν ἐνανθρώπησιν τοῦ Κυρίου ὁμιλίᾳ λέγοντος, Ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ ἑαυτοῦ Πνεῦμα, καὶ ἔλαβε τὸ ἡμέτερον σῶμα, νῦν δὲ ἐν τῷ πρώτῳ... λόγῳ, Καὶ οὕτως ὑμᾶς φυλάξει τὸ παρὰ Χριστοῦ Πνεῦμα εἰς τὴν ἡμέραν τῆς μελλούσης ἀπολυτρώσεως, ἐπάγει τὰ παρ' ἑαυτοῦ, λέγων οὕτως· Οὐκ ἔστι δὲ, ὦ οὗτοι, τὸ παρ' αὐτοῦ καὶ ἐκ τοῦ Χριστοῦ ἡ οὐσία καὶ ὕπαρξις, ἀλλ' ἡ χάρις καὶ ἡ δωρεὰ, ἧς καὶ ἡμεῖς ἐσμεν δεκτικοί. Καὶ Πνεῦμα Χριστοῦ καὶ ταύτην μεμαθήκαμεν, κατ' αὐτὸ, *Εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ.* Ἔδωκε δὲ τοῦτο, ὅτε ἐνεφύσησε τοῖς μαθηταῖς. Δέδωκε δὲ πάλιν τελεώτερον, καὶ ἡνίκα ὁ Παράκλητος διεμέρισε τὰς ἑαυτοῦ δωρεὰς ἐν τοῖς ἀποστόλοις. Εἰ γὰρ καὶ οὗτος διεμέριζεν, ἀλλ' οὖν καὶ ὁ Υἱὸς καὶ ὁ Πατήρ. Μία γάρ ἐστιν ἡ χάρις. Δέδωκε δὲ πάλιν μετὰ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος καὶ ὅτε ἐπεφοίτησεν ἐπὶ τὴν ἁγίαν Παρθένον καὶ Θεοτόκον κατὰ τὴν τοῦ ἀγγέλου φωνὴν, *Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ*, ὥσπερ δῆτα καὶ ὁ ἱερὸς Ἀθανάσιος ἐν τῷ εἰς τὸν Εὐαγγελισμὸν παριστᾷ.

Ὁ δὲ μέγας, φησὶν, Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρείου τρίτῳ τάδε φησί· Διδόντος τοῦ Πνεύματος χάριν καὶ εἰρήνην, αὐτὴν καὶ ὁ Υἱὸς δίδωσι. Μία γὰρ καὶ αὐτὴ παρὰ Πατρὸς δι' Υἱοῦ, ὡς ἔστιν ἐν τὸ φῶς τοῦ ἡλίου καὶ τοῦ ἀπαυγάσματος, καὶ τὸ φωτίζειν τὸν ἥλιον διὰ τοῦ ἀπαυγάσματος γίνεται.

Καὶ μετά τινα· Γράφει τοίνυν ὁ Ἰωάννης, *Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.* Οὐκοῦν διὰ τὴν διδομένην ἡμῖν χάριν τοῦ Πνεύματος ἡμεῖς τε ἐν αὐτῷ γινόμεθα, καὶ αὐτὸς ἐν ἡμῖν. Καὶ ἐπειδὴ τὸ Πνεῦμα τοῦ Θεοῦ ἐστι, διὰ τοῦτο τούτου γενομένου ἐν ἡμῖν, εἰκότως, ὡς ἔχον-

Digitized by Google

τες καὶ ἡμεῖς τὸ Πνεῦμα, νομιζόμεθα ἐν τῷ Θεῷ γενέσθαι, καὶ οὕτω Θεός ἐστιν ἐν ἡμῖν.

Ἀλλὰ καὶ ὁ Χρυσόστομος, φησὶν, ἐξηγούμενος τὸ, *Εἴ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὐκ ἔστιν αὐτοῦ*, τί φησι; Πνεῦμα Χριστοῦ ὁ Ἀπόστολος τὰ χαρίσματα τῆς Καινῆς Διαθήκης φησί. Καὶ πάλιν ὁ σοφὸς Γερμανὸς, Οὐχ αὐτὴν τὴν οὐσίαν καὶ ὕπαρξιν τοῦ Παρακλήτου προχέει τοῖς ἀξίοις ὁ Κύριος, οὐ γὰρ ληπτὴ ἡ θεότης, οὐδὲ μεταβαίνει, πόθεν γὰρ καὶ ποῦ ἡ τὰ πάντα πληροῦσα; ἀλλὰ τὴν θείαν ἐμφάνειαν καὶ χάριν καὶ δύναμιν ἀποστέλλει καὶ δίδωσιν. Ἀποστολὴν δὲ οὐδὲν ἄλλο δύναται νοεῖν ὁ εὐσεβὴς ἀπὸ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἢ τὸ ὁμόβουλον καὶ τὸ ὁμόγνωμον, καὶ τὸ σύμπνουν, καὶ τὴν συνευδοκίαν τῶν τριῶν εἰς τὴν φανέρωσιν καὶ ἔκδηλον ἐνέργειαν τοῦ Παρακλήτου.

Ὅτι δὲ, φησὶ, Πνεῦμα ἅγιον τὰς χάριτας φησὶν ὁ λόγος, καὶ τὰς ἐνεργείας, καὶ τὰς δωρεὰς τὰς πνευματικὰς, δι' ὧν οἱ μετέχοντες πνευματικοὶ γίνονταί τε καὶ λέγονται, δῆλον ἐντεῦθεν. Μία γάρ ἐστιν ἡ ἐκ τοῦ Πατρὸς χάρις διὰ τοῦ Υἱοῦ ἐν Πνεύματι ἁγίῳ πληρουμένη, καὶ μία θεότης. Καὶ πάλιν· Ἡ γὰρ διδομένη χάρις καὶ δωρεὰ ἐν Τριάδι δίδοται παρὰ τοῦ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ. Ὥσπερ δὲ ἐκ τοῦ Πατρός ἐστι δι' Υἱοῦ ἡ διδομένη χάρις, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν εἰ μὴ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. Τούτου γὰρ μετέχοντες, ἔχομεν τοῦ Πατρὸς τὴν ἀγάπην, καὶ τοῦ Υἱοῦ τὴν χάριν, καὶ αὐτοῦ τοῦ Πνεύματος τὴν κοινωνίαν. Μία ἄρα ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται. Καὶ πάλιν· Ἃ γὰρ τὸ Πνεῦμα ἑκάστῳ διαιρεῖ, ταῦτα παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται. Διὸ καὶ τὰ παρὰ τοῦ Υἱοῦ ἐν Πνεύματι διδόμενα τοῦ Πατρός ἐστι χαρίσματα.

Ὁ δὲ Νύσσης, φησὶ, θεῖος Γρηγόριος, Πᾶν ὅπερ ἂν εἰς ἡμᾶς, φησὶν, ἐκ θείας δυνάμεως ἀγαθὸν φθάσῃ, τῆς πάντα ἐν πᾶσιν ἐνεργούσης χάριτος ἐνέργειαν εἶναί φαμεν. Καὶ πάλιν ὁ θεῖός φησι Γερμανὸς, Τὸ προχεόμενον ἐκ τοῦ Χριστοῦ Πνεῦμα ἡ θεία καὶ πνευματικὴ χάρις ἐστὶ καὶ ἐνέργεια. Καὶ προχεῖται ἀπ' αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός· οὐχ ἡ ὑπερούσιος ὕπαρξις δηλονότι, ἀλλ' ἡ χάρις. Κοινὴ γὰρ τῆς ὑπερουσίου Τριάδος, καὶ ἀμερὴς καὶ ἁπλῆ. Καὶ τὸ μὲν προχεῖσθαι, φησὶ, καὶ ἀποστέλλειν καὶ ἐκλάμπειν, καὶ πεφηνέναι, τὴν τῶν χαρισμάτων τοῦ θείου Πνεύματος δηλοῖ χορηγίαν, καὶ τὴν τῶν ἐνεργειῶν ἔκδηλον ἔκφανσιν, ὅταν ἐκ τοῦ Υἱοῦ, ἢ διὰ τοῦ Υἱοῦ λέγηται ταῦτα, καὶ τισὶ λέγονται, τὸ δὲ ἐκπορεύεσθαι τὴν ἄπειρον καὶ ἀκατάληπτον ἐκ τοῦ Πατρὸς τοῦ Παρακλήτου ὕπαρξιν. Καὶ πάλιν, Ὁ μὲν, φησὶ, τῶν ἁγίων ἐνέργειαν ὀνομάζει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐν αὐτῷ περιοριζομένης πάσης τῆς ἐκ Πατρὸς δι' Υἱοῦ προχεομένης ἐνεργείας, εἴτε ἀγαθότητα, εἴτε σοφίαν, εἴτε τι ἕτερον εἴποις τῶν τῆς θείας φύσεως πλεονεκτημάτων, ὥς φησιν ὁ Θεολόγος ἐν τῷ εἰς τὸν κατάπλουν.

Ὁ δὲ Νύσσης ἐν τῷ πρὸς Ἀβλάβιον, Οὐδὲν τῶν τριῶν ἐνέργεια, φησὶν, ἀλλὰ μᾶλλον ἐνεργοῦν. Διότι

A τινὲς, διὰ τὸ καλεῖσθαι τοῦτο Θεοῦ ἐνέργειαν, κατὰ συμβεβηκὸς αὐτοῦ τὴν ἐνέργειαν νοεῖσθαι κακῶς ὑπέλαβον. Ἀπεδείχθη οὖν, φησὶν, ὅτι Πνεῦμα ἅγιον οὐ μόνον τὸν Παράκλητον, ἀλλὰ καὶ τὴν μίαν καὶ ἁπλῆν θείαν χάριν καὶ δύναμιν, ἔλλαμψίν τε καὶ ἐνέργειαν, τὴν ἀγαθότητι ποικιλλομένην ἐν τοῖς μεριστοῖς, καὶ ἀμερίστως πληθυνομένην, συνάγουσάν τε τὰ μεριστὰ πρὸς τὴν ἑαυτῆς ἁπλότητα, ἥτις ἐκ Πατρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνεύματι τῷ Παρακλήτῳ προχεομένη, τοῖς οὖσι τὸ εἶναι, καὶ τὸ εὖ εἶναι, κατὰ τὴν ἑκάστου δεκτικὴν δύναμιν ἐνεργεῖ, καὶ ταύτην ἢ φυσικὴν ἢ προαιρετικήν. Οἱ δὲ μὴ οὕτω πιστεύοντες, μηδὲ εἶναι ταύτην καὶ ἐκ τοῦ ἁγίου Πνεύματος ὡς καὶ ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ, ὡς κοινὴν ἐνέργειαν τῆς ἁγίας Τριάδος, ἀλλὰ ταύτην
B εἶναι λέγοντες τὴν τοῦ Παρακλήτου ὑπόστασιν, κἀκ τοῦ Υἱοῦ ἔχειν τὸ εἶναι, ἀθετοῦσιν αὐτὸν, καὶ εἰς δυάδα, κατὰ τὸν Μακεδόνιον, ἀλλ' οὐχουν εἰς Τριάδα πιστεύουσιν.

Ἀλλὰ τὰ μὲν τοῦ τῆς Ἐκκλησίας οἰκουμενικοῦ τουτουῒ διδασκάλου, τοῦ θείου φημὶ Γερμανοῦ, ἅλις ἐχόντων τό γε νῦν εἶναι. Τόν τε γὰρ περὶ θείας ἐνεργείας καὶ χάριτος καὶ ἐλλάμψεως λόγον ἐκ τῶν ἀρχαίων Πατέρων καὶ θεολόγων λαβὼν, ἐδίδαξεν ἄριστα φυσικὴν δύναμιν ἀποδείξας αὐτὴν πεφυκέναι τῆς ἁγίας Τριάδος, διαφέρουσαν μὲν τῆς φύσεως, συναΐδιον δὲ καὶ συμπεφυκυῖαν, καὶ συνουσιωμένην, καὶ ἀχώριστον αὐτῆς, δι' ὧν τό τε ἡνωμένον καὶ τὸ διακεκριμένον πρὸς τὴν οἰκείαν αὐτῆς φύσιν θεολο-
C γεῖται καλῶς, καὶ περὶ τῆς μετοχῆς αὐτῆς θεοπρεπῶς τε καὶ θεολογικῶς ὄντως ἐφιλοσόφησε, μὴ τοῦ Πνεύματος τὴν ὑπόστασιν, μὴ τὴν θείαν οὐσίαν ὅλως εἰπὼν τὴν μετεχομένην ὑπό τε τῶν ἁγίων, καὶ δὴ καὶ τῶν ἄλλων κτισμάτων ἀναλόγως εἶναι, μηδὲ γὰρ πεφυκέναι μήτ' ἐκείνην ὅλως ληπτήν τε καὶ μεριστὴν, μήτε τὰ κτίσματα, δεκτικὰ τοπαράπαν τῆς θείας οὐσίας καὶ ὑποστάσεως, ἀλλὰ τὴν θείαν ἐνέργειαν, καὶ χάριν καὶ ἔλλαμψιν, ἁπλῆν μὲν οὖσαν καθ' ἑαυτὴν καὶ ἀμέριστον, μεριζομένην δὲ καὶ ποικιλλομένην ἐν τοῖς μεριστοῖς ἀναλόγως ἀγαθότητι θείᾳ, κατὰ τὴν φυσικὴν, φησὶ, καὶ προαιρετικὴν ἐκείνων ἐπιτηδειότητα, καὶ δεκτικὴν δύναμιν, ὡς ἐντεῦθεν καὶ μίαν καὶ πολλὰς τὴν αὐτὴν
D καὶ νοεῖσθαι καὶ λέγεσθαι, καὶ μὴ μόνον οὐ προσίστασθαι τὸ διακεκριμένον τοῦτο τῆς θεολογίας τῷ ταύτης ἑνιαίῳ, ἀλλὰ καὶ ἀνενέργητον, καὶ ἀδύναμον, καὶ ἀλαμπῆ, καὶ ἀχαρίτωτον κατασκευάζειν τὴν θείαν οὐσίαν τοὺς ἐκεῖνα δοξάζοντας, ταῖς γὰρ τοῦ διδασκάλου καὶ αὖθις χρήσομαι λέξεσι, καὶ πρὸς ἔτι μετὰ Μακεδονίου εἰς δυάδα πιστεύειν τούτους, οὐχουν εἰς τὴν ἁγίαν Τριάδα, τὰ καὶ παρ' ἡμῶν ἐν τοῖς φθάσασι δειχθέντα διὰ πολλῶν, τοῖς εὐαγγελικοῖς τε καὶ ἀποστολικοῖς καὶ δὴ καὶ τοῖς θεολογικοῖς καὶ πατρικοῖς ἑπομένων λόγοις ἐν ἅπασι.

Σὺ δὲ τί καὶ πρὸς ταῦτα λέγεις, ὦ σοφὲ Γρηγορᾶ; Δέχῃ κἂν τουτονὶ τὸν ἱερὸν τῆς καθόλου τῶν πιστῶν Ἐκκλησίας διδάσκαλον, ἐξηγητὴν τῶν ἱερῶν λόγων, καὶ τῶν ἀρχαίων θεολόγων ἐκείνων, προφη-

Digitized by Google

τῶν τέ φημι καὶ ἀποστόλων καὶ τῶν μετ' ἐκείνους A Πατέρων καὶ διδασκάλων, ἢ καὶ τοῦτον ἐν αἱρετικῶν ἀριθμεῖς μοίρᾳ, καὶ πᾶσαν αἵρεσιν ὑπερβαίνειν καὶ τὰ τούτου λέγεις τοῦ μακαρίου, καθὰ δὴ καὶ τὰ τῶν συντεθεικότων τὸν τόμον, ἐπειδὴ μὴ ταῖς Ἀριστοτελικαῖς κατηγορίαις, ὡς αὐτὸς φῇς, καὶ ταῖς ἀνάγκαις τῆς ἐπιστήμης ἐκείνης, τὸ Εὐαγγέλιον ὑποβάλλουσι; Τὰ αὐτὰ καὶ γάρ, ὡς ὁρᾷς, καὶ οὗτος τῇ καθ' ἡμᾶς καὶ νοεῖ καὶ γράφει συνόδῳ, καὶ οὐκ ἔστιν οὐδ' ἡντινοῦν τὴν διαφωνίαν ἐν αὐτοῖς τὸ σύνολον κατιδεῖν, πλείστην μὲν οὖν τὴν συμφωνίαν καὶ ἀκριβεστάτην ἐν ἅπασιν, ἅτε δὴ καὶ τοῖς αὐτοῖς ἑπομένοις μυσταγωγοῖς τε καὶ διδασκάλοις, ἐν τῷ αὐτῷ φημι Πνεύματι.

Ἀλλ' ὁ μὲν τῆς Ἐκκλησίας καὶ τότε καὶ νῦν διδάσκαλος παρ' αὐτῆς, φημί, τῆς καθολικῆς Ἐκ- B κλησίας ἀνακηρύττεται, ὡς καὶ τὰ ἱερὰ τούτου συγγράμματα μαρτυρεῖ, ἐν πανδήμοις τελεταῖς τε καὶ πανηγύρεσι, σύν γε τοῖς τῶν ἀρχαίων Πατέρων καὶ διδασκάλων, εἰς πάσας ἀκοὰς ἀναγινωσκόμενα· σὺ δ' ἐξ ἀνάγκης ἐκείνοις ἐναρίθμιος γέγονας, οἷς τοὺς ἁγίους τούτους κάκιστα συκοφαντῶν συνηρίθμησας, τοῖς τε ἄλλοις, καὶ δὴ καὶ τοῖς καινοφανέσι Πνευματομάχοις, τοῖς Λατίνοις φημὶ τουτοισίν, ὡς ὁ θεῖος δηλαδὴ Γερμανὸς ἔκ γε τῶν θεολόγων Πατέρων ἱκανῶς ἔδειξεν, ἵνα πρὸς τοῖς ἄλλοις κἀκεῖνο μάθῃς, ὡς οὐχ οἱ τὴν ἐνέργειαν ἐκ τῆς οὐσίας ὡς φυσικὴν εἰπόντες, ἀλλ' οἱ ταυτὸ πάντῃ καὶ ἀδιάφορον θείαν οὐσίαν, καὶ θείαν ἐνέργειαν φάσκοντες μᾶλλον, καὶ τὸ ἡνωμένον τῆς θεολογίας ἐπιστρατεύοντες τῷ διακεκριμένῳ ταύτης, μεθεκτήν τε τὴν C θείαν οὐσίαν καὶ τὴν ὑπόστασιν αὐτὴν τοῦ Πνεύματος λέγοντες, τὰ τῶν σῶν συγγραμμάτων καὶ δογμάτων ἐξαίρετα, οἷς δήπου καὶ τὸν λατινισμὸν ἐπεισάγων αὐτὸς φανερῶ; σὺν τοῖς σοῖς ἑταίροις τε καὶ συμμύσταις, ὑπὲρ οὗ καὶ νῦν ὁ πόλεμος μάλιστα πᾶς, ἔπειτα οὐκ ἐρυθριᾷς οὐδ' αἰσχύνῃ, τῇ τῶν ὀρθοδόξων Ἐκκλησίᾳ καὶ τοῖς ἁγίοις ἐπιφημίζων ταῦτα, καθάπερ τις ἐξεστηκὼς σεαυτοῦ καὶ μαινόμενος.

Ἐγὼ δέ σοι καὶ δεύτερον μετὰ τοῦτον καὶ διδάσκαλον πατριάρχην κατ' αὐτὸν ἐπιστήσω τῷ λόγῳ, σοφὸν μὲν τὰ θεῖα, σοφὸν δ' ὑπὲρ σέ, καὶ τοὺς κατὰ σὲ καὶ πολλῷ τινι τῷ μέσῳ καὶ τὰ ἀνθρώπινα, εἰ καὶ βραχὺς ὁ λόγος ἐκείνῳ τῶν τοιούτων, ἐραστῇ D πεφηνότι, καὶ μύστῃ, καὶ μυσταγωγῷ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας, Γρηγόριόν φημι τὸν ἐκ Κύπρου, οὗ μέγα κλέος ἐν πάσῃ τῇ τῶν πιστῶν Ἐκκλησίᾳ δογμάτων τέ φημι καὶ λόγων ἕνεκα καὶ λαμπροῦ βίου καὶ πολιτείας ἀρίστης, καὶ δὴ καὶ τῶν καλῶν καὶ πολλῶν ἀγώνων ἐκείνων, οὓς ὑπὲρ τῆς ὀρθῆς δόξης ὑπέστη, πρὸς τοὺς φρονοῦντας τὰ τῶν σῶν Λατίνων ἀγωνιζόμενος. Παρίτω τοιγαροῦν Γρηγόριος καὶ νῦν ὁ σοφὸς διὰ τῶν αὐτοῦ λόγων τοὺς περὶ θεότητος καὶ θείας ἐνεργείας καὶ ἱερᾶς ἐλλάμψεώς τε καὶ μετοχῆς λόγους διδάξων, καὶ τὴν συμφωνίαν αὐτοῦ τε καὶ ἡμῶν πρὸς τοὺς ἀρχαίους Πατέρας καὶ θεολόγους ἐπιδειξόμενος. Μᾶλλον δὲ πρὸ τῶν ἐκείνου λόγων τὰ τῶν ἀντιλεγόντων ἐκείνῳ καὶ τῇ Ἐκκλησίᾳ τότε προσθέντες, οὕτω τοὺς ἐκείνου λόγους καὶ τὴν θεολογίαν ἀκολούθως αὐτοῖς ἀντιστήσωμεν.

Φησὶ τοιγαροῦν ὁ τὰ Λατίνων ἐκδικῶν Βέκκος τὸ τηνικαῦτα, περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως γράφων, οὑτωσὶ κατὰ λέξιν· Τί δέ ἐστι τὸ χορηγούμενον ἡμῖν διὰ τοῦ Υἱοῦ; Ὁ εἷς τῆς ἁγίας Τριάδος Θεός, ὁ Παράκλητος, ἤγουν αὐτὴ ἡ οὐσία καὶ ἡ ὑπόστασις τοῦ παναγίου Πνεύματος. Ἐκπορεύεται μὲν γὰρ τὸ Πνεῦμα, κατὰ τὸν ἅγιον Κύριλλον, ἐκ τοῦ Θεοῦ καὶ Πατρός, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ. Εἰ οὖν τὸ ἐκπορευόμενον ἐκ τοῦ Πατρὸς τοῦτό ἐστι καὶ τὸ χορηγούμενον τῇ κτίσει διὰ τοῦ Υἱοῦ, ἐκπορεύεται δὲ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς ὁ Παράκλητος, ἤγουν αὐτὴ ἡ ὑπερούσιος οὐσία καὶ ὑπόστασις τοῦ παναγίου Πνεύματος, δῆλον, ὅτι ἡ αὐτὴ χορηγεῖται καὶ τῇ κτίσει διὰ τοῦ Υἱοῦ, καὶ οὐχὶ ἡ χάρις μόνον. Εἰ δὲ ἡ χάρις μόνον καὶ ἡ ἐνέργεια χορηγεῖται τῇ κτίσει διὰ τοῦ Υἱοῦ, ἡ αὐτὴ ἄρα καὶ ἐκπορεύεται ἐκ τοῦ Πατρός. Τὸ γὰρ αὐτό φησιν ὁ θεῖος Κύριλλος χορηγεῖσθαι τῇ κτίσει διὰ τοῦ Υἱοῦ, ὃ καὶ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται.

Οὐκ ἔστιν, ὦ οὗτος, ληπτὴ ἡμῖν ἡ θεία οὐσία. Εἰ γὰρ ἑξαπτέρυγα Σεραφεὶμ οὐ στέγουσιν ὅλως φέρειν τὴν ἐκ τῆς θείας φύσεως ἐκπεμπομένην αἴγλην καὶ λαμπρότητα, πῶς ἔχεται λόγου τὸ λέγειν δεκτικὴν εἶναι ὅλως τὴν ὑλαίαν καὶ ἐπίκηρον ἡμετέραν φύσιν αὐτῆς τῆς θείας οὐσίας; Ἅπαξ ἡμῖν τοῦτο κεχάρισται ἐν τῇ ἀρρήτῳ καὶ ἀκαταλήπτῳ καὶ ὑπὲρ φύσιν ἑνώσει τοῦ Θεοῦ Λόγου, Κυρίου δὲ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐδοκίᾳ Πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου Πνεύματος. Καὶ ἦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς δύο φέρων ἐν αὐτῷ οὐσίας, θεότητά τε καὶ ἀνθρωπότητα. Ἡμῶν δὲ τοῖς κρείττοσι χορηγεῖται οὐχ ἡ τοῦ παναγίου Πνεύματος οὐσία τε καὶ ὑπόστασις· οὐδὲ γὰρ ληπτὴ ἡ θεία οὐσία καὶ μεριστὴ καὶ ποικιλλομένη, ἁπλῆ γάρ ἐστιν αὕτη, καὶ πάντῃ ἄσχετος καὶ ἀμέθεκτος· ἀλλ' ἡ ἐκεῖθεν ἐκπεμπομένη θεία καὶ ἀγαθοποιὸς καὶ ἑνιαία αἴγλη τε καὶ χάρις καὶ ἐνέργεια τοῦ παναγίου Πνεύματος, ἡ ἁπλῶς καὶ ἀμερῶς, καὶ ἀτμητῶς καὶ ὁλικῶς καὶ ἑνιαίως ἀεὶ πηγαζομένη ἐκ τῆς ὑπερθέου μιᾶς τρισυποστάτου φύσεως. Καὶ ταύτην ποικιλλομένην καὶ κατακερματιζομένην ἐν μεριστοῖς ἀμερίστως, κατὰ τὸ μέτρον ἑκάστου τῆς ἀρετῆς, οἱ κρείττονες ἐπισπῶνται, καὶ οἱ μὲν μᾶλλον, οἱ δὲ ἧττον ταύτην εἰσδέχονται, καὶ θεοὶ ἐξ αὐτῆς κατὰ χάριν καὶ μέθεξιν χρηματίζουσι. Καὶ ταύτην τοίνυν τὴν θείαν αἴγλην καὶ χάριν, τὴν ἐνέργειάν τε καὶ δωρεὰν τοῦ παναγίου Πνεύματος, Πνεῦμα ἅγιον αἱ θεῖαι Γραφαὶ κατονομάζουσιν· ἀλλὰ δὴ καὶ θεότητα καὶ Θεόν, καὶ θεοποιόν· ἐπὶ γὰρ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεται, καὶ ἡ ἐνέργεια, φησὶν ὁ μέγας Βασίλειος ἐν τοῖς *Ἀντιρρητικοῖς*, ἐπεὶ καὶ ἥλιόν φαμεν οὐ μόνον αὐτὸν τὸν ἡλιακὸν δίσκον, ἀλλὰ καὶ τὴν ἐκεῖθεν ἐκπεμπομένην αἴγλην τε καὶ ἐνέργειαν. Ὅτι δὲ θεότητα, καὶ Θεόν, καὶ θεοποιόν, καὶ αὐτοαγαθό-

Digitized by Google

τητα, καὶ ἀγαθοποιὸν, καὶ δημιουργὸν τοῦ παντός φασιν αἱ θεῖαι Γραφαὶ τὴν θείαν ταύτην χάριν, ἐνέργειάν τε καὶ δωρεὰν τὴν ἐκ τῆς ὑπερουσίου Τριάδος προερχομένην, μάρτυς καὶ ὁ Ἀρεοπαγίτης θεῖος Διονύσιος, καὶ ὁ Δαμασκηνὸς θεῖος Ἰωάννης. Ὁ μὲν γὰρ εἰς τὸ *Περὶ θείων ὀνομάτων* οὕτω φησίν· Οὐκ ἐναντιολογοῦσιν οἱ ποτὲ μὲν λέγοντες τὸν Θεὸν αὐτοουσίαν καὶ αὐτοζωὴν, καὶ αὐτοδύναμιν καὶ αὐτοειρήνην, καὶ τὰ τοιαῦτα, ποτὲ δὲ λέγοντες αὐτὸν ὑποστάτην αὐτοουσίας, καὶ αὐτοζωῆς, καὶ αὐτοδυνάμεως, καὶ αὐτοειρήνης, καὶ τῶν τοιούτων, τὰ μὲν γὰρ ὀνομάζεται ἐκ τῶν ὄντων, καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος αὐτῶν, τὰ δὲ ὑπεροχικῶς, ὡς ὑπὲρ τὰ πάντα καὶ τὰ πρώτως ὄντα. Αὐτοουσίαν τε καὶ αὐτοζωὴν, καὶ αὐτοδύναμιν, καὶ αὐτοειρήνην, καὶ τὰ τοιαῦτα, λέγομεν θεϊκῶς μὲν, καὶ ἀρχικῶς, καὶ αἰτιατικῶς τὴν μίαν πάντων ὑπεράρχιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ μεθέξεις, τὴν αὐτοουσίωσιν, τὴν αὐτοζώωσιν, τὴν αὐτοδυνάμωσιν, τὴν αὐτοειρήνευσιν, καὶ τὰ παραπλήσια· ἅπερ ἀπολύτως, καὶ ἀρχηγικῶς καὶ πρώτως ἐκ Θεοῦ ὑποστῆναι λέγομεν. Τινὲς δὲ τῶν ἱεροδιδασκάλων καὶ τῆς αὐτοαγαθότητος καὶ τῆς θεότητος ὑποστάτην φασὶ τὸν ὑπεράγαθον καὶ ὑπέρθεον, αὐτοαγαθότητα λέγοντες τὴν ἐκ Θεοῦ προερχομένην ἀγαθοποιὸν καὶ θεοποιὸν μέθεξιν καὶ δωρεάν. Ὁ δέ γε Δαμασκηνὸς θεῖος Ἰωάννης ἐν τεσσαρεσκαιδεκάτῳ κεφαλαίῳ περὶ τῶν ἰδιωμάτων τῆς θείας φύσεως οὕτω καὶ αὐτός φησιν, ὅτι ἡ θεία ἔλλαμψις καὶ ἐνέργεια μία οὖσα καὶ ἁπλῆ καὶ ἀμερὴς καὶ ἀγαθοειδῶς ἐν τοῖς μεριστοῖς ποικιλλομένη πᾶσι τὰ τῆς οἰκείας φύσεως συστατικὰ νέμουσα μένει ἁπλῆ, πληθυνομένη μὲν ἐν τοῖς μεριστοῖς ἀμερίστως, καὶ τὰ μεριστὰ πρὸς τὴν ἑαυτῆς ἁπλότητα συνάγουσα καὶ ἐπιστρέφουσα. Πάντα γὰρ αὐτῆς ἐφίεται, καὶ ἐν αὐτῇ ἔχει τὴν ὕπαρξιν, καὶ αὐτὴ τοῖς πᾶσι τὸ εἶναι καθὼς ἔχει φύσεως μεταδίδωσι, καὶ αὐτή ἐστι τῶν ὄντων τὸ εἶναι, καὶ τῶν ζώντων ἡ ζωή, καὶ τῶν λογικῶν ὄντων ὁ λόγος, καὶ τῶν νοερῶς ὄντων ἡ νόησις, αὐτὴ ὑπὲρ νοῦν οὖσα, καὶ ὑπὲρ λόγον, καὶ ὑπὲρ ζωὴν, καὶ ὑπὲρ οὐσίαν. Ταύτην τοίνυν τὴν ἀγαθοποιὸν καὶ μεταδοτικὴν ἀγαθότητος θείαν αἴγλην τε καὶ ἐνέργειαν τοῦ παναγίου Πνεύματος, τὴν καὶ Πνεῦμα ἅγιον ὠνομασμένην, οἱ θεῖοί φασι Πατέρες χορηγεῖσθαι ἡμῖν, καὶ ταύτην κατὰ δεκτικὴν ἑκάστου δύναμιν φυσικὴν, ἢ προαιρετικήν. Χορηγεῖται τοίνυν τῇ κτίσει, εἴτουν τοῖς ἀξίοις, διὰ τοῦ Υἱοῦ τὸ ἐκ Πατρὸς ἐκπορευόμενον Πνεῦμα ἅγιον καὶ ἐνσκηνοῖ ἐν αὐτοῖς, ἀλλὰ δὴ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, καθὼς αὐτὸς ὁ Κύριος λέγει, ***Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν***, καὶ διὰ τοῦ Προφήτου, ***Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω***, ἀλλ' οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατὰ τὴν μετάδοσιν τῶν θείων χαρισμάτων. Κατὰ γὰρ τὴν μέθεξιν καὶ δωρεὰν τῆς θείας χάριτος ἐνσκηνοῖ τοῖς δικαίοις ὥσπερ ὁ Πατὴρ καὶ ὁ Υἱὸς, οὕτω καὶ αὐτὸ τὸ ἅγιον Πνεῦμα, ὁ εἷς τῆς ἁγίας Τριάδος Θεὸς ὁ Παράκλητος, ἀλλ' οὐ καθ' ὑπόστασιν, ὡς ἔφημεν, οὐδὲ κατὰ τὴν ἄφθεκ- A τον, καὶ ἀνώνυμον, καὶ ἀμέθεκτον ὑπερούσιον ὕπαρξιν, μεθεκτικῶς δὲ κατὰ τὴν μετάδοσιν, ὡς ἔφημεν, τῶν θείων χαρισμάτων, κατὰ τὸ τοῦ αἰσθητοῦ ἡλίου παράδειγμα. Καὶ γὰρ καὶ ἀμέθεκτος ἡμῖν ἐστι κατὰ τὸν δίσκον διὰ τὸ ὕψος, καὶ μεθεκτὸς ταῖς ἀκτῖσιν, ὡς καὶ ὁ Ἀρεοπαγίτης θεῖός φησι Διονύσιος, ὅτι ὁ Θεὸς καὶ ὑφ' ἑκάστου τῶν μετεχόντων ὅλως μετέχεται. Καὶ ὑπ' οὐδενὸς ἐν οὐδενὶ μέρει, καθάπερ κέντρον ἐν μέσῳ κύκλου πρὸς πασῶν τῶν ἐν τῷ κύκλῳ περικειμένων εὐθειῶν, καὶ ὥσπερ σφραγῖδος ἐκτυπώματα πολλὰ μετέχει τῆς ἀρχετύπου σφραγῖδος, καὶ ἐν ἑκάστῳ τῶν ἐκτυπωμάτων ὅλως καὶ ταυτῶς οὔσης, καὶ ἐν οὐδενὶ κατ' οὐδὲν μέρος. Ὑπέρκειται δὲ καὶ τούτων ἡ τῆς παναιτίου θεότητος ἀμεθεξία, τῷ μήτε ἐπαφὴν αὐτῆς εἶναι, B μήτε ἄλλην τινὰ πρὸς τὰ μετέχοντα συμμιγῆ κοινωνίαν.

Ἀκολούθως καὶ ὁ Δαμασκηνὸς θεῖός φησιν Ἰωάννης· Ὥσπερ ἡ τοῦ ἡλίου ἀκτὶς καὶ τὸ φῶς, οὔτε τοῦ ἡλίου χωριζόμενα, οὔτε ἀλλήλων ἀποδιαιρούμενα κατίασι καὶ μέχρις ἡμῶν, οὕτω καὶ ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα ἀδιαστάτως ἐκ τοῦ Πατρὸς καὶ ἀλλήλων ἄχρις ἡμῶν συγκαταβαίνουσιν, ἐνεργοῦντες τὴν σωτηρίαν ἡμῶν. Καὶ καθάπερ ἐπ' ἐκείνων τῇ ἀκτῖνι συμπαρομαρτοῦσα ἡ ἔλλαμψις, δι' ἐκείνης ἡμῖν μεταδίδοται, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ Υἱῷ συμπαρομαρτοῦν, δι' ἐκείνου μεταδίδοται τοῖς ἀξίοις κατὰ τὴν μετάδοσιν τῶν χαρισμάτων. Ἐνεφύσησε γὰρ, φησὶ, καὶ εἶπε, ***Λάβετε*** C ***Πνεῦμα ἅγιον***. Καὶ ὥσπερ ἐπ' ἐκείνων φῶς λέγεται καὶ ἡλίου καὶ ἀκτῖνος, οὕτω καὶ ἐπὶ τούτων Πνεῦμα λέγεται καὶ Πατρὸς καὶ Υἱοῦ. Διὰ γὰρ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ τοῖς ἀξίοις ἐπιχορηγεῖται. Καὶ δεκτικοί εἰσιν οὗτοι τοῦδε τοῦ παναγίου Πνεύματος, καὶ οὐκ αὐτῆς τῆς θείας οὐσίας καὶ ὑποστάσεως τοῦ Παρακλήτου Θεοῦ, τοῦ ἑνὸς τῆς ἁγίας Τριάδος. Εἰ γὰρ τοῦτο ἦν, ἔμελλε μετὰ τῶν ἄλλων ἀτοπημάτων καὶ ἕκαστον τῶν δεκτικῶν τοῦδε τοῦ Πνεύματος λέγειν δύο ἐν ἑαυτῷ φέρειν οὐσίας, θεότητά τε καὶ ἀνθρωπότητα, καὶ θεάνθρωπον ἕκαστον χρηματίζειν, καὶ τούτων ἑνὸς μηδὲν πλέον τὸν Σωτῆρα Χριστὸν ἔχειν· πρὸς τούτοις καὶ ποικιλλομένην εἶναι καὶ μεριστὴν τὴν θείαν οὐσίαν, καὶ μᾶλλον καὶ ἧττον ὑπάρχειν ἐν τοῖς ὑποδεχομένοις D αὐτήν.

Ὁρᾷς εἰς ὅσον ἀτοπίας παρασύρει τὸ λέγειν τὸ ἐκ τοῦ Υἱοῦ χορηγούμενον ἡμῖν Πνεῦμα ἢ τοῦ παναγίου Πνεύματός ἐστιν οὐσία καὶ ὑπόστασις, καὶ οὐκ αὐτὴ ἡ θεία χάρις καὶ ἡ ἐνέργεια τοῦ παναγίου Πνεύματος; Τί δὲ, οὐκ ἔστιν ἀϊδίως ἐκ τοῦ Υἱοῦ τὸ ἐξ αὐτοῦ Πνεῦμα, ἀλλὰ τὸ τῇ κτίσει καὶ ἡμῖν προσγινόμενον χρὴ οἴεσθαι εἶναι τὸ ἐκ τοῦ Υἱοῦ Πνεῦμα; Εἰ δὲ τοῦτο, προσφάτου οὔσης, καὶ ὑπὸ χρόνον τῆς κτίσεως, πρόσφατον πάντως ἔσται καὶ τὸ ἐκ τοῦ Υἱοῦ Πνεῦμα καὶ ὑπὸ χρόνον. Ἀλλὰ μὴν συνυπάρχει τῷ Υἱῷ, καὶ ἀϊδίως ἐξ αὐτοῦ ἐστι καὶ οὐχ ὑπὸ χρόνον· οὐκ ἄρα χρὴ οἴεσθαι τὸ ἡμῖν τοῖς ὑπὸ χρόνον χορηγούμενον εἶναι μόνον

Digitized by Google

τὸ ἐκ τοῦ Υἱοῦ Πνεῦμα, ἀλλὰ τὸ ἀϊδίως ἐξ αὐτοῦ A ὑπάρχον. Εἰ δὲ τοῦτο, πῶς οὐκ ἔσται ἡ ἀΐδιος ὑπόστασις τοῦ παναγίου Πνεύματος τὸ ἐκ τοῦ Υἱοῦ Πνεῦμα, ἀλλ' ἡ χάρις αὐτοῦ καὶ ἡ ἐνέργεια; Ἡ γὰρ χάρις καὶ ἡ ἐνέργεια, ἐπεὶ ἡμῖν καὶ ἡμῶν ἕνεκεν ὑπάρχει, πάντως καὶ ὑπὸ χρόνον ἔσται.

Οὐκ ἔστιν, ὦ οὗτος, οὐδὲ ἡ θεία χάρις αὕτη τε καὶ ἡ ἔλλαμψις, καὶ ἡ ἐνέργεια πρόσφατος καὶ ὑπὸ χρόνον, εἰ καὶ τοῖς κτιστοῖς πᾶσι καὶ ἡμῖν προσφάτως καὶ ὑπὸ χρόνον ἐπιχορηγεῖται· συναΐδιος δὲ τῇ ὑπερουσίῳ Τριάδι, καὶ ἐξ αὐτῆς ἀεὶ πηγαζομένη καὶ ἐκλάμπουσα, ὅλη ἐκ τοῦ Πατρὸς, ὅλη ἐκ τοῦ Υἱοῦ, ὅλη ἐκ τοῦ Παρακλήτου Θεοῦ τοῦ παναγίου Πνεύματος, καὶ τῆς τρισυποστάτου φύσεως τοῦ ἑνὸς Θεοῦ ἐστιν ἀχρόνως καὶ ἀειλαμπὴς, καὶ ὑπέρφωτος ἐνιαία αἴγλη, B καὶ ἀΐδιος ἐνέργεια, ὡς καὶ ὁ θεῖος ἐν ὕμνοις ᾄδει Δαμασκηνός· Τρισσοφαῆ θεότητα ἑνιαίαν ἐκλάμπουσαν αἴγλην, ἐκ μιᾶς τρισυποστάτου φύσεως, εἰ καὶ τοῖς ὑπὸ χρόνον οὖσιν ἐπιχορηγεῖται, καὶ λαμβάνει πάντα ἐξ αὐτῆς τὸ εἶναι, καὶ τὸ εὖ εἶναι κατὰ τὸν ἐν ἑκάστῳ προορισμὸν, καὶ τὴν δεκτικὴν ἑκάστου δύναμιν φυσικήν τέ φημι καὶ προαιρετικήν. Ταύτην τοίνυν τὴν θείαν καὶ ἑνιαίαν ἔλλαμψίν τε καὶ χάριν, καὶ αἴγλην τῆς ὑπερφώτου Τριάδος, τὴν ἁπλῶς καὶ ἀμερῶς, καὶ ταυτῶς, καὶ ὁλικῶς, καὶ ἑνιαίως ἀεὶ ἐκλάμπουσάν τε καὶ προερχομένην ἐκ τῆς ὑπερθέου μιᾶς τρισυποστάτου φύσεώς φασιν οἱ θεοφόροι Πατέρες, καταποικίλλεσθαι εἰς τὰς ἐκδιδομένας ἐκ Θεοῦ ἀγαθοποιοὺς μεθέξεις τε καὶ δωρεὰς, ἃς καὶ ἀπολύτως C καὶ ἀρχηγικῶς καὶ πρώτως ἂν Θεοῦ ὑποστῆναί φησιν ὁ τὰ θεῖα πολὺς Διονύσιος, τὴν αὐτοουσίωσιν λέγων, τὴν αὐτοζωὴν, τὴν αὐτοδύναμιν, τὴν αὐτοειρήνην, τὴν αὐτοαγαθότητα, τὴν θεότητα, καὶ τούτων ὑποστάτην τὸν Θεὸν ἀχρόνως καὶ ἀνάρχως λέγει. Τούτῳ τοίνυν ἀκολούθως καὶ ὁ θεῖος Μάξιμος οὕτω φησί· Ζητητέον τοῖς σπουδαίοις, τίνα καθήκει νοεῖν εἶναι τὰ ἔργα, ὧν ἤρξατο τῆς γενέσεως ὁ Θεὸς, καὶ τίνα πάλιν ὧν οὐκ ἤρξατο. Εἰ γὰρ πάντων κατέπαυσε τῶν ἔργων, ὧν ἤρξατο ποιῆσαι, δῆλον ὡς ἐκείνων οὐ κατέπαυσεν, ὧν οὐκ ἤρξατο ποιῆσαι. Μή ποτε οὖν ἔργα μὲν Θεοῦ χρονικῶς ἠργμένα τοῦ εἶναί ἐστι πάντα τὰ ὄντα μετέχοντα, οἷον αἱ διάφοροι τῶν ὄντων οὐσίαι; τὸ γὰρ μὴ ὂν ἔχουσιν αὐτῶν τοῦ εἶναι πρεσβύτερον· ἦν γάρ ποτε, ὅτε οὐκ ἦν, ἔργα δὲ Θεοῦ D τυχὸν οὐκ ἠργμένα χρονικῶς τὰ ὄντα μεθεκτά· ὧν κατὰ χάριν μετέχουσι τὰ ὄντα μετέχοντα, οἷον ἡ ἀγαθότης, καὶ πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ, καὶ ἁπλῶς πᾶσα ζωὴ καὶ ἀθανασία, καὶ ἁπλότης, καὶ ἀτρεψία, καὶ ἀπειρία, καὶ ὅσα περὶ Θεὸν οὐσιωδῶς θεωρεῖται, ἅτινα καὶ ἔργα Θεοῦ εἰσι, καὶ οὐκ ἠργμένα χρονικῶς. Οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τὸ οὐκ ἦν, οὐδέ τινος ἄλλου τῶν εἰρημένων. Οὐκ ἦν γάρ ποτε ὅτε οὐκ ἦν ταῦτα, κἂν τὰ μετέχοντα αὐτῶν κατ' αὐτὰ ἦρκται τοῦ εἶναι χρονικῶς ἄναρχά τε ὄντα χρονικῶς, μὴ ἔχοντα τὸν χρόνον ἑαυτῶν πρεσβύτερον. οἷα τὸν Θεὸν ἔχοντα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα. Τὰ μέντοι ἠργμένα χρονικῶς τῇ μετοχῇ τῶν οὐκ ἠργμένων χρονικῶς καὶ εἰσὶ καὶ λέγονται, τουθ' ὅπερ εἰσὶ καὶ λέγονται.

Ὁρᾷς ἐκ τούτων, ὅτι ἐξ ἀϊδίου καὶ ἀνάρχως καὶ ἀχρόνως ἐκλάμπει ἡ θεία αὕτη αἴγλη καὶ χάρις ἐπίσης ἐκ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ ἐνέργεια τῆς ὑπερφώτου καὶ τρισυποστάτου φύσεώς ἐστιν, εἰ καὶ ὑπὸ χρόνον καὶ προσφάτως ἡ αὐτὴ ἐπιχορηγεῖται τοῖς κτιστοῖς πᾶσι, καὶ τοῖς ὑπὸ χρόνον οὖσιν, ἐξ Υἱοῦ; Ἔφημεν οὖν, εἰ ἐκπορεύεται ἡμῖν καὶ ἡμῶν ἕνεκεν, εἶναι καὶ ὑπὸ χρόνον· διότι τὸ ἐκπορεύεσθαι παραστατικόν ἐστι τῆς τοῦ παναγίου Πνεύματος ὑπάρξεως, ὥσπερ καὶ τὸ γεννᾶσθαι τοῦ Υἱοῦ, καὶ τὸ λέγειν ἐκπορεύεσθαι ἡμῖν ταυτόν ἐστι τῷ λέγειν ἡμῖν ἐκπορεύεσθαι, καὶ ἡμῖν τὴν ὕπαρξιν ἔχειν καὶ δι' ἡμᾶς. Εἰ δὲ δι' ἡμᾶς ἔχει τὴν ὕπαρξιν, καὶ ὑπὸ χρόνον πάντως ἐστὶ, καὶ κρείττονες ἡμεῖς ἐκείνου. Οὐ μὴν δὲ καὶ τὸ ἐκλάμπειν, καὶ προέρχεσθαι, καὶ προχεῖσθαι, καὶ χορηγεῖσθαι καὶ τὰ τοιαῦτα, παραστατικά εἰσιν ἀρκτικῆς ὑπάρξεως, ἀλλὰ τῆς ὅτε βούλεται μεταδόσεως τῆς θείας χάριτος καὶ ἐνεργείας. Διὸ οὐδὲ ὑπὸ χρόνον φαμὲν ἔχειν τὸ εἶναι καὶ δι' ἡμᾶς τὴν θείαν χάριν ταύτην, καὶ ἔλλαμψιν καὶ ἐνέργειαν· ἀεὶ δὲ ἀπολύτως ἐκλάμπειν καὶ προχεῖσθαι ἐξ Υἱοῦ, ὥσπερ δῆτα καὶ ἐκ Πατρὸς, ὡς ἔφημεν, καὶ αὐτοῦ δῆτα τοῦ Παρακλήτου Θεοῦ τοῦ παναγίου Πνεύματος. Ἐκλάμπειν δὲ καὶ χορηγεῖσθαι τῇ κτίσει πάσῃ καὶ ἡμῖν ὑπὸ χρόνον καὶ προσφάτως, διὰ τὸ τὴν κτίσιν πᾶσαν καὶ ἡμᾶς ὑπὸ χρόνον ὑπάρξαι καὶ προσφάτως. Εἰ δὲ ἡ θεία αὕτη χάρις καὶ ἡ ἔλλαμψις οὐδαμῶς ἡμῖν τὸ εἶναι ἔχει, ὥσπερ δῆτα καὶ ἀποδείκνυται, πῶς ὅλως χρὴ λέγειν ἐκπορεύεσθαι ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον, διὰ τὸ λέγειν τοὺς Πατέρας χορηγεῖσθαι, καὶ ἐκλάμπειν καὶ προχεῖσθαι ἡμῖν;

Τοιαῦτα καὶ Γρηγόριος ὁ σοφὸς περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας, σοφὲ Γρηγορᾶ, χάριτός τε φυσικῆς καὶ ἐλλάμψεως, καὶ μετοχῆς τοῦ Πνεύματος ἱερᾶς, καὶ προόδου καὶ ἀποστολῆς· καὶ μεταδόσεως, καὶ ὅσα γε περὶ τούτων αὐτῷ κατὰ μέρος ἐν τοῖς φθάσασιν εἴρηται. Οὕτω τοῖς τε θεολόγοις Πατράσι, καὶ τῇ καθ' ἡμᾶς ἱερᾷ συνόδῳ, καὶ δὴ καὶ τοῖς συνοδικοῖς τόμοις προσφυᾶ καὶ κατὰ πάντα συνᾴδοντα, ὡς καὶ δεδοικέναι με, μὴ τὸ καθ' ἡμᾶς ἱερῷ Θεολόγῳ, Γρηγορίῳ τῷ πάνυ φημὶ, καὶ ταῦτα ψευδῶς ἐπιφημίσῃς, ἢ καὶ τῶν τῆς συνόδου τινί. Ἀλλ' οὐκ ἂν ἔχοις, πολλῶν τινων ὄντων καὶ γλωσσῶν καὶ βιβλίων τῶν προσμαρτυρούντων αὐτοῖς τε καὶ τοῖς προῤῥηθεῖσιν ἐκείνοις τὸ γνήσιον τὸ πρὸς τοὺς γεγεννηκότας. Καὶ τί χρὴ τὰ τοιαῦτα περὶ τῶν ἄλλων λέγειν, ὅπου γε καὶ Γρηγορᾶς αὐτὸς ἔτι τε τῶν βελῶν ἔξω τοῦ δεινοῦ φθόνου, καὶ τῆς καθ' ἡμῶν μανίας ἑστὼς, καὶ συνᾴδων ἦν καλῶς τῇ Ἐκκλησίᾳ Χριστοῦ τὰ τοιαῦτα, καὶ κατὰ τῶν αἱρετικῶν ὑπὲρ τῶν αὐτῶν τε καὶ κατὰ τῶν αὐτῶν μετ' ἐκείνης ἱστάμενος, καὶ τοὺς προμάχους τῆς κατ' εὐσέβειαν ἀληθείας ταύτης παντοδαποῖς τισιν ἀναδῶν τοῖς τῶν λόγων τε καὶ τῶν ἐγκωμίων στεφάνοις; Ἀνδρονίκῳ τοιγαροῦν τῷ θαυμαστῷ βασιλεῖ, ἄρτι τότε μετὰ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας, καὶ τὴν τοῦ Βαρλαὰμ

Digitized by Google

καὶ τῶν αἱρέσεων τῶν κατ' αὐτὸν ἐπ' Ἐκκλησίας A καταστροφὴν, πρὸς τὴν ἀμείνω μετακεχωρηκότι λῆξιν, καὶ μέγα καὶ θαυμαστὸν ἐντάφιον ὥσπερ λαβόντι μεθ' ἑαυτοῦ τὴν τῆς εὐσεβείας ἀνακήρυξιν, καὶ τὸν στηριγμὸν τῆς Ἐκκλησίας Χριστοῦ, οὕτω τοιγαροῦν ἐκείνῳ καλῶς ἀπιόντι τῶν ὧδε, καὶ μετὰ μυρίας διὰ ταῦτα τῆς εὐφημίας, καὶ ὁ φιλόσοφος οὑτοσὶ λόγοις τὸν ἐπιτάφιον πλέκων, προσετίθει κἀκεῖνα μάλα καλῶς· Οἱ τῆς Ἐκκλησίας ἱεροὶ προστάται, ζητήσατε τὸν διάπυρον σπουδαστὴν καὶ συλλήπτορα τῶν δογμάτων. Οἱ ἐν ὄρεσι καὶ σπηλαίοις, τὸν πρόβολον καὶ προασπιστὴν τῆς ὑμετέρας εὐκλείας καὶ δόξης. Οἱ τῶν θείων ἀσκητηρίων ἡγήτορες τὴν τῆς ὑμετέρας ἰσχύος ἀκρόπολιν, μνήσθητε τοὺς ὑπὲρ ὑμῶν τελευταίους ἀγῶνας αὐτοῦ, πῶς πεπονηκότος ἤδη καθάπαξ τοῦ σώματος ἔκ τε τῶν πολεμικῶν B τραυμάτων, ἔκ τε τῶν ἰατρικῶν καυτήρων, καὶ πρὸς θάνατον ἐντεῦθεν ἐλαυνόμενος, κατεφρόνησέ τε τοῦ σώματος, καὶ τῆς ἑαυτοῦ ζωῆς ἀφειδήσας, προθύμως ἐπὶ τὸ βῆμα καὶ τοὺς ἱεροφάντας ἧκε. Καὶ οὐ πρότερον ἐκεῖθεν ἀπήλλαξε, πρὶν τοὺς ὑμῶν ὑβριστὰς καὶ τὰ ἐκείνων διεφθορότα δόγματα, καὶ παρέγγραπτα τῆς Ἐκκλησίας ναυάγια συντρίψαι τε καὶ ὅλοις δοῦναι φθορᾶς καὶ ἀπωλείας βυθοῖς τε καὶ κύμασι.

Ταῦθ' ὑπὲρ τῆς κατ' εὐσέβειαν ἀληθείας ὁ φιλόσοφος τότε, καὶ τοῦ ταύτης ἀγωνιστοῦ τε καὶ προμάχου τοῦ μακαρίτου καὶ θαυμαστοῦ βασιλέως ὄντως ἐκείνου, τὰς φρένας καὶ τὸ τῆς ψυχῆς λογιζόμενον ἐῤῥωμένος ἔτι, καὶ καλῶς καὶ ἀξίως ὑπὲρ τῶν καλλίστων καὶ ἀξιωτάτων τῷ ὄντι φιλοσοφῶν. Ἃ δὴ καὶ τῷ τάφῳ τοῦ βασιλέως ὑπὲρ ἐπιγράμματα πάντα, καὶ ἔπη χρυσᾶ δίκαιον ἂν ἦν ἐγκεχαράχθαι κατ' ἐμὴν γνώμην, ὡς ἂν τήν τε τοῦ βασιλέως ἀρετὴν ὁμοῦ καὶ τὴν δόξαν τῆς Χριστοῦ Ἐκκλησίας, καὶ προσέτι τὸ τοῦ Γρηγορᾶ φιλοψευδὲς καὶ παλίμβολον, καὶ δὴ καὶ τὴν τῆς γνώμης τε καὶ τῆς γλώττης φαυλότητα καὶ τὴν ἀκρασίαν, τρανότερον σάλπιγγος ἁπάσης πρός γε τὸν ἑξῆς χρόνον ἀνακηρύττῃ, καὶ ὡς οὐκ ἂν εἴη ποτὲ δίκαιος οὗτος, οὐδ' ἀξιόπιστος περὶ Θεοῦ καὶ θείων δογμάτων διαλέγεσθαι καὶ λογογραφεῖν ὅλως, ὁ τοῖς καιροῖς καὶ τοῖς πράγμασιν ἢ τἀληθέστερον εἰπεῖν μᾶλλον, δι' ἔριν τε καὶ φιλονεικίαν, καὶ τὸν κάκιστ' ἀπολούμενον φθόνον, οὕτω ῥᾳδίως καὶ αὐτὴν ὡς ἐν πεττοῖς τε καὶ κύβοις μετατιθεὶς καὶ μεταστρέφων, ἢ διαστρέφων οἰκειότερον φάναι τὴν πίστιν, καὶ φαύλων οὕτω προφάσεων καὶ παθῶν ὤνιον ἀπεργαζόμενος, φεῦ! τὴν ἀνωτάτω περὶ Θεοῦ δόξαν, καὶ τὴν κοινὴν σωτηρίαν τοῦ κοινοῦ γένους.

# ΕΤΙ ΠΡΟΣ ΤΟΝ ΤΕΤΑΡΤΟΝ ΛΟΓΟΝ

## ΤΟΥ ΑΥΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΓΡΗΓΟΡΑ

Περὶ τῆς τοῦ Θεοῦ φυσικῆς, καὶ οὐσιώδους ἐνεργείας ὅτι ἄκτιστος,

## ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΒΔΟΜΟΣ.

Ἐπεὶ δὲ τὸν περὶ μετοχῆς ἱερᾶς Θεοῦ, καὶ θείου C Πνεύματος ἀποῤῥήτου κοινωνίας τε καὶ θεώσεως λόγον, οὐ καθ' ὅσον ἐχρῆν, ἀλλὰ καθ' ὅσον ἡμῖν ἐφικτὸν, παρὰ τῶν πείρᾳ τε καὶ ἕξει μεμαθηκότων, καὶ διὰ τοῦτ' αὐτὸ καὶ θεολογεῖν καὶ διδάσκειν ἀσφαλῶς ἐπισταμένων ἐκεῖνα, λαβόντες ἀποδεδώκαμεν, ἀμέθεκτον μὲν, ὥσπερ δὴ καὶ ἄληπτον καὶ διανοίᾳ καὶ λόγῳ, καὶ ἄῤῥητον τὸν Θεὸν κατ' οὐσίαν σὺν ἐκείνοις εἰπόντες, μεθεκτὸν δὲ ἀναλόγως, καὶ ληπτὸν ἐκ μέρους κατὰ τὸν θεῖον Ἀπόστολον καὶ ῥητὸν, οὐκ ἐκ τῶν κατ' αὐτὸν, ἀλλ' ἐκ τῶν περὶ αὐτὸν, ἃ δὴ καὶ παρεπόμενα τῇ θείᾳ φύσει, καὶ ἰδιώματα φυσικὰ, καὶ χαρίσματα τοῦ Πνεύματος, καὶ φυσικὰς ἐνεργείας καὶ οὐσιώδεις, καὶ προόδους καὶ μετοχὰς θείας, καὶ τὰ τοιαῦτα τοῖς θεολόγοις ἔθος καλεῖν, D φέρε δὴ καὶ πρὸς τὸ ἄκτιστον ἴωμεν αὐτῆς τῆς οὐσιώδους καὶ φυσικῆς τοῦ Θεοῦ θείας ἐνεργείας καὶ τοὺς περὶ τούτου τῶν ἱερῶν θεολόγων καὶ πάλιν λόγους. Καίτοι γε καὶ τοῦτ' αὐτὸ τοῖς προῤῥηθεῖσιν ἤδη συναποδέδεικται τοῖς γε μὴ κοιμωμένοις πάντῃ καὶ ῥέγχουσιν, ἢ καὶ τὰ ὦτα βύουσιν ἀσπίδος δίκην πρὸς τὰς ἱερὰς ἐπῳδάς. Ἀλλ' ἐπεὶ καθαπερεὶ πρύμναν ὁ φιλόσοφος ἐκεῖθεν κρουσάμενος ἐπὶ τούτους ἦλθε τοὺς λόγους, καὶ τὸ τοῦ σεπτοῦ τόμου δεύτερον ἡμῖν προφέρει κεφάλαιον, καὶ κατ' αὐτοῦ τούτου καὶ αὖθις χρῆται τῇ γλώττῃ, καὶ ἡμᾶς ἀνάγκη κατ' ἴχνος ἐκείνῳ βαίνειν, μᾶλλον δὲ καὶ κατὰ πρόσωπον ἀπαντᾷν τε καὶ ἵστασθαι σύν γε τῷ σεπτῷ φημι τόμῳ καὶ τοῖς ἐκεῖ Πνεύματι φθεγγομένοις Πατράσι, καὶ μηδ' ἀφίστασθαι.

Εἰσάγει τοίνυν καὶ πάλιν τὸν ἑαυτοῦ φοιτητὴν καὶ φίλον Ἀγαθάγγελον Γρηγορᾶς τὰ τοῦ τόμου διδάξοντα, ὃς δὴ καὶ παριὼν, οὕτω πώς φησι· Τελευτήσαντος τῷ παρανόμῳ τόμῳ τε καὶ τομογράφῳ τοῦ πρώτου κεφαλαίου, καὶ ὅσα τῶν ἐκεῖ βλασφημουμένων ἀκουσθέντα σοι ἐξελήλεγκται, τοιαύτην εὐθὺς τὸ δεύτερον κεφάλαιον ἔχει τὴν ἀρχήν. Ἀπεδείχθη, φησὶ, καὶ τοῦτο, ὅτι οἱ μὴ δεχόμενοι ἄκτιστον τὴν ἀχώριστον μὲν καὶ φυσικὴν τῆς θείας οὐσίας ἐνέργειαν, διαφέρουσαν δὲ αὐτῆς, ὥσπερ εἴρηται, κτίσμα τε ποιοῦσι καὶ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ· κατὰ γὰρ τὸν ἅγιον Μάξιμον, ἀπὸ τῆς ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς. Ἔτι δὲ καὶ τὸν Δαμασκηνὸν τὸν θεῖον Ἰωάννην φάσκοντα· Ἡ κτιστὴ ἐνέργεια κτιστὴν δηλώσει φύσιν· ἡ δ' ἄκτιστος ἄκτιστον χαρακτηρίσει οὐσίαν. Οἱ οὖν λέγοντες κτιστὴν τὴν θείαν ἐνέργειαν, ἀφ' ἧς καὶ ἡ θεία φύσις χαρακτηρίζεται, κτιστὴν ἐξ ἀνάγκης παριστῶσι καὶ τὴν θείαν φύσιν. Αἰκύ-

Digitized by Google

θιον ἀπώλεσεν ὁ φιλόσοφος ἐνταῦθα τὸν ἱερὸν δηλαδὴ τόμον ἀναγινώσκων, κατὰ τὸν αὐτοῦ κωμικὸν διδάσκαλον· πλὴν ὅσον ἐκεῖνος μὲν κωμῳδίαν ὑφαίνων, καὶ κατὰ τῶν ἀντιτέχνων τὰ μὴ ὄντα συμπλάττων, καὶ γελωτοποιῶν ἐπίτηδες· ὁ δ' ἀφιλόσοφος οὑτοσὶ καὶ πρόσφατος δογματιστής, καὶ πλαστὸς αὐθημερὸν θεολόγος, οὐκ οἶδ' εἴτε μετὰ τῆς ἀληθείας καὶ αὐτὴν τὴν τοῦ λόγου σύνταξιν ἀγνοήσας, εἴτε καὶ κακουργῶν ἑκὼν καὶ συγχέων, εἴτε καὶ ἄμφω ταῦτα. Τοῦ γὰρ ἱεροῦ τῶν Πατέρων τόμου, καθὰ δὴ καὶ αὐτὸς οὗτός φησιν ἀνωτέρω, καὶ τοῦτο φήσαντος, ἀπεδείχθη ὅτι οἱ μὴ δεχόμενοι τὴν φυσικὴν καὶ ἀχώριστον τῆς θείας οὐσίας ἐνέργειαν, κτίσμα τε ποιοῦσι καὶ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ. Εἶτα μεταξὺ τὰ προῤῥηθέντα τῶν ἁγίων εἰσαγαγόντος ἀμφοῖν ῥητὰ πρὸς μαρτυρίαν τοῦ λόγου, καὶ οὕτω τὸ ἕτερον σκέλος κατὰ διαίρεσιν ἀπαγαγόντος, τὸ, Οὐ μὴν ἀλλὰ καὶ Μονοθελῆταί εἰσι, καὶ τὰ ἑξῆς, καὶ ἄρτιον ἀποδεδωκότος οὕτω τὸν λόγον, ὃ δὴ καὶ ὁ προτεθεὶς ἐξ ἀνάγκης συμπλεκτικὸς ἀπῄτει σύνδεσμος, ὁ φιλόσοφος αἰσχρῶς ἀποτεμόμενος ὅλον ἐκεῖνο τοῦ παντὸς, καὶ μήτε τῆς ἀνάγκης τῆς φράσεως, μήτε τοῦ σκοποῦ καὶ τῆς ἐννοίας τοῦ λόγου φροντίσας μηδοτιοῦν, μᾶλλον μὲν οὖν κατ' αὐτῆς ἐκείνης χωρῶν ὅση δύναμις, τὰ μὲν ἀφῆκε λήθης καὶ σιγῆς βυθοῖς παντελοῦς, μηδ' εἰσέπειτα μνησθεὶς μηδοπωστιοῦν· αὐτὸς δ' εὐθὺς τὰς ἑαυτοῦ παρεξηγήσεις ἀντεισάγει τῷ λόγῳ, τὴν αἵρεσιν καὶ αὖθις διδάσκων τὸν ἑαυτοῦ ἀκροατὴν Ἀγαθάγγελον, καὶ τὴν καθ' ἡμῶν, μᾶλλον δὲ τὴν κατὰ Θεοῦ καὶ τῶν ἁγίων αὐτοῦ συκοφαντίαν τε καὶ τὸ ψεῦδος, ὡς ἔθος. Ἃ δὴ καὶ ἡμᾶς ἀνάγκη κατ' ἐκεῖνον ἐνταῦθα τοῖς ἐκείνῳ προῤῥηθεῖσι συνάψαι, καὶ οὕτω τῷ τῆς αἱρέσεως σκότει τὰς τῆς ἀληθοῦς θεολογίας ἀκτῖνας ἐκεῖθεν ἐπενεγκεῖν.

Οἶδας, φησὶν, ὦ καλὲ Ἀγαθάγγελε, ὡς ἑνωθείσης τῆς θεότητος τῇ ἀνθρωπότητι, σαρκωθέντος τοῦ θείου Λόγου, καθάπερ δύο φύσεις, οὕτω καὶ δύο λέγονται ἐνέργειαι. Ἀλλ' ἡ μὲν τῆς θεότητος ἦν καὶ προῆν, καὶ ἀναλλοίωτος οὖσα, ἀναλλοίωτον εἶχε καὶ τὴν τοῦ ἐνεργεῖν δύναμίν τε καὶ θέλησιν, καὶ ἁπλῆν. Προδέδεικται δ' ἡμῖν πάντως, ὡς ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον εἴτουν ὅρον ἐπιδέχεται ἡ ἐνέργεια. Καὶ αὐτενέργεια πρὸς τῶν ἁγίων καλεῖται, ὅταν πρὸς τὴν ἐνεργοῦσαν θεότητα τὴν ἀναφορὰν ἔχῃ τοὔνομα· ἄλλως δ' οὐκ ἂν δήπου. Δυοῖν γὰρ θάτερον ἕποιτ' ἂν ἑξῆς, ἢ κτίσμα εἶναι, ἢ μὴ ὂν, καθά μοι καὶ ἀνωτέρω που τριχῆ τὴν τῆς ἐνεργείας φωνὴν διῃρῆσθαι συμπέπτωκεν, ὁμώνυμον οὖσαν. Ἀλλὰ τῷ γε Παλαμᾷ, καλὲ Ἀγαθάγγελε, διὰ τὴν τῆς σαρκὸς κοινωνίαν ἠλλοιῶσθαι οἰομένῳ τὴν τοῦ λόγου θεότητα, τρεῖς δογματίζειν ἐπὶ Χριστοῦ νενόμισται τὰς θελήσεις· μίαν μὲν καὶ ὑπερκειμένην τὴν τῆς θεϊκῆς οὐσίας, δευτέραν δὲ τῆς τοῦ Λόγου ὑποστάσεως, ἄκτιστον μὲν καὶ αὐτὴν, ὑφειμένην δὲ, καὶ τρίτην τὴν τῆς ἀνθρωπότητος.

Εἶτα μεταξὺ πολλὰ τοιαῦτα παραληρήσας Γρηγορᾶς, καὶ νῦν μὲν τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ θέλησιν ἄκτιστον, ὡς αὐτός φησιν, οἰόμενος ἡμᾶς λέγειν, νῦν δὲ τὸν Χριστὸν τρεῖς ἔχειν θελήσεις, καὶ δὴ καὶ ἀνομοίους, καὶ οὓς φησιν αὐτὸς Ἀκτιστίτας οὐκ οἶδ' ὅθεν καὶ παρὰ τίνων τοῦτο λαβὼν, τοὺς ἐκδεδωκότας τὸν τόμον ἱεροὺς προσειπὼν Πατέρας, ἃ καὶ κατὰ μέρος διεξιέναι, καὶ περιττὸν καὶ ἄχρηστον καὶ πορθμὸς, ὅ φασι, Σικελίας, ἐπιφέρει κἀκεῖνα. Ἡμεῖς γὰρ ἐπὶ τῆς ἁπλῆς καὶ θείας, ὡς ἔφημεν, φύσεως μὴ δύο νοεῖν ἔχοντες ἄκτιστα, τῶν ἁγίων διαῤῥήδην ἀπαγορευόντων παντάπασιν, αὐτὸν εἶναι θέλησιν τὸν τοῦ Θεοῦ λέγομεν Λόγον, καὶ ταυτὸν οὐσίαν καὶ θέλησιν ἀκριβῶς.

Ὄντως οὐδὲν κενοδοξίας καὶ φθόνου χεῖρον ἄν ποτε γένοιτο. Ταῦτα δαίμονας ἐξ ἀγγέλων, καὶ διάβολον τὸν αὐτῶν ἀρχηγὸν εἰργάσατο. Ταῦτα τὸν πρῶτον ἄνθρωπον ἐξῶσε τοῦ παραδείσου. Ταῦτα τὸν Κάϊν ἀδελφοκτόνον ἀπέδειξε. Ταῦτα τὸν βέλτιστον Ἰωσὴφ τῶν πατρικῶν ἀγκαλῶν ἀφαρπάσαντα, δοῦλον καὶ δεσμώτην εἰς Αἴγυπτον ὑπερώρισε. Καὶ τί χρὴ τἄλλα λέγειν; Ταῦτα καὶ τὴν φρικτὴν ἐκείνην Χριστοκτονίαν, καὶ τὸν μαθητὴν καὶ φίλον, προδότην, φεῦ! καὶ θεοκτόνον πεποίηκε. Ταῦτα καὶ τὴν τοῦ Γρηγορᾶ τουτουῒ πάλαι κατασχόντα ψυχὴν τοῖς δαίμοσιν ἐλεεινῶς ὅλην ἐξέδοτο. Ἦ γὰρ ἂν οὐ τοιαῦτα λέγειν τε καὶ γράφειν ὁ δυστυχὴς προήχθη κατὰ Θεοῦ τε καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας, μὴ ὅλος τοῖς ἀλάστορσιν ἐκείνοις καὶ πικροῖς ἐκδοθεὶς μιαιφόνοις ὑπὸ τῆς πονηρᾶς συζυγίας τῶν μιαρῶν ἐκείνων παθῶν. Ἐγὼ γὰρ, ἵνα τοὐμὸν εἴπω κἀκείνου, καὶ οὗπερ αὐτὸς ἀκροατὴς καὶ αὐτόπτης γέγονα, ἄρτι τότε πρώτως τὴν βασιλεύουσαν ταυτηνὶ τῶν πόλεων ἐξ Ἄθω καὶ τῆς ἐκεῖ φίλης διατριβῆς εἰσιὼν, καὶ τὴν τῆς Ἐκκλησίας προστασίαν ἐγχειρισθεὶς, ἐκείνης φημὶ τῆς κατὰ τὴν τῆς Θρᾴκης Ἡράκλειαν, ἐνιαυτοῦ παρῳχηκότος, οἶμαι, μετὰ τὴν χειροτονίαν, ἐπεὶ πολλὰ περὶ τοῦ Γρηγορᾶ τουτουῒ καὶ τῆς κοινῆς τοῦ Χριστοῦ Ἐκκλησίας ἀκούων ἄνωθεν ἦν, καὶ ὡς διαφέροιτο πρὸς τοῖς ἄλλοις καὶ οὗτος, καὶ ἀντιλέγοι τῷ τῆς εὐσεβείας ὀρθῷ λόγῳ, ὁ γὰρ τῆς δυσσεβείας μετὰ τὸν πρῶτον ἔξαρχος καὶ προστάτης Ἀκίνδυνος ἦν ἐκποδὼν ἤδη κάκιστα σὺν τῇ αἱρέσει τὸν βίον μετηλλαχὼς, δεῖν εἶναι πρὸς ἐμαυτὸν ἐκεκρίκειν, εἰς ὄψιν τε καὶ λόγους ἐλθεῖν ἐκείνῳ, καὶ τῶν ἀμφισβητουμένων τε καὶ ἀντιλεγομένων τῷ φιλοσόφῳ γενέσθαι αὐτήκοος. Ἀπῄειν δ' οὖν, καὶ προσελθὼν καὶ προσαγορεύσας, ὡς ἔθος, καὶ καθεσθεὶς, μετὰ μικρὸν πρὸς τὸν λόγον αὐτὸν εἵλκυσα καὶ τὴν δογματικὴν τῆς Ἐκκλησίας ὑπόθεσιν, καίτοι γε καὶ ὀκνοῦντά πως καὶ ἀναδυόμενον. Ἠρόμην οὖν ἐκεῖνον, εἰ φρονοίη τε καὶ λέγοι τὸν Θεὸν ἐνέργειαν φυσικὴν κεκτῆσθαι, διαφέρουσαν τῆς οὐσίας αὐτοῦ. Τοῦ δὲ καταθεμένου, καὶ δευτέραν ἐπῆγον πεῦσιν, εἰ καὶ ἄκτιστον καὶ θεοπρεπῆ τὴν ἐνέργειαν ταύτην δοξάζοι. Τοῦ δὲ, Καὶ πῶς γὰρ οὔ, φήσαντος, οὕτω ξυμπάντων ὁμοῦ τῶν ἱερῶν διδασκάλων καὶ φρονούντων καὶ διδασκόντων; θαυμάζειν ἰσχυρῶς ἔφην ἐγὼ, πῶς οὕτω γε τῶν πραγμάτων ἐχόντων, καὶ οὕτω τὰ τῆς κοινῆς Ἐκκλησίας φρονῶν καὶ αὐτὸς, ἔπειτα διίσταται τῷ τόπῳ καὶ τῇ κοινωνίᾳ, καὶ συν-

Digitized by Google

ἀποῤῥήγνυσι μὲν ἐκεῖθεν πολλοὺς ἑαυτῷ, δίδωσι δὲ καὶ καθ' ἑαυτοῦ ὑπολήψεις οὐκ ἀγαθὰς, οὐδὲ μάλα τοι προσηκούσας τῇ αὐτοῦ σοφίᾳ τε καὶ τῇ τάξει. Τῶν γὰρ ἄνωθεν εἰρημένων, εἶπον, οὑτωσί γε ἐχόντων, καθὰ δὴ καὶ λέλεκται, οὐδὲν, οἶμαι, πρὸς τὰ λοιπὰ τὸ προσιστάμενον καὶ ἀντίξουν ἔσται, πάντων σχεδὸν ἠρτημένων ἐκεῖθεν, καὶ ὡσανεί τινα ῥίζαν καὶ ἀρχὴν τὸν περὶ θείας καὶ φυσικῆς ἐνεργείας Θεοῦ καὶ δυνάμεως λόγον ἐχόντων. Ἀλλ' ἐκεῖνος, φησὶ, τὸν ἱερὸν λέγων Θεσσαλονίκης, οὐ μίαν ἐνέργειαν τοῦ Θεοῦ κατὰ τοὺς θεολόγους, ἀλλὰ πολλάς τινας λέγει καὶ διαφόρους ἀλλήλαις. Ἐμοῦ δὲ καὶ ταῦτα τῶν θεολόγων εἶναι Πατέρων καὶ διδασκάλων, ἀλλ' οὐ τοῦ σοφοῦ Γρηγορίου πρὸς αὐτὸν εἰρηκότος, ὥσπερ δὴ καὶ τὰ προῤῥηθέντα, καὶ πᾶσαν εἶναι ἀνάγκην, ὥσπερ ἐν ἐκείνοις, οὕτω δὴ κἀν τούτοις πείθεσθαι καὶ συμφωνεῖν τοῖς Πατράσιν, εἴπερ μέλλοιμεν εἰς εὐσεβοῦντας τῷ ὄντι τελεῖν, καὶ μὴ πόῤῥω που τῆς ἀληθείας ἀποπλανᾶσθαι, εἶτα καὶ τῶν θεολόγων παραγαγόντος ἐνίους τῷ λόγῳ πρὸς μαρτυρίαν τῶν ἀμφισβητουμένων, καὶ ὅσα διὰ μνήμης ἔτυχον τότε φέρων, ὁ φιλόσοφος τῇ μὲν ἀληθείᾳ τῶν λεγομένων ἀντιλέγειν οὐκ εἶχεν, ᾐτιᾶτο δὲ τὸν Θεσσαλονίκης καὶ αὖθις, ὡς πολλὰς καὶ πλείστας καθ' ὑπερβολὴν τὰς ἐνεργείας οὐ καλῶς λέγοντα, οὐδὲ καθ' ἡμᾶς καὶ τοὺς θεολόγους.

Ἐμοῦ δὲ τὸ προσιστάμενον καὶ αὖθις ἅπαν ἐπιχειροῦντος λύειν ἐκείνῳ, καὶ ὡς αὐτὰ ταῦτα τὰ τῶν ἱερῶν θεολόγων ἡμεῖς τε κἀκεῖνος καὶ φρονοῦμεν καὶ γράφομεν καὶ κηρύττομεν, ἀλλ' οὐχ ἕτερα, μηδὲ γὰρ ἐξεῖναι, ἐπεὶ τὰ αὐτὰ καὶ πάλιν καὶ πολλάκις ἀνακυκλοῦντα καὶ περὶ τὰ αὐτὰ στρεφόμενον εἶδον ὡσαύτως, καὶ τῶν κατὰ τοῦ ἁγίου κενῶν μέμψεων καὶ τῆς ἀδίκου γραφῆς οὐκ ἀφιστάμενον, τὴν μὲν πρὸς ἐκεῖνον διάλεξιν καὶ τὴν ὁμιλίαν, ὡς οὐδὲν ἔχουσαν ἔτι χρήσιμον, διαλύω· πρὸς ἐμαυτὸν δ' ἀπιὼν, ἐπείπερ ἔλεγον, οὐ κατὰ τῆς εὐσεβείας ὁ φιλόσοφος, ὡς ὁρῶ, κατὰ δὲ τοῦ ταύτης προεστηκότος μᾶλλον ἰδίᾳ φέρει τὰς μέμψεις, πάθει τινὶ προκατειλημμένος, οἷα δὴ καὶ ἄνθρωπος, ἴσως μεταβληθήσεται μετ' ὀλίγον καὶ θεραπεύσει καὶ τοῦτο πάνυ τοι ῥᾷστον ὂν, ἀλλ' οὐ δυσχερὲς πρὸς μετάθεσιν, καὶ οὕτως ἕξομεν καὶ αὐτὸν κοινῇ μεθ' ἡμῶν τὰ τῆς κοινῆς Ἐκκλησίας καὶ πρεσβεύοντα καὶ κηρύττοντα, ἃ δὴ καὶ νῦν φρονῶν τε καὶ λέγων, καθάπερ ὁρῶ, διὰ τὴν πρὸς τὸν ἄνδρα μικροψυχίαν, καὶ διίστασθαί πως δοκεῖ. Ταῦτα μὲν οὖν ἐγὼ καὶ εὐχόμενος καὶ προσδοκῶν ἦν, καὶ πολλοὺς ἑτέρους ὑπὲρ ἐκείνου διδάσκων· τοῖς δὲ ἄρα πᾶν τοὐναντίον παρὰ τὰς ἐλπίδας ἐκείνας, φεῦ! ἀπηντήκει. Καὶ ὁ κατὰ τοῦ κήρυκος τοῦ λόγου φθόνος ἐκεῖνος, κατὰ μικρὸν αὐξηθεὶς ταῖς τοῦ πονηροῦ προσθήκαις, ἐπανέστη τῷ λόγῳ, καὶ ἀπὸ τοῦ φθόνου καὶ τῆς μισανθρωπίας ἐπὶ τὴν θεομαχίαν ὁ φιλόσοφος ἧκε ταύτην, καὶ τὸ τῆς θείας ἐκεῖνο Γραφῆς καὶ ἐπ' αὐτῷ φημι τούτῳ πέρας εἰληφὸς δέδεικται, *Ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε*, λεγούσης, *τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν;* Ὁρᾶτε καὶ γὰρ, οἷα τετόλμηκεν εἰπεῖν τε καὶ γρά-

A ψαι κατὰ Θεοῦ καὶ τῶν θείων καὶ ὑψηλῶν περὶ αὐτοῦ λόγων καὶ τῆς θεολογίας, ὥσπερ ἔξω γεγονὼς ἑαυτοῦ, καὶ μηδὲ εἰδὼς ἃ λέγει καὶ γράφει. Μᾶλλον δὲ πρὸ τοῦ καταβῆναι πρὸς τὴν θεωρίαν ἐκείνων καὶ αὖθις ἡμᾶς καὶ τὸν ἔλεγχον, τὰ τοῦ συνοδικοῦ τόμου καὶ τὴν τῶν ἁγίων θεολογίαν ὑγιᾶ τε καὶ ἄρτια καὶ ἡμῖν ἀναγκαῖον προθεῖναι τῷ λόγῳ κἀνταῦθα, ὧν ἐκεῖνος τὰ πλεῖστά τε καὶ ἀναγκαιότερα συνήθως παραλιπὼν καὶ μηδὲ μνησθεὶς, καὶ τοῖς ὀλίγοις ἐκείνοις οὐ καλῶς, οὐδὲ μετὰ τῆς ἀληθείας τε καὶ τοῦ σχήματος ὡς ἔχουσιν ἐπεξῆλθε. Καὶ πρῶτα μὲν τὸ τοῦ κεφαλαίου προοίμιον, οὐ μικρὸν ὂν, ἐξ ἀρχῆς αὐτῆς εὐθὺς ἀφαιρεῖται, τῆς τῶν θεολόγων Πατέρων ἱερᾶς μαρτυρίας, καὶ δὴ καὶ τῆς οἰκουμενικῆς θείας συνόδου, οὐδ' ἐν ἐπαγγελίαις οὐ- B σῶν ἔτι καὶ ὑποσχέσεσιν ἀνασχόμενος. Φησὶ τοιγαροῦν ὁ τόμος· Μετὰ τοῦτο ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν ἁγίων, εἰ ἔστιν ἄκτιστος ἡ ἀχώριστος μὲν, διαφέρουσα δὲ τῆς θείας φύσεως αὕτη ἐνέργεια, ὅπερ οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ ἥκιστα ἐδέχοντο. Καὶ ἀπεδείχθη καὶ τοῦτο ὑπὸ τῶν ἁγίων ἐναργῶς κηρυττόμενον· ὧν κεφάλαιον ἡ ἁγία καὶ οἰκουμενικὴ ἕκτη σύνοδος, καθὼς ἀνωτέρω διὰ τῶν κατὰ μέρος προτεθέντων αὐτῆς ῥητῶν μάλιστα ἱκανῶς ἀποδέδεικται.

Καὶ τοῦτο μὲν ὁ φιλόσοφος, καθὰ δὴ καὶ προὔφην, παντελεῖ παρατρέχει σιγῇ· τῶν δ' ἐφεξῆς ἄκροις δακτύλοις, ὅ φασιν, ἁψάμενος, ἃ δὴ καὶ ἡμῖν ἀνωτέρω προτέθειται, τὸ καθ' ἡμῶν ἐκείνου διεξιοῦσι C βιβλίον, ἐκείνων τοιγαροῦν παραψάμενος, μᾶλλον δ' εἰπεῖν οἰκειότερον, ἐκεῖνα κατατεμὼν καὶ διασπαράξας, καὶ μηδὲ τῆς ἁρμονίας τοῦ λόγου καὶ τῆς φράσεως φεισάμενος μηδοτιοῦν, πρὸς τὰς καθ' ἡμῶν ὡς ἔθος ἐξεπήδησεν ὕβρεις καὶ τὰς συκοφαντίας. Ἀλλ' ἡμεῖς ἐπαναλαβόντες τὰ κακῶς ὑπ' ἐκείνου καταληφθέντα, τὴν ὀφειλομένην ἁρμονίαν καὶ αὖθις τῷ λόγῳ δώσομεν.

Φησὶ τοιγαροῦν ὁ τῆς συνόδου τόμος μετά γε τὰ προῤῥηθέντα, ὅτι συναπεδείχθη καὶ τοῦτο, ὅτι οἱ μὴ δεχόμενοι ἄκτιστον τὴν ἀχώριστον μὲν καὶ φυσικὴν τῆς θείας οὐσίας ἐνέργειαν, διαφέρουσαν δὲ αὐτῆς, ὥσπερ εἴρηται, κτίσμα τε ποιοῦσι καὶ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ, κατὰ τὸν ἅγιον, φησὶ, Μάξι- D μον, καὶ τὸν Δαμασκηνὸν Ἰωάννην. Ὧν δὴ καὶ τὰς μαρτυρίας καὶ ὁ Γρηγορᾶς ἐκ τοῦ τόμου λαβὼν ἐκεῖ προὔθηκεν. Οὐ μὴν ἀλλὰ καὶ Μονοθελῆταί εἰσι τῶν πώποτε ἐκείνων χείρους καὶ ἀτοπώτεροι, καὶ προαιώνια δοξάζουσιν εἶναι τὰ κτίσματα. Ἐπεὶ γὰρ δύο φύσεις ὁμολογοῦμεν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν, οἱ μὴ λέγοντες ἔχειν τὴν θείαν φύσιν καὶ θέλημα καὶ ἐνέργειαν ἄκτιστον ἓν θέλημα καὶ μίαν ἐνέργειαν δοξάζουσιν ἐπὶ Χριστοῦ. Ὅπερ ἡ ἕκτη σύνοδος ἀπεκήρυξε καὶ ἀνεθεμάτισε. Κἀντεῦθεν Μονοθελῆται καὶ αὐτοὶ φανερῶς ἀναδείκνυνται. Χείρους δὲ ἐκείνων πολλῷ, ὅσον κἀκεῖνοι μὲν ἓν θέλημα καὶ μίαν ἐνέργειαν ἔλεγον ἐπὶ τοῦ Χριστοῦ, ἀλλὰ ἄκτιστον, τὴν κτιστὴν δήπουθεν ἀναιροῦντες· οὗτοι δὲ ἓν θέ-

Digitized by Google

λημα καὶ μίαν ἐνέργειαν, ἀλλὰ κτιστὴν, τὴν ἄκτιστον φανερῶς μὴ δεχόμενοι. Ἀλλὰ καὶ τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρὸς Ἀμφιλόχιον γράφοντος, Τὰ μὲν ὀνόματα τοῦ Πνεύματος τοιαῦτα ὑπερφυῆ καὶ μεγάλα, οὐμενοῦν ἔχοντά τινα εἰς δόξαν ὑπερβολὴν, αἱ δὲ ἐνέργειαι τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος, πῶς γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες ἦσαν πρὸ τῆς νοητῆς κτίσεως αὐτοῦ αἱ ἐνέργειαι; οἱ λέγοντες κτιστὰς τὰς θείας ἐνεργείας φανερῶς δοξάζουσιν εἶναι κτίσματα τὰ τῶν αἰώνων ἐπέκεινα. Ἐδείχθη δὲ καὶ τοῦτο, ὅτι ἄκτιστοι αἱ κοιναὶ καὶ φυσικαὶ τῆς τρισυποστάτου φύσεως θεῖαι ἐνέργειαι, οὐ διὰ δύο ἢ τριῶν μαρτυριῶν, ἀλλὰ διὰ πάσης σχεδὸν τῆς θεοπνεύστου Γραφῆς. Καὶ ταῦτα μὲν ὁ ἱερὸς τόμος· τό γε νῦν εἶναι· σκοπήσωμεν δὲ ἤδη καὶ τὰ προῤῥηθέντα τῷ φιλοσόφῳ καὶ τοὺς περὶ ἐνεργείας Θεοῦ λόγους, καὶ τὰς ὑπολήψεις, καὶ τὴν δόξαν αὐτοῦ ἐξετάσωμεν. Σαρκωθέντος, φησὶ, τοῦ θείου Λόγου, ὥσπερ δύο φύσεις, οὕτω καὶ δύο λέγονται ἐνέργειαι. Ἀλλ' ἡ μὲν τῆς θεότητος ἦν, καὶ προῆν, καὶ ἀναλλοίωτος οὖσα ἀναλλοίωτον εἶχε καὶ τὴν τοῦ ἐνεργεῖν δύναμίν τε καὶ θέλησιν, καὶ ἁπλῆν.

Καὶ μέχρι μὲν τούτου δοκεῖ πως εὐγνωμονεῖν ὁ φιλόσοφος, καὶ περὶ τὸν ὑγιᾶ λόγον ὑγιαίνειν τέως· τὸ δὲ πρὸς ἀλήθειαν οὐχ οὕτως ἔχον ἐστὶν, ἀλλὰ μέχρι μὲν συλλαβῶν τε καὶ λέξεων τοῦτο δοκεῖ· ἐγκέκρυπται δὲ ταῖς λέξεσιν ὁ δόλος κακούργως, ὥσπερ ὁ χαλκὸς τῷ δελέατι. Ἐπειδὴ καὶ γὰρ ὁ σκοπός ἐστι τῷ τοῦ λόγου πατρὶ, τὴν οὐσίαν αὐτὴν εἶναι δεῖξαι τοῦ Θεοῦ, καὶ τὴν αὐτοῦ ἐνέργειαν, καὶ οὐχ ἄλλο, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν οὖσαν, ὡς ἡ αἵρεσις βούλεται, καὶ τοῦτο κἀκεῖνο λέγεσθαι, καθάπερ ἐπὶ τῶν πολυωνύμων, ὅπερ δὴ καὶ Σαβέλλιος ἐπὶ τῆς οὐσίας εἶπε τοῦ Θεοῦ, καὶ τῶν τριῶν ὑποστάσεων, ὀνόματα μόνα δοξάσας ἐκείνας καθ' ἑνὸς ὑποκειμένου καὶ τοῦ αὐτοῦ τῆς οὐσίας λεγόμενα, προκαταβάλλεται δὲ διὰ βραχέων τινῶν λέξεων καὶ παρασπείρει τὰ τοῦ οἰκείου λόγου τε καὶ σκοποῦ σπέρματα, ὃν καὶ κατόπιν εὐθὺς αὐτὸς ἀνακαλύπτει τρανότερον. Οὐδὲ γὰρ εἶπεν, Ὥσπερ δύο φύσεις εἰσὶ τοῦ Λόγου μετὰ τὴν σάρκωσιν, οὕτω καὶ δύο φυσικαί εἰσιν ἐνέργειαι τοῦ αὐτοῦ, τῇ θείᾳ καὶ ἀνθρωπείᾳ φύσει κατάλληλοι· ἀλλὰ πῶς; Οὕτω, φησὶ, καὶ δύο λέγονται ἐνέργειαι· ἐκεῖνο αἰνιττόμενος ἄντικρυς, ὅτι λέγονται μὲν, ἀλλ' οὐκ εἰσὶν, ὡς ταυτὸ καὶ ἀδιάφορον οὔσης κατ' ἐκεῖνον οὐσίας τε καὶ ἐνεργείας, καὶ μάλιστα ἐπὶ τοῦ Θεοῦ. Καὶ πάλιν, Ἀναλλοίωτος, φησὶν, ἡ τοῦ Θεοῦ φύσις οὖσα, ἀναλλοίωτον εἶχε καὶ τὴν τοῦ ἐνεργεῖν δύναμίν τε καὶ θέλησιν, καὶ ἁπλῆν. Τοῦτο δὲ καθαρῶς μέν ἐστι κατὰ τοῦ λόγου, καὶ τῆς δόξης αὐτοῦ τοῦ λέγοντος. Ὁ δὲ μὴ εἰδὼς ἅπερ κατ' αὐτὸς αὐτοῦ λέγει, τὸ μὲν εἰπεῖν ὅτι ἀναλλοίωτον εἶχε τὴν φυσικὴν καὶ κατάλληλον ἐνέργειαν κατὰ τοὺς θεολόγους Πατέρας ἐκφεύγει, ἵνα μὴ διαφορὰν δόξῃ τινὰ λέγειν οὐσίας θείας καὶ ἐνεργείας, ἥπερ δὴ καὶ πολεμεῖν αὐτῷ σκοπὸς μάλιστα· εἶχε δὲ, φησὶν, ἡ θεότης τὴν τοῦ ἐνεργεῖν δύναμίν τε καὶ θέλησιν· οἱονεὶ ἐνήργει δίχα ἐνεργείας, ὡς αὐτὸς οἴεται, τυ-

A φλώττων περὶ τὸ φῶς, καὶ ἐδύνατο καὶ ἤθελε, δίχα δυνάμεως καὶ θελήσεως, ὥσπερ ἂν εἴ τις ἔλεγε, μᾶλλον δὲ αὐτὸς οὗτος κἀκεῖνα καὶ γράφει καὶ λέγει κατὰ τὸν ἴσον τρόπον καὶ λόγον, τὸ ζῆν φημι τὸν ζῶντα δίχα ζωῆς, καὶ τὸν λέγοντα λέγειν λόγου χωρίς. Καὶ ὅρα τὴν περικεχυμένην ἀχλὺν αὐτοῦ τοῖς τῆς διανοίας ὄμμασι. Λόγοις καὶ γὰρ ὁμολογῶν τὴν τοῦ Θεοῦ φυσικὴν δύναμιν, ἥτις ἐστὶν αὐτὴ ἡ φυσικὴ καὶ οὐσιώδης ἐνέργεια, περὶ ἧς ὁ λόγος κατὰ τὰ προῤῥηθέντα τοῖς θεολόγοις Πατράσιν, ἧς μόνον ἐστέρηται τὸ μὴ ὂν, φασὶν ἐκεῖνοι, γράμμασι τοιγαροῦν καὶ αὐτὸς ἀνακηρύττων ἐκείνην καὶ ἄκων, οὐδὲ γὰρ ἔστιν ἄλλως διαθέσθαι τὸν λόγον, τὸν περὶ τηλικούτων διεξιόντα, πράγμασιν ἀρνεῖται τὰ λεγόμενα παρ' αὐτοῦ, μηδὲ τοῦ θείου Πατρὸς ἀκούσας B Μαξίμου διαῤῥήδην οὑτωσὶ λέγοντος· Ὡς οὐκ ἔστιν ὑπάρχειν χωρὶς ὑπάρξεως, οὕτως οὐδὲ ἐνεργεῖν ἔστι χωρὶς ἐνεργείας. Μᾶλλον δὲ ἀκούειν μὲν δοκεῖ καὶ αὐτὸς τῶν τοιούτων, παρακούει δὲ καὶ ἐξηγεῖται κακῶς τὰ καλῶς εἰρημένα παρὰ τῶν θεοφόρων, τὴν οὐσίαν εἶναι λέγων αὐτὴν τοῦ Θεοῦ, ἣν καὶ ἐνέργειαν ἐκεῖνοί φασι. Καίτοι γε διεῖλεν ὁ θεολόγος ἔν τε τῷ βραχεῖ τούτῳ χωρίῳ μεταξὺ τῶν ἀμφοτέρων, οὐσίας λέγω καὶ ἐνεργείας, καὶ διὰ τοῦ ὁμολογουμένου καὶ παρὰ τῶν αἱρετικῶν ὅτι οὐκ ἔστιν ὑπάρχειν δίχα ὑπάρξεως, ὅπερ οὐδέν ἐστιν ἄλλο πάντως ἢ τὸ εἶναι καὶ αὐτὴ ἡ οὐσία τοῦ ὄντος, ὑπέδειξεν, ὅτι οὐκ ἔστιν ἐκεῖνο, οὕτως οὐδὲ τὸ ἀντιλεγόμενον παρ' ἐκείνοις ἐστὶ, τὸ ἐνεργεῖν ἐνεργείας δίχα, ὅπερ δὴ C καὶ σκοπὸς ἦν ἄνωθεν ἐκείνῳ τῷ θεολόγῳ, καὶ ὑπὲρ οὗ τὴν ὁμολογίαν τε καὶ τὸν μαρτυρικὸν διήνυσεν ὁ γενναῖος ἆθλον. Ἀλλ' ὁ φιλόσοφος, μηδ' αὐτὸ τοῦτο συνιδεῖν μηδὲ φιλοσοφῆσαι δυνάμενος, καίτοι γε καὶ πρόχειρον ὂν καὶ μηδὲ βαθείας τινὸς δεόμενον φρενὸς, ὡς οὐ ταυτὸν ἂν γένοιτο κατὰ πάντα τῷ δεικνυμένῳ τὸ δεικνύον, καὶ τῷ χαρακτηριζομένῳ τὸ χαρακτηρίζον, ὡς οὐδὲ ἡ ἁλουργὶς καὶ τὸ σκῆπτρον τῇ βασιλείᾳ ταυτὸν, οὐδὲ ἡ πρωϊνὴ αὐγὴ τῷ ἡλίῳ, οὐδὲ ἡ νεφέλη τῷ ὑετῷ, ἓν καὶ ταυτὸ κατὰ πάντα φησὶ τὴν οὐσίαν καὶ τὴν ἐνέργειαν τοῦ Θεοῦ, μὴ συνάπτων κατὰ τοὺς θεολόγους εὐσεβῶς τὸ διακεκριμένον τῷ ἡνωμένῳ, μᾶλλον δὲ καὶ ἄμφω ταῦτα κακῶς ἀναιρῶν καὶ συγχέων, καὶ σύγχυσιν ἑτέραν ἐπεισάγων τοῖς ἱεροῖς λόγοις καὶ δόγμασι διὰ τῆς φύσεώς φημι καὶ τῶν φυσικῶν D τοῦ Θεοῦ, οὐδαμῶς ἐλάττονα τῆς τῶν Μονοφυσιτῶν τε καὶ Μονοθελητῶν ἐκείνων. Ὁ γὰρ μηδόλως ἐνέργειαν θεοπρεπῆ τὸν Θεὸν λέγων ἔχειν, ἀλλ' οὐσίαν αὐτὸν πεφυκέναι κατ' Εὐνόμιον μόνην, δίχα τῶν αὐτῆς φυσικῶν, οὗτος οὐ τὸ διακεκριμένον ἀναιρεῖ μόνον, ἀλλὰ καὶ τὸ ἡνωμένον τῆς θεολογίας σὺν αὐτῷ. Τίνων γὰρ ἂν καὶ εἴη ἡ ἕνωσις, τῶν ἑνοῦσθαι μελλόντων προαναιρεθέντων κατ' αὐτόν; Μᾶλλον δὲ οὐχ ἡ ἕνωσις μόνον κατὰ τοῦτον τὸν λόγον, ἀλλὰ καὶ αὐτὸ τὸ ἓν ἀναιρεῖται, ἡ οὐσία δηλαδὴ, κατὰ τοὺς θεολόγους Πατέρας. Τῆς οὐσιώδους καὶ γὰρ ἐνεργείας ἀναιρουμένης, ὁ προῤῥηθεὶς φησι θεοφόρος διδάσκαλος, οὔτε Θεὸς ἔσται οὔτε ἄνθρωπος, τῇ δὲ δυνάμει τοῦ ἐνεργεῖν καὶ τῇ θελήσει καὶ τὸ ἁπλῆν προσέθηκεν ὁ φιλόσοφος, οὐχ ὡς ἁπλοῦν τὸν Θεὸν

Digitized by Google

κατά τε φύσιν, καὶ ἐνέργειαν τὸν αὐτὸν εἶναι δοξάζων, A ὅπερ ἐστὶν ὄντως τὸ ἀποστολικόν τε καὶ πατρικὸν φρόνημα, ἀλλὰ καὶ τὴν θείαν ἐνέργειαν ἐπιχειρῶν ἀναιρεῖν κἀντεῦθεν, ὡς διπλόης τε καὶ συνθέσεως ἐνθεωρουμένης τῷ Θεῷ δῆθεν, εἰ λέγοιμεν κατὰ τοὺς διδασκάλους τῆς Χριστοῦ Ἐκκλησίας, καὶ ἐνέργειαν ἔχειν τὸν Θεὸν φυσικὴν, τῆς οὐσίας αὐτοῦ διαφέρουσαν ὁπωσδήποτε, ὃ δὴ καὶ προϊὼν ὁ λόγος αὐτῷ δείξει πλατύτερον. Οὕτως οὐ μόνον εἰς ἄτοπον πάντη καὶ ἀδιανόητον τελευτᾷ τὰ τῆς καινῆς θεολογίας τῷ κενῷ τούτῳ φιλοσόφῳ, ἀλλὰ καὶ πρὸς ἀσέβειάν τε καὶ ἀθεΐαν ἡ προθυμία φέρει, καὶ οὐδὲ παράδειγμα τῆς ἀτοπίας τε καὶ τῆς συμφορᾶς ἐστιν εὑρεῖν καθαρῶς. Καὶ βλέπε καὶ τὰ ἑξῆς ἐκείνου.

Προδέδεικται δὲ, φησὶ, πάντως ἡμῖν, ὡς ἐπὶ τῆς B ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον εἴτουν ὅρον ἐπιδέχεται ἡ ἐνέργεια. Καὶ αὐτενέργεια πρὸς τῶν ἁγίων καλεῖται, ὅταν πρὸς τὴν ἐνεργοῦσαν θεότητα τὴν ἀναφορὰν ἔχῃ τοὔνομα· ἄλλως δὲ οὐκ ἂν δήπου· δυοῖν γὰρ θάτερον ἕποιτ' ἂν ἑξῆς, ἢ κτίσμα εἶναι, ἢ μὴ ὄν. Πρότερον μὲν οὖν τὴν ὑπερούσιον οὐσίαν τοῦ θείου Πνεύματος, αὐτὴν τὴν κοινὴν οὐσίαν τῆς ἁγίας Τριάδος ἐνοικεῖν ἔλεγε τοῖς ἀξίοις, καὶ ἁγιάζειν, καὶ θεουργεῖν αὐτούς· ὅπου δὴ πρὸς τοῖς ἄλλοις καὶ τὰ Μασαλιανῶν ἠλέγχθη νοσῶν, παρὰ τῆς κατ' ἐκείνων ἁγίας συνόδου φημί· νῦν δὲ καὶ τοῖς εἰδέναι τὴν οὐσίαν τοῦ Θεοῦ πάλαι κακῶς εἰποῦσιν ἀνομοίοις ὁρᾶται συναπαχθεὶς κάκιστα, τοὺς περὶ ἀκαταλήπτου πολλοὺς καὶ καλοὺς ἐκείνους λόγους τῶν σεπτῶν θεολόγων C παρ' οὐδὲν θέμενος, ἐν οἷς οὐ ταῖς ἄνω δυνάμεσι μόνον, καὶ αὐταῖς φημι ταῖς πάντων ὑπερκειμέναις τάξεσι Χερουβεὶμ τε καὶ Σεραφεὶμ καὶ θρόνοις, ἄγνωστόν τε καὶ ἄῤῥητον ἐκείνην φασὶν, ἀλλὰ καὶ τὰ κρίματα καὶ τὰς ὁδοὺς αὐτοῦ ἀνεξερεύνητα σύν γε τῷ Ἀποστόλῳ λέγουσι καὶ ἀνεξιχνίαστα.

Ὁ δὲ Γρηγορᾶς, φεῦ τῆς πλάνης! φεῦ τῆς καινῆς συμφορᾶς! οὐ μόνον καταληπτὴν αὐτὴν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ φάσκει, ἀλλὰ καὶ πεπερασμένην, καὶ ὅρῳ περιγεγραμμένην ταύτην φησί. Τὴν γὰρ τοῦ σοφοῦ Βασιλείου ῥῆσιν κακῶς ἐξηγούμενος, ἣν ἐκεῖνος πρὸς Εὐνόμιον γράφων, εἶπεν ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως, τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεται ἡ ἐνέργεια, ἀντὶ τοῦ λόγου τὸν D ὅρον ἐνεθυμήθη κάκιστα. Τὸν αὐτὸν καὶ γὰρ, φησὶ, τῇ οὐσίᾳ λόγον εἴτουν ὅρον ἐπιδέχεται ἡ ἐνέργεια. Καὶ ταῦτα τετόλμηκεν ὁ τὴν θείαν ἐνέργειαν ἀρνούμενος Γρηγορᾶς, ἵνα μὴ σύνθεσιν ἐπὶ Θεοῦ καὶ πολυθεΐαν, ὡς αὐτὸς κακῶς οἴεται, κατασκευάσῃ, ὡρισμένην καὶ πεπερασμένην καὶ λόγῳ περιγραπτὴν τὴν οὐσίαν εἰπὼν τοῦ Θεοῦ, ὅπερ οὐδέπω καὶ νῦν οὐδεὶς τῶν αἱρετικῶν ἐνεθυμήθη, οὐδὲ γὰρ ἤκουσται πώποτε. Περιγραπτὸν μὲν γὰρ οἱ περὶ τὸν Ὠριγένην εἰπεῖν ἐτόλμησαν τὸν Θεὸν, ἀλλὰ κατὰ τὴν δύναμιν· τὴν οὐσίαν δὲ οὐδαμῶς. Καὶ ἡ μὲν ἀποστολική τε καὶ πατρικὴ θεολογία καὶ πᾶσαν τὴν φυσικὴν δύναμιν καὶ τὴν ἐνέργειαν τοῦ Θεοῦ ἀόριστον εἶναί φησιν, ὃ δὴ καὶ ὁ θεῖος Χρυσόστομος, καὶ δὴ καὶ Ἀναστάσιος ὁ ἱερὸς σὺν αὐτῷ φθάσαντες εἶπον ἤδη. Τοῦ δὲ λόγου προϊόντος ἡμῖν αὖθις, καὶ δι' ἑτέρων θεολόγων ὡσαύτως τοῦτ' αὐτὸ δείξομεν. Ὁ δὲ Γρηγορᾶς αὐτήν φησι τὴν οὐσίαν ὁρίζεσθαι τοῦ Θεοῦ, οὐκ οἶδα παρὰ τίνος πονηροῦ δαίμονος διδαχθεὶς, καίτοι γε ἡ τοῦ Πνεύματος ἱερὰ θεολογία τὴν τῆς Τριάδος ὑπερφυᾶ γνῶσιν αὐτῇ μόνῃ δίδωσι τῇ μακαρίᾳ Τριάδι, καὶ μόνα, φησὶ, γινώσκουσιν ἑαυτά τε καὶ ἄλληλα τὰ θεαρχικὰ πρόσωπα. Τὰ τοῦ Θεοῦ γὰρ, φησὶ, οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Καὶ τὸ Πνεῦμα πάντα, φησὶν, ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ.

Καὶ ὁ Χριστὸς αὖθις, *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα*· καὶ, *Οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα γινώσκει τις εἰ μὴ ὁ Υἱός*. Διὸ καὶ πρὸς τὸν Φίλιππον εἰπόντα, *Κύριε, δεῖξον ἡμῖν τὸν Πατέρα, καὶ ἀρκεῖ ἡμῖν*, *Ὁ ἑωρακὼς ἐμὲ*, φησὶν, *ἑώρακε τὸν Πατέρα*. Καὶ πῶς σὺ λέγεις, *Δεῖξον ἡμῖν τὸν Πατέρα*; Ὅπερ ὁ θεῖος ἀναπτύσσων Χρυσόστομος ὡς καὶ ἡμῖν ἤδη φθάσας ὁ λόγος ὑπέδειξεν, Ἴδωμεν, φησὶ, τί ὁ Φίλιππος ζητεῖ μαθεῖν. Αὐτὸ τί ποτέ ἐστιν ὁ Θεὸς, αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ. Διὸ καὶ οὐκ ἄλλος τίς ἐστιν ὅρος Θεοῦ, φιλόσοφε, εἰ μὴ ὁ τοῦ Πατρὸς ὅρος καὶ Λόγος κατὰ τὴν θεολόγον φωνὴν, ἡ ἐνυπόστατος καὶ ζῶσα σοφία καὶ δύναμις, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Εἰ δὲ λέγοις, Τί οὖν ἐστιν ὅπερ ὁ θεοφόρος φησὶ Βασίλειος, ὅτι τὸν αὐτὸν ἐπιδέχεται τῇ οὐσίᾳ λόγον ἡ ἐνέργεια; οὐ πρὸς ἀνάγκης ἡμῖν ἐστι τὸ τὰς σὰς ἀπορίας λύειν καὶ τὰς ἐνστάσεις. Οὐδὲ γὰρ ὡς μαθησόμενος ἧκες παρὰ τὴν Χριστοῦ Ἐκκλησίαν, ἢ γὰρ ἂν καὶ ἐμάνθανες οὕτως ἥκων. Νῦν δὲ τὴν τάξιν κακῶς ἀντιστρέψας, καὶ ἀντὶ μαθητοῦ διδάσκαλον καὶ θεολόγον σαυτὸν χειροτονήσας· αὐτὸς, μᾶλλον δὲ τῶν κοινῶν διδασκάλων τῆς Ἐκκλησίας καὶ θεολόγων ἄτοπον ὑβριστὴν καὶ συκοφάντην, οὐδὲ τούτου γε τυγχάνειν δίκαιος ἂν εἴης. Ἡμῖν δ' ἀρκέσει τοῦτ' αὐτὸ μόνον τοτήμερον εἶναι, τὸ μὴ μόνον συκοφαντοῦντα καὶ ψευδόμενον, ἀλλὰ καὶ βλασφημοῦντά σε καὶ παρανομοῦντα καὶ περὶ αὐτὰ τὰ θειότατά τε καὶ ὑψηλότατα φανερῶς ἐξεληλέγχθαι κἀνταῦθα. Σοῦ μὲν οὖν εἵνεκα καὶ τοῦ κατὰ σὲ πράγματος οὐδαμῶς, τῶν δέ γε λοιπῶν χάριν τὸν θεολογικὸν ἀναπτύξωμεν λόγον. Καὶ τὸν σκοπὸν καὶ ἡμεῖς καθόσον οἷόν τε μετὰ μικρὸν, νῦν δ' ἐκεῖνο πρότερον ἐξετάσωμεν.

Ἐπὶ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεσθαι τὴν ἐνέργειαν ἐνταῦθά φησιν ὁ μέγας Βασίλειος. Ὃ δὴ καὶ μὴ καλῶς μηδὲ κατὰ τὸν τοῦ διδασκάλου σκοπὸν Γρηγορᾶς ἀκούσας, ταυτόν τι καὶ ἀδιάφορον, καὶ ἓν κατὰ πάντα τὴν θείαν οὐσίαν καὶ τὴν ἐνέργειαν ἐνόμισεν εἶναι· μᾶλλον δὲ αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ τοῦτο κἀκεῖνο λέγεσθαι. Πρῶτον μὲν οὖν οὐ ψευδὴς μόνον ὁ λόγος, καὶ παντὸς θεολογικοῦ σκοποῦ τε καὶ λόγου μακρὰν, ἀλλὰ καὶ ἄτοπός τις καὶ ἀμαθὴς, καὶ γλώττης Ἑλληνικῆς πόῤῥω. Τὰ γὰρ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον οὐκ ἂν εἴη ποτὲ ἓν καὶ τὸ αὐτό, ἀλλὰ τοὐλά-

Digitized by Google

χιστον δύο. Ὁ δὴ καὶ ὁ μέγας ἐνταῦθά φησι Βασίλειος, τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεσθαι τὴν ἐνέργειαν εἰπών. Οὐδὲ γὰρ ἄν τις εἴποι τῶν τῆς Ἐκκλησίας ποτὲ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τῇ οὐσίᾳ τὴν φύσιν ἐπὶ Θεοῦ· οὐσία γὰρ παρ' ἡμῖν καὶ φύσις ἓν καὶ ταυτό· ἀλλ' οὐδὲ τὸν βροτὸν τῷ ἀνθρώπῳ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον, οὐδὲ τὴν χθόνα τῇ γῇ· δόξειε γὰρ ἂν ληρεῖν ὁ ταῦθ' οὕτω λέγων. Κατὰ γὰρ δύο, ἢ καὶ πολλῶν, τῷ μὲν εἴδει διαφερόντων, τῷ δὲ γένει ταυτόν τι πεφυκότων καὶ ἕν, ἢ τῷ μὲν εἴδει ταυτὸ, πολλὰ δὲ τῷ ἀριθμῷ, τὰ τοιαῦτα πέφυκε λέγεσθαι· ὡς ὅταν ἐλέφαντα καὶ ἵππον καὶ λέοντα τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον λέγωμεν, ὁπόταν δηλαδὴ τὸ ζῶον κατηγορῶμεν αὐτῶν, ἢ Παῦλον καὶ Σιλουανὸν καὶ Τιμόθεον τὸν αὐτὸν, ὁπηνίκα τὸν ἄνθρωπον ἔχωσι κατηγορούμενον ἑαυτῶν. Ἡ γὰρ ἄνθρωπος ἕκαστον τούτων, καὶ ἢ ζῶον ἕκαστον ἐκείνων, τὸν αὐτὸν ἀλλήλοις ἐπιδέχονται λόγον. Ὥστε μάταιος ἂν εἴη καὶ ἀπαίδευτος ὁ λέγων τὸ ἓν ἑαυτῷ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον. Μερίζειν καὶ γὰρ ἔστι κακῶς εἰς δύο τὸ ἕν· ὡς εἴ τις ἔλεγε τὸν Σωκράτην τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τῷ τοῦ Σωφρονίσκου υἱῷ· οὕτω κἀξ αὐτοῦ τοῦ ῥητοῦ φημι τοῦ σοφοῦ Βασιλείου, καὶ τῶν ἐκείνου συλλαβῶν καὶ τῶν λέξεων, πόῤῥω τοῦ σκοποῦ καὶ τῆς διανοίας ἐκείνου βάλλων ὁ φιλόσοφος δείκνυται, καὶ καθ' ἑαυτοῦ μᾶλλον, ἀλλ' οὐ κατὰ τῆς συνόδου καὶ τοῦ τόμου καὶ τοῦτο ῥίψας τὸ βέλος.

Ἔπειτα τί ποτε ἐρεῖ Γρηγορᾶς, εἰ τοὺς θεολόγους ἡμεῖς δείξομεν, καὶ αὐτὸν δέ φημι τὸν ταῦτα θεολογοῦντα, Βασίλειον δηλαδὴ τὸν μέγαν, οὐ τὸν αὐτὸν λέγοντας ἐπιδέχεσθαι λόγον τῇ θείᾳ οὐσίᾳ τὴν θείαν ἐνέργειαν; Καὶ δὴ πρῶτος αὐτὸς ὁ μέγας ταῦτα λεγέτω Βασίλειος, καὶ τοὺς αὐτὸς ἑαυτοῦ διερμηνευέτω λόγους.

Ἡ θεία φύσις, φησὶν, ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθό ἐστι μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος· εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μέν ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Καὶ πάλιν ὁ αὐτὸς πρὸς Ἀμφιλόχιον γράφων, Τὴν μεγαλειότητα, φησὶ, τοῦ Θεοῦ εἰδέναι λέγομεν, καὶ τὴν δύναμιν καὶ τὴν σοφίαν, καὶ τὴν ἀγαθότητα, καὶ τὴν πρόνοιαν, ᾗ ἐπιμελεῖται ἡμῶν, καὶ τὸ δίκαιον αὐτοῦ τῆς κρίσεως, οὐκ αὐτὴν τὴν οὐσίαν. Ἀλλ' ἁπλοῦς, φησὶν, ὁ Θεός· καὶ ὅπερ ἂν αὐτοῦ ἀπαριθμήσῃς, γνωστὸν τῆς οὐσίας αὐτοῦ ἐστι. Τοῦτο δὲ σόφισμά ἐστι μυρίας τὰς ἀτοπίας ἔχον. Ὁ δὲ Νύσσης θεῖος Γρηγόριος πρὸς Εὐνόμιον γράφων, Ἡ κυριότης, φησὶν, οὐχὶ οὐσίας ὄνομα, ἀλλ' ἐξουσίας ἐστὶ, καὶ ἡ τοῦ Χριστοῦ προσ-

A ηγορία τὴν βασιλείαν ἐνδείκνυται. Ἄλλος δὲ τῆς βασιλείας, καὶ ἕτερος ὁ τῆς φύσεως λόγος.

Καὶ πάλιν πρὸς τὸν αὐτόν· Ὥσπερ τοίνυν εἰπόντες, ὅτι κριτής ἐστι, διὰ μὲν τῆς κρίσεως ἐνέργειάν τινα περὶ αὐτὸν ἐνοήσαμεν, διὰ δὲ τοῦ ἐστὶ τῷ ὑποκειμένῳ τὸν νοῦν ἐπιβάλλομεν, σαφῶς διδασκόμενοι διὰ τούτων μὴ τὸν αὐτὸν νομίζειν τῇ ἐνεργείᾳ τὸν τοῦ εἶναι λόγον, οὕτω καὶ ἐκ τοῦ εἰπεῖν, Γεννητὸς ἢ ἀγέννητός ἐστι, μερίζομεν πρὸς διπλῆν ὑπόληψιν τὴν διάνοιαν, διὰ μὲν τοῦ ἐστὶ νοοῦντες τὸ ὑποκείμενον, διὰ δὲ τοῦ γεννητὸς ἢ ἀγέννητος τὸ προσὸν τῷ ὑποκειμένῳ καταλαμβάνοντες. Μάξιμος δ' ὁ σοφὸς ἐν κεφαλαίοις θεολογῶν τοιάδε φησί· Θεολογεῖν μέλλων, μὴ τοὺς κατ' αὐτὸν ζητήσῃς λόγους, οὐ μὴ γὰρ εὕρῃ ἀνθρώπινος νοῦς, ἀλλ' οὐδὲ ἄλλου τινὸς B τῶν μετὰ Θεόν· ἀλλὰ τοὺς περὶ αὐτὸν ὡς οἷόν τε διασκόπει· οἷον τοὺς περὶ ἀϊδιότητος, ἀπειρίας τε καὶ ἀοριστίας, ἀγαθότητός τε καὶ σοφίας, καὶ δυνάμεως δημιουργικῆς τε καὶ προνοητικῆς καὶ κριτικῆς τῶν ὄντων. Οὗτος γὰρ ἐν ἀνθρώποις μέγας θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς ἐξευρίσκων.

Τί πρὸς ταῦτα φῂς, ὦ φιλόσοφε; Ἰδοὺ φανερῶς ἤκουσας τῶν θεολόγων τουτωνὶ διδασκάλων λεγόντων, καὶ Βασιλείου μάλιστα πρὸ τῶν ἄλλων, μὴ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τῇ θείᾳ οὐσίᾳ τὴν θείαν ἐνέργειαν· καὶ ὅτι ὧν ὁ λόγος οὐχ ὁ αὐτὸς, τούτων καὶ ἡ φύσις διάφορος.

Καὶ οὐδέν τι παρ' ἡμῶν οὐδοτιοῦν εἰσενήνεκται. C Ἀλλ' αὐτὸς οὗτος ὁ θεολόγος, τὴν μὲν τῶν προτάσεων ἐκ τῶν λογίων λαβὼν, τὴν δ' ἐκ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων, ὡς ἀναγκαίαν καὶ παρὰ πᾶσιν ἀνωμολογημένην, οὕτως ἀψευδὲς ἐπήγαγε τὸ συμπέρασμα, ψευδῆ τὸν σὸν ἀπελέγξας συλλογισμὸν κατὰ τὰς σὰς ὑπολήψεις τέως φημί. Ἐπεί τοι γε ἄλλως κατὰ τὸν προσήκοντα λόγον οὐδὲ ἐκεῖνος ψευδὴς πρὸς τῆς αὐτῆς πως εἰσενηνεγμένος θεολογικῆς διανοίας καὶ γλώττης, εἰ καὶ μὴ κατὰ τὸν σόν φημι λόγον.

Ἀλλὰ πῶς οἷόν τε, φησὶν ὁ φιλόσοφος, ἀληθεύειν ἐν ταυτῷ καὶ τοῦτο κἀκεῖνο; Τοῦτο γάρ ἐστι καὶ τὴν ἀντίφασιν λέγειν ἑαυτῇ συμφωνεῖν. Ἀλλ' οὐχ ἡμέτερος ὁ λόγος ἐξῆς, ὦ φιλόσοφε, σοῦ δὲ μᾶλλον τοῦ τὴν θείαν καὶ ὑψηλὴν θεολογίαν ἄνωθεν, οὐκ ἐκ τῶν θείων χρησμῶν, οὐδὲ ἐκ τῶν ἀποστολικῶν τε D καὶ πατρικῶν λόγων, ἀλλ' ἀπὸ τῆς σαυτοῦ κοιλίας εἴτουν διανοίας ἐξηγουμένου, καὶ τοὺς κοινοὺς διδασκάλους ἑαυτοῖς τε καὶ ἀλλήλοις ἐπανιστάντος, καὶ τὴν ἐκείνων θεολογίαν νῦν μὲν παρεξηγουμένου τε καὶ συκοφαντοῦντος, νῦν δὲ καὶ ὡς ἡμετέραν διασύροντος προφανῶς, καὶ μυρίαις τισὶ καὶ ἀτόποις ταῖς ὕβρεσι πλύνοντος. Λέγε τοιγαροῦν κἀνταῦθα καὶ φιλοσόφει τὰ σὰ, τίνα τῶν θεολογικῶν τουτωνὶ φωνῶν ἐγγράφεις ὡς ἀληθῆ, καὶ τίνα διαγράφεις ὡς ψευδῆ· οὐ γὰρ δὴ καὶ ἀμφοτέρας. Φράζε, καὶ τοὺς σοὺς ἀνακίνει συλλογισμοὺς, καὶ τὴν μακρὰν ἐκείνην ματαιότητα, καὶ τὴν ἀδολεσχίαν, εἴ γε δυνηθείης τὴν ἀπόφασίν τε καὶ τὴν κατάφασιν ἀληθεύουσαν ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς δεῖξαι, καὶ μηδένα τῶν τοῦ διδασκάλου λογισμῶν ἐκβαλεῖν· ἱεροὶ γὰρ καὶ ἄμφω, καὶ

Digitized by Google

ὡσαύτως παρὰ τοῦ θεολόγου, καὶ σοφοῦ καὶ φιλοσόφου, καὶ θεοφόρου ῥηθέντες.

Ἐπὶ τῆς ἁπλῆς, φησὶ, καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεται ἡ ἐνέργεια. Καὶ πάλιν, Ἕτερος, φησὶ, τῆς οὐσίας ὁ λόγος, καὶ ἕτερος τῶν περὶ αὐτὴν ὀνομάτων, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας. Συλλογίζου δὴ καὶ λέγε, πῶς τὰ αὐτὰ καὶ τὸν αὐτὸν ἐπιδέχεται λόγον, καὶ οὐ τὸν αὐτόν;

Ἀλλ' ὁ μὲν φιλόσοφος τὸν ἐγκέφαλον νῦν, εἴπερ ποτὲ, καὶ πέρα τοῦ συνήθους καὶ καθ' ὑπερβολὴν διασεισθεὶς, καὶ ἰλιγγιάσας πρὸς τὴν ἀπορίαν τοῦ λόγου, οὔτε λέγειν οὔτε μὴν ἀκούειν τοπαράπαν ἔσχε τὰ ὄντα· ἡμεῖς δὲ τοῦτον ἀφέντες, οὐδὲ γὰρ ἀκούσεταί ποτε, καὶ νῦν μάλιστα, πρὸς τοὺς ἀκούειν δυναμένους τὸν λόγον κατὰ τὴν ὑπόσχεσιν τρέψομεν, καὶ τὸν θεολογικὸν ἀναπτύξαντες νοῦν, τὴν συμφωνίαν τῶν εἰρημένων, καθόσον οἷόν τε, καὶ αὖθις σὺν Θεῷ δείξομεν. Καὶ δὴ πρῶτον περὶ τοῦ πρώτου λέγωμεν. Οἱ ὅροι, καθὰ καὶ τοῖς ἔξω δοκεῖ δήπουθεν, τῶν ὑποκειμένων αὐτοῖς εἰσι δηλωτικοὶ πραγμάτων καὶ φύσεως, ὡς καὶ αὐτὸ δηλοῖ τοὔνομα. Χωρίζει καὶ γὰρ ὁ ὅρος τὸ πρᾶγμα τῆς τῶν ἄλλων κοινότητος, καὶ διὰ τῶν οὐσιωδῶν διαφορῶν εἰς ἑαυτὸ οἱονεὶ συνάγει καὶ περιγράφει· ὡς ὅταν λέγωμεν, Οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, καὶ, Ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, καὶ τὰ παραπλήσια τούτοις, ἐπί τε οὐσιῶν καὶ συμβεβηκότων φημί. Ταῦτα γὰρ τῶν κτισμάτων τε καὶ τῆς ὕλης ἴδια. Θεὸν δὲ, ὅτι μὲν ἔστιν ἐδιδάχθημεν, τοῦτο γὰρ καὶ ἡ κτίσις ὁμοῦ πᾶσα καὶ σιγῶσα βοᾷ· τί δέ ἐστιν, οὔτε τις εἰπεῖν τῶν πάντων τετόλμηκεν, οὔτε μὴν ἐπιχειρήσει ποτὲ, μὴ τὸν ἐγκέφαλον καὶ τὰς φρένας διαφθαρείς· πῶς γὰρ ὁ μηδὲ τῆς ἑαυτοῦ ψυχῆς καὶ τοῦ νοῦ τὸν ὅρον ἀκριβῶς ἐπιστάμενος; Ἐπεὶ τοίνυν ἀκατάληπτον αὐτὸ τὸ καθ' αὑτὸ Θεῖον, καὶ ἀόριστόν ἐστι κατὰ πᾶσαν ἀνάγκην κατὰ τὰς θείας Γραφὰς, καὶ δὴ καὶ τοὺς αὐτῶν ἐξηγητάς τε καὶ θεολόγους. Ἐκ δὲ τῶν περὶ αὐτὸ, φημὶ δὴ τῶν φυσικῶν ἰδιωμάτων τε καὶ ἐνεργειῶν, εἰ καὶ ληπτὸν ἀπὸ μέρους, ἀλλὰ καὶ κατ' αὐτά φημι ταῦτα, καὶ ἀκατάληπτον καὶ ἀόριστον. *Τά τε γὰρ κρίματα αὐτοῦ ἄβυσσος πολλὴ* κατὰ τὸν Προφήτην, καὶ καθά φησι Παῦλος ἐπιστέλλων αὖθις Ῥωμαίοις, *Ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ*. Οἷς δὴ καὶ ὁ μέγας Βασίλειος αὖθις ἑπόμενος, Εἰ τὰ κρίματα αὐτοῦ, φησὶν, ἄβυσσος πολλὴ, καθώς φησιν ὁ Προφήτης, καὶ αἱ ὁδοὶ αὐτοῦ ἀνεξιχνίαστοι, οὐκοῦν πάντως καὶ ἀνεξερεύνητοι, κατὰ τὸν Ἀπόστολον, πόσῳ μᾶλλον αὐτὸς, οὗ αἱ κρίσεις καὶ αἱ ὁδοὶ τοιαῦται; Καὶ οὐ θαῦμα εἰ αὐτὸς ὁ Θεὸς τοιοῦτος, ὅπου γε τὰ αὐτοῦ τοιαῦτα.

Καὶ πάλιν ὁ αὐτός· Τὰ μὲν οὖν ὀνόματα τοῦ ἁγίου Πνεύματος τοιαῦτα ὑπερφυῆ, οὐ μενοῦν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν· αἱ δὲ ἐνέργειαι τίνες; Ἄρρητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Ὁ δὲ θεηγόρος Νύσσης πρὸς Εὐνόμιον γράφων· Εἰ δέ τις ἀπαιτοίη, φησὶν, ἡμᾶς τῆς θείας οὐσίας ἑρμηνείαν τινὰ καὶ ὑπογραφὴν καὶ ἐξήγησιν, ἀμαθεῖς εἶναι τῆς τοιαύτης σοφίας οὐκ ἀρνησόμεθα A τοσοῦτον ὁμολογοῦντες μόνον, ὅτι οὐκ ἔστι τὸ ἀόριστον κατὰ τὴν φύσιν ἐπινοίᾳ τινὶ ῥημάτων διαληφθῆναι. Τὸ γὰρ μὴ ἔχειν ὅρον τὴν θείαν μεγαλωσύνην ἡ προφητεία διαῤῥήδην κηρύσσουσα, ὅτι τῆς μεγαλοπρεπείας τῆς δόξης τῆς ἁγιωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, φησίν. Εἰ δὲ τὰ περὶ αὐτὸν ἀπεράτωτα, πολὺ μᾶλλον κατ' οὐσίαν αὐτὸς ὅ τί ποτέ ἐστιν οὐδενὶ ὅρῳ κατ' οὐδὲν μέρος διαλαμβάνεται. Ὁ δὲ σοφὸς τῆς κατ' εὐσέβειαν ἀληθείας ὁμολογητὴς Μάξιμος, Μίαν, φησὶ, τὴν θείαν ἐνέργειαν τοῦ Χριστοῦ κατὰ τοὺς θείους Πατέρας ἐπιστάμεθα, ἐξ ἧς πολλαὶ θεῖαι, καὶ μίαν τὴν ἀνθρωπίνην, ἐξ ἧς αἱ πολλαὶ καὶ καθ' ἡμᾶς ἀνθρώπιναι. Μίαν γὰρ τὴν θείαν αὐτοῦ ὡς Θεοῦ κατ' οὐσίαν ἐνέργειαν οἴδαμεν, ἣν καὶ ὁ Πατὴρ ἔχει κατὰ φύσιν, καὶ τὸ ἅγιον Πνεῦμα, ἐξ ἧς, εἶπον, αἱ B πολλαὶ, καὶ ἀναρίθμητοι, καὶ θεῖαι κυρίως προέρχονται ἐνέργειαι, αἱ κατὰ πρόνοιαν, αἱ κατὰ κρίσιν, αἱ κατὰ συνοχὴν, αἱ κατὰ γένεσιν τῶν ὄντων καὶ πρόοδον, αἱ θεῖαι πᾶσαι καὶ ἀόριστοι. Τούτοις καὶ ὁ θεοφόρος συνᾴδων Δαμασκηνὸς τοιάδε φησὶ μελῳδῶν, καὶ πρὸς αὐτὸν τὸν Δεσπότην τοὺς ἰδίους λόγους ποιούμενος· Θεὸς ὢν ἀληθινὸς, Λαζάρου ἔγνως τὴν κοίμησιν, καὶ ταύτην τοῖς μαθηταῖς τοῖς σοῖς προηγόρευσας, πιστούμενος, Δέσποτα, τῆς θεότητός σου τὴν ἀόριστον ἐνέργειαν.

Καὶ μακρὸν ἂν εἴη τὸ τὰς φωνὰς τῶν ἱερῶν θεολόγων πάσας νῦν ἑξῆς καταλέγειν, ἐν αἷς οὐ τὸ τῆς ὑπερουσιότητος μόνον τῆς θείας ἀόριστον, ἀλλὰ καὶ τῶν φυσικῶς ὄντων περὶ αὐτὴν ὡσαύτως ἀνυμνοῦσί C τε καὶ θεολογοῦσιν. Ἀλλ' ὁ Γρηγορᾶς ὅρῳ καὶ καταλήψει καὶ περιγραφῇ οὐ τὴν θείαν ἐνέργειαν μόνον, ἀλλὰ καὶ τὴν θείαν οὐσίαν ὅσον τὸ καθ' ἑαυτὸν ὑποβάλλει, πᾶσαν ὁμοῦ διαγράφων κακῶς τὴν περὶ τῶν τοιούτων ἱερὰν θεολογίαν, καὶ μηδὲ εἰδὼς ἃ λέγει. Τῶν γὰρ μαινομένων ἐστὶ καὶ παραπαιόντων ἄντικρυς τό γε περὶ Θεοῦ τοιαῦτα σκοπεῖν.

Ἐπεὶ δὲ τὸ ἀλλότριον διά γε τῶν Γραφικῶν τε καὶ θεολογικῶν φωνῶν ἀπεσκευασάμεθα, φέρε τὸ ἡμέτερον ὑποδείξωμεν. Ἐπειδὴ καὶ γὰρ ἡ θεία ἐνέργεια πῶς μέν ἐστι τῇ θείᾳ οὐσίᾳ ταυτὸν, πῶς δὲ διάφορον κατὰ τοὺς προαποδοθέντας λόγους, τῷ τε συνοδικῷ φημι τόμῳ καὶ ἡμῖν, καὶ τῷ ἡνωμένῳ τὸ διακεκριμένον οὐ προσίσταται τῆς θεολογίας, D μᾶλλον μὲν οὖν οὐδὲ θεολογεῖν ἐστιν ἀπταίστως τὸν μὴ καλῶς καὶ θεοπρεπῶς καὶ τοῦτο κἀκεῖνο κατὰ τοὺς οἰκείους αὐτῶν λόγους περὶ Θεοῦ δοξάζοντα, καθὰ δὴ καὶ αὐτὸ τοῦτο διὰ πολλῶν ἤδη δέδεικται, εἰκότως ὁ τῆς εὐσεβείας διδάσκαλος, Βασίλειος ὁ μέγας, φημὶ, νῦν μὲν τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι τῇ θείᾳ οὐσίᾳ τὴν φυσικὴν ἐνέργειαν ταύτης φησὶ, τὸ θεοπρεπῶς ἡνωμένον τούτων θεολογῶν, καὶ δεικνὺς τά τε ἄλλα καὶ τὸ ἄκτιστον καὶ συναΐδιον καὶ ἀχώριστον τῆς θείας ἐνεργείας πρὸς τὴν θείαν φύσιν λαμπρῶς, νῦν δ' αὖθις οὐ τὸν αὐτόν φησι λόγον ἐπιδέχεσθαι ταύτην ἐκείνῃ, τὸ διακεκριμένον ἐκείνης πρὸς ταύτην σοφῶς τε καὶ θεολογικῶς ἐμφαίνων, λόγον ἐνταῦθά τε κἀκεῖ λέγων, οὐ τὸν ὅρον, ὥς φησι τολμήσας ὁ Γρηγορᾶς, ἄπαγε τῆς βλασφημίας! ἀλλ ἁπλῶς τὰ κατ' ἀμφοτέρων, τῆς τε φύσεως δηλαδὴ

Digitized by Google

καὶ τῆς ἐνεργείας, λεγόμενα. Καὶ γὰρ οὕτως ἔχει, καὶ τοῦτο τὸ κοινῇ τῇ θεολογίᾳ δοκοῦν περὶ τοῦ Θεοῦ, τὸ λέγεσθαί φημι περὶ αὐτοῦ πολλὰ, καὶ πολλούς τινας καὶ διαφόρους εἶναι τοὺς περὶ αὐτοῦ λόγους· ὅρον δὲ οὐδαμῶς, ὅτι τε ἀόριστος ὁ Θεὸς κατά γε τοὺς προαποδοθέντας λόγους, καὶ ὅτι ἀδύνατον ὅρους πολλοὺς εἶναι καθ' ἑνός τε καὶ τοῦ αὐτοῦ, ἀλλ' ἕνα, καὶ τοῦτον ὡρισμένον τε καὶ περιγεγραμμένον, ὡς μήτε πλεονάζειν μήτ' ἐλλείπειν τῷ μέτρῳ τῶν συλλαβῶν. Ὅθεν καὶ τῶν περὶ Θεοῦ λεγομένων, κατὰ τὰς τῶν θεολόγων Πατέρων φωνὰς, τὰ μὲν τί οὐκ ἔστιν ὁ Θεὸς δηλοῖ, ὡς τὸ ἄναρχον, καὶ ἀτελεύτητον, καὶ ἀθάνατον, καὶ ἄπειρον, καὶ ἀπερίγραπτον, καὶ τὰ παραπλήσια τούτοις· τὸ δὲ τὸ τί οὐκ ἔστιν ὅρον νομίζειν τὴν τοῦ μὴ ὄντος ἀναίρεσιν, οὐχὶ τὴν τοῦ ὄντος θέσιν, μὴ καὶ μανίας εἴη λαμπρᾶς; Τὰ δὲ τῆς ἀξίας τε καὶ τῆς ἐνεργείας καὶ τῶν σχέσεων ὀνόματα, ὡς τὸ Πατὴρ, καὶ Υἱὸς, καὶ Κύριος, καὶ Θεὸς, καὶ βασιλεὺς, καὶ παντοκράτωρ, καὶ δημιουργὸς, πῶς ἂν εἶεν ὅροι; τοσαῦτά τε ὄντα τῷ πλήθει, καὶ δὴ καὶ τῶν περὶ αὐτόν τι ἀποσημαίνοντα ἕκαστον, ἀλλ' οὐκ αὐτὸν τὸν Θεὸν, ὅπου γε οὐδὲ αὐτῶν ἐκείνων τῶν περὶ Θεόν εἰσιν ἀκριβῶς ὅροι, καθ' ὧν δὴ καὶ λέγονται; Διὸ καὶ οἱ θεολόγοι Πατέρες περὶ τῶν τοιούτων μέλλοντες λέγειν καὶ γράφειν, ὅρου μὲν οὐδοτιοῦν ἐμνήσθησαν πώποτε, μᾶλλον δὲ καὶ μνησθέντες ἰσχυρῶς ἀπηγόρευσαν ἐκεῖνον, οὐ τῆς θείας δηλαδὴ μόνον φύσεως, ἀλλὰ καὶ τῆς ἐνεργείας αὐτῆς, καθὰ δὴ καὶ δέδεικται. Ἐπιλέγεσθαι δὲ τῷ Θεῷ ταῦτ' εἶπον, οὑτωσί πως τοὺς θεολογικοὺς ἐπιγράψαντες λόγους· Περὶ τῶν ἐπὶ Θεοῦ λεγομένων, καὶ περὶ τῶν ἐπὶ Χριστοῦ λεγομένων, καὶ αὖθις τὰ ἐπιλεγόμενα τῇ θείᾳ φύσει, καὶ ἕκαστον τῶν ἐπὶ Θεοῦ λεγομένων, καὶ ὅτι θεολογεῖν μέλλων μὴ τοὺς κατ' αὐτὸν ζητήσῃς λόγους, ἀλλὰ τοὺς περὶ αὐτόν· οὗτος καὶ γὰρ ἐν ἀνθρώποις, φησὶ, μέγας θεολόγος, ὁ τούτων τοὺς λόγους κἂν ποσῶς ἐξευρίσκων· καὶ ὅσα τοιαῦτα, ἐκεῖνο διδάσκοντες ἡμᾶς διὰ τούτων, ὡς ἤδη πολλάκις εἶπον, τὸ μὴ ὅρον νομίζειν τὸν περὶ Θεοῦ λόγον, ἀλλ' ἁπλῶς ἕν τι τῶν ἐπὶ Θεοῦ λεγομένων, ἢ καὶ δύο καὶ πλεῖστα κατά γε τοὺς προαποδοθέντας φημὶ λόγους. Καίτοι γε καὶ οὐρανοῦ, καὶ γῆς, καὶ δὴ καὶ ἀγγέλων καὶ ἀνθρώπων λέγοντες, ὅτι κτίσματα Θεοῦ, οὐ τὸν ὅρον τῆς οὐσίας ἑκάστου λέγομεν· καὶ περὶ τῆς αἰσθητῆς ὁμοῦ πάσης ταυτησὶ κτίσεως λέγοντες, ὅτι δι' ἀγαθότητα θείαν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι λόγῳ Θεοῦ παρελθοῦσα, διὰ τὸν ἄνθρωπον γέγονεν, οὐ τὴν οὐσίαν αὐτῆς ὁριζόμεθα, ἀλλὰ λόγον τινὰ περὶ αὐτῆς καὶ τῆς αἰτίας αὐτῆς λέγομεν.

Εἰ γοῦν καὶ ἐπὶ τῶν κτισμάτων τῶν ὡρισμένων τουτωνὶ καὶ πεπερασμένων λόγους τοιούσδε λέγοντες, οὐχ ὅρους αὐτούς φαμεν, ἀλλ' ἁπλῶς τινα τὰ περὶ τούτων λεγόμενα, πόσῳ μᾶλλον ἐπὶ τῆς θείας καὶ ἀκηράτου καὶ ἀορίστου φύσεως, καὶ δὴ καὶ τῶν αὐτῆς φυσικῶν; Τὸ δὲ *ὢν* καὶ τὸ *ἀγαθὸς* ἐπὶ τοῦ Θεοῦ λεγόμενα, ἃ καὶ δοκεῖ πως κατὰ τοὺς ἱεροὺς θεολόγους οἰκειότερα τῆς ὑπερουσιότητος ἐκείνης τυγχάνειν, καὶ ταῦτα, ὅτι μὲν ἔστι, καὶ ὅτι ἀγαθόν ἐστι σημαίνει· τί δὲ τὴν φύσιν A ἐστὶ τὸ ὂν ἐκεῖνο καὶ ἀγαθὸν οὐδαμῶς· διὸ καὶ οὐκ ὂν ἐστιν, οὐδὲ ἀγαθὸν, ὡς ὑπὲρ ταῦτά γε ὄν. Τὸ δὲ εἶναι τόδε τι, καὶ μὴ εἶναι, πῶς ἄν ποτε φύσις εἴη, καὶ Θεοῦ μάλιστα; Οὕτω μὲν οὖν ὁ περὶ τοῦ λόγου τοῦ διδασκάλου λόγος ἱκανῶς, οἶμαι, καὶ ἡμῖν δέδεικται, ὡς οὐχὶ τὸν ὅρον ἐνθυμεῖσθαι δεῖ, τὸν λόγον ἀκούοντας, ἀλλ' ἁπλῶς τὰ περὶ τῆς οὐσίας, ἢ τῆς ἐνεργείας αὐτῆς λεγόμενα. Δεῖ δὲ καὶ πρὸς τὸ δεύτερον τῶν ζητημάτων ἐλθεῖν ἤδη, καὶ δεῖξαι, πῶς καὶ τὸν αὐτὸν λόγον ἐπιδέχεται τῇ οὐσίᾳ ἡ ἐνέργεια ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως, καὶ αὖθις οὐ τὸν αὐτὸν, καίτοι γε καὶ τοῦτο προαποδέδεικται. Ἀλλὰ καὶ αὖθις σαφηνείας χάριν εἰρήσθω.

Ἵνα δὲ καὶ σαφέστερος ἡμῖν ὁ περὶ τούτου λόγος καθόσον οἷόν τε, καὶ εὔληπτος γένηται, τῶν τοῦ B μεγάλου Πατρὸς Βασιλείου καὶ αὖθις περὶ τούτου λόγων ἀκούσωμεν.

Φησὶ τοίνυν πρὸς τοὺς τῷ Πνεύματι τῷ ἁγίῳ πολεμοῦντας, καὶ μὴ δημιουργὸν αὐτὸ φάσκοντας εἶναι, ἀποτεινόμενος· Εἰ τοίνυν τὸ ὑπερκόσμιον σῶμα Χριστοῦ ἐκ Πνεύματός ἐστιν ἁγίου, οὐ δυνατὸν δὲ γέννημα αὐτοῦ ὑπάρχειν, ὅτι τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν, οὐδ' αὖ πάλιν ἐξ αὐτοῦ ὡς ἐνέργεια αὐτοῦ, ὅτι ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἐπιδέχεται τῇ οὐσίᾳ λόγον ἡ ἐνέργεια, ὑπολείπεται ἄρα ἐξ αὐτοῦ εἶναι ὡς κτίσμα αὐτοῦ. Πρῶτον μὲν οὖν, ὦ φιλόσοφε, οὐκ ἐχρῆν ἀφιλοσόφως οὕτω καὶ ἀμαθῶς πολεμεῖν σε τοῖς φανεροῖς, καὶ τὸ μὴ ὂν ἄντικρυς ὂν λέγειν, ἢ τὸ ὂν καὶ C φαινόμενον αὖθις ἐξ ἀντιστρόφου μὴ ὂν, πρὸς ὃ καὶ παιδίον ἠρυθρίασεν ἄν. Βασιλείου καὶ γὰρ τοῦ κοινοῦ διδασκάλου τῆς Ἐκκλησίας τήν τε ὑπόστασιν τοῦ ἁγίου Πνεύματος καὶ τὸ ἐνυπόστατον εἰσάγοντος τοῦ Χριστοῦ σῶμα τῷ λόγῳ, καὶ τὴν εὐαγγελικὴν ἐκείνην ἀναπτύσσοντος φωνὴν, τὴν Ὅτι τὸ γεννηθὲν ἐν τῇ ἁγίᾳ Παρθένῳ ἐκ Πνεύματός ἐστιν ἁγίου, καὶ λέγοντος, ὅτι οὔτε ὡς γέννημα αὐτοῦ ἐστιν ἐξ αὐτοῦ, τὸ γὰρ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν, ἀλλ' οὐδὲ ὡς ἐνέργεια τοῦ Πνεύματός ἐστιν ἐξ αὐτοῦ, ἐπὶ γὰρ ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν ἐπιδέχεται τῇ οὐσίᾳ λόγον ἡ ἐνέργεια, σὺ λέγεις ἀναισχυντῶν, ὅτι ταυτόν τι καὶ ἕν ἐστι κατὰ πάντα τῇ οὐσίᾳ ἡ ἐνέργεια. Καὶ τοῦτο D καὶ ὁ μέγας ἐνταῦθά φησι Βασίλειος· καίτοι γε Βασίλειος ὁ μέγας οὐχ ἁπλῶς, ἀλλὰ κατὰ διαίρεσιν ἄνωθεν τὸν λόγον προήνεγκε. Τὸ γὰρ ἔκ τινος, φησὶν, ἢ δημιουργικῶς, ἢ γεννητικῶς, ἢ φυσικῶς ἐστιν ἐξ αὐτοῦ, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. Τὸ οὖν ἔκ τινος, ὦ φιλόσοφε, ἕτερόν ἐστι τοῦ ἐξ οὗ ἐστι κατ' αὐτὸ τοῦτο, ἢ ταυτὸ κατὰ πάντα, καὶ οὐδαμῶς ἕτερον. Καὶ εἰ ταῦτα οὕτως ἔχει κατὰ σὲ, μάτην ἐλαύνεται Σαβέλλιος τὰ ἐκ τοῦ Πατρὸς συνανάρχως ὄντα, τὸν Υἱόν φημι καὶ τὸ Πνεῦμα, οὐχ ἕτερα καθ' ὑπόστασιν ἀλλήλων, ἀλλὰ ταυτόν τι καὶ ἓν κατὰ πάντα λέγων εἶναι. Καὶ οὐ μόνον τὸ γεννητῶς ἔκ τινος, ὅ φησιν ὁ μέγας Βασίλειος, πάντη ἓν καὶ ἀδιάφορόν ἐστι τῷ ἐξ οὗ γεγέννηται, ἀλλὰ καὶ τὸ δημιουργικῶς αὖθις ἔκ τινος ὂν, ἐν ὡσαύτως καὶ ταυτὸ

Digitized by Google

τῷ παρ' οὗ δεδημιούργηται κατὰ σὲ, καὶ ταυτόν τι καὶ ἓν οὐ κατ' οὐσίαν μόνον, ἀλλὰ καὶ καθ' ὑπόστασιν ὅ τε γεννῶν καὶ τὸ γέννημα, καὶ ὁ δημιουργῶν καὶ τὸ δημιούργημα.

Καὶ τίνος ἕνεκα τὰς διαιρέσεις, εἰπέ μοι, τοῦ λόγου ταύτας Βασίλειος ὁ μέγας οὕτω παρῆγεν, εἰ οὕτως ἔχει τὰ πράγματα κατὰ σέ; Ἔδει καὶ γὰρ μᾶλλον εἰπεῖν ἐκεῖνον περὶ τοῦ Κυριακοῦ σκοπούμενον σώματος, ὅτι τὸ ἔκ τινος εἴτε δημιουργικῶς ἐστιν, εἴτε γεννητῶς, εἴτε φυσικῶς, οὐκ ἔστιν ἕτερον οὐδαμῶς τοῦ ἐξ οὗ ἐστιν, ἀλλὰ ταυτόν τι καὶ ἓν κατὰ πάντα. Καὶ οὕτω λέγων κατεσκεύασεν ἂν κατὰ σὲ πάντως, ὅτι τὸ Κυριακὸν σῶμα ἐκ τοῦ Πνεύματος ὂν τοῦ ἁγίου κατὰ τὴν θείαν Γραφὴν, ἢ αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιόν ἐστιν, ὡς εἶναι ταυτόν τι καὶ ἓν κτίσμα καὶ Πνεῦμα ἅγιον, καὶ σῶμα Χριστοῦ, ἢ οὐκ ἔστιν ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου τὸ ἐκ τοῦ ἁγίου Πνεύματος ὂν κατὰ τοὺς θείους χρησμοὺς, ἐπειδὴ σῶμα καὶ κτίσμα ἐστὶν, ὑπὲρ οὗ καὶ ὁ πᾶς λόγος τῷ διδασκάλῳ. Τὸ δ' αὐτὸν καὶ περὶ τῆς ἐνεργείας. Εἶπε γὰρ ἂν οὐχ ὅτι τὸν αὐτὸν ἐπιδέχεται λόγον τῇ οὐσίᾳ· δύο καὶ γὰρ τὰ τὸν αὐτὸν ἐπιδεχόμενα λόγον· ἀλλ' ὅτι ἕν ἐστι καὶ τὸ αὐτὸ, ποτὲ μὲν οὐσία, ποτὲ δὲ ἐνέργεια κατὰ Γρηγορᾶν ἡ αὐτὴ λεγομένη. Ἀλλὰ ἅλις τοῦ γέλωτος. Ἵλεως δὲ ἡμῖν εἴη καὶ ὁ θεολόγος Πατὴρ οὑτοσίν· οὐδὲ γὰρ ἡμέτερα ταῦτα, τῆς δὲ τοῦ Γρηγορᾶ ψευδοσοφίας τε καὶ ψευδοδοξίας μάλιστα. Οἷς καὶ ἡμεῖς ἐξ ἀνάγκης καὶ χεῖρα καὶ γλῶτταν δίδομεν, οὐχ ἵνα συνείπωμεν, ἀλλ' ἵνα ἐξελέγξωμεν. Ἐκεῖνος καὶ γὰρ ὁ μέγας, Τὸ ἔκ τινος, φησὶν, ἢ γεννητῶς, ὡς ὁ Υἱὸς ἐκ τοῦ Πατρὸς, ἢ δημιουργικῶς, ὡς τὰ κτίσματα ἐκ τοῦ Θεοῦ, ἢ φυσικῶς, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. Καὶ διὰ τοῦτο τὸ πανάγιον τοῦ Χριστοῦ σῶμα ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου ὂν, οὔτε γεννητῶς, φησὶν, ἔστιν ἐξ αὐτοῦ, Πνεῦμα καὶ γὰρ ἂν ἦν, ἐπειδὴ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι κατὰ θείους χρησμοὺς, οὔτε φυσικῶς, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. Ἐπὶ γὰρ ἁπλῆς, φησὶ, καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ ἐπιδέχεται λόγον ἡ ἐνέργεια· μονονουχὶ τοῦτο λέγων ὁ διδάσκαλος, ὅτι ἐπειδὴ τὸ τοῦ Χριστοῦ σῶμα, οἷα δὴ σῶμα ἀνθρώπινον καὶ κτίσμα ἐστὶ, καὶ σύνθετον ἐκ τεσσάρων στοιχείων, οὐκ ἔστιν ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου, ὡς ἐνέργεια αὐτοῦ φυσική· καὶ γὰρ τὸ Πνεῦμα καὶ ἀσώματον καὶ ἁπλοῦν· ἐπὶ δὲ τῆς ἁπλῆς καὶ ἀσωμάτου φύσεως τὸν αὐτὸν τῇ οὐσίᾳ λόγον ἐπιδέχεται ἡ ἐνέργεια· οἷον ὡς ἡ οὐσία ἁπλῆ καὶ ἀσύνθετος, οὕτω καὶ ἡ ταύτης φυσικὴ ἐνέργεια ἁπλῆ καὶ ἀσύνθετος· ὡς ἡ οὐσία ἄκτιστος, οὕτω καὶ ἡ ταύτης ἐνέργεια ἄκτιστος· ὡς ἀπερίγραπτος καὶ ἀόριστος ἡ οὐσία, οὕτω καὶ ἡ ταύτης ἐνέργεια πόῤῥω πάσης περιγραφῆς τε καὶ ὁρισμοῦ· ὡς ἀόρατος ἀνθρώποις ἡ οὐσία, οὕτω καὶ ἡ ταύτης ἐνέργεια. Ἐπεὶ οὖν οὐ τοιοῦτον τὸ Κυριακὸν σῶμα, οὐδὲ ὡς ἐνέργεια φυσική ἐστιν ἐκ τοῦ Πνεύματος, ἀλλὰ δημιουργικῶς, φησὶν, ἔστιν ἐξ αὐτοῦ.

Ἔμαθες πῶς τὸν αὐτὸν ἐπιδέχεται λόγον τῇ οὐσίᾳ ἡ ἐνέργεια ἐπὶ ἁπλῆς καὶ ἀσωμάτου φύσεως, καὶ τίς ἐστιν ὁ λόγος οὗτος, καὶ ὅτι δύο εἰσὶν ἥ τε οὐσία, καὶ ἡ ἐξ αὐτῆς φυσικὴ ἐνέργεια, οὐ πράγματι κατὰ τὸν ἱερὸν Ἀναστάσιον, ἀλλὰ τῷ λόγῳ κατὰ τὸν μέγαν Βασίλειον, καὶ δὴ καὶ τὸν Νύσσης θεῖον Γρηγόριον, καὶ οὐχ ἓν πάντῃ; Μάθε πρὸς τούτοις ἐκ τῶν τοῦ διδασκάλου λόγων κἀκεῖνο, ὅτι καὶ φυσικὴ καὶ ἄκτιστός ἐστιν ἡ ἐνέργεια. Ἡ φυσικῶς γὰρ, φησὶ, τὸ ἔκ τινος, ὡς ἡ ἐνέργεια ἐκ τοῦ ἐνεργοῦντος. Ἡ δὲ ἄκτιστος ἐνέργεια, κατὰ τὸν σοφὸν Μάξιμον, ἄκτιστον χαρακτηρίσει οὐσίαν· ἡ δὲ κτιστὴ κτιστὴν δηλώσει φύσιν· δεῖ καὶ γὰρ, φησὶ σύν γε τῷ μεγάλῳ Βασιλείῳ δηλονότι καὶ οὗτος, κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικά· οὔτε ψύχει τὸ πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος. Ὅπερ ταυτὸν ἂν εἴη τῷ πολλάκις ἤδη ῥηθέντι πρὸς τοῦ μεγάλου Βασιλείου ἐκείνῳ, τῷ τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον τῇ οὐσίᾳ τὴν ἐνέργειαν. Ἔδειξε δὲ καὶ ἄλλως ὁ μέγας τὸ ταύτης ἄκτιστον διὰ τῆς τοῦ λόγου διαιρέσεως, τὰ μὲν κτίσματα δημιουργικῶς εἰπὼν εἶναι ἐκ τοῦ Θεοῦ, οἷς δὴ καὶ τὸ τοῦ Χριστοῦ σῶμα συνῆψε, τὴν δὲ ἐνέργειαν οὐ δημιουργικῶς, ἀλλὰ φυσικῶς, διὸ καὶ τὸν αὐτὸν αὐτὴν ἐπιδέχεσθαι τῇ οὐσίᾳ λόγον.

Ἀλλὰ περὶ μὲν τοῦ φυσικοῦ καὶ ἀκτίστου ταύτης πλατύτερον ἐν τοῖς ἑξῆς εἰρήσεται· οὐδὲ γὰρ ἐν τοῖς ἤδη ῥηθεῖσι καὶ κτιστὴν εἶπεν αὐτὴν ὁ Γρηγορᾶς· πῶς γάρ; ὁ τὴν φύσιν αὐτὴν εἶναι τέως λέγων, οὐχ ἕτερον· ἐρεῖ δὲ εὐθὺς μετὰ τοῦτο καὶ κτίσμα ταύτην, καὶ δὴ καὶ μὴ ὄν. Τοιαύτη καὶ γὰρ ἡ ἐκείνου θεολογία, τὸ καὶ Θεοῦ οὐσίαν φημὶ καὶ κτίσμα, καὶ μὴ ὂν τὸ αὐτὸ διδάσκειν, παρὰ τὴν ὁμωνυμίαν, ὡς αὐτός φησι. Νῦν δ' ἐπεὶ τὸ πῶς τὸν αὐτὸν ἐπιδέχεται λόγον ἡ θεία οὐσία τῇ θείᾳ ἐνεργείᾳ καὶ ἡμῖν ὁ λόγος ἐκ τῶν Πατέρων ὑπέδειξε, φέρε δὴ καὶ πῶς οὐ τὸν αὐτὸν ἐπιδέχεται λόγον, κατὰ τοὺς αὐτοὺς ὑποδείξωμεν διδασκάλους, ἐπαναλαβόντες τὸν αὐτὸν λόγον καὶ αὖθις. Ἡ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις, φησὶν, ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μὲν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων.

Ὁ δὲ σύμπνους τὴν θεολογίαν καὶ ἀδελφὸς τούτου, Γρηγόριος ὁ Νύσσης, φημὶ, Ἡ κυριότης, φησὶν, οὐχὶ οὐσίας ὄνομα, ἀλλ' ἐξουσίας ἐστί· καὶ ἡ τοῦ Χριστοῦ προσηγορία τὴν βασιλείαν ἐνδείκνυται. Ἄλλος δὲ τῆς βασιλείας, καὶ ἕτερος ὁ τῆς φύσεως λόγος. Ταῦτα δὲ οὐδὲ ἑρμηνείας οὐδ' ἐπεξεργασίας ἡστινοσοῦν δεῖται σχεδόν. Ἄλλον μὲν γὰρ τὸν τῆς φύσεως εἶναι λόγον οἱ θεολόγοι φασὶ φανερῶς, ἕτερον δὲ τῶν περὶ αὐτὴν ἐνεργειῶν τε καὶ ὀνομάτων. Μᾶλλον δὲ τῆς μὲν φύσεως, φησὶν, αὐτῆς οὐδεὶς οὔπω λόγος



Digitized by Google

A μηνυτὴς ἐξευρέθη· τῶν δὲ περὶ αὐτὴν ἐνεργειῶν καὶ δὴ καὶ τῆς δόξης, φησίν, εἰσὶ τὰ ὀνόματα, ἃ καὶ λόγον αὐτῶν ἐκάλεσεν ἐκεῖνο μονονουχὶ τὸ τοῦ σοφοῦ θεολόγου καὶ μάρτυρος Διονυσίου καὶ οὗτοι περὶ τῶν αὐτῶν λέγοντες, ὃ δὴ καὶ φθάσας ἡμᾶς ἐδίδαξεν, Εἰ τὴν ὑπερούσιον κρυφιότητα, λέγων, Θεόν, ἢ ζωήν, ἢ οὐσίαν, ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς ἐξ αὐτῆς εἰς ἡμᾶς προαγομένας δυνάμεις, ἐκθεωτικάς, ἢ οὐσιοποιούς, ἢ ζωογόνους, ἢ σοφοδώρους· αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδὲ μίαν ὁρῶντες θέωσιν, ἢ ζωήν, ἢ οὐσίαν, ἥτις ἀκριβῶς ἐμφερὴς ἐστι τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ. Κἀκεῖνα μὲν ἀρκούντως εἰρήσθω· ἐπὶ δὲ τὸν φιλόσοφον αὖθις καὶ τοὺς ἐκείνου λόγους ἔλθωμεν. B Ὅταν πρὸς τὴν ἐνεργοῦσαν θεότητα τὴν ἀναφορὰν ἔχῃ, φησί, τοὔνομα τῆς ἐνεργείας, καὶ τὸν αὐτὸν ἐπιδέχηται λόγον τῇ οὐσίᾳ, καὶ αὐτενέργεια πρὸς τῶν ἁγίων καλεῖται· ἄλλως δ' οὐκ ἂν δήπου. Δυοῖν γὰρ θάτερον ἕποιτ' ἂν ἐξῆς, ἢ κτίσμα εἶναι, ἢ μὴ ὄν, καθὰ μοι καὶ ἀνωτέρω που τριχῇ τὴν τῆς ἐνεργείας φωνὴν διῃρῆσθαι συμπέπτωκεν, ὁμώνυμον οὖσαν. Εἶτα μετὰ τὴν πολλὴν κατὰ τῶν ἁγίων καὶ τοῦ ὀρθοῦ λόγου γλωσσαλγίαν ἐκείνην, Ἡμεῖς γάρ, φησίν, ἐπὶ τῆς ἁπλῆς καὶ θείας, ὡς ἔφημεν, φύσεως, μὴ δύο νοεῖν ἔχοντες ἄκτιστα, τῶν ἁγίων διαῤῥήδην ἀπαγορευόντων παντάπασιν, αὐτὸν εἶναι θέλησιν τὸν τοῦ Θεοῦ λέγομεν Λόγον, καὶ ταυτὸν οὐσίαν καὶ θέλησιν ἀκριβῶς.

Πᾶσαν ἐν τούτοις ὁ Γρηγορᾶς τὴν ἑαυτοῦ αἵρεσιν, C μᾶλλον δὲ τὰς αἱρέσεις ἀθρόας ἐξήμεσε. Καὶ εἰ μηδὲ ἄλλο τι τῶν κατὰ τῆς εὐσεβοῦς ἡμῶν πίστεως, καὶ δὴ καὶ τῶν ταύτης θεολόγων τε καὶ διδασκάλων ῥηθέντων αὐτῷ καὶ γραφέντων ἦν, ἤρκεσεν ἂν ταῦτα διαγράψαι τοὔνομα τῆς βίβλου τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς, καὶ τοῦ καταλόγου τῆς Ἐκκλησίας αὐτὸν ἐκβαλεῖν, καὶ μακράν που θεῖναι τῶν αὐτῆς ἱερῶν περιβόλων. Ὅρα καὶ γὰρ τὸν τῆς δυσσεβείας πονηρὸν τόκον. Ὅταν μὴ πρὸς τὴν ἐνεργοῦσαν, φησί, θεότητα τὸ τῆς ἐνεργείας ὄνομα τὴν ἀναφορὰν ἔχῃ, μηδ' ἀντὶ τῆς οὐσίας ἐκλαμβάνηται τοῖς ἁγίοις, δυοῖν θάτερον ἕποιτ' ἂν ἐξῆς, ἢ κτίσμα εἶναι, ἢ μὴ ὄν. Ἆρα τετόλμηκέ τις τῶν ἀρχαίων τε καὶ προσφάτων αἱρετικῶν τοιαῦτά ποτε; D Βαρλαὰμ μὲν γὰρ καὶ Ἀκίνδυνος οἱ τοῦ φιλοσόφου τούτου πατέρες καὶ ὁδηγοὶ καὶ καθηγηταὶ τὴν δυσσέβειαν, τοὺς μὲν περὶ Εὐνόμιον τὸν Γαλάτην, καὶ δὴ καὶ Μονοφυσίτας τε καὶ Μονοθελήτας, ἐῶ γὰρ νῦν λέγειν καὶ τοὺς πρὸ τούτων Ἄρειόν τε καὶ Σαβέλλιον καὶ τὸν Πνευματομάχον Μακεδόνιον, ἐν ἄλλοις τε πολλοῖς ὑπερήλασαν, καὶ δὴ καὶ τῷ εἰς κτίσιν τολμῆσαι καταγαγεῖν τὰ τοῦ Θεοῦ φυσικά, καὶ κτίσμα φανερῶς εἰπεῖν τὴν ἐνέργειαν τοῦ Θεοῦ, καὶ αὐτήν φημι τὴν αὐτοῦ θεότητα. Οὗτος δὲ ὡς ἂν ἐπιδαψιλεύσηται τῇ κακοδοξίᾳ, καὶ μὴ δόξῃ τὰ πάντα ἐκείνοις ἕπεσθαι, καὶ μάτην ἐπισύρεσθαι τὸ τῆς φιλοσοφίας ἢ ψευδοσοφίας ὄνομα, οὐ κτιστὴν μόνον εἰρήκει τὴν ἐνέργειαν τοῦ Θεοῦ, ἀλλὰ καὶ τοῖς μὴ οὖσιν αὐτὴν συνέταξε. Δυοῖν καὶ γάρ, φησί, θάτερον ἕποιτ' ἂν ἐξῆς, ἢ κτίσμα εἶναι τὴν ἐνέργειαν τοῦ Θεοῦ, ἢ μὴ ὄν.

Καὶ πόθεν, εἰπέ μοι, φιλόσοφε, τὴν θεολογίαν ταύτην ἀκήκοας; Τίνων εὐαγγελιστῶν; Ποίων ἀποστόλων καὶ προφητῶν; Τίνων θεολόγων καὶ διδασκάλων ἐκμαθὼν ἔχεις ταῦτα, ὅτι ἡ τοῦ Θεοῦ φυσικὴ ἐνέργεια· περὶ γὰρ ταύτης ἡμῖν τε καὶ τοῖς ἡμῶν θεοφόροις διδασκάλοις ὁ πᾶς λόγος· εἰ μὴ αὐτὴ ἡ τοῦ Θεοῦ φύσις εἴη, ἢ κτίσμα ἐστίν, ἢ μὴ ὄν; Περὶ μὲν γὰρ ἐνεργείας Θεοῦ καὶ κτίσματος ἄλλα τε πλεῖστα τῶν θεολόγων διδασκάλων τὰ μὲν ἤκουσας ἤδη ῥηθέντα, τὰ δὲ καὶ μετ' ὀλίγον ἀκούσεις ὡσαύτως· καὶ πρὸς τοῖς ἄλλοις κἀκεῖνό φημι, τὸ ὅτι δεῖ τὰ φυσικὰ κατάλληλα ταῖς φύσεσιν εἶναι, καὶ ὅτι εἰ κτιστὴ ἡ ἐνέργεια, καὶ κτιστὴν δηλώσει φύσιν, εἰ δὲ ἄκτιστος, ἄκτιστον χαρακτηρίσει οὐσίαν. Ὅτι δὲ καὶ μὴ ὂν ἔφης εἶναι τὴν ἐνέργειαν τοῦ Θεοῦ, τοῦτο σχεδὸν οὐδὲ βλασφημίαν, οὐδὲ αἵρεσίν ἐστι κυρίως εἰπεῖν· ἄνοιαν δὲ μᾶλλον καὶ μέθην, καὶ φρενῶν ἔκστασιν, καὶ παραφροσύνην τοῦ λέγοντος, καὶ ὅσα τοιαῦτα. Τὴν μὲν γὰρ ἐνέργειαν οὐ θεολόγοι μόνον, καὶ θεοφόροι, καὶ σοφῶν καὶ φιλοσόφων χοροί, ἀλλὰ καὶ πᾶς ἁπλῶς ὁ νοῦ γεγευμένος καὶ λόγου, δύναμιν καὶ κίνησίν φασι φυσικήν, ἧς ἐστέρηται μόνον τὸ μὴ ὄν. Καὶ θαῦμά γε ἂν εἴη, μᾶλλον δὲ καὶ γέλωτος ἀφορμὴ κατὰ τῶν ἐκεῖνα λεγόντων, εἰ ἡ τὸ μὴ ὂν διὰ τῆς ἑαυτῆς ἀναχωρήσεως οἱονεὶ καὶ στερήσεως ἀποδεικνῦσα μηδαμῶς ὄν, καὶ αὖθις τὸ ὂν συνιστᾶσα καὶ ὂν ἀποδεικνῦσα δι' ἑαυτῆς, φυσικὴ δύναμις καὶ ἐνέργεια, αὐτή γε ἂν εἴη μὴ ὂν κατὰ σέ· ὥσπερ ἂν εἴ τις ἔλεγε τὴν τὰ σώματα ζωοῦσαν ψυχὴν ἐρήμην εἶναι ζωῆς, καὶ τὴν κίνησιν καὶ τὴν δύναμιν ἀκίνητόν τε καὶ ἀδύνατον αὖθις, ἢ καὶ τὸν τῆς ἡμέρας ποιητικὸν τοῦτον ἥλιον φωτὸς ἄμοιρον πεφυκέναι.

Καίτοι γε καὶ Γρηγόριος ὁ Νύσσης, μᾶλλον δὲ τῆς οἰκουμένης διδάσκαλος καὶ φωστήρ, πρὸς τοῖς ἄλλοις κἀκεῖνο θαυμασίως καὶ ὑψηλῶς ἄγαν φησίν, ὅτι τοῦ Θεὸν ἐν σαρκὶ πεφανερῶσθαι ἡμῖν ὁ τὰς ἀποδείξεις ἐπιζητῶν πρὸς τὰς ἐνεργείας βλεπέτω. Καὶ γὰρ τοῦ ὅλως εἶναι Θεὸν οὐκ ἄν τις ἀπόδειξιν ἑτέραν ἔχοι πλὴν τῆς δι' αὐτῶν τῶν ἐνεργειῶν μαρτυρίας.

Τί οὖν, ὦ σοφὲ Γρηγορᾶ, ἐκ τοῦ μὴ ὄντος ἀπεδείχθη ἡμῖν ἡ ἐν σαρκὶ παρουσία, καὶ ὑπὲρ φύσιν φανέρωσις τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ; Ἀλλὰ τοῦ εἶναι Θεὸν ὅλως οὐκ ἄλλην ἔχομέν τινα ἀπόδειξιν ἢ τὸ μὴ ὄν; Ταῦτα καὶ γὰρ αὐτὸς κατασκευάζεις, μὴ ὂν εἶναι λέγων τὴν ἐνέργειαν τοῦ Θεοῦ, καθά φησιν ὁ θεολόγος οὗτος διδάσκαλος.

Ἀλλ' ὁ κοινὸς τῆς Χριστοῦ Ἐκκλησίας ἥλιος καὶ διδάσκαλος οὐχ οὕτω τὰ τοιάδε φησίν, ἀλλὰ πῶς; « Ἐκ μεγέθους, φησί, καὶ καλλονῆς τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς καθορᾶται· καὶ τὰ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Ἅπερ οἱ θεολόγοι Πατέρες ἀναπτύσσοντες τοῖς ἑαυτῶν λόγοις, καθὰ καὶ ἡμῖν ἐν τοῖς φθάσασιν ἤδη δέδεικται, τὴν δημιουργὸν αὐτοῦ δύναμιν καὶ τὴν πρόνοιαν καὶ τὴν θεοποιὸν ἐνέργειαν εἶπον. Σὺ δὲ μὴ ὂν ταῦτα λέγων, δῆλος εἶ θεοποιῶν οὐδὲ κατὰ τοὺς Ἕλ-

Digitized by Google

λήνας γοῦν τὸ μὴ ὂν Θεόν. Ἐκεῖνοι μὲν γὰρ τοῖς μὴ οὖσι θεοῖς λατρεύοντες ἦσαν κακῶς, καθά φησιν ὁ Ἀπόστολος· σὺ δὲ θεοποιῶν, ὡς φῄς, οὐ τὸ μὴ ὂν Θεὸν, ἀλλὰ τὸ μηδαμῇ μηδαμῶς ὂν, πῶς οὐχὶ κἀκείνους ὑπερβαίνεις τῇ ἀθεΐᾳ; Ὅθεν οὐδὲ δίκαιος ἂν εἴης ἔτι δυσχεραίνειν πρὸς τὰ τῆς συνόδου τε καὶ τοῦ τόμου, λεγόντων εἰς τὸ ἀνύπαρκτόν σε πιστεύειν, μηδαμῇ μηδαμῶς ὂν λέγοντα τὴν ἐνέργειαν τοῦ Θεοῦ. Τὸ γὰρ μηδαμῇ μηδαμῶς κατ' ἐνέργειαν ὂν οὐδὲν ἄλλο ἢ μηδαμῇ μηδαμῶς κατὰ φύσιν ἐστὶν, ἐπειδὴ καὶ ἀπὸ τῆς ἑκάστου, φησὶν, ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται, καὶ κατάλληλα δεῖ ταῖς φύσεσιν εἶναι τὰ φυσικά. Ἄλλως τε οὐδὲ ἐνέργειάν τινα ἄλλην εἶναί φασιν οἱ αὐτοὶ θεολόγοι μέσον κτιστῆς καὶ ἀκτίστου, ὥσπερ οὐδὲ φύσιν. Σὺ δὲ θαυμασίως καινὴν ἐξεῦρες ἐνέργειαν ἐξεναντίας δήπουθεν τοῖς κακῶς ἐκεῖνα θεολογήσασι, τὸ μὴ ὄν. Καὶ οὐδὲ μέχρι τῶν εἰρημένων ἤδη τὴν κενὴν ἑαυτοῦ θεολογίαν ἢ θεομαχίαν ὁ Γρηγορᾶς ἔστησεν, ἀλλὰ καὶ αὐτὴν τὴν φυσικὴν θέλησιν τῆς τρισυποστάτου θεότητος ὅσον τὸ καθ' ἑαυτὸν ἀναιρεῖ. Φησὶ καὶ γὰρ, Αὐτὸν εἶναι θέλησιν λέγομεν τὸν τοῦ Θεοῦ Λόγον, καὶ ταυτὸν οὐσίαν εἶναι καὶ θέλησιν ἀκριβῶς. Καὶ ἡ τῆς θεολογίας ἢ κενοφωνίας ὑπόθεσις ὡς λίαν ὑψηλή τε καὶ ἀσφαλής. Ἵνα γὰρ, φησὶν, μὴ δύο τὰ ἄκτιστα νοεῖν ἔχωμεν, τῶν ἁγίων διαῤῥήδην ἀπαγορευόντων παντάπασι.

Καὶ τίς ἐστιν ὁ λέγων, φιλόσοφε, δύο ἢ πολλὰ τὰ ἄκτιστα; Εἰ γὰρ τοὺς λέγοντας τὰ φυσικὰ τοῦ Θεοῦ ἄκτιστα, τούτους φῄς δύο καὶ πολλὰ ἄκτιστα λέγειν, ἀλλ' οὐχ ἡμεῖς, οὐδὲ ὁ τῆς Ἐκκλησίας ἱερὸς τόμος, ἀλλ' ὁ χορὸς μᾶλλον τῶν θεολόγων Πατέρων καὶ διδασκάλων ἐστὶ, Κατάλληλα δεῖ ταῖς φύσεσιν εἶναι, λεγόντων, τὰ φυσικὰ, καὶ ὅτι οὐδὲν τῶν ἐν τῷ Θεῷ τι κτιστὸν, ὡς οὐδὲ τῶν ἐν τῷ ἀνθρώπῳ τι ἄκτιστον. Τί δὲ καὶ ὁ στεῤῥὸς τῆς Ἐκκλησίας στῦλος Ἀθανάσιος, λέγων, ὡς καὶ αὐτὸς παρ' ἡμῶν εἰρημένον χθὲς ἤκουσας, ὅτι οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφησεν ὁ Χριστὸς τὸ, *Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστιν*, ἀλλ' ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρὸς, ἴδια ἑαυτοῦ ὁ Κύριος ἔφησεν εἶναι; Τί δὲ ὁ τῆς εὐσεβείας ὁμολογητὴς Μάξιμος ὁ σοφὸς, Ἔστι πρᾶγμα, λέγων, ὑπὲρ αἰῶνας ἡ τοῦ Χριστοῦ βασιλεία; Οὐ γὰρ δὴ θέμις, φησὶ, λέγειν ὑπὸ αἰώνων ἢ χρόνων τὴν τοῦ Θεοῦ φθάνεσθαι βασιλείαν. Σὺ δὲ δύο καὶ πολλὰ φάσκων ἄκτιστα λέγειν τοὺς μετὰ τῆς θείας οὐσίας καὶ τὰ φυσικὰ καὶ ἴδια ταύτης θεοπρεπῶς ἄκτιστα λέγοντας, ταυτόν τι λέγεις, ὥσπερ ἂν εἰ καὶ πολλούς τις ἔλεγε θεοὺς τὴν Ἐκκλησίαν πρεσβεύειν, διὰ τὸ Θεὸν τέλειον ἑκάστην τῶν τριῶν θεαρχικῶν ὑποστάσεων καὶ εἶναι καὶ λέγεσθαι παρ' αὐτῆς, ἢ καὶ Παρακλήτους πολλοὺς λέγειν ὡσαύτως, τὰς ἑπτὰ τοῦ Πνεύματος ἐνεργείας ἑπτὰ Πνεύματα λέγουσαν, ἢ καὶ τρεῖς ἡμᾶς εἶναι λέγειν ἡλίους, ἐπειδὴ πρὸς τῷ δίσκῳ καὶ τὴν ἀκτῖνα καὶ τὸ φῶς ἥλιον ἡμῖν εἴθισται λέγειν. Ἀλλ' ὥσπερ οὔτε διὰ τὰς τοῦ Πνεύματος φυσικὰς δυνάμεις πολλὰ τὰ Πνεύματα, ἀλλ' εἷς Θεὸς ἡμῖν ὁ Παράκλητος, σὺν Πατρὶ καὶ Υἱῷ δοξαζόμενος,

A ὡς δὲ καὶ ὁ αἰσθητὸς ἥλιος εἷς, οὕτω καὶ τῶν φυσικῶν αὐτοῦ δυνάμεων λεγομένων, ὃ δὴ κἂν τοῖς φθάσασιν ἡμῖν εἴρηται, οὕτω καὶ τῶν φυσικῶν τοῦ Θεοῦ θεοπρεπῶς λεγομένων ἀκτίστων οὐ πολλὰ τὰ ἄκτιστα, οὐδὲ πολλοὶ θεοὶ κατὰ τὰς σὰς ἐρεσχελίας τε καὶ συκοφαντίας· ἀλλ' ἓν τὸ ἄκτιστον, καὶ εἷς ὁ τρισυπόστατος καὶ ἐνεργὸς καὶ θελητικὸς καὶ παντοδύναμος Θεός. Μᾶλλον δ' εἰ μὲν ἐκεῖνα λέγεις ἄκτιστα κατὰ τὴν ἱερὰν θεολογίαν, ἓν τὸ ἄκτιστον λέγεις, καὶ ἕνα τὸν τρισυπόστατον Θεόν. Εἷς γὰρ καὶ μόνος καὶ ἀδιαίρετος, καὶ ἀσύγχυτος ὁ τρισυπόστατος Θεὸς ἀκριβῶς, ἡ θεία, φημὶ, φύσις σύν γε τοῖς ἑαυτῆς φυσικοῖς καὶ ἰδίοις, ὥσπερ καὶ ὁ ἥλιος εἷς ἅμα τοῖς φυσικῶς αὐτῷ συνοῦσι τῇ ἀκτῖνι, λέγω, καὶ τῷ φωτί. Εἰ δὲ τὰ φυσικῶς

B προσόντα τῷ Θεῷ φαίης κτιστὰ, οὐχ ἓν τὸ ἄκτιστον λέγεις, καθάπερ ὑπέλαβες, ἀλλ' οὐδέν. Τῶν γὰρ φυσικῶν πεφυκότων κτιστῶν οὐδεμιᾷ μηχανῇ ποτ' ἂν ἡ αὐτῶν φύσις ἄκτιστος γένοιτο, ὥσπερ οὐδ' ἀκτίστων ὄντων ἐκείνων, τὴν φύσιν οἷόν τε τυγχάνειν κτιστὴν, ὡς οὐδὲ τῆς ἀκτῖνος ἀχλυώδους τινὸς καὶ ζοφερᾶς φαινομένης, ὁ ἥλιος κατὰ φύσιν ἂν εἴη λαμπρὸς, ἢ λαμπρᾶς τοὔμπαλιν καὶ κατὰ φύσιν προϊούσης ἐκείνης, ἀλαμπῆ τινα καὶ σκοτεινὸν πεφυκέναι τὸν φυσικῶς ἐκείνην ἀναβλύζοντα ἥλιον. Τί δέ; οὐχὶ καὶ τρία ἄναρχα καὶ συναΐδια τῶν ἁγίων ἀκούομεν τρανῶς ἐπ' ἐκκλησίας θεολογούντων τὸν κατ' οὐσίαν ἕνα Θεὸν, τὸν Πατέρα φημὶ καὶ τὸν Υἱὸν

C καὶ τὸ Πνεῦμα τὸ ἅγιον; πολλὰ γοῦν καὶ διὰ τοῦτο τὰ ἄκτιστα καὶ πολλοὶ θεοί;

Ἀλλὰ καὶ ὑποστατικὴν ὁ Γρηγορᾶς, οὐ φυσικὴν ἐλέγχεται φανερῶς λέγων τὴν θείαν θέλησιν, τὸν Υἱὸν εἶναι λέγων μόνην θέλησιν τοῦ Πατρὸς, ὅπερ οἱ Μονοθελῆται πάλαι κακῶς λέγοντες ἦσαν. Ἐκείνων καὶ γὰρ τὰς δύο θελήσεις ἀπαγορευόντων ἐπὶ Χριστοῦ, καὶ λεγόντων ἄλλα τε πλεῖστα, καὶ ὅτι τοῖς θελήμασιν οἱ θέλοντες συνεισάγονται, καὶ κίνδυνος ἐκ τούτου καὶ δύο τοῦ Χριστοῦ λέγειν τὰς θελούσας ὑποστάσεις, ὥσπερ ἄρα καὶ δύο θελήματα, οἱ θεολόγοι Πατέρες εὐθὺς ἀντεπήγαγον· Εἰ ταῖς θελήσεσιν οἱ θέλοντες συνεισάγονται, καὶ τοῖς θέλουσι κατὰ τὴν δικαίαν ἀντιστροφὴν αἱ θελήσεις συνεισαχθήσονται. Καὶ οὕτω κατὰ τὸν ὑμέτερον, φησὶ, λόγον ἑτεροθελὴς ἡ ἁγία Τριὰς ἔσται, τοῖς τρισὶ θέλουσιν, ὥς φατε,

D τριῶν καὶ τῶν θελημάτων συνεισαχθέντων. Ὃ δὴ καὶ ὁ Γρηγορᾶς νῦν οὑτοσὶ κατεσκεύασε θέλησιν τοῦ Πατρὸς τὸν Υἱὸν εἶναι λέγων, οὐκ ἐνυπόστατον θέλησιν, ὥσπερ δὴ καὶ σοφίαν καὶ λόγον καὶ δύναμιν καὶ τὰ τοιαῦτα, κατὰ τὴν ἱερὰν θεολογίαν, ἀλλ' ἐπ' ἀναιρέσει τῆς μιᾶς φυσικῆς τῶν τριῶν θελήσεως, ὑπὲρ ἧς ἡμῖν καὶ ὁ λόγος.

Καὶ ἀνυπόστατον δὲ κατὰ τοῦτο τὸν Υἱὸν τοῦ Θεοῦ λέγει Γρηγορᾶς, ὅπερ οὐδ' εἰς νοῦν ἐπῆλθε τότε τοῖς Μονοθελήταις ἐκείνοις. Οὐδεμία γὰρ ἐνέργεια ἐνυπόστατος, τουτέστιν αὐθυπόστατος, φασὶν οἱ θεολόγοι Πατέρες· ἐνέργεια δὲ Θεοῦ καὶ ἡ θέλησις αὐτοῦ κατὰ τοὺς αὐτούς. Ὁ δ' αὐτὸς Γρηγορᾶς καὶ τὴν φύσιν αὐτὴν ἀκριβῶς εἶναι τοῦ Θεοῦ λέγει τὴν αὐτοῦ φυσικὴν θέλησιν.

Digitized by Google

Καὶ εἰ ὁ Υἱὸς τοῦ Θεοῦ, Γρηγορᾶ, ὡς ἔφης, ἐστιν ἡ τοῦ Θεοῦ θέλησις, ἔστι δὲ καὶ ἡ οὐσία αὐτὴ τοῦ Θεοῦ, ἡ αὐτοῦ θέλησις, καὶ τοῦτο κατὰ σὲ, ὁ Υἱός ἐστι λοιπὸν τοῦ Θεοῦ ἡ οὐσία τοῦ Θεοῦ· καὶ οὐκ ἔστι τρισυπόστατος, ὡς φῄς, ἡ θεία οὐσία, ἀλλὰ μία ἐστὶν ὑπόστασις, ἐκ τοῦ Πατρὸς γεννηθεῖσα· καὶ οὐχ ὑπόστασις θεία μίαν μόνην ὑπόστασιν ἐγέννησεν, ἀλλὰ τὴν κοινὴν τῶν τριῶν οὐσίαν, ὡς φῄς· καὶ ἔστιν οὐχ ἡ οὐσία ἐν τρισὶν ὑποστάσεσιν, ὡς ἄνωθεν ἐδιδάχθημεν, ἀλλ' ἡ οὐσία τῆς τρισυποστάτου θεότητος ἐκ τῆς ὑποστάσεως γεννηθεῖσα τοῦ Πατρὸς κατὰ σέ. Θέλησιν καὶ γὰρ εἰπὼν τοῦ Θεοῦ τὸν αὐτοῦ Λόγον μόνην, εἶτ' ἐπήγαγες, ταυτὸν εἶναι θείαν οὐσίαν καὶ θείαν θέλησιν ἀκριβῶς, μηδὲ τοῦ θείου Μαξίμου λέγοντος ἀκούσας, ὅτι αἱ ἐνέργειαι οὐκ εἰσὶν οὐσίαι, οὐδὲ καθ' ἑαυτὰς, ἀλλ' ἐν τῇ οὐσίᾳ τυγχάνουσιν. Εἰ οὖν οὐσία ἐστὶν ἡ ἐνέργεια κατὰ Γρηγορᾶν, ἡ δὲ ἐνέργεια κατὰ τὸν προῤῥηθέντα θεολόγον καθ' ἑαυτὴν οὐκ ἔστιν, ἀλλ' ἐν τῇ οὐσίᾳ, ἡ οὐσία λοιπὸν κατ' ἐκεῖνον καθ' ἑαυτὴν οὐκ ἔστιν, ἀλλ' ἐν τῇ οὐσίᾳ, καὶ ἀπώλεσε μετὰ Θεοῦ, φεῦ! ὁ φιλόσοφος καὶ τὸν ὅρον αὐτὸν τῆς ἁπλῶς οὐσίας, τὰ προοίμια τῆς ἐπιστήμης αὐτοῦ, πρᾶγμα αὐθύπαρκτον εἶναι τὴν οὐσίαν ὁριζομένης, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, καὶ τοῦτο μετὰ πολλοῦ τοῦ γέλωτος καὶ τῆς τῶν λεγόντων αἰσχύνης. Οὐ γὰρ περί τι ἀλλοῖον ἡ οὐσία αὐτὴ ἡ καὶ ἐνέργεια κατ' αὐτοὺς θεωρεῖται, ἀλλὰ περὶ τὴν οὐσίαν, οὐκ ἔχω λέγειν εἴτε ἑτέραν, εἴτε καὶ ἑαυτήν. Ἄλλως τε καὶ τῆς θείας θελήσεως οὐ φυσικῆς δυνάμεως οὔσης, οὐδὲ ἐν τῇ οὐσίᾳ θεωρουμένης, οὐδὲ διαφερούσης τῆς οὐσίας κατ' αὐτὸ τοῦτο, καθά φασιν οἱ θεολόγοι διδάσκαλοι, ἀλλὰ τῆς τοῦ Υἱοῦ μᾶλλον ὑποστάσεως οὔσης κατὰ Γρηγορᾶν τῆς τοῦ Θεοῦ θελήσεως, καὶ οὐκ ἄλλης ἢ τῆς θείας οὐσίας καὶ τῆς θείας θελήσεως ταυτόν τι καὶ ἐν ἀκριβῶς οὔσης κατὰ τὸν αὐτὸν, πρός γε τοῖς συναγομένοις ἄλλοις ἀτόποις, οὐδ' οὕτω τὴν διαφορὰν ἐκφυγεῖν ὁ φιλόσοφος δύναται.

Ἐπειδὴ γὰρ οὐσία καὶ ὑπόστασις οὐ ταυτὸν κατά γε τὸν τῆς εὐσεβείας ἀληθῆ λόγον, ὅπερ καὶ Γρηγορᾶς ἴσως οὐκ ἂν ἀρνηθείη, εἴπερ ἡ οὐσία καὶ ἡ θέλησις ταυτόν τι κατὰ πάντα καὶ ἀδιάφορόν ἐστι κατ' αὐτὸν, ἰδοὺ καὶ κατ' αὐτὸν ἡ θέλησις αὐτὴ ἡ οὐσία οὖσα, οὐ πάντῃ ταυτὸν, ἀλλὰ διάφορόν ἐστιν, οὐ Πατρὸς μόνον, ἀλλὰ καὶ τῶν τριῶν ὑποστάσεων ὁμοῦ. Ἔτι δὲ κατὰ τὸν αὐτοῦ λόγον, εἰ ἡ θέλησις τοῦ Θεοῦ ὁ τοῦ Θεοῦ ἐστιν Υἱὸς, ἀλλ' οὐ φυσικὴ δύναμις κοινὴ τῶν τριῶν, ὥς φησιν ἡ θεολογία, οὐδ' οὕτως ἂν εἴη ταυτὸν καὶ ἀδιάφορον οὐσία καὶ θέλησις κατὰ Γρηγορᾶν, ἐπειδή γε οὐσία καὶ ὑπόστασις οὐ ταυτὸν, ὡς καὶ αὐτὸς ἂν εἴποι, ἀλλ' οὐδὲ Υἱὸς καὶ Πατὴρ καὶ Πνεῦμα ἂν εἴη ταυτὸν ἁπλῶς, μὴ καὶ λάθωμεν τὰ τοῦ Λίβυος καὶ αὐτοὶ παθόντες.

Τούτων δ' οὕτως ἐχόντων, πρὸς τοῖς ἄλλοις ἀτόποις, καθὰ δὴ καὶ προὔφην, οὐδὲ τὴν διαφορὰν τῆς οὐσίας καὶ τῆς θελήσεως ἐκφυγεῖν ὁ φιλόσοφος ἐδυνήθη, καὶ μάτην ὤπται κἀκεῖνα προστησάμενος ἑαυτοῦ. Οὐδὲ γὰρ ἵνα τὴν διαφορὰν τῆς θελήσεως καὶ τῆς οὐσίας, ἀλλὰ τὸ ἓν κατὰ πάντα καὶ ἀδιά- A φορον μᾶλλον κατασκευάσῃ, ἐπὶ τὸν τοῦ Θεοῦ Λόγον καὶ τὴν οὐσίαν κατέφυγεν. Ἀλλὰ μεθυόντων τε καὶ ἐξεστηκότων, οὐχὶ σωφρονούντων, οὐδὲ φιλοσοφούντων τὴν ἀληθινὴν φιλοσοφίαν τὰ τοιαῦτα, φιλόσοφε. Διὸ καὶ Γρηγόριος, ὁ λαμπρὸς τῆς θεολογίας ἀστὴρ, θελήσεως Υἱὸν τὸν τοῦ Θεοῦ μονογενῆ Λόγον κακῶς Ἀρειανῶν οἰομένων τε καὶ λεγόντων, Ἄλλο, φησὶ, γεννῶν καὶ γέννησις, θέλων καὶ θέλησις, λέγων καὶ λόγος, εἰ μὴ μεθύομεν, τὰ μὲν ὁ κινούμενος, τὰ δ' οἷον ἡ κίνησις. Ἀκούεις ὅτι καὶ κίνησις ἐπὶ Θεοῦ θεοπρεπὴς, καὶ ὁ κινούμενος ἄλλο παρὰ ταύτην τὴν κίνησιν; Διὰ τοῦτο καὶ Κύριλλος ὁ θεῖος, Φύσις καὶ ἐνέργεια οὐ ταυτὸν, ἔφη, καθάπερ ἤκουσας· καὶ Χρυσόστομος ὁ μέγας, Ἡ σοφία, φησὶν, ἐκ τῆς οὐσίας, οὐχ ἡ οὐσία ἐκ τῆς σοφίας. Καὶ πάλιν, Ὅταν ὁ λό- B γος, φησὶ, περὶ ἐνεργείας ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας. Οἷς δὴ καὶ ὁ θεοφόρος Δαμασκηνὸς ἑπόμενος τὴν μὲν θείαν γέννησιν ἔργον εἶπε τῆς θείας φύσεως, προαγούσης ἐξ ἑαυτῆς τὸ ὁμογενές τε καὶ ὁμοούσιον· τὴν δὲ κτίσιν θελήσεως ἔργον οὖσαν, καθάπερ ἤκουσας, μὴ συναΐδιον εἶναι τῷ Θεῷ. Καὶ πάλιν ὁ αὐτὸς, Ἰστέον, φησὶν, ὡς ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργῶν. Ἐνέργεια μὲν οὖν ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις, ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα, ἐνεργῶν δὲ ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις. Λέγεται δὲ, φησὶ, καὶ ἡ ἐνέργεια ἐνέργημα, καὶ τὸ ἐνέργημα ἐνέρ- C γεια.

Καὶ οἱ μὲν τῆς Ἐκκλησίας οὗτοι διδάσκαλοι, καὶ θεολόγοι καὶ κήρυκες τῆς κατ' εὐσέβειαν ἀληθείας, Φύσις καὶ ἐνέργεια, φασὶν, οὐ ταυτόν· καὶ ἄλλο ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ὅτι δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησίς ἐστιν ἡ ἐνέργεια· καὶ ὅτι ἐκ τῆς φύσεως ἡ ἐνέργεια πρόεισιν· ὁ δὲ Γρηγορᾶς ἅπαντα τἀναντία τούτοις ἐπίτηδες, ὅτι ταυτὸ, καὶ οὐκ ἄλλο, καὶ ἄλλο φύσις τε καὶ ἐνέργεια, καὶ ὅτι θέλησις θεία οὐκ ἄλλο ἢ ὁ τοῦ Θεοῦ Λόγος, καὶ ταυτὸν οὐσία καὶ θέλησις ἀκριβῶς. Εἰ δὲ μὴ πρὸς τὴν οὐσίαν, φησὶν, ἡ θέλησις ἀναφέροιτο, ὡς εἶναι ταυτὸν οὐσίαν δηλονότι καὶ θέλησιν, δυοῖν θάτερον ἐποιτ' ἂν ἐξῆς, ἢ κτίσμα εἶναι, ἢ μὴ ὄν. Καίτοι γε οἱ προῤῥηθέντες θεολόγοι ἐκ τῆς φύσεως εἶναι τοῦ Θεοῦ τὴν ἐνέργειαν D καὶ τὴν θέλησιν, καὶ δραστικὴν καὶ οὐσιώδη κίνησιν ταύτην εἶπον ἐκείνης, καθάπερ ἠκούσαμεν. Καὶ πῶς ἂν εἴη τὸ ἐκ τῆς ἀνάρχου καὶ θείας προϊὸν φύσεως, καὶ κίνησις ὂν αὐτῆς οὐσιώδης, καὶ δραστικὴ, ἢ κτίσμα ἢ μὴ ὂν, εἰ μὴ καὶ ἡ θεία καὶ ἀΐδιος φύσις, ἧς ἡ οὐσιώδης καὶ δραστικὴ κίνησις, καὶ ἐξῆς καὶ κτίσμα εἴη καὶ μὴ ὄν;

Ὅτι δὲ οὔτε οὐσία καὶ θέλησις, ἢ ἐνέργεια πάντῃ ταυτὸν καὶ ἀδιάφορον, ἀλλ' οὐδὲ κτίσμα, ἢ μὴ ὂν εἴη ἂν ἡ αὐτὴ κατὰ τὸν φιλόσοφον, διὰ πολλῶν μὲν ἤδη καὶ ἀναντιῤῥήτων ἡμῖν δέδεικται λόγων· δεῖ δὲ καὶ πρὸς τὴν τῶν οἰκουμενικῶν συνόδων ἔκτην ὡς εἰς ἔφεσιν ἀναδραμεῖν ἤδη τινὰ, ἐπειδὴ καὶ περὶ τῶν ἐν τῷ Χριστῷ θείων καὶ ἀνθρωπίνων ἐνεργειῶν τε καὶ θελημάτων ἅπας ὁ λόγος ἐκείνῃ, καὶ ὁ τῆς καθ'

Digitized by Google

ἡμᾶς συνόδου τόμος ἐξ ἐκείνης ὁρμᾶται μᾶλλον, A κἀκεῖθεν ὡσανεὶ τοὐνδόσιμον εἰληφὼς, οὕτω καὶ ἐπὶ τὰ πρόσω τῆς θεολογίας μετά γε τῆς ἀληθείας χωρεῖ. Μᾶλλον δ' ἐπεὶ καὶ Γρηγορᾶς ἐκείνης δοκεῖ πως μεμνῆσθαι διὰ τὴν ἀνάγκην ἴσως τὴν ἐκ τοῦ τόμου, τὰ ἐκείνου δὴ καὶ σκοπήσωμεν πρότερα, καὶ μάλιστα τὴν περὶ ἐνεργείας αὐτοῦ διαίρεσιν ὡς ὁμωνύμου φωνῆς· μᾶλλον δὲ ἃ κατὰ τῆς θείας ἐνεργείας ὡσανεὶ τύραννός τις μετ' ἐξουσίας ὁρίζεται καὶ νομοθετεῖ, τὰ τοῖς ἱεροῖς θεολόγοις περὶ τούτων θεοπρεπῶς εἰρημένα παρ' οὐδὲν θέμενος, πρὸ τῆς συνόδου δηλαδὴ θεωρήσωμεν. Τὴν γὰρ τῶν εἰσαγομένων παρ' ἐκείνου καὶ κατ' ἐκείνου λόγων τε καὶ ῥητῶν τῶν ἱερῶν θεολόγων πλατυτέραν ἐξέτασίν τε καὶ λύσιν, ἰδίᾳ μετὰ τοὺς ἀντιῤῥητικοὺς τουτουσὶ λόγους ποιήσασθαι πολλάκις ὑπέστημεν, ἐπειδὴ καὶ πυκτίων οὐκ ὀλίγων ἡμῖν καὶ ἀντιγράφων δεῖ πρὸς τὴν ἐκείνων ἰοῦσιν ἔρευναν, διά γε τὴν συνήθη κλοπὴν, φημὶ, καὶ τὰς παρεκτροπὰς καὶ διαστροφὰς τοῦ φιλοσόφου.

Φησὶ τοιγαροῦν αὐτὸς καὶ αὖθις, περὶ ἐνεργείας μυσταγωγῶν τὸν ἑαυτοῦ ἀκροατὴν Ἀγαθάγγελον· Λέγεται μὲν γὰρ ἐνέργεια ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ· λέγεται δ' οὖν ἐνέργεια καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Οὐκ ἀμφίβολον γὰρ, φησὶν ὁ πολὺς Ἀθανάσιος, ὅτι αὐτός ἐστιν ἡ τοῦ Πατρὸς ζῶσα βουλὴ, καὶ ἐνούσιος ἐνέργεια, καὶ Λόγος ἀληθινός.

Καὶ πάλιν, Ἑνὸς ὄντος τοῦ Υἱοῦ, φησὶ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι. C Κύριλλος δ' ὁμοίως καὶ αὐτὸς, Εἰ ὁ Υἱός ἐστι, φησὶν, ἡ ζῶσα καὶ οὐσιώδης ἐνέργεια καὶ δύναμις καὶ σοφία τοῦ Πατρὸς, ἐνέργεια καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ἐνέργεια λέγεται καὶ ἡ ἑκάστῳ τῶν ὄντων ἐνοῦσα φυσικὴ δύναμις, ὡς τὸ θερμαίνειν τῷ πυρὶ, καὶ ψύχειν τῇ χιόνι. Λέγεται καὶ τὸ τῆς ἐνεργητικῆς δυνάμεως ἀποτέλεσμα ἐνέργεια, καὶ ἔργον, καὶ ἐνέργημα, ὡς ἔργα καὶ ἐνέργειαι Θεοῦ γῆ καὶ οὐρανὸς, καὶ τὰ ἐν τούτοις. Φησὶ γὰρ καὶ ὁ θεῖος ἐκ Δασμασκοῦ Ἰωάννης, ὡς ἡ ἐνέργεια καὶ ἐνέργημα λέγεται, καὶ τοὐναντίον ἐνέργεια τὸ ἐνέργημα, ὡς καὶ τὸ κτίσμα κτίσις· καθ' ὃ σημαινόμενον καὶ τὸν οἶκον ἐνέργειάν φαμεν τοῦ οἰκοδόμου, καὶ τοῦ ναυπηγοῦ τὴν ὁλκάδα. Ἐνέργεια λέγεται καὶ τὸ μεταξὺ χρονικὸν διάστημα τῆς κινήσεως τοῦ τε οἰκοδόμου πρὸς τὸ οἰκοδομούμενον, καὶ τοῦ ναυπηγοῦ πρὸς τὸ πλοῖον· ὃ καὶ συμβεβηκὸς ὂν καθ' αὑτὸ, καὶ σχετική τις μεσότης τῶν ἄκρων ἀμφοῖν, τοῦ τε ἐνεργοῦντος καὶ τοῦ ἐνεργουμένου, συγκαταλήγει τῇ τῶν ἄκρων λήξει, καὶ οὐκέτι ἐστὶν οὐδέν· περὶ ἧς καὶ ὁ θεολόγος ἔφη θεῖος Γρηγόριος, ὡς ἐνεργηθήσεται, καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται, καθάπερ καὶ ἡ μεταξὺ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος ὅρασις, καὶ ἡ μέσον τοῦ γευομένου καὶ τοῦ γευστοῦ γεῦσις.

Εἶτα μεταξὺ καὶ ἕτερ' ἄττα σημαινόμενα τῆς ἐνεργείας προσθεὶς ὁ φιλόσοφος, ὡς οἴεται μέχρι τῶν δέκα, τὰ μὲν ἐκ τῆς τῶν ἁγίων αὐτῷ θεολογίας εἰλημμένα, τὰ δὲ καὶ παραφθέγματα μᾶλλον αὐτοῦ ἢ φθέγματα καὶ νοήματα, καθὰ δὴ καὶ τῶν προῤῥηθέντων αὐτῷ τὰ πλεῖστα, ἃ δὴ καὶ ὡς κενὸν ὄχλον ῥημάτων καὶ οὐδὲν ὄντα πρὸς τὸ προκείμενον ὁ λόγος ἡμῖν παρῆκεν, εἶτ' ἐπάγει κἀκεῖνα· Τοσούτων τῶν τῆς ἐνεργείας ὄντων σημαινομένων περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φιλοσοφῶν ὁ θεῖος ἐκ Δαμασκοῦ Ἰωάννης, Ἡ τῶν θαυμάτων, φησὶ, δύναμις τῆς θεότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια. Ἡ δὲ χειρουργία, καὶ τὸ θελῆσαι, καὶ τὸ εἰπεῖν, *Θέλω, καθαρίσθητι*, τῆς ἀνθρωπότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια. Ἀποτέλεσμα δὲ τῆς ἀνθρωπίνης ἐνεργείας ἡ τῶν ἄρτων κλάσις, καὶ τὸ ἀκοῦσαι τὸν λεπρόν· τῆς δὲ θείας ἐνεργείας ὁ τῶν ἄρτων πληθυσμὸς καὶ ἡ τοῦ λεπροῦ κάθαρσις.

B Καὶ ταῦτα μὲν ὁ Γρηγορᾶς· ἡμᾶς δ' ἀναγκαῖον ἐκεῖνον ἐρέσθαι, καὶ τίνος χάριν, ὦ φιλόσοφε, τοῦ ἐκ Δαμασκοῦ τουτουὶ διδασκάλου, καὶ δὴ καὶ τῶν σὺν αὐτῷ καὶ πρὸ αὐτοῦ θεολόγων, οὓς καὶ αὐτὸς μετὰ τοῦτον αὐτὸν προφέρεις ἑξῆς, περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς κατ' αὐτὸν ἐνεργείας, ὡς καὶ αὐτὸς ἔφης, φιλοσοφούντων, μὴ καὶ αὐτὸς κατ' ἐκείνους περὶ αὐτῆς ταύτης διαλέγῃ καὶ γράφεις, περὶ γὰρ αὐτῆς τῇ τε συνόδῳ καὶ τῷ σεπτῷ τόμῳ καὶ ἡμῖν ἅπας ὁ λόγος, οὐ περὶ ἄλλης, ἀλλὰ τῶν προκειμένων ἐπίτηδες ὥσπερ ἀφέμενος, πολλοὺς περιβάλλῃ κύκλους, καὶ ὁμωνύμους περιεργάζῃ φωνὰς, καὶ τὴν περιττὴν ἐκείνην ἀδολεσχίαν, καὶ τὰς κενὰς καὶ ἀχρήστους διαιρέσεις καὶ ἐξηγήσεις ἐπεισάγεις τῷ λόγῳ; Εἰ δὲ καὶ περὶ πάσης ἐνεργείας, ὡς φῄς, θείας τε καὶ ἀνθρωπίνης ἐβουλήθης εἰπεῖν, καὶ διδάξαι τὸν σὸν ἑταῖρον, διατί μὴ τὸν προῤῥηθέντα διδάσκαλον, τὸν θεῖον Ἰωάννην φημὶ, μᾶλλον καὶ τοὺς ἐκείνου περὶ ἐνεργείας λόγους καὶ τὰς διαιρέσεις καὶ τὴν θεολογίαν εἰς τὸν λογικὸν ἀγῶνα τοῦτον εἰσήγαγες; Ἐδόκεις γὰρ ἂν οὕτω πάσης ἐκτὸς ὑποψίας εἶναι, καὶ τὰ εἰκότα καὶ κατὰ λόγον ποιεῖν. Νῦν δὲ πᾶν σοι τοὐναντίον ἔκ γε τῶν λόγων ἐκείνων ἐξέβη. Καὶ εἰ μὲν μὴ τοῦτ' αὐτὸ πρόθεσις ἦν ἐκείνῳ τῷ θεολόγῳ, τὸ περὶ θείας ἐνεργείας φιλοσοφῆσαι φημι, καὶ διαστεῖλαι ὁμωνυμίας, καὶ θείαν καὶ ἀνθρωπείαν, καὶ κτιστὴν καὶ ἄκτιστον ἐνέργειαν ἀπ' ἀλλήλων διελεῖν, καὶ τί μὲν ἐνέργεια, τί δ' ἀποτέλεσμα, καὶ τί ἐνεργητικὸν, καὶ τί ἐνεργῶν εἰπεῖν, εἶχεν ἄν τινα καὶ παραιτήσεως λόγον D ἴσως ἐκεῖνα τὰ σά· νῦν δὲ πρὸς ἐκεῖνα βλέπων ὁ διδάσκαλος πάσῃ τῇ προθυμίᾳ, καὶ τοῦτο προὔργου τῶν ἄλλων ποιούμενος ἐν ἐκείνοις, τὸ μὴ μόνον δι' αὐτὸς αὐτοῦ, ἀλλὰ καὶ διὰ τῶν πρὸ αὐτοῦ θεολογικῶν τε καὶ πατρικῶν λόγων, καὶ τὴν Ἐκκλησίαν Χριστοῦ ταῦτα διδάξαι, καὶ τοῖς ἀντιλέγουσι τούτοις ἀντικαταστῆναι καὶ διελέγξαι, οὐδὲ παραιτεῖσθαί σε γοῦν συγχωρεῖ. Ὅρα καὶ γάρ· περὶ μὲν τῶν ἐνεργειῶν τῶν ἐν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τὸν ἑαυτοῦ λόγον ὁ διδάσκαλος ἐπιγράφει, ᾧ δὴ καὶ αὐτὸς οὐκ ἂν διαγράψαις, οὐδ' ἀντείποις ποτὲ, πολλὰ δὲ περὶ θείας καὶ ἀνθρωπείας εἰπὼν ἐνεργείας δι' ὅλου τοῦ λόγου, αὗται καὶ γὰρ αἱ τοῦ ἑνὸς Χριστοῦ διτταὶ δηλονότι ἐνέργειαι, ὥσπερ δὴ καὶ αἱ φύσεις, οὐδαμοῦ τὸν Υἱὸν τοῦ Θεοῦ, ἢ τὸ ὁμοούσιον αὐτοῦ Πνεῦμα

Digitized by Google

ἐνέργειαν ὅλως εἶπεν. Ἢ παρελθὼν αὐτὸς ταῦτα δεῖξον, καὶ ἡμεῖς σιγήσομεν. Ἀλλ' οὐκ ἄν ποτε σχοίης. Σὺ δὲ περὶ τῆς τοῦ Χριστοῦ ἐνεργείας ἀρξάμενος λέγειν, περὶ γὰρ ταύτης ἡμῖν τε καὶ σοὶ πᾶς ὁ προκείμενος λόγος, καθὰ δὴ καὶ προὔφην, ἐκείνης φημὶ τῆς φυσικῆς ἐνεργείας, ἣν μετὰ Πατρός τε καὶ Πνεύματος ὡς Υἱὸς μονογενὴς ἔχει καὶ Θεὸς ὁμοούσιος, ἐκ πρώτης βαλβῖδος εὐθὺς, Λέγεται μὲν ἐνέργεια, ἔφης, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ· λέγεται δ' οὖν ἐνέργεια καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ τούτοις ἑξῆς τοὺς θεολόγους Ἀθανάσιόν τε καὶ Κύριλλον εἰς μαρτυρίαν δῆθεν ἐπεισάγεις τῶν σῶν λόγων· καὶ ἣν ἐνέργειαν ἐν τοῖς φθάσασιν ἔλεγες τὸν Λόγον εἶναι τοῦ Θεοῦ, καὶ ταυτὸν οὐσίαν καὶ θέλησιν ἀκριβῶς, νῦν αὖθις μεταβαλὼν ἐνέργειαν τοῦ Θεοῦ λέγεις ἐκείνης εἶναι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ B ἅγιον, ἀπορίαις ἀπορίας συνάπτων καὶ συγχύσεις συγχύσεσι, τῶν προλαβουσῶν πολλῷ σκοτεινοτέρας καὶ ἀδιανοήτους.

Εἰπὲ γάρ· ᾔδει καὶ ὁ σοφὸς Ἰωάννης ἐνέργειαν ἐκ τῶν οὐ τοῖς πρὸ αὐτοῦ θεολόγοις Πατράσι ῥηθέντα τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα, ἢ οὐκ ᾔδει; Καὶ εἰ μὲν τὸ δεύτερον φῂς, βλασφημεῖς ἄντικρυς κατὰ τοῦ τῆς Ἐκκλησίας κοινοῦ διδασκάλου, μὴ εἰδέναι λέγων αὐτὸν ἐκεῖνα, περὶ ὧν δὴ καὶ διδάσκειν προὔθετο· εἰ δὲ ᾔδει, καθάπερ ᾔδει, καὶ οὐδεὶς ποτ' ἀντερεῖ νοῦν ἔχων, τίνος χάριν μὴ καὶ αὐτὸς αὐτὰ δὴ ταῦτα κατὰ σὲ προὐστήσατο, καίτοι γε τὰ προκείμενα ταῦτα πεποιημένος καὶ αὐτὸς ὑπόθεσιν τοῦ οἰκείου λόγου, καὶ τὰ περὶ τῶν ἐνεργειῶν τοῦ Χριστοῦ σκοC πούμενος, ὡς αὐτὸς οὗτός φησιν. Ἢ γὰρ ἡμῖν, ἢ τοῖς εἰποῦσιν ἐκείνοις φθονῶν ἐπίτηδες πάντως ἐκεῖνα σεσίγηκεν. Εἰ δὲ ταῦτα κἂν ὁ διάβολος αἰδεσθεὶς κατὰ τοῦ τῆς Ἐκκλησίας εἰπεῖν διδασκάλου, καὶ ἅμα τοῦ σκοποῦ καὶ τῆς προθέσεως ἐκείνου πόῤῥω γε ὄντα, τὸ γὰρ προκείμενον αὐτῷ, καὶ ὁ τοῦ A βιβλίου παντὸς λόγος τὴν εὐαγγελικήν τε καὶ ἀποστολικὴν θεολογίαν τε καὶ τὴν πίστιν ἔκ τε παλαιᾶς καὶ νέας Γραφῆς, καὶ δὴ καὶ τῶν πρὸ αὐτοῦ Πατέρων καὶ θεολόγων τὴν Χριστοῦ Ἐκκλησίαν διδάξαι, καὶ μηδὲν μὲν ἐπεισαγαγεῖν παρ' ἑαυτοῦ τοῖς ἱεροῖς δόγμασι, πάντα δ' ἐκείνοις ἐπιτρέψαντα, συναγαγεῖν μόνον αὐτὸν καὶ συντεμεῖν καθόσον οἷόν τε τὰ διὰ μακρῶν καὶ σποράδην ἐκείνοις ῥηθέντα, καὶ οὕτω καθ' εἱρμόν τινα καὶ τάξιν ἕτοιμα τοῖς φιλομαθέσι προθεῖναι, ταῦτα καὶ γὰρ αὐτὸς τοῦ συγγράμματος ἀρχόμενος εἶπεν· εὔδηλον ὡς οὔτ' ἀγνοῶν, οὔθ' ἡμῖν οὔτε τοῖς πρὸ αὐτοῦ θεολόγοις τε καὶ διδασκάλοις φθονῶν, οὐ μὴν ἀλλ' οὐδ' αὐτὸς ἑαυτῷ καὶ τῷ ἰδίῳ σκοπῷ καὶ τοῖς λόγοις ἐναντιούμενος, ἐκεῖνα παρῆκεν, ἀλλ' ὡς μηδὲν προηγουμένως πρὸς τὸν προκεί-B μενον αὐτῷ σκοπὸν καὶ τὸν λόγον ὄντα, καθὰ δὴ καὶ προϊὼν ὁ λόγος δείξει σαφέστερον. Τὴν γὰρ ἕκτην τῶν οἰκουμενικῶν ἁγίων συνόδων τοῦ οἰκείου προστησάμενος λόγου, καὶ ὡς εἰς σκοπὸν ἀπλανῆ τινα βλέπων ἐκείνην, καὶ δὴ καὶ τοὺς μικρῷ πρὸ ἐκείνης τε καὶ μετ' ἐκείνην τὰ αὐτὰ περὶ τῶν αὐτῶν φθεγξαμένους ὡσαύτως ὁμολογητὰς, καὶ θεολόγους Πατέρας, οὕτω τοὺς περὶ θελημάτων καὶ ἐνεργειῶν ἐκδέδωκε τοῦ Χριστοῦ λόγους, μηδὲν ἐλλείπων, μηδὲν προστιθεὶς, μηδὲ τοῦ σκοποῦ καὶ τοῦ λόγου μηδοπωστιοῦν ἔξω βάλλων.

Πλὴν ἀλλ' ἐπειδὴ καὶ αὐτὸς ὀψέ που καὶ μόλις, καὶ μετὰ τὸ πάντα τὰ παρὰ σαυτοῦ τῷ περὶ ἐνεργείας ἐπεισενεγκεῖν λόγῳ καθάπερ ἐβούλου, καὶ τοῦ C μακαρίου τούτου μνησθῆναί πως ἔδοξας, φέρε σκεψώμεθα καὶ ἡμεῖς μικρὸν ἐπαναλαβόντες αὖθις τὸν λόγον, τίνα μὲν σὺ περὶ αὐτοῦ τε καὶ τῶν αὐτοῦ λόγων, τίνα δ' αὖθις περὶ αὐτὸς ἑαυτοῦ καὶ τῶν προκειμένων γε τούτων φησὶ, καὶ οὕτως ἐπὶ τὰ προῤῥηθέντα σοι περὶ θείας ἐνεργείας καὶ τὴν σύνοδον ἐλευσόμεθα τὴν οἰκουμενικήν.

---

# ΕΤΙ ΠΡΟΣ ΤΟΝ ΤΕΤΑΡΤΟΝ

## ΚΑΙ ΔΗ ΚΑΙ ΤΟΝ ΠΕΜΠΤΟΝ ΛΟΓΟΝ ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΑ

### ΛΟΓΟΣ ΟΓΔΟΟΣ

**Περὶ θείας ἐνεργείας, ὅτι ἄκτιστος, καὶ ὅτι οὐ σύνθετον διὰ ταύτην τὸ Θεῖον, ἀλλ' ἁπλοῦν κατὰ φύσιν.**

Ὁ τοίνυν ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης, περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ φιλοσοφῶν, ὥς φησι Γρηγορᾶς, Ἡ τῶν θαυμάτων, φησὶ, δύναμις τῆς θεότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια, ἡ δὲ χειρουργία, καὶ τὸ θελῆσαι, καὶ τὸ εἰπεῖν, *Θέλω, καθαρίσθητι*, τῆς ἀνθρωπότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια· ἀποτέλεσμα δὲ τῆς μὲν ἀνθρωπίνης ἐνεργείας ἡ τῶν ἄρτων κλάσις, καὶ τὸ ἀκοῦσαι τὸν λεπρόν· τῆς δὲ θείας ἐνεργείας ὁ τῶν ἄρτων πληθυσμὸς καὶ ἡ τοῦ λεπροῦ κάθαρσις. Ὁ δὲ θεῖός φησι Κύριλλος κατὰ τὸν αὐτὸν Γρηγορᾶν καὶ τοῦτο, Τὸ μὲν βαδίζειν, ἔφη, σωματικοῖς ποσὶ καὶ διὰ γλώττης λαλεῖν ἀνθρωπίνης φύσεως ἔργον ἐτύγ-D χανε· τὸ δὲ τοῦ παραλυτικοῦ τὰ μέλη θεραπεῦσαι καὶ τοῦ κωφοῦ πρὸς τὸ φθέγγεσθαι διαρθρῶσαι τὴν γλῶσσαν ἔργα θεϊκῆς ὑπῆρχε δυνάμεως. Ἀλλ' οὐδέτερον ἄνευ θατέρου γέγονε. Τὰ γὰρ ἑτερογενῆ τε καὶ ἑτεροφυῆ τὴν αὐτὴν ἐνέργειαν ἔχειν οὐκ ἄν τις δοίη σωφρονῶν, ἀλλ' ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας τὸν λόγον ἤτοι τῆς ποιότητος· οὕτω καὶ διάφορον ἀποδιώσουσι τὴν ἐνέργειαν. Καὶ ταῦτα μὲν τὰ τῶν θεολόγων, ἃ δὴ καὶ φέρων αὐτὸς εἰσήνεγκε τῷ λόγῳ δι' ἑαυτοῦ Γρηγορᾶς, ἡμᾶς δὲ πρὸ τοῦ καταβῆναι πρὸς τὰς ἐξηγήσεις ἐκείνου, καὶ τὴν ἐπεξεργασίαν τῶν εἰρημένων, ἐκεῖνο συνιδεῖν ἀναγκαῖον,

Digitized by Google

πῶς οὐκ ὀρθῶς οὐδὲ μετὰ τοῦ προσήκοντος λόγου τῶν θεολογικῶν ἅπτεται λόγων κἀνταῦθα, ἀλλὰ σκολιῶς τε καὶ διεστραμμένως, καὶ ὡς ἂν οὐ τὴν ἀλήθειαν, οὐδὲ τὸν θεολογικὸν ἐκζητῶν σκοπὸν, ἀλλὰ τὸν κανόνα πρὸς ἑαυτὸν ἕλκων μᾶλλον, καὶ ταῖς αὐτοῦ δόξαις καὶ τοῖς λόγοις ἕπεσθαι τὸν διδάσκαλον ἀναγκάζων;

Ὁ μὲν γὰρ εὐθὺς τοῦ περὶ ἐνεργείας ἀρχόμενος λόγου, Δύο, φησὶ, καὶ τὰς ἐνεργείας φαμὲν ἐπὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἶχε μὲν γὰρ ὡς Θεὸς καὶ τῷ Πατρὶ ὁμοούσιος τὴν θείαν ἐνέργειαν, καὶ ὡς ἄνθρωπος γενόμενος καὶ ἡμῖν ὁμοούσιος, τῆς ἀνθρωπίνης φύσεως τὴν ἐνέργειαν. Ἰστέον δὲ ὡς ἄλλο ἐστὶν ἐνέργεια, καὶ ἄλλο ἐνεργητικὸν, καὶ ἄλλο ἐνέργημα, καὶ ἄλλο ἐνεργῶν. Ἐνέργεια μὲν οὖν ἐστιν ἡ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις· ἐνεργητικὸν δὲ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν· ἐνέργημα δὲ τὸ τῆς ἐνεργείας ἀποτέλεσμα· ἐνεργῶν δὲ ὁ κεχρημένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις. Λέγεται δὲ καὶ ἡ ἐνέργεια ἐνέργημα, καὶ τὸ ἐνέργημα ἐνέργεια.

Ὁ δὲ, τοῦ θεμελίου τούτου καὶ τῆς οἱονεὶ ῥίζης καὶ ἀρχῆς τῶν ἐφεξῆς ἐπίτηδες ἀποστὰς λόγων, ὡσανεὶ διαιρούντων ἀκριβῶς ἕκαστα, καὶ σαφηνιζόντων, καὶ ὑπόστασίν φημι καὶ οὐσίαν, καὶ τὴν ἐκ ταύτης οὐσιωδῶς προϊοῦσαν ἐνέργειαν, καὶ ἄλλο παρὰ ταύτην οὖσαν ὡς δύναμιν, καὶ κίνησιν αὐτῆς οὐσιώδη καὶ δραστικὴν, καὶ χρῆσιν ὑποδεικνύντων ταύτης τῆς ἐνεργείας καὶ ἀποτέλεσμα, ταύτην τοιγαροῦν τὴν εἰλικρινῆ, καὶ σαφεστάτην, καὶ ἀπηρτισμένην περὶ ἐνεργείας θεολογίαν, καὶ μηδὲ παιδὶ θόρυβον ἐμποιεῖν δυναμένην, ὡς μηδὲ ῥηθεῖσαν τὴν ἀρχὴν μηδὲ οὖσαν ὁ φιλόσοφος παρελθὼν, μέρους τινὸς τῶν ἑξῆς ἅπτεσθαί πως δοκεῖ βραχυτάτου· καὶ τούτῳ μέρος τι συνάψας ὡσαύτως τῶν περὶ ἐνεργειῶν καὶ φύσεων τοῦ Χριστοῦ τῷ θείῳ λεχθέντων Κυρίλλῳ, καθὰ δὴ καὶ πρὸ βραχέος ἡμῖν εἴρηται, καὶ παράλληλα θεὶς οἱονεὶ καὶ συγκρούσας ἀλλήλοις, πειρᾶται δι' ἀλλήλων συγχεῖν ταῦτα καὶ συνταράττειν, καὶ τὴν συμφωνίαν τῶν θεολόγων ἀμφοῖν καὶ τὸν σκοπὸν ἀναιρεῖν.

Ἀλλ' ἴδωμεν ἤδη καὶ τὴν ἐξήγησιν, καὶ τὰ ἐπιχειρήματα, καὶ τὰς ἐπεξεργασίας αὐτοῦ. Ἐντεῦθέν γε μὴν, Ἀγαθάγγελε, φησὶ, δῆλόν σοι γίνεται, ὡς ἃ Κύριλλος ἔργα φησὶ, ταῦτ' ἐνεργείας ὁ Δαμασκηνὸς Ἰωάννης, καὶ ἅπερ Ἰωάννης ἐνεργείας ἀποτελέσματα, ταῦτα Κύριλλος ἔργα δυνάμεως. Ἐπεξεργαζόμενοι δὲ, καὶ οἱονεὶ συγκεφαλαιούμενοι, Ἰωάννης μὲν τὰς τῶν θαυμάτων φησὶ δυνάμεις θεότητος ὑπάρχειν ἐνεργείας, καὶ ἐνεργήματα καὶ ἀποτελέσματα, ταυτὸν δ' εἰπεῖν ποιήματα Θεοῦ, καθὰ δὴ ἀλλαχῆ πολλαχῆ πλατύτερον γραφικαῖς ἡμῖν ἀποδέδεικται μαρτυρίαις· Κύριλλος δ' ἃ προειρήκεν ἔργα, ταῦτα προϊὼν ἐνεργείας ἀπεφήνατο, ὡς εἶναι καὶ παρ' αὐτῷ ταυτὸν ἐνταυθοῖ σαφῶς καὶ ἀναμφιβόλως ἔργα καὶ ἐνεργείας, καὶ εἶναι συμπεραίνειν ἡμᾶς δι' ἀμφοῖν καὶ ἐξ ἀμφοῖν τοῖν ἁγίοιν αὐτὰ τὰ ποιούμενα θαύματα παρὰ Χριστοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, πῶς μὲν δυνάμεως καὶ θελήσεως ἀκτίστου καὶ θείας

A ὑπάρχειν, ὡς Θεοῦ, πῶς δὲ ἀνθρωπίνης ἐνεργείας, ὡς ἀνθρώπου. Τὸ μὲν οὖν τὴν φυσικὴν ἐνέργειαν τοῦ Θεοῦ καὶ τὴν δύναμιν ἀποτελέσματα τῆς αὐτοῦ ἐνεργείας καὶ ποιήματα τὸν φιλόσοφον λέγειν καὶ διδάσκειν κἀνταῦθα, οὐ πάνυ τοι καινὸν, οὐδ' ἔξω τοῦ κατ' αὐτὸν ἥγημαι πράγματος. Ἄνωθεν καὶ γὰρ ταῦτα περὶ τῶν τοιούτων ὦπται καὶ φρονῶν καὶ γράφων, καὶ οὐσίαν εἰδὼς μετ' Εὐνομίου τὸν Θεὸν μόνην, πάντων ἐψιλωμένην τῶν φυσικῶν αὐτῆς ἰδιωμάτων, ὡς ὁμοῦ παρ' αὐτῷ πάντων τοῖς κτίσμασι συναριθμουμένων. Οὐ ξένον τοιγαροῦν, οὐδὲ καινὸν, ὅπερ ἔφην, εἰ τὴν αὐτὸς αὐτοῦ πάτριον δόξαν καὶ τὴν πίστιν Βαρλαὰμ τε καὶ Ἀκινδύνου μετὰ τῶν ἐκείνοις γε φοιτησάντων βούλεται συνιστᾷν. Ἐκεῖνό γε μὴν οὐ μικρῶς ἔπεισί μοι θαυμάζειν αὐτοῦ, καὶ
B μάλιστα νῦν, πῶς ἀναισχύντως οὕτω καὶ ἰταμῶς ταῖς κοιναῖς περὶ Θεοῦ τῶν ἁγίων δόξαις τε καὶ τοῖς λόγοις ἐπιπηδᾷ, ὥσπερ ἐν ὑπερβορέοις τισὶν, ἢ καὶ τοῖς ἔξω στηλῶν Ἡρακλείων, καὶ πόῤῥω που τῆς καθ' ἡμᾶς οἰκουμένης οὖσι, καὶ τῆς κοινῆς Ἐκκλησίας, καὶ τῶν ἱερῶν ταύτης πυκτίων καὶ λόγων τοὺς ἑαυτοῦ λόγους ποιούμενος; Εἰπὲ γὰρ ἡμῖν, ὦ τὰ περιττὰ καὶ ἔκφυλα σοφὲ σὺ, πῶς τοῦ θεοφόρου Δαμασκηνοῦ τὰς δύο φυσικὰς τοῦ Χριστοῦ ἐνεργείας ταῖς διτταῖς καταλλήλως αὐτοῦ φύσεσιν εἰσαγαγόντος τῷ λόγῳ, τὴν θείαν τέ φημι καὶ τὴν ἀνθρωπείαν, καὶ τὰ οἰκεῖα καὶ κατάλληλα τέλη καὶ ἀποτελέσματα δεδειχότος ἑκάστης, Ἡ τῶν θαυμάτων καὶ γὰρ, φησὶ, δύναμις τῆς θεότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια, ἀποτέλεσμα δὲ ταύτης ὁ τῶν ἄρτων πληθυσμὸς, καὶ ἡ
C τοῦ λεπροῦ κάθαρσις, ἡ δὲ χειρουργία, καὶ τὸ θελῆσαι, καὶ τὸ εἰπεῖν, *Θέλω, καθαρίσθητι*, τῆς ἀνθρωπότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια, ἧς ἀποτέλεσμα, φησὶν, ἡ τῶν ἄρτων κλάσις, καὶ τὸ ἀκοῦσαι τὸν λεπρόν· πῶς οὖν, ὅπερ εἶπον, τοῦ Θεολόγου κατὰ συζυγίαν ἐκεῖνα προάγοντος, καὶ ἰδίᾳ μὲν τὴν τῆς φύσεως οὐσιώδη τιθέντος δύναμιν, ἣν ἐν ταῖς ἀρχαῖς τοῦ λόγου καὶ ἄλλο παρὰ τὴν φύσιν εἶπεν αὐτὸς καὶ δραστικὴν καὶ οὐσιώδη κίνησιν ταύτης, ἰδίᾳ δὲ τὸ ταύτης ἀποτέλεσμα, τὸ τέλος δηλαδὴ τῆς ἐπὶ τῷδε χρήσεως τῆς αὐτῆς φυσικῆς δυνάμεώς τε καὶ ἐνεργείας, τὸν πληθυσμὸν, ὡς ἐκεῖνός φησι, τῶν ἄρτων, καὶ τὴν τοῦ λεπροῦ κάθαρσιν, αὐτὸς καθαπερεί τις βιαστὴς τῶν θεολογικῶν λόγων καὶ τύραννος, τὴν
D διαίρεσιν ἐκείνου συνταράττεις καὶ συγχεῖς τοῖς σοῖς λόγοις, ἀσχημονῶν οὑτωσὶ δίχα παντὸς προσωπείου καὶ προκαλύμματος, ἵνα μόνον τὴν τοῦ Θεοῦ φυσικὴν ἐνέργειαν κατασκευάσῃς κτιστήν; Ἐκείνου καὶ γὰρ οὕτω λαμπρῶς διελόντος, καὶ τὰ προῤῥηθέντα θεολογήσαντος ἀσφαλῶς, σὺ καθαπερεί τις κωφὸς ἰσχυρῶς, καὶ τῶν ὑπ' ἐκείνου λεγομένων ἀναίσθητος, ἢ καὶ παρὰ τοιούτοις τισὶ τὰ σὰ καὶ λέγειν καὶ γράφειν δοκῶν, ἐκεῖνα τὰ καταγέλαστα φῄς, ὡς Ἰωάννης τὰς τῶν θαυμάτων φησὶ δυνάμεις θεότητος ὑπάρχειν ἐνεργείας καὶ ἐνεργήματα καὶ ἀποτελέσματα, ταυτὸ δ' εἰπεῖν ποιήματα Θεοῦ· ὥσπερ ἀναισθητῶν, καὶ μηδὲ εἰδὼς ἃ λέγεις. Τί γὰρ κοινὸν ἐμφύτῳ καὶ οὐσιώδει κινήσει καὶ δυνάμει Θεοῦ καὶ κτίσμασι; Καίτοι γε καὶ δι' αὐτὰ ταῦτα, τὰ κα-

Digitized by Google

πῶς οὕτω παρὰ σοῦ τε καὶ τῶν σὺν σοὶ καὶ τότε, καὶ A νῦν καὶ νοούμενα καὶ λεγόμενα, καὶ ἄνω καὶ κάτω καὶ πανταχοῦ τοῦ λόγου τὰς διαιρέσεις ὡσαύτως τίθησιν, ὥσπερ τῶν φύσεών φημι, καὶ τῶν φυσικῶν ἐκείνων, οὕτω καὶ τῶν φυσικῶν αὐτῶν τούτων αὖθις, καὶ τῶν ἰδίων αὐτῶν ἀποτελεσμάτων, ἵνα μή τις παρὰ τὰς ὁμωνυμίας ἐγγένηταί τισι ἄγνοια τοῦ καθήκοντος καὶ πλάνη.

Ἄκουε δὴ καὶ τῶν ἑξῆς ὡσαύτως τοῦ αὐτοῦ διδασκάλου φημί. Παραδείγματι καὶ γὰρ συνήθει τοῖς πρὸ αὐτοῦ θεολόγοις περὶ τῶν προκειμένων αὐτῷ καὶ αὐτὸς χρώμενος, οὕτω πῶς φησι· Καὶ ἐπὶ τῆς πεπυρακτωμένης δὲ μαχαίρας, ὥσπερ αἱ φύσεις σώζονται τοῦ πυρὸς καὶ τοῦ σιδήρου, οὕτω καὶ αἱ δύο ἐνέργειαι, καὶ τὰ τούτων ἀποτελέσματα. B Ἔχει γὰρ ὁ σίδηρος τὸ τμητικὸν, τὸ δὲ πῦρ τὸ καυστικόν. Καὶ ἡ τομὴ μὲν τῆς τοῦ σιδήρου ἐνεργείας ἐστὶν ἀποτέλεσμα, ἡ δὲ καῦσις τοῦ πυρός. Καὶ μετ' ὀλίγον· Οὕτω καὶ ἐν τῷ Χριστῷ· τῆς μὲν θεότητος αὐτοῦ ἡ θεία καὶ παντοδύναμος ἐνέργεια, τῆς δὲ ἀνθρωπότητος αὐτοῦ ἡ καθ' ἡμᾶς· ἀποτέλεσμα τῆς μὲν ἀνθρωπίνης τὸ κρατηθῆναι τὴν χεῖρα τοῦ παιδὸς καὶ ἑλκυσθῆναι, τῆς δὲ θείας ἡ ζωοποίησις. Ἄλλο γὰρ τοῦτο, κἀκεῖνο ἕτερον, εἰ καὶ ἀλλήλων ἀχώριστοι ὑπάρχουσιν ἐν τῇ θεανδρικῇ ἐνεργείᾳ.

Ἤκουσας καὶ αὖθις τοῦ σοφοῦ διδασκάλου τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντος, καὶ παραδείγμασι προσφυέσι καὶ καταλλήλοις καὶ ἐπεξεργασίαις καὶ διαιρέσεσιν οὐ τὴν τῶν φύσεων παριστάντος μόνην διαφορὰν, ἀλλὰ καὶ τὴν τῶν ἐνεργειῶν καὶ τῶν ἀπο- C τελεσμάτων, καὶ πᾶσαν περιαιροῦντος ἀμφιβολίαν καὶ σύγχυσιν; Ὥσπερ καὶ γὰρ ἐπὶ τῆς πεπυρακτωμένης, φησὶ, μαχαίρας μετὰ τῆς διπλόης τῶν φύσεων, σιδήρου δηλαδὴ καὶ πυρὸς, καὶ τὸ διττὸν τῆς ἐνεργείας ξυνημμένον ὁρῶμεν, τό γε τμητικόν φημι καὶ τὸ καυστικὸν, τὴν τέμνουσαν, ὡς ἂν εἴποι τις, καὶ καίουσαν ἑκατέρας ὕλης φυσικὴν δύναμιν, ἀποτέλεσμα δέ φησι τῆς μὲν ἐνεργείας τοῦ σιδήρου τὴν τομὴν, τῆς δὲ τοῦ πυρὸς ἐνεργείας ἀποτέλεσμα τὴν καῦσιν· οὕτω καὶ ἐν τῷ Χριστῷ, φησὶ, διττῶν οὐσῶν τῶν αὐτοῦ φύσεων, τῆς θείας δηλονότι καὶ τῆς ἀνθρωπείας, τῆς μὲν θεότητος αὐτοῦ ἡ θεία καὶ παντοδύναμος ὑπάρχει ἐνέργεια, τῆς δὲ ἀνθρωπότητος αὐτοῦ ἡ καθ' ἡμᾶς καὶ ἀνθρωπίνη ὑπάρχει ἐνέργεια. D Ἀποτέλεσμα δέ φησι τῆς μὲν ἀνθρωπίνης ἐνεργείας τὸ κρατηθῆναι τὴν χεῖρα τῆς παιδὸς καὶ ἑλκυσθῆναι, τῆς δὲ θείας ἐνεργείας ἡ ζωοποίησις ἀποτέλεσμα. Τὰ μὲν οὖν παρὰ τοῦ θεολόγου τούτου περί τε φυσικῆς ἐνεργείας, καὶ τοῦ ταύτης ἀποτελέσματος ῥηθέντα καὶ νῦν καὶ πρότερον, τοιαῦτα τήν τε ἐξαγγελίαν καὶ τὴν διάνοιαν ὄντα τυγχάνει, ὡς μηδ' ἑρμηνείας μηδ' ἐπεξεργασιῶν ὡντινωνοῦν ὅλως δεῖσθαι, σαφηνείας ὑπερβολῇ. Ἐπεὶ δὲ καὶ πρὸς τὰ οὕτω σαφῆ καὶ τυφλῷ, φασὶ, δῆλα φιλονεικίας περιουσίᾳ οὐκ οἶδ' ὅπως ἀναισχυντεῖν ὁ φιλόσοφος ἔγνω, καὶ ἐπεξεργάζεσθαι καὶ παλιλλογεῖν, καὶ σαφηνίζειν αὖθις οὐ παραιτούμεθα, τῶν ἁπλότητι καὶ ἀπειρίᾳ συναρπαζομένων ὑπὸ τῆς πλάνης φειδόμενοι. Ἰδοὺ γὰρ οὐ φύσεως μεταξὺ μόνον καὶ φυσικῆς ἐνεργείας, καὶ τοῦ ταύτης ἀποτελέσματος ἄριστα διελὼν φαίνεται, καθὰ δὴ καὶ ἅπαξ καὶ δὶς πρότερον, ἀλλὰ καὶ θείαν καὶ παντοδύναμον τῆς θείας τοῦ Χριστοῦ φύσεως τὴν ἐνέργειαν εἶπεν, οὔτε τὴν φύσιν οὖσαν αὐτὴν ἐκείνην γε πάντη, ἀλλὰ τὴν οὐσιώδη καὶ ἔμφυτον αὐτῆς κίνησίν τε καὶ δύναμιν, καὶ τοσούτῳ τῶν ἀποτελεσμάτων καὶ κτισμάτων αὖθις ἀνῳκισμένην καὶ ὑπερέχουσαν, ὅσῳ Θεοῦ θεία καὶ φυσικὴ καὶ παντοδύναμος δύναμις, καὶ ἐνέργεια κατὰ τοῦτον τὸν θεολόγον φημὶ, τῶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι προαγομένων ὑπ' αὐτῆς.

Καὶ πάλιν ὁ αὐτὸς θεολόγος ἐν τοῖς αὐτοῖς· Εἰ ἡ περὶ τὰ ὄντα πρόνοια οὐ μόνον Πατρὸς καὶ ἁγίου Πνεύματός ἐστιν, ἀλλὰ καὶ τοῦ Υἱοῦ καὶ μετὰ σάρκωσιν, ἐνεργείᾳ δὲ τοῦτό ἐστιν, ἄρα καὶ μετὰ σάρκωσιν τῆς αὐτῆς ἐνεργείας ἐστὶ τῷ Πατρί. Εἰ ἐκ τῶν θαυμάτων τῆς αὐτῆς οὐσίας ὄντα τῷ Πατρὶ τὸν Χριστὸν ἐγνώκαμεν, ἐνέργεια δὲ Θεοῦ τυγχάνει τὰ θαύματα, ἄρα καὶ μετὰ σάρκωσιν τῆς αὐτῆς ἐστιν ἐνεργείας τῷ Πατρί.

Ὅρα πάλιν ἐνταῦθα, πῶς καὶ τὴν περὶ τὰ ὄντα τοῦ Θεοῦ πρόνοιαν ἐνέργειαν θείαν φησὶν ὁ διδάσκαλος, ἵνα μήτε τὴν οὐσίαν αὐτὴν ἐκείνην ὑπολάβῃς εἶναι, μήτε κτίσμα Θεοῦ, ἀλλ' οὐσιώδη μᾶλλον τῆς φύσεως δύναμίν τε καὶ κίνησιν. Διὸ καὶ τὰς φυσικὰς ταύτας ἐνεργείας οὐ μόνον προόδους τε καὶ ἐκφάνσεις, καὶ μετοχὰς καὶ αὐτομετοχὰς ὁ ἐξ Ἀρείου πάγου Διονύσιος εἴρηκεν, ἀλλὰ καὶ προνοίας αὐτὰς καὶ ἀγαθότητας εἶπεν, ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑπερβλυζούσας. Καὶ Ἀθανάσιος δὲ αὖθις ὁ μέγας τὴν τοῦ Θεοῦ δημιουργικὴν ἐνέργειαν πρόνοιαν ὡσαύτως φησίν· Οὐ κατ' ἄλλην, λέγων, καὶ ἄλλην πρόνοιαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐργάζεται, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτὴν οὐσιώδη τῆς θεότητος ἐνέργειαν. Ὑπὲρ ἧς καὶ ἡ τῶν οἰκουμενικῶν συνόδων πέμπτη πρὸς τοὺς τὰ Ὠριγένους φρονοῦντας, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν, ἔλεγεν, ὅτι εἶχε μὲν ὁ Θεὸς ἀεὶ τὴν τοῦ κτίζειν καὶ δημιουργεῖν δύναμιν, ἐνηργήθη δὲ ἡ τοιαύτη δύναμις, ὅτε Θεὸς ἠβουλήθη, ἵνα μάθῃς ἐκ τούτων τε κἀκείνων πᾶς ὁ τῆς ἀληθινῆς θεολογίας ἐραστὴς, φημὶ, ὅτι τὴν οὐσιώδη καὶ δραστικὴν τῆς τοῦ Θεοῦ φύσεως δύναμιν καὶ κίνησιν καὶ ἐνέργειαν ἄκτιστον, καὶ συναΐδιον, καὶ ἀδιαίρετον οὖσαν τῆς πηγαζούσης φύσεως, οὐχ ἂν ἡ ἐπὶ τῷδέ τινι κτίσματι τυχὸν ἢ θαύματι χρῆσις κατὰ τὸν οἰκεῖον ἑκάστῳ καιρὸν καὶ λόγον κτιστὴν ἐργάσαιτό ποτε. Πῶς γὰρ ἂν ἐκσταίη τῆς οἰκείας φυσικῆς ἰδιότητος, καὶ τοῦτό γε οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τοὐναντίον ἅπαν ἰοῦσα; Ἀδύνατον· καὶ γάρ φασιν οἱ αὐτοὶ θεολόγοι Πατέρες τῆς ἀκτίστου φύσεως κτιστὴν εἶναι τὴν ἐνέργειαν, ὥσπερ δὴ καὶ ἄκτιστον τῆς κτιστῆς οὐδαμῶς. Ἀλλ' ἡ μὲν χρῆσις, ὅπερ ἔφην, τῆς θείας ἐνεργείας περὶ τόδε τὸ πρᾶγμα ἢ ἐκεῖνο, ἢ κτιζούσης, ἢ θαυματουργούσης τυχὸν καὶ ἄρχεται καὶ παύεται· καθὸ δὴ καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος, Εἰ ἐνέργεια τὸ Πνεῦμα τὸ ἅγιον κατά τινας, ἔλεγεν, ἐνεργηθήσεται καὶ οὐκ ἐνεργήσει, καὶ ἅμα τῷ ἐνεργηθῆναι παύσεται, τὴν φυσικὴν ἐνέργειαν ταύτην τοῦ Θεοῦ

Digitized by Google

κατὰ τὴν αὐτῆς αἰνιττόμενος χρῆσιν, ἀρχομένην τε A καὶ παυομένην κατ' αὐτήν, ὡς ἤδη πολλάκις ἔφην· ἐνεργεῖται γὰρ ἡ χρῆσις, οὐκ ἐνεργεῖ. Ἐπεί τοί γε κατ' αὐτὴν αὐτὴ θεωρουμένη περὶ τὴν θείαν φύσιν ἡ συμφυὴς ταύτης ἐνέργεια καὶ κίνησίς ἐστι δραστικὴ καὶ παντοδύναμός τε καὶ παντουργὸς κατὰ τοὺς θεολόγους Πατέρας. Ἔστι μὲν οὖν κατ' αὐτοὺς τούτους τὸ ἐνεργητικὸν ἡ θεία φύσις, ἐξ ἧς ἡ οὐσιώδης πηγάζει ἐνέργεια, περὶ τὴν φύσιν αὐτὴν ὡς φυσικὸν θεωρουμένη ἰδίωμα, καὶ ἀδιαίρετος αὐτῆς οὖσα, καὶ τὸ παράπαν ἀχώριστος. Εἰ γὰρ καὶ διαφορὰν αὐτῆς φασι πρὸς τὴν οὐσίαν οἱ θεολόγοι, κατά γε τοὺς προαποδοθέντας καὶ ἡμῖν λόγους, καὶ ἄλλο φασὶν οὐσίαν, καὶ ἄλλο ἐνέργειαν, ἀλλ' ἐπινοίᾳ φασὶ τὴν διαφορὰν ταύτην, οὐ πράγματι· πράγματι δὲ μᾶλλον τὴν ἕνωσιν. Καὶ ὁ ἀριθμὸς, κατ' αὐ- B τοὺς τούτους, τὴν μὲν κατ' ἐπίνοιαν διαφορὰν καὶ διάκρισιν τῆς οὐσίας τε καὶ τῆς ἐνεργείας, καὶ τὴν τῶν ἰδιοτήτων φυλακὴν, κἂν τῇ ἑνώσει γνωρίζει· διαίρεσιν δὲ τὸ παράπαν ἡντινοῦν οὐκ εἰσάγει. Ἔστι μὲν οὖν, ὅπερ εἶπον, κατὰ τοὺς θεολόγους, τὸ ἐνεργητικὸν ἡ θεία φύσις, ἐξ ἧς ἡ οὐσιώδης καὶ κατάλληλος ἐνέργεια θεοπρεπῶς πρόεισι· τὸ δὲ τῆς φυσικῆς ἐνεργείας ἀποτέλεσμα κτίσμα, εἴτε κατὰ δημιουργίαν φημὶ, εἴτε κατὰ θαυματουργίαν τινὰ λέγοιτο. Ἡ δὲ τῆς θείας φύσεως ἐνέργεια, δραστικὴ καὶ οὐσιώδης οὖσα κίνησις ἐκείνης καὶ δύναμις, καὶ πρὸ τῆς χρήσεως δηλονότι τῆς ἐπὶ τῷδε τῷ πράγματι, ἢ ἐκείνῳ, κἂν τῇ χρήσει, καὶ μετὰ τὴν χρῆσιν ἡ αὐτὴ πέφυκεν ὡσαύτως, ἄκτιστος οὖσα, C καὶ ἀναλλοίωτος καὶ ἀόριστος, καὶ τὴν ἑαυτῆς ἕξιν οἱονεὶ, καὶ ποιότητα κατὰ τοὺς θεολόγους Πατέρας, οὐδοτιοῦν οὐδέποτε μετατιθεῖσα οὐδὲ ἀμείβουσα. Διὸ καὶ ὁ θεοφόρος πρὸ βραχέος περὶ ταύτης ἔλεγεν Ἰωάννης, ὡς ἡ τῶν θαυμάτων δύναμις τῆς θεότητος αὐτοῦ ὑπῆρχεν ἐνέργεια· καὶ διὰ τοῦτο καὶ τὴν περὶ τὰ θεῖα θαύματα χρῆσιν αὐτῆς οὐκ ἀποτελέσματα καὶ κτίσματά φασιν οἱ θεολόγοι, ἀλλ' αὐτὴν ἐκείνην τὴν οὐσιώδη καὶ ἔμφυτον τοῦ Θεοῦ δύναμιν, κατ' αὐτὴν τὴν χρῆσιν, ὡς ἔφην, καὶ τὸ ἐνεργεῖσθαι παρὰ τῆς ἐν ᾗ θεωρεῖται φύσεως φαινομένην, ἧς δηλαδὴ τὰ ἀποτελέσματα. Εἰ ἐκ τῶν θαυμάτων, καὶ γάρ φησιν ὁ αὐτὸς θεολόγος διδάσκαλος, τῆς αὐτῆς οὐσίας ὄντα τῷ Πατρὶ τὸν Χριστὸν ἐγνώκαμεν, ἐνέργεια δὲ Θεοῦ τυγχάνει τὰ θαύματα, ἄρα καὶ D μετὰ σάρκωσιν τῆς αὐτῆς ἐστιν ἐνεργείας τῷ Πατρί. Καὶ πάλιν ὁ αὐτός· Εἰ πᾶσα ἐνέργεια φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις, ὡς οἱ περὶ ταῦτα δεινοὶ διειλήφασι, ποῦ φύσιν τις οἶδεν ἀκίνητον, ἢ παντελῶς ἀνενέργητον, ἢ ἐνέργειαν, μὴ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; Μίαν δὲ φυσικὴν τὴν ἐνέργειαν Θεοῦ καὶ ποιήματος οὐκ ἄν τις εὖ φρονῶν δοίη κατὰ τὸν μακάριον Κύριλλον. Καὶ πάλιν· Εἰ μία τοῦ Δεσπότου Χριστοῦ ἡ ἐνέργεια, ἢ κτιστὴ ἔσται, ἢ ἄκτιστος· μέσον γὰρ τούτων οὐκ ἔστιν ἐνέργεια ὥσπερ οὐδὲ φύσις. Εἰ οὖν κτιστὴ, κτιστὴν μόνην δηλώσει φύσιν· εἰ δὲ ἄκτιστος, ἄκτιστον μόνην χαρακτηρίσει οὐσίαν. Καὶ μετ' ὀλίγον· Ἡ δὲ κατὰ φύσιν ἐνέργεια οὐ τῶν ἐκτὸς ὑπάρχει. Καὶ δῆλον, ὅτι οὔτε εἶναι, οὔτε γινώσκεσθαι τὴν φύσιν δυνατὸν ἄνευ τῆς κατὰ φύσιν ἐνεργείας. Δι' ὧν γὰρ ἐνεργεῖ ἕκαστον, τὴν οἰκείαν φύσιν πιστοῦται, ὅπερ ἐστὶ μὴ τρεπόμενον. Ἀκουέτωσαν δὴ καὶ τούτων οἱ περὶ Γρηγορᾶν, καὶ μανθανέτωσαν, ὅτι πᾶσα ἐνέργεια φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις, καὶ ὅτι οὐδεὶς οἶδεν ἐνέργειαν μὴ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν, καὶ ὅτι μέσον κτιστῆς καὶ ἀκτίστου οὐκ ἔστιν ἐνέργεια, οὐδὲ φύσις· καὶ ὅτι ἡ κατὰ φύσιν ἐνέργεια οὐ τῶν ἐκτὸς ὑπάρχει. Καὶ τούτων συνέντες τὰς πολὺ τὸ νόθον ἐπισυρομένας καὶ πεπλανημένας ἐκείνας περὶ ἐνεργείας δόξας καὶ διαιρέσεις, καὶ τὰς οὐ καλὰς ὁμωνυμίας ἀπομαθέτωσαν. Πᾶσαν γὰρ ἐνέργειαν ὁ θεολόγος εἰπὼν, καὶ ὅτι οὐδεὶς οἶδεν ἄλλην ἐνέργειαν παρ' ἐκείνην, καὶ ὅτι μέσον κτιστῆς καὶ ἀκτίστου οὐκ ἔστι, καὶ ὅτι ἡ κατὰ φύσιν οὖσα οὐ τῶν ἐκτός ἐστι, καὶ διαιρέσεσι καὶ ὁρισμοῖς, καὶ πυκναῖς ἀποφάσεσί τε καὶ καταφάσεσι τὸν ἑαυτοῦ πανταχόθεν κατασφαλισάμενος λόγον, ἐκεῖνο τοῖς πᾶσι δέδειχεν ἐναργῶς, ὅτι οὔτε φύσις ἁπλῶς ἡ τοῦ Θεοῦ φυσικὴ πέφυκεν ἐνέργεια, οὔτε κτίσμα, ἀλλὰ δύναμις θεοπρεπὴς, καὶ κίνησις φυσικὴ, ἄκτιστος, ἀΐδιος, ἀόριστος, ἀναλλοίωτος, τῆς πηγαζούσης αὐτὴν φύσεως ἀδιαίρετος, ἐπινοίᾳ μόνῃ τὴν πρὸς τὴν φύσιν αὐτῆς κεκτημένη διαφορὰν, κατὰ τὰ πολλάκις ἤδη τοῖς τε θεολόγοις Πατράσι, καὶ ἡμῖν τοῖς ἐκείνων ἀκροαταῖς εἰρημένα. Διὸ οὐδὲ πολλὰ τὰ ἄκτιστα, καὶ πολλὰς τὰς ἀρχὰς καὶ τὰς δημιουργικὰς καὶ προνοητικὰς ἴσμεν δυνάμεις, κατ' ἐκείνους φημὶ τοὺς ψεύστας καὶ συκοφάντας τῆς Χριστοῦ Ἐκκλησίας, εἰ καὶ παντουργὸν καὶ παντοδύναμον οἱ θεολόγοι τὴν τοῦ Θεοῦ φυσικήν φασιν ἐνέργειαν καὶ τὴν πρόνοιαν· ἀλλ' εἷς ἡμῖν ὁ διὰ τούτων καὶ ἐν τούτοις πρεσβευόμενος Θεὸς καὶ δημιουργὸς καὶ ποιητὴς πάντων καὶ Δεσπότης, εἷς, τρισυπόστατος, ἐνεργὸς, θελητικὸς, παντοδύναμος. Καὶ ὥσπερ ἐπὶ τῶν λαλουμένων, καὶ τὸν λέγοντα λέγοντες λαλεῖν, καὶ τὴν γλῶτταν ἐκείνου, καὶ δὴ καὶ τὸν λόγον ὡσαύτως, οὐ πολλοὺς διὰ ταῦτά φαμεν τοὺς τὰ λαλούμενα λέγοντας, ἀλλ' ἕνα τὸν λέγοντα, ἐπειδή γε καὶ ἡ γλῶττα καὶ ὁ λόγος φυσικῶς αὐτοῦ τούτου, καὶ εἷς ἐστιν ὁ δι' αὐτῶν τὰ λαλούμενα λέγων, κἂν εἰ καὶ ἐκεῖνα φαίημεν λέγειν, καθάπερ εἴρηται, τὴν μὲν, ὡς ὄργανον πρὸς τοὺς λόγους τῷ λέγοντι, τὸν δὲ λόγον αὖ, ὡς δύναμιν τοῦ λέγοντος φυσικὴν, ἐξαγγελτικὴν τῶν νοημάτων, ὡς δὲ καὶ ὀφθαλμὸν καὶ διάνοιαν, τὸν μὲν ὁρᾷν, τὴν δὲ νοεῖν εἰ λέγοιμεν, οὔτε τὸν νοῦν ἀφαιρούμεθα τὸ νοεῖν, οὔτε τὸ ὁρᾷν τὸν ὁρῶντα, ἀλλ' οὐδ' αὖ διὰ ταῦτα δύο τοὺς ὁρῶντάς τε καὶ τοὺς νοοῦντάς φαμεν, ἀλλ' εἷς ἐστιν ὅ τε ὁρῶν διὰ τῶν ὀφθαλμῶν, καὶ ὁ διὰ τῆς οἰκείας διανοίας νοῶν νοῦς, κἀπὶ τῶν ἄλλων αἰσθητηρίων τε καὶ τῶν αἰσθήσεων ὡσαύτως, οὕτω καὶ τὸν Θεὸν λέγοντες ἐνεργεῖν τε καὶ δημιουργεῖν καὶ κινεῖσθαι θεοπρεπῶς, καὶ προνοεῖν τῶν ἰδίων, λέγοντες δ' ὡσαύτως καὶ τὴν φυσικὴν αὐτοῦ δύναμιν καὶ τὴν ἐνέργειαν κατὰ τοὺς θεολόγους ἐκεῖνα ποιεῖν, οὐ δύο διὰ τοῦτό φαμεν τοὺς ἐνεργοῦντας, καὶ κτίζοντας, καὶ προνοοῦντας, ἀλλ' ἕνα

Digitized by Google

καὶ μόνον τὸν τρισυπόστατον Θεὸν, διὰ τῶν ἰδίων A
ἑαυτοῦ φυσικῶν δυνάμεων θεοπρεπῶς ἐνεργοῦντα. Οὐ γὰρ πολλὰ τὰ αἴτιά φαμεν κατὰ τὸν θεηγόρον Διονύσιον, οὐδὲ ἄλλων ἄλλας παρεκτικὰς θεότητας, ὑπερεχούσας καὶ ὑφειμένας, ἀλλ' ἑνὸς Θεοῦ τὰς ὅλας ἀγαθὰς προόδους, καὶ τὰς παρ' ἡμῶν ἐξυμνουμένας θεωνυμίας. Περὶ ὧν δήπου καὶ ὁ θεοφόρος φησὶ Μάξιμος, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν, ὅτι ὡς οὐκ ἔστιν ὑπάρχειν ἄνευ ὑπάρξεως, οὕτως οὐδὲ ἐνεργεῖν ἔστιν ἐνεργείας δίχα.

Καὶ τὰ μὲν τοῦ θεηγόρου Δαμασκηνοῦ, μᾶλλον δὲ καὶ τῶν πρὸ αὐτοῦ θεολόγων Πατέρων, ὧν αὐτὸς προσφυὲς καὶ κατάλληλον κεχρημάτικε στόμα, ὅσον καὶ ἡμᾶς ἐκ μέρους φημὶ σκοπῆσαι, τοιαῦτα· Κυρίλλου δὲ πέρι τοῦ σοφοῦ διδασκάλου, οὗ δὴ καὶ συνῆψε
B
τὴν χρῆσιν Γρηγορᾶς τῇ τοῦ σοφοῦ Ἰωάννου, ἐκεῖνο λέγω, ὡς αὐτὸς μὲν οὗτος, εἴπερ τις τῶν πάντων ἐστὶν, ὁ τὰ θεῖα καὶ θεοπρεπῆ θεολογῶν μάλιστα περὶ τῶν τοῦ Θεοῦ φυσικῶν, καὶ αὐτῆς δέ φημι τῆς τοῦ Θεοῦ ἐνεργείας, καθὰ δὴ καὶ φθάσας ἡμᾶς ἐδίδαξεν ἄλλα τε πλεῖστα καὶ δὴ καὶ τὸ θεσπέσιον ὄντως ἐκεῖνο, περὶ οὗ καὶ τὸν πολὺν πρὸς Γρηγορᾶν ἡμεῖς ἐποιησάμεθα λόγον, καθ' ἡμῶν ὡς ἡμέτερον δῆθεν, καὶ κακῶς εἰρημένον ἐκεῖνο τῷ τόμῳ, προφέροντα. Φησὶ καὶ γὰρ ἐκεῖ, πρὸς τοὺς ἐξ Ἀρείου τὸν λόγον ὁ μέγας ποιούμενος· Εἰ τῷ γεννᾷν ταυτόν ἐστι τὸ ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τὸ γεννώμενον, καὶ ὁ ποιῶν γεννῶν τὸ ποιούμενον. Ἀλλὰ τὸ μὲν ἐνεργείας ἐστὶ, φύσεως δὲ τὸ γεννᾷν· φύσις δὲ καὶ ἐνέργεια οὐ ταυτόν. Οὐκ ἄρα τῷ γεννᾷν τὸ ποιεῖν ταυτὸν ἔσται.
C
Ἰδοὺ γὰρ οὐ τὴν διαφορὰν μόνον τῆς ἐνεργείας πρὸς τὴν θείαν φύσιν ἐναργῶς ὁ διδάσκαλος ἔδειξε. Φύσις, εἰπὼν, καὶ ἐνέργεια οὐ ταυτὸν, ἀλλὰ καὶ δημιουργὸν αὐτὴν ἔδειξε δύναμιν τοῦ Θεοῦ· ἐνεργείας καὶ γὰρ, φησὶν, ἐστὶ τὸ ποιεῖν. Τί οὖν; ἐπειδὴ τὸ δημιουργεῖν τῆς ἐνεργείας ἐστὶ τοῦ Θεοῦ, ὁ Θεὸς οὐκ ἔστι δημιουργὸς, ἢ δύο διὰ τοῦτο δημιουργοί; Λῆρος τὰ τοιαῦτα, καὶ γέλως πλατύς. Οἱ γὰρ οὕτω νοοῦντες περὶ τῶν τοιούτων καὶ λέγοντες, οὐδὲ γεννᾷν τὸν Θεὸν εὐχερῶς ἂν εἴποιεν, ἢ δύο τοὺς γεννῶντας εἶναι, τήν τε οὐσίαν κατ' ἐκείνους καὶ τὸν Θεόν. Ὥσπερ γὰρ οὐκ οὐσία μόνον ὁ γεννῶν Θεὸς, ἀλλὰ καὶ ὑπόστασις, οὕτως οὐδὲ οὐσία μόνον, ἀλλὰ καὶ φυσικὴ δύναμις καὶ ἐνέργεια· καὶ ὥσπερ τὰ τῆς οὐσίας αὐτοῦ οὐδὲ τῆς ὑποστάσεως αὐτοῦ
D
ξένα εἰσίν· εἷς γὰρ καὶ ὁ αὐτὸς Θεὸς καὶ τοῦτο κἀκεῖνο, καὶ οὔτε οὐσία τῆς ὑποστάσεως δίχα, οὔθ' ὑπόστασις αὖθις οὐσίας χωρὶς, τηρουμένης ἑκάστη δηλονότι τῆς ἰδιότητος ἀσυγχύτου· οὕτω καὶ τὰ τῆς οὐσιώδους ἐνεργείας καὶ δυνάμεως οὐκ ἀλλότρια τῆς φυσικῶς πηγαζούσης αὐτὴν οὐσίας εἰσὶν, ἐπειδὴ καὶ φυσικὴ καὶ ἀχώριστος δύναμις αὐτῆς ἐστι, καὶ δι' αὐτῆς ὡς ἐμφύτου καὶ οὐσιώδους ἐνεργεῖ, καὶ αὐτός ἐστιν ὁ ἐνεργῶν, καὶ κτίζων εἷς, τρισυπόστατος καὶ παντοδύναμος Θεὸς τῆς ἐμφύτου δυνάμεως καὶ τῆς ἐνεργείας αὐτοῦ λεγομένης ἐνεργεῖν. Δεῖ καὶ γὰρ πως τὰ αὐτὰ περὶ τῶν αὐτῶν πολλάκις τε καὶ πυκνῶς ἐνηχεῖν, διὰ τό τινων δηλαδὴ δύσκωφόν τε καὶ δύσερι.

Ἀλλ' ἐπὶ τὸν μακάριον καὶ αὖθις ἔλθωμεν Κύριλλον, καὶ ἅπερ ὁ φιλόσοφος παρ' ἐκείνου λαβὼν κατὰ τῆς ἐνεργείας τοῦ Θεοῦ καὶ τοῦ συνοδικοῦ τόμου προάγει. Τὸ μὲν βαδίζειν, φησὶ, σωματικοῖς ποσὶ, καὶ διὰ γλώττης λαλεῖν ἀνθρωπίνης φύσεως ἔργον ἐτύγχανε· τὸ δὲ τοῦ παραλυτικοῦ τὰ μέλη λόγῳ θεραπεῦσαι, καὶ τοῦ κωφοῦ πρὸς τὸ φθέγγεσθαι διαρθρῶσαι τὴν γλῶσσαν, ἔργα θεϊκῆς ὑπῆρχε δυνάμεως.

Ἀλλ' οὐδέτερον ἄνευ θατέρου γέγονε. Τὰ γὰρ ἑτερογενῆ τε καὶ ἑτεροφυῆ τὴν αὐτὴν ἐνέργειαν ἔχειν οὐκ ἄν τις δοίη σωφρονῶν· ἀλλ' ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας τὸν λόγον ἤτοι τῆς ποιότητος, οὕτω καὶ διάφορον ἀποδώσουσι τὴν ἐνέργειαν. Τί οὖν καὶ πρὸς ταῦτά φησιν ὁ φιλόσοφος, καὶ πῶς διερμηνεύει τὴν θεολογικὴν ταυτηνὶ χρῆσιν, ἀκούσωμεν. Ἐγὼ μὲν γὰρ οὔπω τῷ χωρίῳ τῷ θεολογικῷ τούτῳ ἔν γε τοῖς τοῦ διδασκάλου πυκτίοις, φημὶ, τέως ἐνέτυχον, ὅμως δέχομαι τό γε νῦν εἶναι τὸν λόγον, κατ' αὐτὸν τὸν κατατεθεικότα. Λέγε τοιγαροῦν, ὦ φιλόσοφε, καὶ προστίθει τὰ σά.

Ἰωάννης μὲν, φησὶ, τὰς τῶν θαυμάτων δυνάμεις θεότητος ὑπάρχειν ἐνεργείας φησὶ, καὶ ἐνεργήματα καὶ ἐνεργειῶν ἀποτελέσματα, ταυτὸν δ' εἰπεῖν ποιήματα Θεοῦ, καθὰ καὶ ἀλλαχῇ πολλαχῇ πλατύτερον γραφικαῖς ἡμῖν ἀποδέδεικται μαρτυρίαις· Κύριλλος δ' ἃ προείρηκεν ἔργα, ταῦτα προϊὼν ἐνεργείας ἀπεφήνατο· ὡς εἶναι καὶ παρ' αὐτῷ ταυτὸν ἐνταυθοῖ σαφῶς καὶ ἀναμφιβόλως ἔργα καὶ ἐνεργείας· καὶ εἶναι συμπεραίνειν ἡμᾶς δι' ἀμφοῖν καὶ ἐξ ἀμφοῖν τοῖν ἁγίοιν αὐτὰ τὰ ποιούμενα θαύματα παρὰ Χριστοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, πῶς μὲν δυνάμεως ἀκτίστου καὶ θελήσεως θείας ὑπάρχειν, ὡς Θεοῦ, πῶς δὲ ἀνθρωπίνης ἐνεργείας ὑπάρχειν, ὡς ἀνθρώπου.

Ὄντως κακῶς τοὺς τῶν ἁγίων ἐκλαβὼν, καὶ συλλογισάμενος ὁ φιλόσοφος λόγους, καὶ κάκιστα συμπεράνας, ἤγαγε τὸν λόγον, ὡς ὑπέλαβεν, ἐφ' ἅπερ ἐβούλετο. Τὸ δ' ἔστιν ἀληθῶς πᾶν τοὐναντίον, ὡς ἤδη φθάσαντες ἐδείξαμέν τε καὶ αὖθις σὺν Θεῷ φάναι δείξομεν. Καὶ ὅρα τὴν κατακεχυμένην ἀχλὺν τῆς τε διανοίας αὐτοῦ καὶ τῶν λόγων. Ἐξαγγέλλει μὲν γάρ πως ὀρθῶς ἐνταῦθά φημι τέως τοὺς τῶν θεολόγων ἱεροὺς λόγους, ὅσον ἐν συλλαβαῖς τε καὶ λέξεσιν· εἶτα συνάγειν ἐθέλων ἐκεῖθεν καὶ συμπεραίνειν, οὐ κατὰ τὰς ὑποθέσεις ἀληθεῖς οὔσας, ἀλλὰ ψευδὲς καὶ ἀκατάλληλον τὸ ἑαυτοῦ ποιεῖται συμπέρασμα· μᾶλλον δ' οὐδὲ τὰς προτάσεις αὐτὰς καθαρῶς τε καὶ ἀνοθεύτως, ἀλλὰ συγκεχυμένως καὶ καπηλικῶς πως προάγων, καταλλήλως καὶ συμπεραίνει. Ἄκουε γάρ. Ἰωάννης μὲν γὰρ, φησὶ, τὰς τῶν θαυμάτων δυνάμεις θεότητος ὑπάρχειν ἐνεργείας φησὶ, καὶ ἐνεργήματα καὶ ἐνεργειῶν ἀποτελέσματα, ταυτὸν δ' εἰπεῖν, ποιήματα Θεοῦ. Καὶ μὴν ἐκεῖνος, ὦ μακάριε, οὐχ οὕτως· ἀλλ' ἡ τῶν θαυμάτων δύναμις, ἔφη, τῆς θεότητος τοῦ Χριστοῦ ὑπῆρχεν ἐνέργεια. Ἀποτέλεσμα δὲ, φησὶ, ταύτης ὁ τῶν ἄρτων πληθυσμὸς, καὶ ἡ τοῦ λεπροῦ κάθαρσις. Οὐκ ἀποτέλεσμα τοίνυν ἐνεργείας καὶ ποίημα Θεοῦ

Digitized by Google

φησιν ἐκεῖνος, ὡς αὐτὸς φῄς, τὴν φυσικὴν ἐνέργειαν καὶ τὴν δύναμιν τοῦ Θεοῦ· ἀλλὰ ταύτης εἶναι μᾶλλον τὸ τοιονδὶ ἀποτέλεσμα καὶ κτίσμα. Τίνας δὲ καὶ φῂς εἶναι τὰς ἐνεργείας ἐκείνας, ὧν ἀποτελέσματα λέγεις, καὶ ποιήματα τὰς τῶν θαυμάτων δυνάμεις, καὶ τὰς τῆς θεότητος ἐνεργείας; Εἰ μὲν γὰρ ἑνικῶς τῆς ἐνεργείας ἔλεγες ἐνεργήματα καὶ ἀποτελέσματα ταύτας τὰς δυνάμεις καὶ τὰς ἐνεργείας, ἅπερ καὶ κτίσματα φῄς, ἐδόκεις ἂν τὴν οὐσίαν τοῦ Θεοῦ λέγειν, ἣν αὐτὸς ἄκτιστον δοξάζεις ἐνέργειαν, καὶ τέως γοῦν ἐν τούτῳ τῷ μέρει συνεφώνεις σαυτῷ· νῦν δὲ πληθυντικῶς προάγων ἐκείνας, ἐνεργειῶν γὰρ ἔφης, οὐδὲ ἐκεῖνο δύνασαι λέγειν ἐνταῦθα, οὐδὲ συνᾴδειν σαυτῷ· οὐδὲ γὰρ πολλαὶ αἱ οὐσίαι τοῦ Θεοῦ, οὐδὲ πληθυντικῶς δύνασαι προάγειν ἐκείνην ποτὲ, ἀλλ' ἑνικῶς, εἰ μή τοί γε κτίσματα φαίης τὰς σὰς ἐνεργείας ἐκείνας, ὧν ἀποτελέσματα κατὰ σὲ καὶ ποιήματα ἡ δύναμις καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ· ὡς νῦν μὲν τὴν θείαν ἐνέργειαν αὐτὴν σε θεολογεῖν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ, νῦν δ' αὐτὴν ταύτην ἀποτέλεσμα καὶ ποίημα βλασφημεῖν, οὐκ οἶδ' ὡντινων φῂς ἐνεργειῶν κτιστῶν.

Βλέπεις, ὦ Γρηγορᾶ, πῶς τῆς ἀληθινῆς τῶν ἁγίων θεολογίας ἑκὼν ἀποπλανήσας σαυτὸν, οὐδ' ὅ τι λέγεις, οὐδ' ὅ τι γράφεις αἰσθάνῃ, ἀλλὰ καὶ σαυτῷ πολεμεῖς ἐν τοῖς λόγοις τούτοις προδήλως, μηδὲ τὰς σὰς γοῦν ὑποθέσεις καὶ τὰ ἀξιώματα συντηρεῖν δυνάμενος, ἀλλὰ κἀκεῖνα πάσῃ χειρὶ καταστρέφων καὶ διαγράφων ἐκ τοῦ σύνεγγυς οὕτω, τοῦτο καὶ μόνον ἴσως ἄν τις εἴποι δικαίως; Οὕτω καὶ τὸν σοφὸν Κύριλλον ὁ αὐτὸς εἰσάγων ὡσαύτως, Τὸ μὲν βαδίζειν, λέγοντα, σωματικοῖς ποσὶ, καὶ διὰ γλώσσης λαλεῖν, ἀνθρωπίνης φύσεως ἔργον ἐτύγχανε, τὸ δὲ τοῦ παραλυτικοῦ τὰ μέλη λόγῳ θεραπεῦσαι, καὶ τοῦ κωφοῦ πρὸς τὸ φθέγγεσθαι διαρθρῶσαι τὴν γλῶσσαν, ἔργα θεϊκῆς ὑπῆρχε δυνάμεως, οὐδὲ ἃς ἀναγινώσκει λέξεις ἀκούει κἀνταῦθα τοῦ διδασκάλου, οὐδὲ τῆς τῶν λεγομένων διανοίας οὑτωσὶ φανερῶς προκειμένης ὅλως συνίησι. Τὰ γὰρ θεοπρεπῆ τοῦ Χριστοῦ θαύματα θεϊκῆς ἔργα δυνάμεως εἶναι θεολογοῦντος τούτου, καθάπερ ἀκούομεν, ἐκεῖνος τὴν οὐσιώδη καὶ φυσικὴν τῆς θεότητος τοῦ Χριστοῦ δύναμιν καὶ ἐνέργειαν, ἣν ἐν τοῖς τοῦ Θεοῦ ῥητοῖς Ἰωάννου πρὸ βραχέος ἐνέργημα καὶ θείων ἐνεργειῶν ἔλεγεν ἀποτέλεσμα καὶ κτίσμα, νῦν τὴν οὐσίαν αὐτὴν εἶναι μεταβαλὼν φησι τοῦ Θεοῦ, ἧς ἔργα καὶ ἀποτελέσματά φησι τὰ θαύματα, ἃ δὴ καὶ ἐνεργείας Θεοῦ φησιν αὖθις λέγειν τὸν θεῖον Κύριλλον. Ἐγὼ δὲ, εἰ μὲν ἀπὸ τῶν ἐνεργημάτων τε καὶ κτισμάτων ἐπὶ τὴν θεωρίαν τῆς οὐσίας αὐτῆς ἀναβαίνειν ἦν τοῦ Θεοῦ κατ' Εὐνόμιόν τε καὶ Γρηγορᾶν, ἐδεξάμην ἂν τὸν αὐτοῦ λόγον, ὀλίγα φροντίσας τῶν λέξεων· νῦν δὲ οὐχ οὕτως ἔχειν τὰ τοιάδε φασὶν οἱ τούτων θεολόγοι τε καὶ διδάσκαλοι, ἀλλ' ἐκ τῶν ποιημάτων οὐκ ἐπὶ τὴν οὐσίαν, ἀλλ' ἐπὶ τὴν σοφίαν καὶ τὴν δημιουργικὴν δύναμιν καὶ ἐνέργειαν μᾶλλον ἀναφέρεσθαι τοῦ Θεοῦ· φησὶ καὶ γὰρ ἐν τοῖς Θησαυροῖς ὁ αὐτὸς θεῖος Κύριλλος· Οὐδὲν ἐπίκτητον τῶν θείων ἰδιωμάτων, ἐκ μέντοι τῶν ἀποτελεσμάτων, A δηλαδὴ τῶν κτισμάτων, κατὰ τὰς ἐνεργείας ταύτας, ἀλλ' οὐ κατ' οὐσίαν ὁ Θεὸς ὁρᾶται. Ἤκουσας διαφορὰν κτισμάτων καὶ θείας οὐσίας καὶ ἐνεργείας, μᾶλλον δὲ ἐνεργειῶν, καὶ ὅτι κατὰ ταύτας αὐτοῦ τὰς ἐνεργείας ὁ Θεὸς ἀπὸ τῶν κτισμάτων ὁρᾶται, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν αὐτοῦ;

Ἄκουε δὴ καὶ τοῦ μεγάλου Βασιλείου τὰ αὐτὰ περὶ τῶν αὐτῶν ὡσαύτως διδάσκοντος. Δυνάμεως, φησὶ, καὶ σοφίας καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα· καὶ οὐδὲ αὐτὴν πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησιν, ἐνδεχομένου ποτὲ τὸν τεχνίτην μὴ πᾶσαν ἑαυτοῦ τὴν ἰσχὺν ἐναποθέσθαι ταῖς ἐνεργείαις, ἀλλ' ὑφειμένοις πολλάκις ἐπὶ τῶν ἔργων τῆς τέχνης τοῖς τόνοις χρήσασθαι. Εἰ δὲ καὶ ὅλην τὴν δύναμιν ἐπὶ B τὸ ἔργον ἀνακινήσειε, καὶ οὕτως ἂν ὑπάρχοι τὴν ἰσχὺν αὐτοῦ διὰ τῶν ἔργων ἀναμετρεῖσθαι, οὐχὶ δὲ τὴν οὐσίαν, ἥτις ποτέ ἐστι, καταλαμβάνεσθαι. Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· Εἰκὸς αὐτὴν μὲν τὴν οὐσίαν ἀπερίοπτον εἶναι παντὶ πλὴν ἢ τῷ Μονογενεῖ καὶ τῷ ἁγίῳ Πνεύματι· ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ Θεοῦ ἀναγομένους ἡμᾶς, καὶ διὰ τῶν ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνειν τὴν αἴσθησιν. Τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ Θεοῦ, ὃ πᾶσιν ἀνθρώποις ὁ Θεὸς ἐφανέρωσεν.

Ὁ δὲ Γρηγορᾶς οὑτοσὶ τούτων καὶ τῶν τοιούτων ἀργίαν, ὡς ἔοικε, καταγνοὺς ὁμοῦ πάντων, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν παρὰ τῶν τοιούτων εἴρητο, τοὺς C θεολόγους καὶ ἄμφω συγκρούσας ἐκείνους ἀλλήλοις, Ἰωάννην φημὶ καὶ Κύριλλον, καὶ συκοφαντήσας ὁμοῦ τὴν θεολογίαν αὐτῶν, καὶ τὴν ἐναλλὰξ ἀναλογίαν ἐκ τῶν λόγων αὐτῶν, ὡς ᾤετο, συναγαγὼν, οὕτω καὶ γὰρ ἐπέγραψε, κτίσμα Θεοῦ κατασκευάζει τὴν οὐσιώδη καὶ φυσικὴν τοῦ Θεοῦ δύναμιν καὶ ἐνέργειαν, καὶ ἀπὸ τοῦ κτίσματος τούτου πρὸς τὴν οὐσίαν τοῦ Θεοῦ κατ' Εὐνόμιόν φησι διαβαίνειν. Ἀλλ' ἡμεῖς, τὴν ψευδῆ καὶ ἄτοπον ἀναλογίαν αὐτοῦ τῷ τῆς ἀληθείας ἀνατρέποντες ὑγιεῖ λόγῳ, φαμὲν κατὰ τοὺς θείους Πατέρας, ὡς ἣν ὁ μακάριος Ἰωάννης δύναμιν ἔφη τῶν τοῦ Χριστοῦ θαυμάτων, καὶ τῆς θεότητος αὐτοῦ ἐνέργειαν, ταύτην καὶ ὁ σοφὸς εἶπεν ὡσαύτως Κύριλλος θεϊκὴν δύναμιν, αὐτὴν δηλαδὴ τὴν οὐσιώδη καὶ φυσικὴν D δύναμιν καὶ κίνησιν καὶ ἐνέργειαν τῆς θεότητος, περὶ ἧς ὁ μὲν σοφὸς Ἰωάννης, Ἐκ τῶν θαυμάτων, φησὶ, τῆς αὐτῆς οὐσίας ὄντα τῷ Πατρὶ τὸν Χριστὸν ἔγνωμεν· ἐνέργεια δὲ, φησὶ, Θεοῦ τυγχάνει τὰ θαύματα· ὁ δὲ θεσπέσιος Κύριλλος, Τὰ ἑτερογενῆ, φησὶ, καὶ ἑτεροφυῆ τὴν αὐτὴν ἐνέργειαν ἔχειν οὐκ ἄν τις δοίη σωφρονῶν· ἀλλ' ὥσπερ ἀπεσχοινισμένον ἔχουσι τῆς οὐσίας τὸν λόγον ἤτοι τῆς ποιότητος, οὕτω καὶ διάφορον ἀποδώσουσι τὴν ἐνέργειαν· ἐκεῖνο μονονουχὶ λέγων, ὅπερ ὁ σοφὸς Ἰωάννης μετὰ Μαξίμου τοῦ θείου περὶ τῶν αὐτῶν φθάσας εἴρηκεν, Ἀπὸ τῆς ἐνεργείας, λέγων, ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς, καὶ ὅτι δεῖ κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικά. Ἣν

Digitized by Google

οὖν ὁ σοφὸς Ἰωάννης, ὡς εἴπομεν, ἔφη τῶν θαυμάτων τοῦ Χριστοῦ δύναμιν καὶ θείαν ἐνέργειαν, ταύτην ὁ ἱερὸς Κύριλλος θεϊκὴν δύναμιν, καὶ τῇ θείᾳ φύσει κατάλληλον ἐνέργειαν εἴρηκεν. Ὁ δὲ ἀποτέλεσμα τῆς θείας ἐνεργείας ὁ θεῖος Ἰωάννης εἶπε, τοῦτο πληθυντικῶς ὁ σοφὸς Κύριλλος ἔργα θείας ἔφη δυνάμεως. Καὶ οὕτως ἀναλογοῦντες καὶ συμφωνοῦντες ἀλλήλοις τε καὶ τοῖς λογίοις ὅθεν ἄρα καὶ ὥρμηνται, οἱ σεπτοὶ θεολόγοι Κύριλλός τε καὶ Ἰωάννης φαίνονται κάλλιστα, καὶ τὰς κενὰς ἐκείνας ἀναλογίας, καὶ τὰς ἀσυμφώνους συμφωνίας τε καὶ συκοφαντίας ἀποστρεφόμενοι τοῦ κενοῦ φιλοσόφου.

Εἰ δ' ὁ φιλόσοφος οὗτος ἐνιστάμενος λέγοι, Καὶ πῶς αὐτός τε Κύριλλος ὁ σοφὸς καὶ Ἀθανάσιος ὁ μέγας ἐνέργειαν Θεοῦ τόν τε Υἱὸν καὶ τὸ Πνεῦμα λέγουσιν, ὃ δὴ μοι καὶ προλαβὸν διὰ τῶν ἐκείνων δέδεικται λόγων; αὐτὸς οὗτος παριὼν Γρηγορᾶς τὴν ἑαυτοῦ ἀπορίαν λυέτω. Ἡμεῖς καὶ γὰρ τὸν τὰ ἐκείνων καὶ δὴ καὶ τὰ τῶν θεολόγων ὁμοῦ πάντων θαυμαστῶς συνειλοχότα τε καὶ ἀνακεφαλαιωσάμενον, Ἰωάννην φημὶ τὸν Σύρον, σύν γε τῇ αὐτοῦ θεολογίᾳ παραγαγόντες, καὶ τοῦτ' αὐτὸ πραγματείαν δεδειχότες πεποιημένον, τὸ περὶ πάσης εἰπεῖν ἐνεργείας θείας καὶ ἀνθρωπείας, οὐδαμοῦ τέως ἐνταῦθα τοῦτον ἐνέργειαν εἰπόντα τὸν τοῦ Θεοῦ Υἱὸν εὕρομεν ἢ τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὸν τοῦ φιλοσόφου φημὶ λόγον. Αὐτὸς τοίνυν, ὅπερ ἔφην, τὴν οἰκείαν ἔνστασιν δίκαιος ἂν εἴη λύειν πρό γε τῶν ἄλλων. Μᾶλλον δ' ἐκεῖνος μὲν ἅπαν τὸ αὐτοῦ πεποίηκεν ἤδη, τοὺς θεολόγους ἐπαναστήσας ἀλλήλοις, καὶ συγκρούσας ὡς ἔθος, καὶ δι' ἀλλήλων αὐτοὺς καταλύσας, καὶ τὴν θεοπρεπῆ σφῶν θεολογίαν, ὅσον τὸ ἐπ' αὐτῷ, ἡμεῖς δὲ μετ' ὀλίγον Θεοῦ βουλομένου σύν γε τοῖς θεολόγοις Πατράσι καὶ ταύτην λύσομεν.

Νυνὶ δὲ καὶ πρὸς τὴν οἰκουμενικὴν ἁγίαν σύνοδον πρὸ τῶν ἄλλων χρεὼν βλέψαι, καὶ γὰρ καὶ τοῦ παρόντος ἔρεισμα λόγου μᾶλλον ἐκείνη, κἀκεῖθεν ὁ τῆς καθ' ἡμᾶς ὁρμᾶται μᾶλλον συνόδου τόμος, καὶ πρός γε ἔτι Γρηγορᾶς καὶ αὐτὸς ἅπτεσθαί πως ἐκ μέρους ἐκείνης δοκεῖ, πλὴν ὀλίγου τινὸς τὸ πᾶν ἐκείνης καταλιπὼν, καὶ τοῦθ' ὑπ' ἀνάγκης οἶμαι συνελαυνόμενος· ἐπειδὴ μηδ' ἀρκούντως ἐν τοῖς φθάσασι τῶν ἐκείνης ἡψάμεθα λόγων, μηδὲ τὰς κλοπὰς καὶ τὰς ἐπ' αὐτῇ παρεξηγήσεις καὶ τὰς κενοφωνίας τοῦ Γρηγορᾶ προηνέγκαμεν. Φησὶ τοιγαροῦν ἐκεῖνος, τὰ τοῦ τόμου δῆθεν ὡς ἔθος αὐτῷ κατ' αὐτοῦ τοῦ τόμου προφέρων· Ἀπὸ γὰρ τῶν τῆς ἕκτης ἁγίας ἐκείνης συνόδου, φησὶ, Πρακτικῶν προσεκομίσθη καὶ ἑτέρα ῥῆσις, ἔχουσα ἐπὶ λέξεως οὕτω·

Καὶ ὅρα τὴν ἀναισχυντίαν αὐτοῦ καὶ τὴν ἄνοιαν, πῶς τὰ ἱερὰ δημοσίᾳ κλέπτων, οὐ μάλα τοι τοὺς ὁρῶντας αἰδεῖται, οὐδὲ συγκαλύπτει γοῦν τὴν αἰσχύνην σκότῳ τινὶ καὶ ἀφανίᾳ, καθάπερ ἔθος τοῖς κλέπτουσιν. Εἰ γὰρ καὶ ἑτέρα ῥῆσις προσεκομίσθη ἀπὸ τῶν Πρακτικῶν τῆς ἁγίας συνόδου, φησὶν ὁ τόμος, ὡς καὶ αὐτὸς λέγεις, πρόδηλον ὅτι καὶ πρὸ τῆς ῥήσεως ταύτης ἄλλη παρὰ τοῦ τόμου προεκομίσθη, καὶ πολλῷ μείζων ταυτησὶ καὶ πολλαπλασίων, ἣν αὐτὸς ἀποτεμὼν κακῶς πᾶσαν ἀπέκρυψας, ἥτις καὶ μετὰ μικρὸν ὑφ' ἡμῶν εἰς αἰσχύνην καὶ θρίαμβον τοῦ ψεύδους καὶ τῆς σῆς συκοφαντίας προενεχθήσεται. Τὸ δ' οὖν παρὸν λέγε καὶ προκόμιζε τὰ τοῦ τόμου, καθάπερ αὐτὸς βούλει. Τὴν ἑκατέρας φύσεως ἑκατέραν, φησὶν, ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον, ἀδιαιρέτως προϊοῦσαν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα, καὶ τὴν ἀμέριστον ὁμοῦ καὶ ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γὰρ καὶ τῶν ἐνεργειῶν ἐπὶ Χριστοῦ ποιεῖ τὸ διάφορον, ὥσπερ δὴ καὶ τὸ εἶναι τὰς φύσεις τῶν φύσεων. Καὶ μετ' ὀλίγα, Προϊὼν, φησὶ Γρηγορᾶς, περὶ τοῦ τόμου δηλονότι καὶ τῶν ἐκθεμένων ἐκεῖνον λέγων, ἐπιφέρει συμπέρασμα τῶν τοιούτων Πρακτικῶν τὸν ὅρον, καί φησιν, ὅτι παρέδωκεν ἡ τῶν ἁγίων διδασκαλία κηρύττειν ἐπὶ Χριστοῦ δύο φυσικὰ θελήματα, οὐχ ὑπεναντία, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιπίπτον, ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν οὖν καὶ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι. Τούτων δὲ ἀναγνωσθέντων, κωφοῖς ἐῴκεσαν οἱ ἀνθιστάμενοι, ἓν καὶ πάντῃ ἀδιάφορον διατεινόμενοι τὴν θείαν τε καὶ ἄκτιστον οὐσίαν, καὶ τὴν θείαν καὶ ἄκτιστον ταύτης ἐνέργειαν. Ὁ μὲν οὖν Γρηγορᾶς, οὕτω καὶ τοῖς τοῦ ὅρου κακῶς ἐπιθέμενος, καθὰ δὴ καὶ τοῖς πρὸ αὐτοῦ, καὶ τὸ τῆς ῥήσεως ἀκροτελεύτιον μόνον ἐκεῖθεν λαβὼν, τὸ δὲ πλεῖστον ἀποῤῥίψας ἐκείνου, καὶ μηδὲ μνησθεὶς, οὕτως ἔπειτα πρὸς τὰς φίλας παρεξηγήσεις καὶ τὴν κατ' ἐκείνων τε καὶ ἡμῶν συνήθη βλασφημίαν καὶ τὰς συκοφαντίας χωρεῖ· ἐμοὶ δὲ κἀξ αὐτῶν τῶν εἰλημμένων αὐτῷ μορίων ἐκεῖθεν εὐχερῶς ἔχοντι τοῦτον ἑλεῖν, καὶ ψεύστην καὶ συκοφάντην καὶ τῆς θεότητος ὑβριστὴν, ὑπὲρ οὓς ἡ ἁγία σύνοδος ἐκείνη τότε καθεῖλεν εὐθὺς ἀποδεῖξαι, τῶν ἀναγκαίων εἶναι καταφαίνεται τὰ τῆς ἁγίας συνόδου πάντα παραγαγεῖν ἐκεῖνα τῷ λόγῳ πρότερον, εἰ καὶ μακρότερός πως ὁ λόγος, καὶ δεῖξαι τὸν τῆς εὐσεβείας κατήγορον τουτονὶ νῦν εἴπερ ποτὲ ἑκόντα κακουργοῦντά τε καὶ πονηρευόμενον, καὶ εἰς ἀσύγγνωστον ὄντως τὴν οἰκείαν θεομαχίαν καὶ τὴν βλασφημίαν ἐκτείνοντα.

Φησὶ τοιγαροῦν ὁ τῆς καθ' ἡμᾶς ἱερᾶς συνόδου τόμος· Ἐπὶ τούτοις ἀνεγνώσθη ῥῆσις τῶν Πρακτικῶν, ἔχουσα ἐπὶ λέξεως οὕτως· Τίς γὰρ, εἰ καὶ βραδὺς εἴη πρὸς τὸ νοῆσαι, οὐ θεωρήσει, ὅπερ καὶ πᾶσι φαίνεται, ὅτι ἀδύνατον καὶ παρὰ τὴν τάξιν τῆς φύσεώς ἐστι δύνασθαι εἶναι φύσιν, καὶ ἐνέργειαν μὴ ἔχειν φύσεως; ὅπερ οὐδὲ ἀπὸ τῶν αἱρετικῶν ποτε ἐδοκιμάσθη λέγεσθαι, οἵτινες πάσας τὰς ἀνθρωπίνας πανουργίας καὶ σκολιὰς ζητήσεις κατὰ τῆς ὀρθότητος τῆς πίστεως, καὶ συναθροισμοὺς ταῖς φαυλότησιν αὐτῶν προσφόρους ἐφεῦρον. Πῶς οὖν ὅπερ οὔτε παρὰ τῶν ἁγίων Πατέρων ἐῤῥέθη ποτὲ, οὔτε ἀπὸ τῶν βεβήλων αἱρετικῶν τετόλμηται εὑρεθῆναι, ἐκ τοῦ παρόντος δυνήσεται προπετευθῆναι, ἵνα τῶν δύο φύσεων τοῦ Χριστοῦ, τῆς θείας δηλαδὴ καὶ τῆς ἀνθρωπίνης, ὧντινων αἱ ἰδιότητες ἀκέραιοι εἶναι γνωρίζονται ἐν Χριστῷ, μίαν ἔχειν ἐνέργειαν; Τίς ποτε ὀρθῶς φρονῶν δυνήσεται ἀποδεῖξαι,

Digitized by Google

ὁπότε ἐὰν μία ἐστὶν εἴπωσιν, ἢ χρονικὴ, ἢ ἀΐδιος λεχθήσεται, θεία ἢ ἀνθρωπίνη ἄκτιστος ἢ κτιστὴ, ἢ αὐτὴ ἥτις καὶ τοῦ Πατρός ἐστιν, ἢ ἑτέρα παρὰ τὸν Πατέρα; Εἰ τοίνυν μία ἐστὶ καὶ ἡ αὐτὴ, μία τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κοινή ἐστιν· ὅπερ ἀλλόκοτόν ἐστι λέγεσθαι. Οὐκοῦν ἐπὰν ὁ Υἱὸς τοῦ Θεοῦ ὁ αὐτὸς Θεὸς καὶ ἄνθρωπός ἐστι, τὰ ἀνθρώπινα ἐνεργήσας ἐπὶ τῆς γῆς, ὁμοίως σὺν αὐτῷ καὶ ὁ Πατὴρ ἐνήργησεν. Ἐπειδὴ ἃ ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ· ἐπεὶ ὅπερ ἡ ἀλήθεια περιέχει, ἐν ὅσῳ ἀνθρώπινά τινα ἐνήργησεν ὁ Χριστὸς, πρὸς μόνον τὸ πρόσωπον αὐτοῦ ὡς Υἱοῦ ἐπαναφέρεται· ἅτινα οὐκ ἔστι τὰ αὐτὰ, οἷα τὰ τοῦ Πατρός. Κατ' ἄλλο γὰρ δηλονότι καὶ ἄλλο ἐνήργησεν ὁ Χριστὸς, ἵνα κατὰ τὴν θεότητα ἃ ποιεῖ ὁ Πατὴρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιῇ, καὶ κατὰ τὴν ἀνθρωπότητα, ἃ εἰσι τοῦ ἀνθρώπου ἴδια, ὁ αὐτὸς οὗτος ἐνήργει ὡς ἄνθρωπος· ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς καὶ ἄνθρωπος. Ὅθεν καὶ ἀληθῶς πιστεύεται, ὅτι ὁ αὐτὸς οὗτος εἷς ὢν, ἔχει φυσικὰς ἐνεργείας, τὴν θείαν δηλονότι καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ τὴν κτιστὴν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς, ἀληθινὸς καὶ τέλειος ἄνθρωπος, εἷς ὁ αὐτὸς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, Κύριος Ἰησοῦς Χριστός;

Ταύτην πᾶσαν τὴν περὶ τῶν ἐνεργειῶν τοῦ Χριστοῦ θεόπνευστον θεολογίαν, τὴν οὕτω πλατεῖάν τε καὶ σαφῆ καὶ ἠκριβωμένην διὰ πάντων, τὴν καὶ τῆς θείας οὐσίας καὶ τῶν κτισμάτων τὴν θείαν καθαρῶς διαιροῦσαν ἐνέργειαν, καὶ λέξεσιν αὐταῖς τὸ θεοπρεπές τε καὶ ἄκτιστον αὐτῆς διαῤῥήδην ἀνακηρύττουσαν, καίτοι γε καὶ τηλικαύτην καὶ διὰ μακρῶν οὕτω ῥηθεῖσαν παντελῶς ἀποσιωπήσας Γρηγορᾶς φαίνεται, καὶ μηδὲ προσεγγίσαι γοῦν τῷ λόγῳ καὶ προσάψασθαι δυνηθεὶς, τὴν μὲν ἧτταν τὴν αὐτὸς ἑαυτοῦ πᾶσιν ἀνακηρύττων τῇ πρὸς ταῦτα σιγῇ, τῇ συνόδῳ δὲ καὶ τῷ τόμῳ λαμπράν τινα καὶ περιφανῆ τὴν νίκην καὶ τὸ κράτος ἀνακηρύττων καὶ ἄκων, καὶ πράγμασιν αὐτοῖς πᾶσι δεικνὺς, ὡς ἃ μὲν ἀντιλέγων δῆθεν λέγει καὶ γράφει, παίδων εἰσὶν ἀθύρματα κατὰ ψαμάθου παιζόντων, καὶ παῖδας ὡσαύτως ἐξαπατώντων, ἢ καὶ τερπόντων, οὐκ ἄνδρας νοῦν ἔχοντας καὶ λόγον πρεσβεύοντας ἀληθῆ, ἐκεῖνος δ' ὁ τῆς ἀληθείας λόγος καὶ μόνος, ὃς καθάπερ οὐ δέδεται, κατὰ τὸν μακάριον εἰπεῖν Παῦλον, οὕτως οὐδὲ παίζει καὶ παίζεται, δρᾷ δὲ μᾶλλον οἷς ἂν ἐγγένηται τὰ θεῖα καὶ ὑψηλότατα, ἀπὸ τῆς σαρκὸς ἀνάγων ἐπὶ τὸ Πνεῦμα, καὶ μυστηρίων Θεοῦ κοινωνοὺς τοὺς μετέχοντας ἐργαζόμενος. Ὅθεν καὶ ἐδόκει δεῖν εἶναι τὸν περὶ τῶν προκειμένων λόγον κἀμοὶ κἀνταῦθα πεπαῦσθαι, καὶ τῆς εἰς τὰ πρόσω φορᾶς ἀνασχεῖν ἤδη τὴν χεῖρα. Ἢ τί γὰρ ἄν τις περιεργάζοιτο περαιτέρω, καὶ λέγοι καὶ γράφοι καὶ διαλέγοιτο, τοῦ προσδιαλεγομένου φεύγοντος τὸν ἀγῶνα καὶ τὸ στάδιον, καὶ τὴν τῆς ἀγωνίας ἀκμὴν οὕτω δραπετεύοντος αἴσχιστα, καὶ καθ' ἑαυτοῦ μὴ μόνον τὰς ψήφους καὶ τὸν ἄνωθεν ἕλκοντος βραβευτὴν, ἀλλὰ καὶ τὴν εἰρωνείαν καὶ τὰ σκώμματα καὶ τὸν δίκαιον γέλωτα ξυμπάντων ἅμα τῶν θεατῶν;

A Ἀλλὰ τὰ μὲν τῆς νίκης καὶ τῶν βραβείων οὕτω προφανῶς μεθ' ἡμῶν· καὶ οὐδείς ποτε τῶν πάντων ἀντερεῖ μὴ τὸν ἐγκέφαλον διασεσεισμένος, ἢ καὶ τὴν γνώμην καὶ τὴν ψυχὴν ἄλλως διάστροφος. Ἀλλ' ἐπειδὴ καὶ τὴν κατὰ τὴν προῤῥηθεῖσαν τῆς ἁγίας συνόδου δευτέραν ῥῆσιν, ἑξῆς ἐν τῷ τόμῳ κειμένην, ὁ τοὺς ἀντιῤῥητικοὺς γράφων ἐκείνους λόγους ἐκεῖθεν ἀποσπάσας δίχα παντὸς ἐρυθήματος, καὶ γράφειν πρὸς ἐκείνην καὶ λέγειν καὶ ἀντιλέγειν τολμᾷ, δίκαιον ἂν εἴη τοῖς αὐτοῖς καὶ ἡμᾶς ἐγχειρῆσαι καὶ αὖθις, κἀκεῖνα παραγαγόντας τῷ λόγῳ, ἔπειτα καὶ πρὸς Γρηγορᾶν, καὶ τὰς ἐκείνου παρεξηγήσεις, καὶ τὰ καθ' ἡμῶν ἐγκλήματα βλέψαι.

Φησὶ τοιγαροῦν καὶ αὖθις ὁ τόμος· Καὶ πάλιν ἀπὸ τῶν αὐτῶν Πρακτικῶν προεκομίσθη ἑτέρα ῥῆ- B σις, ἔχουσα ἐπὶ λέξεως οὕτω· Τὴν ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον, ἀδιαιρέτως ἐξ ἑκατέρας, προϊοῦσαν οὐσίας καὶ φύσεως, κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα, καὶ τὴν ἀμέριστον ὁμοῦ καὶ ἀσύγχυτον θατέρας οὐσίας συνεπαγομένην ἐνέργειαν. Τοῦτο γὰρ καὶ τῶν ἐνεργειῶν ἐπὶ Χριστοῦ ποιεῖ τὸ διάφορον, ὥσπερ δὴ καὶ τὸ εἶναι τὰς φύσεις τῶν φύσεων.

Καὶ τὸ μὲν μέχρι τοῦδε καὶ Γρηγορᾶς ὡσαύτως ἔν γε τοῖς αὐτοῦ προστίθησι γράμμασι· τὸ δὲ τούτων ἑξῆς, τοῦ τῆς μακαρίας ἐκείνης συνόδου πεφυκὸς ὅρου, τοῖς προλαβοῦσι παρ' ἐκείνου σχεδὸν ταὐτὰ πέπονθε· πλὴν ὅσον ἐκεῖνα μὲν καὶ σεσίγηκε παν- C τελῶς, καθὰ δὴ καὶ αὐτὸς ἔφθην εἰπών· τὰ δὲ τοῦ ὅρου ταυτὶ κατατεμὼν καὶ διασπαράξας, τὰ μὲν καὶ σιωπῇ καὶ λήθῃ τὸ κατ' αὐτὸν δέδωκε, τὰ δὲ λαβὼν ἐκεῖθεν συνῆψε τοῖς προῤῥηθεῖσι, καθὰ δήπου καὶ ἡμῖν ἐν τοῖς φθάσασιν εἴρηται· ὧν καὶ τὸ πάθος καὶ τὴν τομὴν διελέγξει μάλα σαφῶς, ὑγιᾶ παρ' ἡμῶν ἐνταῦθα νῦν τὰ τοῦ ὅρου προτεθέντα.

Φησὶ τοίνυν καὶ πάλιν ὁ τόμος· Ἀλλὰ καὶ ὁ παρ' αὐτῶν ζητούμενος ὅρος ἀναγνωσθεὶς εἶχεν ἐπὶ λέξεως οὕτως· Ἡ παροῦσα ἁγία καὶ οἰκουμενικὴ σύνοδος, πιστῶς δεξαμένη καὶ ὑπτίαις χερσὶν ἀσπασαμένη τήν τε τοῦ μακαριωτάτου καὶ ἁγιωτάτου πάππα τῆς πρεσβυτέρας Ῥώμης Ἀγάθωνος γενομένην ἀναφορὰν πρὸς τὸν εὐσεβέστατον ἡμῶν βασιλέα. Καὶ μετά τινα· Ἑπομένη τε ταῖς ἁγίαις καὶ D οἰκουμενικαῖς πέντε συνόδοις, καὶ τοῖς ἁγίοις ἐκκρίτοις Πατράσι, καὶ συμφώνως ὁρίζουσα ὁμολογεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, τὸν ἕνα τῆς ἁγίας καὶ ὁμοουσίου καὶ ζωαρχικῆς Τριάδος, τέλειον ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, κατὰ πάντα ὅμοιον ἡμῖν χωρὶς ἁμαρτίας, πρὸ αἰώνων μὲν ἐκ Πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου τῆς κυρίως καὶ ἀληθῶς Θεοτόκου κατὰ τὴν ἀνθρωπότητα, ἕνα καὶ τὸν αὐτὸν Χριστὸν Κύριον μονογενῆ ἐν δύο φύσεσιν, ἀσυγχύτως, ἀτρέπτως, ἀχωρίστως, ἀδιαιρέτως γνωριζόμενον, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν,

Digitized by Google

σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης, οὐκ εἰς δύο πρόσωπα μεριζόμενον ἢ διαιρούμενον, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Υἱὸν μονογενῆ, Θεὸν, Λόγον, Κύριον Ἰησοῦν Χριστὸν, καθάπερ οἱ προφῆται ἄνωθεν περὶ αὐτοῦ, καὶ αὐτὸς ἡμᾶς Ἰησοῦς Χριστὸς ἐξεπαίδευσε, καὶ τὸ τῶν ἁγίων Πατέρων ἡμῖν παρέδωκε σύμβολον, καὶ δύο φυσικὰς θελήσεις ἤτοι θελήματα ἐν αὐτῷ, καὶ δύο φυσικὰς ἐνεργείας, ἀδιαιρέτως, ἀτρέπτως, ἀμερίστως, ἀσυγχύτως κατὰ τὴν τῶν ἁγίων διδασκαλίαν ὡσαύτως κηρύττομεν. Καὶ δύο μὲν φυσικὰ θελήματα, οὐχ ὑπεναντία, μὴ γένοιτο, καθὼς οἱ ἀσεβεῖς ἔφησαν αἱρετικοὶ, ἀλλ' ἑπόμενον τὸ ἀνθρώπινον αὐτοῦ θέλημα, καὶ μὴ ἀντιπίπτον ἢ ἀντιπαλαῖον, μᾶλλον μὲν οὖν καὶ ὑποτασσόμενον τῷ θείῳ αὐτοῦ καὶ πανσθενεῖ θελήματι. Καὶ ταῦτα μὲν ὁ τῆς καθ' ἡμᾶς συνόδου τόμος, ἐκ τῆς οἰκουμενικῆς συνόδου λαβών· ὁ δὲ Γρηγορᾶς τοὺς τῆς παροιμίας μιμεῖσθαι βουλόμενος φῶρας, δέον μετὰ τὴν παράλογον κατὰ τῆς συνόδου ταυτηνὶ τόλμαν ὑποχωρεῖν καὶ καταδύεσθαι, καὶ τοὺς ἐλέγχους ὑποφρίττειν καὶ δεδιέναι, ὁ δ' ἀναισχυντίας καὶ θράσους, μᾶλλον δ' εἰπεῖν οἰκειότερον, ἀναισθησίας ὑπερβολῇ, καὶ προσεγκαλεῖν καὶ προσεπεμβαίνειν οἴεται δεῖν, καὶ λέξεως ἀλλοίωσιν, ὡς αὐτὸς ἐκεῖνός φησιν, αἰτιᾶσθαι, καὶ συλλαβῆς μιᾶς τινος ἀποβολὴν ἢ παρόρασιν. Καίτοι γε τὸ λέξιν ἐν τοῖς φθάσασιν ἀμειφθῆναι, καὶ συλλαβὴν ἐκ τοῦ μέσου διαδραμεῖν, ὡς αὐτός φησιν, ἢ λήθῃ καὶ συναρπαγῇ τῶν ἀπογραφομένων τὰς ἱερὰς ῥήσεις, ἢ τῶν πρωτοτύπων διαφορᾷ, καινὸν οὐδὲν οὐδὲ ἄηθες, ἕως ἂν ὁ τοῦ λόγου σκοπὸς καὶ ἡ διάνοια τῶν ἐξ ἀρχῆς συντεθεικότων οὐδὲν ἧττον διατηρῆται. Τί γὰρ πρός γε τὸν τοῦ λόγου σκοπὸν ἐναντίον ἂν γένοιτο, εἰ ἀντὶ τῆς συνεργείας, ὥς φησι Γρηγορᾶς, ἐνέργειαν ὁ τόμος ἐξέδωκεν, οὕτως ἐν ἄλλοις τῶν ἀρχετύπων πυκτίων εὑρών; Ταυτὸ καὶ γάρ ἐστι συνεργίαν τε τῆς ἑτέρας οὐσίας εἰπεῖν, συνεπαγομένην ἐπὶ Χριστοῦ τὴν ἑτέραν οὐσίαν, εἰς μίαν ἄμφω τὴν αὐτοῦ συνιούσας ὑπόστασιν καὶ ἐνέργειαν· ὡς ἀγνοεῖν τὸν ταῦτα διεξιόντα διὰ τὸ τῆς ἐννοίας ἓν ὡσαύτως καὶ ἀδιάφορον, πότερον ἂν εἴη τούτων ἀληθῶς τῶν ἐξ ἀρχῆς εἰρηκότων τε καὶ συγγραψαμένων ἐκεῖνα. Ἔστω τοιγαροῦν ἀντὶ ἐνεργείας κατὰ Γρηγορᾶν συνεργία, καὶ τῇ θατέρας λέξει προσκείσθω ἢ καὶ προκείσθω, καθά φησιν ἐκεῖνος, καὶ τὸ, *τὴν*, ἄρθρον. Οὐδὲν ἡμεῖς πρὸς ταῦτα διαφερόμεθα, εἴθ' οὕτως εἴτε ἐκείνως ἔχει. Τὸ δὲ κατὰ τῆς οἰκουμενικῆς ἁγίας ταύτης συνόδου, καὶ τῶν τῆς πίστεως ἀξιωμάτων τολμηρᾷ καὶ ψυχῇ καὶ γλώττῃ χωρῆσαι, καὶ πᾶσαν ἐκείνην τὴν τῶν Πατέρων θεολογίαν, Πνεύματι θείῳ ῥηθεῖσαν, πλὴν ὀλίγου γέ τινος ἀπελάσαι τοῦ συνεδρίου, τοῦτο τοίνυν καὶ τοὺς τὰ Μαρκίωνος πάλαι νοσοῦντας πολλῷ τινι παρελαύνει τῷ μέσῳ, ὅσον ἐκεῖνοι μὲν κατὰ συλλαβῶν καὶ λέξεων μόνων ἐχώρουν, καὶ τούτῳ ταῖς ἱεραῖς ἐπεχείρουν λυμαίνεσθαι Γραφαῖς, ὅ φασιν οἱ τὰ ἐκείνων ἐξητακότες· ὁ δὲ Γρηγορᾶς οὑτοσὶ σελίδας ὅλας ὁμοῦ καὶ κῶλα καὶ χωρία μακρὰ, A καὶ ταῦτα τῶν οἰκουμενικῶν συνόδων, καὶ τῶν ἀξιωμάτων, ὅπερ εἶπον, ἀνερυθριάστως ἐκβάλλει, καὶ Ἀκίνδυνον ἐν τούτῳ τὸν Βαρλαὰμ ἐκείνου διάδοχον καὶ τῆς αἱρέσεως δεύτερον προστάτην πολλῷ τινι παρελάσας τῷ μέσῳ.

Ἀλλὰ τὰ μὲν ἅλις ἐχόντων τό γε νῦν εἶναι· δεῖ δὲ καὶ πρὸς τὰς ἐξηγήσεις καὶ τὴν τῶν ἱερῶν, ὡς αὐτός φησι, ῥητῶν ἀνάπτυξιν ἐλθεῖν καὶ ἡμᾶς ἤδη τοῦ φιλοσόφου. Φέρε, φησὶ, καὶ τὴν εὐσεβῆ προσαποδῶμεν ἔννοιαν ἀκολούθως αὐτῇ καὶ ὁλόκληρον ἐφεξῆς. Ἔχει δὲ οὑτωσί· Τὴν ἑκατέρας φύσεως ἑκατέραν ἴσμεν, φησὶν, ἐνέργειαν, εἴτουν τῶν τοῦ Χριστοῦ φύσεων δύο τὰς ἐνεργείας γινώσκομεν, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος· ταυτὸ δὲ εἰπεῖν μίαν μὲν τὴν ἁπλῆν τε καὶ ἀσύνθετον καὶ B ἄκτιστον, ἑτέραν δὲ τὴν κτιστὴν καὶ σύνθετον. Ἐπεὶ δὲ καὶ οὐσιῶδες λέγεται τὸ τῆς οὐσίας ἑκάστης συστατικὸν, καὶ φυσικὸν ὁμοίως τὸ τῆς φύσεως ἑκάστης συστατικὸν, ὅθεν καὶ οὐσιώδης τε καὶ ἐνούσιος ὁ Υἱὸς καὶ Λόγος λέγεται τοῦ Θεοῦ κατὰ τὸν μέγαν Ἀθανάσιον· καταλλήλως ἄρα καὶ ἁρμοζόντως γινώσκομεν τὴν μὲν ἁπλῆν οὐσίαν καὶ φύσιν ἄκτιστον εἶναι καὶ ἁπλῆν καὶ μίαν ἐνέργειαν, ὥσπερ ἦν, πρὸ τῆς σαρκώσεως, ἦν δὲ πάντως καὶ προῆν, ἁπλῆ καὶ μία καὶ αὐτενέργεια· ἐπεὶ δὲ ἀναλλοίωτος ἦν, ἔμεινεν ἄρα καὶ μετὰ σάρκωσιν ὥσπερ ἦν ἁπλῆ καὶ μία καὶ αὐτενέργεια ἄκτιστος· καὶ οὐκ ἄλλη μὲν κατ' οὐσίαν, ἄλλη δὲ κατ' ἐνέργειαν. Τοῦτο γὰρ δέδεικται πολλάκις, ὡς ἐπὶ τῆς C ἁπλῆς ἐκείνης καὶ θείας φύσεως οὐ δύναται διπλόη τις γνωσθῆναι καὶ διαφορά. Πῶς γὰρ τὸ πάντῃ ἓν διαφορὰν ἕξει πρὸς ἑαυτὸ καὶ ἐναντιότητα; Καταλλήλως οὖν ἐφαρμόζομεν τῇ μὲν ἁπλῇ ἐκείνῃ καὶ θείᾳ φύσει τὸ ἄκτιστον εἶναί τε καὶ νοεῖσθαι καὶ λέγεσθαι ἐνέργειαν, τῇ δὲ συνθέτῳ καὶ ἀνθρωπίνῃ φύσει τὸ κτιστὴν καὶ ὁρατὴν ἔχειν ἐνέργειαν, ὅθεν καὶ ἀδιαιρέτως προϊοῦσαν ἴσμεν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως, ἀναλόγως αὐτὴν εἰς τὰ φαινόμενα θαύματα ποιουμένην τὴν πρόοδον ὁμοῦ καὶ φανέρωσιν, κατὰ τὸν θεῖον Ἀπόστολον, ἑκάστῳ τὴν τοῦ Πνεύματος φανέρωσιν πρὸς τὸ συμφέρον δίδοσθαι φάσκοντα.

Ἀκούσατε τῆς τοῦ σοφοῦ, μᾶλλον δὲ τῆς τοῦ σοφιστοῦ τουτουῒ καὶ ἀπατεῶνος καταγελάστου καὶ D μωρᾶς ἐξηγήσεως. Οὐδὲ γὰρ τὴν ἀληθινὴν μόνην καὶ πρώτην, ἀλλὰ καὶ τὴν κάτω καὶ δούλην καὶ ὑπηρέτιν ταύτης σοφίαν, κακῶς ἀπολωλεκὼς φαίνεται. Ἡ μὲν γὰρ οἰκουμενικὴ τῶν Πατέρων ἱερὰ σύνοδος, Τὴν ἑκατέρας, φησὶ, φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν, τὴν οὐσιώδη λέγω καὶ φυσικὴν καὶ κατάλληλον, ἀδιαιρέτως ἐξ ἑκατέρας προϊοῦσαν οὐσίας καὶ φύσεως, καὶ ὅσα ἑξῆς, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν· ὁ δὲ, μήτε δέξασθαι καὶ πιστεῦσαι τοῖς καλῶς τε καὶ θεοπνεύστως εἰρημένοις βουλόμενος, μήτε παραγράψασθαι τοὺς τοῦ λόγου τῆς ἀληθείας κήρυκας τολμῶν φανερῶς, ἐξηγήσεσι δῆθεν καὶ διαστρόφοις ἑρμηνείαις τὴν ἁπλουστάτην τε καὶ σαφῆ καὶ φανερὰν ἀλήθειαν διαγράψαι πειρᾶται, τὰ καταγέλαστα παραφθεγγόμενος ἐκεῖνα. Τὴν

Digitized by Google

ἑκατέρας γὰρ, φησὶ, φύσεως ἑκατέραν ἴσμεν ἐνέργειαν· ἤγουν τῶν τοῦ Χριστοῦ φύσεων δύο τὰς ἐνεργείας γινώσκομεν, τῆς τε θεότητος καὶ τῆς ἀνθρωπότητος. Εἶτα μεταξὺ περὶ οὐσιώδους εἰπὼν καὶ φυσικοῦ, καὶ τὸν Υἱὸν αἰνιξάμενος τοῦ Θεοῦ, τὴν φυσικὴν εἶναι ταύτην ἐνέργειαν, ὡς οὐσιῶδές τι καὶ φυσικὸν, εἴτουν συστατικὸν τῆς οὐσίας τε καὶ τῆς φύσεως, ὡς αὐτός φησιν, ἀλλ' οὐχ ὡς οὐσίαν ζῶσαν καὶ τελείαν ὑπόστασιν, καὶ τὸν μέσον ὅρον ἐντεῦθεν κακῶς εἰληφὼς, τῶν ὁμωνύμων πως ὄντα, καὶ συλλογισάμενος οὕτως, ὡς ᾤετο, ψευδὲς ἐπήγαγε τὸ συμπέρασμα, συναγαγὼν οὑτωσί· Καταλλήλως ἄρα καὶ ἁρμοζόντως γινώσκομεν τὴν μὲν ἁπλῆν οὐσίαν καὶ φύσιν ἄκτιστον εἶναι καὶ ἁπλῆν καὶ μίαν ἐνέργειαν. Καὶ μετ' ὀλίγον· Καὶ οὐκ ἄλλη μὲν κατ' οὐσίαν, ἄλλη δὲ κατ' ἐνέργειαν. Καὶ μετὰ βραχύ· Πῶς γὰρ τὸ πάντη ἓν διαφορὰν ἕξει πρὸς ἑαυτὸ καὶ ἐναντιότητα, τῇ δὲ συνθέτῳ καὶ ἀνθρωπίνῃ φύσει τὸ κτιστὴν καὶ ὁρατὴν ἔχειν ἐνέργειαν;

Καὶ τί τούτων ἡμῖν ἔδει, φιλόσοφε, τῶν συλλογισμῶν τε καὶ παραλογισμῶν, ἐξὸν αὐτόθεν τὸν τῆς πίστεως λόγον λαβεῖν εὐαγγελικῶς τε καὶ ἁπλῶς, ἀλλ' οὐκ Ἀριστοτελικῶς τε καὶ σοφιστικῶς, μᾶλλον δ' ἀσόφως οἰκειότερον εἰπεῖν, ἐκτεθειμένον; Εἰ γὰρ καὶ Ἀριστοτέλης αὐτὸς ἐκεῖνος ὁ σὸς διδάσκαλος παρῆν, καὶ τῶν σῶν λόγων τε καὶ παραλογισμῶν τούτων ἤκουε, πληγῶν ἂν εἶπε δεῖσθαι καὶ σὲ, ἐπειδὴ καὶ τοῖς μὴ λόγῳ καὶ ἀποδείξει κατὰ σὲ πειθομένοις οὕτως εὖ ποιῶν ἐκεῖνος ἐδίκασεν. Οἱ μὲν γὰρ τῆς οἰκουμενικῆς ταύτης συνόδου Πατέρες, οὐ περὶ διαφορᾶς τῶν Χριστοῦ φύσεων καὶ ἑνώσεως ὑποστατικῆς συνιόντες τότε, οὐδὲ γὰρ τὸν ἀντιλέγοντα τούτοις οὐδαμῶς εἶχον, πάντων ἐπίσης τὰ Νεστορίου τε καὶ Διοσκόρου καὶ Εὐτυχοῦς μετὰ πολλῆς τῆς σφοδρότητος ἀποστρεφομένων, ἀλλὰ περὶ θελημάτων μᾶλλον καὶ ἐνεργειῶν τῶν ἐν τῷ Χριστῷ τοῦ ἀγῶνος αὐτοῖς ὄντος, τούτοις καὶ γὰρ ἦσαν οἱ σφοδρῶς πολεμοῦντες, ἁπλῶς οὕτω καὶ δίχα συλλογιστικῶν ἐφόδων τε καὶ κατασκευῶν δύο τὰς φυσικάς τε καὶ οὐσιώδεις ἐνεργείας εἶπον τοῦ Χριστοῦ, καταλλήλως ἑκατέραν ἐξ ἑκατέρας αὐτοῦ προϊοῦσαν οὐσίας καὶ φύσεως κατὰ τὴν ἐμπεφυκυῖαν αὐτῇ φυσικὴν καὶ οὐσιώδη ποιότητα· καὶ ὅτι ἀδύνατον καὶ παρὰ τὴν τάξιν φύσεώς ἐστι τὸ εἶναι φύσιν, καὶ ἐνέργειαν μὴ ἔχειν φύσεως, ὅπερ οὔτε ἀπὸ τῶν αἱρετικῶν, φησὶν, ἐδοκιμάσθη ποτὲ λέγεσθαι, πλὴν τῶν Μονοθελητῶν ἐκείνων, καὶ μετ' ἐκείνους τε καὶ σὺν ἐκείνοις Ἀκινδύνου τε καὶ τοῦ Γρηγορᾶ τούτου. Κατ' ἄλλο γὰρ, φησὶ, καὶ ἄλλο δηλονότι ἐνήργησεν ὁ Χριστός· ἐπειδὴ ἀληθής ἐστι καὶ Θεὸς καὶ ἄνθρωπος. Ὅθεν καὶ ἀληθῶς πιστεύεται ὅτι ὁ αὐτὸς οὗτος, εἷς ὢν, ἔχει φυσικὰς ἐνεργείας, τὴν θείαν δηλονότι καὶ τὴν ἀνθρωπίνην, τὴν ἄκτιστον καὶ τὴν κτιστὴν, ὡς ἀληθινὸς καὶ τέλειος Θεὸς, ἀληθινὸς καὶ τέλειος ἄνθρωπος. Σὺ δὲ πᾶσι τούτοις φανερῶς ἀντιλέγων ὁμοῦ, καὶ μετὰ πολλῆς τῆς ἀναισχυντίας ἀντικείμενος, πρὸς τοῖς ἄλλοις ἀτόποις κἀκεῖνο σὺν τοῖς Μονοθελήταις ἐκείνοις

A παῤῥησιαζόμενος λέγεις, ὅτι ἐπὶ τῆς ἁπλῆς ἐκείνης καὶ θείας φύσεως οὐ δύναται διπλόη τις γνωσθῆναι καὶ διαφορά. Πῶς γὰρ, φῄς, τὸ πάντη ἓν διαφορὰν ἕξει πρὸς ἑαυτὸ καὶ ἐναντιότητα, τὴν κατ' ἐπίνοιαν παρὰ τῶν θεολόγων ῥηθεῖσαν διάκρισιν καὶ διαφορὰν τῆς θείας ἑνώσεως, ἤτοι τῆς θείας οὐσίας πρὸς τὴν θείαν φύσιν, στάσιν τινὰ καὶ μάχην καὶ ἐναντιότητα τοῦ ἑνὸς δοξάζων κακῶς πρὸς ἑαυτό· ὅπερ τότε μὲν οἱ Μονοθελῆται, περὶ τῶν δύο θελημάτων τε καὶ ἐνεργειῶν τοῦ Χριστοῦ, ὡς ἀλλήλοις ἀντικαθισταμένων δῆθεν καὶ ἀντιπαλαιόντων, κακῶς φρονοῦντες ἐξηλέγχθησάν τε καὶ ἀπεβλήθησαν· ὁ δὲ Γρηγορᾶς νῦν, πολλῷ χεῖρον καὶ ἀτοπώτερον ἐπὶ τῆς θείας φύσεως καὶ τῆς θείας αὐτῆς ἐνεργείας ὑπενόησε καὶ ἐδίδαξεν. Εἶτα καὶ μετ' B Εὐνομίου τοῦ πάλαι νομοθετῶν ὡσανεὶ καὶ αὐτὸς, καὶ διαιτῶν τῇ θεότητι, καθάπερ ἐκεῖνος περὶ τοῦ Μονογενοῦς ἔλεγεν, ὅτι μὴ ὄντα φαμὲν γεγενῆσθαι τὸν Υἱὸν, τῇ δὲ τοῦ ποιήσαντος γνώμῃ τὴν διαφορὰν τοῖς πᾶσιν ὁριζόμενοι, τοσαύτην αὐτῷ νέμομεν τὴν ὑπεροχὴν, ὅσην ἔχειν ἀναγκαῖον τῶν ἰδίων ποιημάτων τὸν ποιητὴν, οὕτω καὶ Γρηγορᾶς ἐνταῦθά φησι, Καταλλήλως οὖν ἐφαρμόζομεν τῇ μὲν ἁπλῇ ἐκείνῃ καὶ θείᾳ φύσει τὸ ἄκτιστον εἶναί τε καὶ νοεῖσθαι καὶ λέγεσθαι ἐνέργειαν, τῇ δὲ συνθέτῳ καὶ ἀνθρωπίνῃ φύσει τὸ κτιστὴν καὶ ὁρατὴν ἔχειν ἐνέργειαν, ὡς εἶναι τοὺς μὲν πάλαι Μονοθελήτας, τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ φύσιν ἀρνουμένους, φυσικὴν λέγειν ἔχειν ἐνέργειαν, Ἀκίνδυνον C δὲ καὶ Γρηγορᾶν τουτονὶ τὴν θείαν μηδαμῶς λέγειν φύσιν φυσικὴν ἔχειν ἐνέργειαν, ἀλλ' αὐτὴν ἐκείνην μᾶλλον ἐνέργειαν πεφυκέναι τὴν φύσιν, ὃ δὴ καὶ ὁ τῆς καθ' ἡμᾶς συνόδου τόμος ἤδη περὶ αὐτῶν εἴρηκεν, οὐ θεολογικήν τινα μαρτυρίαν προβαλλομένων, οὐ τὴν οἰκουμενικὴν ταυτηνὶ προϊσταμένων τοῦ λόγου σύνοδον, τοὺς τεχνίτας φημὶ καὶ ἀγωνιστὰς καὶ λαμπροὺς τοῦ δόγματος κήρυκας, ἀλλὰ τὰ τῆς πεπλανημένης αὐτῶν δόξης καὶ φαντασίας ὥσπερ ἀξιώματά τινα τῆς μεγάλης ἡμῶν προβαλλόντων πίστεως. Καταλλήλως καὶ γὰρ, φησὶν, ἐφαρμόζομεν τῇ ἁπλῇ ἐκείνῃ καὶ θείᾳ φύσει τὸ ἄκτιστον εἶναί τε καὶ νοεῖσθαι καὶ λέγεσθαι ἐνέργειαν, ὥσπερ αὐτοκράτωρ τις καὶ τύραννος αὐτοχειροτόνητος τῶν τοιούτων.

D

Καὶ ὅρα καὶ τὴν τῆς ἀναισθησίας ἑξῆς καὶ ἀνοίας κατασκευὴν, καὶ ᾗ συγκεφαλαιοῖ τὸν τῆς δυσσεβείας λόγον κακῶς. Ὅθεν καὶ ἀδιαιρέτως, φησὶ, προϊοῦσαν ἴσμεν ἐξ ἑκατέρας οὐσίας καὶ φύσεως ἀναλόγως αὐτὴν, εἰς τὰ φαινόμενα θαύματα ποιουμένην τὴν πρόοδον καὶ φανέρωσιν. Καὶ εἰ μία καὶ ἡ αὐτή ἐστιν ἡ θεία οὐσία καὶ ἡ θεία ἐνέργεια, φιλόσοφε, καὶ ἓν πάντη καὶ ἀδιάφορον, καὶ οὐδαμῶς οὐδὲ κατ' οὐδένα τινὰ λόγον ἐστὶν ἄλλο οὐσία καὶ ἄλλο ἐνέργεια, ὡς αὐτὸς ἤδη διὰ πολλῶν πᾶσι τοῖς ἁγίοις καὶ δὴ καὶ τῇ συνόδῳ ταύτῃ τῇ ἱερᾷ κακῶς ἀντικαθιστάμενος κατεσκεύασας, ἐκ ποίας οὐσίας αὖθις καὶ φύσεως ἡ οὐσία τοῦ Θεοῦ πρόεισι; Μὴ καὶ οὐσίας αὐτὸς πολλάς τινας καὶ διαφόρους ἔχεις τοῦ

Digitized by Google

Θεοῦ λέγειν, καὶ διὰ ταῦτα τὴν οὐσίαν ταύτην, ἣν δὴ καὶ ἐνέργειαν τοῦ Θεοῦ δοξάζεις, ἐκ τῆς οὐσίας φῂς προϊέναι τοῦ Θεοῦ;

Ὁρᾶτε πῶς οὐκ οἶδεν ἃ λέγει, οὐδὲ τῶν αὐτὸς αὐτοῦ διανοημάτων τε καὶ ῥημάτων αἰσθάνεται, ὃ δὴ καὶ αὐτὸς εἶπον ἤδη πολλάκις;

Λαμβάνει μὲν γὰρ ἐκεῖθεν ἔστιν οὗ, καὶ χρῆται ταῖς θεολογικαῖς λέξεσιν, ἵνα καὶ δόξῃ τἀκείνων λέγειν, καὶ τοῖς δόγμασιν ἐκείνων συνηγορεῖν· τοῖς δ' ἑαυτοῦ λογισμοῖς καὶ τῇ διεφθαρμένῃ διανοίᾳ προσάγειν ἐκεῖνα καὶ συντιθέναι πειρώμενος, ἐπεὶ μὴ συνιέναι ταυτὶ μηδαμῶς ἀλλήλοις μηδ' ἑνοῦσθαι μηδὲ συμπλέκεσθαι πέφυκεν, οὐ μᾶλλον ἢ χρυσὸς καθαρὸς ὀστράκου φύσει, καὶ ἄργυρος τιτάνῳ, καὶ πίττῃ χαλκὸς, ἐκείνοις τε τοῖς θείοις κακῶς ἐνασελγαίνων ὑβρίζει, καὶ τὸν οἰκεῖον περιφανῶς ἀνατρέπει σκοπὸν, οὐδ' αὐτὸς ἑαυτῷ γοῦν συμφωνῶν, ὥσπερ καὶ ὅταν ἐνέργειαν λέγῃ τὸ χρονικὸν διάστημα τὸ μεταξὺ τοῦ ποιοῦντος καὶ τοῦ ποιουμένου ἐν ταῖς περὶ ἐνεργείας σοφαῖς αὐτοῦ διαιρέσεσι. Διαιρῶν καὶ γὰρ ἐκεῖ τὴν τῆς ἐνεργείας φωνὴν ὡς ὁμώνυμον, καθάπερ ἠκούσαμεν, τὴν μὲν τοῦ θείου Δαμασκηνοῦ διαίρεσιν, ἣν ἐκεῖνος μετὰ τῆς ἐν αὐτῷ τοῦ Πνεύματος θείας σοφίας, ὑψηλῶς δηλαδὴ καὶ θείως, πεποίηται, παρῆκεν, ὡς οὐδὲν αὐτῷ συμβαλλομένην πρὸς τὸν σκοπόν· τὴν δ' αὐτὸς ἑαυτοῦ φέρων διαίρεσιν ἀντεισήγαγε.

Καὶ πρῶτον μὲν εὐθὺς ἐν τῇ διαιρέσει τῆς ἐνεργείας σημαινόμενον τέθεικε τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, περὶ οὗ δὴ καὶ ἡμῖν εἰρήσεται· εἶτα μετὰ δύο καὶ τρία, Λέγεται, φησὶν, ἐνέργεια καὶ τὸ μεταξὺ χρονικὸν διάστημα τῆς κινήσεως, τοῦ τε οἰκοδόμου πρὸς τὸ οἰκοδομούμενον, καὶ τοῦ ναυπηγοῦ πρὸς τὸ πλοῖον· ὃ καὶ συμβεβηκὸς ὂν καθ' αὑτὸ, καὶ σχετική τις μεσότης τῶν ἄκρων ἀμφοῖν, τοῦ τε ἐνεργοῦντος καὶ τοῦ ἐνεργουμένου, συγκαταλήγει τῇ τῶν ἄκρων λήξει, καὶ οὐκέτι οὐκ ἔστιν οὐδέν.

Ἐκ δὴ ταύτης τῆς οἰκείας θέσεως, ὥσπερ ἀπό τινος ἀξιώματος κειμένου, καὶ πᾶσιν ὡσαύτως δοκοῦντος, ὁρμώμενος ὁ φιλόσοφος, καὶ σχέσιν καὶ μὴ ὂν ἐδόξασε κακῶς τὴν ἐνέργειαν τοῦ Θεοῦ, ὅταν μὴ πρὸς τὴν οὐσίαν αὐτὴν ἐκείνην, φησὶν, ἀναφέρηται, ὅταν μὴ ταυτόν τι καὶ ἀδιάφορον πάντῃ, οὐσία Θεοῦ δηλονότι καὶ ἐνέργεια, λέγηται. Καὶ τὸν θεολόγον εἰσάγει Γρηγόριον περὶ τῆς ῥηθείσης αὐτῷ ταύτης ἐνεργείας, ἤτοι τοῦ χρονικοῦ διαστήματος τῆς τοῦ ποιοῦντος κινήσεως, ὡς αὐτός φησιν, Ἐνεργηθήσεται, λέγοντα, καὶ οὐκ ἐνεργήσει, καὶ ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται.

Ἀλλὰ περὶ μὲν τοῦ θεολογικοῦ τουτουῒ ῥητοῦ, καὶ ὅπως καὶ κατὰ τίνος ἐχρήσατο τούτῳ σημαινομένου τῆς ἐνεργείας ὁ θεῖός φημι Γρηγόριος, ἐν τοῖς φθάσασιν ἤδη παρ' ἡμῶν δέδεικται· νῦν δ' ἀναγκαῖον τοῦ διαλεκτικοῦ καὶ κενοῦ δογματιστοῦ τουτουῒ πυθέσθαι, πῶς τὸ μεταξὺ χρονικὸν διάστημα τῆς κινήσεως τοῦ ποιοῦντος πρὸς τὸ ποιούμενον, συμβεβηκὸς ὂν, ὡς αὐτός φησι, καθ' αὑτὸ, ἐνέργεια λέγεται. Τὸ γὰρ χρονικὸν διάστημα, φιλόσοφε, πῶς ἂν A εἴη τοῦ κινουμένου κίνησις καὶ ἐνέργεια; Ἡ μὲν γὰρ οὐ τῶν ἐκτὸς, ἀλλ' ἐκ τῆς φύσεως, καὶ δραστικὴ καὶ οὐσιώδης ἐστὶ ταύτης κίνησις, καὶ φυσικὸν, καὶ ἀδιαίρετον καὶ ἀχώριστον, καθὰ δήπου τῶν θεολόγων λεγόντων ἤκουσας. τούτοις δὲ καὶ τῷ χρόνῳ τὸ κοινὸν, κατὰ τὸν τοῦ εἶναι λόγον· εἰ μὴ ἄρα καὶ τὸ χρονικὸν διάστημα τοῦ γεννῶντος πρὸς τὴν γέννησιν τὴν κύησιν εἶναι λέγεις αὐτὴν, καὶ τοῦ σπείροντος καὶ τοῦ φυτεύοντος τὸν μεταξὺ πρὸς τὸ φυτευόμενον καὶ τὸ σπειρόμενον χρόνον αὐτὴν τὴν σπορὰν καὶ τὴν φυτείαν εἶναι φῄς. Ἀλλὰ ψεῦδος ταῦτα καὶ ἀπάτη καὶ σόφισμα, μηδὲ προσωπεῖον γοῦν τι περιφέροντα· ἐν χρόνῳ μὲν γὰρ ἐκεῖνα, χρόνος δὲ οὐδαμῶς. Εἰ δ' ὅτι ἐν χρόνῳ ἡ ἐνέργεια τοῦ ποιοῦντος πρὸς τὸ ποιούμενον, τὴν ἀνθρωπίνην φημὶ τέως, ἡ B γὰρ τοῦ ἀκτίστου φυσικὴ ἐνέργεια καὶ ἄκτιστος καὶ ὑπέρχρονος, εἰ τοίνυν διότι ἐν χρόνῳ ἐκείνη, διὰ τοῦτο καὶ χρόνος κατὰ σὲ, ἔστω καὶ τόπος ἡ αὐτὴ, ἐπειδὴ καὶ ἐν τόπῳ, ὥσπερ δὴ καὶ ἐν χρόνῳ. Ἀλλὰ τούτων μὲν ἅλις· δεῖ δὲ καὶ πρὸς τὰ πρόσω χωρεῖν, τῶν περιττῶν τουτωνὶ καὶ ματαίων ἀφεμένους.

Πῶς μὲν οὖν ἐνέργεια τῆς θεότητος ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, μᾶλλον δὲ πῶς καὶ ἐνέργειαν ἔστιν ου τοῦ Πατρὸς, καὶ οὐκ ἐνέργειαν αὖθις οἱ θεολόγοι ταὐτά φασι, καὶ πῶς ὁ Υἱὸς καὶ θέλησις καὶ βούλησις εἴρηται τοῦ Πατρὸς ἐκείνοις, ἔτι τε, πῶς ἡ θεία ἐνέργεια, καὶ μίμησις καὶ σχέσις ὁμοῦ, καὶ ἀμίμητός τε καὶ ἄσχετος ἡ αὐτὴ, ἐν τοῖ, ἑξῆς καὶ ἡμῖν τοῖς θεολόγοις ἑπομένοις σύν γε τῷ τῆς συνόδου τόμῳ ῥηC θήσεται· τὸ δὲ νῦν εἶναι τὰ περὶ θείας ἁπλότητος, καὶ ἣν φησιν ὁ Γρηγορᾶς τῷ Θεῷ διὰ τὴν ἐνέργειαν προσγίνεσθαι σύνθεσιν, καὶ ἡμεῖς ἤδη σκοπῶμεν· μᾶλλον δὲ πῶς τὰ κατὰ τῆς παρεισφθαρείσης παρ' αὐτοῦ τε καὶ τῶν αὐτοῦ Βαρλααμιτῶν Πατέρων συνθέσεως παρὰ τοῦ συνοδικοῦ τόμου ῥηθέντα, καὶ αὖθις ἑαυτῷ προσθεὶς ὁ φιλόσοφος, ἀνατρέπειν δῆθεν πειρᾶται, κατίδωμεν.

Εἰσάγει τοίνυν καὶ πάλιν τὸν ἑαυτοῦ μύστην τε καὶ φίλον Ἄγγελον ἢ Ἀγαθάγγελον, συνήθως τὰ τῆς καθ' ἡμᾶς συνόδου τε καὶ τοῦ τόμου προσαγγέλλοντα· ὃς δὴ καὶ πρὸς τὰς αὐτὰς παρεξηγήσεις τε καὶ βλασφημίας καὶ αὖθις τὸν ἑαυτοῦ μυσταγωγὸν ἐκκαλούμενος, οὑτωσί πως τὰ τοῦ τόμου προτίθησι, καί φησι· Φέρε τοίνυν πρὸς Θεοῦ, μηδὲν ὑπερτιθέD μενος, τὴν ὅμοιον καὶ τὰ ἑξῆς διασάφει μοι τρόπον· ἔχει γὰρ οὑτωσί. Μετὰ τοῦτο, φησὶν, ἐζητήσαμεν παρὰ τῶν ἁγίων, εἰ μηδεμίαν ἔχοι τις ἂν ἐπινοεῖν σύνθεσιν ἐπὶ Θεοῦ διὰ τὴν τῆς θείας οὐσίας καὶ ἐνεργείας διαφοράν· καὶ τοῦτο γὰρ οἱ ἀντιλέγοντες ἰσχυρίζονται. Ἀπεδείχθη οὖν παρὰ τῶν ἁγίων ἁπάντων κηρυττόμενον, ὡς οὐκ ἔστι σύνθεσίν τινα παρὰ τοῦτο νομίζειν Θεοῦ. Ὁ γὰρ θεῖος Μάξιμος ἐν οἷς πρὸς Πύῤῥον διαλέγεται φανερώτατα δείκνυσι, μή τινα σύνθεσιν ἐκ τῆς ἐνεργείας δείκνυσθαι. Ὁρᾷς, λέγων τῷ Πύῤῥῳ, ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντῃ ἀγνοῆσαι, ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων, καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσί; Καὶ τοῦτο κοινὸν φρόνημα πάντων, καὶ τῶν ἔξω φιλοσόφων, καὶ τῶν τῆς Ἐκκλησίας θεοσόφων

Digitized by Google

μυσταγωγῶν. Εἰ δὲ τῶν θελημάτων σύνθεσιν λέγετε, καὶ τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε. Εἶτα προϊὼν ὁ φιλόσοφος, τὰ μὲν πρὸς Εὐνόμιον εἰρημένα τῷ θεηγόρῳ Νύσσης περὶ θείας ἁπλότητος παρατρέχει κακούργως, ἔλεγχον ὄντα σαφῆ καὶ ἀνατροπὴν τῆς αὐτοῦ δόξης· ἐπὶ δὲ τὰ τοῦ μεγάλου Βασιλείου καὶ Γρηγορίου τοῦ Θεολόγου μεταπηδᾷ, παρεξηγεῖσθαι καὶ διαστρέφειν συνήθως καὶ ταῦτα πειρώμενος. Διὸ καί φησι, μετὰ τὰς πολλὰς καθ' ἡμῶν φλυαρίας καὶ ὕβρεις, οὑτωσὶ καὶ πάλιν πρὸς τὸν οἰκεῖον ἀκροατὴν Ἀγαθάγγελον· Ἀνάγνωθι τὰ ἑξῆς αὐτὸς, Ἀγαθάγγελε, τὸ βιβλίον εἰς μέσους ἡμᾶς ἀνελίξας ἐκείνου τοῦ ἐναγοῦς, ἵν' ὑπ' ὄψιν ἐναργεστέραν τὰ λεγόμενα γένηται. Οἱ μὴ δεχόμενοι, φησὶ, τὴν διαφορὰν τῆς θείας οὐσίας καὶ τῆς θείας ἐνεργείας, καὶ ἁπλῶς πάντων τῶν περὶ τὴν θείαν οὐσίαν φυσικῶς θεωρουμένων, ἐκεῖνοι σύνθετον ποιοῦσι μᾶλλον τὸν Θεὸν, τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος, Εἴπερ εἰς τὴν οὐσίαν φέροντες πάντα τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι· καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου γράφοντος, Ἡ καὶ τὸ ἀθάνατον καὶ τὸ ἄκακον καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ· ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι.

Ἡμᾶς δὲ χρὴ, πρὶν εἰς τὴν ἐξέτασιν τῶν θεολογικῶν τουτωνὶ καθεῖναι ῥητῶν καὶ τὰς τοῦ φιλοσόφου παρεξηγήσεις, καὶ τὰ λείποντα τῷ λόγῳ προσθεῖναι, καὶ ἅπερ ἐκεῖνος κακῶς ἀφελόμενος καὶ τούτου τοῦ κεφαλαίου, καὶ ὥσπερ τῶν διδασκάλων μαρτυρίας ἀποκρυψάμενος καὶ σιγῇ καὶ λήθῃ παραπέμψας τελείᾳ, ἔπειτα καὶ ἀντιλέγειν ὡς ἐν σκηνῇ καὶ δράματι προσποιεῖται τῷ συνοδικῷ τόμῳ. Φησὶ τοιγαροῦν ὁ τόμος εὐθὺς μετὰ τὴν προῤῥηθεῖσαν πρὸς Πύῤῥον ῥῆσιν ἐκείνην τοῦ ἁγίου Μαξίμου φημί· Ἀλλὰ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος ἐν ἕκτῳ κεφαλαίῳ τῆς εἰς τὴν ἑξαήμερον ἀναπληρώσεως οὕτω πρὸς λέξιν διέξεισιν· Εἰ τοίνυν ἐν τῷ ἀνθρώπῳ κἂν διάφορα τυγχάνῃ τὰ πρὸς αἴσθησιν κατεσκευασμένα παρὰ τῆς φύσεως ὄργανα, διὰ πάντων ὁ νοῦς ἐνεργῶν καὶ κινούμενος, καὶ καταλλήλως ἑκάστῳ πρὸς τὸ προκείμενον κεχρημένος, εἷς ἐστι καὶ ὁ αὐτὸς, ταῖς διαφοραῖς τῶν ἐνεργειῶν οὐ συνεξαλλάττων τὴν φύσιν, πῶς ἄν τις ἐπὶ Θεοῦ διὰ τῶν ποικίλων δυνάμεων πολυμερὲς τὸ τῆς αὐτοῦ οὐσίας καθυποπτεύσειεν; Ὁ δὲ σοφώτατος Κύριλλος, ὁ αὐτὸς αὖθίς φησι τόμος, Οὐ γὰρ οὐσία τὸ ἀγέννητον, φησὶν, ἢ τὸ ἄφθαρτον, ἢ τὸ ἀθάνατον, ἢ τὸ ἀόρατον. Εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεὸς, ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται· πολλὰ γάρ ἐστιν, ἃ μόνῳ μὲν αὐτῷ πρόσεστιν, ἑτέρῳ δὲ τῶν πάντων οὐδενί.

Ἀλλ' ἐνταῦθα μικρὸν διακόψας τὴν τῶν θεολογικῶν τουτωνὶ ῥητῶν συνέχειαν, ἐρέσθαι βούλομαι Γρηγορᾶν, ὅτου χάριν ἀντιῤῥητικοῖς αὐτὸς ἑαυτὸν ἐπιδοὺς λόγοις, καί τινα κεφαλαιωδῶς ἀφελόμενος

A ὀλίγα τῶν τῇ συνόδῳ καὶ τῷ τόμῳ ῥηθέντων, καὶ τὴν πρὸς ἐκεῖνα λογικὴν μάχην καὶ τὸν πόλεμον ἀναδεξάμενος δημοσίᾳ, καὶ μέντοι καὶ τοῖς καθ' ἕκαστον ἐπεξιέναι δοκῶν, οὕτω τὰς μαρτυρίας ἐκείνων ὡς μηδὲ τὴν ἀρχὴν οὔσας παρατρέχει, καὶ ταῦτα καὶ τοιαύτας, καὶ παρὰ τοιούτων, καὶ ὑπὲρ τηλικούτων εἰσενηνεγμένας; Οὐ γὰρ μεγάλοι μὲν οἱ μαρτυροῦντες, μικρὰ δέ τινα τὰ παρ' αὐτῶν εἰσενηνεγμένα, καὶ οὐκ ἄξια τῶν εἰπόντων· ἢ καὶ ταῦτα μὲν μεγάλα καὶ ὑψηλὰ, ὑπὲρ εὐτελῶν δέ τινων καὶ τῶν τυχόντων οἱ λόγοι· ἀλλ' ὑπὲρ Θεοῦ μὲν ταῦτα, καὶ τῆς ἀνωτάτω περὶ ἐκείνου δόξης· θεοφόροι δ' ἀκριβῶς οἱ λέγοντες, καὶ οὐδὲν αὐτοῖς εἴρηται τῆς ἐκεῖθεν ἐπιπνοίας καὶ διαγνώμης χωρίς. Ἡ
B γοῦν σιγᾷν ἔδει σε καὶ ὑποχωρεῖν, ὦ φιλόσοφε, πρὸς τὰς τοῦ θείου Πνεύματος ταύτας βροντὰς, ἐπειδὴ τὸ ἀκούειν ἀπεῖπας καὶ συνιέναι καθάπαξ, ἢ λέγειν πρὸς τὰ προκείμενα ταῦτα καὶ ἀντιλέγειν καὶ ἐξελέγχειν, καὶ μηδὲν παρατρέχειν μηδοπωστιοῦν τῶν προῤῥηθέντων φημὶ κεφαλαίων τέως· καὶ τῶν ἐπ' αὐτοῖς θεολογικῶν ῥητῶν, ὃ δὴ καὶ ἐξ ἀρχῆς αὐτῆς προὐθυμήθης. Νῦν δὲ πᾶν τοὐναντίον φαίνῃ ποιῶν, καὶ τοῖς αὐτὸς σεαυτοῦ λόγοις καὶ ταῖς ὑποθέσεσιν ἐπίτηδες ὥσπερ ἐναντιούμενος. Ἐγὼ γὰρ τοσαύτην οἶμαι παρὰ παντὸς τοῦ νοῦν ἔχοντος, καὶ μὴ πρὸς ἔριν, ἀλλὰ πρὸς ἀλήθειαν ποιουμένου τοὺς λόγους, τοῖς προῤῥηθεῖσι διττοῖς θεολογικοῖς ῥητοῖς ἐνορᾶσθαι τὴν δύναμιν, καὶ τὴν ἑρμηνείαν τοῦ νυνὶ ζητουμένου, ὡς εἴ γε καὶ μόνα ταῦτα παρῆν, καὶ
C οὐδὲν ἄλλο τῶν τε πρὸ αὐτῶν καὶ τῶν μετ' αὐτὰ ῥηθησομένων ὡσαύτως προσῆν, αὐτὰ ταῦτα μόνα πρός γε τὸν σκοπὸν ἐξαρκεῖν ἂν τοῦ λόγου, καὶ μηδέν τι τοπαράπαν ἐλλείπειν μηδοτιοῦν. Ὁ μὲν γὰρ τῶν θεολόγων μηδαμῶς, διὰ τὸ ποικίλον τῶν φυσικῶν δυνάμεων, πολυμερῆ τινα καὶ σύνθετον ὑποπτεύεσθαί φησι τὴν οὐσίαν τοῦ Θεοῦ, καὶ τὴν εἰκόνα τὴν καλλίστην ἐκείνην εἰσάγων, φημὶ δὴ τὸν ἀνθρώπινον νοῦν μηδαμῶς ταῖς ποικιλίαις διὰ τῶν αἰσθήσεων ἐνεργείαις τὴν οἰκείαν ἐξαλλάττοντα φύσιν· Κύριλλος δ' ὁ σοφὸς καὶ πολλὰ τὰ προσόντα φυσικῶς εἶναί φησι τῷ Θεῷ μόνῳ, καὶ μὴ μόνην οὐσίαν αὐτὸν εἶναι κατὰ σὲ, δίχα τῶν φυσικῶν τε καὶ ἰδίων αὐτῆς, καὶ μηδὲ οὐσίας αὐτὰ εἶναι, ἵνα μὴ σύνθετον, φησὶν, ἐκ τοσούτων εἴη τὸ Θεῖον. Ὧν τί ἂν σαφέ-
D στερόν τε καὶ οἰκειότερον, καὶ δὴ καὶ συντομώτερον γένοιτο πρὸς τὸν λόγον; Ἀλλὰ σκοπῶμεν καὶ τὰ ἑξῆς ἀκολούθως τοῦ σεπτοῦ τόμου, καὶ τὰς ἐν αὐτῷ γνώμας καὶ διδασκαλίας ὡσαύτως τῶν θεολόγων.

Ὁ θεῖός φησι Χρυσόστομος, Τοῦ Πνεύματος τὴν χάριν ἡ Γραφὴ ποτὲ μὲν φησι πῦρ, ποτὲ δὲ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐχ οὐσίας ταῦτα ὀνόματα, ἀλλ' ἐνεργείας· οὐ γὰρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τὸ Πνεῦμα, ἀόρατόν τε καὶ μονοειδὲς ὄν. Ὁ δὲ Νύσσης πρὸς Εὐνόμιον αὖθις, Τί; ὁ διφυᾶ τὸν Θεὸν εἶναι λέγων, πλὴν σοῦ, τοῦ πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Θεοῦ οὐσίᾳ συμφύροντος, καὶ μηδὲν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ τὸ Θεῖον ὀνομάτων τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐγκεντρίζοντος; Ὅρα δὴ κἀντεῦθεν καὶ ἐπίστησον, εἴ γε βούλει, ὡς οὐχ ὁ τό-



Digitized by Google

μος τε καὶ ἡμεῖς, ἀλλὰ Γρηγορᾶς αὐτός ἐστιν ἀκριβῶς ὁ μετ' Εὐνομίου πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Θεοῦ οὐσίᾳ συμφύρων καὶ ἐγκεντρίζων, ὡσανεὶ μέρος ἢ μέρη τῆς οὐσίας εἶναι ταῦτα τιθεὶς, καὶ διφυᾶ τὸν Θεὸν ποιῶν, διὰ τὸ μὴ προσεῖναι ταῦτα τῇ τοῦ Θεοῦ λέγειν μᾶλλον οὐσίᾳ, κατὰ τούτους τοὺς θεολόγους. Ἐπανιτέον δ' ἂν εἴη πρὸς Μάξιμον ἡμῖν αὖθις τὸν μέγαν, καὶ θεωρητέον, πῶς τὴν προῤῥηθεῖσαν αὐτῷ θεολογίαν, καὶ δὴ καὶ τὰ τῶν μετ' αὐτὸν, μᾶλλον δὲ τῶν πρὸ αὐτοῦ θεολόγων, ὁ Γρηγορᾶς ἐξελάβετο.

Τοῦ γὰρ συνοδικοῦ τόμου, καθὰ δὴ καὶ προὔφην, τὸν σοφὸν εἰσάγοντος Μάξιμον, οὑτωσί πως πρὸς τὸν Μονοθελήτην λέγοντα Πύῤῥον· Ὁρᾷς ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσί; Καὶ τοῦτο κοινὸν φρόνημα καὶ τῶν ἔξω φιλοσόφων, καὶ τῶν τῆς Ἐκκλησίας θεοσόφων μυσταγωγῶν. Εἰ δὲ τῶν θελημάτων σύνθεσιν λέγετε, καὶ τῶν ἄλλων φυσικῶν τὴν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε. Ταῦτα τοίνυν εἰπόντος τοῦ θείου Μαξίμου, ἀκούσωμεν πῶς ὁ φιλόσοφος ἐπανίσταται τῷ διδασκάλῳ, καὶ τίσι κατ' αὐτοῦ χρῆται λόγοις· κατ' αὐτοῦ γὰρ ἐκείνου καὶ τῆς ἐκείνου θεολογίας ἡ γραφὴ πᾶσα καὶ ἡ συκοφαντία, εἰ καθαπερεί τινι προσχήματι καὶ προσωπείῳ καὶ αὖθις χρῆται συνήθως τῇ συνόδῳ τε καὶ τῷ ταύτης ἱερῷ τόμῳ, τοὺς εὐσεβεῖς λανθάνειν οἰόμενος.

Μάξιμος τοίνυν ὁ θεῖος, φησὶ Γρηγορᾶς, ὃν πρῶτον ὁ δυσσεβὴς εἰσάγων συκοφαντεῖ, τῷ Πύῤῥῳ διαλεγόμενος, καὶ σφαλερῶς κἀκεῖνον τὸν τῆς συνθέσεως ἐκλαμβάνοντα λόγον αὐτὸς διορθούμενος, δείκνυσι μὴ εἶναι σύνθεσιν οὐδέποτ' οὐδένων συμβεβηκότων ὑποκειμένης ἄνευ οὐσίας. Καὶ μάλα εἰκότως· πῶς γὰρ ἂν συσταίη γλυκύτης μέλιτος ἄνευ, ἢ τῆς οἱασδηποτοῦν οὐχ ὑποκειμένης οὐσίας; ἢ πῶς ἂν συντεθείη λευκότητι μελανία, καὶ θερμότητι ψῦχος, μὴ ὄντα μηδὲν καθ' αὑτά; Ὅμοιον γὰρ ἂν εἴη, ὥσπερ ἂν εἴ τις μηδὲν μηδενὶ συντιθέναι ἠξίου· τὸ γὰρ ἀποτελούμενον ἦν ἂν πάντως οὐδέν. Κατὰ δὴ τοὺς τοιούτους τρόπους, καὶ Πύῤῥον τῷ λόγῳ βουλόμενος συντιθέναι θελήματα δύο ἀνούσια χωρὶς τῆς οἱασοῦν ὑποκειμένης οὐσίας καθ' αὑτὰ, ἐπισκώπτων ὁ θεῖος ἔφησε Μάξιμος, ὅτι αἱ συνθέσεις οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων, δηλαδὴ τῶν συμβεβηκότων, ἀλλὰ τῶν ἐνυποστάτων καὶ ἐνουσίων πραγμάτων εἰσίν. Εἰ γὰρ τῶν θελημάτων σύνθεσιν εἴποιτε, φησὶ, τῶν ἀνυποστάτων ὄντων καθ' αὑτὰ, καὶ τῶν ἄλλων ὅσα κατὰ φύσιν τοῖς ἀνθρώποις ἕπεται, σύνθεσιν λέγειν ἐκβιασθήσεσθε· οἷον ἐπιστήμης, φρονήσεως, δικαιοσύνης, καὶ τῶν ἀντικειμένων αὐταῖς ποιοτήτων· ἔτι τε θυμοῦ καὶ ἐπιθυμίας, χαρᾶς καὶ λύπης, καὶ τῶν ὁμοίως ἐχουσῶν εἰς κακίαν καὶ ἀρετὴν ἁπασῶν ποιοτήτων ὑποκειμένης οὐσίας χωρίς. Τοῦτο δ' ἀδύνατον πάντως.

Ἀλλὰ ψεῦδος καὶ ταῦτα, καὶ ἄνοια καὶ σύγχυσις ἄντικρυς, ὦ καλὲ Γρηγορᾶ. Καὶ καινὸν οὐδὲν εἰ καὶ Μάξιμον σὺ τὸν θεῖον καὶ σὺν αὐτῷ πάντας ὁμοῦ τοὺς λοιποὺς ἱεροὺς διδασκάλους καὶ συκοφαντῶν καὶ ὑβρίζων, καὶ Πύῤῥον τῶν ὁμοίων ὡσαύτως

A ἠξίωσας, καίτοι γε καὶ τῆς θείας αὐλῆς ἔξω καθεστηκότα, καὶ τῶν ἱερῶν λόγων. Μᾶλλον δ' οὐδ' ἐκεῖνον ἐν τῇ αἱρέσει μένοντα κακῶς εἶπας, ἀλλὰ διδαχθέντα τότε πρὸς τοῦ θείου Μαξίμου, καὶ τὸν τῆς αἱρέσεως ἰὸν καλῶς ἐξεμέσαντα, εἰ καὶ μετὰ μικρὸν αὖθις κακῶς πρὸς τὸν ἴδιον ὑπέστρεψεν ἔμετον. Καὶ πρῶτον ἐκεῖνο τῶν ἄλλων κατεψεύσω προφανῶς τοῦ ῥηθέντος διαλόγου. Οὐ γὰρ δύο τινῶν ἀνυπάρκτων, ὡς φῄς, θελημάτων καὶ μὴ ἐν ὑποκειμένῳ τῇ οὐσίᾳ θεωρουμένων πρεσβεύοντα σύνθεσιν ὁ διάλογος εἰσάγει τὸν Πύῤῥον· τοῦτο γάρ ἐστι καὶ τὸν σκοπὸν ἀγνοοῦντος, καὶ τὸν λόγον καθάπαξ ἐκείνης τῆς διαλέξεως· ἀλλ' ὁ μὲν σκοπὸς ἦν ἐκεῖ τοῦ λόγου τῷ θείῳ Μαξίμῳ πεῖσαι τὸν προσδιαλεγόμενον Πύῤῥον διττὰ θελήματα καὶ διττὰς ἐνεργείας φέροντα τὸν B Χριστὸν δοξάσαι καταλλήλως ταῖς διτταῖς αὐτοῦ φύσεσι, τῇ τε θείᾳ φημὶ καὶ τῇ ἀνθρωπείᾳ, ὧν ἐκεῖνος θάτερον παντελῶς ἀπηγόρευε, τὸ ἀνθρώπινον δηλαδή. Διὰ πολλῶν δὲ καὶ ἀναντιῤῥήτων ἀποδείξεων προκεχωρηκότος τοῦ περὶ θελημάτων λόγου τῷ διδασκάλῳ κατατίθεται Πύῤῥος καὶ δύο θελήματα τὸν Χριστὸν κεκτῆσθαι κατάλληλα ταῖς διτταῖς αὐτοῦ φύσεσι, καὶ φυσικὰ, καὶ οὐχ ὑπεναντία ταυτὶ πεφυκέναι ἀλλήλοις, κατὰ τὴν τῶν Μονοθελητῶν ἐκείνων δηλαδὴ δόξαν. Φησὶ καὶ γὰρ ὁ Πύῤῥος ἐκεῖ λέξεσιν αὐταῖς οὑτωσίν· Ἐπειδὴ χρὴ τὰ ἐκ τῆς ἐξετάσεως ἀναφαινόμενα ἀληθῆ εὐγνωμόνως ἀποδέχεσθαι, μετὰ πολλῆς εὐκρινείας ἔδειξεν ὁ λόγος φυσικὰ εἶναι τὰ ἐπὶ Χριστοῦ θελήματα. Ὥστε οὐχ ἀνουσίων δύο τινῶν, καὶ ἀνυπάρκτων συμβεβηκότων C καθ' αὑτὰ σύνθεσιν κατὰ Γρηγορᾶν δοξάζων ὁ Πύῤῥος ἦν, οὐδὲ κατ' αὐτὰ ἐπισκώπτων αὐτὸν ὁ θεῖος Μάξιμος διωρθοῦτο· ἀλλὰ τὸ δύο θελήματα τὸν Χριστὸν ἔχειν, καὶ φυσικὰ ταῦτ' ἔχειν μᾶλλον αὐτὸν ἐδίδαξεν, ὃ δὴ καὶ αὐτὸς ὡμολόγησε Πύῤῥος δι' ἑαυτοῦ, οὐκ ἀνύπαρκτα, οὐκ ἀνούσια, ἀλλ' οὐσίαν ὕπαρξιν ἑκάτερον ἔχοντα τὴν κατάλληλον ἑαυτῷ, φημὶ δὴ τὴν θείαν τε καὶ τὴν ἀνθρωπείαν, ἐν αἷς καὶ φυσικῶς θεωρεῖσθαι πεφύκασι. Ταῦτα δὴ τὰ διττὰ φυσικὰ θελήματα μετὰ τὸ δέξασθαι συγχεῖν αὖθις ὁ Πύῤῥος βουλόμενος, καὶ συνάγειν εἰς ἓν θέλημα διὰ τῆς καινῆς πρὸς ἄλληλα συναλοιφῆς καὶ συνθέσεως, οὐ καθ' αὑτὰ, πῶς γάρ; ἀλλ' ἐν ταῖς φύσεσι τοῦ Χριστοῦ καὶ μετὰ τὴν σύνθεσιν, ἣν κακῶς D ἐκεῖνος ᾤετο θεωρούμενα, τοιάδε λέγων ἐπάγει· Δυνατὸν δὲ, ὥσπερ ἐκ τῶν δύο φύσεων ἕν τι σύνθετον λέγομεν, οὕτω καὶ ἐκ τῶν δύο φυσικῶν θελημάτων ἕν τι σύνθετον λέγειν, ἵνα καὶ οἱ λέγοντες θελήματα διὰ τὴν φυσικὴν τῶν ἐν Χριστῷ φύσεων διαφορὰν καὶ οἱ ἓν λέγοντες διὰ τὴν ἄκραν ἕνωσιν μηκέτι ψιλῶν λέξεων ἕνεκεν πρὸς ἀλλήλους διαφέρωνται.

Πρὸς δὴ ταῦθ' οὕτω κακῶς εἰρημένα τῷ Πύῤῥῳ, τὰ καὶ τῷ συνοδικῷ τόμῳ ληφθέντα νῦν ἐκεῖθεν ὁ θεῖος Μάξιμος εὐστόχως ἐπάγων, ἐκεῖνά φησιν· Ὁρᾷς ὅτι ἐκ τούτου πλανᾶσθε, ἐκ τοῦ πάντη ἀγνοῆσαι, ὅτι αἱ συνθέσεις τῶν ἐν ὑποστάσει ὄντων, καὶ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων εἰσίν; Ἐκ δὲ τούτων ὁ θεῖος Μάξιμος, ὥσπερ τῷ Πύῤῥῳ φημὶ τότε, οὕτω καὶ τοῖς περὶ Γρηγορᾶν νῦν ἐναργέστατα δέδειχεν, ὅτι

Digitized by Google

σύνθεσιν τῶν μὴ καθ' ἑαυτὰ ὑφεστώτων φυσικῶν τοῦ Χριστοῦ, ἀλλ' ὡς ἐν ὑποκειμένῳ ταῖς φύσεσιν ἐκείνου θεωρουμένων οὐκ ἔνι ποτὲ οὔτε πρὸς ἄλληλα γενέσθαι, οὔτε πρὸς τὸ αὐτοῖς ὑποκείμενον, τὰς φύσεις δηλαδή. Αἱ γὰρ συνθέσεις, φησὶ, τῶν ἐν ὑποστάσει ὄντων ἰδίᾳ, δηλονότι τῶν φύσεών εἰσιν, οὕτω καὶ γὰρ αἱ τοῦ Χριστοῦ δύο φύσεις ἀλλήλαιν συνελθοῦσαι μίαν αὐτοῦ τὴν σύνθετον ὑπόστασιν ἀπετέλεσαν, ἀλλ' οὐ τῶν ἐν ἄλλῳ θεωρουμένων, καὶ μὴ ὑφεστώτων καθ' ἑαυτὰ, δηλονότι τῶν φυσικῶν.

Εἰ δὲ τῶν θελημάτων σύνθεσιν λέγετε, φησὶν ὁ σοφὸς Μάξιμος αὖθις, καὶ τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε, εἴπερ εὐσυνάρτητον τὸν τοῦ οἰκείου δόγματος δεῖξαι λόγον βούλεσθε, τουτέστι τοῦ κτιστοῦ καὶ τοῦ ἀκτίστου, τοῦ ἀπείρου καὶ τοῦ πεπερασμένου, τοῦ ἀορίστου καὶ τοῦ ὡρισμένου, τοῦ θνητοῦ καὶ τοῦ ἀθανάτου, τοῦ φθαρτοῦ καὶ τοῦ ἀφθάρτου, καὶ εἰς ἀτόπους ἐξενεχθήσεσθε ὑπολήψεις. Ὃ δὴ καὶ ὁ φιλόσοφος οὑτοσὶ προφανῶς ἐκ τῶν τοιούτων πεπονθὼς ὦπται. Οὐ μόνον καὶ γὰρ τὰ Μονοθελητῶν ἐκείνων, ἀλλὰ καὶ τὰ χείρω πολλῷ καὶ ἀτοπώτερα πρεσβεύων κακῶς δείκνυται, ὅσῳ τὴν μὲν ἐνέργειαν ἐκεῖνοι καὶ τὴν θέλησιν τοῦ Χριστοῦ τὴν ἀνθρωπίνην ἠρνοῦντο, οὗτος δ' οὐ τὴν ἀνθρωπίνην, ἀλλὰ τὴν θείαν, ἣν μετὰ Πατρὸς ἔχει δηλονότι καὶ Πνεύματος.

Καὶ ὁ μὲν Πύῤῥος οὑτοσὶ, πεισθεὶς ὑπὸ τοῦ θείου Μαξίμου, καὶ ἄμφω τὰς θελήσεις ὡμολόγησε τοῦ Χριστοῦ, καὶ φυσικὰς αὐτὰς ἀνεῖπεν· ὁ δὲ Γρηγορᾶς οὐ θέλησιν, οὐδὲ βουλὴν, οὐδ' ἐνέργειαν φυσικὴν μετὰ Πατρός τε καὶ Πνεύματος ἔχειν, ἀλλ' αὐτὸν εἶναι ταῦτα τὸν Χριστόν φησι μόνον, καὶ μηδὲν μηδαμῶς τῶν φυσικῶν ἰδιωμάτων προσεῖναι τῇ θείᾳ φύσει, ἵνα μὴ σύνθετος, φησὶν, ἐκ τοσούτων ὁ Θεὸς αὐτῷ νομισθείη. Διὸ καὶ τὸν θεῖον ἔν γε τοῖς προῤῥηθεῖσι κάκιστα συκοφαντεῖ Μάξιμον, ὃ δὴ κἂν τοῖς φθάσασι πρός τε Κύριλλον καὶ Ἰωάννην τὸν Σύρον, καὶ δὴ καὶ τὸν σοφὸν πεποίηκεν Ἀναστάσιον. Τοῦ γὰρ ἱεροῦ Μαξίμου πρὸς Πύῤῥον εἰρηκότος, καθάπερ εἰπόντες ἔφθημεν, ὅτι Εἰ τῶν θελημάτων τοῦ Χριστοῦ δηλονότι σύνθεσιν λέγετε· περὶ γὰρ ἐκείνων ὁ διάλογος ἦν αὐτοῖς, καὶ οὐκ ἄλλων· καὶ τῶν ἄλλων φυσικῶν σύνθεσιν λέγειν ἐκβιασθήσεσθε, εἶτ' ἐφεξῆς ἀπαριθμοῦντος τὰ τῶν δύο φύσεων αὐτοῦ διπλᾶ ἰδιώματα, καθάπερ ἐν τοῖς φθάσασιν εἴρηται, τουτέστι τὸ κτιστὸν καὶ τὸ ἄκτιστον, τὸ ἄπειρον καὶ τὸ πεπερασμένον, τὸ ἀόριστον καὶ τὸ ὡρισμένον, καὶ δὴ καὶ τὰ παραπλήσια τούτοις, ὁ φιλόσοφος, καθαπερεὶ τις ἐξεστηκὼς ἑαυτοῦ καὶ παραπαίων, καὶ μηδὲ εἰδὼς ἃ λέγει καὶ περὶ τίνων, τὰ καταγέλαστα ἐκεῖνα δίχα τινὸς ἐρυθήματος φθέγγεται. Φησὶ γάρ· Εἰ γὰρ τῶν θελημάτων σύνθεσιν εἴποιτε, φησὶ, τῶν ἀνυποστάτων ὄντων καθ' αὐτὰ, καὶ τῶν ἄλλων, ὅσα κατὰ φύσιν τοῖς ἀνθρώποις ἕπεται, σύνθεσιν λέγειν ἐκβιασθήσεσθε· οἷον ἐπιστήμης, φρονήσεως, δικαιοσύνης, καὶ τῶν ἀντικειμένων αὐταῖς ποιοτήτων· ἔτι τε θυμοῦ καὶ ἐπιθυμίας, χαρᾶς καὶ λύπης, καὶ τῶν ὁμοίως ἐχουσῶν εἰς κακίαν καὶ ἀρετὴν ἁπασῶν ποιοτήτων ὑποκειμένης οὐσίας χωρίς.

Ἠκούσατε τοῦ φιλοσόφου καὶ διαλεκτικοῦ τὰς ἐξηγήσεις καὶ διαλέξεις, καὶ ὅπως καὶ αὐτὰς τὰς ὑποθέσεις ἀνατρέπει τῶν διδασκαλικῶν λόγων, καὶ τὸν σκοπὸν τῶν πραγμάτων, καὶ ταῦτα φανερῶς οὕτω προκείμενα καὶ βοῶντα, ὡς μηδὲ τοὺς σφόδρα παῖδας καὶ ἀμαθεῖς ἐκείνων ἀκηκοότας ἂν ἐνδοιάζειν καὶ ὁπωσοῦν ἔχειν; Ἐγὼ δὲ καὶ Ἕλληνας οἶμαι τοὺς αὐτοῦ μυσταγωγοὺς, εἴ γε τῇ ἀγωνίᾳ τούτων τῶν λόγων καὶ τῇ ἀκροάσει καὶ αὐτοὶ παρόντες ἐτύγχανον, βαρυτάτας ἂν ἐξενεγκεῖν τὰς κατ' αὐτοῦ ψήφους, ὡς μηδὲν ἧττον καὶ εἰς αὐτὴν ὑβρίζοντος καὶ παρανομοῦντος τὴν φύσιν τῶν λόγων. Ἀριστοτέλης δὲ καὶ πληγῶν εἶπεν ἂν ἄξιον εἶναι τοῦτον, καθὰ δὴ καὶ προὔφην, ἀνάγκην λόγου μήτ' αὐτὸν ἐπιστάμενον, μήτε τοῖς εἰδόσι τε καὶ λέγουσιν ἕπεσθαι τοπαράπαν εἰδότα. Ἀλλ' ἐκεῖνα μὲν ἀρκούντως εἰρήσθω· ἐπεὶ μηδ' ἐπεξεργασίας, μηδὲ μακροτέρων ἐκείνοις τῶν παρ' ἡμῶν γε δεῖ λόγων, οὕτω γυμνῆς προκειμένης πᾶσι τῆς ἀληθείας, καὶ παρ' ἑαυτῆς ἀναντίῤῥητον ἐχούσης τὸ ἰσχυρὸν, ὡς μηδ' ἂν ἕνα μηδένα τῶν πάντων πλήν γε δὴ Γρηγορᾶ τουτουῒ μόνου τοπαράπαν ἐρίζειν ἔχειν, ὥσπερ δὴ καὶ τὰ τούτου φανερῶς ἐξεληλεγμένα, καὶ μηδὲν ἄλλο μηδοτιοῦν, πλὴν ἀπάτη καὶ ψεῦδος ὄντα περιφανές. Ἐπὶ δὲ τὸν μέγαν Βασίλειον καὶ τοὺς ἐκείνου πρὸς Εὐνόμιον λόγους ἰτέον ἂν ἤδη καὶ ἡμῖν εἴη, καὶ τοὺς ἐπ' αὐτοῖς ἀκουστέον λόγους τοῦ φιλοσόφου, καὶ οἷς οὑτοσὶ καὶ πάλιν χρησάμενος, ἀντεπεξιέναι κἂν τούτοις δοκεῖ τῇ καθ' ἡμᾶς συνόδῳ τε καὶ τῷ τόμῳ. Ἀλλὰ καὶ τοῦτο συναπεδείχθη, φησὶν ὁ συνοδικὸς δηλαδὴ τόμος, ὅτι οἱ κατὰ τοὺς ἀντιλέγοντας μὴ δεχόμενοι τὴν διαφορὰν τῆς θείας οὐσίας καὶ τῆς ἐνεργείας, καὶ ἁπλῶς πάντων τῶν περὶ τὴν θείαν οὐσίαν φυσικῶς θεωρουμένων, ἐκεῖνοι σύνθετον ποιοῦσι μᾶλλον τὸν Θεόν· τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος, Εἴπερ εἰς τὴν οὐσίαν φέροντες πάντα τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι· καὶ τοῦ μεγάλου Γρηγορίου τοῦ Θεολόγου γράφοντος, Ἢ καὶ τὸ ἀθάνατον, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον, οὐσία Θεοῦ· ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον· οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι.

Πρὸς δὲ τὴν τούτων ἐξήγησιν, ἢ τὴν συνήθη μᾶλλον ἀνατροπὴν, ὡς οἴεται Γρηγορᾶς, ἰὼν, ἀκούσωμεν οἷα δὴ καί φησι· Καὶ μὲν δὴ τούτων οὕτω προεκτεθέντων, ὦ καλὲ Ἀγαθάγγελε, μὴ οὐ θεμιτὸν ἂν ἡμῖν ᾖ, σιγήσαντάς τε καὶ ῥᾳστώνῃ χαρισαμένους, μὴ ἐξαιρεῖσθαι τὸν ἐνόντα πειρᾶσθαι τρόπον τῆς τοῦ μιαροῦ συκοφαντίας τοὺς τῆς Ἐκκλησίας φωστῆρας, μηδ' ἐξελέγχειν τὴν ἀμαθίαν αὐτοῦ διαῤῥήδην. Καὶ μετά τινα· Βασίλειος γὰρ ὁ μέγας οὐ καθ' ἣν ὁ μιαρὸς οὑτοσὶ διάνοιαν ἐξελάβετο ταῦτα, ἀλλὰ τὴν Εὐνομίου τοῦ δυσσεβοῦς ἀνατρέπων κακόνοιαν. Φῶς γὰρ ἀγέννητον ἀκούων Εὐνόμιος τὸν Πατέρα

Digitized by Google

A λεγούσης τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἢ ταυτὸν εἶναι δεῖν ἔλεγεν ἄμφω σημαίνειν, ἢ σύνθετον εἶναι συμβαίνειν τὸν Θεὸν ἐξανάγκης. Εἴπερ γάρ, φησίν, ἕτερόν τι εἴη τὸ φῶς παρὰ τὸ ἀγέννητον, ἀναγκαίως ἡμῖν σύνθετον ὁ Θεὸς ἀποδειχθήσεται. Καὶ μετὰ μικρόν, Ὁ μέγας, φησί, Βασίλειος ἁπάντων, τάδε κατὰ λέξιν διέξεισιν· Εἰ μὲν ὡς μέρος τῆς οὐσίας τὸ ἀγέννητον ἐλαμβάνομεν, εἶχεν ἂν Εὐνομίῳ χώραν ὁ λόγος, σύνθετον εἶναι λέγων τὸ ἐκ διαφόρων συγκείμενον· εἰ δ' οὐσίαν μὲν Θεοῦ τὸ φῶς τιθέμεθα, ἢ τὴν ζωήν, ἢ τὸ ἀγαθόν, ὅλον ὅπερ ἐστὶ ζωὴν ὄντα, καὶ ὅλον φῶς καὶ ὅλον ἀγαθόν, παρεπόμενον δ' ἔχει ἡ ζωὴ τὸ ἀγέννητον, πῶς οὐκ ἀσύνθετος ὁ κατὰ τὴν οὐσίαν ἁπλοῦς; Οὐ γὰρ δὴ οἱ δεικτικοὶ τῆς ἰδιότητος αὐτοῦ τρόποι τὸν τῆς ἁπλότητος αὐτοῦ λόγον παραλυπήσουσιν· ἢ οὕτω γε πάντα, ὅσα περὶ Θεοῦ λέγεται, σύνθετον ἡμῖν τὸν Θεὸν ἀναδείξει. Καί, ὡς ἔοικεν, εἰ μέλλοιμεν τὴν τοῦ ἁπλοῦ καὶ ἀμεροῦς ἔννοιαν διασώζειν, ἢ οὐδὲν ἐροῦμεν περὶ Θεοῦ, πλὴν τὸ ἀγέννητον, καὶ παραιτησόμεθα αὐτὸν ὀνομάζειν ἀόρατον, ἄφθαρτον, ἀναλλοίωτον, δημιουργόν, κριτήν, καὶ ὅσα νῦν εἰς δοξολογίαν παραλαμβάνομεν· ἢ δεχόμενοι τὰ ὀνόματα ταῦτα, τί καὶ ποιήσομεν; Πότερον εἰς τὴν οὐσίαν ἅπαντα φέροντες καταθήσομεν; Οὐκοῦν οὐχὶ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν αὐτὸν συγκείμενον ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τούτων τῶν ὀνομάτων σημαίνεσθαι.

Εὖγε, ὦ καλὲ Γρηγορᾶ, ὅτι τὴν τοῦ διδασκάλου τουτουΐ, Βασιλείου φημὶ τοῦ πάνυ, πρὸς τὸν σὸν ὁμόφρονα ῥῆσιν ἄνωθεν φέρων ἡμῖν ἀνέγνως ἐνταῦθα, ἵνα καὶ τρανότερον ἐξελεγχθείη, ὥσπερ τὰ Εὐνομίου δηλαδὴ τότε, οὕτω δὴ καὶ τὰ σὰ νῦν, παρ' αὐτοῦ δὴ τούτου τοῦ λαμπροῦ θεολόγου φημί. Ὁ μὲν γὰρ τῆς καθ' ἡμᾶς συνόδου τόμος, τῇ δεούσῃ κἀνταῦθα συντομίᾳ χρώμενος, τὸ τέλος τῆς θεολογικῆς ταυτησὶ ῥήσεως ἐκεῖθεν ἐξείληφε, τῶν κατεπειγόντων μόνων καὶ ἀναγκαίων αὐτὸς γιγνόμενος, παραπέμπων δ' εἰς τὸ πλάτος ἐκεῖνο τοὺς βουλομένους· σὺ δὲ κἀκεῖνα τούτοις προσθείς, τῆς ἄλλης κακουργίας ψέγεσθαι δίκαιος ὤν, τῆς ἀπαγγελίας ἐπαινεῖσθαι ταυτησί πως ἂν εἴης δίκαιος. Καὶ δὴ σκοπῶμεν ἐξ αὐτῶν φημι τούτων τῶν εἰρημένων τὴν ἀκριβῆ πρὸς Εὐνόμιον συμφωνίαν τοῦ Γρηγορᾶ. Εὐνόμιος μὲν οὖν τὸ τοῦ Πατρὸς ἀγέννητον κατ' ἐξουσίαν ἰδίαν ἐν οὐσίας ὑποθέμενος λόγῳ, ἐβούλετο γὰρ ἐντεῦθεν διὰ τοῦ γεννητοῦ τῷ Υἱῷ κατασκευάζειν τὸ τῆς οὐσίας ἀνόμοιον, τὰ ἐπιλεγόμενα φυσικῶς τῷ Θεῷ, φῶς φημι, καὶ ζωή, καὶ ἀγαθόν, καὶ τὰ προσόμοια τούτοις, ἢ ταυτόν τι καὶ ἀδιάφορον ἔλεγεν εἶναι τῷ ἀγεννήτῳ, τῇ οὐσίᾳ φημὶ κατ' ἐκεῖνον, ἢ εἰ μή που τοῦτό γε εἴη, μηκέτι ἁπλοῦν, ἀλλὰ σύνθετον εἶναι τὸν Θεόν· Γρηγορᾶς δ' οὑτοσὶν ὁ ἑταῖρος ἐκείνου οὐ τὸ ἀγέννητον κατ' ἐκεῖνον οὐσίαν λέγων Θεοῦ, ἀλλὰ τὴν τοῦ Θεοῦ θέλησιν, καὶ τὴν ἐνέργειαν, καὶ ἁπλῶς πάντα τὰ τῆς θείας φύσεως ἰδιώματα, οὐ φυσικὰ καὶ περὶ τὸν Θεὸν εἶναι λέγων κατὰ τὴν ἀποστολικήν τε καὶ πατρικὴν θεολογίαν, ἀλλὰ τὴν οὐσίαν αὐτὴν πάντῃ τε καὶ πάντως εἶναι τοῦ Θεοῦ ταῦτα, μηδεμιᾶς ἐπινοουμένης αὐτοῖς διαφορᾶς, μήτε πρὸς τὴν οὐσίαν αὐτήν, μήτε μὴν πρὸς ἄλληλα, εἰ μὴ ταῦθ' οὕτως εἴη, κινδυνεύειν φησὶν ἐντεῦθεν ἀναιρεῖσθαι τὸ ἁπλοῦν τοῦ Θεοῦ, καὶ σύνθεσιν περὶ τὴν θείαν συνάγεσθαι φύσιν, ἀκριβῆ τὴν πρὸς τὸν ὁμόδοξον Εὐνόμιον ἑαυτοῦ κατὰ ταῦτα συμφωνίαν δεικνύς, καὶ ἄλλος αὐτὸς ὢν διὰ πάντων. Διὸ καὶ πρὸς ἀμφοτέρους τούτους ὡδί πως ὁ μέγας φησὶ γράφων Βασίλειος· Ἀλλ' ὁ Εὐνόμιος, ταυτὸ δ' εἰπεῖν ὅτι καὶ Γρηγορᾶς, τὴν τῶν ἰδιωμάτων ἀντίθεσιν πρὸς τὴν οὐσίαν μετακομίσας, ἐντεῦθεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκεται, ὥσπερ παῖδας ἡμᾶς μορμολυττόμενος τοῖς σοφίσμασιν, ὅτι εἴπερ ἕτερόν τι εἴη τὸ φῶς παρὰ τὸ ἀγέννητον, ἀναγκαίως ἡμῖν σύνθετος ὁ Θεὸς ἀποδειχθήσεται. Ἐγὼ δὲ τί φημι; Ὅτι εἰ μὴ B ἕτερον εἴη τοῦ ἀγεννήτου τὸ φῶς, οὐκ ἔστι τῷ Υἱῷ δυνατὸν ἐπιλέγεσθαι, ὥσπερ οὐδὲ αὐτὸ τὸ ἀγέννητον. Εἶτα μικρῷ προϊὼν ὁ διδάσκαλος, Ἀλλὰ μὴν πρός γε τὸ σύνθετον ἀναφανήσεσθαί φησι τὸν Θεόν, εἰ μὴ ταυτὸν ληφθείη τῷ ἀγεννήτῳ, ταυτὸ δ' εἰπεῖν τῇ οὐσίᾳ τὸ φῶς, οὐσίαν καὶ γὰρ εἶναι τὸ ἀγέννητον Εὐνόμιος ἔφησεν, ἐκεῖνο, φησίν, εἰπεῖν ἔχομεν, ὅτι εἰ μὲν ὡς μέρος τῆς οὐσίας τὸ ἀγέννητον ἐλαμβάνομεν, εἶχεν αὐτοῦ χώραν ὁ λόγος, σύνθετον εἶναι λέγων τὸ ἐκ διαφόρων συγκείμενον· εἰ δὲ οὐσίαν μὲν Θεοῦ τὸ φῶς τιθέμεθα, ἢ τὴν ζωήν, ἢ τὸ ἀγαθόν, ὅλον ὅπερ ἐστὶ ζωὴν ὄντα, καὶ ὅλον φῶς, καὶ ὅλον ἀγαθόν, παρεπόμενον δὲ ἔχει ἡ ζωὴ τὸ ἀγέννητον, πῶς οὐκ ἀσύνθετος ὁ κατὰ τὴν οὐσίαν ἁπλοῦς; C καὶ τὰ τούτων ἑξῆς, ὅσα δὴ Γρηγορᾶς ἐκ τοῦ μεγάλου λαβών, καθ' ἑαυτοῦ καὶ τῆς αὐτοῦ δόξης ἤδη φθάσας ἐξέθετο.

Ἀλλ' αὐτός, Ἰδού, φησί, καὶ Βασίλειος ὁ μέγας τὸ φῶς, καὶ τὴν ζωὴν καὶ τὸ ἀγαθὸν οὐσίαν εἶναί φησι τοῦ Θεοῦ, ὃ δὴ καὶ αὐτὸς σὺν ἐκείνῳ φημί. Ἀλλὰ καὶ τοῦτο ψεῦδος, ὦ βέλτιστε. Πῶς γὰρ ἂν ὁ πρὸ μικροῦ περὶ Εὐνομίου λέγων, ὅτι ἐκεῖνος τὴν τῶν ἰδιωμάτων ἀντίθεσιν πρὸς τὴν οὐσίαν μετακομίσας, ἐντεῦθεν τὴν ἀφορμὴν τῆς ἀσεβείας ἐφέλκεται, καὶ ἰδίωμα φυσικὸν τὸ φῶς προσειπών, καὶ διατύρων τὸν φύσιν αὐτὸν Θεοῦ πειρώμενον κατασκευάζειν, μικρῷ προϊὼν εὐθὺς αὐτὸς εἶπεν ἂν αὐτὸ οὐσίαν εἶναι Θεοῦ, καὶ ταῦθ' οὗτος ὢν ἐκεῖνος ὁ λέγων, ὅτι ἄλλη μὲν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, D ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινός, ἢ ἀξίας ὀνομαζομένων; Ὃ δὴ καὶ Διονύσιος ὁ μέγας καὶ ὑψηλὸς τὴν θεολογίαν ἤδη φθάσας ἡμᾶς ὡσαύτως ἐδίδαξεν· Εἰ τὴν ὑπερούσιον κρυφιότητα, λέγων, Θεὸν ἢ ζωήν, ἢ οὐσίαν, ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις, ἐκθεωτικάς, ἢ ζωοποιούς, ἢ ζωογόνους, ἢ σοφοδώρους, αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδεμίαν ὁρῶντες θέωσιν, ἢ ζωήν, ἢ οὐσίαν, ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ. Ἄλλως τε οὐδὲ πολλαὶ οὐσίαι Θεοῦ, ἢ ἐκ πολλῶν ἡ οὐσία σύγκειται τοῦ Θεοῦ, ἵν' ὁμοῦ καὶ τὸ φῶς, καὶ ἡ ζωή, καὶ τὸ ἀγαθόν, οὐσία εἴη τοῦ Θεοῦ. Τὰ μὲν γὰρ πολλά, μία

Digitized by Google

δ' ἐκείνη. Ὅρα δὲ καὶ τὸν λόγον ὅπως ὁ διδάσκαλος ἀμφιβόλως καὶ οὐχ ὁριστικῶς προάγει. Ἢ τὸ φῶς γάρ φησιν, ἢ τὴν ζωήν, ἢ τὸ ἀγαθόν. Καὶ πάλιν, Ὅλον ὅπερ ἐστὶ ζωὴν ὄντα, καὶ φῶς, καὶ ἀγαθόν. Τὸ δέ, τοῦτο, ἢ ἐκεῖνο, ἢ ἄλλο, καὶ τὸ ὅλον ὅπερ ἐστί, δείκνυσι τὸ μὲν κυρίως ὂν ἐκείνης ὁποῖόν τί ἐστιν εἰπεῖν ἀγνοοῦντα, τοῦτο γὰρ αὐτὸ καὶ κοινὸν τῆς ἡμῶν πίστεως ἀξίωμα, καθ' ὑπόθεσιν δὲ μᾶλλον τὸν λόγον προάγοντα, καὶ τὴν ὑπόθεσιν δ' αὐτὴν εὐθὺς ἀναιροῦντα τὴν ἑαυτοῦ, τῷ ἐπαγαγεῖν, Ὅλον ὅπερ ἐστί. Τὸ δὲ καὶ λόγοις, καὶ λογογράφοις ἄνωθεν ἔθος, ἐν τοῖς ἀγνοουμένοις, οὕτω τὴν τοῦ λόγου χρείαν ἀναπληροῦν. Γρηγόριος γοῦν, ὁ τῆς θεολογίας ἐπώνυμος, τὸν περὶ δημιουργίας τῶν ἀγγέλων ποιούμενος λόγον, ἐπειδὴ τὸ πεφυκός, καὶ τὰς οὐσίας ἐκείνων ἀγνοῶν ἦν, Εἴτε νοερά, φησί, πνεύματα, εἴτε πῦρ οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε τινὰ φύσιν ἄλλην ὅτι ἐγγυτάτω τῶν εἰρημένων, ταύτας ὑποληπτέον. Καὶ περὶ τοῦ πρωτοπλάστου πάλιν ὁ αὐτός, καὶ τοῦ παραδείσου, Τοῦτον ἔθετο μέν, φησίν, ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, τῷ αὐτεξουσίῳ τιμήσας. Εἰ δέ τις ἐκ τῶν ἐνεργειῶν λέγοι καὶ πρὸς αὐτὴν τὴν οὐσίαν αὐτῶν τὰ θεῖα διαβαίνειν ὀνόματα, οὐ διαφερόμεθα· μᾶλλον μὲν οὖν καὶ συμφρονοῦμεν καὶ συνᾴδομεν τοῖς οὕτω ταυτὶ καὶ φρονοῦσι, καὶ λέγουσι· θεολόγοι καὶ γάρ, καὶ τῶν ἡμετέρων λόγων καθηγεμόνες τε καὶ διδάσκαλοι, ἐπεὶ καὶ τὸ Θεὸς καὶ τὸ Λόγος, καὶ δὴ καὶ αὐτὸ τὸ τῆς οὐσίας ὄνομα, καίτοι γε τῶν ἐνεργειῶν ὄντα κατὰ τούτους αὐτούς, καὶ ἐπὶ αὐτὴν τὴν οὐσίαν ἀνάγεται, διὰ τὸ ἐκείνης ἀνώνυμόν τε καὶ ὑπερώνυμον.

Ἀλλ' ὁ φιλόσοφος οὐχ οὕτω φησίν, ἀλλ' ὀνόματα ταῦτ' εἶναι πραγμάτων ἔρημα, οὐ κατὰ τῶν ἐνεργειῶν, καὶ τῶν ἄλλων φυσικῶν ἰδιωμάτων λεγόμενα τοῦ Θεοῦ. Πῶς γάρ, φησίν, οὐσίας ὄντος τοῦ Θεοῦ μόνης, καὶ φυσικὸν οὐδὲν οὐδαμῶς παρεπόμενον κεκτημένης, ὃ δή φησι καὶ Εὐνόμιος, καθ' ἧς δήπου καὶ τὰ ὀνόματα λέγεται, μᾶλλον δ' ἅπερ αὐτὴ ἡ τοῦ Θεοῦ οὐσία κατ' αὐτούς φημι τούτους ἐστί; Καίτοι γε καὶ τὸν μέγαν Βασίλειον αὐτὸς ἡμῖν ἀναγνοὺς δι' αὐτοῦ πρὸ βραχέος οὑτωσὶ λέγοντα, Εἴπερ εἰς τὴν οὐσίαν φέροντες πάντα τὰ θεῖα ὀνόματα καταθήσομεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι. Καὶ προφέρει τὸ πρὸς Εὐστάθιον αὐτοῦ φημι τούτου τοῦ διδασκάλου, Πάντα τὰ θεοπρεπῆ, λέγον, ὀνόματα καὶ νοήματα ὁμοτίμως ἔχει πρὸς ἄλληλα, τῷ μηδέν τι περὶ τὴν τοῦ ὑποκειμένου διαφωνεῖν σημασίαν. Οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον τὴν διάνοιαν χειραγωγεῖ τοῦ ἀγαθοῦ ἡ προσηγορία, ἐφ' ἕτερον δὲ τοῦ δυνατοῦ καὶ τοῦ σοφοῦ καὶ τοῦ δικαίου, ἀλλ' ὅσαπερ ἂν εἴποις ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον· κἂν Θεὸν εἴπῃς, τὸν αὐτὸν ἐνεδείξω, ὃν διὰ τῶν λοιπῶν ὀνομάτων ἐνόησας.

Καὶ ταυτά φησι Γρηγορᾶς, οὐ μᾶλλον τῇ συνόδῳ καὶ τῷ ταύτης ἀντιλέγειν τόμῳ προῃρημένος ἢ τὸν μέγαν, ὡς ᾤετο, δεικνὺς ἑαυτῷ ἀντικαθιστάμενόν τε

A καὶ ἀντιλέγοντα. Τοῦ γὰρ αὐτοῦ κἀκεῖνα καὶ ταῦτα, εἰ καὶ δοκεῖ τὰ ἡμέτερα προβάλλεσθαι δῆθεν, μὴ συνιείς, ὅτι ἐκεῖ μὲν ὁ μέγας, ἄλλο καὶ ἄλλο λέγων τὸ σημαινόμενον ὑπό γε τῶν θείων ὀνομάτων, τὸ τοῦ Θεοῦ διακεκριμένον ὑποσημαίνει διὰ τῆς τῶν φυσικῶν αὐτοῦ θεολογίας, ἐνταῦθα δὲ τὸ ὑποκείμενον ἓν εἶναι λέγων τοῖς ὀνόμασι καὶ τοῖς πράγμασι πᾶσιν, ἐφ' ὧν τὰ ὀνόματα, τὸ ἡνωμένον θεολογεῖ τοῦ Θεοῦ καὶ ἀδιαίρετον καὶ ἀσύγχυτον, ἐπειδὴ καὶ μία ἡ τοῦ Θεοῦ οὐσία, ᾗ δὴ καὶ τὰ περὶ αὐτὴν οὐσιώδη ἀχωρίστως τε καὶ ἀδιασπάστως παρέπεται, καθ' ὧν δηλαδὴ καὶ τὰ θεῖα ὀνόματα, καὶ εἷς ὁ διὰ πάντων τε καὶ ἐν πᾶσι τρισυπόστατός τε καὶ παντοδύναμος Θεὸς ἡμῖν γνωριζόμενός τε καὶ προσκυνούμενος. Ὃ δὴ καὶ Διονύσιος ὁ μέγας ἐν τοῖς Περὶ τῶν θείων B ὀνομάτων τούτων ὡσαύτως φιλοσοφῶν, καθὰ δὴ καὶ αὐτοὶ φθάσαντες ἔφημεν, Οὐκ ἄλλο δὲ εἶναι, φησί, τἀγαθόν φαμεν, καὶ ἄλλο τὸ ὄν, καὶ ἄλλο τὴν ζωήν, ἢ τὴν σοφίαν· οὐδὲ πολλὰ τὰ αἴτια, καὶ ἄλλων ἄλλας παρεκτικὰς θεότητας ὑπερεχούσας καὶ ὑφειμένας, ἀλλ' ἑνὸς Θεοῦ τὰς ὅλας ἀγαθὰς προόδους, καὶ τὰς παρ' ἡμῶν ἐξυμνουμένας θεωνυμίας· καὶ τὴν μὲν εἶναι τῆς παντελοῦς τοῦ ἑνὸς Θεοῦ προνοίας ἐκφαντικήν, τὰς δὲ τῶν ὁλικωτέρων τοῦ αὐτοῦ καὶ μερικωτέρων.

Ἀλλ' οὐδ' ἐκεῖνο συνιδεῖν, ὁ φιλόσοφος οὐδαμῶς ἠδυνήθη, ὡς τὰ ὀνόματα ταῦτα τῶν τοῦ Θεοῦ φυσικῶν ἰδιωμάτων ἔχει μὲν καὶ ἡ θεία φύσις ἰδίᾳ κατ' αὐτῆς ἐκείνης ὡς αἰτίας αὐτῶν λεγόμενα, ἔχει δὲ C καὶ ὡς ὑπερώνυμος, ἐκ τῶν ἰδίων αὐτῆς καὶ φυσικῶν ὀνομαζόντων ἡμῶν ταύτην ἀπορίᾳ φυσικοῦ τινος ὀνόματος. Ὅτε μὲν οὖν κατὰ τούτους τοὺς λόγους ἐπ' αὐτῆς τῆς φύσεως τὰ τῶν φυσικῶν ἰδιωμάτων ταύτης ὀνόματα λαμβάνοντες λέγομεν, ἕν ἐστι τὸ δηλούμενον ὁ Θεός, κατ' αὐτὴν δηλονότι τὴν οὐσίαν. Οὐ γὰρ ἐπ' ἄλλο τι ὑποκείμενον, φησὶν ὁ διδάσκαλος, χειραγωγεῖ τὴν διάνοιαν τοῦ ἀγαθοῦ ἡ προσηγορία, ἐφ' ἕτερον δὲ τοῦ δυνατοῦ, καὶ τοῦ σοφοῦ, καὶ τοῦ δικαίου· ἀλλ' ὅσαπερ ἂν εἴποις ὀνόματα, ἓν διὰ πάντων ἐστὶ τὸ σημαινόμενον, ὁ Θεός, κατ' οὐσίαν, ὅπερ ἔφθην εἰπών· ὅταν δὲ τὰ θεῖα ταῦτα ὀνόματα κατ' ἐκείνων λέγηται τῶν τῆς θείας φύσεως ἰδιωμάτων, ὧν καὶ καθ' ὕπαρξιν, καὶ κυρίως εἰσὶν ὀνόματα, τηνικαῦτα οὐ πρὸς ἕν τι καὶ τὸ αὐτὸ ὑποκείμενον D βλέποντες ταῦτα λέγομεν.

Τοῦτο καὶ γὰρ τῆς Εὐνομίου συγχύσεως καὶ τῶν κατ' αὐτὸν ἴδιον, ὃ δὴ καὶ διασύρων ὁ μέγας οὑτοσὶ Βασίλειος ἐν τοῖς φθάσασι σύν γε τἀδελφῷ Γρηγορίῳ, Πολλῶν, φησίν, ὄντων τῶν θείων ὀνομάτων, πότερον ταῦτα μιᾶς οὐσίας ὀνόματα, καὶ ἰσοδυναμεῖ ἀλλήλοις, τὸ φοβερὸν αὐτοῦ καὶ τὸ φιλάνθρωπον καὶ τὸ δίκαιον, καὶ τὸ δημιουργικόν, τὸ προγνωστικὸν καὶ τὸ ἀνταποδοτικόν, τὸ μεγαλεῖον καὶ τὸ προνοητικόν, ἢ ὅπερ ἂν τούτων εἴπωμεν, οὐ τὴν οὐσίαν δηλοῦμεν; Εἰ γὰρ τοῦτο λέγουσι, μὴ ἐρωτάτωσαν εἰ τὴν οὐσίαν οἴδαμεν τοῦ Θεοῦ, ἀλλὰ πυνθανέσθωσαν ἡμῶν, εἰ φοβερὸν οἴδαμεν τὸν Θεόν, ἢ εἰ δίκαιον, ἢ φιλάνθρωπον· ταῦτα ὁμολογοῦμεν εἰδέναι· εἰ δὲ ἄλλο τι λέγουσι τὴν οὐσίαν, μὴ παραλογιζέ-

Digitized by Google

σθωσαν ἡμᾶς διὰ τῆς ἁπλότητος. Αὐτοὶ γὰρ ὡμολόγησαν, ἄλλο καὶ ἄλλο εἶναι τήν τε οὐσίαν καὶ τῶν ἀπηριθμημένων ἕκαστον. Ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ὅταν οὖν κατὰ τούτους τοὺς διδασκάλους ἐπὶ τῶν φυσικῶν τοῦ Θεοῦ ἐνεργειῶν οἰκεῖα αὐτῶν ὀνόματα λέγηται, τότε οὐχ ἕν ἐστι τὸ ὑπ' αὐτῶν σημαινόμενον· οὔτε γὰρ ἡ οὐσία τοῦ Θεοῦ σύνθετον ἐκ τοσούτων, οὔτε ἰσοδυναμεῖ ἀλλήλοις τὰ τοιαῦτα, καθάπερ ἀκούεις· ἀλλ' ἕκαστον τῶν ὀνομάτων ἕν τι τῶν φυσικῶς τῷ Θεῷ προσόντων προσφυῶς ὑποσημαίνει κατὰ τὸν αὐτὸν αὖθις διδάσκαλον. Εἰ ταῦτα καὶ γάρ, φησί, πάντα πρὸς ἓν σημαινόμενον τείνει, ἀνάγκη πᾶσα ταυτὸν ἀλλήλοις δύνασθαι τὰ ὀνόματα, ὡς ἐπὶ τῶν πολυωνύμων. Καὶ μετὰ βραχύ· Καὶ ταύτης τί ἂν γένοιτο τῆς συγχύσεως ἀτοπώτερον, ἀφελόμενον τὴν ἰδίαν ἑκάστου B τῶν ὀνομάτων σημασίαν, ἀντινομοθετεῖν τῇ κοινῇ χρήσει καὶ τῇ διδασκαλίᾳ τοῦ Πνεύματος; Καὶ πάλιν· Πῶς οὐχὶ μανία σαφὴς μὴ ἴδιον σημαινόμενον ἑκάστῳ τῶν ὀνομάτων ὑποβεβλῆσθαι λέγειν, ἀλλὰ παρὰ τὴν ἐνέργειαν πάντα ταυτὸν δύνασθαι ἀλλήλοις διορίζειν τὰ ὀνόματα;

Ἀλλ' ἀκούσωμεν καὶ αὖθις τοῦ Γρηγορᾶ, πῶς μὲν ἡμᾶς τε καὶ τὸν συνοδικὸν συκοφαντεῖ τόμον, ἀνερυθριάστως τὰ ἑαυτοῦ περιάπτειν ἐπιχειρῶν αἴσχη τοῖς αὐτῶν ἀναιρέταις, πῶς δὲ καὶ τοῖς τῶν θεολόγων ἀπεναντίας διὰ πάντων ἵσταται λόγοις, ἐκεῖνα βλασφημῶν καὶ ὑβρίζων ἀναίδην, ἅπερ ἐκεῖνοι θεολογοῦσί τε καὶ ὑμνοῦσιν ὡς ἴδια μόνου Θεοῦ. Φησὶ τοιγαροῦν τὸν ἀκροατὴν ἑαυτοῦ συνήθως καὶ C πάλιν διδάσκων Ἄγγελον· Εἰ γὰρ καὶ τῶν ὀνομάτων τὰ πλεῖστα τῆς εὑρέσεως τὰς γονὰς ἐξ οἱασδηποτοῦν ἐνεργείας λαμβάνει, ἀλλ' οὐδαμοῦ περὶ τὴν ἐνέργειαν τὸ σημαινόμενον ἵστησι τῆς ἐννοίας, ἀλλ' ἐπὶ τὴν ἐνεργοῦσαν ἀνατρέχει φύσιν, καθάπερ σκιᾶς τινος ὁμοῦ καὶ τῆς ἐνεργείας συνεπινοουμένης. Οὐ διὰ τὴν τῶν ὀνομάτων τοίνυν διάφορον παραγωγήν, καὶ τὴν τῶν νοημάτων τῶν ἀπὸ τῶν ὀνομάτων ἡμῖν ἐγγινομένων διαφοράν, διάφορον ἤδη πρὸς ἑαυτὸν καὶ σύνθετον νοοῦμεν καὶ τὸν Θεόν, ὡς ὁ Παλαμᾶς, ἀλλ' ὥσπερ ὁ συκοφαντούμενος ὑπ' αὐτοῦ διδάσκει Βασίλειος.

Καὶ βλέπε τὸν ἀναιδῆ συκοφάντην, ὅπερ ἔφην, καὶ βλάσφημον, πῶς τὴν μὲν ἑαυτοῦ βλασφημίαν D ἡμῖν περιτιθέναι πειρᾶται, τὰ δὲ τῶν ἁγίων προβάλλεσθαι δοκῶν καθ' ἡμῶν, κατ' ἐκείνων ὅλος χωρεῖ. Αὐτοῦ γὰρ τούτου πάντα τὰ θεῖα ὀνόματα. Καὶ δὴ καὶ τὰ παρεπόμενα τῇ θείᾳ φύσει, ἃ δὴ καὶ φυσικὰ καὶ οὐσιώδη τοῦ Θεοῦ τῇ θεολογίᾳ πεφιλοσόφηται, οὐσίαν εἶναι τοῦ Θεοῦ λέγοντος, καὶ μηδεμίαν ἐνεῖναι διαφοράν, σύνθετον οἱ θεολόγοι κατασκευάζειν ἐντεῦθεν αὐτὸν τὸν Θεὸν διὰ τῶν οἰκείων ἀπέδειξαν λόγων, καθὰ δὴ καὶ φθάσαντες ἀπεδείξαμεν, ἐν οἷς δήπου καὶ ὁ θεηγόρος Νύσσης πρός γε τοῖς ἄλλοις πρὸς αὐτόν τε καὶ τὸν αὐτοῦ καθηγητὴν Εὐνόμιον ἔλεγε, Τίς διφυᾶ τὸν Θεὸν εἶναι λέγων πλὴν σοῦ, πᾶσαν ὀνόματος ἔννοιαν τῇ τοῦ Θεοῦ οὐσίᾳ συμφύοντος, καὶ μηδὲν ἔξωθεν προσεῖναι λέγοντος, ἀλλ' ἕκαστον τῶν περὶ τὸ Θεῖον ὀνομάτων τῇ τοῦ Θεοῦ οὐσίᾳ ἐγκεντρίζοντος;

Ὁ δὲ πόρνης ἀνειληφὼς πρόσωπον, καὶ ἀπαναισχυντήσας πρὸς πάντας ἁγίους, τὸ τῆς θείας κἀνταῦθα φάναι Γραφῆς, καὶ πάντα θεολογικὸν ὁμοῦ καὶ πατρικὸν διαπτύσας λόγον. Εἰ γὰρ καὶ τῶν ὀνομάτων, φησί, τὰ πλεῖστα τῆς εὑρέσεως τὰς γονὰς ἐξ οἱασδηποτοῦν ἐνεργείας λαμβάνει, ἀλλ' οὐδαμοῦ περὶ τὴν ἐνέργειαν τὸ σημαινόμενον ἵστησι τῆς ἐννοίας, ἀλλ' ἐπὶ τὴν ἐνεργοῦσαν ἀνατρέχει φύσιν. Καὶ πάλιν· Οὐ διὰ τὴν τῶν ὀνομάτων τοίνυν, φησί, διάφορον παραγωγὴν καὶ τὴν τῶν νοημάτων διάφορον ἤδη πρὸς ἑαυτὸν νοοῦμεν τὸν Θεὸν καὶ σύνθετον, ὥσπερ ὁ Παλαμᾶς, ἀλλ' ὥσπερ ὁ συκοφαντούμενος ὑπ' αὐτοῦ διδάσκει Βασίλειος.

Καίτοι γε, συκοφάντα καὶ ψευδολόγε, τοῦτ' αὐτὸ τῇ συνόδῳ καὶ ἡμῖν ἐστι τὸ σπουδαζόμενον ἔν γε τῷ μέρει τούτῳ τοῦ λόγου, τὸ τῆς σῆς συνθέσεως ἀνώτερον τὸν Θεὸν δεῖξαι, καὶ τὸ ἁπλοῦν αὐτοῦ διὰ τῶν θεολόγων ἀνακηρύξαι, καθὰ δὴ καὶ δέδεικται. Βασίλειος δ' ὁ μέγας, ᾧ σχηματιζόμενος αὐτὸς ἕπεσθαι, κατὰ πρόσωπον ἀντιλέγεις μᾶλλον, ἐκεῖνα πρὸς σὲ καὶ τὸν σὸν καθηγητὴν Εὐνόμιον ἔλεγε πρὸ βραχέος, διὰ τοῦ συνοδικοῦ φημι τόμου, τό, Εἴπερ εἰς τὴν οὐσίαν φέροντες ἅπαντα καταθήσομεν τὰ ὀνόματα, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑφ' ἑκάστου τῶν ὀνομάτων σημαίνεσθαι. Τίς οὖν ἐστιν ὁ συκοφαντῶν, Γρηγορᾶ, τοῦτον τὸν μέγαν; Τίς ἐστιν ὁ σύνθετον ποιῶν τὸν Θεόν; Σὺ ὁ πάντα τὰ περὶ τὸν Θεὸν θεῖα ὀνόματα καὶ νοήματα συμφύρων τῇ θείᾳ οὐσίᾳ, μᾶλλον δ' αὐτὰ ταῦτα τὴν θείαν εἶναι λέγων οὐσίαν, καὶ μηδὲν περὶ αὐτὴν φυσικὸν θεωρεῖσθαι, ἢ ἡμεῖς, οἱ σὺν τῷ λαμπρῷ θεολόγῳ τούτῳ, καὶ δὴ καὶ τοῖς σὺν αὐτῷ διδασκάλοις ὑπὲρ τούτων αὐτῶν Εὐνομίῳ τε καὶ Πύῤῥῳ, καὶ σοί γε αὐτῷ φημι τρίτῳ μετ' ἐκείνους οὑτωσὶ πολεμοῦντες; Εὔδηλον ὅτι σύ, καὶ οὐκ ἂν τοὺς τῆς ἀληθείας τούτους ἐλέγχους, καὶ τὰ βέλη τοῦ δυνατοῦ διαφύγοις, κἂν μυρίους πανταχόθεν περιβάλλῃ κύκλους τοῦ ψεύδους, κἂν τὴν ᾅδου κυνῆν μετὰ τῶν σῶν διδασκάλων ὑπέλθῃς.

Τί οὖν φησιν αὖθις ὁ τῆς κατ' εὐσέβειαν ἀληθείας πολέμιος οὑτοσίν; Ὁρᾷς, φησίν, ὅπως ἡ θεία καὶ ἁπλουστάτη φύσις ἐκείνη πολλοῖς μὲν καὶ διαφόροις ὀνόμασι, καὶ διαφόρων ἐννοιῶν σημαντικοῖς ὀνομάζεται, ἓν δὲ τὸ ὑποκείμενον τοῖς πᾶσιν ὀνόμασίν ἐστι τὸ διὰ πάντων ὀνομαζόμενον, καὶ οὐ σύνθετον ὅ τι ποτέ ἐστιν ἐκεῖνο, διὰ ταῦτα γίνεται; Ἐνταῦθα λόγοις μὲν ὁ Γρηγορᾶς σχηματίζεται τὴν σύνθεσιν ἐπὶ Θεοῦ ἀναιρεῖν, ἣν αὐτὸς καὶ ἡ κατ' αὐτὸν συμμορία τῆς τοῦ Θεοῦ Ἐκκλησίας κατηγορεῖ. Οὕτω γε μὴν ἀναιρεῖ ταύτην, ὡς οὐσίας μόνης τοῦ Θεοῦ πεφυκότος, τῶν δ' ἐπινοουμένων καὶ λεγομένων οὐσιωδῶς περὶ αὐτὸν μηδαμῇ μηδαμῶς ὄντων πλὴν ψόφου μόνου φωνῆς· ὃ δὴ καὶ προϊόντος αὐτῷ τοῦ λόγου δείξει πλατύτερον. Ὁ δὲ μέγας Βασίλειος, ὦ φιλόσοφε, λέγων, καθάπερ ἤκουσας, πρὸς τὸν σὸν μυσταγωγὸν Εὐνόμιον, Ἄλλο μὲν ἡ οὐσία,

Digitized by Google

ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία ἐξ ἐνεργείας τινὸς, ἢ ἀξίας ὀνομαζομένων, ἆρα ληρεῖν σοι δοκεῖ;

Ἀκούετε δὴ καὶ τὴν ἑξῆς πρὸς τὸν οἰκεῖον διδάσκαλον συμφωνίαν τοῦ Γρηγορᾶ. Οὔτε γὰρ ἄλλο, φησὶν, οὐδὲν τουτωνὶ παρὰ τὴν ὑποκειμένην οὐσίαν ἐκείνην σημαίνει, οὔτ' αὖ σύνθεσιν οὐδεμίαν δύναται δρᾷν, οὔτ' ἄνευ τῆς οὐσίας τὰ πάντα καθ' αὑτὰ, οὔτε μὴν μετὰ τῆς οὐσίας αὐτὰ, διὰ τὸ μήτε ὡς ἄλλας οὐσίας παρ' ἐκείνην ταῦτα λαμβάνεσθαι, καθάπερ Εὐνόμιος διὰ τοῦ φάσκειν τὸ ἀγέννητον οὐσίαν εἶναι, μήτε ὡς μέρη οὐσίας αὐτῆς τῆς μιᾶς, καθάπερ ὁ δυσσεβὴς Παλαμᾶς ἀμαθῶς νοεῖ λέγων ἕτερα μὲν εἶναι τῆς θείας φύσεως, φυσικὰ δὲ, τουτέστι μέρη ἐκείνης.

Σὺ μὲν, ὦ κενὲ θεολόγε, εἰ καὶ μὴ καὶ κατ' αὐτὸ τοῦτο τῷ σῷ διδασκάλῳ συμφωνεῖς Εὐνομίῳ, οὐσίας, ὡς καὶ αὐτὸς ἔφης, τὰ προσόντα τῷ Θεῷ φυσικῶς λέγοντι, ἀλλὰ κατ' ἐκεῖνο καὶ μάλα δὴ συμφωνεῖς ἐν οἷς φανερῶς λέγεις, οὔτε ἄλλο τι οὐδὲν τουτωνὶ παρὰ τὴν ὑποκειμένην οὐσίαν σημαίνει, οὐσίαν δίχα τῶν φυσικῶν εἶναι τὸν Θεὸν σὺν ἐκείνῳ λέγων· ἡμᾶς δὲ πότε μέρη τῆς ἁπλῆς τε καὶ ἀμεροῦς οὐσίας ἔγνως εἰπόντας εἶναι τὰ παρεπόμενα ταύτῃ; Μᾶλλον μὲν οὖν καὶ τοὐναντίον ἅπαν εἰπόντας μετὰ Βασιλείου τουτουῒ τοῦ μεγάλου πολλάκις ἤκουσας ἤδη. Εἰ μὲν ὡς μέρος τῆς οὐσίας τὸ ἀγέννητον ἐλαμβάνομεν, λέγοντος, εἶχεν ἂν Εὐνομίῳ χώραν ὁ λόγος, σύνθετον εἶναι λέγων τὸ ἐκ διαφόρων συγκείμενον· εἰ δὲ οὐσίαν μὲν Θεοῦ τὸ φῶς τιθέμεθα, ἢ τὴν ζωὴν, ἢ τὸ ἀγαθὸν, ὅλον ὅπερ ἐστὶ ζωὴν ὄντα, καὶ ὅλον φῶς, καὶ ὅλον ἀγαθὸν, παρεπόμενον δὲ ἔχει ἡ ζωὴ τὸ ἀγέννητον, πῶς οὐχ ἀσύνθετος ὁ κατὰ τὴν οὐσίαν ἁπλοῦς; οὐ γὰρ δὴ οἱ δεικτικοὶ τῆς ἰδιότητος αὐτοῦ τρόποι τὸν τῆς ἁπλότητος αὐτοῦ λόγον παραλυπήσουσιν. Ἢ οὕτω γε πάντα ὅσα περὶ Θεοῦ λέγεται σύνθετον ἡμῖν τὸν Θεὸν ἀναδείξει, ὡς ἔοικεν, εἰ μέλλοιμεν τὴν τοῦ ἁπλοῦ καὶ ἀμεροῦς ἔννοιαν διασώζειν· ἢ οὐδὲν ἐροῦμεν περὶ Θεοῦ πλὴν τὸ ἀγέννητον, καὶ παραιτησόμεθα αὐτὸν ὀνομάζειν ἀόρατον, ἄφθαρτον, ἀναλλοίωτον, δημιουργὸν, κριτὴν, καὶ ὅσα νῦν εἰς δοξολογίαν παραλαμβάνομεν· ἢ δεχόμενοι τὰ ὀνόματα ταῦτα, τί καὶ ποιήσομεν; πότερον εἰς τὴν οὐσίαν ἅπαντα φέροντες καταθήσομεν; Οὐκοῦν οὐχὶ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν αὐτὸν συγκείμενον ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑπὸ τῶν ὀνομάτων τούτων σημαίνεσθαι.

Καὶ πρὸς μὲν Εὐστάθιον τὸν ἰατρὸν ἐν τοῖς φθάσασι γράφων ἔλεγεν, Ἡ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθό ἐστι μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος· εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τούτων τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα,

A οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον· ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος.

Πρὸς δὲ τὸν ἱερὸν Ἀμφιλόχιον περὶ τῶν τὰ αὐτὰ δοξαζόντων ὡσαύτως, καθὰ δὴ καὶ εἰπόντες ἔφθημεν, Μὴ ἐρωτάτωσαν, φησὶν, εἰ τὴν οὐσίαν οἴδαμεν τοῦ Θεοῦ, ἀλλὰ πυνθανέσθωσαν ἡμῶν, εἰ φοβερὸν οἴδαμεν τὸν Θεὸν, ἢ εἰ δίκαιον, ἢ φιλάνθρωπον. Ταῦτα ὁμολογοῦμεν εἰδέναι. Εἰ δὲ ἄλλο τι λέγουσι τὴν οὐσίαν, μὴ παραλογιζέσθωσαν ἡμᾶς διὰ τῆς ἁπλότητος· αὐτοὶ γὰρ ὡμολόγησαν, ἄλλο καὶ ἄλλο εἶναι τήν τε οὐσίαν καὶ τῶν ἀπηριθμημένων ἕκαστον. Ἀλλ' αἱ μὲν ἐνέργειαι ποικίλαι, ἡ δὲ οὐσία ἁπλῆ. Ἡμεῖς δὲ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τὸν Θεὸν ἡμῶν· τῇ δὲ οὐσίᾳ αὐτῇ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μὲν γὰρ ἐνέργειαι αὐτοῦ

B πρὸς ἡμᾶς καταβαίνουσιν, ἡ δὲ οὐσία αὐτοῦ μένει ἀπρόσιτος. Ὁ δὲ τούτῳ σύμπνους ἀδελφὸς ὁ Νύσσης θεῖος Γρηγόριος πρὸς Εὐνόμιον γράφων, Τίς οὕτω, φησὶ, ταπεινὸς τὴν διάνοιαν, καὶ τῆς τῶν θείων δογμάτων μεγαλοφυΐας ἀμύητος, ὥστε τὴν τῶν ὄντων αἰτίαν εἰς νοῦν λαβὼν, μὴ κατὰ ταυτὸν ἀθρόαν πάντων καὶ συγκεκροτημένην τῶν περὶ τὸν Θεὸν εὐσεβῶς νοουμένων ἀναλαβεῖν τὴν διάνοιαν, ἀλλὰ τὸ μὲν ὕστερον, τὸ δὲ καταρχὰς, ἕτερον δέ τι διαμέσου κατά τινα τάξεως ἀκολουθίαν προσγεγεννῆσθαι νομίζειν; Καὶ μετὰ βραχύ· Οὔτε γὰρ χείρων, οὔτε βελτίων ἐκ προσθήκης γινόμενος, ἀλλ' ὁ αὐτός ἐστιν ἀεὶ, οὐκοῦν οὐδὲν περὶ αὐτὸν οὔτε προγενέστερον, οὔτε νεώτερον. Ἢ οὕ-

C τως ἂν εὑρεθείη πρεσβύτερος ἑαυτοῦ, καὶ νεώτερος, εἰ μὴ πάντοτε πάντα ἐστὶν ὁ Θεὸς, ἀλλὰ κατά τινα τάξιν καὶ ἀκολουθίαν τὸ μέν τι ἔστι, τὸ δὲ γίνεται, σύνθεσιν δὲ περὶ αὐτὸν οὐδεμία· ἀλλ' ὅπερ ἂν ᾖ, ὅλος ἐστί. Κατὰ δὲ τὸν τῆς αἱρέσεως λόγον, εἰ πρότερον ἀγέννητος ἂν μετὰ ταῦτα γίνεται Πατὴρ, οὐδεμιᾶς σωρείας ἐπιτηδευμάτων περὶ αὐτὸν νοουμένης, οὐδὲν ἄλλο ἢ ὅλος ἑαυτοῦ ὅλου, πρεσβύτερός τε καὶ μεταγενέστερος γίνεται. Κύριλλος δὲ ὁ μέγας, Εἰ ὅπερ ἂν, φησὶν, ὑπάρχῃ μόνῳ τῷ Θεῷ, τοῦτο πάντως αὐτοῦ ἔσται καὶ οὐσία, ἐκ πολλῶν ἡμῖν οὐσιῶν συγκείσεται. Πολλὰ γάρ ἐστιν, ἃ μόνῳ μὲν αὐτῷ κατὰ φύσιν ὑπάρχει, ἑτέρῳ δὲ τῶν ὄντων οὐδενί. Καὶ γὰρ βασιλεὺς καὶ Κύριος, καὶ ἄφθαρτος, καὶ ἀόρατος, καὶ πρὸς τούτοις ἕτερα μυρία περὶ αὐ-

D τοῦ λέγουσιν αἱ θεῖαι Γραφαί. Εἰ τοίνυν ἕκαστον τῶν αὐτῷ προσόντων ἐν οὐσίας τάξει κείσεται, πῶς οὐκ ἔσται σύνθετος ὁ ἁπλοῦς; ὅπερ ἐστὶν ἐννοεῖν ἀτοπώτατον.

Καλῶς μὲν, ὦ διδασκάλων καὶ θεολόγων ἄριστε, ταῦτα, καὶ κατὰ θεῖα δηλονότι θεσμά. Ἀλλ' ἐπεὶ Γρηγορᾶς οὑτοσὶ μετὰ τῆς κατ' αὐτόν τε καὶ περὶ αὐτὸν φατρίας οὐσίας μὲν ἀπαγορεύουσιν, ὥς φασι, καὶ αὐτοὶ καὶ εἶναι, καὶ λέγεσθαι τὰ τοιαῦτα, καὶ τὴν βλασφημίαν Εὐνομίῳ τε καὶ τοῖς κατ' αὐτὸν ἀποῤῥίπτουσι μόνοις, ἐξ ἀϊδίου δ' ὡς ἰδιότητας τῇ θείᾳ παρέπεσθαι φύσει λεγόντων ἡμῶν οὐκ ἀνέχονται τοπαράπαν, σύνθεσιν εἶναι τοῦτο τῆς θείας αὐτοὶ λέγοντες φύσεως, καὶ πόῤῥω διὰ τοῦτο τῆς θείας ἁπλῆς, δίκαιος ἂν εἴης ὁ αὐτὸς σαφέστερον

Digitized by Google

περὶ ἐκείνων καὶ αὖθις διδάξαι, καὶ δεῖξαι τίνα ποτέ εἰσιν ἐκεῖνα τὰ πολλὰ καὶ μυρία, ἃ περὶ μόνου τοῦ Θεοῦ λέγουσιν αἱ θεῖαι Γραφαὶ, καθὰ δὴ καὶ προὔφης. Τάχα γὰρ καὶ τοῦτ' ἔστιν ἐκεῖνο τῆς σῆς ἱερᾶς θεολογίας, ὅπερ τῶν τῆς συμμορίας τις ἐκείνης ἀκούσας πάλαι, μυριάδας θεῶν προσκυνεῖν ἐσυκοφάντει τὴν καθ' ἡμᾶς Ἐκκλησίαν, ὢ μιαρᾶς γλώττης! καὶ τοῦτο πρὸς ἀλλόφυλον καὶ πολέμιον αὐτῆς γράφων, καὶ διδάσκαλον τὴν ψευδοπροφήτην αὐχοῦντα.

Ἀλλ' ἐγὼ, φησὶν ὁ θεσπέσιος Κύριλλος, κατὰ φύσιν ὑπάρχειν εἶπον τὰ τοιαῦτα τῷ Θεῷ, μόνῳ τούτῳ προσεῖναι. Τὰ δὲ κατὰ φύσιν προσόντα, καὶ ἰδιώματα τῆς θείας φύσεως πεφυκότα, οὔτε φύσις εἰσὶν, οὔτε τῆς φύσεως μέρη. Ὅλος γάρ ἐστι τούτων ἕκαστον, φαμὲν, ὁ Θεὸς, οὔτε σύνθεσις ἐκ τούτων ἄν ποτε γένοιτο τῶν παρεπομένων τῇ θείᾳ φύσει, καὶ κατ' ἐπίνοιαν ἐπιθεωρουμένων αὐτῇ. Ἵνα δὲ καί τι σαφέστερον γνοίης, ἄκουε δὴ τῶν καὶ πρὸς τοὺς ἐξ Εὐνομίου πάλαι ῥηθέντων μοι. Κατ' ἐπίνοιαν, εἶπον, ἐπὶ τοῦ Θεοῦ τὸ ἀγέννητον. Οὐ γὰρ οὐσία τὸ ἀγέννητον, ἢ τὸ ἄφθαρτον, ἢ τὸ ἀθάνατον, ἢ τὸ ἀόρατον. Εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεὸς, ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται. Εἰ τοίνυν οὐχ ὅσα προσεῖναι λέγεται κατὰ φύσιν τῷ Θεῷ, ταῦτα πάντα ἔσται αὐτοῦ καὶ οὐσία, λείπεται λέγειν αὐτῇ τῇ οὐσίᾳ συμβεβηκέναι, μέχρι μόνης φωνῆς οὕτω νοούμενα. Οὐκ ἔχει γὰρ ἡ ἀνθρώπου φύσις μεῖζόν τι τῶν καθ' ἑαυτὴν λέγειν ἐπὶ Θεοῦ. Διὸ τοῖς ἰδίοις ἤθεσιν ἐπ' αὐτοῦ κεχρήμεθα, τὰ καθ' ἑαυτοὺς μειζόνων ὑποδείγματα ποιούμενοι, ὥσπερ οἱ ἐν μικρῷ πίνακι οὐράνιον καταγράφοντες κύκλον. Μηδὲν γὰρ κατ' ἐπίνοιαν συμβεβηκὸς νοοῦντες ἐπὶ Θεοῦ, μήτε μὴν οὕτω τισὶ νοεῖν ἐπιτρέποντες, πολλῇ δυσχερείᾳ περιπεσεῖσθε πάντως, καὶ μυρίων ὑμᾶς νοημάτων ἀθέσμων περιστήξει θόρυβος. Τοιαῦτα μὲν τὰ τῶν ἱερῶν διδασκάλων καὶ θεολόγων, καὶ οὕτω τὴν σύνθεσιν ἐπὶ Θεοῦ καὶ νοοῦσι, καὶ ἀποβάλλονται. Λέγουσι καὶ γὰρ, ὥσπερ ἀκούεις, τριχῶς ὑπονοεῖσθαι τὴν σύνθεσιν ἐπὶ Θεοῦ· ἢ ὅταν ὡς οὐσίαι διάφοροι λέγωνται τὰ φυσικῶς ἐπινοούμενα τῷ Θεῷ προσεῖναι, ἢ ὅταν ὡς μέρη τῆς οὐσίας, ἢ ὅταν οὐχ ὡς οὐσιώδη καὶ φυσικὰ, ἀλλ' ὡς ἐπίκτητα. Ἀλλὰ τὸ μὲν πρῶτον οὐ μόνον ἀδύνατον, ἀλλὰ καὶ τερατῶδές τε καὶ ἀλλόκοτον, καὶ διὰ τοῦτο καὶ πόῤῥω Θεοῦ, καὶ τῶν περὶ Θεοῦ λόγων, οὐδ' ὅσον ἄν τις ἐνθυμηθῇ. Εἰ γὰρ ἕκαστον, φησὶ, τῶν προσόντων τῷ Θεῷ φυσικῶν ἐν οὐσίας τάξει κείσεται, ἐκ πολλῶν ἡμῖν οὐσιῶν σύγκειται ὁ ἁπλοῦς· ὅπερ ἐστὶν ἐννοεῖν ἀτοπώτατον· τὸ δεύτερον οὐδὲν ἧττον τοῦ πρώτου δυσσεβὲς, μᾶλλον δὲ καὶ ἀσεβές· οὐ σύνθεσιν καὶ γὰρ ἐπεισάγει μόνον τῇ ἁπλῇ τοῦ Θεοῦ φύσει, ἀλλὰ καὶ μερισμὸν τῷ ἀμερίστῳ, καὶ λύσιν τῷ ἀκηράτῳ τε καὶ ἀφθάρτῳ, καὶ μόνῳ δοτῆρι τῆς ἀφθαρσίας· σύνθεσις καὶ γὰρ ἀρχὴ στάσεως, ἡ δὲ λύσεως. Εἰ γὰρ ὡς μέρος, φησὶ, τῆς οὐσίας τὸ ἀγέννητον, καὶ ἀόρατον, καὶ ἄφθαρτον, καὶ ἀναλλοίωτον, καὶ τὰ προσ-A ὅμοια τούτοις λάβοιμεν, οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ἀποδείξομεν. Τὸ δὲ τρίτον καὶ Ἀρειανοῖς ὁμοῦ καὶ Εὐνομιανοῖς καὶ τοῖς τὰ Μακεδονίου φρονοῦσι μάλα προσήκει, οἷς δήπου καὶ Βαρλαὰμ σὺν Ἀκινδύνῳ τε καὶ Γρηγορᾷ μετὰ πολλῆς ἑαυτοὺς τῆς προθυμίας συνῆψαν, αὐτόθεν ἔχον ἐπίσημον πᾶσι τὸ ἀσεβὲς, ἅτε δὴ καὶ εἰς κτίσματα κατασπῶν τὸν Θεὸν διὰ τῶν αὐτοῦ φυσικῶν. Ὧν γὰρ ἡ ἐνέργεια κτιστὴ, φασὶν οἱ θεολόγοι Πατέρες ὁμοῦ, τούτων καὶ ἡ φύσις κτιστὴ, ὧν δὲ ἄκτιστος ἡ ἐνέργεια, τούτων καὶ ἡ φύσις ἄκτιστος. Διὸ καὶ Ἀθανάσιος ὁ μέγας σύν γε τῷ σοφῷ Βασιλείῳ, Μὴ γένοιτό μοι ἐπίκτητόν τι ἐπὶ τοῦ Πνεύματος εἰπεῖν, φθάσαντες ἔλεγον· οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ B Θεὸν θεωρουμένων λέγω ἐπίκτητον τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ φύσει ἅγιον, φύσει ἀγαθὸν, φύσει ἀθάνατον. Καὶ πάλιν· Τὰ καθ' ὑπεροχὴν καὶ αἰτιολογίαν πάντα, φησὶν, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν, ἃ καὶ ἄθροισμα καὶ πλήρωμα θεότητος λέγεται κατὰ τὴν Γραφὴν, καθ' ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καὶ θεολογούμενα. Ὁ δὲ Νύσσης θεῖος Γρηγόριος, ὃ δὴ καὶ πρὸ βραχέος ἤκουσας αὐτοῦ λέγοντος, Σύνθεσις, φησὶ, περὶ τὸν Θεὸν οὐδεμία· ἀλλ' ὅπερ ἂν ᾖ, ὅλος ἐστί. Κατὰ δὲ τὸν τῆς αἱρέσεως λόγον, εἰ πρότερον ἀγέννητος ὢν, μετὰ ταῦτα γίνεται Πατὴρ, μηδεμιᾶς σωρείας ἐπιτηδευμάτων περὶ αὐτὸν νοουμένης, οὐδὲν ἄλλο ἢ ὅλος ἑαυτοῦ πρεσβύτερος καὶ μεταγενέστερος γίνεται. Κύριλλός γε μὴν ὁ σοφὸς, Οὐδὲν C ἐπίκτητον τῶν θείων ἰδιωμάτων, φησίν. Ἐκ μέντοι τῶν ἀποτελεσμάτων, δηλαδὴ τῶν κτισμάτων, κατὰ τὰς ἐνεργείας ταύτας, ἀλλ' οὐ κατ' οὐσίαν ὁ Θεὸς ὁρᾶται, ὁμοῦ τε συνάναρχα τῷ Θεῷ κατὰ χρόνον ὑποδεικνὺς τὰ αὐτοῦ ἰδιώματα, διὰ τὸ μὴ ἐπίκτητα εἶναι, καὶ τῶν ἀποτελεσμάτων, ἤτοι τῶν κτισμάτων ῥητῶς αὐτὰ διιστὰς, καὶ ἰδιώματα καὶ ἐνεργείας τὰ αὐτὰ τῆς θείας φύσεως εἶναι δεικνὺς, καὶ ὅτι ἀπὸ τῶν κτισμάτων οὐ κατ' οὐσίαν ὁ Θεὸς ὁρᾶται, κατ' Εὐνόμιόν τε καὶ Γρηγορᾶν, ἀλλὰ κατὰ ταύτας μᾶλλον τὰς ἐνεργείας. Τοσαῦτα τὸ βραχὺ τοῦ θεολόγου χωρίον ἐκεῖνο, καὶ τοιαῦτ' ἐν ὀλίγῳ συλλαβὸν ἔχει· οὕτω περιφανῶς τὴν ὑπονοουμένην ἐπὶ Θεοῦ σύνθεσιν καὶ κατὰ τοὺς εἰρημένους τρεῖς λόγους οἱ θεο-D λόγοι Πατέρες πόῤῥω που τῶν προθύρων ἀπελαύνουσι τῆς Ἐκκλησίας Χριστοῦ. Ὁ δὲ Γρηγορᾶς οὑτοσὶ καθάπερ τις αὐτόνομος τύραννος οὐ νόμους ἀνθρωπίνους, καὶ θεσμὰ βιαζόμενος, ἀλλὰ νόμους ἄντικρυς θείους, καὶ τοὺς τούτων ἱεροὺς διδασκάλους καὶ κήρυκας, καὶ πᾶσιν ἀπεναντίας ἱστάμενος, καὶ τοσούτους καὶ τηλικούτους τῶν θεολόγων ὁμοῦ παραλογιζόμενος λόγους, καὶ τοῖς νομοθέταις ἀντινομοθετῶν ἄντικρυς, αὐτὴν εἶναί φησι τὴν θείαν φύσιν τὰ φυσικῶς ταύτῃ προσόντα καὶ μηδὲ ἡντινοῦν ἐνεῖναι διαφορὰν, ἢ οὕτω γε σύνθετον εἶναι τὸν Θεὸν κατὰ πᾶσαν ἀνάγκην· μηδὲ γὰρ ἐγχωρεῖν φησιν ἄλλως.

Καίτοι γε, φιλόσοφε, πρὸς αὐτὸν ἂν εἴποιμι, καὶ φυσικοὺς λόγους, καὶ τὴν τῶν αἰσθητῶν, καὶ φαινομένων τουτωνὶ τάξιν, ἀλλ' οὐχὶ θείας Γραφὰς μόνον,

Digitized by Google

καὶ θεολογικοὺς τε καὶ πατρικοὺς ἀνατρέπειν λόγους οἷς λέγεις ἐπιχειρεῖς. Εἰ γὰρ ἐπὶ τῶν αἰσθητῶν οὐκ ἂν γένοιτό ποτε σύνθεσις τοῦ κινουμένου διὰ τὴν κίνησιν, οὐδὲ τοῦ ἐπιστήμονος διὰ τὴν ἐπιστήμην, κατὰ τοὺς τῶν ἐμῶν φιλοσόφων καὶ θεολόγων δηλαδὴ λόγους, πῶς ἂν ἡ θεοπρεπὴς δύναμίς τε καὶ κίνησις, ταῦτα καὶ γὰρ ἡ θεία ἐνέργεια, σύνθετον, ὡς αὐτὸς φαίης, τὸν παντοδύναμον Θεὸν ἐργάσαιτο; Ἀλλ' Ἀκίνδυνός τε καὶ Γρηγορᾶς, καὶ ἡ κατ' αὐτὸν ἄγεται συμμορία, ὡς ἐπειδὴ τοῦ ἡλίου ἡ ἀκτὶς, καὶ ἡ συνοῦσα φυσικῶς τῷ πυρὶ θέρμη, ἔτι τε διάνοια τοῦ νοῦ, καὶ τὰ παραπλήσια τούτοις, ὡς μέρη ταῖς οἰκείαις σύνεστι φύσεσι, εἰ καὶ ἀχωρίστως ἐκείναις σύνεστι, καὶ τῇ φύσει τοῦ Θεοῦ, λοιπὸν ὡς μέρη σύνεστι τὰ αὐτῆς φυσικὰ, καὶ ἐκ πολλῶν τινων, φησὶ, λοιπὸν, καὶ διαφόρων ἀλλήλοις τε καὶ τῇ φύσει, καθ' ὑμᾶς ὁ Θεὸς σύγκειται. Καὶ μὴν τοὐναντίον ἅπαν τῶν ἱερῶν θεολόγων λεγόντων ἠκούσατε, ὅτι οὔτε ὡς οὐσίας, οὔτε ὡς μέρη τῆς οὐσίας λαμβάνουσι τὰ φυσικῶς παρεπόμενα ταύτῃ, ἵνα μὴ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον κατασκευάσωσι τὸν Θεόν. Ὅλος καὶ γάρ ἐστιν ὁ Θεὸς οὐσία, φησὶ, καὶ ὅλος ἐνέργεια, καὶ οὐχὶ μέρος μὲν αὐτοῦ ἐστιν οὐσία, μέρος δ' ἐνέργεια, καθάπερ ὑπέλαβες, ἵνα καὶ μεριστὸς εἴη διὰ ταῦτα καὶ σύνθετος· ἀλλ' ὥσπερ ὅλος ἐστὶν ὁ Πατὴρ ἐν τῷ Υἱῷ, καὶ ὅλος ὁ Υἱὸς ἐν τῷ Πατρὶ, ὡς δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὅλον ἐν Πατρὶ καὶ Υἱῷ, καὶ ὁ Πατὴρ ἅμα καὶ ὁ Υἱὸς ὡσαύτως ἐν τῷ Πνεύματι, κατὰ τὸν τῆς οὐσίας καὶ τῆς δυνάμεως δηλαδὴ λόγον, καὶ τὸ ὁμόθεον· οὕτω καὶ ὅλος ἐστὶν ὁ Θεὸς ἐν τῷ προσλήμματι τῆς σαρκὸς, κατὰ τὴν ὑπόστασιν τοῦ Υἱοῦ δηλονότι, οὐ κατ' ἐκεῖνον τὸν τῆς ὁμοουσιότητος λόγον, ἢ γὰρ ἂν καὶ τὸ πρόσλημμα φύσει Θεὸς ἦν, ἀλλ' ἐνέργεια, φησὶ, σαρκώσεως, δηλονότι κατὰ τὸν τῆς οἰκονομίας λόγον τὴν σάρκωσιν ἐνεργῶν. Πάρεστί γε μὴν καὶ τοῖς υἱοθετουμένοις καὶ θεουργουμένοις τῷ Πνεύματι ὅλος ὁ ἁπλοῦς τε καὶ ἀμερὴς, τὴν ὑπερφυᾶ καὶ ἀπόρρητον ἐν αὐτοῖς ἐνεργῶν θέωσιν, διὰ τὸ ὅλος, φησὶν, ὡς ἐνεργῶν ἑκάστῃ τῶν ἐνεργειῶν, καὶ παντὶ παρεῖναι χαρίσματι, εἴτε μείζονι, εἴτε ἥττονι.

Εἰ δ' ὅτι τοῖς κτίσμασιν ὡς μέρη τῆς οὐσίας ἐν εἰσιν αἱ φυσικαὶ δυνάμεις ἐκεῖναι, διὰ τοῦτο νομίζεις αὐτὸς κἀπὶ τοῦ τῆς κτίσεως Δεσπότου ὡς μέρη προσεῖναι τὰ φυσικὰ τούτου τῇ φύσει, καὶ διὰ τοῦτο καὶ σύνθετον φαντάζῃ κακῶς τὸν μόνον ὑπὲρ πᾶσαν ἁπλότητα, οὐ μᾶλλον ἂν σου καταγελᾷν τῆς ἀνοίας, ἢ τῆς ἀμαθίας τε καὶ τῆς ἀθλιότητος οἰκτείρειν πᾶς τις νοῦν ἔχων δίκαιος εἴη γ' ἄν; Μᾶλλον καὶ γὰρ ἀντιστρέψαντες δικαίως ἂν ἡμεῖς εἴποιμεν, ὅτι οὐχ οὕτω τὰ τοῦ Θεοῦ, ἐπειδή γε οὕτω τὰ τῶν κτισμάτων. Καὶ μέρος ἂν εἴποιμι καὶ τοῦτο τῆς θείας εἶναι θεολογίας τὸ κάλλιστον ὁμοῦ καὶ ἐπιδοξότατον, τὸ μὴ συμβαίνειν φημὶ τοὺς τῶν κτισμάτων λόγους τοῖς περὶ τοῦ Θεοῦ, ἵνα μὴ καὶ τὸ κτίσμα Θεὸς, ἢ ὁ Θεὸς κτίσμα, τῶν ἀγροικοτέρων ἐστὶν οἷς κακῶς νομίζοιτό τε καὶ λέγοιτο· διὰ τοῦτο γεννᾷ Θεὸς ἐκ τῆς οὐσίας Υἱὸν, ἀλλ' οὐχ ὡς τὰ σώματα· προβάλλει

A πνεῦμα τοῦ στόματος κατὰ φύσιν, ἀλλ' οὐχ ὡς ἡμεῖς· Θεὸς γάρ· κτίζει τὴν ὁρωμένην πᾶσαν, καὶ ἀόρατον κτίσιν, ἀλλ' ἐκ μὴ ὄντων, καὶ λόγῳ μόνῳ. Ποῦ ποτε τοῦτο κἀν τοῖς γεννητοῖς ἤκουσας; Τοῦτο δὴ κἀν τοῖς φυσικοῖς τοῦ Θεοῦ σκοπῶν, ἀπταίστως καὶ κατὰ θείους θεολογήσεις δηλαδὴ νόμους.

Ἔχει φυσικὰς ὁ Θεὸς δυνάμεις καὶ ἐνεργείας, ἀλλ' οὐχ ὡς τῆς φύσεως μέρη· τῶν κτισμάτων γὰρ τοῦτο καὶ τῆς κάτω συνθέσεως, ἐπεὶ καὶ τῷ ἐνεργεῖν πως πάσχει τὰ κτίσματα. Ὁ δὲ Θεὸς ὑπὲρ ταῦτα πάντα· Θεὸς γάρ. Εἰ δ' ἐρωτᾷς πῶς, ὑπὲρ τὸ πῶς ταῦτά φαμεν· ὅθεν καὶ πολλοὶ, φησὶ, τὰ τοιαῦτα ζητήσαντες, οὔτε τὸ πῶς ἐδυνήθησαν μαθεῖν, καὶ τῆς πίστεως ἐξέπεσον. Εἰπέ μοι σὺ πρῶτον, B πῶς ἐκ γυναικὸς γεννᾶται Θεός· πῶς ἄνθρωπος ἐκ παρθενικῶν αἱμάτων ἀνδρὸς καὶ σπορᾶς δίχα συνίσταται· πῶς γεννηθεὶς ἐκ παρθένου, παρθένον αὖ καὶ μετὰ τόκον διατηρεῖ τὴν παρθένον. Εἰ δὲ βούλει, τὰ μικρὰ ταῦτα καὶ κάτω, τοὺς τῆς σῆς γεννήσεώς φημι καὶ συμπήξεως λόγους καὶ τρόπους, τοὺς περὶ ψυχῆς τε καὶ νοῦ, καὶ τοῦ ταύτης δεσμοῦ πρὸς τὴν ὕλην, καὶ τὸ γεῶδες τουτὶ κρᾶμα, ἵνα τὰ πολλὰ παραλείπω διὰ τὸ μῆκος, καὶ τότε κἀγώ σοι τὸν περὶ τούτων ἀποδώσω λόγον καὶ τὸ πῶς ἴσως ἐρῶ. Εἰ δ' ἐκείνων, καὶ τῶν προσομοίων ἐκείνοις, ἄγνοιαν σαυτῷ προσμαρτυρῶν οὐκ αἰσχύνῃ, πῶς ἐπὶ τούτοις ἰταμός τις εἶ, καὶ φιλόνεικος πέρα τοῦ μέτρου καὶ καταλήψει τὰ ὑπὲρ κατάληψιν ὑπο-C βάλλειν ἐπιχειρῶν, καὶ τοὺς λόγους καὶ τὴν διδασκαλίαν κακῶς ὑπερβαίνειν τῶν θεολόγων, μυρίαις καὶ παντοδαπαῖς τισι περιπίπτεις ταῖς ἀτοπίαις; Καὶ γοῦν ἀκούεις τοῦ σοφωτάτου Μαξίμου καὶ πάλιν, νῦν μὲν τὸ δυσθεώρητόν τε καὶ ἀκατάληπτον τῶν θείων τουτωνί φημι πραγμάτων καὶ λόγων, νῦν δ' αὖθις καὶ τὸ ληπτόν σοι καὶ ῥητὸν ἀπὸ μέρους αὐτῶν, δι' ὀλίγων τινῶν ὡς ἔνι φιλοσοφοῦντος. Εἰ πᾶσα καὶ γὰρ, φησὶ, θεία κατὰ τὸν ἀληθῆ λόγον ἐνέργεια τὸν Θεὸν ἀμερῶς ὅλον δι' ἑαυτῆς ἐν ἑκάστῳ, καθ' ὅνπερ τινὰ κέκτηται λόγον ἰδικῶς ὑποσημαίνει, τίς ἀκριβῶς ἐστιν ὁ νοῆσαί τε καὶ εἰπεῖν δυνάμενος, πῶς ἐν πᾶσί τε κοινῶς ὅλος καὶ ἐν ἑκάστῳ τῶν ὄντων ἰδιαζόντως, ἀμερῶς τε καὶ μεριστῶς ἐστιν ὁ Θεὸς, μήτε ποικίλως συνδιαστελλόμενος τῶν ὄντων οἷς ἔνεστιν, ὡς ἐν ἀπείροις D διαφοραῖς, μήτε αὖ συστελλόμενος κατὰ τὴν ἑνὸς ἰδιάζουσαν ὕπαρξιν, μήτε συστέλλων κατὰ τὴν μίαν πάντων ἑνικὴν ὁλότητα τὰς τῶν ὄντων διαφορὰς, ἀλλὰ πάντα ἐν πᾶσίν ἐστιν ἀληθῶς, ὁ μήποτε τῆς οἰκείας ἀμεροῦς ἁπλότητος ἐξιστάμενος; Καὶ πάλιν· Ἐπὶ τοῦ Θεοῦ τὸ ὢν, καὶ τὸ ἀγαθὸς, καὶ τὸ Θεὸς, καὶ τὸ δημιουργὸς, καὶ τὸ ὑπερούσιος, καὶ τὸ ἄπειρος, καὶ τὸ ἀθάνατος, καὶ τὰ τοιαῦτα, οὐ λέγομεν οὐσιώδεις διαφορὰς, ἵνα μὴ σύνθετον αὐτὸν ἐκ τούτων δογματίσωμεν, ἀλλὰ προσηγορίας, τινῶν μὲν ἐκφαντικὰς τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ φύσιν δηλωτικάς. Τινὰ μὲν τρέποντα τῇ θείᾳ φύσει σημαίνουσιν, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύουσιν· ὅπερ

Digitized by Google

ἴδιον οὐσιωδῶν καὶ συστατικῶν διαφορῶν. Ἀκούεις A καὶ τούτου τοῦ σοφοῦ θεολόγου τὸ ἀμέριστον, καὶ μεριστὸν τοῦ Θεοῦ, τὸ μὲν κατὰ φύσιν, τὸ δὲ κατὰ τὴν φυσικὴν ἐνέργειαν διδάσκοντος; ὃ δὴ καὶ τὸν θεῖον Χρυσόστομον ἐν τοῖς φθάσασι φάναι, τὸν Εὐαγγελιστὴν ἐξηγούμενον Ἰωάννην, καὶ ὅπως πάντα ἐν πᾶσι καθ' ἑκάστην τῶν οἰκείων ἐνεργειῶν ἐστιν ὅλος, ὁ μήποτε τῆς οἰκείας ἀμεροῦς ἁπλότητος ἐξιστάμενος, εἰ καὶ τὸν τοῦ πῶς λόγον, καὶ τὸν τρόπον τῶν γινομένων, οὐδείς ἐστι τῶν πάντων ὁ δυνάμενος ὑποδεῖξαι; Καὶ τὰς οὐσιώδεις δὲ διαφορὰς ἐπὶ τῶν περὶ Θεοῦ φυσικῶς λεγομένων διὰ τὴν ἐκεῖθεν εἰσηγομένην σύνθεσιν ὁ διδάσκαλος ἀποῤῥίπτων, προσηγορίας τινῶν ἐμφαντικὰς τῶν περὶ Θεὸν νοουμένων, κατὰ τοὺς πρὸ αὐτοῦ θεολόγους, Βασίλειόν τε τὸν μέγαν καὶ Κύριλλον τὸν σοφὸν, ταῦτά φησι, B τινὰ μὲν πρέποντα τῇ θείᾳ φύσει σημαίνοντα, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύοντα, ὅπερ ἴδιόν φησι τῶν οὐσιωδῶν καὶ συστατικῶν διαφορῶν, ὡς ἂν οἱ περὶ τὸν φιλόσοφον ἐκ τούτου γοῦν τοῦ ὄντος φιλοσόφου τε καὶ σοφοῦ διδαχθῶσι, πότε καὶ πῶς ἡ σύνθεσις γίγνεταί τε καὶ λέγεται, καὶ ὅτι πόῤῥω Θεοῦ καὶ τῶν περὶ Θεοῦ λόγων ἡμῶν τε καὶ τῶν ἡμετέρων διδασκάλων αὕτη, καὶ ὡς αὐτοὶ μᾶλλόν εἰσιν οἱ μὴ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸν Θεὸν ποιοῦντες. Οὐδαμοῦ καὶ γὰρ, μετ' Εὐνομίου φησὶ Γρηγορᾶς, περὶ τὴν ἐνέργειαν ἵστησι τὸ σημαινόμενον τῆς ἐννοίας τὰ θεῖα ὀνόματα, ἀλλ' ἐπὶ τὴν ἐνεργοῦσαν ἀνατρέχει φύσιν. Καὶ ἡμῶν ἅμα κατηγορῶν, ἀμαθῶς, ὡς ἐκεῖνος νομίζει, λε- C γόντων, ἕτερα μὲν τῆς θείας φύσεως εἶναι τὰ παρεπόμενα καὶ ἐπινοούμενα ταύτῃ, φυσικὰ δὲ, καὶ ὅτι τὸ ἀθάνατον, τὸ ἄπειρον, τὸ ἁπλοῦν, τὸ ἀκατάληπτον, καὶ τὰ παραπλήσια τούτοις, ἄκτιστα μὲν λέγομεν, οὐκ οὐσίαν δὲ τοῦ Θεοῦ, ἀλλὰ περὶ τὴν φύσιν αὐτοῦ θεωρούμενα μᾶλλον, σύν γε τοῖς ἱεροῖς θεολόγοις τούτοις καὶ διδασκάλοις ἡμῶν. Σὺ δὲ αὐτὸς, ὦ φιλόσοφε, μήτε οὐσίας εἶναι τὰ προσόντα ταυτὶ φυσικῶς τῷ Θεῷ, μηδαμῶς μετ' Εὐνομίου λέγων, ὡς φῄς, μήτε μὴν μετὰ Βασιλείου τε καὶ Μαξίμου, καὶ δὴ καὶ τῶν λοιπῶν διδασκάλων τῆς Χριστοῦ Ἐκκλησίας, ὡς καὶ ἡμεῖς δήπουθεν, φυσικὰ ταῦτα λέγειν ἀνεχόμενος τοῦ Θεοῦ, καὶ ἰδιώματα τῆς θείας φύσεως, μᾶλλον μὲν οὖν καὶ κακοδοξίαν, καὶ αἵρε- D σιν ἐγκαλῶν τοῖς τε θεολόγοις καὶ ἡμῖν διὰ ταῦτα, παρὰ γὰρ τῆς ἐκείνων διδασκαλίας ταῦτα πάντα λαβόντες ἡμεῖς ἔχομεν, τί ταῦτα φῂς εἶναι; ἢ μηδὲν μηδαμῆ, τοῦτο μὲν οὖν καὶ πολλάκις εἴρηκας ἤδη, ὡς ὅτε μὴ οὐσία τοῦ Θεοῦ εἴη ταῦτα, μηδὲν εἶναι πλὴν ψόφου μόνου ῥημάτων, τῷ ἀέρι συνδιαλυομένου, ὡς εἶναι κατὰ σὲ ταυτὸν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ τὸ μηδαμῆ μηδαμῶς ὄν. Ἀλλὰ τρέποιτο κατὰ τῆς τῆς κεφαλῆς τὸ βλάσφημον, καὶ πόῤῥω που καὶ τῆς διανοίας καὶ τῆς γλώττης τῶν εὐσεβῶν γίγνοιτο.

Δεῦρο δὴ καὶ τὰ λείποντα τοῦ τῆς αἱρέσεως προστίθει βιβλίου, καὶ σαυτόν τε καὶ ἡμᾶς ἀπάλλαττε τοτήμερον εἶναί φημι τέως τῆς ἀγωνίας. Παλαμᾶ, φησὶ, τοῦτο καὶ τῆς ἐκείνου παρανοίας, λέγειν ὅτι τὸ ἄναρχον, τὸ ἀθάνατον, τὸ ἄπειρον, τὸ ἁπλοῦν, τὸ ἀκατάληπτον, τὸ προγνωστικὸν, τὸ δημιουργικὸν, τὸ προνοητικὸν, τὸ δίκαιον, τὸ ἀγαθὸν, τὸ σοφὸν, τὸ ἅγιον, καὶ τὰ τοιαῦτα, ἄκτιστοι μέν εἰσι θεότητες, οὐκ οὐσία δὲ Θεοῦ, ἀλλὰ περὶ ταύτην θεωρούμενα. Ἆρ' οὐ προδήλως ἐνταῦθα Γρηγορᾶς ὡσπερεί τι προσωπεῖον τοῖς ἱεροῖς θεολόγοις ἡμᾶς περιτιθεὶς, δι' ἡμῶν τε τολμηρῶς εἰς ἐκείνους ὑβρίζων, καὶ δι' ἐκείνων αὖθις εἰς τὸν ἐκείνων Θεὸν, ἣν ἀπαρνεῖσθαι προσεποιεῖτο σύνθεσιν τῆς θείας οὐσίας, διὰ τῶν ἑαυτοῦ λόγων κατασκευάζει νῦν οὐ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν συγκείμενον τὸ καθ' ἑαυτὸν δεικνὺς τὸν Θεὸν, κατὰ τὸν μέγαν φημὶ Βασίλειον; Δεχόμενοι καὶ γὰρ ταῦτα τὰ περὶ τὸν Θεὸν θεῖα ὀνόματα, πρὸς Εὐνόμιον ἤδη φθάσας ὁ διδάσκαλος ἔφη, τί καὶ ποιήσομεν; Πότερον εἰς τὴν οὐσίαν ἅπαντα φέροντες καταθήσομεν; Οὐκοῦν οὐχὶ μόνον σύνθετον, ἀλλὰ καὶ ἐξ ἀνομοιομερῶν αὐτὸν συγκείμενον ἀποδείξομεν, διὰ τὸ ἄλλο καὶ ἄλλο ὑπὸ τῶν ὀνομάτων τούτων σημαίνεσθαι.

Κύριλλος δ' αὖθις ὁ θεῖος, καὶ Μάξιμος ὁ σοφὸς, ὁ μὲν οὐκ οὐσίᾳ τὸ ἀγέννητον ἔλεγεν, ἢ τὸ ἄφθαρτον, ἢ τὸ ἀθάνατον, ἢ τὸ ἀόρατον· εἰ γὰρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεὸς, ὅσαπερ ἂν αὐτῷ φυσικῶς προσόντα φαίνηται· καὶ πάλιν· Πολλά ἐστιν ἃ μόνῳ μὲν τῷ Θεῷ κατὰ φύσιν ὑπάρχει, ἑτέρῳ δὲ τῶν ὄντων οὐδενί. Εἰ τοίνυν ἕκαστον τῶν αὐτῷ προσόντων ἐν οὐσίας τάξει κείσεται, πῶς οὐκ ἔσται σύνθετος ὁ ἁπλοῦς; ὅπερ ἐστὶν ἐννοεῖν ἀτοπώτατον. Τοῦ δέ γε θείου Μαξίμου πρὸ βραχέος εἰπόντος ἠκούσαμεν, ὅτι Τὰ τοῦ Θεοῦ ταῦτα ὀνόματα, ὧν ἔνια καὶ κατὰ μέρος ἐκεῖ καταλέγει, οὐ λέγομεν, φησὶν, οὐσιώδεις διαφορὰς, ἵνα μὴ σύνθετον αὐτὸν ἐκ τούτων δογματίσωμεν, ἀλλὰ προσηγορίας, τινῶν μὲν ἐμφαντικὰς τῶν θεωρουμένων περὶ αὐτὸν, οὐδενὸς δὲ τῶν κατὰ τὴν οὐσίαν αὐτοῦ καὶ φύσιν δηλωτικάς. Τινὰ μὲν πρέποντα τῇ θείᾳ φύσει σημαίνουσιν, οὐκ αὐτὴν δὲ τὴν φύσιν μηνύουσιν, ὅπερ ἴδιον τῶν οὐσιωδῶν καὶ συστατικῶν διαφορῶν. Κατὰ τούτων τῶν ἰσχυρῶν τε καὶ ἀπαραλογίστων ἐλέγχων τῆς αἱρέσεως Γρηγορᾶς μαινόμενος ἀκρατῶς, καὶ μὴ ἔχων ὅπως κατ' αὐτῶν ἐμέσῃ τὸν τῆς κακίας ἰὸν, ὑποφρίττει καὶ γὰρ τὴν τῶν πιστῶν Ἐκκλησίαν, καὶ τὸ περὶ τοὺς προμάχους τούτους, καὶ διδασκάλους, καὶ ῥήτορας τῆς ἀληθείας ἀκραιφνὲς φίλτρον, καὶ τὴν αἰδῶ, τὰ τῆς συκοφαντίας ἡμῖν καὶ τοῦ ψεύδους βέλη, καὶ ὅλην ἐπαφίησι τὴν φαρέτραν τῆς δυσσεβείας, πρὸς κολιονὸν, ὅ φασι, διακηρυττόμενος.

Ἀλλὰ καὶ τοῦ τῆς Ἐκκλησίας ἐρείσματος, Ἀθανασίου φημὶ τοῦ μεγάλου, καλὸν ἂν εἴη διακοῦσαι κἀνταῦθα καὶ πάλιν, εἰ μὴ καὶ αὐτὰς ἐκείνου μετὰ τῆς διανοίας καὶ τὰς λέξεις συκοφάντης λαβὼν ὡς ἡμέτερα δῆθεν, κατ' ἐκείνου τὴν βλασφημίαν ἐκχεῖ. Φησὶ τοιγαροῦν οὕτω κατὰ λέξιν ὁ μέγας· Τὸ ἄκτιστον, τὸ ἀσώματον, τὸ ἄχρονον, τὸ ἄναρχον, τὸ ἀΐδιον, τὸ ἀτελεύτητον, τὸ ἄπειρον, τὸ ἄγνωστον, τὸ ἀσχημάτιστον, τὸ ἀνερμήνευτον, τὸ ἀνεξιχνίαστον, τὸ Θεὸν θεῶν λέγεσθαι αὐτὸν, τὸ Κύριον κυρίων, τὸ Βασιλέα βασιλευόντων, τὸ παντοκράτορα, τὸ ποιητὴν, τὸ δημιουργὸν, τὸ

Digitized by Google

φῶς, τὸ ἅγιον, τὴν ζωὴν, τὸ ἀγαθὸν, τὸ ἀθάνατον, τὸ ἰσχυρὸν, τὸ παντοδύναμον, καὶ ὅσα ἄλλα κατά τε ὑπεροχὴν καὶ αἰτιολογίαν, οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλὰ περὶ τὴν οὐσίαν. Ἃ καὶ ἄθροισμα καὶ πλήρωμα θεότητος λέγεται κατὰ τὴν Γραφὴν, καθ' ἑκάστην τῶν τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καὶ θεολογούμενα. *Πάντα γὰρ ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι, καὶ δεδόξασμαι ἐν αὐτοῖς.* Ὥστ' οὐκέτι κατὰ τῶν διδασκάλων μόνον ὁπλίζει Γρηγορᾶς κἀνταῦθα τὴν βλάσφημον γλῶτταν, ἡμᾶς προσποιούμενος, ἀλλὰ καὶ κατὰ τῶν ἀποστολικῶν τε καὶ εὐαγγελικῶν θείων χρησμῶν, καὶ αὐτοῦ δέ φημι τοῦ λαλοῦντος ἐν ἐκείνοις Χριστοῦ, ὃν δήπου καὶ ὁ θαυμάσιος οὑτοσὶ θεολόγος ἐπὶ τέλει τῶν ἑαυτοῦ λόγων προὐβάλετο μάρτυρα. Θεότητας δ' εἶπε τοὺς διδασκάλους καὶ ἡμᾶς λέγειν τὰς ἐνεργείας καὶ τὰ φυσικὰ τοῦ Θεοῦ, οὐχ ὅτι που λεγόμενα παρ' ἡμῶν ἤκουσε πώποτε, πῶς γάρ; ἀλλὰ θορυβεῖν ὡς μάλιστα τὸν ἀκροατὴν βουλόμενος, ὡς τῶν ἀξιωμάτων, καὶ μάλιστα τῆς μοναρχίας, ἀναιρουμένων δῆθεν, περὶ ὧν δὴ καὶ μετ' ὀλίγον ὡσαύτως ἐροῦμεν. Ἐπάγει καὶ γὰρ οὑτωσίν· Αὐτὸς γάρ ἐστιν ὁ μερίζων τὴν μίαν καὶ ἀμερῆ θεότητα τὴν μόνην ἄκτιστον εἰς πολλὰς ἀνουσίους μὲν, διαφόρους δὲ καὶ ἀκτίστους θεότητας, καὶ πῆ μὲν ἀλλήλας ἀπ' ἀλλήλων διιστῶν, πῆ δ' ἀλλήλας ἀλλήλαις συγκεραννὺς τῷ λόγῳ, τὰς μήτ' οὔσας, μήτ' ἐσομένας, μήτε γενομένας καθ' αὑτάς ποτε, ἀλλ' ὀνόματ' οὔσας μόνον ἔρημα πραγμάτων, καὶ οἷον εἰπεῖν ἀεροβατοῦντα στρατόπεδα κτύπων ψιλῶν, ἕδραν μὲν οὐκ ἐχόντων οὐδ' ὁπηοῦν, βαρείας δὲ μόνον καὶ δυστήχου κραυγῆς τὰς ἡμῶν ἀκοὰς ἐμπιπλάντα, καὶ ὁμοῦ τῷ πληγέντι διαῤῥέοντα ῥᾷστα ἀέρι.

Καὶ μὴν, ὦ φιλόσοφε, πρὸς ἐκεῖνον αὖθις ἔγωγ' ἂν εἴποιμι, δέδεικται κάλλιστα καὶ διὰ πολλῶν ἤδη τοῖς σοφοῖς τουτοισὶ διδασκάλοις καὶ θεολόγοις, τίς ἐστιν ὁ τὸν μερισμὸν καὶ τὴν σύνθεσιν, καὶ πᾶσαν ὁμοῦ τὴν σύγχυσιν ἐπεισάγων κακῶς τῇ θεότητι· ὃ δήπου καὶ νῦν ὡσαύτως ἐν τοῖς σοῖς λόγοις τούτοις ποιεῖς, τῷ ἡνωμένῳ τε καὶ διακεκριμένῳ τῆς θεότητος δυσσεβῶς ἐνυβρίζων ὁμοῦ, καὶ τοὺς ταῦτ' εἰρηκότας θεοπνεύστως βλασφημῶν δι' ἡμῶν. Αὕτη μὲν οὖν ἐστιν ἡ τελεωτάτη περὶ Θεοῦ δόξα καὶ θεολογία, μᾶλλον δὲ βλασφημία τοῦ Γρηγορᾶ· καὶ οὕτω τὸν Θεὸν διὰ τῆς ἀναιρέσεως τῶν αὐτοῦ φυσικῶν ἰδιωμάτων τοῖς μηδαμῇ μηδαμῶς οὖσι συναριθμεῖ, ὃ δὴ καὶ τοῦ κακοῦ μάλιστα ἴδιον οἶδεν ὁ λόγος, καθὰ δὴ καὶ ἄνωθεν ὅ τε συνοδικὸς τόμος ἔδειξεν αὐτὸν διαῤῥήδην φρονοῦντα, καὶ δὴ καὶ αὐτὸς αὑτὸν οὗτος πολλάκις διά γε τῶν ἰδίων αὐτοῦ λόγων· πλὴν ὅσον ἐνταῦθα καὶ μετὰ μείζονος τῆς εἰρωνείας τε καὶ τῆς χλεύης, καὶ τῆς κατὰ Θεοῦ μανίας τε καὶ τῆς ὕβρεως εἶεν. Ἀλλὰ περὶ μὲν ὧν αὐτὸς ἀναπλάττει θεοτήτων, συνεχῶς ἄνω καὶ κάτω στρέφων αὐτὰς ἐν τοῖς λόγοις, καὶ περικτυπῶν τὰς τῶν ἀκροατῶν ἀκοὰς, κἀντεῦθεν ἡμᾶς ὡσανεί τινας παῖδας οἰόμενος μορμολύττεσθαι, μετ' ὀλίγον καὶ ἡμεῖς σύν γε τῷ συνοδικῷ φημι τόμῳ καὶ δὴ καὶ τοῖς θεολόγοις Πατράσιν ἐροῦμεν καθόσον οἷόν τε· τὸ δὲ νῦν εἶναι χρὴ διὰ τῶν αὐτῶν φημι διδασκάλων καὶ αὖθις ἀπὸ μέρους αὐτῷ δεῖξαι, ὅτι καὶ ὄντα τὰ παρεπόμενα ταῦτα τῇ θείᾳ φύσει, καὶ οὔτε οὐσίαι κατὰ τὸν αὐτοῦ διδάσκαλον Εὐνόμιον δηλαδὴ, οὔτε μὴν σκιαί τινες ἰδιοϋπόστατοι, καὶ καθ' ἑαυτὰ κατὰ τὸν ἄσοφον τουτονὶ σοφὸν θεωρούμεναι, τὰς πλατωνικὰς ἰδέας που φαντασθέντα καὶ τοῦτον ἐνταῦθα μετ' Ἀκινδύνου, ἀλλὰ περὶ τὴν θείαν φύσιν ὡς φυσικὰ μᾶλλον καὶ οὐσιώδη, συναϊδίως τε καὶ ἀδιαιρέτως καὶ θεοπρεπῶς νοούμενα, καὶ οὐκ ὀνόματα μόνον ὄντα, πραγμάτων ἔρημα, οὐδὲ ὁμοῦ τῷ πληγέντι ἀέρι διαῤῥέοντα ῥᾷστα, κατὰ τὸν ἀπὸ κοιλίας φωνοῦντα τουτονὶ θεολόγον. Φησὶ τοιγαροῦν ὁ μέγας καὶ πάλιν Βασίλειος, Τὸ Πνεῦμα τὸ ἅγιον αὔξησιν οὐ ζητεῖ, τελειότατον ὄν· διὸ καὶ παρ' αὐτῷ πάντα τέλεια, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, σοφία, σύνεσις, βουλὴ, ἀσφάλεια, εὐσέβεια, γνῶσις, ἁγιασμὸς, ἀπολύτρωσις, πίστις, ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, καὶ ὅσα τούτοις παραπλήσια, οὐδὲν ἔχον ἐν ἑαυτῷ ἐπίκτητον, ἀλλ' ἀϊδίως πάντα ἔχον, ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνὸς, αἴτιον αὐτὸν ἔχον ὡς πηγὴν ἑαυτοῦ, κἀκεῖθεν πηγάζον. Πηγὴ δὲ καὶ αὐτὸ τῶν προειρημένων ἀγαθῶν· ἀλλὰ τὸ μὲν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν.

Ἤκουσας; Πάντα τὰ προειρημένα, φησὶν, ἀϊδίως ἔχει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς αἴτιον ἔχον ἑαυτοῦ τὸν Θεὸν, καὶ ἐξ αὐτοῦ πηγάζον. Πηγάζει δὲ, φησὶ, καὶ αὐτὸ τὰ προειρημένα, φυσικῶς δηλονότι, καθὸ ἐνεργείας. Ἀλλὰ τὸ μὲν, φησὶν, ὡς ἐνυπόστατον ἐκ Θεοῦ πηγάζει, τὰ δὲ ὡς ἐνέργειαι φυσικαί. Οὐδεμία δὲ ἐνέργεια ἐνυπόστατος κατὰ τὸν αὐτὸν αὖθις διδάσκαλον. Ἄκουε δὴ καὶ αὖθις αὐτοῦ, ἵνα κἀκεῖνο μάθῃς, ὅτι καὶ σοφία ἐστὶ κοινὴ Πατρί τε καὶ Υἱῷ, καὶ τῷ ἁγίῳ δηλονότι Πνεύματι, δι' ἣν δὴ καὶ ὁ Υἱὸς εἴρηται σοφία τοῦ Θεοῦ ἐνυπόστατος μάλιστα, ἀλλ' οὐ διὰ τὸ σοφίαν αὐτὸν λέγεσθαι, ἡ οὐσιώδης καὶ κοινὴ σοφία καὶ δύναμις τῶν τριῶν ἀναιρεῖται κατὰ σέ. Εἰ δὲ γινώσκει, φησὶν, ὁ Πατὴρ τὸν Υἱὸν ὅλον δι' ὅλου, ὥστε καὶ τὴν ἐναποκειμένην αὐτῷ σοφίαν πᾶσαν ἐπίστασθαι, κατὰ τὸ ἴσον μέτρον καὶ γνωσθήσεται παρὰ τοῦ Υἱοῦ, δηλονότι μετὰ πάσης τῆς ἐνυπαρχούσης αὐτῷ σοφίας, καὶ τῆς προγνώσεως τῶν μελλόντων. Καὶ πάλιν, Χριστὸς, φησὶ, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ὅλης τῆς πατρικῆς δυνάμεως ἐναποκειμένης αὐτῷ δηλονότι· ὅθεν ὅσα βλέπει τὸν Πατέρα ποιοῦντα, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Κύριλλος δὲ ὁ μέγας, Εἰ μὴ ζωὴ, φησὶ, κατὰ φύσιν ἐστὶν ὁ Υἱὸς, πῶς ἀληθεύσει λέγων, *Ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον*; Εἰ δὲ ὡς φύσει προσοῦσαν αὐτῷ τὴν ζωὴν, καὶ οὐσιωδῶς ὑπάρχουσαν δώσειν τοῖς εἰς αὐτὸν πιστεύουσιν ἐπαγγέλλεται, πῶς ἐνδέχεται νοεῖν οὐκ ἔχοντα τὸν Υἱὸν εἰληφέναι ταύτην παρὰ τοῦ Πατρός; Ἀλλ' ὡς προείρηται, προελθὼν ἐκ τοῦ Πατρὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. Ἓν δὲ τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή. Οὐκοῦν οὐκ ἐπείσακτος τῷ Υἱῷ ἡ ζωοποιὸς δύναμις, ἀλλὰ κατὰ φύσιν αὐτῷ προσοῦσα καὶ οὐσιωδῶς, ὥσπερ καὶ τῷ Πατρί. Ποῦ νῦν εἰσιν οἱ τὰ τοῦ σοφοῦ διδασκάλου

Digitized by Google

τουτουῒ συκοφαντοῦντες, καὶ λέγοντες, ὅτι οὐχ ὡς A φυσικὸν ἰδίωμα καὶ ἐνέργειαν λέγει προσεῖναι τῷ Θεῷ τὴν ζωήν, ἀλλ' αὐτός ἐστι μόνος ἡ ζωὴ τοῦ Πατρὸς ὁ Υἱός; Ἀκουέτωσαν, ὅτι φύσει πρόσεστι καὶ οὐσιωδῶς τῷ Υἱῷ ἡ ζωή. Ἄλλο δὲ, φασὶν οὗτοι, τὸ ὂν, καὶ ἄλλο τὸ προσὸν, κἀπὶ τοῦ Θεοῦ. Προελθὼν γὰρ, φησὶν, ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, πάντα τὰ αὐτοῦ κατὰ φύσιν ἐπάγεται. Ἓν δὲ, φησὶ, τῶν προσόντων τῷ Πατρὶ καὶ ἡ ζωή. Ὡς ἂν μὲν οὖν μὴ δόξῃ ἐπίκτητον καὶ κατὰ μετοχὴν ἔχειν καὶ αὐτὸς τὴν ζωὴν, καὶ ζωὴ καὶ αὐτοζωὴ θεολογεῖται· ἵνα δὲ μὴ δύναμις αὖθις νομισθεὶς, οὐκ ἐν ὑποστάσει τυγχάνων ἰδίᾳ καὶ ζωὴν ἔχειν τὴν αἰώνιον εἴρηται, διδόναι ταύτην τοῖς πιστεύουσιν εἰς αὐτόν· ὥσπερ δὴ καὶ σοφίαν ἔχων, καὶ ἀθανασίαν, καὶ φῶς οἰκῶν ἀπρόσιτον, καὶ αὐτοῦ χορηγὸς τοῖς ἀξίοις ὢν, αὐτός ἐστιν αὖθις B ἡ τοῦ Θεοῦ σοφία καὶ δύναμις, καὶ ἡ ἀθανασία καὶ τὸ φῶς τὸ ἀληθινόν. Καὶ πάλιν ὁ αὐτὸς θεῖος Κύριλλος· Πάντων οὖν, ὅσα δὴ καὶ πρόσεστι τῷ Πατρὶ κατὰ φύσιν, καὶ ἐν Υἱῷ κειμένων φυσικῶς τε καὶ οὐσιωδῶς, τίς οὐκ ἔσται, ποίημα λέγων αὐτὸν, τοῖς ἀφύκτοις τῆς δυσσεβείας ἐγκλήμασιν ἔνοχος; Πῶς γὰρ οὐκ εἶεν ἀλλήλοις ὁμοφυῆ τὰ τῆς αὐτῆς ὄντα φύσεώς τε καὶ οὐσιώδους ἐνεργείας; Καὶ αὖθις ὁ αὐτός· Σοφὸν μὲν τὸ λέγειν μηδὲν συμβαίνειν τῇ οὐσίᾳ τοῦ Θεοῦ, διὰ τὸ ἔχειν αὐτὴν ἐξ αὐτῆς τὸ τέλειον· ὁρῶμεν δὲ ὅτι πολὺς ἡμᾶς ἀναγκάσει λόγος, ὡς συμβεβηκότα τὰ τοιαῦτα νοεῖν ἐπὶ Θεοῦ, καὶ εἰ μὴ πάντως συνέβη. Τί γὰρ ἐροῦμεν ἐννοοῦντες, ὅτι πρὸ μὲν τῆς διακοσμήσεως τοῦδε τοῦ παντὸς ἦν μὲν κατ' C οὐσίαν δημιουργὸς, οὔπω δὲ τοῦτο τῇ ἐνεργείᾳ, διὰ τὸ μὴ τῶν ὄντων τι παρῆχθαι πρὸς γένεσιν· ἐπειδὴ δὲ ἐποιήθη τὸ πᾶν, γέγονεν ὥσπερ καὶ δημιουργὸς, καὶ τρόπον τινὰ συμβέβηκε τοῦτ' αὐτῷ, καὶ ἐνεργείᾳ ὀφθῆναι τοιοῦτον; Εἰ τοίνυν νοεῖταί τινα τῶν πραγμάτων ὡς ἐπισυμβεβηκότα Θεῷ, τί μάτην περὶ τοῦ μὴ δεῖν συμβεβηκέναι λέγειν τῷ Θεῷ τὸ ἀγέννητον διατείνεσθε, ἐν τῷ τοιῷδε σχήματι φαινομένων τινῶν, ὅσαπέρ ἐστιν κατ' οὐσίαν αὐτῷ; Προσέσχες πῶς οὐ μίαν καὶ δύο, ἀλλὰ καὶ τρὶς καὶ πολλάκις, φυσικὰ μέν φησιν ὁ σοφὸς οὑτοσὶ θεολόγος, καὶ οὐσιώδη τὰ περὶ τὸν Θεὸν καὶ οὐκ ἐπείσακτα, ἀλλὰ φυσικῶς καὶ οὐσιωδῶς προσόντα, οὐ μὴν αὐτήν γε τὴν οὐσίαν ὄντα ταυτὶ, ὡς καὶ συμβεβηκότα νομίζειν οἱονεὶ ταῦτα τῇ τοῦ Θεοῦ οὐσίᾳ, εἰ καὶ μὴ συνέβη D πέως; Μὴ τῶν ἡμετέρων ταυτὶ λόγων τε καὶ τῆς διαγνώμης, ὥσπερ δήπου τὰ σά; Ἆρ' οὐχὶ Πατέρων ἱερῶν ταῦτα λόγοι καὶ θεολόγων, Πνεύματι θείῳ τὰ τοῦ Πνεύματος φθεγξαμένων, καὶ λόγῳ Θεοῦ τὴν τῶν λογίων ἱερὰν ποιησαμένων θεωρίαν τε καὶ ἀνάπτυξιν; Ὥστ' οὐ καθ' ἡμῶν, ἀλλὰ κατὰ τούτων αὐτῶν μᾶλλον ἡ σὴ βλασφημία τε καὶ συκοφαντία, καθὰ δὴ καὶ προὔφην, καὶ τοῦ ἐν αὐτοῖς λαλήσαντος Πνεύματος, *Ἥτις οὐδὲ ἀφεθήσεται*, φησὶν ὁ Κύριος, *οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι*, τοῖς μὴ μεταμελομένοις δηλαδὴ, μηδὲ ἐπιστρέφουσι. Καὶ πάλιν ὁ αὐτὸς θεῖος Κύριλλος ἐν τοῖς αὐτοῖς Θησαυροῖς· Εἰ σύνθετον οἴεσθε γίνεσθαι τὸν Θεὸν, διὰ τὸ φύσιν καὶ κρίσιν ἔχειν, ἤτοι θέλησιν, ὁρᾶτε καὶ τοῦτο· ἔχει τὸ γεννᾷν ὁ Πατὴρ φυσικῶς, ἔχει καὶ τὸ κτίζειν δι' Υἱοῦ δημιουργικῶς· καὶ οὐ παρὰ τοῦτο σύνθετός ἐστι. Μιᾶς γὰρ φύσεως τὰ τοιαῦτα καρπός. Ὁ δὲ αὐτὸς κρατήσει λόγος ἐπί τε τοῦ ἀγαθοῦ, καὶ ἀφθάρτου, καὶ ἀοράτου, καὶ ὅσα πρόσεστι τῇ θείᾳ φύσει. Μάξιμός γε μὴν ὁ σοφὸς πρὸς Ἰωάννην ἐπίσκοπον περὶ τῶν ἐνεργειῶν τοῦ Χριστοῦ γράφων, Διὰ τοῦτο, φησὶ, δύο φύσεις οἱ θεοφόροι Πατέρες ἐκήρυξαν ἐπὶ τοῦ ἑνὸς Χριστοῦ, ἐπειδὴ τὰς οὐσιώδεις τῶν φύσεων ἑώρων ἐπ' αὐτοῦ δυνάμεις τε καὶ ἐνεργείας· τῆς μὲν γὰρ θεότητος αὐτοῦ τὴν τῶν θαυμάτων ἐνέργειαν οὖσαν ἐγίνωσκον, τῆς δὲ τοῦ αὐτοῦ ἀνθρωπότητος τὴν τῶν παθημάτων ἐνέργειαν ὡσαύτως ἠπίσταντο. Ἑκατέρα γὰρ φύσις τοῦ ἑνὸς Χριστοῦ καὶ Υἱοῦ τὴν ἰδίαν αὐτῆς καὶ φυσικὴν ἐνέργειαν ἔχουσα, φυσικῶς ἐνήργει, καὶ κατὰ φύσιν ἦν ἐνεργὴς, ἀλλ' οὐδαμῶς ἀνενέργητος, ἢ ἀκίνητος. Ἡ γὰρ ἀκίνητος φύσις καὶ ἀνενέργητος οὐχ ὕπαρξιν ἔχει τὴν οἱανοῦν, οὐ φύσις ὅλως ἢ οὐσία καθέστηκεν. Οὐκοῦν εἰς πίστωσιν τῶν ἐπὶ Χριστοῦ φύσεων τὰς οὐσιώδεις τῶν φύσεων ἐνεργείας οἱ θεόσοφοι Πατέρες ἐκήρυξαν, ἵνα μηδεμίαν αὐτῶν νεκρὰν καὶ ἀνενέργητον δογματίσωσιν, ἀλλὰ ζῶσαν κυρίως, καὶ ἐνεργῆ καὶ ἐνδύναμον. Ἰδοὺ καὶ τὰ Μονοφυσιτῶν νοσεῖν ὁ θεολόγος οὗτός φησι διαῤῥήδην τοὺς μὴ τὰς οὐσιώδεις καὶ φυσικὰς ἐνεργείας ὁμολογοῦντας τοῦ Χριστοῦ, οὐ τὰς φύσεις μὲν αὐτὰς οὔσας, οὐ μὴν ἔξω τῶν φύσεων, ἀλλὰ φυσικὰς καὶ καταλλήλους ταῖς φύσεσιν, ὧν χωρὶς, φησὶν, οὐδ' αἱ φύσεις ἂν εἶέν ποτε.

Διὸ καὶ πάλιν φησὶ, Καταλλήλως ταῖς ἑαυτοῦ φύσεσιν ὁ Χριστὸς, ἤγουν ὡς ἑκάστη πέφυκεν, ἤθελέ τε καὶ ἐνήργει. Δύο δὲ αἱ φύσεις αὐτοῦ· δύο οὖν πάντως καὶ τὰ φυσικὰ θελήματα, καὶ αἱ τούτων ἰσάριθμοι καὶ οὐσιώδεις ἐνέργειαι.

Ὁ δὲ κοινὸς τῶν θεολόγων ὁμοῦ πάντων οἷον ἐξηγητὴς καὶ διάδοχος, καὶ τῶν λόγων αὐτῶν ἑρμηνεὺς, καὶ γλῶττα καθάπερ κοινὴ, Ἰωάννης ὁ Σύρος φημὶ, Ὥσπερ, φησὶ, τῶν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ φύσεων ὁ ἀριθμὸς, εὐσεβῶς νοούμενός τε καὶ λεγόμενος, οὐ διαιρεῖ τὸν ἕνα Χριστὸν, ἀλλὰ σωζομένην καὶ ἐν τῇ ἑνώσει παρίστησι τῶν φύσεων τὴν διαφορὰν, οὕτω καὶ ὁ ἀριθμὸς τῶν οὐσιωδῶς προσόντων ταῖς αὐτοῦ φύσεσι θελημάτων καὶ ἐνεργειῶν· κατ' ἄμφω γὰρ τὰς φύσεις θελητικὸς ἦν, καὶ ἐνεργητικὸς τῆς ἡμῶν σωτηρίας· οὐ διαίρεσιν εἰσάγει, μὴ γένοιτο, ἀλλὰ τὴν αὐτῶν δηλοῖ καὶ μόνον κἀν τῇ ἑνώσει φυλακὴν καὶ σωτηρίαν. Φυσικὰ γὰρ καὶ οὐχ ὑποστατικά φαμεν τά τε θελήματα καὶ τὰς ἐνεργείας· λέγω δὴ αὐτὴν τὴν θελητικὴν καὶ ἐνεργητικὴν δύναμιν, καθ' ἣν θέλει καὶ ἐνεργεῖ τά τε θέλοντα καὶ ἐνεργοῦντα. Καὶ πάλιν ὁ αὐτὸς, Ἐπὶ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, φησὶν, ἐκ τῆς ταυτότητος τῆς ἐνεργείας, καὶ τοῦ θελήματος τὴν ταυτότητα τῆς φύσεως ἐπιγινώσκομεν. Καὶ αὖθις· Ὧν ἡ θέλησις καὶ ἡ ἐνέργεια ἡ αὐτὴ, τούτων καὶ ἡ οὐσία ἡ αὐτή· ὧν δὲ διάφορος ἡ θέλησις καὶ ἡ ἐνέργεια, τούτων καὶ ἡ οὐσία διάφορος.

Ἐκ δὴ τούτων καὶ τῶν τοιούτων, τί γὰρ ἔτι δεῖ περιεργάζεσθαι καὶ προσδιατρίβειν; δείκνυται Γρη-

Digitized by Google

γορᾶς, εἰ καὶ τοῖς τῶν θεολόγων προσποιεῖται πρὸς ἡμᾶς χρῆσθαι λόγοις ἀνθρωπείας εἵνεκα δόξης, καὶ τοῦ μὴ δόξαι παρανομεῖν εἰς τὰ θεῖα, εἰς αὐτά τε ταῦτα παρανομῶν προφανῶς καὶ πᾶσι θεολόγοις, καὶ διδασκάλοις, καὶ τῇ κοινῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ λόγοις καὶ πράγμασιν ἀντιλέγων, καὶ πολεμῶν σύν γε τοῖς αὐτοῦ μυσταγωγοῖς καὶ πατράσιν, Ἀκινδύνῳ τέ φημι τῷ πρὸς τὴν οἰκουμενικὴν θείαν ἐξυβρικότι σύνοδον ἀνερυθριάστως, καὶ δὴ καὶ τοῖς ὁμιληταῖς καὶ μύσταις ἐκείνου, ὧν ἔνιοι καὶ λόγοις ἰδίοις, καὶ γράμμασι τὴν πρὸς τοὺς ἱεροὺς τῆς Ἐκκλησίας Πατέρας ὑποταγὴν καὶ συμφωνίαν ἀπεῖπον, οὐδὲν εἰρηκότες καινὸν, εἰ καὶ τοῖς Πατράσιν ταῦθ' οὕτως ἐλέχθη. Μηδὲ γὰρ πρὸς ἀνάγκης ἡμῖν φησιν εἶναι τὸ τοῖς ἐκείνων ἄγεσθαι πανταχοῦ λόγοις, ἐπεὶ μηδ' εἰς τὸ ὄνομα, φησὶ, τῶν Πατέρων ἡμεῖς βεβαπτίσμεθα. Ἡμεῖς δὲ τῶν τοῦ κοινοῦ Δεσπότου καὶ Κυρίου ἡμῶν πρὸς τοὺς πρώτους αὐτοῦ μαθητὰς καὶ διδασκάλους ἡμῶν μεμνημένοι θείων ἐντολῶν τε καὶ διατάξεων, *Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα*, λέγοντος, *μαθητεύσατε πάντα τὰ ἔθνη*, καὶ, *Καθὼς ἀπέστειλέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς*, καὶ, *Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ, κηρύξατε εἰς τὸ φῶς*, καὶ, *Ὃ πρὸς τὸ οὖς ἠκούσατε, κηρύξατε ἐπὶ τῶν δωμάτων*, καὶ ὅτι *Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, καὶ τὸ ἅλας τῆς γῆς*, καὶ, *Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων*, καὶ τὰ παραπλήσια τούτοις, καὶ δεχόμεθα καὶ προσκυνοῦμεν, καὶ ὅλῃ ψυχῇ τὴν αὐτῶν τε καὶ τῶν σεπτῶν ὁμιλητῶν τε καὶ διαδόχων αὐτῶν θείων Πατέρων καὶ διδασκάλων κατασπαζόμεθα θεολογίαν, ἐκφαντορικὴν μεμαθηκότες αὐτὴν τῶν θείων λογίων, καὶ δι' αὐτῆς ὁδηγηθέντες πρὸς τὴν ἀληθινὴν πίστιν τῆς ἀρχικῆς καὶ μακαρίας Τριάδος, τῆς μιᾶς τρισυποστάτου καὶ παντοδυνάμου Θεότητος, μεθ' ἧς καὶ πᾶν βέβηλον καὶ ἀλλόκοτον ἀπελαύνομεν περὶ Θεοῦ δόγμα τῶν ἀπὸ γῆς τε καὶ κοιλίας φωνούντων, τῶν τε παλαιῶν φημι πάντων, καὶ τούτων δὴ τῶν καινῶν καὶ προσφάτων, καὶ ὀπαδῶν ἐκείνων, οἱονεί τινων ἐπιλόγων καὶ ἀνακεφαλαιώσεων κοινῶν γενομένων ἐκείνων ἐπὶ λύμῃ καὶ διαφθορᾷ τοῦ μὲν κοινοῦ τῆς Ἐκκλησίας οὐκ ἂν εἴποιμι, οὐδὲ γὰρ ὁ τῆς κοινῆς τῶν πιστῶν σωτηρίας κηδόμενος τοῦτο συγκεχώρηκει, τῶν δὲ κακῶς ἐκείνοις, ὡς μὴ ὤφελεν, ἑπομένων, ὡς ἐν πεττοῖς καὶ κύβοις τισὶ τὰ τῆς εὐσεβείας τε καὶ τῆς σφετέρας αὐτῶν σωτηρίας στρεφόντων.

Δεῖ δὲ μηδ' ἐκεῖνο τελέως ἡμᾶς ἐνταῦθα παραδραμεῖν, ὡς ἂν μὴ καὶ δόξῃ τι παρακερδαίνειν ἐκ τῆς σιωπῆς ὁ κατήγορος. Τοῦ γὰρ συνοδικοῦ τόμου σύν γε τοῖς προῤῥηθεῖσι καὶ τὸν μέγαν ἐν θεολογίᾳ προενεγκόντος Γρηγόριον, τοῖς περὶ Εὐνόμιον τὸ ἀγέννητον καὶ γεννητὸν οὐσίας εἶναι παραληροῦσι, κἀντεῦθεν τῆς θεότητος ἐκβάλλειν ἐπιχειροῦσι τὸν Υἱὸν διὰ τὸ τῆς οὐσίας δῆθεν ἀνόμοιον, τούτοις τοίνυν ὁ τῆς θεολογίας ἐπώνυμος ἀντικαθιστάμενος, καὶ δεῖξαι θέλων, ὡς οὐκ οὐσίαι τὸ ἀγέννητον καὶ τὸ γεννητὸν, ἀλλὰ περὶ τὴν αὐτὴν οὐσίαν καὶ ἄμφω, διὰ

A τοῦ καὶ παρ' ἐκείνοις ὁμολογουμένου ἀτόπου λύει τὸ πρόβλημα, τὸ τοῦ μεγάλου φημὶ Βασιλείου πρὸς τοὺς αὐτοὺς καὶ αὐτὸς ὡσαύτως λέγων ἐκεῖνα. Ἡ γὰρ, φησὶ, καὶ τὸ ἀθάνατον, καὶ τὸ ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία Θεοῦ· ἀλλ' εἰ τοῦτο, πολλαὶ οὐσίαι Θεοῦ, καὶ οὐ μία· ἢ σύνθετον ἐκ τούτων τὸ Θεῖον. Οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι. Καὶ τοῖς μὲν περὶ Εὐνόμιον οὐδὲν τῶν ἀναφυομένων ἐντεῦθεν δυοῖν ἀτόπων ἐδόκει, εἰ καὶ περὶ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν τέως ἐβλασφήμουν. Οὔτε γὰρ πολλὰς οὐσίας ἔχειν τὸν Πατέρα, ἢ τὸν Υἱὸν ἐβούλοντο, εἰ καὶ κατ' οὐσίαν κακῶς αὐτοὺς ἀπ' ἀλλήλων διαιροῦντες ἦσαν, οὔτε σύνθετον εἶναι τὴν μίαν ἐκ διαφόρων οὐσιῶν. Ὃ δὴ καὶ ὁ θεολόγος εὐθὺς αὐτοῖς
B ἐπιφέρει προσμαρτυρῶν, καὶ λέγων, Ταῦτα μὲν οὔ φασι· κοινὰ γὰρ καὶ ἄλλων· ὃ δὲ μόνον Θεοῦ καὶ ἴδιον, τοῦτο οὐσία. Ὁ δὲ φιλόσοφος οὑτοσὶ λόγοις μὲν ἀποῤῥίπτειν ἐκεῖνα δοκεῖ, καὶ εἰς δυσσεβοῦντας λέγει τελεῖν τοὺς ἢ πολλὰς οὐσίας ἢ σύνθετον τὴν τοῦ Θεοῦ μίαν οὐσίαν ἐκ πολλῶν λέγοντας· πράγμασι δ' ἁλίσκεται ταῦτα φρονῶν ἄντικρυς, ἃ σὺν ἐκείνοις ἀπαγορεύειν δοκεῖ. Ὁ γὰρ μηδὲν οὐσιῶδες καὶ φυσικὸν κατ' αὐτὸν ἐπιθεωρεῖσθαι τῇ τοῦ Θεοῦ φάσκων οὐσίᾳ ἢ τῇ τοῦ Θεοῦ ταῦτα οὐσίᾳ συνάπτει, ἢ ὡς μέρη, ἢ ὡς οὐσίας, ἢ μηδὲν εἶναι ταῦτα φάσκει πλὴν ὀνομάτων ψιλῶν καὶ ψόφου ῥημάτων κενοῦ, ῥᾷστα τῷ ἀέρι συνδιαῤῥεόντων, ὃ δὴ καὶ πρὸ βραχέος ἑάλω συγγραφόμενος ὁ φιλόσοφος, ὅπερ οὐδαμῶς τετόλμηται τοῖς περὶ τὸν αὐτοῦ φημι καθηγητὴν Εὐνόμιον,
C ὡς ἐν τούτῳ τῷ μέρει γενέσθαι καὶ τὸν μαθητὴν ὑπὲρ τὸν διδάσκαλον. Ὁ γοῦν συνοδικὸς τόμος αὐτά τε ταῦτα τὸν Γρηγορᾶν ἐξελέγχων, καὶ ἅμα σὺν τοῖς θεολόγοις ἀποδεικνὺς, ὡς οὐχ οἱ λέγοντες τὸν Θεὸν φύσιν ἔχειν, καὶ φυσικὴν δύναμιν καὶ ἐνέργειαν, καὶ ἁπλῶς πάντα τὰ παρεπόμενα φυσικὰ καὶ οὐσιώδη τῇ θείᾳ φύσει, οὐκ ἐκεῖνοι ποιοῦσιν αὐτὸν σύνθετον ὅ φασιν οἱ θεολόγοι Πατέρες, ἀλλ' οἱ κατ' αὐτὸν αὐτά ταῦτ' εἶναι δοξάζοντες τὴν οὐσίαν τοῦ Θεοῦ, καὶ μηδ' ἡντινοῦν κατ' ἐπίνοιαν διδόντες διαφορὰν τῇ οὐσίᾳ καὶ τοῖς περὶ αὐτὴν φυσικοῖς. Ταῦτα τοίνυν ὁ ἱερὸς φιλοσοφῶν τόμος, τούς τε λοιποὺς θεολόγους Πατέρας. καὶ δὴ καὶ Γρηγόριον τὸν μέγαν παρήγαγε ταῦτα σὺν ἐκείνοις θεολογοῦντα. Οἷς δὴ καὶ Γρηγορᾶς ἐντυχὼν, βέλτιον μὲν ἄν πως ἐποίει καὶ ταῦτα σιγῇ
D παριὼν, ὡς ἔθος ἐν τοῖς τοιούτοις αὐτῷ, τοὺς περιφανεστέρους τε καὶ δραστικοὺς τῶν ἐλέγχων φεύγοντι· νῦν δὲ καὶ τούτοις βουληθεὶς προσβαλεῖν, εἰπεῖν μὲν οὐδοτιοῦν ἔσχε τῶν καιρίων φημὶ καὶ χρησίμων, πῶς γάρ; ἀλλ' ἐκθέμενος ἄνωθεν τὴν τοῦ διδασκάλου πρὸς Εὐνόμιον ῥῆσιν μόνον, εἶτα καὶ τὸν σκοπὸν δῆθεν, καὶ ἐξήγησίν τινα προσειπὼν ταύτης, κατ' αὐτὸ; ἑαυτοῦ φημι καὶ τῆς αὐτοῦ δόξης κἀκεῖνα, καὶ ὑβρίσας καὶ συκοφαντήσας ὡς ἔθος, καὶ καταφλυαρήσας τῆς ἀληθείας τε καὶ ἡμῶν, τοῦτο δὴ τὸ τισὶν εἰρημένον ἔλαθε καθ' ἑαυτοῦ κεκινηκὼς τὸν ἀνάγυρον.

Digitized by Google

# ΠΡΟΣ ΤΟΝ ΠΕΜΠΤΟΝ ΚΑΙ ΕΚΤΟΝ ΛΟΓΟΝ

## ΤΟΥ ΑΥΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΓΡΗΓΟΡΑ ΛΟΓΟΣ ΑΝΤΙΡΡΗΤΙΚΟΣ ΕΝΑΤΟΣ

Περὶ θεότητος καὶ Θεοῦ καὶ θείας αὖθις ἐνεργείας καὶ θεώσεως ὅτι ἄκτιστος.

A Ἥκει δὲ λοιπὸν ὁ λόγος ἡμῖν ἐπ' αὐτὸ τὸ τοῦ λόγου κεφάλαιον, καὶ τὴν ἄκραν οἱονεὶ κορυφὴν καὶ ἀκρόπολιν ξυμπάσης ἅμα τῆς ὑποθέσεως, τὸν τῆς μιᾶς φημι καὶ ἁπλῆς καὶ ἀνάρχου θεότητος λόγον, πρὸς ἣν καὶ τοῖς ἐπηρεασταῖς ὁ πόλεμος σχεδὸν ἅπας, καὶ τὰ τοῦ ψεύδους καὶ τῆς συκοφαντίας βέλη, καὶ ἡ κενὴ καὶ ἀλλόκοτος πολυθεΐα τε καὶ πολυαρχία, ἡ μηδὲ ἐν τοῖς ἀσεβέσιν ἔθνεσι χώραν ἔχουσα νῦν, οὐ πρὸς τοὺς καθ' ὧν ὁ πόλεμος ὄντα μᾶλλον, ἀλλὰ πρὸς τοὺς κακῶς πολεμοῦντας καὶ ψευδομένους κατὰ τῆς ἀληθείας. Σχεδὸν μὲν οὖν ἤδη καὶ περὶ τούτου τὸ πᾶν ἡμῖν εἴρηται· οὐκ ἐν τοῖς προτέροις μόνον φημὶ τῶν πρὸς Γρηγορᾶν τουτονὶ λόγοις, ἐν οἷς καὶ τοὺς κατὰ τοῦ τόμου ὑπεστήσατο καὶ ὑπέστησεν ἀνυποστάτους καὶ ψευδεῖς αὐτοῦ λόγους, σὺν τοῖς θεολόγοις Πατράσιν ἱκανῶς ἐξηλέγξαμεν, καὶ δὴ κἂν B τῷ δευτέρῳ τῶν πρὸς τὸν αὐτοῦ καθηγητὴν Ἀκίνδυνον, ἀλλὰ κἂν τοῖς ὑστέροις γε τουτοισὶν, ἐν οἷς περὶ θείας ἐνεργείας καὶ θεοποιοῦ μετοχῆς, καὶ κοινωνίας ἀποῤῥήτου τε καὶ θεώσεως, τὸν πολὺν πρὸ βραχέος ἐποιούμεθα λόγον. Οὐ μὴν ἀλλ' ἐπεὶ καὶ τῶν ἐκ τοῦ συνοδικοῦ τόμου σεσυλημένων τῷ Γρηγορᾷ κεφαλαίων ἕν ἐστι καὶ τὸ περὶ θεότητος καὶ μοναρχίας τοῦτο, πρὸς ὃ δὴ καὶ αὐτὸς νῦν ἰδίᾳ τὸν λόγον ὁρᾶται ποιούμενος, ὃν καὶ περικτυπῶν ἄνωθεν ἐθορύβει τὸ λογικὸν τουτὶ θέατρον, δῆμόν τινα φανταζόμενος θεοτήτων ἄνω καὶ κάτω τὸν μηδαμῶς ὄντα, καθάπερ οἱ λυσσῶντες τὸν ἐν τῇ φιάλῃ, φασὶ, κύνα, τῆς φαντασίας αὐτοῖς ὑπό γε τῆς ἐνούσης μανίας ἀναπλαττούσης τὰ μὴ ὄντα· δεῖν εἶναι νομίζω C καὶ τῶν περὶ τούτου λόγων ἡμᾶς ἀκοῦσαι καὶ αὖθις, καὶ τὸν συνοδικὸν ὡσαύτως αὐτοῖς ἀντιστῆσαι τόμον σύν γε τοῖς θεολόγοις Πατράσι, καὶ οὕτω μετὰ τῆς ἀληθείας ἐξελέγξαι, σὺν Θεῷ φάναι, κἀνταῦθα τὴν κενὴν διαβολὴν καὶ τὸ ψεῦδος. Εἰσάγει τοίνυν καὶ πάλιν ὁ Γρηγορᾶς τὸν φοιτητὴν Ἀγαθάγγελον οὑτωσὶ τὰ τοῦ τόμου πρὸς αὐτὸν ἐξαγγέλλοντα. Μετὰ ταῦτα ζητηθῆναί φησι Παλαμᾶς ἐν τῷ τόμῳ πρὸς τῶν ἀρχιερέων καὶ γραμματέων, ὁπόσοι τὸν Παλαμικὸν πληροῦσι θίασον, εἴ γε ἡ ἀνούσιος καὶ ἄκτιστος αὕτη ἐνέργεια θεότης ἰδίᾳ παρὰ τῶν ἁγίων προσαγορεύεται. Καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ τῶν θεολόγων κηρυττόμενον. Καὶ αὐτίκα κομίζει τῆς τοῦ μεγάλου Βασιλείου πρὸς Εὐστάθιον τὸν ἰατρὸν ἐπιστολῆς ἔνια πρὸς ἀπόδειξιν. Ἔστι δὲ ταυτί· Ἡ τῆς ἐνεργείας D ταυτότης ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον· ὥστε κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν προσαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες. Καὶ μετά τινα· Οὐκοῦν ἐξουσίας τινὸς, εἴτε ἐποπτικῆς, εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθὸ ἔστι μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν· τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα.

Ἄλλοτε ἄλλας ὁ φιλόσοφος ἐξαλλάττων μορφὰς ἰδεῶν ἐν τοῖς ἀντιῤῥητικοῖς τουτοισὶ, καὶ παντοδαπός τις κατὰ τὸν μυθευόμενον Πρωτέα φαινόμενος ἐν τοῖς λόγοις, ἢ καὶ καθάπερ ἐν σκηνῇ τε καὶ δράματι διάφορα συνεχῶς ἑαυτῷ περιτιθεὶς τὰ προσωπεῖά τε καὶ τὰ σχήματα, καὶ ποτὲ μὲν τὸ τραγικὸν, ποτὲ δὲ τὸ κωμικὸν μετὰ τῶν γελωτοποιῶν ὑποδυόμενος σχῆμα καὶ τὴν ὑπόκρισιν, καὶ νῦν μὲν συκοφάντην, νῦν δὲ κλέπτην, καὶ ἱερόσυλον, καὶ ὑβριστὴν, ἰταμὸν καὶ ἅρπαγα τῶν θείων λόγων αὐτὸς ἑαυτὸν δεικνὺς, ἀρτίως ἑτέραν ἐτράπετο, οὐδὲ πρὶν μὲν ἀποστὰς καὶ ταύτης αὐτῆς ἐν τοῖς φθάσασι, νυνὶ δὲ καὶ ὅλος ταύτης γενόμενος ἐναργέστερον. Δικαζομένου καὶ γὰρ περικείμενος σχῆμα, καὶ τῶν δικαστικῶν ἐπιβαίνειν μέλλων προθύρων, τοῦ μὲν δικανικοὺς μελετᾷν ὡς εἰκὸς λόγους, καὶ συνηγόρους μισθοῦσθαι καὶ δικολόγους καὶ μάρτυρας ἑαυτῷ τῶν λεγομένων παρασκευάζειν, οἷα δὴ νόμος ἐν τοῖς τοιούτοις, οὐδὲ βραχύν τινα λόγον ποιεῖται σχεδόν· πλὴν ὅσον πρὸς τὴν συνήθη μόνον συκοφαντίαν καὶ τὸ ψεῦδος ὁρᾷν αὖθις. Ὧν οὐδ' ἀποστῆναι πέφυκεν οὐδαμῶς. Τόν γε μὴν ἀντικρινόμενον ἐξ αὐτῆς εὐθὺς ἀξιοῖ τῆς εἰσόδου, πάντας ὁμοῦ μάρτυρας καὶ νόμους, καὶ τύπους ἐγγράφους καὶ συνηγόρους ἔξω θυρῶν ἀπολιπόντα, γυμνὸν οὕτως ἔπειτα πάντων καὶ ἄοπλον εἰσιέναι τὴν ἀγωνίαν. Μᾶλλον δ' οὐκ ἀξιοῖ Γρηγορᾶς ταῦτα μόνον· ἦ γὰρ ἂν οὐδ' εἰλήφει ποτὲ, μηδενὸς ὄντος τοῦ συγχωροῦντος· ἀλλ' αὐτὸς οὗτος ἐπεισπεσὼν μετὰ τῆς συνήθους ἰταμότητος καὶ ἀναισχυντίας, πάντας μὲν ἀπελαύνει σχεδὸν καὶ θείους ὁμοῦ νόμους, καὶ συνηγόρους, καὶ μάρτυρας τοῦ πρὸς αὐτὸν ἀντικρινομένου· ἑνὶ δὲ τῶν μαρτύρων μόνῳ τὴν εἰς τὸ δικαστήριον δῆθεν εἴσοδον συγχωρήσας, ὁρᾶτε δὴ, πῶς καὶ αὐτῷ τούτῳ τὸ πλεῖστον περικόπτει τῶν λόγων, καὶ τῶν καιριωτέρων ἀφαιρεῖται καὶ ἀναγκαιοτάτων, καθαπερεί τις ἀναιδὴς καὶ ὑβριστὴς τύραννος, καὶ μηδὲ πρὸς τὸ μεγαλεῖον ὁρῶν καὶ τὸ ὕψος αὐτῶν τέ φημι τῶν πραγμάτων, ὑπὲρ ὧν καὶ οἱ λόγοι, καὶ δὴ καὶ τοῦ μαρτυροῦντος. Ἀποκόπτει μὲν γὰρ καὶ τὴν ἀρχὴν αὐτὴν εὐθὺς τῆς προῤῥηθείσης φημὶ ῥήσεως Βασιλείου τοῦ μεγάλου· εἶτα μεταξύ τινα τῶν ἐκείνης

Digitized by Google

A εἰπὼν, καὶ ὅσαπερ ἦν αὐτῷ βουλομένῳ, τὸ πλεῖστον αὐτῆς, ὡς μηδὲ ῥηθὲν τὴν ἀρχὴν, λήθης ἀφῆκε φέρεσθαι ῥεύμασιν. Ἀλλ' ὁ συνοδικὸς ἡμῖν ἄνωθεν ταῦτα λεγέτω τόμος, καὶ ὑγιῶς τε καὶ ἀπαραλείπτως τὰ ἑαυτοῦ καὶ αὖθις διεξιέτω. Αὐτίκα γάρ φησιν ὁ μέγας Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου, Καὶ αὐτὸ, φησὶ, τὸ τῆς θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικὴν, εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, οἰκείως εἶχε πρὸς τὸ ἀνθρώπινον. Τοῦδε μηδὲ μνησθεὶς ὅλως ὁ Γρηγορᾶς, τοῦ ἑξῆς ὡς ἐξ ἀρχῆς δή τινος ἄρχεται. Καὶ πάλιν ὁ αὐτὸς ἐν τῇ πρὸς Εὐστάθιον τὸν ἰατρὸν ἐπιστολῇ, Οὐκοῦν, φησὶν, ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον, ὥστε κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν προσαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες. Καὶ μετά τινα· Οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς, εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθὸ ἔστι μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Εὐεργέτην γὰρ καὶ κριτὴν, ἀγαθόν τε καὶ δίκαιον, καὶ ὅσα ἄλλα τοιαῦτα μαθόντες, ἐνεργειῶν διαφορὰς ἐδιδάχθημεν. Τοῦ δὲ ἐνεργοῦντος τὴν φύσιν οὐδὲν μᾶλλον διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως δεδιδάγμεθα.

Μέχρι τούτου φαίνεταί πως εὐγνωμονῶν Γρηγορᾶς, ὅσον πρὸς τὴν ἐξαγγελίαν καὶ τὴν διήγησιν τέως φημί· τὰ δὲ τούτων ἑξῆς φροῦδα παρ' ἐκείνῳ καὶ χαμαιρριφῆ τινα, καὶ ἐκτρώματα οὐδὲ τὴν φυσικὴν ἁρμονίαν αὐτῶν αἰδεσθέντι πρὸς τὰ συμφυᾶ τε καὶ ἀδιάσπαστα. Φησὶ τοιγαροῦν ὁ μέγας καὶ αὖθις, κατασκευάζων τοὺς προρρηθέντας αὐτὸς ἑαυτοῦ λόγους· Ὅταν γὰρ ἀποδιδῷ τις λόγον ἑκάστου τῶν ὀνομάτων, καὶ αὐτῆς τῆς φύσεως, περὶ ἣν τὰ ὀνόματα, οὐ τὸν αὐτὸν ἀμφοτέρων ἀποδώσει λόγον. Ὧν δὲ ὁ λόγος ἕτερος, τούτων καὶ ἡ φύσις διάφορος. Οὐκοῦν ἄλλο μὲν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Καὶ πάλιν ὁ αὐτός φησι μέγας Βασίλειος ἐν τῇ αὐτῇ ἐπιστολῇ· Εἴτε ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, οὕτω μίαν φαμὲν εἶναι καὶ τὴν θεότητα. Ἀλλ' ἐνταῦθα μικρὸν τῶν λόγων τοῦ μεγάλου διακόψαντες τὴν συνέχειαν, τῆς πολλάκις ἤδη ῥηθείσης γνώμης τοῖς θεολόγοις, καὶ πρὸ τῶν ἄλλων αὐτῷ φημι τούτῳ, τὸν φιλόσοφον ἀναμνήσωμεν, Κατάλληλα δεῖ ταῖς φύσεσιν εἶναι, λεγούσης, τὰ φυσικὰ, καὶ μήτε ψύχειν τὸ πῦρ, μήτε θερμαίνειν τὸν κρύσταλλον, ὡς εἶναι τῆς μὲν ἀκτίστου φύσεως ἄκτιστον τὴν ἐνέργειαν, κτιστὴν δὲ τῆς κτιστῆς, μέσον δὲ κτιστῆς καὶ ἀκτίστου οὐκ ἔστιν ἄλλη ἐνέργεια, οἱ αὐτοὶ θεολόγοι καὶ τοῦτό φασιν. Ἐπὶ δὲ τὸν τόμον αὖθις καὶ τὸν μέγαν Βασίλειον ἐπανέλθωμεν. Εἴτε καὶ κατὰ τὰς τῶν πολλῶν, φησὶ, δόξας φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν, οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν Τριάδα ὁριζόμεθα. Ἀλλὰ τοῖς μὲν οὐδ' ἐπεξεργασίας οὐδὲ σαφηνείας ἐνταῦθα σχεδὸν δεῖ, οὕτω τε καθαρότητος καὶ εὐκρινείας λαμπρῶς ἔχουσι, καὶ πολλάκις ἔν γε τοῖς φθάσασιν ἤδη ῥηθεῖσι καὶ ἱκανῶς ἐπεξεργασθεῖσιν ἡμῖν, ἐν οἷς δήπου καὶ τὸν περὶ θείας ἐνεργείας τε καὶ ἁπλότητος ἐσκοπούμεθα λόγον, πλὴν ὀλίγων γέ τινων, ἃ δὴ καὶ μετὰ μικρὸν ὡσαύτως ἐροῦμεν· δεῖ δὲ καὶ τοὺς ἀπελαθέντας τοῦ λογικοῦ καὶ δογματικοῦ τούτου δικαστηρίου πρὸς τοῦ Γρηγορᾶ συνηγόρους τοῦ λόγου τῆς εὐσεβείας καὶ μάρτυρας, ἅτε δὴ καὶ θεολόγους καὶ διδασκάλους αὐτῆς πάλαι πεφηνότας καὶ κήρυκας, καὶ αὖθις πρὸς τὴν λογικὴν ἀγωνίαν καὶ τὸ στάδιον κατελθεῖν, καὶ τὰ σφῶν αὐτῶν ἀναπληρῶσαι σὺν B δίκῃ. Εἰσαγέτω τοιγαροῦν, καὶ λεγέτω καὶ τἀκείνων ὡσαύτως καὶ πάλιν ὁ τόμος. Καὶ ὁ ἅγιος Ἀναστάσιος, φησὶ, τοιάδε περὶ τούτων φησίν· Ἡ Θεὸς προσηγορία πρόδηλον ὅτι ἐνεργητικὴ τυγχάνει. Οὐ γὰρ αὐτὴν τὴν τοῦ Θεοῦ οὐσίαν παρίστησιν, ἀδύνατον γὰρ ταύτην γνῶναι, ἀλλὰ τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν ἡμῖν παρίστησι καὶ δηλοῖ τὸ *Θεός*. Καὶ πάλιν ὁ αὐτός· Τὸ *Θεὸς* ὄνομα οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει, ἀκατάληπτος γὰρ αὕτη καὶ ἀνώνυμός ἐστιν, ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας Θεὸς εἴρηται, ὥς φησιν ὁ ἅγιος Διονύσιος, ἢ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, ἢ ἐκ τοῦ αἴθειν, ὅ ἐστι φλογίζειν. Ὁ δὲ αὐτὸς μέγας Διονύσιος, Εἰ τὴν ὑπερούσιον, φησὶ, κρυφιότητα Θεὸν, ἢ ζωὴν, ἢ οὐ- C σίαν, ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις, ἐκθεωτικὰς, ἢ οὐσιοποιοὺς, ἢ ζωογόνους, ἢ σοφοδώρους. Αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδεμίαν ὁρῶντες θέωσιν, ἢ ζωὴν ἢ οὐσίαν, ἥτις ἀκριβῶς ἐστιν ἐμφερὴς τῇ πάντων ἐξῃρημένῃ κατὰ πᾶσαν ὑπεροχὴν αἰτίᾳ. Καὶ πάλιν ὁ αὐτός φησι· Θεότης ἐστὶν ἡ πάντα θεωμένη πρόνοια. Ὅτι δὲ ἡ ἐνέργειά ἐστι, καὶ ἐξ ἄλλων μὲν τοῦτο γνώριμον, μάλιστα δὲ καὶ ἐξ ὧν ὁ μέγας Ἀθανάσιος γράφει λέγων, Οὐ κατὰ ἄλλην καὶ ἄλλην πρόνοιαν ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐργάζεται, ἀλλὰ κατὰ μίαν καὶ τὴν αὐτὴν οὐσιώδη τῆς θεότητος ἐνέργειαν. Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος πάλιν ἐν τῇ πρὸς Γάϊον δευτέρᾳ ἐπιστολῇ θεότητά D φησιν εἶναι τὸ χρῆμα τοῦ θεοποιοῦ δώρου, καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθὸ θεούμεθα καὶ ἀγαθυνόμεθα.

Τοσούτους καὶ τηλικούτους τῶν περὶ θεότητος λόγων ἐξηγητάς τε καὶ μάρτυρας ὁ τοὺς ἀντιρρητικοὺς οὑτοσὶ κατ' αὐτῶν τε καὶ ἡμῶν προσποιούμενος ξυντιθέναι τυραννικῶς καὶ μετὰ πολλῆς διαπτύσας τῆς κακουργίας, εἶτα καὶ θορυβεῖ καὶ ἀναισχυντεῖ, καὶ μετὰ πλείστης ὅσης ἐπιπηδᾷ τῆς ἀναιδείας, μήτε Γραφικαῖς ἀποδείξεσι, μήτε θεολογικαῖς τισι μαρτυρίαις συκοφαντῶν ἡμᾶς μηδαμῶς πιστοῦσθαι τοὺς λόγους, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτῶν οἱονεί τινα θεσπίσματα τούτους προφέρειν. Ὁρᾷς καὶ αὐτὸς γὰρ, φησὶ, πρὸς τὸν ἀκροατὴν ἑαυτοῦ καὶ μυσταγωγὸν ὁμοῦ Ἀγαθάγγελον, ὦ-

Digitized by Google

οὐδεμίαν ἐκεῖνος προκομίζει ποτὲ συναιρομένην ἁγίων αὐτῷ μαρτυρίαν, ἀλλ' ὥσπερ χρησμοὺς δογματίζει τὰ δεδογμένα οἱ, καὶ ἀναγκάζει τυραννικῶς στέργεσθαι οἷς ἐντυγχάνει πᾶσι, καὶ μηδ' ὑπ' οὐδενὸς ἀντιλέγεσθαι οἷς ἀντιλέγει. Καὶ οὐχ ὅπως καὶ δεῖται συγκείμενος οὕτω, ἀλλὰ καὶ δυοῖν ἁλίσκεται θάτερον ἀεὶ δρῶν. Ἢ γὰρ πάντων ὁμοῦ καταψεύδεται τῶν ἁγίων, συμφωνεῖν μὲν αὐτοὺς ταῖς αὐτοῦ βλασφημίαις αὐθαδιζόμενος, τίνες δ' ἐκεῖνοι καὶ πῶς καὶ ποῦ συμφωνοῦσιν οὐ λέγων· ἢ καὶ ἐνιαχοῦ προκομίζων ἔνια πρὸς μαρτυρίαν δῆθεν τῶν αὐτοῦ κενοφωνιῶν, εὑρίσκεται μηδαμοῦ νοῶν, ὡς καθ' ἑαυτοῦ προκομίζων αὐτὰ φωρᾶται σαφῶς. Καὶ παρίημι τὸν ἐφεξῆς τῶν ῥηματίων αὐτοῦ κενὸν ὄχλον καὶ τὴν ἄπληστον φλυαρίαν, τῆς ὥρας καὶ τοῦ μήκους τοῦ λόγου φειδόμενος· πλήν γε ὅτι κἀκ τῶν εἰρημένων ἔκδηλος πᾶσιν ἡ τοῦ φιλοσόφου κἀνταῦθα λογογραφία τε καὶ ἀντιλογία, καὶ ὅπως ἀληθείας τε καὶ τοῦ ὄντως ὄντος μόνου φροντίζει. Καὶ καινὸν οὐδὲν οὐδ' ἀπᾷδον τῇ ψυχῇ, καὶ τοῖς αὐτοῦ τρόποις, τὸ τοιαῦτα καὶ συῤῥάπτειν καὶ γράφειν καὶ ψεύδεσθαι δημοσίᾳ μετὰ πολλῆς τινος καὶ λαμπρᾶς τῆς ἐπιμελείας. Ὁ γὰρ τοῦ Θεοῦ, καὶ τῆς κατ' εὐσέβειαν ἀληθείας, οὕτω τοι καὶ λόγοις καὶ γράμμασι καὶ παντί γε τῷ δυναμένῳ, καὶ ζῶν, καὶ ἀπογεγονὼς κατακράτος ψευδόμενος, συκοφαντῶν, καὶ μηδεμίαν ὑπερβολὴν καταλείπων, πῶς ἄν ποτε τῶν ἐκεῖνα κηρυττόντων τε καὶ γραφόντων, καὶ καθ' ὁτιδηποτοῦνποτε φείσαιτο; Τοῦτο γὰρ ἂν εἴη καὶ ἐναντιουμένου πως, καὶ ἀντιλέγοντος ἑαυτῷ, εἰ καὶ κατὰ τῆς αὐτὸς αὐτοῦ κεφαλῆς διὰ πάντων ἐκείνων περιφανῶς ῥίπτει τὰ βέλη. Τοῦτο καὶ γὰρ ἀτεχνῶς ἂν εἴη τὸ τοξεύειν εἰς οὐρανόν.

Ἀλλ' ἐπειδὴ καὶ μαρτυριῶν ἱερῶν ἀπορίαν καὶ θεολογικῶν συμμαχίας ἔνδειαν λόγων ἡμῖν ἐγκαλεῖ ψευδόμενος, ἀνάγκη καὶ ἡμᾶς ὡσαύτως ἐπιδαψιλεύεσθαι ταῦτα, ἵνα καὶ μᾶλλον ὁ συκοφάντης αἰσχύνηται καὶ ἀλγῇ. Τοῦτο γὰρ δή με καὶ πέπεικεν ἄνωθεν, πυκναῖς τε καὶ ἀλλεπαλλήλοις ταῖς τε τῶν λογίων, καὶ δὴ καὶ ταῖς τῶν σοφῶν ἐξηγητῶν τε καὶ θεολόγων αὐτῶν μαρτυρίαις, καὶ πόῤῥω γε τοῦ συνήθους ἴσως κεχρῆσθαι διὰ παντὸς τοῦ βιβλίου, τῶν τε ἄλλων ἕνεκα, καὶ δὴ καὶ τοῦ καὶ ταύτην ἐκ περιουσίας ἀποκλεῖσαί φημι τῷ κατηγόρῳ τοῦ λόγου τὴν θύραν. Ἀλλὰ πρὶν παρελθεῖν τοὺς ἱεροὺς τῶν διδασκάλων λόγους ἐκείνους, ἀκούσωμεν, εἰ δοκεῖ, καὶ αὖθις τῶν τοῦ φιλοσόφου λόγων, καὶ τῆς κατ' αὐτῶν τε καὶ ἡμῶν ἐνστάσεως, καὶ τῆς καταδρομῆς καὶ τῶν συνήθων παρεξηγήσεων, ἅτινα δή ποτε εἴη. Καίτοι γε παρὰ δικαίοις κριταῖς καὶ ἀπελαύνεσθαι τοῦτον ἔδει καὶ νῦν εἴπερ ποτὲ τοῦ ἀγῶνός τε καὶ τῶν λόγων, προφανῶς οὕτως ἐπὶ ψεύδεσι καὶ συκοφαντίαις τηλικαύταις ἑαλωκότα, καὶ ταῦτ' οὐ περὶ χρημάτων τε καὶ κτημάτων, καὶ πλέθρων γῆς, καὶ ἀγρῶν, καὶ ξυνοικιῶν καὶ ὡντινωνοῦν ἀνθρωπίνων, ἀλλὰ περὶ Θεοῦ, καὶ τῶν Ὀλύμπου πραγμάτων ὄντος τοῦ λόγου.

Ἀλλ' ἔστω δὴ πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, καὶ συγχωρείσθω καὶ αὖθις τὸν λόγον τε καὶ τὴν πέρο-

A δον Γρηγορᾷ· ἵνα καὶ μᾶλλον λαμπρότερόν τε καὶ γενναιότερον τῷ τῆς ἀληθείας λόγῳ διελέγχοιτο τὰ τοῦ ψεύδους.

Τοὺς μὲν οὖν περὶ μοναρχίας, καὶ μιᾶς θεότητος αὐτοῦ λόγους, οἷς δὴ καὶ τοὺς τῶν θεολόγων ἱεροὺς λόγους προσάγει, τῷ διακεκριμένῳ τῆς θεολογίας τὸ ἑνιαῖον ταύτης ἐπιστρατεύων, καὶ τοὺς ἱεροὺς διδασκάλους ἑαυτοῖς τε καὶ ἀλλήλοις ἐπανιστᾷ, ὥσπερ δὴ τοῖς κακοδόξοις ἄνωθεν νόμος, παρήσειν μοι δοκῶ τό γε νῦν εἶναι, πολλάκις ἡμῖν ἐν τοῖς φθάσασιν ἱκανῶς ἐξετασθέντας ἤδη, καὶ τοὺς προσήκοντας λόγους, καὶ τοὺς ἐλέγχους δεξαμένους τῆς ἀληθείας. Ἄλλως τε καὶ περιττὸν ἂν εἴη, καὶ τοῦ προσήκοντος ἔξω λόγου, τοῖς ἕνα καὶ μόνον εἰδόσι
B τρισυπόστατον Θεὸν παντοδύναμον, καὶ πλὴν αὐτοῦ μηδ' ἐν ὀνείροις ποτὲ φαντασθεῖσι μηδένα, νῦν περὶ μοναρχίας μακρά τινα καὶ ἀτέλεστα σχεδὸν εἰσαεὶ διαλέγεσθαι, διὰ τὰς Γρηγορᾶ τουτουῒ δηλαδὴ καινοφωνίας, καίτοι γε μηδὲ τῶν ἀπίστων ἐθνῶν ἑνὸς μηδενὸς σχεδὸν, καθὰ δὴ καὶ προὔφην, μετὰ τὴν ἐπὶ γῆς Χριστοῦ παρουσίαν τὸν ἕνα τοῦ παντὸς Θεὸν τοπαράπαν ἠγνοηκότος, εἰ καὶ μὴ πάντων ὑγιῶς καὶ γνησίως· τοῦτο γὰρ δὴ μόνης τῆς τῶν ἀληθῶς εὐσεβούντων φατρίας, καὶ τοῦ καθ' ἡμᾶς φρ.μ. κόμματος. Σκοπήσωμεν δ' εἴ τι καὶ τῶν λόγου καὶ ἀπολογίας ἡστινοσοῦν ἀξίων εἶναι δοκούντων παρ' αὐτοῦ λέγεται.

Πολλὰ τοίνυν περὶ μοναρχίας, καὶ τοῦ τῆς θεότητος, ἧπερ ἔφην, ἑνιαίου προειπὼν Γρηγορᾶς,
C καὶ τοὺς θεολόγους καλέσας καὶ αὐτὸς δῆθεν εἰς μαρτυρίαν, ὡς ἂν ἀμφιβόλου κατ' αὐτὸν τοῦ πράγματος ὄντος, καὶ πολλῆς δεομένου τῆς μαρτυρίας, ὥσπερ εἰ καὶ τὸν αἰσθητὸν τοῦτον ἥλιον διὰ κακῶν ἔσπευδεν ἐπιχειρημάτων τε καὶ μαρτυριῶν, ὡς εἷς ἐστιν ἀποδεῖξαι καὶ μόνος, ἢ καὶ ὅτι σφαιροειδὴς, ἀλλ' οὐ τετράγωνος ἡ σελήνη, καὶ σκιαμαχήσας, καὶ μακρά τινα παραληρήσας καὶ ὑβρίσας ὡς ἔθος, εἶτ' ἐπάγει κἀκεῖνα· Καὶ πρῶτός μοι, φησὶ, παρίτω Βασίλειος, δι' αὐτῆς ἐκείνης τῆς πρὸς Εὐστάθιον ἐπιστολῆς τὴν τούτου συκοφαντίαν ἐλέγχων. Οὐ γὰρ περὶ ἀκτίστου ἐνεργείας ὁ μέγας ἐνταῦθά φησι Βασίλειος, ἀλλὰ περὶ τῶν ποικίλων ἐνεργημάτων τε καὶ θαυμάτων, ὡς αὐτὸς αὖ ἐν τῇ αὐτῇ ταύτῃ διέξεισιν ἐπιστολῇ λέγων, ὡς ἀνάγκη τῇ ταυτότητι
D τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. Ἁγιάζει, ζωοποιεῖ, παρακαλεῖ, καὶ πάντα ποιεῖ τὰ τοιαῦτα ὁμοίως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ὁρᾷς οὖν, πῶς τὸν ἁγιασμὸν, καὶ τὴν ζωοποίησιν, καὶ τὸν φωτισμὸν, καὶ τὴν παράκλησιν, καὶ τὰ τοιαῦτα τοῦ Θεοῦ ποιήματα, θεότητας ἀκτίστους φησὶ Παλαμᾶς; Κἄπειτα οὐκ αἰδεῖται, πρὸς ἀπόδειξιν αὐτὰ δὴ ταῦτα προτείνων τῶν αὐτῷ βλασφημουμένων. Ἀλλὰ καὶ ταῦτα διεφθαρμένως κἀνταῦθα καὶ νενόηκας καὶ προὔθηκας, ὦ φιλόσοφε, καὶ τοῦτον τὸν μέγαν συκοφαντῶν ὥσπερ δὴ καὶ ἡμᾶς. Καὶ πρῶτον ἐκεῖνο ψεῦδος εὐθὺς, ὅτι οὐ περὶ ἀκτίστου ἐνεργείας ὁ μέγας ἐνταῦθά φησι Βασίλειος, ἀλλὰ περὶ ἐνεργημάτων, ἀποτελεσμάτων δηλαδὴ καὶ κτισμάτων, ὥσπερ αὐτὸς

Digitized by Google

ὑπείληφας. Δεικνύτω τοιγαροῦν αὐτὸς ἐκεῖνος δι' ἑαυτοῦ, πότερον περὶ φυσικῆς ἐνεργείας Θεοῦ, ἢ περὶ κτισμάτων ἄλλων ὁ λόγος αὐτῷ. Καίτοι γε τὰ προῤῥηθέντα τούτῳ διὰ τοῦ τόμου τῆς αὐτῆς ἐπιστολῆς ὄντα δηλονότι κἀκεῖνα, οὕτω τὰ τῆς φυσικῆς θείας ἐνεργείας διατρανοῖ, ὡς καὶ πᾶν ἀποφράττειν τῶν ἀντιλεγόντων ἀθρόον στόμα, καὶ μηδὲ γρύζειν ἐᾷν. Πλὴν ἀλλὰ προστιθέσθω κἀκεῖνα, καὶ τὴν τῆς ἀληθείας ἰσχὺν ἐκ περιουσίας καὶ αὖθις δεικνύτω. Φησὶ τοίνυν ἀνωτέρω μικρὸν, κατὰ ταύτην δή φημι τὴν ἐπιστολήν· Ἐὰν ἴδωμεν διαφερούσας ἀλλήλων τὰς ἐνεργείας τὰς παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος ἐνεργουμένας, διαφόρους εἶναι καὶ τὰς ἐνεργούσας φύσεις ἐκ τῆς ἑτερότητος τῶν ἐνεργειῶν στοχαζόμεθα. Οὐδὲ γὰρ ἐνδέχεται τὰ διεστῶτα κατὰ τὸν τῆς φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι· οὔτε ψύχει τὸ πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος· ἀλλὰ τῇ τῶν φύσεων διαφορᾷ συνδιαχωρίζονται ἀπ' ἀλλήλων καὶ αἱ παρὰ τούτων ἐνέργειαι. Ἐὰν δὲ μίαν νοήσωμεν τὴν ἐνέργειαν Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου, ἐν μηδενὶ διαφέρουσάν τι ἢ παραλλάσσουσαν, ἀνάγκη τῇ ταυτότητι τῆς ἐνεργείας τὸ ἡνωμένον τῆς φύσεως συλλογίζεσθαι. Εἶτ' ἐφεξῆς καὶ τὰ τῶν φυσικῶν ἐνεργειῶν εἴδη κατὰ μέρος ὁ μέγας ἀπαριθμούμενος, Ἁγιάζει, φησὶ, καὶ ζωοποιεῖ, καὶ φωτίζει, καὶ παρακαλεῖ. Καὶ πάντα τὰ τοιαῦτα ὁμοίως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον.

Συνῆκας νῦν, εἰπέ μοι, γοῦν, ὦ φιλόσοφε, ὅτι περὶ φυσικῆς ἐνεργείας τε καὶ δυνάμεως ὁ λόγος ἅπας τῷ διδασκάλῳ, ἀλλ' οὐ περὶ ἀποτελεσμάτων τε καὶ κτισμάτων, ὡς αὐτὸς οὐ καλῶς ὑπείληφας; Οὐκ ἐνδέχεται γὰρ, φησὶ, τὰ διεστῶτα κατὰ τὸν φύσεως λόγον πρὸς τὸ τῶν ἐνεργειῶν εἶδος ἀλλήλοις συνενεχθῆναι, ὥσπερ οὐδὲ ψύχει, φησὶ, τὸ πῦρ, οὐδὲ θερμαίνει ὁ κρύσταλλος. Φυσικὸν γὰρ ἑκατέρῳ τούτων καὶ οὐκ ἐπείσακτον τῷ μὲν ἡ θερμότης, τῷ δὲ ἡ ψυχρότης, ὥσπερ δὴ καὶ τῷ Θεῷ τὸ ἁγιάζειν τε καὶ ζωοποιεῖν, καὶ φωτίζειν, καὶ τὰ παραπλήσια τούτοις, οὐκ ἔξωθεν, ἀλλὰ φυσικῶς καὶ οὐσιωδῶς αὐτῷ προσόντα.

Ὁ δὲ Γρηγορᾶς μηδὲ τὴν πρὸς τὸν παλαιὸν ἐκεῖνον Μαρκίωνα προφανῆ κἂν τούτοις παραιτούμενος μίμησιν, ὁ κἂν τοῖς ἄλλοις ὑπερβαίνων αὐτὸν, ἵνα μόνον τὴν ἑαυτοῦ καὶ τῶν Πατέρων αὐτοῦ πονηρὰν στήσῃ δόξαν, καὶ κτίσμα τὸν Θεὸν διὰ τῶν αὐτοῦ φυσικῶν τε καὶ ἰδίων ἀποδείξῃ, προστίθησι μεταξὺ τῶν τοῦ διδασκάλου λόγων παρ' ἑαυτοῦ τὸ, *ποιεῖ*, καθάπερ ἠκούσαμεν. Ἁγιάζει καὶ γὰρ, φησὶ, ζωοποιεῖ, φωτίζει, παρακαλεῖ, καὶ πάντα ποιεῖ τὰ τοιαῦτα ὁμοίως ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ὡς εἶναι τὸν ἀναιδῆ τοῦτον, καὶ ἄμφω ταῦτα κατὰ ταυτὸ, καὶ τῶν θεολογικῶν τε καὶ πατρικῶν φημι λόγων ἐπηρεαστὴν τε καὶ συκοφάντην, ταῖς παρ' ἑαυτοῦ δηλαδὴ προσθήκαις καὶ ὑφαιρέσεσι, καὶ τῶν ἀνευθύνων ἀκόλαστον ὑβριστὴν, τὰς οἰκείας αἰσχύνας καὶ τὴν τόλμαν ἐκείνοις κακῶς περιάπτοντα.

Ἀλλ' ἐπὶ τὴν αὐτὴν ἐπιστολὴν καὶ τὸν μέγαν αὖθις Βασίλειον ἴωμεν. Φησὶ καὶ γὰρ ἐπάγων εὐθὺς μικρὸν μετ' ἐκεῖνα· Ὡσαύτως δὲ καὶ τὰ ἄλλα πάντα κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ τοῦ Πατρός τε καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· πᾶσα χάρις καὶ δύναμις, ἡ ὁδηγία, ἡ ζωὴ, ἡ παράκλησις, ἡ πρὸς τὸ ἀθάνατον μεταβολὴ, ἡ εἰς ἐλευθερίαν μετάστασις, καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθὸν, ὃ μέχρις ἡμῶν καταβαίνει. Ἡ δὲ ὑπὲρ ἡμᾶς οἰκονομία ἔν τε τῇ αἰσθητῇ κτίσει καὶ νοητῇ, οὐδὲ αὐτὴ τῆς τοῦ ἁγίου Πνεύματος ἐνεργείας καὶ δυνάμεως ἔξω καθέστηκε. Καὶ μετὰ μικρόν· Ὁ δὲ συντιθέμενος, καὶ τὰ ὑπὲρ ἡμᾶς μετὰ Πατρὸς καὶ Υἱοῦ τῇ δυνάμει τοῦ Πνεύματος οἰκονομεῖσθαι, ἐναργεῖ τεκμηρίῳ τῷ κατὰ τὴν οἰκείαν ζωὴν ὑπερειδόμενος, περὶ τούτων διισχυρίζεται. Καὶ πάλιν· Οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἑτέρα δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Τὸ μὲν οὖν ἐν ταῖς ἐνεργείαις μηδεμίαν εἶναι διαφορὰν ἐκ τῆς τῶν ὀνομάτων κοινωνίας εὑρίσκομεν· τῆς δὲ κατὰ τὴν φύσιν παραλλαγῆς οὐδεμίαν καταλαμβάνομεν ἐναργῆ τὴν ἀπόδειξιν, καθὼς εἴρηται, τῆς τῶν ἐνεργειῶν ταυτότητος τὸ κοινὸν τῆς φύσεως ὑποσημαινούσης.

Ἰδοὺ δὴ τοίνυν, τοῦ τῆς θείας ἐνεργείας ὀνόματος νῦν μὲν ἑνικῶς, νῦν δὲ πληθυντικῶς ἐν τοῖς εἰρημένοις ἡμῖν ἐκ τῆς ἱερᾶς ἐκείνης ἐπιστολῆς πλεῖν ἢ πεντεκαίδεκα μνησθεὶς ὁ μέγας Βασίλειος, παρελθὼν εἴ γε δύναιτο Γρηγορᾶς, δειξάτω, ποῦ τῶν εἰρημένων, μᾶλλον δὲ καὶ τῆς ἐπιστολῆς πάσης ὁ μέγας ὦπται Βασίλειο, ἅπαξ γοῦν ἐνέργημα, ἢ ἀποτέλεσμα, ἢ ποίημα ταύτην προσειρηκὼς, ὡς αὐτός φησιν; Ἀλλ' οὐκ ἂν ἔχοι. Καίτοι γε τὸ τοῦ ἐνεργήματος ὄνομα καὶ κοινόν ἐστιν ἑκατέροις, τῇ τε φυσικῇ φημι ἐνεργείᾳ τοῦ Θεοῦ, καὶ τῷ ταύτης ἀποτελέσματι, κατὰ τὸν θεῖον Ἀπόστολον. *Ἑκάστῳ* καὶ γὰρ, φησὶ, *δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον*, εἶτα διὰ τῶν κατὰ μέρος ἀπηριθμημένων ἐκεῖ χαρισμάτων τοῦ Πνεύματος, τὴν τούτου φανέρωσιν ὥσπερ εἰς τοὐμφανέστερον καὶ αὐτὸς ἄγων, *Ἄλλῳ δὲ*, φησὶ, *δίδοται χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων*, καὶ ὅσα ἑξῆς. *Πάντα δὲ*, φησὶ, *ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.* Καὶ πάλιν, *Διαιρέσεις*, φησὶ, *χαρισμάτων, καὶ διαιρέσεις ἐνεργημάτων εἰσί. Τὸ δὲ αὐτὸ Πνεῦμα, καὶ ὁ αὐτός ἐστι Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.* Διὸ καὶ ὁ ἐκ Δαμασκοῦ θεολόγος, Λέγεται, φησὶ, καὶ ἡ ἐνέργεια ἐνέργημα, καὶ τὸ ἐνέργημα ἐνέργεια, ὡς καὶ τὸ κτίσμα κτίσις. Βασίλειος δ' ὁ μέγας ἐνταῦθά φημι τέως οὐδὲ τῷ μέσῳ τούτῳ χρώμενος οὐδοπωσοῦν ὀνόματι φαίνεται, περικόπτων ὡς ἔοικε τὰς λαβὰς καὶ τὰς προφάσεις τῷ τε Γρηγορᾷ καὶ τοῖς κατ' αὐτὸν πάντοθεν, καὶ διὰ πάντων πρὸς τὴν ἀλήθειαν συνελαύνων. Καὶ σκόπει κἀκεῖνα· Πάντα, φησὶν ὁ μέγας, κατὰ τὸ ἴσον ἐνεργεῖται τοῖς ἀξίοις παρὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, πᾶσα χάρις καὶ δύναμις. Εἶτα μεταξὺ καὶ τἄλλα κατ'

εἶδος, καθάπερ ἠκούσαμεν, ἀπαριθμησάμενος, ἑξῆς ἐπιφέρει· Καὶ εἴ τι ἄλλο ἐστὶν ἀγαθὸν, ὃ μέχρις ἡμῶν καταβαίνει. Εἶτα ἡ πᾶσα χάρις καὶ δύναμις, καὶ τὸ πᾶν ἀγαθὸν, ὃ μέχρι τῶν ἁγίων ἐκ Θεοῦ καταβαίνει, τοῦτο τῆς ἐνεργείας ἀποτέλεσμα καὶ ποίημα φῂς εἶναι, καὶ οὐ φυσικὴν ἐνέργειαν καὶ δύναμιν τοῦ Θεοῦ, ἐν ἁγίῳ χορηγουμένην Πνεύματι;

Πάνυ μοι δοκεῖς ἄγευστος εἶναι, μᾶλλον δὲ καὶ τὸ παράπαν ἀνήκοος τῶν τοῦ Πνεύματος χαρισμάτων καὶ δωρεῶν· ἢ γὰρ ἂν οὐ τὰ τοιαῦτα περὶ ἐκείνων διενοοῦ. Καίτοι γε διὰ τοῦτο καὶ τὸ, Μέχρις ἡμῶν καταβαίνει, προσέθηκεν ὁ διδάσκαλος, ἵνα σε διδάξῃ τὴν πρὸς τὴν ἀνθρωπίνην ἐσχατιὰν συγκατάβασιν τοῦ τῆς θεότητος ὕψους, καὶ ὅτι τὸ ἄνωθεν καταβαῖνον μέχρις ἡμῶν οὐ ποίημά τι καὶ ἀποτέλεσμα, θεία δὲ μᾶλλον χάρις, καὶ φυσικὴ τοῦ Θεοῦ δύναμις, ἧς ἐνεργήματα καὶ ἀποτελέσματα τὰ κτιστὰ πάντα, εἴτε οὐσίαι δηλονότι τῶν ὄντων, εἴτε καὶ τὰ τοῖς οὖσιν ἀναλόγως δωρούμενα. Τί δὲ ἡ ὑπὲρ ἡμᾶς οἰκονομία ἡ ἐν τῇ αἰσθητῇ καὶ νοητῇ κτίσει; Οὐκ ἀκούεις ὅτι καὶ αὕτη τῆς ἐνεργείας καὶ τῆς δυνάμεώς ἐστι τοῦ ἁγίου Πνεύματος, καὶ ὅτι τὰ ὑπὲρ ἡμᾶς μετὰ Πατρὸς καὶ Υἱοῦ οἰκονομεῖται τῇ δυνάμει τοῦ Πνεύματος; Μὴ ποιήματος καὶ ἀποτελέσματος κατὰ σὲ ἐστιν ἔργον, καὶ ἀποτέλεσμα ἡ οἰκονομία τῶν ὑπὲρ ἡμᾶς; Ἀλλὰ τὴν φύσιν αὐτὴν εἶναι σὺ λέγεις τὴν ἐνέργειαν καὶ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος, οὐχὶ τὴν φυσικὴν καὶ δραστικὴν τῆς φύσεως κίνησιν, ἧς κατ' αὐτοὺς δὴ τούτους τοὺς θεολόγους μόνον ἐστέρηται τὸ μὴ ὄν; Ἀλλ' ὁ συγγραφόμενος καὶ θεολογῶν ταῦτα διδάσκαλος οὐχ οὕτω βούλεται, βέλτιστε· ὡς πᾶσαν εἶναι ἀνάγκην τοῖς ἐκείνου πείθεσθαι μᾶλλον ἢ τοῖς σοῖς. Τί γάρ φησιν ἐπάγων αὖθις ἐκεῖνος; Οὐκοῦν ἄλλο μέν τί ἐστιν ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη, ἄλλο δὲ τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία, ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων. Οὐκ εἶπεν, ὅτι ἄλλο μὲν ἡ οὐσία, ἄλλο δὲ τὰ τῆς οὐσίας ὀνόματα, καθὰ δήπου Γρηγορᾶς ὑποπτεύων διαθρυλλεῖ πολλαχοῦ· ἀλλὰ πῶς; Ἄλλο μὲν, φησὶν, ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτὴς ἐξευρέθη· καὶ διὰ τοῦτο καὶ ὑπερώνυμος καὶ ἀνώνυμος πρὸς τῶν ἱερῶν θεολόγων ὑμνεῖται. Ἑτέρα δὲ, φησὶ, τῶν περὶ αὐτὴν ὀνομάτων ἡ σημασία· οἱονεὶ τὰ περὶ αὐτὴν ὑπὸ τῶν ὀνομάτων σημαινόμενα ἐξ ἐνεργείας τινὸς ἢ ἀξίας ὀνομαζομένων· ὡς τὸ Θεὸς δηλονότι, καὶ δημιουργὸς, καὶ παντοκράτωρ, καὶ Κύριος, καὶ Βασιλεύς.

Ὅρα γοῦν καὶ κατὰ τοῦτον τὸν μέγαν, ὅτι οὔτε ἡ φύσις αὐτὴ καθ' ἑαυτήν ἐστιν ἢ τὰ θεῖα ἐφ' ἑαυτῆς δεχομένη ὀνόματα, οὔτε τὰ ὀνόματα πραγμάτων εἰσὶν ἄμοιρα κατὰ Γρηγορᾶν, μέχρι ψιλῶν προϊόντα μόνων τῶν λέξεων· ἀλλὰ τῶν προσόντων τῇ θείᾳ φύσει οὐσιωδῶς ὀνόματα ταῦτα πέφυκεν, ἐξ ἐνεργείας τινὸς, φησὶν, ἢ ἀξίας ὀνομαζομένων. Διὸ καὶ Μάξιμος ὁμοῦ καὶ Ἰωάννης ὁ Σύρος, οἱ μετὰ τοῦτόν φημι θεολόγοι τὸν μέγαν, ἄλλο τὴν οὐσίαν καὶ ἄλλο τὴν ἐνέργειαν, καὶ δὴ καὶ οὐσιώδη καὶ φυσικὴν ταύτην εἶπον, ἔκ τε τῶν λογίων αὐτῶν καὶ παρὰ τοῦ θεολόγου τούτου λαβόντες, ὡς καὶ ταῖς λέξεσιν αὐταῖς σύν γε τοῖς νοήμασι τούτου κεχρῆσθαι, καὶ τοῖς ἀντιθέτοις, φημὶ, διαλεγόμενοι, καὶ γράφοντες, καὶ διδάσκοντες, καὶ θεολογοῦντες. Φησὶ γὰρ ὁ μὲν θεόληπτος Μάξιμος Πύῤῥῳ διαλεγόμενος τῷ Μονοθελήτῃ, ἵνα τοῖς προῤῥηθεῖσιν ὑπ' αὐτοῦ πολλοῖς καὶ μεγάλοις καὶ ταῦτα προσθῶμεν· τῷ γοῦν Πύῤῥῳ περὶ ἀποτελεσμάτων τε καὶ ἐνεργημάτων, καὶ κρεῖττον ἢ κατὰ Γρηγορᾶν τοῦτον εἰπόντι, Οὐ περὶ τῶν ἔξω Χριστοῦ ἐστιν ὁ λόγος ἡμῖν, ὁ θεῖός φησι Μάξιμος, ἀλλὰ περὶ τῶν ἐν αὐτῷ τῷ Χριστῷ, τουτέστι περὶ τοῦ φυσικοῦ τῶν οὐσιῶν τοῦ Χριστοῦ λόγου, εἴτε ἐλλιπὴς ἐκ τῆς ἑνώσεως, εἴτε ἀνελλιπὴς μεμένηκε. Καὶ εἰ ἐλλιπὴς, οὐ δυνατὸν ἐλλιποῦς φύσεως ὕπαρξιν εἶναι· εἰ δὲ ἀνελλιπὴς, ἢ ἐν αὐτῷ φημι δὴ τῷ συστατικῷ τῆς οὐσίας λόγῳ ἡ ἐνέργεια θεωρεῖται, ἢ τῶν ἐκτὸς τυγχάνει. Ὅτι δὲ οὐ τῶν ἐκτὸς τυγχάνει ἡ κατὰ φύσιν ἐνέργεια, δῆλον ἐκ τοῦ ἄνευ μὲν τῶν ἔργων δύνασθαι τὴν φύσιν εἶναι. Ἄνευ δὲ τῆς κατὰ φύσιν ἐνεργείας οὔτε εἶναι τὴν φύσιν οὔτε γινώσκεσθαι δυνατόν. Οἷς γὰρ ἕκαστον φυσικῶς ἐνεργεῖ, πιστοῦται ὅπερ ἐστὶ μὴ τρεπόμενον. Καὶ αὖθις· Ἡ γὰρ ἐνέργεια φυσικὴ οὖσα, φύσεως ὑπάρχει συστατικὸς καὶ ἔμφυτος χαρακτήρ. Καὶ πάλιν ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς· Οὐδὲν τῶν ὄντων κατὰ φύσιν μένον τὰ ἐναντία ποιεῖν πέφυκεν. Οὐ γὰρ θερμαίνει τὸ πῦρ καὶ ψύχει, οὔτε ψύχει ὁ κρύσταλλος καὶ θερμαίνει, οὔτε ξηραίνει ἡ γῆ καὶ ὑγραίνει, οὔτε ὑγραίνει τὸ ὕδωρ καὶ ξηραίνει. Εἰ οὖν ἐπ' οὐδενὸς τῶν πάντων τοῦτο θεωρεῖται, πῶς τὸν σαρκωθέντα Λόγον, καὶ οὐσιωδῶς γενόμενον ἄνθρωπον μιᾷ ἐνεργείᾳ τά τε θαύματα καὶ τὰ πάθη λόγῳ φύσεως ἀλλήλων διαφέροντα ἐπιτελέσαι λέγοντες, οὐ δεδοίκατε; Καὶ αὖθις πάντες οἱ Πατέρες διαῤῥήδην κοινῇ καὶ εἶπον, καὶ ἐδίδαξαν τὰ τῆς αὐτῆς ὄντα οὐσίας καὶ τῆς αὐτῆς εἶναι ἐνεργείας, καὶ τὰ τῆς αὐτῆς ὄντα ἐνεργείας τῆς αὐτῆς εἶναι οὐσίας, καὶ ὅτι τὰ τῇ οὐσίᾳ διαφέροντα καὶ τῇ ἐνεργείᾳ διαφέρουσι, καὶ τὰ τῇ ἐνεργείᾳ διαφέροντα καὶ τῇ οὐσίᾳ διαφέρουσιν. Ὁ δ' ἐκ Δαμασκοῦ θεῖος διδάσκαλος, Ἐν τοῖς θεολογικοῖς δύο, φησὶν, ἐπὶ Χριστοῦ τὰς ἐνεργείας λέγειν ἀναγκαῖον διὰ τὸ διττὸν τῆς φύσεως. Ὧν γὰρ ἡ φύσις παρηλλαγμένη, τούτων διάφορος ἡ ἐνέργεια· ὧν δὲ ἡ ἐνέργεια παρηλλαγμένη, τούτων ἡ φύσις διάφορος. Καὶ τὸ ἀνάπαλιν ὧν ἡ φύσις ἡ αὐτὴ, τούτων καὶ ἡ ἐνέργεια ἡ αὐτή· καὶ ὧν ἡ ἐνέργεια μία, τούτων καὶ ἡ οὐσία μία κατὰ τοὺς θεηγόρους Πατέρας. Καὶ πάλιν· Οἱ δὲ ἅγιοι Πατέρες συμφώνως εἰρήκασι, τὰ τῆς αὐτῆς οὐσίας καὶ τῆς αὐτῆς εἶναι ἐνεργείας. Καὶ αὖθις· Δεῖ πάντως κατάλληλα ταῖς φύσεσιν εἶναι τὰ φυσικά. Ἀδύνατον γὰρ ἐλλιποῦς φύσεως ὕπαρξιν εἶναι. Ἡ δὲ κατὰ φύσιν ἐνέργεια οὐ τῶν ἐκτὸς ὑπάρχει. Καὶ δῆλον ὅτι οὔτε εἶναι οὔτε γινώσκεσθαι τὴν φύσιν δυνατὸν ἄνευ τῆς κατὰ φύσιν ἐνεργείας. Δι' ὧν γὰρ ἐνεργεῖ ἕκαστον τὴν οἰκείαν φύσιν πιστοῦται. Ὅπερ ἐστὶ μὴ τρεπόμενον. Καὶ πάλιν ἐν τοῖς αὐτοῖς· Εἰ μία τοῦ Χριστοῦ ἡ ἐνέργεια ἡ αὐτὴ τῶν θείων καὶ ἀνθρωπίνων ποιη-

Digitized by Google

τικῇ. οὐδὲν δὲ τῶν ὄντων ἐν τοῖς κατὰ φύσιν μένον τὰ ἐναντία ποιεῖν δύναται. οὐ γὰρ τὸ πῦρ ψύχει καὶ θερμαίνει, οὐδὲ ξηραίνει καὶ ὑγραίνει τὸ ὕδωρ, πῶς ὁ φύσει ὢν Θεὸς, καὶ φύσει γενόμενος ἄνθρωπος τά τε θαύματα καὶ τὰ παθήματα μιᾷ ἐνεργείᾳ ἐτέλεσε; Καὶ αὖθις· Εἰ πᾶσα ἐνέργεια φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις, ὡς οἱ περὶ ταῦτα δεινοὶ διειλήφασι, ποῦ φύσιν τις εἶδεν ἀκίνητον, ἢ παντελῶς ἀνενέργητον, ἢ ἐνέργειαν εὕρηκεν οὐ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; Τί δὲ καὶ πρὸ τούτων ὁ λαμπρότατός φημι τῆς Ἐκκλησίας καὶ φωστὴρ καὶ ὁδηγὸς Κύριλλος; «Εἰρήνην, φησὶ, τὴν ἐμὴν ἀφίημι ὑμῖν.» Εἰ τοίνυν ἑαυτοῦ τὴν εἰρήνην φησὶν, ὡς ἴδιον ἀγαθὸν καὶ φυσικὸν ἐνυπάρχον αὐτῷ, πῶς οὐ σαφὴς, ὅτιπερ οὐ μετοχικῶς ἐπὶ τὸν Υἱὸν τὰ Πατρὸς ἐξαίρετα διαβαίνει, ἀλλ' οὐσιωδῶς ἕλκει λόγος ἐπὶ τὸν γεγεννημένον τὰ τοῦ γεννήσαντος ἴδια; Καὶ πάλιν· Πάντων οὖν ὅσα δὴ καὶ πρόσεστι τῷ Πατρὶ κατὰ φύσιν καὶ ἐν Υἱῷ κειμένων φυσικῶς τε καὶ οὐσιωδῶς, τίς οὐκ ἔσται, ποίημα λέγων αὐτὸν, τοῖς ἀφύκτοις τῆς δυσφημίας ἐγκλήμασιν ἔνοχος; πῶς γὰρ οὐκ εἶεν ἀλλήλοις ὁμοφυῆ τὰ τῆς αὐτῆς ὄντα φύσεώς τε καὶ ἐνεργείας;

Καὶ οἱ μὲν διδάσκαλοι ταῦτα καθάπερ ἤκουσας· σὺ δὲ τί καὶ πρὸς τούτους αὐτοὺς φῄς, ὦ φιλόσοφε; Ἰδοὺ γὰρ καὶ φυσικὴν σοι καὶ οὐσιώδη τὴν θείαν ἐνέργειαν καὶ θεοπρεπῆ, καὶ ἄκτιστον, καὶ ἔμφυτον, καὶ οὐ τῶν ἐκτὸς τῆς φύσεως, καὶ τῇ θείᾳ φύσει κατάλληλον καὶ χαρακτηριστικὴν ταύτης, διὰ πολλῶν ὁμοῦ καὶ μακρῶν λόγων οἱ θεολόγοι ἀπέδειξαν· καὶ ὅτι περὶ ταύτης αὐτῆς τῆς Θεοῦ φυσικῆς ἐνεργείας καὶ τούτοις ὁ λόγος, περὶ ἧς καὶ τῷ μεγάλῳ Πατρὶ Βασιλείῳ φημὶ, καὶ διὰ τοῦτο καὶ τὰ παραδείγματα καὶ τὰς λέξεις αὐτοῦ συνεχῶς εἰς μαρτυρίαν τῶν οἰκείων λόγων λαμβάνουσι καὶ τὴν τῶν ἱερῶν Πατέρων καὶ διδασκάλων πυκνὰ προβάλλονται μαρτυρίαν, αὐτόν τε τοῦτον πρὸ τῶν ἄλλων τὸν μέγαν, καὶ τὸν σοφὸν μετ' αὐτοῦ Κύριλλον, καὶ δὴ καὶ τοὺς πρὸ αὐτῶν τε καὶ μετ' αὐτοὺς αἰνιττόμενοι; τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐν τῷ αὐτῷ θεολογήσαντας Πνεύματι, ὃ δὴ καὶ ἡμῖν ὁ λόγος ὑπέσχετο δεῖξαι. Μᾶλλον δὲ τί χρὴ τὰς τῶν ἄλλων ἀνερευνᾷν ἐνταῦθα καὶ περιεργάζεσθαι μαρτυρίας, ἐξὸν αὐτὸν αὖθις τὸν μέγαν ἐξηγητήν τε καὶ μάρτυρα τῶν οἰκείων παρελθεῖν λόγων, καὶ διὰ τῶν αὐτοῦ τὰ αὐτοῦ πιστώσασθαι; Φησὶ τοιγαροῦν ἐν τοῖς πρὸς Εὐνόμιον ὁ μέγας Βασίλειος αὖθις· Τὸ Πνεῦμα τὸ ἅγιον αὔξησιν οὐ ζητεῖ, τελειότατον ὄν· διὸ καὶ παρ' αὐτῷ πάντα τέλεια, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, σοφία, σύνεσις, βουλὴ, ἀσφάλεια, εὐσέβεια, γνῶσις, ἁγιασμὸς, ἀπολύτρωσις, πίστις, ἐνεργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, καὶ ὅσα τούτοις παραπλήσια, οὐδὲν ἔχον ἐν ἑαυτῷ ἐπίκτητον, ἀλλ' ἀϊδίως πάντα ἔχον ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνὸς, αἴτιον αὐτὸν ἔχον ὡς πηγὴν ἑαυτοῦ, κἀκεῖθεν πηγάζον. Πηγὴ δὲ καὶ αὐτὸ τῶν προειρημένων ἀγαθῶν. Ἀλλὰ τὸ μὲν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι· τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσι. Συνῳδὰ δὲ τούτοις καὶ

A ὁ μέγας φιλοσοφῶν Ἀθανάσιος περὶ τοῦ θείου φημὶ Πνεύματος, Μὴ γένοιτό μοι, φησὶν, ἐπικτητόν τι ἐπὶ τοῦ Πνεύματος εἰπεῖν. Οὔτε γὰρ τὸ ἅγιον, οὔτε τὸ ἄφθαρτον, οὔτε τὸ ἀγαθὸν, οὔτε ἄλλο τι τῶν περὶ Θεὸν θεωρουμένων, λέγω εἶναι ἐπίκτητον τῷ ἁγίῳ Πνεύματι, ἀλλὰ φύσει ἅγιον, φύσει ἀγαθὸν, φύσει ἀθάνατον, ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πηγάζον, εἴτουν ἐκπορευόμενον. Ἤκουσας, Γρηγορᾶ, πῶς ὁ μέγας Βασίλειος τὸν περὶ τὸν Θεὸν ἐνεργειῶν σαφῆ καὶ ἁπλοῦν λόγον ἐκεῖνον καὶ ἔτι σαφηνίζει καὶ διαλευκαίνει, τότε μὲν πρὸς τὸν σὸν καθηγητὴν Εὐνόμιον, νῦν δὲ καὶ πρὸς ἐκεῖνον ὁμοῦ καὶ πρὸς σὲ μετ' Ἀθανασίου τοῦ πάνυ τὸν λόγον ποιούμενος; Οἱ αὐτοὶ καὶ γὰρ εἰσι πανταχοῦ, καὶ περὶ τῶν αὐτῶν ὡσαύτως ἀεὶ φθέγγονται, τῷ θείῳ δηλαδὴ ἐμπνεόμενοι Πνεύματι. Φυ-
B σικῶς καὶ γάρ φησι καὶ ἀϊδίως προσεῖναι τῷ Θεῷ τὰ περὶ αὐτὸν θεωρούμενα, αὐτὰς τὰς θείας ἐνεργείας καὶ ἐξ αὐτοῦ πηγάζειν ὡς φυσικὰ, καὶ μηδὲν τούτων ἐπίκτητον εἶναι παρ' αὐτῷ. Τί οὖν, ὦ φιλόσοφε; ταῦτα, περὶ ὧν ὁ τοσοῦτος λόγος τοῖς θεολόγοις, καὶ ἡ θεολογία, καὶ ἡ θεοπρεπὴς εὐλάβεια, εἰσί τι, ἢ κτύπος ἁπλῶς εἰσιν οὕτω, καὶ διάκενος ἦχος ῥημάτων πραγμάτων ἔρημος; Σὺ μὲν οὖν οὐ ταῦτα μόνον καὶ τὰ τοιαῦτα διατελεῖς περὶ τούτων φρονῶν, ἀλλὰ καὶ μακράν τινα τὴν εἰρωνείαν καὶ τὴν ὕβριν καταχεῖς τῶν φυσικῶν τούτων ἰδιωμάτων τοῦ Θεοῦ, καὶ ἀνουσίους καὶ ἀνυπάρκτους θεότητας ἀναισχυντῶν λέγεις αὐτὰ, καὶ ἡμῖν δῆθεν ἐμπαίζων τε καὶ καταμωκώμενος, μᾶλλον δὲ καὶ Θεὸν βλασφημῶν ἀναίδην, καὶ τοὺς ἐκείνου μύστας καὶ θεο-
C λόγους, τούτων καὶ γὰρ, οὐχ ἡμῶν ἡ θεολογία, πρὸς τῶν σῶν ἀνουσίων καὶ ἀνυπάρκτων ἐνεργειῶν λέγεις, ὦ μιαρὲ καὶ ψυχῆς καὶ γλώττης! μηδὲ τοὺς ἐξ οὐρανοῦ δείσας πρηστῆρας, μηδὲ τοὺς τοῦ μέλλοντος πυρὸς ἀσχέτους καὶ φοβεροὺς ῥύακας οἳ τοὺς ὑβριστὰς κατὰ σὲ τῆς θεότητος μένουσιν. Οἱ δὲ καθηγηταὶ τῆς εὐσεβείας οὗτοι καὶ ἀπλανεῖς τῶν περὶ Θεοῦ λόγων διδάσκαλοι μηδὲ εἶναί φασιν ὅλως Θεὸν δύνασθαι δίχα τῶν φυσικῶν ἰδιωμάτων αὐτοῦ, ἐπεὶ μηδὲ φύσιν ποτὲ τὴν οἱανοῦν συνεστάναι δίχα τῶν αὐτῆς φυσικῶν. Ἐγὼ δ' ἐμαυτὸν οὐκ οἶδ' ὅπως ἔλαθον εἰς τοὺς περὶ θείων ἐνεργειῶν καὶ αὖθις ἐξενεχθεὶς λόγους, καίτοι γε καὶ τοσαῦτα τῷ τε πλήθει καὶ τῷ μεγέθει σύν γε τοῖς θεολόγοις διδα-
D σκάλοις περὶ τούτων εἰπὼν ἐν τοῖς φθάσασιν, ὡς μηδὲ τὸν καθ' ὑπερβολὴν ἐριστικὸν καὶ πολέμιον ἀντιλέγειν ἐκείνοις ἔχειν. Τούτου δ' ὁ προσδιαλεγόμενος οὑτοσὶ, καὶ ἀντιλέγειν δοκῶν αἴτιος, ἐπὶ τὰ αὐτὰ συνεχῶς ἄγων τὸν λόγον καὶ προκαλούμενος, καὶ τῆς ἥττης λαμβάνων ὡσανεὶ μηδέ ποτε κόρον.

Ἀλλ' ἐπὶ τὸν αὐτὸν καὶ αὖθις, καὶ δὴ καὶ τὸν ἀντιλεγόμενον ὑπ' αὐτοῦ, καὶ βλασφημούμενον περὶ θεότητος ἐπανέλθωμεν λόγον. Φησὶ τοιγαροῦν πρὸς τὸν οἰκεῖον ἀκροατὴν καὶ πάλιν ὁ Γρηγορᾶς· Ὁρᾷς πῶς ἐκ τῶν γινομένων θαυμάτων καὶ πραγμάτων ἐτυμολογούμενα τὰ ὀνόματα παρωνύμως λέγονται κἀπὶ τοῦ Θεοῦ; Τοῦτο δέ ἐστιν ὃ καὶ ὁ μέγας φησὶ Βασίλειος, ὅτι μόνην τοῦ ἐνεργοῦντος τὴν δύναμιν διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυ-

Digitized by Google

νάμεθα. Ὁ δὲ Παλαμᾶς ἅπανθ', ὡς εἴρηται, τὰ ἐκ τῶν τοιούτων ἐνεργειῶν παραγόμενα ὀνόματα καθάπαξ ἀκτίστους μὲν ὀνομάζει θεότητας, ὁρωμένας δ' αἰσθητοῖς ὀφθαλμοῖς, καὶ διαφόρους ἀλλήλων τε ἅμα καὶ τῆς θείας ἐκείνης φύσεως. Πάλιν ἐπὶ τὴν οἰκείαν μετ' Εὐνομίου καὶ οὗτος ἐπανέρχεται σύγχυσιν, ὅ φησι πρὸς ἐκεῖνον, καὶ δι' ἐκείνου καὶ πρὸς τοῦτον αὖθις ὁ μέγας Βασίλειος. Τὰ γὰρ ἴδια καὶ φυσικὰ τοῦ Θεοῦ κτίσματα συνήθως καλέσας, ὃ δὴ καὶ τῆς αἱρέσεως αὐτοῦ τὸ κοινὸν καὶ καθόλου γνώρισμα, ἀπὸ τῶν κτισμάτων ἐπ' αὐτὴν τὴν οὐσίαν ἀναφέρεσθαι τὰ ὀνόματα λέγει, διπλῶς βλασφημῶν, τῷ τε εἰς κτίσιν κατασπᾷν φημι τὰ προσόντα τῷ Θεῷ φυσικῶς, καὶ δι' αὐτῶν τε καὶ σὺν αὐτοῖς τὴν ἀδιαιρέτως πηγάζουσαν αὐτὰ φύσιν κατὰ τούτους τοὺς θεολόγους. καὶ τῷ μὴ ἀπὸ τῶν κτισμάτων ἐπὶ τὴν θείαν ἐνέργειαν καὶ τὴν δύναμιν, ἀλλ' ἐπ' αὐτὴν ἀνάγεσθαι τὴν θείαν οὐσίαν, ὃ δὴ καὶ τοῦ Εὐνομίου καὶ τῆς κατ' ἐκεῖνον πονηρᾶς δόξης καθαρός ἐστι τόκος. Ἀλλ' αἰσχυνέτω καὶ ἄμφω τούτους Παῦλος ὁ μέγας, Ῥωμαίοις οὑτοσὶ γράφων· « Ὃ δὴ καὶ εἰπόντες ἔφθημεν, ὅτι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστι τοῖς ἀνθρώποις· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφανέρωσε· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. » Ὅπερ ὁ θεῖος Μάξιμος σαφηνίζων, Πάντα, φησί, τὰ ποιήματα τοῦ Θεοῦ, κατὰ φύσιν μετὰ τῆς δεούσης ἐπιστήμης γνωστικῶς ὑφ' ἡμῶν θεωρούμενα, τοὺς καθ' οὓς γεγένηνται λόγους κρυφίως ἡμῖν ἀπαγγέλλουσι, καὶ τὸν ἐφ' ἑκάστῳ ποιήματι θεῖον σκοπὸν ἑαυτοῖς συνεκφαίνουσι· καθ' ὃ καὶ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ τὸ στερέωμα τὴν τῶν χειρῶν ἀναγγέλλει ποίησιν. Ἀΐδιος δὲ δύναμίς ἐστι καὶ θειότης ἡ συνεκτικὴ τῶν ὄντων πρόνοια, καὶ ἡ κατ' αὐτὴν ἐκθεωτικὴ τῶν προνοουμένων ἐνέργεια.

Βασίλειος δ' αὖθις ὁ μέγας αὐτὸ τοῦτο διατρανῶν, πρὸς τοὺς περὶ Εὐνόμιον τοιάδε φησί· Τί οὖν ἐξαίρετον τῇ γνώσει τοῦ Μονογενοῦς, ἢ τοῦ ἁγίου Πνεύματος καταλείψουσιν, εἴπερ αὐτοὶ τῆς οὐσίας αὐτῆς ἔχουσι τὴν κατάληψιν; Οὐ γὰρ δὴ τῆς δυνάμεως, καὶ τῆς ἀγαθότητος, καὶ τῆς σοφίας τοῦ Θεοῦ τῷ Μονογενεῖ τὴν θεωρίαν προσνείμαντες, σύμμετρον ἑαυτοῖς θήσονται τῆς οὐσίας τὴν κατανόησιν· πᾶν γάρ που τὸ ἐναντίον εἰκὸς αὐτὴν μὲν τὴν οὐσίαν ἀπερίοπτον εἶναι παντὶ πλὴν ἢ τῷ Μονογενεῖ καὶ τῷ ἁγίῳ Πνεύματι· ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ Θεοῦ ἀναγομένους ἡμᾶς, καὶ διὰ τῶν ποιημάτων τὸν ποιητὴν ἐννοοῦντας, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνειν τὴν αἴσθησιν. Τοῦτο γάρ ἐστι τὸ γνωστὸν τοῦ Θεοῦ, ὃ πᾶσιν ἀνθρώποις ὁ Θεὸς ἐφανέρωσε. Καὶ πάλιν πρὸς τὸν αὐτὸν, Δυνάμεως, φησί, καὶ σοφίας καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα, καὶ οὐδὲ αὐτὴν πᾶσαν τοῦ δημιουργοῦ τὴν δύναμιν ἀναγκαίως παρίστησιν. Θέα μοι δὲ καὶ τὴν ἀναισθησίαν τοῦ κενοῦ τούτου τῶν θεολογικῶν λόγων ἐξηγητοῦ. Οὐ μόνον γὰρ ἐκείνων οὐ δύναται συνιέναι, ἀλλὰ καὶ αὐτὸς αὐτὸν καὶ τοὺς οἰκείους ἀγνοεῖ λόγους, μὴ εἰδὼς ἅπερ λέγει.

A Τοῦτο καὶ γάρ, φησίν, ἐστιν, ὃ καὶ ὁ μέγας φησὶ Βασίλειος, ὅτι μόνην τοῦ ἐνεργοῦντος τὴν δύναμιν διὰ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα. Καὶ εἰ μόνην, ὡς καὶ αὐτὸς συμμαρτυρεῖν ἐνταῦθα τῷ μεγάλῳ δοκεῖς, τὴν τοῦ ἐνεργοῦντος δύναμιν διὰ τῆς τῶν ἐνεργειῶν ἐπιγνῶναι δυνάμεθα, ἔχομεν τὸ ζητούμενον, καὶ λόγος οὐδεὶς ἔτι, ἐπειδὴ καὶ ἡμεῖς αὐτὸ δὴ τοῦτο πρὸς τοῦ διδασκάλου τούτου παιδευθέντες φαμὲν, ὅτι δυνάμεως καὶ σοφίας ἐνδεικτικά ἐστι τὰ ποιήματα.

Ἀλλ' ἐγώ, φησὶ Γρηγορᾶς, τὴν οὐσίαν εἶναί φημι ταύτης τὴν δύναμιν, ἀλλ' οὐκ ἄλλην καὶ ἄλλην· οὐδὲ διαφορὰν ἐννοῶ τὴν οἱανοῦν μεταξύ. Τοῦτο οὖν λέγεις, ὅτι μόνην τὴν τοῦ Θεοῦ οὐσίαν ἐκ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνά-
B μεθα; Καὶ τί ἄλλο τῷ Θεῷ καταλιμπάνων ἄγνωστόν σοι, μόνην λέγεις ἐπιγινώσκειν τὴν οὐσίαν τοῦ Θεοῦ; Ἀλλ' ὁ μέγας Βασίλειος οὐχ οὕτω ταῦτα βούλεται, βέλτιστε. Τί γάρ, φησίν, ἐξαίρετον τῇ γνώσει τοῦ Μονογενοῦς ἢ τοῦ ἁγίου Πνεύματος καταλείψουσιν, εἴπερ αὐτοὶ τῆς οὐσίας αὐτῆς ἔχουσι τὴν κατάληψιν; Καὶ πάλιν, Δυνάμεως, φησί, καὶ σοφίας καὶ τέχνης, οὐχὶ δὲ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα, καθάπερ ἤκουσας, εἴπερ ἤκουσας· καὶ ὅτι εἰκὸς τὴν μὲν φύσιν αὐτὴν ἀπερίοπτον εἶναι παντὶ, ἐκ δὲ τῶν ἐνεργειῶν τοῦ Θεοῦ πρὸς αὐτὸν ἀναγομένους ἡμᾶς, τῆς ἀγαθότητος αὐτοῦ καὶ τῆς σοφίας λαμβάνειν τὴν αἴσθησιν. Εἶτα πόθεν, ὦ φιλόσοφε, κἀκ τίνων λογίων, ἢ διδασκαλικῶν ὁρμώ-
C μενος ἐξηγήσεών τε καὶ λόγων, τὴν τερατώδη ταύτην καὶ τολμηρὰν θεολογίαν ἐξήνεγκας, ὅτι ἐκ τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἤτοι τῶν κτισμάτων, ὡς αὐτὸς φῄς, ἄλλην γὰρ οὐκ οἶσθα πλὴν ταύτης ἐνέργειαν, μόνην ἐδυνήθης γνῶναι τὴν οὐσίαν τοῦ Θεοῦ; Ποῖός σε πονηρὸς δαίμων ἐμυσταγώγησε ταῦτα; Τὸ οἴεσθαι καὶ γάρ, φησὶν ὁ μέγας Βασίλειος, τοῦ ἐπὶ πάντων Θεοῦ αὐτὴν τὴν οὐσίαν ἐξευρηκέναι πολλῆς ὑπερηφανίας ἐστὶ καὶ φυσιώσεως. Σχεδὸν γὰρ καὶ αὐτὸν ἀποκρύπτουσι τῇ μεγαληγορίᾳ τὸν εἰπόντα, *Ἐπάνω τῶν ἀστέρων θήσομαι τὸν θρόνον μου*. Καὶ ὁ Νύσσης θεῖος Γρηγόριος πρὸς Εὐνόμιον οὕτω φησίν· Ὁ μὲν Θεός ἐστι καθ' ἑαυτὸν ὅ τι ποτὲ καὶ εἶναι πιστεύεται· ὀνομάζεται δὲ παρὰ τῶν ἐπικαλουμένων οὐχ αὐτὸ ὅ ἐστιν, ἀλλ'
D ἐξ ὧν ἐνεργεῖν περὶ τὴν ζωὴν ἡμῶν πεπίστευται. Καὶ Θεὸν γὰρ αὐτὸν λέγοντες, τὸν ἔφορον καὶ ἐπόπτην καὶ διορατικὸν τῶν κεκρυμμένων ἐπινοοῦμεν. Ὁ δὲ θεῖος Χρυσόστομος, Οἱ προφῆται, φησίν, οὐ μόνον τί τὴν οὐσίαν ἐστὶν ὁ Θεὸς ἀγνοοῦντες φαίνονται, ἀλλὰ καὶ περὶ τῆς σοφίας αὐτῆς πόση τίς ἐστιν, ἀποροῦσι. Καίτοι γε οὐκ οὐσία ἀπὸ τῆς σοφίας, ἀλλ' ἡ σοφία ἐκ τῆς οὐσίας. Ὅταν δὲ μηδὲ ταύτην δύνωνται καταλαβεῖν μετὰ ἀκριβείας, πόσης ἂν εἴη μανίας τὸ τὴν οὐσίαν αὐτὴν νομίζειν δύνασθαι τοῖς οἰκείοις ὑποβάλλειν λογισμοῖς; Ὁ δὴ καὶ Γρηγορᾶς οὑτοσὶ μετὰ τῶν ἀνομοίων ἐκείνων ἄντικρυς πέπονθεν, οὐ τοὺς θεολόγους τουτουσὶ μόνους, ἀλλὰ καὶ προφήτας ἅμα καὶ ἀποστόλους, μᾶλλον δὲ καὶ τὰς ἀνωτάτω περὶ Θεὸν δυνάμεις, αὐτά φημι

Digitized by Google

τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ὑπὸ τῆς ἄγαν ἀπονοίας τε καὶ ἀνοίας κάτω καταλιπὼν, καὶ μόνος κακῶς αὐτὴν οἰόμενος εἰδέναι τὴν ἀκατάληπτον καὶ ἀνερμήνευτον καὶ ἀπερινόητον οὐσίαν τοῦ Θεοῦ. Καὶ τὸ τούτων ἔτι καινότερον, ὅτι διανοίας οὕτω καὶ ἀπονοίας ἔχων αὐτὸς, εἶθ' ἡμῖν ἐγκαλεῖ, καὶ τοῖς ἡμετέροις τὸν τῇ φύσει ἀόρατον Θεὸν ὁρατὸν ταῖς ἐνεργείαις γίνεσθαι σύν γε τῷ σοφῷ Γρηγορίῳ καὶ τοῖς λοιποῖς λέγουσι θεολόγοις, ἔν τισι τοῖς περὶ αὐτὸν ἰδιώμασι καθορώμενον.

Ἐκεῖνο δὲ πόθεν ἔχεις λαβὼν, ὦ φιλόσοφε, ὅτι τὴν τοῦ Θεοῦ φυσικήν τε καὶ ἄπειρον ἐνέργειαν, ἣν δὴ καὶ πληθυντικῶς οἱ θεολόγοι πάντες ἐκφέρουσι καὶ θείας ἐνεργείας αὐτάς φασι, καὶ παρεπόμενα, καὶ ἰδιώματα τῆς θείας φύσεως, πόθεν οὖν ἀκηκοὼς ἔχεις, ὅτι θεότητας ἡμεῖς ταύτας φαμὲν ἀκτίστους, καὶ ἰδίᾳ καὶ χωρὶς τῆς θείας φύσεως οὔσας, ὡς φῄς, τὰς αὐτὰς, καὶ ἀνυποστάτους αὖ, καὶ ἀνουσίους, καὶ ἀνυπάρκτους κατὰ ταυτό; Σοῦ γὰρ καὶ μόνου καὶ τῆς σῆς ἀλλοκότου διανοίας τὰ τερατώδη καὶ καινὰ καὶ ἀλλήλοις ἀσύμφωνα ταυτὶ ἀναπλάσματα, ἃ δὴ καὶ διαθρυλλεῖς πανταχοῦ καὶ λέγων, καὶ γράφων, καὶ διδάσκων τοὺς παῖδας, καὶ παίζων ἐν οὐ παικτοῖς, καὶ γελωτοποιῶν ὡς ἔθος, καὶ συκοφαντῶν τὴν Χριστοῦ Ἐκκλησίαν, τὴν ἄτοπον, πονηρὰν καὶ δαιμονιώδη ταυτηνὶ συκοφαντίαν, καὶ τοὺς μὲν κακούργους καὶ πονηροὺς ἐπανιστὰς τῇ κατ' εὐσέβειαν ἀληθείᾳ, τὰς δὲ τῶν ἁπλουστέρων καρδίας πλήττων, καὶ θορυβῶν, καὶ πολύν τινα τὸν σάλον καὶ τὴν ἀηδίαν ἐπάγων αὐτοῖς, κατατέμνων τε καὶ σπαράττων τὰ τοῦ Χριστοῦ μέλη, καὶ ἔνοχος τοῦ σώματος αὐτοῦ γιγνόμενος καὶ τοῦ αἵματος κατὰ τοὺς πάλαι Χριστοκτόνους ἐκείνους, ὧν διαβόητος μὲν ἡ τόλμα, καὶ μέχρις αὐτῶν οὐρανῶν ἐλάσασα τῷ μεγέθει, διαβοητοτέρα δὲ ἡ ἀπώλεια, τὰ γὰρ μέλλοντα σιωπῶ. Ἡμεῖς μὲν γὰρ καὶ λέγοντες καὶ γράφοντες καὶ διαλεγόμενοι καὶ κοινῇ καὶ ἰδίᾳ, καὶ πάντοτε καὶ παντὶ, μίαν ἴσμεν θεότητα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ Θεὸν ἕνα καταγγέλλομεν, τρισυπόστατον, ἐνεργὸν, θελητικὸν, παντοδύναμον, καὶ τοὺς μὴ οὕτω φρονοῦντας, ὡς τῆς ὑγιοῦς ἡμῶν πίστεως ἀλλοτρίους, τῷ ἀναθέματι καθυποβάλλομεν, κατὰ τὴν τῶν θεολόγων ἡμῶν Πατέρων διδασκαλίαν τε καὶ παράδοσιν. Οὐ γὰρ ὡς οἱ Ἑβραῖοι σέβομεν ἕνα Θεὸν ἐν μιᾷ ὑποστάσει, τῶν καθ' ἡμᾶς τις φησι σοφῶν, οὐχ ὡς ὁ Σαβέλλιος, οὐχ ὡς ὁ Ἄρειος, καὶ Εὐνόμιος, ὃς καὶ ταῦτα προλαβὼν κατεσκεύασεν, ἅπερ νῦν οἱ περὶ Γρηγορᾶν καὶ Ἀκίνδυνον διδάσκουσί τε καὶ γράφουσιν, ὅτι ὁ Θεὸς μόνον οὐσία ἐστὶ, καὶ διὰ τὸ ἁπλοῦς εἶναι, ἢ τελέως ἐστὶν ἄληπτος ἢ τελέως ληπτὸς, διὸ καὶ πᾶν θεῖον ὄνομα τῆς θείας οὐσίας ἐστὶ σημαντικὸν, καὶ ἀπὸ τῶν κτισμάτων ἐπ' αὐτὴν τοῦ Θεοῦ τὴν οὐσίαν ἡμᾶς ἀνάγεσθαι, μὴ συνιέντες τοῦ θεηγόρου Νύσσης, λέγοντος, Ὁ ἀόρατος τῇ φύσει ὁρατὸς ταῖς ἐνεργείαις γίνεται ἔν τισι τοῖς περὶ αὐτὸν ἰδιώμασι καθορώμενος· καὶ τοῦ μεγάλου Βασιλείου, Σοφίας, καὶ τέχνης, καὶ δυνάμεως, φάσκοντος, ἀλλ' οὐχὶ τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τὰ ποιήματα. Οὐχ

A οὕτω τοιγαροῦν κατ' ἐκείνους ἡμεῖς ἕνα σέβομεν Θεόν· ἀλλὰ σέβομεν ἕνα Θεὸν τρισυπόστατον, ἐνεργῆ τε καὶ παντοδύναμον· ἕνα μὲν κατὰ τὴν οὐσίαν, τρισυπόστατον δὲ ὡς ἐν τρισὶ γνωριζόμενον ὑποστάσεσιν· ἐνεργῆ δὲ καὶ παντοδύναμον ὡς ἐνεργείας ἔχοντα καὶ δυνάμεις· ἄκτιστον δὲ καὶ κατὰ τὴν οὐσίαν, καὶ κατὰ τὰς ὑποστάσεις, καὶ κατὰ τὰς δυνάμεις, καὶ κατὰ τὰς ἐνεργείας. Οὐδὲ γὰρ τῶν ἐν τῷ Θεῷ τι κτιστὸν, ὡς οὐδὲ τῶν ἐν τῷ ἀνθρώπῳ τι ἄκτιστον, φησὶν ὁ θεῖος καὶ σοφὸς Μάξιμος. Καὶ πάλιν ὁ αὐτὸς περὶ τῶν αὐτῶν· Ταῖς πνευματοκινήτοις τῶν ἁγίων Πατέρων ἑπόμενοι ψήφοις, καὶ ταῖς ἐφ' ἡμῶν συνοδικαῖς ἀποφάσεσιν, ἀποβαλλόμεθα καὶ ἀναθέματι καθυποβάλλομεν καθάπερ πρότερον, οὕτω καὶ νῦν, εἰ μὴ μεταμεληθεῖεν, τοὺς δύο B τοῦ Θεοῦ λέγοντας θεότητας, κτιστὴν καὶ ἄκτιστον, καὶ τὴν μὲν θείαν φύσιν μόνον ἄκτιστον θεότητα, τὴν δὲ λαμπρότητα τῆς θείας φύσεως, καθ' ἣν καὶ ὁ Κύριος ἐν Θαβὼρ περιήστραψε τοὺς μαθητὰς, καὶ πᾶσαν δύναμιν καὶ ἐνέργειαν θείαν, καὶ πάντα τὰ περὶ τὴν θείαν φύσιν θεωρούμενα καὶ θεολογούμενα, θεότητα κτιστήν. Ἡμεῖς δὲ μίαν θεότητα προσκυνοῦμεν καὶ πρεσβεύομεν, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος· οὐκ ἐν οὐσίᾳ δὲ μόνῃ, ἀλλὰ καὶ δυνάμει, καὶ ἐνεργείᾳ ἀκτίστῳ, καὶ πᾶσι τοῖς περὶ τὴν οὐσίαν θεωρουμένοις καὶ θεολογουμένοις. Καὶ αὖθις· Οὐ δύο θεότητας λέγομεν ἡμεῖς, οὐδ' ὑπερκειμένην τε καὶ ὑφειμένην, ἀλλὰ μίαν· οὐκ ἐν οὐσίᾳ δὲ μόνον, ἀλλ' ἐν τῇ διὰ πάντων τελειότητι θεωρουμένην, ὡς καὶ ὁ Νύσσης C θεῖος Γρηγόριός φησι. Τίνων τούτων; Αὐτεξουσιότητος, σοφίας, ἀγαθότητος, δημιουργικῆς, θεοποιοῦ, θελητικῆς δυνάμεως. Καὶ τοιαῦτα μὲν ἡμεῖς ἰδίᾳ τε καὶ κοινῇ τοῖς τε ἡμετέροις ὁμιλοῦντες, καὶ τοῖς ἐναντίοις διαλεγόμενοι, καὶ λέγομεν καὶ γράφομεν, ὥσπερ ἔφην· τίνα δὲ καὶ συνοδικῶς καὶ λόγοις καὶ γράμμασιν εἴπομεν, ἴσασι μὲν καὶ ἡ μεγάλη καὶ θαυμαστὴ πόλις αὕτη, μᾶλλον δὲ τὸ τῆς πόλεως πλεῖστον καὶ κάλλιστον, ὅσοι, φημὶ, τότε τοῖς ἐκεῖ λεγομένοις παρῆσαν. Οὐδὲ γὰρ ἐν γωνίᾳ, φησὶ, πέπρακται ταῦτα. Καὶ ὁ συνοδικὸς δὲ τόμος παρὼν, τὰ μὲν ἤδη δεδήλωκε, τὰ δὲ καὶ εἰσαῦθις δηλώσει. Τί οὖν ὁ τόμος φησί; Πολλῶν μεταξὺ λόγων κινηθέντων, ἤρξαντο οἱ διαφερόμενοι τῆς κατὰ τοῦ Θεσσαλονίκης κατηγορίας. Ἡ δὲ ἦν τοιάδε, ὡς ἄρα ἔν D τισι τῶν ἑαυτοῦ συγγραμμάτων γράφει πολλάκις δύο καὶ πολλὰς θεότητας, καὶ ταύτας ὑπερκειμένας τε καὶ ὑφειμένας. Καὶ τοῦτον τὸν λόγον πολλάκις εἰπόντων καὶ περικροτησάντων, καὶ ταύτας δὴ τὰς φωνὰς καταιτιωμένων, ὁ εὐσεβέστατος βασιλεὺς ἐπὶ τούτοις, Γενέσθω ἡμῖν φανερὸν, ἐκέλευσε, πότερον τῶν λαληθέντων ἐν αἰτίαις ποιεῖσθε τὰς λέξεις αὐτὰς, ἢ τὰ διὰ τῶν λέξεων δηλούμενα πράγματα, ἢ καὶ ἀμφότερα. Εἰ μὲν δὴ ὁ πόλεμος πρὸς τὰ πράγματα, τί τῇ σκιᾷ τοῦ πράγματος πολεμεῖς, τῇ λέξει παρακαθήμενος; ἐξεταστέον γὰρ δὴ αὐτὰ γυμνὰ τὰ πράγματα, καὶ παρὰ τῶν θεολόγων τὴν ἐν τούτοις ἀλήθειαν ζητητέον. Εἰ δὲ τοῖς πράγμασι σύμφωνοι διατελοῦντες, τῇ λέξει μέμφε-

Digitized by Google

A σθε· ἀλλ' ἡμεῖς γε οὐ λέξεων ἕνεκεν ἐνταῦθα συνεληλύθαμεν· οὐδὲ γὰρ περὶ τῶν ὀνομάτων κατὰ τὸν Θεολόγον ζυγομαχήσομεν, κίνδυνον οὐδένα εἰδότες περὶ τὰς λέξεις, ἕως ἂν ὁ νοῦς ὑγιαίνειν δοκῇ. Ἐπὶ τούτοις ὁ Θεσσαλονίκης, Λέξεων ὀλίγος ἐμοὶ λόγος, ἔφη· οὐ γὰρ ἐν ῥήμασιν ἡμῖν, ἀλλ' ἐν πράγμασιν ἡ εὐσέβεια, κατὰ τὸν Θεολόγον Γρηγόριον. Περὶ δὲ δογμάτων καὶ πραγμάτων τὸν ἀγῶνα ποιοῦμαι· κἂν τις ἐπὶ τῶν πραγμάτων ὁμοφωνῇ, πρὸς τὰς λέξεις οὐ διαφέρομαι. Πρὸς δὲ τὴν παρὰ τῶν ἀντιλεγόντων προφερομένην κατηγορίαν ἐκεῖνο λέγω· Δύο μὲν ἐγὼ θεότητας, ἢ πολλὰς καὶ διαφόρους ἐπὶ τῆς ἁγίας Τριάδος, καὶ ἄλλην μὲν εἶναι τοῦ Πατρὸς, ἄλλην δὲ τοῦ Υἱοῦ, ἄλλην δὲ τοῦ Πνεύματος, οὔτε ἐφρόνησα, οὔτε φρονῶ, οὔτε μὴν φρονήσω τῇ χάριτι τοῦ Χριστοῦ· ἀλλὰ καὶ τοὺς οὕτω φρονοῦντας καθυποβάλλω B τῷ ἀναθέματι. Ἀλλ' οὐδὲ ἄλλο τί φημι θεότητα ἐκτὸς τῆς τρισυποστάτου θεότητος, οὔτε οὐσίαν θείαν, ἢ ἀγγελικὴν, οὔτε ὑπόστασιν κατὰ τὸν μέγαν Διονύσιον· ἀλλ' ἐνεργείας θείας, καὶ προόδους τινὰς φύσει προσούσας ἐξ ἀϊδίου τῷ Θεῷ, τῷ τῆς θεότητος ὀνόματι προσηγόρευσα τοῖς ἁγίοις οἰόμενος σύμφωνα λέγειν. Ἀλλ' οὐδὲ ταῦτα εἶπον ἄν, εἰ μὴ πρὸς ἀνάγκην ἦλθον παρὰ τοῦ ἀντιλέγοντος, καὶ κατὰ ἀντιπαράστασιν, καὶ πρὸς ἐκεῖνον ἀγωνιζόμενος, μόνην ἄκτιστον λέγοντα θεότητα τὴν οὐσίαν τοῦ Θεοῦ, πᾶσαν δὲ δύναμιν καὶ ἐνέργειαν θείαν τῆς οὐσίας διαφέρουσαν εἰς κτίσμα κατασπῶντα. Ἄλλως τε καὶ τοῦτ' εἶπον, οὐ πολλὰς ἐντεῦθεν συνάγων θεότητας, ὡς αὐτοὶ καταψεύδονται. Καὶ δῆλον ἐκ τῶν ἐμῶν συγγραμμάτων τῶν τε ἄλλων, καὶ τῆς ὁμολο- C γίας. Ἐν πᾶσι γὰρ οὕτω τοῦτο προάγεται παρ' ἐμοῦ, ὡς ὑπὸ τῶν ἀντιλεγόντων μὲν λεγόμενον, ὑπ' ἐμοῦ δὲ μὴ στεργόμενον. Μίαν γὰρ οἶδα θεότητα τὴν αὐτὴν τρισυπόστατον, καὶ παντοδύναμον καὶ ἐνεργῆ. Πλὴν οὔτε περὶ τῶν λέξεων τότε ὁ σκοπὸς ἐμοὶ, ἀλλ' ἅπας ὁ ἀγὼν περὶ τῶν πραγμάτων, οὔτε νῦν περὶ ὀνομάτων καὶ συλλαβῶν διαφέρομαι, ἀλλὰ τῶν πραγμάτων εὐσεβῶς ἀνακηρυχθέντων Χριστοῦ χάριτι, ἕτοιμός εἰμι πᾶν, ὅπερ ἂν ἡ θεία σύνοδος περὶ τῶν λέξεων διαγνῷ, στέρξαι καὶ ἀποδέξασθαι. Ἐφ' οἷς ὅ τε εὐσεβέστατος καὶ γαληνότατος βασιλεὺς, καὶ ἡ θεία σύνοδος τὸν Θεσσαλονίκης ἀποδεξάμενοι διὰ πάντων τῆς εὐσεβοῦς διανοίας, ᾗ περὶ τὰ θεῖα κεχρημένος διατελεῖ, καὶ μάλιστα τῆς εὐ- D γνωμοσύνης αὐτὸν ἐπαινέσαντες, θεότητας μὲν δύο, ἢ πολλὰς, ἢ ὅλως ἀριθμὸν θεοτήτων μήτε λέγεσθαι, μήτε μὴν νοεῖσθαι ἀσφαλῶς διωρίσαντο, μηδὲ γὰρ εἰρῆσθαι τοῦτο παρὰ τῶν θεολόγων, διαφορὰν μέντοι οὐσίας θείας, καὶ θείας ἐνεργείας, ἢ καὶ θείων ἐνεργειῶν, καὶ μάλα νοεῖσθαι καὶ λέγεσθαι προετρέψαντο, διαῤῥήδην τοῦ τοιούτου δόγματος παρὰ τῆς Ἐκκλησίας κεκηρυγμένου, ὡς καὶ κατωτέρω δειχθήσεται. Ὁ δὲ Θεσσαλονίκης προθύμως καὶ λίαν ἀσμένως τοῦτο κατεδέξατο.

Τούτων οὑτωσὶ παρ' ἡμῶν καὶ νοουμένων, καὶ λεγομένων, καὶ γραφομένων, ἰδίᾳ τε καὶ συνοδικῶς ἀνακηρυχθέντων ὁμοῦ καὶ γραφέντων, καὶ τυπωθέντων, οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς καὶ πολλάκις, δίκαιον ἂν εἴη τὸν Γρηγορᾶν, αὐτὸν ἐκεῖνον παριόντα τῷ λόγῳ δεικνύναι, πρὸς τίνας οἱ περὶ μοναρχίας τε καὶ πολυθεΐας αὐτῷ λόγοι, καὶ ἡ μακρὰ σκιαμαχία, καὶ ὁ τερατώδης καὶ φασματώδης ἐκεῖνος πόλεμος. Οὐδὲ γὰρ πρὸς τοὺς τὰ εἰρημένα φρονοῦντάς τε καὶ κηρύττοντας, πῶς γάρ; εἰ μή που καὶ τὰ δὶς δύο πέντε τις λέγοι, καὶ τὰ δὶς ἑπτὰ δέκα, καὶ τὸ ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν λίθον ἄντικρυς. Ταῦτα καὶ γὰρ καὶ τὰ προσόμοια τούτοις μεθυόντων, οὐ νηφόντων ἂν εἴη, μᾶλλον δὲ καὶ ἐξεστηκότων τινῶν καὶ παραφρονούντων. Ἀλλ' ὅτι μὲν οὐ πρὸς ἡμᾶς ἐκεῖνα, δῆλον αὐτόθεν παντὶ τῷ μὴ τὸν ἐγκέφαλον βεβλαμμένῳ. Εἰ δ' ὅτι τὸ τῆς θεότητος ὄνομα οὐ τῇ φύσει τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ τῇ ταύτης ἐνεργείᾳ μᾶλλον προσήκειν εἴπομεν, τοῖς ἱεροῖς ἑπόμενοι θεολόγοις, ἐπεὶ καὶ τῶν ἐνεργειῶν οἱ αὐτοί φασιν οὐ τῆς θείας εἶναι φύσεως τὰ θεῖα ὀνόματα πάντα, καὶ τὴν Θεὸς φωνὴν ἐνεργητικήν τε καὶ σχετικήν φασι, καθὰ δὴ καὶ φθάσαντες εἴπον, τὸ γὰρ ὑπερούσιον, καὶ ὑπερώνυμον, καὶ ἀνώνυμον καθ' αὑτὸ, εἰ διὰ τοῦτο τοίνυν διθεΐαν οἱ περὶ Γρηγορᾶν ἡμῖν ἐγκαλοῦσι καὶ πολυθεΐαν, οὐ καθ' ἡμῶν μᾶλλον ἢ κατὰ τῶν διδασκάλων δῆλοι τυγχάνουσι τἀγκλήματα καὶ τὴν βλασφημίαν προφέροντες, ὧν ἐκμαθόντες ἡμεῖς ἔχομεν ἐκεῖνα.

Καὶ τοῦτο μὲν οὖν ἄνωθεν ἔργον τῷ Γρηγορᾷ, καθὰ δήπου καὶ ὁ λόγος ἡμῖν πολλάκις δεδειχὼς ὦπται, τῷ προσωπείῳ καθαπερεί τινι κατὰ τῆς ὄψεως τῶν ἁγίων ἡμῖν χρωμένῳ, ἔπειτα βάλλειν ὅλῃ καὶ χειρὶ καὶ γλώττῃ, οὐ καθ' ἡμῶν μᾶλλον ἢ κατ' ἐκείνων, μᾶλλον δὲ τῷ μὲν δοκεῖν καθ' ἡμῶν τε κἀκείνων ὁμοῦ, τῇ δὲ ἀληθείᾳ κατὰ τῆς αὑτοῦ αὐτοῦ κεφαλῆς.

Ἀλλ' ἐπειδὴ καὶ τοῦτό γε πρὸς τοῖς ἄλλοις, μᾶλλον δὲ καὶ πρὸ τῶν ἄλλων πάντων σχεδὸν, ἄνω καὶ κάτω Γρηγορᾶς ἡμῶν καταψεύδεται, τὸ μηδένας, ὡς αὐτός φησι, τῶν ἁγίων μάρτυρας ἡμᾶς προφέρειν τῶν δογματικῶν ὑφ' ἡμῶν περὶ Θεοῦ λεγομένων, Ὁρᾷς καὶ γὰρ, ἔλεγε πρὸς τὸν αὑτοῦ φοιτητὴν πρὸ βραχέος, ὡς οὐδὲ μίαν ἐκεῖνος προκομίζει ποτὲ συναιρομένην ἁγίων αὐτῷ μαρτυρίαν, ἀλλ' ὥσπερ χρησμοὺς δογματίζει τὰ δεδογμένα οἱ, καὶ ὅτι πάντων ὁμοῦ, φησὶ, καταψεύδεται τῶν ἁγίων, συμφωνεῖν μὲν αὐτοὺς ταῖς αὑτοῦ βλασφημίαις αὐθαδιζόμενος, τίνες δ' ἐκεῖνοι, καὶ πῶς, καὶ ποῦ συμφωνοῦσιν οὐ λέγων· ἐπεὶ τοίνυν οὕτω κἀν τοῖς προδήλοις τούτοις ἀκρατῶς καὶ καθ' ὑπερβολὴν ἀναισχυντεῖ Γρηγορᾶς, ἀναγκαῖον ἂν εἴη, τά τε συνεπτυγμένως μικρῷ πρόσθεν ὑπὸ τοῦ τόμου ῥηθέντα τῶν περὶ θεότητος θεολογικῶν ῥητῶν πλατύτερον ὑφ' ἡμῶν προτεθῆναι καὶ αὖθις, καὶ δὴ καὶ τὰ λείποντα καὶ ξυγγενῆ τοῖς εἰρημένοις ἐξ αὐτῶν φημι τούτων προστεθῆναι τῷ λόγῳ.

Καὶ πρῶτος ἡμῖν ὁ Νύσσης θεῖος Γρηγόριος εἰσαγέσθω τῷ λόγῳ, τοιάδε πρὸς Εὐνόμιον ἐν τοῖς ἀντιῤῥητικοῖς λέγων· Καὶ αὐτὸ τὸ τῆς θεότητος ὄνομα, εἴτε τὴν ἐποπτικὴν, εἴτε τὴν προνοητικὴν ἐξουσίαν σημαίνει, οἰκείως εἶχε πρὸς τὸ ἀνθρώπι-

Digitized by Google

νον. Ὁ γὰρ τὴν δύναμιν παρασχὼν τοῖς οὖσι τοῦ εἶναι Θεὸς καὶ ἐπόπτης τῶν ὑπ' ἐκείνου γεγονότων ἐστί. Καὶ μετ' ὀλίγον· Ἐπειδὴ τοίνυν τὸ κεφάλαιον τῆς συμφορᾶς ἡμῶν τοῦτο ἦν, τὸ ἐκκηρυχθῆναι τοῦ ἀγαθοῦ Πατρὸς τὸ ἀνθρώπινον, καὶ τῆς θείας ἐπόψεώς τε καὶ κηδεμονίας ἔξω γενέσθαι, διὰ τοῦτο ὁ πᾶσαν τὴν λογικὴν κτίσιν ποιμαίνων, καταλιπὼν ἐν τοῖς ὑψηλοῖς τὴν ἀπλανῆ τε καὶ ὑπερκόσμιον ποίμνην, τὸ πεπλανημένον πρόβατον, τὴν ἡμῶν λέγω φύσιν, ὑπὸ φιλανθρωπίας μετέρχεται. Τὸν γὰρ καινὸν ἐκεῖνον ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα, ἐν ᾧ κατῴκησε τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, τοῦτον διὰ καθαρότητα τῇ συγγενείᾳ τοῦ Πατρὸς τῆς φύσεως ἡμῶν προσοικειώσας, πᾶσαν τὴν κοινωνὸν τοῦ σώματος αὐτοῦ καὶ συγγενῆ φύσιν πρὸς τὴν αὐτὴν χάριν συνεφειλκύσατο. Καὶ πάλιν ὁ αὐτὸς, ἐν τῷ Περὶ θεότητος Υἱοῦ τε καὶ Πνεύματος λόγῳ· Φασί τινες φύσεως εἶναι σημαντικὴν τὴν θεότητα. Ἡμεῖς δέ φαμεν, ὅτι ὄνομα σημαντικὸν ἡ θεία φύσις ἢ οὐκ ἔχει, ἢ ἡμῖν οὐκ ἔχει. Ἀλλ' εἴ τι καὶ λέγεται εἴτε παρὰ τῆς ἀνθρωπίνης συνηθείας, εἴτε παρὰ τῆς θείας Γραφῆς τῶν περὶ αὐτὴν ἀποσημανθέντων ἔστι τι, αὐτὴ δὲ ἡ θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν.

Λαβέτωσαν δὲ τῆς ἀνοήτου αὐτῶν βλασφημίας καὶ τὸν ὄφιν κατήγορον· ὃς δείκνυσιν ὅτι τὸ τῆς ὁρατικῆς ἐνεργείας τὴν σημασίαν ἔχει. Συμβουλεύων γὰρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο ἐπαγγέλλεται, ὅτι Ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί.

Ὁρᾷς ὅτι τὴν θεατικὴν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; οὐ γὰρ ἔστι θεάσασθαί τι, μὴ τῶν ὀφθαλμῶν ἀνοιγέντων. Οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν. Ὁ δ' αὐτὸς οὗτος θεολόγος καὶ πρὸς Ἀβλάβιον περὶ τῆς ἁγίας γράφων Τριάδος, Ὁμολογοῦντες, φησὶ, Θεὸν τὸν Πατέρα, Θεὸν τὸν Υἱὸν, καὶ Θεὸν τὸ Πνεῦμα, πῶς οὐ λέγομεν τρεῖς θεοὺς, ἀλλ' ἕνα Θεόν; Ἐπεὶ τὸ Θεὸς ὄνομα ἐνεργείας ἐστὶ δηλωτικόν· παρὰ γὰρ τὸ θέειν πανταχοῦ, ἢ θεᾶσθαι, ἢ αἴθειν τὴν μοχθηρίαν ἠτυμολόγηται, καθὸ μὲν ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τοιαύτην ἐνέργειαν, ἀπηρτισμένον ἕξει πάντως καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται, καὶ κληθείη Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ θεότης καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσιν. Ἐπὶ γὰρ τῆς ἀκτίστου Τριάδος οὐκ ἔστιν εὑρεῖν ὄνομα δηλοῦν τὴν φύσιν αὐτῆς. Καὶ πάλιν ὁ αὐτὸς, Θεὸς ἐνεργοῦντα δηλοῖ, φησί· θεότης δὲ ἐνέργειαν. Οὐδὲν τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν. Ἀκούεις, ὦ Γρηγορᾶ, τοῦ θεολόγου τούτου, πῶς διὰ παντοδαπῶν λογισμῶν καὶ ἐνστάσεων, καὶ γραφικῶν πρὸ τούτων μαρτυριῶν, ἀποδεικνύουσιν οὐ μόνον τὸ τῆς θεότητος, ἀλλὰ καὶ τὸ τοῦ Θεοῦ ὄνομα ὡς ἐξ αὐτῆς παραγόμενον, μὴ τῆς φύσεως εἶναι τῆς θείας αὐτῆς, ἀλλὰ τῆς φυσικῆς αὐτῆς ἐνεργείας μᾶλλον, εἴτε τῆς ἐποπτικῆς, φησὶν, εἴτε

A τῆς προνοητικῆς, ἢ τῆς πανταχοῦ θεούσης, ἢ αἰθούσης ἤτοι φλεγούσης τὴν μοχθηρίαν; Καὶ τοσοῦτον ἀπαγορεύει τὸ τῆς φύσεως αὐτῆς τοῦ Θεοῦ παραστατικὸν εἶναι τοὔνομα, ὅτι καὶ βλασφημίαν ἀνόητον κατηγορεῖ τῶν οὕτω περὶ τούτων φρονούντων, καὶ τὸν ἀρχέκακον ὄφιν κατήγορον αὐτοῖς ἐφίστησι διὰ ταῦτα. Λαβέτωσαν καὶ γὰρ, φησὶ, τῆς ἀνοήτου αὐτῶν βλασφημίας τὸν ὄφιν κατήγορον. Τί οὖν καὶ αὐτὸς ἀνοήτως κατ' ἐκείνους τοὺς τότε, μᾶλλον δὲ καὶ μακρῷ κἀκείνων ἀνοητότερος, τούς τε τῶν λοιπῶν θεολόγων, καὶ δὴ καὶ τοὺς τοῦ μεγάλου τούτου λόγους βιάζῃ, πρός γε τοὐναντίον ἅπαν αὐτοὺς φιλονεικῶν περιτρέπειν, καὶ οἱονεὶ μαχομένους αὐτοὺς ἑαυτοῖς καὶ ἀλλήλοις ἀποδεικνύειν;

B Ἔφης καὶ γὰρ τὸν θεσπέσιον τουτονὶ θεολόγον πρὸς Ἕλληνας γράφοντα τὸ Θεὸς ὄνομα σημαντικὸν οὐσίας εἰπεῖν, ἀγνοῶν, ὅτι καὶ αὐτὸ τὸ τῆς οὐσίας ὄνομα κατ' αὐτοὺς τούτους τοὺς θεολόγους τῆς οὐσιοποιοῦ δυνάμεώς τε καὶ ἐνεργείας, οὐ τῆς ὑπερουσίου κρυφιότητός ἐστιν ὄνομα· ὑπερώνυμος γὰρ ἐκείνη, καθάπερ ἀκούεις, καὶ ἀνώνυμος, ἅτε δὴ καὶ τὴν διὰ φωνῆς πᾶσαν ὑπερβαίνουσα σημασίαν. Ἄλλως τε καὶ τὸ τῆς οὐσίας ὄνομα οὐ μόνον ἐπ' αὐτῆς τῆς οὐσιοποιοῦ δυνάμεως, καὶ δὴ καὶ ἐπὶ τοῦ ὑπερουσίου ἐξ αὐτῆς φημι ταύτης τῆς ἐνεργείας τοῖς θεολόγοις τούτων λαμβάνεται, καθὰ δὴ καὶ ἡ ζωὴ, καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη, καὶ ὁ ἀγαθὸς, καὶ τὰ παραπλήσια τούτοις, ἀλλὰ καὶ ἐφ' ἑκάστῃ τῶν τριῶν ὑποστάσεων εὕροις ἂν αὐτοὺς τῷ προσρήματι τῆς

C οὐσίας χρωμένους, καὶ δὴ καὶ ἐπ' αὐτῆς τῆς θεότητος ὅλης, οὐσίαν θείαν λέγοντας ὅλον ὁμοῦ τὸν τρισυπόστατον Θεὸν, φύσιν δηλονότι, καὶ ὑποστάσεις, καὶ φυσικὰ πάντα καὶ οὐσιώδη, τὰ παρεπόμενα δηλαδὴ κατ' αὐτοὺς τούτους τοὺς θεολόγους τῇ θείᾳ φύσει. Τῷ δὲ καὶ πᾶσιν ἁπλῶς ἔθος ὡσαύτως ἔν τε γράμμασι καὶ ὁμιλίαις κεχρῆσθαι· ὡς ὅταν τὴν ἀγγελικὴν τυχὸν λέγωμεν, ἢ τὴν ἀνθρωπείαν οὐσίαν. Οὐ γὰρ δὴ οὐσίαν τηνικαῦτά φαμεν οὕτω λέγοντες ὑποστάσεων καὶ φυσικῶν ἐνεργειῶν καὶ δυνάμεων δίχα, ἀλλὰ φύσιν δηλονότι σὺν τοῖς ἀδιαιρέτως ταύτῃ συνοῦσι, φημὶ δὴ ταῖς ὑποστάσεσι, καὶ τοῖς φυσικοῖς πᾶσι καὶ οὐσιώδεσι. Καὶ τοῦτον τοιγαροῦν τὸν λόγον καὶ Γρηγόριος ὁ μέγας, πρὸς Ἕλληνας περὶ

D θεότητος καὶ μοναρχίας διαλεγόμενος, καὶ βουλόμενος αὐτοῖς δεῖξαι τὸν παρ' ἡμῶν πρεσβευόμενον τρισυπόστατον Θεὸν, οὐ πολλοὺς θεοὺς κατὰ τὸν Ἑλληνικὸν ὕθλον, ἀλλ' ἕνα πεφυκότα, Μιᾶς, φησὶν, οὔσης τῆς θείας οὐσίας, καὶ ἑνὸς τοῦ παραδηλοῦντος αὐτὴν ὀνόματος τοῦ Θεὸς, εἷς κυρίως ἐστὶ Θεὸς τῷ λόγῳ τῆς οὐσίας ἀκολούθως. Τοῦτο δὲ ἔλεγεν, οὐ τὴν θείαν οὐσίαν ἐνταῦθα διαιρῶν τῶν τε τριῶν αὐτῆς ὑποστάσεων καὶ τῶν φυσικῶς, πολλοῦ γε καὶ δεῖ. Οὐ γὰρ δὴ μόνον εἷς ὁ Θεὸς, ἀλλὰ καὶ τρία· τὸ μὲν τῇ οὐσίᾳ, τὸ δὲ ταῖς ὑποστάσεσι. Πῶς ἂν οὖν ὑγιαίνειν ὁ διδάσκαλος νομισθείη τὰ θεολογικὰ, οὕτω γε κατὰ σὲ τοῦ τῆς οὐσίας ἐκληφθέντος ἐνταῦθα λόγου, ἐπ' αὐτοῦ φημι μόνου τοῦ ὑπερουσίου τῶν τε φυσικῶν καὶ τῶν ὑποστάσεων δίχα; Ἐρεῖ καὶ γὰρ εὐθὺς πρὸς αὐτόν τις ἀντιλέγων, ὡς οὐχ

Digitized by Google

εἷς ἐστιν ὁ Θεὸς, ἀλλὰ καὶ τρία, καὶ οὐ πάνυ γε ἀληθὴς ὁ περὶ τοῦ ἑνὸς οὑτοσὶ σὸς λόγος. Ἀλλ' οὐχ οὕτω τὸν τῆς οὐσίας ἐνταῦθα λόγον ἐξείληφεν ὁ διδάσκαλος, ἀλλὰ καθάπερ ἡμεῖς πρὸ βραχέος ἔφημεν μάλιστα, οὐσίαν ὅλον εἰπὼν ὁμοῦ τὸν ἕνα τρισυπόστατον καὶ παντοδύναμον Θεόν· οὕτω καὶ γὰρ καὶ ὁ πᾶς τῆς θεολογίας ἀπταίστως διασώζεται τῷ διδασκάλῳ σκοπὸς, μηδεμιᾶς ἡστινοσοῦν ἐπιφυομένης ἀντιλογίας. Οὐ μὴν ἀλλὰ κἀκεῖνό γε δεῖ πρὸς τοῖς εἰρημένοις τούτοις σκοπεῖν, ὅτι πρὸς Ἕλληνας ὁ Θεολόγος τὸν ἑαυτοῦ ποιούμενος λόγον, ὑπὲρ μοναρχίας τε ἐνιστάμενος τὸν ἀγῶνα, καὶ κατὰ τῆς ἐκείνων πολυαρχίας καὶ πολυθεΐας χωρῶν, οὐ δεῖν εἶναι νενόμικε διαφορὰν οὐσίας θείας καὶ ἐνεργείας εἰσάγειν τό γε νῦν εἶναι, καὶ λαβάς τινας καὶ προφάσεις μέχρι γοῦν συλλαβῆς τε καὶ λέξεως τοῖς πολυθέοις ἐκείνοις διδόναι, καὶ οὕτω γε τὴν θεολογίαν ὥσπερ ἐπίτηδες συγχέειν δοκεῖν· ἀλλὰ τὴν ὑπερώνυμόν τε καὶ ἀνώνυμον θείαν οὐσίαν ἐκ τῆς φυσικῆς αὐτῆς ἐνεργείας, φημὶ δὴ τῆς θεότητος, ὀνομάζει, καθάπερ δὴ καὶ οὐσίαν τὴν αὐτὴν ἐκ τῆς οὐσιοποιοῦ δυνάμεως ταύτης, ὃ δὴ καὶ ἄνωθεν τῇ θεολογίᾳ νενόμισται πάσῃ, τῇ τε παλαιᾷ φημι καὶ τῇ νέᾳ, καθὰ δὴ καὶ προὔφην· οὐδὲ γάρ ἐστιν ἄλλως καλεῖν τὴν ἀνώνυμον. Πρὸς δέ γε πιστὸν ἄνδρα φημὶ δὴ τὸν Ἀβλάβιον, δεῆσαν αὖθις τῷ κλεινῷ τούτῳ διδασκάλῳ περὶ τῶν αὐτῶν γράφειν ὁμοίως, οὐχ ὡσαύτως φαίνεται κεχρημένος τῷ λόγῳ· ἀλλὰ τὴν θείαν ἐνέργειαν θεοπρεπῶς διακρίνας τῆς θείας οὐσίας τῷ λόγῳ, καὶ τὴν κατὰ φύσιν ἀποδείξας διαφορὰν, τῷ τὴν μὲν θείαν οὐσίαν ὑπὲρ πᾶν ὄνομα πεφυκέναι, τὴν δὲ ταύτης φυσικὴν ἐνέργειαν ὀνομάζεσθαι, καὶ τὴν μοναρχίαν ἐκ ταύτης καὶ τὸν ἕνα καὶ μόνον τρισυπόστατον Θεὸν λαμπρῶς ἀποδείκνυσι. Καθὸ μὲν γὰρ, φησὶν, ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τῆς θεότητος ἐνέργειαν, ἀπηρτισμένον ἕξει πάντως καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται καὶ κληθείη Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ θεότης, καὶ εἷς Θεὸς ἐν τρισὶν ὑποστάσεσιν. Ἐπὶ γὰρ τῆς ἀκτίστου Τριάδος οὐκ ἔστιν εὑρεῖν ὄνομα δηλοῦν τὴν φύσιν αὐτῆς. Οὕτω καὶ Ἰουστῖνος ὁ φιλόσοφός τε καὶ μάρτυς, καὶ εἴ τις τῶν διδασκάλων ἕτερος περὶ τῶν τοιούτων φασὶ καὶ οὐκ ἄλλως· οὐδὲ γὰρ οἴονται, καθὰ δὴ καὶ καθεξῆς ἔτι τρανότερον διὰ τῶν αὐτῶν θεολόγων ὡσαύτως διαδειχθήσεται.

Ἀλλ' ἵνα καὶ ἐξ αὐτοῦ, φημὶ, τοῦ πρὸς Ἕλληνας λόγου τοῦ θεηγόρου Νύσσης, ἐξ οὗ καὶ τὴν ἔνστασιν τοῦ κατὰ τῆς ἀληθείας δηλαδὴ λόγου κομίζειν ὁ Γρηγορᾶς οἴεται, νῦν τὸν ἡμέτερον ἀποδείξωμεν λόγον, φέρε κἀκεῖνα προθῶμεν εἰς μέσον. Ἡ κατὰ τὴν οὐσίαν, φησὶ, μονὰς τῆς ἁγίας Τριάδος, δηλονότι καὶ κατὰ τὸ Θεὸς ὄνομα, δηλωτικὸν γὰρ τοῦτο τῆς οὐσίας, οὐ τὸ τί αὐτῆς παριστῶν δηλονότι, ἐπείπερ ἀπερινόητον καὶ ἀκατάληπτον τὸ τῆς θείας οὐσίας, ἀλλ' ἀπό τινος ἰδιώματος προσόντος αὐτῇ λαμβανόμενον παραδηλοῖ αὐτὴν, καθάπερ τὸ χρεμετιστικὸν καὶ τὸ γελαστικὸν ἰδιώματα ὄντα φύσεων, λεγόμενα σημαίνει τὰς φύσεις, ὧνπέρ ἐστιν ἰδιώματα. Ἔστιν τοίνυν ἰδίωμα τῆς ἀϊδίου οὐσίας, ἥτις ἐστὶ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα, τὸ πάντα ἐποπτεύειν καὶ θεωρεῖν καὶ γινώσκειν. Καὶ ταῦτα μὲν, ὅσον κἀκ τοῦ ῥηθέντος λόγου τῷ Γρηγορᾷ δεῖξαι, ὅτι τὸ τῆς θεότητος ὄνομα εἰ καὶ τῆς οὐσίας ὁ θεολόγος οὗτος εἶναί φησιν, ἀλλ' ἀπό τινος ἰδιώματος ταύτῃ προσόντος ἐστὶ λαμβανόμενον, ἐπείπερ ἀπερινόητόν ἐστι τὸ τί ταύτης καὶ ἀκατάληπτον.

Ὅρα δὲ καὶ τὸ περὶ τῆς καθόλου θείας ἐνεργείας ἐκεῖνο τοῦ αὐτοῦ θεολόγου, φιλόσοφε. Θεὸς, φησὶν, ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν· οὐδὲν δὲ τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν, ἵνα μάθῃς, μὴ νῦν μὲν τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ τὸ Πνεῦμα τὴν θείαν ἐνέργειαν εἶναι λέγειν κακῶς, νῦν δ' αὐτὴν τὴν θείαν οὐσίαν, ἐνέργειάν τε καὶ αὐτενέργειαν, καὶ τὴν θείαν θέλησιν αὐτὴν ταύτην τὴν οὐσίαν ἀκριβῶς, τὰ μὴ καθ' ἑαυτὰ, ἀλλ' ἐν τῇ πηγαζούσῃ ταῦτα θείᾳ οὐσίᾳ ὑφεστῶτα καὶ θεωρούμενα, τοτὲ μὲν αὐτὴν τὴν θείαν οὐσίαν, τοτὲ δὲ τὰς αὐτῆς θεαρχικὰς ὑποστάσεις κακῶς φανταζόμενός τε καὶ λέγων, καὶ μηδὲ τὴν κατ' ἐπίνοιαν γοῦν ἐννοῶν θεοπρεπῆ τούτων διαφορὰν, ἃ δὴ καὶ διεθρύλλεις βλασφημῶν ἐν τοῖς φθάσασι, καὶ πάντα θεολογικόν τε καὶ πατρικὸν παραλογιζόμενος λόγον. Σκόπει μοι δὴ καὶ τὸν μέγαν ἑξῆς αὖθις Βασίλειον, τὰ αὐτά σοι τρανότερον περὶ τῶν αὐτῶν ὡσαύτως διαλεγόμενον. Πολλὰ γὰρ περὶ διαφορᾶς ἐνεργείας θείας καὶ φύσεως πρεπῶν, ὡς καὶ ἡμῖν ἐν τοῖς φθάσασιν ἤδη πολλάκις εἴρηται, εἶτ' ἐπάγει κἀκεῖνα· Οὐκοῦν ἡ τῆς ἐνεργείας ταυτότης ἐπὶ Πατρός τε καὶ Υἱοῦ καὶ Πνεύματος ἁγίου δείκνυσι σαφῶς τὸ τῆς φύσεως ἀπαράλλακτον· ὥστε κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδα ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες, ὥσπερ οὐκ ἀκηκοότες παρὰ τῆς Γραφῆς ὅτι χειροτονητὴ φύσις οὐ γίνεται. Μωσῆς δὲ τῶν Αἰγυπτίων ἐχειροτονήθη Θεὸς, οὕτω πρὸς αὐτὸν εἰπόντος τοῦ χρηματίζοντος, ὅτι *Θεόν σε δέδωκα τῷ Φαραώ*. Οὐκοῦν ἐξουσίας τινὸς εἴτε ἐποπτικῆς, εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει. Ἡ δὲ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι καθὸ ἔστι μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος. Καὶ μετ' ὀλίγον· Εἴτε οὖν ἐνεργείας ὄνομα ἡ θεότης, ὡς μίαν ἐνέργειαν Πατρὸς, Υἱοῦ καὶ Πνεύματος ἁγίου, οὕτω μίαν φαμὲν εἶναι καὶ τὴν θεότητα, εἴτε καὶ κατὰ τὰς τῶν πολλῶν δόξας, φύσεως ἐνδεικτικόν ἐστι τὸ τῆς θεότητος ὄνομα, διὰ τὸ μηδεμίαν εὑρίσκειν ἐν τῇ φύσει παραλλαγὴν, οὐκ ἀπεικότως μιᾶς θεότητος τὴν Τριάδα ὁριζόμεθα. Ὅτι μὲν οὖν οὐ τοῦ κρυφίου τῆς ὑπερουσίου θεότητος ἡ θεότης ὄνομα, πῶς γὰρ τοῦ καθάπαξ ἀῤῥήτου καὶ ἀνωνύμου; ἀλλὰ τῆς οὐσιωδῶς προσούσης αὐτῇ ἐνεργείας, ἐκ πολλῶν οὕτω δῆλον τῶν τε νῦν, τῶν τε πρότερον ὑπὸ τῶν θεολόγων ἀπὸ μέρους ῥηθέντων, εἰ καὶ κατὰ ἀντιπαράστασιν ὁ μέγας οὑτοσὶ πρὸς τὸν ἀντιλέγοντα προάγων τὸν λόγον, Εἴτε καὶ φύσεως ἐνδεικτικόν ἐστι, φησὶ, τοῦ-

Digitized by Google

νομα τῆς θεότητος κατὰ τὰς τῶν πολλῶν δόξας, ὅπερ διὰ πολλῶν ἀνεσκεύασε πρότερον· καθ' ὑπόθεσιν οἱονεὶ συγχωρῶν ὕστερον, ἵν' ἐκ περιουσίας ὁ περὶ μιᾶς θεότητος λόγος αὐτῷ τὸ ἰσχυρὸν ἔχῃ. ἄλλως τε καὶ εἰδὼς ἀπὸ τῶν ἐνεργειῶν ἐπὶ τὴν θείαν οὐσίαν ἀναφερόμενα τὰ θεῖα ὀνόματα, διά τε τὸ ἐκείνης ἀνώνυμον, καθάπερ ἤδη πολλάκις εἴρηται, καὶ ὅτι ἅπερ αἱ οὐσιώδεις ἐνέργειαι καθ' ὕπαρξίν εἰσί τε καὶ λέγονται, Θεὸς, ζωὴ, φῶς, εἰρήνη, σοφία, δύναμις, καὶ τὰ ξυγγενῆ τε καὶ ἀκόλουθα τούτοις, ταῦτα κατ' αἰτίαν τὸ ὑπερούσιόν ἐστί τε καὶ λέγεται, ὃ δὴ καὶ Διονύσιος ὁ μέγας φησίν.

Ἐρωτητέον δὲ ἤδη τοὺς περὶ Γρηγορᾶν τε καὶ Ἀκίνδυνον ἑξῆς, τίς ἂν ἡ θεότης εἴη, ἣν οἱ μεγάλοι τῆς Ἐκκλησίας οὗτοι διδάσκαλοι, Βασίλειος ὁμοῦ καὶ Γρηγόριος, οἱ καὶ τὸν νοῦν καὶ τὴν σοφίαν ἀδελφοὶ καθάπερ δὴ καὶ τὰ σώματα, τὴν μὲν φύσιν ἀπαγορεύουσιν εἶναι, τῆς δὲ φύσεως μᾶλλον ἐνέργειαν λέγουσιν. Ἆρ' ἡ θεότης ἐστὶν αὕτη, καθ' ἣν δήπου καὶ Θεός ἐστιν ὁ Θεὸς, ἢ θεότης ἐστὶν ἑτέρα κατ' αὐτοὺς παρὰ τοῦ Θεοῦ κτισθεῖσα, καὶ ἀγγέλοις ὁμοῦ καὶ θεοειδέσιν ἀνθρώποις διδομένη; Τοιοῦτον καὶ γὰρ τὸ τῆς αὐτῶν θεολογίας ὑψηλόν τε καὶ περινενοημένον, ἵνα μὴ δύο, φησὶ, θεότητες ἄκτιστοι καὶ νοοῖντο, καὶ λέγοιντο. Διὸ καὶ Διονύσιον τὸν ἐξ Ἀρείου πάγου σοφὸν παρεξηγούμενοι θεολόγον, ὑποστάτην τῶν αὐτῷ φυσικῶς προσόντων λέγοντα τὸν Θεὸν, τῶν τε ἄλλων φημὶ, καὶ δὴ καὶ τῆς αὐτοαγαθότητος καὶ θεότητος, προνοίας καὶ ἀγαθότητας αὐτὰ θεολογοῦντα, μεθεκτῶς ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑπερβλυζούσας, περὶ ὧν δήπου καὶ ἡμεῖς ἐν τῷ πρώτῳ τῶν προτέρων πρὸς Γρηγορᾶν λόγων διαλαβόντες πλατύτερον ἔφθημεν, καὶ τοῦτον οὖν σὺν ἐκείνοις οἱ σοφοὶ παραλογιζόμενοι τὸν διδάσκαλον, καὶ κτίστην τῶν τε ἄλλων φυσικῶν, καὶ δὴ καὶ τῆς ἑαυτοῦ θεότητος τερατευόμενοι τὸν Θεὸν, ἐρωτάσθωσαν ὅπερ εἶπον, τίς ἐστι ἡ θεότης αὕτη, περὶ ἧς τοῖς διδασκάλοις ὁ λόγος. Μᾶλλον δ' ἐκεῖνοι μὲν πολλάκις καὶ διὰ πολλῶν κτίσμα ταύτην εἰρήκασιν εἶναι Θεοῦ, ἐπειδὴ τῆς οὐσίας αὐτοῦ πὼς ἐστι διαφέρουσα· τὸ δὲ ταύτης ὁπωσποτε διαφέρον κτίσμα πᾶν κατ' αὐτούς.

Ἡμᾶς δ' ἀνάγκη καὶ πάλιν ψευδομένους αὐτοὺς καὶ θεομαχοῦντας ἐξελέγξαι κἀν τούτῳ συνήθως. Καὶ πρῶτόν γε τῶν ἀτοπωτάτων ἂν εἴη, καὶ πᾶσαν ἀνοίας τε καὶ παραπληξίας παριόντων ὑπερβολὴν, τὸ τὴν πρόνοιαν καὶ ἀγαθότητα καὶ ἐποπτικὴν δύναμιν τοῦ Θεοῦ κατὰ τούτους τοὺς θεολόγους, τὴν τοὺς ἑαυτῆς μετόχους θεοποιοῦσαν ἀῤῥήτως καὶ θεουργοῦσαν, καὶ κοινωνοὺς θείας ἀποδεικνῦσαν φύσεως, τῆς φύσεως ἀποξενοῦν τολμᾶν τοῦ Θεοῦ, καὶ τῇ δούλῃ κτίσει συναριθμεῖν· ὥσπερ ἂν εἴ τις ἔλεγε, μὴ χρυσῷ τὰ χρυσούμενα σώματα, μολύβδῳ δὲ μᾶλλον καταχρυσοῦσθαι, ἢ καὶ τῷ ἡλίῳ μὴ ταῖς φυσικαῖς ἀκτῖσιν ἑνοῦσθαι τοὺς καταλαμπομένους, ἀλλὰ τῇ τῶν ἐκ βαλανείων τε καὶ ὀστράκων καμιναίᾳ φλογί. Ἔπειτα κἀκεῖθεν ἂν εἴη τὸ ζητούμενον ἐναργὲς, εἰ παρὰ τῶν αἱρετικῶν ἐκείνων ἀκούσαιμεν, πρὸς οὓς δηλαδὴ καὶ τοῖς θεολόγοις ὁ λόγος τότε

A περὶ ποίας αὐτοῖς τοῦ Πνεύματος θεότητος ἦν ὁ λόγος, περὶ τῆς φυσικῶς τῷ Θεῷ προσούσης, ἢ περὶ ἧστινοσοῦν ἄλλης, ὡς οἱ παρόντες φασὶν οὗτοι, κτιστῆς. Γένοιτο γὰρ ἂν καὶ ἡμῖν ἐνταῦθα τὰ παρὰ τῆς τῶν ἐχθρῶν μαρτυρίας κατὰ τὸ ᾀδόμενον δήπουθεν ἀξιοπιστότερα. Τί γοῦν περὶ ἐκείνων ὁ μέγας ἔφη Βασίλειος; Ἐκκαλύπτουσι, φησὶ, φανερώτερον τὸν τοῦ λόγου σκοπὸν, ἐπὶ μὲν τοῦ Πατρὸς καταδέχεσθαι τὸ Θεὸν εἶναι, καὶ τὸν Υἱὸν ὡσαύτως τιμᾶσθαι τῷ τῆς θεότητος ὀνόματι συντιθέμενοι, τὸ δὲ Πνεῦμα Πατρὶ καὶ Υἱῷ συναριθμούμενον, μηκέτι καὶ τῇ τῆς θεότητος ἐννοίᾳ συμπαραλαμβάνεσθαι. Καὶ πάλιν· Τίς ὁ λόγος, τὴν ἐν τοῖς ἄλλοις ὀνόμασι κοινωνίαν πρὸς Πατέρα τε καὶ Υἱὸν συγχωροῦντας τῷ Πνεύματι, μόνης ἀποσχοινίζειν αὐτὸ τῆς θεότητος; B Εἰ δὲ μικρότερον, φησὶ, κατὰ τὸν ἐκείνων λόγον ἐστὶν, ἢ ὥστε τοῦ τῆς θεότητος ὀνόματος πρὸς Πατέρα τε καὶ Υἱὸν τὴν κοινωνίαν χωρῆσαι, οὐδὲ ἄλλου τινὸς τῶν θεοπρεπῶν ὀνομάτων μετέχειν ἄξιον.

Καὶ αὖθις· Ἀλλὰ λέγουσι φύσεως ἐνδεικτικὴν εἶναι τὴν προσηγορίαν ταύτην, ἀκοινώνητον δὲ εἶναι πρὸς Πατέρα καὶ Υἱὸν τὴν τοῦ Πνεύματος φύσιν, καὶ διὰ τοῦτο μηδὲ τῆς κατὰ τὸ ὄνομα τοῦτο κοινωνίας μετέχειν.

Καὶ πάλιν· Ὥστε κἂν φύσιν σημαίνῃ τὸ τῆς θεότητος ὄνομα, κυρίως καὶ τῷ ἁγίῳ Πνεύματι τὴν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται. Ἀλλ' οὐκ οἶδ' ὅπως ἐπὶ τὴν τῆς φύσεως ἔνδειξιν τὴν προσηγορίαν τῆς θεότητος φέ- C ρουσιν οἱ πάντα κατασκευάζοντες.

Ὁ δὲ Νύσσης θεῖος Γρηγόριος, Φύσεως, φησὶν, εἶναι λέγουσι σημαντικὴν τὴν θεότητα οἱ τὰ Μακεδονίου δηλονότι τότε νοσοῦντες. Ἡμεῖς δέ φαμεν, ὅτι ὄνομα σημαντικὸν ἡ θεία φύσις οὐκ ἔχει. Καὶ μετ' ὀλίγον· Λαβέτωσαν δὲ τῆς ἀνοήτου αὐτῶν βλασφημίας καὶ τὸν ὄφιν κατήγορον. Συμβουλεύων γὰρ ἅψασθαι τῶν ἀπηγορευμένων, τοῦτο ἐπαγγέλλεται, ὅτι *Ἀνοιγήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί.* Ὁρᾷς ὅτι τὴν θεατικὴν ἐνέργειαν προσμαρτυρεῖ τῇ φωνῇ τῆς θεότητος; Οὐκοῦν, φησὶν, οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησι.

Καὶ τοιαῦτα μὲν τὰ τῶν Πνευματομάχων, ὥς φασιν οἱ διδάσκαλοι, τοιαῦτα δὲ καὶ τὰ τούτων αὐ- D τῶν αὖθις, πρὸς ἐκείνους περὶ τῆς θεότητος δηλονότι τοῦ Πνεύματος. Ἐξ ὧν οἶμαι τοῖς πᾶσιν ὁ σκοπὸς ἑκατέρων γίνεται φανερὸς, τῶν μὲν τῆς θεότητος τοῦ Πατρός τε καὶ τοῦ Μονογενοῦς ἀλλοτριοῦν κάκιστα βουλομένων τὸ Πνεῦμα, ἐπειδὴ καὶ τῆς φύσεως ἐκείνων ἀλλότριον αὐτοῖς ἐνομίζετο· τῶν δὲ τῆς εὐσεβείας αὖ διδασκάλων, τῇ τῆς φυσικῆς ἐνεργείας ταυτότητι, τοῦτο καὶ γὰρ εἶναι τὴν τῆς θεότητος προσηγορίαν τρανῶς ἀπὸ τῆς θείας Γραφῆς ἀπέδειξαν, καὶ τὸ τῆς φύσεως παραστησάντων κοινὸν, ὥστε καὶ ἄμφω δι' ἀλλήλων ὁμοῦ κάλλιστά τε καὶ ἀσφαλέστατα δείκνυσθαι, διὰ μὲν τοῦ τῆς φυσικῆς ἐνεργείας δηλαδὴ τῆς θεότητος κοινοῦ τὸ κοινὸν καὶ ἡνωμένον, μᾶλλον δὲ καὶ ἀκριβῶς ἓν τῆς φύσεως, διὰ δὲ τοῦ τῆς φύσεως αὖθις ἑνὸς τὸ κοινὸν

καὶ ἀκριβῶς ἓν τῆς μιᾶς τῶν τριῶν θεότητος. Ὡς ἐντεῦθεν ἕνα Θεὸν εὐσεβῶς ἐν τρισὶ προσώποις γνωρίζεσθαι, ὁμοούσιον, ὁμοδύναμον, παντοδύναμον, μίαν ἔχοντα τὴν φυσικὴν ἐνέργειαν καὶ θεότητα, καὶ διὰ τοῦτο καὶ Θεὸν ἕνα τὰ τρία, τὸ παραδοξότατον, πεφυκέναι, ἐπειδὴ μίαν τῶν τριῶν ὥσπερ ἡ φύσις, οὕτω δὴ καὶ ἡ θεότης κατ' αὐτοὺς δὴ τούτους τοὺς θεολόγους.

Σὺ δ' ὁ μετὰ Βαρλαὰμ τε καὶ Ἀκίνδυνον, μᾶλλον δὲ καὶ σὺν ἐκείνοις κακῶς ἐπεισκωμάσας αὖθις τῇ Χριστοῦ Ἐκκλησίᾳ, τί καὶ πρὸς ταῦτα λέγεις, εἰπέ. Ἰδοὺ γὰρ αὐτὴν ἐξηλέγχθης τὴν μίαν τῆς Τριάδος θεότητα κτιστὴν εἶναι δοξάζων τε καὶ διδάσκων, καθ' ἣν ὁ Θεὸς ἔστι καὶ λέγεται, ὅπερ οὐδὲ τοῖς ἀρχαίοις αἱρετικοῖς ἐκείνοις οὐδέπω ἐπῆλθεν εἰπεῖν. Εἰ γὰρ ἡ ἀεὶ οὖσα θεότης, καθ' ἣν ἐστι Θεὸς ὁ Θεὸς, οὐκ ἔστιν ἀεὶ, ὁ Θεὸς ὁ ἀεὶ ὢν, οὐκ ἔστιν ἀεὶ Θεὸς κατὰ σέ. Καὶ τὸ ἑξῆς αὐτὸς, φιλόσοφε, σύναγε· τὸ ἀεὶ ὂν οὐκ ἔστιν ἀεὶ, καὶ ὁ Θεὸς οὐκ ἔστι Θεός· ἢ καὶ οὕτως· Ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα Τὸ ἅγιον τῇ μιᾷ φυσικῇ ἐνεργείᾳ εἷς κατὰ τοὺς θεολόγους Θεός. Ἡ δὲ ἐνέργεια αὕτη κτιστὴ κατὰ σὲ, τῇ μιᾷ ἄρα καὶ κτιστῇ ταύτῃ κατὰ σὲ ἐνεργείᾳ εἷς Θεὸς κτιστὸς Θεός. Ἢ πάλιν οὕτως· Εἰ τὰ πολλὰ καὶ κτιστὰ κατὰ σὲ ὁ Θεὸς, τοῦτο καὶ γὰρ αὐτὸς τὰς τοῦ Θεοῦ φυσικὰς ἐνεργείας λέγεις, ἐν αἷς καὶ τὴν σὴν δήπου θεότητα, τὸ ἓν καὶ ἄκτιστον οὐ Θεὸς ἐξ ἀναγκαίου. Εἰ δὲ τὸ ἓν καὶ ἄκτιστον οὐ Θεὸς κατὰ σὲ, κυρίως τὸ ὂν πάλιν οὐκ ὂν, καὶ ὁ Θεὸς οὐ Θεὸς κατὰ σέ. Οὕτω διὰ πάντων οὐ δυσσεβὴς μόνον, ἀλλὰ καὶ ἀσεβὴς καὶ ἄθεος ὢν ἐξηλέγχθης, καὶ τὴν διθεΐαν τε καὶ πολυθεΐαν, μᾶλλον δὲ καὶ τὴν ἀθεΐαν αὐτὴν ἀκριβῶς κατὰ τοὺς ἐμοὺς φιλοσόφους τε καὶ θεολόγους ἐκφυγεῖν οὐ δυνήσῃ, φιλόσοφε, ἕως ἂν καὶ κτιστὴν ἐπεισάγῃς, καὶ ἀλλόκοτόν τινα καὶ τερατώδη θεότητα, καὶ εἰς κτίσμα κατασπᾷς τὰ τοῦ Θεοῦ φυσικά.

Ἀλλ' ἐγὼ, φησὶν ὁ φιλόσοφος, τὴν διθεΐαν ἐκφεύγων μάλιστα, καὶ τὴν πολυαρχίαν τε καὶ ἀθεΐαν ὑφορώμενος, τάς τε παρ' ὑμῶν λεγομένας ἐνεργείας, καὶ τὴν θεότητα, εἰ μὴ τὴν οὐσίαν σημαίνοι τοῦ Θεοῦ, κτιστὰς εἶπον, ἓν μόνον εἰδὼς ἄκτιστον αὐτὴν τὴν οὐσίαν τοῦ Θεοῦ, τὰ δὲ περὶ τὴν οὐσίαν πάντα κτιστά. Κἀγὼ τοῦτ' αὐτὸ καὶ οὐκ ἄλλο γε εἶναί φημι, τὸ διθεΐτην σε καὶ πολύθεον, καὶ ἄθεον ἐργασάμενον, ὅτι τὰ μὲν οὐσιώδη τοῦ Θεοῦ πάντα, καὶ δὴ καὶ τὴν φυσικῶς αὐτῷ προσοῦσαν ἀρνῇ θεότητα, κτιστὴν δ' αὐτὸς ἀντεισάγεις θεότητα, οὐκ οἶδα τίνος Θεοῦ καὶ πόθεν ἤκουσαν. Ὥστε εἰ μὲν καὶ κτιστὴν ἔχοι θεότητα κατὰ σὲ ἡ τοῦ Θεοῦ θεότης ἤτοι ἡ φύσις, οὐδὲν ἐμποδὼν εἶναι πρὸς τὸ μίαν εἶναι θεότητα· εἰ δὲ θεατικὴν καὶ προνοητικὴν ἔχοι δύναμιν ὁ Θεὸς, ἤτοι θεότητα ἄκτιστον καὶ συναΐδιον, καὶ ἀχώριστον τῆς οὐσίας αὐτοῦ, καθ' ἣν καὶ Θεὸς ἔστι τε καὶ λέγεται, δηλονότι κατὰ τοὺς θεολόγους, καὶ τἄλλα τὰ προσόντα αὐτῷ φυσικῶς, τοῦτ' αὐτὸ τὴν πολυθεΐαν τε καὶ πολυαρχίαν εἶναι κατὰ σέ.

Καὶ τίς ἂν ἀξίως καταγελάσαι τῆς ἀνοίας καὶ ἀπονοίας ἅμα, καὶ δὴ καὶ τῆς ἀμαθίας τῆς σῆς, εἰ μὲν κτιστὴ θεότης πρόσεστι τῷ Θεῷ, λέγοντος, μίαν εἶναι θεότητα τὸ ἄκτιστον καὶ τὸ κτιστὸν, εἰ δὲ φυσικὴν ἔχει καὶ οὐσιώδη δύναμιν, ἧς ἄνευ οὐδὲ Θεὸς εἶναι, μᾶλλον δὲ οὐδὲ εἶναι δύναται τοπαράπαν κατ' αὐτούς τε τούτους τοὺς θεολόγους, καὶ δὴ καὶ τὸν φυσικὸν καὶ ἀληθῆ λόγον, διθεΐαν τε καὶ πολυθεΐαν ἐντεῦθεν εἰσάγεσθαι; Καίτοι γε καὶ πολλάκις ἤδη παρ' ἡμῶν τε καὶ τῶν ἱερῶν ἡμῶν διδασκάλων, οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτῶν τῶν λογίων ἔχεις ἀκούσας, καὶ αὐτὸς δ' ὁ συνοδικὸς τόμος διαῤῥήδην ἀνακηρυχθέν τε καὶ βεβαιωθὲν δείκνυσι τὸ μηδαμῶς δύο θεότητας, ἢ πολλὰς νοεῖσθαι καὶ λέγεσθαι, μηδὲ γὰρ εἰρῆσθαί φησι τοῦτο τοῖς θεολόγοις, οὐσίας μέντοι θείας καὶ ἐνεργείας θείας διαφορὰν καὶ νοεῖσθαι καὶ λέγεσθαι διαῤῥήδην ἀνακηρυττομένου τοῦ τοιούτου δόγματος ὑπό τε τῶν θεολόγων, καὶ δὴ καὶ τῶν λογίων αὐτῶν, καὶ πρὸς τούτοις, ὅτι καὶ θεότης ἡ θεία ἐνέργεια, ἢ ἡ τοῦ Θεοῦ θεότης ἐνέργεια. οὐδὲ γὰρ οὐδὲν οὐδαμῶς οὐδὲ περὶ τούτου διαφερόμεθα, ὑπὲρ οὗ καὶ τοῖς κοινοῖς διδασκάλοις τῆς Ἐκκλησίας ὁ λόγος νυνί.

Εἰ δὲ καὶ ὁ λόγος αὐτῶν τε καὶ ἡμῶν παραλυπεῖ τὴν ἀλήθειαν, εἰ θεότης κατ' αἰτίαν ἡ ὑπερώνυμός τε καὶ ἀνώνυμος τοῦ Θεοῦ λεγομένη οὐσία τὴν κατὰ φύσιν δύναμιν καὶ ἐνέργειαν ἑαυτῆς, φημὶ δὴ τὴν θεατικὴν καὶ προνοητικὴν καὶ θεοποιὸν ἐνέργειαν, θεότητα καθ' ὕπαρξιν ἔχοι καλουμένην, καὶ οὕτω γὰρ μία, καὶ οὐ δύο καὶ πολλαὶ ἡ θεότης ἐστὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἐπειδὴ καὶ τοῦ αὐτοῦ καὶ ἑνός ἐστι Θεοῦ, καὶ ἡ φύσις καὶ ἡ φυσικὴ καὶ ἀχώριστος δύναμις καὶ ἐνέργεια καὶ θεότης, καὶ εἷς Θεὸς τοῦτο κἀκεῖνο, καὶ οὐσία τοῦ Θεοῦ μία καὶ ἀδιαίρετος μετὰ τῶν οὐσιωδῶς προσόντων αὐτῇ, τρισυπόστατος, ἐνεργὸς, θελητικὴ, παντοδύναμος. Ἢ καὶ τὸ τρισυπόστατον αὐτὸς ἀρνήσῃ τῆς θεότητος, ἵνα μὴ τρεῖς εἰσαγάγῃς θεούς· ἐπειδὴ καὶ Θεὸς ἕκαστον τῶν θεαρχικῶν προσώπων, καθ' ἑαυτὸ θεωρούμενον. Ἀλλ' οὐ καταδέξῃ τὸν λόγον, ἐπειδὴ ταῖς μὲν ὑποστάσεσι τρία τὸν Θεὸν ἴσμεν, τῇ δὲ οὐσίᾳ καὶ τῇ δυνάμει καὶ τῷ τῆς θεότητος λόγῳ ἕν. Πῶς οὖν ἐνταῦθα μὲν ὅπου καὶ πρόσωπα τυγχάνει καὶ καθ' ἑαυτὰ ὑφεστῶτα, οὐ τρεῖς ἀναγκάζῃ νοεῖν θεούς, καίτοι γε καὶ καθ' ἑαυτὸ Θεὸν ἕκαστον ὂν, ὅπερ ἔφην, ἀλλὰ Θεὸν ἕνα τὰ τρία καὶ νοεῖς καὶ λέγεις· ἐκεῖ δὲ καὶ ταῦτα τῶν φυσικῶν τοῦ Θεοῦ μηδαμῶς καθ' ἑαυτὰ ὑφεστώτων, ἀλλ' ἐν τῇ πηγαζούσῃ θεωρουμένων ἀδιαιρέτως οὐσίᾳ, οὐχ ἕνα νοεῖς καὶ λέγεις Θεὸν τὴν οὐσίαν τοῦ Θεοῦ μετὰ τῶν προσόντων αὐτῇ φυσικῶς, καὶ θείων Γραφῶν μάλιστα καὶ συνόδων καὶ θεολόγων ὁμοῦ πάντων ἀνακηρυττόντων ταυτὶ, καὶ σύν γε τῷ ἡνωμένῳ τῆς θεολογίας καὶ τὸ διακεκριμένον ἄριστα διδασκόντων, οὐ μόνον ἐπὶ τῆς οὐσίας φημὶ καὶ τῶν τριῶν ταύτης προσκυνητῶν προσώπων, ἀλλὰ κἀπὶ τῆς αὐτῆς αὖθις οὐσίας καὶ τῶν φυσικῶν ταύτης ἰδιωμάτων τε καὶ ἐνεργειῶν, ὧν δηλαδὴ μίαν καὶ τὴν θεότητά φασιν;

Οὗ δὲ χάριν ἀγαθότητας μὲν πολλὰς, καὶ σοφίας, καὶ ζωὰς, καὶ ὄντα, καὶ φῶτα φυσικὰ τὸν Θεὸν

Digitized by Google

οὐ λέγεις, καίτοι γε τῶν θείων ὀνομάτων τούτων **A** ἀπὸ τῶν φυσικῶν ἰδιωμάτων τοῦ Θεοῦ, καὶ ἐπὶ τὴν ὑπερώνυμον οὐσίαν ἀναγομένων, ᾗ φησιν ἡ θεολογία· οὐδὲ γὰρ καὶ περὶ τῶν ὑποστάσεων ἡμῖν ὁ λόγος κἀνταῦθα· πῶς οὖν ἐπὶ μὲν πάντων ἐκείνων τὸ ἑνιαῖον τηρεῖς, μίαν λέγων σοφίαν, μίαν ζωὴν, μίαν εἰρήνην, ἓν φῶς τὸν Θεὸν, ἐπὶ δὲ τῆς θεότητος μόνης, ἐπειδήπερ ἐκ τῆς οὐσιώδους αὐτῆς ἐνεργείας καὶ ἡ ἀνώνυμος οὐσία μεταλαμβάνει τοὔνομα, καθὰ δήπου καὶ ἐπ' ἐκείνων, δύο καὶ πολλὰς φαντάζῃ θεότητας, καὶ ἀναπλάττεις κακῶς τὰ μὴ ὄντα, τὰ μὲν ἀπαγορευόμενα καὶ ῥητῶς τῇ θεολογίᾳ συνάγειν φιλονεικῶν, τὰ δὲ πρεσβευόμενά τε καὶ κηρυττόμενα καὶ γραφόμενα πάσῃ σπουδῇ τὸ κατὰ σὲ διαγράφων; ὥσπερ ἂν εἰ καὶ τὴν ἀκτῖνα λεγόντων **B** ἀκούων ἥλιον, ἢ καὶ τὸν Υἱὸν μετὰ τοῦ Πατρὸς ἕνα Θεὸν, ταῦτα μὲν οὐδοτιοῦν παρεδέχου, διθεΐαν τε τῶν εἰπόντων, καὶ διττῶν φαντασίαν ἡλίων καταγινώσκων, αὐτὸς δὲ τὴν τῆς νυκτὸς συνάπτων σκιὰν τῷ λαμπρῷ τούτῳ τῆς ἡμέρας ὀφθαλμῷ, ἥλιον ἔλεγες ἀμφότερα μᾶλλον ἕνα, καὶ τῷ Θεῷ καὶ Πατρὶ τὸν πρωτότοκον Υἱὸν Ἰσραὴλ συντιθεὶς, ἕνα Θεὸν ἔλεγες εἶναι τοῦτον κἀκεῖνον. Ἕν τι καὶ γὰρ ἐγὼ καὶ ταυτὸν εἶναι νομίζω τὸ ταὐτά τε οἴεσθαι καὶ λέγειν, καὶ τὸ θεότητα κτιστὴν κατά τε Γρηγορᾶν καὶ Ἀκίνδυνον προσάγοντα τῇ ὑπερθέῳ οὐσίᾳ, ἕνα Θεὸν ἔπειτα καὶ μίαν θεότητα νομίζειν τὸν Θεὸν καὶ τὸ κτίσμα. Οὐκ ἐγὼ δὲ μόνον, ἀλλ' οἶδ' ὅτι καὶ τῶν εὖ φρονούντων ἕκαστος.

**C** Ἀλλὰ τῶν μὲν ἅλις· ὡς ἂν δὲ γνοίης ὅτι μὴ περὶ τῆς θεότητος μόνον τὰ προειρημένα φασὶν οἱ σοφοὶ ταύτης θεολόγοι καὶ ῥήτορες, οὐδὲ ταύτην εἶναι μόνην ἐνεργητικὴν, ὡς αὐτοί φασι, φωνὴν λέγουσιν, ἀλλὰ καὶ αὐτὴν τὴν *Θεὸς*, ὡσαύτως καὶ κατὰ ταὐτὰ δήπουθεν, ἄκουε δὴ καὶ τῶν ἑξῆς παρ' αὐτῶν ἐκείνων φημί. Φησὶ τοίνυν ὁ μὲν Νύσσης θεῖος Γρηγόριος πρὸς Εὐνόμιον γράφων, ὃ δὴ καὶ εἰπόντες ἔφθημεν, Ὁ Θεὸς ἐστι καθ' ἑαυτὸν, ὅ τι ποτὲ καὶ εἶναι πεπίστευται. Ὀνομάζεται δὲ παρὰ τῶν ἐπικαλουμένων οὐκ αὐτὸ ὅ ἐστιν, ἀλλ' ἐξ ὧν ἐνεργεῖν περὶ τὴν ζωὴν ἡμῶν πεπίστευται. Καὶ Θεὸν γὰρ αὐτὸν λέγοντες, τὸν ἔφορον καὶ ἐπόπτην καὶ διορατικὸν τῶν κεκρυμμένων ἐπινοοῦμεν. Καὶ πάλιν πρὸς τὸν αὐτὸν ὁ αὐτός· Ἀλλὰ καὶ τὴν *Θεὸς* φωνὴν ἐκ τῆς ἐποπτι- **D** κῆς ἐνεργείας κεκρατηκέναι κατελαβόμεθα· ὥστε καὶ διὰ τούτου μερικήν τινα τῆς θείας φύσεως ἐνέργειαν διδαχθέντες, τῆς οὐσίας αὐτῆς ἐν περινοίᾳ διὰ τῆς φωνῆς ταύτης οὐκ ἐγενόμεθα. Καὶ αὖθις πρὸς τὸν αὐτόν· Ὁ γὰρ τὴν δύναμιν παρασχὼν τοῖς οὖσι τοῦ εἶναι Θεὸς καὶ ἐπόπτης τῶν ὑπ' ἐκείνου γεγονότων ἐστί. Τῷ πρὸς Ἀβλάβιον ὁ αὐτὸς πάλιν, Τὸ *Θεὸς*, φησὶν, ὄνομα ἐνεργείας ἐστὶ δηλωτικόν. Παρὰ γὰρ τὸ θέειν πανταχοῦ ἢ θεᾶσθαι ἢ αἴθειν τὴν μοχθηρίαν ἠτυμολόγηται. Ἀναστάσιος δ' αὖθις ὁ ἐκ Σιναίου, Ὁσαχῶς, φησὶν, ἡ *Θεὸς* προσηγορία ἐν τῇ Γραφῇ εἴρηται; διττῶς, φύσει καὶ σχέσει· φύσει μὲν ὁ ποιητὴς, σχέσει δὲ καὶ χάριτι καὶ οἱ δίκαιοι λέγονται θεοί. Πρόδηλον δὲ, ὅτι ἐνεργητικὴ τυγχάνει ἡ *Θεὸς* προσηγορία, οὐχὶ δὲ οὐσιώδης. Οὐ γὰρ αὐτὴν τὴν τοῦ Θεοῦ οὐσίαν παρίστησιν· ἀδύνατον γὰρ ταύτην γνῶναι· ἀλλὰ μόνην τὴν θεωρητικὴν αὐτοῦ ἐνέργειαν ἡμῖν παρίστησι καὶ δηλοῖ τὸ *Θεός*. Ἰστέον, φησὶν, ὅτι αἱ δύο προσηγορίαι τοῦ Χριστοῦ, λέγω δὴ τὸ *Θεὸς* καὶ *ἄνθρωπος*, ἐνεργητικῶς λέγονται, ἐκ τῶν οἰκείων αὐτῶν ἐνεργειῶν οὕτως ὀνομασθεῖσαι. Καὶ γὰρ τὸ *Θεὸς* οὐ τὴν οὐσίαν τῆς θεότητος σημαίνει· ἀκατάληπτος γὰρ αὕτη καὶ ἀνώνυμός ἐστιν· ἀλλ' ἐκ τῆς θεωρητικῆς αὐτοῦ ἐνεργείας *Θεὸς* εἴρηται, ὡς φησιν ὁ ἅγιος Διονύσιος· ἢ ἐκ τοῦ θέειν, ἤγουν διατρέχειν, ἢ ἐκ τοῦ αἴθειν, ὅ ἐστι φλογίζειν. Ὁμοίως καὶ τὸ *ἄνθρωπος* οὐκ αὐτὴν τὴν φύσιν δηλοῖ, ἀλλὰ τὸ ἄνω ἀθρεῖν τὴν ὦπα, τουτέστιν ἄνω ὁρᾷν τὴν τῶν ὀφθαλμῶν ἡμῶν ἐνέργειαν. Εἰ οὖν καὶ αἱ δύο προσηγορίαι τῶν Χριστοῦ φύσεων ἐκ τῶν οἰκείων ἐνεργειῶν τὰ ὀνόματα ἔχουσι θάμβος τῆς τῶν αἱρετικῶν πωρώσεως, πῶς τὰς οὐσιώδεις αὐτοῦ ἐνεργείας ἀπαρνούμενοι οὐκ αἰσχύνονται; Οὐ μὴν ἀλλὰ καὶ Διονύσιος ὁ μέγας ἐκεῖνος ἐν θεολόγοις, ὃν δὴ καὶ ὁ θεοφόρος οὗτος εἰς μαρτυρίαν προΐσταται τῶν περὶ θεότητος ἑαυτοῦ λόγων, ἄλλα τε πλεῖστα περὶ τῶν τοιούτων φησὶ, καθὰ δὴ καὶ ἡμῖν ἐν τοῖς φθάσασιν εἴρηται, καὶ δὴ καὶ τὸ ἀοίδιμον ὄντως ἐκεῖνο· Εἰ τὴν ὑπερούσιον, καὶ γάρ φησι, κρυφιότητα Θεὸν, ἢ ζωὴν, ἢ οὐσίαν, ἢ φῶς, ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις, ἐκθεωτικὰς, ἢ οὐσιοποιοὺς, ἢ ζωογόνους, ἢ σοφοδώρους, καὶ ὅσα ἑξῆς ἀκολούθως ὡσαύτως εἴρηται τῷ μεγάλῳ τούτῳ. Ἐνταῦθα τί Γρηγορᾶς ἐρεῖ, καὶ ὁ πρὸς ἀθεΐαν καὶ ἀπώλειαν ὁδηγὸς αὐτοῦ καὶ πλάνος Ἀκίνδυνος; Ὄντως ἐματαιώθη καὶ τούτων ἡ ἀσύνετος καρδία, καθά φησι πάλαι πρὸς τοὺς τῶν Ἑλλήνων σοφοὺς ὁ Ἀπόστολος, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν· ἐπειδὴ καὶ οὗτοι τὴν τοῦ ἑνὸς καὶ μόνου Θεοῦ δόξαν κτισμάτων λατρείας καὶ πολυθεΐας καὶ ἀθεΐας κατ' ἐκείνους σχεδὸν ἠλλάξαντο. Ἰδοὺ γὰρ τὴν τῆς θεότητος ἐνταῦθα φωνὴν ἀφέντες οἱ θεολόγοι, καὶ πᾶν τῶν ἀντιλεγόντων ἀφελόντες παραπέτασμα καὶ σκιὰν, οἷς ἑαυτοὺς κατά γε τὰ τῶν ἑρπετῶν ἰοβόλα παραδύουσιν ἐκεῖνοι κακούργως, θεότητας ἀναπλάττοντες τὰς μὴ οὔσας, καὶ θεοποιοῦντες αἰσχρῶς ἑαυτοῖς τὰ κτίσματα, περὶ αὐτοῦ τοῦ Θεοῦ θεολογοῦσι ῥητῶς, ἀπὸ τῆς φωνῆς τῆς θεότητος ἐπὶ τὴν *Θεὸς* φωνὴν ἐπίτηδες ὥσπερ μεταθέντες τὸν λόγον. Τί οὖν, ὦ σοφοὶ, καὶ καθηγηταὶ τῆς κενῆς ταυτησὶ πίστεως ἢ ἀπωλείας; ἆρα κτιστὸς καὶ οὗτος ὁ Θεὸς, ὃν οἱ τῆς εὐσεβείας οὗτοι καθηγηταὶ θεολογοῦσιν ἐνταῦθα, ἐπειδὴ μὴ καταδέχονται πάντες ὁμοῦ, καθάπερ ἠκούσατε, τὴν θείαν οὐσίαν παραδηλοῦν τοὔνομα, τῆς δὲ φυσικῆς ἐνεργείας εἶναι τοῦ Θεοῦ μᾶλλον καὶ λέγεσθαι, ὃ δὴ καὶ ἐπὶ τῆς θεότητος φθάσαντες ἤδη πολλάκις εἶπον; Ἐπὶ μὲν οὖν τοῦ τῆς θεότητος ὀνόματος, ἐπειδὴ μὴ τὴν οὐσίαν αὐτὴν ἀλλὰ τὴν οὐσιώδη ταύτης ἐνέργειαν μᾶλλον εἶναι τοῦτ' εἶπον οἱ θεολόγοι διὰ πολλῶν, ἐκφεύγοντες αὐτοὶ τόν τε τῆς φυσικῆς ἐνεργείας τοῦ Θεοῦ λόγον ἐξίσης, καὶ τὸ κτιστὴν ὅθεν βλασφημῆσαι τοῦ Θεοῦ τὴν θεότητα, ἀπὸ

Digitized by Google

βοθύνου κακῶς εἰς βαθύτερον ἐξωλισθήσατε βόθρον, A οὐ μόνον κτιστὴν ἔχειν εἰπόντες θεότητα τὸν Θεὸν, ὅπερ φεύγειν προσεποιεῖσθε, ἀλλὰ καὶ δύο θεότητας δογματίσαντες αὐτὸν ἔχειν, μίαν μὲν ἄκτιστον τὴν οὐσίαν αὐτοῦ, δευτέραν δ' οὐκ οἶδα ποίαν καὶ ὅθεν, πλὴν, ὡς αὐτοί φατε, κτιστὴν, καὶ ἄθλιοι διδεῖται τῷ ὄντι καὶ πολύθεοι καὶ ἄθεοι γεγονότες, καὶ τῇ κτίσει διαῤῥήδην κελεύοντες λατρεύειν παρὰ τὸν κτίσαντα ἢ καὶ μετὰ τοῦ κτίσαντος, ὥς φατε. Ἐνταῦθα δὲ τί περὶ τοῦ Θεοῦ λέγετε; πότερον δύο εἰσὶ καθ' ὑμᾶς κἀνταῦθα θεοὶ, ὁ μὲν ἄκτιστος, ὁ δὲ κτιστὸς, ὃ δὴ καὶ ἐπὶ τῆς θεότητος ἔφητε, ἢ ὁ αὐτός τε καὶ εἷς Θεὸς τοτὲ μὲν ἐστιν ἄκτιστος, ποτὲ δὲ κτιστός; Ἑλοῦ, Γρηγορᾶ, τῶν ἀσεβειῶν ἣν ἂν ἐθέλῃς, ἐπειδὴ μὴ καὶ τὰς δύο διαφυγεῖν δυνατὸν, κατά γε τὰ σὰ δόγματα καὶ τὰς ὑποθέσεις φημί. B Ἢ γὰρ δύο δοξάσεις θεοὺς, τὸν μὲν ἄκτιστον, ὡς λέγεις, τὸν δὲ κτιστὸν, κατ' ἐκείνους δήπου, οὓς ὁ Ἑλληνικὸς ὕθλος ἀνέπλασε πάλαι δημιουργηθέντας ὑπὸ τοῦ ἑνὸς ἐκείνων καὶ πρώτου, ὃς καὶ πατὴρ ἀνδρῶν τε θεῶν τε παρὰ τῶν ἐν ἐκείνοις ποιητῶν τε καὶ μυθολόγων εἴρηται· ἢ τὸν αὐτὸν ἄκτιστόν τε ἅμα καὶ κτιστὸν δοξάσεις ὁμοῦ, νῦν μὲν τοῦτο, νῦν δ' ἐκεῖνο γιγνόμενον ἢ λεγόμενον, ἀλλόκοτόν τινα, καὶ τερατώδη καὶ φασματώδη, καὶ μηδὲ πλάσμασι γοῦν καὶ μύθοις ἐγνωσμένον ποτὲ, κατὰ τὸν παρ' ἐκείνοις ὕπατόν φημι τῶν θεῶν, ποτὲ μὲν εἰς κύκνον, ποτὲ δ' εἰς χρυσὸν, εἰς ταῦρον δ' αὖθις μεταβάλλοντα, καὶ δὴ καὶ τὰ παραπλήσια τούτοις ὅσα γε ὁ ἐν ἐκείνοις πάλαι διεθρύλλησε πλάνος, ὧν ὁ C σὸς κτιστοάκτιστος οὑτοσὶ Θεὸς ὑπερέχει τῇ καινοτομίᾳ καὶ καινοφωνίᾳ φημὶ, πολλῷ τινι καὶ καθ' ὑπερβολὴν τῷ μέσῳ. Ταῦτα καὶ τὰ τοιαῦτά σε ἡ τῶν μετεώρων ἐδίδαξε συχνὴ καὶ χρονία μελέτη, ἣν ἀστρονομίαν ἢ ἀστρολογίαν αὐτὸς φῂς μετὰ Χαλδαίων τε καὶ Περσῶν, καὶ οὐκ οἶδ' ὡντινωνοῦν ἄλλων· ταῦτα τῶν ἀστέρων οἱ δρόμοι καὶ αἱ σύνοδοι καὶ ἀποστάσεις, καὶ ὁ ἰσημερινὸς, καὶ ὁ τροπικὸς, καὶ ὁ ζωδιακὸς, καὶ αἱ ζῶναι, καὶ οἱ πλάνητες, καὶ αἱ σφαῖραι, καὶ οἱ ἀστρολάβοι, καὶ ὁ μακρὸς ἐκεῖνος καὶ ἀδιεξίτητος λῆρος καὶ κύκλος, ὃν παρὰ πᾶσαν ἔστρεφες τὴν ζωὴν, ἐμφιλοσοφῶν ἀφιλοσόφως, καὶ θύων μονονοὺ τοῖς μὴ οὖσι, καὶ τὰ μάταια κακῶς προσκυνῶν, ὑφ' ὧν ἐκτραχηλισθεὶς εἰς τέλος καὶ τὰς φρένας διαφθαρεὶς, ἄθλιε, καὶ αὐτὴν ἐπ' ἐσχάτων τὴν ἀληθινὴν εἰς Θεὸν πίστιν καὶ τὴν εὐσέβειαν φεῦ! ἠρνήσω, τῆς ἁπλότητος τοῦ Εὐαγγελίου καταπτύσας, καὶ τῆς ἐν Πνεύματι διδασκαλίας τῶν ἁλιέων καὶ σκηνοῤῥάφων, καὶ ἀγροίκων ἡμῶν κατορχησάμενος αἴσχιστα, καὶ κακὸν ἐντάφιον σεαυτῷ, καὶ στήλην δυσσεβείας καὶ ἀθεΐας τοὺς σοὺς καταλιπὼν τουτουσὶ λόγους τῇ Ἐκκλησίᾳ, στήλην ἀεὶ μὲν καθαιρουμένην τοῖς εὐσεβέσιν, ἀεὶ δὲ τοὺς ὑπὲρ δυσσεβείας καὶ ἀθεΐας στηλιτεύουσαν σοὺς ἀγῶνας καὶ δρόμους· καὶ τὸ δὴ χεῖρον ἔτι καὶ ἀτοπώτερον τούτων, ὅτι καὶ τοὺς ἐζωγρημένους καὶ πεπλανημένους κακῶς ὑπὸ σοῦ, καὶ τῶν σῶν τουτωνὶ λόγων, ἐμπύρευμά σοι καθαπερεὶ παραπέμπουσαν ἐκεῖσε τῆς ἡτοιμασμένης ἀτελευτήτου φλογὸς, ὃ δὴ καὶ δακρύων τίνων τε, καὶ ὅσων οὐκ ἄξιον; Εἶτα καὶ θεολογεῖν ἐτόλμησας ἐπὶ τούτοις, οἰκειότερον δ' εἰπεῖν μᾶλλον θεομαχεῖν, καὶ θεολόγοις ὁμοῦ πᾶσι καὶ θεοφόροις παλαιοῖς τε καὶ νέοις ἐπίτηδες κακῶς ἀντιλέγειν, οὐκ ἐξ ἀνθρωπείας διανοίας τε καὶ σοφίας, ἐξ ἐπιπνοίας δὲ μᾶλλον τοῦ ἐνοικοῦντος αὐτοῖς ἀγαθοῦ Πνεύματος, τὰ τῆς θεότητος αὐτοῦ μυηθεῖσιν, ὧν αἱ διδασκαλίαι καὶ οἱ λόγοι καὶ τὸ τῆς θεολογίας ὑπερφυὲς κράτος, ὧν ὁ φθόγγος εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν ἀποστολικῶς εἰπεῖν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα. Οἳ καὶ σὲ καὶ τοὺς σοὺς στηλιτεύοντες ἀξίως νυνὶ λόγους, τρόπαιον ἀνάγραπτον ἀναστήσουσι κατὰ τῆς σῆς βλασφημίας τε καὶ θεομαχίας, μηδενὶ μηδέποτε καθαιρούμενον εἰς αἰῶνας, μὴ λόγῳ, μὴ χρόνῳ, μὴ τρόπῳ τῶν πάντων ἐνὶ μηδενί. Λέγε τοιγαροῦν καὶ προστίθει καὶ τὰ ἑξῆς τοῦ τῆς βλασφημίας τε καὶ θεομαχίας αὖθις βιβλίου, ἵνα καὶ ἡμεῖς αὖθις ἐπιστήσωμεν αὐτοῖς ἢ ἀντιστήσωμεν τὰ τοῦ Πνεύματος ἔμψυχα ταῦτα πυκτία. Ὀργᾷ καὶ γὰρ αὐτοῖς ὁ λόγος ἔτι πρὸς ταῦτα.

# ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ ΦΙΛΟΣΟΦΟΝ ΓΡΗΓΟΡΑΝ

Ὅτι ἄσχετος καὶ ἀμίμητος ἡ θεία χάρις καὶ θέωσις τῇ ἀνθρωπείᾳ φύσει, εἰ καὶ Πνεύματι ἁγίῳ ἐν σχέσει καὶ μιμήσει γίνεται ἡ αὐτή· καὶ πῶς καὶ κατὰ τίνας τοὺς λόγους ὁ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐνέργειαι λέγονται τοῦ Πατρὸς παρὰ τῶν θεολόγων, καὶ αὖθις οὐκ ἐνέργειαι οἱ αὐτοί.

## ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ.

Ταῦτα καὶ τὰ τοιαῦτα κατὰ τῆς μιᾶς παντοδυνάμου καὶ ἀκτίστου θεότητος καὶ τῶν ταύτης ἱερῶν θεολόγων κακῶς πεφιλοσοφηκότι τῷ Γρηγορᾷ, καὶ αὖθις ὁ πλαστὸς ἐκεῖνος ὁμιλητὴς καὶ φίλος εἰσάγεται Ἀγαθάγγελος, λέγων ὡδί· Ἐπίλογόν τινα, φησὶ, τῷ τοῦ παρανόμου ἐκείνου τόμου κεφαλαίῳ τῳδὶ παρέχεται Παλαμᾶς· ὃν καὶ αὐτὸν οἱ αὐτοῦ μοι δε- D δώκασι θιασῶται, καὶ ἅμα τοῦ ἐν Θαβωρείῳ ἐκείνου μνησθέντες φωτὸς ὡς εἰώθεσαν, ὡς ἀμάχου τινὸς ἀκροπόλεως, καὶ πάνυ τοι σφόδρα πολεμίοις δυσαντιβλέπτου. Χρεὼν οὖν σοι μηδὲ ταῦτα τῆς ἀνηκούσης ὡς ποῤῥωτάτω λιπεῖν θεωρίας, τὴν ἀνήκουσαν καὶ τούτοις ἐῤῥαθυμηκότι παραδοῦναι τῆς ἀναλύσεως ἑορτήν. Καὶ μετ' ὀλίγον· ἔχει γὰρ οὑτωσί.

Digitized by Google

A Σχέσις ἐστί, φησί, καὶ ἡ τοῦ Θεοῦ πρόνοια πρὸς τὰ προνοούμενα, καὶ ἡ πρόγνωσις αὐτοῦ πρὸς τὰ προγινωσκόμενα, καὶ οἱ ἐξ ἀϊδίου ἐν τῷ Θεῷ προορισμοὶ πρὸς τὰ προοριζόμενα. Ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τὸ σχέσιν εἶναι πρὸς τὸ ἄκτιστον εἶναι. Ὥστ' οὐδ' ἡ θεοποιὸς δωρεὰ αὕτη ἡ θέωσίς ἐστι κτιστή, διότι σχέσις ἐστὶ πρὸς τὰ θεούμενα. Ἀλλ' ἐνταῦθα ὁ φιλόσοφος τὴν συνήθη κλοπὴν καὶ βωμολοχίαν οὐχ ὡς ἔθος αὐτῷ καὶ αὖθις ἐργάζεται· ἀλλὰ προκόψας κατὰ μικρὸν ἐπὶ τὸ χεῖρον, ὡς ἔοικε, καὶ πολὺ κρείττων αὐτὸς ἑαυτοῦ γεγονώς, κατ' αὐτὸ δὴ τοῦτό φημι, ἐπὶ τὸ μεῖζον πολλῷ καὶ ἀτοπώτερον ἐκεῖνα προάγει, ἓν τῶν προτεθειμένων ὑφελόμενος κεφαλαίων ἐξολοκλήρου σχεδὸν, καὶ πάσας ὁμοῦ τὰς ἐπ' αὐτῷ μαρτυρίας ἀποκρυψάμενος B τῶν ἁγίων, πολλάς τινας καὶ μεγάλας οὔσας· πλὴν ὅτι μὴ καὶ καθάπαξ ἀποκρύψαι καὶ ἀφανίᾳ παντελεῖ τὴν ὑπόθεσιν οὐκ οἶδ' ὅπως παραδοῦναι διέγνω, θείας οἶμαί πως δυνάμεως καὶ ἄκοντα τοῦτον συνωθούσης πρὸς ταῦτα, μήπου καὶ λάθῃ τελείως κατὰ τῆς ἀληθείας ταυτὶ κακουργῶν καὶ πονηρευόμενος. Διὸ καὶ ἡμᾶς ἄνωθεν ἀναλαβεῖν ἀναγκαῖον ἐκεῖνα, καὶ ὅπως ἔχει, σῶα καὶ ἀπαράτρωτα προσθεῖναι τῷ λόγῳ, τὸν ἱερὸν αὐτόν φημι τόμον ἐκεῖνον παραγαγόντας καὶ πάλιν. Ἐπὶ τούτοις φησίν, Ἐπειδὴ τὴν τοιαύτην δωρεὰν τοῦ παναγίου Πνεύματος καὶ ἐνέργειαν, δηλαδὴ τὴν θέωσιν, καθ' ἣν οἱ ἅγιοι θεοῦνται, θεότητα παρὰ τῶν ἁγίων προσαγορευομένην, οἱ τῷ Θεσσαλονίκης ἀντιλέγοντες λέγουσιν εἶναι θεότητα κτιστὴν, κατασκευάζοντες ἐκεῖθεν τοῦτο, ἐκ τοῦ C ὑποστάτην αὐτῆς εἰρῆσθαι παρὰ τοῦ μεγάλου Διονυσίου τὸν Θεὸν, καὶ μίμημα καλέσαι ταύτην καὶ τῶν μετεχόντων σχέσιν, δυσσεβῶς μὲν αὐτοὺς λέγειν ἀπεφήνατο ἡ ἱερὰ σύνοδος· ὅμως ζητηθέντος καὶ τούτου παρὰ τῆς θείας συνόδου, εἴπερ εἶπέ τις τῶν ἁγίων ἄκτιστον εἶναι τὴν θέωσιν, καὶ εἴπερ ἡ σχέσις καὶ τὸ μίμημα καὶ τὸ ὑπέστη, καὶ ἐπὶ τῶν ἀκτίστων λέγεται, προσεκομίσθησαν ῥήσεις τῶν ἁγίων, οὐκ ἀεὶ ἐπὶ τῶν κτιστῶν δηλοῦσαι λέγεσθαι ταῦτα.

Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν, Ὁ τετοκὼς βώλους δρόσου οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν ὑπεστήσατο. Κἀν τῷ πρώτῳ δὲ τῆς Ἑξαημέρου, Ἵνα δειχθῇ, φησὶν, ὅτι ὁ κόσμος τεχνικόν ἐστι κατασκεύασμα, προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτοῦ τὴν τοῦ D ποιήσαντος αὐτὸν σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινὶ φωνῇ ἐχρήσατο ὁ σοφὸς Μωϋσῆς περὶ αὐτοῦ, ἀλλ' εἶπεν, *Ἐν ἀρχῇ ἐποίησεν*, οὐχὶ ἐνήργησεν οὐδὲ ὑπέστησεν, ἀλλ' *ἐποίησε*. Καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὸν κόσμον, οὐχὶ γεγενῆσθαι παρ' αὐτοῦ συνεχώρησαν.

Συναπεδείχθη δὲ ἀπὸ τούτου, ὅτι καὶ τὸ ἐνεργεῖν καὶ τὸ ἐνεργεῖσθαι οὐ μόνον ἐπὶ κτιστῶν, ἀλλὰ καὶ ἐπὶ ἀϊδίων καὶ ἀκτίστων δύναται λέγεσθαι· ἐπεὶ καὶ τὴν χάριν ἐνεργουμένην ἀκούοντες οἱ διαφερόμενοι, κτιστὴν εὐθὺς εἶναι νομίζουσιν. Ὁ γὰρ μέγας ἐν θεολογίᾳ Γρηγόριος, Ἔστω, φησὶ, καὶ ἐνεργείας ὄνομα τὸ, *Πατὴρ*, εἰ τοῦτο δοκεῖ· οὐδὲ οὕτως ἡμᾶς αἱρήσετε. Αὐτὸ δὲ τοῦτο ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον. Καὶ ὁ Νύσσης δὲ θεῖος Γρηγόριος, Οὐ τρεῖς θεοὺς ὀνομάζειν, φησὶ, δυνάμεθα, τοὺς τὴν θεατικὴν καὶ ἐποπτικὴν ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας.

Περὶ δὲ τοῦ μιμήματος εἶπεν ὁ Θεσσαλονίκης, ὡς ὁ μέγας Διονύσιος τῷ μιμήματι τὸ ἀμίμητον προσέθηκεν· ὥστε τὸ θεοποιὸν δῶρον οὐ μᾶλλον μίμημα ἢ ἀμιμησία. Φησὶ δὲ καὶ ὁ Θεολόγος Γρηγόριος, μίμημα εἶναι τοῦ Πατρὸς τὸν Υἱὸν, γράφων ἐν τῷ δευτέρῳ τῶν περὶ Υἱοῦ, Εἰκὼν τοῦ Πατρὸς ὁ Υἱὸς, ὡς ὁμοούσιος· καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου Πατήρ. Αὕτη γὰρ εἰκόνος φύσις μίμημα εἶναι τοῦ ἀρχετύπου καὶ οὗ λέγεται· ὥστε τὸ μίμημα οὐκ ἐμποδίζει πρὸς τὸ ἄκτιστον εἶναι τὴν θέωσιν.

Ταύτην πᾶσαν ὁμοῦ τὴν ἱερὰν τῶν ἁγίων θεολογίαν, καὶ δὴ καὶ τὴν συνοδικὴν ἐπεξεργασίαν, ὡς μηδὲ ῥηθέντα μηδὲ τὴν ἀρχὴν ὄντα παραδραμὼν ὁ φιλόσοφος, τὸ ἑξῆς τοῦ λόγου τεμάχιον, ὥσπερ τῶν κυνιδίων τὰ τοῖς συσσιτίοις, καὶ ταῖς τραπέζαις ὡς ἐπιπολὺ παρεδρεύοντα, τῇ κλοπῇ παραμίξας τὴν ἀναισχυντίαν, καὶ ἀφαρπάσας ἰταμῶς κατ' ἐκεῖνα τῆς τραπέζης τοῦ λόγου, πρὸς ἀνατροπὴν ἑαυτῷ, οἰκειότερον δ' εἰπεῖν, σπάραγμα καὶ καταπάτημα μᾶλλον, ὃ δὴ καὶ φθάσας ὁ λόγος ἔφη, προτίθησι, λέγων ὡδί· Σχέσις δέ ἐστι καὶ ἡ τοῦ Θεοῦ πρόνοια πρὸς τὰ προνοούμενα, καὶ ἡ πρόγνωσις αὐτοῦ πρὸς τὰ προγινωσκόμενα, καὶ ὁ ἐξ ἀϊδίου ἐν τῷ Θεῷ προορισμὸς πρὸς τὰ προοριζόμενα. Ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τὸ σχέσιν εἶναι πρὸς τὸ ἄκτιστον εἶναι· ὥστε οὐδὲ ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος, αὐτὴ ἡ θέωσίς ἐστι κτιστὴ, διότι σχέσις ἐστὶ πρὸς τὰ θεούμενα.

Τοῦτο Γρηγορᾶς ἰταμῶς ἀφαρπάσας, καθάπερ ἔφην, ἐκ τῆς τραπέζης τοῦ λόγου, φεύγει κατὰ τοὺς κύνας ἐκείνους ὑποπτήσσων τοὺς ταῖς τραπέζαις ὡς ἔθος ἐφεστηκότας καὶ ὑπηρετουμένους, τὴν κατασκευὴν τῶν θεολογικῶν τε καὶ πατρικῶν καταλιπὼν λόγων, ὥσπερ δὴ καὶ τὸ πρότερον. Ἀλλ' ἡμᾶς ἐπαγαγεῖν ἀνάγκη κἀκεῖνα, καὶ τὸν ἡμέτερον λόγον κατασκευάσαι καὶ αὖθις διὰ τῶν πατρικῶν λόγων. Ἐπιφέρει τοιγαροῦν ὁ συνοδικὸς τόμος τὰ προῤῥηθέντα κατασκευάζων· Ὅτι γὰρ ἀκτιστός ἐστιν ἡ θέωσις, σαφῶς καὶ συντόμως παραστήσει καὶ ὁ θεῖος Μάξιμος, γράφων· Ἡ θεία χάρις εἰ καὶ ἀπόλαυσιν δίδωσι τοῖς κατὰ χάριν μετέχουσιν, ἀλλ' οὐ κατάληψιν. Μένει γὰρ κἀν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος, ὅτι κατὰ φύσιν ὡς ἀγέννητος ἔχει τὴν ἀπειρίαν. Καὶ πάλιν· Τοῦτό ἐστι τὸ τοῦ Θεοῦ Εὐαγγέλιον, πρεσβεία Θεοῦ πρὸς ἀνθρώπους δι' Υἱοῦ σαρκωθέντος, καὶ μισθὸν δωρουμένου τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν. Οὕτως ὁ κενὸς οὑτοσὶ φιλόσοφος καὶ λέγει καὶ διαλέγεται, καὶ ἀντιῤῥητικοὺς, ὡς αὐτὸς τερατεύεται, ξυντίθησι λόγους· ὃν οὐδ' ἔχω πῶς ὀνομάσω, εἴτε θαυματοποιόν τινα καὶ τερατοποιόν τε καὶ σοφιστὴν, καθάπερ τοὺς ἐπὶ τῶν θεάτρων φασὶ πάλαι, τὰς τῶν θεωμένων ὄψεις ὡς ἐπι-

Digitized by Google

πολὺ μαγγανείαις καὶ τερατείαις τισὶ σοφιζομένους καὶ κλέπτοντας, ἢ καὶ κατὰ τοὺς ἐπὶ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας κωμῳδοποιούς τε καὶ γελωτοποιοὺς αὖθις ἐκείνους, ἀλλότριά τινα προσωπεῖα καὶ σχήματα περιτιθέντας ἑαυτοῖς τὰ μὴ ὄντα πρός γε τὴν τῶν θεατῶν δηλαδὴ τέρψιν. Ἐκείνους καὶ γὰρ οἶμαι τοῦτον ἐν τοῖς ἑαυτοῦ λόγοις μιμεῖσθαι, κἀκεῖθεν τὸν φιλόσοφον ἐφελκύσασθαι τὴν ἀσχημοσύνην ταυτηνὶ καὶ τὴν τερατείαν, καὶ ταῦτα πρὸς τὸν τῆς ἱερᾶς Ἐκκλησίας καὶ τῶν ταύτης διδασκάλων τε καὶ θεολόγων διάλογον. Ἢ γὰρ οὐ τερατεία καὶ σοφιστεία, καὶ προσωπεῖον καὶ γέλως ἄντικρυς τὰ παρ' αὐτοῦ πρὸς Θεοῦ, λέγειν μὲν καὶ λογογραφεῖν καὶ ἀντιλέγειν δῆθεν προσποιουμένου, τὰ δ' ἀντιλεγόμενα καὶ τὰς ἱερὰς ἀποδείξεις τούτων σχεδὸν ὁμοῦ πάντ' ἐκ μέσου τιθέντος, εἶτα μετὰ πολλῆς τῆς ἀδείας ἅμα καὶ τῆς ἀναισχυντίας καὶ καθ' ἡμῶν τε καὶ τῆς κοινῆς Ἐκκλησίας βοῶντος, ὡς οὐδέν τι λέγομεν οὐδ' ἀποδείκνυμεν τῶν καιρίων, μᾶλλον μὲν οὖν, ὡς αὐτὸς ἀναιδῶς συκοφαντεῖ καὶ καταψεύδεται τοῦ λόγου τῆς ἀληθείας, καὶ τοὐναντίον ἅπαν ἀναποδείκτως λέγομέν τε καὶ γράφομεν, καὶ ὅσον εἰς ἀπάτην φέρει καὶ ψεῦδος; Καίτοι γε καὶ ὁ τῆς καθ' ἡμᾶς ἱερᾶς συνόδου τόμος, εἰ μὴ πρὸς γνῶσιν ἦλθεν αὐτῷ καὶ διάσκεψιν, μηδὲ τὰ παρ' αὐτοῦ προτεθέντα πρὸς ἀνατροπὴν ἑαυτῷ κεφάλαια ἐν χερσὶν ἀσφαλῶς εἶχεν, ὡς αὐτός φησιν ἑαυτὸν ἐξαπατῶν καὶ καταψευδόμενος κἀν τούτοις διὰ τοῦ ἰδίου Ἀγαθαγγέλου, οὐδ' οὕτως ἂν τὰς δικαίας ἐξέφυγε μέμψεις καὶ τὰς εὐθύνας ἐκείνοις κακῶς ἀντιλέγειν ἐπιχειρῶν, ὧν αὐτός, φησίν, οὐδαμῶς τὴν εἴδησιν ἔσχε, καὶ ταῦτ' ἐν τοῖς περὶ Θεοῦ καὶ τοῖς θείοις καὶ ὑψηλοῖς δόγμασι καὶ τοῖς λόγοις. Ἀλλὰ ψεῦδος καὶ ταῦτα καὶ ἀπάτη καὶ εἰρωνεία, καὶ οὐδὲν ὑγιές, τοῦ τῆς συνόδου καὶ τῆς ὑποθέσεως καὶ τῶν λόγων προκαθημένου τότε θαυμαστοῦ βασιλέως, ὃ δὴ καὶ προὔφην, μετὰ τὴν τῆς συνόδου διάλυσιν αἰτησαμένῳ τῷ διαλεκτικῷ τούτῳ δεδωκότος τὸν τόμον, ὡς ἐξεῖναι καὶ πολλάκις ἀναγινώσκειν, καὶ μελετᾷν καὶ σκέπτεσθαι καὶ μεταγράφειν τὰ αὐτοῦ μετὰ πολλῆς τῆς ἀδείας, ὃ δὴ καὶ πεποίηκεν, ἑνὸς μηδενὸς τοῦ κωλύοντος ὄντος.

Ἀλλὰ φέρε σκεψώμεθα καὶ αὖθις τὰς δοκούσας ἀντιλογίας αὐτοῦ, καὶ τὴν κατὰ τῆς ἀληθείας καὶ τοῦ κεφαλαίου τουτουὶ σκιαμαχίαν τε καὶ τὴν συνήθη συκοφαντίαν. Ἐξῆν δήπου κἀμοί, φησί, τὸν τοῦ ἀντιθέτου μιμησαμένῳ τρόπον, ἄνευ παντάπασιν ἀποδείξεως πάσης διὰ βραχέων ὁρίζεσθαι τόδε τι εἶναι καὶ μὴ εἶναι, καθάπερ τυραννικὰ θεσπίσματα καὶ ἀποφάνσεις βραχυσυλλάβους, καὶ οἵας Διονύσιος ὁ τῆς Σικελίας πάλαι Συρακουσίοις ἐπέταττε τύραννος. Καὶ πάλιν ὁρᾷς, τὸ ἐκείνου ἐνταῦθά φησι θέσπισμα, καὶ χωρὶς προτάσεων συμπέρασμα; Σχέσιν μὲν γὰρ καὶ αὐτὸς ὁμολογεῖ τὴν θέωσιν εἶναι καὶ θεοποιὸν δωρεὰν τοῦ Πνεύματος πρὸς τὰ θεούμενα· ἔπειτ' αὐτοκρατορικῶς οὑτοσὶ θεότητα συμπεραίνει καὶ ἀποφαίνεται ἄκτιστον. Διότι, φησί, καὶ ἡ τοῦ Θεοῦ πρόγνωσις πρὸς τὰ προγινωσκόμενα, σχέσις οὖσα, ἄκτιστός ἐστιν, ὅμοιον ὥσπερ ἂν εἰ

A ἔλεγεν, ὅτι ὁ ἵππος λογικόν, ὅτι καὶ ὁ βοῦς, δι' ἀδυνάτων συνάγων ἀδύνατα. Πόθεν γὰρ ταῦτα, καὶ πρὸς τίνος ἐνδόσιμον εἴληφεν, ἢ θεογραφικῆς ὑφηγήσεως ἢ τεχνικῆς ἐπιστήμης τῶν ἔξω σοφῶν, ἐξ ὧν καὶ τοῖς θείοις Πατράσιν ὁ τῆς γλώττης ῥυθμός; ἢ πάντως οὐδ' ὁθενοῦν. Ἀνάγκη τοίνυν φησὶν ἡμᾶς περὶ σχέσεως πρῶτον εἰπεῖν τί ἐστι, καὶ ὑπὸ ποίαν κατηγορίαν ἀνάγεται γενικῶς.

Οὐκ ἄρα μόνον ἐν τοῖς φθάσασιν ὁ λόγος ἡμῖν καὶ ψεύστην καὶ συκοφάντην καὶ σοφιστὴν καὶ τερατολόγον καὶ γελοιαστὴν τὸν καινὸν ἔλεγε φιλόσοφον τουτονί· μᾶλλον δὲ πρὸς τοῖς εἰρημένοις καὶ δυσσεβής τε καὶ θεομάχος οὐδὲν ἧττον καὶ νῦν ἀναπέφανται, νῦν μὲν τὰ θεῖα καὶ ὑπερφυᾶ κωμῳδῶν καὶ χλευάζων, νῦν δὲ καὶ τῇ μεμωραμμένῃ σοφίᾳ καὶ
B τοῖς τῶν ἔξω ματαίοις λογισμοῖς τε καὶ λόγοις ἀφρόνως τε καὶ ἀμαθῶς ὑπάγειν πειρώμενος τὸ τοῦ Χριστοῦ σεπτὸν Εὐαγγέλιον, πίστει καὶ χάριτι κηρυχθέν τε καὶ βεβαιωθὲν μόνῃ, μηδὲ τοῦ ἐξαιρέτου τῶν ἀποστόλων τε καὶ κηρύκων ἐκείνου, Παύλου φημὶ τοῦ μεγάλου, θέλων ἀκούειν, *Ὁ λόγος μου καὶ τὸ κήρυγμά μου*, λέγοντος, *οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως. Οὐχὶ ἐμώρανε γάρ*, φησίν, *ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου*; καὶ πάλιν· *Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ*. Ὁ δὲ τῆς μεμωραμμένης καὶ κατῃσχυμμένης καὶ καταργηθείσης σοφίας οὑτοσὶ φίλος, τοὺς τῆς ἀληθινῆς τε
C καὶ ὄντως σοφίας μαθητάς τε καὶ φίλους καὶ διδασκάλους καὶ κήρυκας αὖθις ἐκείνης, τοὺς πίστει καὶ πείρᾳ καὶ δυνάμει Πνεύματος ἐκμελετήσαντας ἐκεῖνα, καὶ παθόντας ὁμοῦ καὶ μαθόντας, ὡς μηδὲ τὴν ἀρχὴν περὶ τούτων εἰπόντας, μηδὲ ὄντας τὸ καθ' ἑαυτὸν παρωσάμενος ὁμοῦ πάντας, ἐπὶ τὰς Ἀριστοτελικὰς κατηγορίας τὴν Χριστοῦ Ἐκκλησίαν αὖθις καλεῖ, ἵνα μάθωμεν, φησίν, ὑπὸ ποίαν κατηγορίαν ἀνάγεται γενικῶς ἡ σχέσις, καὶ διὰ τῶν ἐπιστημονικῶν, ὡς αὐτός φησι, λόγων ἐκείνων τὰ τοῦ πάντων Θεοῦ διδαχθῶμεν μυστήρια. Μάταιος καὶ νεκρὸς ὄντως ὁ περὶ τῶν ζώντων ἐρωτῶν τὰ νεκρά, κατὰ τὸν μέγαν εἰπεῖν Ἡσαΐαν, οὐκ εἰδὼς ὡς ἐπὶ τοῦ Θεοῦ, κατά γε τοὺς ἐμοὺς καὶ αὖθις εἰπεῖν θεολόγους, καὶ τὰ ἄκρως ἐναντία καὶ τὰ κατὰ
D φύσιν ἀλλήλοις μαχόμενα, καὶ συνέρχεται, καὶ σπένδεται ἀλλήλοις ὑπὲρ πάντα λόγον καὶ νοῦν· ὥσπερ τῷ ὄντι φημὶ τὸ μὴ ὄν, καὶ τῷ σοφῷ τὸ ἄσοφον, καὶ τῷ δυνατῷ τὸ ἀδύνατον, καὶ τῷ φωτὶ τὸ σκότος, κατὰ τὴν καταφατικὴν δηλονότι καὶ ἀποφατικὴν θεολογίαν, οὕτω δὴ καὶ τῷ ἀσχέτῳ τε καὶ ἀλήπτῳ ἡ σχέσις ἐξ ἀντιστρόφου καὶ τὸ ληπτόν, μᾶλλον δ' ἀναγκαῖον μικρὸν ἄνωθεν καὶ πάλιν ἀναλαβεῖν, καὶ σαφηνίσαι τὸν αὐτὸν λόγον.

Πρόθεσις ἦν ἐνταῦθα τῇ συνόδῳ καὶ τῷ κατ' αὐτὴν ἱερῷ τόμῳ, καθὰ δὴ καὶ πρὸ βραχέος εἰπόντες ἔφθησαν, τὸ δεῖξαι τὴν θεοποιὸν ἐνέργειάν τε καὶ θέωσιν, θεότητα πρὸς τῶν θεολόγων πολλαχοῦ λεγομένην τῶν αὐτῶν λόγων, οὐδὲ τοὺς τὰ Βαρλαάμ τε καὶ Ἀκινδύνου φρονοῦντας ἀρνεῖσθαι δύνασθαι

Digitized by Google

ταυτην, ὅσον ἐπί γε τῇ προφορᾷ καὶ τῇ λέξει τέως φημὶ, εἰς κτίσμα γε μὴν καὶ αὖθις ἐπιχειρεῖν κατασπᾷν ἀθέως. Ἐπειδὴ, φησὶ Διονύσιος ὁ τῶν τοιούτων ἱερὸς καθηγητής τε καὶ θεολόγος, μίμημα καὶ σχέσιν ταύτην προσεῖπεν εἶναι τὴν θέωσιν. Καὶ τοιόνδε μὲν τὸ προτεθὲν τῇ συνόδῳ κεφάλαιον, ἐν τῶν ἑπτὰ πεφηνὸς ἐκείνων, ἅπερ ἐκ τοῦ τόμου φθάσας εἴληφε Γρηγορᾶς, ὡς αὐτὸς ἐκεῖνός φησι, καὶ τοιαύτη παρὰ τῆς αὐτοῦ συμμορίας ἡ κατὰ τοῦ κεφαλαίου γραφὴ, ἣν καὶ πρὸς ἀνάγκης ἦν δήπουθεν τῇ συνόδῳ τε καὶ τῷ τόμῳ λύειν. Καὶ δὴ σκοπεῖν ἀξιῶ τάς τε προτάσεις καὶ τὸ συμπέρασμα τῶν λογοποιῶν τε καὶ σοφιστῶν τούτων, καὶ δὴ καὶ τὴν εὐθεῖαν καὶ ἀπλανῆ τῆς συνόδου λύσιν. Οἱ μὲν γὰρ τὴν μὲν ἐλάττονα τῶν προτάσεων, ὥς φασιν, ἐκ τοῦ θείου Διονυσίου λαβόντες, μίμημα καὶ σχέσιν προσειρηκότος τὴν θεοποιὸν δωρεὰν τοῦ Πνεύματος καὶ ἐνέργειαν, παρὰ δὲ σφῶν αὐτῶν μετὰ πολλῆς τῆς ἀδείας εἰσενεγκόντες τὴν μείζονα, οὐδὲ γὰρ ἔχουσιν ἐκ τῶν θεολόγων δεῖξαι τὸ μίμημα, καὶ τὴν σχέσιν ἐπὶ Θεοῦ κτίσματα ῥηθέντα ποτὲ, εἰ μή που τοὺς τῶν Ἑλλήνων σοφοὺς, ὥς φησιν ὁ φιλόσοφος οὗτος, τυραννικῶς ἐπεισενέγκοι τῇ θείᾳ φιλοσοφίᾳ. Καὶ πάλιν, ὃ δὴ καὶ πεποιηκὼς, οὐ κτίσμα μόνον, ἀλλὰ καὶ ἀνύπαρκτον καὶ μὴ ὂν ἀποδεικνύειν ἐπιχειρεῖ ταῦτα, τὴν γοῦν μείζονα τῶν προτάσεων, ὡς ἔφην, κάκιστα λαβόντες παρ' ἑαυτῶν ψευδῆ τε προφανῶς καὶ μηδαμῶς πρὸς τοὺς ἱεροὺς βλέπουσαν λόγους, οὐ ψευδὲς μόνον, ἀλλὰ καὶ δυσσεβές τε καὶ ἄθεον ἐπήγαγον τὸ συμπέρασμα, κτιστὴν ἀποφηνάμενοι τὴν θεότητα τοῦ Θεοῦ. Ἡ δὲ καθ' ἡμᾶς ἱερὰ τοῦ Χριστοῦ σύνοδος τὴν μὲν ἑτέραν τῶν προτάσεων, οὐ κατὰ τοὺς συκοφάντας φημὶ τούτους, ἀλλὰ κατὰ τὴν ἱερὰν δεξαμένη θεολογίαν, ἀμίμητον γὰρ μίμημα, καὶ σχέσιν ἄσχετον οἱ θεολόγοι ταύτην φασὶ, τὴν δ' ἑτέραν ὡς νόθον τε καὶ ψευδῆ, καὶ τῆς ἱερᾶς θεολογίας ἐξόριστον ἀποῤῥίψασα, οὐδαμοῦ καὶ γὰρ ἐκείνη τὴν τοιαύτην θεοπρεπῆ σχέσιν τε καὶ μίμησιν οἶδε κτιστὴν, πολλοῦ γε δεῖ, καὶ ἀνύπαρκτον καὶ μὴ οὖσαν, κατὰ Γρηγορᾶν φημι τουτονὶ, καὶ ψευδὲς ἅμα καὶ δυσσεβές τε καὶ ἄθεον τὸ τούτων συμπέρασμα, καθὰ δὴ καὶ προὔφην, λαμπρῶς ἀπέδειξαν· λέγω δὴ τὸ κτίσμα κατ' ἐκείνους συνάγον τὴν θεοποιὸν τοῦ Πνεύματος δωρεάν τε καὶ χάριν τὴν ἱερὰν θέωσιν, αὐτήν φημι τὴν καθ' ὕπαρξιν θεότητα τοῦ Θεοῦ, καθ' ἣν ὁ μόνος κατὰ φύσιν Θεὸς τοὺς πολλοὺς κατὰ χάριν τούτους θεοὺς ὑπὲρ φύσιν ἐργάζεται, καὶ αἱ τούτων ἀποδείξεις οὐ λίαν ἀξιόπιστοι καὶ θεοπρεπεῖς. Οὔτε γὰρ ἀποφάνσεις οἱονεὶ καὶ τυραννικὰ καὶ Σικελικὰ θεσπίσματα κατὰ τὸν ἄπληστον συκοφάντην φημὶ τῶν ἁγίων τοῦτον, οὔτ' ἐκ τῆς καταργουμένης ἐκεῖνα καὶ μεμωραμμένης ἁπλῶς τῶν ἔξω σοφίας, ἀλλ' ἐξ αὐτῶν δηλαδὴ τῶν θεολήπτων Πατέρων καὶ θεολόγων, Διονυσίου τέ φημι καὶ Γρηγορίων ὁμοῦ τῶν σοφῶν, καὶ σὺν ἐκείνοις καὶ μετ' ἐκείνους Μαξίμου τοῦ τῆς θεολογίας τε καὶ ὁμολογίας στεῤῥοῦ στύλου, οὐ καθ' ὑπεροχὴν λόγου τε καὶ σοφίας ἀνθρωπίνης κατὰ τὸν κοινόν φημι διδάσκαλον Παῦλον, ἀλλ' ἐν ἀποδείξει καὶ

A δυνάμει Πνεύματος θείου παθόντων ἐμοῦ καὶ μαθόντων, καὶ δὴ καὶ δειξάντων ἐκεῖνα καλῶς. Οὓς ὁ μὲν φιλόσοφος Γρηγορᾶς ἀφανείᾳ καὶ σιγῇ παντελεῖ δεδωκὼς, μετὰ τῆς θείας καὶ ὑψηλῆς ἐκείνης θεολογίας, ἅτε δὴ καὶ μηδὲ ἀντιβλέψαι δυνηθεὶς πρὸς τὰς θείας ἐκείνας ἀκτῖνας, ὥσπερ οὐδ' αἱ γλαῦκες αὗται καὶ οἱ ἀσπάλακες πρὸς τὰς αἰσθητὰς τοῦ ἡλίου μαρμαρυγὰς, ἔπειτα καὶ ἀναισχυντεῖν καὶ ἐπανίστασθαι τῇ τε καθ' ἡμᾶς ἱερᾷ συνόδῳ, καὶ τῷ ταύτης θεοειδεῖ τόμῳ οὐ μάλα ὁ ἀναιδὴς αἰδεῖται, οὐδὲ ἐρυθριᾷ· ἡμεῖς δὲ καὶ μάλα τρανῶς καὶ διὰ πολλῶν ἐδείξαμεν ἤδη θεολογοῦντας ἐκείνους οὐ μόνον ἄσχετον καὶ ἀμίμητον οὖσαν τὴν μίμησιν, καὶ τὴν σχέσιν ἐκείνην, ὡς μὴ μᾶλλον μίμημα καὶ σχέσιν ἢ ἀμίμητόν τε καὶ ἄσχετον πεφυκυῖαν, ὡς ὑπὲρ τοῦτό B τε κἀκεῖνο κατὰ φύσιν οὖσαν, καὶ ὅτι τὸ μίμημα, καὶ δὴ καὶ τὸ ἐνεργεῖν ἅμα καὶ ἐνεργεῖσθαι, τοσαύτην κἀπὶ τῶν θείων τε καὶ ἀκτίστων ἴσχουσι χώραν, ὡς τὸ μὲν καὶ ἐπ' αὐτοῦ τοῦ Μονογενοῦς ἀσφαλῶς ἐκείνοις εἰρῆσθαι, Εἰ αὕτη καὶ γὰρ, φησὶν, εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, τὸ δὲ τῆς ἐνεργείας ὄνομα καὶ πρὸς τὴν πατρικὴν ὑπόστασιν κατὰ τῶν Ἀρειανῶν ἐνστατικῶς ἀναχθῆναι τότε. Ἔστω καὶ γὰρ, φησὶ, τὸ *Πατὴρ* καὶ ἐνεργείας ὄνομα κατὰ τὸν ὑμέτερον λόγον· οὐδ' οὕτως ἡμᾶς αἱρήσετε. Αὐτὸ δὲ τοῦτο ἐνηργηκὸς ἂν εἴη τὸ ὁμοούσιον. Καὶ τἄλλα σὺν τούτοις φημὶ, ὅσα δὴ περὶ τῶν αὐτῶν ὡσαύτως οἱ ῥηθέντες οὗτοι θεολόγοι φθάσαντες ἐκδιδάσκουσιν. Οὐ μόνον τοιγαροῦν ταῦτα C καὶ τὰ τοιαῦτα τοὺς κοινοὺς τῆς Ἐκκλησίας Πατέρας καὶ διδασκάλους λαμπρῶς τεθεολογηκότας καὶ ἡμῖν ὁ λόγος, ὅπερ ἔφην, ὑπέδειξεν, ἀλλὰ καὶ ῥητῶς οὑτωσὶ τὴν θεοποιὸν τοῦ Πνεύματος χάριν, τὴν ὑπερφυᾶ τῶν θεουμένων ἐκθέωσιν ἄκτιστον καὶ ἄναρχον κατὰ χρόνον εἰπόντας, ὡς ἀγένητόν τε καὶ ἄπειρον οὖσαν, καὶ φυσικὸν ἰδίωμα τοῦ Θεοῦ. Μένει καὶ γὰρ, φησὶν ὁ θεοφόρος Μάξιμος, κἂν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος· ὅτι κατὰ φύσιν ὡς ἀγένητος ἔχει τὴν ἀπειρίαν. Καὶ τοῦτό φησιν ὁ αὐτὸς εἶναι τὸ τοῦ Θεοῦ Εὐαγγέλιον, τὸ διὰ τοῦ σαρκωθέντος Υἱοῦ μισθὸν δεδωρῆσθαι τοῖς πειθομένοις αὐτῷ τὴν ἀγέννητον θέωσιν. Ὧ δὴ καὶ προσγράφων ἔξωθεν ὡς ἔθος αὐτῷ, Ἀγένητον λέγω, φησὶ, θέωσιν τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, D ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν.

Τούτοις δ' ὁ Γρηγορᾶς καὶ καθ' ὑπερβολὴν, ὡς ἔοικε, δυσχεραίνων καὶ παθαινόμενος, ἅτε δὴ μὴ ταῖς κατηγορίαις καὶ τῇ ματαίᾳ τούτου σοφίᾳ πεφυκόσι συμβαίνειν, πίστει καὶ πείρᾳ γινωσκομένοις μόνον, ὃ δὴ καὶ πολλάκις εἰπόντες ἔφθημεν, οὔτοι γε λόγοις ἀνθρωπίνοις καὶ ἀποδείξεσιν, οὐ μόνον ἀφανείᾳ καὶ σιγῇ κρύπτει, καθὰ δὴ καὶ προὔφην, ἀλλὰ καὶ τὴν κατ' ἐκείνων μανίαν τε καὶ τὴν ὕβριν μετὰ πολλῆς τῆς ἀναισχυντίας ὁμοῦ καὶ τῆς συκοφαντίας ἡμῖν ἐπιφέρει ἀναποδείκτως ἡμᾶς δογματίζειν λέγων, καὶ καθαπερεί τινα τυραννικὰ θεσπίσματα καὶ ἀποφάνσεις ταῦτα προφέρειν. Αὐτοὶ καὶ γάρ εἰσιν, οὐχ ἡμεῖς, εἰ καὶ ἡμεῖς ἕτερον τρόπον ὡς μαθηταὶ

Digitized by Google

σὺν ἐκείνοις, οἱ τὰ θεῖα ταῦτα καὶ ὑψηλὰ θείῳ δηλαδὴ φθεγγόμενοι Πνεύματι. Οἳ δὴ καὶ πλατύτερον περὶ τῶν αὐτῶν δι' ἡμῶν ὡσαύτως καὶ αὖθις ἐροῦσιν αὐτίκα, ἵνα καὶ μᾶλλον ἀλγῇ Γρηγορᾶς, καὶ εἴ τις, φημὶ, κατ' αὐτὸν ἕτερος ἀνιάτως ἔχων. Μάξιμος τοίνυν ὁ μέγας, καὶ πάλιν τινὰ τῶν θεολογικῶν ὡς ἔθος ἐκείνῳ ῥητῶν ἐξηγούμενος, Ὁ διὰ πάντων, φησὶν, ὑπήκοος Θεῷ γενόμενος ἄνθρωπος οὔτε κατὰ φύσιν οὔτε κατὰ σχέσιν ἔχει τὸ εἶναι, ἢ καλεῖσθαι θεὸς, ἀλλὰ κατὰ θέσιν καὶ χάριν γίνεταί τε καὶ ὀνομάζεται. Ἡ γὰρ χάρις τῆς θεώσεως ἄσχετός ἐστι παντάπασιν, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν· ἐπεὶ οὐκέτι χάρις ἐστὶν, ἀλλὰ τῆς κατὰ τὴν φυσικὴν δύναμιν ἐνεργείας φανέρωσις. Καὶ οὕτω γε πάλιν οὐκ ἔστι παράδοξον τὸ γινόμενον, εἰ κατὰ δεκτικὴν δύναμιν φύσεως ἡ θέωσις ἦν· φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ' οὐ Θεοῦ δῶρον ἡ θέωσις ἔσται. Καὶ δυνήσεται καὶ φύσει Θεὸς ὁ τοιοῦτος εἶναι, καὶ κυρίως προσαγορεύεσθαι· οὐδὲ γὰρ ἄλλο καθέστηκεν ἡ κατὰ φύσιν ἑκάστου τῶν ὄντων δύναμις ἢ φύσεως πρὸς ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δὲ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον ἡ θέωσις, εἰ τοῖς ὅροις τῆς φύσεως αὐτὴ περιείληπται, συνιδεῖν οὐκ ἔχω. Ἐρωτητέον ἐνταῦθα δὴ τοὺς περὶ τὸν φιλόσοφον Γρηγορᾶν, τί περὶ τῆς θεοποιοῦ τοῦ Πνεύματος δωρεᾶς τε καὶ χάριτος καὶ θεώσεως ἐκ τῶν ῥηθέντων τούτων τοῖς θεολόγοις Πατράσι συνάγουσιν. Ἡ μὲν γὰρ καθ' ἡμᾶς ἱερὰ σύνοδος, πρὸς τὴν ἔνστασιν αὐτῶν ἱσταμένη τότε, ἀπὸ τῆς μιμήσεώς τε καὶ σχέσεως κτίσμα ψευδῶς τε καὶ δυσσεβῶς, ὡς εἴρηται, συναγόντων τὴν τοῦ Θεοῦ θεότητα καὶ τὴν θέωσιν, οὐ δι' ἀδυνάτων ἀδύνατα συνῆξε, καθά φησι Γρηγορᾶς, γελωτοποιῶν, καὶ τὸν βοῦν ἑαυτῷ καὶ τὸν ὄνον ἀξίως ἑαυτοῦ ἐπεισάγων· ἀλλὰ διὰ τῶν καὶ τοῖς ἐχθροῖς τε καὶ δυσσεβέσι γνωρίμων τὰ τοῖς κατ' ἀλήθειαν εὐσεβέσι καὶ πιστοῖς ἀνωμολογημένα πᾶσι καλῶς ὑπέδειξε, Σχέσις ἐστὶν, εἰποῦσα, καὶ ἡ τοῦ Θεοῦ πρόνοια πρὸς τὰ προνοούμενα, καὶ ἡ πρόγνωσις αὐτοῦ πρὸς τὰ προγινωσκόμενα, καὶ οἱ ἐξ ἀϊδίου ἐν τῷ Θεῷ προορισμοὶ πρὸς τὰ προοριζόμενα. Ἀλλ' ἑκάστῳ τούτων οὐκ ἐμπόδιόν ἐστι τὸ σχέσιν εἶναι πρὸς τὸ ἄκτιστον εἶναι. Ὥστε οὐδὲ ἡ θεοποιὸς δωρεὰ τοῦ Πνεύματος, αὐτὴ ἡ θέωσίς ἐστι κτιστὴ, διότι σχέσις ἐστὶ πρὸς τὰ θεούμενα.

Καὶ ταῦτα μὲν ἡ σύνοδος καὶ ὁ ταύτης ἱερὸς τόμος, κατ' ἀντιπαράστασιν προάγοντες τὴν ἑαυτοῦ καὶ τὴν περὶ σχέσεως καὶ μιμήσεως τέως ἐκείνων πρότασιν, καὶ τὴν ἀπορίαν λύοντες· οἱ δὲ θεολόγοι Πατέρες οὗτοι, καθάπερ ἀκούομεν, οὐ μόνον ἀγένητον καὶ ἄπειρον, καὶ ἀκατάληπτον ταύτην φασὶν, ὡς Θεοῦ δηλονότι φυσικὸν ἰδίωμα, ἀλλὰ καὶ πρὸς τὴν σχέσιν καὶ τὴν φυσικὴν ἕξιν, καὶ τὴν κατάληψιν αὐτῆς ἰσχυρῶς ἐνίστανται. Ἄσχετος καὶ γὰρ, φησὶν ὁ θεόληπτος Μάξιμος μετὰ Γρηγορίου δηλαδὴ τοῦ πάνυ, τὰ γὰρ ἐκείνου διερμηνεύει φιλοσοφῶν, ἄσχετος τοίνυν ἐστὶ παντάπασιν ἡ τῆς θεώσεως, φησὶ, χάρις, οὐκ ἔχουσα τὴν οἱανοῦν δεκτικὴν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν. Καὶ πάλιν· Εἰ κατὰ δεκτικὴν δύναμιν φύσεως ἡ θέωσις ἦν, φύσεως ἂν εἰκότως ἔργον ἦν, ἀλλ' οὐ Θεοῦ δῶρον. Καὶ αὖθις· Οὐκ ἔχομεν, φησὶ, φύσει δεκτικὴν τῆς θεώσεως δύναμιν· καὶ ὅτι τοῦ ὑπὲρ φύσιν ἡ φύσις καταληπτικὴν οὐ κέκτηται δύναμιν· καὶ ὅσα δὴ φθάσαντες πρὸ βραχέος οἱ θεολόγοι παραπλησίως τούτοις εἰρήκασι κατ' ἔνστασιν, ὅπερ εἶπον, τὴν σχέσιν καθάπαξ ἀπαγορεύοντες ἐπὶ τῆς θεώσεως. Τί οὖν φασιν οἱ περὶ Γρηγορᾶν πρὸς ταῦτα; Ἐπειδὴ γὰρ τὴν τῆς καθ' ἡμᾶς συνόδου γνώμην, καὶ τὸν ἱερὸν οὐ παραδέχονται τόμον, τῇ μιμήσει ξυντιθέντας τὸ ἀμίμητον, καὶ τῇ σχέσει τὸ ἄσχετον, μετὰ Διονυσίου φημὶ τοῦ σοφοῦ, ἀλλὰ καὶ μακράν τινα καὶ ἀπαίδευτον τὴν εἰρωνείαν αὐτῶν καταχέουσιν, ὡς δι' ἀδυνάτων δῆθεν ἀδύνατα συναγόντων, ἀπολογείσθωσαν αὐτοὶ καὶ συλλογιζέσθωσαν, καὶ τὰ οἰκεῖα συμπερανέτωσαν, εἴ γε δύναιντο, πρὸς τὰς τῶν θεολόγων ἱστάμενοι τούτων ἐνστάσεις, ἄσχετον καθάπαξ θεολογούντων τὴν θεοποιὸν τοῦ Πνεύματος δωρεάν τε καὶ θέωσιν. Οὐκέτι καὶ γὰρ ἐγὼ πρὸς Γρηγορᾶν τουτονὶ καὶ τοὺς κατ' αὐτὸν περὶ τοῦ ἀκτίστου τε καὶ τοῦ κτιστοῦ κατ' αὐτοὺς τῆς θεώσεως ποιοῦμαι τὸν λόγον, ῥητῶς διὰ πολλῶν ἀποφανθέντος τοῦ ταύτης ἀκτίστου παρὰ τῶν σεπτῶν τουτωνὶ θεολόγων, ἀλλὰ περὶ τῆς σχέσεως τέως καὶ τῆς μιμήσεως, ἐξ ὧν αὐτοὶ συνήγαγον καὶ τὸ κτίσμα κακῶς. Ἰδοὺ γὰρ ἄσχετος πάντη καὶ ἀκατάληπτος, καὶ δεκτικὴν οὐδαμῶς εὑρίσκουσα δύναμιν ἡ θέωσις ἐν τῇ ἀνθρωπείᾳ φύσει, οἱ τεθεωμένοι θεολόγοι φασὶν οὗτοι. Φράζε τοιγαροῦν, Γρηγορᾶ, ἵνα καὶ αὖθις προσείπω σε κατὰ σέ. Σχέσιν αὐτὴν, φησὶ, καὶ μίμησιν ὁ τῶν θεολόγων ἄκρος προσείρηκε Διονύσιος, καὶ τοῦτο δὴ καὶ αὐτός φημι σὺν ἐκείνῳ. Ἀλλ' οὐ σὺν ἐκείνῳ γε τοῦτο, βέλτιστε, φῄς. Ἦ γὰρ ἂν σὺν ἐκείνῳ λέγων καὶ ἀμίμητον καὶ ἄσχετον ἔλεγες κατ' ἐκεῖνον. Καὶ πῶς οἷόν τε, φησὶ, καὶ τοῦτο κἀκεῖνο; Εἰ μὲν γὰρ ἄσχετος, οὐ σχέσις· εἰ δὲ σχέσις, οὐκ ἄσχετος. Οὐδὲ γὰρ οἷόν τε, φησὶ, τὴν ἀντίφασιν συμφωνεῖν ἑαυτῇ. Εἰς τὰς προτέρας καὶ πάλιν ἀπορίας ἐμπέπτωκεν ὁ φιλόσοφος. Ὅπερ καὶ γὰρ ἐκεῖ περὶ τῆς καθόλου θείας ἐνεργείας πέπονθε, τὸν αὐτὸν ἐπιδέχεσθαι λόγον ἀκούσας αὐτὸν πρὸς τῶν θεολόγων τῇ θείᾳ φύσει, καὶ αὖθις οὐ τὸν αὐτὸν, τοῦτο δὴ κἀνταῦθα περὶ τῆς θεοποιοῦ ἐνεργείας καὶ χάριτος, καὶ σχέσιν τὴν αὐτὴν παρὰ τῶν ἁγίων ἀκούων καὶ ἄσχετον. Τοιαῦτα καὶ γὰρ τὰ τῶν θυμοσόφων καὶ ψευδοσόφων τουτωνὶ τοῖς φυσικοῖς καὶ ἀνθρωπίνοις λογισμοῖς ὑπαγόντων τὰ θεῖα, καὶ μὴ πειθομένων τοῖς Πνεύματι θείῳ καὶ παθοῦσι, καὶ μαθοῦσι, καὶ διδάσκουσι ταῦτα. Οἷς δήπου καὶ Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, ὥσπερ ἐπεγκαλῶν καὶ καταγελῶν ὡς μάλιστα τῆς ἀνοίας, ἐν τοῖς περὶ τῆς θείας μεταμορφώσεως λόγοις, Ἀλλ' εὐθὺς ἐροῦσι, φησὶν, οἱ ἀπύλωτον καὶ θηρευτικὴν περιφέροντες γλῶσσαν, Καὶ εἰ ἀθέατος ἡ θεϊκὴ τοῦ Θεοῦ Λόγου δόξα, πῶς ἐπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; εἰ γὰρ ὁρατὴ, οὐκ ἀθέατος· εἰ δὲ ἀθέατος, οὐχ ὁρατή. Ὡς δὲ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος ἐν τοῖς ὑπὲρ τοῦ πρωτομάρτυρος θείου Στεφάνου λόγοις περὶ τῆς ἐν Πνεύματι θείας αὐτοῦ θεωρίας διεξιὼν, ἄλλα τε

Digitized by Google

πλεῖστα πρὸς Πνευματομάχους ἀποτεινόμενος εἶπε, καθὰ δὴ καὶ ἡμῖν ἐν τοῖς πρὸς Γρηγορᾶν τουτονὶ προτέροις πλατύτερον εἴρηται, καὶ δὴ κἀκεῖνα· Οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καὶ δυνάμει μένων ὁ Στέφανος, τὸ θεῖον βλέπει· ἀλλὰ πρὸς τὴν τοῦ ἁγίου Πνεύματος χάριν ἀνακραθεὶς, δι' ἐκείνου ὑψώθη πρὸς τὴν τοῦ Θεοῦ κατανόησιν. Δέδεικται τοίνυν σαφῶς, φησὶν, ὅτι ὅπου τὸ Πνεῦμά ἐστιν, ἐκεῖ καὶ ὁ Κύριος καθορᾶται, καὶ ἡ Πατρικὴ δόξα καταλαμβάνεται.

Εἰ δὲ καὶ τούτων ὁ φιλόσοφος θεολογούντων τε καὶ διδασκόντων τὰ θειότατα, καὶ ὑπερφυᾶ ταῦτα διακούειν τε καὶ μανθάνειν ἐβούλετο, οὔτ' ἂν περὶ τοῦ φωτὸς τῆς θείας μεταμορφώσεως ἐκεῖνα δήπου τὰ καταγέλαστα μετὰ τῶν ἀπυλώτων περιφερόντων γλῶσσαν κακῶς ἔλεγέ τε καὶ ἔγραφεν, ὅτι εἰ μὲν οὐκ εἶδον οἱ περὶ τὸν Πέτρον ἐν τῷ ὄρει τὸ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ φῶς, θεῖον ὄντως καὶ ἄκτιστόν ἐστιν· εἰ δὲ εἶδον, οὐκέτι θεῖον, οὐδ' ἄκτιστον. Κτίσμα καὶ γὰρ τὸ τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ὁπωσποτε καθορώμενον, οὔτε τὴν θεοποιὸν τοῦ Πνεύματος δωρεὰν, αὐτήν φημι τὴν θέωσιν, ἀμήχανον ἂν ἔλεγε καὶ σχέσιν καὶ ἄσχετον εἶναι κατὰ ταυτὸ, διὸ καὶ κτιστὴν ἐξ ἀνάγκης, ὡς αὐτός φησιν, εἶναι, καίτοι γε τῶν θείων διδασκάλων ἀκούων τὸ μὲν δοξαζόντων τε καὶ λεγόντων ῥητῶς, τὸ δ' αὖ ἀπαγορευόντων ὡσαύτως. Τὸ μὲν οὖν ἄσχετον, ὦ φιλόσοφε, καὶ ἀμίμητον τῆς θεώσεως δι' ἄλλων τε πολλῶν καὶ καλῶν οἱ θεολόγοι φθάσαντες λόγων ἔδειξαν, καὶ δὴ καὶ μικρὸν ἀνωτέρω νῦν ὅ τε τῆς θεολογίας ἐπώνυμος, Γρηγόριος ὁ θεῖος, φημὶ, περὶ θεώσεως θείας τὸν λόγον ποιούμενος, καὶ Μάξιμος ὁ σοφὸς σὺν αὐτῷ σοφῶς τε καὶ ἀξίως ἐκείνου τὰ ἐκείνου σκοπούμενος· ὅπως δ' ἡ αὐτὴ καὶ ἐν σχέσει πάλιν, καὶ σχέσις καὶ μίμησις εἴρηται, τῶν αὐτῶν αὖθις λεγόντων ὡσαύτως ἄκουε· μᾶλλον δὲ καὶ ἤκουσας εἰπόντων ἤδη τρανῶς, ἀλλ' οὐ συνῆκας, διὸ καὶ πάλιν τῶν αὐτῶν ἄκουε. Ὁ διὰ πάντων, φησὶν, ὑπήκοος Θεῷ γενόμενος ἄνθρωπος οὔτε κατὰ φύσιν, οὔτε κατὰ σχέσιν ἔχει τὸ εἶναι ἢ καλεῖσθαι Θεός. Ἀλλὰ πῶς, ὦ διδασκάλων ἄριστε καὶ θεοειδέστατε; πείρᾳ καὶ γὰρ, ἀλλ' οὐκ ἀκοῇ μόνῃ τοῦτ' ἔχεις μαθών· εἰπὲ τοιγαροῦν· μᾶλλον δὲ καὶ ἀμφότεροι λέγετε καὶ διδάσκετε· κοινὰ καὶ γὰρ ἀμφοτέρων ταυτί· Κατὰ θέσιν, φησὶ, καὶ χάριν ὁ τοιοῦτος λέγεταί τε καὶ ὀνομάζεται Θεός. Τῶν γὰρ ὀνομάτων ἔφημεν τὰ μὲν οὐσίας εἶναι λέγεται, τὰ δὲ σχέσεως, τὰ δὲ χάριτος, ἢ ἀπωλείας. Χάριτος οὖν εἴπομεν εἶναι, φασὶ, τοὔνομα, ὅταν Θεὸς ὁ ἄνθρωπος τοῖς λογίοις ὀνομάζηται, ὁ διὰ πάντων ὑπήκοος Θεῷ γενόμενος ἄνθρωπος, κατὰ τὸ, *Ἐγὼ εἶπα· Θεοί ἐστε*, οὔτε κατὰ φύσιν, οὔτε κατὰ σχέσιν ἔχων τὸ εἶναι ἢ καλεῖσθαι Θεὸς, ἀλλὰ κατὰ θέσιν καὶ χάριν γενόμενός τε καὶ ὀνομαζόμενος. Καὶ μετ' ὀλίγον οἱ αὐτοὶ πάλιν· Οὐκ ἔστι παράδοξον, φασὶ, τὸ γινόμενον, εἰ κατὰ δεκτικὴν δύναμιν φύσεως ἡ θέωσις ἦν. Φύσεως γὰρ ἂν εἰκότως ἔργον, ἀλλ' οὐ Θεοῦ δῶρον εἴη, καὶ δυνήσεται καὶ φύσει θεὸς ὁ τοιοῦτος ἔσεσθαι, καὶ κυρίως προσ-

A ἀγορεύεσθαι. Καὶ πάλιν· Μόνης τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι, τὸ ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν, λαμπρυνούσης τὴν φύσιν τῷ ὑπὲρ φύσιν φωτὶ, καὶ τῶν οἰκείων ὅρων αὐτὴν ὑπεράνω κατὰ τὴν ὑπερβολὴν τῆς δόξης ποιουμένης. Ὥστε κατὰ τοὺς θεοειδεῖς διδασκάλους τούτους, φιλόσοφε, ἐν μὲν τῇ ἀνθρωπείᾳ φύσει οὐδεμία τις τῆς θεώσεως σχέσις καὶ μίμησις καὶ ἕξις· Πνεύματος δὲ θείου δυνάμει καὶ χάριτι, ὥσπερ καὶ διανοίᾳ καὶ ὀφθαλμοῖς ὑποπίπτει κατὰ τοὺς θεοφόρους τούτους καὶ θεολόγους, καίτοι γε καὶ ὑπὲρ φύσιν καὶ νοῦν κατὰ φύσιν οὖσα, οὕτω δὴ καὶ ἐν σχέσει καὶ μιμήσει καὶ ἕξει ἡ ὑπὲρ ταῦτα κατὰ φύσιν οὖσα ἐν τῇ δυνάμει τοῦ αὐτοῦ γίνεται Πνεύματος. Καὶ τί καινὸν ἂν εἴη καὶ παρὰ τὸν θεῖον σκοπόν τε καὶ τοὺς B λόγους, εἰ τὸ θεῖον δηλαδὴ Πνεῦμα τὰ ἑαυτοῦ αὖθις καὶ ὁρᾷ καὶ νοεῖ, καὶ λαμβάνει καὶ ἔχει λόγοις, οἷς οἶδεν ἐκεῖνο ταῖς τῶν θεοειδῶν διανοίαις κατ' ἐνέργειαν ἀπορρήτως ἀνακιρνάμενον, καὶ τὰ ἑαυτοῦ ποιοῦν ἐκείνων, καὶ διὰ τούτων αὐτῶν φημι τῶν θεουργουμένων βλέπον τὰ ἑαυτοῦ, οὐ διανοίᾳ μόνῃ, ἀλλὰ καὶ ὀφθαλμοῖς, ὢ τοῦ θαύματος! ἔξω γεγονόσι τῆς φύσεως τῇ θεουργῷ δυνάμει καὶ χάριτι, ὃ δὴ κἀν τῇ μελλούσῃ Χριστοῦ ἐπιφανείᾳ λαμπρότερόν τε καὶ θεοειδέστερον ἔσται τοῖς θεουμένοις, ὧν ὁ μόνος κατὰ φύσιν Θεὸς, ἐν μέσῳ θεῶν ὄντων κατὰ χάριν ἵσταται; *Λάμψουσι* καὶ γὰρ, φησὶν, *ὡς ὁ ἥλιος*, αὐτὸς ὁ τῆς δικαιοσύνης νοητὸς ἥλιος, δηλαδὴ Χριστὸς, ὁ ταῦτα προλέγων· οὐδὲ γὰρ ἡλιακοῦ φωτὸς ἐκεῖ χρεία καὶ λόγος. C Ὃ δὴ κἀπὶ τοῦ τῆς θείας μεταμορφώσεως ὄρους ἐνήργησε, τὸ μέλλον ἐντεῦθεν ἐκεῖνο παραδεικνὺς, καὶ τοὺς *ἀῤῥαβῶνας*, καὶ τὰ προοίμια, τοῖς ἀξίοις δωρούμενος. Διὸ καὶ Μάξιμος ὁ θεόληπτος ἐν τοῖς αὐτοῖς περὶ τῶν αὐτῶν αὖθις σύν γε τῷ σοφῷ θεολόγῳ φιλοσοφῶν, Τῇ κατὰ Θεὸν, φησὶ, προκοπῇ, τῆς ἀνθρωπίνης φύσεως ἴσης πρὸς τοὺς ἀγγέλους ἀνελλιπῶς γενομένης κατὰ τὴν τῶν ἐν τοῖς οὖσι λόγων προγνωστικὴν ἐπιστήμην, ἡ τῆς ἀληθοῦς σοφίας ἀπειρόδωρος χύσις ἐπιγενομένη κατὰ τὸ θεμιτὸν, ἀκραιφνῶς λοιπὸν τὴν περὶ Θεοῦ, καὶ ἀμεσιτεύτως παρέχεται τοῖς ἀξίοις ἀδιάγνωστον καὶ ἀνερμήνευτον ἔννοιαν. Καὶ τέλος ἐπὶ πᾶσι τούτοις τὴν κτιστὴν φύσιν τῇ ἀκτίστῳ διὰ τῆς ἀγάπης ἑνώσας, ὢ τοῦ θαύματος τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ D φιλανθρωπίας! ἓν καὶ ταυτὸ δείκνυσι δι' ἑαυτοῦ ὁ ἄνθρωπος, κατὰ τὴν ἕξιν τῆς χάριτος ὅλος ὅλῳ περιχωρήσας ὁλικῶς τῷ Θεῷ, καὶ γενόμενος πᾶν ὅ τι πέρ ἐστιν ὁ Θεὸς πλὴν τῆς κατ' οὐσίαν ταυτότητος, καὶ ὅλον αὐτὸν ἀντιλαβὼν ἑαυτοῦ τὸν Θεὸν καὶ τῆς ἐπ' αὐτὸν τὸν Θεὸν ἀναβάσεως οἷον ἔπαθλον αὐτὸν μονώτατον κτησάμενος τὸν Θεὸν, ὡς πέρας ὄντα τῶν ἐπ' αὐτὸν κινουμένων ἀόριστόν τε καὶ ἄπειρον. Καὶ πάλιν ἐν τοῖς αὐτοῖς ὁ αὐτός· Ἡ ψυχὴ γίνεται Θεὸς τῇ μεθέξει τῆς θεϊκῆς χάριτος, πασῶν τῶν κατὰ νοῦν καὶ αἴσθησιν ἐνεργειῶν αὐτή τε παυσαμένη, καὶ τὰς τοῦ σώματος συναποπαύσασα ψυχικὰς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατὰ τὴν ἀναλογοῦσαν αὐτῷ μέθεξιν τῆς θεώσεως, ὥστε μόνον τὸν Θεὸν διά τε τῆς ψυχῆς καὶ τοῦ σώματος φαίνεσθαι, νι-



Digitized by Google

κηθέντων αὐτοῖς τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν γνωρισμάτων.

Καὶ μετ' ὀλίγα. Ὡς εἶναι τὴν ψυχὴν, καθώς φησιν ὁ μέγας Διονύσιος, εἰκόνα καὶ φανέρωσιν τοῦ ἀφανοῦς φωτὸς, ἔσοπτρον ἀκραιφνὲς, ἀλώβητον, ἄχραντον, ἀκηλίδωτον, εἰσδεχόμενον ὅλην, εἰ θέμις εἰπεῖν, τὴν ὡραιότητα τῆς ἀγαθοτύπου θεοειδείας. Ἰδού σοι καὶ τρίτον ὁ θεολόγος Μάξιμος, ὡς ὁρᾷς, ἐπεισήγαγε θεολόγον, αὐτὸν ἐκεῖνόν φημι τὸν σοφὸν Διονύσιον, ᾧπερ αὐτὸς ἔλεγεν ἕπεσθαι πρὸ βραχέος, σχέσιν καὶ μίμησιν τὴν ἄσχετον καὶ ἀμίμητον λέγοντι θέωσιν. Εἰ γοῦν ἀληθῶς, καὶ μὴ καθ' ὑπόκρισιν καὶ ἀπάτην ἀκολουθεῖν σχηματίζειν τῷ, Τοῖς τρισὶν ἕπου νῦν ὁμοῦ μᾶλλον, καὶ διδάσκου καὶ πίστευε τοῖς τε θείοις καὶ ὑψηλοῖς τουτοισὶ λόγοις, τοῖς περὶ τοῦ θεώσεώς φημι μυστηρίου, καθ' ὅσον οἷόν τε. Πρὸς τούτοις πῶς ἄνθρωπος χρηματίζει Θεὸς κατὰ χάριν δι' ὑπερβάλλουσαν τοῦ μόνου κατὰ φύσιν Θεοῦ φιλανθρωπίαν; πείρᾳ γὰρ καὶ ἕξει μαθόντες οἱ θεοειδεῖς οὗτοι θεολογοῦσι ταυτὶ, καὶ οὐ λόγοις ἁπλῶς οὐδὲ στοχασμοῖς. Ἐγὼ δέ σοι καὶ τέταρτον καὶ πέμπτον ἐπὶ τούτοις θεολόγους ἐπεισοίσω τῷ λόγῳ τὰ αὐτὰ περὶ τῶν αὐτῶν ὡσαύτως ἐροῦντας ἐν τῷ αὐτῷ δηλαδὴ Πνεύματι, ἵνα τὸν πλοῦτον κἀντεῦθεν καταμάθῃς τῆς χάριτος ἔν τε λόγοις ὡσαύτως καὶ πράγμασιν. Ὁ μέγας τοιγαροῦν Ἀθανάσιος πρὸς τοὺς ἐξ Ἀρείου περὶ τῆς ἐνσάρκου Χριστοῦ λέγων οἰκονομίας, τοιάδε φησίν· Ὁ Λόγος τοῦ Πατρὸς ἑνωθεὶς σαρκὶ γέγονε σάρξ, ἵνα οἱ ἄνθρωποι ἑνωθέντες Πνεύματι, γένωνται ἓν Πνεῦμα. Αὐτὸς οὖν ἐστι Θεὸς σαρκοφόρος, καὶ ἡμεῖς ἄνθρωποι πνευματοφόροι. Ἀπαρχὴν λαβὼν ἐκ τῆς οὐσίας τῶν ἀνθρώπων, ἥτις ἐστὶ μορφὴ δούλου, καὶ ἐν ὁμοιώματι ἀνθρώπων γεγονὼς, ἔδωκεν ἡμῖν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἀπαρχὴν ἁγίου Πνεύματος, ἵνα γενώμεθα οἱ πάντες εἰς υἱὸς Θεοῦ ἐν ὁμοιώματι τοῦ Υἱοῦ τοῦ Θεοῦ. Αὐτὸς οὖν ὁ ἀληθινὸς Υἱὸς τοῦ Θεοῦ τοὺς πάντας φορεῖ ἡμᾶς, ἵνα πάντες φορέσωμεν τὸν Υἱὸν τοῦ Θεοῦ.

Κύριλλος δ' ὁ σοφὸς, Ἐπεδήμησε, φησὶν, ὁ τοῦ Θεοῦ Λόγος, ἵνα εἰς ἑαυτὸν ἀναλαβὼν τὰ ἀνθρώπινα, τὰ ἑαυτοῦ τῇ φύσει χαρίσηται. Δίδωσι μὲν γὰρ τῇ ἀνθρώπων φύσει τὰ ἑαυτοῦ, ἀναλαμβάνει δὲ τὰ τῆς ἀνθρωπότητος ἴδια. Ἀλλ' οὔτε ἡμεῖς ἀρνησόμεθα τὴν κατὰ φύσιν δουλείαν, οὔτε μὴν ὁ Υἱὸς ἀπολέσει τὸ κατὰ φύσιν ἀξίωμα. Καὶ πάλιν ὁ αὐτός· Ὥσπερ ἐστὶ, φησὶν, ὁμοούσιος ὁ Υἱὸς, οὕτω καὶ συνθελητὴς τῷ ἰδίῳ γεννήτορι. Καὶ ἐμφανίσει ἑαυτὸν τοῖς ὁσίοις οὐ κατὰ μόνην τὴν ἐν εἰδήσει νοουμένην ἐπίγνωσιν, ἀλλ' ἐξαιρετός τις αὐτοῦ τῆς ἐλλάμψεως ὑπάρξει τρόπος· οἱ μὲν γὰρ ἁπλούστεροι τῶν πιστῶν ἐν ψιλοῖς καὶ ἀζητήτοις λογισμοῖς ἔχουσι τὴν πίστιν, οἱ δὲ τέλειοι τὴν διὰ τοῦ Πνεύματος λήψονται δῳδουχίαν, καὶ αὐτὸν ἐν ἑαυτοῖς αὐλισθέντα τὸν Κύριον τοῖς τῆς διανοίας ἐπαθρήσουσιν ὀφθαλμοῖς διὰ τοῦ ἁγίου Πνεύματος. Οἷς δὴ καὶ ὁ μέγας αὖθις συνᾴδων Μάξιμος, διττὴν εἶναι τὴν γνῶσίν φησι, τὴν μὲν ἐν λόγῳ κειμένην, καὶ ψιλοῖς νοήμασι, κατ' εἶδος παροῦσαν τὴν αἴσθησιν

A τῶν νοηθέντων οὐκ ἔχουσαν, τὴν δὲ κατ' ἐνέργειαν μόνην ἔχουσαν δίχα λόγου καὶ νοημάτων ἀληθῶν, τὴν κατ' εἶδος ἀπόλαυσιν. Μακάριον δὲ τὸν θεοειδῆ καὶ θεοφόρον ὄντως, καὶ πλήρη τῶν παντοδαπῶν χαρισμάτων τοῦ Πνεύματος ποῦ θήσομεν, ᾧπερ καὶ τὸν θεοειδέστατον νοῦν ἐκεῖνον, Ἀντώνιόν φημι τὸν καθηγητὴν ἡμῶν, ἔχει μεθ' ἑαυτοῦ ὁμιλητής τε, καὶ συνασκητὴς τῶν μεγίστων χρηματίσας ἐκείνῳ; καὶ δὴ καὶ Συμεώνην μετ' ἐκεῖνον τὴν εὔλαλον τῷ ὄντι καὶ σοφὴν καὶ ἡδίστην γλῶτταν τῆς Ἐκκλησίας, χρόνοις μὲν ὕστερον παρελθοῦσαν, πάντας δ' ὁμοῦ σχεδὸν καὶ ἀρχαίους καὶ νέους, ὅσοι δηλαδὴ τὴν Χριστοῦ Ἐκκλησίαν, καὶ ἱδρῶσι καὶ πόνοις καὶ ἰδίοις συνέστησαν αἵμασι, δυνάμει λόγου καὶ Πνεύματος χάριτι κοσμήσασάν τε καὶ ὡραΐσασαν. Τί
B οὖν σὺν αὐτοῖς τούτοις ὁ θεῖός φησι Μακάριος; Ἡ τελεία τοῦ Πνεύματος ἔλλαμψις οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστιν, ἀλλ' ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις. Τὸ γὰρ, *Ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν·* καὶ τὸ, *Φώτισον τοὺς ὀφθαλμούς μου μή ποτε ὑπνώσω εἰς θάνατον·* καὶ τὸ, *Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, αὐτά με ὁδηγήσουσιν εἰς ὄρος ἅγιόν σου·* καὶ τὸ, *Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου,* καὶ πάνθ' ὅσα τούτοις παραπλήσια, τὸ αὐτὸ παρίστησι. Καὶ τῷ μακαρίῳ δὲ, φησὶ, Παύλῳ τὸ λάμψαν ἐν τῇ ὁδῷ φῶς, δι' οὗ καὶ εἰς τρίτον οὐρανὸν ἦρται, καὶ μυστηρίων ἀλαλήτων
C ἀκουστὴς ἐγένετο, οὐ νοημάτων τις καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διενεγκόντες, ἀπετυφλώθησαν· δι' οὗ πᾶσά τε γνῶσις ἀποκαλύπτεται, καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ ἀξίᾳ καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται.

Καὶ πάλιν· Ἐπειδὴ πᾶς λογισμὸς, φησὶ, διὰ φαντασίας αἰσθητῶν τινων εἰσέρχεται ἐν τῇ καρδίᾳ, τότε αὐγάζει αὐτὴν τὸ μακάριον φῶς τῆς θεότητος, ὅταν πάντη εὐκαιρήσῃ ἀπὸ πάντων, καὶ ἀσχημάτιστος ἐκ τούτων γένηται, εἴπερ ἡ λαμπρότης ἐκείνη κατὰ στέρησιν τῶν πάντων νοημάτων παραφαίνεται τῷ καθαρῷ νῷ.

Ἀκούεις, ὦ Γρηγορᾶ, καὶ τούτων ὁμοῦ τῶν θεο-
D φόρων, οἷα περὶ τοῦ μακαρίου φωτὸς τῆς θεότητος, περὶ αὐτῆς φημι τῆς θεοποιοῦ δωρεᾶς τοῦ Πνεύματος καὶ θεώσεως, ὑπὲρ ἧς καὶ ὁ λόγος ἡμῖν ἄνωθεν, παθόντες τε καὶ μαθόντες φιλοσοφοῦσι, καὶ τὰ τῆς θείας Γραφῆς ἐκεῖνα πρὸς κατηγορίαν τοῦ λόγου προφέροντες; Δι' ὧν πάντων ἐξίσης τὸ μήτε τὴν θείαν οὐσίαν ἐκεῖνο πεφυκέναι λαμπρῶς ἀποδείκνυται, μήτε νοημάτων καὶ γνώσεως φωτισμόν τινα καὶ ἀποκάλυψιν, ἀλλ' ὑποστατικοῦ φωτός φησι βεβαίαν καὶ διηνεκῆ ἐν ταῖς ψυχαῖς ἔλλαμψιν, καὶ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ' ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψιν, δι' οὗ μάλιστα πᾶσά τε γνῶσις, φησὶν, ἀποκαλύπτεται, καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ ἀξίᾳ καὶ φιλουμένῃ ψυχῇ γνωρίζεται. Αὐτὸ τοῦτ' ἐκεῖνό φημι, περὶ οὗ πλεῖστά τε ἄλλα καὶ κάλλιστα

Digitized by Google

πρὸ βραχέος ὁ θεῖος Μάξιμος ἔλεγε, καὶ δὴ καὶ ἀγέννητον τοῦτο προσείρηκε θέωσιν, Ἀγέννητον δὲ λέγω θέωσιν, φήσας, τὴν κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ' ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν. Εἰ δὲ λέγοις, Καὶ πῶς ὑποστατικοῦ φωτὸς ἔλλαμψιν, καὶ κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν οἱ θεοφόροι τοῦτό φασι, καίτοι γε τὸν μέγαν ὁμῶν ἐν τοῖς φθάσασι προενεγκόντων Βασίλειον, οὐδεμίαν ἐνέργειαν λέγοντα ἐνυπόστατον εἶναι, καὶ Μάξιμον αὖθις τὸν σοφὸν, Αἱ ἐνέργειαι οὐκ εἰσὶν οὐσίαι, λέγοντα, ἀλλὰ περὶ τὴν οὐσίαν; γνῶθι, φιλόσοφε, ὡς οὐ διαφωνοῦσιν οὐδ' ἐναντιοῦνται ἑαυτοῖς τε καὶ ἀλλήλοις οἱ θεολόγοι. Ἀλλὰ καὶ συνᾴδουσι μάλα καλῶς, ὥσπερ δὴ κἀν τοῖς ἄλλοις ὁμοῦ φημι πᾶσιν, οὕτω δὴ καὶ ἐν τούτῳ· ὑποστατικὸν γὰρ φῶς καὶ κατ' εἶδος ἐνυπόστατον ἔλλαμψιν εἰρήκασιν, ὡς ἤκουσας, οἱ διδάσκαλοι τὸ φῶς τῆς θεότητος τοῦτο, τοῦ φωτὸς τῶν νοημάτων καὶ τῆς γνώσεως διαιροῦντες· δι' οὗ πᾶσα γνῶσις, φησὶν, ἀποκαλύπτεται, καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ ἀξίᾳ ψυχῇ γνωρίζεται. Ὃ δὴ καὶ Μάξιμος ὁ σοφὸς πρὸ βραχέος διδάσκων ἔλεγε διττὴν εἶναι τὴν γνῶσιν, τὴν μὲν ἐν λόγῳ κειμένην καὶ θείοις νοήμασι, κατ' εἶδος παροῦσαν, τὴν αἴσθησιν τῶν νοηθέντων οὐκ ἔχουσαν· τὴν δὲ κατ' ἐνέργειαν, μόνην ἔχουσαν δίχα λόγου καὶ νοημάτων ἀληθῶν τὴν κατ' εἶδος ἀπόλαυσιν. Ἄλλως τε καὶ οὐσίαν μὲν ἀπηγόρευσαν οἱ θεολόγοι τὴν θείαν ἐνέργειαν εἶναι, ὡς δὲ καὶ ὑπόστασιν ἅμα καὶ ἐνυπόστατον, τουτέστιν αὐθυπόστατον. Ἓν γὰρ ἴσμεν καὶ τοῦτο, τῶν σημαινομένων τοῦ ἐνυποστάτου διαφόρων ὄντων. Ἐν ὑποστάσει δὲ καὶ ὑποστατικὸν αὖθις, καὶ ἐνυπόστατον εἶπον ταύτην· ἐπειδὴ ἐν τῇ τρισυποστάτῳ θεωρεῖται θεότητι, καὶ ταύτην οἷον ὑπόστασιν ἔχει, φυσικὸν αὐτῆς καὶ ἀδιαίρετον ὂν ἰδίωμα, καὶ ἐνυπόστατον εἰκότως καὶ κατὰ τοῦτο παρὰ τῶν θεολόγων λέγεται.

Οἱ δὲ περὶ Γρηγορᾶν σχέσιν ἄσχετον καὶ ἀμίμητον μίμημα τὴν θεοποιὸν ταύτην τοῦ Πνεύματος δωρεὰν παρὰ τοῦ σοφοῦ Διονυσίου λεγομένην ἀκούοντες, καὶ μήτε τούτων καθὸ δεῖ συνιέντες, μήτε μὴν τὰ προῤῥηθέντα ταυτὶ θείως καὶ ὑψηλῶς τοῖς θεολόγοις τε καὶ θεοφόροις καὶ ταῦθ' οὕτω πλεῖστά τε καὶ ὑπερφυᾶ πεφυκότα τούτοις συνάπτοντες, εἰς ἀλλοκότους τινὰς ἐξεκυλίσθησαν φαντασίας, καὶ δόξας, νῦν μὲν εἰς κτίσμα κατασπῶντες, νῦν δὲ μηδὲ πρᾶγμα ταύτην κακῶς, ἀλλὰ σχέσιν μόνον ἁπλῶς οἰόμενοι. Ὅπερ οὐδὲ τοῖς ἀρχαίοις ἐκείνοις Μονοθελήταις ἐπῆλθεν εἰπεῖν. Καὶ δῆλον ἐκεῖθεν· τοῦ γὰρ Μονοθελήτου Πύῤῥου πρὸς τὸν σοφὸν εἰπόντος Μάξιμον ἐν τῷ διαλόγῳ, ὅτι Οὐ φύσεως λόγῳ τὴν μίαν ἐνέργειαν προσεῖναί φαμεν τῷ Χριστῷ, ἀλλ' ἑνώσεως τρόπῳ, ἄλλα τε πλεῖστά φησιν ὁ διδάσκαλος ἐκεῖ διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς καταλύων τὴν αἱρετικὴν ταύτην δόξαν, καὶ δὴ κἀκεῖνα· Ἐπειδὴ, φησὶν, ἡ ἕνωσις σχέσις ἐστὶ καὶ οὐ πρᾶγμα, σχέσις ἄρα καὶ οὐ πρᾶγμα ἡ τοῦ Χριστοῦ ἐνέργεια. Καὶ ὁ μὲν οὕτω διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, ὅπερ ἔφην, πρᾶγμα τὴν ἐνέργειαν ἀπέδειξεν οὖσαν τοῦ Θεοῦ, καὶ οὐ σχέσιν ἁπλῶς κατὰ Γρηγορᾶν, τοῦ προσδια-

A λεγομένου Πύῤῥου μὴ μόνον οὐκ ἀντειπόντος οὐδὲν πρὸς τὸν λόγον, ἐδόκει καὶ γὰρ καὶ τοῖς περὶ αὐτὸν ὡσαύτως ἐκεῖνα, διὸ καὶ ἀπὸ τῶν δοκούντων καὶ ἀνωμολογημένων κἀκείνοις τὴν εἰς ἄτοπον ἀπαγωγὴν ἐποιεῖτο· οὐδὲ γὰρ ἔξεστιν ἄλλως, οὐ μόνον τοιγαροῦν ἀντειπεῖν ὁ Πύῤῥος οὐκ ἠδυνήθη, ἀλλὰ καὶ συνέθετο τοῖς ῥηθεῖσιν ὑπὸ τοῦ θείου Μαξίμου, τὸ περιὸν, οἶμαι, τῆς θείας ἀληθείας εὐλαβηθείς. Πάντων καὶ γὰρ, φησὶ, τῶν προτεθέντων τὴν ἀνατροπὴν δεόντως ὁ λόγος ἐποιήσατο, καὶ οὐδὲν ὅλως ἐλλείπει. Καὶ πρὸς τῷ τέλει πάλιν τοῦ διαλόγου, Ἐπ' ἀληθείας, φησὶ, καὶ ἡ περὶ τῶν ἐνεργειῶν ζήτησις ἄτοπον ἔδειξε τὴν μίαν ἐνέργειαν, καθ' οἱονδήποτε τρόπον ἐπὶ Χριστοῦ λεγομένην. Ἀλλὰ συγγνώμην αἰτῶ καὶ ὑπὲρ ἐμαυτοῦ καὶ τῶν προλαβόντων.
B Ἐξ ἀγνοίας γὰρ εἰς τὰς ἀτόπους ταύτας ἐξηνέχθημεν ἐννοίας καὶ ἐπιχειρήσεις. Οἱ δὲ περὶ τὸν φιλόσοφον Γρηγορᾶν ταῦτα μὲν οὐδ' εἰς νοῦν ὅλως βαλέσθαι βούλονται, οὐδ' ἐκ τούτων τε κἀκείνων οὕτω πολλῶν τε καὶ ἰσχυρῶν ὄντων ὑπὲρ ἑαυτῶν γοῦν τὰ προσήκοντα βεβουλεῦσθαι· ἀλλ' ὥσπερ ἐν νυκτὶ βαθείᾳ καὶ σκοτομήνῃ τῇδε κἀκεῖσε περιπλανώμενοι, καὶ ἑαυτοῖς καὶ ἀλλήλοις συγκρούοντες αἴσχιστα, τοὺς περὶ σχέσεως ἁπλῶς ἐκδιδάσκειν τὴν Χριστοῦ Ἐκκλησίαν πειρῶνται λόγους· καὶ τοῦτ' ἐκ τῶν Ἑλληνικῶν λόγων. Ἀγνοοῦντες πρὸς τοῖς ἄλλοις κἀκεῖνο περιφανῶς, ὅτι σχέσιν ἄσχετον τὴν θέωσιν οἱ Πατέρες; προσεῖπον, οὐχ ὡς μὴ πρᾶγμα πεφυκυῖαν, καὶ σχέσιν ἁπλῶς οὖσαν τῶν δύο ἄκρων,
C τοῦ τε δρῶντός φημι καὶ τοῦ πάσχοντος, πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὡς δυνάμει θείου Πνεύματος σχετὴν γινομένην τὴν ἄσχετον. Ἀλλ' ὁ τῶν ὁμωνυμιῶν ἀκριβὴς ἐξεταστὴς Γρηγορᾶς τὴν ὁμωνυμίαν ἀγνοήσας κἀνταῦθα, ὅτι καὶ τὸ σχετὸν σχέσις ὁμωνύμως ὠνομάσθη τοῖς θεολόγοις, ὅπερ δὴ κἀπὶ τοῦ τῆς ἐνεργείας ὀνόματος πέπονθε πρότερον, τὴν τῆς θείας ἐνεργείας χρῆσιν ἐνέργειαν τῶν θεολόγων καλούντων, Ἐνέργεια γὰρ, φησὶ, φυσικὴ τὰ τοῦ Χριστοῦ θαύματα, ἐξ ὧν ὁ Υἱὸς ὁμοούσιος ὢν δείκνυται τῷ Πατρί· ὥσπερ οὖν ἐκεῖ, οὕτω δὴ κἀνταῦθα τὴν ὁμωνυμίαν ὁ φιλόσοφος ἀγνοήσας, τὸ δρῶν, ταυτὸν δ' εἰπεῖν τὸ σχετὸν, ἀντὶ τῆς δράσεώς τε καὶ πείσεως, ταυτὸ δ' εἰπεῖν τῆς τῶν ἄκρων σχέσεως, ἐξελάβετο. Καὶ διὰ τοῦτο μὴ μόνον οὐ θεοπρεπῆ τε καὶ
D ἄκτιστον, ἀλλ' οὐδὲ πρᾶγμα τὴν θείαν ἐνέργειαν καὶ τὴν θέωσιν ἐνόμισεν, ἥτις ἄρα καὶ δραστικὴ καὶ οὐσιώδης τῆς φύσεως κίνησις παρὰ τοῖς θεολόγοις ὠνόμασται· ὅπου γε καὶ τὴν ταύτης δρᾶσιν, καὶ χρῆσιν, καὶ σχέσιν, οὐχ ἁπλῶς, ἀλλὰ θεοπρεπῶς καὶ ταύτην κατὰ τοὺς θεολόγους ἔδει νοεῖν καὶ λέγειν.

Ὅτι δὲ καὶ πρᾶγμα ταύτην ἐνεθυμήθησαν οἱ θεολόγοι τὴν θείαν ἐνέργειάν τε καὶ θέωσιν, καὶ τὸ σχετὸν σχέσιν ἄσχετον ἐν Πνεύματι προσηγόρευσαν, διὰ πολλῶν μὲν ἤδη καὶ καλῶν ἔδειξαν οὗτοι λόγων. Ὅτε γὰρ ἡ θέωσις κατ' αὐτοὺς τὰ καὶ τὰ δρᾷ καὶ ἐξίστησιν ἑαυτοῦ τὸν θεούμενον, καὶ ἀγέννητός ἐστι θέωσις, καὶ κατ' εἶδος ἐνυπόστατος ἔλλαμψις καὶ φῶς ὑποστατικὸν, καὶ τἄλλα δὴ τὰ διὰ πολλῶν εἰρημένα τῷ τε θείῳ Μαξίμῳ καὶ τοῖς λοιποῖς, τί τις

Digitized by Google

ἄλλο κατανοεῖν καὶ ὁρᾷν ἔχει, εἰ μή που τὸν ἐγκέφαλον οὑτοσὶ διασέσεισται, ἢ ὅτι τὸ σχετὸν θείῳ Πνεύματι σχέσιν ἄσχετον οἱ θεολόγοι ὠνόμασαν, οὐχὶ τὴν ἁπλῶς σχέσιν, τὴν χρῆσιν αὐτῆς δηλαδὴ, ἤτοι τὴν διάθεσιν τοῦ δρῶντός τε καὶ τοῦ πάσχοντος; Ὅρα δὲ κἀκεῖνα.

Χρίσιν φησὶ τῆς ἀνθρωπότητος ὁ Θεολόγος Γρηγόριος ἐπὶ Χριστοῦ τὴν θεότητα. Εἰ δὲ χρίσις, καὶ σχέσις ἂν εἴη τοῦ χρίοντος πάντως πρὸς τὸ χριόμενον. Τί οὖν, εἰ σχέσις ἡ χρίσις αὕτη, οὐ πρᾶγμα κατὰ τὸν φιλόσοφον διὰ τοῦτο; Τῆς ἀθείας! αὕτη καὶ γάρ ἐστιν ἡ ἐνυπόστατος τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ θεότης, ἡ τὴν προσληφθεῖσαν αὐτῷ καθ' ἕνωσιν ἀπόῤῥητον ἀνθρωπότητα χρίσασα. Διὸ καὶ χρίσιν αὐτὴν προσειπὼν ὁ Θεολόγος, ὁμωνύμως δηλαδὴ τῇ πρὸς τὸ χριόμενον σχέσει τοῦ χρίοντος, αὐτὴν ἐκείνην εὐθὺς εἶναι τὸ χρῖσαν δείκνυσι. Χριστὸς γὰρ, φησὶν, εἴρηται διὰ τὴν θεότητα. Χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνέργεια κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα· παρουσία δὲ ὅλου τοῦ χρίοντος, ἧς ἔργον ἄνθρωπον ἀκοῦσαι τὸ χρῖον, καὶ ποιῆσαι Θεὸν τὸ χριόμενον. Ἀθανάσιος δὲ ὁ μέγας πρὸς τὸν ἐπίσκοπον Σεραπίωνα γράφων, καὶ χρίσμα καὶ σφραγῖδα τὸ Πνεῦμα λέγει τὸ ἅγιον, καίτοι γε αὐτὸ τὸ χρῖόν τε καὶ σφραγίζον ὂν, ἐκ τῆς θείας λαβὼν τοῦτο Γραφῆς. Χρίσμα καὶ γὰρ, φησὶ, λέγεται τὸ Πνεῦμα καὶ σφραγίς. Ὁ μὲν γὰρ Ἰωάννης γράφει, *Καὶ ὑμεῖς τὸ χρίσμα, ὃ ἐλάβετε παρ' αὐτοῦ, μένει ἐν ὑμῖν καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάξῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκῃ ὑμᾶς περὶ πάντων*· ἐν δὲ τῷ προφήτῃ Ἡσαΐᾳ γέγραπται, *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με*· ὁ δὲ Παῦλός φησι· *Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως*. Τὸ δὲ χρίσμα τὴν εὐωδίαν καὶ πνοὴν τοῦ χρίοντος ἔχει· καὶ οἱ χριόμενοι τούτου μεταλαμβάνοντες λέγουσι, *Χριστοῦ εὐωδία ἐσμέν*. Ἡ δὲ σφραγὶς τὴν μορφὴν Χριστοῦ τοῦ σφραγίζοντος ἔχει· καὶ ταύτης οἱ σφραγιζόμενοι μετέχουσι, μορφούμενοι κατ' αὐτὴν, λέγοντος τοῦ Ἀποστόλου, *Τεκνία μου οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν*. Οὕτω δὲ σφραγιζόμενοι, εἰκότως καὶ κοινωνοὶ θείας φύσεως γινόμεθα, ὡς εἶπεν ὁ Πέτρος. Καὶ οὕτω μετέχει πᾶσα ἡ κτίσις τοῦ Λόγου ἐν τῷ Πνεύματι· καὶ διὰ τοῦ Πνεύματος λεγόμεθα πάντες μέτοχοι Θεοῦ. Καὶ ταῦτα μὲν ὁ διδάσκαλος, ἀποστόλους τε καὶ προφήτας ἔχων μεθ' ἑαυτοῦ, *Καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ*, λέγοντας, *ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτὸ χρίσμα διδάσκῃ ὑμᾶς περὶ πάντων*· καὶ ὅτι *Πιστεύσαντες ἐν τῷ Χριστῷ, ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ ὅς ἐστιν ἀῤῥαβὼν τῆς κληρονομίας ἡμῶν*. Ὅπως δὲ τοῦ λόγου μετέχουσιν ἐν Πνεύματι οἱ μετέχοντες, καὶ κατὰ τίνας τοὺς λόγους τοῦτο λαμβάνοντες, Θεὸν ἔχειν ἐν ἑαυτοῖς λέγονται, ἱκανῶς ἐν τῷ περὶ θείας μετοχῆς λόγῳ, εὐαγγελισταί τε καὶ ἀπόστολοι καὶ προφῆται, καὶ θεολόγων τε καὶ διδασκάλων χορὸς μετ' ἐκείνους, ἐν οἷς καὶ ὁ

A θεσπέσιος οὗτος, φθάσαντες ἡμᾶς πλατύτερον ἐξεπαίδευσαν, ἐνεργείᾳ καὶ δυνάμει καὶ χάριτι θείᾳ τὴν ἱερὰν ἐκείνην καὶ ἀπόῤῥητον μετοχὴν, καὶ τὴν κοινωνίαν εἰπόντες καὶ τὴν ἕνωσιν γίγνεσθαι. Δέδεικται τοιγαροῦν διὰ πάντων τούτων τοῖς θεολόγοις καὶ μάλα τρανῶς, ὡς ἡ θεοποιὸς τοῦ Πνεύματος χάρις τε καὶ ἐνέργεια, ἡ θεότης αὐτή φημι τοῦ Θεοῦ, ἡ τῶν θεουμένων ἀπόῤῥητος θέωσις, ἄσχετος μὲν ἐστι καθάπαξ τῇ ἀνθρωπείᾳ φύσει, μηδόλως παρ' ἑαυτῆς ἐχούσῃ δεκτικὴν ταύτην δύναμιν· Πνεύματος δὲ θείου δυνάμει καὶ σχετὴ καθὰ δὴ καὶ νοητὴ καὶ θεωρητὴ καινῶς ἄγαν καὶ ὑπερφυῶς γίνεται. Καὶ διὰ τοῦτο μὴ μόνον σχέσις καὶ μίμησις, ἀλλὰ καὶ ἄσχετος καὶ ἀμίμητος πρός γε τῶν ἱερῶν εἴρηται θεολόγων. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι μηδὲ
B σχέσις ἁπλῶς ἐστι, δρᾶσις δηλονότι καὶ πεῖσις τοῦ δρῶντός τε καὶ τοῦ πάσχοντος. Ὃ δοκεῖ τοῖς ἐπηρεασταῖς ταύτης, τὴν αὐτῆς χρῆσιν αὐτὴν εἶναι ταύτην ἁπλῶς διὰ τὴν ὁμωνυμίαν οἰομένοις κακῶς, κἀντεῦθεν μηδὲ πρᾶγμα τὴν τοῦ Θεοῦ φυσικὴν λογιζομένοις δύναμιν καὶ θεότητα, καίτοι γε τὴν αὐτὴν οὖσαν ἑτέρῳ λόγῳ καὶ οὐκ ἄλλην, εἴ τις καλῶς τε καὶ ἀπταίστως ἐθέλοι νοεῖν· ὃ δὴ καὶ ἐπὶ τοῦ τῆς ἐνεργείας ὀνόματος, καθὰ δὴ καὶ προὔφην, ἡμᾶς οἱ θεολόγοι ἐδίδαξαν. Ἄλλως τε καὶ ἡ τοῦ ποιοῦντος πρὸς τὸ πάσχον διάθεσις, ἣν δὴ καὶ σχέσιν ἁπλῶς καὶ χρῆσίν φαμεν τοῦ σχετοῦ, πῶς ἂν καὶ ἄσχετος εἴη, συνιδεῖν οὐκ ἔχω. Τὸ γὰρ ἄσχετον πρᾶγμά τι ὂν, εἴη δηλονότι πρὸς τὸ σχετὸν ἀντιδιαστελλόμενον, ἀλλ' οὐ διάθεσις ἁπλῶς τῶν δύο ἄκρων, τοῦ τε ποιοῦν-
C τός φημι καὶ τοῦ πάσχοντος. Ὥσπερ οὖν τὸ σχετὸν οὐκ ἄν τις εἴποι ποτὲ μὴ πρᾶγμα πεφυκέναι πρὸς σχέσιν ἰὸν, ἣ δὴ καὶ ἁπλῶς ἐστι καὶ λέγεται σχέσις, ὡς δὲ καὶ τὸ ἄσχετον οὐδέποτέ τις ἐρεῖ μὴ πρᾶγμα πεφυκέναι, σχέσει τε καὶ μιμήσει μηδαμῶς ὑποπίπτον. Ὥστε κἀκ τῶν συλλαβῶν αὐτῶν φημι καὶ τῶν λέξεων ἀρκούντως τῷ θαυμαστῷ Διονυσίῳ δεδεῖχθαι, μὴ περὶ σχέσεων ἁπλῶς καὶ μιμήσεών τε καὶ διαθέσεων, ἀλλὰ περὶ πραγμάτων θείων καὶ ὑψηλῶν, αὐτῶν φημι τῶν φυσικῶν τοῦ Θεοῦ προόδων τε καὶ δυνάμεων αὐτῷ πεφυκέναι τὸν λόγον, σχέσεών τε καὶ μιμήσεων ἀσχέτων τε καὶ ἀμιμήτων ὁμωνύμως εἰρημένων αὐτῷ, διὰ τὸ χάριτι καὶ δυνάμει Πνεύματος θείου, καθὰ δὴ καὶ πολλάκις εἶπον οἱ θεολό-
D γοι, ὑπερφυῶς ἐν σχέσει καὶ ταῦτα γίγνεσθαι.

Καὶ ταῦτα νῦν ἐγὼ λέγω διὰ τοὺς θηρευτὰς τῶν συλλαβῶν καὶ τῶν λέξεων, καὶ τῶν ὁμωνυμιῶν ἀκροσφαλεῖς ἐξεταστάς τε καὶ ῥήτορας. Ἐπεί τοί γε ἄλλως οὐδὲ βραχὺν ἂν κατ' ἐμαυτὸν ἐποιησάμην τουτονὶ λόγον, οὐ διὰ τὴν περιττήν φημι μόνον ἀδολεσχίαν, καὶ τοὺς ἐπαλλήλους τῶν λόγων τουτουσὶ λόγους καὶ τὰς ταυτολογίας, ἀλλ' ὅτι καὶ οὐσιοποιοὺς, καὶ ζωογόνους, καὶ σοφοδώρους, καὶ καλοποιοὺς καὶ εἰρηνοποιοὺς καὶ τῶν θεουργουμένων θεοποιοὺς, καὶ ἀνάρχους, καὶ ἀτελευτήτους ἐπὶ πᾶσι τὰς φυσικὰς ταυτασὶ τοῦ Θεοῦ προόδους τε καὶ δυνάμεις, διὰ παντὸς ἐκεῖ τοῦ βιβλίου τοῖς ἀκούουσιν ὁ μέγας προσειπὼν Διονύσιος, τὰς τῶν ἀντιθέτων γλωσσαλγίας κενὴν φλυαρίαν ὁμοῦ πάσας ἀπέδειξεν. Ἀλλὰ καὶ

Digitized by Google

Μάξιμος ἅμα καὶ Ἰωάννης οἱ θεολόγοι, μετ' ἐκεῖνον ἐξ ἐκείνου μαθόντες, καὶ δημιουργὸν καὶ παντοδύναμον τὴν θείαν ἐνέργειαν ἀπεκάλεσαν, μία γὰρ καὶ ἡ πολυειδὴς αὕτη καὶ πολυώνυμος κατ' αὐτοὺς αὖθις τούτους, ἃ δὴ καὶ ἡμῖν ἑπομένοις αὐτοῖς ἐν τῷ περὶ θείας ἐνεργείας βιβλίῳ πλατύτερον εἴρηται.

Ἀλλὰ μὴ πολλοὶ θεοὶ καὶ θεότητες διὰ τούτους τοὺς λόγους, ὃ κακῶς καὶ ἀθέως τισὶν ἔδοξεν; Οὐδαμῶς τοῦτο, φίλος, οὐδαμῶς. Ψεῦδος καὶ γὰρ καὶ συκοφαντία κατὰ τῆς Ἐκκλησίας Χριστοῦ, πολὺ τὸ δυσσεβὲς ὁμοῦ καὶ ἀμαθὲς καὶ μωρὸν ἐπισυρομένη κατὰ τῶν οὕτω ταῦτα νοούντων τε καὶ λεγόντων. Εἷς γὰρ ἡμῖν ὁ διὰ πάντων τρισυπόστατός τε καὶ παντοδύναμος Θεὸς καὶ νοούμενος καὶ λεγόμενος· ἁπλοῦς μὲν, καὶ ἄληπτος καὶ ἀμέθεκτος, ἅμα καὶ ἀθεώρητος καὶ ἀόρατος καὶ ὑπερώνυμος, καὶ ἀμέριστος, καὶ ἄσχετος, καὶ ἀμίμητος κατὰ τὴν οὐσίαν, μᾶλλον δ' εἰπεῖν ἀκριβέστερον σύν γε τοῖς θεολόγοις τούτοις κατὰ τὸ τῆς ὑπερουσιότητος κρύφιον· ἁπλοῦς δ' αὖθις ὁμοῦ καὶ πολυειδὴς ὁ αὐτὸς κατὰ τοὺς αὐτοὺς διδασκάλους, καὶ πάλιν καὶ ληπτός πως καὶ μεθεκτὸς καὶ θεωρητὸς καὶ ὁρατὸς ἐν Πνεύματι, ὀνομαζόμενος καὶ μεριζόμενος ἀμερίστως κατὰ τὴν θείαν ἐνέργειαν, καὶ ἐν σχέσει καὶ μιμήσει κατ' αὐτήν φημι ταύτην ὁ ἄσχετος καὶ ἀμίμητος ἐν τῷ αὐτῷ γινόμενος Πνεύματι, θεοποιῶν τε τοὺς θεουμένους οὐ τῷ ἀλήπτῳ καὶ ἀμεθέκτῳ καὶ ἀῤῥήτῳ τῆς ὑπερουσίου καὶ κρυφίας θεότητος, πῶς γάρ; τῇ δ' αὐτοῦ φυσικῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ χάριτι, ἣν δὴ καὶ θεότητα καὶ θέωσιν καὶ θεοποιὸν δωρεὰν τοῦ Πνεύματος ἡ θεολογία καλεῖ, καθὰ δὴ καὶ διὰ πολλῶν ἤδη πεφιλοσόφηται τοῖς θεολόγοις, κτίσμα μὲν οὐκ οὖσαν Θεοῦ. Πῶς γὰρ ἂν καὶ εἴη τοῦτό ποτε, φυσικῶς ἐν αὐτῷ πεφυκυῖα, καὶ μετόχους ἐργαζομένη Θεοῦ, καὶ κοινωνοὺς θείας φύσεως, καὶ θέσει καὶ χάριτι θεοποιοῦσα τοὺς θεουμένους; Οὐ γὰρ ἄν ποτε, φασὶν οἱ ταύτης μέτοχοι θεολόγοι καὶ θεοὶ κατὰ χάριν, διὰ τοῦ τῆς θείας φύσεως ἀλλοτρίου θεουργηθεῖεν οἱ θεουργούμενοι, ἀλλὰ διὰ τοῦ ξυγγενοῦς καὶ οἰκείου μᾶλλον τῇ θείᾳ φύσει· οὐδὲ θεοποιήσει ποτὲ τὸ κτίσμα τοὺς τούτου μετέχοντας· οὐδὲ Θεὸς ἂν ἐκεῖνος κληθείη ποτὲ, ὁ θεότητα κτιστὴν, ὡς οἱ κακοὶ θεολόγοι φασὶ, προϊσχόμενος· εἰ γὰρ Θεὸς ἐκεῖνος, φησὶν, οὐ κτίσμα· μεθ' ἡμῶν γὰρ τὸ κτίσμα τῶν οὐ θεῶν. Εἰ κτίσμα δὲ, οὐ Θεός. Ἡ γοῦν θεότης καὶ Θεὸς εἷς ἀληθῶς ἄκτιστος τὸ παρ' ἡμῶν λεγόμενόν τε καὶ πρεσβευόμενον, καὶ τὸ ζητούμενον ἔχομεν, πόῤῥω πάσης διθεΐας τε καὶ πολυθεΐας καὶ κτισμάτων ἅμα λατρείας γενομένων τοῦ καταλόγου· ἢ καὶ Θεὸν κτιστὸν συνεισάξουσιν οἱ κτιστὴν θεότητα κάκιστά τε καὶ ἀτοπώτατα παρεισάγοντες, ὅπερ οὐκ ἂν γένοιτό ποτε. Εἰ κτίσμα γὰρ, οὐ Θεὸς, καὶ μεθ' ἡμῶν τὸ κτίσμα τῶν οὐ θεῶν ὁ θεολόγος φησί. Κτίσμα μὲν οὖν, ὅπερ εἶπον οἱ θεολόγοι, τὴν θεοποιὸν τοῦ Θεοῦ θεότητά τε καὶ θέωσιν ἀμήχανον εἶναί ποτε, καὶ λέγεσθαι. Ἀλλ' οὐδὲ σχέσιν ἁπλῶς, ἣν διάθεσίν φασι τοῦ ποιοῦντος πρὸς τὸ ποιούμενον. Ὅθεν δὴ καὶ οἱ περὶ Γρηγορᾶν ὡρμημένοι κακῶς, οὐ πρὸς τὰ κτίσματα μόνον, ἀλλὰ καὶ πρὸς τὸ ἀνύπαρκτον καὶ μὴ ὂν αὐτὴν κατασπᾷν ἐπεχείρησαν κάκιστα. Οὐ μὴν διὰ τοῦτο καὶ θεότης τίς ἐστιν ἑτέρα παρὰ τὸν Θεὸν, οὐσία τις ἢ ὑπόστασις, ἢ ἄλλο τι τρίτον οὐκ οἶδ' ὅ τι καὶ φῶ, καθ' ἑαυτό πως ὑφεστώς τε καὶ θεωρούμενον. Ὃ δὴ καὶ φαντασθέντες αὐτός τε καὶ οἱ αὐτοῦ θεολόγοι καὶ πατέρες, Βαρλαάμ φημι καὶ Ἀκίνδυνος, κακῶς τὴν διθεΐαν ταῖς τῶν πιστῶν ἀκοαῖς φέροντες ἐπεισήγαγον. Ἀλλ' αὐτή ἐστιν ἡ τοῦ Θεοῦ φυσικὴ δύναμις καὶ θεότης, ἀδιαιρέτως ἡνωμένη τε καὶ ξυμπεφυκυῖα τῇ φύσει, ὡς τῷ πυρὶ τὸ θερμαίνειν καὶ τῷ κρυστάλλῳ τὸ ψύχειν, κατὰ τὰ πολλάκις ἐν τοῖς φθάσασι ῥηθέντα τοῖς θεολόγοις· μᾶλλον δ' ὑπὲρ ταῦτα καὶ ἕν πως τῇ θείᾳ φύσει, ἐπινοίᾳ καὶ οὐ πράγματι τὴν πρὸς ἐκείνην διαφορὰν ἔχουσα. Οὐ γὰρ τὸ εἰδέναι ταῦτα, Μάξιμός φησιν ὁ μέγας, οὐδ' ὁ ἀριθμὸς, καὶ διαίρεσιν ἐπεισάγει· μὴ γένοιτο.

Ὅτι δ' αὐτὴ καὶ οὐκ ἄλλη τίς ἐστιν ἡ τοῦ Θεοῦ θεότης, φυσικῶς μὲν αὐτῷ προσοῦσα καὶ ἀδιαιρέτως ὡς ἐνέργεια φυσικὴ καὶ οὐσιώδης, μεθεκτῶς δὲ καὶ τοῖς ἀνθρώποις προσγινομένη, καὶ τοὺς μετέχοντας θεουργοῦσα, ὡς ἡ θερμότης ἔν τε τῷ φυσικῶς κεκτημένῳ πυρὶ, καὶ τοῖς θερμαινομένοις, καὶ τὰ μαθήματα, φασὶν οἱ θεολόγοι, παρὰ τοῖς διδάσκουσιν ἅμα καὶ τοῖς διδασκομένοις, καὶ μεταδιδόμενα καὶ τῶν διδασκόντων οὐ διαιρούμενα, καὶ πολλάκις μὲν ἤδη φθάσαντες ἔδειξαν οὗτοι διὰ τῶν ἑαυτῶν λόγων· δείξουσι δ' οὐχ ἧττον οἱ αὐτοὶ καὶ νῦν δι' ὀλίγων. Βασίλειος μὲν οὖν ὁ μέγας πρὸς Εὐνόμιον περὶ τοῦ Πατρὸς γράφων, Ἣν προΐεται, φησὶ, ζωὴν εἰς ἄλλου ὑπόστασιν τὸ Πνεῦμα, οὐ χωρίζεται αὐτοῦ· ἀλλ' ὥσπερ πυρὸς, τὸ μὲν ἔστιν ἡ συνοῦσα θερμότης, τὸ δὲ, ἣν παρέχει τῷ ὕδατι, ἤ τινι τῶν τοιούτων, οὕτω καὶ τὸ Πνεῦμα, καὶ ἐν ἑαυτῷ ἔχει τὴν ζωὴν, καὶ οἱ μετέχοντες αὐτοῦ ζῶσι θεοπρεπῶς ζωὴν θείαν καὶ οὐράνιον κεκτημένοι. Ὁ δὲ τούτῳ συμφυὴς ἀδελφὸς, ὁ Νύσσης φημὶ θεῖος Γρηγόριος, Ἁρμονίῳ περὶ τελειότητος ἐπιστέλλων, Ἐπειδὴ, φησὶ, κατὰ τὸν προφητικὸν λόγον ἀπηλλοτριώθησαν τῆς ζωοποιοῦ μήτρας διὰ τῆς ἁμαρτίας οἱ ἄνθρωποι, τούτου χάριν τὴν ἀπαρχὴν τῆς κοινῆς φύσεως ὁ Χριστὸς ἀναλαβὼν διὰ ψυχῆς τε καὶ σώματος ἁγίαν ἐποίησε, πάσης κακίας ἀμιγῆ τε καὶ ἀπαράδεκτον αὐτὴν ἐν ἑαυτῷ διασώσας, ἵνα ταύτην ἄνω θεὶς διὰ τῆς ἀφθαρσίας, συνεπισπάσηται δι' αὐτῆς πᾶν τὸ συγγενὲς κατὰ τὴν φύσιν αὐτῇ καὶ ὁμόφυλον, καὶ προσδέξηται τοὺς ἀποκηρύκτους εἰς υἱοθεσίαν, καὶ τοὺς ἐχθροὺς τοῦ Θεοῦ εἰς τὴν τῆς θεότητος μετουσίαν. Καὶ ὁ αὐτὸς ἐν τῷ αὐτῷ πάλιν· Μία τῇ φύσει ἡ καθαρότης, ἥ τε ἐν τῷ Χριστῷ, καὶ ἡ ἐν τῷ μετέχοντι θεωρουμένη. Ἀλλ' ὁ μὲν πηγάζει, ὁ δὲ μετέχων ἀρύεται. Καὶ αὖθις· Ὥσπερ τὸν ἑαυτοῦ ἄνθρωπον τῇ δυνάμει τῆς θεότητος ἑαυτῷ ὁ Χριστὸς προσῳκείωσεν, οὕτω καὶ τὸν καθ' ἕκαστον προσάξει τῇ συναφείᾳ τῆς θεότητος, εἰ μηδὲν ἐπάγοιντο τῆς πρὸς τὸ θεῖον συμφυΐας ἀνάξιον. Ἡ δὲ χρυσῆ τῷ ὄντι καὶ θεοκίνητος γλῶττα, πρὸς τὸ σαφέστερον οἱονεὶ φέρουσα ταῦτα, καὶ τίς ἡ μετεχομένη θεότης ὑποδεικνῦσα καθόσον οἷόν τε διὰ τῆς εὐαγγελικῆς ἐξηγήσεως, Ἐκ τοῦ πληρώ-

Digitized by Google

ματος αὐτοῦ, φησὶν, ἡμεῖς πάντες ἐλάβομεν. Ἆρ' οὐκ ἐπὶ τῆς αὐτῆς μένει πληρότητος τὸ πῦρ, καὶ μετὰ τὸ μεταδοῦναι τοσούτοις τῆς ἐνεργείας τῆς αὐτοῦ; Παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἔνθα οὐσία ἐστὶ τὸ ὑποκείμενον καὶ σῶμα, καὶ μερίζεται καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λόγος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Οὐχ οὗτοι τοίνυν εἰσὶ κατὰ τὰς ἀντιθέτους γλώσσας καὶ θεομάχους οἱ τὴν διθεΐαν κακῶς ἐπεισάγοντες· ἀλλ' οὐδ' ἡμεῖς οἱ καλῶς ἐν ἅπασι τούτοις ἑπόμενοι, ἀλλ' ἐκεῖνοι μᾶλλον οἱ πρὸς τῇ θείᾳ καὶ ἀνωνύμῳ φύσει καὶ κτιστὴν ἔχειν θεότητα τὸν Θεὸν, οὐκ οἶδ' ὅθεν, καὶ ὅπως καινοτομήσαντες, κἀντεῦθεν ὑφειμένην τε καὶ ὑπερκειμένην τυραννικῶς ἐπεισαγαγόντες τῷ ὄντι· τοῦτο καὶ γὰρ ἀληθῶς ἡ τῶν οὐσιῶν ἐργάζεσθαι διαφορὰ πέφυκε, τὸ κτιστὸν δηλονότι καὶ ἄκτιστον, ὃ δὴ καὶ ὁ μέγας ἤδη φθάσας εἴρηκε Διονύσιος.

Καὶ τοῦτο δὴ τὸ καινόν ἐστι καὶ τερατείας ἁπάσης καὶ ψεύδους ἔμπλεων, ὅτι τὴν διθεΐαν ὁμοῦ καὶ τὴν τοῦ κτίσματος λατρείαν, καὶ δὴ καὶ τὸ ὑπερκείμενον ὄντως κατ' οὐσίαν καὶ ὑφειμένον Βαρλαάμ τε καὶ Ἀκίνδυνος ἄνωθεν, καὶ οἱ περὶ Γρηγορᾶν τουτονὶ σὺν ἐκείνοις κακῶς κατὰ τῆς εὐσεβείας καὶ τοῦ ταύτης ὑγιοῦς λόγου καινοτομήσαντες, ἔπειτα τοῖς ἱεροῖς θεολόγοις καὶ τῇ Ἐκκλησίᾳ Χριστοῦ κάκιστα τὴν ἐκεῖθεν ἀμορφίαν, καὶ τὸ αἶσχος μετὰ πολλῆς τῆς συκοφαντίας ὁμοῦ καὶ τῆς ἀναισχυντίας ἐπάγουσι, πολὺν τὸν κονιορτὸν, καὶ τὴν τῶν λογισμῶν σύγχυσιν ἐντεῦθεν τοῖς πολλοῖς ἐπεγείροντες, καὶ τῶν πιστῶν Ἐκκλησίας μετ' Ἀρείου φημὶ καὶ Σαβελλίου καὶ Μακεδονίου, καὶ τῆς κατ' ἐκείνους τε, καὶ μετ' ἐκείνους πολυθέου καὶ θεομάχου συμμορίας, διαιροῦντές τε καὶ συγχέοντες. Τοῦτο γὰρ δὴ κἀκείνοις τὸ πρόχειρον εἰς κατηγορίαν ἦν τότε κατὰ τῆς Ἐκκλησίας Χριστοῦ. Ἐπειδὴ, φησὶ, πολλοὺς θεοὺς καὶ πολλὰ πρεσβεύουσιν ἄκτιστα, οὕτω τὸ τῆς Τριάδος ὁμοούσιον καὶ ὁμότιμον καθ' ἡμῶν διασύροντες· ἐπειδὴ τὴν μίαν ἐκεῖνοι τρισυπόστατον θεότητα κακῶς εἰς διαφόρους οὐσίας καὶ ἄκτιστα καὶ κτιστὰ διασπῶντες, ἔπειτα μοναρχίαν δῆθεν, καὶ τὸν ἕνα πρεσβεύειν Θεὸν, ἀκριβῶς ἐνόμιζον. Ὃ δὴ καὶ καθ' ἡμῶν νῦν ὡσαύτως οἱ ἐκείνων ὀπαδοὶ προβάλλονται καὶ ὁμόφρονες, θεοπρεπῆ διαφορὰν οὐσίας θείας καὶ ἐνεργείας συνῳδὰ πρεσβευόντων τῇ θείᾳ θεολογίᾳ, καὶ τὴν οὐσίαν ὑπερκεῖσθαι θεοπρεπῶς τῶν θείων λεγόντων ταύτης δυνάμεων, οἱ τὰς κτιστὰς θεότητας τολμηρᾷ καὶ διανοίᾳ καὶ γλώττῃ καὶ νῦν σὺν ἐκείνοις ἧπερ ἔφην εἰσάγοντες, καὶ τὸ κατ' οὐσίαν ὑπερκείμενόν τε καὶ ὑφειμένον, φημὶ δὴ τὸ κτιστὸν καὶ τὸ ἄκτιστον. Ἡμεῖς δ' ὑπερκεῖσθαι θεοπρεπῶς λέγοντες τὴν θείαν οὐσίαν τῆς ἑαυτῆς ἐνεργείας, καὶ κατωτέρω ταύτην ἐκείνης ὡς ἀρχῆς καὶ αἰτίας καὶ οὐσίας αὐτῆς λέγοντες, οὐκ εἰς ἄκτιστα καὶ κτιστὰ, καὶ κυρίως ὑπερκείμενά τε καὶ ὑφειμένα διαιροῦμεν κατ' ἐκείνους τὴν μίαν καὶ ἀδιαίρετον θεότητα· ἀλλὰ μίαν ἴσμεν καὶ κηρύττομεν θεότητα ἄκτιστον καὶ ἀΐδιον τοῦ ἑνὸς τρισυποστάτου καὶ παντοδυνάμου Θεοῦ, κἂν διαρραγῶσιν οἱ τὰς κτιστὰς καινοτομοῦντες θεότητας, καὶ τὸ κακῶς τε καὶ δυσσεβῶς κατ' οὐσίαν ὑφειμένον καὶ ὑπερκείμενον, ὁ Βαρλαὰμ ὁ τῆς αἱρέσεως πρῶτος ἀρχηγὸς κατὰ τοῦ τῆς εὐσεβείας, ὅπερ ἔφην, λόγου καινοτομήσας, τοῖς αὐτοῦ διαδόχοις καὶ μετ' αὐτὸν ἀρχηγοῖς καὶ σπουδασταῖς τῆς αἱρέσεως αὐτοῦ κακῶς καταλέλοιπε. Μᾶλλον δὲ κἀνταῦθα τῆς συνόδου καὶ τοῦ ταύτης ἱεροῦ τόμου καλὸν ἂν εἴη διακοῦσαι καὶ αὖθις, καὶ οἷς ἄνωθεν Γρηγορᾶς ἀντιλέγειν ἐπεβάλλετο δῆθεν. Τί οὖν ὁ τόμος; Μετὰ δὴ τὸ φανῆναι, φησὶ, καὶ τὴν θείαν ἐνέργειαν θεότητα ὀνομαζομένην, ἐζητήσαμεν ἀποδειχθῆναι παρὰ τῶν θεολόγων, εἰ τῆς θείας ἐνεργείας ταύτης καὶ τῶν οὐσιωδῶς περὶ αὐτὴν θεωρουμένων ὑπέρκειται κατ' οὐσίαν ὁ Θεός· καὶ ἀνεφάνη καὶ τοῦτο παρὰ πάντων κηρυττόμενον τῶν

B ἁγίων. Συναπεδείχθη δὲ καὶ τοῦτο, ὅτι οἱ μὴ τοῦτο παραδεχόμενοι ὄντως πολύθεοί εἰσι, πολλὰς λέγοντες ἀρχὰς, ὡς μὴ ἀναφέροντες εἰς ἓν αἴτιον καὶ μίαν ἀρχὴν τὰ περὶ τὸν Θεὸν οὐσιωδῶς θεωρούμενα. Ὁ γὰρ μέγας Βασίλειος ἐν τοῖς Ἀντιῤῥητικοῖς φησιν· Ἔστι τι τάξεως εἶδος, οὐκ ἐκ τῆς παρ' ἡμῶν θέσεως συνιστάμενον, ἀλλ' αὐτῇ τῇ κατὰ φύσιν ἀκολουθίᾳ συμβαῖνον, ὡς τῷ πυρὶ πρὸς τὸ φῶς ἐστι τὸ ἐξ αὐτοῦ· ἐν τοῖς τοιούτοις γὰρ πρότερον τὸ αἴτιον λέγομεν, δεύτερον δὲ τὸ ἀπ' αὐτοῦ, οὐ διαστήματι χωρίζοντες ἀλλήλων ταῦτα, ἀλλὰ τῷ λογισμῷ τοῦ αἰτιατοῦ προεπινοοῦντες τὸ αἴτιον. Πῶς οὖν εὔλογον ἀρνεῖσθαι τὴν τάξιν ἐφ' ὧν ἐστι πρῶτον καὶ δεύτερον, οὐ κατὰ τὴν ἡμετέραν θέσιν, ἀλλ' ἐκ τῆς κατὰ φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας; Ἀλλὰ καὶ ἐν

C τοῖς πρὸς Ἀμφιλόχιον γράφει· Αἱ δὲ ἐνέργειαι Πνεύματος τίνες; Ἄῤῥητοι μὲν διὰ τὸ μέγεθος, ἀνεξαρίθμητοι δὲ διὰ τὸ πλῆθος. Πῶς γὰρ νοήσομεν τὰ τῶν αἰώνων ἐπέκεινα; τίνες ἦσαν αὐτοῦ πρὸ τῆς νοητῆς κτίσεως αἱ ἐνέργειαι; πόσαι δὲ αἱ ἀπ' αὐτοῦ περὶ τὴν κτίσιν χάριτες; τίς δὲ ἡ πρὸς τοὺς αἰῶνας τοὺς ἐπερχομένους δύναμις; ἦν μὲν γὰρ καὶ προῆν καὶ συμπαρῆν τῷ Υἱῷ καὶ τῷ Πατρὶ πρὸ τῶν αἰώνων. Ὥστε, κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, καὶ τοῦτό ἐστι τοῦ Πνεύματος, κατωτέρω τὰς προαιωνίους ἐνεργείας τοῦ Πνεύματος ἀποφαινόμενος εἶναι. Ἐν δὲ τῷ περὶ θεότητος Υἱοῦ καὶ Πνεύματος λόγῳ ὁ Νύσσης θεῖος Γρηγόριός φησιν· Ἡ μὲν θεία φύσις ἄφραστός τε καὶ ἀνεκφώνητος μένει,

D ὑπερβαίνουσα πᾶσαν τὴν διὰ φωνῆς σημασίαν. Οὐκοῦν οὐχὶ φύσιν, ἀλλὰ τὴν θεατικὴν δύναμιν τοῦ Πνεύματος ἡ τῆς θεότητος προσηγορία παρίστησιν. Ὁ δὲ μέγας Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν δευτέρῳ λόγῳ τῶν αἱρετικῶν λεγόντων τῆς θελήσεως εἶναι τὸν Υἱὸν, ἀλλ' οὐ τῆς φύσεως τοῦ Πατρὸς, Εἰ τὸ βούλεσθαι, φησὶ, περὶ τῶν μὴ ὄντων διδόασι τῷ Θεῷ, διατί τὸ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ; Κἀν τῷ τρίτῳ κατὰ τῶν αὐτῶν, Τὸ μὲν ἀντικείμενον οὐ τεθεωρήκασιν· ὥσπερ γὰρ ἀντίκειται τῇ βουλήσει τὸ παρὰ γνώμην, οὕτως ὑπέρκειται καὶ προηγεῖται τοῦ βούλεσθαι τὸ κατὰ φύσιν. Καὶ κατὰ Μακεδονίου γράφων ὁ αὐτὸς, Γίνωσκε, φησὶν, ὅτι τὸ Θεὸς εἶναι δεύτερόν ἐστι τῆς φύσεως. Καὶ γὰρ καὶ ἡμεῖς ἐὰν μιμηταὶ γενώμεθα

Digitized by Google

τοῦ Θεοῦ κατὰ τὸν Παῦλον, θεοὶ μὲν γινόμεθα, τῆς δὲ αὐτῆς φύσεως γενέσθαι οὐ δυνάμεθα. Ὁ δὲ θεῖος Μάξιμος, Πάντων, φησὶ, τῶν ὄντων καὶ μετεχόντων καὶ μεθεκτῶν, ἀπειράκις ἀπείρως ὁ Θεὸς ὑπερεξῄρηται. Ἀλλὰ καὶ ὁ μέγας Διονύσιος ἐν τῷ Περὶ θείων ὀνομάτων δωδεκάτῳ φησί· Καθόσον ὑπερέχουσι τῶν οὐκ ὄντων τὰ ὄντα ἅγια ἢ θεῖα ἢ κύρια ἢ βασιλικὰ, καὶ αὐτῶν μετεχόντων αἱ αὐτομετοχαὶ, κατὰ τοσοῦτον ὑπερίδρυται πάντων τῶν ὄντων ὁ ὑπὲρ πάντα τὰ ὄντα, καὶ πάντων τῶν μετεχόντων καὶ τῶν μεθεκτῶν ὁ ἀμέθεκτος αἴτιος. Κἂν τῇ δευτέρᾳ πρὸς Γάϊον ἐπιστολῇ, Πῶς, φησὶν, ὁ πάντων ἐπέκεινα καὶ ὑπὲρ θεαρχίαν ἐστὶ καὶ ἀγαθαρχίαν; Εἰ θεότητα καὶ ἀγαθότητα νοήσαις αὐτὸ τὸ χρῆμα τοῦ ἀγαθοποιοῦ καὶ θεοποιοῦ δώρου, καὶ τὸ ἀμίμητον μίμημα τοῦ ὑπερθέου καὶ ὑπεραγάθου, καθ' ὃ θεούμεθα καὶ ἀγαθυνόμεθα. Καὶ γὰρ, εἰ τοῦτο ἀρχὴ γίνεται τοῦ θεοῦσθαι καὶ ἀγαθύνεσθαι τοῖς θεουμένοις καὶ ἀγαθυνομένοις, ὁ πάσης ἀρχῆς ὑπεράρχιος καὶ τῆς οὕτω λεγομένης θεότητος, ὡς θεαρχίας καὶ ἀγαθαρχίας ἐστὶν ἐπέκεινα. Καὶ πάλιν ὁ αὐτός· Μετιτέον ἐπὶ τὴν ὄντως οὖσαν τοῦ ὄντως ὄντος θεολογικὴν οὐσιωνυμίαν. Τοσοῦτον δὲ ὑπομνήσομεν, ὅτι τῷ λόγῳ σκοπὸς οὐ τὴν ὑπερούσιον οὐσίαν, ᾗ ὑπερούσιος, ἐκφαίνειν· ἄῤῥητον γὰρ τοῦτο καὶ ἄγνωστον, καὶ παντελῶς ἀνέκφαντον καὶ αὐτὴν ὑπεραῖρον τὴν ἕνωσιν, ἀλλὰ τὴν οὐσιοποιὸν εἰς τὰ ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον ὑμνῆσαι. Ὁ δὲ θεῖος Μάξιμος ἐν τοῖς σχολίοις πρόοδόν φησιν ἐνταῦθα τὴν θείαν ἐνέργειαν, ἥτις πᾶσαν οὐσίαν παρήγαγε. Τὰ δὲ ἑξῆς τῆς θεολογίας ὄντα τοῦ σοφοῦ χρυσοῤῥήμονος, ἔκ τε τῶν περὶ ἀκαταλήπτου φημὶ λόγων αὐτοῦ, ἐν οἷς τοὺς προφήτας παράγει οὐ μόνον τὴν θείαν οὐσίαν ἀγνοοῦντας, ἀλλὰ πρὸς ταύτῃ καὶ τὴν σοφίαν τὴν ἐξ αὐτῆς οὖσαν, καὶ δὴ καὶ ἐκ τῆς εὐαγγελικῆς ἐξηγήσεως, ἐν ᾗ τὸ θεολογικὸν ἐκεῖνο ῥητὸν ὁ αὐτὸς ἐξηγεῖται, Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς, λέγων, τὸ Πνεῦμα τῷ Υἱῷ δηλονότι. Ταῦτα τοίνυν ὁ λόγος ἡμῖν ἐνταῦθα παρῆκε καὶ ταῦτα τοῦ τόμου γε ὄντα καὶ ξυνημμένα τοῖς προῤῥηθεῖσι λόγοις τῶν θεολόγων, ἐπειδὴ καὶ φθάσαντες ἐν τοῖς περὶ ἐνεργείας ἡμῶν λόγοις ἤδη καὶ ταῦτα κατὰ λέξιν ἀκριβῶς ἐξεθέμεθα.

Ὁ μὲν οὖν Γρηγορᾶς καὶ ταῦτα πλὴν ὀλίγων συνήθως ἀπεσιώπησεν· ἡμῖν δ' ἐκεῖνα καθάπαξ λείπει ἃ ἔδει διεξελθοῦσι, καὶ ξυγγενῆ καὶ κατάλληλα προσθεῖναι τοῖς ῥηθεῖσιν ἀναγκαῖον ἐκ τῶν φημι θεολόγων, ἵνα μὴ κἀνταῦθα θεσπίζειν ἡμᾶς αὐτοκρατορικῶς οἱονεὶ καὶ ἀναποδείκτως θεολογεῖν ὁ Γρηγορᾶς καὶ αὖθις συκοφαντεῖν ἔχοι, καὶ ὡς οὐδένας τῶν ἁγίων τοῖς ἡμετέροις λόγοις συμμαχοῦντας προφέρομεν. Διονύσιος τοίνυν ὁ ἐξ Ἀθηνῶν τῆς ἱερᾶς Ἐκκλησίας φωστὴρ, ἵνα τῶν προῤῥηθέντων καὶ αὖθις ἐπαναλάβωμέν τινα, ἐν τῷ Περὶ θείων ὀνομάτων τοιάδε τινὰ περὶ τῶν νῦν ἡμῖν προκειμένων φιλοσοφεῖ. Τινὲς, φησὶ, τῶν θείων ἱεροδιδασκάλων ἡμῶν καὶ τῆς αὐτοαγαθότητος καὶ θεότητος ὑποστάτην φασὶ τὸν ὑπεράγαθον καὶ ὑπέρθεον, ἀγαθότητα καὶ θεότητα λέγοντες εἶναι τὴν ἀγαθοποιὸν καὶ θεο-

A ποιὸν ἐκ Θεοῦ προεληλυθυῖαν δωρεὰν, καὶ αὐτοκάλλος τὴν αὐτοκαλλοποιὸν χύσιν, καὶ ὅλον κάλλος καὶ μερικῶς κάλλος, καὶ ὅλως καλὰ καὶ ἐν μέρει καλὰ, καὶ ὅσα ἄλλα κατὰ τὸν αὐτὸν εἴρηται καὶ εἰρήσεται τρόπον, δηλοῦντα προνοίας καὶ ἀγαθότητας μετεχομένας ὑπὸ τῶν ὄντων, ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑπερβλυζούσας, ἵνα ἀκριβῶς ὁ πάντων αἴτιος ἐπέκεινα ᾖ πάντων, καὶ τὸ ὑπερούσιον καὶ ὑπερφυὲς πάντῃ ὑπερέχῃ τῶν καθ' ὁποιανποτε οὐσίαν καὶ φύσιν. Ἀθανάσιος δ' αὖθις ὁ μέγας ἐν τῷ πρὸς Ἀρειανοὺς δευτέρῳ λόγῳ, Εἰ τὰ ἐκτὸς, φησὶ, καὶ μὴ ὄντα πρότερον βουλόμενος ὁ Θεὸς δημιουργεῖ, πολλῷ πρότερον εἴη ἂν Πατήρ. Εἰ γὰρ τὸ βούλεσθαι περὶ τῶν μὴ ὄντων διδόασι τῷ Θεῷ, διατί τὸ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι
B τοῦ Θεοῦ; Ὑπεραναβέβηκε δὲ τῆς βουλήσεως τὸ πεφυκέναι καὶ εἶναι αὐτὸν Πατέρα τοῦ ἰδίου Λόγου. Καὶ πάλιν· Δεύτερόν ἐστι καθὰ προεῖπον τὸ δημιουργεῖν τοῦ γεννᾷν τὸν Θεόν. Ὁ μὲν γὰρ Υἱὸς ἴδιον καὶ ἀληθῶς ἐκ τῆς μακαρίας ἐκείνης καὶ ἀεὶ οὔσης οὐσίας ἐστί· τὰ δὲ ἐκ βουλήσεως αὐτῆς ἔξωθεν συνιστάμενα γίνεται. Ὁ δὲ Νύσσης θεῖος Γρηγόριος οὕτω πρὸς Εὐνόμιον γράφων φησί· Ταῦτα τοίνυν μαθόντες ἀπὸ τοῦ Παύλου, θαῤῥοῦντες ἀποφαινόμεθα, ὅτι οὐ μόνον τὰ κρίματα τοῦ Θεοῦ τῆς τῶν ἐρευνᾷν ἐπιχειρούντων δυνάμεώς ἐστιν ὑψηλότερα, ἀλλὰ καὶ αἱ τῆς γνώσεως ὁδοὶ μέχρι τοῦ νῦν καὶ ἀνεπίβατοι μένουσι. Καὶ μετ' ὀλίγον·
C Ταῦτα τοίνυν ἐκ τῆς ἀποστολικῆς μεγαλοφυΐας μαθόντες, ἀναλογιζόμεθα διὰ τῶν εἰρημένων, ὅτι εἰ τὰ κρίματα ἀνεξερεύνητα, καὶ αἱ ὁδοὶ οὐκ ἐξιχνιάζονται, καὶ ἡ τῶν ἀγαθῶν ἐπαγγελία πάσης ὑπέρκειται τῆς ἀπὸ στοχασμῶν εἰκασίας, πόσῳ μᾶλλον τῷ μέτρῳ κατὰ τὸ ἄφραστόν τε καὶ ἀπροσπέλαστον ἄνω ἐστὶ καὶ ὑψηλότερον αὐτὸ τὸ θεῖον τῶν περὶ αὐτὸ νοουμένων;

Τί δ' ὁ σοφὸς τῷ ὄντι καὶ θεσπέσιος Κύριλλος πρὸς Ἀρειανοὺς φησι γράφων; Ἔλαττόν ἐστι τὸ Θεὸν εἶναι τοῦ Πατέρα εἶναι τὸν Πατέρα καὶ Θεόν. Εἰ μὲν γὰρ Θεὸς, πρὸς τὰ δοῦλα τὴν σχέσιν ἔχει· εἰ δὲ Πατὴρ, πρὸς τὸν ἴδιον καὶ ὁμότιμον Υἱόν. Καὶ πάλιν ὁ αὐτός· Εἰ μέγα τι χαρίζεσθαι νομίζουσιν οἱ Χριστομάχοι τῷ Θεῷ, Πατέρα μὲν ἐξ ἀρχῆς οὐχ
D ὁμολογοῦντες αὐτὸν, Θεὸν δὲ εἶναι διδόντες, ἀκουέτωσαν ὅτι λίαν ὑβρίζουσι πράγματος ἀξιολογωτέρου τὴν θείαν ἀποστεροῦντες φύσιν. Θεὸς μὲν γὰρ ὡς πρὸς τὰ δοῦλα, καὶ τὰ γενητὴν ἔχοντα τὴν οὐσίαν ἔχει τὴν σχέσιν· Πατὴρ δὲ ὡς πρὸς Υἱόν. Οἱ λέγοντες τοίνυν ὅτι Θεὸς μὲν ἦν ἐξ ἀρχῆς, οὔπω δὲ καὶ Πατὴρ, τὴν πρὸς τὰ δοῦλα σχέσιν προσάπτουσι τῷ Θεῷ τοῦ μείζονος ἀποστεροῦντες αὐτόν. Κρεῖττον γὰρ τὸ Πνεῦμα γεννήματος εἶναι. Καὶ μετά τινα· Εἰ μὴ τὸ Πατὴρ ὄνομα κυριώτερόν πώς ἐστι καὶ ἀξιολογώτερον ἐπὶ Θεοῦ ἢ τὸ Θεὸς, οὗ χάριν ὁ Σωτὴρ οὐκ ἐκέλευσε βαπτίζειν εἰς ὄνομα Θεοῦ καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἀλλὰ τὸ ἀληθέστερον σημαίνων τῆς θείας φύσεως ἀξίωμα, εἰς Πατέρα φησὶ καὶ Υἱὸν, καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον; Καὶ πάλιν· Οὐχ εἶπεν, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν

Digitized by Google

Θεὸν, ἀλλὰ τὸν Πατέρα, τὸ μεῖζον ἀπονέμων αὐτῷ, A καὶ οὐ τὸ ἔλαττον. Οὐκοῦν πρῶτον ἔστω Πατὴρ, καὶ οὕτω Θεὸς, ἢ καὶ ἅμα καὶ ξυνημμένως.

Ἰδοὺ δέδεικται τοῖς θεολόγοις ἀκριβῶς διὰ πλειόνων, φιλόσοφε, ὅτι οὐ μόνον ἡ τοῦ Θεοῦ οὐσία τῶν περὶ αὐτὴν οὐσιωδῶς θεωρουμένων καθὸ οὐσία καὶ πηγὴ καὶ ῥίζα καὶ αἰτία ὑπέρκειται, τὴν φυσικὴν δηλονότι τάξιν τηροῦσα, ἀλλὰ καὶ ταῦτα δὴ ταῦτα τὰ περὶ Θεὸν φυσικῶς θεωρούμενα, τήν τε πρὸς ἄλληλα κατὰ τὸ σημαινόμενον οὐκ ἀρνεῖται διαφορὰν, καὶ δὴ καὶ τὸ πρῶτον ὡσαύτως, καὶ τὸ δεύτερον καὶ τὸ μεῖζόν τε καὶ τὸ ἔλαττον, καθὰ δὴ καὶ τὸ Πατὴρ καὶ Θεὸς, καὶ τὸ Υἱὸς καὶ Κύριος περὶ τὴν αὐτὴν οὐσίαν, καὶ τὰς αὐτὰς θείας ὑποστάσεις, κατ' αὐτοὺς δὴ τούτους φημὶ τοὺς ἱεροὺς θεολόγους θεωρούμενα, ἀλλ' οὐχὶ πρὸς τὸ κτιστόν τε καὶ ἄκτιστον ἡ φυσικὴ B τάξις αὕτη, καὶ ἡ ἀκολουθία φέρει κατὰ τὴν δυσσεβῆ καὶ ἄτακτόν τε, καὶ ἀνακόλουθον ὄντως Βαρλαὰμ καὶ Ἀκινδύνου, καὶ τῶν τὰ αὐτὰ φρονούντων ἐκείνοις, ὑπερκειμένην ὄντως καὶ ὑφειμένην θεότητα. Ἐῤῥέτωσαν μετὰ τῆς Ἑλληνικῆς πολυθεΐας οἱ τὰ τοιαῦτα δοξάζοντες. Οὐ γὰρ πολλὰ τὰ αἴτια λέγομεν, καὶ ἄλλων ἄλλας παρεκτικὰς θεότητας ὑπερεχούσας καὶ ὑφειμένας, μετὰ τῆς ἀποστολικῆς τε καὶ πατρικῆς θεολογίας φαμὲν καὶ ἡμεῖς· ἀλλ' ἑνὸς Θεοῦ τὰς ὅλας ἀγαθὰς προόδους, καὶ τὰς παρ' ἡμῶν ἐξυμνουμένας θεωνυμίας. Διὸ καὶ Γρηγόριος ὁ καθ' ἡμᾶς οὑτοσὶ σοφὸς θεολόγος τε καὶ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας φιλόσοφος, Τὸ δύο λέγειν εἶναι θεότητας, φησὶν, ὑπερκειμένην τε καὶ ὑφειμένην, οὐχ ἡμέτερός ἐστι λόγος, ἀλλὰ τοῦ Βαρλαάμ. Καὶ C μαρτύριον ἀπαράγραπτον τὰ ἐκείνου συγγράμματα καὶ τῶν ἀνθρώπων οἱ πλεῖστοι. Τὸ γὰρ τῶν τοιούτων ἐκεῖνον ἄρξαι οἱ συνειδότες πολλοί. Αὐτὸς δὲ ὁ συνοδικὸς ὑποδείκνυσι τόμος. Ἀλλ' ὁ μὲν Βαρλαὰμ τοῦτο προήνεγκεν, εἰς τὸ κτιστὴν δεῖξαι τὴν ἐπ' ὄρους παραδειχθεῖσαν τοῦ Χριστοῦ θεότητα, καὶ τὴν θεατικὴν τοῦ Πνεύματος δύναμιν, ὡς οὐκ οὔσης μιᾶς ἀκτίστου θεότητος, εἰ ἄκτιστος εἴη καὶ ἡ τῆς θείας φύσεως λαμπρότης καὶ δύναμις. Ἡμεῖς δὲ ἄκτιστον μετὰ τῆς θείας φύσεως καὶ τὴν ἐκφανεῖσαν ἀποῤῥήτως ἐκεῖθεν θείαν αἴγλην ἀνεκηρύξαμεν. Ὡσαύτως δὲ καὶ τὴν δύναμιν, καὶ τὸ διακεκριμένον τῆς θεότητος μὴ προσίστασθαι τῷ ἑνιαίῳ ταύτης συμφώνως τοῖς θεολόγοις ἐδείξαμεν. Εἰ γὰρ καὶ διενήνοχεν D ἡ ἐξουσία τῆς οὐσίας, ὡς ὁ μέγας φησὶ Βασίλειος, ἥ τε θέλησις καὶ ἡ τῆς θείας φύσεως λαμπρότης, καὶ ἁπλῶς ἡ δύναμις τῆς θείας φύσεως, ἀλλ' οὐκ ἔστι χωριστικὴ τῆς φύσεως ἡ τῆς φύσεως λαμπρότης καὶ δύναμις· οὐδ' ἔνι τῆς ἑτέρας τὴν ἑτέραν διαστήσαντα καταλαβεῖν τὴν λειπομένην τῆς ἑτέρας ἔρημον· ἀλλ' ὁ δύναμιν ἢ λαμπρότητα βαλλόμενος ἐπὶ νοῦν εὐθὺς καὶ τὴν φύσιν, ἧς ἑκάτερον τούτων, ἀχωρίστως συγκατενόησε· καὶ πολλῷ μᾶλλον ἐπὶ τῶν θείων, ἐφ' ὧν κατὰ τοὺς θεοσόφους Πατέρας αἱ ἑνώσεις τῶν διαιρέσεων ἐπικρατοῦσι καὶ προκατάρχουσι, μήτ' ἀναιροῦσαι ταύτας, μήτ' ἐμποδιζόμεναι παρὰ τούτων μηδέν. Οὕτως ἡμῖν εἷς Θεὸς ἐν μιᾷ θεότητι.

Ποῦ νῦν εἰσιν οἱ τὴν διθεΐαν ἡμῶν ἀκρατεῖ καταψευδόμενοι γλώττῃ, οἱ πικροὶ συκοφάνται, οἱ κατήγοροι τῶν ἐπαινουμένων, τὰ καινοφανῆ, καὶ δυσειδῆ τοῦ πονηροῦ πλάσματα, ἔτι μοναρχίαν ἀθετοῦντά τινα, κατὰ τῆς δυσσεβοῦς τε καὶ πολυθέου δόξης οὑτωσὶ γενναίως καὶ ἀνδρικῶς καὶ λόγοις καὶ λογισμοῖς ἱεροῖς καὶ γράμμασιν ἵστασθαι; καὶ βάλλειν μὲν οὕτως ἰσχυρῶς διθεΐαν τε καὶ πολυθεΐαν καὶ τὰ κακῶς ὑφειμένα καὶ ὑπερκείμενα, φημὶ δὴ τὴν εἰς κτιστὰ καὶ ἄκτιστα κατατομὴν τῆς μιᾶς τρισυποστάτου, καὶ παντουργοῦ καὶ παντοδυνάμου θεότητος σὺν τοῖς κακοῖς πατράσι τε καὶ δημιουργοῖς τῶν τοιούτων· διθεΐαν δ' αὐτὸν αὖ, ὥσπερ ἐκ μεταμελείας τινὸς, ἢ λήθης ἢ ἀνοίας, ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ, πρεσβεύειν ἐθέλειν κακῶς; Λῆρος τὰ τοιαῦτα πλατὺς, καὶ ἀναισθησία τῷ ὄντι καὶ ἄνοια τῶν αὐτὸ καταψευδομένων τῶν ἱερῶν τουτωνὶ διδασκάλων καὶ θεολόγων, τὴν σφετέραν αὐτῶν πλάνην, καὶ τὸ αἶσχος, καὶ τὸ ἐξ ἀπονοίας ὀλέθριον ὄντως πτῶμα, τοῖς ἐλέγχοις τούτων καὶ καταλυταῖς ὥσπερ ἐξ ἀντιστρόφου κακῶς ἐπιφημιζόντων εἰς ἐξαπάτην καὶ διαστροφὴν τῶν πολλῶν· τοῦτο καὶ γὰρ τῆς δυσσεβείας ὁ κολοφὼν, καὶ τὸ κάκιστον καὶ ἀτοπώτατον ὄντως ταύτης ἐμπόρευμα καὶ κεφάλαιον.

Ἀλλ' ὅπερ ἔλεγον οὐκ εἰς κτιστὰ καὶ ἄκτιστα, καὶ ὑπερκειμένας, καὶ ὑφειμένας, καὶ ἀνίσους καὶ μαχομένας ἀλλήλαις ἄγει θεότητας, κατά γε τοὺς περὶ Βαρλαὰμ καὶ Ἀκίνδυνον καὶ Γρηγορᾶν φημὶ τουτονὶ, καὶ τὴν θείαν οὐσίαν ὡς οὐσίαν τε καὶ πηγὴν καὶ αἰτίαν ὑπερκεῖσθαι λέγειν τῶν ἐξ αὐτῆς. Πῶς γάρ; Ὑπέρκειται μὲν γὰρ φυσικῶς καὶ ὁ δυνατὸς τῆς δυνάμεως, καὶ ὁ νοῦς τοῦ λόγου τε καὶ τῆς ἐπιστήμης, καὶ τὸ πῦρ τοῦ φωτὸς, καὶ τῆς ἀκτῖνος ὁ ἥλιος, ἔτι τε τοῦ ὕδατος ἡ πηγὴ, καὶ ἁπλῶς τοῦ γεννωμένου παντὸς τὸ γεννῶν, καὶ τοῦ αἰτιατοῦ τὸ αἴτιον· ἀλλ' οὐ διὰ τοῦτο καὶ τὰ προαγόμενα τῶν προαγόντων αὐτὰ φυσικῶς ἠλλοτρίωται. Δι' αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον ὡς αἰτίοις ἑαυτῶν φυσικῶν ἐκείνοις συνῆπται· ἐκ γὰρ ὁμογενῶν τὰ ὁμογενῆ καὶ κατάλληλα φυσικῶς κατὰ πᾶσαν ἀνάγκην προάγεσθαι, τὸ δεύτερον καὶ κατώτερον καὶ ἔλαττον οὐχὶ πρὸς τὴν τῆς φύσεως ἀλλοτρίωσιν, ἀλλὰ τῇ θέσει καὶ τῇ τάξει φυσικῶς κατ' ἐπίνοιαν ἔχοντα. Ἢ οὐδὲ τῷ ἡλίῳ τούτῳ δώσεις ὑπερκεῖσθαι τῆς φυσικῶς ἐξ αὐτοῦ προϊούσης ἀκτῖνος; Οἱ ἐμοὶ θεολόγοι διδάσκαλοι καὶ τοῦτό φασιν, οὐδὲ δευτέραν ἐκείνου καὶ ἥττω, καὶ κατωτέραν ταύτην ἐρεῖς, καίτοι γε καὶ τῇ αἰσθήσει βλέπων αὐτὴν κάτω μεθ' ἡμῶν γιγνομένην, καὶ τοῖς σώμασι πᾶσιν ὁμοῦ τοῖς ἐμψύχοις τε καὶ ἀψύχοις καταλλήλως συγγινομένην, καὶ τὰ οἰκεῖα προσφυῶς τε καὶ οἰκείως γινομένην ἑκάστοις. Ἢ καὶ τῆς ἐκείνου διεσπασμένην καὶ ἀπεῤῥηγμένην, καὶ ὑστερογενῆ ταύτην ἐρεῖς διὰ ταῦτα φύσεως, ὡς εἶναί ποτε καὶ ἥλιον ἐννοεῖν ἀκτῖνος δίχα, ὥσπερ ἂν εἰ καὶ νοῦν ἐνεθυμήθης εἶναί ποτε διανοίας χωρίς; Ταῦτα δὴ τὰ τερατώδη φημὶ καὶ ἀλλόκοτα, καίτοι γε καὶ τῇ αἰσθήσει ληπτὴν ἔχων τὴν τῆς ἀκτῖνος πρὸς τὸν ταύτης αἴτιον ἥλιον φυσικὴν ἕνωσιν, καὶ τὸ ἀδιάῤῥηκτόν τε καὶ ἀδιάσπαστον. καὶ καθ...

Digitized by Google

παξ ἀχώριστον. Εἰ δ' ἐπὶ σωμάτων καὶ ὕλης καὶ νοητῶν ἅμα, καὶ αἰσθητῶν ἔνεστιν ὁρᾷν τὰ τοιαῦτα, πῶς ἐπὶ τῆς ἀΰλου καὶ ἀπαθοῦς, καὶ πάντα νοῦν ὑπερεχούσης παντοδυνάμου θεότητος οὐκ ἂν εἴη, καὶ πολλῷ μεῖζον ἐκείνων ἀπαραμίλλως καὶ ὑψηλότερον, καὶ τοῦτ' αὐτὸ θείως τε καὶ θεοπρεπῶς, καὶ κατ' αὐτοὺς τούτους φημὶ τοὺς τῶν ἀθεάτων τε καὶ ἀῤῥήτων ὑψηλοὺς ἐν Πνεύματι θεατάς τε καὶ θεολόγους;

Καὶ τί τἄλλα χρὴ λέγειν, ὅπου γε μὴ μόνον ἐπὶ τῆς φύσεως καὶ τῶν φυσικῶν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐπὶ τῶν θεαρχικῶν ὑποστάσεων ὡσαύτως τὰ αὐτὰ καὶ ἔστι καὶ λέγεται; *Ὁ Πατήρ μου*, καὶ γάρ φησιν ὁ θεαρχικὸς Λόγος, *μείζων μού ἐστι*. Καίτοι γε, ὡς αὐτὸς οὗτος αὖθίς φησιν, *αὐτός ἐστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός*. B Καὶ, *Ἐγὼ καὶ ὁ Πατὴρ*, φησὶν, *ἕν ἐσμεν*. Καὶ οὐκ ἀναιρεῖ τοῦτ' ἐκεῖνο, οὐδὲ προσίσταται τῇ θείᾳ θεολογίᾳ τὸ δοκοῦν ἐναντίον. Τὸ μὲν γάρ ἐστι τῇ φύσει καὶ τῇ θεότητι, καὶ τοῖς φυσικοῖς πᾶσιν ἁπλῶς, τὸ δὲ ταῖς ὑποστάσεσιν καὶ τῷ αἰτίῳ. Μείζων καὶ γὰρ, φησὶν, ὁ Πατὴρ τοῦ Υἱοῦ οὐ τῇ φύσει, τῷ αἰτίῳ δέ. Ἄλλο δὲ τοῦτο, κἀκεῖνο ἄλλο, εἰ καὶ ἄμφω κατὰ τὸν αὐτὸν, καὶ κατὰ τὸν οἰκεῖον ἑκάτερον λόγον ὁρᾶται Θεός. Εἰ γοῦν καὶ ἐπὶ τῶν ὑποστάσεων τῶν καὶ καθ' ἑαυτὰς ὑφεστηκυιῶν καὶ θεωρουμένων τὸ μεῖζόν τε καὶ τὸ ἔλαττον καθορώμενον, οὐ προσίσταται τὸ παράπαν οὐδὲ πολεμεῖ τῇ φυσικῇ τῆς θεότητος ἰσότητι, ἀλλ' ἔστιν ὁ αὐτὸς καὶ μείζων καὶ ἴσος, τὸ μὲν τῷ τῆς αἰτίας, τὸ δὲ τῷ τῆς οὐσίας λόγῳ, πῶς ἐπὶ C τῶν φυσικῶν τοῦ Θεοῦ τῶν μὴ καθ' ἑαυτὰ μηδαμῶς ὑφεστώτων, ἀλλ' ἐν τῇ φύσει θεωρουμένων ὡς οὐσιωδῶν καὶ οἰκείων; καὶ ταύτην μόνην πηγὴν καὶ ὕπαρξιν κεκτημένων, τὸ κατωτέρω διὰ ταῦτα καὶ δεύτερα, καὶ ἧττονα ταύτης εἰρῆσθαι τῆς πρὸς τὴν αἰτίαν αὐτὴν φύσιν ὁμοτιμίας καὶ συμφυΐας καὶ φυσικῆς ἀξίας τε καὶ ἑνώσεως ἀποῤῥήξει ταῦτα καὶ διασπάσει, ἵνα μὴ Θεὸς ὑπομείνῃ μόνον κατά γε τοὺς θεομαχοῦντάς φημι τούτους κατὰ τομὴν καὶ διαίρεσιν, καὶ ταῦτ' εἰς κτιστά τε καὶ ἄκτιστα, καὶ κακῶς ὑφειμένα καὶ ὑπερκείμενα διασπώμενος, ἀλλὰ καὶ κτίσις, ὅση τε κάτω καὶ ἀνθρωπεία, καὶ ὅση τῶν ἄνω καὶ ὑπερκόσμιος, τὴν ὑμνουμένην ἀφαιρεθείη Θεοῦ κοινωνίαν τε καὶ τὴν θέωσιν. Οὐδὲ γὰρ ἂν εἴη, D φασὶν οἱ ἐμοὶ θεολόγοι καὶ θεοφόροι, διαμέσου τινός ποτε κτίσματος θεουργεῖσθαι τοὺς θεουμένους, ὥσπερ οὐδὲ διὰ τῆς οὐσίας αὐτῆς ἐκείνης χωρεῖσθαι καὶ συμπλέκεσθαι μηδενί τινι μηδαμῶς πεφυκυίας, ἀλλὰ διὰ τῶν οὐσιωδῶς τε, καὶ φυσικῶς, καὶ ἀχωρίστως δηλονότι προσόντων αὐτῇ. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἐπεὶ δὲ Γρηγορᾶς τὴν κοινὴν καὶ θεοπρεπῆ καὶ φυσικὴν τῆς Τριάδος ἐνέργειαν, ἢ τὰς ἐνεργείας κακῶς ἐξαρνούμενος ἐνεργείας ἰδικῶς τοῦ Πατρὸς μόνου τὸν Υἱόν φησι καὶ τὸ Πνεῦμα, παρ' Ἀκινδύνου τοῦ καθηγητοῦ τὰ τοιαῦτα καὶ τοῦτο λαβὼν, ἀνάγκη καὶ περὶ τούτου βραχέ' ἄττα παρὰ τῶν θεολόγων ὡσαύτως εἰπόντας, οὕτως ἔπειτα διαναπαῦσαι τὸν λόγον. Καὶ δὴ πρῶτον ἐκεῖνο Γρηγορᾶν ἐρωτήσωμεν, τίνος χάριν περὶ τῆς κοινῶς τῇ θεαρ- A χικῇ Τριάδι προσούσης φυσικῆς ἐνεργείας τε καὶ δυνάμεως, ἡμῖν τε καὶ τοῖς θεολόγοις ὄντος ἐνταῦθα τοῦ λόγου, περὶ γὰρ αὐτῆς ταύτης τῶν τε οἰκουμενικῶν φημι συνόδων ἥ πέμπτη τε καὶ ἡ ἕκτη, καὶ δὴ καὶ θεολόγων ἄλλος χορὸς πρό τε τούτων καὶ μετὰ ταύτας, τὸν πολὺν ἐν τοῖς φθάσασιν ἐποιοῦντο λόγον, οἷς δὴ καὶ Γρηγορᾶς ἕπεσθαι καὶ συνηγορεῖν δῆθεν δοκῶν, νῦν μὲν αὐτὴν εἶναι κοινὴν τῆς θεαρχικῆς Τριάδος τὴν οὐσίαν, τὴν θέλησιν ἔλεγε, καὶ τὴν ἐνέργειαν ἀκριβῶς, νῦν δ' αὖ ποιήματα καὶ κτίσματα τὰς ἐνεργείας ἔλεγε τοῦ Θεοῦ, καὶ ποτὲ μὲν σχέσιν, ποτὲ δὲ καὶ μὴ ὂν, πλὴν ἤχου καὶ κτύπου ῥημάτων μόνου; Πῶς οὖν ὥσπερ ἐκ μεταμελείας νῦν πάντων ἐκείνων ἀφέμενος, ὑπὲρ ὧν καὶ τὸν πολὺν πρὸς τοὺς θεολόγους τε, καὶ τὴν σύνοδον ἐποιεῖτο B λόγον, διαστρέφων, παρεξηγούμενος, πάντα λίθον, ὅ φασι, κινῶν κατὰ τῆς ἀληθοῦς ἐκείνων θεολογίας, περὶ τῶν σεπτῶν ὑποστάσεων ἡμῖν διαλέγεται, τῆς πατρικῆς λέγων ὑποστάσεως ἐνεργείας εἶναι μόνας τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα; Καὶ τίς ἂν τῶν ἀτόπων ἐξαριθμήσειε τὴν φορὰν τῶν ἐκβαινόντων ἐκ τῶν σῶν τουτωνὶ λόγων, φιλόσοφε; Εἰ γὰρ τῆς πατρικῆς μόνης ὑποστάσεως κατὰ σὲ ἐνέργειαι μόναι τὸ Πνεῦμα σὺν τῷ Υἱῷ ὑποστατικὸν ἰδίωμα λοιπὸν κατὰ σὲ, οὐ φυσικὸν ἡ ἐνέργεια, καὶ πᾶσα ἀνάγκη μὴ τῶν τριῶν μίαν, ἀλλὰ τρεῖς διαφόρους εἶναι τινὰς τὰς ἐνεργείας, κἀντεῦθεν καὶ τρεῖς οὐσίας τοῖς τρισὶ συνεισάγεσθαι προσώποις, καὶ τὸ τῆς Τριάδος ἑτεροούσιον ἐντεῦθεν μετ' Ἀρείου τε καὶ Μακεδονίου συγκατασκευάζειν. Ὧν γὰρ ἡ ἐνέργεια παρηλλαγμένη σύν C γε τἀδελφῷ Γρηγορίῳ, καὶ δὴ καὶ τοῖς λοιποῖς θεολόγοις ὁ μέγας ἤδη πολλάκις φθάσας ἔφη Βασίλειος, τούτων καὶ ἡ οὐσία παρηλλαγμένη· ὧν δὲ φύσις ἡ αὐτὴ, τούτων καὶ ἡ ἐνέργεια ἡ αὐτή. Εἰ δ' ὁ μὲν Πατὴρ ἐνεργείας, ὡς φῂς, μόνας ἔχει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τὰ δὲ οὐκ ἔχουσι, πρῶτον μὲν κἀκ τούτου τὸ κατὰ τὴν οὐσίαν ἀνόμοιον παρεισάγεται· ἔπειτα μὴ μόνον οὐκ εἰσὶ συνδημιουργοὶ τῷ Πατρὶ, ἀλλ' οὐδὲ ὅλως εἰσὶ, Μάξιμος ὁ θεοφόρος φησί. Φύσιν καὶ γὰρ, φησὶν ὁ αὐτὸς, τὴν οἱανοῦν οὐδεὶς οἶδεν ἀκίνητον, ἢ ἀνενέργητον. Μόνον καὶ γὰρ τὸ μὴ ὂν ἐστέρηται τῆς φυσικῆς ἐνεργείας τε καὶ δυνάμεως, ὁ αὐτὸς θεολόγος καὶ αὖθις σύν γε Διονυσίῳ καὶ τοῖς λοιποῖς διδασκάλοις φησίν.

D Εἰ δ' ὁ φιλόσοφος αὖθις λέγει, μὴ δεῖσθαι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τῆς ἐνεργείας, αὐτενέργειαν ὄντα, ἔδει καὶ τὸν Πατέρα κατὰ τὸν αὐτοῦ λόγον τοῦτ' αὐτὸ πεφυκέναι, καὶ μὴ δεῖσθαι τῆς φυσικῆς ἐνεργείας, αὐτενέργειαν ὄντα. Εἰ δ' ἐκείνῳ μὲν πρόσεστι ταῦτα, τοῖς δ' οὔ, πάλιν εἰς ταυτὸ τῷ φιλοσόφῳ κατὰ πᾶσαν ἀνάγκην ὁ λόγος περιτραπήσεται. Ἢ γὰρ οὐσιώδεις εἰσὶν αἱ ἐνέργειαι αὗται, καὶ διῄρηνται κατ' οὐσίαν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς, τὰς αὐτὰς οὐσιώδεις ἐνεργείας μὴ κεκτημένοι, ἢ τῆς πατρικῆς ὑποστάσεως ἰδιώματα πεφυκυῖαι, ἑτεροθελῆ, καὶ τῇ φυσικῇ ἐνεργείᾳ διαφέρουσαν ἀποδείξουσι τὴν ἁγίαν Τριάδα, κἀντεῦθεν αὖ καὶ τὸ τῆς οὐσίας ἀνόμοιον παρεισάγεται, καθὰ δὴ καὶ φθάσας ὁ λόγος ἔδειξεν. Ἄλλως τε καὶ τοῦ μὲν θαυ-

Digitized by Google

μαστοῦ Βασιλείου λέγοντος· Οὐδεμία ἐνέργεια ἐνυπόστατος. Μαξίμου δὲ τοῦ σοφοῦ, Αἱ ἐνέργειαι οὐκ εἰσὶν οὐσίαι, ἀλλὰ περὶ τὴν οὐσίαν, καὶ πρὸς τούτοις τοῦ θεοφόρου Δαμασκηνοῦ πᾶσαν ἐνέργειαν φυσικῆς εἶναι δυνάμεως ἀποτέλεσμα φάσκοντος, εὔδηλον ὡς ὁ φιλόσοφος μόνας ἐνεργείας εἶναι λέγων τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ ἀνούσια, καὶ ἀνυπόστατα, καὶ ἐν ἑτέρῳ θεωρούμενα, καὶ φυσικῆς δυνάμεως ἀποτελέσματα ταῦτα κατασκευάζει. Ἀλλὰ τρέποιτο τὰ βλάσφημα ταῦτα καὶ ἀπηχῆ κατὰ τῆς αὐτοῦ κεφαλῆς.

Ἔτι, Γρηγορᾶ, τὴν οὐσίαν τοῦ Θεοῦ, μόνην εἰπὼν θέλησιν εἶναι καὶ ἐνέργειαν ἀκριβῶς ἀνωτέρω, ἢ κτίσμα καὶ μὴ ὂν εἶναι τὴν ἐνέργειαν, εἰ μὴ τοῦτ' ἀκριβῶς εἴη, πῶς μετὰ μικρὸν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον μόνην ἐνέργειαν, καὶ θέλησιν εἶναι φῂς τοῦ Πατρός; Ἆρα τοῦ Πατρὸς οὐσία εἰσὶν ὁ Υἱὸς καὶ τὸ Πνεῦμα; Καὶ μὴν ὑποστάσεις μὲν διττὰς ἐκ μιᾶς ὑποστάσεως ἴσμεν τῆς πατρικῆς, τὴν μὲν γεννητῶς, τὴν δὲ τρόπον ἕτερον· ἡ δὲ οὐσία μία καὶ ἡ αὐτὴ τῶν τριῶν οὖσα, αὐτῶν μέν ἐστι καὶ λέγεται, ἐξ αὐτῶν δὲ, ἢ ἔκ τινος αὐτῶν, οὔτ' ἔστιν οὔτε λέγεται, οὐδ' ἤκουσέ τις μέχρι καὶ τήμερον. Τί δὲ χρὴ λέγειν, ὅπου καὶ εἰς κτίσμα καὶ σχέσιν καὶ μὴ ὂν ἐκεῖ καταγαγὼν τὴν θείαν ἐνέργειαν, εἰ μὴ αὐτὴ τοῦ Θεοῦ ἡ οὐσία εἴη ἀκριβῶς κατὰ σὲ, μεταβαλὼν αὖθις, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα μόνα φῂς ἐνεργείας εἶναι τοῦ Θεοῦ, εἰ ταυτόν τι καὶ ἕν πως συνάγων οὐσίαν τε Θεοῦ καὶ ὑποστάσεις, καὶ δὴ καὶ κτίσμα καὶ σχέσιν καὶ τὸ μὴ ὂν, ὡς μηκέτι συνάγεσθαι κατὰ τὰ προειρημένα τὴν δυσσέβειαν, μᾶλλον δὲ τὴν ἀσέβειαν καὶ τὴν ἀθεΐαν ἐκ τῶν σῶν λόγων, ἀλλ' αὐτόθεν κηρυττομένην εἶναι λαμβάνειν; Ἀλλ' οὐκ ἀπ' αὐτὸς ἐμαυτοῦ ταῦτα λέγω, φησὶ Γρηγορᾶς. Ἀθανάσιος δ' ὁμοῦ καὶ Γρηγόριος, καθὰ δὴ καὶ εἰπὼν ἔφθην, καὶ πλεῖστοί γε τῶν θεολόγων ἄλλοι σὺν τούτοις, ἐνέργειαν τοῦ Πατρὸς εἶναι λέγουσι τὸν Υἱὸν καὶ τὸ Πνεῦμα. Ἢ γοῦν κἀκείνους ὁμοῦ τοῦ τῶν διδασκάλων ἔκβαλε καταλόγου, ἢ ἕως ἂν ἐκεῖνοι διδάσκαλοι τῆς Χριστοῦ Ἐκκλησίας ὦσι καὶ θεολόγοι, οὐδὲ τὰ ἡμέτερα ταῦτα διαγράψαι δυνήσῃ τῆς ἐκείνων ἠρτημένα διδασκαλίας, κἀκεῖθεν ἔχοντα τοὐνδόσιμον. Πολλοῦ μέντ' ἂν ἦν ἄξιον, ὦ φιλόσοφε, τὸ κατὰ σὲ, καὶ πραγμάτων ἂν ἦμεν ἀπηλλαγμένοι καὶ ἡμεῖς πάλαι, εἰ τοῖς θεολόγοις ἐβούλου διδασκάλοις ἀκολουθεῖν, ὡς φῂς, ἄνωθεν. Νῦν δὲ προσποιῇ μὲν τοῦτο τοῖς λόγοις, καὶ ὑποκρίνῃ τὴν συμφωνίαν τὴν πρὸς ἐκείνους, ἀντιπίπτεις δ' ἀληθῶς πανταχοῦ καὶ ἀντιλέγεις τῇ ἐκείνων θεολογίᾳ, ὥσπερ ἄνωθεν εἰς τοῦτο παρεσκευακὼς σεαυτόν. Οὕτω τὸ ἡνωμένον ὁμοῦ καὶ διακεκριμένον τῆς τε θείας οὐσίας καὶ τῆς ἐνεργείας συμφώνως ἐκείνων διὰ πολλῶν τε καὶ καλῶν λόγων καὶ δὴ καὶ γραφικῶν ἀποδείξεων πρεσβευόντων καὶ κηρυττόντων, καὶ Θεὸν ἕνα τρισυπόστατον, ἄναρχον, ἄκτιστον, ἐνεργὸν, θελητικὸν, παντοδύναμον διδασκόντων ἀποστολικῶς τὴν Χριστοῦ Ἐκκλησίαν, σὺ καὶ οἱ μετὰ σοῦ τὸ διακεκριμένον ἀποτεμόντες, καὶ πόῤῥω που ῥίψαντες τῶν τῆς θεολογίας ὀργίων, τῷ ἑνιαίῳ κατ' ἐκείνους,

A καὶ δὴ καὶ τῶν ἀμφότερα καλῶς θεολογούντων ὁμοῦ, κακῶς χρῆσθε, τῇ μοναρχίᾳ συνιστάμενοι δῆθεν, μᾶλλον δὲ δι' ἑκατέρων ἀναιροῦντες ἑκάτερα, καὶ τῇ προσποιήτῳ συνηγορίᾳ, καὶ τῇ αἰδοῖ τῇ πρὸς τὸν ἕνα δῆθεν Θεὸν τὴν κτιστὴν θεότητα καὶ τὴν πολυθεΐαν καὶ ἀθεΐαν εἰσάγοντες φανερῶς. Καὶ οὕτω καὶ τὸν αὐτὸν λόγον ἐπιδέχεσθαι τῇ οὐσίᾳ τὴν ἐνέργειαν, καὶ αὖθις οὐ τὸν αὐτὸν, τῶν αὐτῶν θεολόγων εἰπόντων Πατέρων, ἑκάτερον μετὰ τοῦ προσήκοντος λόγου, τὸ πρῶτον ἀφελόντες ὑμεῖς, κακῶς ἐχρήσασθε κατὰ τοῦ δευτέρου, ταυτὸ καὶ ἀδιάφορον πάντη τε καὶ πάντως οὐσίαν θείαν καὶ ἐνέργειαν αὖθις κατασκευάζοντες. Ἔνθα δὴ καὶ ἀντὶ τοῦ λόγου τὸν ὅρον κακῶς ἐδέξασθε, οὐ τὴν ἀόριστον μόνον καὶ ἀπερίγραπτον ἐνέργειαν, ἀλλὰ καὶ τὴν θείαν καὶ

B ἀνώνυμον καὶ ἄῤῥητον οὐσίαν τοῦ Θεοῦ, ὅρῳ καθυποβαλεῖν σὺν ἐκείνῃ τετολμηκότες. Οὕτω τῇ ἐν Πνεύματι σχέσει τε καὶ μιμήσει τῆς θείας ἐνεργείας τὸ ἄσχετον ὁμοῦ καὶ ἀμίμητον θεοπρεπῶς συνειληφότων ἐκείνων, καὶ τῷ κατωτέρῳ καὶ δευτέρῳ, καὶ ἥττονι διὰ τὴν αἰτίαν, τὸ ἴσον καὶ συμφυὲς καὶ ἀχώριστον, διὰ τὸ φυσικόν τε καὶ ἄκτιστον ἐπαγαγόντων, ὑμεῖς τῇ μὲν σχέσει καὶ τῇ μιμήσει κατά τε τοῦ ἀσχέτου καὶ ἀμιμήτου χρησάμενοι, τῷ δ' αὖ κατωτέρῳ καὶ ἥττονι ὡς ἐξ αἰτίας ὄντι κατὰ τοῦ τῆς φύσεως ἀδιαιρέτου, καὶ ἀκτίστου, καὶ ἴσου, πόλεμον ὅσον τὸ καθ' ἑαυτούς φημι καινὸν ἐπεισηγάγετε τοῖς φυσικοῖς ἰδιώμασι τοῦ Θεοῦ, καὶ τῇ τούτων αἰτίᾳ καὶ πηγῇ φύσει τὸν ἕνα τρισυπόστατον

C καὶ παντοδύναμον καὶ ἄναρχον ποιητὴν καὶ δεσπότην Θεὸν τοῦ παντὸς εἰς κτιστὴν καὶ ἄκτιστον κατατεμόντες θεότητα, καὶ Ἄρειον ὁμοῦ καὶ Μακεδόνιον καὶ τοὺς κατ' ἐκείνους μετὰ τῶν ἀκτίστων καὶ κτιστῶν καὶ ἀνίσων θεοτήτων καὶ φύσεων ἡμῖν ἐπεισαγαγόντες.

Κατὰ δὴ τὸν αὐτὸν λόγον τῶν θεολόγων πρῶτον κἀνταῦθα τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα νῦν μὲν ἐνέργειαν τοῦ Πατρὸς οὐσιωδῶς ὑφεστῶσαν καὶ ζῶσαν εἰπόντων, διά τε τὸ ἀπαθὲς τῆς ἐκεῖθεν προόδου, καὶ τὸ ἀκριβῶς ἡνωμένον τε καὶ ἀχώριστον, τοιοῦτον καὶ γὰρ ἡ φυσικὴ ἐνέργεια, καὶ δὴ καὶ ὡς τῆς πατρικῆς ἐνεργείας πάσης ἐν Υἱῷ τε καὶ Πνεύματι φυσικῶς οὔσης, καὶ προσέτι διὰ τὸ συναΐδιον κατὰ χρόνον καὶ ἄκτιστον, νῦν δὲ μηδὲν τῶν τριῶν

D προσώπων ἐνέργειαν εἰρηκότων, ὡς καθ' ἑαυτὰ ὑφεστώτων, ἀλλ' οὐκ ἐν ἑτέρῳ θεωρουμένων, καὶ ἐνεργούντων μόνον, ἀλλὰ οὐχὶ καὶ ἐνεργουμένων, ὥσπερ ἡ ἐνέργεια· οὕτω τοιγαροῦν τῶν κοινῶν διδασκάλων τῆς Ἐκκλησίας καὶ περὶ τούτων θεολογούντων, θάτερον ὡς ἔθος ἀποβαλόντες ὑμεῖς, θατέρῳ κατ' αὐτοῦ κακῶς χρῆσθε, μόνας ἐνεργείας ἀκτίστους εἶναι δογματίζοντες τοῦ Πατρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ὅθεν δὴ καὶ τὸ ἀνυπόστατον καὶ ἀνούσιον καὶ ἀνύπαρκτον, καὶ τὸν μυρίον τῶν ἀτόπων ἑσμὸν συγκατεσκευάσατε κατά γε τὰ προῤῥηθέντα. Ἀλλ' οὐχ οὕτως οἱ θεολόγοι διδάσκαλοι, βέλτιστε. Ἄκουε γάρ. Ἀθανάσιος μὲν οὖν ὁ μέγας, ὃν δὴ καὶ τῶν ἄλλων αὐτὸς προΐστασθαι μᾶλλον δοκεῖς, ἐνέργειαν τοῦ Πατρὸς λέγοντα τὸν Υἱὸν καὶ τὸ

Digitized by Google

Πνεῦμα, πρὸς Ἀρειανοὺς τὸν λόγον ποιούμενος, καὶ τὸ τοῦ Υἱοῦ ὁμότιμόν τε καὶ ὁμοούσιον πρὸς τὸν αὐτοῦ Πατέρα βουλόμενος δεῖξαι, Δύναμίς ἐστι, φησὶν, ὁ Υἱὸς ὥσπερ καὶ ὁ Πατήρ. Ἀλλ' ἵνα δειχθῇ ὅτι οὐκ ἔστιν αὐτὸς ὁ Πατὴρ, διὰ τοῦτο τοῦ Πατρός ἐστι δύναμις καὶ ἐνέργεια. Ὁ μὲν γὰρ Πατὴρ οὐ παρά τινος, αὐτὸς δὲ παρὰ τοῦ Πατρὸς ἔχει τὸ εἶναι δύναμις. Καὶ πάλιν πρὸς τοὺς Ἕλληνας ὁ αὐτὸς, Ὁ παντοδύναμος καὶ παντέλειος τοῦ Πατρὸς λόγος, ἐπιβὰς τοῖς πᾶσι καὶ πανταχοῦ τὰς ἑαυτοῦ δυνάμεις ἐφαπλώσας, τὰ πάντα εἰς ἑαυτὸν συνέχει καὶ συσφίγγει. Ὁρᾷς τουτονὶ τὸν μέγαν αὐτόν σοι τῶν ἑαυτοῦ λόγων ἐξηγητήν τε καὶ ἑρμηνέα λαμπρὸν καθιστάμενον, καὶ πῶς καὶ κατὰ τίνας τοὺς λόγους ἐνέργειαν καὶ δύναμιν εἶναί φησι τοῦ Πατρὸς τὸν Υἱόν; καὶ ὅτι τὰς αὐτὰς καὶ αὐτὸς τῷ Πατρὶ δυνάμεις ἔχει καὶ ἐνεργείας, ὡς οὐσία καὶ τελεία ὑπόστασις καθ' ἑαυτὸν ὢν, καὶ οὐκ ἐν ἑτέρῳ θεωρούμενος, κατὰ τὴν οὐσιώδη καὶ φυσικὴν ἐνέργειάν φημι τῶν τριῶν, καὶ συνδημιουργῶν καὶ συνέχων τὸ πᾶν ἅμα τῷ Πατρὶ καὶ τῷ Πνεύματι; Κοινὰ γὰρ ὥσπερ τῷ Υἱῷ ταῦτα, οὕτω δὲ καὶ τῷ ὁμοουσίῳ καὶ ὁμοτίμῳ Πνεύματι. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτὸν ὁ μέγας δύναμιν ὑπέδειξεν ὄντα τὸν Πατέρα, ὥσπερ δὴ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα διὰ τὸ τῆς οὐσίας καὶ τῆς θεότητος ἓν, ἐκ τῆς θείας λαβὼν καὶ τοῦτο Γραφῆς. *Ὄψεσθε* καὶ γὰρ *τὸν Υἱὸν τοῦ Θεοῦ καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Πατρὸς* δηλονότι, τοῖς Ἰουδαίοις ὁ Χριστὸς ἔλεγε περὶ ἑαυτοῦ.

Βασίλειος δὲ ὁ μέγας Εὐνομίῳ διαλεγόμενος, καὶ τὸ τοῦ Υἱοῦ βουλόμενος ἄκτιστον δεῖξαι, Εἰ Χριστὸς, φησὶ, Θεοῦ σοφία καὶ δύναμις, ταῦτα δὲ ἄκτιστα, καὶ ὁ Χριστὸς πάντως. Τὸ δὲ καὶ τῷ Πνεύματι προσήκειν πᾶς τις ἂν εὐσεβὴς εἴποι, κατὰ τὸν αὐτὸν λόγον. Σὺ δὲ κἀντεῦθεν καὶ τὸ τῆς Θεοῦ σοφίας καὶ δυνάμεως ἄκτιστον μάθε, ταυτὸ δ' εἰπεῖν τῆς τοῦ Θεοῦ φυσικῆς ἐνεργείας, μήτε τῆς οὐσίας αὐτῆς ἐκείνης οὔσης κατὰ σὲ, καὶ οὕτω φυσικῶς ἐχούσης τὸ ἄκτιστον, ὡς καὶ τῷ μονογενεῖ τοῦ Θεοῦ Υἱῷ κἀντεῦθεν αὐτὸ τοῦτο προσμαρτυρεῖσθαι, καὶ τοῦτο καὶ τοῖς τὰ Ἀρείου φρονοῦσι δοκεῖν, καίτοι γε κτίσμα κακῶς τὸν Υἱὸν τοῦ Θεοῦ δοξάζουσιν. Οὐδὲ γὰρ ἐκ τῶν μὴ δοκούντων ἐκείνοις, ἀλλ' ἐκ τῶν ἀνωμολογημένων τε καὶ δοκούντων, ὁ μέγας ἐπιχειρῶν, εἰς ἀνάγκην καὶ μὴ βουλομένους ἦγε τοῦ πείθεσθαι. Καὶ πάλιν πρὸς τὸν αὐτὸν Εὐνόμιον ὁ αὐτός· Χριστὸς, φησὶ, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία, ὅλης τῆς πατρικῆς δυνάμεως ἐναποκειμένης αὐτῷ δηλονότι. Ὅθεν ὅσα βλέπει τὸν Πατέρα ποιοῦντα, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ. Τί δὲ καὶ ὁ Νύσσης θεῖος Γρηγόριος; Θεὸς, φησὶν, ἐνεργοῦντα δηλοῖ, θεότης δὲ ἐνέργειαν. Οὐδὲν δὲ τῶν τριῶν, ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν. Ἀκούεις, ὡς οὐδὲν τῶν τριῶν ἐνέργεια, ἀλλὰ μᾶλλον ἐνεργοῦν ἕκαστον τῶν τριῶν; Τὰ μὲν γὰρ ὑποστάσεις ὄντα καθ' ἑαυτὰ τέλειαι, οὐκ ἐνεργοῦνται· ἡ δὲ φυσικὴ ἐνέργεια δύναμις οὖσα καὶ κίνησις δραστικὴ τοῦ ἐνεργοῦντος, ἐνεργεῖται μὲν καὶ κινεῖται παρ' αὐτοῦ, ὁρᾷ δὲ καὶ

A ἐνεργεῖ ἐν τῷ δεκτικῷ ταύτης. Διὸ καὶ ἐνεργὸς καὶ παντουργὸς καὶ οὐσιοποιὸς καὶ δραστικὴ πρὸς τῶν ἱερῶν θεολόγων ὑμνεῖται, οὐκ ἄλλη κατ' αὐτὸ τοῦτό φημι τέως παρὰ τὴν κινοῦσαν τυγχάνουσα φύσιν, ταυτόν τι καὶ ἓν, καθ' ἑτέρους δ', ὡς ἤδη πολλάκις ἔφημεν, λόγους ἔχουσα τὸ διάφορον. Πρὸς Ἀβλάβιον δ' αὖθις ὁ αὐτὸς διδάσκαλος γράφων, τὸ Θεὸς ὄνομα τῆς θεατικῆς καὶ προνοητικῆς, καὶ καυστικῆς ἐνεργείας εἰπὼν τοῦ Θεοῦ, ἑξῆς ἐπιφέρει κἀκεῖνα· Καθὸ μὲν ἕκαστον πρόσωπον ἀπηρτισμένην ἔχει τὴν τοιαύτην ἐνέργειαν, ἀπηρτισμένον ἕξει καὶ τὸ δηλωτικὸν αὐτῆς ὄνομα, καὶ κυρίως ἔσται καὶ κληθείη Θεός· καθὸ δὲ μία καὶ ἀπαράλλακτος ἐν τοῖς τρισὶν ἡ εἰρημένη ἐνέργεια, μία καὶ ἡ θεότης. Καὶ πάλιν ὁ αὐτός·

B Οὐ τρεῖς θεοὺς, φησὶν, ὀνομάζειν δυνάμεθα τοὺς τὴν θεατικὴν καὶ ἐποπτικὴν δύναμίν τε καὶ ἐνέργειαν συνημμένως καὶ ἀδιακρίτως ἀλλήλων ἐφ' ἡμῶν τε καὶ πάσης τῆς κτίσεως ἐνεργοῦντας. Κύριλλος δ' ὁ σοφὸς, Ἰσοσθενὲς, φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον καὶ ὁμοούσιον τῷ Θεῷ, τὸ τὴν θείαν ἐνέργειαν ἔχον ἐν ἑαυτῷ φυσικῶς. Δέδεικται μὲν οὖν ἱκανῶς ἤδη τοῖς θεολόγοις Πατράσι κατὰ τίνας τοὺς λόγους ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα δύναμις καὶ ἐνέργεια τοῦ Πατρὸς εἶναι λέγονται· οὐ μὴν ἀλλὰ κἀκεῖνο δήπου συναποδέδεικται κάλλιστα, ὅτι καὶ τῶν τριῶν ὑποστάσεων ἑκάστη δύναμίς τε καὶ ἐνέργειά ἐστι καὶ λέγεται καθ' ἑαυτὴν ὑφεστῶσα, ὥσπερ δὴ καὶ ζωὴ καὶ σοφία, καὶ φῶς καὶ τὰ παραπλήσια τούτοις, ἵνα μὴ μετοχῇ νομισθῶσιν ἔχειν ταῦτα κατὰ τοὺς ἄλλους

C δυνατούς τε καὶ σοφοὺς καὶ ζῶντας, ὃ δὴ κἂν τοῖς φθάσασιν ἡμῖν εἴρηται. Λέγονται δ' αὖθις καὶ δυνατοὶ καὶ ἐνεργοὶ, καὶ σοφοὶ καὶ ζῶντες ἕκαστος τῶν τριῶν, ἵνα μὴ σοφίαν, καὶ δύναμιν, καὶ ἐνέργειαν, καὶ ζωὴν ἀκούοντες αὐτῶν ἕκαστον εἶναι, μὴ οὐσίαν καθ' ἑαυτὴν ὑφεστῶσαν καὶ οὖσαν, ἀλλ' ἐν ἑτέρῳ θεωρουμένην νομίσωμεν δύναμιν, ὅπερ ἐστὶν ἡ φυσικὴ ἐνέργεια. Λέγεται δὲ καὶ ἡ θεαρχικὴ Τριὰς ἅμα καὶ σοφία καὶ δύναμις, ὥσπερ δὴ καὶ Θεὸς καὶ ζωὴ καὶ λόγος καὶ φῶς· ὃ δὴ καὶ φθάσαντες ὡσαύτως οἱ θεολόγοι ἐδίδαξαν, διὰ τὸ ταῦτ' ἔχειν ἀπαραλλάκτως ἕκαστον τῶν προσώπων ἰδίᾳ τε καὶ ὁμοῦ πάντα. Διὸ καὶ πρὸς Εὐνόμιον αὖθις ὁ μέγας φησὶ Βασίλειος· Εἰ γὰρ κατὰ τὴν οὐσίαν ὁ Υἱὸς ἀπαραλλάκτως ἔχει, ἀπαραλλάκτως ἕξει καὶ κατὰ τὴν δύναμιν· ὧν δὲ ἡ

D δύναμις ἴση, ἴση που πάντως καὶ ἡ ἐνέργεια.

Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. Διονύσιος δὲ ὁ μέγας, Δύναμίς ἐστι, φησὶν, ὁ Θεὸς, ὡς πᾶσαν ἐν ἑαυτῷ δύναμιν προέχων καὶ ὑπερέχων. Οὕτως ἡ δύναμις καὶ ἡ ἐνέργεια τοῦ Θεοῦ φυσική τε καὶ οὐσιώδης οὖσα οὐ μερίζει τὰς ὑποστάσεις, ἑνοῖ δὲ φυσικῶς μᾶλλον εἰς μίαν θεότητα ἑκάστῃ τε τῶν τριῶν ὑποστάσεων ὡσαύτως καὶ ὁμοῦ ταῖς τρισὶν ὡς ἑνὶ παροῦσα Θεῷ, κατὰ τὰ προῤῥηθέντα δήπου τοῖς θεολόγοις.

Διὸ καὶ Μάξιμος ὁ σοφὸς πρὸς τοὺς ὑποστατικὴν, ἀλλ' οὐ φυσικὴν κακῶς λέγοντας πάλαι τὴν θείαν ἐνέργειαν, Τίς, φησὶν, ὑποστατικὴν ἐνέργειαν εἴρηκέ ποτε, καὶ πόθεν τοῦτο καὶ παρὰ τίνος λαβόντες προφέρουσι; Καὶ πάλιν· Οὐδὲν τῶν φυσικῶν εἰς ἄτομον

Digitized by Google

A προηγουμένως, ἀλλ' εἰς τὴν αὐτοῦ φύσιν καὶ τὴν οὐσίαν ἔχει τὴν ἀναφοράν. Οὐ μὴν ἀλλὰ καὶ ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης αὐτὸ τοῦτο δεικνὺς ὡς οὔτε ὑπόστασις, οὔτε μὴν ὑποστατικὰ πέφυκεν ἡ θεία δύναμις καὶ ἡ ἐνέργεια, ὥσπερ οὐδὲ οὐσία ἁπλῶς, ἀλλ' οὐσιώδη καὶ φυσικὰ μᾶλλον, ὡς αὐτῇ τῇ θείᾳ οὐσίᾳ προσόντα φυσικῶς, τοιάδε περὶ τούτων φησί· Φυσικὰ καὶ οὐχ ὑποστατικὰ λέγομεν τὰ θελήματα καὶ τὰς ἐνεργείας, λέγω δὴ αὐτὴν τὴν θελητικὴν καὶ ἐνεργητικὴν δύναμιν, καθ' ἣν θέλουσι καὶ ἐνεργοῦσι τὰ θέλοντα καὶ ἐνεργοῦντα. Εἰ γὰρ ὑποστατικὰ δῶμεν εἶναι ταῦτα, ἑτεροθελεῖς καὶ ἑτεροενεργεῖς τὰς τρεῖς ὑποστάσεις τῆς ἁγίας Τριάδος εἰπεῖν ἀναγκασθησόμεθα. Καὶ πάλιν· Ἡ τοῦ Χριστοῦ, φησὶ, θεία θέλησις ἄναρχός ἐστι, καὶ παντουργὸς ἑπομένην ἔχουσα τὴν δύναμιν, μονονουχὶ B πρὸς τὸν φιλόσοφον τοῦτον ἱστάμενος, Ταυτὸν οὐσία καὶ θέλησις ἀκριβῶς, κακῶς φιλοσοφοῦντα. Καὶ αὖθις ὁ θεῖος Δαμασκηνός· Ὥσπερ τῶν τοῦ αὐτοῦ καὶ ἑνὸς Χριστοῦ φύσεων ὁ ἀριθμὸς εὐσεβῶς νοούμενός τε καὶ λεγόμενος οὐ διαιρεῖ τὸν ἕνα Χριστὸν, ἀλλὰ σωζομένην καὶ ἐν τῇ ἑνώσει παρίστησι τῶν φύσεων τὴν διαφορὰν, οὕτω καὶ ὁ ἀριθμὸς τῶν οὐσιωδῶς προσόντων ταῖς τοῦ Χριστοῦ φύσεσι θελημάτων καὶ ἐνεργειῶν, κατ' ἄμφω γὰρ τὰς φύσεις θελητικὸς ἦν, καὶ ἐνεργητικὸς τῆς ἡμῶν σωτηρίας, οὐ διαίρεσιν εἰσάγει, μὴ γένοιτο, ἀλλὰ τὴν αὐτῶν δηλοῖ καὶ μόνον κἀν τῇ ἑνώσει φυλακὴν καὶ σωτηρίαν. Φυσικὰ γὰρ καὶ οὐχ ὑποστατικά φαμεν τὰ θελήματα καὶ τὰς ἐνεργείας· λέγω αὐτὴν τὴν θελητικὴν καὶ ἐνεργητικὴν δύναμιν, καθ' ἣν θέλουσι καὶ ἐνεργοῦσι τὰ θέλοντα καὶ ἐνεργοῦντα. Καὶ πάλιν· Εἰ πᾶσα ἐνέργεια φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις, ποῦ τις ἐνέργειαν εὕρηκεν οὐ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; Οὕτω σαφῶς τε καὶ ἀσφαλῶς διὰ πολλῶν τε καὶ καλῶν λόγων οἱ θεολόγοι, ὡς καὶ ἡμᾶς ἀπὸ μέρους φημὶ τὸ κατ' αὐτοὺς ὑποδεῖξαι κἀνταῦθα, καὶ αὖθις τὸν περὶ φυσικῆς ἐνεργείας τοῦ Θεοῦ λόγον ἐδίδαξαν, καὶ ὅτι μὴ κατὰ τοῦτον, ἀλλὰ καθ' ἑτέρους μάλιστα λόγους, ὁ Μονογενὴς τοῦ Θεοῦ καὶ τὸ αὐτοῦ Πνεῦμα τοῦ Πατρὸς ἐνέργειαι εἴρηνται. Εἰ δὲ ταῦθ' οὕτω καλῶς καὶ κατὰ σώζοντα λόγον ἀποδέδοται τούτοις, καὶ οὐδεὶς ἀντερεῖ ποτε νοῦν ἔχων, οὐ μάτην ἄρ' οὐδ' ἡμῖν ὁ νοῦς ἐξετόξευσε τὰ προῤῥηθέντα πρός τε Γρηγορᾶν καὶ τὴν αὐτοῦ ξυμμορίαν περὶ τούτων αὐτῶν φημι.

---

ΠΕΡΙ ΤΗΣ

# ΕΝ ΤΩ ΘΑΒΩΡΙΩ ΘΕΙΑΣ ΜΕΤΑΜΟΡΦΩΣΕΩΣ

Καὶ τοῦ κατ' αὐτὴν τῆς θεότητος φωτὸς, περί τε θεώσεως ὑπερφυοῦς αὖθις καὶ μετοχῆς τῆς θεοπρεποῦς καὶ φυσικῆς τοῦ Πνεύματος χάριτος.

## ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ.

C *Μὴ ἀποκρίνου ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ*, φησὶν ὁ σοφὸς Σολομῶν. Εἴποι μὲν οὖν ἄν τις καὶ πρὸς ἠθικὴν διδασκαλίαν τὸν προοιμιακὸν συνήθως ἀποβλέποντα λόγον ταῦτ' εἰρηκέναι. Τὸ γὰρ μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, καὶ τὸ λοιδορούμενον εὐλογεῖν, ταυτόν πως ἂν εἴη τῷ μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ. Προοίμιον ἄν τις εἶπε τοῦτο τῆς εὐαγγελικῆς πολιτείας, καὶ μεθόριον οἷον τοῦ γράμματος πρὸς τὸ Πνεῦμα, τοῦ μὲν χαμαιζήλου καὶ ταπεινοῦ τῆς νομικῆς ἀπάγον διδασκαλίας, ὀφθαλμὸν ἀπαιτούσης ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, ἠρέμα δὲ τὸν ἀκροατὴν τῷ τοῦ Εὐαγγελίου προσάγον ὕψει, καὶ τὰ ὑψηλότερα κατὰ μικρὸν φιλοσοφεῖν πεῖθον, μέχρις ἂν εἰς τὴν ἄκραν ἐκείνην ἀναγάγῃ κορυφὴν τῆς διδασκαλίας Χριστοῦ φημὶ καὶ τῆς ἀπαθείας, *Τῷ τύπτοντί σε*, D λεγούσης, *ἐπὶ τὴν δεξιὰν σιαγόνα στρέψον αὐτῷ καὶ τὴν ἄλλην, καὶ τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον*, καὶ, *Εἴ τις σε ἀγγαρεύσει μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύο*, καὶ τέλος τὸ τῆς φιλοσοφίας ἀκρότατον ἐκεῖνο καὶ ὄντως ὑπερφυὲς, *Ἔσεσθε*, λέγον, *ὑμεῖς τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν*. Ἔχει μὲν οὖν καὶ ταῦτα καλῶς, καὶ οὐκ ἔξω τοῦ σκοποῦ φαίην ἂν καὶ τοῦ λόγου· ἀλλ' ἐμὲ πρὸς μείζονά τινα καὶ ὑψηλοτέραν ἄγει θεωρίαν ὁ τοῦ σοφοῦ λόγος, διὰ τῶν ὀλίγων τουτωνὶ ῥημάτων τὸ μέγα καὶ θαυμαστὸν διδάσκων, τὸ μὴ συμπεριφέρεσθαί φημι τοῖς λαλοῦσιν εἰς τὸ ὕψος τοῦ Θεοῦ βλασφημίαν ἐπὶ μακρὸν, μηδὲ τῷ ἄφρονι συνδιάγειν τε καὶ συλλαλεῖν ἐπιπολὺ, ὃς κατὰ τὸν θεῖον Δαβὶδ εἶπεν, *Ἐν καρδίᾳ αὐτοῦ οὐκ ἔστι Θεός*. Καὶ διὰ τοῦτό που καὶ ὁ σοφὸς διδάσκων ἔλεγε Παῦλος, *Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ*, εἰδὼς ὅτι *ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἔστιν αὐτοκατάκριτος*. Ὅθεν καὶ πλείστους ἂν ἴδοις τῶν θεολόγων διδασκάλων, καὶ πρό γε τῶν ἄλλων τοὺς τῶν ἀποστόλων κορυφαίους αὐτοὺς, ὡς ἐπιπολὺ τοῦτο τὸ μέρος ἀποποιουμένους τῶν λόγων· ὅτι μὴ πᾶσα ἀνάγκη διὰ τοὺς ἀναιδῶς κατὰ πρόσωπον ἐπιόντας τε καὶ βιαζομένους, μᾶλλον δὲ τὴν τῶν μαθητευομένων προστασίαν καὶ σωτηρίαν. Ἐπεὶ οὖν καὶ ἡμεῖς ἐπὶ τὸν φιλόσοφον τουτονὶ, καὶ τοὺς αὐτοῦ λόγους κατὰ πᾶσαν ἐλθόντες ἀνάγκην ἰταμῶς οὕτω καὶ ἀναισχύντως τῇ τε συνόδῳ τῶν Πατέρων ἐπιόντα, καὶ τῷ σεπτῷ τῆς εὐσεβοῦς ἡμῶν πίστεως ὅρῳ, καὶ δι' αὐτῶν τῷ τῶν θεολόγων Πατέρων χορῷ, καὶ τῷ παρ' αὐτῶν θεολογουμένῳ Θεῷ, τοὺς ἀντιῤῥητικοὺς εἰς μακρὸν καὶ ἄκοντες ἐξετείναμεν λόγους, δεῖν ἔγνωμεν ἤδη καὶ πρὸς λιμένα τινὰ καὶ εἰρήνην ἐκ τοῦ μακροῦ χειμῶνος ἐκείνου, καὶ τοῦ πολέμου καταγαγεῖν ἤδη

Digitized by Google

τοῦτον, καὶ τὴν χεῖρα τῆς εἰς τὸ πρόσω φορᾶς ἐπισχεῖν. Καὶ μάλισθ' ὅτι καὶ τοῖς κεφαλαίοις πᾶσιν ἐκείνοις καθόσον ἐξῆν ἐπεξῆλθεν ὁ λόγος σύν γε τοῖς θεολόγοις Πατράσιν, ἃ δὴ καὶ Γρηγορᾶς ἀποσυλήσας τοῦ τῆς Ἐκκλησίας ἱεροῦ τόμου, εἰς ἀνατροπὴν δῆθεν, ὡς αὐτός φησιν, ἑαυτῷ προὔθηκεν. Εἰ κἀκεῖνος περὶ τὸ παλιλλογεῖν τε καὶ ψεύδεσθαι καὶ αἰσχρῶς, καὶ ἀφιλοσόφως ἐφ' ὕβρει καὶ λοιδορίαις τῶν ἁγίων ἀκρατῶς εἴπερ τις φερομένην ἔχει τὴν γλῶτταν, τῶν αὐτῶν καὶ αὖθις ἀπρὶξ ἔχεται, τὸ μὲν κατὰ σκοποῦ βάλλειν, καὶ καιριόν τι καὶ τοῦ προσήκοντος ἐχόμενον λόγου φράζειν εἰδὼς οὐδαμῶς, τὸ δὲ τοὺς καὶ εἰδότας ἐκεῖνα καλῶς ἅμα καὶ λέγοντας κακῶς ἐπίτηδες λέγειν αὐτὸς καὶ συκοφαντεῖν, ἄκρως εἴπερ τις τῶν πάντων ἠσκημένος καὶ μηδενί τινι τῶν παλαιῶν τε καὶ νέων ὁ φιλόσοφος τῶν ἐπὶ τούτοις παραχωρῶν, οἶμαι, πρωτείων. Δι' ἃ δήπου καὶ ἡμῖν ἔδοξε μάλιστα μὴ ἀποκρίνεσθαι τῷ ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ, ἵνα μὴ ὁμοιωθῶμεν ἐκείνῳ, κατὰ τὴν σοφὴν παροιμίαν. Πρὸς γὰρ ἐκεῖνον καὶ τοὺς ἐκείνου λόγους ἱκανῶς ἔχει καὶ τὰ λεχθέντα, ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ· τοῦτο καὶ γὰρ ὁ σοφὸς Παροιμιαστὴς ἐπιφέρει λέγων· *Ἀλλὰ ἀποκρίνου ἄφρονι πρὸς τὴν ἀφροσύνην αὐτοῦ ἵνα μὴ φαίνηται σοφὸς παρ'* ἑαυτῷ. Ὅσα μὲν οὖν ἀντιλέγειν δοκῶν Γρηγορᾶς τῷ συνοδικῷ τόμῳ, περί τε θείας οὐσίας καὶ θείας ἐνεργείας διαφορᾶς φιλοσοφοῦντι, καὶ τοῦ ταύτης ἀκτίστου καὶ μεθεκτοῦ, θεότητός τε πέρι καὶ σχέσεως καὶ μιμήσεως, καὶ δὴ καὶ τοῦ ἀσχέτου καὶ ἀμιμήτου καὶ ἀκτίστου τῆς ὑπερφυοῦς καὶ ἀῤῥήτου θεώσεως, καὶ τοῦ δευτέραν εἶναι ταύτην, καὶ κατωτέρω κατὰ τοὺς θεολόγους τῆς αἰτίας αὐτῆς φύσεως, καὶ ὅτι μὴ τὸ τοῦ Θεοῦ Πνεῦμα σὺν τῷ Υἱῷ τῆς τρισυποστάτου θεότητός εἰσιν ἐνέργειαι φυσικαί, εἰ καὶ τρόπον ἕτερον ἐνυπόστατοι τοῦ Πατρὸς δυνάμεις τε καὶ ἐνέργειαι, καὶ ταῦτα τοῖς θεολόγοις ἔστιν οὗ λέγεται, καὶ τοῦτο γὰρ τοῖς προῤῥηθεῖσι τῷ τόμῳ, μᾶλλον δὲ ταῖς πρὸς τὸν τόμον οἰκείαις ἀντιλογίαις ὁ λογοποιὸς οὗτος συνῆψεν, ὅσα τοίνυν ἀντιλέγειν ἐκείνοις ὁ φιλόσοφος προσποιούμενος, ἀκρατῶς κατὰ τῆς ἱερᾶς ἐβλασφήμησε θεολογίας καὶ τῶν ταύτης σοφῶν διδασκάλων, ὅσοι τέ φημι τῆς Παλαιᾶς, καὶ ὅσοι τῆς Νέας, ἱκανῶς ἡμῖν ἔκ τε τῶν λογίων αὐτῶν οἶμαι, καὶ δὴ καὶ τῶν αὐτὰ διευκρινησάντων, καὶ διδαξάντων Πατέρων, ὅσον εἰς ἡμετέραν ἧκε, φημί, τέως δύναμιν, ἐξελήλεγκται. Λοιπὸν δ' ἂν εἴη τά τε περὶ τῆς θείας Χριστοῦ μεταμορφώσεως ἑξῆς τοῦ φιλοσόφου σκοπῆσαι, καὶ ἃ περὶ τῆς τοῦ *ὑπεστήσατό* τε καὶ *ἐτεχνώσατο* φωνῆς ὁ αὐτὸς διέξεισι, καὶ ὅπως, καὶ κατὰ τίνα τὸν λόγον ὑποστάτην τῶν αὐτοῦ προόδων καὶ φυσικῶν ἐνεργειῶν τὸν Θεόν φησιν ὁ σοφὸς Διονύσιος. Μᾶλλον δ' ἐπεὶ καὶ περὶ τούτων ἱκανῶς ἡμῖν τε πρὸς αὐτὸν ἐν τοῖς προτέροις τρισὶν εἴρηται λόγοις, ἔργον αὐτὰ φημι ταῦτα καὶ τοὺς περὶ αὐτῶν τοῦ φιλοσόφου λόγους πεποιημένοις, οὐ μὴν ἀλλὰ καὶ Γρηγόριος, ἡ σοφὴ δηλαδὴ γλῶττα καὶ θεολόγος, ἔτι τῷ βίῳ παρὼν καὶ ἡμῖν, ἐν τρισὶ καὶ αὐτὸς βιβλίοις τοῖς αὐτοῖς ἐπεξῆλθε, τῶν ἐνταῦθά τινων ἐπιστολαῖς τε

A καὶ ἀξιώσεσι κεκινηκότων ἐκεῖνον, περιττόν πως ἂν εἴη, καὶ ἀσχολία κενὴ καὶ τριβὴ χρόνου τὸ τοῖς αὐτοῖς ἐπεξιέναι καὶ αὖθις, καὶ τὸν λόγον εἰς οὐδὲν ἀναγκαῖον προσασχολεῖν.

Πλὴν ὅσον ἐπισκέψασθαί φημι καὶ ἡμᾶς ἀπὸ μέρους κἀνταῦθα τὰ περὶ τῆς θείας μεταμορφώσεως, ἀληθέστερον δ' εἰπεῖν τὰ κατὰ τοῦ θείου καὶ ὑπερφυοῦς μυστηρίου μᾶλλον ἐκείνου τολμηρῶς συγγεγραμμένα τῷ φιλοσόφῳ, ἐπεὶ μηδ' ἐνετύχομέν πω τότε τῷ περὶ τούτου βιβλίῳ καὶ τοῖς αὐτοῦ γράμμασι, πλὴν ἀκοῆς καὶ φωνῶν τινων μόνων, ἀπ' ἄλλων εἰς ἄλλους τότε διαδιδομένων, καὶ οὕτω καὶ πρὸς ἡμᾶς ἐλθόντων, οἷς δήπου τὸν ἡμέτερον ἀντεστήσαμεν λόγον ἐκεῖνον. Ἐπεὶ δὲ νῦν καὶ τὸ βιβλίον, καὶ
B ὁ κατὰ τοῦ μυστηρίου λόγος εἰς χεῖρας ἡμῖν ἧκε σύν γε τοῖς ἄλλοις, ὀλίγα τινά, καθάπερ εἶπον, ὡμιληκότες καὶ τούτοις, καὶ ὅσον μὴ τοὺς ἔπειτ' ἐντευξομένους τῷ συγγράμματι τῷδε παραλυπῆσαι, τὸν περὶ τούτου παραλιπόντες ἐνταῦθα λόγον μεταξὺ κείμενον, οὕτω τελείως ἔπειτα καὶ τὸν ἡμέτερον τουτονὶ καταπαύσομεν λόγον. Δεῖ δὲ κατὰ τὴν προλαβοῦσαν ἀκολουθίαν τε καὶ τὴν τάξιν, κἀνταῦθα τὰ περὶ τῆς θείας μεταμορφώσεως εἰρημένα τῷ συνοδικῷ τόμῳ προθεῖναι, καὶ οὕτω Γρηγορᾶν αὖθις παρελθεῖν μετὰ τῶν αὐτοῦ λόγων καὶ τῆς συνήθους ἀντιλογίας ἢ θεομαχίας. Τί οὖν ὁ τόμος; Μετὰ τοῦτο, φησίν, ἐζητήθη δειχθῆναι παρὰ τῶν ἁγίων ὅτι τε ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, καὶ ὅτι οὐκ ἔστι τοῦτο ἡ οὐσία τοῦ Θεοῦ. Καὶ
C πάντες σχεδὸν εἶπον, ὅτι ἀπεδείχθη τοῦτο κατὰ τὴν τετάρτην συνέλευσιν, ἐν ᾗ παρόντες οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ, νῦν μὲν κτιστὸν εἶναι τοῦτο, καὶ φάντασμα, καὶ παραπέτασμα, καὶ ἴνδαλμα φανερῶς βλασφημοῦντες ἔλεγον, νῦν δὲ καὶ τοῦτο δυσσεβῶς ἔλεγον ἄκτιστον καὶ οὐσίαν εἶναι Θεοῦ. Προηνέχθη γὰρ ἐν ἐκείνῃ τῇ συνελεύσει ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος γράφων, Οὐδεὶς ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίου κατὰ τὸ γεγραμμένον, καὶ οὐσίαν Θεοῦ ἢ εἶδεν ἢ ἐξηγόρευσε. Καὶ ὁ θεῖος Μάξιμος γράφων ἐν ἑβδόμῳ κεφαλαίῳ τῆς τρίτης τῶν θεολογικῶν κεφαλαίων ἑκατοντάδος, Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ'
D οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται. Καὶ ὁ θεῖος Χρυσόῤῥημων εἰς τὴν αὐτὴν ἑορτὴν γράφων, Ἐν τῷ ὄρει, φησί, μεταμορφωθεὶς ὁ Σωτὴρ μικρῶς πως ὡς Δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. Ἀλλ' εὐθὺς ἐροῦσιν οἱ ἀπύλωτον καὶ θηρευτικὴν περιφέροντες γλῶσσαν· Καὶ εἰ ἀθέατος ἡ θεϊκὴ αὐτοῦ δόξα, πῶς ἐπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; Εἰ γὰρ ὁρατή, οὐκ ἀθέατος· εἰ δὲ ἀθέατος, οὐχ ὁρατή. Διὸ ἄκουε συνετῶς. Ἐνταῦθα ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου αὐτοῦ βασιλείας τὴν δόξαν, καὶ οὐκ ἐπέδειξε· τουτέστι, μικρὸν παρήνοιξε τὴν θεότητα, καὶ οὐχὶ τελείως, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος. Πληροφορῶν μὲν γάρ, ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση

Digitized by Google

A τις ἦν, ἀλλ' ὅσον ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν. Ἀλλὰ καὶ πάντες οἱ ἅγιοι ἔλλαμψιν αὐτὸ λέγοντες, καὶ λαμπρότητα καὶ χάριν, καὶ θέωσιν, καὶ θεότητα παραδειχθεῖσαν, μικροῦ στεῤῥοτέραν καὶ ὄψεως, καὶ φῶς ἀπρόσιτον καὶ φυσικὴν ἀκτῖνα τοῦ Υἱοῦ ἄναρχον, βολίδα θεότητος, ἀστραπὴν θεότητος, καὶ τὰ τοιαῦτα. Προηνέχθη δ' ἐν ἐκείνῃ τῇ συνελεύσει καὶ ὁ ἐπὶ τούτοις συνοδικὸς πρῶτος τόμος, ὃς τοῦτο φιλευσεβῶς καὶ βεβαίως ἀνέδειξεν ἄκτιστον, καὶ οὐκ οὐσίαν, διὰ πολλῶν τῶν ἐκ τῆς θείας Γραφῆς μαρτυριῶν, καὶ τῶν τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου βασιλέως ἡμῶν ἐκείνου κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου
B συμφώνων τοῖς ἁγίοις ῥημάτων, καὶ θεοσεβῶν θεσπισμάτων. Πρὸς ὃν ἱερὸν καὶ θεῖον τόμον ἀντικειμένους ἰδόντες τότε καὶ ἀντιλέγοντας τοὺς καὶ τῷ ἱερωτάτῳ Θεσσαλονίκης ἀντικειμένους, ἀπεβαλλόμεθα τούτους, ὡς νῦν μὲν κτιστὸν τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, νῦν δὲ λίαν ἀνοήτως οὐσίαν εἶναι τιθεμένους τοῦ Θεοῦ, καὶ ὡς μὴ στέργοντας ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ δύναμιν ἄκτιστον καὶ ἐνέργειαν, ἀλλὰ πάσας τὰς κοινὰς δυνάμεις τε καὶ ἐνεργείας τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἀφθόνως εἰς κτίσμα κατασπῶντας, καὶ πολυθέους ὀνομάζοντας τοὺς ἄκτιστον ἀνομολογοῦντας τὸν Θεὸν μὴ κατ' οὐσίαν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ὑποστάσεις, καὶ κατὰ τὰς κοινὰς τῶν τριῶν ὑποστάσεων θείας δυνάμεις καὶ ἐνεργείας. Τὰ δὲ
C κατὰ τὴν μνημονευθεῖσαν ἀνωτέρω τετάρτην συνέλευσιν, καὶ τὰ τοῦ συνοδικοῦ πρώτου τόμου ὧδέ πως ὁ αὐτὸς ἱερὸς διέξεισι τόμος. Ταύτῃ τοι καὶ συνόδου συγκροτηθείσης δευτέρας ἧς προεκάθητο καὶ ὁ νῦν κραταιὸς καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ ὁ κῦρις Ἰωάννης ὁ Καντακουζηνὸς, ἐξηλέγχθη ὁ Ἀκίνδυνος τὰ αὐτὰ τῷ Βαρλαὰμ καὶ φρονῶν καὶ λέγων, καὶ τῶν μοναχῶν κατηγορῶν. Δι' ἃ καὶ τὴν αὐτὴν τῷ Βαρλαὰμ ἐπεσπάσατο καταδίκην, τόμου προβάντος συνοδικοῦ κατὰ τῶν τοῦ Βαρλαὰμ ἐκείνου βλασφημιῶν, δι' οὗ παντὸς τοῦ Χριστιανικοῦ πληρώματος ἀποκέκοπται, ὡς αὐτὸς οὗτος ὁ συνοδικὸς τόμος διέξεισι, πολλῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως τὸ τοῖς συναναβᾶσιν αὐτῷ
D μακαρίοις μαθηταῖς καὶ ἀποστόλοις ὀφθὲν κτιστὸν ἐπεχείρει δεικνύναι καὶ περιγραπτὸν, καὶ τῶν αἰσθητῶν φώτων πλέον ἔχον οὐδέν. Οὐχ οὗτος δὲ μόνον ὁ Βαρλαὰμ τῷ συνοδικῷ ἀποκεκήρυκται τόμῳ, ἀλλὰ ταῖς αὐταῖς ἐπιτιμίαις ἔνοχον ἑαυτὸν καθίστησι, καὶ εἴ τις ἐκείνῳ ἑπόμενος τοῖς μοναχοῖς καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ πολεμεῖ. Φησὶ γὰρ ἐπὶ λέξεως· Ἀλλὰ καὶ εἴ τις ἕτερός τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ κατὰ τῆς Ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων, φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἢ ὅλως ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος, ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος.

Καὶ τοιαῦτα μὲν ὁ ἱερὸς τόμος τῆς συνόδου τῆς καθ' ἡμᾶς περί τε τοῦ θειοτάτου φωτός φημι τῆς θείας Χριστοῦ μεταμορφώσεως, καὶ δὴ καὶ τῶν κατ' ἀρχὰς ἐξυβρικότων εἰς αὐτὸ βλασφήμῳ καὶ θεομάχῳ γλώττῃ Βαρλαάμ τε καὶ Ἀκινδύνου, καὶ τῆς κατ' αὐτοὺς πονηρᾶς συμμορίας, καὶ τοιαύτην ἔλαχον ἀξίως ἐκεῖνοις τὴν δίκην ἡ πολεμηθεῖσα παρ' αὐτῶν Χριστοῦ Ἐκκλησία σύν γε τοῖς εὐσεβέσι καὶ πιστοῖς βασιλεῦσιν. Ἴδωμεν δὲ καὶ Γρηγορᾶν τουτονὶ περὶ τῶν αὐτῶν οἷα λέγει καὶ γράφει, καὶ εἰ σύμφωνός ἐστι κἀνταῦθα διὰ πάντων τοῖς αὐτοῦ διδασκάλοις, ἢ καὶ προσεξεῦρέ τι καὶ προσεφιλοτιμήσατο τῇ ἐκείνων διδασκαλίᾳ, παρὰ τῆς ἑαυτοῦ φιλοσοφίας τε καὶ τῆς ἐπιστήμης λαβὼν, καίτοι γε καὶ ἀπαναίνεται σφόδρα Γρηγορᾶς, καὶ καθ' ὑπερβολὴν ἀρνεῖται τὴν ἐκείνων μυσταγωγίαν. Καὶ εἴγε παρὼν ἦν ἔτι, κἂν τοῖς ζῶσι διατελῶν, πλέον ἂν ἤλγησεν ἐγκαλούμενος ταῦτα ἢ τὴν αἵρεσιν, καὶ τὴν ἀποκήρυξιν, καὶ τὸν χωρισμὸν Χριστοῦ, καὶ τῆς Χριστοῦ Ἐκκλησίας. Ἀλλὰ καὶ τοῦτ' αὐτὸ δεῖγμά γε ἂν εἴη σαφὲς τῆς τε πρὸς τοὺς ἀρχαίους τῶν αἱρετικῶν ἀκριβοῦς αὐτοῦ συμφωνίας, καὶ Ἀκίνδυνόν φημι τουτονί. Ἐλαυνόμενος καὶ γὰρ οὗτοσὶ τότε παρὰ τῆς ὀρθοδόξου τῶν πιστῶν Ἐκκλησίας ὡς τὰ τοῦ Βαρλαὰμ καὶ αὐτὸς ἄντικρυς καὶ φρονῶν καὶ ἐκδικῶν ταύταις ταῖς προθυμίαις, ὁ δὲ τοὺς ἐξ Ἀρείου τε καὶ Μακεδονίου καὶ Σαβελλίου καὶ τῶν μετ' αὐτοὺς αἱρεσιαρχῶν, ἧπερ ἔφην, μιμούμενος, τὸν καθηγητὴν Βαρλαὰμ πολλάκις ὑπέβαλλε τῷ ἀπὸ Θεοῦ ἀναθέματι, καίτοι γε μηδενὸς ὄντος τοῦ πρὸς ἀνάγκην ἀπαιτοῦντος τά γε τοιαῦτα, κλέπτων καὶ σοφιζόμενος, καὶ τρόπῳ καὶ λόγῳ παντὶ τὴν αἵρεσιν, καὶ τὴν πρὸς τὸν καθηγητὴν ἐξομοίωσιν ἀποκρύπτων. Ὃ δὴ καὶ Γρηγορᾶς πρὸς ἀμφοτέρους αὖθις κατὰ ταυτὰ ποιῶν ὡσαύτως ἑωρᾶτο, λόγοις μὲν ἀποκηρύττων καὶ ἄμφω καὶ μηδὲ τοὔνομα προσποιούμενος ἐπαΐειν ἐθέλειν, ἔργῳ δὲ τὰ ἐκείνων ἀνακηρύττων, καὶ οὐδὲν ἄλλο ἢ Βαρλαάμ τε καὶ Ἀκίνδυνος ὢν ἐν τοῖς γράμμασιν.

Ἀλλὰ καιρὸς ἂν εἴη λοιπὸν καὶ τὰ περὶ τῆς θείας Χριστοῦ μεταμορφώσεως τὸν φιλόσοφον λέγειν, καὶ τὴν οἰκείαν αὐτοῦ δόξαν ἐμφαίνειν αὖθις, καὶ τὰ συγγράμματα. Λέγε τοιγαροῦν, Γρηγορᾶ. Ἀλλ' ὅρα δὴ καὶ τὰ πλείω καὶ μείζω, φησὶ, τῆς ἀτοπίας ἑξῆς, ὅτι καὶ τὴν μεταμόρφωσιν τοῦ σώματος, σχέσιν οὖσαν τοῦ μεταμορφοῦντος Θεοῦ Λόγου, καὶ μεταποιοῦντος εἰς λαμπρότητα πρός γε τὸ μεταμορφούμενον καὶ μεταποιούμενον σῶμα τὴν μορφὴν, θεότητα καὶ αὐτὴν ἰδίαν ἐδογμάτισε νέαν, ἀκτιστόν τε καὶ τῆς θείας οὐσίας ἑτέραν· δέον, εἰ μὲν τῆς θείας οὐσίας ἕτερον εἴη τὸ φῶς ἐκεῖνο καὶ ὑφειμένον, μὴ εἶναι λέγειν θεότητα ἄκτιστον· εἰ δ' οὐχ ἕτερον, αὐτὴν εἶναι λέγειν λοιπὸν τὴν θείαν οὐσίαν, ἀποῤῥήτοις τρόποις παραδειχθεῖσαν. Ἀλλ' αὐτὸς οὐκ αἰδεῖται τὰ αὐτὰ μὲν τοῖς Εἰκονομάχοις καὶ αὐτὸς βεβλασφημηκὼς ἔπιπαν· πρὸς δὲ μεῖζον πολλῷ τῆς ἀτοπίας κατὰ τὸ εἰωθὸς αὐτῷ τὴν ὑπερ-

Digitized by Google

βολὴν ἐξενηνοχὼς, ὡς δειχθήσεται προϊοῦσιν ἡμῖν, A τὴν συνήθη συκοφαντίαν ὁ Γρηγορᾶς καὶ νῦν ἀναμίξας τῇ συνοίκῳ πάλαι κακοδοξίᾳ καὶ βλασφημίᾳ, τὸν ἑαυτοῦ λόγον καθ' ἡμῶν καὶ αὖθις ὁπλίζειν δοκεῖ. Καὶ τὸ μὲν τῆς συκοφαντίας τε καὶ τοῦ ψεύδους εὐθὺς δῆλον αὐτόθεν. Τίς γὰρ ἡμῶν εἶπε τοὔνομα τῆς μεταμορφώσεως, ὡς αὐτός φησι, θεότητα ἄκτιστον ἰδίαν; Καίτοι γε διὰ τοῦτο καὶ φθάσαντες ἡμεῖς ἤδη τὰ τῶν ἱερῶν κατὰ λέξιν ἐξεθέμεθα τόμων, τοῦ τε καθ' ἡμᾶς, φημὶ, τούτου, καὶ δὴ καὶ τοῦ προτέρου ἐκείνου τοῦ κατὰ Βαρλαὰμ τε καὶ Ἀκινδύνου τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ πάλαι καλῶς ἐξενηνεγμένου, ὅσα δηλαδὴ καὶ ὁ τόμος ἐκείνων ἐμνήσθη τῆς ἡμετέρας συνόδου. Λεγέτω Γρηγορᾶς τοιγαροῦν, ποῦ ποτε τῶν τόμων οἷς ἀντιλέγειν αὐτὸς προσποιεῖται, λεγόντων ἤκουσε θεότητα τὴν B μεταμόρφωσιν εἶναι καθ' ἑαυτὴν ὑφεστηκυῖαν ἰδίᾳ κεχωρισμένην τῆς θείας φύσεως. Ἢ πού καὶ νῦν τὸν ἐγκέφαλον διασεισθεὶς ὁ φιλόσοφος, οὐκ οἶδεν οὐδ' ὅ τι λέγει καὶ γράφει· καθάπερ ἐπὶ τῆς ἡμετέρας ἐκείνης τότε συνόδου παρὰ τῶν ὁμοδόξων προβληθεὶς εἰς τοὺς καθ' ἡμῶν τε καὶ τῆς ὀρθῆς δόξης λόγους, ἐκάθητο παραληρῶν ἐπὶ μακρὸν, καὶ ψελλίζων ἀδιάκριτά τινα, καὶ σχεδὸν ἄναρθρα καὶ ἀσύνετα πᾶσιν ὁμοῦ τοῖς συνειλεγμένοις, ἡνίκα καὶ τὸ Θαβώριον ὄρος ἄκτιστον λέγειν ἡμᾶς δῆθεν εἰπὼν, εἰς τὸν κατ' αὐτοῦ κεκίνηκε γέλωτα πάντας ὁμοῦ σχεδὸν τοὺς τῇ συνόδῳ τότε παρόντας. Ἀλλὰ τὸ μὲν ψεῦδος, καὶ ἡ καθ' ἡμῶν συκοφαντία τοιαύτη· μικρῷ δὲ τοῦ λόγου προϊόντος αὐτῷ, C καθάπερ ἠκούσαμεν, καὶ τὴν κατὰ τοῦ Δεσποτικοῦ φωτὸς βλασφημίαν ἀνακαλύπτει, λέγων, ὡς εἰ μὲν τῆς θείας οὐσίας διαφέρον εἴη καὶ ὑφειμένον, μὴ εἶναι λέγειν αὐτὸ θεότητα, μηδὲ ἄκτιστον· εἰ δὲ τῆς θείας οὐσίας οὐχ ἕτερον, αὐτὴν εἶναι λέγει λοιπὸν τὴν θείαν οὐσίαν, ἀποῤῥήτοις τρόποις παραδειχθεῖσαν. Ὡς εἶναι κατὰ τοῦτον δὴ τὸν κενὸν θεολόγον καὶ αὐτοχειροτόνητον διδάσκαλον τῶν θείων δογμάτων τὸ τῆς θεότητος ἀπρόσιτον τοῦτο φῶς, τὴν φυσικὴν καὶ ἀχώριστον τοῦ Θεοῦ δόξαν, ἢ κτίσμα καὶ φάσμα καὶ ἴνδαλμα, ὃ δὴ κἀπὶ τῆς συνόδου τότε σύν γε τῇ αὐτοῦ συμμορίᾳ διαῤῥήδην εἰπόντες ἑάλωσαν, ἢ τὴν οὐσίαν αὐτὴν τοῦ Θεοῦ. Τοῦτο καὶ γὰρ τὸ τῆς αἱρέσεως κεφάλαιον ἄνωθεν, καὶ τοῦτο διαδεξάμενος ὁ φιλόσοφος παρὰ τῶν αὐτοῦ μυσταγωγῶν καὶ πα- D τέρων τῆς πλάνης, τὴν οὐσίαν αὐτὴν εἶναι διδάσκει τοῦ Θεοῦ τὸ τοῖς ἁγίοις ἀποῤῥήτοις τρόποις ὁρώμενον θεῖον φῶς, ὁρατὴν ὁπωσπώποτε τὴν οὐσίαν τοῦ Θεοῦ, τολμηρᾷ καὶ δαιμονιώδει γλώσσῃ τε καὶ χειρὶ λέγων καὶ γράφων, ὁ τοὺς Εἰκονομάχους ἡμῖν καὶ τὴν ἐκείνων δυσσέβειαν, καθαπερεί τισι ψελλιζομένοις παισὶ, μορμολύκειον ἐπισείων.

Ἀλλὰ πρὶν εἰς ἐκείνους ἡμᾶς ἐμβαλεῖν τοὺς λόγους καὶ τὴν αὐτοῦ τε κἀκείνων ἀδολεσχίαν, ἀκούσωμεν καὶ τῶν ἑξῆς αὐτοῦ λόγων, καὶ τίνα φησὶν αὐτὸς εἶναι τὴν μεταμόρφωσιν. Τῆς γὰρ κατὰ τοῦ θείου φωτὸς ἀφέμενος πρὸς βραχὺ βλασφημίας, ἐπὶ τὴν μεταμόρφωσιν καὶ πάλιν ἐπάνεισι· μᾶλλον δὲ κατ' αὐτῆς ἐκείνης, καὶ τῶν περὶ αὐτῆς ἱερῶν λόγων μηδὲ εἶναι ταύτην μηδὲ γεγεννῆσθαι κακῶς συνάγων σχεδὸν, ἐξ ὧν αὐτὸς λέγει. Ἐπάγει καὶ γὰρ οὑτωσί· Νῦν δ' ἐξεταστέον τί ἐστι μορφὴ, καὶ τί τὸ γένος αὐτῆς. Φωνὴ γὰρ ὁμώνυμος οὖσα ἡ μορφὴ, ἐπὶ μὲν Θεοῦ λεγομένη, ταυτὸν δύναται τῇ οὐσίᾳ, καθὰ καὶ τοῖς θείοις τῆς Ἐκκλησίας φωστῆρσι νενομοθέτηται. Ἐπεί γε μὴν τῶν αἰσθητῶν μορφή ἐστι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, πρὸς ὃ βλέποντες εὔμορφόν γε λέγομεν, καὶ δύσμορφον τὸ ὑποκείμενον ζῶον τυχὸν, συμβεβηκὸς γάρ ἐστιν ἐν ὑποκειμένῳ τινὶ θεωρούμενον ἡ μορφὴ, γένος δ' ἔχουσα τὴν ποιότητα, τέταρτον κατὰ διαίρεσιν εἶδος εὑρίσκεται ταύτης. Ἐπεὶ δὲ καὶ ἡ κίνησις συμβεβηκὸς οὖσα καὶ αὐτὴ, θεωρεῖται μὲν καὶ ἐν οὐσίᾳ καὶ ποσῷ καὶ τόπῳ, θεωρεῖται δὲ μᾶλλον κἂν τῇ ποιότητι, τὸ πολυειδὲς ἐργαζομένη τῆς ἀλλοιώσεως, ἡδέως ἂν ἐροίμην ἔγωγε Παλαμᾶν τί ἂν εἶναι νοοίη τὴν μεταμόρφωσιν. Οὐδὲν γὰρ ἡ λέξις ἕτερον πάντως δηλοῖ ἢ μορφῆς ἀλλοίωσιν καὶ μεταποίησιν. Εἰ μὲν οὖν τῆς οὐσίας λέγοι τῆς θείας, τί ἂν ἀσεβέστερον εἴη τοῦ μετουσίωσιν λέγοντος τὴν ἐπὶ τοῦ θείου ὄρους μεταμόρφωσιν τοῦ Χριστοῦ, καὶ δυοῖν τῶν ἀτοπωτάτων θάτερον πάντως εἰσάγοντος, ἢ τῆς θείας οὐσίας τὸ ἀναλλοίωτον δηλαδὴ καθαιροῦντος εἰς τὸ ὑφειμένον καὶ διάφορον ταύτης, ἢ διαιροῦντος ἐξ ἀμαθοῦς καὶ κακοτρόπου γνώμης εἰς δύο θεοτήτων ἀκτίστων διχοτομήματα τὴν ἄκτιστόν τε καὶ ἀμερῆ καὶ ἁπλῆν, καὶ τὴν μὲν λέγοντος ὁρατὴν, τὴν δ' ἀόρατον, καὶ τὴν μὲν μεθεκτὴν, τὴν δ' ἀμέθεκτον, καὶ τὴν μὲν ὑφειμένην, τὴν δ' ὑπερκειμένην; ὃ καὶ τὴν τῶν Εἰκονομάχων ὑπερβέβηκεν αἵρεσιν, ὡς εἰρήσεται πλατύτερον. Εἰ δ' ἐξ ὅλων μεταβεβλῆσθαι φάσκει τὴν τοῦ δούλου μορφὴν κατ' αὐτοὺς ἀκριβῶς εἰπεῖν τοὺς Εἰκονομάχους ἐπὶ φῶς ἄῤῥητόν τε καὶ ἄκτιστον, καὶ θεότητα ξένην, ζητητέον, πῶς τὸ κτιστὸν μετακεχώρηκεν ἑαυτοῦ πρὸς τὸ ἄκτιστον, καὶ τὸ ἠργμένον πρὸς τὸ ἄναρχον, καὶ τὸ χρονικὸν πρὸς τὸ ἄχρονον, καὶ τὸ πεπερασμένον πρὸς τὸ ἄπειρον;

Πάλιν ὁ τῆς μὲν εὐαγγελικῆς φιλοσοφίας ἀποστὰς φιλόσοφος οὑτοσὶ, τῇ δὲ ἐκ μαθήσεως ἐναβρυνόμενος ἐπιστήμῃ, καὶ ταύτην μετ' ἐκείνης ἀπολέσας ἐγκαταλείψει δικαίᾳ Θεοῦ, ἐπὶ τὰς ὁμωνυμίας αὖθις, καὶ τὰς διαιρέσεις ὥσπερ δὴ κἀν τοῖς φθάσασι χωρεῖ, μὴ εἰδὼς ἅπερ λέγει. Περὶ γὰρ μορφῆς προθέμενος ἐξετάσαι, καὶ εἰπεῖν, ὡς αὐτός φησι, τί τὸ γένος αὐτῆς, καὶ φωνὴν ὁμώνυμον αὐτὴν καλέσας, ἐπὶ μὲν Θεοῦ φησιν αὐτὴν λεγομένην, ταυτὸ δύνασθαι τῇ οὐσίᾳ, κατὰ τὴν νομοθεσίαν τῶν τῆς Ἐκκλησίας φωστήρων, ἐπὶ δὲ τῶν αἰσθητῶν μορφὴν εἶναι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα. Τί δὲ, ὦ φιλόσοφε, πρὸς ἐκεῖνον εἴποιμι ἂν, οὐχὶ καὶ ἡ τοῦ ἀνθρώπου μορφὴ οὐσία ἀνθρώπου ἐστὶν ὥσπερ δὴ καὶ ἡ τοῦ Θεοῦ, ἀλλ' ἡ τοῦ προσώπου μόνον ἰδέα, καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, τοῦτό ἐστι τοῦ ἀνθρώπου μορφή; Καὶ πῶς ὁ μὴ τὴν σοφίαν τοῦ αἰῶνος τούτου λαλῶν, ἀλλὰ τὴν τοῦ Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώνων, πῶς οὖν οὗτος ὁ

Digitized by Google

ἀληθινὸς φιλόσοφος καὶ σοφὸς τὰ περὶ τῆς οἰκονομίας φιλοσοφῶν τοῦ Χριστοῦ, *Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων*, φησὶν, *οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών;* Ἡ τὴν τοῦ προσώπου μορφὴν μόνην, καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, κατὰ σὲ καὶ οὗτος ἀνειληφέναι τοῦ δούλου φησὶ τὸν Χριστὸν, ἀλλ' οὐχὶ τέλειον τὸν Ἀδὰμ, σάρκα φημὶ καὶ ψυχὴν καὶ νοῦν. Τὸ δὲ ἄρα τῶν δυσσεβῶν ἐς δεῦρο τετόλμηται μηδενί. Οὐδὲ γὰρ ἤκουσταί ποτε. Ἄνουν μὲν γὰρ καὶ ἄψυχον οἱ περὶ τὸν Σύρον Ἀπολλινάριον ἀναλαβεῖν κακῶς εἶπον τὸν Χριστὸν σάρκα, ὡς δὴ τῆς θεότητος ἀντὶ ψυχῆς λογισθείσης αὐτῷ· τὸ δὲ προσώπου μορφὴν μόνην ἀνθρώπου, καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα μόνον ἀναλαβεῖν τὸν Χριστὸν, οὐκ οἶδ' εἴ τις τῶν πάντων ἐνεθυμήθη πλὴν σοῦ. Διὸ καὶ Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς τὴν προῤῥηθεῖσαν ἀποστολικὴν ἐξηγούμενος ῥῆσιν, καὶ πρός τινας ἀρχαίους αἱρετικοὺς Μάρκελλόν τε, καὶ Φωτεινὸν, καὶ Σωφρόνιον τὸν λόγον ποιούμενος, οὐχὶ τὴν ὑπόστασιν τοῦ Θεοῦ Λόγου, τὴν δ' ἐνέργειαν μόνην ἑνωθῆναι σαρκὶ λέγοντας, Πῶς, φησὶ, λέγεις, ὅτι ἐνέργεια ἦν; μορφὴ γὰρ Θεοῦ, φησὶ, μορφὴν δούλου ἔλαβεν. Ἡ μορφὴ τοῦ δούλου ἐνέργεια δούλου ἐστὶν, ἢ φύσις δούλου; Πάντως δήπου φύσις δούλου· οὐκοῦν καὶ ἡ μορφὴ τοῦ Θεοῦ, Θεοῦ φύσις. Οὐκ ἄρα ἐνέργεια. Καὶ ὁ μὲν τῆς οἰκουμένης διδάσκαλος οὗτος, καθάπερ ἀκούεις, ὡς ὁμολογούμενον καὶ παρὰ τοῖς ἀντιλέγουσι τῷ τῆς εὐσεβείας λόγῳ τοῦτο λαμβάνων, ὅτι ἡ μορφὴ τοῦ δούλου φύσις δούλου, διὰ τούτου καὶ τὸ παρ' ἐκείνων ἀντιλεγόμενον ἀποδείκνυσιν, ὅτι εἰ τοῦτο, οὐκοῦν ὡσαύτως κἀκεῖνο, ὅτι καὶ ἡ μορφὴ τοῦ Θεοῦ φύσις Θεοῦ. Μορφὴ γὰρ Θεοῦ, φησὶ, μορφὴν δούλου ἔλαβεν. Ὁ δὲ ταῖς ἀποστολικαῖς καὶ Πατρικαῖς διδασκαλίαις ἀντικείμενος οὑτοσὶ Γρηγορᾶς πανταχοῦ, Ἐπὶ μὲν Θεοῦ ταυτὸ, φησὶν, ἡ οὐσία δύναται τῇ μορφῇ, ἐπ' ἀνθρώπων δὲ οὐδαμῶς· ἀλλὰ μορφὴ, φησὶν, ἐστιν ἐπ' αὐτῶν, τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα μόνον, καὶ τοὺς τῆς Ἐκκλησίας διδασκάλους οἰόμενος ἔχειν μεθ' ἑαυτοῦ, οἷς ἐν ἅπασι πολεμεῖ. Ἐπεὶ οὖν ὁ Χριστὸς μορφὴν ἀναλαβὼν δούλου, οὐ τὴν τοῦ προσώπου μορφὴν ἀνέλαβε μόνην, τοῦτο γὰρ φασματῶδές τι καὶ τερατῶδες ἂν εἴη καὶ μόνον ἐννοῆσαι, ἀλλὰ τελείαν ἀνέλαβεν ἐν ἰδίᾳ ὑποστάσει τὴν τοῦ ἀνθρώπου φύσιν, τελείαν αὐτὴν καὶ μετεμόρφωσεν ἐν ἑαυτῷ, τῷ τῆς οἰκείας θεότητος καταλαμπρύνας φωτί. Τὴν ἀμαυρωθεῖσαν καὶ γὰρ ἐν Ἀδὰμ φύσιν, πρὸς Χριστόν φησιν ὁ τῆς Ἐκκλησίας σοφὸς μελῳδὸς, μεταμορφωθεὶς, ἀπαστράψαι πάλιν πεποίηκας, μεταστοιχειώσας αὐτὴν εἰς τὴν σὴν τῆς θεότητος δόξαν τε καὶ λαμπρότητα. Ὃ δὴ καὶ πλατύτερον προϊόντος ἡμῖν τοῦ λόγου διὰ τῶν αὐτῶν θεολόγων δειχθήσεται. Οὕτω μὲν οὖν ἡ περὶ μορφῆς ἐξέτασις, καὶ τὰ ὁμώνυμα τοῦ φιλοσόφου ὡς ψευδῆ τε καὶ ἀνυπόστατα, διαῤῥυέντα καὶ αὖθις οἴχεται. Ἴωμεν δὲ καὶ τὰς ἑξῆς περὶ τῆς μεταμορφώσεως διαιρέσεις, καὶ πεύσεις αὐτοῦ, καὶ οἷς αὐτὸς τὴν θείαν ἀρνούμενος Χριστοῦ μεταμόρφωσιν, ἔπειτα δυσσέβειαν ἡμῖν

A ἐγκαλεῖ, καὶ τὴν πρὸς Εἰκονομάχους, ὡς αὐτός φησι, συμφωνίαν.

Ἡδέως ἂν, φησὶν, ἐροίμην ἔγωγε Παλαμᾶν, τί ἂν εἶναι νοοίη τὴν μεταμόρφωσιν. Οὐδὲν γὰρ ἡ λέξις ἕτερον δηλοῖ ἢ μορφῆς ἀλλοίωσιν καὶ μεταποίησιν. Εἰ μὲν οὖν τῆς οὐσίας λέγοι τῆς θείας, τί ἂν ἀσεβέστερον εἴη τοῦ μετουσίωσιν λέγοντος τὴν ἐπὶ τοῦ θείου ὄρους μεταμόρφωσιν τοῦ Χριστοῦ· εἰ δ' ἐξ ὅλων ὅλην μεταβεβλῆσθαι φάσκει τὴν τοῦ δούλου μορφὴν, κατ' αὐτοὺς ἀκριβῶς εἰπεῖν τοὺς Εἰκονομάχους, ἐπὶ φῶς ἄῤῥητόν τε, καὶ ἄκτιστον, καὶ θεότητα ξένην, ζητητέον, φησὶ, πῶς τὸ κτιστὸν μετακεχώρηκεν ἑαυτοῦ πρὸς τὸ ἄκτιστον, καὶ τὸ ἠργμένον πρὸς τὸ ἄναρχον, καὶ τὸ χρονικὸν πρὸς τὸ ἄχρονον, B καὶ τὸ πεπερασμένον πρὸς τὸ ἄπειρον. Ἡμεῖς δὲ πρὸ τοῦ τὸ ψεῦδος αὐτοῦ τῆς διαιρέσεως καὶ τοῦ ἀσυλλογίστου τούτου ἐξελέγξαι συλλογισμοῦ, οὕτως ἀντερωτήσωμεν τὸν φιλόσοφον, αὐτά φημι ταῦτα λαβόντες τὰ ἐκείνου καθ' ἡμῶν λήμματα.

Καὶ εἰ οὐδὲν ἕτερον ἡ μεταμόρφωσίς ἐστιν, ὡς αὐτὸς φῂς, ἢ μορφῆς ἀλλοίωσις καὶ μεταποίησις, καὶ τὸ μὲν τὴν ἀναλλοίωτον τοῦ Θεοῦ οὐσίαν ἠλλοιῶσθαι λέγειν, ὡς καὶ αὐτὸς λέγεις, πᾶσαν ἀσέβειαν ὑπερβέβηκε, τὸ δ' αὖ ὅλην ἐξ ὅλου μεταβεβλῆσθαι φάσκειν τὴν τοῦ δούλου μορφὴν ἐπὶ φῶς ἄῤῥητόν τε καὶ ἄκτιστον, καὶ θεότητα ξένην τῶν δυσσεβῶν Εἰκονομάχων ἐστὶν ἴδιον, τρίτον λοιπὸν λείπεται καὶ εὐσεβὲς κατὰ πᾶσαν ἀνάγκην, ὡς αὐτὸς δήπου συνάγεις διαιρῶν, τὸ λέγειν μηδαμῶς ἐπὶ τοῦ ὄρους C γεγενῆσθαι τὴν μεταμόρφωσιν τοῦ Χριστοῦ, ἵνα μὴ θατέρᾳ τῶν εἰρημένων ἀσεβειῶν ἐξ ἀνάγκης περιπέσῃ πᾶς ὁ γεγενῆσθαι λέγων τὴν μεταμόρφωσιν.

Λέγομεν δὲ ταύτην οὐχ ἁπλῶς ἡμεῖς, οὐδὲ ἡ παγκόσμιος Ἐκκλησία Χριστοῦ, ἀλλ' εὐαγγελιστῶν καὶ ἀποστόλων χορὸς, οὐ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ὅ φησιν ὁ μακάριος Πέτρος, ἀλλ' ἐπόπται γενηθέντες τῆς αὐτοῦ μεγαλειότητος, καὶ τῆς Πατρικῆς φωνῆς τε καὶ μαρτυρίας αὐτήκοοι, σὺν αὐτῷ, φησὶν, ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ· μᾶλλον δὲ καὶ Χριστὸς αὐτὸς ἐκεῖνος πρὸ τούτων ὁ μεταμορφωθεὶς, ὃς καὶ βασιλείαν ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς τὸ μέγα καὶ ὑπερφυὲς τῆς μεταμορφώσεως τοῦτο μυστήριον, τοῖς μαθηταῖς ἔφη προλέγων. Ὁ δὲ Γρηγορᾶς, Ἐπειδὴ, φησὶν, ἡ μεταμόρφωσις οὐδὲν D ἄλλο ἐστὶν ἢ μορφῆς ἀλλοίωσις καὶ μεταποίησις, τὸ δὲ ἢ τὴν θείαν οὐσίαν, ἢ τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ λέγειν μεταπεποιῆσθαι, ἑκάτερον ἀσεβὲς, τὸ λειπόμενον ὁ βουλόμενος συναγέτω κατὰ Γρηγορᾶν, ὅτι κατὰ πᾶσαν ἀνάγκην οὐ μετεμορφώθη Χριστός. Τοιαῦτα τὰ τῆς λογικῆς ἐπιστήμης, καὶ τῶν διαιρέσεων, καὶ τῶν συλλογισμῶν τοῦ σοφοῦ Γρηγορᾶ. Οἷς ἐγκαυχώμενος αὐτὸς, ἀμαθίαν καὶ ἀγροικίαν τοῖς τοῦ Εὐαγγελίου μυσταγωγοῖς τε καὶ μύσταις διὰ παντὸς ἐγκαλεῖ τοῦ βιβλίου.

Οὕτω φανερῶς ἀντικείμενον ἑαυτὸν δείκνυσιν εὐαγγελισταῖς τε καὶ ἀποστόλοις, καὶ αὐτῇ δέ φημι τῇ ἐνυποστάτῳ Θεοῦ σοφίᾳ, τῷ πάντων κοινῷ διδασκάλῳ καὶ Δεσπότῃ Χριστῷ, ὁ τὴν τῶν θείων

Digitized by Google

Γραφῶν ἄγνοιαν καὶ τὴν ἀμαθίαν πυκνὰ προφέρων ἡμῖν.

Πρώην μὲν οὖν οὔπω τοῖς γράμμασιν ἐντετυχηκότες αὐτοῦ περιόντος ἔτι τῷ βίῳ, πολλῶν τινων τῶν ὡμιληκότων ἐκείνῳ λεγόντων ἠκούομεν, ὡς ἄρα διδάσκει Γρηγορᾶς περὶ τοῦ τῆς μεταμορφώσεως θείου φωτὸς, ὅτι εἰ μὲν οὐχ ἑωράθη τοῖς ἀποστόλοις ἐκεῖνο, θεῖον καὶ ἄκτιστόν ἐστιν, εἰ δ' ὁρατὸν ἐκείνοις ὁπωσδήποτε γέγονεν, ἐξ ἀνάγκης καὶ τοῖς κτίσμασιν ἐκεῖνο συναριθμήσομεν, ἑκατέρωθεν ἀντιλέγων τῷ Εὐαγγελίῳ Χριστοῦ, καὶ ὁραθῆναι τοῖς ἀποστόλοις θείᾳ δηλονότι δυνάμει διδάσκοντι, καὶ βασιλείαν ἀποκαλοῦντι Θεοῦ, ἣν οὐ θέμις λέγειν ὑπὸ χρόνων τε καὶ αἰώνων φθάνεσθαι, κατὰ τὰς ἱερὰς τῶν θεολόγων φωνάς. Ὑπὲρ ὧν καὶ λόγος ἡμῖν ἐν δυσὶ βιβλίοις κατὰ δύναμιν ἐξεδόθη τοτηνικαῦτα. Νῦν δὲ καὶ τοῖς συγγράμμασι τούτοις ἐντετυχηκότες ἐκείνου, μηδὲ τὴν ἀρχὴν γεγενῆσθαι τὴν τοῦ Χριστοῦ μεταμόρφωσιν διὰ συλλογισμῶν τε καὶ διαιρέσεων, ὡς μὴ ὤφελεν, ὁρῶμεν αὐτὸν ἀθέως κατασκευάζοντα. Ἀλλὰ πρὸς ἐκεῖνον ἐπανέλθωμεν αὖθις, καὶ τὸν περὶ μορφῆς καὶ μεταμορφώσεως ἐκείνου συλλογισμόν. Προὐπέθετο τοίνυν ὁ φιλόσοφος, καθάπερ ἠκούσαμεν ἤδη τὴν μορφὴν αὐτοῦ καὶ τὸ ταύτης ἐξετάζοντες γένος, ὡς ἐπὶ μὲν Θεοῦ λεγομένη ταυτὸν δύναται τῇ οὐσίᾳ· ἐπὶ δὲ τῶν αἰσθητῶν μορφὴ ἐστι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα. Δέον οὖν τὰς οἰκείας αὐτὸν λαβόντα προτάσεις, καθὰ δήπου καὶ προὐπέθετο, καὶ τὸν μέσον ὅρον αὐταῖς δεδωκότα κοινὸν κατὰ τοὺς συλλογιστικοὺς αὐτοῦ νόμους, οὕτως ἐπαγαγεῖν ἀληθὲς καὶ τὸ ἐκεῖθεν συμπέρασμα, ὅτι ὁ μεταμόρφωσιν τοῦ Χριστοῦ λέγων ἐξ ἀνάγκης τῆς ἀνθρωπείας ἀλλοίωσιν λέγει μορφῆς, ταύτης καὶ γὰρ τὸ τρεπτὸν κατὰ φύσιν, ἀλλ' οὐκ ἐκείνης, ὁ δ' ἐπεὶ τὸ συμπέρασμα τοῦτο πρὸς ἡμῶν, ἀλλ' οὐ καθ' ἡμῶν ἐκβαῖνον κατεῖδε, τοῦ γέλωτος καὶ τῆς ἐκεῖθεν αἰσχύνης ὀλίγα φροντίσας, ἵνα συκοφαντήσῃ μόνον καὶ ὑβρίσῃ συνήθως, ὅρα πῶς αἴσχιστα καὶ καταγέλαστα συλλογίζεται. Μορφή, φησίν, ἐπὶ μὲν τῆς θεότητος τοῦ Χριστοῦ τὴν οὐσίαν σημαίνει, ἐπὶ δὲ τῆς ἀνθρωπότητος τὸ περὶ τὴν ὄψιν ποιὸν τύπωμα. Ὁ ἄρα λέγων μεταμόρφωσιν ἐπὶ τοῦ Χριστοῦ τῆς οὐσίας αὐτοῦ λέγει τροπὴν καὶ ἀλλοίωσιν, εἴτε τῆς θείας, εἴτε τῆς ἀνθρωπείας. Οὗ τί ἄν, φησίν, ἀσεβέστερον γένοιτο; Οὕτως οὐκ εὐαγγελιστῶν τε καὶ ἀποστόλων μόνον καὶ αὐτοῦ καταψεύδεται Γρηγορᾶς τοῦ Χριστοῦ, καὶ πᾶσαν ὁμοῦ συκοφαντῶν ὑβρίζει τὴν Ἐκκλησίαν αὐτοῦ, ἀλλὰ καὶ τῆς κάτω ταύτης καὶ δούλης σοφίας, ἐφ' ᾗ μέγα φρονεῖ, φανερῶς οὕτω καὶ δίχα παντὸς ἐρυθήματος καταψεύδεται, οὐκ ἀμαθῶς ἂν εἴποιμι μᾶλλον, ἢ φθόνου καὶ μανίας ὑπερβολῇ, ὑφ' ὧν ἄρα καὶ τοῦ λογιζομένου καὶ πεφυκότος καλῶς ἐκτραπεὶς, δι' ὑπερβολὴν ἀπονοίας, τὰ καταγέλαστα ταυτὶ τῆς ἀνοίας ἀποφθέγγεται ῥήματα. Δι' ἃ δήπου καὶ τοὺς Εἰκονομάχους ἡμῖν, καὶ τὴν ἐκείνων Χριστομάχον αἵρεσιν ἐπισείει, καὶ τὸν θαυμαστὸν ὁμολογητὴν, καὶ μάρτυρα τῆς ἀληθείας ἐπεισάγει τῷ λόγῳ Θεόδωρον, διὰ πολλῶν τε καὶ A καλῶν λόγων τὴν ἐκείνων δυσσέβειαν ἐξελέγχοντα, καὶ δεικνύντα τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ φύσιν πάντα μὲν τὰ φυσικὰ τῆς θεότητος πεπλουτηκυῖαν αὐχήματα διὰ τὴν καθ' ὑπόστασιν τῆς θεότητος ἀχώριστον ἕνωσιν, οὐκ ἐκστᾶσαν δὲ ἑαυτῆς, οὐδ' εἰς θεότητα μεταποιηθεῖσαν, οὔτε τὴν θείαν φημὶ φύσιν, οὔτε τινὰ ταύτης ἑτέραν καὶ κεχωρισμένην, τίς γὰρ ἂν καὶ εἴη ἐκείνη; ἀλλὰ καὶ μετὰ τὴν τῆς θεότητος χρίσιν καὶ τὸ ὁμόθεον ἀνθρώπου μένουσαν φύσιν. Διὸ καὶ πρὸς τὸν τῆς δυσσεβείας ἐκείνης προεστηκότα τὸν ὑπὲρ τούτου ὁ γενναῖος ποιούμενος λόγον, καθὰ καὶ Γρηγορᾶς αὐτὸς ἐν τοῖς οἰκείοις διέξεισι γράμμασι, καὶ κατακομψεύεται, φησὶν Εὐσέβιος, ἐπὶ φῶς ἄῤῥητον καὶ ἀνεκδιήγητον, καὶ τῷ Θεῷ Λόγῳ πρέπον, τὴν τοῦ δούλου μεταβεβλῆσθαι B μορφὴν ἐν τῷ ὄρει.

Ἀκούεις, Γρηγορᾶ, τὴν τοῦ Εἰκονομάχου δυσσέβειαν, μᾶλλον δὲ τὰς δυσσεβείας; Καὶ μεταβεβλῆσθαι γάρ φησιν ἐν τῷ ὄρει τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ φύσιν. καὶ ἐπὶ φῶς ἰδιοϋπόστατόν τι μεταβεβλῆσθαι ταύτην φησί, καθὰ δὴ καὶ προϊὼν ὁ τῆς ὁμολογίας ἐπώνυμος δείξει πλατύτερον· ἃ ποίαν οὐχ ὑπερβέβηκεν ἀσέβειαν; Ἐπάγει τοιγαροῦν· Καὶ ὁ μὲν Εὐσεβίου λόγος τοιοῦτος, καὶ οὕτως ἔχων, καὶ τὸ πᾶν αὐτῷ ἐνταῦθα τῆς ἀσεβείας ἐξήρτηται· ὅποι δ' αὐτῷ φέρει τὰ τῆς καινῆς ταύτης διδασκαλίας καὶ τοῦ δόγματος, ὡς ἔνι μάλιστα συντομώτατα σκεψώμεθα· καὶ ὁποῖος δὴ, καὶ ὅστις ὁ τῆς μεταβολῆς τρόπος, ἐπισκέψασθαι πειρασώμεθα.

Πᾶν τὸ μεταβαλλόμενον ἢ κατ' οὐσίαν C μεταβάλλεται, ὃ δὴ περὶ γένεσιν καὶ φθορὰν θεωρεῖται, ἢ κατά τι τῶν ἐν αὐτῷ· καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ ποσὸν μεταβάλλεται, καθ' ὃ ἡ αὔξησις καὶ ἡ μείωσις δείκνυται, ἢ κατὰ τὸ ποιὸν, ἐξ οὗ ἐμφαίνεται ἡ ἀλλοίωσις. Εἰ μὲν οὖν κατὰ τὸ ποιὸν μεταβέβληται, κεκίνηται μὲν πρὸς ἀλλοίωσιν, ἥ δέ ἐστι μετασχηματισμὸς χαρακτῆρός τινος, ἢ κατά τι τῶν τοῦ ὑποκειμένου πράγματος ἐξαλλαγὴ, χωριστῶς, ἢ ἀχωρίστως συμβαίνουσα, ἅπερ ἀλλοῖον μὲν καὶ διάφορον τοῦ προτέρου δείκνυσιν, οὐ μὴν δὲ ἄλλο τι τὸ ἀλλοιούμενον ἀπεργάζεται· οὐ γὰρ οὐσιωδῶς μετέβαλεν, ἀλλ' ἐκ τοιοῦδε τὸν αὐτὸν τοιόνδε κατὰ τὸ ποιὸν γενέσθαι πεποίηκε· τοῦτο δ' οὐκ ἔστιν ἐξ ὅλων ὅλον μεταβεβλῆσθαι, τὸ γὰρ ὑποκείμενον πάν- D τως ὑπομένει σωζόμενον· εἰ δὲ κατὰ τὸ ποσὸν, αὔξησίν τινα ἢ μείωσιν ἐδέξατο. Ἀλλ' οὐδὲ ταῦτα ἄλλο τι παρὰ τὸ ἐξ ἀρχῆς ὑπάρξαν ποιεῖ, ἀλλ' ἐκ τοσοῦδε τὸν αὐτὸν τοσόνδε κατὰ τὸ πηλίκον γενέσθαι πεποίηκεν. Οὐκοῦν οὐδὲ κατὰ τοῦτον τὸν τρόπον ἐξ ὅλων ὅλη μεταβέβληται ἡ μορφή. Λείπεται οὖν λέγειν, καθ' αὐτὴν μεταβεβλῆσθαι περὶ τὴν οὐσίαν δηλαδὴ, ὡς ἀνάγκην εἶναι πᾶσαν ἐκ γενέσεως εἰς φθορὰν, κἀκ τοῦ ὄντος εἰς τὸ μηδαμῶς εἶναι κεχωρηκέναι.

Ἐξίσης ὁ τῆς εὐσεβείας ὁμολογητὴς τόν τε προεστηκότα τῆς τῶν Εἰκονομάχων αἱρέσεως Εὐσέβιον ἐξελέγχει, καὶ Γρηγορᾶν τουτονὶ, τὸν μὲν, διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς, οὐ μεταμόρφωσιν, οὐδὲ περὶ τὸ ποιὸν ἀλλοίωσιν θείαν δείξας αὐτὸν εἰπόντα τὴν τῆς ἀνθρωπείας τοῦ Χριστοῦ φύσεως θέωσιν, ἀλλὰ τῆς



Digitized by Google

οὐσίας αὐτῆς μεταβολὴν, ὡς ἀνάγκην εἶναι πᾶσαν ἐκ γενέσεως εἰς φθορὰν κἀκ τοῦ ὄντος εἰς τὸ μηδαμῶς εἶναι κεχωρηκέναι· τοῦ δὲ Γρηγορᾶ τὰς πεπλανημένας διαιρέσεις καὶ τοὺς συλλογισμοὺς ἐξελέγχει, ἕτερα μὲν προϋποτιθεμένου περί τε μορφῆς καὶ μεταμορφώσεως, ἕτερα δὲ συνάγοντός τε καὶ συμπεραίνοντος. Δι' ὧν οὐχ ἡμᾶς, ὡς ᾤετο, τοῖς Εἰκονομάχοις συμφώνους, ἀλλ' ἑαυτὸν ἀποδείκνυσι, καὶ πολλῷ τῆς δυσσεβείας ἐκείνων χείρω καὶ φρονοῦντα καὶ λέγοντα, ὅσῳ κακῶς μὲν ἐκεῖνοι γεγενῆσθαι τὴν μεταμόρφωσιν ἐξειλήφασιν, ὁ δ' ἀπαρνεῖται καθάπαξ αὐτὴν ἀσεβῶς, μηδὲ γεγενῆσθαι, μηδὲ πεφανερῶσθαι τὴν τοῦ Χριστοῦ θεότητα μετὰ Ἰουδαίων διατεινόμενος ἄντικρυς, ὃ δὴ καὶ φθάσας ὁ λόγος ἔδειξε. Τοῦ δὲ Ἀρειανοῦ καὶ Εἰκονομάχου Εὐσεβίου τοῖς προλαβοῦσιν ἀντεπενεγκόντος, ὅτι τὴν θνητότητα καὶ τὴν φθορὰν ἀπεδύσατο τὸ τοῦ Χριστοῦ δηλονότι σῶμα, ὁ τῆς ἀληθείας ὁμολογητὴς καὶ διδάσκαλος, Πρόσθες, εἰ βούλει, φησὶν, ὅτι καὶ εἰς τὸ ἀόρατον τὸ ὁρατὸν μέτεισι, καὶ εἰς τὸ ἄχρονον τὸ ὑπὸ χρόνον, καὶ τὸ κτιστὸν εἰς τὸ ἄκτιστον. καὶ ὅσα ἄλλα τοιαῦτα ἀντίκειται. Ἀλλ' οὐ τὴν θνητότητά τις γράφει, οὐδὲ τὴν μεταμόρφωσιν αὐτὴν καθ' αὑτήν. Οὐ γὰρ ἄνευ σώματος ὑφ' ἑαυτὴν ποτε θεωρηθήσεται. Ἐπεὶ μηδὲ λευκότης ἢ μελανότης ὑποκειμένου δίχα ὑποσταίεν ἄν. Ὡς γὰρ οὐ μεταβέβληται ἡ μορφὴ ἐκείνη καὶ τὸ εἶδος εἰς θεότητος φύσιν, ὡ, οὗτος νομίζει, καὶ γὰρ ἀμήχανον τοῦτο γενέσθαι, ἤδη καὶ πρόσθεν εἴρηται, καὶ μαρτυρεῖ ἡ ἀλήθεια αὐτὴ, κἀκ τῶν ἀκριβῶς ἐπεσκεμμένων τὴν τῶν πραγμάτων φύσιν, καὶ τῶν δογμάτων ἡμῶν τὴν ὀρθότητα, τὸ ἀπλανὲς καὶ ἀνεπίληπτον. Ἀλλὰ μεταμεμόρφωται, φησὶν ὁ Εὐσέβιος, καὶ ἀπηθανάτισται, καὶ ἄφθαρτον καὶ ἄκτιστον γέγονεν. Εἶτα μεταμορφωθὲν, φησὶν ὁ διδάσκαλος, καὶ ἀπαθανατισθὲν μεμένηκε σῶμα, ἢ οὔ; Εἰ μὲν γὰρ μεμένηκε, μάταιος ὁ τοῦ Εὐσεβίου ὁρᾶται λόγος, καὶ οὐδὲν ἡμῖν πρᾶγμα ἔσται· εἰ δὲ οὐ μεμένηκεν, οὐδὲ μεταμεμόρφωται, ἄρα οὐδ' ἀθανασίαν καὶ ἀφθαρσίαν ἐνδέδυται. Οὐδὲ γὰρ εἶχεν εἰς ὃ μεταμορφωθήσεται, οὐδὲ ἦν, ὃ τὴν ἀθανασίαν ἐνδύσεται, οὐκ ὄντος ἐν ᾧ ταῦτα θεωρηθήσεται. Ἀλλ' ἄτοπον καὶ τὸ ἐννοεῖν τοιαῦτα, μᾶλλον δ' ἀδύνατον. Καὶ πάλιν ἀπὸ τοῦ κατὰ τὴν μεταμόρφωσιν τρόπου ἀποσεμνύνων ὁ Εὐσέβιος δηλονότι τὴν δουλικὴν μορφὴν πλέον ἢ καλῶς εἶχε, καὶ ταύτῃ τιμῶν ᾗ μηδὲ Χριστὸς τετίμηκε, καὶ τῆς μεταβολῆς ἐντεῦθεν κατάρξας, προϊὼν καὶ αὐτὴν τὴν μορφὴν καὶ τὸ εἶδος ἀπεσκευάσθαι λέγει καὶ μεταβεβλῆσθαι εἰς θεότητα, ὡς καὶ ἐν τοῖς μετέπειτα δηλώσει τὰ παρ' αὐτοῦ ἐκτιθέμενα τηλαυγέστερον, καὶ ἔτι μᾶλλον κατὰ πρόσβασιν ἀπὸ τοῦ τὴν θνητότητα ἀποδεδύσθαι καὶ τὴν φθορὰν ἀπονίψασθαι, καὶ εἰς τὴν τοῦ Θεοῦ δόξαν μετεσκευάσθαι. Ἀλλὰ τὸ μὲν φθαρτὸν τοῦτο ἐνδύσασθαι δεῖν ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἀθανασίαν, ὁ μέγας μυσταγωγεῖ Ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περιγραπτὸν εἰς ἀπεριγραφίαν μετατεθήσεσθαι, οὔπω μέχρι καὶ σήμερον ἤκουσται. Ταῦτα καθ' ἡμῶν, ὡς ᾤετο Γρηγορᾶς, τοῖς ἑαυτοῦ λόγοις

A συνάψας τε, καὶ προθεὶς, ἔλαθεν, ὅ φασι, καθ' ἑαυτοῦ κεκινηκὼς τὸν ἀνάγυρον. Περὶ γὰρ τῆς θείας μεταμορφώσεως ἐκεῖνα σὺν τοῖς ἱεροῖς θεολόγοις λεγόντων ἡμῶν, ὅτι μεταμορφοῦται Χριστὸς, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας· καὶ ὅτι νῦν καθεωράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι, σῶμα γήϊνον θείαν ἀπαυγάζον λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζον θεότητος. Ὁ γὰρ Λόγος σὰρξ, ἡ σάρξ τε Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξεστήκει ἑκάτερον φύσεως. Καὶ πάλιν· Τοῦτο, φησὶν, ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν
B τῶν κατὰ φύσιν ἔκστασιν καὶ ἀνάβασιν.

Καὶ αὖθις· Ὃς δὴ καὶ ὑπερβαλλόντως ἐπὶ τοῦ ὄρους ἐξήστραψεν, οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος ἢ ὑψηλότερος, ἄπαγε, ἀλλ' ὅπερ καὶ πρότερον ἦν τοῖς τελουμένοις τῶν μαθητῶν, καὶ μυουμένοις τὰ ὑψηλότερα κατὰ ἀλήθειαν θεωρούμενος· καὶ ὅτι τὴν κεκρυμμένην ἀστραπὴν ὑπὸ τὴν σάρκα τῆς οὐσιώδους σου, Χριστὲ, καὶ θείας εὐπρεπείας ἐν ἁγίῳ ὑπέδειξας ὄρει, εὐεργέτα. Ταῦτα τοιγαροῦν, καὶ τὰ παραπλήσια τούτοις μετά γε τῶν θείων ὑμνῳδῶν καὶ διδασκάλων τοῦ μυστηρίου λεγόντων ἡμῶν, καὶ τὴν τοῦ δούλου μορφὴν ὑπὸ τῆς θείας μορφῆς, τὴν ἀνθρωπείαν οὐσίαν ὑπὸ τῆς οὐσίας δηλαδὴ τοῦ Θεοῦ, ἐν τῇ μιᾷ τοῦ Χριστοῦ ὑποστάσει οὐ μεταβεβλῆσθαι καὶ μεταπεποιῆσθαι,
C δεδοξάσθαι δὲ μᾶλλον καὶ ἠλλοιῶσθαι τὴν ὑπὲρ φύσιν δόξαν τε καὶ ἀλλοίωσιν, διὰ τῆς φυσικῆς καὶ ἀχωρίστου δόξης καὶ θεότητος ἐκείνης, σάρκα φυσικῶς μένουσαν αὖθις, ψυχῇ λογικῇ τε καὶ νοερᾷ κατὰ φύσιν ἐψυχωμένην, Ὢ θαύματος, καὶ γάρ φησιν ὁ αὐτὸς θεολόγος, πάντα νοῦν ὑπερβαίνοντος! οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγίγνετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀρρήτῳ λόγῳ ἡνωμένης αὐτῷ καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου ὑπερθέου θεότητος· ὁ Γρηγορᾶς, ὃ δὴ καὶ εἰπὼν ἔφθην, τὴν μὲν θείαν μορφὴν οὐσίαν προειπὼν θείαν, τὴν δὲ ἀνθρωπείαν μορφὴν οὐκ οὐσίαν, ἀλλὰ τὸ περὶ τὴν ἐπιφάνειαν, ὡς αὐτὸς ἔφη, ποιὸν τύπωμα, εἶτα συλλογισάμενος κακῶς τε καὶ ἀμαθῶς, ἐξ ὧν αὐτὸς ἥκιστα προὐπέθετο, τοὔνομα
D τῆς μεταμορφώσεως, τὴν μεταμόρφωσιν αὐτὴν δὲ μᾶλλον Χριστοῦ ἢ τῆς τοῦ Θεοῦ φύσεως τροπὴν καὶ μεταβολὴν οὐκ οἶδα εἰς ὅ τι δυσσεβῶς καὶ ἀθέως εἶναι συνήγαγεν, ἢ τῆς ἀνθρωπείας φύσεως κατὰ τοὺς δυσσεβεῖς Εἰκονομάχους, ὅλης ἐξόλου μεταβολήν. Ὡς εἶναι πᾶσαν ἀνάγκην τῷ φιλοσόφῳ, ἐξ ὧν αὐτὸς δήπου καὶ ὡρίσατο κακῶς καὶ συνελογίσατο, ἢ μηδαμῶς γεγενῆσθαι τὴν Χριστοῦ μεταμόρφωσιν λέγειν, οὐ δυσσεβῶς φημι μόνον, ἀλλὰ καὶ ἀθέως, ὃ δὴ καὶ προὔφην· ἢ τοῦτο φεύγοντα, θατέρᾳ τῶν ἐκ τῆς αὐτοῦ διαιρέσεως δυσσεβειῶν ἐξ ἀνάγκης περιπεσεῖν· ἢ τὸν κατὰ φύσιν ἀναλλοίωτόν τε καὶ ἄτρεπτον Θεὸν ἀλλοιωτὸν κατασκευάζοντα, καὶ τρεπτὸν κατὰ τὸν αὐτοῦ συλλογισμὸν, ἢ τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ φύσιν ὅλην ἐξ ὅλου μετὰ τοῦ

Digitized by Google

δυσσεβοῦς Εὐσεβίου καὶ τῶν Εἰκονομάχων μεταβεβλῆσθαι καὶ τραπῆναι κακῶς λέγοντα· τοῦθ' ὅπερ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καὶ τῇ τῶν Πατέρων ἱερᾷ συνόδῳ, καθαπερεί τις ἐξεστηκὼς ἑαυτοῦ καὶ μεθύων, μετὰ πολλῆς τῆς ἀναισχυντίας τε καὶ συκοφαντίας φέρων προσέῤῥιψεν.

Εἰ δὲ καὶ μορφῆς ἀλλοίωσιν ἐπὶ τὸ λαμπρότερον τὴν τοῦ Χριστοῦ μεταμόρφωσιν μεταξὺ τῶν αὐτοῦ λόγων φησὶ Γρηγορᾶς, οὑτωσί πως τὸν ἑαυτοῦ μύστην διδάσκων καὶ λέγων· "Ὅτι μὲν οὖν τοῖς Εἰκονομάχοις ἡ τοῦ Σωτῆρος μεταμόρφωσις ἐπὶ τοῦ ὄρους οὐ μορφῆς ἀλλοίωσις ἐπὶ τὸ λαμπρότερον ἐνομίσθη, ἀλλὰ καὶ τοῦτο πρῶτον μὲν ἥκιστα συνᾴδοντός ἐστιν ἑαυτῷ· οὐδὲ γὰρ εἶχον ὅλως τι τοιοῦτον οἱ περὶ τῆς μεταμορφώσεως ὅροι, καὶ αἱ διαιρέσεις αὐτοῦ, καὶ οἱ συλλογισμοί· ἔπειτα καὶ τὴν ἐπὶ τὸ λαμπρότερον ταύτην ἀλλοίωσιν τῆς μορφῆς τοῦ Χριστοῦ, ἣν ὡς μὴ φρονούντων τῶν Εἰκονομάχων δῆθεν κατηγορεῖ, οὐχ ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ Ὑψίστου, οὐδὲ τῶν κατὰ φύσιν ἐπὶ τὰ ὑπὲρ φύσιν ἔκστασιν καὶ ἀνάβασιν, οὐδὲ τῆς φύσεως θέωσιν, τὴν λαμπρότητα τῆς μορφῆς τοῦ Χριστοῦ δοξάζων λέγει. Οὐδὲ γὰρ ἔμαθε τὰ τῶν θεολόγων φρονεῖν ἀληθῶς, καὶ λέγειν ἐκεῖνα, ὅτι πεπτώκασιν οἱ ἀπόστολοι τῇ δόξῃ τοῦ φωτὸς τοῦ Υἱοῦ ἀτενίσαι μὴ δυνηθέντες, διὰ τὸ εἶναι αὐτὴν φῶς ἀπρόσιτον. Ἀνέβη γάρ, φησιν, εἰς τὸ ὄρος ὁ Ἰησοῦς καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Τί ἐστι *μετεμορφώθη*; Παρήνοιξε, λέγει, ὀλίγον τῆς θεότητος, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεόν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. Καὶ πάλιν· Πληροφορῶν μέν, φησιν, ὁ Χριστὸς τοὺς ἀποστόλους, ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες, φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσι. Καὶ ὅτι Χριστὸς ἀνάγει, φησί, τοὺς μαθητὰς εἰς τὸ ὄρος, τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας θεότητος δόξαν τε καὶ λαμπρότητα, εἰς ἣν μικρῷ πρότερον μυστικώτερον, καὶ νῦν ἐμφανέστερον διὰ τῆς μεταμορφώσεως αὐτοῦ μετεστοιχείωσε τὴν ἀκούσασαν φύσιν, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*. Τοῦτο τοίνυν ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀλλοίωσιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν τῶν κατὰ φύσιν ἔκστασιν καὶ ἀνάβασιν. Οὐ τούτοις τοίνυν καὶ τοῖς τοιούτοις εὐσεβῶς ὁ φιλόσοφος οὑτοσὶ συνᾴδειν ἐθέλων, μορφῆς ἀλλοίωσιν ἐπὶ τὸ λαμπρότερον εἶπε τὴν μεταμόρφωσιν τοῦ Χριστοῦ· πολλοῦ γε καὶ δεῖ. Ἀλλ' αὐτὸς μὲν κτίσμα καὶ ἴνδαλμα, σύν γε τῇ κατ' αὐτὸν ἑταιρίᾳ φησὶ τὸ θεῖον καὶ ἀπρόσιτον τῆς τοῦ Χριστοῦ μεταμορφώσεως φῶς, τὴν φυσικὴν τῆς θεότητος δόξαν, τὴν κοινὴν βασιλείαν αὐτοῦ τε καὶ τοῦ Πατρός.

Μᾶλλον δὲ καὶ κτίσμα τὸ αὐτὸ καὶ οὐσίαν λέγει Θεοῦ· κἂν τούτῳ συνᾴδων Ἀκινδύνῳ τῷ οἰκείῳ καθηγητῇ. Συγκαταδικάζει δὲ τοῖς Εἰκονομάχοις οὐ τὴν σύνοδον, καὶ τὴν νῦν Ἐκκλησίαν ἁπλῶς μόνην, ἀλλὰ καὶ πάντας ὁμοῦ θεολόγους ἱερούς, καὶ Πατέρας τοὺς ἐκεῖνα θεολογοῦντας περὶ τοῦ θείου καὶ A ἀπροσίτου φωτός, καὶ θεότητα καὶ θέωσιν, καὶ φυσικὴν Θεοῦ δόξαν, καὶ τὰ τούτοις ἑπόμενα καλοῦντας αὐτό. Ἐπάγει καὶ γάρ· Τὸ μὲν σωτήριον, φησί, σῶμα τοῖς Εἰκονομάχοις ἐνομίσθη πρὸς τὸ ἄκτιστον μεταβεβλῆσθαι καὶ ἄφθαρτον· τὸ δὲ φανὲν τηνικαῦτα φῶς θεότης ἄκτιστος καὶ ἀνούσιος εἶναι· τότε μὲν ἐπὶ τοῦ ὄρους, οἷον ἀρχῆς γενομένης τῇ ἀκτιστότητι τοῦ ἀνθρώπου καὶ ἀφθαρσίᾳ, ὡς ἐν ἀῤῥαβῶνος τρόπῳ, μετὰ δὲ θάνατον καὶ πρὸς οὐρανοὺς ἀνάβασιν τελέως ἤδη γενέσθαι καὶ φύσει ἄκτιστον.

Καὶ ὅρα τὸ ἐν τοῖς βραχέσι τούτοις ῥήμασι σκολιὸν καὶ ποικίλον τῆς κακουργίας καὶ τοῦ ψεύδους, καὶ τῆς θεομαχίας αὐτοῦ. Ἐγένοντο καὶ γὰρ περὶ ταῦτα σοφοί· τὸ δὲ καλὸν ποιῆσαί τε καὶ εἰπεῖν οὐκ B ἔγνωσαν. Τὸ μὲν οὖν μεταβεβλῆσθαι καὶ μεταπεποιῆσθαι διὰ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ σῶμα, πρὸς τὸ ἄφθαρτόν τε καὶ ἄκτιστον παρὰ Εὐσεβίου, καὶ τῶν Εἰκονομάχων λαβών, ὅτι δὲ θεότης καὶ ἄκτιστον τὸ θεῖον τῆς μεταμορφώσεως ἐκείνου φῶς ὡς ἰδίωμα φυσικὸν τοῦ Θεοῦ, καὶ ὑπόστασις καθ' ἑαυτὸ οὔτε οὐσία, ἀλλ' ἐν τῇ οὐσίᾳ μᾶλλον ὡς δόξα φυσική, καὶ λαμπρότης ὁρώμενον τοῦ Θεοῦ.

Ταῦτα τοίνυν ἐκ τῆς θεολογίας τῶν ἁγίων ἁρπάσας, καὶ προσέτι ἀῤῥαβῶνα τοῦ Πνεύματος προσειρῆσθαι παρὰ τῶν αὐτῶν θεολόγων, ἐκ τοῦ Ἀποστόλου τοῦτο λαβόντων, καὶ συγκαταμίξας τῇ δυσσεβείᾳ τὴν μεγάλην θεολογίαν τοῦ Πνεύματος, καὶ συγχέας καὶ συνταράξας, καὶ τὴν τοῦ θείου Πνεύματος χάριν κατὰ τοὺς θεομάχους Ἰουδαίους πάλαι C κατενεγκὼν εἰς Βεελζεβούλ, οὕτω τὴν τῆς εἰκονομαχίας αἵρεσιν καὶ τὴν καταδίκην, ὡς αὐτὸς οἴεται, τῇ καθ' ἡμᾶς συνόδῳ, καὶ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ δι' ὧν κακῶς τε καὶ ἀμαθῶς συνήγαγε, προσάπτειν ἐπιχειρεῖ, οὐ μᾶλλον ἡμῶν ἢ τῆς θείας Γραφῆς, καὶ τῶν ἐκείνην ἐξηγηκότων πάλαι μετὰ τοῦ Πνεύματος, τὰ τοιαῦτα κατηγορῶν. Παρ' ὧν δήπου καὶ ἡμεῖς ταῦτα λαβόντες ἔχομεν. Ἐπάγει καὶ γὰρ οὑτωσί πως ἐκεῖνα μετὰ μικρόν· Περί γε μὴν τῆς θείας εἰκονομαχίας τοῦ Παλαμᾶ, ἣν δὴ καὶ τὸ σκοπιμώτατον τοῦ παρόντος εἶναι γινώσκεις ἀγῶνος, ἔξεστι μὲν καὶ σοὶ δήπου παρεξετάζοντι συνορᾶν, ὡς καὶ αὐτὸς τὰ αὐτὰ τοῖς αὐτοῖς βλασφημεῖ, εἴ τις ὁρῴη τὰς τῆς κακίας ῥίζας αὐτάς, καὶ τὴν πρώτην βλάστην· ἔξεστι δ' οὐχ ἧττον συνορᾶν καὶ ὅσην αὐ- D τὸς πεποίηται τὴν προσθήκην, βλάστῃ βλάστην ἐφευρών, καὶ ἀνομίαν ἐπενεγκὼν ἀνομίᾳ. Ἆρ' οὐχὶ προδήλως ἐνταῦθα Γρηγορᾶς τὴν ἀνομίαν, καὶ τὴν δυσσέβειαν καὶ τὸ ἄθεον ὄντως ἐξέῤῥηξε τοῦ οἰκείου φρονήματος, ἀνομίαν τὴν τῶν ἁγίων θεολογίαν προσειπών, ῥίζαν κακίας, καὶ βλάστην πονηρὰν ἐπὶ βλάστῃ; Ἐκεῖνα γὰρ ἄντικρυς βλασφημεῖ τὴν ἀνομίαν εἶναι καὶ τὴν τῆς κακίας ῥίζαν τε καὶ τὴν βλάστην, ὁ τῆς ἀνομίας τε καὶ τῆς ἀπωλείας ὄντως υἱός, ἃ περὶ τῆς φυσικῆς τοῦ Θεοῦ δόξης, τοῦ ἀνάρχου καὶ ἀπροσίτου φωτὸς τῆς τοῦ Χριστοῦ φημι θεότητος, παρὰ τῶν ἀποστολικῶν τε καὶ θεολογικῶν φωνῶν λαβόντες ἡμεῖς ἐκηρύξαμεν. Τίνα δὴ ταῦτα; Φῶς, φησιν, ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικροῦ στεῤῥοτέρα καὶ ὄψεως· καὶ

Digitized by Google

ὅτι ἥξει Χριστὸς μετὰ τοῦ σώματος, ὡς ὁ ἐμὸς λόγος· τοιοῦτος δὲ, οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Καὶ εἶδον, φησὶ, τὸ κάλλος αὐτοῦ Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς ἐν τῷ ὄρει ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα, καὶ τὰ προοίμια τῆς ἐνδόξου αὐτοῦ παρουσίας ὀφθαλμοῖς λαβεῖν κατηξιώθησαν· καὶ ὅτι τὸ ἀπρόσιτον, φησὶ, καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαν, τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνε. Τὴν γὰρ ἀκτῖνα τῆς ἀμώμου σαρκὸς ἐκείνης φέρειν οὐ δυνηθέντες, ἢ ἐκ τῆς τοῦ Λόγου θεότητος ὃς τῇ σαρκὶ καθ' ὑπόστασιν ἥνωτο, διὰ ταύτης ὑπὲρ φύσιν ἐπήγαζε πίπτουσιν ἐπὶ πρόσωπον, ὢ τοῦ θαύματος! Τί δὲ ὁ λέγων, *Σήμερον φωτὸς ἀπροσίτου ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται*, Ἰησοῦς Χριστὸς τὸ φίλον ἐμοὶ καὶ πρᾶγμα καὶ ὄνομα; Καὶ μετά τινα· Ἀνάρχως μὲν γὰρ ἐκ τοῦ Πατρὸς ὁ Χριστὸς γεννηθεὶς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, οὐχ ὕστερον τὸ εἶναι, οὐδ' αὐτὴν τὴν δόξαν προσλαμβανόμενος, ἐκ Πατρὸς μὲν γὰρ ἄναρχός ἐστιν, ἀλλ' ἄχρονος, καὶ τὴν οἰκείαν κεκτημένος τῆς δόξης λαμπρότητα, καὶ σαρκωθεὶς ὁ αὐτός ἐστιν, ἐντὸς τῆς οἰκείας μένων φανότητος· καὶ δοξάζεται μὲν ἡ σὰρξ ἅμα τῇ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγῇ, καὶ ἡ τῆς θεότητος δόξα δόξα καὶ τοῦ σώματος γίνεται. Εἷς γάρ ἐστι τοῦτο κἀκεῖνο Χριστὸς τῷ Πατρὶ ὁμοούσιος, καὶ ἡμῖν συμφυὴς καὶ ὁμόφυλος.

Εἰ καὶ τοίνυν οὐδέποτε τὸ σῶμα τὸ ἅγιον ἀμέτοχον τῆς θείας δόξης ὑφέστηκεν, ἀλλ' ἐξ ἄκρας ἑνώσεως τῆς καθ' ὑπόστασιν τὴν δόξαν τῆς ἀοράτου θεότητος τελείας πεπλούτηκεν, ὡς μίαν καὶ τὴν αὐτὴν εἶναι δόξαν τοῦ Λόγου καὶ τῆς σαρκὸς, ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρχουσα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ καὶ ἀγγέλοις ἀθέατα, τῆς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζε. Καὶ μετ' ὀλίγα· Καὶ τὸ σῶμα λάμπει ὡς ὁ ἥλιος. Τοῦ γὰρ σώματος ἡ τοῦ φωτὸς ἔκλαμψις γέγονε. Κοινὰ γὰρ πάντα τοῦ ἑνὸς σεσαρκωμένου Θεοῦ Λόγου γεγένηνται, τά τε τῆς σαρκὸς, καὶ τῆς ἀπεριγράπτου θεότητος. Ἕτερον δὲ ἐξ οὗ τὰ τῆς δόξης αὐχήματα, καὶ ἕτερον, ἐξ οὗ κοινὰ τὰ πάθη γνωρίζεται. Ἐκνικᾷ δὲ τὸ θεῖον, καὶ μεταδίδωσι τῆς οἰκείας λαμπρότητος καὶ δόξης τῷ σώματι, καὶ ἐν πάθεσι πάθους μένον ἀμέτοχον.

Τί δ' ἐκεῖνος ὁ τοῖς μὲν χρόνοις ἀρχαιότερος, τὴν δὲ θεολογίαν σύμπνους καὶ συνῳδὸς, ὡς τῷ αὐτῷ δηλαδὴ κινούμενος Πνεύματι; Ἀναγαγὼν ὁ Χριστὸς, φησὶ, τοὺς μαθητὰς κάτωθεν ἄνω, οὐ τοσοῦτον τοπικῶς, ὅσον θεωρητικῶς, τουτέστι χωρητικοὺς ποιήσας τῶν ὑπερβαλλουσῶν ἐλλάμψεων, τότε μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ πάλαι μὲν γὰρ μετεμορφώθη Ἰησοῦς ὁ Σωτὴρ οὐκ ἐνώπιον ἀνθρώπων, ἀλλὰ τοῦ ἰδίου Πατρός· ὅτε οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. Καὶ ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων. Τότε τοίνυν τὴν θείαν μορφὴν μορφῇ δούλου μεταμορφωθεὶς περιεκάλυψε. Νῦν δὲ τὴν μορφὴν τοῦ δούλου πρὸς τὴν φυσικὴν μορφὴν ἀποκαθίστησιν, οὐκ ἀποθέμενος μὲν

A τὴν οὐσίαν τὴν δουλικὴν, φαιδρύνας δὲ αὐτὴν τοῖς φυσικοῖς ἰδιώμασιν. Ἄλλος δ' αὖθις τῶν θεοφόρων ὡσαύτως, Ἀθρόον μεταμορφοῦται Χριστὸς, φησίν, ἔμπροσθεν τῶν μαθητῶν, καὶ τὴν μορφὴν ἐξαλλάττεται, καὶ χιτῶνα φωτὸς ἐνδυσάμενος, θέαν ἀστράπτουσαν ἔδειξεν. Ὢ τοῦ θαύματος! ἐξ ἀνθρωπίνης μορφῆς ἀκτῖνες ἐφέροντο θεϊκαῖς ἐνεργείαις πεμπόμεναι. Καὶ πάλιν· *Οὗτός ἐστι*, φησὶν, *ὁ Υἱός μου ὁ ἀγαπητός*. Ἐκείνους δούλους ἔκτισα, τοῦτον Υἱὸν ἐκ τῆς οὐσίας ἐγέννησα. Ἐμός ἐστιν Υἱὸς, κἂν δούλου μορφὴν δι' ὑμᾶς περιβέβληται· ἀπρόσιτον ἔχει τὸ φῶς, κἂν δι' ὑμᾶς τὰς ἀκτῖνας ἐμέτρησεν. Ὢ μακαρίων ὀμμάτων τὸν Χριστὸν νυμφικῶς ἐστολισμένον θεωρούντων! Ὢ μακαρίων ὀφθαλμῶν τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως ἐν ἡμέρᾳ θεωρούντων τῷ σχήματι! Ἃ γὰρ
B ἄγγελοι τρέμοντες ὄψονται, ταῦτα χαίροντες ἔβλεπον. Ὁ δέ γε τῷ ἐπιστηθίῳ Θεολόγῳ σοφώτατα τὸ ὑπόμνημα ξυντιθεὶς τοιάδε περὶ ἐκείνου φησὶ τῆς θείας τοῦ Χριστοῦ μεμνημένος μεταμορφώσεως· Πρός τὸ ὄρος τε ἀνιόντι Χριστῷ συνάνεισι, καὶ θέας ἀξιοῦται ὡς ὑπὲρ λόγον καὶ θαυμαστῆς, αὐτὴν τὴν τοῦ Λόγου θεότητα παραγυμνωθεῖσαν ἰδὼν, καὶ οὐρανίου φωνῆς ἀκούει.

Οὕτως ἡμεῖς σὺν τοῖς θεολόγοις Πατράσι καὶ διδασκάλοις τῆς Ἐκκλησίας Χριστοῦ τὰ τῆς θείας αὐτοῦ θεολογοῦμεν μεταμορφώσεως, οὐκ οἴκοθεν λογισμοὺς ἐξευρίσκοντες καὶ ἀπὸ κοιλίας φωνοῦντες, ὅ φησιν Ἡσαΐας ὁ μέγας, κατά τε τὸν Ἀρειανὸν Εὐσέβιον, καὶ τοὺς ἐκείνῳ πεισθέντας Εἰκονομάχους, καὶ δὴ καὶ Γρηγορᾶν τουτονὶ, τοὺς μὲν κακῶς τε καὶ
C δυσσεβῶς εἰπόντας, ὅλην ἐξ ὅλου μεταβεβλῆσθαι τὴν ἀνθρωπείαν τοῦ Χριστοῦ φύσιν καὶ μεταπεποιῆσθαι ἐπὶ φῶς ἄρρητον καὶ ἀνεκδιήγητον, καὶ τῷ Θεῷ Λόγῳ πρέπον, οὐκ οἶδα τί καὶ ποῖον ἐκεῖνο τὸ φῶς, ὅπερ ἐν ἰδίᾳ ὑποστάσει τε καὶ οὐσίᾳ τερατεύονται παρὰ τὸν Θεὸν Λόγον· οὐδὲ γὰρ ἂν ἡ ἀνθρωπεία φύσις εἰς ποιότητα καὶ δύναμιν θείαν μετέβαλλε, μὴ καθ' ἑαυτὴν, ἀλλ' ἐν τῇ πηγαζούσῃ φύσει θεωρουμένην, οὐδ' ἂν ἐν τῷ κόσμῳ ἦν, καὶ ἀνθρώποις συνῆν, καὶ τὰ τῆς θεότητος ἅμα, καὶ τῆς ἀνθρωπότητος φυσικῶς ἐνήργει· ἐῶ γὰρ λέγειν ὅτι καὶ ἔπασχε, καὶ ἐσταυροῦτο, καὶ ἔθνησκε, καὶ ἀνίστατο, καὶ χερσὶν ἐψηλαφᾶτο τῶν μαθητῶν, καὶ τὰς πληγὰς οἰκονομικῶς ἐν ἑαυτῷ ὑπεδείκνυ πιστούμενος τὸ ἀνθρώπινον.

D Οὐ μὴν οὐδὲ κατὰ Γρηγορᾶν ἐκεῖνά φαμεν, οὐδ' ὁριζόμεθα μορφὴν ἐπὶ μὲν Θεοῦ μόνου τὴν οὐσίαν εἶναι, ἐπὶ δὲ τῶν ἀνθρώπων οὐ τὴν οὐσίαν, ὡς ἐκεῖνός φησιν, ἀλλὰ τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα, ἵνα μὴ μόνον ἡ τοῦ Θεοῦ μορφὴ, τὴν τοῦ δούλου μορφὴν ἀνειληφυῖα, μὴ λέγοιτο, τοῦτο δέ φημι τῆς οἰκονομίας Χριστοῦ, καὶ τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, ἀλλ' ἵνα καὶ φάσμα τι καὶ τερατῶδες εἴη τὸ συναγόμενον παρὰ τοῦ φιλοσόφου κακῶς, καὶ τοῖς τῶν φαντασιαστῶν καὶ Εἰκονομάχων δόγμασι σύμφωνον, ὅτι τὸ περὶ τὴν ἐπιφάνειαν ποιὸν τύπωμα τῆς ἀνθρωπείας οὐσίας καὶ ὑποστάσεως ὁ τοῦ Θεοῦ μονογενὴς Υἱός τε καὶ Λόγος μεθ' ἡμῶν δι' ἡμᾶς γενόμενος, ἔλαβεν, ἢ ὅτι μηδὲν γέγονεν ὅλως ἡ τοῦ Χριστοῦ μεταμόρφωσις, ἵνα μὴ τροπὴ, φησὶ, καὶ ἀλλοίωσις ἐξ

Digitized by Google

ἀνάγκης ἢ τῆς θεότητος ἢ τῆς ἀνθρωπότητος λέγοιτο τοῦ Χριστοῦ. Τοιαῦτα καὶ γὰρ τὰ τῆς θεολογίας, ἡ Χριστομαχίας τοῦ καινοῦ τουτουῒ θεολόγου, ἃ δὴ καὶ φθάσας αὐτὸς διὰ τῶν οἰκείων ὅρων τε καὶ συλλογισμῶν ἔδειξεν. Ἀλλ' ἐκεῖνό φαμεν, τοῖς προῤῥηθεῖσιν ἱεροῖς θεολόγοις καὶ διδασκάλοις ἑπόμενοι, ὡς ἡ τοῦ Θεοῦ μορφὴ τὴν τοῦ δούλου μορφὴν ἀνειληφυῖα ἐκ τῶν παρθενικῶν αἱμάτων ὑπὲρ τοὺς τῆς φύσεως νόμους Πνεύματος ἁγίου δυνάμει, καὶ ἅμα τήν τε πρόσληψιν ἐκείνης ἀποῤῥήτως ἐργασαμένη, καὶ τὴν ἕνωσιν, καὶ τὴν θέωσιν, ὡς μίαν καὶ τὴν αὐτὴν εἶναι δόξαν τοῦ Λόγου καὶ τῆς σαρκὸς, τοῦ μὲν φυσικοῦ καὶ οὐσιώδους αὐτὴν οὐκ ἐξέστησεν, οὐδ' ὅλην ἐξ ὅλου μετέβαλέ τε καὶ μετεποίησε. Πῶς γὰρ ἂν ὁ αὐτὸς Υἱὸς ἀνθρώπου, καὶ Υἱὸς εἴη Θεοῦ κατὰ τοὺς αὐτοῦ δηλαδὴ θείους χρησμοὺς, τέλειος ὁ αὐτὸς ἐν θεότητί τε καὶ ἀνθρωπότητι;

Τί δ' ἂν εἴη καὶ τὸ τὰ πάθη δεχόμενον ἐν αὐτῷ καὶ τὸν θάνατον, εἰ μὴ τὸν ἄνθρωπον ὅλον ἐν ἑαυτῷ φέροι συμφυᾶ τε καὶ ἡνωμένον ἀδιαιρέτως κατὰ τὴν ἰδίαν ὑπόστασιν τῆς θεότητος; Ἀλλὰ μένουσαν ὅλην ἄνθρωπον κατὰ φύσιν ὅλην Θεὸν καθ' ἕνωσιν ἀπόῤῥητον ἀπειργάσατο· ἐνικᾷ γὰρ τὸ θεῖον, καθὰ δήπου τῶν θεολόγων λεγόντων ἠκούσαμεν, καὶ μεταδίδωσι τῆς οἰκείας λαμπρότητος καὶ δόξης τῷ σώματι, καὶ ἡ δόξα τῆς θεότητος δόξα καὶ τοῦ σώματος γίνεται. Ἀλλ' ἐπεὶ τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ἀχώρητον ἦν τὸ ὑπὲρ φύσιν μυστήριον, τότε μὲν ὡς ὑπὸ παραπετάσματί τινι τῇ σαρκὶ τὸ ἄστεκτον καὶ ἀπρόσιτον ὑπεκρύπτετο φῶς, καὶ γὰρ ἀνθρώποις αὐτὸν ὡς ἄνθρωπον καὶ συνεῖναι, καὶ πιστοῦσθαι τὴν σάρκα τέως καὶ λόγοις καὶ πράγμασιν, εἰ καὶ τότε τοῖς καθαροῖς τὴν καρδίαν, ὥσπερ φῶς δι' ἐσόπτρου τινὸς, ἢ δι' ὑελίνων ὑμένων κατὰ τὸν εἰπόντα θεολόγον, ἔστιν ὡς διεφαίνετο· ἐπεὶ δὲ καὶ ὁ σταυρὸς ἐγγὺς ἦν καὶ ὁ θάνατος, καὶ ὁ προωρισμένος ὑπ' ἐκείνου καιρὸς ἐπ' ἐκεῖνα, καὶ δὴ παρεκάλει, τότε προλέγει μὲν ὁμοῦ πᾶσι τοῖς μαθηταῖς, καὶ προαναφωνεῖ τὴν τοῦ θείου τούτου μυστηρίου φανέρωσιν μετὰ πλείστης ὅσης τῆς ἀξιώσεως, βασιλείαν ἀποκαλῶν ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς, οὐ πᾶσιν, ἀλλά τισιν ἐξ αὐτῶν ὀφθησομένην καὶ πρὸ τῆς φυσικῆς τοῦ σώματος λύσεως. *Ἀμὴν γάρ*, φησί, *λέγω ὑμῖν· εἰσί τινες τῶν ὧδε ἑστώτες, οἳ οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.* Καὶ μεθ' ἡμέρας ἓξ τοὺς ἐκκρίτους τρεῖς τῶν οἰκείων ἀπολεξάμενος μαθητῶν, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, οὐκ ἀμείψας, οὐ μετασχηματίσας, οὐ μεταποιήσας τὴν τοῦ δούλου μορφὴν, οὐ τότε γενόμενος ἑαυτοῦ διαυγέστερος ἢ ὑψηλότερος· οὐ γὰρ ἔξωθεν ἡ δόξα, φησί, τῷ σώματι προσεγένετο· ἀλλ' ὅπερ ἦν τοῖς μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα τῇ ὑπερφυεῖ δυνάμει δηλονότι τοῦ Πνεύματος, καὶ ὡσανεί τινας τυφλοὺς ὄντας πρότερον πρὸς ἐκεῖνα τῷ ζόφῳ τοῦ ἐπικειμένου τοῦδε σαρκίου, καὶ τῷ προβλήματι, νῦν ὑπερφυῶς ἐργαζόμενος βλέποντας. Καὶ τοῦτό ἐστι τὸ, *Μετεμορφώθη ἔμπροσθεν*

A *αὐτῶν*. Μένων καὶ γὰρ ὁ θεάνθρωπος Λόγος ἐπὶ τῆς οἰκείας φανότητος, παρὰ τοπρότερον ἑωρᾶτο, τοῖς ἀποστόλοις καθεωρᾶτο φαινόμενος, καὶ ὅτι παρήνοιξεν ὀλίγον τῆς θεότητος, φησὶν Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεὸν, καθόσον ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες, ἀλλοιωθέντας δηλαδὴ τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ Πνεύματος. Αὕτη καὶ γὰρ, φησὶν, ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Ταῦτά ἐστιν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ποτέ. Οὕτως ἐν αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, Χριστὸν ὁρῶντες, τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος. Οὕτω κατὰ τὸν θεῖον μελῳδὸν καθεωράθη ἀποστόλοις τὰ ἀθέατα θεότης ἐν σαρκίῳ, ἐν τῷ ὄρει Θαβὼρ ἀστρά-
B πτουσα. Οὕτω συγκραθεὶς ἀσυγχύτως ὁ τοῦ Θεοῦ Θεὸς Λόγος, ἄνθρακα ὑπέδειξεν ἡμῖν θεότητος καταφλέγοντα μὲν ἁμαρτίας, ψυχὰς δὲ φωτίζοντα. Οὕτως ὁ χερσὶν ἀοράτοις πλάσας κατ' οἰκείαν εἰκόνα Χριστὸς τὸν ἄνθρωπον ἐν τῷ πλάσματι τῷ ἰδίῳ τὸ ἀρχέτυπον κάλλος ὑπέδειξεν. Οὕτως ἡ ἀναλλοίωτος φύσις τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα τοῖς ἀποστόλοις ἀποῤῥήτως ἐξέλαμψε, τοῦ ἐπὶ τέλει τῶν αἰώνων ὡς ἐν ἐσόπτρῳ, φησὶ, διὰ σαρκὸς λάμψαντος τῷ κόσμῳ καὶ μέχρις ᾅδου κατελθόντος, καὶ τὸ ἐκεῖσε σκότος λύσαντος. Ἐπειδὴ καὶ γάρ, φησὶν αὖθις ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης, πολλὰ περὶ κινδύνων διελέχθη τοῖς μαθηταῖς καὶ θλίψεων, καὶ πειρασμῶν παντοδαπῶν καὶ θανάτων, καὶ τὰ μὲν ἦν αὐτοῖς ἐν
C πράγμασι πρὸ ὀφθαλμῶν κείμενα καθ' ἑκάστην, ἡ δὲ τῶν ἀγαθῶν ἀπόλαυσις ἐν ἐλπίσιν ἔτι καὶ προσδοκίαις, βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι τί ποτέ ἐστι τὸ προσδοκώμενον ἐκεῖνο, καὶ τίς ἡ ἀπόῤῥητος καὶ θεοπρεπὴς δόξα, ὡς ἦν ἐγχωροῦν, καὶ κατὰ τὸ παρὸν αὐτοῖς δείκνυσι καὶ ἀποκαλύπτει. Καὶ πάλιν· Ἐπειδὴ γὰρ ἄδηλον ἦν, φησὶ, τοῖς ἀκούουσι τέως τὸ ῥῆμα τῆς βασιλείας, διὰ τοῦτο ἀνελθὼν ἐν τῷ ὄρει, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, παρανοίγων αὐτοῖς τῶν μελλόντων τὴν δόξαν. Ὁ δὲ Γρηγορᾶς καὶ βασιλείαν ἀκούων Θεοῦ, κακῶς οὐκ οἶδ' ὅπως μετ' Ἀκινδύνου τοῦ κάκιστ' ἀπολωλότος καὶ ταύτην εἰς κτίσμα παρανοεῖ, τὸν Θεὸν τολμηρᾷ καὶ διανοίᾳ, καὶ γλώττῃ λέγοντες οἱ
D τάλανες εἶναί ποτε βασιλείας χωρίς. Περὶ οὗ καὶ βραχέα τινὰ παρὰ τῶν θεολόγων διδασκάλων εἰπεῖν πρὸς ἐκείνους οὐκ ἄκαιρον οἶμαι.

Χρυσόστομος τοιγαροῦν καὶ πάλιν ὁ θεῖος, τὰ τοῦ θεοφόρου Δαβὶδ σκοπούμενος, Τί τοίνυν, φησὶν, ὁ Δαβὶδ βούλεται, λέγων, *Ὁ Κύριος ἐβασίλευσεν*; Εἰ γὰρ ἀεὶ βασιλεύει, περιττὸν τὸ *ἐβασίλευσε*. Δέον εἰ ἄρα βασιλείαν ὑμνεῖν ἤθελε, διατί ἔφη, *Ὁ Κύριος ἐβασίλευσεν*, ὡς ἀρχὴν λαβούσης τῆς βασιλείας; Εἶτα πότε ἀρχὴν λαμβάνει βασιλεία Θεοῦ πρόσφατον, καὶ ἦν ποτε Θεὸς, ὅτε μὴ ἦν βασιλεύς; Καὶ πῶς; Οὐδὲν ἐπὶ Θεοῦ πρόσφατον. Οὐ προσλαμβάνει ἐξουσίαν, οὐκ ἐνδύεται βασιλείαν, ἀλλ' ἐξ αἰῶνος βασιλεὺς, ἐξ αἰῶνος δεσπότης, ἐξ αἰῶνος δημιουργὸς, ὥς φησιν ὁ μακάριος Μωϋσῆς· *Κύριος βασιλεύων τὸν αἰῶνα*

Digitized by Google

*καὶ ἐπ' αἰῶνα.* Καὶ ἔτι· Εἰ τοίνυν ὁ μακάριος A Μωϋσῆς πρὸ πολλῶν γενεῶν γενόμενος τοῦ Δαβὶδ τὴν βασιλείαν ἐκήρυξε τοῦ Θεοῦ, τί βουλόμενος ὁ μακάριος Δαβὶδ, ὡς πρόσφατον τὴν ἀρχαίαν κηρύττει, λέγων, *Ὁ Κύριος ἐβασίλευσεν;* Ἦ δῆλον ὅτι τὴν τοῦ Σωτῆρος ἑρμηνεύει οἰκονομίαν. Διπλῆ γὰρ ἡ τοῦ Σωτῆρος βασιλεία, ἡ μὲν προαιώνιος καὶ ἀρχὴν οὐκ ἔχουσα, ἡ δὲ μετὰ τοὺς αἰῶνας, ἀρχὴν ἀπὸ τῆς οἰκονομίας λαμβάνουσα. Καὶ μὴν βασιλεὺς ἀεὶ ὤν, γίνεται καὶ κατὰ σάρκα βασιλεὺς, τὸ μὲν ἔχων κατὰ φύσιν, τὸ δὲ λαμβάνων κατὰ τὴν πλάσιν τὴν ἀνθρωπίνην.

Ὁ δὲ τῆς εὐσεβείας ὁμολογητὴς καὶ διδάσκαλος Μάξιμος, Οἴδαμέν τι κατὰ τὴν Γραφὴν ὑπεραιώνιον, φησὶν, ὅπερ ὅτι μὲν ἔστιν ἐσήμανε, τί δὲ τοῦτό ἐστιν οὐκ ὠνόμασε, κατὰ τὸ, *Κύριος βασιλεύων τὸν* B *αἰῶνα καὶ ἐπ' αἰῶνα.* Καὶ ἔτι· Οὐκοῦν ἔστι τι πρᾶγμα ὑπὲρ αἰῶνας, ἡ ἀκραιφνὴς τοῦ Θεοῦ βασιλεία. Οὐ γὰρ δὴ θέμις εἰπεῖν ἦρχθαι ἢ φθάνεσθαι ὑπὸ αἰώνων ἢ χρόνων τὴν τοῦ Θεοῦ βασιλείαν. Ἵνα δὲ μὴ νομίσῃς, ἄλλην μὲν εἶναι τὴν τοῦ Θεοῦ βασιλείαν, ἣν οἱ θεοφόροι οὗτοι παρὰ τῆς θείας λαβόντες Γραφῆς εἶπον, ἄλλην δὲ τὴν τῶν οὐρανῶν βασιλείαν τὴν ἡτοιμασμένην τοῖς δικαίοις ἀπὸ καταβολῆς κόσμου, κατὰ τὸν λόγον αὐτοῦ φημι τοῦ Κυρίου, ἐπισυνάπτει λέγων εὐθύς· Ταύτην δὲ πιστεύομεν εἶναι τῶν σωζομένων κληρονομίαν, καὶ μονὴν καὶ τόπον, ὡς ὁ ἀληθὴς παραδίδωσι λόγος. Καὶ πάλιν ὁ αὐτός· Ἡ τοῦ Θεοῦ, φησὶ, βασιλεία τῶν προσόντων τῷ Θεῷ φυσικῶς ἀγαθῶν κατὰ χάριν ἐστὶ μετάδοσις, C καὶ τὸ εἶδος αὐτὸ τῆς φυσικῆς ὡραιότητος τῶν φορεσάντων τὴν εἰκόνα τοῦ ἐπουρανίου.

Ὁ δὲ συνασκητὴς καὶ συνῳδὸς τούτῳ, Θαλάσσιος ὁ θεοφόρος φημὶ, Ἀΐδιος, φησὶν, ὁ Θεὸς καὶ ἀπέραντος καὶ ἀόριστος· καὶ ἀΐδια ἀγαθὰ καὶ ἀπέραντα καὶ ἀνεκλάλητα τοῖς αὐτῷ ὑπακούουσιν ἐπηγγείλατο. Καὶ πάλιν· Ὑπὲρ αἰῶνάς εἰσι, φησὶ, καὶ πρὸ παντὸς αἰῶνος, καὶ ὑπὲρ νοῦν καὶ λόγον τὰ ἀποκείμενα ἀγαθὰ τοῖς κληρονόμοις τῆς ἐπαγγελίας.

Τί δὲ περὶ τούτων αὐτῶν καὶ Ἀθανάσιος φησιν ὁ μέγας ἀκούσωμεν. Οὕτω φησὶ Παῦλος πρὸς Τιμόθεον· *Συγκακοπάθησον τῷ Εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ τοῦ σώσαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατὰ τὴν ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν* D *ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος.* Πῶς δὲ πρὸ χρόνων αἰωνίων ἐλαμβάνομεν μήπω γεγονότες, ἀλλ' ἐν χρόνῳ γεγονότες, εἰ μὴ ἐν τῷ Χριστῷ ἦν ἀποκειμένη ἡ εἰς ἡμᾶς φθάνουσα χάρις; Οὐδὲ γὰρ οὐδ' ἐν ἄλλῳ θεμελιωθῆναι τὴν ζωὴν ἡμῶν ἔπρεπεν, εἰ μὴ ἐν τῷ Κυρίῳ τῷ πρὸ τῶν αἰώνων ὄντι, δι' οὗ καὶ οἱ αἰῶνες γεγόνασιν, ἵν' ὡς ἐν αὐτῷ αὐτῆς οὔσης δυνηθῶμεν καὶ ἡμεῖς αἰώνιον κληρονομῆσαι ζωήν.

Βασίλειος δ' ὁ μέγας πολλὰ περὶ τοῦ παντουργοῦ καὶ παντοδυνάμου τῆς τοῦ θείου Πνεύματος ἐνεργείας καὶ χάριτος προειπὼν, ἐπιφέρει κἀκεῖνα· Τίς γὰρ οὕτως ἀνήκοος τῶν ἡτοιμασμένων ἀγαθῶν A παρὰ Θεοῦ τοῖς ἀξίοις, ὡς ἀγνοεῖν ὅτι καὶ τῶν δικαίων ὁ στέφανος ἡ τοῦ Πνεύματός ἐστι χάρις, δαψιλεστέρα τότε καὶ τελειοτέρα παρεχομένη κατὰ τὴν ἀναλογίαν τῶν ἀνδραγαθημάτων, τῆς πνευματικῆς δόξης διανεμομένης ἑκάστῳ; ἐν γὰρ ταῖς λαμπρότησι τῶν ἁγίων μοναὶ πολλαὶ παρὰ τῷ Πατρὶ, τουτέστιν ἀξιωμάτων διαφοραί. Καὶ μετά τινα· Πῶς οὖν δυνατὸν νοῆσαι χωρὶς τοῦ ἁγίου Πνεύματος ἐπιτελεῖσθαι τὴν κρίσιν, ὅπου γε ὁ λόγος δείκνυσιν, ὅτι αὐτό ἐστι καὶ τὸ τῶν δικαίων βραβεῖον, ὅταν ἀντὶ τοῦ ἀῤῥαβῶνος παρασχεθῇ τὸ τέλειον; Ἐπεὶ δ' εἰς τὸν περὶ τοῦ ἀῤῥαβῶνος τοῦ θείου Πνεύματος λόγον ὁ τῶν ἁγίων λόγος τρέχων εὐκαίρως ἄγαν κατήντησε, φέρε καὶ τὰ περὶ τούτου ῥηθέντα τοῖς ἀποστόλοις καὶ διδασκάλοις ἀπὸ μέρους σκοπήσωμεν. Ἐπειδὴ καὶ τὸν περὶ τοῦ θείου ἀῤῥαβῶνος τούτου λόγον, καθάπερ ἐν τοῖς φθάσασιν ἠκούσαμεν Γρηγορᾶ λέγοντος, διακωμῳδεῖ, οὐ τὴν σύνοδον καὶ ἡμᾶς μᾶλλον, ἢ διδασκάλους καὶ Πατέρας καὶ ἀποστόλους, τοῖς Εἰκονομάχοις κἀν τούτῳ συγκαταδικάζων. Βασίλειος μὲν οὖν ὁ μέγας πρὸς τοῖς ἤδη ῥηθεῖσιν αὐτῷ κἀν τῇ μεγάλῃ τῶν μυστικῶν τελετῇ τὰ χαρίσματα τοῦ θείου Πνεύματος ἀνυμνῶν, Τὸ τῆς υἱοθεσίας, φησὶ, χάρισμα, ὁ ἀῤῥαβὼν τῆς μελλούσης κληρονομίας, ἡ ἀπαρχὴ τῶν αἰωνίων ἀγαθῶν, ἡ ζωοποιὸς δύναμις, ἡ πηγὴ τοῦ ἁγιασμοῦ, παρὰ τοῦ Ἀποστόλου ταῦτα λαβών. Ὁ δὲ θεῖος Χρυσόστομος τὸ ἀποστολικὸν ἐκεῖνο σκοπούμενος, τὸ λέγον, *Ὁ δὲ βεβαιῶν ἡμᾶς καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα*, τοιάδε φησίν· Ἀῤῥαβῶνά σοι δίδωμι, ποῖον ἀῤῥαβῶνα; Τὸ Πνεῦμα τὸ ἅγιον, τοῦ Πνεύματος τὴν χορηγίαν. Ἀλλὰ λέγων περὶ Πνεύματος, Ἔδωκε τοῖς ἀποστόλοις τὸν δακτύλιον· λάβετε, δότε πᾶσιν. Εἷς δακτύλιος μερίζεται καὶ οὐκ ἀναλίσκεται· μάθε Πνεύματος χορηγίαν· ἔλαβε Πέτρος, ἔλαβε Παῦλος Πνεῦμα ἅγιον, παρῆλθε τὴν οἰκουμένην. Ἁμαρτωλοὺς ἀπήλλαττεν ἁμαρτημάτων, χωλοὺς διωρθοῦτο, γυμνοὺς ἐνέδυε, νεκροὺς ἤγειρε, λεπροὺς ἐκάθαιρε, διάβολον ἐπεστόμιζε, δαίμονας ἀπήλαυνε, τῷ Θεῷ διελέγετο, ἐκκλησίας ἐφύτευε, ναοὺς κατέσκαψε, τὴν κακίαν ἔλυσε, τὴν ἀρετὴν ἐφύτευσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. Ταῦτα πάντα, ἀκμὴν ἀῤῥαβὼν, ἐπλήρωσε τῷ λόγῳ τὴν οἰκουμένην ἅπασαν.

*Πᾶσαν* δὲ ὅταν λέγω, ὅσην ἥλιος ἐφορᾷ γῆν, θάλασσαν, ὄρη, καὶ νάπας, καὶ βουνούς. Περιῆλθε γὰρ καθάπερ ὑπόπτερος ὁ Παῦλος ἐνὶ στόματι παλαίων, ὁ σκηνοποιὸς, ὁ σμίλην μεταχειριζόμενος καὶ δέρματι ῥάπτων. Καὶ αὕτη ἡ τέχνη κώλυμα τῇ ἀρετῇ οὐκ ἐγένετο· ἀλλ' ὁ σκηνοποιὸς δαιμονίων ἰσχυρότερος, βασιλέων λαμπρότερος, στρατοπέδων δυνατώτερος, φιλοσόφων σοφώτερος ὁ ἄστομος. Πόθεν ἔλαβε τὸν ἀῤῥαβῶνα, ἐβάστασε τὸν δακτύλιον καὶ περιέφερεν; Ἔβλεπον πάντες, ὅτι βασιλεὺς ἡρμόσατο τὴν φύσιν ἡμῶν. Εἶδεν ὁ δαίμων, καὶ ἀνεχώρει ἰδὼν τὸν ἀῤῥαβῶνα. Σκιὰν ἔβλεπε καὶ ἀνεχώρει. Ἱμάτια ἔβλεπε καὶ ἐδραπέτευεν. Ὢ δύναμις Πνεύματος! Οὐ ψυχὴν δέδοικεν, οὐ σῶμα, ἀλλὰ ἱμάτιον. Οὐχ ἱμάτιον, ἀλλὰ σκιάν. Περιῄει ὁ Παῦλος τὴν οἰκουμένην τὰς ἀκάνθας ἀνασπῶν τῶν ἁμαρτημάτων, τὰ σπέρματα

Digitized by Google

καταβάλλων τῆς εὐσεβείας, καθάπερ ἀροτὴρ ἄριστος τὸ ἄροτρον ἔχων τῆς διδασκαλίας. Ποῦ ἦλθε; Πρὸς Θρᾷκας, πρὸς Σκύθας, πρὸς Ἰνδούς, πρὸς Μαύρους, πρὸς Γότθους, πρὸς θηρία, καὶ μετέβαλε πάντας. Πόθεν; Ἀπὸ τοῦ ἀῤῥαβῶνος. Πῶς ἤρκεσεν ἡ τοῦ Πνεύματος χάρις; Ἰδιώτης, γυμνὸς, ἀνυπόδετος, ὁ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος. Διὰ τοῦτο λέγει. *Καὶ πρὸς ταῦτα τίς ἱκανός; Ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ Πνεύματος.* Εἶδες τὸ Πνεῦμα πόσα ἐποίησεν; Ἐν δὲ τῷ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως πάλιν ὁ αὐτός, Διὰ τοῦτο, φησί, καὶ ὁ Παῦλος ποιήσας ἀξιόπιστον τὸν περὶ τῆς ἀναστάσεως λόγον, ἀπὸ τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἀπὸ τοῦ Θεὸν εἶναι τὸν δημιουργοῦντα, ἐπάγει καὶ τοῦτο τὸ ῥητόν, λέγων, ὅτι *Καὶ ἀῤῥαβῶνα ἡμῖν ἔδωκεν οὐ χρημάτων, οὐδὲ χρυσοῦ καὶ ἀργύρου, ἀλλ' ἀῤῥαβῶνα Πνεύματος.* Ὁ δὲ ἀῤῥαβὼν μέρος ἐστὶ τοῦ παντὸς, καὶ ὑπὲρ τοῦ παντὸς πιστός. Καθάπερ γὰρ ἐπὶ τῶν συμβολαίων ὁ τὸν ἀῤῥαβῶνα δεξάμενος ὑπὲρ τοῦ παντὸς θαῤῥεῖ λοιπὸν καὶ πεπίστευκεν, οὕτω καὶ σὺ λαβὼν ἀῤῥαβῶνα τοῦ Πνεύματος, τὰ χαρίσματα λέγω, μηκέτι ἀμφίβαλε περὶ τῶν ἀποκειμένων ἀγαθῶν. Καὶ μετ' ὀλίγον· Πλὴν ἀλλ' οὔτε σὺ τῆς τοῦ Πνεύματος ἔρημος γέγονας χάριτος, ἀλλὰ πολλὰ καὶ ἔτι νῦν μένει τῆς δωρεᾶς ἐκείνης τὰ σύμβολα, αὐτῶν τούτων τῶν ἀπηριθμημένων πολλῷ μείζονα καὶ θαυμαστότερα. Οὐ γάρ ἐστιν ἴσον σῶμα τελευτῆσαν ἀναστῆσαι, καὶ ψυχὴν νεκρωθεῖσαν ὑπὸ τῶν ἁμαρτημάτων ἀπαλλάξαι τῆς ἀπωλείας ἐκείνης, ὃ διὰ τοῦ βαπτίσματος γίνεται. Οὐκ ἔστιν ἴσον νόσημα ἀπελάσαι σαρκὸς, καὶ ἁμαρτιῶν φορτίον καταποντίσαι· οὐκ ἔστιν ἴσον ὄμμα πεπηρωμένον διορθῶσαι, καὶ ψυχὴν ἐσκοτισμένην φωτὶ καταλάμψαι. Εἰ γὰρ μὴ ἦν ἀῤῥαβὼν τοῦ Πνεύματος καὶ νῦν, οὐκ ἂν συνέστη τὸ βάπτισμα, οὐκ ἂν ἁμαρτημάτων ἄφεσις ἐγένετο, οὐκ ἂν δικαιοσύνη καὶ ἁγιασμὸς, οὐκ ἂν υἱοθεσίαν ἐλάβομεν, οὐκ ἂν μυστηρίων ἀπελαύσαμεν· σῶμα γὰρ καὶ αἷμα μυστικὸν οὐκ ἄν ποτε γένοιτο τῆς τοῦ Πνεύματος χάριτος χωρίς· οὐκ ἂν ἱερέας ἐσχήκαμεν. Οὐδὲ γὰρ ταύτας δυνατὸν τὰς χειροτονίας ἄνευ ἐκείνης τῆς ἐπιφοιτήσεως γίνεσθαι. Καὶ ἄλλα δὲ πολλὰ ἔχοι τις ἂν εἰπεῖν τῆς τοῦ Πνεύματος χάριτος σύμβολα. Ὥστε καὶ σὺ ἀῤῥαβῶνα τοῦ Πνεύματος ἔχεις· καὶ νέκρωσιν ἀπέθου ψυχῆς, καὶ πήρωσιν λογισμῶν καὶ τὸν ἀκάθαρτον ἀπεδύσω βίον.

Ἀκούεις, Γρηγορᾶ, καὶ ἀποστόλων, τῶν φιλοσόφων φημὶ καὶ σοφῶν τουτωνὶ τὴν ἀληθινὴν καὶ πρώτην σοφίαν, ὅσα περὶ τοῦ ἀῤῥαβῶνος καὶ τῆς ἀπαρχῆς τοῦ Πνεύματος τοῦ θείου φιλοσοφοῦσιν, οὐ τεχνικαῖς ἐπιστήμαις καὶ μεθόδοις ἀνθρωπίνης σοφίας ταυτὶ διδαχθέντες, ἀλλ' ἐπόπται καὶ μέτοχοι χρηματίσαντες τῆς τοῦ Θεοῦ φυσικῆς δόξης καὶ χάριτος, καὶ τοῦ μεγαλείου ἐκείνου μετὰ Πέτρου φημὶ καὶ τῶν υἱῶν τῆς βροντῆς, εἰ δὲ βούλει καὶ παντὸς τοῦ προὔχοντος τάγματος τῶν ἀποστόλων, τῆς μακαρίας ὁμοῦ δωδεκάδος ἐν εἴδει πυρίνων τότε γλωσσῶν τὴν ἐξ ὕψους ἐνδεδυκότων δύναμιν κατὰ τὴν μεγάλην πρὸς αὐτοὺς τοῦ Σωτῆρος ἐπαγγελίαν, δι' ἧς κόσμον καταφωτίσαντες

A ἅπαντα, πρὸς Θεὸν τὴν τῶν ἀπαυγασμάτων πηγὴν ἐκ τοῦ ζόφου τῆς ἀγνωσίας καὶ τῆς πλάνης ἐπανήγαγον τῶν εἰδώλων; Τί γοῦν σοι περὶ τούτου τοῦ θείου ἀῤῥαβῶνος δοκεῖ, τοῦ πᾶσιν ἀποστόλοις τε καὶ διδασκάλοις καταμερισθέντος, καθάπερ ἀκούεις, καὶ τὰ ὑπερφυᾶ καὶ λόγον ἅπαντα καὶ φύσιν νικῶντα, καὶ ἐνεργήσαντος καὶ ἐνεργοῦντος; Κτίσμα μὲν οὖν Θεοῦ τοῦτον οὐκ ἂν εἴποις ποτὲ, εἰ μὴ μέμηνας προφανῶς καὶ παραπαίεις, δι' αὐτά τέ φημι ταῦτα τὰ παρ' αὐτοῦ θεοπρεπῶς ὑπὲρ φύσιν τελούμενα, καὶ ὅτι οὐ τοῦ Πνεύματος μόνον εἶναι τὸν ἀῤῥαβῶνα, ἀλλὰ καὶ Πνεῦμα ἅγιον εἶναι τὸν αὐτὸν τῆς ἱερᾶς θεολογίας ἀκούεις λεγούσης. Πῶς ἂν οὖν μετὰ Μακεδονίου κτίσμα καὶ αὐτὸς νῦν οὕτω φανερῶς βλασφημῆσαι τολμήσῃς τὸ Πνεῦμα τοῦ Θεοῦ; Ἀλλὰ τί;

B τὴν οὐσίαν ἢ τὴν ὑπόστασιν τοῦ Πνεύματος τοῦτον ἐρεῖς; Ἀλλ' οὐχ οἷόν τε. Μᾶλλον γὰρ ἂν εἰπὼν σφαιροειδῆ τὴν γῆν, καὶ κῶνον τὸν οὐρανὸν ὄντα, κέντρου λόγον πρὸς ἐκείνην ἔχειν τὴν σφαῖραν, ἢ τὸν λαμπρὸν ὀφθαλμὸν τουτονὶ τῆς ἡμέρας τὸν ἥλιον, οὐκ οἴκοθεν, ἀλλ' ἐκ τῆς σελήνης λέγων ἔχειν τὸ φῶς δόξαις ἂν τισί τι λέγειν ἴσως, ἢ τὰ τοιαῦτα. Καὶ παρίημι λέγειν νῦν, ὅτι οὐχὶ οὐσία τοῦ Θεοῦ, οὐδὲ ἡ ὑπόστασίς ἐστι τὸ διδόμενον. Οὐδ' ἐκείνων οἱ μετέχοντες πεφύκασιν ὅλως μετέχειν, ἀλλὰ τῆς χάριτος καὶ τῆς ἐνεργείας. Διὸ καὶ ἐκεῖνο δίδοται ἡμῖν, ὃ καὶ λαμβάνομεν τῇ δυνάμει τοῦ Πνεύματος, οἱ θεολόγοι καὶ τοῦτό φασι. Τοῦτο τοίνυν οὐ προτίθημι νῦν τέως, καίτοι γε καὶ κοινὸν ἀξίωμα

C πάλαι τῆς Ἐκκλησίας Χριστοῦ. Ὅτι τε ἱκανῶς ἡμῖν, καὶ διὰ πολλῶν ἐν τοῖς φθάσασιν εἴρηταί τε καὶ ἀποδέδεικται ταῦτα, καὶ ἵνα μὴ συκοφαντήσῃς ἡμᾶς αὖθις, ὅτι τὰ ἐν ἀρχῇ ζητούμενα λαμβάνομεν ὡς ὁμολογούμενα. Οὕτω καὶ γὰρ ἡ σὴ θεολογία τε καὶ σοφία περὶ τῶν ἀξιωμάτων διασκοπεῖται, ζητούμενά τε ταῦτα, καὶ οὐχ ὁμολογούμενά τε καὶ κείμενα φανταζομένη κακῶς. Κείσθω μὲν οὖν τοῦτο, ἐκεῖνό γε μὴν ἐρέσθαι τέως ἐνταῦθα τὸν φιλόσοφον βούλομαι. Καὶ εἰ ὁ τοῦ Πνεύματος ἀῤῥαβὼν ἡ οὐσία καὶ ἡ ὑπόστασίς ἐστι τοῦ Πνεύματος, ὡς ἂν αὐτὸς φαίης, ἀλλ' οὐχ ἡ χάρις καὶ ἡ ἐνέργεια, πῶς ἐστιν ἀῤῥαβών; Καὶ ποῖον ἄρα ἐστὶ τὸ ὅλον, οὗτινος ἀῤῥαβών ἐστιν ὁ ἀῤῥαβών, ὃν σὺ λέγεις αὐτὴν τὴν οὐσίαν καὶ τὴν ὑπόστασιν εἶναι τοῦ Πνεύματος; Ὁ μὲν γὰρ

D Ἀπόστολος ἀῤῥαβῶνα τοῦ Πνεύματος εἶπε τοῦτο καὶ ἀπαρχὴν τοῦ Πνεύματος· *Ἔχομεν* γάρ, φησί, *τὴν ἀπαρχήν*· οἱ δὲ τοῦτον ἐξηγούμενοι θεολόγοι, καθάπερ ἤκουσας, καὶ ἀπαρχὴν τῶν αἰωνίων ἀγαθῶν, καὶ ἀῤῥαβῶνα, καὶ δακτύλιον, καὶ μέρος τοῦ ὅλου, καὶ πιστὸν ὑπὲρ τοῦ προσδοκωμένου παντὸς, καὶ ἀσφαλῆ φασι τοῦτον ἀῤῥαβῶνα. Ἅμα δὲ καὶ μερισθῆναι τοῦτον πᾶσι παρὰ τοῦ δεδωκότος φασὶν ἀποστόλοις καὶ διδασκάλοις, καὶ τοῦτον αὐτὸν ἐν ἐκείνοις ἐνηργηκέναι τε, καὶ ἐνεργεῖν πάντα τὰ καινὰ καὶ ὑπερφυᾶ, καὶ Θεῷ δυνατὰ μόνῳ. Τὴν δὲ οὐσίαν καὶ τὴν ὑπόστασιν τοῦ Πνεύματος ἀμήχανον ἀῤῥαβῶνα τινὸς εἶναι· τίνος καὶ γάρ; ἀλλ' οὐδὲ μέρος τοῦ ὅλου· οὔτε γὰρ μερίζεται κατ' οὐσίαν καὶ ὑπόστασιν ὁ Θεός· ἀλλὰ καὶ ἑκάστη τῶν θεαρ

Digitized by Google

χικῶν ὑποστάσεων τέλειός ἐστι Θεὸς, καὶ ὑπερτελὴς, καὶ ἀμέριστος. Λέγε τοιγαροῦν, ὦ φιλόσοφε, καὶ ὁρίζου, καὶ συλλογίζου, καὶ συμπέραινε ταῖς σαῖς ἐπιστημονικαῖς μεθόδοις, εἴ γε καὶ δύναιο, ὧν ἡμεῖς ἀμαθεῖς οἱ τοῦ Εὐαγγελίου τε καὶ σκηνοποιῶν καὶ ἁλιέων μαθηταὶ, πῶς δύναται τὰ τοιαῦτα καὶ εἶναι καὶ λέγεσθαι, ἵνα καὶ αὐτός που μετὰ Νικοδήμου τοῦ πάλαι νυκτερινοῦ μαθητοῦ παρὰ τῆς αὐτοσοφίας ἀκούσῃς, *Σὺ εἶ ὁ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως, καὶ τῶν μετεώρων*, ὡς ἂν αὐτὸς εἴποις, *φροντιστὴς καὶ δημαγωγός*. Καὶ ταῦτα οὐ γινώσκεις; μᾶλλον δ' ἐκεῖνος μὲν ἀπὸ νυκτερινοῦ τῆς ἡμέρας καὶ τοῦ φωτὸς καὶ μαθητὴς καὶ υἱὸς καλῶς γέγονεν, ἀπὸ τοῦ γράμματος ἀναβὰς ἐπὶ τὸ Πνεῦμα ταχέως, καὶ τῇ ἐνυποστάτῳ Θεοῦ σοφίᾳ τὴν ἀληθινὴν καὶ πρώτην σοφίαν μυσταγωγηθεὶς, καὶ ἀντὶ Φαρισαίου καὶ νομικοῦ μαθητὴς καὶ ὀπαδὸς ἀναδειχθεὶς τοῦ Χριστοῦ· σὺ δὲ τῇ σκιᾷ παρακαθήμενος ἔτι καὶ τῷ γράμματι, μᾶλλον δὲ καὶ τοὺς τύπους καὶ τὴν ἀλήθειαν ὁμοῦ διαστρέφων ἑκὼν, οὐκ ἄν ποτέ τι καίριον εἴποις, οὐδὲ τοῦ Πνεύματος ἄξιον.

Ἀλλὰ δεῦρο καὶ τοῦ μυστηρίου τὸν λόγον ἐκπαιδεύου καὶ αὖθις παρ' εὐαγγελιστῶν τε καὶ ἀποστολικῶν, καὶ τῶν τούτων ἐξηγητῶν τε καὶ θεολόγων, μᾶλλον δὲ ἀντὶ σοῦ πάλιν οἱ τὰ σὰ διαδεξάμενοι ταῦτα, καὶ ἀκούειν καὶ συνιέναι δυνάμενοι. Κατ' οὐσίαν μὲν οὖν καὶ ὑπόστασιν, ὥσπερ ἄγνωστός τε καὶ ἄῤῥητος, οὕτω δὴ καὶ ἀμέριστος καὶ ἄληπτος ὁ Θεός· καὶ τοῦτο κοινὸν ἀξίωμα τῆς εὐσεβοῦς ἡμῶν πίστεως· κατὰ δὲ τὴν φυσικὴν αὐτοῦ χάριν καὶ ἐνέργειαν, καὶ τὴν παντοδαπὴν τῶν αὐτῷ φυσικῶς προσόντων θείαν πρόοδον, καὶ ποικίλην μετάδοσιν καὶ μερίζεται πολυειδῶς ὁ ἀμέριστος, καὶ ποικίλλεται ὁ ἁπλοῦς, ὥσπερ δὴ καὶ ῥητὸς καὶ ληπτὸς διὰ φιλανθρωπίαν ἐστὶν ὡς γίνεται. Πανταχοῦ μὲν ὅλος παρὼν, καὶ ὑπὲρ τὸ πᾶν ὢν, καὶ οὐσίᾳ καὶ ὑποστάσεσι, καὶ δυνάμει καὶ ἐνεργείᾳ, ἀμέριστος γὰρ ὁ αὐτὸς κατὰ πάντα καὶ εἷς, σωζομένης ἑκάστῃ τῶν θεαρχικῶν ὑποστάσεων ἀσυγχύτου δηλονότι τῆς ἰδιότητος· ἓν γὰρ ἀληθῶς καὶ τρία τὰ προσκυνούμενα· μερίζεται δὲ καὶ ποικίλλεται, καὶ καλεῖται διαφόροις ὀνόμασι, καὶ μεταδίδοται κατ' ἐκεῖνο δηλονότι, καθὸ καὶ ῥητός ἐστι διὰ φιλανθρωπίαν, καὶ ληπτός τε καὶ μεριστὸς, τὴν φυσικὴν δύναμιν φημὶ καὶ ἐνέργειαν καὶ χάριν. Ὅθεν καὶ Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς τὴν εὐαγγελικὴν ἐξηγούμενος ῥῆσιν ἐκείνην, τὴν λέγουσαν, *Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα*, Ἡμεῖς γὰρ πάντες, φησὶ, μέτρῳ τὴν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν. Πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει. Αὕτη γάρ ἐστιν ἡ μεριζομένη. Οὗτος δὲ ἀμέτρητον ἔχει καὶ ὁλόκληρον πᾶσαν τὴν ἐνέργειαν. Εἰ δὲ ἡ ἐνέργεια ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Ὁρᾷς καὶ τὸ Πνεῦμα ἄπειρον; Ὁ τοίνυν πᾶσαν τοῦ Πνεύματος δεξάμενος τὴν ἐνέργειαν, ὁ τὰ τοῦ Θεοῦ εἰδὼς, ὁ λέγων, *Ὃ ἠκούσαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν*, πῶς ἂν εἴη δίκαιος ὑποπτεύεσθαι; Ἂν μὲν οὖν τῷ δεσποτικῷ ναῷ, καθὰ δήπου καὶ Παῦλός φησιν ὁ μέγας, *ἅπαν*

A *τὸ πλήρωμα κατῴκησε τῆς θεότητος*, ὥσπερ κατ' οὐσίαν ὅλος, καὶ καθ' ὑπόστασιν ὅλος ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, οὕτω δὲ καὶ κατὰ τὰς δυνάμεις καὶ τὰς φυσικὰς ἐνεργείας ὅλος, καὶ ὅσα δηλαδὴ θεωρεῖται θεολογούμενα, καὶ ὑμνούμενα περὶ τὴν θείαν οὐσίαν, ἃ καὶ ἄθροισμα, καὶ πλήρωμα τῆς θεότητος οἱ θεολόγοι φασίν. Ἡμεῖς δὲ κατὰ τὸν εὐαγγελιστὴν Θεολόγον, *Ἐκ τοῦ πληρώματος αὐτοῦ πάντες ἐλάβομεν*. Ὅπερ ὁ αὐτὸς ἀναπτύσσων θεῖος Χρυσόστομος, οὐ μεθεκτὴν φησιν ἔχειν τὴν δωρεὰν, ἀλλ' αὐτοπηγὴ καὶ αὐτορίζα ἐστὶν πάντων τῶν καλῶν, αὐτοζωὴ καὶ αὐτόφως καὶ αὐτοαλήθεια, οὐκ ἐν ἑαυτῷ συνέχων τῶν ἀγαθῶν τὸν πλοῦτον, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑπερβλύζων αὐτὸν, καὶ μετὰ τὸ ὑπερβλύσαι μένει ὡς πλήρης, καὶ οὐδενὶ ἐλαττούμε-
B νος ἐκ τῆς εἰς ἑτέρους χορηγίας, ἀλλ' ἀεὶ πηγάζων, καὶ πᾶσι τούτων μεταδιδοὺς τῶν καλῶν, ἐπὶ τῆς αὐτῆς μένει τελειότητος. Ὃ δὲ ἐγὼ φέρω, μεθεκτόν ἐστι. Παρ' ἑτέρου γὰρ ἔλαβον αὐτὸ, καὶ μικρόν τι τοῦ παντὸς, καὶ οἱονεὶ σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον, καὶ πέλαγος ἄπειρον. Ἐν δὲ τῷ εἰς τὸ ἅγιον Πνεῦμα λόγῳ πάλιν ὁ αὐτὸς μέγας τῆς Ἐκκλησίας διδάσκαλος τοιάδε φησί· Τοῦτο τὸ σῶμα τὸ Δεσποτικὸν, καὶ ἡ σὰρξ ἡ ἁγία λαβοῦσα τοῦ ἁγίου Πνεύματος τὴν ἐνέργειαν, οὐκ ἔλαβεν ὡς ἐπὶ τῶν ἀποστόλων καὶ τῶν προφητῶν μίαν χάριν ἢ δευτέραν. Ἄνθρωπος γὰρ πάντα χωρῆσαι οὐ δύναται. Διὸ λέγει Παῦλος· *Μὴ πάντες ἀπόστολοι, Μὴ πάντες προφῆται; Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων;* Ἐφ' ἡμῶν γὰρ μερίζεται τὰ δῶρα,
C ἐν δὲ τῇ σαρκὶ τοῦ Χριστοῦ ὅλα τὰ χαρίσματα, ὅλαι αἱ δωρεαὶ ἦσαν κατὰ τὴν τῆς σαρκὸς οὐσίαν. Καὶ πρόσεχε. Ἐπλήρωσε πρῶτον τὸν ἴδιον ναὸν πάσης χάριτος. Εἶχε χάρισμα νοσοῦντας ἰᾶσθαι, δαίμονας ἐκβάλλειν, νεκροὺς ἐγείρειν, προφητεύειν, τὰ τῆς ἀληθείας ἐργάζεσθαι, πάντα ἐδύνατο, καὶ εἶχε τῶν χαρισμάτων τὸ πλήρωμα, ἀφ' οὗ ἐπληρώθη ἡ σὰρξ ἡ Δεσποτικὴ πάντων τῶν χαρισμάτων. Χρεία δὲ ἦν πάντως ἡμᾶς λαμβάνειν ἐκ μέρους ὡς ἀπὸ δεξαμενῆς ἀπὸ τοῦ Κυριακοῦ σώματος· χορηγεῖται καὶ ἀποστόλοις καὶ προφήταις· ἐξ αὐτοῦ Ἰωάννης ἐμαρτύρει, ὅτι *ἐν αὐτῷ ὅλον τὸ πλήρωμα*, καὶ Παῦλος, *Ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*. Οὐκ εἶπεν ἁπλῶς, Ἐν ᾧ κατῴκησεν ἡ
D θεότης, ἀλλὰ, *τὸ πλήρωμα τῆς θεότητος*, τουτέστι πᾶσα ἡ δωρεὰ τῆς θεότητος. Καὶ ἵνα μή τις νομίσῃ, ὅτι ἐν τῷ Θεῷ Λόγῳ κατῴκησε, λέγει, *Ἐν ᾧ κατῴκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς*. Ἐν τῇ σαρκὶ αὐτοῦ πᾶν τὸ πλήρωμα, σοφίας, συνέσεως, δυνάμεως, σημείων πάσης ἐνεργείας. Λοιπὸν ἀπὸ τοῦ πληρώματος δανειζόμεθα πάντες. Μαρτυρεῖ Ἰωάννης ὁ Βαπτιστὴς, *Κἀγὼ οὐκ ᾔδειν αὐτὸν, ἀλλ' ὁ πέμψας με βαπτίζειν, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἂν ἴδοις τὸ Πνεῦμα καταβαῖνον καὶ μένον*. Οὐκ εἶπε, Χαριζόμενον αὐτῷ δῶρον ἓν, ἀλλὰ, *μένον ὅλον, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ*. Εἶτα βουλόμενος δεῖξαι ὁ Ἰωάννης, ὅτι οὐχ ὡς ἄνθρωπος ἔλαβε χάριν ὁ Σωτὴρ, λέγει· *Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα*.

Digitized by Google

*Ὁ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.* Ἡμεῖς οὖν πόθεν λαμβάνομεν; Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Ἐκεῖνος τὸ πλήρωμα. Ἡμεῖς ἐκ τοῦ πληρώματος. Πῶς; ἀφ' οὗ ἐπλήρωσε τὴν Δεσποτικὴν σάρκα, ἀπ' αὐτῆς ἤντλει ὡς ἀπὸ πηγῆς, καὶ ἐδάνειζε τοῖς ἀνθρώποις τὴν δωρεάν. Τίς οὖν ἐστιν αὕτη ἡ δωρεὰ, καὶ ἡ χάρις τοῦ Πνεύματος καὶ ἡ ἐνέργεια, Γρηγορᾶ, ἡ πληρώσασα τὸν ναὸν ἐκεῖνον, τὸ Δεσποτικόν φημι σῶμα; Ἆρα ἡ οὐσία, καὶ ἡ ὑπόστασίς ἐστι τοῦ ἁγίου Πνεύματος;

Καὶ μὴν ὁ διδάσκαλος οὐ βούλεται τοῦτο. Ἐφ' ἡμῶν γὰρ, φησὶ, μερίζεται τὰ δῶρα. Ἄνθρωπος γὰρ πάντα χωρῆσαι οὐ δύναται. Ἐν δὲ τῇ σαρκὶ τοῦ Χριστοῦ ὅλα τὰ χαρίσματα, ὅλαι αἱ δωρεαὶ ἦσαν. Ἃ καὶ διερμηνεύων ἑξῆς, Εἶχε χάρισμα, φησὶ, νοσοῦντας ἰᾶσθαι, δαίμονας ἐκβάλλειν, νεκροὺς ἐγείρειν, καὶ ὅσα ἑξῆς. Ἄλλως τε καὶ ἡ οὐσία καὶ ἡ ὑπόστασις τοῦ Πνεύματος μία, καὶ οὐ πολλαὶ, τὰ δὲ οὐ πολλὰ μόνον, ἀλλὰ καὶ διαφέροντα ἀλλήλων. Ἅπαν γὰρ τὸ πλήρωμα τῆς θεότητος σὺν τῷ Ἀποστόλῳ καὶ ὁ χρυσοῦς οὗτος διδάσκαλος λέγει ταῦτα, καθάπερ ἤκουσας· καὶ ὅτι οὐ πάντες προφῆται, οὐδὲ διδάσκαλοι, οὔτε πάντες χαρίσματα ἔχουσιν ἰαμάτων, καὶ ὅτι ἀφ' οὗ, φησὶν, ἐπληρώθη τούτων ἡ Δεσποτικὴ σὰρξ, ὥσπερ ἀπὸ πηγῆς ἤντλει καὶ ἐδίδου καὶ ἀποστόλοις καὶ προφήταις ἐκεῖθεν. Πῶς ἂν οὖν οὐσία καὶ ὑπόστασις εἴη τὰ θεῖα ἐκεῖνα χαρίσματα, τὰ καθάπερ ἀπὸ δεξαμενῆς ἀντλούμενα τῆς Δεσποτικῆς σαρκὸς καὶ χορηγούμενα τοῖς ἁγίοις;

Ἀλλὰ μὴ σχέσις ἐστὶ ταῦτα καὶ οὐχὶ πράγματα, καθάπερ ἔφης, ἢ κτίσματα; Περὶ μὲν οὖν τῆς σχέσεως αὐτόθεν κατάλαβε. Οὐδὲ γὰρ σκέψιν ἄν τις εἴποι ψιλὴν τὸ πλήρωμα τῆς θεότητος, ὃ κατῴκησεν ἐν τῷ Χριστῷ σωματικῶς, καὶ ὅθεν ὡς ἀπὸ πηγῆς ἀντλῶν ἐχορήγει καὶ ἀποστόλοις καὶ προφήταις, καθάπερ ἤκουσας. Καὶ Μάξιμος δὲ ὁ μέγας τῷ Πύῤῥῳ διαλεγόμενος, καθάπερ ἤκουσας, οὐ σχέσιν, ἀλλὰ πρᾶγμα τὴν τῆς θεότητος φυσικὴν ἐνέργειαν ἔφησεν, οὐδ' ἐκείνου πρὸς τοῦτό γε ἀντειπόντος, ὡς καὶ παρὰ τοῖς ἐχθροῖς ὁμολογούμενον, εἰ καὶ ἡ χρῆσις τῆς ἐνεργείας ἤδη καὶ σχέσις ὄντως ἐστὶν, καὶ ἐνέργεια παρὰ τῶν θεολόγων εἴρηται, καθὰ δὴ καὶ εἰπόντες ἔφθημεν. Πρὸς δὲ τὸ κτίσμα τί ἂν εἴποιμι; Πλήρες ἡμῖν τό τε σύγγραμμα καὶ ὁ σύλλογος γέγονε τῶν τοιούτων ἐρεσχελιῶν τε καὶ παραληρημάτων, καὶ μικροῦ καὶ τοῖς ναυτιῶσι καὶ ἰλιγγιῶσιν ἐοίκαμεν ὑπὸ τῆς συχνῆς ἀηδίας, καὶ τοῦ συνδυασμοῦ τῶν τὰ τοιαῦτα συνεχῶς ἐξεμούντων. Πρῶτον μὲν γὰρ ἐκεῖνο γελοῖον, μᾶλλον δὲ καὶ φρίκης καὶ συστολῆς οὐ τῆς τυχούσης ἄξιον ἂν εἴη, τὸ κτίσμασι τιμᾶσθαι τὸν δεσποτικὸν ναὸν τολμᾷν λέγειν, καὶ ἅπαν τὸ πλήρωμα τῆς θεότητος τὰ κτίσματα φάσκειν, καὶ ταῦτα τῇ ὑποστάσει τοῦ Θεοῦ Λόγου καὶ τοῦ Πνεύματος καθ' ὑμᾶς συνταττόμενά πως καὶ συναριθμούμενα, τήν τε Δεσποτικὴν σάρκα πληροῦν, κἀκεῖθεν ὡς ἀπὸ πηγῆς προϊόντα, τῶν ποικίλων καὶ παντοδαπῶν χαρισμάτων ἀποστόλους τε καὶ προφήτας πληροῦν. Εἶτα καὶ τοῦ διδασκάλου τὸν Βαπτι-

A στὴν Ἰωάννην παράγοντος ἤκουσας ἐκείνῳ μαρτυροῦντα καὶ λέγοντα, ὅτι *Ὁ πέμψας βαπτίζειν, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἐὰν ἴδοις τὸ Πνεῦμα καταβαῖνον καὶ μένον.* Ὃ δὴ καὶ σαφηνίζων αὐτὸς ὁ διδάσκαλος αὖθις, Οὐκ εἶπε, φησὶ, χαριζόμενον αὐτῷ δῶρον ἓν, ἀλλὰ μένον ὅλον. Εἶθ' ὥσπερ ἐπίτηδες ἀπάγων σε τῆς τῶν κτισμάτων ὑπονοίας ὁ διδάσκαλος, καὶ δεικνὺς ὅτι τὰ δῶρα ταῦτα τοῦ Πνεύματος τὰ φυσικὰ τοῦ Θεοῦ ἐστι, καὶ διὰ τοῦτο καὶ Πνεῦμα ἅγιον εἴρηται, τὸν Εὐαγγελιστὴν Ἰωάννην ἐφίστησιν οὕτω λέγων· Εἶτα βουλόμενος δεῖξαι ὁ Ἰωάννης, ὅτι οὐχ ὡς ἄνθρωπος ἔλαβε χάριν ὁ Σωτὴρ, λέγει· *Οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα*, καὶ, *Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν.* Ἐκεῖνος τὸ πλήρωμα, ἡμεῖς
B ἐκ τοῦ πληρώματος. Πῶς; ἀφ' οὗ ἐπλήρωσε τὴν Δεσποτικὴν σάρκα, ἐξ αὐτῆς ἤντλει ὡς ἀπὸ πηγῆς, καὶ ἐδάνειζε τοῖς ἀνθρώποις τὴν δωρεάν.

Ὁρᾷς, ὦ φιλόσοφε, ὅτι τὸ Πνεῦμα τὸ ἅγιόν εἰσι ταῦτα, κατὰ τὰς φυσικὰς θείας ἐνεργείας, καὶ τὰ χαρίσματα μεριζόμενον ἀμερίστως καὶ ἀποστόλους καὶ προφήτας, καὶ διδασκάλους χειροτονοῦν δι' αὐτῶν, ἀλλ' οὐ κτίσματα; Εἰ δὲ τὸ Πνεῦμα ταῦτά ἐστι, καθάπερ οὖν καὶ ἔστι, τῷ δὲ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημοῦντι οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι, Δεσποτικὴ τοῦτό φησιν ἀπόφασις, τὸ ἑξῆς αὐτὸς ἂν εἴη σκοπεῖν δίκαιος. Αὐτὰ γάρ εἰσι τὰ τῆς θείας φύσεως ἰδιώματα, τὰ φυσικῶς τῷ ἁγίῳ Πνεύματι προσόντα χαρίσματα, περὶ
C ὧν ὁ μακάριος Παῦλος Κορινθίοις ἔλεγε γράφων, ὅτι *Πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.* Καὶ οὗτός ἐστιν ὁ ἀῤῥαβὼν καὶ ὁ δακτύλιος, καὶ ἡ ἀπαρχὴ, καὶ τὸ μέρος τοῦ ὅλου τὸ καταμερισθὲν ἀποστόλοις τε καὶ προφήταις καὶ διδασκάλοις, καὶ παντὶ πνευματικῷ πληρώματι, δι' οὗ πάντες εἰς ἐπίγνωσιν ἀληθείας καὶ θεογνωσίαν, καὶ θεῖον φωτισμὸν ἀνειλκύσθημεν. Ὅπερ ἀρχὴν τῆς ἑαυτοῦ φανερώσεως καὶ πρὸς ἡμᾶς ἐπιδημίας λαβὸν διὰ τῆς ὁμοθέου σαρκὸς τοῦ Θεοῦ Λόγου, εἶτα καὶ μετὰ τὴν αὐτοῦ πρὸς οὐρανοὺς ἄνοδον καὶ ἀποκατάστασιν, εἰς Σιὼν ἄνωθεν κατιὸν, καὶ χορείας ἀποστόλων ἀρξάμενον, ὅ φησί τις τῶν σοφῶν θεολόγων καὶ μελῳδῶν, ἐξ αὐτῶν κατὰ μέθεξιν τοῖς πιστοῖς τὴν χάριν ἐφή-
D πλωσεν.

Ἀλλ' ἴσως ἐρεῖς, ὡς οὐ περὶ τοῦ θείου φωτὸς τῆς μεταμορφώσεως, οὐδὲ περὶ τῆς κατὰ τὴν Πεντηκοστὴν ἐπιδημίας τοῦ θείου Πνεύματος, εὐαγγελισταῖς τε καὶ ἀποστόλοις εἴρηται πάντ' ἐκεῖνα, καὶ αὐτῷ φημι τῷ σεπτῷ Βαπτιστῇ. Περὶ ὧν δήπου καὶ Ἰωάννης ὁ τὴν γλῶτταν Χρυσοῦς ἄρτι τὸν πολὺν ἐποιεῖτο λόγον. Διὸ καὶ τοῦτον αὐτὸν ἀναγκαῖον σὺν τῷ μεγάλῳ καὶ αὖθις παρελθεῖν Παύλῳ, καὶ δεῖξαντα τὰ καὶ λόγοις ἱεροῖς, καὶ ἀσκήσει καὶ χρόνῳ καὶ μελέτῃ καὶ πείρᾳ, καὶ πρὸ τούτων ἁγίου Πνεύματος χάριτι προφητικῶς τε καὶ ἀποστολικῶς αὐτῷ ἐγνωσμένα, τὰ ῥηθέντα διὰ πολλῶν οὕτως ἐπισφραγίσαι. Τὰ γὰρ πρὸς Κορινθίους γεγραμμένα τῷ Ἀποστόλῳ σκοπούμενος, Ἡμεῖς, φησὶ, πάντες ἀνακεκαλυμμένῳ

Digitized by Google

προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, οὐ τὴν καταργουμένην ἐκείνην, ἀλλὰ τὴν μένουσαν, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. Καὶ μετ' ὀλίγον· Τί δέ ἐστι τὴν « δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα; » Σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει. Πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι. Ὁμοῦ τε γὰρ βαπτιζόμεθα, καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει, τῷ Πνεύματι καθαιρομένη. Καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. Ὥσπερ γὰρ εἰ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς, οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος, καὶ ταύτην ἀντιπέμπει. Διὸ καί φησι, « Κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης τοῦ Πνεύματος εἰς δόξαν τὴν ἡμετέραν τὴν ἐγγινομένην, καὶ τοιαύτην, οἵαν εἰκὸς ἀπὸ Κυρίου Πνεύματος. » Καὶ πάλιν· Βούλει σοι δείξω τοῦτο καὶ ἀπὸ τῶν ἀποστόλων αἰσθητικώτερον; Ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει· Πέτρον, οὗ αἱ σκιαὶ ἴσχυον· οὐ γὰρ ἄν, εἰ μὴ Βασιλέως ἔφερον εἰκόνα καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαί, τοσοῦτον τὰ ἱμάτια αὐτῶν αἱ σκιαὶ ἐνήργησαν. Βασιλέως γὰρ καὶ τὰ ἱμάτια τοῖς λησταῖς ἐστι φοβερά. Θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; Ἀτενίσαντες, φησίν, εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον ἀγγέλου. Ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν. Ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον· μᾶλλον δὲ καὶ πολλῷ πλέον. Τὸ μὲν γὰρ Μωϋσέως αἰσθητικώτερον ἦν, τοῦτο δὲ ἀσώματον.

Τούτῳ συνῳδὰ καὶ Βασίλειος ὁ μέγας φιλοσοφῶν περὶ τοῦ θείου τούτου φωτός, καὶ δεικνὺς ὡς αὐτὸ τοῦτ' ἐστὶ τὸ μέγα τῆς μεγάλης Τριάδος καὶ ἀπρόσιτον φῶς ἡ φυσικὴ τοῦ Πνεύματος ἐνέργεια, ἣν ὁ Χριστὸς πρότερον μὲν τοῖς λογάσι τῶν ἀποστόλων ἐπὶ τοῦ ὄρους, ὕστερον δ' ἐν τῷ ὑπερῴῳ τοῖς δυοκαίδεκα κατέπεμψεν ἐν εἴδει πυρίνων γλωσσῶν, ὃ δὴ καὶ ἀγγέλους καὶ προφήτας καὶ ἀποστόλους δι' ἄρρητον οἰκονομίαν τε καὶ φιλανθρωπίαν θεουργεῖ καὶ φωτίζει παρόν, ἐν μὲν τοῖς ἀσκητικοῖς αὐτοῦ λόγοις, Ὢ σύμφωνος κοινωνία νύμφης πρὸς τὸν νυμφίον! φησί. Μίμησαι ταύτην, ὦ τέκνον, μίμησαι, πρὸς μηδὲν ἕτερον ἀφορῶν ἢ πρὸς τὸν εἰπόντα, *Πῦρ ἦλθον βαλεῖν ἐπὶ τῆς γῆς, καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη;* Ἔστι γὰρ πύρωσις Πνεύματος, ἀναζωπυροῦσα καρδίαν, διότι ἄϋλον καὶ θεῖον πῦρ φωτίζειν μὲν ψυχὰς εἴωθε, καὶ δοκιμάζειν ὥσπερ ἄδολον χρυσίον ἐν καμίνῳ, κακίαν δὲ ἀναλίσκειν ὥσπερ ἀκάνθας καὶ καλάμην. Ὁ γὰρ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστί, διδοὺς ἐκδίκησιν ἐν φλογὶ πυρὸς τοῖς μὴ εἰδόσιν αὐτόν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ Εὐαγγελίῳ αὐτοῦ. Τοῦτο τὸ πῦρ ἐνήργησεν ἐν τοῖς ἀποστόλοις, ἡνίκα ἐλάλουν πυρίναις γλώσσαις. Τοῦτο

A τὸ πῦρ Παῦλον περιλάμψαν τὴν μὲν αἴσθησιν τῆς ὄψεως αὐτοῦ ἠμαύρωσε, τοὺς δὲ ὀφθαλμοὺς τῆς καρδίας ἐφώτισεν. Οὐ γὰρ χωρεῖ σαρκὸς ὅρασις ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν. Τοῦτο τὸ πῦρ ὤφθη Μωϋσῇ ἐν τῇ βάτῳ. Τοῦτο ἐν εἴδει ὀχήματος τὸν Ἠλίαν ἐκ τῆς γῆς ἀνήρπασε. Τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαβὶδ ἔλεγε, *Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με. Πύρωσον τοὺς νεφρούς μου καὶ τὴν καρδίαν μου.* Τοῦτο τὸ πῦρ τὴν καρδίαν Κλεόπα καὶ τοῦ σὺν αὐτῷ ἐθέρμανε, λαλοῦντος τοῦ Σωτῆρος αὐτοῖς μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. Καὶ οἱ ἄγγελοι δὲ καὶ τὰ λειτουργικὰ πνεύματα τούτου τοῦ πυρὸς μετέχουσι, κατὰ τὸ γεγραμμένον, *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.* Τοῦτο τὸ πῦρ B τὴν ἐν τῷ ὀφθαλμῷ δοκὸν κατακαῖον, καθαρὸν τὸν νοῦν ἀποκαθίστησιν, ἵνα τὸ κατὰ φύσιν ἀπολαβὼν διορατικόν, μὴ τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος ὁρᾷ, ἀλλὰ διηνεκῶς τὰ τοῦ Θεοῦ θαυμάσια κατανοῇ, κατὰ τὸν λέγοντα· *Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου.* Τοῦτο τὸ πῦρ δαιμόνων ἐστὶ φυγαδευτήριον, καὶ κακίας πάσης ἀναλωτικόν, ἁμαρτίας ἀναιρετικόν, ἀναστάσεως δύναμις, καὶ ἀθανασίας ἐνέργεια, ψυχῶν ἁγίων φωτισμός, καὶ λογικῶν δυνάμεων σύστασις. Τοῦτο καὶ ἡμεῖς εὐξώμεθα φθάσαι καὶ εἰς ἡμᾶς, ἵνα πάντοτε ἐν τῷ φωτὶ περιπατοῦντες, μηδέποτε κἂν πρὸς βραχὺ προσκόψωμεν.

Ἐν δὲ τῇ κατὰ τὸν προφήτην Ἡσαΐαν ἐξηγήσει τάδε φησίν· Ἡμέρα δέ ἐστιν αὕτη ἐν ᾗ ἐπιλάμψει C ὁ Θεὸς μετὰ δόξης, αὐτὴ ἣν ποιεῖ ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ Κύριος ἡμῶν, ὁ διδάσκων περὶ ἑαυτοῦ ὅτι ἕως ἐστὶν ἐν τῷ κόσμῳ φῶς τοῦ κόσμου ἐστί, διὸ καὶ παρῄνει ἐργάζεσθαι ἕως ἡμέρα ἐστί. Καὶ πάλιν· Λογιζόμεθα δὲ ταῦτα ἐπαγγέλλεσθαι τοῖς ἀξίοις τῆς ἀναπαύσεως, ἅτε πολλῶν μονῶν οὐσῶν ἐν τῇ οἰκίᾳ τοῦ Πατρός, καὶ διαφόρου κληροδοσίας ἀποκειμένης ἐν τῇ γῇ τῆς κληρονομίας, ἣν κληρονομήσουσιν οἱ πραεῖς. Τουτέστι τινὲς μὲν ἐν τῇ φαιδρότητι τῆς τοῦ Θεοῦ ἐπιφανείας, τινὲς δὲ ὑπὸ τὴν σκέπην τῶν οὐρανίων δυνάμεων ἀναπαύσονται. Καὶ ἄλλοι ἐν τῇ δόξῃ τῇ ἀπὸ τοῦ φωτός, ὡς ἀπὸ καπνοῦ καλυφθήσονται. Τάχα δὲ αὐτῇ μὲν τῇ Σιὼν ἐπιλάμψει τὸ φῶς, τὰ δὲ περικύκλῳ αὐτῆς ἐπιλάμψει νεφέλη ἡμέρας, ἥτις οὐκ ἄλλοθεν ἔχει τὴν γένεσιν ἢ D ἀπ' αὐτοῦ τοῦ φωτός. Καὶ μετ' ὀλίγα· Ὁποία τις ἦν κατὰ τὴν μεταμόρφωσιν τοῦ Κυρίου ἡ φωτεινὴ νεφέλη τοὺς μαθητὰς περιστᾶσα.

Καὶ αὖθις· Οὗτος τοίνυν ὁ λαὸς ὁ ἐν τῇ ἐθνικῇ ἀγνοίᾳ ἐσκοτωμένος εἶδε φῶς, οὐχ οἷον τὸ ἀπὸ πυρός, οὐδὲ οἷον τὸ ἀπὸ ἀστέρων ἢ σελήνης, οὐδὲ οἷον τὸ ἡλιακὸν ἢ ἀστραπαῖον, ἀλλὰ φῶς μέγα, ὃ καὶ νοητοῖς ἐπιλάμπει καὶ αἰσθητοῖς, ὃ καὶ Πατρὶ σύνεστι, καὶ ἀγγέλους φωτίζει, καὶ ἀνθρώπους φαιδρύνει, καὶ πᾶσιν ἐπαρκεῖ, καὶ ἔτι ἑαυτοῦ τὰς αὐγὰς ἔχει ὑπερτεινομένας πρὸς τὸ πλεῖον.

Ὁ δὲ θεῖος αὖθις Χρυσόστομος, Τὰ σώματα τῶν εὐηρεστηκότων τῷ Θεῷ, φησί, τοσαύτην ἐνδύσεται δόξαν, ὅσην οὐδὲν ἰδεῖν ἔνι τούτοις τοῖς ὀφθαλμοῖς.

Digitized by Google

A Καὶ τούτων ἡμῖν σημεῖά τινα καὶ ἴχνη ἀμυδρὰ καὶ ἐν τῇ Παλαιᾷ καὶ ἐν τῇ Καινῇ δοθῆναι παρεσκεύασεν ὁ Θεός. Ἐκεῖ μὲν τὸ πρόσωπον τοῦ Μωϋσέως τοσαύτῃ κατελάμπετο δόξῃ τότε, ὡς ἀπρόσιτον εἶναι τοῖς τῶν Ἰσραηλιτῶν ὀφθαλμοῖς· ἐν δὲ τῇ Καινῇ τούτου πολλῷ πλέον ἐξέλαμψε τὸ τοῦ Χριστοῦ. Ἀλλὰ τὰ μὲν ἀρκούντως εἰρήσθω· ἐπανέλθωμεν δ' αὖθις πρὸς τὸν φιλόσοφον τοὺς κατὰ τοῦ Δεσποτικοῦ φωτὸς ἀκουσόμενοι λόγους ἐκείνου καὶ τὴν φιλοσοφίαν. Εἰσάγει καὶ γὰρ τὸν ὁμολογητὴν καὶ κήρυκα τῆς εὐσεβείας αὖθις Θεόδωρον τοιάδε περὶ τοῦ τῆς μεταμορφώσεως θείου φωτὸς πρός τε τὸν Παμφίλου Εὐσέβιον καὶ τοὺς Εἰκονομάχους λέγοντα· Ἀλλ' ἐπαναχτέον, φησί, τὸν λόγον, καὶ ζητητέον τί ἂν εἴη τοῦτο τὸ φῶς· οὐ γάρ πω σαφῶς, ὅτι ἐστιν, ὁ γεννάδας ὑπέδειξε νῦν, ὅτι μὴ τῷ Θεῷ Λόγῳ πρέπον προσθείς. Εἰσύστερον δὲ ἐρεῖ ἐκδηλότερον. Ὅμως πρὸς τὰ δεδογμένα αὐτῷ ἐν τῷ παρόντι τὸν λόγον ἡμεῖς ἐξετάσωμεν. Ἆρα οὐσία τις καὶ ἐνυπόστατον, καθ' αὑτὸ ὑφεστὼς καὶ μὴ δεόμενον ἑτέρου πρὸς ὕπαρξιν, ἢ ποιότης ἀσώματος καὶ ἀνούσιος, ἐν ἄλλῳ τὸ εἶναι, οὐκ ἐν ἑαυτῷ θεωρούμενον ἔχουσα; Ἀλλ' εἰ μὲν οὐσία ἐστί, πότερον ἀγγελική, ἐπεὶ καὶ ἄγγελος φῶς, καὶ τοῦ πρώτου καὶ ἀνωτάτω φωτὸς μαρμαρυγὴ καὶ ἀπόλαμψις; Ἀλλ' οὐκ ἂν τοῦτο εἴποι. Καὶ μετ' ὀλίγα· Εἰ δὲ θεία οὐσία, πῶς εἰς τοῦτο μετῴχετο; Εἰ μὲν ἐν ἰδίᾳ ὑποστάσει καὶ καθ' ἑαυτὴν θεωρουμένη μετελθοῦσα καὶ οἷον ἄλλο καὶ ἰδικὸν ἀποτεμομένη πρόσωπον, καὶ εἰς τὴν τοῦ λόγου διαπρέπον ἐμφέρειαν μηδεμιᾷ τῶν ἐν τῇ Τριάδι νοουμένων συμπαρυποστᾶσα καὶ συμφυεῖσα, τετρὰς αὐτῷ ἡ Τριὰς ἀποτετέλεσται.

Καὶ ὁρᾶτε ὡς φιλότιμος περὶ τὴν θείαν οὐσίαν Εὐσέβιος πληθύνων ἀφθονίᾳ ὑποστάσεων καὶ αὔξων τὰ ἀπλήθυντα καὶ ἀμείωτα, καὶ πάσης τῆς ὁπωσοῦν ὑφέσεως καὶ πλεονασμοῦ παντάπασιν ἀνεπίδεκτα. Εἰ δ' εἰς τὴν τοῦ λόγου συγχυθεῖσα καὶ οἷον συνουσιωθεῖσα παρῆλθεν ὑπόστασιν, μετὰ πλείονος τῆς εὐγνωμοσύνης προσθήκην καὶ αὔξησιν τῇ τοῦ λόγου αὐτῇ δίδωσιν ὑποστάσει, ἥτις οὐκ ἄλλη παρὰ τὴν τοῦ Πατρὸς οὐσίαν τῇ φύσει ἐστί, τῷ χαρακτηριστικῷ δὲ μόνον τῆς ἰδιότητος κατὰ τὴν γέννησιν διαφέρουσα. Οὕτω πρὸς τὴν ὑπερπλήρη καὶ ἀπροσδεᾶ καταδαψιλευόμενος φύσιν τὴν ἑαυτοῦ σαφῶς ἐκπομπεύει μανίαν.

Ὥστε σύνθεσιν ἐπὶ τῆς ὑπερηπλωμένης καὶ πάσης ἁπλότητος ὑπερέκεινα οὐσίας ἐπινοεῖν ἐξ ἧς καὶ πάθος ἐξ ἀνάγκης ἕψεται ἐπὶ τῆς μακαρίας καὶ ἀπαθοῦς θεότητος. Καὶ μετ' ὀλίγα· Ὑπόλοιπον δ' οὖν ἐστιν εἰπεῖν, εἰ ποιότητα τοῦτο ἀσώματον ἢ ἀνούσιον εἶπε, τί συμβαίνει· οἷον ἀπόῤῥοιάν τινος οὐσίας καὶ ἀπαύγασμα εἰς ἣν ἡ μορφὴ ἐκείνη μεταβέβληται, ἀλλ' οὐδὲν ἧττον ἡ πασῶν ἐσχάτη ὕβρις καὶ ἀτοπία τῷ θείῳ προστετρίψεται σώματι. Λωβήσαιτο γὰρ ἂν τὸν τοῦ εἶναί λόγον. Καὶ ταύτῃ τὸ ἀνύπαρκτον εἰσαχθήσεται. Ἄλλως τε οὐδ' ἔνεστι ποιότητα ὑποκειμένου δίχα καθ' ἑαυτὴν ὅ τι ποτέ ἐστι διαδειχθῆναι, κἂν τῶν οὐσιωδῶν αὐτὴν εἴπῃ τις, ἢ καὶ εἰς οὐσίαν ἀνάγεται. Ὡς δ' ἐπὶ παραδείγματος εἰπεῖν, οὐκ ἂν τὸ λογικόν που συσταίη ὑποκειμένου ἄνευ, ὅ ἐστι τὸ ζῶον, εἰ μὴ πρότερόν τις ὑπόθοιτο οὐσίαν ἔμψυχον αἰσθητικήν. Καὶ πάλιν· Ἀλλὰ τὸ μὲν φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν ἀθανασίαν ὁ μέγας μυσταγωγεῖ Ἀπόστολος· τὸ δὲ σῶμα ἀσωματότητα ἐνδύσασθαι, ἢ τὸ κτιστὸν γενέσθαι ἄκτιστον, ἢ τὸ περιγραπτὸν εἰς ἀπεριγραφίαν μετατεθήσεσθαι, οὔπω καὶ νῦν ἤκουσται. Πρῶτον μὲν οὖν ἐκεῖνο πρὸς Γρηγορᾶν καὶ αὖθις εἰπεῖν ἔχομεν, ὡς οὐδ' ἐνταῦθα τοὺς τοῦ διδασκάλου τουτουῒ λόγους ὡς ἔχουσι καλῶς προὔθηκεν, ἀλλὰ κἀν τούτοις πλεῖστά τινα τῶν ἀναγκαίων ὑφεῖλεν, ὡς ἔθος αὐτῷ, τῇ τοῦ λόγου λυμηνάμενος ἀκολουθίᾳ καὶ τάξει.

B Ἀλλ' ἐξεταστέον καὶ αὐτὰ δή φημι ταῦτα τέως τὰ προτεθέντα, καὶ τὸν σκοπὸν καὶ τοὺς λόγους θεωρητέον τοῦ διδασκάλου, καὶ κατὰ τίνος ἐνταῦθα τούτους παρήγαγε Γρηγορᾶς. Ἐγὼ γὰρ οἶμαι, καθ' ἑαυτοῦ καὶ τῶν ὁμοδόξων τε καὶ καθηγητῶν τά γε τοιαῦτα προενεγκεῖν αὐτὸν, οὐκ οἶδ' εἴτ' ἀγνοοῦντα, εἴτε δὲ καὶ τὴν αἵρεσιν παίζοντα, δείξει δὲ καὶ ὁ λόγος εὐθύς. Θεόδωρος μὲν οὖν ὁ μέγας πρὸς τὸν Παμφίλου Εὐσέβιον ἄνωθεν τὸν οἰκεῖον ξυντιθεὶς λόγον τε καὶ τὴν δόξαν, καὶ δὴ καὶ τοὺς ταῦτα τιμῶντας Εἰκονομάχους, πάλαι γὰρ Εὐσέβιος σύν γε τοῖς Ἀρειανοῖς ἐκποδὼν ἦν, ἐκεῖνα πρὸς αὐτοὺς αἰτιᾶται γράφων· ὡς Ἐπεὶ τὸ θεῖον τοῦ Χριστοῦ σῶμα ἔν γε τῇ αὐτοῦ μεταμορφώσει μεταπεποιῆσθαι καὶ μεταβεβλῆσθαί φατε πρὸς θεῖόν τι φῶς, ὅπερ ὑμεῖς

C λέγετε, ζητητέον, φησί, τί ἂν εἴη τοῦτο τὸ φῶς, τὸ παρὰ τὸν Θεὸν ὂν καὶ τὸν ἄνθρωπον ἕτερον. Ἢ γὰρ οὐσία, φησί, τίς ἔσται, ἐν ἰδίᾳ ὂν ὑποστάσει, καὶ μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν, ἢ ποιότης ἀσώματος καὶ ἀνούσιος, ἐν ἄλλῳ τὸ εἶναι ἔχουσα. Εἶτ' ἐπιδιαιρέσεσι σοφαῖς καὶ λογισμοῖς καὶ πνευματικαῖς ἀποδείξεσι χρησάμενος ὁ σοφὸς, καθάπερ ἠκούσαμεν, διὰ τῆς ἄτοπόν τε καὶ ἀδύνατον ἀπαγωγῆς, ἕωλα καὶ ψευδῆ καὶ οὐδὲν ὑγιὲς πάνθ' ὁμοῦ τὰ τῶν ἀντιθέτων ἀπέδειξε.

Σκεπτέον δ' ἑξῆς ἂν εἴη, τίνες ἂν εἶεν οἵ γε τοῖς τῶν Ἀρειανῶν καὶ Εἰκονομάχων ἐνεχόμενοι τούτοις ἐγκλήμασιν, ὁ συνοδικὸς τόμος καὶ οἱ τοῦτον ἐκθέμενοι θεολογικῶς τε καὶ ἀποστολικῶς, ἢ ὁ τὴν ἱερὰν Χριστοῦ Ἐκκλησίαν τὰ τοιαῦτα γραφόμενος

D Γρηγορᾶς. Λεγέτω τοιγαροῦν αὐτὸς ἐκεῖνος καὶ αὖθις ὀλίγ' ἄττα τῶν ἤδη ῥηθέντων, καὶ δεικνύτω τί μὲν οἱ Πατέρες ἐπ' ἐκείνης εἶπον τῆς ἱερᾶς συνόδου περὶ τοῦ φωτὸς Χριστοῦ φημι τούτου, τί δ' αὖθις ὁ φιλόσοφος οὗτος σὺν Βαρλαὰμ τε καὶ Ἀκινδύνῳ, τοῖς αὐτοῦ καθηγηταῖς. Προηνέχθη, φησὶν ἐν τῇ τετάρτῃ συνελεύσει Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος γράφων, Οὐδείς ἐστι ἐν ὑποστήματι καὶ οὐσίᾳ Κυρίῳ κατὰ τὸ γεγραμμένον, καὶ οὐσίαν Θεοῦ ἢ εἶδεν ἢ ἐξηγόρευσε. Καὶ ὁ ἅγιός φησι Μάξιμος γράφων, Ὁ τοῖς οὖσι μὴ κατ' οὐσίαν ὑπάρχων μεθεκτὸς, κατ' ἄλλον δὲ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος τοῦ κατ' οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται. Ὥστε οὐκ οὐσία Θεοῦ τὸ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ φῶς. Οὔτε γὰρ ὁρατὴ οὔτε με-

Digitized by Google

θεκτὴ ἡ οὐσία τοῦ Θεοῦ. Ὅπερ ὅ τε τόμος καὶ πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία σύν γε τοῖς θεολόγοις τούτοις, καὶ πᾶσιν ἱεροῖς λόγοις ὁμοῦ, καὶ δοξάζομεν καὶ κηρύττομεν. Καὶ ὁ χρυσοῤῥήμων Ἰωάννης, Ὁ τόμος αὖθίς φησι, γράφων εἰς τὴν τῆς θείας μεταμορφώσεως ἑορτὴν ἐν τῷ ὄρει, φησὶ, Μεταμορφωθεὶς ὁ Σωτὴρ, μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν. Καὶ πάλιν· Ἐνταῦθα ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου αὐτοῦ βασιλείας τὴν δόξαν, καὶ οὐκ ἐπέδειξε, τουτέστι, μικρὸν παρήνοιξε τὴν θεότητα, καὶ οὐχὶ τελείως. Πληροφορῶν μὲν γὰρ, φησὶν, ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες. Φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὴν ζωὴν ἀπολέσωσιν.

Ἀλλὰ καὶ πάντες, φησὶν, οἱ ἅγιοι, ἔλλαμψιν αὐτὸ λέγουσι καὶ λαμπρότητα καὶ χάριν καὶ θέωσιν, καὶ θεότητα μικροῦ στεῤῥοτέραν καὶ ὄψεως, καὶ φῶς ἀπρόσιτον καὶ φυσικὴν ἀκτῖνα τοῦ Υἱοῦ ἄναρχον, βολίδα θεότητος, ἀστραπὴν θεότητος καὶ τὰ τοιαῦτα. Ἃ δὴ καὶ ἡμεῖς ἐκ τῶν αὐτὰ θεολογησάντων ἁγίων λαβόντες εἰς πλάτος ἐξεθέμεθα πρὸ βραχέος. Ἐξ ὧν δήπου καὶ αὖθις συνῆκται, οὐσίαν μὲν μὴ εἶναι τοῦτο Θεοῦ· οὐ μόνον ὅτι οὔθ' ὁρᾶται οὔτε μετέχεται τοπαράπαν ἡ τοῦ Θεοῦ οὐσία, κατά γε τὰ πολλάκις ἤδη καὶ θείαις Γραφαῖς καὶ θεολόγοις ὁμοῦ πᾶσι ῥηθέντα, ἀλλ' ὅτι οὐδὲ μερίζεται ἡ θεία οὐσία, οὐδὲ ἔστι μέρος ἐκείνης λέγειν, ἢ μέγα καὶ μικρόν. Ἀλλὰ τῆς θείας ἐνεργείας τε καὶ ἐλλάμψεως ἔνι ταῦτα, μεριζομένης καὶ μετρουμένης, καὶ οἱονεὶ σμικρυνούσης ἑαυτὴν, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ διὰ τὴν δύναμιν καὶ τὴν ἐπιτηδειότητα τῶν ὑποδεχομένων, καθὰ δήπου καὶ ὁ θεῖος Χρυσόστομος ἔλεγεν ἐν τοῖς φθάσασι, τῆς θείας ἐνεργείας εἶναι τὸ μερίζεσθαι γράφων, ἀλλ' οὐ τῆς θείας οὐσίας· ἀμέριστος γὰρ ἐκείνη· καὶ Βασίλειος ὁ μέγας σὺν τούτῳ, πρός γε τἀδελφῷ φημι Γρηγορίῳ καὶ τοῖς λοιποῖς θεολόγοις. Διὸ καὶ δόξαν μὲν φυσικὴν καὶ χάριν καὶ ἔλλαμψιν καὶ τὰ τοιαῦτα πρὸς τῶν θεολόγων πυκνὰ λεγομένην αὐτὴν ἀκούεις, οὐσίαν δὲ καὶ φύσιν οὐδαμῶς. Οὐ μὴν ἀνούσιον ταύτην φαμὲν οὐδ' ἀνυπόστατον κατὰ τοὺς παλαιοὺς ἐκείνους Ἀρειανοὺς καὶ Εἰκονομάχους, καὶ τὸν ὀπαδὸν ἐκείνων τουτονὶ Γρηγορᾶν. Εἰ γὰρ καὶ οὐσία μὴ ἔστι καθ' ἑαυτὴν, οὐδ' ἐν ἰδίᾳ θεωρεῖται ὑποστάσει, ἀλλ' ἔχει τὴν θείαν οὐσίαν, ἧς ἐστι φυσικὸν ἰδίωμα, ἀδιαίρετος οὖσα καὶ ἀχώριστος ἐκείνης, ἧς ἄνευ ὡς οὐσιώδους τε καὶ φυσικῆς ἐνεργείας καὶ δυνάμεως οὐδ' ἡ οὐσία πέφυκεν εἶναι τοπαράπαν. Τῆς οὐσιώδους καὶ γὰρ ἐνεργείας ἀναιρουμένης, Μάξιμος ὁ μέγας διδάσκει σύν γε τοῖς λοιποῖς θεολόγοις, οὔτε Θεὸς ἔσται, οὔτε ἄνθρωπος. Ἔχει δὲ καὶ τὰς θεαρχικὰς τρεῖς ὑποστάσεις, οὐχ ὡς ὑποστατικὸν ἰδίωμα ταύταις συνοῦσα, ἢ γὰρ ἂν μιᾷ τινι προσῆν τῶν τριῶν, ἀλλ' ὡς φυσικὸν καὶ οὐσιῶδες μᾶλλον ταῖς τρισὶν ὁμοτίμως καὶ ἴσως πάντῃ προσοῦσα. Διὸ

A καὶ τῷ ἐνυποστάτῳ Θεοῦ Λόγῳ φυσικῶς ὅλη συνοῦσα, δόξα καὶ τοῦ σώματος ἐνανθρωπήσαντος αὐτῷ δηλαδὴ γίνεται κατὰ τὰ προῤῥηθέντα τοῖς θεολόγοις, διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν καὶ τὴν θέωσιν τοῦ προσλήμματος. Ἐπειδὴ Θεὸς εἷς καὶ Υἱὸς μονογενὴς ὁ αὐτὸς καὶ μετὰ τὴν ἕνωσιν ἢ σάρκωσιν.

Ὁ δὲ σοφὸς Γρηγορᾶς ἀνούσιον καὶ ἀνυπόστατον ταύτην φησὶν, οὐχ ὡς μὴ οὖσαν καθ' ἑαυτὴν ὑπόστασιν καὶ οὐσίαν, ἀλλ' ὡς ἀνύπαρκτον καὶ μηδὲν οὖσαν πλὴν ψιλῆς μόνης φωνῆς· ὃ δὴ καὶ φθάσας αὐτὸς διὰ τῶν οἰκείων ἔδειξε λόγων. Ταῦτα τοίνυν καὶ τὰ τοιαῦτα λεγόντων ἡμῶν ἅμα τοῖς σοφοῖς θεολόγοις καὶ διδασκάλοις Χριστοῦ, καὶ μετ' Εὐσεβίου καὶ τοὺς περὶ Βαρλαάμ τε καὶ Γρηγορᾶν ἀποστρεφομένων ἐξίσης, δεικνύτωσαν παρελθόντες καὶ B οὗτοι, τίνας τὰς ὑπολήψεις καὶ τὴν δόξαν ἔχουσι περὶ τῆς Χριστοῦ θείας μεταμορφώσεως, καὶ τοῦ κατ' αὐτὴν θείου φωτός. Μᾶλλον δ' ὁ μὲν Γρηγορᾶς τὸ μὲν φθάσας δέδειχεν ἤδη τοῦ οἰκείου φρονήματος, καθάπερ ἠκούσαμεν, ἢ τρόπον καὶ μεταβολὴν τῆς ἑτέρας τῶν οὐσιῶν τοῦ Χριστοῦ μετ' Εὐσεβίου φήσας, τὴν τοῦ Χριστοῦ μεταμόρφωσιν εἶναι, ἢ τούτων μὴ ὄντων διὰ τὸ τῆς δυσσεβείας ἢ ἀσεβείας ἄτοπον μηδὲ γεγενῆσθαι τὴν ὑμνουμένην μεταμόρφωσιν ὅλως· τοῦτο καὶ γὰρ αἱ διαιρέσεις καὶ οἱ συλλογισμοὶ συνῆγον αὐτῷ τότε, καθὰ δήπου καὶ ἡμῖν ἐν τοῖς φθάσασι δέδεικται· δείξει δ' ὁ φιλόσοφος μετ' ὀλίγον καὶ τὰ τούτοις ἑπόμενα, νῦν μὲν οὐσίαν Θεοῦ λέγων ἐκεῖνο τὸ θεῖον φῶς, ὃ δὴ καὶ αὐτὸ φθάσας εἴρηκεν ἤδη, νῦν δὲ κτίσμα

C Ὁ δὲ τόμος αὖθις διὰ βραχέων λεγέτω, τί περὶ τῶν τοιούτων καὶ οἱ περὶ Βαρλαάμ τε καὶ Ἀκίνδυνον, οἷς δήπου καὶ Γρηγορᾶς τηνικαῦτα συνηγορῶν ἦν, ἐπὶ τῆς συνόδου καὶ λέγοντες καὶ φρονοῦντες ἑάλωσαν. Ἐζητήθη, φησὶ, δειχθῆναι παρὰ τῶν ἁγίων, ὅτι τε ἄκτιστόν ἐστι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, καὶ ὅτι οὐκ ἔστι τοῦτο ἡ οὐσία τοῦ Θεοῦ. Καὶ πάντες σχεδὸν εἶπον, ὅτι ἀπεδείχθη τοῦτο κατὰ τὴν τετάρτην συνέλευσιν, ἐν ᾗ παρόντες οἱ ἀντιλέγοντες τῇ Ἐκκλησίᾳ, νῦν μὲν κτιστὸν εἶναι τοῦτο, καὶ φάντασμα καὶ παραπέτασμα καὶ ἴνδαλμα φανερῶς βλασφημοῦντες ἔλεγον, νῦν δὲ καὶ τοῦτο δυσσεβῶς ἔλεγον ἄκτιστον καὶ οὐσίαν εἶναι Θεοῦ. Εἶτα μεταξὺ τὰ προῤῥηθέντα τῶν ἁγίων διεξελθὼν D ὁ τόμος ῥητὰ, Προηνέχθη δὲ, φησὶν, ἐν ἐκείνῃ τῇ συνελεύσει καὶ ὁ ἐπὶ τούτοις συνοδικὸς πρῶτος τόμος, ὃς τοῦτο φιλευσεβῶς καὶ βεβαίως ἀνέδειξεν ἄκτιστον καὶ οὐκ οὐσίαν διὰ πολλῶν τῶν ἐκ τῆς θείας Γραφῆς μαρτυριῶν, καὶ τῶν τοῦ τρισμακαρίστου καὶ ἀοιδίμου βασιλέως ἡμῶν ἐκείνου κυροῦ Ἀνδρονίκου τοῦ Παλαιολόγου συμφώνων τοῖς ἁγίοις ῥημάτων, καὶ θεοσεβῶν θεσπισμάτων, πρὸς ὃν ἱερὸν καὶ θεῖον τόμον ἀντικειμένους ἰδόντες τότε, καὶ ἀντιλέγοντας τοὺς καὶ τῷ ἱερωτάτῳ Θεσσαλονίκης ἀντικειμένους, ἀπεβαλλόμεθα τούτους, ὡς νῦν μὲν κτιστὸν τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, νῦν δὲ λίαν ἀνοήτως οὐσίαν εἶναι τιθεμένους τοῦ Θεοῦ, καὶ ὡς μὴ στέργοντας ἔχειν τὴν οὐσίαν τοῦ Θεοῦ καὶ δύναμιν ἄκτιστον καὶ ἐνέργειαν, ἀλλὰ πάσας τὰς

Digitized by Google

κοινὰς δυνάμεις τε καὶ ἐνεργείας τοῦ Πατρὸς καὶ A τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος ἀφρόνως εἰς κτίσμα κατασπῶντας. Εἶτα μετ' ὀλίγον καὶ περὶ τοῦ προμνημονευθέντος συνοδικοῦ πρώτου τόμου προστιθεὶς ὁ τῆς καθ' ἡμᾶς οὗτος συνόδου τόμος ὧδέ πη φησί· Ταύτῃ τοι καὶ συνόδου συγκροτηθείσης δευτέρας, ἧς προεκάθητο καὶ ὁ νῦν κραταιὸς καὶ ἅγιος ἡμῶν αὐτοκράτωρ ὁ κῦρις Ἰωάννης ὁ Κανταχουζηνὸς, ἐξηλέγχθη ὁ Ἀκίνδυνος τὰ αὐτὰ καὶ φρονῶν καὶ λέγων, καὶ τῶν μοναχῶν κατηγορῶν· δι' ἃ καὶ τὴν αὐτὴν τῷ Βαρλαὰμ ἐπεσπάσατο καταδίκην, τόμου προβάντος συνοδικοῦ κατὰ τῶν τοῦ Βαρλαὰμ ἐκείνου βλασφημιῶν, δι' οὗ παντὸς τοῦ Χριστιανικοῦ πληρώματος ἀποκέκοπται, ὡς αὐτὸς οὗτος ὁ συνοδικὸς τόμος διέξεισι, πολλῶν τε ἄλλων ἕνεκεν, καὶ ὅτι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως τὸ τοῖς συν- B αναβᾶσιν αὐτῷ μακαρίοις μαθηταῖς καὶ ἀποστόλοις ὀφθὲν κτιστὸν ἐπεχείρει δεικνύναι καὶ περιγραπτὸν, καὶ τῶν αἰσθητῶν φώτων ἔχον πλέον οὐδέν. Οὐχ οὗτος δὲ μόνον ὁ Βαρλαὰμ τῷ συνοδικῷ ἀποκεκήρυκται τόμῳ, τῷ πρώτῳ δηλαδὴ, ἀλλὰ ταῖς αὐταῖς ἐπιτιμίαις ἔνοχον ἑαυτὸν καθίστησι, καὶ εἴ τις ἐκείνῳ ἑπόμενος, τοῖς μοναχοῖς καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ πολεμεῖ. Καθὸ μὲν οὖν οἱ περὶ Βαρλαὰμ τε καὶ Ἀκίνδυνον καὶ τὸν διάδοχον καὶ πρόμαχον αὐτῶν τουτονὶ Γρηγορᾶν οὐσίαν εἶναι Θεοῦ λέγουσι τὸ φῶς τῆς τοῦ Κυρίου μεταμορφώσεως, θατέρᾳ τῶν κατὰ διαίρεσιν τοῦ σοφοῦ φημι Θεοδώρου ἀναφυομένων ἀτόπων αἱρέσεων κατ' Εὐσέβιον περιπίπτουσι. Πλὴν ὅσον οὐκ εἰς σῶμα τραπῆναι τὴν θείαν οὐσίαν C καὶ οὗτοι κατ' ἐκείνην φασὶ τὴν διαίρεσιν, ἀλλὰ συνανακραθεῖσαν οὐκ οἶδ' ὅπως καὶ συγχυθεῖσαν τῇ τοῦ Κυρίου σαρκὶ, ἔπειτα καὶ ὁρατὴν δι' ἐκείνης γενέσθαι. Ἔχουσι δέ τι καὶ πλέον ἐκείνων οὗτοι, τὴν κοινὴν οὐσίαν αὐτὴν τῆς τρισυποστάτου θεότητος εἶναι λέγοντες τὴν συμφυρεῖσαν καὶ ὁραθεῖσαν ἐν τῷ Χριστοῦ σώματι, μὴ ταύτην ἐκείνων λεγόντων κατὰ τὸν τοῦ διδασκάλου λόγον, ἑτέραν τινὰ θείαν, εἰς ἣν καὶ μεταβεβλῆσθαι κατ' ἐκείνους τὸ ἀνθρώπινον τοῦ Χριστοῦ. Καθὸ δὲ πάλιν μὴ τῶν αἰσθητῶν τουτονὶ φώτων ἓν οἱ περὶ Ἀκίνδυνον τὸ τοῦ Χριστοῦ θεῖον φῶς λέγουσί τε καὶ γράφουσιν, οἷον ἡλιακὸν καὶ ἀστρῷον, ἢ ἀστραπαῖον, ἢ τῶν τοῦ περιγείου τούτου πυρὸς, ἀλλὰ θεῖον μέν τι φῶς, ὡς ἐκεῖνοί φασιν, οὐ μέντοι γε φυσικὸν καὶ συναΐδιον τῇ τοῦ Θεοῦ D φύσει, ἀλλ' ἠργμένον ἐκ Θαβωρίου τοτηνικαῦτα διὰ τοῦ Χριστοῦ σώματος, ἠργμένον οὐ τοῦ φαίνεσθαί φησι τοῖς ἀξίοις, ἀλλὰ τοῦ εἶναι καθάπαξ, ὃ δὴ καὶ συνδιαιωνίζειν κατ' ἐκείνους, ἀτελεύτητα συνεσόμενον τῷ Χριστῷ, καὶ τούτου καὶ τοὺς θεοειδεῖς ἔσεσθαι μετόχους, τοιαύτης τῆς θεώσεώς τε καὶ θεότητος κατ' ἐκεῖνον μετέχοντας, ἣν ἐπ' ἐσχάτων τὸ τῆς θεολογίας σκότος ἀνέπλασεν Ἀκινδύνου, κατὰ δὴ ταῦτα τῆς ἑτέρας ἀντέχονται τῶν αἱρέσεων, ἃς ὁ θεῖος Θεόδωρος διαιρῶν, ὡς ἔφθην εἰπὼν, κατὰ τῶν Εἰκονομάχων προήνεγκεν. Οὐσίαν γάρ τινα καὶ ὑπόστασιν ἰδικὴν φασιν ἐκεῖνο τὸ φῶς, καὶ τὴν θεότητα, οὐ συνυποστᾶσαν, ἀλλὰ παρυποστᾶσαν τότε πρώτως, ὡς αὐτοί φασιν, ἐν Θαβωρίῳ τῇ ὑποστάσει τοῦ θεανθρώπου Λόγου, ὡς γενέσθαι τόν τε Χριστὸν ἐξ ἐκείνου ἢ τριπλοῦν ἀντὶ διπλοῦ, διὰ τὴν κατὰ τὰς φύσεις διπλόην φημὶ, ἢ δύο ἀνθ' ἑνὸς διὰ τὸ τῆς ὑποστάσεως μοναδικὸν, καὶ τετράδα τὴν θείαν καὶ ὑπερούσιον ἀναδειχθῆναι Τριάδα, τῇ προσθέσει τοῦ καινοῦ τούτου καὶ προσφάτου φωτός.

Καὶ ὁρᾶτε, φησὶν ὁ σοφὸς αὖθις Θεόδωρος, ὡς φιλότιμος περὶ τὴν θείαν φύσιν Εὐσέβιος, ταυτὸ δ' εἰπεῖν Ἀκίνδυνός τε καὶ Γρηγορᾶς, πληθύνοντες ἀφθονίᾳ ὑποστάσεων καὶ αὔξοντες τὰ ἀπλήθυντα καὶ ἀμείωτα, καὶ πάσης τῆς ὁπωσοῦν ὑφέσεως καὶ πλεονασμοῦ παντάπασιν ἀνεπίδεκτα. Ὅτι μὲν οὖν καὶ Ἀρειανοῖς καὶ Εἰκονομάχοις τὰ Γρηγορᾶ τε καὶ Ἀκινδύνου πολυτρόπως συμβαίνει, τὰ κατ' ἐκείνων ἤδη ῥηθέντα τῷ θαυμαστῷ Θεοδώρῳ δείκνυσιν ἐκδηλότατα, οὐ παρ' ἡμῶν, ἀλλὰ παρ' αὐτοῦ, φημὶ, Γρηγορᾷ καθ' ἡμῶν τῷ λόγῳ παρεισαχθέντα, καθάπερ αὐτὸς οὗτος κακῶς ὑπείληφεν· ὅτι δὲ καὶ ὑπερβαίνει, δέδεικται μὲν ἤδη σὺν ἐκείνοις καὶ τοῦτο πολλάκις· δείκνυσι δ' ὡς ἓν τὸ κτίσμα μάλιστα πρόσφατον ἐκεῖνο τὸ φῶς κἀκ τοῦ Θαβωρίου ἠργμένον τῶν περὶ Ἀκίνδυνον διαῤῥήδην, ὡς ἔφην, εἰπόντων. Ὅθεν καὶ ἡ κτιστὴ θεότης καὶ τῶν κτισμάτων φεῦ! ἡ δουλεία, καὶ ἡ δόξα τοῦ τῇ κτίσει κάκιστα λατρεύειν παρὰ τὸν κτίσαντα, τὰ παλαιγενῆ τῆς φύσεως ἡμῶν ἀῤῥωστήματα, ὧν ὁ τοῦ Θεοῦ μονογενὴς Λόγος, φιλανθρωπίας ὑπερβολῇ καθ' ἡμᾶς γεγονὼς, ἡμᾶς ἠλευθέρωσε. Κἀκείνου δὲ πῶς γράφων οὐκ ἤκουσας, ὦ φιλόσοφε, τοῦ φιλοσόφου τῷ ὄντι τουτουῒ Θεοδώρου τοῦ πάνυ φημὶ πρὸς Εὐσέβιον λέγοντος, ὅτι καὶ ἄγγελος φῶς, καὶ τοῦ πρώτου καὶ ἀνωτάτω φωτὸς μαρμαρυγὴ καὶ ἀπόλαμψις, μονονουχὶ τὰ τοῦ Θεολόγου Γρηγορίου διὰ βραχέων τινῶν φιλοσοφοῦντος ἐκεῖνα, Θεὸς μέν ἐστι φῶς τὸ ἀπρόσιτον, καὶ ἀκρότατον, λέγοντος, οὔτε νῷ καταληπτὸν οὔτε λόγῳ ῥητὸν, πάσης φωτιστικὸν λογικῆς φύσεως, τοῦτο ἐν νοητοῖς, ὅπερ ἐν αἰσθητοῖς ἥλιος, ὅσον ἂν καθαιρώμεθα φανταζόμενον, καὶ ὅσον ἂν φαντασθῶμεν ἀγαπώμενον, καὶ ὅσον ἂν ἀγαπήσωμεν, αὖθις νοούμενον, αὐτὸ ἑαυτοῦ θεωρητικόν τε καὶ καταληπτικὸν ὀλίγα τοῖς ἔξω χεόμενον; φῶς δὲ λέγω τὸ ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρούμενον, ὧν πλοῦτος ἡ συμφυΐα καὶ τὸ ἓν ἔξαλμα τῆς λαμπρότητος. Δεύτερον φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀποῤῥοή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸν νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα, οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα. Καὶ πάλιν· Φῶς ἓν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Θεὸς, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, οὔτε μετρούμενον, ὀλίγοις ὅσον ἐστὶ θεωρούμενον· οἶμαι δὲ, οὐδὲ ὀλίγοις. Καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα αἱ περὶ αὐτὸν δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα. Καὶ μετὰ μικρόν· Τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς καὶ οὐκ ἄλλο· τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι; τοῖς κάτω δὲ περὶ ἡμᾶς πρώτην ἐκλάμπει τὴν τοῦ φωτὸς τούτου δύναμιν. Ἆρ' οὖν ἐστι φῶς, κἂν οἱ περὶ τὸν Βαρλαὰμ τε καὶ Ἀκίνδυνον, καὶ Γρηγορᾶν του-

Digitized by Google

τονὶ μὴ βούλωνται, καὶ πρὸ τοῦ αἰσθητοῦ καὶ ὑπὲρ τὸν αἰσθητόν τε καὶ νοητὸν ξύμπαντα κόσμον ὄν, καὶ πάσης φωτιστικὸν λογικῆς φύσεως, καθάπερ ἤκουσας, τοῦτο ἐν νοητοῖς ὄν, ὅπερ ἐν αἰσθητοῖς ἥλιος. Τί γὰρ ἔδει, φησὶ, δευτέρου φωτὸς, τουτέστιν αἰσθητοῦ τοῖς τὸ μέγιστον ἔχουσι; Τί οὖν ἐστι τοῦτο τὸ φῶς, ὦ φιλόσοφε; προσερήσομαι γάρ. Αἰσθητὸν μὲν οὖν οὐκ ἂν ἔχοις εἰπεῖν, τὸ πρὸ τοῦ αἰσθητοῦ τε καὶ νοητοῦ κόσμου παντὸς ὄν, ἀλλ' οὐδὲ νοητὸν ἁπλῶς. Οὔτε λόγῳ καὶ γὰρ, φησὶ, ῥητὸν, οὔτε νῷ καταληπτόν. Πῶς οὖν ἁπλῶς ἂν εἴη νοητὸν τὸ ἄῤῥητόν τε καὶ ἀκατάληπτον;

Ἐπεὶ γοῦν ὁ Θεός ἐστι τοῦτο τὸ φῶς, καὶ κατὰ τοῦτον τὸν θεολόγον, Θεός ἐστι φῶς τὸ ἀπρόσιτον καὶ ἀκρότατον, ῥητῶς περὶ τούτου λέγοντα, καὶ ὅτι τοῖς ἀϊδίοις αὐτός ἐστι φῶς, καὶ οὐκ ἄλλο, τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι; τῶν κτιστῶν ἐξ ἀνάγκης οὐκ ἔστιν. Ἀλλ' ἡ οὐσία τοῦτό ἐστι τοῦ Θεοῦ; Καὶ πῶς τὸ τοῖς καθαιρομένοις καὶ ἀγαπῶσι, κατὰ τοῦτον αὖθις φάναι τὸν θεολόγον, νοούμενον ὅσον ἂν ἀγαπήσωσι, καὶ ὀλίγα τοῖς ἔξω χεόμενον; Καὶ πῶς ἀποῤῥοή τις ἡ μετουσία τοῦ πρώτου τούτου φωτὸς ἄγγελος, καὶ αἱ περὶ Θεὸν πᾶσαι δυνάμεις τοῦ πρώτου φωτὸς ἀπαυγάσματα; Εἰ γὰρ δὴ τοῦτο κατὰ σὲ δοίημεν, καὶ νοητὴν δήπου καὶ μεθεκτὴν τὴν θείαν οὐκ ἀγγέλοις μόνον, ἀλλὰ καὶ τοῖς τῶν ἀνθρώπων θεοειδέσι κατ' αὐτὰ δὴ ταῦτα τὰ προῤῥηθέντα τῷ θεολόγῳ κατασκευάσομεν μεριζομένην τε καὶ χεομένην καὶ μετρουμένην τὴν ἀμέριστον καὶ ἄῤῥευστον καὶ ἀμέτρητον, καὶ προσέτι καί τισι θεωρουμένην ὀλίγοις ὅση τίς ἐστι, τὸ πάντων ὑπερφυῶς ἀτοπώτατον, καὶ τῶν τῆς εὐσεβείας δογμάτων ἔκφυλον καὶ ἀλλότριον.

Ἀλλ' οὐχ οὕτω γε περὶ τούτων ὁ ἐμὸς οὑτοσὶ θεολόγος καὶ φιλόσοφος, φιλόσοφε, βούλεται. Ἀλλὰ πῶς; ἄκουε. Θεὸν φράσαι μὲν, φησὶν, ἀδύνατον, ὡς ὁ ἐμὸς λόγος· νοῆσαι δὲ ἀδυνατώτερον. Τὸ μὲν γὰρ νοηθὲν τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ' ἀμυδρῶς γε τῷ μὴ πάντη διεφθαρμένῳ τὰ ὦτα καὶ νωθρῷ τὴν διάνοιαν. Τὸ δὲ τοσοῦτον πρᾶγμα τῇ διανοίᾳ περιλαβεῖν πάντως ἀδύνατον καὶ ἀμήχανον μὴ ὅτι τοῖς καταβεβλακευμένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν ὑψηλοῖς τε καὶ φιλοθέοις, καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει. Ἀκούεις; Οὐκ ἄῤῥητον μόνον εἶπε τὸν Θεὸν κατ' οὐσίαν, φημὶ, ἀλλὰ καὶ ἀνεννόητον οὐχὶ τοῖς τυχοῦσιν ἁπλῶς ἀλλὰ καὶ προφήταις καὶ ἀποστόλοις, καὶ πᾶσιν ὁμοῦ τοῖς ἁγίοις· μᾶλλον δὲ καὶ αὐταῖς ταῖς ἀγγελικαῖς φύσεσι. Τοῦτο καὶ γὰρ ἐδήλωσε, τὸ, Καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει, προσθείς; Καὶ πάλιν· Θεὸν ὅ τι ποτὲ μὲν ἔστι τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε τις τῶν ἀνθρώπων εὗρε πώποτε, οὔτε μὴ εὕρῃ. Καὶ μετὰ μικρόν· Τὸ δὲ νῦν εἶναι βραχεῖά τις ἀποῤῥοὴ πᾶν τὸ εἰς ἡμᾶς φθάνον, καὶ οἷον μεγάλου φωτὸς μικρὸν ἀπαύγασμα. Ὃ δήπου καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης τὸν ὁμώνυμον Εὐαγγελιστήν τε καὶ Θεολόγον πρὸ βραχέος ἐξηγούμενος ἔλεγε. Τούτου καὶ γὰρ περὶ τοῦ Χριστοῦ λέγοντος, *Ἐκ τοῦ πληρώματος αὐτοῦ* A *πάντες ἐλάβομεν*, ὁ διδάσκαλος ἀναπτύσσων, Οὐ μεθεκτὴν, φησὶν, ἔχει τὴν δωρεὰν, ἀλλ' αὐτοπηγή καὶ αὐτοῤῥίζα ἐστὶ πάντων τῶν καλῶν. Ὁ δὲ ἐγὼ, φησὶ, φέρω μεθεκτόν ἐστι· παρ' ἑτέρου γὰρ ἔλαβον αὐτὸ, καὶ μικρόν τι τοῦ παντὸς, καὶ οἱονεὶ σταγὼν εὐτελὴς πρὸς ἄβυσσον ἄφατον, καὶ πέλαγος ἄπειρον. Εἶτα καὶ τὸ τοῦ πυρὸς ἐπενεγκὼν ἐκεῖνο παράδειγμα, Εἰ δὲ ἐπὶ τῶν σωμάτων τῶν μεριστῶν, φησὶ, τῶν ἐλαττουμένων ὑπὸ τῆς ἀφαιρέσεως εὑρέθη τι τοιοῦτον, ὃ καὶ μετὰ τὸ παρασχεῖν ἑτέροις τὰ παρ' ἑαυτοῦ οὐδὲν παραβλάπτεται, πολλῷ μᾶλλον ἐπὶ τῆς ἀσωμάτου καὶ ἀκηράτου δυνάμεως ἐκείνης τοῦτο συμβέβηκε. Εἰ γὰρ ἔνθα οὐσία ἐστὶ τὸ μεταλαμβανόμενον καὶ σῶμα, καὶ μερίζεται καὶ οὐ μερίζεται, πολλῷ μᾶλλον ὅταν περὶ ἐνεργείας ὁ λό- B γος ᾖ, καὶ ἐνεργείας τῆς ἐξ ἀσωμάτου οὐσίας, οὐδὲν εἰκὸς τοιοῦτον παθεῖν. Διὸ καὶ Ἰωάννης ἔλεγεν, *Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν*.

Καὶ τοῦτ' αὐτό ἐστιν ὃ καὶ ὁ θεολόγος πρὸ μικροῦ δήπουθεν νῦν μὲν περὶ τῶν ἀγγέλων, Δεύτερον φῶς ἄγγελος, ἔλεγε, τοῦ πρώτου φωτὸς ἀποῤῥοή τις ἡ μετουσία, καὶ φῶτα δεύτερα τοῦ πρώτου φωτὸς ἀπαυγάσματα αἱ περὶ αὐτὸν δυνάμεις καὶ τὰ λειτουργικὰ πνεύματα, νῦν δ' αὖθις καὶ περὶ τῶν κατ' αὐτόν φημι τοῦτον ἱερῶν καὶ θεοειδῶν ἀνθρώπων, Τὸ δὲ νῦν εἶναι, φησὶ, βραχεῖά τις ἀποῤῥοὴ πᾶν τὸ εἰς ἡμᾶς φθάνον, καὶ οἷον μεγάλου φωτὸς μικρὸν ἀπαύγασμα, περὶ αὐτῆς ταύτης λέγων τῆς φυσικῆς θείας ἐνεργείας, ἧς δήπου καὶ τὸ μερίζεσθαί φασιν οἱ C αὐτοί.

Καὶ πάλιν ὁ αὐτός· Ἰακὼβ δὲ κλίμακα μὲν ὑψηλὴν ἐφαντάσθη τινὰ, καὶ ἀγγέλων ἄνοδον καὶ στήλην εἰλήφει μυστικῶς, ἴσως, ἵνα τὸν ὑπὲρ ἡμῶν ἀλειφθέντα λίθον παραδηλώσῃ. Καὶ μετ' ὀλίγον, Ἐκεῖνο δὲ, φησὶν, οὔτε αὐτὸς, οὔτε τις ὑπὲρ αὐτὸν μέχρι σήμερον ἐκαυχήσατο τῶν δώδεκα φυλῶν ὧν πατὴρ ἦν, ὅτι Θεοῦ φύσιν ὅλην ἢ ὄψιν ἐχώρησε. Διὸ καὶ ἀνώνυμος καθ' ἑαυτὴν ἡ τοῦ Θεοῦ φύσις καὶ κατὰ τοῦτόν φημι τὸν θεολόγον, ὡς ἄγνωστός τε καὶ ὑπερώνυμος. Τὸ θεῖον γὰρ, φησὶν, ἀκατονόμαστον. Καὶ τοῦτον δηλοῦσιν οὐχ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων οἱ σοφώτατοι καὶ παλαιότατοι. Οὔτε γὰρ ἀέρα ἔπνευσέ τις ὅλον πώποτε, οὔτε οὐσίαν D Θεοῦ παντελῶς ἢ νοῦς κεχώρηκεν, ἢ φωνὴ περιέλαβεν· ἀλλ' ἐκ τῶν περὶ αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτὸν, ἀμυδράν τινα καὶ ἀσθενῆ, καὶ ἄλλην ἀπ' ἄλλου φαντασίαν συλλέγομεν. Καὶ οὗτος ἄριστος ἡμῖν θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν, οὐδὲ γὰρ ἔχεται τὸ πᾶν ὁ δεσμὸς, ἀλλ' ὃς ἂν ἄλλου φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ συναγάγῃ τὸ τῆς ἀληθείας ἴνδαλμα ἢ ἀποσκίασμα, ἢ ὅ τι καὶ ὀνομάσαιμεν.

Περὶ τούτων καὶ Διονύσιος ὁ μέγας φθάσας εἴρηκεν ἤδη, Πάντα τὰ θεῖα, καὶ ὅσα ἡμῖν ἐκπέφανται, ταῖς μετοχαῖς μόναις γινώσκεται. Αὐτὰ δὲ, ὁποῖά ποτέ ἐστι κατὰ τὴν οἰκείαν ἀρχὴν καὶ ἵδρυσιν, ὑπὲρ νοῦν ἐστι καὶ πᾶσαν οὐσίαν καὶ γνῶσιν· οἷον εἰ τὸν ὑπερούσιον κρυφιότητα Θεὸν ἢ ζωὴν ἢ οὐσίαν ἢ φῶς ἢ λόγον ὀνομάσαιμεν, οὐδὲν ἕτερον νοοῦμεν ἢ τὰς

Digitized by Google

ἐξ αὐτῆς εἰς ἡμᾶς προαγομένας δυνάμεις, ἐκθεωτικὰς A ἢ οὐσιοποιούς, ἢ ζωογόνους ἢ σοφοδώρους. Αὐτῇ δὲ κατὰ τὴν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν. Καὶ πάλιν· Τὸ ἕν, τὸ ὑπεράγνωστον, τὸ ὑπερούσιον, αὐτὸ τὸ ἀγαθὸν ὅπερ ἐστὶ τὴν τριαδικὴν ἑνάδα φημὶ, τὴν ὁμόθεον καὶ ὁμοάγαθον, οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν.

Ἀλλὰ καὶ αἱ τῶν ἁγίων δυνάμεων ἀγγελοπρεπεῖς ἑνώσεις, ἃς εἴτε ἐπιβολὰς εἴτε παραδοχὰς χρὴ φάναι τῆς ὑπεραγνώστου καὶ ἀφανοῦς ἀγαθότητος, ἄῤῥητοί τέ εἰσι καὶ ἄγνωστοι, καὶ μόνοις αὐτοῖς ἐνυπάρχουσι τοῖς ὑπὲρ γνῶσιν ἀγγελικὴν ἠξιωμένοις αὐτῶν ἀγγέλοις. Ταύταις οἱ θεοειδεῖς ἀγγελομιμήτως ὡς ἐφικτὸν ἑνούμενοι νόες, ἐπειδὴ κατὰ πάσης νοερᾶς ἐνεργείας ἀπόπαυσιν ἡ τοιάδε γίνεται τῶν ἐκθεουμένων νοῶν πρὸς τὸ ὑπέρθεον φῶς ἕνω- B σις, ὑμνοῦσιν αὐτὸ κυριώτατα διὰ τῆς πάντων τῶν ὄντων ἀφαιρέσεως, τοῦτο ἀληθῶς καὶ ὑπερφυῶς ἐλλαμφθέντες ἐκ τῆς πρὸς αὐτὸν μακαριωτάτης ἑνώσεως, ὅτι πάντων μὲν ἐστι τῶν ὄντων αἴτιον, αὐτὸ δὲ οὐδὲν, ὡς πάντων ὑπερουσίως ἐξῃρημένον. Ὥστε δέδεικται διὰ πάντων τῶν εἰρημένων τοῖς τὰ θεῖα ταυτὶ καὶ παθοῦσι καὶ μαθοῦσι καλῶς, ὅτι κατ' οὐσίαν μὲν ὁ Θεὸς οὔτ' ἔστιν οὔτε λέγεται φῶς, ὥσπερ δὴ καὶ τἄλλα τῶν θείων καὶ ὑπερφυῶν ὀνομάτων· εἰ μή που κατ' αἰτίαν αὐτὸν λέγοι τις. λέγεται γὰρ κατὰ τοῦτον τὸν λόγον καὶ πάντα, ὡς αἴτιος πάντων ἐκείνων· κατ' ἐνέργειαν δὲ φυσικὴν καὶ χάριν καὶ ἔλλαμψιν καὶ ἔστι καὶ λέγεται φῶς, τὸ ἀπρόσιτον καὶ ἀκρότατον, καὶ ὅσα δὴ τοῖς θεολό- C γοις ἐν τοῖς φθάσασιν ὕμνηται. Καὶ τοῦτό ἐστι τὸ τῆς Τριάδος φυσικὸν καὶ ἄναρχον καὶ ἀπρόσιτον φῶς, καθ' ὃ καὶ φῶς οἰκεῖν ἀπρόσιτον ὁ Θεὸς παρὰ τῆς θείας Γραφῆς λέγεται, καὶ ἀναβάλλεσθαι φῶς ὡς ἱμάτιον, καὶ, *Ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς*, φησὶν ὁ θεῖος Δαβὶδ, καὶ, *Σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου*, πρὸς τὸν Θεὸν ὁ αὐτὸς αὖθις, καὶ παραπλήσια τούτοις, τὸ πρῶτον καὶ μέγιστον φῶς τῶν ἀσωμάτων καὶ ἀϊδίων δυνάμεων, οὗ μετέχοντες ἐκεῖνοι, δευτέρου φωτὸς εἴτουν αἰσθητοῦ καὶ κτιστοῦ κατὰ τὸν προῤῥηθέντα θεολόγον οὐ δέονται· τί γὰρ ἔδει φωτὸς δευτέρου, φησὶ, τοῖς τὸ μέγιστον ἔχουσιν; Ὃ δὴ καὶ θαῦμα καὶ δοξολογίαν καὶ τροφὴν αὐτῶν εἶναι θεολόγος φησὶν ἕτερος, τὸ κατὰ τὴν μεταμόρφωσιν ἀνυμνῶν D τοῦ Χριστοῦ μυστήριον, Τοῦτο, λέγων, θαυμάζουσιν ἄγγελοι· τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι· τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ Λόγου φιλανθρωπίας. Τοῦτο καὶ Χριστὸς ὁ τῆς δικαιοσύνης ἥλιος ἀνάρχως ὡς φυσικὴν προϊσχόμενος ἀκτῖνα, καὶ δόξαν ἔμφυτον τῆς οἰκείας θεότητος, δοξάζει μὲν τοῦτο καὶ τὴν ἀνθρωπείαν ἑαυτοῦ φύσιν ἅμα τῇ προσλήψει ταύτης ἀποῤῥήτως κατὰ τὴν καθ' ὑπόστασιν ἕνωσίν τε καὶ θέωσιν· καὶ ἡ δόξα τῆς θεότητος δόξα καὶ τοῦ σώματος γίνεται. Ἐκφαίνει δ' ἄρτι πρώτως τοῖς μαθηταῖς ἐν τῷ ὄρει μεταμορφούμενος τὸ μυστήριον. Ὅθεν καὶ κατὰ τὴν ἀψευδῆ τῶν θεολόγων μυσταγωγίαν, ὁ προῤῥηθεὶς φησὶ θεολόγος, ὥσπερ ἔκ τινος ἀεννάου πηγῆς, κατὰ ἀπειρόδωρον χάριν, τῆς ἀκηράτου θεώσεως εἰς ἡμᾶς τὸ μέγα πρόεισι δῶρον. Διὸ καὶ θεολόγος ἕτερος ἤδη φθάσας ἐδίδαξεν, Ἀνάρχως, λέγων, ἐκ τοῦ Πατρὸς γεννηθεὶς ὁ Χριστὸς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος. Ἐκ Πατρὸς μὲν γὰρ, φησὶν, ἀλλ' ἀνάρχως καὶ ἀχρόνως ἐστὶ τὴν οἰκείαν κεκτημένος τῆς δόξης λαμπρότητα, καὶ σαρκωθεὶς ὁ αὐτός ἐστιν, ἐπὶ τῆς οἰκείας μένων φανότητος. Καὶ τοῦτό ἐστι, φησὶ, τὸ, *Μετεμορφώθη ἔμπροσθεν αὐτῶν*. Μένων γὰρ αὐτὸς ἐν ταυτότητι, παρὸ τοπρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος. Ὁμοῦ δὲ καὶ τὸ τῆς θείας φύσεως διδάσκων ἀόρατον, καὶ τὸ τῆς ἀποῤῥήτου ταύτης ἐνεργείας καὶ ἐλλάμψεως ὁρατὸν αὖθις ἐν Πνεύματι, καὶ ὅτι κἂν τῷ μέλλοντι τούτῳ συνδιαιωνίσουσι τῷ τῆς δικαιοσύνης ἡλίῳ Χριστῷ συνεκλάμποντες ἀγγελικῶς οἱ θεοειδεῖς κατὰ τὴν τούτου ὑπόσχεσιν, *Τότε οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς*, λέγοντος, Θεὸν μὲν, φησὶν, οὐδεὶς ἑώρακε πώποτε καθὸ πέφυκε φύσεως· καὶ ὃ δὲ ἑώρακεν, ἐν Πνεύματι τοῦτο τεθέαται. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Ταῦτά ἐστιν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε. Οὕτως ἐν αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, Χριστὸν ὁρῶντες τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος. Καὶ πάλιν· Ὡς γὰρ ὁ θεῖος ὄντως καὶ θηγόρος Διονύσιος ἔφησεν, Οὕτως ὁ Δεσπότης ὀφθήσεται τοῖς ἑαυτοῦ τελείοις θεράπουσιν, ὃν τρόπον ἐν ὄρει Θαβὼρ τοῖς ἀποστόλοις ὀπτάνεται τούτοις τοῖς θεοφόροις. Καὶ ὁ θεοφόρος ἅμα καὶ θεολόγος συνᾴδων, ἧπερ ἔφην, Γρηγόριος, Ἥξει μὲν, φησὶν, ὁ Χριστὸς μετὰ τοῦ σώματος, ὡς ὁ ἐμὸς λόγος· τοιοῦτος δὲ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει ἢ παρεδείχθη, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Ἃ δὴ καὶ Ἰωάννης ὁ ἐπιστήθιος Εὐαγγελιστής, διὰ τῶν θείων ἀποκαλύψεων αὖθις καὶ μυούμενος καὶ ὑψηλῶς διδάσκων, *Οὐ χρείαν ἔχει*, φησὶν, *ἡ ἄνω Ἱερουσαλὴμ τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ. Ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον, καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς.* Καὶ μετά τινα, *Καὶ ὄψονται*, φησὶ, *τὸ πρόσωπον τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτιεῖ αὐτοὺς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Οὕτω τὸ θεῖον καὶ ἀΐδιον καὶ ἀπρόσιτον καὶ ἀκρότατον καὶ φυσικὸν καὶ ἀδιαίρετον φῶς τῆς θεότητος, τὴν φυσικὴν καὶ συναΐδιον καὶ ἀνέσπερον αἴγλην αὐτοῦ καὶ δόξαν καὶ χάριν τε καὶ ἐνέργειαν, οἱ θεοειδεῖς οὗτοι καὶ φωτοειδεῖς ὁμοῦ πάντες καθαπερεὶ τινες λύχνοι καὶ λαμπάδες, ἢ πυρσοὶ διαέριοι λαμπρῶς ἀναφθέντες ὑπὸ τῆς μακαρίας ταύτης ἀστραπῆς καὶ θεώσεως, καὶ προαιώνιον καὶ προκόσμιον καὶ ὑπερκόσμιον καὶ ἀτελεύτητον καὶ ἄπειρον καὶ δόξαν διαιωνίζουσαν ἀγγέλων τε καὶ ἁγίων, καὶ παντὸς τοῦ

Digitized by Google

κατὰ Χριστὸν θείου πληρώματος ὡς ἰδίωμα φυσικὸν A τῆς τοῦ Θεοῦ φύσεως ἐν ἁγίῳ Πνεύματι ἀνεχήμυξαν.

Ἀλλ' ἐπειδὴ Γρηγορᾶς οὑτοσὶ καὶ τὸν ὁμολογητὴν καὶ Γραπτὸν ἐν τοῖς φθάσασιν ἤδη προενεγκὼν Θεόδωρον, τοὺς κατ' Εὐσεβίου τε καὶ τῶν Εἰκονομάχων ἐκείνου λόγους ἡμῖν ἐπενεγκεῖν πειραθεὶς κατὰ τῆς ἑαυτοῦ κεφαλῆς μετὰ σφοδρᾶς μᾶλλον τῆς ῥύμης ἐκείνους εἵλκυσεν, οὐ ταυτὰ μόνον, ἀλλὰ καὶ πολλῷ χείρονα τῶν Εἰκονομάχων δι' αὐτῶν ἐκείνων καὶ φρονῶν καὶ γράφειν ἐξελεγχθεὶς, καθὰ δήπου καὶ ὁ λόγος ἡμῖν φθάσας ἔδειξε, φέρε καὶ τὰ περὶ τῆς θείας Χριστοῦ μεταμορφώσεως καὶ τοῦ κατ' αὐτὴν μεγάλου φωτὸς τοῦ διδασκάλου τούτου προθέντες, ἴδωμεν εἰ καὶ ταῦτα σύμφωνα τοῖς ἤδη ῥηθεῖσι τοῖς πρὸ αὐτοῦ θεολόγοις Πατράσι καὶ διδασκάλοις ὄντα τυγχάνοι. Δίκαιον γὰρ ἂν εἴη καὶ ἀκροᾶσθαι καὶ τούτοις πείθε- B σθαι τὸν φιλόσοφον μᾶλλον, ὅσῳ καὶ πρῶτος αὐτὸς εἵλκυσεν αὐτὰ πρὸς τὸν λόγον, κἀντεῦθεν ὡς μάλιστα τοὺς κατὰ τοῦ θείου φωτὸς ἑαυτοῦ λόγους, καὶ τὸ καθ' ἡμῶν ἀνιστᾷν ἤλπισε τρόπαιον.

Καὶ δὴ παρίτω Θεόδωρος αὖθις ὁ θεῖος, τοὺς πρὸς Εὐσέβιόν τε καὶ τοὺς Εἰκονομάχους ἑαυτοῦ λόγους διδάξων, καὶ ἃ περὶ τοῦ θείου φωτὸς αὐτὸς δοξάζει τῆς τοῦ Χριστοῦ θείας μεταμορφώσεως. Ἐπειδὴ, φησὶ, τὸν περὶ κινδύνων λόγον τοῖς μαθηταῖς ὁ Σωτὴρ πρότερον διεξήρχετο, *Ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν*, λέγων, *καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι*, καὶ τὰ τούτοις παραπλήσια, ἦν δὲ δήπου βαρύτατα καὶ δύσοιστα τὰ ἐπιταττόμενα, ἵνα μὴ τῇ δυσχερείᾳ τῶν λεγομένων ἀποκάμοιεν, ἀναῤῥώννυσιν αὐτῶν τὰ C φρονήματα, καὶ τῶν ἐν ἐλπίσι κειμένων καὶ μελλόντων ἐκκαλύπτων ὑπ' ὄψιν ἄγει εὖ μάλα τὴν λαμπρότητα. Διὸ δὴ ὡς ἐνεχώρουν οἱ τῆς μυστικῆς ταύτης ἐποψίας θεαταὶ, τὴν δόξαν ἐκείνην, μεθ' ἧς μέλλει ἐπὶ συντελείᾳ τῶν αἰώνων ἥκειν, παραδείκνυσι, καθ' ἣν καὶ αὐτοὶ συλλαμπρυνθήσονται, τῶν ἄθλων ταύτην ἀντίδοσιν ἐκδεξόμενοι, ἵνα καὶ μᾶλλον ἐν τοῖς κινδύνοις θαῤῥοῖεν, καταφρονοῦντες τῶν ἐν χερσὶ, καὶ οὐδενὶ λόγῳ τοῖς προσδοκωμένοις παρεξετάζοντες, οὐδὲ ἄξια κρίνοντες τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι.

Ἀκούεις, ὦ Γρηγορᾶ, καὶ τούτου τοῦ διδασκάλου καὶ ὁμολογητοῦ τῆς εὐσεβείας, ὅπως τοῖς πρὸ αὐτοῦ D θεολόγοις Πατράσι καὶ ἀποστόλοις, ἀλλὰ δὴ καὶ ταῖς θείαις Γραφαῖς διὰ πάντων ἐστὶ σύμφωνος; Καὶ οὗτος γὰρ ἀποκάλυψιν τῶν μελλόντων ἀγαθῶν τὴν μεταμόρφωσίν φησι τοῦ Χριστοῦ, καθόσον ἦν ἐγχωροῦν τοῖς μακαρίοις παραδειχθεῖσαν μαθηταῖς, καὶ τοιοῦτον αὐτοῖς ὀφθῆναι τὸν Χριστὸν, ὁποῖος ἄρα καὶ μετὰ τὴν συντέλειαν ἥξει τῶν παρόντων, καὶ ὅτι καὶ αὐτοὶ καὶ οἱ κατ' αὐτούς τε καὶ μετ' αὐτοὺς τῇ αὐτῇ συνεκλάμψουσι δόξῃ, λάμποντες ὡς ὁ ἥλιος κατὰ τὸν Χριστοῦ λόγον, καὶ ὅτι αὕτη ἐστὶν ἡ τοῖς ἁγίοις ἀποκαλυφθησομένη τότε δόξα, ἧς οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ κατὰ τὸν μακάριον Παῦλον.

Ἄκουε δὴ καὶ τῶν ἑξῆς τοῦ διδασκάλου λόγων. Εἰ δὲ δεῖ θαῤῥήσαντα, φησὶν, εἰπεῖν, καὶ ὑψηλοτέρων τινῶν καὶ μυστικωτέρων ἅψασθαι, οὐ μόνον οὐκ ἐξέστηκεν οὐδὲ μεταβέβληται ἡ φύσις ἡ καθ' ἡμᾶς, ἀλλ' ἤδη καὶ εἰς τὸ ἐξαρχῆς ἀναπεφοίτηκε λαμπρυνθεῖσα, καθ' ὃν τρόπον παρὰ τοῦ δημιουργοῦ ἔκτισται, τὸ ἐκ τῆς ἁμαρτίας ἐπείσακτον αἶσχος ἀπονιψαμένη, καὶ εἰς τὸ ἀρχαῖον ἀναδραμοῦσα ἐν Χριστῷ κάλλος, καὶ ὡς ἂν εἴποι τις, εἰς ἑαυτὴν ἐπανελθοῦσα, ὡς εἴ τις ἴδοι χρυσὸν ὕλῃ πως τῇ ἀτιμοτέρᾳ συγκαταμεμιγμένον, ἔπειτα εὖ μάλα διὰ πυρὸς ἀνακαθαρθέντα, ἐπὶ τὴν οἰκείαν ἐπανιόντα λαμπρότητα. Ὃ γὰρ ὑπόχρεως οὖσα διὰ τὴν τῆς ἐντολῆς τήρησιν, τὴν ἀθανασίαν λέγω καὶ ἀφθαρσίαν ἀναδύσασθαι, οὐ πεπλήρωκε, τοῦτο Χριστὸς διὰ τῆς οἰκείας συγκαταβάσεως ἀνεσώσατο. Οὐκοῦν οὐ ταυτὸν ἡ μεταβολὴ τῇ καινοτομίᾳ.

Σὺ μὲν οὖν, ὦ φιλόσοφε, τοῦ διδασκάλου λέγοντος ἀκούσας, ὅτι εἰς τὸ ἐξαρχῆς ἀναπεφοίτηκεν ἡ φύσις ἡμῶν λαμπρυνθεῖσα, καθ' ὃν τρόπον παρὰ τοῦ δημιουργοῦ ἔκτισται, τὸ ἐκ τῆς ἁμαρτίας ἐπείσακτον αἶσχος ἀπονιψαμένη, καὶ εἰς τὸ ἀρχαῖον ἀναδραμοῦσα ἐν Χριστῷ κάλλος, οὐδὲν ὑψηλότερόν τι φαντασθήσῃ καὶ θεῖον, οὐδὲ τῆς παρὰ Θεοῦ δημιουργηθείσης ψυχῆς καὶ τοῦ νοῦ πλέον τι διανοηθῆναι δυνήσῃ; Οὐδὲ γὰρ τὸ εἰς τὸ ἀρχαῖον ἀναδραμεῖν αὐτὴν κάλλος, καὶ ταῦτ' ἐν Χριστῷ σε, δυσωπήσει ποτὲ, οὕτως ἐναργῶς εἰρημένον παρὰ τοῦ θεολόγου. Οἱ δὲ θεολόγοι Πατέρες τὰ τοῦ μετ' αὐτοὺς θεολόγου τε καὶ Πατρὸς δι' ὀλίγων σαφηνιοῦσι, καὶ δείξουσι τί τὸ ἀρχαῖον ἐκεῖνο κάλλος ἦν ἐν τῷ πρωτοπλάστῳ, ὅπερ τῇ παραβάσει διαῤῥυὲν, μᾶλλον δὲ ἀποπτὰν, ἐν τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ πάλιν ἐπανῆλθεν, ὃ δὴ καὶ διὰ τῶν ἱερῶν Χριστοῦ παθημάτων πᾶσιν αὖθις πιστοῖς ἀπεδόθη.

Καὶ δὴ Κύριλλος ὁ μέγας παριὼν ἐκεῖνα λεγέτω. Τὴν ἀνθρώπου ποίησιν, καὶ εἰς τὸ εἶναι παραγωγὴν, φησὶν, ἐξηγούμενος ὁ μακάριος Μωϋσῆς, εἰληφέναι τὸν Θεὸν χοῦν ἀπὸ τῆς γῆς διισχυρίζεται, καὶ πλάσαι μὲν τῇ παντουργῷ δυνάμει τὸ ὁρώμενον τοῦτο τοῦ σώματος σχῆμα, ἐμφυσῆσαι δὲ καὶ εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, ὡς γενέσθαι τὸν ἄνθρωπον εἰς ψυχὴν ζῶσαν. Τὸ δοθὲν τοιγαροῦν ἐμφύσημα θεῖον τῷ πεπλασμένῳ οὐκ αὐτὴν εἶναί φαμεν τὴν ψυχὴν, ἣ γὰρ ἂν ἄτρεπτος ἦν ὡς ἐκ τοιαύτης προελθοῦσα φύσεως, ἀλλὰ τὴν τοῦ ἁγίου Πνεύματος μετουσίαν ἐντεθεῖσαν ἐξαρχῆς τῇ ἀνθρωπείᾳ ψυχῇ. Πᾶσα γὰρ ἡ τελειότης τοῖς πεποιημένοις διὰ τοῦ Πνεύματος. Ὅθεν καὶ κατ' εἰκόνα Θεοῦ τὸ τεχνηθὲν ἐποιήθη ζῶον, ὡς διὰ τῆς μετουσίας τοῦ Πνεύματος πρὸς αὐτὸν μεμορφωμένον. Ἀλλ' ὅπερ ὁ μακάριος Μωϋσῆς ἐμπεφυσῆσθαι παρὰ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ διισχυρίσατο, τοῦτο Χριστὸς ἀνανεῶν ἐν ἡμῖν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἐνεφύσησε τοῖς ἑαυτοῦ μαθηταῖς, λέγων, *Λάβετε Πνεῦμα ἅγιον*, ἵνα πάλιν ἀναμορφωθέντες εἰς τὴν ἐξ ἀρχῆς εἰκόνα, σύμμορφοι φαινώμεθα τῷ πεποιηκότι διὰ τῆς τοῦ ἁγίου Πνεύματος μετοχῆς. Ὅταν τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γένηται, συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ.

Digitized by Google

Βασίλειος δ' ὁ μέγας καὶ πρὸ τούτου τοὺς Ψαλμοὺς ἐξηγούμενος, Ἀνακαινίζων, φησὶ, τὸν ἄνθρωπον ὁ Χριστὸς, καὶ ἣν ἀπώλεσε χάριν διὰ τοῦ ἐμφυσήματος, ταύτην ἀποδιδοὺς, ἐνεφύσησε, φησὶν, εἰς τὸ πρόσωπον. Τότε μοῖράν τινα τῆς οἰκείας ἐνετίθετο χάριτος, ἵνα τῷ ὁμοίῳ ἐπιγινώσκῃ τὸ ὅμοιον. Οἷς δὴ καὶ Διάδοχος ὁ θεῖος ὄντως καὶ πεφωτισμένος καὶ πείρᾳ καὶ λόγοις ἑπόμενος, Δύο ἡμῖν, φησὶν, ἡ χάρις ἡ ἁγία διὰ τοῦ βαπτίσματος περιποιεῖται, ὧν τὸ ἓν ἀπείρως τοῦ ἑνὸς ὑπερβάλλει. Ἀνακαινίζει γὰρ ἡμᾶς ἐν τῷ ὕδατι, καὶ τὸ κατ' εἰκόνα λαμπρύνει, πᾶσαν τὴν ῥυτίδα τῆς ἁμαρτίας ἡμῶν ἀποῤῥύπτουσα. Τὸ δὲ ἕτερον ἐκδέχεται, ἵνα σὺν ἡμῖν ἐργάσηται. Ὅτε γοῦν ἄρξεται ὁ νοῦς ἐν πολλῇ αἰσθήσει γενέσθαι τῆς χρηστότητος τοῦ παναγίου Πνεύματος, τότε ὀφείλομεν εἰδέναι, ὅτι ἄρχεται ἡ χάρις ὥσπερ ἐπιζωγραφεῖν εἰς τὸ κατ' εἰκόνα τὸ καθ' ὁμοίωσιν. Ὥστε ἡ μὲν αἴσθησις αὐτὴ δηλοῖ ἡμᾶς μορφοῦσθαι τὸ καθ' ὁμοίωσιν· τὸ δὲ τέλειον τῆς ὁμοιώσεως ἐκ τοῦ φωτισμοῦ γνωσόμεθα. Καὶ πάλιν· Τὴν πνευματικὴν ἀγάπην οὐ δύναταί τις κτήσασθαι, εἰ μὴ ἐν πάσῃ πληροφορίᾳ φωτισθείη παρὰ τοῦ ἁγίου Πνεύματος. Ἐὰν γὰρ μὴ τελείως τὸ καθ' ὁμοίωσιν διὰ τοῦ θείου φωτὸς ἀπολάβῃ ὁ νοῦς, πάσας μὲν τὰς ἄλλας ἀρετὰς ἔχειν δύναται, τῆς δὲ τελείας ἀγάπης ἔτι ἄμοιρος μένει.

Ἀλλ' ἐπὶ τὸν θεῖον καὶ αὖθις Θεόδωρον ἐπανέλθωμεν. Ἡμεῖς, φησὶ, κατὰ τὸ ἀποστολικὸν κήρυγμα, ἤτοι τῆς Ἐκκλησίας τὸ διδασκάλιον, τεθεῶσθαι τὸ πρόσλημμα εὐσεβῶς πεπιστεύκαμεν, ἐπειδὴ τὴν μὲν φθορὰν καὶ τὴν θνητότητα ἀπημφίεσται, μετεστοιχείωται δὲ ἐπὶ τὸ βέλτιον. Τῶν γὰρ θείων μαρμαρυγῶν τὰς λαμπηδόνας ἐδέξατο, τεθεωμένον τῇ δυνάμει καὶ χάριτι τοῦ ἐνοικήσαντος αὐτῷ Θεοῦ Λόγου. Καὶ καθὸ Θεοῦ σῶμα ἅγιόν ἐστι, ζωοποιὸν, φωτὸς ἀφράστου πεπληρωμένον, πάντων τῶν τοῦ Λόγου καλῶν κεκοινωνηκὸς, καὶ πάντων αὐτοῦ τῶν πλεονεκτημάτων καταπλουτοῦν καὶ κοσμούμενον· καὶ γέγονεν ὅπερ τὸ χρῖσαν διὰ τῆς χρίσεως, οὐ τῆς οἰκείας ἐξιστάμενον ἰδιότητος, οὐδὲ εἰς θείαν μεταφοιτῆσαν οὐσίαν. Καὶ ἵνα παραδείγματι ἀμυδροτέρῳ καὶ παχυτέρῳ, ἡμῖν δὲ οἰκειοτέρῳ χρήσωμαι, οὐ γὰρ ἂν ἄλλως ἢ ἐκ τῶν καθ' ἡμᾶς τοῖς ὑπὲρ ἡμᾶς ἐπιβάλλειν ἐξὸν, ὥσπερ τὸ ἡλιακὸν σῶμα ὄχημα τῷ πρωτογόνῳ φωτὶ παρὰ τοῦ δημιουργοῦ κατασκευασθὲν, ἐπειδὴ ἥνωτο αὐτῷ ἐγκραθὲν τὸ φῶς οὐδενὸς μέρους ἀλαμποῦς ὑποφαινομένου, τὸ μὲν εἶναι σῶμα οὐκ ἀπώλεσε, τῇ λαμπρότητι δὲ τοῦ ἐμπεφυκότος φωτὸς ὅλον διόλου περιαυγάζεται· οὕτως, ὡς ἐκ μικρῶν τὰ μεγάλα τεκμήρασθαι, καὶ τὸ Χριστοῦ σῶμα, ἐπειδὴ ἡ φθορὰ καὶ τὰ ἐκ τῆς φθορᾶς ἀπελήλαται συμπτώματα, τῇ τῆς θεότητος δόξῃ καὶ τῷ φωτὶ διόλου ὅλον καταλαμπρύνεται, οὐ τῷ μὴ εἶναι σῶμα, ἀλλὰ τῷ εἶναι καὶ διασώζεσθαι πολλῷ καθαρώτερον. Οὕτως ὁ τῆς εὐσεβείας ὁμολογητὴς σύμπνους τε καὶ σύμφωνος ἐν πᾶσίν ἐστι τοῖς πρὸ αὐτοῦ θεολόγοις Πατράσι, καθάπερ ἔφθην εἰπὼν, ἅτε δὴ καὶ τῷ αὐτῷ καὶ ἐμπνεόμενος καὶ φθεγγόμενος Πνεύματι. Μετεστοιχειῶσθαι καὶ γὰρ κατ' ἐκείνους ἐπὶ τὸ βέλτιον καὶ οὗτός φησι τὸ Χριστοῦ σῶμα, τῶν θείων μαρμαρυγῶν τὰς λαμπηδόνας δεξάμενον, τῇ δυνάμει καὶ χάριτι τοῦ ἐνοικοῦντος αὐτῷ Λόγου, καὶ καθὸ, φησὶ, Θεοῦ σῶμα, ἅγιόν ἐστι, ζωοποιὸν, φωτὸς ἀφράστου πεπληρωμένον. Εἶτα μετὰ τὸ ἡλιακὸν παράδειγμα, ᾧ δὴ καὶ ὁ ἐκ Δαμασκοῦ θεοφόρος Ἰωάννης περὶ τῆς Χριστοῦ μεταμορφώσεως λογογραφῶν ὡσαύτως ἐχρήσατο, οὕτω καὶ τὸ Χριστοῦ, φησὶ, σῶμα, ἐπειδὴ ἡ φθορὰ καὶ τὰ ἐκ τῆς φθορᾶς ἀπελήλαται συμπτώματα, τῇ τῆς θεότητος δόξῃ καὶ τῷ φωτὶ διόλου ὅλον καταλαμπρύνεται. Μάθε κἀντεῦθεν τοιγαροῦν, Γρηγορᾶ, ὡς οὔτε κτίσμα τὸ τῆς θεότητός ἐστι φῶς, καὶ κατὰ τοῦτον, φημὶ, τὸν θεολόγον, ὃν αὐτὸς δήπου καὶ κατὰ τῆς σῆς προήνεγκας κεφαλῆς. Φῶς γὰρ αὐτό φησιν οὐχ ἁπλῶς, ἀλλ' ἄφραστον, καθάπερ ἀκούεις, καὶ λαμπηδόνα θείας μαρμαρυγῆς, καὶ δόξαν θεότητος καὶ φῶς, ὅλον διόλου καταλαμπρῦνον τὸ Χριστοῦ σῶμα. Οὔτε οὖν κτίσμα κατὰ τούτους τοὺς λόγους τὸ τῆς θεότητος φῶς, ἀλλ' οὐδὲ οὐσία γε τοῦτο Θεοῦ, καθὰ δὴ καὶ τοῦτ' αὐτὸ κακῶς αὐτὸς ἐν τοῖς φθάσασιν εἴρηκας, διά τε τὰ προῤῥηθέντα ταὐτά φημι τούτῳ τῷ θεοφόρῳ, καὶ δὴ καὶ τὰ ἑξῆς αὐτῷ πλατύτερον ῥηθησόμενα. Δεῖ γὰρ κἀκεῖνα προστεθῆναι τοῖς εἰρημένοις, εἰ καὶ μακρότερός πως ὁ λόγος, καὶ ἀποδειχθῆναι Γρηγορᾶν καὶ τοὺς πρὸ αὐτοῦ τε καὶ κατ' αὐτὸν ὁμοῦ πάντας οὐκ Εἰκονομάχους μόνον, καθὰ δὴ καὶ μικρῷ πρότερον, ἀλλὰ καὶ Ἀρειανοὺς δήπου μετ' Εὐσεβίου, κατ' οὐσίαν ὁρατόν τε καὶ μεθεκτὸν τὸν Θεὸν λέγοντας, ὡς αὐτὸς οὗτος ὁ θαυμαστὸς Θεόδωρος διὰ τῶν οἰκείων παρελθὼν λόγων καὶ αὖθις δείξει σαφέστερον, τὸν γοῦν Ἀρειανόν τε καὶ Εἰκονομάχον Εὐσέβιον τῷ λόγῳ παραγαγὼν οὑτωσὶ γράφοντα· Θεὸν Κύριον τὸν Σωτῆρα ἡμῶν ὁμολογοῦντες, ὡς Θεὸν ἰδεῖν εὐτρεπιζόμεθα, πάσῃ σπουδῇ καθάραντες αὐτοὶ τὰς ἑαυτῶν καρδίας, ὡς ἂν ἴδοιμεν αὐτὸν κεκαθαρμένοι. *Μακάριοι γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.* Εἰ δὲ ἐκ περιουσίας πρὸ τῆς μελλούσης πρόσωπον εἰς πρόσωπον ὄψεως τε καὶ θέας τοῦ Σωτῆρος ἡμῶν τὰς εἰκόνας αὐτοὶ περὶ πολλοῦ τίθεσθε, τίνα μᾶλλον ἀγαθὸν ζωγράφον αὐτοῦ τοῦ Θεοῦ Λόγου ἔχοιμεν ἄν; Οὕτω τοίνυν ὁ τῆς εὐσεβείας ὁμολογητὴς τὰ τοῦ Εὐσεβίου προθεὶς, Ὁρᾶτε καὶ νῦν, φησὶν, εἰς ὅσον αὐτῷ τὰ τῆς βλασφημίας θεομαχοῦντι αἴρεται; ἥ τε γὰρ εἰς τὸν Μονογενῆ παροινία διὰ μυρίων ὅσων αὐτῷ πεπραγμάτευται λόγων· κτίσμα γὰρ πανταχοῦ καὶ ποίημα τερατεύεται εἶναι, καὶ ὁ περὶ τῆς σαρκώσεως αὐτοῦ καὶ τοῦ σώματος ἀπείρηται παρ' αὐτῷ λόγος. Τί οὖν δοκεῖ ὑποτίθεσθαι νοεῖν, ὅτι ὡς πρὸς τὴν θείαν οὐσίαν ἀποτεινόμενος ταῦτα φθέγγεται. Καὶ κατασοφιζόμενος μὲν ὁ δείλαιος οὐχ ἑτέρως ἢ ὡς Θεὸν ἰδεῖν, ὅπερ οὐδὲν ἄλλο ἐστὶν ἢ Θεὸν ἁπλῶς καὶ ὡς ἔχει φύσεως ἰδεῖν· ὑπερεκτείνεται δὲ τῆς τῶν ἁγίων ἀξίας, καὶ μείζονα τούτων οἷά τις καθαρώτερος καὶ διοπτικώτερος πρὸς τὴν τῆς θείας

φύσεως ἐποπτίαν ἰδεῖν κατεπαγγέλλεται. Ὃν ὁ A μὲν θεολογῶν ἀπεφήνατο, *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*· ἕτερος δ' αὖ τῆς αὐτῆς θεηγορίας ἐχόμενος, *Ὃν εἶδεν οὐδεὶς ἀνθρώπων, οὐδὲ ἰδεῖν δύναται.* Ἀλλὰ μὴν καὶ ὁ ἐν θεόπταις κράτιστος ἤκουεν, *Οὐ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται.* Ἀλλὰ τίς οὕτω τὴν τῶν θεολόγων μεγαλόνοιαν ὑπερέστη; Καὶ τί λέγω τούτων, εἰ μὴ καὶ τὰς ὑπερκοσμίους δυνάμεις ὑπεραναβέβηκε, καταλιπὼν κόσμον καὶ σῶμα καὶ πάσης ὑλικῆς καταφρονήσας σχέσεως, καὶ ὑπερβὰς τὰ ὁρώμενα, ὥστε ὑπὲρ τὴν κτίσιν γενέσθαι καὶ τῶν ὑπερουρανίων ὑπερκύψαι διακόσμων, καὶ ἰδεῖν Θεὸν, καὶ οἷός ἐστι τὴν οὐσίαν κατανοῆσαι; Τίς δὲ ἄλλος ἢ Εὐσέβιος; ὃς καθαροῖς καρδίας ὄμμασι καὶ ἀμιγέσι πάσης B ἀνθρωπίνης καὶ ὑλικῆς προσπαθείας τὴν ὑπερούσιον καὶ τοῖς Σεραφὶμ ἀθεώρητον οὐσίαν θεάσασθαι μόνος ἀπαυθαδίζεται κεναῖς ἐλπίσιν ὑπερφυσώμενος ἐκ τοῦ παχέως καὶ σαρκικῶς κἀνταῦθα τὰ θεοπαράδοτα ἐκδέχεσθαι λόγια, ὁ τὴν τοῦ δούλου μορφὴν εἰς τὸ ἀθέατον καὶ ἀνυπόστατον θέμενος, πρόσωπον τῇ θείᾳ περιάπτει φύσει, ὃ κατιδεῖν ὀφθαλμοῖς καθαροῖς ἐξηπάτηται.

Ποία γλῶσσα πονηρὰ καὶ θεομάχος πρὸς ἀσέβειαν ἠκονημένη τοιαῦτα ἐφθέγξατο, ἃ οὐδὲ ὁ τῆς ἁμαρτίας εὑρετὴς καὶ πρῶτος κατὰ Θεοῦ τραχηλιάσας τετόλμηκεν; Οὗτος ἔθετο εἰς οὐρανὸν τὸ στόμα αὐτοῦ, καὶ ἡ γλῶσσα αὐτοῦ διῆλθεν ἐπὶ τῆς γῆς, καὶ ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησεν.

Ἀλλ' ἡ μὲν ἀπόπληκτος καὶ ἐξεστηκυῖα διάνοια C πόῤῥω Θεοῦ καὶ τῆς Χριστιανῶν θεοσοφίας ἀπελαυνέσθω· ἐπεὶ δὲ τὸ ἀλλότριον διηλέγξαμεν, ἐπὶ τὸ ὑψηλὸν αὐτοὶ τοῦ θείου ἐπαγγέλματος ἴωμεν, καὶ οἷα ὁ ἀληθὴς περὶ τούτου λόγος ἔχει, τί ποτέ ἐστι τὸ ὄψεσθαι Θεὸν τοὺς καθαροὺς τῇ καρδίᾳ, ἡμᾶς ἐκδιδάσκων, διαληψόμεθα. Καὶ προκείσθωσαν ἡμῖν τῶν διδασκάλων πάλιν αἱ φωναὶ, τῶν Πνεύματι Θεοῦ εἰδότων λαλεῖν μυστήρια, ἃς δὴ ὡς ἔνι μάλιστα ἐπιτεμόμενοι, συνενέγκωμεν ἐν βραχεῖ τῶν διὰ πλειόνων εἰρημένων ἐννοιῶν τὴν περίστασιν, τῶν οἰκειοτέρων τῷ σκοπῷ ἀντειλημμένοι καθόσον οἷόν τε, ὡς ἡ μὲν θεία φύσις αὐτὸ ὅ τί ποτέ ἐστιν οὔτε νῷ ληπτὴ, οὔτε λόγῳ ῥητή. Ἄληπτος γάρ ἐστι καὶ ἀνέκφραστος καὶ ἀνεπιχεί- D ρητος, καὶ πάσης ἀοριστίας ὑπερέκεινα, πᾶσάν τε γνῶσιν καὶ νόησιν ὑπερεκβαίνουσα. Πρὸς ἣν πᾶσα νοερὰ δύναμις ἀποπαύεται, καὶ πᾶσα γνωστικὴ πρόοδος ἵσταται. Οὔτε γὰρ λόγος, οὔτε γνῶσις, οὔτε δόξα, οὔτε φαντασία αὐτῆς ἐστι. Πᾶσι γὰρ ἄβατός ἐστι καὶ ἀπρόσιτος, καὶ πάντων τῶν ὄντων ἐξῃρημένη καὶ ὑπὲρ πάντα τὰ ὄντα ὑπερουσίως ὑπεριδρυμένη, καὶ ἧς οὐδεὶς λόγος ἂν ἐφίκοιτο· ἀμήχανον γὰρ τοῖς ὑπὲρ λόγον ἐπιβατεύειν· ταύτην σιγὴ μᾶλλον ἢ λόγος παρίστησιν. Ἡμῖν δὲ ὅτι ἔστι μόνον, ἐκ τῶν περὶ αὐτὴν γινώσκεται, ἐμφάσεις τινὰς καὶ ἀπηχήματα ἀμυδρὰ, καὶ ταῦτα τοῖς κεκαθαρμένοις τὸν νοῦν ἀπολάμπουσα. Τί οὖν ἐστιν ὅπερ ὁ καθαρὸς τὴν καρδίαν κατόψεται; Τῶν ὀρεκτῶν τὸ ἔσχατον, τῆς μακαριότητος τὸ ἀκρότατον, τῶν ἀγαθῶν ἡ πηγὴ πάντων, ἡ ἀνελάττωτος καὶ ἀκένωτος, τὸ ἄῤῥητον φῶς, ἡ ἀπρόσιτος δόξα. Πῶς οὖν θεάσαιτο τὸ ποθούμενον; Ὁρατὸς μὲν Θεὸς ὁ φύσει ἀόρατος ἐκ τῶν περὶ αὐτὸν θείων ἐνεργειῶν καὶ δυνάμεων, ὅσαι πρὸς τὸ ὑψηλὸν καὶ ἀνηγμένον ἐπαίρουσιν ἡμῶν τὴν διάνοιαν, καὶ πρὸς τὴν τῆς θείας κατανοήσεως ποδηγοῦσι μεγαλειότητα, γίνεται· οὐ τὸ τί εἶναι τὴν οὐσίαν ἐκκαλύπτοντα, τὸ δὲ τῆς ἀγαθότητος μεγαλεῖον ἡμῖν ὑποφαίνοντα. Ἀλλ' οὐ τὸ γνῶναί τι περὶ Θεοῦ μόνον μακάριον· τοῦτο γὰρ καὶ διὰ τῆς τοῦ κόσμου σοφίας πολλοῖς ἐξεγένετο· ἀλλὰ τὸ ἐν ἑαυτῷ τινα ἔχειν τὸν Θεὸν μακάριον, κατὰ τὸ ἐντὸς ἡμῶν εἶναι τὴν βασιλείαν τοῦ Θεοῦ κηρυσσόμενον. Τὸ γὰρ ἡμῖν χωρητὸν τῆς κατανοήσεως μέτρον ἐν ἡμῖν ἐστιν. Οὕτως γὰρ ὁ πλάσας ἡμᾶς τὸ ἐξαρχῆς Θεὸς, τῇ τῆς φύσεως ἡμῶν κατασκευῇ, τῆς ἰδίας φύσεως ἐνετύπωσε τῶν ἀγαθῶν τοὺς χαρακτῆρας καὶ τὰ μιμήματα. Ἀλλὰ ταῦτα ἡ κακία ἐπεισελθοῦσα, ἀπημαύρωσε καὶ ἄχρηστα πεποίηκε, τοῖς αἰσχροῖς ἐγκατακρύψασα προκαλύμμασιν. Εἰ τοίνυν τὸν ἐπεισελθόντα τις διὰ τῆς ἁμαρτίας ῥύπον δι' ἐπιμελείας βίου ἀποκλύσηται, καὶ τὸν ἐντὸς ἄνθρωπον ὃν καρδίαν ὁ λόγος κατονομάζει διακαθάροι, ἀναλάμψει πάλιν τὸ θεοειδὲς κάλλος, καὶ ἐν τῷ ἰδίῳ κάλλει τῆς φύσεως τῆς θείας καθορᾷ τὴν εἰκόνα. Ὡς γὰρ ὁ κατεῤῥυπωμένος σίδηρος, εἰ τὸν ἰὸν ἀποξεσθείη καὶ καθαρθείη, αὐγὰς ἀποπηδώσας πρὸς τὸν ἥλιον ἐκδίδωσιν, οὕτω δὴ καὶ τὸν ἰώδη ῥύπον, ἐπειδὰν ἀποσμήξειε τὸν διὰ τοῦ πονηροῦ ἔρωτος ἐπανθήσαντα τῇ μορφῇ, πάλιν ἀναλήψεται τὴν πρὸς τὸ ἀρχαῖον ὁμοιότητα, καὶ ἀγαθὸς ἔσται. Τῷ γὰρ ἀγαθῷ ὅμοιον τὸ ἀγαθὸν πάντως. Οὐκοῦν αὐτὸ βλέπων ἐν ἑαυτῷ, τὸ ποθούμενον βλέπει. Καὶ οὕτως γίνεται μακάριος ὁ καθαρὸς τῇ καρδίᾳ, ὅτι πρὸς ἰδίαν καθαρότητα βλέπων, ἐν τῇ εἰκόνι καθορᾷ τὸ ἀρχέτυπον. Ὥσπερ γὰρ οἱ ἐν τοῖς κατόπτροις καθορῶντες τὸν ἥλιον, κἂν μὴ πρὸς τὸν οὐρανὸν ἀτενίζοιεν, οὐδὲν ἔλαττον αὐτὸν ὁρῶσιν ἐν τῇ τοῦ κατόπτρου αὐγῇ τῶν πρὸς τὸν ἡλιακὸν ἐνατενιζόντων κύκλον, οὕτως καὶ ὁ ἀτονῶν πρὸς κατανόησιν τοῦ ἀπροσίτου φωτὸς, εἰ ἐπὶ τὴν ἐξαρχῆς ἐγκατασκευασθεῖσαν χάριν τῆς εἰκόνος ἀναδραμεῖται, ἐν ἑαυτῷ τὸ ζητούμενον ἔχει. Καθαρότης γὰρ καὶ ἀπάθεια καὶ κακοῦ παντὸς ἀλλοτρίωσις ἡ θέωσίς ἐστιν. Εἰ οὖν ταῦτα ἐν αὐτῷ, ὁ Θεὸς πάντως ἐν αὐτῷ. Ὅταν οὖν ἀμιγὴς πάσης κακίας καὶ πάθους ἐλεύθερος ᾖ καὶ παντὸς κεχωρισμένος μολυσμοῦ ὁ ἐν αὐτῷ λογισμὸς, μακάριος οὗτος τῆς ὀξυωπίας, ὅτι τὸ τοῖς μὴ καθαροῖς ἀθέατον ἐκκαθαρθεὶς κατενόησε, καὶ τῆς ὑλικῆς ἀχλύος τῶν τῆς ψυχῆς ὀμμάτων ἀφαιρεθείσης, ἐν καθαρᾷ τῇ τῆς καρδίας αἰθρίᾳ τηλαυγῶς βλέπει τὸ μακάριον θέαμα. Τοῦτο δέ ἐστιν ἡ καθαρότης, ὁ ἁγιασμὸς, ἡ ἁπλότης, πάντα τὰ τοιαῦτα φωτοειδῆ τῆς θείας φύσεως ἀπαυγάσματα, δι' ὧν ὁ Θεὸς καθορᾶται. Τὸ δὲ ὅπως καθαρός τις γίνεται τῇ καρδίᾳ, διὰ τῆς εὐαγγελικῆς διδασκαλίας μαθεῖν ἔξεστι.

Τούτων οὕτως εἰρημένων, καὶ ὁ τῆς ἀληθείας

Digitized by Google

Χριστοῦ λόγος οὐ διαπεσεῖται, καὶ τῶν θεολόγων ἡ δόξα οὐ διαψευσθήσεται. Ὧν οὐδὲν συνιεὶς Εὐσέβιος τὰ ἀπὸ κοιλίας ῥυπαρὰ καὶ δυσώδη ἀεὶ ἀπερεύγεται, τῶν βλασφήμων δογμάτων οὐδαμῶς ἀφιστάμενος. Ἴσως τις οὐκ ἀκαίρως ὑπολήψεται πρὸς τὸ γεῶδες καὶ ὑλικὸν φρόνημα τῶν τῇ Ἀρειανικῇ πολυθεΐᾳ ἢ ἀθεΐᾳ, εἰπεῖν δικαιότερον, κεκρατημένων ἀποβλέπων, ὅτι Θεὸν ἐκεῖνον ἀπεκδέχεται, ὃν κτιστὸν εἶναι δοξάζουσι, καὶ τοῦτον ὡς κτίσμα αἰσθητῶς πρόσωπον πρὸς πρόσωπον ἰδεῖν ἐπαγγέλλεται. Ἀλλὰ ταυτὶ μὲν ὧδε ἐχέτω.

Τί πρὸς ταῦτά φασιν οἱ τὰ Βαρλαὰμ τε καὶ Ἀκινδύνου διεκδικοῦντες σύν γε τῷ Γρηγορᾷ τουτῳΐ, ὃς καὶ τὸν σοφὸν θεολόγον, Θεόδωρόν φημι τοῦτον τὸν μέγαν, καθ' ἡμῶν εἰς μαρτυρίαν προήνεγκεν, εὖ ποιῶν, οὐ μάλα τοι γινωσκόμενον καὶ ἡμῖν πρότερον, ὅσον ἐπὶ τοῖς θαυμαστοῖς φημι τέως τούτοις συγγράμμασιν; Οὐδὲ γὰρ οὐδ' οὗτος ἀνέχεται τὸ παράπαν, καθάπερ ἀκούεις, σύν γε τοῖς πρὸ αὐτοῦ θεολόγοις Πατράσιν, οὓς δὴ καὶ μάρτυρας καὶ συνηγόρους τῶν ἑαυτοῦ προΐσταται λόγων, ἢ ῥητὸν, ἢ ὁρατὸν, ἢ διανοίᾳ ληπτὸν, κατ' οὐσίαν ὅλως τὸν Θεὸν πεφυκέναι· καὶ οὐ μόνον τοῖς τῶν ἀνθρώπων θεοειδέσι καὶ τὴν διάνοιαν ὑψηλοῖς, ἀλλὰ καὶ τοῖς προὔχουσιν αὐτοῖς, φησὶ, τῶν ἀγγέλων Χερουβὶμ τε καὶ Σεραφὶμ, καὶ ἁπλῶς πάσῃ γενητῇ φύσει. Δι' ἃ δήπου καὶ ἄνοιαν ὁμοῦ καὶ ἀπόνοιαν τὴν ἐσχάτην τῶν περὶ Εὐσέβιον ὁ μέγας κατηγορεῖ, μᾶλλον δὲ καὶ πολυθεΐαν τε καὶ ἀθεΐαν καθάπαξ, καὶ Ἀρειανῶν εἶναί τοῦτό φησιν ἴδιον τῶν κτίσμα τὸν Θεὸν ὑπειληφότων κακῶς. Τοῦτον καὶ γὰρ, φασὶ, τὸν παρ' αὐτῶν οὑτωσὶ δοξαζόμενον, καὶ πρόσωπον πρὸς πρόσωπον, κατ' αὐτὴν δηλαδὴ τὴν οὐσίαν ἰδεῖν ἐκδέχονται, ἅτε δὴ καὶ κτίσμα κατ' αὐτοὺς πεφυκότα. Οἷς δὴ καὶ οἱ περὶ Ἀκίνδυνόν τε καὶ Γρηγορᾶν ὥσπερ ἐπίτηδες ἑαυτοὺς συγκατέλεξαν. Καὶ ταύτης εἶναί τε καὶ ἀκούειν, πῶς ἂν εἴποι τις, ἐφιλοτιμήσαντο τῆς συμμορίας τε καὶ τῆς τάξεως, κτίσμα σὺν αὐτοῖς μετὰ τῶν θεοκτόνων Ἰουδαίων βλασφημοῦντες τὸν Δεσπότην τῆς κτίσεως κάκιστα, καὶ δόξαν αὐτὸν καὶ φῶς καὶ θεότητα περικεῖσθαι κτιστὴν φάσκοντες ἔν τε τῇ μελλούσῃ φρικτῇ παρουσίᾳ τούτου, καὶ δὴ κἀν τῇ θεοφανείᾳ πάλαι τῇ ἐν τῷ Θαβωρίῳ. Ἐπειδὴ καὶ τοιοῦτον ἥξειν οἱ αὐτοὶ πάντες ὁμοῦ θεολόγοι τοῦτόν φασιν, οἷος ὤφθη τοῖς μαθηταῖς ἐπὶ τοῦ ὄρους, ὑπερνικώσης τὸ σαρκίον τῆς θεότητος. Ἀλλ' οὗτοι κτίσμα καὶ τοῦτο κἀκεῖνό φασι, καὶ κτίσματι τεθεῶσθαι τοὺς τεθεωμένους καὶ τότε καὶ νῦν καὶ εἰσέπειτα, οὐκ οἶδα τίνι τούτῳ καὶ πῶς θεουργεῖν δυναμένῳ τὰ θεουργούμενα. Ἀλλ' ὁ διδάσκαλος οὗτος, ὁμοῦ καὶ ταῖς θείαις Γραφαῖς καὶ τοῖς πρὸ αὐτοῦ διδασκάλοις τε καὶ θεολόγοις ἑπόμενος ἄριστα, κατ' οὐσίαν μὲν, ὅπερ ἔφην, καὶ ἄῤῥητον καὶ ἀόρατον, ἄληπτόν τε καὶ ἀνεννόητον εἶναι τὸν Θεὸν ἐθεολόγησεν· ὁρατὸν δ' ἐκ τῶν περὶ αὐτὸν θείων ἐνεργειῶν καὶ δυνάμεων, ὅσαι πρὸς τὸ ὑψηλὸν καὶ ἀνηγμένον, φησὶν, ἐπαίρουσιν ἡμῶν τὴν διάνοιαν, καὶ πρὸς τὴν τῆς θείας μεγαλειότητος A ὁδηγοῦσι κατανόησιν. Εἶτα καὶ τὸ κακῶς ἐκ τῶν κυριακῶν εἰλημμένον τε καὶ τεθεωρημένον λόγων τῷ Εὐσεβίῳ, τὸ, *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*, φημὶ, καλῶς τε καὶ τοῖς ἀρχαίοις θεολόγοις συμφώνως αὐτὸς ἐξηγούμενος, Τί οὖν ἐστι, φησὶν, ὅπερ ὁ καθαρὸς τὴν καρδίαν κατόψεται; Τῶν ὀρεκτῶν τὸ ἔσχατον, τῆς μακαριότητος τὸ ἀκρότατον, τῶν ἀγαθῶν ἡ πηγὴ πάντων, ἡ ἀνελάττωτος καὶ ἀκένωτος, τὸ ἄῤῥητον φῶς, ἡ ἀπρόσιτος δόξα.

Τί οὖν ἐστι ταῦτα, κενὲ θεολόγε, καὶ τῶν οὐρανίων μυστηρίων ἐξηγητὰ ὑποχθόνιε; Ἐπειδή γε τὴν οὐσίαν τοῦ Θεοῦ καὶ ἄφραστον καὶ ἀνεννόητον καὶ ἄληπτον καθάπαξ πρός γε τοῖς λοιποῖς θεολόγοις καὶ ὁ διδάσκαλος οὗτός φησιν. Ἄληπτος γὰρ, B φησὶν, ἐστὶ καὶ ἀνέκφραστος καὶ ἀνεπιχείρητος, καὶ πάσης ἀοριστίας ὑπερέχει· πρὸς ἣν πᾶσα νοερὰ δύναμις ἀποπαύεται, καὶ πᾶσα γνωστικὴ πρόοδος ἵσταται· οὔτε γὰρ λόγος, οὔτε γνῶσις, οὔτε δόξα, οὔτε φαντασία αὐτῆς ἐστι· καὶ οὐδεὶς ἂν, φησὶ, λόγος αὐτῆς ἐφίκοιτο· ἀμήχανον γὰρ τοῖς ὑπὲρ λόγον ἐπιβατεύειν.

Ἐπεὶ οὖν ἡ οὐσία οὐκ ἔστι ταῦτα τοῦ Θεοῦ, ἐπεὶ μηδὲ γνῶσις μηδὲ φαντασία μηδὲ λόγος ἐστὶν ὅλως αὐτῆς, λέγε ποῖόν ἐστι τὸ τῶν ὀρεκτῶν ἔσχατον, καὶ κατὰ τοῦτον τὸν θεολόγον, τῆς μακαριότητος τὸ ἀκρότατον, ἡ ἀκένωτος πηγὴ τῶν ἀγαθῶν, τὸ ἄῤῥητον φῶς, ἡ ἀπρόσιτος δόξα, τὰ οὕτως ὑψηλὰ καὶ ὑπερφυᾶ ταῦτα, καὶ οὐδὲ τοῖς τυχοῦσιν ἁπλῶς προσιτὰ δίχα Πνεύματος. C Ἤκουσας μὲν καὶ πάλαι καὶ ἀκούεις τῶν πείρᾳ ταυτὶ καὶ παθόντων ὁμοῦ καὶ μαθόντων θεολόγων, ἐκεῖνα τὰ μυριόλεκτα κατὰ τὸν εἰπόντα λεγόντων περὶ αὐτῶν ἔν γε τοῖς περὶ τῆς θείας μεταμορφώσεώς φημι λόγοις, ἐξ ὧν δήπου καὶ τὰ φυσικὰ πεφυκέναι καὶ λέγεσθαι τοῦ Θεοῦ ταυτὶ παρὰ τῶν ἱερῶν διδασκάλων μανθάνομεν· διὸ καὶ ὁ Θεός ἐστι ταῦτα, εἰ καὶ μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ χάριν τε καὶ ἐνέργειαν. *Μακάριοι* γὰρ, φησὶν ὁ Δεσποτικὸς λόγος, *οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*· κατ' αὐτὰ δὴ ταῦτα λέγων τὰ τῆς θεότητος φυσικὰ, καθ' ἃ δὴ καὶ ὁρατὸς διὰ φιλανθρωπίαν τοῖς κεκαθαρμένοις ὁ κατὰ φύσιν ἀόρατος γίγνεται.

Οὐ μὴν ἀλλὰ καὶ τουτουῒ τοῦ διδασκάλου περὶ D τῶν αὐτῶν ὡσαύτως πρὸ βραχέος λέγοντος ἤκουσας. Τὸ γὰρ τοῦ θεηγόρου Νύσσης ἐκεῖνο λαβὼν, Οὐ τὸ γνῶναί τι περὶ Θεοῦ, φησὶ, μόνον μακάριον, τοῦτο γὰρ καὶ διὰ τῆς τοῦ κόσμου σοφίας πολλοῖς ἐξεγένετο, ἀλλὰ τὸ ἐν ἑαυτῷ τινα ἔχειν τὸν Θεὸν μακάριον, κατὰ τὸ ἐντὸς ἡμῶν εἶναι τὴν βασιλείαν τοῦ Θεοῦ κηρυσσόμενον. Τὸ γὰρ ἡμῖν χωρητὸν, φησὶ, τῆς κατανοήσεως μέτρον ἐν ἡμῖν ἐστιν. Οὕτως γὰρ ὁ πλάσας ἡμᾶς ἐξ ἀρχῆς Θεὸς τῇ τῆς φύσεως ἡμῶν κατασκευῇ, τῆς ἰδίας φύσεως ἐνετύπωσε τῶν ἀγαθῶν τοὺς χαρακτῆρας καὶ τὰ μιμήματα. Εἰ τοίνυν τὸν ἐπεισελθόντα τοῖς ῥύπον, φησὶ, διὰ τῆς ἁμαρτίας δι' ἐπιμελείας βίου ἀποκλύσεται, καὶ τὸν ἐντὸς ἄνθρωπον ὃν καρδίαν ὁ λόγος κατονομάζει διακαθάροι, ἀναλάμψει πάλιν τὸ θεοειδὲς κάλλος, καὶ

Digitized by Google

ἐν τῷ ἰδίῳ κάλλει τῆς φύσεως τῆς θείας καθορᾷ τὴν εἰκόνα, τὴν πρὸς τὸ ἀρχαῖον ἀναλαμβάνων ὁμοιότητα πάλιν, καὶ ἀγαθὸς ὤν. Τῷ γὰρ ἀγαθῷ ὅμοιον τὸ ἀγαθὸν πάντως. Οὐκοῦν αὐτὸ βλέπων ἐν ἑαυτῷ, τὸ ποθούμενον βλέπει. Καὶ οὕτως γίνεται μακάριος ὁ καθαρὸς τῇ καρδίᾳ, ὅτι πρὸς τὴν ἰδίαν καθαρότητα βλέπων, ἐν τῇ εἰκόνι καθορᾷ τὸ ἀρχέτυπον κατά γε τοὺς ὁρῶντας, φησὶν, ἐν κατόπτροις τὸν ἥλιον, κἂν εἰ πρὸς οὐρανὸν μὴ βλέποιεν. Ὁ γὰρ ἀτονῶν, φησὶ, πρὸς κατανόησιν τοῦ ἀπροσίτου φωτὸς, αὐτῆς δηλονότι τῆς θείας φύσεως, εἰ ἐπὶ τὴν ἐξαρχῆς ἐγκατασκευασθεῖσαν χάριν τῆς εἰκόνος ἀναδραμεῖται, ἐν ἑαυτῷ τὸ ζητούμενον ἔχει. Ὅταν οὖν, φησὶν, ἀμιγὴς παντὸς κακοῦ, καὶ παντὸς μολυσμοῦ κεχωρισμένος ὁ ἐν αὐτῷ λογισμὸς ᾖ, καθαρός τε καὶ ἀπαθὴς καὶ κακοῦ παντὸς ἐλεύθερος, μακάριος οὗτος τῆς ὀξυωπίας, ὅτι τὸ τοῖς μὴ καθαροῖς ἀθέατον ἐκκαθαρθεὶς κατενόησε. Βλέπει τηλαυγῶς τὸ μακάριον θέαμα.

Ἀλλ' ἡμεῖς, φασὶν οἱ περὶ Γρηγορᾶν καὶ Ἀκίνδυνον, καθαρότητα καὶ ἀπάθειαν, καὶ κακοῦ παντὸς ἀλλοτρίωσιν καὶ κατὰ τοῦτον τὸν διδάσκαλον ἀκούοντες εἶναι τὴν θέωσιν, καὶ προσέτι καὶ ἁγιασμὸν καὶ ἁπλότητα, ἐπειδήπερ ἀνθρώπων εἶναι σπουδαίων ἔργα ταῦτα γινώσκομεν, καὶ διὰ τοῦτο καὶ κτίσματα, ἀλλ' οὐχὶ φυσικὰ τοῦ Θεοῦ, καὶ καθάπερ ὑμεῖς φατε, τῆς θείας φύσεως ἰδιώματα καὶ τὴν θέωσιν ἐξανάγκης κτίσμα Θεοῦ πεφυκέναι συνάγομεν, ἐπειδὴ καὶ ταύτην εἶναι τῶν θεολόγων ἐκεῖνα λεγόντων ἀκούομεν, νῦν ἡμεῖς ἐοίκαμεν ἀνθρώπῳ πρός τι θηρίον ἀγωνιζομένῳ δεινὸν, καὶ χερσὶν οἰκείαις ἑλεῖν, ἢ καὶ ἀνελεῖν σπεύδοντι. Ὃς δὴ καὶ μετὰ τοὺς μακροὺς δρόμους καὶ τοὺς ἀγῶνας ἐν οἰκίσκῳ τὸ θηρίον κατακλείσας μικρῷ, διττὰς φέροντι τὰς ἐξόδους, δυσχερῶς ἔχει πάνυ καὶ ἀμηχάνως πρὸς τὴν ἐκείνου σύλληψιν, νῦν μὲν τῇ μιᾷ, νῦν δὲ θατέρᾳ τῶν ἐξόδων ἐπιπηδῶντος τοῦ θηρίου, καὶ διπλῆν πως τῷ ἀγωνιστῇ τὴν πάλην καὶ τὸν ἀγῶνα κατασκευάζοντος. Τὸ γὰρ ψυχοφθόρον τουτὶ θηρίον ἡ πολυκέφαλος αἵρεσις, αὐτὴν ἄνωθεν λέγουσα τὴν θείαν οὐσίαν ἐνοικεῖν τοῖς ἀνθρώποις, καὶ ὁρατὴν καὶ ληπτὴν τοῖς κεκαθαρμένοις γίγνεσθαι, καὶ τοῦτ' αὐτὸ καὶ οὐκ ἄλλο καὶ τὸ κυριακὸν ἐκεῖνο καὶ δὴ βούλεσθαι, τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*, αὐτὴν τὴν τῆς μακαρίας Τριάδος κατά τε τὰς ὑποστάσεις καὶ τὴν οὐσίαν ἐνοίκησιν διδάσκον ἡμᾶς ἄντικρυς. Περὶ ὧν δήπου καὶ τὸν πολὺν ἐκεῖνον πρὸς τοὺς αὐτῆς εὑρετάς τε καὶ μύστας πρὸ βραχέος ἐποιούμεθα λόγον, τά τε ἄλλα καὶ δὴ καὶ τὰ Μασαλιανῶν αὐτοὺς φρονεῖν ἐναργῶς ἐκ τῶν πατρικῶν καὶ ἀποστολικῶν ἐξελέγξαντες λόγων. Ἡ γοῦν ἐκεῖνα διὰ πολλῶν ἰσχυριζομένη πρότερον αἵρεσις, καὶ πολυθεΐαν ἐπικαλοῦσα τοῖς μὴ τὸ δυσσεβὲς καὶ ἀλλόκοτον ἐκεῖνο πρεσβεύουσι, νῦν ὥσπερεὶ μεταβαλοῦσα, ἢ καὶ ἑαυτῆς οἷον ἐκλαθομένη, κτίσματα λέγει τὰ τῆς θείας φύσεως ὑπερφυᾶ ἰδιώματα. Ὧν ἐνοικούντων τοῖς ἀξίοις, ὁ φυσικῶς

A κεκτημένος ἐκεῖνα Θεὸς ἐνοικεῖν παρὰ τῆς θείας θεολογίας καὶ λέγεται καὶ πιστεύεται.

Ἀλλ' ὥσπερ ἐπ' ἐκείνου τοῦ θηρίου καὶ τοῦ οἰκίσκου, εἰ λίθον τις ἔξωθεν ἐπικυλίσας, τὴν τῶν ἐξόδων ἑτέραν εὐφυῶς ἀποφράξειε, ῥᾴστην ἂν ἐντεῦθεν τῷ ἀγωνιστῇ τὴν κατὰ τοῦ θηρίου νίκην ἐργάσαιτο, τῆς ἑτέρας τῶν ἐξόδων εὐχερῶς ἐχομένῳ, κἀντεῦθεν ἐκείνῳ τὸν δρασμὸν γενναίως ἀπείργοντι, οὕτω κἀνταῦθα, τὸν ἀκρογωνιαῖον λίθον Χριστὸν, διὰ τῆς ἑαυτῶν θεολογίας οἱ ἐκείνου μύσται καὶ σύμμαχοι θατέρᾳ τῶν ἐξόδων ἀσφαλῶς ἐπιστήσαντες, *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*, λέγοντα, καὶ τὸ τῆς θείας οὐσίας ἀκατάληπτόν τε καὶ ἄρρητον ἐκεῖθεν διὰ τῆς ἑαυτῶν θεολογίας πολυτρόπως κατασκευάσαντές τε καὶ ἀποδείξαντες,
B οὕτως ἔπειθ' ἡμῖν τὴν τῆς πονηρᾶς αἱρέσεως ἀναίρεσιν, σὺν Θεῷ δ' ὁ λόγος, εὐπετῆ καὶ ῥᾴστην κατασκευάσουσι, τῆς ἑτέρας ἀντεχομένοις εὐχερῶς τῶν ἐξόδων, *Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ*, λεγούσης, *ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται*. Δι' ἧς δήπου καὶ μεθεκτὸν τὸν Θεὸν οὐ διὰ κτισμάτων, πῶς γάρ; ἀλλὰ διὰ τῶν ἐκείνου δηλαδὴ φυσικῶν ἰδιωμάτων οἱ αὐτοὶ δείξουσι θεολόγοι καὶ αὖθις. Μᾶλλον δ' ἐκείνοις καὶ ταῦτα διὰ πολλῶν αὐτοῖς ἤδη καὶ πολλάκις συναποδέδεικται κάλλιστα. Δειχθήσεται δ' ἀπὸ μέρους ὡσαύτως ὥσπερ ἐν ἐπιλόγοις καὶ νῦν. Πρῶτον μὲν οὖν καὶ γελοῖον ἂν εἴη, καὶ ἀνοίας ἢ καὶ μανίας ἐκεῖνό γε τῆς ἐσχάτης, τὸ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν καὶ Θεὸν αὐτὸν ἐκεῖνον
C οἴεσθαι δι' ἑαυτοῦ μακαρίζοντα τοὺς τὴν καρδίαν κεκαθαρμένους, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται, πρὸς τὴν τοιαύτην ἔπειτα θεωρίαν καὶ ὅρασιν κτίσματα κατὰ Γρηγορᾶν αὐτοῖς προτιθέναι. Ἢ γὰρ τὰ κτίσματα ταῦτα Θεὸς, εἰ ταῦθ' οὕτως ἔχειν δοίημεν κατ' αὐτὸν, καὶ τίς ἂν τῶν εὐσεβεῖν ἑλομένων τῇ κτίσει λατρεύσῃ παρὰ τὸν κτίσαντα; καίτοι γε καὶ τῶν αἰσθητῶν πάντων κτισμάτων αὐτὸς πεφυκὼς τὸ μέγιστόν τε καὶ τιμιώτατον· ἢ ὁ Θεὸς ἔσται κτίσμα κατ' Εὐσέβιόν τε καὶ τοὺς Ἀρειανοὺς, ὁ καὶ προσδοκώμενος ἐκείνοις κατ' οὐσίαν ὀφθήσεσθαι, καθὰ δὴ καὶ Θεόδωρος ὁ σοφὸς ἤδη φθάσας ἔφη. Καὶ οἱ τὸν Θεὸν ἰσχυριζόμενοι πρότερον κατ' οὐσίαν τε καὶ ὑπόστασιν τοῖς κτίσμασιν ἐνοικεῖν, καὶ πάνθ' ὁμοῦ κατασκευάζοντες ὁμόθεά τε καὶ
D ὁμοούσια, νῦν εἰς κτίσμα καὶ τὸν Θεὸν αὐτὸν κατασπᾷν ἐπιχειροῦσιν ὥσπερ ἐξ ἀντιστρόφου. Ἔπειθ' ὅτι καθαρότης μὲν καὶ ἀπάθεια καὶ ἁγιασμὸς καὶ ἁπλότης ἡ θέωσις, ὡς φῄς, ἤκουσας· τὸ δ' ὅτι τὸ τοῖς μὴ κεκαθαρμένοις ἀθέατον ὁ κεκαθαρμένος ὁρᾷ, καὶ ὅτι πρὸς τὴν οἰκείαν καθαρότητα βλέπων ἐν τῇ εἰκόνι καθορᾷ τὸ ἀρχέτυπον, καὶ ὅτι ἐν καθαρᾷ τῇ τῆς καρδίας αἰθρίᾳ τηλαυγῶς βλέπει τὸ μακάριον θέαμα, καὶ ὡς ἐκεῖνα πάντα τὰ φωτοειδῆ τῆς θείας φύσεως ἀπαυγάσματα τὸν Θεὸν δι' ἑαυτῶν δείκνυσι, πῶς οὐκ ἤκουσας, καίτοι γε καὶ πάντ' ἐκείνοις ὁμοῦ συγκείμενά τε καὶ συλλαλούμενα; Πῶς δὲ καὶ τοὺς θεολόγους διὰ πολλῶν ἐν τοῖς φθάσασιν εἰπόντας ἀϊδίως ἔχειν ταῦτα τὸν Θεὸν, καὶ μηδὲν ἐπίκτητον εἶναι παρ' αὐτῷ τῶν τοιούτων,

Digitized by Google

ἀλλ' ἀνάρχως ἐκ τῆς θείας φύσεως ταῦτα πηγάζειν ἁπλῶς οὑτωσὶ παρῆλθες, ὥσπερ οὐδ' εἰπόντας οὐδὲ μνησθέντας ταυτί; Καθαρότης δὲ καὶ ἀπάθεια καὶ κακοῦ παντὸς ἀλλοτρίωσις ἡ θέωσίς ἐστι, φησὶν ὁ διδάσκαλος, ἢ ὅτι διὰ τούτων αὐτῶν ἐλθεῖν ἀνάγκη πᾶσαν τὴν θεούμενον πρότερον· οὕτω γὰρ ἄν, καὶ οὐκ ἄλλως ἐπιτηδείως σχοίη πρὸς τὴν τῆς θεότητος κοινωνίαν καὶ μέθεξιν· ἢ ὅτι τῷ τεθεωμένῳ παντὶ τῶν τοιούτων θεουργῶν ἀρετῶν μετὰ πολλῆς μέτεστι τῆς περιουσίας, καὶ ὥσπερ τις πλοῦτος καὶ θησαυρὸς ἀκένωτος αὐτῷ πρόσεστι τὰ τοιαῦτα, οἴκοθεν μέν, κἀκ τῆς οἰκείας σπουδῆς, Θεοῦ δηλαδὴ κἀνταῦθα συναιρομένου, κτησαμένῳ πρότερον, τῷ δὲ τελειοποιῷ Πνεύματι τὴν ἐκείνων ἕξιν τε καὶ κατόρθωσιν ἑδραίαν τε καὶ ἀπερίτρεπτον ἐσχηκότι, ὅθεν ἄρα καὶ κατὰ χάριν ἡ θέωσις κατὰ τὸν μέγαν αὖθις εἰπεῖν Μάξιμον. Πάσχομεν καὶ γάρ, ἐν τοῖς φθάσασιν ἔλεγεν οὗτος, ὡς ὑπὲρ φύσιν οὖσαν κατὰ χάριν, ἀλλ' οὐ ποιοῦμεν τὴν θέωσιν. Οὐ γὰρ ἔχομεν φύσει δεκτικὴν τῆς θεώσεως δύναμιν. Καὶ πάλιν ὁ αὐτός· Θεώσεως οὐδὲν γενητὸν κατὰ φύσιν ἐστὶ ποιητικόν, ἐπεὶ μηδὲ Θεοῦ καταληπτικόν. Μόνης γὰρ τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι, τὸ ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν, λαμπρυνούσης τὴν φύσιν τῷ ὑπὲρ φύσιν φωτί, καὶ τῶν οἰκείων ὅρων αὐτὴν ὑπεράνω κατὰ τὴν ὑπερβολὴν τῆς δόξης ποιούμενος. Καὶ αὖθις· Εἰ τὸ παρ' ἡμῶν γίνεσθαι πεφυκὸς κατὰ δύναμιν ἔχομεν φυσικήν, οὐκ ἔστι δὲ τῶν παρ' ἡμῶν κατὰ δύναμιν γίνεσθαι πεφυκότων ἡ θέωσις, οὐκ οὖσα τῶν ἐφ' ἡμῖν· οὐδεὶς γὰρ ἐν τῇ φύσει τῶν ὑπὲρ φύσιν λόγος· ἄρα τῆς ἡμῶν δυνάμεως οὐκ ἔστι πρᾶξις ἡ θέωσις, ἥ, οὐκ ἔχομεν κατὰ φύσιν τὴν δύναμιν, ἀλλὰ μόνης τῆς θείας δυνάμεως, οὐκ ἔργων ὑπάρχουσα δικαίων τοῖς ἁγίοις ἀντίδοσις, ἀλλὰ τῆς τοῦ πεποιηκότος ἀφθονίας ἀπόδειξις, τοῦτο θέσει ποιήσοντος τοὺς ἐραστὰς τῶν καλῶν, ὅπερ αὐτὸς ὑπάρχων φύσει δειχθήσεται, καθ' οὓς ἐπίσταται λόγους, ἵνα καὶ τελείως γνωσθῇ, καὶ μείνῃ παντελῶς ἀκατάληπτος.

Ἀκούεις ὡς οὐ μόνον οὐκ ἔστι πρᾶξις τῶν δικαίων ἡ θέωσις, ὡς ὑπείληφας· Πάσχομεν γάρ, φησίν, ὡς ὑπὲρ φύσιν οὖσαν κατὰ χάριν, ἀλλ' οὐ ποιοῦμεν τὴν θέωσιν, καὶ ὅτι θεώσεως οὐδὲν γενητὸν κατὰ φύσιν ἐστὶ ποιητικόν, ἐπεὶ μηδὲ Θεοῦ καταληπτικόν, ἀλλ' ὅτι καὶ τῶν ἔργων τῶν δικαίων οὐκ ἔστιν αὕτη τοῖς ἁγίοις ἀντίδοσις, ἀλλὰ τῆς τοῦ πεποιηκότος ἀφθονίας ἀπόδειξις, καὶ ὅτι μόνης τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι, τὸ ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν. Ποῦ γοῦν ἐνταῦθα τὰ τῶν σπουδαίων ἀνθρώπων ἔργα καὶ κτίσματα, καὶ ὅσαπερ ὑμεῖς κακῶς κατὰ τῶν φυσικῶν καὶ ἰδίων τοῦ Θεοῦ πλανώμενοι φαντάζεσθε; Ὅτι γὰρ φυσικὰ καὶ ἴδια τοῦ Θεοῦ ταῦτα καὶ τῆς ἀνθρωπείας φύσεως ὑπερφυῶς ὑπεράνω πρὸς τοῖς ἄλλοις θεολόγοις Πατράσι καὶ ὁ μέγας οὗτος δι' ὀλίγων κἀνταῦθα δείκνυσιν, ὑπὲρ φύσιν τὴν ἡμετέραν τὴν θέωσιν εἶναι λέγων, καὶ μόνης τῆς θείας χάριτος ἴδιον τουτὶ πεφυκέναι, λαμπρυνούσης τὴν φύσιν

A τῷ ὑπὲρ φύσιν φωτὶ καὶ τῶν οἰκείων ὅρων αὐτὴν ὑπεράνω κατὰ τὴν ὑπερβολὴν τῆς δόξης ποιουμένης· καὶ ὅτι τοῦτο θέσει τοὺς τεθεωμένους ὁ ποιητὴς ἐργάζεται, ὅπερ αὐτός ἐστι κατὰ φύσιν, καθ' οὓς ἐπίσταται λόγους. Τοῦτο δ' ἔστι, κατά τε τοὺς λοιποὺς ἱεροὺς διδασκάλους, καὶ δὴ καὶ τὸν πρὸ βραχέος εἰπόντα σοφὸν τουτονὶ Θεόδωρον, ἡ ἀγαθότης, ἡ καθαρότης, ὁ ἁγιασμός, ἡ ἁπλότης, πάντα τὰ τοιαῦτα φωτοειδῆ, φησί, τῆς θείας φύσεως ἀπαυγάσματα, δι' ὧν ὁ Θεὸς καθορᾶται. Καὶ πρὸ τούτων καὶ μετὰ τούτων, ὅπερ ὁ αὐτὸς εἰπὼν ἔφθη διδάσκαλος, τῶν ὀρεκτῶν τὸ ἔσχατον, τῆς μακαριότητος τὸ ἀκρότατον, τῶν ἀγαθῶν ἡ πηγὴ πάντων ἡ ἀνελάττωτος καὶ ἀκένωτος, τὸ ἄῤῥητον φῶς, ἡ ἀπρόσιτος δόξα. B Εἰ γὰρ τὸν ἐπεισελθόντα τις, φησί, διὰ τῆς ἁμαρτίας ῥύπον δι' ἐπιμελείας βίου ἀποκλύσαιτο, καὶ τὸν ἐντὸς ἄνθρωπον, ὃν καρδίαν ὁ λόγος ὀνομάζει, διακαθάροι, ἀναλάμψει πάλιν τὸ θεοειδὲς κάλλος, καὶ ἐν τῷ ἰδίῳ κάλλει τῆς φύσεως τῆς θείας καθορᾷ τὴν εἰκόνα. Τί δὲ τὸ θεοειδές ἐστι κάλλος ἐκεῖνο, ὅπερ τοῖς δι' ἐπιμελείας βίου καθηραμένοις τὸν ἐντὸς ἄνθρωπον, οὐκ ἔξωθεν ἐπιλάμπει, ἀλλ' ἔνδοθεν ἀναλάμπει μᾶλλον καὶ οἷον ἀνηβᾷ καὶ ἀνακαινίζεται, ἐν ᾧ καὶ ὡς ἰδίῳ τινὶ πεφηνότι κάλλει τῆς φύσεως τῆς θείας καθορᾷ τὴν εἰκόνα; Τί ἄλλο ἢ τὸ τῆς εἰκόνος μέγα καὶ πρῶτον ἀξίωμα, ἡ τοῦ θείου Πνεύματος φυσικὴ χάρις, ἡ δι' ἐμφυσήματος δηλαδὴ θείου ἄνωθεν ἐν παραδείσῳ τῷ ἀνθρώπῳ δοθεῖσα, εἶτα διὰ μὲν τῆς παρακοῆς C ἀποπτᾶσα καὶ τῆς πρώτης ἁμαρτίας ἐκείνου, τῇ δὲ παρουσίᾳ καὶ τῇ σαρκὶ καὶ τῷ πάθει καὶ τῇ ἀναστάσει Χριστοῦ, πρότερον μὲν ἀπὸ μέρους αὖθις ἐν τοῖς αὐτοῦ μαθηταῖς ἐμφυσηθεῖσα, καὶ ἀνακαινισθεῖσα, ὕστερον δ' αὖ ἐν τῷ ὑπερῴῳ λαμπρότερόν τε καὶ δαψιλέστερον ἐν εἴδει πυρίνων γλωσσῶν ἀναλάμψασα, καὶ καταφωτίσασα καὶ ἁγιάσασα δι' ἐκείνων τὰ σύμπαντα, τὸ κάλλος τοῦ ὄντως δυνατοῦ, φησὶν ὁ μέγας Βασίλειος, ἡ νοητὴ καὶ θεωρητὴ αὐτοῦ θεότης, τὸ κάλλος κατ' αὐτὸν αὖθις, ὅπερ εἶδον ἐν τῷ ὄρει Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς, ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα, καὶ τὰ προοίμια τῆς αὐτοῦ βασιλείας, ὀφθαλμοῖς παραλαβεῖν ἐδυνήθησαν; Περὶ οὗ δήπου καὶ ὁ θεῖος, οἶμαι, Δαβὶδ ἔλεγε φθάσας, *Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ* D *τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου*, διὰ μὲν τοῦ μηροῦ τὴν σάρκα οἶμαί που, διὰ δὲ τῆς ῥομφαίας τὸν τομώτερον ὑπὲρ πᾶσαν μάχαιραν δίστομον αἰνιττόμενος τοῦ Θεοῦ λόγον, καὶ μέχρι μερισμοῦ σαρκὸς καὶ πνεύματος διικνούμενον, διὰ δὲ τῆς ὡραιότητος αὖ καὶ τοῦ κάλλους τὴν ὑπὲρ ἥλιον ἀπολάμψασαν τοῦ θεανθρώπου Λόγου ταύτην νοητὴν καὶ θεωρητὴν αὐτοῦ θεότητα, δι' ἧς ἐξ ἐκείνου καὶ νῦν ἀνακαινίζει μὲν ἀπὸ μέρους καὶ λαμπρύνει καὶ ἀνανεοῖ τὸ ἐν αὐτοῖς θεῖον, ὅσοις δι' ἐπιμελείας καὶ καθάρσεως βίου κατὰ τὴν εἰκόνα τοῦ τε κατιωμένου σιδήρου καὶ τοῦ ἀργύρου τὸν ἐξ ἁμαρτίας προσγενόμενον ἰὸν ἀποπλύνασθαι προσεγένετο· εἰσέπειτα δὲ καὶ συνανυφώσει καὶ συνθεώσει τρανότερον, καὶ ἄλλους ἡλίους

Digitized by Google

αὐτοῦ; ἀπεργάσεται κατὰ τὴν μακαρίαν ὑπόσχεσιν, καὶ συμμόρφους ἀναδείξει τῆς ἑαυτοῦ φυσικῆς δόξης, Χριστὸς ὁ μέγας, φημὶ, τῆς δικαιοσύνης ἥλιος, ὃ δήπου θεῖον ἐμφύσημα Κύριλλός τε ὁ θεῖος καὶ πρὸ τούτου Βασίλειος ὁ μέγας ὁμοῦ διὰ τῶν καλλίστων ἐκείνων λόγων φθάσαντες ἡμᾶς ἐδίδαξαν κάλλιστα, ὧν δηλαδὴ τῇ διδασκαλίᾳ καὶ ὁ τῆς εὐσεβείας ὁμολογητὴς Θεόδωρος ὁ θεῖος κατ' ἴχνος ἑπόμενος, τά τε ἄλλα συμφώνως ἐκείνοις κατὰ πάντα θεολογεῖ, καὶ περὶ τοῦ θείου κάλλους τοῦ ἄνωθεν τῷ ἀνθρώπῳ δοθέντος, καθάπερ ἤκουσας, οὕτω διέξεισι· Τὸ ἐν αὐτῷ τινα ἔχειν τὸν Θεὸν μακάριον, κατὰ τὸ ἐντὸς ἡμῶν εἶναι τὴν βασιλείαν τοῦ Θεοῦ κηρυσσόμενον. Τὸ γὰρ ἡμῖν χωρητὸν τῆς κατανοήσεως μέτρον ἐν ἡμῖν ἐστιν. Οὕτως γὰρ ὁ πλάσας ἡμᾶς ἐξαρχῆς Θεὸς τῇ τῆς φύσεως ἡμῶν κατασκευῇ τῆς ἰδίας φύσεως ἐνετύπωσε τῶν ἀγαθῶν τοὺς χαρακτῆρας καὶ τὰ μιμήματα. Ἀλλὰ ταῦτα ἡ κακία ἐπεισελθοῦσα ἀπημαύρωσε, καὶ ἄχρηστα πεποίηκε, τοῖς αἰσχροῖς ἐγκατακρύψασα προκαλύμμασιν. Εἰ τοίνυν τὸν ἐπεισελθόντα τις διὰ τῆς ἁμαρτίας ῥύπον δι' ἐπιμελείας βίου ἀποκλύσοιτο, καὶ τὸν ἐντὸς ἄνθρωπον, ὃν καρδίαν ὁ λόγος κατονομάζει, διακαθάροι, ἀναλάμψει πάλιν τὸ θεοειδὲς κάλλος, καὶ ἐν τῷ ἰδίῳ κάλλει τῆς φύσεως τῆς θείας καθορᾷ τὴν εἰκόνα. Εἶτα καὶ τὴν τοῦ σιδήρου εἰκόνα τούτοις ἐπάγει, καθάπερ ἤκουσας, τοῦ μετὰ τὸ τὸν ἰώδη ῥύπον ἀποπλυθῆναι καὶ καθαρθῆναι, αὐγὰς ἀποπηδώσας πρὸς τὸν ἥλιον ἐκδιδόντος, ἀλλὰ δὴ καὶ τὴν τοῦ κατόπτρου, ἐν ᾧ, φησὶν, οἱ καθορῶντες τὸν ἥλιον οὐδὲν ἔλαττον ὁρῶσιν αὐτὸν ἐν αὐτῷ τῶν πρὸς τὸν ἡλιακὸν κύκλον ἀτενιζόντων, τὰ τῶν πρὸ αὐτοῦ Πατέρων καὶ διδασκάλων μονονουχὶ λέγων ἐκεῖνα καὶ αὖθις, Βασιλείου τέ φημι τοῦ μεγάλου καὶ δὴ καὶ τοῦ Χρυσοῤῥήμονος. Ὁ μὲν γὰρ τὰ περὶ τῆς μετοχῆς τοῦ θείου Πνεύματος θεῖα καὶ ὑψηλὰ φιλοσοφῶν ἐκεῖνα, καθὰ δὴ καὶ φθάσαντες ἔφημεν, οὕτω φησί· Καθαρθέντα δὴ οὖν ἀπὸ τοῦ αἴσχους, ὃ ἀνεμάξατο ἀπὸ τῆς κακίας, καὶ εἰς τὸ ἐκ φύσεως κάλλος ἐπανελθόντα, καὶ οἷον εἰκόνι βασιλικῇ τὴν ἀρχαίαν μορφὴν διὰ καθαρότητος ἀποδόντα, οὕτως ἔστι μόνως προσεγγίσαι τῷ Παρακλήτῳ. Ὁ δ' ὥσπερ ἥλιος κεκαθαρμένον ὄμμα παραλαβὼν δείξει σοι ἐν ἑαυτῷ τὴν εἰκόνα τοῦ ἀοράτου. Ἐν δὲ τῷ μακαρίῳ τῆς εἰκόνος θεάματι τὸ ἄῤῥητον ὄψει τοῦ ἀρχετύπου κάλλος.

Καὶ μετὰ μικρόν· Καὶ ὥσπερ τὰ διαφανῆ καὶ λαμπρὰ τῶν σωμάτων, ἀκτῖνος αὐτοῖς ἐπιπεσούσης, αὐτά τε γίνεται περιλαμπῆ, καὶ ἑτέραν αὐγὴν ἀφ' ἑαυτῶν ἀποστίλβει, οὕτως αἱ πνευματοφόροι ψυχαὶ, ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται πνευματικαὶ, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσι. Καὶ μετὰ μικρόν· Ἐντεῦθεν ἡ πρὸς Θεὸν ὁμοίωσις τὸ ἀκρότατον τῶν ὀρεκτῶν Θεὸν γενέσθαι.

Χρυσόστομος δ' αὖθις ὁ θεῖος τὰ πρὸς Κορινθίους περὶ τῶν αὐτῶν γεγραμμένα τῷ σεπτῷ Παύλῳ σκοπούμενος, Τί ἐστι, φησὶ, *τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφού-*
A *μεθα;* Σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει· πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι. Ὁμοῦ τε γὰρ βαπτιζόμεθα καὶ ὑπὲρ τὸν ἥλιον ἡ ψυχὴ λάμπει τῷ Πνεύματι καθαιρομένη· καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. Καὶ τούτοις ὁ θαυμάσιος ἐπιφέρει τὴν καλλίστην ἐκείνην τοῦ καθαροῦ ἀργύρου εἰκόνα, πρὸς τὰς ἀκτῖνας κειμένου τὰς ἡλιακὰς, καὶ ἀκτῖνας παρ' ἑαυτοῦ ἀντιπέμποντος, οὐκ ἀπὸ τῆς οἰκείας, φησὶ, φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ἡλιακῆς λαμπηδόνος, ᾧ δὴ καὶ τὴν ψυχὴν παραβάλλει τὴν θείαν ἀκτῖνα τοῦ Πνεύματος δεχομένην, καὶ ταύτην ἀντιπέμπουσαν. Καὶ τοῦτο βούλεσθαί φησι τὸν σοφὸν Παῦλον, *Κατοπτριζόμε-*
B *νοι*, λέγοντα, *τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν τὴν ἡμετέραν*· τὴν ἐγγινομένην φησὶ καὶ οἵαν εἰκὸς ἀπὸ Κυρίου Πνεύματος. Ἃ δὴ καὶ κατὰ μέρος ἐν τῷ τρίτῳ τῶν προτέρων πρὸς Γρηγορᾶν τουτονὶ λόγων ἡμῖν εἴρηται μάλιστα.

Νεῖλός γε μὴν ὁ μέγας, ὁ μηδὲν ἧττον τὰ θεῖα θεωρητικὸς ὁμοῦ καὶ φιλόσοφος ἢ τὰ λογικὰ καὶ ἀνθρώπινα, Νοῦ κατάστασις, φησὶν, ἐστιν ὕψος νοητὸν, οὐρανίῳ χρώματι παρεμφερὲς, ᾧ καὶ τὸ τῆς ἁγίας Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς. Τούτῳ συνᾴδων καὶ Ἰσαὰκ ὁ θεῖος, ὁ ἀπὸ Σύρων θεωρητικός φημι καὶ φιλόσοφος, κατὰ τὸν καιρόν φημι τῆς προσευχῆς, ὁρᾷν τὴν ἑαυτοῦ
C καθαρότητα τὸν κεχαριτωμένον νοῦν ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ, ἥτις Θεοῦ ὑπὸ τῆς γερουσίας τοῦ Ἰσραὴλ ὠνόμασται τόπος, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει. Καὶ πάλιν· Καθαρότης ἐστὶ, φησὶ, νοὸς, ἐφ' ᾗ διαυγάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς τὸ φῶς τῆς ἁγίας Τριάδος.

Οὕτω διὰ πάντων ἀπόστολοί τε καὶ θεολόγοι τὴν Ἐκκλησίαν Χριστοῦ κατὰ διαφόρους αἰτίας καὶ χρόνους τὸν τῆς εὐσεβείας λόγον μυσταγωγοῦντες, σύμφωνοι καὶ συναγωνισταὶ καὶ ὁμόφρονες διατελοῦσιν ἀλλήλοις, τῷ αὐτῷ καὶ ὁδηγούμενοι καὶ πειθόμενοι καὶ ἀγόμενοι πάντες ὁμοῦ πνεύματι. Ὥνπερ δὴ καὶ Θεόδωρος εἴπερ τις ἂν τῆς ἀρίστης χορείας καὶ τοῦ λαμπροῦ καταλόγου, ἐπεὶ καὶ ὁμολογίᾳ καὶ μαρτυρικοῖς αἵμασι καὶ θανάτῳ τοὺς καλλίστους
D ἐπεσφράγισε λόγους καὶ τὴν θεολογίαν, εὖ μάλα καὶ σὺν ἀγαθῇ τινι τῇ τύχῃ καὶ νῦν τὸν λογικὸν τουτονὶ καὶ δογματικὸν ὑπεισῆλθεν ἀγῶνα. Καὶ μικροῦ καὶ χάριτας ἐν τούτῳ τέως ὁμολογεῖν ἔχω τῷ φιλοσόφῳ, καίτοι γε μὴ μόνον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ τὰ πλεῖστά τε καὶ μέγιστα μεμφόμενος ἐν τοῖς ἄλλοις, ὅτι, φημὶ, τὸν μέγαν τουτονὶ τῆς εὐσεβείας διδάσκαλον μετὰ τῆς ἱερᾶς θεολογίας παρῆγεν εἰς μέσους. Ὃς οὐ μόνον τὰ τῶν Εἰκονομάχων περὶ τῆς θείας Χριστοῦ μεταμορφώσεως, μᾶλλον δὲ καὶ πολλῷ χείρω καὶ ἀτοπώτερα τοῦτον αὐτὸν ἐξήλεγξε τὸν παραγαγόντα φρονοῦντα, ἀλλὰ καὶ Ἀρειανὸν ἀπέδειξεν Εὐσεβίῳ, ὁρατήν τε κατ' ἐκεῖνον καὶ ῥητὴν καὶ ληπτὴν δοξάζοντα τοῦ Θεοῦ τὴν οὐσίαν κακῶς· καὶ οὐ μόνον τὴν φυσικὴν τοῦ Θεοῦ δόξαν, τὸ ἀῤῥη-

Digitized by Google

τον φῶς, τὸ τῶν ὀρεκτῶν ἔσχατον, τὴν ὑπερφυᾶ καὶ ἀπόῤῥητον θέωσιν, τὰ γὰρ αὐτοῦ τε καὶ τῶν πρὸ αὐτοῦ καὶ αὖθις ἐρῶ πρὸς τὰ κτίσματα κακῶς κατασπῶντα, καὶ δι' αὐτῶν τε καὶ σὺν αὐτοῖς τὴν θείαν οὐσίαν ἧς ἀδιάσπαστα ταῦτα, ἀλλὰ καὶ Θεὸν εἰσάγοντα κτιστὸν ἁπλῶς μετ' Εὐσεβίου τε καὶ τῶν Ἀρειανῶν, ὃν ἐκδέχονται, Θεόδωρος ἂν εἴπεν ὁ θεῖος, πρόσωπον πρὸς πρόσωπον κατ' αὐτὴν ἰδεῖν τὴν οὐσίαν, ἅτε δὴ καὶ κτίσμα πεφυκότα, φησὶ, καὶ οὕτως ὁρώμενον. Καὶ τί ἂν γένοιτο ταύτης ἐπιδοξότερόν τε καὶ λαμπρότερον τῆς θαυμαστῆς νίκης; Τί δ' ἄν τις ἔτι προσδιατρίβοι καὶ περιεργάζοιτο τὰ κατὰ τοῦ Δεσποτικοῦ φωτὸς, καὶ τῆς ὑπερφυοῦς A ἐκεῖθεν θεώσεως παραληρήματα τοῦ κενοῦ φιλοσόφου, ὅταν ὁ πρὸς τὴν καθ' ἡμῶν μαρτυρίαν τε καὶ τὰς κατηγορίας ὑπ' ἐκείνου προβληθεὶς οὑτοσὶ μάρτυς καὶ ὁμολογητὴς τῆς Χριστοῦ ἀληθείας, ὑπεύθυνον ἐκ πολλῆς περιουσίας τοῦτον αὐτὸν ἐξελέγχῃ πάντα ἐκεῖνα, καὶ τὸν χορὸν τῶν παρ' ἡμῶν εἰσαχθέντων ἱερῶν θεολόγων εἰς μαρτυρίαν ὁμοῦ πάντα συνῳδὸν ἔχων, μᾶλλον δ' ἐκείνοις αὐτὸς ὁμοῦ πᾶσι συνηχῶν καὶ συνᾴδων τὸ τῆς θεολογίας παναρμόνιον μέλος, τῇ δυνάμει καὶ ἐνεργείᾳ καὶ χάριτι τοῦ παντοδυνάμου καὶ προσκυνητοῦ Πνεύματος; Ἀμήν.

## ΠΕΡΙ ΤΩΝ

# ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ ΤΟΥ ΑΘΩ ΜΟΝΑΣΤΩΝ,

Καὶ τῶν ἱερῶς καθ' ἡσυχίαν ἀσκούντων.

## ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ.

Ἐνταῦθά με βουλόμενον στῆσαι τὸν λόγον, ὃ δὴ B κὰν τοῖς φθάσασι προὔφην, ἡ κατὰ τῶν ἐμῶν τουτωνὶ φιλοσόφων καὶ θεοφόρων ἄτοπος μανία καὶ λαμπρὰ τοῦ ψευδοσόφου τουτουὶ μάχη, θεομαχία δ' εἰπεῖν οἰκειότερον μᾶλλον, ἐπέσχε, τῶν Ναζιραίων Θεῷ, κατὰ τὴν θείαν φάναι Γραφὴν, τῶν ἐσταυρωκότων τὴν σάρκα σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις, τῶν συνεσταυρωμένων Χριστῷ μετὰ Παύλου δηλαδὴ τοῦ σκεύους τῆς ἐκλογῆς, ὡς καὶ σὺν ἐκείνῳ δύνασθαι δήπου λέγειν ἕκαστον τούτων, *Χριστῷ συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ·* καὶ ὅτι *εὐχαριστοῦμεν τῷ Πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς* C *τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτὶ, ὃς ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ.* Δι' ὃ δὴ καὶ μᾶλλον ὁ τοῦ θείου φωτὸς καὶ τῆς βασιλείας τοῦ Θεοῦ πολέμιος οὑτοσὶ τὸν ἀκήρυκτον τουτονὶ κατὰ τῶν φωτοειδῶν καὶ θεοειδῶν ἐκείνων ὡς ἐξ ἄλλης ἀρχῆς ἐκραγῆναι πεποίηκε πόλεμον. Βαρλαάμ τε μιμούμενος ἐκεῖνον τὸν πρῶτον πολέμιον τοῦ θείου τούτου φωτὸς, καὶ ἀρχηγὸν τῆς ποικίλης καὶ παντοδαπῆς ταύτης αἱρέσεως· μᾶλλον δ' ὁ μὲν Καλαβρὸς Βαρλαὰμ παρὰ τῇ τῶν Λατίνων Ἐκκλησίᾳ καὶ φὺς καὶ τραφεὶς, ἀπεῤῥωγυίᾳ πάλαι κακῶς τῆς ὄντως Χριστοῦ Ἐκκλησίας, ἐξότου δηλαδὴ περὶ τὴν ἀποστολικήν τε καὶ πατρικὴν νεωτερίσασα πίστιν, ὑπεροψίᾳ καὶ τύφῳ καὶ D τῷ τῆς γνώμης αὐθεκάστῳ τε καὶ θρασεῖ τὰς οὐ καλὰς ἐκείνας καινοφωνίας τῇ θείᾳ θεολογίᾳ τολμηρῶς ἐπεισήγαγε· παρ' ἐκείνοις τοιγαροῦν Βαρλαὰμ, ὅπερ ἔφην, καὶ ἀγωγῆς καὶ παιδείας τυχὼν, οὐ μὴν ἀλλὰ καὶ λόγους ἐκμελετήσας τοὺς ἔξωθεν οὐ παρέργως, ὡς τούτοις ἐνευδοκιμεῖν ἢ τοῖς ἱεροῖς ἔχειν μᾶλλον, οὓς οὐδὲ τὴν ἀρχὴν ὀρθῶς ἤσκησε, καινὸν οὐδὲν, οὐδ' ἔξω τοῦ κατ' αὐτὸν, ὡς ἐγώ φημι, λόγου τε καὶ τοῦ πράγματος, εἴγε τοῖς ἡμῶν ἱεροῖς δολερῶς τε καὶ κακομηχάνως ἐμπαῖξαι βουληθεὶς μετὰ τοῦ προσωπείου τε καὶ τοῦ σχήματος, τῶν μὲν παρὰ τῶν ἡμῶν ἀληθινῶς σοφῶν τε καὶ φιλοσόφων καὶ λόγοις καὶ γράμμασι καὶ συνόδοις ἱεραῖς ὅλαις ἀπογεγύμνωται, πρὸς δὲ ταῖς Λατινικαῖς καὶ πατρίοις δόξαις, ἔτι καὶ τὰ τῶν Ἑλλήνων πονηρά τε καὶ ἄθεα δόγματα, μετὰ Σωκράτους τε καὶ Πλάτωνος καὶ τῶν ἀπὸ τῆς στοᾶς κάκιστα νοσῶν ἐλεγχθεὶς, αἰσχρῶς ἐπανῆλθε πρὸς τοὺς ἰδίους, παθὼν ἅπερ ἤλπισε δράσειν ἑτέρους, καὶ τὴν ἧτταν καὶ τὴν αἰσχύνην, καὶ τὸν πάνδημον ἐκεῖνον οὐκ ἐνεγκὼν θρίαμβον· Γρηγορᾶς δ' οὑτοσὶν ἐκ βαρβάρων παρὰ τὴν τῶν πόλεων βασιλίδα ταυτηνὶ, καὶ τὴν μεγάλην ἐλθὼν τῶν ἐκκλησιῶν Χριστοῦ μητέρα· τῆς γὰρ Παφλαγόνων ὥρμητο γῆς, καὶ ἀγωγῆς καὶ παιδείας ἐνταῦθα, καὶ μούσης Ἑλληνικῆς μεταςχὼν, ὡς καὶ τῶν μετεώρων ἀσκῆσαί τινα δόξαι, καὶ ὀνόματος εὐμοιρῆσαί τινος, μᾶλλον δὲ καὶ πολλῷ τοῦ κατ' αὐτὸν πράγματος ὑψηλοτέρου καὶ μείζονος, τὸ μὲν βάρβαρον ἦθος ἀμηγέπη καὶ τὴν φωνὴν ἀποβαλεῖν ἔσχε, τῶν δὲ τρόπων τε καὶ τῆς γνώμης τὸ βάρβαρον οὐ μόνον οὐκ ἔσχεν ἀποβαλεῖν, ἀλλὰ καὶ προσεξειργάσατο καὶ προσέθηκεν ἐκ πάνυ τοι πολλοῦ τοῦ περιόντος τῶν ὁμοφύλων χείρων τὰ τοιαῦτα φανεὶς, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι· μᾶλλον δ' ἐκεῖνοι μὲν, εἰ καὶ βάρβαροι τὴν γλῶτταν ἄλλως καὶ τὸ ἦθος ὄντες τυγχάνουσι, τῆς ἀγωγῆς τε καὶ τῶν πατρίων οὕτω ταυτὶ χορηγούντων, ἀλλὰ καὶ τρόπων εἰσὶ χρηστῶν καὶ καλοκἀγαθίας καὶ ἀρετῆς φροντισταὶ καθόσον οἷόν τε, εὐσεβείας τε πρὸ τῶν ἄλλων, καὶ τῶν ἀποστολικῶν τε καὶ πατρικῶν δογμάτων σπουδασταί τε καὶ φύλακες· ὡς καὶ αὐτῆς ὑπὲρ τούτων μετὰ πλείστης γε τῆς φιλοτιμίας ἐν τῷ τοῦ καιροῦ παρασχόντι πῶς ἂν εἴποις ἡδέως ἀφίστασθαι τῆς ψυχῆς· ὁ δὲ καὶ κατεξανί-

Digitized by Google

στη τῆς καὶ θρεψαμένης καὶ παιδαγωγησάσης καὶ A λόγων καὶ ὀνόματος μεταδούσης, ὡς μὴ ὤφελεν, Ἐκκλησίας, καὶ τὰ δεινότατα καὶ ἀπευκτότατα καὶ πόῤῥω παντὸς παραδείγματος ἀκολάστῳ καὶ τολμηρᾷ γλώττῃ κατὰ τῆς Χριστοῦ νύμφης ὑβρίζει. Καὶ Βαρλαὰμ κατ' αὐτὸ φημι τοῦτο τὸν μυσταγωγὸν τῶν τοιούτων παρενεγκών, ὅσον ἐκεῖνος μὲν εἰς τὴν ἱερὰν ἡσυχίαν καὶ τοὺς σπουδαστὰς ταύτης ἐκ φαύλων τινῶν ἀρχῶν ὑβρίζειν ἀρξάμενος, ἐπεὶ τὴν θεολόγον τοῦ Γρηγορίου γλῶτταν ἀντικρούουσαν ἰσχυρῶς ἔσχε, πρὸς τὰς ἀτόπους ἐκείνας δόξας καὶ τὰς αἱρέσεις ἐξεκυλίσθη, ἐν τῷ πορίζειν ἀπολογίας τῶν προημαρτημένων, ἑαυτῷ δῆθεν ἁμαρτάνων ὑπὲρ πᾶσαν συγγνώμην, καὶ πάσης ἀπολογίας ὁμοῦ καὶ παραιτήσεως καθάπαξ ἀποστερούμενος· πλὴν B ὅσον οὐ πρὸς τὴν ἱερωσύνην καὶ τοὺς σεπτοὺς ἱεράρχας τε καὶ μυσταγωγοὺς τῶν ἱερῶν ἀπαναισχυντήσας ὦπται μυστηρίων ἐκεῖνος, ἀλλὰ καὶ κυρίους τῆς κατ' αὐτὸν αὐτοὺς ἐποιεῖτο δίκης, καὶ τῶν δογματικῶν καὶ θεολογικῶν δοκιμαστὰς λόγων, καὶ τῶν ἀντιλεγόντων καὶ κριτὰς ἅμα καὶ κολαστάς, εἰ καὶ τρόπον ἕτερον οὐ καλῶς οὐδὲ δικαίως ᾤετο ταῦτα. Ὁ δὲ μύστης οὑτοσὶν ἐκείνου καὶ τῆς πλάνης διάδοχος ὑβρίζει μὲν ὡς ἱερέας Θεοῦ καὶ ποιμένας ὁμοῦ πάντας καὶ διδασκάλους, καὶ δὴ καὶ Θεὸν τὸν ὑπ' αὐτῶν τούτων εὐσεβῶς ὁμοῦ καὶ θεοπρεπῶς θεολογούμενόν τε καὶ κηρυττόμενον, ὅσα καὶ ὁ λόγος ἡμῖν ἔφθη δεῖξας ἐκ μέρους· ὑβρίζει δ' ἀκρατῶς εἰς τὴν ἱερὰν ἡσυχίαν διὰ τῶν αὐτῆς ἀθλητῶν τε καὶ ἀσκητῶν· μᾶλλον δ' οὐχ εἰς τὴν C ἡσυχίαν μόνην, ἀλλὰ καὶ τὴν ἀρετὴν ὁμοῦ πᾶσαν, ὅση τε τῆς θεωρίας καὶ ὅση τῆς πράξεως, τὸν ἱερὸν Ἄθω τῷ λόγῳ προθείς, τὸ μόνον ὡς ἀληθῶς ἁπάσης τῆς ἀρετῆς κοινὸν ἐργαστήριον, τῶν καθ' ἡμᾶς τις ἔφη σοφῶν, τὸν τῶν ἑκασταχοῦ τῆς οἰκουμένης πῶς ἂν εἴποιμι ὁμολογουμένως ἐξειλεγμένον μάλιστα χῶρον, τὸν ἱερὸν χηραμόν, τὸ μέγα καὶ θαυμαστὸν ὄντως τῆς ἀρετῆς παγκράτιον, τῶν Ὀλύμπου πραγμάτων τὸν διαφερόντως νομέα· μᾶλλον δ' οὐκ οἶδ' ὅ τί τις ἂν εἰρηκὼς ἔπειτ' ἀρκέσαι· ἡ γὰρ τῶν ἐποικούντων ἀρετὴ πᾶσαν ὑπερβολὴν ἀμβλύνει. Οὐχ δήπου καὶ βασιλεὺς ὁ σοφός, οὔπω τότε τοῦ σκήπτρου καὶ τοῦ κράτους ἐπειλημμένος, ἄρτι πρώτως ἐπιδεδημηκὼς τοῖς ἐκεῖ, καὶ τὴν ἀρετὴν μεθ' ὑπερβολῆς ἀποθαυμάζων τῶν ἐνοικούντων, Ἕλληνες D μέν, ἔλεγεν, ἐν μύθοις φασὶν Ἀτλαντά τινα τῶν μετὰ Κρόνου θεῶν καθῃρημένων, ταύτην ὑπὸ τῶν ἀρξάντων τὴν δίκην κατεψηφίσθαι, τοὺς τῆς γῆς ἀνέχειν κίονας ὡς ἂν πιέζοιτο τῷ τοσούτῳ βάρει· ἐγὼ δὲ τούτους φαίην ἄν, καὶ τῆς ἀληθείας ἐμοὶ συμμαρτυρούσης, ταύτην τὴν τιμὴν λαχεῖν, τοῦ βίου τῆς πολλῆς φιλοσοφίας ἕνεκα παρὰ Θεοῦ τὸ τὴν γῆν ἀνέχειν, εὐχαῖς ἱλεουμένους αὐτῇ τὸ Θεῖον. Τὸν γοῦν οὕτως ὑπὸ μεγάλων τε καὶ σοφῶν ἀνδρῶν καὶ θαυμαστῶν ὁμοῦ βασιλέων μεθ' ὑπερβολῆς θαυμαζόμενον θαυμαστὸν Ἄθω, διὰ τὸ περιὸν τῆς ἀρετῆς φημι, καὶ τῆς ἁγιότητος τῶν προσοίκων, ἐῶ γὰρ νῦν τοὺς πρὸ ἡμῶν συγγραφέας τε καὶ σοφοὺς λέγειν, οὐδὲν ἧττον εἰ μὴ καὶ μᾶλλον τῶν νῦν τούτων τεθαυμακότας, ὁ Γρηγορᾶς εἰς μέσους παρηχῶς, ὅπερ ἔφην, οὐδέν φησιν ἀρετῆς ἴχνος διὰ τοῦ οἰκείου Ἀγαθαγγέλου, οὐδὲ μόριον γοῦν ἀγαθοῦ τι καὶ λείψανον παρὰ τοῖς ὁσίοις ἐκείνοις καὶ ὁπηοῦν εὑρεῖν, εἰ μὴ καὶ πᾶν, φησί, τοὐναντίον. Εἰκότως· οὐδὲ γὰρ οὐδὲ τοῖς ὀφθαλμιῶσιν ἔξεστι βλέπειν πρὸς τὰς ἀκτῖνας, μᾶλλον δὲ καὶ πειρωμένοις ἐνατενίζειν, εἰς σκότος αὐτοῖς ἀντιπεριΐσταται τὰ τῆς αἴγλης· καὶ νυκτερίσιν ὡσαύτως ἀθέατον τὸ λαμπρὸν τουτοῒ τοῦ φωσφόρου. Ὡς δὲ καὶ Γρηγορᾷ καὶ τοῖς ὁμιληταῖς ἐκείνου καὶ τῆς αἱρέσεως κοινωνοῖς ἀθέατον τοπαράπαν τὸ λαμπρότατον καὶ ὑπερφυὲς φῶς τῆς παντοδαπῆς ἀρετῆς φημι τῶν ὁσίων ἐκείνων, πυρσοῦ τινος περιφανοῦς δίκην, οὐ τοῖς ἐκεῖ νοητῶς διὰ παντὸς μόνον φαῖνον, ἀλλὰ καὶ γῇ καὶ θαλάττῃ καὶ νήσοις καὶ πόλεσι, καὶ Ἕλλησι καὶ βαρβάροις καὶ εἰς τὰς τῆς οἰκουμένης ἐσχατιὰς ὑπερφυῶς ὑπερβαῖνον, καὶ πᾶσιν ὁμοῦ περικυκλούμενόν τε καὶ θαυμαζόμενον ... τοῖς τῆς ἡ .. ρας .. αὐ .. φημι μόνον ... ῦ κατὰ ... σταχοῦ ... οῦ κατὰ ... ἀλλὰ ... ἀπίστοις ... τι γὰρ ... οις τῶν ... ον καὶ ... λων ... ὑπὲρ ... κατορ ῖν ... ἐκ τῶν ... εως καὶ ... ομένων ... τοῦ πρακτι ... τῆς ἀρετῆς ... ομαι. Οὐ νηστεία ... ἥτις ... καὶ ὁ ... ὑῆς. Ὡς ... νας τῶν ... ὅρων ἐκείνων .. μέν, πρὸς .. αν τε καὶ ... καὶ δὴ καὶ ... μον Ἰησοῦν ὕστερον ... καὶ τῶν ἡ ... ῦν ἅμιλ ... αι, τοὺς δέ, ... παρελαύνειν .. ρίας ὑπὲρ σπεύδειν ... ὅτε τούτῳ ... καὶ τῷ ... νον ἅπαξ ... ἀλλὰ καὶ .. άκις ... ἑκάστης ... τοῦ περιτρο ... παρὰ ... α ταυτὶ διαθλεῖν ἔχειν τὸν βίον, ὥσπερ οὐδ' ἐκ γῆς καὶ πηλοῦ, ἀλλ' ἄσαρκοί τινες καὶ ἀναίμονες ὄντες καὶ τὸν ἄνθρωπον ὑπερφυῶς ὑπερβαίνοντες; Οὐχ ἀγρυπνία, οὐ στάσις πάννυχος, οὐ ψαλμῳδία καὶ μέλη καὶ Γραφῶν θείων καὶ λογίων ἱερῶν ἀνάγνωσις νύκτωρ καὶ μεθ' ἡμέραν; μέλη μυστικά, καινῶς τε καὶ σχεδὸν ὑπὲρ λόγον ᾀδόμενα μετὰ τῆς θαυμαστῆς συμφωνίας τε καὶ τοῦ ῥυθμοῦ καὶ τοῦ σχήματος καὶ τῆς καινῆς ἑορτῆς τῶν ἠθῶν ἐκείνων, ποίας οὐ παριόντα σειρῆνας; τίνας Ὀρφέας, τίνας τῶν ὑφ' ἡλίῳ μελῳδούς τε καὶ μουσικοὺς οὐ λῆρον ὁμοῦ πάντας ἀποδεικνύντα τῷ τῆς πνευματικῆς περιόντι χάριτος καὶ τῆς μ ύσης; Τίς τῶν τοῦ Πνεύματος καρπῶν οὐ μετὰ πολλῆς τῆς δαψιλείας ἐν ἐκείνοις βρύει τοῖς μακαρίοις, ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια, καθ' ὧν οὐδὲ νόμος ἐστὶν ὡς *ὑπὲρ νόμον* δηλαδὴ ζῶσι, κατὰ τὸν μακάριον Παῦλον εἰπεῖν. Ἐῶ γὰρ νῦν χαμευνίας λέγειν καὶ ἀλουσίας καὶ κλίσεις γονάτων συνεχεῖς, καὶ χειρῶν ἔργα καὶ πόνους πανημερίους, καὶ τὸ ἐν ἐνδύμασι καὶ ὑποδήμασι καὶ τροφαῖς ὡσαύτως εὐτελές τε καὶ ἄτυφον, καὶ τὴν σκληρὰν ἀγωγὴν ὁμοῦ πᾶσαν οἷς ἐντρυφῶσιν οἱ γενναῖοι παρὰ πάντα τὸν βίον φιλοσοφοῦντες. Ἐπεὶ δὲ τῶν καρπῶν τοῦ Πνεύματος μετὰ τοῦ Ἀποστόλου πρὸ βραχέος μνημονεύων ὁ λόγος, καὶ ἀγάπης ἐμνήσθη τῆς ἄκρας κορυφῆς τῶν ἀρετῶν δηλαδή, τὸ δὲ κατ' αὐτὴν κατὰ θείους φάναι χρησμοὺς εἰς Θεόν τε καὶ τὸν πλησίον διῄρηται, τῆς μὲν πρὸς Θεὸν ἀγάπης εὐ-

Digitized by Google

τῶν μάρτυρες; καὶ αὐτά φημι ταῦτα τὰ προῤῥηθέντα· τῆς δὲ πρὸς τὸν πλησίον, θαυμάσαιμ' ἂν ἔγωγε, εἴ τινες τῶν ὑπὲρ γῆς νῦν ὄντων ἀνθρώπων, εἰς ἅμιλλάν ποτ' ἐλθεῖν ἂν ἐκείνοις φιλοτιμήσαιντο. Ὥστ' εἰ καὶ μηδέν τι τῶν εἰρημένων τούτοις προσῆν, ἐκ ταύτης ἂν πανταχοῦ βεβοῆσθαι. Νῦν δὲ πρόσεστιν ἐκείνοις ἐκ πολλοῦ τοῦ περιόντος καὶ αὕτη, οὕτω δή τοι λαμπρὰ καὶ μανική τις, καὶ ἄτοπος χρῆσθαι, ὡς μηδὲ λέγειν εὐχερὲς ἔχειν ἐν ὅσοις μᾶλλον εὐδοκιμοῦσιν οἱ περιφανεῖς οὗτοι τῶν τοιούτων ἐργάται, πότερον ἐν ἐκείνοις ὁμοῦ πᾶσιν, ἢ τοῖς τῆς μακαρίας ταύτης ἀγάπης. Μᾶλλον δ' ἐπεὶ φθάσαντες ἐκεῖνα καλῶς τε καὶ ὡς ἐχρῆν ἤσκησαν κατὰ μέρος, ὡς μηδέν τι καὶ ὁπηοῦν τοῦ προσήκοντος ἐλλελεῖφθαι, διὰ ταῦτ' ἄρα καὶ τοῦ κορυφαίου τουτουῒ τῆς ἀγάπης ῥᾷστα καὶ μετὰ παντὸς [B] τοῦ προσήκοντος ἔσχον ἐπιλαβέσθαι, μηδὲ γὰρ ἐξεῖναι τῆς ἄκρας ἐπιβῆναι τῆς κλίμακος, μὴ διὰ τῶν βαθμίδων καθ' εἱρμόν τινα καὶ τάξιν πρότερον ἀνιόντα, μηδὲ τὴν ὀροφὴν ἐπιτεθῆναι τῷ οἴκῳ, τῶν στύλων τε καὶ τῶν τοίχων ἀνενδεῶς οὐχ ὑποβληθέντων.

Καὶ ὅρα μοι πᾶς τις ὁ τὰ τῶν θαυμασίων ἐκείνων ἀνδρῶν περιεργαζόμενος καὶ φιλοκρινῶν τὸ κοινωνικὸν αὐτῶν ἐν ἅπασι καὶ φιλάλληλον, τὴν φιλοξενίαν, τὴν φιλαδελφίαν, τὴν ἐπιμέλειαν τῶν νοσούντων, τὴν περὶ τοὺς πτωχούς τε καὶ ἀπόρους σπουδὴν καὶ παντοδαπὴν προμήθειαν, τὴν τῶν ξένων μετὰ τῆς ἄκρας φιλοτιμίας ὑποδοχὴν καὶ φιλοφροσύνην, ὅσοι τε διὰ ξηρᾶς, καὶ ὅσοι διὰ θαλάττης [C] παρ' ἐκείνοις κατάγονται παρὰ πάντα καιρόν τε καὶ χρόνον, ὅπως οὐ κοινὰ μόνον ποιοῦνται τὰ ὄντα, ἀλλ' ἔστιν οὗ καὶ τῶν ἀναγκαίων ἐκείνοις ἐξίστανται θαυμαστῶς ἐν τῷ τῆς χρείας καλοῦντι, οὐχ Ἕλλησι μόνον ἀνδράσι καὶ ὁμοφύλοις, ἀλλὰ καὶ βαρβάροις ἀκριβῶς, καὶ τῶν καθ' ἡμᾶς ἱερῶν ἀπεῤῥωγόσι πάλαι καὶ ἔργοις καὶ λόγοις· καὶ οὐ τούτοις γε μόνοις, ἀλλὰ καὶ τοῖς ἀπίστοις αὐτοῖς φημι, καὶ Χριστὸν ἀγνοοῦσιν, οὐ διὰ φόβον ὡς ἂν εἴποι τις καὶ τὸ ἐπικείμενον ξίφος, καὶ τὴν μανίαν τὴν καθ' ἡμῶν. Πῶς γάρ; οἳ καὶ καταγνύντας ἐκείνους τὰ σκάφη πολλάκις δεχόμενοι τοῖς κύμασι, καὶ τῶν πετρῶν ταῖς ὑφάλοις, ἢ καὶ τὰς ναῦς ὁμοῦ φεύγοντας, καὶ τὸ ξίφος τῶν ἐπιόντων, οὐ μόνον [D] οὐκ ἐχθρόν τι καὶ πολέμιον ἐνεδείξαντο πώποτε, ἀλλὰ καὶ τροφάς, καὶ ὑποδήματα καὶ οἰκήσεις ὥρᾳ χειμῶνος παρέσχον ἐπὶ μακρόν, εἶτα καὶ τὰ πεπονηκότα τῶν πλοίων ἐκείνοις, καὶ ἀναλώμασιν ἀσκούμενοι καὶ χερσὶ καὶ πόνοις ἰδίοις· ἔστι δ' ὅτε καὶ μὴ ἔχουσι τῶν νεῶν τῶν οἰκείων διδόντες, εἶτ' ἐπὶ πᾶσι καὶ τῶν ἐφοδίων ὡσανεί τινες πατέρες, καὶ φροντισταὶ δαψιλῶς ἐκ τῶν ἐνόντων μεταδιδόντες, οὕτω παιανίζοντάς τε καὶ κροτοῦντας ἐκπέμπουσιν οἴκαδε. Ὡς ἐκείνους εἶναι τοὺς μακαρίους, καὶ μόνους τῆς δεσποτικῆς ἐντολῆς ἄκρους ἐργάτας ἐξ ἄρα τῶν νῦν ὄντων πάντων ἀνθρώπων, *Παντὶ τῷ αἰτοῦντί σε δίδου*, διαῤῥήδην οὑτωσὶ παντὶ κελευούσης, καὶ μόνους τοὺς θεοφιλεῖς τούτους κατὰ μίμησιν ἐλεεῖν θείαν, καὶ οἰκτίρμονας μόνους πεφυκέναι κατ' ἐκεῖνον καθόσον οἷόν τε, ὃς ἀνατέλλει [A] τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Καὶ ταῦτα μὲν ὅσοι κατὰ συστήματα, καὶ συλλόγους καὶ συνοικίας ἱερὰς τῶν μακαρίων διαζῶσιν ἐκείνων· εἰ δὲ καὶ πρὸς τοὺς πάντη μεμονωμένους τε καὶ ἐρημικοὺς ἀπίδοις, ὅσοι τε παρὰ τοῖς εἰρημένοις φροντιστηρίοις, καὶ ὅσοι κατὰ τὴν ἔρημον ἐπήξαντο τὰς καλύβας, ἐν ὄρεσι πλανώμενοι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς, ὀρεσίτροφοί τινες, καὶ θηρσί τε καὶ πτηνοῖς τὴν δίαιταν ὄντως ἐφάμιλλοι, θαυμάσεις μὲν καὶ τὴν μόνωσιν, καὶ τὴν ἐρημίαν, καὶ ἀκτησίαν, καὶ ἀτροφίαν, καὶ τὴν πρὸς Ἠλίαν τε καὶ Ἰωάννην, καὶ δὴ καὶ τοὺς ἀσωμάτους σχεδὸν ἅμιλλαν τῶν γενναίων, ἐκπλα-[B]γήσῃ δὲ μᾶλλον τὴν τῆς σαρκὸς τῆξιν, καὶ τὴν νέκρωσιν τῶν μελῶν, τάς τε τῶν δακρύων ἀεννάους φημὶ πηγάς, καὶ τὸ τῆς θεουργοῦ ταπεινώσεως ὁμοῦ καὶ ἀγάπης ἄκρον, δι' ὧν ἐκεῖνοι μετὰ τῆς σωματικῆς καὶ τὴν ψυχικὴν ἡσυχίαν καὶ τὴν εἰρήνην τῶν λογισμῶν καὶ πᾶν ὅ τι θεῖον καὶ ὑψηλὸν κατωρθωκότες ὁμοῦ, πρὸς τὸ ἀρχαῖον ὑπερφυῶς ἐπανῆλθον κάλλος, κάλλιστα καὶ μετὰ τοῦ γιγνομένου παντὸς διὰ προσευχῆς νοερᾶς καὶ ἀδιαλείπτου γε ἀποδόντες τῇ εἰκόνι τὸ κατ' εἰκόνα, καὶ τῷ ἀκροτάτῳ τῶν ἐφετῶν, τῷ ἀληθινῷ τῆς μακαρίας Τριάδος φωτὶ, μακαρίως τε καὶ ὑπερφυῶς συναφθέντες ἅμα καὶ θεωθέντες.

Ἀλλὰ τούτων ἁπάντων ἕν τι μηδὲν ἧπερ ἔδει συν-[C]ιδὼν Γρηγορᾶς, μηδ' ὑπὸ τῶν κακῶς ἀγόντων παθῶν, τοῦ τε φθόνου φημὶ καὶ τῆς κενοδοξίας, ὑφ' ὧν δηλαδὴ καὶ πρὸς τὴν ἄτοπον καὶ πονηρὰν ἐξεκυλίσθη δυσσέβειαν, ἄνω βλέπειν δυνάμενος, ἀδδηφαγίας τινὰς καὶ γαστριμαργίας κατὰ τῶν θεοφόρων ἐκείνων συνείρει, καὶ κόρον καὶ μέθην, καὶ ἀμετρίαν ὕπνου, καὶ ἃ μηδ' ἄν τις μηδὲ τῶν κατὰ κόσμον γυναιξί τε καὶ παισὶ συζῆν ᾑρημένων, καὶ σμικρὰ γοῦν τινα καὶ ὁπωσοῦν εὐλαβείας ἀντιποιουμένων κατειπεῖν ποτε προαχθείη, καὶ οὕτως ἀνακεκαλυμμένῃ τῇ κεφαλῇ, καὶ δίχα προσωπείου τινός. Ὁ δὲ καὶ τὰ χείρω καὶ ἀτοπώτατα τούτοις προστίθησιν, ὀνείρους τε καὶ προβιβασμούς, καὶ πυρῶν τινων αἰσθητῶν θεωρίας, καὶ προῤῥήσεις ψευδεῖς, καὶ πλάνας, πεπλανημένος καὶ παράφορος [D] ὄντως καὶ λογισμοὺς καὶ γνώμην ἐπικαλῶν τοῖς ἁγίοις, καὶ οἷς αὐτὸς μᾶλλόν ἐστιν ὑπεύθυνος, ὡς μετὰ μικρὸν ἐκ τῶν αὐτῶν λόγων καὶ τοῦτο διαδειχθήσεται. Τί ταῦτα συγκλώθων τε καὶ συῤῥάπτων, καὶ τοῖς γράμμασι ξυντιθείς; Ἵν' ἐκ τῶν ἑκατέρων ἄκρων τὴν ἀποστολικὴν πολιτείαν καὶ τὸ κήρυγμα, καὶ τὴν πίστιν, καὶ τὸ Χριστοῦ Εὐαγγέλιον μετὰ Ἰουλιανοῦ τε καὶ Κέλσου, καὶ δὴ καὶ Ἐλύμα, καὶ Σίμωνος τῶν ὀργίων καὶ αὐτὸς ἐξορχησάμενος καὶ ὑβρίσας, ὀνόματος εὐμοιρήσῃ καὶ λόγου προσηκόντων τῷ τοιούτῳ γε καταλόγῳ. Δυοῖν καὶ γὰρ ὄντοιν ἡμῖν, ἃ τὴν ὑγιᾶ πίστιν καὶ τὸ Χριστοῦ ξυνίστησιν Εὐαγγέλιον καὶ τὸ κήρυγμα, δογμάτων ὀρθῶν τέ φημι, καὶ τῶν ἀπταίστων περὶ Θεοῦ λόγων, ὅσοι τε περὶ τῆς μακαρίας καὶ ἀρχικῆς καὶ ὁμοουσίου Τριά-

Digitized by Google

δος, καὶ ὅσοι τῆς διὰ σαρκὸς περὶ ἡμᾶς οἰκονομίας A τοῦ ἐνυποστάτου Θεοῦ Λόγου ἑνὸς τῆς μακαρίας ταύτης Τριάδος, καὶ δὴ καὶ πολιτείας θεοπρεποῦς καὶ ἱερῶν ἔργων, ἐπειδὴ πίστις νεκρά τις καὶ ἀκίνητός ἐστι, κατά γε τὸ εἰρημένον, ἔργων ὑστεροῦσα τῶν καταλλήλων, ἐπειδὴ τούτων ἑκατέρων ἄκροι τεχνῖται καὶ μύσται καὶ μυσταγωγοὶ τοῖς ἀπὸ Χριστοῦ καλουμένοις ἡμῖν ἱερωσύνη τέ φημι καὶ μοναδικὴ καθεστήκασι πολιτεία ἀγγελικαῖς καὶ ἀΰλοις τάξεσιν ἑκατέρα μετὰ τῆς ὕλης ὑπὲρ φύσιν ἁμιλλωμένη, καθαίρουσαί τε καὶ φωτίζουσαι καὶ ξυνιστᾶσαι τὸ πλάσμα τῷ πλάσαντι, καὶ τῇ εἰκόνι γε καλῶς ἀποδιδοῦσαι τὸ κατ' εἰκόνα, τοὺς ἐν ἑκατέροις κορυφαίους ἀπολαβὼν Γρηγορᾶς οὑτοσίν, ἱεράρχας τέ φημι καὶ ποιμένας λαῶν, καὶ δὴ καὶ τοὺς τῆς B νοερᾶς ἡσυχίας καὶ προσευχῆς σπουδαστάς, καὶ Θεοῦ θεωρίαν καὶ ἕνωσιν, ἀγάπῃ τελείᾳ καὶ νήψει διὰ βίου γε παντὸς ἀμελητὶ πραγματευομένους, τούτοις τοιγαροῦν Γρηγορᾶς ἔργον ἑαυτοῦ καὶ τῶν οἰκείων λόγων πεποιημένος ψεύδει καὶ συκοφαντίᾳ καὶ τῇ κατὰ Χριστοῦ περιφανεῖ μανίᾳ, πῶς ἂν εἴποις ἐστομωμένων καὶ τεθηγμένων, οὕτω σαφῶς τε καὶ συντόμως εἴς τε τὸ Χριστοῦ Εὐαγγέλιον καὶ τὴν πίστιν καὶ πᾶσαν ὁμοῦ τὴν Ἐκκλησίαν διαῤῥήδην τὰ πάντων αἴσχιστά τε καὶ ἀτοπώτατα καθυβρίζει, διὰ μὲν τῶν προὐχόντων ἱερέων καὶ διδασκάλων, καὶ τῆς ἱερᾶς ἐπιστήμης αὐτῶν καὶ θεολογίας, εἰς τὴν εὐσέβειαν ἐξυβρίσας ἀτόπως, διὰ δ' αὖ τῶν θεοφόρων τε καὶ θεοειδῶν ἐκείνων, ὅσοι δηλαδὴ νήψει καὶ προσευχῇ, καὶ τῇ τοῦ Θεοῦ C προσέχουσι θεωρίᾳ, τὴν ἀποστολικὴν καὶ πατρικὴν καὶ θεοπρεπῆ πολιτείαν κατὰ ταυτὰ μυκτηρίσας καὶ καθυβρίσας· μᾶλλον δὲ καὶ δι' ἑκατέρων ἑκάτερα, ἐπειδὴ καὶ ξυμπεφυκότα πως ἀλλήλοις ταυτί, καὶ ἀχωρίστως γε ξυνημμένα, ὡς μήτε πίστιν εἰλικρινῆ καὶ δογμάτων ἀκρίβειαν, καὶ θεολογίαν ἄπταιστον συνεστάναι πολιτείας ἱερᾶς ἄνευ, μήτε πολιτείαν εὐαγγελικὴν αὖθις καὶ σῶμα καὶ νοῦν, καὶ πρᾶξιν, καὶ λόγον κεκαθαρμένα, καὶ τὸ διὰ πάντων τουτωνὶ κατηρτίσθαι καὶ σώζοντα λόγον ἴσχειν, δογμάτων ὑγιῶν δίχα καὶ τῶν προσιόντων, ᾗπερ ἔφην, περὶ Θεοῦ διανοημάτων καὶ λόγων, ἐν τῷ παρασχόντι τῆς χρείας· ψυχῆς γάρ πως καὶ σώματος οἱονεὶ καὶ ταῦτα πρὸς ἄλληλα λόγον ἴσχει· εἰ μή τι καὶ πλέον ἔχομεν λέγειν, ὡς καὶ ἀμφοτέρων τῶν μερῶν νε- D κρουμένων τῇ ἀπ' ἀλλήλων γε διαιρέσει καὶ τῇ τομῇ. Οὕτω Γρηγορᾶς καὶ Βαρλαὰμ τὸν καθηγητὴν ἐν τοῖς τοιούτοις ὑπερσχὼν πολλῷ τινι τῷ μέσῳ, οὐδὲ τοῖς ἀρχαίοις αἱρετικοῖς τε καὶ κακοδόξοις παραβάλλεσθαι δίκαιος ἂν εἴη, τῇ κατὰ τοῦ Εὐαγγελίου καὶ τοῦ Χριστοῦ παντοδαπῇ ταύτῃ μάχῃ, τοὺς μὲν παρευδοκιμηκὼς ἅπαντας ἐκ πολλοῦ πάνυ τοῦ περιόντος, Ἰουδαίοις δὲ καὶ Ἕλλησι μόνοις ἐν ἐκείνοις ἁμιλληθείς. Οὐδὲ γὰρ οὐδ' οἱ κτίσμα γε τὸν Υἱὸν τοῦ Θεοῦ, καὶ τὸ Πνεῦμα μετ' Ἀρείου τε καὶ Μακεδονίου τολμηρῶς τε καὶ ἀθέως εἰπόντες, καὶ τῆς εὐαγγελικῆς κατὰ Γρηγορᾶν κατεξανέστησαν πολιτείας, καὶ τοῦ παντὸς οὑτωσὶ κατωρχήσαντο, πολλοῦ γε καὶ δεῖ· ἀλλ' ἐδόκουν καὶ σχῆμα καὶ προσωπεῖον γοῦν εὐσεβείας τι περιφέρειν, καὶ ἱερέας αἰδεῖσθαι, καὶ πολιτείαν ἀρίστην, καὶ τοὺς αὐτῆς ἐπαινεῖν χορευτάς, ὡς καὶ Γρηγόριον, τὴν θεολόγον φημὶ γλῶτταν, ἐν τοῖς περὶ τοῦ Πνεύματος τοιάδε πρὸς ἐκείνους εἰπεῖν· Τοσοῦτον ὑμῶν περιέχομαι, καὶ τοσοῦτον ὑμῶν αἰδοῦμαι τὴν εὔκοσμον ταύτην στολήν, καὶ τὸ χρῶμα τῆς ἐγκρατείας, καὶ τὰ ἱερὰ ταῦτα συστήματα, καὶ τὴν σεμνὴν παρθενίαν καὶ κάθαρσιν, καὶ τὴν πάννυχον ψαλμῳδίαν, καὶ τὸ φιλόπτωχον καὶ φιλάδελφον καὶ φιλόξενον, ὥστε καὶ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ καὶ παθεῖν τι ὡς κατάκριτος δέχομαι, μόνον εἰ σταίητε μεθ' ἡμῶν, καὶ κοινῇ τὴν Τριάδα δοξάσαιμεν. Ὥστ' οὐδὲν ἀπεικὸς οὐδ' ὁ λόγος ἡμῖν οὑτοσὶν ἔσχεν, Ἕλλησί τε καὶ Ἰουδαίοις τοὺς ὑβριστὰς καὶ τῆς πολιτείας ὁμοῦ καὶ τῶν δογμάτων συντεταχόσι τῶν ἱερῶν, ὧν τοῖς μὲν σκάνδαλον, τοῖς δὲ μωρία, κατὰ τούτους γε αὐτούς, ὁ τοῦ Χριστοῦ σταυρὸς ἐνομίσθη. Ἐπεὶ δὲ καὶ τὸ τῆς ἱερᾶς προσευχῆς θεῖον μυστήριον, καὶ τὴν τοῦ θείου Πνεύματος μυστικὴν ἐνέργειάν τε καὶ ἐποψίαν εἰς τὸν Βεελζεβοὺλ ἀνάγων, ἢ κατάγων, οἰκειότερον εἰπεῖν μᾶλλον ὁ μάταιος οὑτοσίν, Ἰουδαϊκῶς τε καὶ Φαρισαϊκῶς καὶ αὐτό φημι τοῦτο, Μασαλιανοὺς καὶ Εὐχίτας τινὰς ἀποκαλεῖ τοὺς θεοειδεῖς ἐκείνους· ἐρωτητέον αὐτὸν καὶ πάλιν, τίνες ἂν εἶεν οἱ τὰ Μασαλιανῶν τε καὶ ὧν φησιν Εὐχιτῶν φρονοῦντες, οἱ πνεύματι καὶ νῷ προσευχόμενοι, καὶ ψάλλοντες οὗτοι κατὰ τὸν σοφὸν Παῦλον, καὶ τὸ τοῦ νοῦ ὀπτικὸν ἀποκαθαίροντες πράξει καὶ λόγῳ, πρὸς τὴν ὑποδοχὴν τῆς τοῦ Πνεύματος ἐνεργείας τε καὶ ἐλλάμψεως κατὰ τοὺς θεοειδεῖς καὶ φωτοειδεῖς Πατέρας ἐκείνους, Νοῦ κατάστασίς ἐστι, λέγοντας, ὕψος νοητόν, οὐρανίῳ χρώματι παρεμφερές, ᾧ καὶ τὸ τῆς ἁγίας Τριάδος κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐπιγίνεται φῶς· καὶ ὡς κατὰ τὸν καιρὸν τῆς προσευχῆς ὁ κεχαριτωμένος νοῦς ὁρᾷ τὴν ἑαυτοῦ καθαρότητα ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ, ἥτις Θεοῦ ὑπὸ τῆς γερουσίας Ἰσραὴλ ὠνόμασται τόπος, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει· καὶ ὅτι καθαρότης ἐστὶ νοός, ἐφ' ᾗ διαυγάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς τὸ φῶς τῆς ἁγίας Τριάδος. Οἱ δὴ τὰ τοιαῦτα φρονοῦντές τε καὶ πάσχοντες μακαρίως μετὰ τῶν μακαρίων τουτωνί, Γρηγορᾶ, τοῖς σοῖς ἂν εἶεν δίκαιοι συγκαταλέγεσθαι Μασαλιανοῖς, ὅπερ αὐτὸς ἐν τοῖς σοῖς λόγοις ἀξιοῖς, ἢ σύ γ' αὐτὸς μᾶλλον, ὁ τἀκείνων κακῶς καὶ φρονῶν καὶ γράφων; Σὺ πάντως. Καὶ οὐκ ἂν ἀρνηθείης, ὡς ἐγῷμαι, ποτὲ τὰ σὰ παιδικά. Ἔλεγες καὶ γὰρ ἐν τοῖς φθάσασιν, αὐτὴν εἶναι τὴν οὐσίαν τοῦ Θεοῦ μεθεκτὴν τοῖς ἀνθρώποις, αὐτὴν τὴν ἀνωτάτω θείαν Τριάδα, τὸν Πατέρα δηλαδὴ καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐ κατὰ τὴν δημιουργικὴν καὶ προνοητικὴν καὶ ζωοποιὸν καὶ παντουργὸν δύναμιν, οὐ κατὰ τὴν εἰρηνοποιὸν καὶ καλοποιὸν καὶ σοφοποιὸν καὶ θεουργόν, καὶ φυσικὴν χάριν τε καὶ ἐνέργειαν μετεχομένην καὶ ἐνοικοῦσαν τοῖς ἰδίοις ποιήμασιν, ἀλλὰ ποτὲ μὲν κατὰ τὴν οὐσίαν αὐτήν, ποτὲ δὲ καὶ κατὰ τὰς ὑποστάσεις, ὁπηνίκα δὴ καὶ τὸ Δεσποτικὸν ἐκεῖνο πρὸς τοὺς σοφοὺς ἀποστόλους ὑπ' Ἀθανασίου τῆς λαμπρᾶς καὶ θεολόγου φωνῆς

Digitized by Google

μετὰ τῶν σῶν ἑταιροτάτων Μασσαλιανῶν κακῶς A ἐλεγχθεὶς ἐξηγούμενος, τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα*, φημὶ, *καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν*. Ἔτι καὶ τὴν κατ' αὐτῶν συγκροτηθεῖσαν τοῖς ὀρθοδόξοις ἱερὰν σύνοδον σὺν αὐτοῖς ἐπιοῦσαν κατὰ κεφαλῆς ἔσχετε, Γίνεταί τις, λέγουσαν, ἐπιδημία τοῦ Παρακλήτου, καὶ ἐνοικεῖ τοῖς ἀξίοις ὁ Θεὸς, ἀλλ' οὐχ ὡς ἔχει φύσεως ἡ θεότης. Ὅτι δὲ καὶ τὴν ἱερὰν καὶ θεοδίδακτον καὶ θεουργὸν προσευχὴν ὥς τι τῶν ἐπιῤῥήτων τε καὶ σκαιῶν αὐτοῖς ἐγκαλεῖς, Εὐχίτας τινὰς προφέρων τοὺς κακῶς φρονοῦντας αὐτῇ, καὶ δι' ἐκείνων αὐτήν τέ φημι ταύτην, καὶ δὴ καὶ τοὺς θιασώτας αὐτῆς μετὰ πολλῆς τῆς ἀπονοίας ἢ ἀνοίας ὑβρίζων, δοκεῖς οὐ μόνον ἄγευστός τε καὶ ἀμαθὴς ἱερᾶς αὐτὸς προσευχῆς εἶναι καὶ τῶν ταύτης καλῶν, B ἀλλὰ καὶ τῶν ὑπὲρ αὐτῆς χρησμῶν τε καὶ τῆς λαμπρᾶς ἅμα καὶ συνεχοῦς διδασκαλίας ἢ μηδ' ἀκηκοέναι τὴν ἀρχὴν συνεχῶς, ἢ καὶ ἀκηκοὼς, λήθην ἐκείνων σχεῖν ἑκόντι καὶ παραλογίσασθαι τοῖς ἄλλοις κατὰ ταυτά· καὶ οὐ τοῦτό γε μόνον, ἀλλὰ καὶ τοῖς πειθαρχοῦσί τε καὶ χρωμένοις, αὐτὸ δὴ τοῦτο προσεγκαλεῖν. Οὐ μόνον καὶ γὰρ πρὸς ἑαυτὸν αὐτὸς ὁ Χριστὸς ἀναχωρῶν συνεχῶς καὶ προσευχόμενος φαίνεται νύκτωρ καὶ μεθ' ἡμέραν, ποτὲ μὲν τοὺς προὔχοντας τρεῖς ἔχων μεθ' ἑαυτοῦ τῶν ἱερῶν μαθητῶν ὥσπερ ἐπὶ τοῦ Θαβωρίου τότε, ὁπηνίκα δὴ καὶ προσευχομένους τὸ τῆς θεότητος ἀπρόσιτον ἐξέλαμψε φῶς, καὶ ἡ τοῦ Πατρὸς ἐξεφάνη βασιλεία κατὰ τὴν ὑπερφυᾶ καὶ θαυμαστὴν αὐτοῦ πρόῤῥησιν, C ἧς οὐκ ἐνεγκόντες τὴν αἴγλην οἱ μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, κατὰ τοὺς θείους χρησμοὺς, καὶ ἐφοβήθησαν σφόδρα· ποτὲ δὲ καὶ κατὰ μόνας αὐτὸς ἑαυτῷ συγγινόμενος μόνῳ, καὶ τύπους ἡμῖν διδοὺς ἡσυχίας καὶ σχολῆς ἅμα καὶ προσευχῆς ἱερᾶς, οὐ γὰρ δὴ τῶν τοιούτων αὐτὸς ἐδεῖτο Θεὸς ὢν, ἀλλὰ καὶ λόγοις ὡσαύτως ἐκπαιδεύων τά γε τοιαῦτα, νῦν μὲν, *Γρηγορεῖτε καὶ προσεύχεσθε*, πρὸς τοὺς μαθητὰς ἔλεγε, καὶ, *Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου*· νῦν δὲ καὶ παραβολικῶς αὐτοὺς ἐνῆγε κατὰ τὸν αὐτὸν εὐαγγελιστὴν εἰς τὸ δεῖν αὐτοὺς πάντοτε προσεύχεσθαι, καὶ μὴ ἐκκακεῖν, καὶ δὴ καὶ ῥήμασιν αὐτοῖς τοὺς τῆς D προσευχῆς ἱεροὺς ὑπέγραφε τύπους, αἰτησαμένων τῶν μαθητῶν, οὕτω λέγων, *Προσεύχεσθε ὑμεῖς*. Ὡ δὴ καὶ Παῦλος ὁ σοφὸς μαθητὴς κατ' ἴχνος ἑπόμενος, *Ἀδιαλείπτως προσεύχεσθε*, φησίν. *Ἐν παντὶ εὐχαριστεῖτε*. Καὶ αὖθις· *Τῇ προσευχῇ*, φησὶ, *προσκαρτεροῦντες, ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες*, καὶ, *Προσεύξομαι*, φησὶ, *τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ*. Δαβὶδ μὲν οὖν ὁ τῆς Παλαιᾶς θεολόγος καὶ μελῳδὸς, *Εὐλογήσω*, φησὶ, *τὸν Κύριον ἐν παντὶ καιρῷ· διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου*. Καὶ, *Καθ' ἑκάστην ἡμέραν*, φησὶν, *εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου*. Καὶ, *Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου· εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ*. Καὶ πρὸς τὸν Θεὸν αὖθις· *Οἱ ὅσιοί σου εὐλογησάτωσάν σε*, φησί. Καὶ, *Αἰνεῖτε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ*, τοὺς τουτουσὶ Πνεύματι θείῳ προαινιττόμενος εἴπερ τινὰς μάλιστα. Ὁ δὲ τῆς Νέας θεολόγος, *Μνημονευτέον Θεοῦ*, φησὶ, *μᾶλλον ἢ ἀναπνευστέον*. Πρὸς δὲ τοὺς ἐγκαλοῦντας τὴν τῆς ἱερωσύνης φυγὴν μετὰ τὴν ἐπάνοδον αὖθις ἀπολογούμενος ὁ αὐτὸς, Οὐδὲν ἐδόκει μοι τοιοῦτον, φησὶν, οἷον μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, εἰς ἑαυτὸν συστραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ φέρειν ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα φῶς καὶ ἀμαυροτέρῳ τρανότερον, ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος ἀγαθὸν καρπούμενον.

Ὁ δὲ συνασκητὴς αὐτῷ τῶν τοιούτων καὶ σύμπνους, Βασίλειος ὁ μέγας φημὶ, περὶ τοῦ καθ' ἡσυχίαν ἐπιστέλλων αὐτῷ βίου, Εὐχαὶ, φησὶ, τὰς ἀναγνώσεις διαδεχόμεναι, νεαρωτέραν τὴν ψυχὴν καὶ ἀκμαιοτέραν τῷ πρὸς Θεὸν πόθῳ κεκινημένην παραλαμβάνουσιν. Εὐχὴ δὲ καλὴ, ἡ ἐναργῆ ἐμποιοῦσα τοῦ Θεοῦ ἔννοιαν τῇ ψυχῇ. Καὶ τοῦτό ἐστι Θεοῦ ἐνοίκησις, τὸ διὰ τῆς νίκης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τὸν Θεόν. Οὕτω γινόμεθα ναὸς Θεοῦ, ὅταν μὴ φροντίσι τὸ συνεχὲς τῆς μνήμης διακόπτηται, ὅταν μὴ τοῖς ἀπροσδοκήτοις πάθεσιν ὁ νοῦς ἐκταράσσηται. Τὸ δὲ τῆς Ἐκκλησίας ἱερόν τε καὶ φιλόσοφον στόμα, Ἰωάννης ὁ Σύρος φημὶ, τὰ τῆς θείας Χριστοῦ θεολογῶν μεταμορφώσεως, Μήτηρ προσευχῆς ἡσυχία, φησί· προσευχὴ δὲ θείας δόξης ἐμφάνεια. Ὅταν γὰρ τὰς αἰσθήσεις μύσωμεν, καὶ ἑαυτοῖς καὶ Θεῷ συγγενώμεθα, καὶ τῆς ἔξωθεν τοῦ κόσμου περιφορᾶς ἐλευθερωθέντες, ἐντὸς ἑαυτῶν γενώμεθα, τότε τρανῶς ἐν ἑαυτοῖς τοῦ Θεοῦ τὴν βασιλείαν ὀψόμεθα. *Ἡ βασιλεία* γὰρ *τῶν οὐρανῶν, ἥτις ἐστὶ Θεοῦ βασιλεία, ἐντὸς ἡμῶν ἐστιν*, Ἰησοῦς ὁ Θεὸς ἀπεφθέγξατο. Δοῦλοι μὲν γὰρ, φησὶ, φόβῳ καὶ πόθῳ δι' αἰτήσεως τῷ δεσπότῃ πρόσιασι, καὶ τῆς πρὸς Θεὸν ἐκδημίας τε καὶ ἑνώσεως ἡ προσευχὴ τῷ νῷ γίνεται πρόξενος, τρέφουσα τοῦτον δι ἑαυτῆς καὶ ῥωννύουσα. Δεσπότης δὲ, φησὶ, πῶς προσεύξεται; ἢ πῶς δεόμενος παραστήσεται; Ἢ δῆλον, ὡς τὸ ἡμέτερον οἰκειούμενος πρόσωπον, καὶ παιδαγωγῶν ἡμᾶς, καὶ ὁδοποιῶν πρὸς τὴν διὰ προσευχῆς πρὸς Θεὸν ἀνάβασιν, καὶ διδάσκων, ὡς τῆς θείας δόξης ἡ προσευχὴ καθίσταται πρόξενος. Οἷς δὴ καὶ Ἰωάννης ὁ τῆς ἀσκητικῆς κλίμακος συνῳδὸν δημιουργὸς καὶ διδάσκαλος, Ἰησοῦ μνήμη, φησὶ, κολληθήτω πνοῇ σῇ ῥινός, καὶ τότε γνώσῃ ἡσυχίας ὠφέλειαν. Καὶ αὖθις· Ἰησοῦ, φησὶν, ὀνόματι μάστιζε πολεμίους.

Καὶ μακρὸν ἂν εἴη, καὶ τοῦ παρόντος καιροῦ καὶ τῆς ὥρας ἔξω, τὰ κατὰ μέρος ἐφεξῆς λέγειν τὰ περὶ τῆς ἱερᾶς δηλαδὴ προσευχῆς τοῖς θεοφόροις τούτοις ὡσαύτως ῥηθέντα, ἃ δὴ καὶ κανόνες καὶ

Digitized by Google

γνώμονες οἱονεί τινές εἰσι τοῖς τὴν ἱερὰν μετιοῦσι A καὶ θαυμαστὴν ταύτην φιλοσοφίαν, πρὸς τὸν πρωτότυπον ἐκεῖνον θεῖον κανόνα, τὸν ἕνα πάντων καθηγητὴν ἀπευθύνοντα. Τίνας οὖν φησι Γρηγορᾶς τοὺς Εὐχίτας εἶναι καὶ Μασαλιανούς; τοὺς νῦν τὴν ἱερὰν προσευχήν τε καὶ νῆψιν ἱερῶς μετιόντας ὁσίους, κατὰ μίμησιν τούτων τῶν θεοφόρων; ἢ τούτους μᾶλλον τοὺς ὁδηγοὺς τῶν τοιούτων; ὁ γὰρ τὰ σπέρματα παρασχὼν καὶ τῶν φύντων αἴτιος, φησί τις τῶν ἔξω· ἢ καὶ τούτους κἀκείνους· τῶν γὰρ αὐτῶν ὑπεύθυνοι κατὰ Γρηγορᾶν καὶ οὗτοι κἀκεῖνοι. Καὶ δεῖ κατὰ ταυτὰ τὴν ἴσην ἑκατέροις δίκην λαγχάνειν. Τὸ γὰρ ὅτι καὶ πρὸς τὸν κοινὸν ἀνατρέχει ταυτὶ δεσπότην κατὰ πᾶσαν ἀνάγκην, νῦν ἀφίημι λέγειν, τὴν ὑπερβολὴν τῆς τοῦ φιλοσόφου βλασφημίας ἀποποιούμενος. Ἀλλὰ πρὸς ἐκεῖνον ἐπάνιμεν δὴ καὶ αὖθις. Εἰπὲ τοιγαροῦν, ὦ φιλόσοφε, πρὸς τῶν σῶν ἀστέρων, καὶ ἀριθμῶν, καὶ γραμμῶν καὶ συλλογισμῶν, πόθεν κἀκ τίνος ἀξιολόγου τῆς ἀρχῆς τε καὶ τῆς αἰτίας ὁρμώμενος, τοὺς τῆς μακαρίας καὶ θεοειδοῦς προσευχῆς τούτους ἐργάτας, τοῖς Εὐχίταις ἐκείνοις οἷς λέγεις συνῆψας, μᾶλλον δ' αὐτοὺς ἐκείνους καὶ οὐκ ἄλλους φῂς εἶναι τούτους; Ἆρ' ἐπειδὴ τὸ ἀδιαλείπτως προσεύχεσθαι, καὶ κατὰ μόνας ἑαυτοῖς τε καὶ Θεῷ συγγίνεσθαι διὰ βίου καθόσον οἷόν τε σπουδὴν παρὰ πάντα ποιοῦνται τὸν βίον; Ἀλλὰ ταῦτα Χριστοῦ τε καὶ τῶν πρώτων αὐτοῦ μαθητῶν πρὸ βραχέος ἐδείχθη σπουδάσματά τε καὶ παραγγέλματα. Ἀλλὰ διὰ τὴν προσευχὴν, καὶ τὴν περὶ αὐτὴν ἀκάματον ἐκείνην σπουδὴν, δεῖ καὶ τοὺς θεοφόρους τούτους κατὰ ταυτὰ τοῖς αἱρετικοῖς ἐκείνοις ἐλαύνεσθαι, φαίης ἂν αὐτός; Καὶ εἰ ταῦθ' οὕτω δεῖ γίνεσθαι, κατὰ τὴν σὴν ὑψηλὴν ταυτηνὶ φιλοσοφίαν τε καὶ διδασκαλίαν, ὅτου χάριν μὴ καὶ τὴν θεοπαράδοτον προσευχὴν, καθ' ἣν καὶ Πατέρα τὸν Θεὸν ὑπερφυῶς οἱ πιστοὶ καλεῖν ἐδιδάχθημεν, τῶν τῆς Ἐκκλησίας ἐκβάλλεις προθύρων, ἐπειδὴ καὶ Μασαλιανοὶ ταύτῃ μᾶλλον ἡμῶν διὰ βίου παντὸς χρῶνται, πᾶσαν ἄλλην εὐχὴν ἱερὰν καὶ ψαλμῳδίαν παραιτούμενοι; Δεῖ δὲ κατὰ σὲ μηδὲ Θεὸν ἕνα καὶ μόνον τὸν τοῦ παντὸς σέβειν Δεσπότην, μηδὲ μοναρχίας ἀντιποιεῖσθαι. Ἐπειδὴ καὶ Ἰουδαίοις καὶ Ἀχαιμενίδαις, καὶ δὴ καὶ τοῖς ἐκ τῆς Ἄγαρ ὁμοῦ πᾶσιν αὐτὸ τοῦτο δοκεῖ, καὶ Θεὸν ἕνα καὶ Κύριον πρεσβεύουσι τοῦ παντός. Συνεκβαλλέσθω δὲ καὶ Μωσῆς καὶ προφῆται σὺν αὐτῷ πάντες, καὶ θεολόγοι τῆς Παλαιᾶς, τοῦτο δέ φημι τὸ Μαρκίωνος, ἐπειδὴ καὶ Ἰουδαίοις δοκεῖ πως ταῦτα σεπτά. Ἀλλὰ καὶ τὸ τῆς Τριάδος ὑπερφυὲς διαγραφέσθω κατὰ ταυτά σοι μυστήριον, διὰ τὸ πλῆθος καὶ τὴν διαφορὰν τῶν προσώπων, ὡς ἂν μὴ τὴν Ἑλληνικὴν πολυθεΐαν καὶ αὐτὸς δόξῃς πρεσβεύειν. Τί δέ; οὐχὶ καὶ οἱ δαίμονες Υἱὸν Θεοῦ τὸν Χριστὸν ἀπεκάλουν διαπρυσίῳ φωνῇ, *Τί ἡμῖν καὶ σοί*, λέγοντες, *Υἱὲ τοῦ Θεοῦ*; καὶ, *Οἶδά σε τίς εἶ ὁ Υἱὸς τοῦ Θεοῦ*; Ἆρ οὖν διὰ ταῦτα καὶ τὴν οὐράνιον καὶ θεόπνευστον ταύτην θεολογίαν τε καὶ ὁμολογίαν ἀρνήσῃ, καὶ ἄθεος ἔσῃ, καὶ δαιμόνων καὶ Ἰουδαίων ἀτοπώτερός τις, καὶ χείρων τά γε πρὸς τὴν εὐσέβειαν, καὶ τὴν ἀνωτάτω περὶ Θεοῦ φημι δόξαν τε καὶ λατρείαν, ἐπειδή γε κἀκείνοις οὕτω ταῦτα δοκεῖ, εἰ καὶ μὴ καλῶς μηδὲ κατὰ σώζοντα λόγον; Ἢ ἀγνοεῖς, ὅτι σκότος ἐστὶν ὁ τοῦ ψεύδους πατὴρ, καὶ φῶς ὑποκρίνεται, καὶ εἰς ἄγγελον μετασχηματίζεται φωτὸς, κλέπτων εἰς ἑαυτὸν ὁ μιαρὸς τὴν τοῦ Θεοῦ δόξαν καὶ σφετεριζόμενος; Οὕτω προφήτας ἀποστείλαντος τοῦ Θεοῦ πάλαι διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν, τοὺς ψευδοπροφήτας ἐκεῖνος τὸ ψεῦδος διδάσκοντας ἀντεπέστειλεν. Οὕτως ἐν Αἰγύπτῳ Μωσῇ τε καὶ Ἀαρὼν τοῖς ὑπουργοῖς τῶν Θεοῦ τεραστίων τοὺς περὶ Ἰαννῆν τε καὶ Ἰαμβρῆν θαυματοποιοὺς τε καὶ μάγους ἀντέστησεν. Οὕτω τοῖς ἀποστόλοις συγκατέμιξε τοὺς ψευδαποστόλους, B καὶ τοὺς πλάνους καὶ ἀπατεῶνας τοῖς ὁδηγοῖς καὶ διδασκάλοις τῆς ἀληθείας. Καὶ τί χρὴ τἄλλα λέγειν, ὅπου γε καὶ Χριστοῦ τοῦ πάντων Δεσπότου κατὰ ταυτὰ δηλαδὴ συγχωροῦντος, τὸν Ἀντίχριστον ἀντεισάξει τὸ τελευταῖον κατὰ τὸν αὐτοῦ φημι θεῖον λόγον, *Ἐγὼ ἦλθον*, εἰπόντα, *πάλαι πρὸς Ἰουδαίους ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.*

Ταῦτα μὲν οὖν οὐ καθάπαξ ἀγνοεῖ Γρηγορᾶς, ὡς αὐτὸς ἐγὼ τέως οἴομαι· κακουργεῖ δὲ μᾶλλον ἑκὼν κατὰ τῆς Ἐκκλησίας καὶ τοῦ Θεοῦ, συμπράττων καὶ κατ' αὐτὰ δὴ ταῦτα τῷ ἀρχεκάκῳ δαίμονι, καὶ διάβολος ἄλλος τοῖς ἀπὸ Χριστοῦ καλουμένοις γιγνόμενος. Ἃ γὰρ ἐκεῖνος τῶν ἱερῶν C ἀποσυλήσας λόγων πανούργως τοῖς ἰδίοις αὐτοῦ συνῆψεν, ἵνα κλέπτῃ τῷ φαινομένῳ, καὶ μὴ γυμνὸν τὸ τῆς πλάνης προκείμενον ἄγκιστρον, αὐτόθεν ἀπελαύνει τὸ θήραμα, ταῦθ' ὁ συνεργάτης αὖθις οὗτος ἐκείνου κατὰ τῆς Ἐκκλησίας Χριστοῦ λαμβάνων ἐκεῖθεν, τὴν τῶν δαιμόνων λατρείαν ἐπιγράφειν αὐτῇ σπεύδει, καθάπερ ἐξ ἀντιστρόφου οὐ τοὺς λῃστάς τε καὶ ἱεροσύλους ἐκείνους κακίζων, καθάπερ ἔδει, ἀλλὰ τοὺς τοῖς σφετέροις αὐτῶν ἱεροῖς κατὰ νόμους ἱεροὺς δηλαδὴ καὶ θεσμὰ θεῖα χρωμένους, ἐπειδή γε κακῶς ἐκεῖνοι τούτων ἀποσυλήσαντες, κάκιστα καὶ ὡς οὐκ ἔξεστι περιφέρουσιν. Ὁ δ' αὐτὸς ἄν μοι δοκοίη καὶ βασιλέα κακίζειν ὡσαύτως διὰ τὴν ἁλουργίδα τε καὶ τὸν ἐπὶ τῆς D κεφαλῆς στέφανον. Ἐπειδὴ καὶ τῶν ἐπιβούλων τε καὶ τυράννων πλείστοις κατὰ καιροὺς ἐξεγένετο κακῶς τουτοισὶ χρήσασθαι, καὶ τῷ Θεῷ μὴ κατάλληλον εἶναι τοὔνομα φάσκειν, διὰ τὸ καὶ κτίσμασι καὶ δαιμονίοις παρ' ὡντινωνοῦν ἐπιτεθεῖσθαι πάλαι κακῶς, καὶ τῷ Χριστῷ μὴ προσήκειν τὸ μέγα γε τοῦτο τῆς θεότητος ὁμοῦ καὶ τῆς ἀνθρωπότητος πρόσρημα διὰ τὸν Ἀντίχριστον.

Ἀλλὰ λῆρος ταῦτα καὶ γέλως καὶ πλάνη, καὶ ἀθεΐας κολοφὼν ἄντικρυς. Τί δὲ καὶ κοινὸν, ὦ κενὲ σὺ κωμῳδὲ, καὶ μῶμε τῶν ἱερῶν, ἄλλο κατιδὼν ἔχεις ἐν τούτοις κἀκείνοις, ὥστε καὶ κοινοποιεῖν ἅπαν τὸ κατ' αὐτοὺς, ἐκτὸς εἰ μὴ τὰς συκοφαντίας ἐκείνας αὖθις καὶ τὸ περιφανὲς καὶ ἀλλόκοτον λέγοις ψεῦδος, ἃ δὴ καὶ φθάσας ὁ λόγος ἤδη

Digitized by Google

καλῶς μετὰ τῆς ἀληθείας ἐξήλεγξεν; Ἐκεῖνοι μὲν A γάρ, πᾶσαν ἄλλην ἱερὰν εὐχήν τε καὶ δέησιν, καὶ ψαλμῳδίαν ἀπαγορεύοντες θείαν, ἧπερ ἔφην, μόνῃ τῇ σπουδαίᾳ προσανέχουσιν, ὥς φασι, προσευχῇ· οἱ δ' ἡμέτεροι καὶ Θεοῦ οὗτοι προσεύχονται μὲν νηφρῶς καὶ καθ' ἑαυτοὺς ἀεὶ δήποτε, καὶ τοῦτ' ἔστιν αὐτοῖς φημι προὔργου μάλιστα τὸ *ἀδιαλείπτως προσεύχεσθαι*, καθὰ δὴ καὶ φθάσας ὁ σοφὸς Παῦλος μετὰ Χριστοῦ τοὺς τὰ ἐκείνου πολιτευομένους τε καὶ σπουδάζοντας τούτους ἐδίδαξε. Συνεύχονται δὲ κατὰ πάντα καὶ ἀλλήλοις καὶ τῇ Ἐκκλησίᾳ Χριστοῦ, νῦν μέν, *Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου*, λέγοντες· καί, *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν, καὶ ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, φθέγξομαι προ-* C *βλήματα ἀπαρχῆς*· νῦν δ' αὖθις, *Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ*· καί, *Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ*, καί, *Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου*, καί, *Εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ*, καὶ ὅσα ἑξῆς τοῦ θαυμαστοῦ φημι τούτου προφήτου. Ὃν δὴ καὶ περιφέρουσιν ἐν τῇ γλώττῃ μάλιστα νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ τρυφήν τινα θείαν, καὶ ἀμβροσίαν καὶ νέκταρ ἱερὸν τὰ τούτου ποιοῦνται, νύκτας ὅλας ἐν τούτοις ἄγρυπνοι διαγιγνόμενοι συνεχῶς, καὶ μυστηρίοις ἱεροῖς καὶ ἀποστόλων καὶ μαρτύρων ὁμοῦ καὶ Πατέρων ἐμπανηγυρίζοντες μνήμαις, κροτοῦντές τε τὰ τῶν C ἱερῶν ἐπ' αὐτοῖς μελῳδῶν τε καὶ μουσικῶν τουτωνί, καί τινας ἀνθρωπίνας ἑορτάς τε καὶ πανηγύρεις τῇ σπουδῇ καὶ συνδρομῇ καὶ ταῖς πνευματικαῖς οὐκ ἀποκρύπτοντες χάρισι; καὶ Μασαλιανοὶ μὲν οἱ σοὶ καὶ Εὐχῖται, φιλόσοφε, οὕτως ἀφιλοσόφως καὶ τοῦτ' αὐτὸ φαύλως τε καὶ μοχθηρῶς πρὸς τὴν μελέτην τῶν θείων Γραφῶν καὶ τῶν ἄλλων ἱερῶν πάντων ἴσχουσι λόγων, ὡς μὴ μόνον ἄχρηστόν τινα καὶ κενήν, ἀλλὰ καὶ πονηρὰν ἀποκαλεῖν τὴν περὶ ταῦτα σπουδὴν καὶ μελέτην τὰ τοῦ πονηροῦ πλάσματα. Τοῖς δ' ἡμετέροις τουτοισὶ σοφοῖς τε καὶ φιλοσόφοις οἱονεί τις ψυχὴ καὶ ζωτικὴ δύναμις ἡ τούτων ἀνάγνωσις καὶ μελέτη διὰ βίου καθέστηκεν, ὡς *Ἠγάπησα τὸν νόμον σου, Κύριε· ὅλην τὴν ἡμέραν μελέτη μού ἐστι*, μετὰ τοῦ D Δαβὶδ λέγουσι, καί, *Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου*, καί, *Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό*· καὶ μετὰ τοῦ σοφοῦ Σολομῶντος αὖθις· *Στόμα δικαίου ἀποστάζει σοφίαν*, καί, *Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ*, καὶ τὰ παραπλήσια τούτοις. Οἷς δὴ καὶ οἱ τῆς Νέας ἑπόμενοι θεολόγοι, καὶ τῆς πράξεως ἅμα καὶ θεωρίας τουτοισὶ τοῖς ἡμετέροις διδάσκαλοι, ὁ μέν, Ἡδύνθη μοι, φησί, τὰ τοῦ Θεοῦ λόγια ὡς κηρία μέλιτος, καὶ τὴν σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνήν μου· ὁ δ' αὖ πρὸς τοῦτον αὐτὸν ἐπιστέλλων, Μεγίστη, φησίν, ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν ἡ μελέτη τῶν θεοπνεύστων

A Γραφῶν. Ἐν ταύταις γὰρ καὶ αἱ τῶν πράξεων ὑποθῆκαι εὑρίσκονται, καὶ οἱ βίοι τῶν μακαρίων ἀνδρῶν ἀνάγραπτοι παραδιδόμενοι, οἷον εἰκόνες τινὲς ἔμψυχοι τῆς κατὰ Θεὸν πολιτείας τῷ μιμητῇ τῶν ἀγαθῶν ἔργων πρόκεινται. Καὶ τοίνυν περὶ ὅπερ ἂν ἕκαστος ἐνδεῶς ἔχοντος ἑαυτοῦ αἰσθάνηται ἐκείνῳ προσδιατρίβων ὁ νοῦς, οἷον ἀπό τινος κοινοῦ ἰατρείου τὸ πρόσφορον εὑρίσκει τῷ ἀρρωστήματι φάρμακον. Καὶ τοῖς μὲν Εὐχίταις τοῖς σοῖς, οἷα δὴ καὶ Ἐριννύς τις, καὶ κακὸς οἰωνὸς τὰ τῶν χειρῶν ἔργα λελόγισται, μηδὲ τοῦ Ἀποστόλου διακούειν ἐθέλουσι, Θεσσαλονικεῦσι καὶ πᾶσιν ὁμοῦ τοῖς πιστοῖς δι' ἐκείνων νομοθετοῦντος τό, *Τὸν ἄρτον μηδὲ βρωμάτων μηδ' ἑστιάσεως ἅπτεσθαι*, καὶ ὅτι *Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ*, C φησί, *διηκόνησαν αἱ χεῖρες αὗται*, καί, *Πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας ἀντιλαμβάνεσθαι δεῖ τῶν ἀσθενῶν*.

Βασίλειος δ' αὖθις, ὁ τῆς ἀσκήσεώς τε καὶ ἡσυχίας μέγας διδάσκαλος, Τί μακαριώτερον, φησί, τοῦ τὴν ἀγγέλων χορείαν ἐν γῇ μιμεῖσθαι, εὐθὺς μὲν ἀρχομένης ἡμέρας εἰς εὐχὰς ὁρμῶντα, καὶ ὕμνοις καὶ ᾠδαῖς γεραίροντα τὸν ποιητήν, εἶτα ἡλίου καθαρῶς λάμψαντος ἐπ' ἔργα τρεπόμενον, πανταχοῦ αὐτῷ τῆς εὐχῆς συμπαρούσης, καὶ τοῖς ὕμνοις ὥσπερ ἅλατι παραρτύειν τὰς ἐργασίας; Τὸ γὰρ ἱλαρὸν καὶ ἄλυπον τῆς ψυχῆς κατάστημα αἱ τῶν ὕμνων παρηγορίαι χαρίζονται. Οἷς δὴ καθαπερεί τινι στάθμῃ καὶ κανόνι τῆς φιλοσοφίας ἐκείνης οἱ C καλοὶ σπουδασταὶ χρώμενοι, καὶ τιμῶσι τὴν αὐτουργίαν ἐν τῷ τῆς χρείας καλοῦντι, καὶ συζευγνύουσι ταύτῃ τοὺς ἱεροὺς ὕμνους τε καὶ τὴν προσευχήν, ὡς καὶ αὐτοὶ δήπου πείρᾳ μαθόντες ἔχομεν παρ' ἐκείνοις ὄντες πάλαι τοῖς μακαρίοις, καὶ τῆς ἀδιαλείπτου κατὰ νοῦν ἔχονται προσευχῆς ἴσα δὴ καὶ αὐτῆς τῆς πνοῆς κατά γε τὰ προρρηθέντα, ὡς μηδ' ἐσθιόντων, μηδὲ κοιμωμένων ἀφίστασθαι τούτων, ἀλλὰ τοὺς μὲν διὰ τὴν τῆς φύσεως ἀνάγκην καθεύδειν, τὴν δὲ καρδίαν ἀποστολικῶς γρηγορεῖν διὰ τὴν συνοῦσαν ὑπερφυᾶ καὶ ἀκάματον τοῦ Πνεύματος χάριν. Διὰ τοῦτο καὶ τοὺς μὲν ἀγάπη χαρακτηρίζει, καὶ χαρά, καὶ εἰρήνη, καὶ πραότης ὁμοῦ καὶ ἐγκράτεια, καὶ ἁπλῶς οἱ τοῦ Πνεύματος πάντες καρποί, δαψιλῶς ἐν αὐτοῖς βρύοντες· τῶν δὲ τῦφος, D καὶ ὑπεροψία, καὶ ἀκρασία γαστρός, καὶ ὀφθαλμῶν πλάνη, καὶ ὑπόκρισις, καὶ ὀργή, καὶ θυμός, καὶ ἀταξία, καὶ προπέτεια γλώττης, καὶ ὕβρις, καὶ γέλωτες ἄσεμνοι, καὶ ὅσα τῆς τοῦ ἀντιθέτου πνεύματος ἐνεργείας γνωρίσματα πέφυκε. Ποία γοῦν κοινωνία φωτὶ πρὸς σκότος, ἢ τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; φησὶν ὁ κοινὸς τῆς Ἐκκλησίας διδάσκαλος. Ὡς ῥᾷον ἂν ὁ πίθηκος ἄνθρωπος εἴη διὰ τὸ μιμεῖσθαί πως τὸν ἄνθρωπον, ἢ πάρδαλις ἢ γαλῆ διὰ τὸ τοῦ σχήματος ἀμυδρόν, εἴπεν ἄν τις ἀπήχημα καὶ τὰ εἴδωλα τῶν ἀλμάτων, ἢ τοὺς Εὐχίτας ἐκείνους, οὓς φησι Γρηγορᾶς ἡσυχίας τινὸς ἐργάτας εἶναι καὶ προσευχῆς. Εἶεν.

Ἀλλ' ἐπειδὴ κἀκεῖνα τοῖς θεοφόροις τούτοις Γρηγορᾶς ἀθέσμως προσεγκαλεῖν οἴεται δεῖν, οὐδεμίαν

Digitized by Google

οὐδαμῇ τῆς γλώττης λαμβάνων φειδὼ, καὶ τοῦ ψεύδους καὶ τῆς ἀπλήστου συκοφαντίας, ἔφη καὶ γὰρ τοὺς τῆς ἡσυχίας τουτουσὶ καὶ τῆς νοερᾶς προσευχῆς σπουδαστὰς, καὶ μετὰ τὸν τῆς γαστρὸς κόρον, καὶ τὴν ἀδδηφαγίαν τε καὶ οἰνοφλυγίαν, ὕπνῳ μακρῷ τινι καὶ θανάτου γείτονι καταλλήλως τῇ μέθῃ χρωμένους, φαντασίαις τισὶ καὶ ὀνείροις προσέχειν, κἀκεῖθεν προλέγειν καὶ μαντεύεσθαι περὶ τῶν μελλόντων πειρᾶσθαι, παρὰ τῶν ἑαυτοῦ Μασαλιανῶν καὶ τοῦτ' αὐτὸ πρὸς τοῖς εἰρημένοις λαβὼν, οὐδὲ τοῦτο σιγῇ παρελθεῖν δεῖν εἶναι νομίζω. Καίτοι γε τοῦτο τοῖς ἄλλοις ἤδη συνεξελήλεγκται, καὶ οὐδὲν τοῖς εἰρημένοις ἐλλείπει σχεδόν· τοῖς γὰρ τοιοῦτον ἐσπουδακόσι ζῆν βίον, ὁποῖον ὁ τῆς ἀληθείας ἡμῖν διὰ πάντων ὑπέγραψε λόγος, τί κοινὸν πρὸς τὰς ἀδδηφαγίας καὶ τὸν κόρον καὶ τὴν μέθην, καὶ δὴ καὶ τὰς Μασαλιανὰς φαντασίας καὶ τοὺς ὀνείρους τοῦ φιλοσόφου; Ἀλλ' ἵνα πρὸς τῷ μηδὲν ὑγιές τι, μηδὲ τῆς ἀληθείας ἐχόμενον μηδοπωστιοῦν αὐτὸν λέγειν κἂν τούτοις, καὶ ὑπεύθυνον ἐκ τῶν αὐτοῦ λόγων μάλιστα δείξωμεν τὰ τοιαῦτα, τοῦτο γὰρ δὴ καὶ ὁ λόγος ἡμῖν φθάσας ὑπέσχετο, τὰς μὲν τῶν ἁγίων ἐκείνων ἱερὰς προφητείας περί τε τῶν κοινῶν καὶ ἰδίων πολλάκις καὶ πάλαι καὶ νῦν Πνεύματι γινομένας ἁγίῳ, παρήσειν μοι δοκῶ τοτήμερον εἶναι, καὶ βασιλεῦσι καὶ ἰδιώταις, καὶ μονασταῖς καὶ τοῖς προὔχουσι τῶν ἱερέων, καὶ πᾶσιν ὡς εἰπεῖν οὔσας γνωρίμους· αἱ δὲ τῶν ἀπιόντων ἐντεῦθεν σοροὶ, καὶ τὰ ἐκεῖ θαυμαστῶς ἐνεργούμενα τοῖς ἐγγὺς ὁμοῦ καὶ τοῖς πόῤῥω, πᾶσαν ἐν βραχεῖ καὶ γῆν κατασχόντα καὶ θάλατταν, καὶ χώρας καὶ πόλεις Ἑλληνίδας ὁμοῦ καὶ βαρβάρους, καὶ προφήτας καὶ θεοφόρους, καὶ σημείων καὶ δυνάμεων καὶ ἰαμάτων, καὶ πάντων ὁμοῦ τῶν ἀποστολικῶν χαρισμάτων πλήρεις αὐτοὺς καὶ παρόντας καὶ ἀπογεγονότας λαμπρόν τι καὶ διαπρύσιον ἀνακηρύττει· οἷς δήπου καὶ Γρηγορᾶς καὶ οἱ κατ' αὐτὸν ἀπιστοῦσι μόνοι, καινὸν οὐδὲν οὐδὲ τοῦ κατ' αὐτοὺς ἔξω ποιοῦντες πράγματος, οὐδὲ τὴν ἐξ ἀρχῆς οὐδοτιοῦν ὑπερβαίνοντες προθυμίαν τε καὶ τὴν ἔνστασιν. Οἱ γὰρ τῷ Θεῷ μὴ διδόντες τό γ' εἰς αὐτοὺς ἧκον ἐνέργειαν κεκτῆσθαι τὴν κατὰ φύσιν, ἀλλ' ἀρκεῖσθαι μονονουχὶ κελεύοντες αὐτὸν ψιλῇ μόνῃ τῇ φύσει, μὴ μέντοι γε καὶ φυσικά τινα συνεπινοεῖν ταύτῃ, ἵνα μὴ σύνθετός τις καὶ πολλαπλοῦς ὁ ἁπλοῦς αὐτοῖς γίγνοιτο, ἢ πρὸς πολυθεΐαν, ὡς αὐτοί φασι, διὰ τῶν φυσικῶν ἐξολισθήσειαν τοῦ Θεοῦ, πῶς ἂν τὰ τῆς θείας ἐνεργείας ἀποτελέσματα καὶ ἐνεργήματα δέξωνται, τῆς μηδὲ τὴν ἀρχὴν κατ' αὐτοὺς οὔσης; Τοῦτο γάρ ἐστι κατὰ Γρηγορᾶν ἐκ τοῦ μηδαμῶς ὄντος γίνεσθαι μηδέν. Καὶ οἱ πάντα καὶ θεολογικόν τε καὶ γραφικὸν, καὶ πατρικὸν ὁμοῦ λόγον, καὶ δὴ καὶ τὰς τῶν πραγμάτων παραγραφόμενοι φύσεις, νοητῶν ἅμα καὶ αἰσθητῶν, εἰκότως ἂν καὶ κατ' αὐτῶν ἀναισχυντοῖεν τῶν καινῶς γινομένων, καὶ πᾶσιν ὀφθαλμοῖς ὁμοῦ τε καὶ γλώσσαις ὁρωμένων καὶ περιλαλουμένων, καὶ δὴ καὶ λογογραφουμένων ὑπ' αὐτῶν ἐκείνων φημὶ τῶν ὁρώντων, μεθ' ὅσης ἂν

A εἴποι τις τῆς ἀξιώσεως καὶ τοῦ σχήματος. Ἀλλ' οἱ περὶ Γρηγορᾶν ἢ μηδὲ γεγενῆσθαί φασι τὴν ἀρχὴν τὰ θαύματα τῶν ἁγίων ἐκείνων, ἀλλὰ ψεῦδος εἶναι κενὸν καὶ πλάσματα, καὶ ὄχλον ῥημάτων ἁπλῶς τὰ περὶ ἐκείνων λεγόμενα πάντα, κἂν οἱ πάσχοντες εὖ στεντόρειόν τι σχεδὸν καθ' ἑκάστην βοῶσι, κἂν οἱ τούτων θεαταὶ καὶ λόγοις καὶ γράμμασι μεγαλοπρεπῶς ἀνακηρύττωσι ταῦτα, κἂν ἀνατολή τε καὶ δύσις, καὶ ἤπειρος ἅμα καὶ θάλαττα κροτῇ καὶ παιανίζῃ τὸ κατ' ἐκεῖνα· μηδὲ γὰρ βούλεσθαί φησιν ἡμᾶς μηδοπωστιοῦν τὰ τοιαῦτα, μηδὲ θαυμάτων ἐθέλειν ἀξιοῦν ὅλως τὸν δεῖνα, μηδὲ τῷ καταλόγῳ τοπαράπαν ἐγγράφειν· ἢ εἰ τοῦτό γε καθ' ὑμᾶς, φησὶν, ἐξ ἀντιστρόφου νικῴη, καὶ δυνάμεις ἐκεῖ, καὶ θαύματα γίγνοιντο παρ' ἐκείνου, καὶ ἄλλως γε
B ὁπηνοῦν οὐκ ἔστι διαθέσθαι τὸν λόγον, δεδόσθω λοιπὸν ἐκεῖνα τῷ Βεελζεβοὺλ ὁμοῦ πάντα καὶ τῇ ἐκεῖθεν ἐνεργείᾳ τε καὶ δυνάμει. Τοῦτο καὶ γάρ φησι τῇ τῶν σοφῶν δεδόχθαι μᾶλλον βουλῇ, καὶ τοῖς καθ' ἡμᾶς θεολόγοις καὶ ῥήτορσι τούτοις τῶν θείων, καὶ ταῦτα δεῖ μᾶλλον κρατεῖν πάντων, καὶ ψήφισμα τουτὶ θαυμαστὸν τοῖς σοφοῖς κατ' ἐκείνων ἐξενηνέχθαι, τὸ πάντας ὁμοῦ φεύγειν ἐκεῖνα καὶ τὴν σορὸν καὶ τὸν ἐργάτην ἐκείνων, ὡς τῆς ἀντικειμένης δυνάμεως καὶ τῆς ἐνεργείας ὄντα. *Οἴμοι! Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ καὶ τοῖς ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸ σύντριμμα τῶν σοφῶν τοῦ λαοῦ μου;* Εὔκαιρον γὰρ καὶ ἡμᾶς ἐνταῦθα τὸν τοῦ θείου Ἱερεμίου θρῆνον ἀναλαβεῖν.
C Εἶπον γὰρ ἐν ἑαυτοῖς, Σοφισθησόμεθα, καὶ τὰ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας μακρὰν ἀπέστη ἀπ' αὐτῶν. Οὐ διὰ τὸ ἀκατάληπτόν φημι, καὶ δυστέκμαρτον ταύτης κατὰ τὸν τοῦ σοφοῦ λόγον, ἀλλὰ διὰ τὴν ἀπιστίαν τε καὶ τὴν ὕβριν μᾶλλον, καὶ τὸ περιὸν τῆς ἀπαιδευσίας. Φείδομαι γάρ τι πλέον εἰπεῖν, αἰδούμενος τὴν εὐλάβειαν.

Ἰουδαίων μὲν οὖν τοῖς προὔχουσι πάλαι τὰς τοῦ Χριστοῦ θείας δυνάμεις καὶ τὰ θαύματα τῷ Βεελζεβοὺλ, καὶ τῇ ἐκεῖθεν ἐπιγράφειν τετολμήκασι δυνάμει, τὴν δίκην ἀπαραίτητον ὁ Χριστὸς ἔσεσθαι προὔφη νῦν τε κἂν τῷ μέλλοντι ἐκείνῳ αἰῶνι διὰ τὴν εἰς τὸ Πνεῦμά φημι βλασφημίαν. Μηδὲ γὰρ ἀφεθήσεσθαί φησί ποτε τὴν ἁμαρτίαν
D αὐτοῖς, μηδὲ συγγνώμης ἐπὶ τούτοις τυχεῖν, καίτοι γε καὶ τοῦ σωματικοῦ νέφους, καὶ τοῦ προβλήματος τῆς σαρκὸς ἐκείνοις τότε προϊσταμένου, οὐ γὰρ δὴ Θεὸν κἀκεῖνοι τὸν Χριστὸν ὁμολογεῖν ᾑρημένοι, τὰς τούτου δυνάμεις ἔπειτα καὶ τὰ θαύματα τῷ δαιμονίῳ προσῆπτον, ἀλλὰ κακῶς ἐκεῖνον δηλαδὴ πρότερον λέγοντες, καὶ ὡς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ. Οὕτω καὶ κατ' ἐκείνων ἑαυτοῖς τε καὶ τοῖς αὐτῶν ἀκολούθως ἐχώρουν. Ἀλλ' ὁ Χριστὸς ταῖς μὲν κατ' αὐτοῦ βλασφημίαις καὶ συγγνώμην ἐδίδου διὰ τὴν σάρκα· ἀσύγγνωστά γε μὴν ἄλλως αὐτοῖς εἶναι τὰ κατὰ τῆς ἐνεργείας τοῦ θείου Πνεύματος ἔλεγε τῇ ἐναντίᾳ κακῶς ἐπιγράφουσι ταῦτα δυνάμει. Οἱ δὲ περὶ Γρηγορᾶν Θεὸν ἕνα τρισυπόστατον ὁμολογοῦντες τῶν πάντων Δεσπότην, ἔπειτα τὴν αὐτοῦ φυ-

Digitized by Google

σικὴν ἐνέργειαν, καὶ τὸ παντοδύναμον βλασφημοῦντες, ὅσῳ δεινότερά τε καὶ ἀτοπώτερα κακουργοῦσιν ἐκείνων; Οὐ μὴν ἀλλ' εἰ καὶ Γρηγόριον οὗτοι τὸν ἱερὸν, ὥσπερ ἐκεῖνοι τότε Χριστὸν κακῶς ἔγνωσαν λέγειν, ὡς Οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ, καὶ δαιμόνιον ἔχει, τί αὐτοῦ ἀκούετε; καὶ τὰ παραπλήσια τούτοις, ἀλλ' ἔδει μὴ διὰ τὴν πρὸς ἐκεῖνον ἔχθραν τε καὶ τὴν ἔριν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ βλασφημεῖν, καὶ τὴν ὑπερφυᾶ δύναμιν τούτου καὶ τὴν ἐνέργειαν φαρισαϊκῶς ἀνάγειν, ἢ κατάγειν μᾶλλον εἰς δαίμονας. Οὕτω γὰρ ἂν καὶ παραίτησίς τις ἴσως προσῆν. Νῦν δ' ἐπέκεινα πάσης συγγνώμης τὰ τῆς εἰς Θεὸν βλασφημίας κατὰ τὸν Χριστοῦ λόγον μὴ μεταμελομένοις ἀξίως.

Καὶ σκαιὸν μέντοι γε καὶ φαῦλον ἄλλως, καὶ διανοίας ἀνοήτου καὶ λογισμῶν, καὶ οὐδὲ σχῆμα γοῦν ἀποσῶζόν τι λόγου τὸ δαίμονας ἐν ταῖς τῶν ἀπεχομένων σοροῖς θαύματα διενεργεῖν ὅλως οἴεσθαί τε καὶ λέγειν, ἀνθρώπους ὁσημέραι μετὰ τοσαύτης ἐκεῖ τῆς σπουδῆς θεραπεύοντας τὰ δεινότατα πάσχοντας, ὧν γε καὶ τὴν ἐξώλειαν ἡδέως ἂν μᾶλλον ἐπρίαντο τοῦ παντὸς, ὅπως τὸν ἐκεῖ κείμενον ἀνακηρυχθῆναι τοῖς πᾶσι γένοιτο, ὡς ἂν οἱ περὶ Γρηγορᾶν εἴποιεν οὗτοι· Ἵνα τί γένηται; καὶ τί τοῖς δαιμονίοις ᾖ πρὸς κέρδους ἐντεῦθεν; συνιδεῖν οὐκ ἔχω. Γόησι μὲν γὰρ καὶ φαρμακοῖς τε, καὶ μάγοις ἔτι περιοῦσιν, ἑαυτοὺς ἐπιδιδόντας τοὺς δαίμονας ἴσμεν, οὐχ ὑπὲρ ἀνθρώπων, πῶς γάρ; ἀλλὰ κατ' ἀνθρώπων μᾶλλον, ὡς ἂν αὐτούς τε τούτους, δι' ὧν ἐνεργοῦσι τὰ οἰκεῖα, κακῶς ὑφ' ἑαυτοὺς ἔχοιεν, καὶ δι' αὐτῶν ἑτέροις, ἢ τὸν τῆς ψυχῆς ἢ τὸν τοῦ σώματος κίνδυνον, ἢ καὶ ἄμφω ταῦτα κατασκευάζοιεν. Τοῦτο καὶ γὰρ αὐτοῖς, ἧπερ ἔφην, εἶναι τὸ προὐργιαίτατον· ἀνθρώποις δ' ἀπιοῦσιν ἐντεῦθεν, καὶ νεκρὰ μὲν ἐπὶ τῶν σορῶν καταλιποῦσι τὰ σώματα, ταῖς δὲ ψυχαῖς πρὸς ἑτέραν λῆξιν μεταχωρήσασιν, οὔτ' ἂν ἔχοιεν ὥσπερ τοῖς ζῶσιν ἐκείνοις κεχρῆσθαι· οὐδὲ γὰρ δυνατὸν ὅλως καὶ πολλοῦ γε δεῖ καὶ ὑφ' ἑαυτοὺς ἐκείνους ἔχειν ποιεῖσθαι, ἢ καὶ διὰ τούτων ἑτέρους κακοῦν. Εἰ δὲ τοῖς μὲν οὐδὲ προσλαλεῖν, οὐδὲ κεχρῆσθαι τούτοις καθάπαξ οἷόν τε, ταῖς δὲ σοροῖς, ὡς οὗτοί φασι, προσεδρεύοντες τῶν ὀστῶν, ἀνθρώπους μὲν εὖ ποιοῦσι καθ' ἑκάστην πονήρως ἔχοντας τῶν σωμάτων, ἔστι δ' ὅτε καὶ τῶν ψυχῶν, ὅπερ οὐκ ἂν ποτ' εἴη, ὡς οὐδὲ τὸ σκότος φῶς, οὐδὲ γλυκὺ τὸ πικρὸν, μήτε γὰρ βούλεσθαι ταυτὶ τοὺς τῶν ἀνθρώπων τούτοις ἐχθροὺς, μήτε δύνασθαι τὸ παράπαν, τελευτᾷ δ' αὐτοῖς καὶ ἡ τῶν νοσούντων θεραπεία πρὸς δόξαν καὶ αἶνον Θεοῦ, ἔλαθον οἱ δαίμονες τολοιπὸν κατὰ Γρηγορᾶν αὖθις ἐφ' ἑαυτοὺς μερισθέντες καὶ σφᾶς αὐτοὺς ἐκβάλλοντες τῆς ἰδίας ἀρχῆς, τῷ τοῖς μὲν ἀνθρώποις, κατὰ τοῦτον αὐτόν φημι, πορίζειν τὴν σωτηρίαν σὺν πολλῇ τῇ σπουδῇ, τῷ δὲ Θεῷ πανταχόθεν τὴν δόξαν καὶ τὸ κράτος, καὶ τὸν αἶνον συνάγειν ὥσπερ ἐπίτηδες, καὶ μετὰ πολλῆς τῆς ἀγωνίας τὰ τῆς ἀρχῆς αὐτῷ συγκροτεῖν. Καὶ εἰ ὁ Σατανᾶς αὐτὸς ἑαυτὸν ἐκβάλλει, καὶ ἐφ' ἑαυτὸν ἐμερίσθη, κατὰ τὸν Δεσποτικὸν λόγον, πῶς ἡ αὐτοῦ βασιλεία σταθήσεται; Οὕτως οὐ μόνον ἱερῶν ἀλλότρια, καὶ προσέτι καὶ βλασφημίας καὶ δυσσεβείας μεστὰ τὰ κατὰ τῶν ἁγίων τῶν τε περιόντων φημὶ τούτων, καὶ δὴ καὶ τῶν ἀπιόντων κἀν τούτοις λεχθέντα τοῖς περὶ Γρηγορᾶν, ἀλλὰ καὶ λογισμῶν, ἧπερ ἔφην, ὑγιαινόντων καὶ διανοίας μακρὰν, καὶ μηδὲ σώζοντα λόγον ἴσχοντα τοπαράπαν, μηδ' ἑαυτὰ γοῦν, μηδὲ τοὺς λέγοντας αὐτοὺς δυνάμενα πείθειν.

Καιρὸς δ' ἂν εἴη λοιπὸν κατὰ τὴν ὑπόσχεσιν καὶ ὑπεύθυνον εἶναι δεῖξαι τὸν αὐτὸν ἐκ τῶν αὐτοῦ λόγων τά γε τοιαῦτα, ὀνείροις τε καὶ φάσμασι πονηρῶν δαιμονίων τὰ μήτε ὄντα μήτ' ἐσόμενα μυσταγωγούμενον, καὶ τὴν αἵρεσιν ὥσπερ ἐξ ἀρχῆς ἠσπάσατο μυσταγωγηθεὶς ὑπ' αὐτῶν, οὕτω δὴ καὶ σπουδάζειν ἔπειτα καὶ τὰ ἐπιόντα δυσχερῆ φέρειν ὑπὲρ αὐτῆς διδασκόμενον ὑπ' ἐκείνων αὐτῶν αὖθις, ὡς πολλὴν μὲν οὖσαν τὴν ἀποκειμένην ἐντεῦθεν ἀμοιβὴν αὐτῷ, καὶ τοῖς κατ' αὐτὸν, πλείστην δ' ὅσην ἐξ ἀντιστρόφου τοῖς εὐσεβέσι τὴν δυσπάθειαν, ὡς αὐτός φησι, μετὰ τῆς καταστροφῆς. Φησὶ τοιγαροῦν πρὸς τὸν ἑαυτοῦ μύστην τε καὶ μυσταγωγὸν Ἀγαθάγγελον ἐν ἐπιλόγοις τοῦ κατὰ τῆς εὐσεβείας αὐτοῦ συγγράμματος ὡδὶ Γρηγορᾶς· Ἐπεὶ δὲ πόῤῥω νυκτῶν τὰ τῆς ὁμιλίας ἡμῖν, ὡς ὁρᾷς, ἐκτέτακται, καὶ δέον ἀπιέναι σε, καθευδόντων, οἷς τὰ τῆς ἡμετέρας ἐπιτέτραπται φυλακῆς, φέρε καὶ περὶ τῶν συμβησομένων βραχέα τὸν ἐνόντα διέλθωμεν τρόπον. Οὐ γὰρ ἄξιον οὔτε σέ γε ἀγνοεῖν, οὔθ' οἷς μέλλεις φίλοις ἡμῶν ὁμιλεῖν καὶ συνάθλοις, ἵνα μὴ πρὸς τὸ τῆς ἐλπίδος ἀποβλέποντες ἄδηλον, ἄχθωνται. Τετύχηκε γάρ μοι ῥιφέντι πρὸς δεσμωτήριον ἤδη τουτὶ περικεχύσθαι μακρὰν ἀθυμίαν, πάνυ κεντοῦσαν καὶ ὀδυνῶσάν μου τὸ λογιζόμενον τῆς ψυχῆς· οὐχ ὅτι πάσχων αὐτὸς διετέλουν εἱργόμενος, ἀλλὰ τοὺς τῆς Ἐκκλησίας ὁρῶν ὑψουμένους χειμῶνας κατὰ τῶν θείων δογμάτων, καὶ τὸ πλῆθος ἀεὶ ἐλαυνόμενον, καὶ τὸ μὲν δεσμούμενον, τὸ δ' ἐξόριστον γινόμενον· καὶ τὸ μὲν κάμπτον γόνυ τῇ Βάαλ διὰ τὸ τοῦ λιμοῦ βίαιον, καὶ τὴν τῶν οἰκείων ἀφαίρεσιν, καὶ τὸ σῶζον ἦν οὐδαμοῦ. Τοιούτων τοίνυν τηνικαῦτα μεστὸς γενόμενος λογισμῶν, ἔνδακρύς τε γεγένημαι, καὶ πολλὰ τῷ Θεῷ προσευξάμενος καὶ καθίσας, κἀπὶ τῆς δεξιᾶς ἐρείσας τὴν κεφαλὴν, ὕπνῳ λεπτῷ συνεσχέθην, καί μοι ἔδοξεν ὄναρ τῶν φίλων τις ἐπιστὰς, Χαῖρε, φάσκειν, καὶ μὴ ἀθύμει, Θεὸν, ὑπὲρ οὗ τοῖς ἄθλοις ἐγκαρτερεῖς τουτοισὶ, κράτιστον ἔχων ἐπίκουρον. Ὄψει γὰρ οὐκ εἰς μακρὰν τουτουσὶ τοὺς τῆς εὐσεβείας διώκτας, οὐχ οἷα μόνον ὑμῖν ἐπήνεγκαν πάσχοντας τὰ δεινὰ, ἀλλὰ καὶ μακρῷ σχετλιώτερα. Ἐκπολεμωθήσονται γὰρ κατ' ἀλλήλων, βασιλεὺς κατὰ πατριάρχου καὶ κατ' ἐπισκόπων, καὶ αὖ κατ' ἀλλήλων ἐπίσκοποι· καὶ τοῖς ἀλλήλων ἀναθεματισμοῖς καὶ τοῖς οἰκείοις περιπεσοῦνται· καὶ ἐξωσθήσεται μὲν τῶν θρόνων ὁ πατριάρχης, ἀντεισαχθήσεται δ' ἕτερος. Καὶ μετ' ὀλίγον· Τὰ ὅμοια πείσεται καὶ αὐτός. Καὶ ὁ βασιλεὺς τὴν βασιλείαν ἅμα ζημιώσεται σὺν ἀτιμίᾳ ποικίλῃ. Καὶ πρό γε τούτων ὁ

Digitized by Google

Παλαμᾶς τοῖς βαρβάροις ἁλώσεται· καὶ μὴ ὅτι τὰ ἔχθιστα, ὅτι μὴ τὰ αἴσχιστα πείσεται. Οἱ δὲ πλείους τῶν ἐπισκόπων, σεισμῷ κλονηθείσης τῆς Ῥωμαίων γῆς βιαίῳ, αὐταῖς ἐπισκοπαῖς καὶ οἰκίαις συγχωσθήσονται, καὶ αὐτάνδροις φάναι ταῖς πόλεσι. Καὶ τοῦτ' ἂν εἴη καθαίρεσις ἐκ Θεοῦ σφίσι δικαία, ἀνθ' ὧν αὐτοὶ καθεῖλον ἀδίκως, ὑπὲρ εὐσεβείας ἀγωνισαμένων ὀρθῶς ἐπισκόπων καὶ πρεσβυτέρων καὶ σοφῶν, καὶ ὅσοι ὁμότροποι τὴν εὐσέβειαν.

Οὕτω Γρηγορᾶς ὑπὸ τῷ κακῶς φιλιωθέντι πάλαι φιλοψευδεῖ δαίμονι, ὥσπερ τὴν αἵρεσιν πρίν, οὕτω δὴ καὶ τὰ ψευδῆ ταῦτα παραληρήματα ψευδῶς μυσταγωγηθείς, ἐν γὰρ τούτῳ τέως ἀληθεύων ὁρᾶται, ὅτι παρὰ τοῦ φίλου δαιμονίου τοὺς προφοιβασμοὺς καὶ τὰς ψευδοπροφητείας ταύτας δι' ὀνείρων ἔχει μαθών, ἐκεῖνα προφανῶς ἑάλω νοσῶν, ἃ τοῖς θεοφόροις ἐκείνοις ἐγκαλῶν αὐτὸς ἔφη ψευδῶς· καὶ ταῖς αὐτὸς ἑαυτοῦ ψήφοις, καὶ ταῖς ἀποφάσεσι καὶ τῇ καταδίκῃ, δικαίως ὑπεύθυνος γίνεται. Μέθης καὶ γὰρ καὶ ἀδδηφαγίας καὶ πλάνης Μασαλιανῆς αὐτὸς τοὺς καθ' ὕπνους χρησμοὺς καὶ τὰς προῤῥήσεις ἔφη, τοὺς μακαρίους συκοφαντῶν ἐκείνους.

Εἰ γοῦν οὕτω ταῦτα καὶ κατὰ τὰς σὰς ἔχει, φιλόσοφε, ψήφους, καὶ οὐδεὶς ἀντερεῖ, σὺ δ', ὡς αὐτὸς φῂς πρὸς τοὺς σοὺς ἑταίρους, ὕπνῳ καὶ ὀνείροις τισὶ παρὰ τοῦ φίλου δαιμονίου τοὺς προῤῥηθέντας ψευδεῖς ἐμυσταγωγήθης χρησμούς, πῶς οὐχ ὅπερ αὐτὸς λέγω μετὰ πολλοῦ πάνυ τοῦ περιόντος γίγνεται, καὶ ταῖς αὐτὸς σαυτοῦ ψήφοις καὶ ταῖς ἀποφάσεσιν ὑπεύθυνον σεαυτὸν καθιστᾷς; Μᾶλλον δ' εἰ μὲν ἀδδηφαγίᾳ καὶ γαστρὸς ἐνισχημένος κόρῳ καὶ τρυφῇ καὶ οἰνοφλυγίᾳ, καὶ ὕπνῳ βαθεῖ, καὶ κάρῳ τὰ τοιαῦθ' ὁ φιλόσοφος ὀνειροπολῶν ἐφαντάζετο, ἦν ἂν καὶ τὸ τῆς γαστρὸς κόρῳ καὶ τῇ μέθῃ ταῦτα λογίσασθαι, τῆς αὐτόθεν ἀναδιδομένης ἀχλύος τῷ φανταστικῷ τὴν σύγχυσιν ἐμποιούσης, καὶ τὰ μὴ ὄντα καὶ ὁρᾷν καὶ ἀκούειν ὥσπερ ποιούσης αὐτόν· ἐπεὶ δ', ὡς αὐτός φησι, καὶ πενθῶν καὶ δακρύων ἦν, καὶ τῷ κτιστῷ, καὶ γνωστῷ, καὶ περιγράπτῳ καὶ ὁρατῷ, καὶ κατ' οὐσίαν αὐτοῦ Θεῷ κατὰ τὸν σοφὸν φάναι Θεόδωρον, μετ' Εὐσεβίου δι' εὐχῆς προσιών, εὔδηλον ὡς παρὰ τῆς τοῦ φιλοσόφου μόνης ἐνεργείας τουτουσὶ δεδεγμένους ἀναπέφηνε τοὺς χρησμούς, πνεύματι πλάνης συναπαχθεὶς κακῶς, ὡς μὴ ὤφελε, καὶ τῆς ἐναντίας ἐνεργείας χωρητικὸν ἑαυτὸν κατασκευάσας ὅλον, ὡς ἔφην, ἐπειδὴ τὴν παντουργὸν ἀπωσάμενος τοῦ Πνεύματος ὅλην ἐνέργειαν, τὰ δυσσεβῆ καὶ παράνομα πάντ' ἐκεῖνα γνώμης ἀκρασίᾳ καὶ γλώττης, ὡς οὐκ οἶδ' εἴ τις ἄλλος τῶν κατ' αὐτόν, τολμηρῶς καὶ θρασέως ἄγαν εἰς αὐτὴν ἐξύβρισε τὴν Θεότητα. Καὶ ὅρα μοι καὶ τοῦ χρησμοδοτοῦντος αὐτῷ δαιμονίου τὴν ἀμαθίαν καὶ τὸ φιλοψευδές. Τὴν μὲν γὰρ διαφορὰν πρὸς ἀλλήλους τῶν ἐπισκόπων ἤδη, μᾶλλον δ' οὐ τῶν ἐπισκόπων, εἰ χρὴ τἀληθὲς εἰπεῖν, πρὸς ἀλλήλους ἦν ἡ διαφορά, ἀλλὰ τῆς συνόδου πρὸς τὸν πατριάρχην μόνον ἐκεῖνον, συναπαχθέντα κουφότητι, καὶ γνώμης προπετείᾳ καὶ θράσει καὶ τῇ τῶν πολιτικῶν πραγμάτων καινοτομίᾳ, καὶ τῇ κατά τινων ἀπεχθείᾳ πρὸς ἃ μὴ ἐχρῆν ἐξολισθήσαντα· ἐφ'

A ᾧ δὲ ταῦτ' ἐγένετο σιωπᾷ. Καὶ ὅτι μὲν οἱ πατριάρχαι τῶν θρόνων ἀπελαθήσονται, τὸν ἑαυτοῦ μυσταγωγόν, ὡς αὐτὸς οὗτός φησιν ὁ μυσταγωγούμενος, διδάσκει· ὅτι δ' ἐπανελεύσονται πάλιν, καὶ λόγοις καὶ ἔργοις καὶ συγγράμμασι τὴν αὐτοῦ στηλιτεύσουσιν αἵρεσιν, τοῦτο δ' οὐδὲ μνήμης οὐδέ γέ τινος ἄξιοί.

Καίτοι γ' ἐχρῆν, Γρηγορᾶ, καὶ τοῦτ' ἐκείνοις προσκεῖσθαι, ἵνα σώζων ᾖ καὶ ἄρτιος ὁ λόγος τῷ σῷ διδασκάλῳ, καὶ μὴ ὥσπερ ἐξ ἡμισείας τὰ τῆς διδασκαλίας ὄντα τυγχάνῃ, καὶ πλανῶντα μᾶλλον ἢ διδάσκοντα τὸν μυσταγωγούμενον. Νῦν δὲ τὰ μὲν γιγνόμενα τότε καὶ ὁρώμενα λέγεις, εἴτε καὶ ὁ σὸς πλάνος ἐκεῖνος, ὡς αὐτὸς ἔφησθα δήπου, εἴτε καὶ σὺ κἀκεῖνος ὁμοῦ· περὶ δὲ τῶν μελλόντων, ὃ δὴ καὶ

B φθάσας ὁ σὸς φίλος τε καὶ διδάσκαλος ἐπηγγείλατο, τοπαράπαν οὐδὲν ὑγιές, ὥσπερ δὴ καὶ τὰ κατὰ τοῦ σοφοῦ βασιλέως ἐκεῖνα, καὶ δὴ καὶ κατὰ τοῦ μεγάλου Γρηγορίου φημὶ τοῦ Πατρὸς ὄντα τοῦ ψεύδους ἄντικρυς, καὶ ποίαν οὐχ ὑπεραίροντα συκοφαντίας ὑπερβολήν; Μᾶλλον δ' ὁ μὲν σὸς καθηγητὴς τὰ τοιαῦτα καὶ φίλος ἐκεῖνος, οὐδὲν οὐδοτιοῦν ἐκ προγνώσεως εἰδέναι δεδυνημένος· *Ποία καὶ γὰρ κοινωνία φωτὶ πρὸς σκότος;* Παῦλός φησιν ὁ πεφωτισμένος, ἀλλὰ στοχασμοῖς τισιν ἐκ τῶν φαινομένων τὰ μέλλοντα τεκμαιρόμενος, κἀκ τούτου ψευδόμενος τὰ πολλά, τοῦτ' αὐτό φημι τὸ κἀνταῦθα σύνηθες πέπονθε, κακῶς, ἥπερ ἔφης, καὶ σὺν ἀτιμίᾳ ποικίλῃ τὸν τετιμημένον τουτονὶ ζημιώσεσθαι προσδοκήσας

C τὴν βασιλείαν, εἴπερ καὶ μὴ σόν ἐστι πλάσμα τὸ πᾶν καὶ τοῦ σοῦ φθόνου, καὶ τῆς φιλοψευδοῦς καὶ φιλολοιδόρου γλώττης, ἐκ τῆς πρὸς ἀλλήλους διαφορᾶς τῶν βασιλέων τὰ μὴ ὄντα κακῶς συμπλαττούσης, καὶ προλέγειν προσποιουμένης τὰ σοὶ κατ' εὐχήν τε καὶ βούλησιν· ὁ δὲ θαυμαστὸς οὑτοσὶ βασιλεὺς πάλαι τῷ θείῳ πόθῳ καὶ τῷ τῆς ἀναχωρήσεως ἔρωτι κάτοχος ὤν, ὡς ἄλλοι τε πλεῖστοι τῶν φίλων, καὶ αὐτοὶ τῶν ἄλλων μάλιστα σύνισμεν ἐν τοῖς μάλιστα πεφηνότες αὐτῶν, ὃ μηδὲ σύ γ' αὐτὸς ἀγνοεῖς, οἶμαι, καὶ κοινωνοὶ τοῦ περὶ τῆς ἀναχωρήσεώς τε καὶ ἡσυχίας ὄντες αὐτῷ καὶ πράγματος καὶ βουλεύματος, σύν γε Νικολάῳ τῷ πάνυ φημί· τοὺς γοῦν τοιούτους λογισμούς, ὅπερ ἔφην ἄνωθεν, παρ' αὐτῷ κεχυρωμένους ὥσπερ φέρων ὁ βασιλεύς, καὶ διὰ

D τοῦτ' ἄρα καὶ τοῖς τῆς ἀρχῆς πράγμασι πάνυ τοι δυσχεραίνων, καὶ πῶς ἂν εἴποις ἀχθόμενος, εἰ καὶ ἄλλως τὰ τηνικαῦτα συμπεσόντα, τῷ σκοπῷ καὶ τῷ τῆς ψυχῆς βουλομένῳ προσίστατο, καιροῦ καταλλήλου λαβόμενος, τὸ πάλαι σπουδαζόμενόν τε καὶ φιλούμενον, καὶ πρὸς πέρας ἐξήνεγκε θαυμαστόν, οὐ μόνον τὴν τῆς ἀρχῆς καὶ τῆς κοινῆς τῶν πραγμάτων οἰκονομίας καὶ διεξαγωγῆς ἀπόθεσιν ζημίαν οὐχ ἡγησάμενος, ἀλλὰ καὶ ζημίαν διὰ τὴν Ἰησοῦ νέκρωσιν, καὶ τὸν πρὸς τὴν ἀναχώρησιν ἔρωτα πάντα μᾶλλον ἐκεῖνα καλῶς ἡγησάμενος, ἃ κατὰ κόσμου αὐτῷ πρὸς κέρδους εἶναι καὶ δόξης νενόμιστο· καὶ οὐ μόνον ἀδοξίαν ἡνδητινοῦν ἐντεῦθεν οὐ προστριψάμενος ἑαυτῷ, ἀλλὰ πρός γε τῇ ἀληθινῇ καὶ πρώτῃ παρὰ Θεοῦ δόξῃ καὶ τὴν κάτω καὶ ἀνθρωπείαν οὕτω

Digitized by Google

δαψιλῶς ἔχων παρεπομένην, ὡς καὶ τοὺς πρὶν ἀγνω- A μονοῦντας εὔνους οὐδ' ὅσον εἰπεῖν νῦν ἔχειν, καὶ τοὺς ἀδίκως τότε μισοῦντας νῦν φιλοῦντας δικαίως τοῦ κάκιστ' ἀπολουμένου φθόνου, καὶ τοῦ ψεύδους κάλλιστ' ἀπελαθέντων, καὶ εἰς ἑαυτὴν ὥσπερ ἐπανιούσης τῆς ἀληθείας. Καὶ τότε πρότερον μὲν οἱ ὑπὸ χεῖρα καὶ τὸ ὑπήκοον ὡς δεσπότην ἑαυτῶν προσκυνοῦντες ἦσαν, εἰ καὶ μὴ καθαρῶς πάντες διά γε τὰ προῤῥηθέντα, νῦν δὲ καὶ πάντες μὲν σχεδὸν καθαρῶς μετά γε τῆς καθηκούσης εὐνοίας τε καὶ τοῦ φίλτρου.

Πρὸ δὲ πάντων καὶ ὑπὲρ πάντας καὶ βασιλεῖς καὶ βασιλίδες ὁμοῦ καὶ τὸ χρυσοῦν ἅπαν τουτὶ γένος, φιλοῦντες μὲν ὡς παῖδες πατέρας, μᾶλλον δὲ καὶ τὴν φύσιν αὐτὴν, καὶ τοὺς ἐκεῖθεν ἱμέρους καὶ τοὺς δεσμοὺς ὥσπερ παριέναι φιλονεικοῦντες τῷ B περιόντι τοῦ φίλτρου, τὰς δὲ τιμὰς καὶ τὴν αἰδῶ, καὶ τὸ σέβας, καὶ τὴν ὑπακοὴν, καὶ πάνθ' ὁμοῦ τὰ τοιαῦτα, ἰσόθεά τινα καὶ παραδείγματος ἔξω παντὸς ἀπονέμοντες, τί μὲν οὐ λέγοντες, τί δ' οὐ ποιοῦντες, ἃ πρὸς θεραπείαν τε καὶ τιμὴν φέρει τὴν τούτου; μᾶλλον δὲ πάντα μὲν ἐκεῖνα καὶ δρῶντες καὶ λέγοντες καθ' ὑπερβολὴν, οὐδὲν δὲ τῶν ἀξίων οἰόμενοι λέγειν καὶ δρᾷν. Τοιοῦτός ἐστιν ὁ τῶν πραγμάτων νυνὶ σὺν Θεῷ βασιλεύς τε καὶ κύριος. Τοὺς γὰρ νῦν ὄντας πάντας ἀνθρώπους, καὶ φρονήσει καὶ ἀγχινοίᾳ, καὶ καλοκαγαθίᾳ καὶ χρηστότητι τρόπων, καὶ συγγνώμῃ τῇ πρὸς τοὺς πταίοντας, καὶ τῷ φιλοδώρῳ τῆς γνώμης τε καὶ τῆς δεξιᾶς ἐκ πολλοῦ τοῦ περιόντος νικῶν, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι, καὶ C τῇ πρὸς τὸν πατέρα καὶ βασιλέα θαυμαστῇ ταύτῃ γνώμῃ, καὶ τῇ αἰδοῖ καὶ τῷ περιόντι τοῦ φίλτρου τοὺς πρὸ αὐτοῦ φιλοτιμεῖται νικᾷν ὁμοῦ πρὸς τοὺς ἐξ ὀσφύος αὐτῷ καὶ μάλα δὴ λαμπρῶς ἁμιλλώμενος, καὶ τὸ κράτος κἀν τοῖς εἰρημένοις τούτοις ὥσπερ φιλονεικῶν φέρεσθαι κατὰ πάντων, καθάπερ δὴ κἀν τοῖς ἄλλοις, καὶ παράδειγμα θαυμαστὸν τοῖς ἐξ αὐτοῦ βασιλεῦσι, καὶ δὴ καὶ τοῖς τὰ δεύτερα φέρουσι τῆς βασιλείας τῶν παίδων ὁμοῦ πᾶσι προκεῖσθαι. Ἔρεισμα γοῦν τῆς ἀρχῆς, καὶ θείαν βουλὴν, καὶ ψυχήν τινα τῶν πραγμάτων καὶ τῆς ζωῆς, καὶ τῆς βασιλείας ἑαυτοῦ τε καὶ τῶν παίδων καὶ σπουδαστὴν καὶ προασπιστὴν, καὶ κηδεμόνα καὶ πατέρα καὶ φύλακα τοῦτον καὶ ἡγεῖται, καὶ τοὺς γνησίους ὁμοῦ πάντας ἡγεῖσθαι πείθει. Τοσοῦτόν εἰσι πρὸς D ἀλλήλους θαυμαστοὶ οἱ βασιλεῖς, καὶ τοιούτοις δεσμοῖς ἀλλήλοις συνδέδενται φίλτρου, καὶ ὁμονοίας καὶ συμψυχίας, ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ, φθόνου μὲν καὶ ζήλου καὶ μίσους καὶ τῆς οὐ καλῆς ὑπονοίας καὶ πάντων ὁμοῦ τῶν τοιούτων καλῶς ἀπεληλαμένων ἐκεῖθεν, τῆς δὲ τῶν βασιλέων ἀρετῆς γυμνῆς ἅπασιν ἐκφανείσης ἀθρόον, καὶ τὸ παντοδαπὸν ἑαυτῆς κάλλος, καὶ τὴν ἰσχὺν ἅμα καὶ τὴν εὐπρέπειαν ἐκ πολλοῦ τοῦ περιόντος ἐμφανιζούσης· οἷς οὐ καλῶς ὁ κακὸς ἐπεσκότει φθόνος, καὶ τὸ ψεῦδος ἐπὶ μακρὰ, ἃ δὴ καὶ τὴν φθορὰν, φεῦ! τοῦ γένους ἡμῶν καὶ τὴν πανωλεθρίαν ἄνωθεν εἴργασται. Ἅπερ καὶ Γρηγορᾶς οὑτοσὶ κάκιστα νενοσηκὼς, ὡς μὴ ὤφελεν, ἐπειδὴ καὶ τὴν ποθουμένην αὐτῷ διαφορὰν ἑώρα τότε τῶν βασιλέων, ἅμα καὶ τοῦ φίλου δαιμονίου τὴν ἐνεργουμένην δι' ἑαυτοῦ διαίρεσιν καὶ τὴν στάσιν, καὶ δὴ καὶ τὰ παρεπόμενα τούτοις ἐκεῖνον μυσταγωγοῦντος, τὰ μήτ' ὄντα, μήτε γενησόμενα, ψευδῶς κατὰ τὴν ἑαυτῶν γνώμην προὔφησαν τότε. Τῆς δὲ τῶν πραγμάτων ἀληθείας ἧπερ ἔδει νῦν ἐκφανείσης, ψεῦσται καὶ ἀπατεῶνες, καὶ πλάνοι καὶ βασιλέων ἐχθροὶ, καθὰ καὶ Θεοῦ πρότερον, οὐκ ἀπεικότως ἂν οὗτοι καὶ ἄμφω παρὰ πάντων καλοῖντο. Καὶ τί χρὴ τἄλλα λέγειν, ὅπου γε καὶ ταῖς δυσσεβείαις αὐτοῦ τε καὶ τῶν κατ' αὐτὸν συμμαχήσειν τε καὶ ὑπερμαχήσειν, καὶ προστήσεσθαι τὸν θαυμαστόν τε καὶ φιλόχριστον ἤλπισε βασιλέα, τὸν μηδὲν ἧττον τῆς εὐσεβείας, καὶ τοῦ γ' ὑπὲρ τῆς Ἐκκλησίας τῆς ἱερᾶς πατρικοῦ ζήλου καὶ τῆς σπουδῆς, ἢ τοῦ διαδήματος καὶ τοῦ σκήπτρου κληρονόμον ὀφθέντα; Ἀλλ' ὁ γενναῖος οὑτοσὶ μετὰ τῆς πατρικῆς βασιλείας καὶ τὴν τοῦ Θεοῦ βασιλείαν κάλλιστά γε καὶ ὡς ἐχρῆν ἐπιγνοὺς, κἀκ τῶν ἀγκαλῶν τῆς θαυμαστῆς μητρός τε καὶ βασιλίδος, καὶ τὴν ταύτης εἰλικρινῆ πρὸς Θεὸν πίστιν, καὶ τὸν ὑπὲρ τοῦ ὀρθοῦ λόγου ζῆλον καθαπερεί τινα πανοπλίαν καὶ σκευὴν ἐνειμένος βασιλικὴν, τὴν πνευματικὴν καὶ μάλα καλῶς ἐπέγνω μητέρα, τὴν Χριστοῦ Ἐκκλησίαν φημί· καὶ τῶν ταύτης διδασκάλων εὐσεβῶς τε καὶ φιλοθέως ἄγαν ἐξηρτημένος, καὶ τούτοις καὶ κεφαλὴν ὁμοῦ καὶ ψυχὴν ὑποτιθεὶς, καθάπερ ὁρῶμεν, τὰς θαυμαστὰς πρὸς αὐτὴν ὁμολογίας ἐκείνας λαμπρῶς ἐπὶ τῶν ἔργων ἐκφαίνει, τοὺς περὶ Ἀκίνδυνόν τε καὶ Γρηγορᾶν λύκους δεδειχὼς μάτην χανόντας, καὶ πᾶσι τοῖς τἀκείνων φρονοῦσιν οἰμώζειν εἰπών.

Ἀλλὰ τούτων μὲν ἅλις· Γρηγορίου δὲ πέρι τοῦ μεγάλου τῶν ἐμῶν φημι Θεσσαλονικέων διδασκάλου τε καὶ ποιμένος, καὶ ὧν ἡ τολμηρὰ καὶ βέβηλος γλῶττα κατὰ τῆς ἀληθείας καὶ ἀλήπτου ψυχῆς ἐκείνης ἀκολάστως τε καὶ μοχθηρῶς, καὶ ἀξίως ἑαυτῆς δι' ὀλίγων εἶπε κἀν τούτοις ἐκεῖνο καὶ δὴ λέγω, ὡς πέμπει μὲν ὁ Θεὸς δι' αἰχμαλωσίας πρὸς Ἀχαιμενίδας κἀκεῖνον, ὥσπερ δὴ καὶ τοὺς ἀποστόλους πάλαι πρὸς τὸ κήρυγμα, καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν διὰ τοῦ τῆς Ἐκκλησίας διωγμοῦ δηλαδὴ τοῦ μετὰ τὴν ἀναίρεσιν Στεφάνου τοῦ θείου, διὰ τῶν ἐναντίων σοφῶς πλέκων τὰ ἐναντία, ἵνα καὶ θαυμασιώτερα, φησὶ, φαίνηται. Ἐκεῖ δ' ὁ μέγας γενόμενος, λεγέτωσαν οἱ συνειδότες καὶ νῦν, οἷος ἐν ἔργοις τε καὶ λόγοις καὶ διαλέξεσι ταῖς πρὸς τοὺς σοφούς τε καὶ προὔχοντας Ἀχαιμενιδῶν ἀνεφάνη. Μᾶλλον δὲ καὶ λέγουσι καὶ γράφουσι, καὶ κηρύττουσι μάλα τρανῶς τὰς συνεχεῖς πρὸς ἡμετέρους διδασκαλίας καὶ παραινέσεις, τὴν μεγάλην τοῦ λόγου παραμυθίαν, τὰς λύσεις τῶν ἀμφισβητουμένων, τὰς τῶν Γραφῶν θαυμαστὰς ἐξηγήσεις, τοὺς τῆς καινῆς ἐκείνης αἱρέσεώς τε καὶ δυσσεβείας ἐλέγχους, τὴν θεολογίαν, τοὺς ὑπὲρ τῆς μιᾶς τρισυποστάτου θεότητος καινοὺς καὶ ὑπερφυεῖς λόγους, τοὺς περὶ τῆς θείας Χριστοῦ γεννήσεως, τῆς τε ἄνω καὶ ὑπὲρ χρόνον, καὶ δὴ καὶ τῆς ἐν χρόνῳ καὶ κατὰ σάρκα, τοὺς περὶ σταυροῦ καὶ θείων εἰκόνων καὶ τύπων, καὶ Παλαιᾶς Διαθήκης καὶ Νέας, καὶ νόμου, καὶ περιτομῆς, καὶ ἱερωσύνης



Digitized by Google

τῆς πάλαι· καὶ ὅτι καὶ κατὰ φύσιν ὁ Υἱὸς ὁ τοῦ Θεοῦ Λόγος καὶ Χριστὸς καὶ Θεὸς, ἐπεὶ καὶ κριτὴς ὁ αὐτὸς ὁμοῦ πάντων ἀνθρώπων, ὅ φησιν Ἀβραὰμ ὁ πατριάρχης ὑπὲρ Σοδόμων πάλαι πρεσβεύων, κατὰ Μωϋσῆ φάναι τὸν μέγαν, ὅπερ οὐχ Ἑβραίοις μόνον, ἀλλὰ καὶ Ἀχαιμενίδαις κατὰ ταὐτὰ, φησὶ, δοκεῖ. Καὶ τί χρὴ κατὰ μέρος καταλέγειν νῦν ἑξῆς πάντα, πραγματείας ἑτέρας ὄντα καὶ ἱστορίας ἔργον, δι' ὧν ἡ θαυμαστὴ καὶ οὐρανία καὶ φιλόσοφος γλῶττα τίνας μὲν οὐκ ἐστήριξεν ἐκεῖ τῶν πιστῶν πρὸς τὸν ὑγιᾶ φημι λόγον; ποίας δ' οὐκ ἔλυσεν ἀμφιβολίας τῶν δισταζόντων; πόσου δὲ καὶ οἵου θαύματος οὐκ ἐπλήρωσε τὰς ψυχὰς τῶν συνέσει καὶ ἀξιώματι παρ' ἐκείνοις προὐχόντων; δι' ἃ δήπου καὶ πληγὰς καὶ ῥαπίσματα κατὰ κόῤῥης καὶ ὕβρεων φορυτὸν περὶ τῶν ἀποστατῶν καὶ ἀλιτηρίων ὑπέστη Χριστοῦ καὶ τῆς αὐτοῦ Ἐκκλησίας, οὐκ ἐνεγκόντων τὴν ἧτταν καὶ τὴν ἐπὶ πάντων αἰσχύνην, ἀναίμακτος ἀθλητὴς καὶ στεφανίτης καὶ μάρτυς τῶν Χριστοῦ παθημάτων ἐκεῖθεν κατιὼν πρὸς ἡμᾶς σὺν λαμπρᾷ τινι τῇ πομπῇ καὶ τοῖς κρότοις καὶ τοῖς ἐπινικίοις, οὐκ ἐπιγείοις τισὶν οὐδὲ παρ' ἀνθρώπων φθαρτῶν ἐπιτελουμένοις, ἀλλ' ἀφθάρτων καὶ οὐρανίων ἀγγέλων ἀοράτως προπεμπόντων, καὶ τὴν αὐτοῦ κάθοδον, καὶ τοὺς ἄθλους τοὺς ἱεροὺς, καὶ τοὺς ὑπὲρ τῆς εὐσεβείας ἀγῶνας καὶ δρόμους, καὶ τὴν καινὴν ὁμολογίαν, ὕμνοις καὶ μυστικαῖς ᾠδαῖς ἀνακηρυττόντων, ὡς καὶ κατιόντι παρὰ τοὺς τῆς βασιλίδος τῶν πόλεων ταύτης λιμένας, συνεξακούεσθαί τισι τῶν εὐλαβῶν τότε τοὺς ὕμνους παρ' αἰγιαλοῖς ἑστηκόσιν, οἳ καὶ τὸ καινὸν ἐκεῖνο τῆς καινῆς ᾠδῆς τε καὶ τοῦ μέλους ἀποθαυμάζοντες, καινὸν μέν τι καὶ ἄπιστον ἔλεγον εἶναι, εἰ παρὰ τῆς αἰχμαλωσίας καὶ τῶν βαρβάρων μελῳδοὶ, καὶ τοιοῦτοι κατάγονται παρ' αὐτοῖς· ἐπεὶ δὲ, τῆς νηὸς εἰς τὴν γῆν κατιούσης, Γρηγόριος ὁ θεῖος σύν γε τῷ πληρώματι τῶν ναυτῶν ἀποβαίνοντες καθεωρῶντο μόνοι, τότε δὴ καὶ οἱ τῆς ἱερᾶς ἐκείνης ᾠδῆς ἀκροαταὶ καὶ τῶν ὕμνων συνῆκαν, ὡς οὐκ ἀνθρωπίνης, ἀλλ' ἀγγελικῆς ἦσαν ἐκεῖνα δυνάμεως ἔργα, τοῦ Θεοῦ θαυμαστῶς κἀνταῦθα τὸν ἑαυτοῦ βουλομένου δοξάζειν θεράποντα.

Ἀλλ' ὁ περὶ τὴν ὄντως σοφίαν ἀσύνετος φιλόσοφος οὑτοσὶ σύν γε τῷ φίλῳ δαιμονίῳ, Ἁλώσεται, φησὶ, Παλαμᾶς, καὶ οὐ τὰ ἔχθιστα μόνον, ἀλλὰ καὶ τὰ αἴσχιστα πείσεται, ἀπηχθημένοι καὶ ἐπίῤῥητοι καὶ αἰσχροί τινες πρὸς ἀλήθειαν ὄντες αὐτοὶ, καὶ τοὺς ὑπὲρ Χριστοῦ κωμῳδοῦντες ἀγῶνας, καὶ τοὺς ἀθλητὰς καὶ στεφανίτας αὐτοῦ συκοφαντοῦντες, καὶ τοὺς ἁγίους ἀναιδῶς οἱ ἐναγεῖς διασύροντες. Ἀλλὰ ταῦτα μὲν οὕτως.

Καλὸν δ' ἂν εἴη λοιπὸν, ἐπειδὴ καὶ τὸν λόγον διαναπαῦσαι δεῖ τῶν μακρῶν ἀγώνων καὶ δρόμων καὶ λῆξαί που τὸν καινὸν τουτονὶ πόλεμον, ὥσπερ ἐν ἐπιλόγοις ἀναλαβεῖν τε καὶ λογίσασθαι διὰ βραχέων τινῶν τὰ πρὸς τὸν φιλόσοφον ἡμῖν τουτονὶ καὶ τοὺς καθ' ἡμῶν καὶ τῆς εὐσεβείας αὐτοῦ λόγους διὰ μακρῶν εἰρημένα. Ὁ μὲν οὖν πρῶτος ἡμῖν τῶν πρὸς Γρηγορᾶν τουτωνὶ λόγων, ἐπειδὴ πρὸς τὸν αὐτοῦ πρῶτον ἀπιδὼν, οὐδέν τι περὶ τῶν προκει- A μένων αὐτὸν εὗρε λέγοντα, οὐδὲ δογματικῆς οὐδοτιοῦν ἁπτόμενον ὑποθέσεως, ἀλλ' αὐτὸ τοῦτο μόνον συκοφαντίαν ὄντα καὶ ὕβριν τῆς κατ' αὐτοῦ τε καὶ τῶν περὶ αὐτὸν συγκροτηθείσης ἡμῖν ἱερᾶς συνόδου, καὶ δὴ καὶ τῆς Ἐκκλησίας ὁμοῦ πάσης, οὐ μὴν ἀλλὰ καὶ βασιλέας αὐτοὺς καὶ τοὺς προσήκοντας αὐτοῖς κατὰ γένος σύν γε τῇ συγκλήτῳ διαβάλλοντα πάσῃ, καὶ νῦν μὲν διωγμὸν καὶ κάθαρσιν καὶ φυλακὰς περικαθημένους τὸν Γρηγορᾶν καὶ φρουροῦντας, καὶ πυκτίων ἱερῶν ἀφαίρεσιν ἐγκαλοῦντα τὰ μηδαμῶς ὄντα, νῦν δὲ ψῆφον ἄδικον καὶ διωγμὸν εὐσεβείας τὴν τῆς δυσσεβείας ἀποκαλοῦντα καθαίρεσιν, καὶ μηδὲν μὲν εὐσεβὲς, ὡς αὐτός φησι βλασφημῶν, μηδὲ δίκαιόν τι τὴν ἱερὰν σύνοδον εἰπεῖν τε καὶ καταπράξασθαι, ὡς καὶ τοὺς B περικαθημένους τε καὶ περιεστῶτας, ψεῦδός φησι καὶ δυσσεβείας κατεγνωκότας αὐτῶν, σιγῇ τὴν ἑαυτῶν ἀποκρύψαι γνώμην, καὶ τὴν τῆς δυσσεβείας συνηγορίαν, διὰ τὴν ἐξουσίαν καὶ τὸν ἐπικείμενον φόβον, οὐ μὴν οὐδ' αὐτά φησι τὰ λαληθέντα γοῦν ἐκεῖ καὶ πραχθέντα κατ' ἀλήθειαν δοθῆναι τῷ τόμῳ κακουργίᾳ τε καὶ ἀμαθίᾳ τῶν ἐκεῖνον συγγραψαμένων· οὐδὲ γὰρ εἶναι παρ' ἡμῖν τῶν λέγειν τε καὶ γράφειν εἰδότων μετ' ἐπιστήμης οὐδένας, ἀλλ' ἀπὸ σκαπάνης, ὡς αὐτός φησι, καὶ κώπης, καὶ ἀγροικικοῦ βίου προαχθῆναι πάντας οὐ καλῶς οὐδὲ δικαίως ἐπὶ τὸ βῆμα, ὡς μηδ' αὐτὸ τοῦτο γοῦν ἔχειν εἰδέναι, τί ποτε ἄρα τὸ τῆς ἐπισκοπῆς χρῆμα, καὶ τίς ὁ σκοπὸς καὶ τὸ ταύτης ἐπάγγελμα, μήτοι γε καὶ ἄλλων ἔχειν ἡγεῖσθαι καὶ διασώζειν, καὶ τέλος C διωγμὸν ἐκεῖ κατὰ τῆς συνόδου καὶ τῶν προὐχόντων ἱερέων Θεοῦ, καὶ Γρηγορίου τοῦ σοφοῦ μάλιστα, καὶ πληγάς τε καὶ μάστιγας καὶ φορυτὸν ὕβρεων ἀφορήτων, καθαπερεί τινα παραπλῆγα καὶ τὸν ἐγκέφαλον διασεσεισμένον εὑρηκότες τὸν Γρηγορᾶν, καὶ φαντασθέντα καὶ κάκιστα συγγραψάμενον, ἐξηλέγξαμεν αὐτὸν ἐκεῖ κατὰ μέρος πάνθ' ὁμοῦ τὰ τοιαῦτα ψευδόμενον καὶ παραληροῦντα, ὡς μηκέτι μηδ' ἐν τοῖς μείζοσι καὶ καιριωτέροις ἄξιον εἶναι πιστεύεσθαι καὶ ὁπωσοῦν τοῦτον, τὸν οὕτω τῶν ἐλαττόνων τε καὶ σμικρῶν καταψευδόμενον τουτωνὶ, καὶ μετὰ τοσαύτης φάναι τῆς προθυμίας, ὡς μηδεμίαν ὑπερβολὴν καταλείπειν.

D Ὁ δεύτερος τῶν λόγων πρὸς τὸν δεύτερον βλέπων τοῦ φιλοσόφου, περὶ διαφορᾶς μὲν οὐσίας θείας καὶ θείας ἐνεργείας ἐνίσταται τὸν ἀγῶνα· ἐπεὶ δ' ὁ ἀντιλέγων οὐ πρὸς τὰ τοῦ συνοδικοῦ τόμου καθεξῆς πάντα, ἀλλὰ πρὸς κεφαλαιώδη ζητήματά τινα τῆς ὑποθέσεως ἑπτὰ τὸν ἀριθμὸν ὄντα τὸν λόγον ἔφη προαγαγεῖν βούλεσθαι, πρὸς ταῦτα καὶ ὁ λόγος ἡμῖν βλέπων, πρῶτον μὲν τὸν συνοδικὸν εἰσάγει δι' ἑαυτοῦ τόμον, τὴν ἀπαρίθμησιν τουτωνὶ τῶν κεφαλαιωδῶν ζητημάτων ποιούμενον· εἶθ' ἑξῆς τὰ περὶ διαφορᾶς οὐσίας θείας καὶ ἐνεργείας εἰσαγαγὼν κατὰ μέρος τοῦ αὐτοῦ συνοδικοῦ τόμου, ἅπερ ὁ Γρηγορᾶς ἀπέκρυψε κακουργῶν, γραφικοῖς τε καὶ θεολογικοῖς ἐρειδόμενα λόγοις, καὶ ταῖς τῶν ἐκτεθεικότων Πατέρων ἀρίσταις ἐπεξεργασίαις τε καὶ κατασκευαῖς, ἐνταῦθα λήγει τοῦ δρόμου, βρα-

Digitized by Google

χί' ἄττα πρὸς τὸν φιλόσοφον ὑπὲρ τῶν εἰρημένων εἰπὼν τῇ συνόδῳ τε καὶ τῷ τόμῳ.

Ὁ δὲ τρίτος τὰ περὶ διαφορᾶς θείας οὐσίας καὶ ἐνεργείας σκοπούμενος καὶ αὐτὸς, τὸν περὶ θείας δυνάμεως τῆς φυσικῶς τῷ Θεῷ προσούσης ἐξετάζει λόγον, τὸν Ἀρεοπαγίτην θεῖον εἰσάγων Διονύσιον. Τούτῳ καὶ γὰρ ὁ Γρηγορᾶς ἀντιλέγων διὰ τοῦ συνοδικοῦ τόμου, κτιστὴν ἀποδεικνύναι πειρᾶται τὴν φυσικὴν τοῦ Θεοῦ δύναμιν. Ἐν οἷς καὶ τὸν θεοφόρον Δαμασκηνὸν σύν γε τῷ προῤῥηθέντι θείῳ Διονυσίῳ συκοφαντῶν ἐλέγχεται παρὰ τοῦ ἀληθοῦς λόγου. Φησὶ γὰρ μὴ κυρίως μηδὲ κατὰ φύσιν ἔχειν τὸν Θεὸν τὴν τοῦ ἔχειν δύναμιν, καὶ τούτους τοὺς ἁγίους εἰδέναι τε καὶ διδάσκειν. Εἶναι γὰρ τοῦτο τῶν κτισμάτων, ὡς αὐτός φησιν, ἴδιον. Ἐξελέγχει δ' αὐτὸν ὁ λόγος ἐν τούτοις νῦν μὲν τὰ Σαβελλίου φρονοῦντα, λέγοντος, μὴ κυρίως καὶ ὑποστατικῶς ἔχειν Υἱὸν καὶ Πνεῦμα τὸν Θεὸν, εἰ καὶ λέγεται, νῦν δὲ τοῖς τοῦ Ἀρείου καὶ Εὐνομίου συναπαγόμενον. Ἐκείνων καὶ γάρ ἐστι τὸ ἑτεροούσιον, καὶ τὸ ὡς οὐσίας περὶ οὐσίαν ἔχειν τὸν Θεὸν τὸν ἑαυτοῦ Υἱὸν καὶ τὸ Πνεῦμα, κατὰ τὰς τοῦ φιλοσόφου δηλονότι φιλοσόφους κατηγορίας.

Τῷ δὲ τετάρτῳ τῶν λόγων περὶ διαφορᾶς ὡσαύτως οὐσίας θείας καὶ ἐνεργείας, καὶ δὴ καὶ δυνάμεως αὐτοῦ φυσικῆς τὴν ὁρμὴν ἔχοντι ἐξελέγχεται Γρηγορᾶς, οὐ κακούργως μόνον τοῖς ἐν τῷ συνοδικῷ τόμῳ, ἀλλὰ καὶ λίαν ἀμαθῶς ἐπιβάλλων. Καὶ πρῶτον μὲν ὁ λόγος αὐτὸν ἐλέγχει, οὐ τὰ Ἀρείου καὶ Μακεδονίου νοσοῦντα μόνον, ἀλλὰ καὶ τούτους ὑπερελάσαντα τῇ δυσσεβείᾳ, ὅσον οἱ μὲν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ διαιρεῖν τῆς Πατρικῆς οὐσίας τολμῶντες, καὶ κυρίως οὐδὲ φυσικῶς, ἀλλὰ κατὰ μετοχὴν καὶ ἐπείσακτα κεκτῆσθαι τὰ τῆς θείας φύσεως ἔλεγον ἰδιώματα, ὁ δὲ καὶ αὐτὸν τὸν Πατέρα, τὴν τρισυπόστατον ὁμοῦ λέγω θεότητα, οὐ κυρίως φησὶν ἔχειν ταῦτα, ἀλλ' ἢ ἐπίκτητα καὶ ὑστερογενῆ, ἢ ψευδῆ· εἶτα προϊὼν ὁ λόγος δείκνυσι Γρηγορᾶν νῦν μὲν Εὐνομίῳ συνᾴδοντα, ἐν οἷς κατ' ἐκεῖνον καὶ οὗτός φησι, μὴ ἄλλο μὲν οὐσίαν νοεῖν, ἄλλο δὲ δύναμιν, ἄλλο δ' ἐνέργειαν καὶ σοφίαν, ὡς καὶ τῆς Ἐκκλησίας τοῦτ' αὐτὸ κατηγορεῖν ἔχειν, καὶ τῆς οὐσίας καὶ ἀλλήλων διαφορά πως εἶναι ταυτὶ λεγούσης, οὐ μὴν ἀλλὰ καὶ ἄκτιστα καθὸ φυσικὰ τοῦ Θεοῦ· νῦν δὲ καὶ Νεστορίῳ καὶ Μονοφυσίταις ὁμόφρονα τὸν αὐτὸν, ὡς κατ' οὐσίαν τὴν ἕνωσιν λέγοντα, καὶ δὴ καὶ σχετικὴν, ὥστε δυάδα τελείων ὑποστάσεων ἑνωθῆναι. Εἶτα χρῆσιν εὑρὼν ἐκεῖ τοῦ ἁγίου Κυρίλλου, περὶ διαφορᾶς θείας οὐσίας καὶ θείας ἐνεργείας θεολογοῦσαν, καὶ ταύτην εἰς δύο κακῶς διελὼν, καὶ τὸ μὲν ἐκείνης τῷ γεννήτορι δεξιὸν, τὸ δὲ προσρίψας τῷ τόμῳ καὶ ἡμῖν ὡς ἡμέτερον δῆθεν, εἶτα κατ' ἐκείνου χωρεῖ καὶ ἡμῶν ἀκρατῶς. Ἐν τούτοις γοῦν ἐξελέγξας αὐτὸν ὁ ἡμέτερος λόγος, ὡς κακοῦργον, ὡς ἀμαθῆ, ὡς τῶν ἁγίων ὑβριστὴν καὶ βλάσφημον ἐκτόπως, εἶτα καὶ συκοφάντην αὐτὸν ἀποδείκνυσι τοῦ τε θείου Κυρίλλου καὶ Ἰωάννου φημὶ τοῦ σοφοῦ. Ἐπὶ τούτοις τὸν περὶ αἰτίου καὶ αἰτιατοῦ λόγον κινήσας, καθ' ὃν ὁ

A Γρηγορᾶς καὶ αὖθις τοὺς ἱεροὺς θεολόγους Ἀθανάσιόν τε καὶ Βασίλειον συκοφαντεῖ, ὡς ἐπὶ Πατρὸς καὶ Υἱοῦ τῷ αἰτίῳ τε καὶ αἰτιατῷ μόνῳ χρωμένους, ἐξελέγχει τοῦτον καὶ αὖθις ἐξ αὐτῶν τε τούτων τῶν θεολόγων Πατέρων, καὶ δὴ καὶ τῶν ἄλλων, καὶ ψεύστην ὁμοῦ καὶ βλάσφημον, ὡς ἐπὶ τῆς θείας οὐσίας καὶ τῆς φυσικῆς ἐνεργείας μᾶλλον, καὶ οἰκειότερον τῇ τοῦ αἰτίου τε καὶ αἰτιατοῦ προσηγορίᾳ χρωμένων αὐτῶν. Πρὸς δέ γε τοῖς ῥηθεῖσιν ἀτόποις καὶ τῶν Μονοθελητῶν τε καὶ Μονοφυσιτῶν ἀποδείκνυσι πολλῷ χείρονα καὶ ἀτοπώτερα κατασκευάζοντα Γρηγορᾶν ὁ λόγος, ὅσον ἐκεῖνοι μὲν τὸ τῆς θεότητος ὁμολογοῦντες φυσικὸν θέλημα καὶ τὴν ἐνέργειαν, τὸ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ κακῶς ἀπηρνοῦντο· ὁ δὲ τὸ τῆς ἁγίας Τριάδος ἀπαρνεῖται

B διαῤῥήδην θέλημα καὶ τὴν ἐνέργειαν, καὶ ἁπλῶς πάντα τὰ φυσικῶς αὐτῇ προσόντα.

Τῷ πέμπτῳ περί τε ἡνωμένης καὶ διακεκριμένης θεολογίας καὶ διαφορᾶς αὖθις θείας ἐνεργείας διεξιόντι, καὶ δὴ καὶ τοῦ ταύτης ἡνωμένου, καὶ τὸ μὲν θεωρεῖσθαι πράγματι λέγοντι, τὴν δὲ διαφορὰν ἐπινοίᾳ, οὐ πράγματι, αἱ τούτων ἀποδείξεις ἔκ τε Διονυσίου καὶ Ἱεροθέου τῶν ὁμιλητῶν τε καὶ διαδόχων τῶν ἱερῶν ἀποστόλων εἰσὶν, ἀπὸ τῶν θείων Γραφῶν, ἀπὸ τῶν οἰκουμενικῶν συνόδων, καὶ δὴ καὶ τῶν ἱερῶν διδασκάλων τε καὶ θεολόγων ἐκ μέρους. Συναποδείκνυται δὲ τῷ λόγῳ κἀκεῖνο, ὅτι οὐ μόνον ὑπὸ τῆς ἕκτης οἰκουμενικῆς συνόδου οἱ τὰ Γρηγορᾶ καὶ Ἀκινδύνου νοσοῦντες ἐξελέγχονται χείρω καὶ ἀτο-

C πώτερα φρονοῦντες τῶν Μονοθελητῶν ἐκείνων, ἀλλὰ καὶ ὑπὸ πασῶν ὁμοῦ τῶν συνόδων τῶν τε καθόλου καὶ τῶν μερικῶν, ἐπειδὴ καὶ ἀλλήλαις εἰσὶν αἱ πᾶσαι σύμφωνοι καὶ βεβαιοῦσαι ἀλλήλας. Διὸ καὶ παρὰ πασῶν ἐστιν ἡ ἀρὰ καὶ ἡ ἀποκήρυξις ἐπενηνεγμένη τοῖς τἀναντία φρονοῦσιν ἐκείναις, ἀλλ' οὐχ αἱ καθ' ἡμᾶς ἁπλῶς σύνοδοι καὶ οἱ τόμοι. Τἀκείνων καὶ γὰρ ἐκφαίνουσιν οὗτοι, μηδὲν παρ' ἑαυτῶν εἰσφέροντες ἢ μόνην τὴν ὁμολογίαν καὶ τὴν συμφωνίαν ἐκείνων. Πρὸς δὲ τούτοις καὶ τὰ Ὠριγένους ἐλέγχονται νοσοῦντες κατὰ τὴν οἰκουμενικὴν πέμπτην ἁγίαν φημὶ σύνοδον, πρὸς ἐκεῖνον εἰποῦσαν, ὡς εἶχε μὲν ὁ Θεὸς ἀεὶ τὴν τοῦ κτίζειν δύναμιν, ἐνηργήθη δὲ ἡ τοιαύτη δύναμις, ὅτε αὐτὸς ἐβουλήθη. Ὅθεν οὐδ' ἐτράπη Θεὸς, φησίν, ἀφ' ἑτέρου εἰς ἕτερον.

D Τῷ γε μὴν ἕκτῳ πρός τε τὸν τρίτον καὶ τὸν τέταρτον τοῦ Γρηγορᾶ βλέποντι, καὶ περὶ μετοχῆς θείας καὶ ἐνεργείας ἀγωνιζομένῳ, καὶ αὖθις ὁ αὐτὸς ἐλέγχεται, τά τε ἄλλα διὰ τοῦ ληπτοῦ καὶ μεθεκτοῦ τῆς θείας οὐσίας βλασφημῶν εἰς Θεὸν ἀτόπως, καὶ δὴ καὶ τὸν Ἀντιοχείας μέγαν Ἀναστάσιον σύν γε τῷ συνοδικῷ τόμῳ συκοφαντῶν καὶ ἀκρατῶς ὑβρίζων· τὰ γὰρ περὶ τοῦ θείου Πνεύματος εἰρημένα τῷ σοφῷ διδασκάλῳ τούτῳ συλήσας ἀπὸ τοῦ τόμου, καὶ τούτοις ὡς ἡμετέροις δῆθεν χρησάμενος, τὰ αἴσχιστα καὶ συκοφαντεῖ καὶ ἐνυβρίζει τούτοις, ὥσπερ δὴ καὶ τοῖς τοῦ ἁγίου Κυρίλλου πρότερον· οὐ μὴν ἀλλὰ καὶ Ἀθανάσιον σὺν ἐκείνῳ τὸν μέγαν μεθεκτὴν τὴν τοῦ Πνεύματος οὐσίαν τε καὶ ὑπόστασιν, καὶ δὴ καὶ αὐτὴν τὴν ἀΐδιον ὡσαύ-

Digitized by Google

τως Τριάδα συκοφαντῶν λέγειν ἐκεῖνον· οὐ τὴν θαυμαστὴν προτιθεὶς θεολογίαν ὁ ἡμέτερος λόγος, αὐτόθεν ἐξελέγχει τὸν Γρηγορᾶν καὶ ψεύστην καὶ συκοφάντην τῶν ἁγίων, καὶ δὴ καὶ τὰ Μασαλιανῶν καθαρῶς κἀν τούτοις φρονοῦντα· πρὸς δέ γε τοῖς εἰρημένοις καὶ Λατίνοις ἀκριβῶς περί τε προόδου καὶ χάριτος καὶ φυσικῆς ἐνεργείας καὶ ἐλλάμψεως καὶ Θεοῦ μετοχῆς συνηγοροῦντα, μᾶλλον δὲ καὶ Λατῖνον αὐτὸν ἄντικρυς τὰ τοιαῦτα πεφηνότα, μηδησ-τινοσοῦν προσούσης διαφορᾶς.

Τοῦ ἑβδόμου πρὸς τὸν τέταρτον καὶ αὖθις τοῦ φιλοσόφου λέγοντος λόγον περὶ φυσικῆς καὶ οὐσιώδους ἐνεργείας Θεοῦ ὅτι ἄκτιστος, ἀναδείκνυται μὴ μόνον κτίσμα ταύτην αὐτὸς λέγων, ὡς ἔθος αὐτῷ, ἀλλὰ καὶ μὴ ὄν, ὅταν μὴ πρὸς τὴν οὐσίαν αὐτὴν, φησὶν, ἀναφέρηται τοὔνομα. Ταύτην καὶ γάρ φησιν εἰδέναι μόνην Θεοῦ ἐνέργειαν· τὰ δὲ παρ' αὐτὴν πάνθ' ὁμοῦ κτίσματα· θέλησιν δὲ φυσικὴν κοινὴν τῆς ἁγίας Τριάδος μηδαμῶς πεφυκέναι, ἀλλὰ τὴν οὐσίαν αὐτὴν εἶναι θέλησιν, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ μόνα. Δείκνυται δ' ἐν τούτῳ τῷ λόγῳ Γρηγορᾶς πρὸς τοῖς εἰρημένοις οὐ μόνον τὴν τοῦ Θεοῦ ἐνέργειαν, ἀλλὰ καὶ τὴν οὐσίαν σὺν αὐτῇ περιγραπτὴν καὶ ὡρισμένην φανερῶς λέγων.

Τοῦ δὲ ὀγδόου τῶν λόγων τῷ τετάρτῳ καὶ αὖθις τοῦ Γρηγορᾶ καὶ δὴ καὶ τῷ πέμπτῳ περὶ θείας ἐνεργείας προσδιαλεγομένου καὶ ἔτι, ὅτι ἄκτιστος, καὶ ὅτι οὐ σύνθετον διὰ ταύτην τὸ Θεῖον κατ' αὐτὸν τὸ κατὰ φύσιν ἁπλοῦν, ἀποδείκνυται Γρηγορᾶς οὐ μόνον σύνθετον καὶ κτιστὸν διὰ τῆς ἐνεργείας κατασκευάζων τὸν Θεὸν, ἀλλὰ καὶ τοὺς ἱεροὺς θεολόγους, Κύριλλόν τε καὶ Ἰωάννην τὸν Δαμασκηνὸν συκοφαντῶν καὶ αὖθις, οὐ κατὰ διάνοιάν φημι μόνον, ἀλλὰ σχεδὸν καὶ κατ' αὐτὰ τὰ ῥητά· οὐ τούτους δὲ μόνους, ἀλλὰ καὶ τὴν ἕκτην οἰκουμενικὴν ἁγίαν σύνοδον ὅλην, Μάξιμόν τε τὸν τῆς θεολογίας καὶ ὁμολογίας στῦλον, καὶ Βασίλειον καὶ Ἀθανάσιον ὁμοῦ τοὺς μεγάλους. Ἐν οἷς οὐ τὰ Μονοφυσιτῶν τε καὶ Μονοθελητῶν σπουδάζων μόνον καὶ αὖθις ἐλέγχεται, ἀλλὰ καὶ Εὐνόμιος ἄλλος αὐτὸς ἀναδείκνυται· οὐ μὴν ἀλλὰ καὶ Ἄρειος ἅμα καὶ Μακεδόνιος, μᾶλλον δὲ καὶ πολλῷ χείρων καὶ ἀτοπώτερος ἐκείνων· ὅσον ἐκεῖνοι μὲν κατ' οὐσίαν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τοῦ Πατρὸς διαιροῦντες, ὃ δὴ καὶ φθάσαντες ἔφημεν, εἰς κτίσμα καταφέροντες ὅσον τὸ κατ' αὐτοὺς τὸν Θεὸν ἦσαν, Γρηγορᾶς δ' οὑτοσὶ καὶ εἰς τὸ μὴ ὂν τὴν οὐσίαν τοῦ Θεοῦ κατασπᾷν ἐπιχειρεῖ διὰ τῶν φυσικῶς προσόντων αὐτῇ. Οὐ μὴν ἀλλὰ καὶ τὰς Πλατωνικὰς ἰδέας καὶ μάλα πρεσβεύων ἐλέγχεται, ἰδιοϋποστάτους τὰς ἀνυποστάτους ἑαυτοῦ δοξάζων ἐνεργείας, καὶ καθάπερ σκιάς τινας, ὡς αὐτός φησι, τῇ οὐσίᾳ παρεπομένας. Ὁ δὲ λόγος ἡμῖν οὑτοσὶ δείκνυσι διὰ τῆς ἱερᾶς τῶν ἁγίων θεολογίας, καὶ πότε, καὶ κατὰ τίνας τοὺς λόγους νοηθείη ἂν ἐπὶ Θεοῦ σύνθεσις. Οὓς ἡ μὲν Ἐκκλησία τοῦ Θεοῦ ἀποσείεται, τοῖς ἱεροῖς ἑπομένη διδασκάλοις· ὅ γε μὴν Γρηγορᾶς ἀπειθῶν τούτοις, ἐξ ἀνάγκης ἐκείνοις ἁλίσκεται, σύνθετον ποιῶν τὸν Θεόν.

Ὁ ἔνατος καὶ ὁ δέκατος πρὸς τὸν πέμπτον μὲν A καὶ αὖθις, ἀλλὰ δὴ καὶ τὸν ἕκτον ἐνίσταται τοῦ Γρηγορᾶ λόγον περί τε θεότητος καὶ Θεοῦ καὶ θείας ἐνεργείας αὖθις καὶ θεώσεως, δεικνύντες ὅτι τε ἄκτιστος, καὶ ὅτι ἄσχετος καὶ ἀμίμητος τῇ ἀνθρωπείᾳ φύσει, εἰ καὶ Πνεύματι ἁγίῳ, ἐν σχέσει καὶ μιμήσει γίνεται, καὶ πῶς καὶ κατὰ τίνας τοὺς λόγους καὶ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ Πνεῦμα τὸ ἅγιον καὶ ἐνέργειαι τοῦ Πατρὸς λέγονται παρὰ τῶν θεολόγων, καὶ αὖθις οὐκ ἐνέργειαι οἱ αὐτοί· καὶ ὅτι καὶ αἱ τρεῖς θεαρχικαὶ ὑποστάσεις καὶ κοινῇ καὶ ἰδίᾳ καὶ σοφία καὶ δύναμις ὡσαύτως λέγονται, διὰ τὸ φυσικῶς καὶ μὴ μεθεκτῶς ἔχειν ταῦτα, καὶ τὴν φυσικὴν αὖθις δύναμιν καὶ ἐνέργειαν κοινῶς καὶ ἡνωμένως ἔχουσιν ὡς ὁμοούσιοι καὶ ὁμόθεοι. Ἀποδεικνύουσι δ' αὖθις τὸν φιλόσοφον καὶ τὸν μέγαν συκο-
B φαντοῦντα Βασίλειον ὥσπερ δὴ κἀν τοῖς φθάσασι, καὶ τοὺς ἄλλους θεολόγους Πατέρας. Φησὶ καὶ γάρ, ὡς οὐ περὶ φυσικῆς ἐνεργείας Θεοῦ φησιν ὁ διδάσκαλος πρὸς Εὐστάθιον γράφων, ἀλλὰ περὶ ἀποτελεσμάτων μόνον ἤτοι κτισμάτων. Οὐ μὴν ἀλλὰ καὶ ὁμόφρονα δεικνύουσι καὶ αὖθις αὐτὸν ὄντα Σαβελλίῳ τε ἅμα καὶ Ἀρείῳ καὶ Μακεδονίῳ, μὴ δευτέραν καὶ κατωτέρω τὴν θείαν ἐνέργειαν οἰόμενον σύν γε τοῖς θεολόγοις Πατράσι τῆς πηγαζούσης αὐτὴν θείας φύσεως, ὡς κατ' αἰτίαν ὑπερκειμένης καὶ μείζονος, ἀλλὰ θεότητας καὶ θεοὺς διαφόρους ἀλλήλων ἐντεῦθεν συνάγοντα, ὃ δὴ τοῖς προῤῥηθεῖσι παλαιοῖς αἱρεσιάρχαις ἐκείνοις ἐδόκει, διὰ τὸ τῶν θείων ὑποστάσεων δηλονότι διάφορον παρὰ τῆς Ἐκκλησίας Χριστοῦ καλῶς πρεσβευόμενον.

C Ὁ ἑνδέκατος τὰ περὶ τῆς Χριστοῦ διεξιὼν ἐν Θαβωρίῳ θείας μεταμορφώσεως καὶ τοῦ κατ' αὐτὴν τῆς θεότητος φωτὸς, περί τε θεώσεως ὑπερφυοῦς αὖθις, καὶ μετοχῆς τῆς θεοποιοῦ καὶ φυσικῆς τοῦ Πνεύματος χάριτος, δείκνυσι τὸν Γρηγορᾶν ἢ μηδὲ γενέσθαι τὴν μεταμόρφωσιν ὅλως Χριστοῦ λέγοντα, ἢ τραπῆναι καὶ μεταβληθῆναι τὴν ἀνθρωπείαν μορφὴν, ἢ τὸ εἶδος τοῦ Χριστοῦ σύν γε τοῖς Εἰκονομάχοις, καὶ προσέτι τὸν Θεὸν καὶ ῥητὸν καὶ ὁρατὸν, οὐκ ἐκ τῶν περὶ αὐτὸν κατὰ τὴν ἱερὰν μυσταγωγίαν, ἀλλὰ κατ' αὐτὴν τὴν οὐσίαν δοξάζοντα μετ' Εὐσεβίου καὶ τῶν Ἀρειανῶν, καὶ κτιστὸν καὶ ὁρατὸν εἰσάγοντα σὺν ἐκείνοις Θεὸν, ὃν δήπου καὶ κατ' οὐσίαν ἰδεῖν ἐκδέχονται καὶ προσκυνῆσαι, φησὶν ὁ
D Γραπτὸς θεῖος Θεόδωρος, ὑπ' αὐτοῦ τοῦ Γρηγορᾶ προβληθεὶς καθ' ἡμῶν δῆθεν καὶ τοῦ τῆς ἀληθείας λόγου. Διέξεισι δ' ὁ λόγος ἐν τούτοις καὶ περὶ τοῦ ἀπροσίτου φωτὸς τῆς θεότητος, καὶ μετοχῆς ἱερᾶς αὐτοῦ καὶ θεοφανείας καὶ ἐλλάμψεως θείας τῆς διδομένης τοῖς ἁγίοις ἐν Πνεύματι, νῦν μὲν ἐκ μέρους ὡς ἐν ἀῤῥαβῶνος μέρει, κατά τε τὸν θεῖον Παῦλόν φημι καὶ τοὺς μετ' ἐκεῖνον θεολόγους καὶ διδασκάλους, ἐν δὲ τῷ μέλλοντι αἰῶνι δαψιλεστέρας τε καὶ τελεωτέρας. *Λάμψουσι γὰρ οἱ δίκαιοι ὡς ὁ ἥλιος*, Χριστός φησιν ὁ τῆς δικαιοσύνης Ἥλιος, *ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν, καὶ ἰσάγγελοι ἔσονται καὶ υἱοὶ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες*.

Ὁ γε μὴν δωδέκατος οὑτοσὶ καὶ τελευταῖος τῶν ἄλλων ὑπὲρ τῶν ἐν τῷ ἁγίῳ ὄρει τῷ Ἄθῳ μοναστῶν

Digitized by Google

καὶ τῶν ἱερῶς καθ' ἡσυχίαν ἀσκούντων τὰ τῆς εὐαγγελικῆς πολιτείας βεβαιότερα συντεθεὶς, καὶ συκοφάντην καὶ βλάσφημον καὶ ὑβριστὴν ἄτοπον τῶν ἁγίων κἀν τούτοις τὸν Γρηγορᾶν ἐξελέγχει, καθάπερ δὴ κἀν τοῖς ἄλλοις· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ὑπεύθυνον πάντ' ἐκεῖνά γε ἀκριβῶς, ὅσα τῶν ἁγίων ψευδῶς κατηγορεῖ, πεπλανημένους καὶ ψευδοπροφήτας, καὶ Μασαλιανοὺς τούτους ἀποκαλῶν. Εἶτα καὶ ὑπὲρ τῶν θειοτάτων ἀπολογησάμενος βασιλέων, οὐδὲ γὰρ οὐδὲ τούτων ἡ φιλοψευδὴς καὶ φιλολοίδορος ἀπέσχετο γλῶσσα, οὐ μὴν ἀλλὰ καὶ ὑπὲρ Γρηγορίου τοῦ καθ' ἡμᾶς φημι Θεολόγου καὶ κοινοῦ τῆς Ἐκκλησίας Χριστοῦ διδασκάλου, καὶ δὴ καὶ τῆς εἰς Ἀσίαν αἰχμαλωσίας, καὶ τῶν ἱερῶν αὐτοῦ θαυμάτων βραχέ' ἄττα διαλεχθεὶς, ἔν γε τῇ ἀνακεφαλαιώσει ταύτῃ καταπαύει τὸν δρόμον, μικρά τινα καθάπερ ἐν ἐπιλόγῳ πρός γε τὸν θαυμαστὸν εἰπὼν βασιλέα, τὸν καὶ τὴν ἀρχὴν πρὸς ταῦτα κεκινηκότα.

Τοιαῦτα τὰ πρὸς Γρηγορᾶν ἡμῖν καὶ τὰ ἐκείνου κατὰ τῆς εὐσεβείας καὶ τῆς ὀρθῆς περὶ Θεοῦ δόξης καὶ τῶν ταύτης προαγωνιστῶν τε καὶ προμάχων, θειότατε βασιλεῦ· δεῖ με καὶ γὰρ ὥσπερ ἀρχόμενον, οὕτω καὶ λήγοντα τοῦ λογικοῦ τούτου δρόμου, πρὸς σὲ καὶ αὖθις ἀπιδεῖν τὸν αἴτιον τούτων, καὶ τῷ πάντ' ἀρίστῳ σοὶ τὸ πᾶν ἐπιγράψαι· εἰ μὲν ἀρκούντως καὶ κατὰ σὴν ἔχοντα γνώμην, τοῦ καλῶς πρὸς ταῦτα προτρεψαμένου, τῷ Θεῷ χάρις, καὶ σοὶ τῷ καλέσαντι· εἰ δὲ τῆς ἐλπίδος ἐνδεέστερον, καὶ οὕτω χάρις. Οὐ γὰρ ψεκτῶς εὖ οἶδα γραφικοῖς τε καὶ θεολογικοῖς ὡπλισμένα πάντοθεν λόγοις, καὶ τὰ τῶν ἀντιθέτων οὐκ ἀποστρέφοντα καὶ διαλύοντα μόνον ἐκ πολλοῦ πάνυ τοῦ περιόντος, ἀλλὰ καὶ κατὰ τῆς αὐτῶν περιτρέποντα κεφαλῆς, εὐπερίτρεπτα μὲν καὶ σαθρὰ πεφυκότα τῇ τε λαμπρᾷ τοῦ ψεύδους ὑπερβολῇ καὶ τῷ νωχελεῖ καὶ ἀμαθεῖ καὶ κούφῳ τοῦ ταῦτα συγγραψαμένου, ἐξ ἀντιστρόφου δὲ τὸ δυσχερὲς καὶ οὐ πάνυ τοι ῥᾷστον ἄλλως πρὸς τὴν ἀπαίτησιν ἔχοντα, τῇ τε ἀταξίᾳ φημὶ καὶ ἀναρμοστίᾳ τῶν προβλημάτων τε καὶ συλλογισμῶν τοῦ φιλοσόφου, καὶ τῇ συκοφαντίᾳ καὶ τῷ συχνῷ ψεύδει κατά τε τῶν θεολογικῶν τε καὶ πατρικῶν λόγων, καὶ τῆς συνόδου καὶ πάντων ἡμῶν· οὐ μὴν ἀλλὰ καὶ τῷ πᾶσαν ὡς εἰπεῖν αἵρεσιν ἐνταῦθα συνειλοχέναι, καὶ μηδὲ Ἰουδαϊσμοῦ καὶ δοξῶν Ἑλληνικῶν φείσασθαι, τοῦ μὴ καὶ τούτων οἷς λέγει τε καὶ φρονεῖ κοινωνεῖν, ἃ δὴ καὶ ὁ λόγος ἡμῖν ἐν τοῖς φθάσασιν ἔδειξεν· ὡς καὶ θαυμάζειν τοὺς μετ' ἐπιστήμης ἐντυγχάνοντας τῷ βιβλίῳ, ὅτι καὶ συναγαγεῖν ἐδυνήθημεν τὸν σκοπὸν καὶ τὴν πρόθεσιν ἐκ τῶν γεγραμμένων τῷ φιλοσόφῳ, καὶ τάξιν τινὰ δοῦναι τέως τῇ τοσαύτῃ γε ἀταξίᾳ καὶ συγχύσει, καὶ οὕτω καὶ κατ' ἐκείνων σύν γε τοῖς γραφικοῖς καὶ θεολογικοῖς λόγοις χωρῆσαι, καὶ τοῦτ' αὐτὸ πρῶτον ἐξ ἑαυτῶν τῷ ἀντιπάλῳ χαρίσασθαι, τὸ καὶ δόξαι τι λέγειν ὅλως ἐκεῖνον κατὰ τοῦ λόγου τῆς ἀληθείας, καὶ ἀντιλέγειν ὁπωσοῦν οἷς δήπου καὶ προὔθετο, ὅπερ οὐκ ἄν, φησίν, εὐχερῶς τις λαβεῖν δυνηθείη, τὰ ἐκείνου γε μόνα διεξιὼν καθ' αὑτά.

Ἀλλ' ἐπειδὴ Γρηγορᾶς πρὸς ταῖς συχναῖς καὶ ἀλλεπαλλήλοις αὐτοῦ καθ' ἡμῶν συκοφαντίαις καὶ μαρτυριῶν ἱερῶν ἀπορίαν καὶ συμμαχίαν θεολογικῶν λόγων πυκνὰ μετὰ πολλῆς τῆς ἀναισχυντίας ἡμῖν ἐγκαλεῖ τὴν ἀμαθίαν οὐ τῆς ἔξω παιδεύσεως καὶ σοφίας μόνον, ἀλλὰ καὶ τῆς ἡμετέρας ταύτης καὶ ἱερᾶς περιάπτων, ὧν ἐκεῖνος τῆς μὲν καὶ καθάπαξ ἀμύητός τε καὶ ἄγευστος ἀναπέφηνε, τὴν δὲ πλημμελῶς τε καὶ ἀμαθῶς μελετήσας, ὡς ἐκ τῶν αὐτοῦ δήπου δέδεικται λόγων, οὐδὲ ταύτης ἀπώνατό τι τῶν ἐπαινετῶν καὶ χρησίμων, πρὸς ἀνάγκης ἡμῖν ὥσπερ γέγονε τά τε τοῦ τόμου, καὶ δὴ καὶ τὰ τῶν θεολογικῶν τε καὶ πατρικῶν λόγων εἰς πλάτος ἐν τοῖς λόγοις, καὶ πέρα τοῦ συνήθους ἴσως ἐκθέσθαι, ὑπὲρ οὗ καὶ οὐδεὶς ἂν ἡμῖν, οἶμαι, νεμεσήσαι δικαίως, πρός τε Γρηγορᾶν καὶ τὸν ἐκείνου κατὰ τῆς ἀληθείας καὶ ἡμῶν σκοπὸν βλέπων. Ἐγὼ μὲν οὖν οἶμαι καὶ τὰς παρὰ Γρηγορᾶ πρὸς ἀντιλογίαν δῆθεν εἰσαχθείσας τοῦ τῆς ἀληθείας λόγου θεολογικὰς ῥήσεις πάσας, ἢ τὰς ἀναγκαιοτέρας ἐκείνων, τὰς μὲν ἤδη λελύσθαι παρὰ τοῦ λόγου, τὰς δέ γε πλείους ἐκείνων, καὶ κατὰ τῆς κεφαλῆς τοῦ κακῶς χρησαμένου τετράφθαι, καθὰ δὴ καὶ προὔφην, καὶ μηδὲ τοπαράπαν ἐνδεῖν.

Εἰ δέ πού τι καὶ παραλέλειπται τῶν ἐξετάσεως δεομένων ἴσως, οὐδ' ἐκείνοις ἐπεξελθεῖν ὁ λόγος ἔπειτα κατοκνήσει, τῆς προσηκούσης σχολῆς καὶ αὖθις λαβόμενος, καὶ τοῦτο διὰ τήν τινων ἔριν δηλαδὴ καὶ τὴν ἔνστασιν. Ἱκανῶς γὰρ ἡμῖν ἄλλως ὁ λόγος ἔχει, κατ' αὐτόν φημι τὸν τῆς ἀληθείας σκοπόν τε καὶ λόγον.

Εἰ δέ που καὶ τοῦ σχήματος, καὶ τοῦ καθ' ἡμᾶς βουλομένου παρεκβαίνειν τὰ τοῦ λόγου δοκεῖ, κατὰ τοῦ φιλοσόφου καὶ τῆς ἀναισχυντίας ἐκείνου χωροῦντα, καινὸν οὐδὲν οὐδ' ἔξω τοῦ λόγου, φιλόχριστε βασιλεῦ, εἰ διὰ τοσούτου καὶ τοιούτου βορβόρου τῶν ἐκείνου φημὶ λόγων ὁ λόγος ἡμῖν παριὼν, ὀλίγα τινὰ ῥαντίζοιτο. Καὶ τοῦτ' εἴσεται καλῶς ὁ τῷ βιβλίῳ τῷ κατὰ τῆς ὑγιοῦς πίστεως ἐντυγχάνων ἐκείνου· ὃς οὐ τοῦτο μᾶλλον, ἀλλ' ἐκεῖνο καὶ λίαν ἐπαινέσεται καὶ θαυμάσει, τὸ μετρίως ἡμᾶς οὑτωσὶ καὶ κατὰ πολὺ τῶν κατ' ἐκεῖνον πραγμάτων ἐνδεέστερόν πως τῷ λόγῳ χρήσασθαι, ὡς μηδὲ παραβάλλειν ἐξεῖναι, Χριστοῦ δηλαδὴ καὶ τῆς ἐκείνου σπεύδοντας ἱερᾶς εἶναι φατρίας, καὶ τῶν ἐκείνου μεμνημένους ἱερῶν παραινέσεών τε καὶ λόγων, *Μακάριοι*, λεγόντων, *ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ.* Αὐτῷ ἡ δόξα σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

—

Digitized by Google

# ΛΟΓΟΙ ΔΥΟ

Οὓς ἀντιφέρουσι πρὸς τοὺς ὀρθοδόξους τινὲς τῆς μοίρας ὄντες τοῦ Ἀκινδύνου ὧν ὁ μὲν πρῶτός ἐστι περὶ ῥήσεώς τινος τοῦ ἁγίου Βασιλείου, ὁ δὲ δεύτερος περὶ τοῦ ὁποῖον ἦν τὸ ὁραθὲν φῶς τοῖς ἀποστόλοις ἐν τῷ ὄρει Θαβώρ.

## Ο ΠΡΩΤΟΣ ΛΟΓΟΣ.

**A** Ἄγε δὴ καὶ πάλιν, φίλων ἀνδρῶν εὐγενέστατε καὶ φιλομαθέστατε, πρὸς τὰς λύσεις ἴωμεν τῶν σῶν ζητημάτων, μᾶλλον δὲ ταῖς τῶν ἀντιλεγόντων μηχαναῖς καὶ προβλήμασι καὶ ταῖς δοκούσαις καθ' ἡμῶν ἐνστάσεσι καὶ λαβαῖς, τοὺς τοῦ λόγου τεχνίτας τε καὶ στρατηγοὺς συνήθως καὶ ἡμεῖς ἀντιστήσωμεν, ὑπερβαίνοντας, καθάπερ πάλαι, καὶ νῦν τῇ δυνάμει τοῦ Πνεύματος μηχανάς τε καὶ τείχη καὶ ὀχυρώματα καὶ πᾶν ὕψωμα τῶν ἐναντίων, ἀποστολικῶς εἰπεῖν, κατὰ τῆς γνώσεως τοῦ Θεοῦ ἐπαιρόμενον, καθαιροῦντας δ' οἰκειότερον εἰπεῖν μᾶλλον ταῦτα καὶ καταστρέφοντας τῷ κτύπῳ καὶ τῇ βροντῇ τῆς ἐκείνου νοητῆς σάλπιγγος, οὐδὲν ἧττον ἢ τὰ Ἱεριχούντια τείχη σάλπιγξιν ἑπτὰ καὶ ἱερεῦσι καὶ ἡμέραις καὶ περιόδοις Ἰησοῦς ὁ μέγας τοῦ Θεοῦ στρατηγὸς πάλαι μετὰ Μωσέα φημὶ τὸν ἀοίδιμον, **B** ἃ δηλαδὴ καὶ τὴν ἐσύστερον ἐκλάμψασαν τῶν ἑπτὰ τοῦ Πνεύματος χαρισμάτων ὑπερφυᾶ συνδρομὴν προσφυῶς ὑπεσήμαινε, τὰ τῆς πλάνης ὀχυρώματα πάντα καὶ τείχη τε καὶ προβλήματα, καὶ πάλαι καὶ νῦν θεοπρεπῶς καταστρέφουσαν. Ἦ σχέτλιον ἂν εἴη κομιδῆ, καὶ οὐχ ὅπως γε θείας δυνάμεως, ἀλλὰ καὶ τοῦ σώζοντος, ὡς ἄν τις φαίη, λόγου τοπαράπαν ἀνάξιον, τοὺς μὲν τὰ τοῦ Πνεύματος λαλεῖν κατὰ τὸν εἰπόντα χωρὶς Πνεύματος, τὰ δὲ τοῦ Πνεύματος ὄργανα, τοὺς θεολόγους φημὶ τούτους, ἐν παραβύστῳ καὶ γωνίᾳ τὰ τοῦ Πνεύματος λέγειν δοκεῖν, καὶ ὑπὸ τὸν μόδιον ὡσανεὶ τῆς ἡμῶν σιωπῆς τὸν τῆς διδασκαλίας αὐτῶν πυρσὸν καὶ τὸ θεῖον φῶς κρύπτεσθαι.

**C** Διττῶν τοιγαροῦν ὄντων τῶν τηνικαῦτα προτεθέντων παρ' ὑμῶν προβλημάτων, ἃ παρὰ τῶν ἀντικειμένων, ὡς ἔφητε, τῷ καθ' ἡμᾶς ἠκούσατε λόγῳ, φέρε τὸ πρότερον ἐκείνων καὶ ἡμεῖς τῷ λόγῳ πρῶτον εἰς μέσον ἑλκύσωμεν. Ἔφης τὰ ἡμέτερα, μᾶλλον δ' αὐτοὺς ἡμᾶς διασύρειν ἐκείνους, τοῖς τῶν θεολόγων δῆθεν ἐπιτιθεμένους πολλαχοῦ λόγοις, ὡς καὶ μεταποιεῖν καὶ διαστρέφειν ἐνίους φανερῶς πρὸς τὸ βουλόμενον ἡμῶν τῆς γνώμης καὶ τὴν δόξαν μετασκευάζοντας, ὥσπερ δὴ καὶ τὸ τοῦ θαυμαστοῦ Βασιλείου φησὶν ἐκεῖνο, ὃ πρὸς Εὐνόμιον ἀντικαθιστάμενος εἴρηκεν, ἀνόμοιον εἶναι κατ' οὐσίαν τῷ Πατρὶ τὸν Υἱὸν φάσκοντα, Ὁ γὰρ τετοκὼς βώλους δρόσου, φήσας κατὰ τὸν Ἰὼβ λόγον, οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν ὑπεστήσατο. **D** Ἀλλ' ὡς μὲν οὐχ ἡμῖν, ἀλλ' ἐκείνοις ἄνωθεν ἔθος ταυτὶ μάλιστα τοῖς οὐκ ὀρθῶς καθ' ἡμῶν ἐκεῖνα προϊσχομένοις, ἔλεγχοι κατ' αὐτῶν ἰσχυροὶ τά τε καθ' ἡμῶν καὶ τῆς εὐσεβείας αὐτῆς συγγραφέντα πρότερον, καὶ δὴ καὶ τὰ διαστραφέντα παρ' ἐκείνων βιβλία τῶν θεολόγων, μέχρι τοῦ δεῦρο παρόντα τε καὶ ὁρώμενα. Ὅθεν οὐδὲ λόγων οὐδ' ἐπιχειρημάτων ὑπὲρ τῶν τοιούτων ἡμῖν δεῖ, παρ' ἑαυτῶν κεκτημένων τὸν ἔλεγχον. Ἐπὶ δὲ τὴν τοῦ προτεθέντος ἐξέτασιν ῥητοῦ μᾶλλον ἔλθωμεν.

Τοῦ μεγάλου Βασιλείου ἐκεῖνο κατὰ λέξιν οὕτως εἰπόντος· Ὁ γὰρ τετοκὼς βώλους δρόσου, κατὰ τὸν Ἰὼβ λόγον, οὐχ ὁμοίως τάς τε βώλους καὶ τὸν Υἱὸν ἐτεκνώσατο, περὶ τὸ ῥητὸν ἡμᾶς οὐ σμικράν τινα τὴν ἐπιβουλὴν καὶ τὴν κακουργίαν εἰργάσθαι, τὴν μὲν ἐτεκνώσατο τελευταίαν λέξιν ἐξελόντας ἐκεῖθεν, ταύτης δ' ἀντεισαγαγόντας τὴν *ὑπεστήσατο*, ἵνα διὰ τῆς τοῦ Μονογενοῦς προαιωνίου καὶ ἀκτίστου θεώσεως δῆθεν, τὸ καὶ ἐπὶ τῶν ἀκτίστων λέγεσθαι ταύτην αὐτοὶ συγκατασκευάσωμεν ἐπὶ τῶν ἠργμένων χρονικῶς καὶ κτιστῶν ἀεὶ τιθεμένην μόνων, ὅπερ ἐκεῖνοι νομίζουσιν. Οἱ μὲν οὖν τὰ τοῦ Θεοῦ φυσικὰ ἰδιώματα καὶ τὰς ἱερὰς τούτων θεωνυμίας, ἅπερ ὁ τῆς θεολογίας γνώμων θεοπρεπῶς ἀνυμνῶν Διονύσιος, δυνάμεις Θεοῦ καὶ προόδους καὶ ἐνεργείας καὶ μετοχὰς καὶ μεταδόσεις καὶ ἐλλάμψεις, καὶ εἴ τι θεῖον καὶ ὑψηλὸν κατὰ τοὺς αὐτὸν μυσταγωγήσαντας θεολόγους, ὡς αὐτὸς ἐκεῖνός φησι, προσηγόρευσε· ταῦτ' οὖν ἐκεῖνοι σπεύδοντες τολμηρᾷ γνώμῃ καὶ γλώττῃ κατασπᾶν εἰς τὰ κτίσματα, καὶ ταύτῃ δὴ τῇ λέξει τῇ *ὑπεστήσατο* κακῶς ἐπιφύονται, τὸ *ἔκτισε* σημαίνειν αὐτὴν πανταχοῦ λέγοντες, καὶ ὑποστάτην τὸν κτίστην ὡσαύτως ἀεὶ λέγεσθαι, καὶ μηδὲν ἄλλο παραδηλοῦν τοὔνομα, ἐπειδή γε καὶ τούτοις αὐτοῖς ὁ σεπτὸς ἐκεῖνος θεολόγος καθ' ὅλου τοῦ σεπτοῦ βιβλίου ἐκείνου φαίνεται χρώμενος· καὶ νῦν μὲν *ὑπεστήσατο* καὶ *ὑπέστησε* λέγων, νῦν δ' ὑποστάτην αὐτὸν ἐκεῖνον ὀνομάζων ἑκάστης ὡς οἰκείας ἐνεργείας τε καὶ δυνάμεως καὶ προνοίας ἐξ αὐτοῦ προβεβλημένης, πρὸς μετοχὴν τῶν κατὰ λόγον οἰκεῖον ἑκάστοτε Θεοῦ κατ' αὐτὴν μετεχόντων φημὶ δὴ τῶν κτισμάτων, ὅσα τε νοητὰ καὶ ὅσα ὑπὸ τὴν αἴσθησιν.

Ἡμεῖς δὲ τὸ μὲν ἄκτιστόν τε καὶ ἄχρονον τῶν φυσικῶν τουτωνὶ δυνάμεων καὶ προνοιῶν τοῦ Θεοῦ, καίτοι γε διὰ πολλῶν ἐν πολλοῖς ἤδη πρότερον δείξαντες οὐ παρέργως, κἀνταῦθα δι' ὀλίγων αὐτίκα τῷ λόγῳ γνωρίσομεν, τοὺς τούτων ἐξηγητάς τε καὶ θεολόγους ἀγαγόντες αὖθις εἰς μέσον καθόσον οἷόν τε· πρὸς δὲ τοὺς τὴν λέξιν καὶ τὴν ταύτης διαστροφὴν καὶ τὴν μετάθεσιν ἡμῖν ἐγκαλοῦντας τέως τὸν λόγον τρέψωμεν.

Λέγετε τοιγαροῦν ἡμῖν, ὦ μακάριοι, πόθεν καὶ

Digitized by Google

τίνος ὑμεῖς ἀξιολόγου τῆς αἰτίας ὁρμώμενοι, τὴν A γραφὴν ἡμᾶς ταύτην γράφεσθε. Οὐδὲ γὰρ σμικρὸν οὐδὲ τῶν τυχόντων, ὡς ἂν τις εἰκάσαι, τὸ ἔγκλημα, τῶν μεγίστων μὲν οὖν καὶ ἀτοπωτάτων ὡς μάλιστα· καὶ οὐχ ἡμῶν γε μόνον καὶ τῆς τῶν εὐσεβῶν αὐλῆς καθάπαξ ἀπόβλητόν τε καὶ ὑπερόριον, ἀλλὰ καὶ ψεύστας καὶ συκοφάντας καὶ κακούργους, καὶ φθόνου καὶ δόλου καὶ ἐπιβουλῆς οὐκ ἄν τις ἁμάρτοι πλήρεις προσειπὼν τοὺς τῶν τοιούτων ἐργάτας, καὶ προσέτι πειρατάς τε καὶ λωποδύτας, πολλῷ τῶν κατὰ γῆν τε καὶ θάλατταν τοῖς ἐμπόροις τε καὶ ὁδίταις λῃστρικῶς ἐπιόντων χείρους, προσθήσω δ' ὅτι καὶ λόγων καὶ γραμμάτων καπήλους, καὶ λόγων οὐχ ἁπλῶς, ἀλλὰ λόγων γε θείων καὶ σεπτῶν ἄντικρυς, καὶ περὶ αὐτοῦ δηλαδὴ Θεοῦ καὶ τῶν οἰκειοτάτων ἐκείνῳ διεξιόντων, διὸ δήπου καὶ μετὰ τῶν ἱεροσύ- B λων πρός γε τοῖς εἰρημένοις τοὺς τοιούτους ἀριθμεῖν ὄντως ἂν εἴη δίκαιον. Οἷς δὴ καὶ Βασίλειος ὁ μέγας ἐν τοῖς πρὸς Εὐνόμιον χαλεπαίνων ἐνδίκως, Μαρκίωνος ἔργον εἶναι τοῦ δυσσεβοῦς φησι καὶ τῶν τὰ ἐκείνου ζηλούντων τὸ τοῖς ἱεροῖς ἐπιτίθεσθαι Γράμμασι, καὶ τὰ μὲν ὑφαιρεῖν, τὰ δὲ καὶ παρ' ἑαυτῶν προστιθέναι. Τίνα γοῦν ὑμεῖς ἔχετε δεῖξαι τῶν τοῦ καθ' ἡμᾶς συλλόγου ποτὲ τοῖς τοιούτοις ἑαλωκότα; Λέγε καὶ δείκνυ τόν τε κακουργήσαντα καὶ τὰ βιβλία καὶ τοὺς λόγους αὐτοὺς τοὺς ταῦτα παθόντας, εἴ γε καὶ δύναιο. Ἀλλὰ τοῦτο μὲν οὐκ ἂν ἔχοις· πῶς γὰρ τὸ μηδαμῇ μηδαμῶς ὄν, ἅτε δὴ μηδὲ γεγονὸς παρ' αὐτῶν πώποτε; ἐρεῖς δὲ πάντως ὡς οὐχ οὕτως αὐτὸς ἀνέγνως, οὐδὲ τὴν *ὑπεστήσατο* C λέξιν, ἀλλὰ τὴν *ἐτεκνώσατο* μᾶλλον εὗρες ἀντ' αὐτῆς ἐν τοῖς τοῦ μεγάλου λόγοις κειμένην, κἀντεῦθεν συνάγεις ὡς εἰκὸς τὸ παρὰ τῶν ἡμετέρων ταυτὶ μεταπεποιῆσθαι. Κἀκεῖνο δ', ὦ θαυμάσιε, πῶς οὐκ ἐνεθυμήθης πρὸς τούτῳ, ὡς καὶ τοῖς ἡμετέροις ἔξεστι, τὰ σὰ λήμματα ταῦτα λαβοῦσι, ταυτά σοι συναγαγεῖν ἐπὶ τοῖς αὐτοῖς ὡσαύτως; Ἐροῦσι καὶ γὰρ κατὰ σὲ δήπου καὶ πολλῷ μᾶλλον καὶ δικαιότερον οὗτοι, ὡς οὐχ ὡς ὑμεῖς φατε, ἀλλ' *ὑπεστήσατο* μᾶλλον εὕρηται πανταχοῦ. Καὶ μάρτυρες ἡμῖν ἀπαράγραπτοι βιβλία καὶ λόγοι πάντες οἱ περὶ τούτων. Κἀντεῦθεν συνάγομεν ὡς εἰκὸς ὑφ' ὑμῶν μετατεθεῖσθαι τὴν λέξιν, τὴν *ἐτεκνώσατο* δολερῶς ἀντεισαγαγόντων. Παρὰ σοῦ καὶ γὰρ τὰς τῶν τοιούτων διαλέξεων ἀφορμὰς ἔχουσι λαβόντες εἰκότως. Εἰ μὲν οὖν ἀναγκαῖον D ἐρεῖς τὸ παρὰ σοῦ συναγόμενον, ἀναγκαῖον καὶ τὸ παρ' ἐκείνων φήσεις ὡσαύτως. Καὶ πῶς οἷόν τε καὶ ἄμφω; ἢ πῶς δυνατὸν τὴν ἀντίφασιν λέγειν μὴ ἀντικεῖσθαι; θάτερον γὰρ τῶν μερῶν ἀνάγκη πάντως ἀντιπίπτειν θατέρῳ. Εἰ δ' οὐκ ἀναγκαῖα φὴς λέγειν τοὺς ἡμετέρους, ἐνδέχεσθαι γὰρ καὶ μὴ εἶναι τοῦθ' οὕτως ἔχον, αὐτὸ τοῦτ' ἐξ ἀνάγκης ἐροῦσι κἀκεῖνοι, καὶ δείξουσιν οὐκ ἀναγκαῖον ὄντα πρότερον τὸν σὸν λόγον, καὶ μάτην ἐπ' ἀδήλοις κατατρέχοντά γε τῶν ἀνευθύνων ὡς ἐπί τισιν ὁμολογουμένοις. Εἰ μὲν γὰρ πάσας αὐτὸς διελθὼν τὰς ἐκεῖνα φερούσας ἱερὰς δέλτους, ὅσα ἡ μεγίστη πόλις αὕτη, φημὶ, φέρει, τέως πάσας οὕτως ἐχούσας εὗρες καθ' ὃν ὑμεῖς ἀναγινώσκετε τρόπον, οὐδ' οὕτω μὲν οὖν εὐθὺς ἐπὶ δόλῳ καὶ κακουργίᾳ καὶ μάλιστα περὶ τὰ τοιαῦτα διαβάλλειν ἀπερισκέπτως ἔδει τοὺς ἡμετέρους. Εἰκὸς καὶ γὰρ ἐν ἄλλαις ἐκκλησίαις καὶ πόλεσι δέλτοις ἑτέραις τούτους ὡμιληκότας, ὅθεν καὶ τὰ κατὰ τῶν ἱερῶν δογμάτων κινεῖσθαι παρὰ τοῦ Καλαβροῦ Βαρλαὰμ ἄνωθεν τὴν ἀρχὴν ἔσχεν, οὕτως ἐντετυχηκέναι τῷ λόγῳ καὶ τῇ γραφῇ τοῦ μεγάλου, καθὰ δήπου καὶ παρ' αὐτῶν ἀναγινώσκεταί τε καὶ γράφεται· καὶ προσῆκε πάντως καὶ τοῦτο κατὰ νοῦν σε λαβεῖν, καὶ λογίσασθαι τὰ εἰκότα. Σὺ δὲ μηδὲ τὰ τῆς Ἐκκλησίας καὶ τῆς πόλεως ταυτησὶ διελθὼν πάντα πυκτία, τὰ τοὺς εἰρημένους δηλαδὴ τοῦ μεγάλου φέροντα λόγους, μηδ' ἀκριβῆ τούτων πάντων ἔχων τὴν γνῶσιν, ἀφ' ἑνός τινος ἢ δυοῖν, ὡς ἂν αὐτὸς φαίης, ἀμφισβητῶ γὰρ ἔγωγε καὶ περὶ αὐτῶν τούτων, τοιαύτην καὶ τηλικαύτην τὴν κατὰ τῶν καθ' ἡμᾶς Ναζιραίων τουτωνὶ γραφὴν ὡς ἔτυχεν ἐνεστήσω.

Οὕτω μὲν οὖν οὐκ ἀναγκαῖος ὁ λόγος ὢν δέδεικται τῆς κατὰ τῶν ἡμετέρων λαβῆς ταύτης, καὶ οὕτω τὴν ἄδικον μέμψιν οἱ παρ' ὑμῶν διωκόμενοι φεύγουσιν· ἵνα δὲ μηδὲ ἐνδεχόμενον ὄντα συναποδείξωμεν τοῦτον, ἀλλὰ ψεῦδος ἄντικρυς μᾶλλον καὶ συκοφαντίαν τῆς ἀληθείας, φέρε παραστήσωμεν ἐξ αὐτῶν δηλαδὴ τῶν τοῦ σοφοῦ Πατρὸς λόγων, ὡς ἡ μὲν *ἐτεκνώσατο* λέξις οὐ προσφυὴς ἐπὶ Θεοῦ, οὐδ' οἰκεία νενόμισται τούτῳ, διὸ μηδὲ γνησίαν ταύτην εἶναι δεῖν ἐκείνου νομίζειν, εἰ καὶ παρά τισιν, ὡς αὐτός φησιν, εὕρηται κειμένη τῶν ἀντιγράφων, ἡ δ' *ὑπεστήσατο*, καὶ φίλη καὶ συνήθης καὶ πολυτρόπως ἐξ ἀνάγκης τὸ γνήσιον κεκτημένη. Εὐνομίῳ καὶ γὰρ ὁ σοφὸς οὑτωσὶ περὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ προσδιαλεγόμενος τῷ Γαλάτῃ, γεννητόν τε καὶ γέννημα συχνῶς, ἀλλ' οὐχ Υἱὸν ἐκεῖνον ἀποκαλοῦντι, καὶ τὴν καινοτομίαν καὶ τὸ ἀηθὲς τῆς φωνῆς διὰ πολλῶν ἐξελέγχων, εἶτ' ἐπάγει κἀκεῖνα· Διὰ τοῦτο, οἶμαι, ἥ τε κοινὴ συνήθεια τὴν προσηγορίαν ἠτίμασε τοῦ γεννήματος, καὶ ἡ θεία Γραφὴ παραιτουμένη φαίνεται, καὶ μάλιστα ἐπὶ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. Ἀλλὰ καὶ τὴν τέκνου προσηγορίαν ὡς πολὺ τὸ ἀνθρώπινον ἔχουσαν οὐ προσήκατο. Δηλοῖ δὲ ὁ Ἀπόστολος.

Ὁρᾷς πῶς ὁ διδάσκαλος ἐπίσης τῷ γεννήματι καὶ τὴν τοῦ τέκνου προσηγορίαν ἐπὶ Θεοῦ παρῃτήσατο; Μᾶλλον δ' οὐκ αὐτὸς οὗτος μόνος, ἀλλὰ καὶ τὴν κοινὴν εἰσάγει συνήθειαν μετὰ τῆς θείας Γραφῆς ἀτιμάζουσαν ταύτην ὡς ἀναξίαν Θεοῦ, καὶ πολὺ τὸ ἀνθρώπινον ἔχουσαν. Πῶς οὖν ἣν ἀπεβάλλετο λέξιν, καὶ ταῦτα μεθ' οὕτω μεγάλης τῆς καταφορᾶς καὶ τῆς αἰτίας ἀξιολόγου, μικρὸν ἐπὶ τοῦ αὐτοῦ προϊὼν ἂν λόγου, πάλιν ὥσπερ ἐκ μεταμελείας προσήκατο, καὶ μάλιστα πρὸς πολέμιον καὶ θεομάχον οὕτω βίαιον γράφων καὶ νοημάτων καὶ λέξεων καινοτομίαις ἐναβρυνόμενον, ἃ δὴ καὶ πυκνῶς ἐκεῖ καὶ γενναίως ὁ γενναῖος βάλλων αὐτὸν ἐξελέγχει, καὶ καινοτόμον, καὶ ἀπὸ κοιλίας πάντα φθεγγόμενον ἄντικρυς ἀποδείκνυσιν; Οὐδαμῶς πάντως, εἴ γε καὶ τῆς ἀκριβείας ὡς μάλιστα φροντίζων

Digitized by Google

εἴπερ τις φαίνεται πανταχοῦ ὁ ἠκριβωμένος οὑτοσὶ καὶ ἄπταιστος ἐν ἅπασι θεολόγος.

Ἤρκει μὲν οὖν καὶ τοῦτό γε μόνον εἰς ἀπόδειξιν τοῦ λόγου τῆς ἀληθείας· τῆς γὰρ νόθου καὶ παρεγγράπτου λέξεως ἐκείνης διαγραφείσης, ἐξ ἀνάγκης τὸ γνήσιον δείκνυται τοῦ παρ' ἡμῶν ἀναγινωσκομένου καὶ γραφομένου, ᾧ δὴ καὶ βίβλοι πᾶσαι σχεδὸν ὁμοῦ, καθάπερ ἔφθην εἰπὼν ἤδη, προσμαρτυροῦσιν· ἵν' ὡς ἂν δ' ἐκ περιουσίας καὶ ξύμπασαν ἄλλην πρόφασιν ἀνέλωμεν τῶν ἀντιλεγόντων, ἐπεὶ τὸ ἀλλότριον ἀπεσκευασάμεθα κατὰ τὸν εἰπόντα, καὶ τρόπον ἕτερον τὸ ἡμέτερον, μᾶλλον δὲ τὸ τοῦ ἡμετέρου πατρός τε καὶ διδασκάλου συστήσομεν, τοῖς αὐτοῦ καὶ αὖθις κατὰ τῶν αὐτὸν συκοφαντούντων χρησάμενοι λόγοις. B Φησὶ τοιγαροῦν ὁ σοφὸς οὑτωσὶ περὶ τῆς ἐκ Πατρὸς ἀνάρχου γεννήσεως τοῦ Υἱοῦ πρὸς τὸν αὐτὸν Εὐνόμιον αὖθις γράφων· *Εἰκόνα νοεῖν χρὴ τοῦ Θεοῦ τοῦ ἀοράτου οὐ κατὰ τὰς τεχνητὰς ταύτας, ὕστερον ἀπεργασθεῖσαν πρὸς τὸ ἀρχέτυπον, ἀλλὰ συνυπάρχουσαν καὶ συνυφεστηκυῖαν τῷ πρωτοτύπως ὑποστήσαντι τῷ εἶναι τὸ ἀρχέτυπον οὖσαν.* Καὶ πάλιν πρὸς τὸν αὐτόν· *Ἀλλ' εἴπερ αἰῶνες πάντες κάτω που τῆς γεννήσεως τοῦ Μονογενοῦς νοοῦνται, αὐτοῦ ἐκείνου ὄντες ποιήματα, μάταιος ὁ ἐπιζητῶν τῆς ὑποστάσεως τοῦ Υἱοῦ τὰ πρεσβύτερα. Οὐδὲν γὰρ ἀλλοιότερον ἐρωτᾷ ἢ εἰ περὶ τοῦ Πατρὸς ἐπυνθάνετο, πότερον ὑπῆρχε πρὸ τῆς ἰδίας συστάσεως ἢ οὐχί.* Ἐν δὲ τοῖς περὶ τοῦ ἁγίου Πνεύματος οὕτω θεολογῶν ὁ αὐτὸς αὖθίς φησι· *Τοῦτο τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει τὸ Πνεῦμα, τὸ διὰ* C *τοῦ Υἱοῦ γνωρίζεσθαι, καὶ ἐκ τοῦ Πατρὸς ὑφεστάναι.* Ἤκουσας, πῶς οὐχ ἅπαξ μόνον, ἀλλὰ καὶ δὶς κατ' αὐτὸ καὶ τρὶς καὶ πολλάκις ὁ θαυμαστὸς Βασίλειος ἐπὶ τῇ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ προαιωνίῳ γεννήσει τε καὶ ὑπάρξει, καὶ δὴ καὶ τῇ προβολῇ τοῦ ὁμοουσίου Πνεύματος τῇ *ὑπεστήσατο* καὶ *ὑπέστησεν* ἐχρήσατο λέξει; Καὶ τὸ καινὸν ὁμοῦ τε καὶ χάριεν, ὅτι κἀπὶ τοῦ αὐτοῦ ἑνὸς κατὰ ταυτὸ λόγου τε καὶ βιβλίου, διά σε καὶ τὰς σὰς οἶμαι προλήψεις καὶ ὑπολήψεις, ἵν' εἰ μὴ τῷ προτέρῳ πεισθείης, τὸ δεύτερόν σε διδάξῃ· εἰ δὲ καὶ τοῦ δευτέρου παρακούσειας, τὸ τρίτον γοῦν σε καὶ τὸ μετ' αὐτὸ πρὸς τὴν τοῦ διδασκάλου σκοπὸν, καὶ τὸν ἦχον τῆς ἐν ἐκείνῳ λαλούσης πνευματικῆς σάλπιγγος ἀφυπνίσῃ D καὶ διεγείρῃ. Οὐχ ἄρα παρὰ τῶν ἡμετέρων, ὡς αὐτὸς συκοφαντῶν ἔφης, μεταβέβληται καὶ διέφθαρται τὰ τῶν θεολόγων βιβλία· παρὰ τῆς σῆς ἑταιρείας δὲ μᾶλλον, οἷς ἄνωθεν ἔθος ταυτὶ κακουργεῖν, καθὰ δὴ καὶ προὔφθην. Καὶ εἰ βούλει, καὶ αὐτά σοι παρελθόντες ὑποδείξομεν τὰ πυκτία, τὰς τῶν μαχαιρίων περιφέροντα λαθραίας κατατομάς τε καὶ παραξέσεις. Μᾶλλον δ' ἐκεῖνα μὲν καὶ αὐτὸς οἶσθα, ξύνοισθά γε κακῶς τοῖς κακῶς εἰργασμένοις, ὧν δήπου καὶ καθηγητὴν καὶ πρόμαχον μετὰ τὸν πρῶτον αὐτῶν καθηγητὴν, καὶ τῆς ὀρθῆς δόξης πολέμιον, σαυτὸν ἡμῖν ἄρτι δεικνύεις. Ἐπὶ δὲ τὸν σοφὸν Βασίλειον καὶ τοὺς ἐκείνου λόγους ἴωμεν αὖθις.

Τοὺς γοῦν περὶ δημιουργίας Θεοῦ τοῦ μεγάλου Μωσέως ὁ μέγας ἐξηγούμενος λόγους, κατ' αὐτὰς A εὐθὺς τὰς τῆς ἐξηγήσεως ἀρχὰς δείκνυσιν, ὡς οὐκ ἐπὶ τῶν κτιστῶν, ἀλλ' ἐπὶ τῶν ἀκτίστων μάλιστ' αὐτὸς τῇ *ὑπεστήσατο* καὶ *ὑπέστησε* χρῆται λέξει. Τὸ γὰρ, *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*, εἰς ἑρμηνείαν προθεὶς ἑαυτῷ, καὶ πολλὰ μὲν περὶ ἀρχῆς, τινὰ δὲ καὶ περὶ τοῦ *ἐποίησε* διελθὼν, εἶτ' ἐπιφέρει· Ἵνα δειχθῇ ὅτι ὁ κόσμος οὗτος τεχνικόν ἐστι κατασκεύασμα προκείμενον πᾶσιν εἰς θεωρίαν, ὥστε δι' αὐτοῦ τὴν τοῦ ποιήσαντος αὐτὸν σοφίαν ἐπιγινώσκεσθαι, οὐκ ἄλλῃ τινὶ ἐχρήσατο φωνῇ ὁ σοφὸς Μωϋσῆς περὶ αὐτοῦ, ἀλλ' ἢ εἶπεν, *Ἐν ἀρχῇ ἐποίησεν*, οὐχὶ *ἐνήργησεν*, οὐδὲ *ὑπέστησεν*, ἀλλ' *ἐποίησε*. Καὶ καθότι πολλοὶ τῶν φαντασθέντων συνυπάρχειν ἐξ ἀϊδίου τῷ Θεῷ τὸν κόσμον οὐχὶ γεγενῆσθαι παρ' αὐτοῦ συνεχώρησαν· ἀλλ' οἱονεὶ ἀποσκίασμα τῆς δυνάμεως αὐτοῦ ὄντα, αὐτομάτως παρυποστῆναι· καὶ αἴτιον μὲν αὐτοῦ ὁμολογοῦμεν Θεὸν, αἴτιον δὲ ἀπροαιρέτως, ὡς τῆς σκιᾶς τὸ σῶμα, καὶ τῆς λαμπηδόνος τὸ ἀπαυγάζον· τὴν οὖν τοιαύτην ἀπάτην ἐπανορθούμενος ὁ προφήτης, τῇ ἀκριβείᾳ ταύτῃ τῶν ῥημάτων ἐχρήσατο, εἰπὼν, *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός*· τουτέστιν, οὐχὶ αὐτὸ τοῦτο τὴν αἰτίαν τοῦ εἶναι παρέσχεν, ἀλλ' *ἐποίησεν*.

Ἀκούεις, ὦ βέλτιστε, πῶς ὁ σοφὸς Βασίλειος νοεῖ τε καὶ διδάσκει κἀνταῦθα τὴν τοῦ *ὑπέστησε* λέξιν; Ἐπειδὴ, φησὶν, οἱ τῶν Ἑλλήνων σοφοὶ οὐ κτίστην, ἀλλ' αἴτιον ἐξ ἀϊδίου τὸν Θεὸν ἐνόμισαν τῶν κτισμάτων, συναΐδια ταῦτα τῷ ποιητῇ φάσκοντες· διὰ τοῦτο καὶ Μωϋσῆς ὁ σοφὸς οὐκ εἶπεν *ἐνήργησεν*, ἢ *ὑπέστησεν* ὁ Θεὸς, ἀλλ' *ἐποίησε*, μονονουχὶ τοῦτο λέγων, ὅτι τὸ μὲν *ἐποίησε* τοῦτ' αὐτὸ ποίημα καὶ κτίσμα τοῦ ποιητοῦ τὸν κόσμον παρίστησι· τὸ δὲ *ἐνήργησε* καὶ *ὑπέστησεν*, ἐπεὶ μὴ τὸν τρόπον δηλοῖ τῆς τοῦ ὑποστάντος ὑπάρξεως, ἀλλ' αἴτιον ἁπλῶς αὐτῷ τοῦ εἶναι δείκνυσι μόνον, καὶ δύναται διὰ τοῦτο καὶ ἐπὶ τῶν ἀκτίστων καὶ ἄμφω ταυτὶ λέγεσθαι, καὶ λέγεταί γε, καὶ ὡς ἐπιτοπλεῖστον μάλιστα ἐπὶ τούτων. Διὰ τοῦτο καὶ Μωϋσῆς ὁ μέγας ταυταισὶ ταῖς λέξεσιν ἐπὶ τῶν τοῦ Θεοῦ κτισμάτων οὐκ ἠνέσχετο χρήσασθαι. Οὐ γὰρ εἶπε, φησὶν, *ἐνήργησεν* ἢ *ὑπέστησεν*, ἵνα μὴ ἄκτιστα καὶ συναΐδια Θεῷ τις ἐκεῖνα νομίσῃ διὰ τῶν λέξεων δηλαδὴ τούτων, κατὰ τοὺς Ἑλληνικοὺς ὕθλους, ἀλλ' *ἐποίησε*, τὴν ἀπάτην διορθούμενος ταύτην, καὶ κτίσμα Θεοῦ διδάσκων εἶναι τὸν κόσμον. Μάθε τοιγαροῦν, ἢ καὶ εἰδὼς μὴ κακούργως τε καὶ φιλονείκως, ἀλλ' ἁπλῶς τε καὶ ἀληθῶς καὶ κατὰ τὴν ἐκκλησιαστικὴν τε καὶ πατρικὴν συνήθειαν, εἰ δὲ βούλει, καὶ κατὰ τὴν σὴν γραμματικήν τε καὶ σοφίαν ταῖς λέξεσι χρῶ, καὶ μὴ δι' ἔριν τε καὶ ἄκαιρον ἔνστασιν ταῦτά τε κἀκεῖνα παραχρούεσθαι θέλε, καὶ κενήν τινα σαυτῷ, καὶ τοῖς μετὰ σοῦ λέξεών τε καὶ νοημάτων τέμνειν ὁδὸν· μᾶλλον δ' οὐ κενὴν μόνον, ἀλλὰ καὶ πολὺ τὸ βλαβερὸν ἔχουσαν. Τὸ γὰρ *ὑπεστήσατο* καὶ *ὑπέστησε* καὶ *ἐνήργησε*, καθὰ δὴ καὶ φθάσαντες εἴπομεν, τὴν ὕπαρξιν μόνην ἁπλῶς, καὶ τὸ ἔκ τινος αἰτίου τὸ ὑποστὰν καὶ ἐνεργηθὲν εἶναι, ἀλλ' οὐ καὶ τὴν τοιάνδε ὕπαρξιν, καὶ τὸ τοιονδὶ αἰτιατὸν παρίστησιν. Εἰ γὰρ μὴ τοῦθ' οὕτως εἶχεν, ἀλλὰ καὶ τὸν τρόπον αὐτὸν

Digitized by Google

ἅμα τῆς ὑπάρξεως καθ' ὑμᾶς γε αὐτοὺς ἐδήλου, καθὰ δὴ καὶ τὸ *ἔκτισε* καὶ *ἐποίησε*, τίνος χάριν τὸ μὲν *ἐνήργησε* καὶ *ὑπέστησεν* ὁ σοφὸς παρῃτήσατο Μωϋσῆς εἰπεῖν; Ἵνα μὴ συναΐδιόν τις ὑπολάβῃ τὸν κόσμον κατά τινας, ὃ πρὸ βραχέος ὁ μέγας εἰρήκει Βασίλειος· τὸ δὲ *ἐποίησεν*, ἅτε καὶ τὸν τρόπον δηλοῦν τῆς τῶν ποιημάτων ὑπάρξεως, καὶ οἰκεῖον τῷ ποιητῇ τε καὶ τοῖς κτίσμασιν ὄν, ἀντεισήγαγεν. Ἆρ' οὐ καὶ τυφλῷ, φασὶ, δῆλον τό τε τῶν λέξεων ὁμοῦ καὶ τὸ τῶν σημαινομένων αὐτῶν διάφορον; Ἄλλως τε, εἰ τὸ *ὑπέστησεν* ἀντὶ τοῦ *ἔκτισεν* ἦν πανταχοῦ κατὰ τοὺς λέγοντας, καὶ πᾶσαν ὑπόστασιν ἐξ ἀνάγκης ἔδει πεφυκέναι κτίσμα, καὶ μηδεμίαν εἶναι μηδαμῶς ἄκτιστον. Ἢ πῶς ἂν ἡ χρονικὴν ἀρχὴν ἔχουσα ὕπαρξις ἄκτιστόν τι καὶ ἄναρχον ὅλως παρήγαγεν; Ὡς γὰρ ἐκ τοῦ *ἐποίησέ* τε καὶ *ἔκτισεν* οὐκ ἔστιν ἐννοῆσαί τί ποτε τῶν ἀκτίστων καὶ ἔξω χρονικῆς ἀρχῆς ὑφιστάμενον, ἀλλ' εὐθὺς ποιήματά τε καὶ κτίσματα νοοῦμεν ἀκολούθως τὰς λέξεις ἐκείνας ἀκούοντες, οὕτως ἐχρῆν δήπου κἀκ τοῦ *ὑπέστησε* καὶ *ὑπέστη* καὶ πᾶσαν ὑπόστασιν κτίσμα καὶ εἶναι προφανῶς καὶ νομίζεσθαι, εἴπερ κατ' ἐκείνους ταυτόν τι καθάπαξ καὶ ἀδιάφορον τὸ *ἔκτισε* τῷ *ὑπέστησεν*.

Ἀλλ' ἡμεῖς, ὦ βέλτιστοι, πρὸς ἐκείνους ἂν αὖθις εἴποιμεν, οὐχὶ μίαν καὶ δύο μόνον, ἀλλὰ καὶ τρεῖς ὁμολογοῦμέν τε καὶ προσκυνοῦμεν ὑποστάσεις ἀκτίστους· καὶ διὰ τοῦτο καὶ τρισυπόστατον ἴσμεν τὸν ἕνα καὶ μόνον κατὰ φύσιν Θεὸν τῶν ἁπάντων ἄκτιστον, μᾶλλον δὲ καὶ κτισμάτων ἁπάντων ποιητὴν καὶ Δεσπότην, οὐ κατὰ τὴν φύσιν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ὑποστάσεις αὐτάς, καὶ δὴ καὶ τὰς φυσικὰς δυνάμεις καὶ πάντα τὰ φυσικὰ ἰδιώματα. Οὐδὲ γὰρ οὐδὲν τῶν ἐν τῇ θείᾳ φύσει τοπαράπαν κτιστὸν κατὰ τοὺς θεολόγους Πατέρας, ὡς οὐδὲ τῶν ἐν τῷ ἀνθρώπῳ φυσικῶν δηλαδὴ καὶ ἰδίων τὸ ἄκτιστον. Καὶ μήτι νομίσῃς ὑποστάσεις λέγειν ἡμᾶς τὰς φυσικὰς τοῦ Θεοῦ δυνάμεις τε καὶ προόδους, καὶ τὰ ἰδιώματα· μηδὲ τὸν λόγον ἑλκύσῃς κακῶς πρὸς τὸ ἄτοπον, ἐκ τοῦ *ὑπεστήσατο* καὶ *ὑπέστησε* συνάγοντα τὴν ὑπόστασιν, ὥσπερ καὶ τὸ ποίημα ἀπὸ τοῦ *ἐποίησεν*. Οὐδεμία γὰρ ἐνέργεια, φησὶν ὁ μέγας Βασίλειος, ἐνυπόστατος, τουτέστιν αὐθυπόστατος. Καὶ πάλιν αὐτὸς, τὰς θείας ἀπαριθμησάμενος ἐνεργείας κατ' ὄνομα, οὕτως ἐπάγει· Ταῦτα πάντα ἀϊδίως ἔχει τὸ Πνεῦμα τὸ ἅγιον, ὡς Πνεῦμα Θεοῦ καὶ ἐξ αὐτοῦ πεφηνός· ἀλλὰ τὸ μὲν, ἐκ Θεοῦ πηγάζον, ἐνυπόστατόν ἐστι, τὰ δὲ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσι.

Καὶ ὁ σοφὸς Μάξιμος αὖθις· Αἱ ἐνέργειαι, φησὶν, οὐκ εἰσὶν οὐσίαι, οὐδὲ καθ' ἑαυτάς, ἀλλ' ἐν τῇ οὐσίᾳ τυγχάνουσι, καὶ δίχα ταύτης τὸ εἶναι οὐκ ἔχουσι. Διονύσιος δ' ὁ σοφὸς, ᾧ δὴ καὶ ἀντιλέγετε πρὸ τῶν ἄλλων ὑμεῖς πάντων μάλιστα, συνεχῶς τὸν Θεὸν ὑποστάτην τῶν φυσικῶν ἑαυτοῦ λέγοντι, περὶ τούτων αὐτῶν ὧδέ πῃ φησιν· Οὐκ οὐσίαν τινὰ θείαν ἢ ἀγγελικὴν εἶναι ταῦτά φαμεν. Καὶ πάλιν· Οὔτε συνελόντα εἰπεῖν ἀρχικὰς τῶν ὄντων, καὶ δημιουργικὰς οὐσίας καὶ ὑποστάσεις. Καὶ μετ' ὀλίγον· Ἀλλ'

A αὐτοεῖναι καὶ αὐτοζωὴν, καὶ αὐτοθεότητά φαμεν, ἀρχικῶς μὲν καὶ θεϊκῶς καὶ αἰτιατικῶς τὴν μίαν πάντων ὑπεράρχιον καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν· μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικὰς δυνάμεις, τὴν αὐτοουσίωσιν, αὐτοζώωσιν, αὐτοθέωσιν. Ὅπερ οὖν ἐλέγομεν, οὐδ' ἡμεῖς ὑπόστασιν τὴν τοῦ Θεοῦ φυσικὴν δύναμιν καὶ ἐνέργειαν λέγομεν, διὰ τὸ ὑποστάτην αὐτῆς τὸν Θεὸν λέγεσθαι, ὥσπερ οὐδ' οἱ προῤῥηθέντες οὗτοι διδάσκαλοι. Πῶς γὰρ τὴν ἐν τῇ φύσει θεωρουμένην καὶ ἐν ἐκείνῃ τὸ εἶναι ἔχουσαν, καὶ ἀχώριστον οὖσαν ἐκείνης; Διὸ καὶ ἐνυπόστατον ταύτην μᾶλλόν φαμεν, ὡς ἐν τῇ θείᾳ θεωρουμένην, ὡς ἔφην, καὶ μηδαμῶς οὖσαν ταύτης χωρίς. Ἓν γὰρ καὶ τοῦτο, καθὰ δήπου καὶ αὐτὸς οἶσθα, τῶν τοῦ ἐνυποστάτου

B σημαινομένων, καθ' ὃ πᾶσα ὕπαρξις εἴτε σωματικὴ, εἴτε ἀσώματος ἐνυπόστατον λέγεται, καθὸ δηλονότι ὑφέστηκεν. Ἐπειδὴ καὶ κατὰ τοῦτον τὸν λόγον καὶ ἡ οὐσία καὶ τὸ συμβεβηκὸς ἐνυπόστατα λέγονται, εἰ καὶ μὴ κυρίως.

Ἀλλ' ὁ μὲν περὶ τῶν λέξεων ἡμῖν λόγος καὶ τῶν διδασκάλων αἱ περὶ αὐτῶν μαρτυρίαι ἅλις ἐχόντων· ἐγκύψωμεν δ', εἰ δοκεῖ, καὶ πρὸς αὐτὸν ἤδη τὸν σκοπὸν τοῦ σοῦ λόγου, δι' ὃν ἄρα καὶ κατὰ τῶν λέξεων καὶ τῶν χρωμένων ἐκείναις μετὰ τοσαύτης ἀγωνίζῃ τῆς εὐψυχίας, ἵνα γνῶμεν ἐκ μέρους τέως τί σοι βούλεται ταῦτα, καὶ τίνων προπολεμῶν τε καὶ προϊστάμενος, τὴν μάχην ταύτην ἀνείλου. Μᾶλλον δ' αὐτὸς εἰπὲ σὺ καὶ δίδαξον ταῦτα, ἵν' ἔχοιμεν εἰ-

C δότες μὴ παρ' ἑτέρου τὰ σὰ ἀλλὰ παρὰ σοῦ δηλαδὴ καὶ τῶν σῶν λόγων. Διονυσίου, φησὶ, τοῦ μεγάλου περὶ ὄντος καὶ σοφίας, καὶ ζωῆς καὶ φωτὸς καὶ εἰρήνης καὶ τῶν τοιούτων ἐν τοῖς ἑαυτοῦ λόγοις πλεῖστα διεξιόντος, καὶ κτίσμα Θεοῦ ταῦτα δεικνύντος, πρώτως μὲν ὄντα καὶ πρὸ τῶν ἄλλων ὄντων δηλαδὴ τῶν ἄλλων κτισμάτων, ὑποστάντα δὲ καὶ ταῦτα παρὰ Θεοῦ, καὶ ὑποστάτην, τουτέστι κτίστην, τούτων αὐτῶν πεφυκότα, πρὸς μετοχὴν οἰκείως ἑκάστῳ τῶν μετ' αὐτὰ κτισμάτων ταυτὶ προβαλλόμενόν τε καὶ διανέμοντα· οὕτω τοίνυν εἰπόντος ἐκείνου, ὑμεῖς οὐ τῶν ἐκτὸς εἶναι ταῦτά φατε, οὐδὲ τοῦ Θεοῦ κτίσματα, ἀλλὰ φυσικὰ καὶ συναΐδια μᾶλλον τῇ φύσει ἐκείνου δυνάμεις καὶ προνοίας Θεοῦ καὶ πολλάς τινας λέγοντες ἐνεργείας, καὶ πολλὰ τὰ ἄκτιστα παρεισά-

D γοντες, ἅπερ ἡμεῖς λέγειν οὐ μεμαθήκαμεν. Ἓν γὰρ καὶ μόνον ἄκτιστον ἴσμεν, τὴν τοῦ Θεοῦ φύσιν· τὸ δ' ἐκείνης ὁπωσδήποτε διαφέρον ἅπαν κτιστόν.

Εὖγε ὅτι τὸν χρηστὸν Ἀκίνδυνον παρεισήγαγες ἡμῖν αὖθις μετὰ τῆς μακρᾶς ἐκείνης ἀδολεσχίας, καὶ τῆς κατὰ τῆς θεότητος καὶ τῶν ταύτης θεολόγων συκοφαντίας καὶ τῶν σοφισμάτων. Ὅτι γὰρ ἐκείνου ταυτὶ καὶ δὴ καὶ Βαρλαὰμ τοῦ τὰ σπέρματα καὶ τὰς ἀρχὰς τῆς πλάνης αὐτῷ παρασχόντος, πλεῖστοι μὲν καὶ κάλλιστοι τῶν ἀνθρώπων οἱ μάρτυρες τούτων, ἢ καὶ πάντες σχεδὸν οἵ γε καὶ λέγειν ὁπωσοῦν καὶ ἀκούειν εἰδότες· οἱ δὲ λόγοι μάλιστ' ἐκείνων καὶ τὰ συγγράμματα παρ' ἡμῖν ὄντα.

Ἐγὼ μὲν οὖν, ἵνα τοὐμὸν τέως ἐξείπω, οὐκ ᾤμην σε φανερῶς οὑτωσὶ καὶ ἀνερυθριάστως ὁμόφρονά τε

Digitized by Google

καὶ ὁμιλητὴν Ἀκινδύνου σαυτὸν ἐθέλειν δεικνύναι, καὶ μάλιστά γε ἐπὶ τοιούτοις, ὅτι τε ἀμαθὴς ἐκεῖνος καὶ ἀνάσκητος θείας τε πάσης καὶ ἀνθρωπίνης σχεδὸν σοφίας, καὶ ὅτι καὶ πολλάκις ὑπὸ συνόδων Πατέρων ἱερῶν καὶ βασιλέων ὦπται, καὶ πάσης ἅμα τῆς σεπτῆς Ἐκκλησίας ἐπ' ἐκείνοις ἐξεληλεγμένος τε καὶ ἐκβεβλημένος, οὐ περιὼν μόνον ἀλλὰ καὶ ἀπογεγονὼς διὰ τῶν οἰκείων λόγων δηλαδὴ καὶ δογμάτων, καθὰ δὴ καὶ Ὠριγένης καὶ οἱ κατ' αὐτὸν πάλαι, οἳ καὶ μετὰ πολυετῆ τινα χρόνον, τῆς σφετέρας αὐτῶν τελευτῆς συνόδῳ Πατέρων ἱερῶν τε καὶ βασιλέων σὺν μεγίσταις τισὶ καὶ παλαμναιοτάταις ἀραῖς τῶν ἱερῶν ἀποκηρυχθέντες ἐξεβλήθησαν περιβόλων μετὰ τῶν διεφθαρμένων καὶ κακίστων αὐτῶν συγγραμμάτων. Ὃ δήπου καὶ Ἀκινδύνῳ καλῶς ἄρα καὶ σὺν δίκῃ, καθάπερ ἔφην, συνέβη, ἐπὶ ταῖς αὐταῖς, μᾶλλον δὲ καὶ χείροσι βλασφημίαις ἑαλωκότι, καὶ διὰ ταῦτα παρὰ τοῦ τῶν εὐσεβῶν ἱεροῦ συλλόγου σύν γε ταῖς ὁμόφροσι μεγίσταις καὶ φρικωδεστάταις ἅμα ταῖς ἀραῖς ἀποκηρυχθέντι. Διὰ ταῦτα μὲν οὖν οὐχ ὑπελάμβανον, ὅπερ ἔφην, ἑκόντα σε σαυτὸν τοῖς ἐκείνου προσάγειν ἐθέλειν, καὶ τὸ κατ' αὐτὸν οἰκειοῦσθαι, ἀλλὰ πρὸς τῇ ἀδοξίᾳ καὶ τῇ προδήλῳ ταυτηῒ καταγνώσει καὶ τὴν φρικτὴν ἀποκήρυξιν καὶ τὴν κοινὴν τῆς σεπτῆς Ἐκκλησίας ἀρὰν ὅλῳ ποδὶ φεύγειν, οἷς ἑαυτοὺς καθυποβάλλουσιν οἱ τὰ ἐκείνου φρονοῦντες κατὰ τὰς πανδήμους ἐκείνης διαλέξεις καὶ ἀποφάσεις, Πνεύματι δηλαδὴ θείῳ καὶ πάλαι καὶ νῦν λαλουμένας. Ἐπεὶ δὲ πράγμασιν αὐτοῖς, ὡς μὴ ὤφελε, τοῦθ' ὁρᾶται, περιττὸν μὲν ἂν εἴη καὶ τοῦ καιροῦ καὶ τῆς χρείας γε πόρρω τὸ περὶ τῶν αὐτῶν καὶ αὖθις τὰ αὐτὰ λέγειν ἐθέλειν πρὸς τοὺς μὴ βουλομένους ἀκούειν. Ἦ γὰρ ἄν, εἴγε ἐβούλοντο, τῶν πολλῶν καὶ καλῶν ἐκείνων λόγων τε καὶ διαλέξεων ἀκηκοότες ἐπείσθησαν πάλαι. Ἢ γὰρ ἄν, ἐξ ἐκείνου πεισθέντες, ἐταπεινώθησαν ὑπὸ τὴν κραταιὰν τοῦ Θεοῦ χεῖρα, καὶ τῷ Πνεύματι καλῶς ὑπετάγησαν τῷ ἁγίῳ, τῷ διὰ τοῦ χοροῦ τῶν θεολόγων λαλοῦντι. Οὐ γὰρ αὐτοί γέ εἰσιν οἱ λαλοῦντες κἀνταῦθα, κατὰ τὸν Χριστοῦ φάναι λόγον, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ λαλοῦν ἐν αὐτοῖς. Ὡς ἂν δὲ μὴ δόξαιμεν ἀτελῆ πως τὴν ὁμιλίαν καὶ ἡμεῖς ταυτηνὶ καταλείπειν ἐνταῦθα· τοὺς μὲν καθόλου περὶ τῆς θείας ἐνεργείας καὶ θεότητος λόγους, καὶ τοὺς περὶ τούτων αὐτῶν ζητοῦντας, εἴς τε τὰ βιβλία καὶ τοὺς πολλοὺς καὶ καλοὺς ἐκείνους παραπέμψομεν λόγους, ἄλλοις τε λογογραφηθέντα σοφοῖς καὶ μεγάλοις Πνεύματος καὶ λόγου δυνάμει μετὰ τοὺς ἀρχαίους διδασκάλους φημὶ καὶ Πατέρας τοῦ λόγου, καὶ ἡμῖν αὐτοῖς οὐ παρέργως· τὴν δ' *ὑπεστήσατο* λέξιν, καὶ ὅπως τὸν Θεὸν ὑποστάτην τῶν φυσικῶν ἑαυτοῦ δυνάμεών τε καὶ μετοχῶν ἀνυμνεῖ πυκνῶς ὁ θεολόγος ἐκεῖνος, ὃ δήπου καὶ σκοπὸς ἄνωθεν ἦν τῷ λόγῳ, καὶ αὖθις ἐνεγκόντες εἰς μέσον καὶ τὸν τοῦ λόγου σκοπὸν παρ' ἐκείνου ζητήσαντες καὶ μαθόντες καθόσον οἷόν τε, τὸν περὶ τούτου τέως ἐνταῦθα καταπαύσομεν λόγον.

Σὺ μὲν οὖν, οὐκ οἶδ' ὅπως, κτιστῶς ὑποστήσασθαι φὴς τὸν Θεὸν τὰς φυσικὰς ἑαυτοῦ δυνάμεις, καὶ διὰ A τοῦτο καὶ κτίστην τὸν ὑποστάτην αὐτῶν ὑπολαμβάνων λέγεις ὡσαύτως, οὐδ' αὐτὸν ἐκεῖνον τὸν σοφὸν τέως αἰδούμενος θεολόγον, ἐξηγούμενον τὰ οἰκεῖα, καὶ ἑαυτὸν ἐπιτηδὲς ἑρμηνεύοντά τε καὶ σαφηνίζοντα, καὶ πᾶσαν ἀμφιβολίαν τε καὶ ἀντιλογίαν ἐκ μέσου τιθέντα. Ἐκεῖνος δ' αὐτὸς, ἀκούσωμεν δι' ὀλίγων τινῶν, ἃ περὶ τούτων αὐτῶν λέγει.

Πρὸς γάρ τοι τὸν ἱερὸν Τιμόθεον τὸν περὶ τῶν θείων ὀνομάτων τε καὶ πραγμάτων τουτωνὶ ποιούμενος λόγον, τάδε κατὰ λέξιν ἐν ἑνδεκάτῳ φησὶ κεφαλαίῳ· Ἀλλ' ἐπειδὴ καὶ ἄλλοτέ μου δι' ἐπιστολῆς ἐπύθου τί ποτε ἄρα φημὶ τὸ αὐτοεῖναι, τὴν αὐτοζωὴν, τὴν αὐτοσοφίαν, καὶ πρὸς σεαυτὸν ἔφης ἀπορῆσαι, πῶς τὸν Θεὸν ποτὲ μὲν αὐτοζωὴν φημι, ποτὲ δὲ τῆς αὐτοζωῆς ὑποστάτην, ἀναγκαῖον ᾠήθην, B ἱερὲ τοῦ Θεοῦ ἄνθρωπε, καὶ ταύτης σε τῆς ἀπορίας τὸ ἐφ' ἡμῖν ἀπολῦσαι. Πόσου ἄν τις ἐπρίατο τὸ τῶν ἀπορουμένων ἐπὶ ταῖς τοῦ μεγάλου θεολογίαις αὐτὸν ἐκεῖνον τὸν Πατέρα τῶν λόγων ἐξηγητὴν καὶ διδάσκαλον νῦν εὑρέσθαι; Καὶ ἰδοὺ πάρεστιν ἀμογητί τε καὶ προῖκα παντὶ τῷ βουλομένῳ τούτου τυχεῖν, ἱκανῶς γε καὶ ὡς ἀμφοτέροις ἔδει, τῷ διδάσκοντί φημι καὶ τῷ μανθάνοντι ταῦτα, τῶν λύσεων πάλαι γεγενημένων διὰ τῆς ἐρωτήσεως τούτου. Ἀλλὰ γὰρ πρὶν εἰς τὰς τοῦ διδασκάλου λύσεις καὶ ἡμᾶς ἑαυτοὺς καθεῖναι, ἀναγκαῖον οἶμαι σκέψασθαι καὶ σαφέστερόν πως μαθεῖν ἐκ τῶν εἰρημένων, τίνα τὰ πρὸς τὸν σοφὸν Διονύσιον διαπορηθέντα τῷ ἀποστόλῳ τούτῳ. Ἐπεὶ καὶ θεῖος καὶ σοφός τις καὶ C ὑψηλὸς ὁ ἀνὴρ τὰ θεῖα, καὶ τῶν ἀκολούθων τε καὶ ὁμιλητῶν Παύλου δηλαδὴ τοῦ σκεύους τῆς ἐκλογῆς οὗτος ὁ προὔχων, ὑφ' οὗ δὴ καὶ τέκνον ἀγαπητὸν καὶ συναθλητής τε καὶ συναπόστολος καὶ παρηκολουθηκὼς ἐκείνου τῇ διδασκαλίᾳ, καὶ συνεργάτης αὐτῷ καὶ συσπουδαστὴς τοῦ Εὐαγγελίου, καὶ πάντ' ἐκεῖνά γε μαρτυρεῖται. Καὶ οὐκ ἂν ὁ τοσοῦτος ἄνευ σπουδῆς οὐδὲ Πνεύματος δίχα τὴν περὶ τούτων ἔρευναν καὶ τὰς πεύσεις συνεχῶς ἐποιεῖτο. Τίς οὖν ἡ ἐρώτησις; Ἠκούσαμεν ἤδη πρὸ βραχέος πρὸς αὐτὸν εἰπόντος τοῦ διδασκάλου, Ἐπειδὴ καὶ ἄλλοτέ μου δι' ἐπιστολῆς ἐπύθου τί ποτε ἄρα φημὶ τὸ αὐτοεῖναι, τὴν αὐτοζωὴν, τὴν αὐτοσοφίαν, καὶ πρὸς ἑαυτὸν ἔφης ἀπορῆσαι, πῶς τὸν Θεὸν ποτὲ μὲν αὐτοζωὴν φημι, ποτὲ δὲ τῆς αὐτοζωῆς ὑποστάτην, ἀναγκαῖον D ᾠήθην, ἱερὲ τοῦ Θεοῦ ἄνθρωπε, καὶ ταύτης σε τῆς ἀπορίας τὸ ἐφ' ἡμῖν ἀπολῦσαι.

Τί οὖν ἐστιν ἐνταῦθα τὸ διαπορούμενον τῷ σοφῷ Τιμοθέῳ; Μὴ τὴν αὐτοζωὴν, ἢ τὴν αὐτοσοφίαν, ἢ τὸ αὐτοεῖναι καὶ οὗτος κατά τινας τῶν ἀντιλεγόντων νῦν ὑπείληφε κτίσμα; Καὶ εἰ τοῦτο ἦν καὶ οὕτως ἐνομίσθη γε τούτῳ, τί τὸ ἀπορούμενον ἦν, καὶ τίς ἡ πρὸς τὸν διδάσκαλον πεῦσις; Ἢ μακρῶν ἔδει λόγων τε καὶ συλλογισμῶν, ὥστε μαθεῖν, ὅτι τῆς ἀνθρωπείας ζωῆς, καὶ σοφίας δὲ τῶν κτιστῶν ὄντων ἁπλῶς πάντων, ὁ Θεός ἐστι ποιητής τε καὶ κτίστης. Τοῦτο καὶ γὰρ οὐδὲ τῶν βαναύσων τε καὶ ἀγροίκων, οἶμαι, πιστῶν ἑνὶ μηδενὶ ποτ' ἂν διαπορηθείη ὡς καὶ διδασκάλου δεῖσθαι πρὸς τοῦτο, μήτοι γε ἐκείνῳ τῷ πλήρει σοφίας θείας ἅμα καὶ ἀνθρωπίνης, καὶ

Digitized by Google

διδασκαλικῆς καὶ ποιμαντικῆς προεδρίας καὶ παντοδαπῶν τοῦ Πνεύματος χαρισμάτων ἠξιωμένῳ. Ταυτὸ καὶ γάρ ἐστι τοῦτο τῷ διαπορoῦντά τινα εἰ τῶν κτισμάτων ἑαυτοῦ ποιητής ἐστιν ὁ Θεὸς, ἔπειτα περὶ τούτου παρὰ τῶν εἰδότων πυνθάνεσθαι. Ἀλλ' ὥσπερ τοῦτ' ἄν τις τῶν ἐξεστηκότων εἶπεν ἄντικρυς καὶ παραπαιόντων, κατὰ ταυτὰ δήπου κἀκεῖνο. Οὔκουν γε περὶ κτισμάτων καὶ κτίσεως, ἥπερ ἔφην, ἡ ἀμφισβήτησις ἦν τούτῳ.

Ἀλλ' ἐπεὶ τὸ μὲν εἶναι καὶ τὴν ζωὴν καὶ τὴν σοφίαν, λεγόμενα ἐπὶ τῶν κτιστῶν αὐτῶν μετεχόντων ὄντων φημὶ, καὶ ζώντων καὶ σοφῶν, καὶ ἐπ' αὐτοῦ τοῦ Θεοῦ λεγόμενα ᾔδει κυρίως ὡς αἰτίου πάντων ἐκείνων, τὸ δὲ αὐτοὸν καὶ τὴν αὐτοζωὴν καὶ αὐτοσοφίαν καὶ τὰ παραπλήσια τούτοις Θεοῦ μόνου γε ὄντα, καὶ τῇ ἀξίᾳ μόνῃ καὶ τῇ δυνάμει B ἐκείνῃ προσήκοντα τῇ ὑπὲρ πᾶσαν δύναμιν καὶ ἀξίαν, οὐδὲ γὰρ ἔξωθεν καὶ κατὰ μετοχὴν κἀκείνῳ πρόσεστι τὰ τοιαῦτα, ἀλλ' αὐτὸς μᾶλλόν ἐστιν ἐκεῖνα, *Ἐγὼ γάρ εἰμι*, πρὸς Ἰουδαίους φησὶν ὁ Χριστὸς, *τὸ φῶς κόσμου*, καὶ πρὸς τὴν Μάρθαν αὖθις, *Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή*, καὶ πάλιν Παῦλος ὁ σοφὸς πρὸς Ἐφεσίους, *Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας*, καὶ τῷ Μωϋσῇ πρότερον ὁ Θεὸς εἰς Αἴγυπτον ὑπὲρ τοῦ Ἰσραὴλ πεμπομένῳ, *Ἐγώ εἰμι*, φησὶν, *ὁ ὤν, καὶ αὐτὸ τοῦτ' ἐρεῖς τοῖς τὸν ἀποστείλαντά σε καὶ τοὐμὸν ὄνομα παρὰ σοῦ πυθομένοις*, ἐπεὶ ταῦθ' ὁ σοφὸς Τιμόθεος ᾔδει, περὶ μὲν τῶν ὁμολογουμένων τουτωνὶ C καὶ κειμένων, καθαπερεί τινων θέσεων καὶ ἀξιωμάτων, οὔτε διαπορεῖ πρὸς ἑαυτὸν, πῶς γάρ; οὔτε μαθεῖν δεῖται παρὰ τοῦ διδασκάλου· ἐκεῖνο δὲ μᾶλλον διαπορῶν πυνθάνεται παρ' ἐκείνου, πῶς ἅπερ τὸν Θεὸν αὐτὸν ἀξίως τε καὶ θεοπρεπῶς ὀνομάζει κατὰ δύναμιν ἀνθρωπείαν, τούτων αὐτῶν ὑποστάτην αὖθις τὸν αὐτὸν καλεῖ καὶ χορηγὸν καὶ δοτῆρα. Ὅθεν καὶ ὁ μέγας ἐκεῖνος τῷ ὄντι καὶ σοφὸς θεολόγος οὐδέν τι περὶ κτισμάτων οὐδοτιοῦν διαλέγεται πυθομένῳ τῷ φίλῳ, εἰδὼς ἀκριβῶς ἐκεῖνον καὶ τὴν ἱερὰν ἐπιστήμην τε καὶ σοφίαν ἐκείνου, μεθ' ἧς ἐκ παιδὸς ἐτράφη παρὰ τῷ τῆς οἰκουμένης θαυμαστῷ διδασκάλῳ· ἀλλ' ἀναλαβὼν μᾶλλον τὴν παντελῆ διάκρισίν τε καὶ ἕνωσιν τῆς θεότητος, ἵνα κατ' αὐτὸν ἐκεῖνον τὸν διδάσκαλον εἴπω, περιεκτι- D κῶς ἐκτίθεται καὶ διδάσκει, κἀξ αὐτῆς καὶ πρὸς αὐτὰς πρόεισι τὰς κατὰ μέρος θεωνυμίας τε καὶ τὰς λύσεις τῶν ζητημάτων ἐκείνου, μέρος αὐτάς τε κἀκείνας οὔσας τῆς κατ' αὐτὸν ἡνωμένης καὶ διακεκριμένης πάσης θεολογίας.

Τί οὖν φησι μετ' ἐκεῖνα, τὴν ἀπορίαν ὡς ἐπηγγείλατο τούτῳ λύων; Ἵνα τὰ μυριόλεκτα, φησὶ, καὶ νῦν ἀναλάβωμεν, οὐκ ἔστιν ἐναντίον, αὐτοδύναμιν ἢ αὐτοζωὴν εἰπεῖν τὸν Θεὸν, καὶ τῆς αὐτοζωῆς, ἢ εἰρήνης, ἢ δυνάμεως ὑποστάτην. Τὰ μὲν γὰρ ἐκ τῶν ὄντων καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος πάντων τῶν ὄντων λέγεται· τὰ δὲ ὡς ὑπὲρ πάντα καὶ τὰ πρώτως ὄντα ὑπερὼν ὑπερουσίως. Τί δὲ ὅλως, φῄς, τὸ αὐτοεῖναι λέγομεν, ἢ τὴν αὐτο- A ζωὴν, καὶ ὅσα ἀπολύτως καὶ ἀρχηγικῶς εἶναι, καὶ ἐκ Θεοῦ πρώτως ὑφεστηκέναι τιθέμεθα; Τοῦτο δέ φαμεν οὐκ ἔστιν ἀγκύλον, ἀλλ' εὐθὺ, καὶ ἁπλῆν τὴν διασάφησιν ἔχον. Οὐ γὰρ οὐσίαν τινὰ θείαν ἢ ἀγγελικὴν εἶναί φαμεν τὸ αὐτοεῖναι, τοῦ εἶναι τὰ πάντα ὄντα αἰτίαν. Μόνον γὰρ τοῦ εἶναι πάντα τὰ ὄντα καὶ αὐτὸ τὸ εἶναι, τὸ ὑπερούσιον ἀρχὴ καὶ αἰτία καὶ αἴτιον. Καὶ μετ' ὀλίγον· Οὔτε συνελόντα εἰπεῖν ἀρχικὰς τῶν ὄντων, καὶ δημιουργικὰς οὐσίας καὶ ὑποστάσεις, ἅς τινες καὶ θεοὺς τῶν ὄντων, καὶ δημιουργοὺς αὐτοσχεδιάσαντες ἀπεστομάτισαν. Καὶ μετὰ μικρόν· Ἀλλ' αὐτοεῖναι, καὶ αὐτοζωὴν καὶ αὐτοθεότητά φαμεν ἀρχικῶς μὲν καὶ θεϊκῶς καὶ αἰτιατικῶς τὴν μίαν πάντων ὑπεράρχιον, καὶ ὑπερούσιον ἀρχὴν καὶ αἰτίαν, μεθεκτῶς δὲ τὰς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ B ἀμεθέκτου προνοητικὰς δυνάμεις, τὴν αὐτοουσίωσιν, αὐτοζώωσιν, αὐτοθέωσιν, ὧν τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα, καὶ ὄντα καὶ ζῶντα καὶ ἔνθεα καὶ ἔστι καὶ λέγεται καὶ τἄλλα ὡσαύτως. Ἀκούεις πῶς ὁ διδάσκαλος ἑαυτὸν ἐξηγεῖται; Μᾶλλον δὲ πρὸ τοῦ τὰς λύσεις ἐπεξεργάσασθαι ταύτας, καὶ τὰ ῥηθέντα συνεπτυγμένως ἀναπτύξαι καθόσον οἷόν τε, σκεψώμεθα, πῶς τὰ τῆς ἡνωμένης τε καὶ διακεκριμένης θεολογίας καὶ τὰ περὶ θείων ὀνομάτων παρ' αὐτοῦ θεολογούμενα ταυτὶ καὶ γραφόμενα οὐχ ἁπλῶς μόνον οὐδὲ πολλάκις τότε λεγόμενα παρ' αὐτοῦ τε καὶ τῶν θεοφόρων ἀποστόλων καὶ διδασκάλων, ἀλλὰ καὶ μυριόλεκτα καινοτέρῳ τινὶ τρόπῳ προσεῖπε, τὴν μεθ' ὑπερβολῆς περὶ αὐτὰ συχνὴν σπουδὴν καὶ C μελέτην αὐτοῦ τε καὶ τῶν κατ' αὐτὸν καὶ ὑπὲρ αὐτὸν θεολόγων ἐμφαίνων, καὶ ὡσανεὶ καὶ ταῦτα στοιχεῖα καὶ βάθρα τινὰ δεικνὺς τοῦ μυστηρίου τῆς καθ' ἡμᾶς πίστεως, καὶ θεολογίας συνεκτικὰς σχεδὸν πάσης ὅση τε κατὰ τὸ τῆς μεγάλης καὶ ἀρχικῆς φημι Τριάδος ἡνωμένον ἅμα καὶ διακεκριμένον, καὶ ὅση κατὰ τὸ τῆς διὰ σαρκὸς οἰκονομίας Χριστοῦ μυστήριον, ὅθεν οἱ τοῦ Πνεύματος μερισμοὶ καὶ αἱ θεῖαι καὶ ὑπερφυεῖς ἐνέργειαι, καὶ ἡ δαψιλὴς χύσις τῶν χαρισμάτων κατά τε τὴν ἄνωθεν διὰ τοῦ θαυμαστοῦ Ἰωὴλ θείαν ἐπαγγελίαν μετὰ ταῦτα φήσαντος, *Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα*, καὶ τὴν ἑσύστερον ἀποστολήν τε καὶ φανέρωσιν παρὰ Χριστοῦ τῶν αὐτῶν αὖθις κατὰ τὸν ἑαυτοῦ λόγον, *Ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγε-* D *λίαν τοῦ Πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους*, πρὸς τοὺς ἰδίους μαθητὰς εἰρηκότος. Οἷς τοσοῦτό γε δέουσιν οἱ πολλοὶ τῶν νῦν ὄντων ἀξίως προσέχειν, καὶ τὰ θεῖα θεοπρεπῶς αὐτόθεν παρὰ τῶν εἰδότων καὶ διδάσκεσθαι καὶ μανθάνειν, ὡς καὶ σιωπᾶσθαι τὰ μυριόλεκτα ταῦτα δεῖν εἶναι, καὶ τοὺς τῆς ἀληθινῆς ζωῆς καὶ τοῦ αὐτόφωτος καὶ τῆς αὐτοσοφίας ἐν σκότει που κατακρύπτεσθαι λόγους τολμηρῶς, φεῦ! παρ' ἐνίων εἰρῆσθαι, μὴ εἰδότων, κατὰ τὸ εἰρημένον, μήτε ἃ λέγουσι, μήτε περὶ τίνων βεβαιοῦνται. Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανίωμεν αὖθις, τῆς ἑρμηνείας ἀκουσόμενοι τοῦ θείου διδασκάλου. Ἵνα τὰ μυριόλεκτα, φησί, καὶ νῦν ἀναλάβωμεν, οὐκ ἔστιν ἐναντίον αὐ-

Digitized by Google

τοδύναμιν, αὐτοζωὴν εἰπεῖν τὸν Θεὸν καὶ τῆς αὐτοζωῆς ἢ εἰρήνης ἢ δυνάμεως ὑποστάτην. Τὰ μὲν γὰρ ἐκ τῶν ὄντων, καὶ μάλιστα ἐκ τῶν πρώτως ὄντων, ὡς αἴτιος πάντων τῶν ὄντων λέγεται· αὐτοδύναμις, φησὶ καὶ αὐτοζωὴ, καὶ ὅσα τοιαῦτα παρ' ἡμῶν ὁ Θεὸς λέγεται, ὡς αἴτιος τῆς ὑπάρξεως αὐτῶν τούτων, ἀλλὰ δὴ καὶ τῶν δευτέρως καὶ καταχρηστικῶς λεγομένων ὄντων πάντων, δηλαδὴ τῶν κτισμάτων· αὐτὸς καὶ γὰρ μόνος ἐστὶν ὑποστάτης καὶ αἴτιος τῶν τε εἰρημένων μετοχῶν, δηλονότι τῶν δυνάμεων καὶ ἐνεργειῶν ἑαυτοῦ, καὶ τῶν μετεχόντων αὐτῶν, λέγω δὴ τῶν κτισμάτων· τὰ δὲ, φησὶ, λέγεται, ὡς ὑπὲρ πάντα καὶ τὰ πρώτως ὄντα ὑπερὼν ὑπερουσίως.

Τῆς αὐτοζωῆς δὲ, φησὶ, πάλιν καὶ αὐτοειρήνης καὶ αὐτοδυνάμεως ὁ Θεὸς λέγεται ὑποστάτης, ὡς μὴ ταῦτα κατ' οὐσίαν ὤν, ἀλλ' ὑπὲρ ταῦτα μᾶλλον. Διὰ τοῦτο καὶ γὰρ τὸ *ὑπερὼν ὑπερουσίως* προσέθηκεν, ἵν' ἐμφήνῃ ὡς αὐτὰ μὲν ὄντα καθ' ὕπαρξιν, αὐτὸς δὲ ὑπερὼν μᾶλλον ὡς ὑπερούσιος καὶ αἴτιος αὐτῶν. Ζητεῖς δὲ, φησὶ, τί ὅλως λέγομεν ὑπάρχειν τὸ αὐτοεῖναι ἢ τὴν αὐτοζωὴν, καὶ ὅσα λέγομεν ἐκ Θεοῦ πρώτως ὑφεστηκέναι, καὶ ἀπολύτως καὶ ἀρχηγικῶς εἶναι; Τὸ δὲ, φαμὲν, οὐκ ἔστιν ἀγκύλον, τουτέστιν αἰνιγματῶδές τι καὶ δυσνόητον, ἀλλ' εὐθὺ, καὶ ἁπλῆν τὴν διασάφησιν ἔχον. Ταῦτα δέ φησιν ὁ διδάσκαλος, δεικνὺς ὅτι τὸ μὲν εἶναι καὶ ἡ ζωὴ τῶν κτισμάτων πάντων, τῶν τε λογικῶν φημι καὶ ἀλόγων, καὶ δὴ καὶ τῶν ἄλλων, οὐκ ἀπολελυμένως ἔχει τὸ εἶναι, καὶ ζωὴ εἶναι, ὡς ἢ πρότερα ταῦτα ἐκείνων εἶναι, ὧν ἐστιν ὕπαρξις καὶ ζωὴ δηλονότι, ἢ δύνασθαι καὶ ὁπωσοῦν ἄνευ ἐκείνων τῶν δεκτικῶν αὐτῶν ὅλως καθ' ἑαυτὰ ζῆν ἢ ὑπάρχειν. Αἱ δὲ τοῦ Θεοῦ δωρεαὶ καὶ φυσικαὶ δυνάμεις ἐκεῖναι αἱ ὑπ' αὐτοῦ πρὸς μετοχὴν τῶν κτισμάτων προβαλλόμεναι οὐ συμπεπλεγμένως τινὶ τῶν μετεχόντων κτισμάτων ἔχουσι τὸ εἶναι, ἀλλ' ἐν τῇ οὐσίᾳ τοῦ Θεοῦ θεωρούμεναι, καθάπερ εἴρηται, ἀπολελυμένως εἰσὶν ὡς φυσικὰ τοῦ Θεοῦ· ἀναίτια γὰρ ὥσπερ ἡ φύσις τοῦ Θεοῦ, ὡς δὲ καὶ τὰ αὐτοῦ φυσικὰ κατὰ τὸ τελικὸν λεγόμενον αἴτιον.

Οὐκ ἀπολύτως δὲ μόνον, ἀλλὰ καὶ ἀρχηγικῶς ἔχουσι τὸ εἶναι καὶ τὴν ζωὴν, καὶ τἄλλα πάντα ὅσαπέρ εἰσιν, ὡς τὴν ἀρχὴν ἔχοντα πάντων τῶν ὄντων καὶ ζώντων, μεθεκτῶς ἐχόντων ἐκεῖθεν ταῦτα, καὶ ἀποτελεσμάτων ὄντων τῶν θείων ἐνεργειῶν, καὶ δυνάμεων ἐκείνων. Τούτων καὶ γὰρ τῶν μετοχῶν, ὁ αὐτὸς οὗτός φησι θεολόγος, τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα, καὶ ὄντα καὶ ζῶντα καὶ ἔνθεα καὶ ἔστι καὶ λέγεται, καὶ τἄλλα ὡσαύτως· ὡσὰν εἰ καὶ τὴν οἰκίαν ἀποτέλεσμά τις λέγοι τῆς τοῦ οἰκοδόμου τέχνης, καὶ τὸν πρίονα καὶ τὸ τρύπανον τῆς χαλκευτικῆς ὡσαύτως, τῶν μὲν τεχνῶν δηλονότι προϋπαρχουσῶν ἐν τῇ διανοίᾳ καὶ τῇ ψυχῇ τοῦ τεχνίτου, προαγομένων δ' ἐκεῖθεν εἰς ἐνέργειαν, ὁπόταν ἐκεῖνος δηλαδὴ βουληθῇ, κἂν τῇ ἐνεργείᾳ δὲ καὶ μετὰ τὸ ἀποτέλεσμα παρὰ τῷ κεκτημένῳ τεχνίτῃ μενουσῶν οὐδὲν ἧττον ὡσαύτως.

Ἡ μέντοι θέωσις καὶ ἡ κατ' αὐτὴν μετοχὴ καὶ A ὑπὲρ τὰ προῤῥηθέντα. Αὐτῆς γὰρ ἐκείνης τῆς τοῦ Θεοῦ φυσικῆς ἐνεργείας καὶ τῆς χάριτος μετέχουσιν ἐναργῶς οἱ κεχαριτωμένοι τε καὶ τεθεωμένοι· διὸ καὶ ὁμοίωσις εἴρηται Θεοῦ τοῦτο, καὶ θεοὶ χρηματίζουσι κατ' αὐτήν γε τὴν χάριν οἱ Πνεύματι καταξιούμενοι τῆς ὑπερφυοῦς δωρεᾶς ταύτης, καὶ πρὸς ἑτέρους ἐκπέμπουσι ταύτην, ὡς καὶ ὁ μέγας φησὶ περὶ τούτου Βασίλειος ἔν γε τοῖς ὑπὲρ τοῦ θείου Πνεύματος λόγοις. Αἱ πνευματοφόροι ψυχαὶ γὰρ, φησὶν, ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται Πνεύματι, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσι. Καὶ αὖθις· Ὡς ἡ δύναμις τοῦ ὁρᾷν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν τῇ κεκαθαρμένῃ ψυχῇ· καὶ ὡς ἡ τέχνη B ἐν τῷ ἀναλαβόντι αὐτὴν, οὕτως ἡ χάρις τοῦ Πνεύματος ἐν τῷ ὑποδεξαμένῳ, ἀεὶ μὲν συμπαροῦσα, οὐχὶ δὲ καὶ ἐνεργοῦσα διηνεκῶς. Εἶτα κατασκευάζων αὖθις τὸν λόγον ὁ ἱερὸς Διονύσιος, καὶ δεικνὺς πῶς εὐθύς ἐστι καὶ ἁπλῆν τὴν διασάφησιν ἔχων, ἐπάγει· Οὐ γὰρ οὐσίαν τινὰ θείαν ἢ ἀγγελικὴν εἶναί φαμεν τὸ αὐτοεῖναι, τοῦ εἶναι τὰ ὄντα πάντα αἰτίαν· μόνον γὰρ τοῦ εἶναι πάντα τὰ ὄντα, καὶ αὐτὸ τὸ εἶναι, τὸ ὑπερούσιον, ἀρχὴ, οὐσία καὶ αἴτιον· καὶ ὅσα τούτων ἑξῆς ἤδη φθάσας ὁ διδάσκαλος εἴρηκε, τὸν μὲν Ἑλληνικὸν ὕθλον τῆς πολυθεΐας μετὰ τῶν Πλατωνικῶν ἰδεῶν ἐκβάλλων, καὶ πρός γε ἔτι τὴν τῶν Ἀγγελιτῶν λεγομένην αἵρεσιν, ἀγγέλοις τὸ πᾶν ὡς θεοῖς τισιν ὑποκεῖσθαι ληροῦσαν, ἣν γὰρ τότε καὶ ταῦτα, τὸ δ' αἴτιον πάντων καὶ ὑπερούσιον καὶ ἀμέθεκτον C τοῦ Θεοῦ κατ' αὐτό γε τοῦτο διδάσκων, καὶ τὸ μεθεκτὸν ὡσαύτως αὐτοῦ καὶ κοινωνικὸν ἐν τοῖς κτίσμασι, κατὰ τὰς ἐκδεδομένας ἐξ αὐτοῦ προνοητικὰς δυνάμεις καὶ αὐτομετοχὰς ταύτας, ὧν, φησὶ, τὰ ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα καὶ ὄντα καὶ ζῶντα καὶ ἔνθεα καὶ ἔστι καὶ λέγεται καὶ τἄλλα ὡσαύτως. Οὕτω κάλλιστα καὶ σοφώτατα τῷ ὄντι τοὺς ἑαυτοῦ λόγους ὁ σοφὸς ἐξηγήσατό τε καὶ ἐδίδαξεν αὐτόν τε τὸν ἐρωτῶντα, καὶ μετ' ἐκεῖνον πάντας τοὺς βουλομένους, ὡς μηδέν τι γρῖφον καὶ ἀσαφὲς αὐτοῖς ἐναφεῖναι μηδοπωστιοῦν, κατὰ τὸν ἑαυτοῦ λόγον.

Σὺ δὲ τί φῄς, ὦ ἑταῖρε, πρὸς ταῦτα; Συνῆκας νῦν γοῦν καὶ αὐτὸς τῶν σαφῶς τε καὶ εὐθέως, ὡς αὐτός φησι, παρ' αὐτοῦ λεγομένων, ἢ τὸ *ὑπέστησε* καὶ τὸ *ὑπεστήσατο* καὶ τὸν ὑποστάτην ἀντὶ τοῦ D κτίστου λαμβάνων, καὶ αὖθις περὶ τὰ αὐτὰ στρέφῃ καὶ ὡς περὶ κτισμάτων ἔτι διανοῇ τῶν θείων τούτων καὶ ὑψηλῶν ὀνομάτων τοῦ Θεοῦ καὶ πραγμάτων, καὶ οὐδ' αὐτὸ τοῦτό σε πρὸς εὐλάβειαν ἄγει τέως, τὸ καὶ ὀνόματα τοῦ πάντων Θεοῦ ταυτὶ προσειρῆσθαι, καὶ ὅτι καὶ θεῖα ταῦτα συνεχῶς ἀποκαλεῖ, καὶ τοὺς περὶ αὐτὸν λόγους ὕμνους πολλάκις ὁ μέγας οὗτος προσαγορεύει, καὶ οὐχ ἁπλῶς ὕμνους, ἀλλ' ὕμνους αὐτῆς τῆς μακαρίας καὶ πάντων κυρίας Τριάδος, ἣν μόνην ὡς δεσπότιν ἡ ξύμπασα τῶν νοητῶν τε καὶ αἰσθητῶν ὑμνεῖ κτίσις;

Τί δὲ τῶν κτιστῶν αὐτὸ καθ' ἑαυτὸ θεῖόν τις ἤκουσε καλούμενον, εἰπέ μοι, ποτὲ καὶ θεοπρεπῶς ἀνυμνούμενον πρὸς τῶν ἱερῶν θεολόγων; Πῶς δὲ καὶ κτισμάτων κατὰ σὲ τὰ ὄντα μετέχοντα, ὄντα καὶ ζῶντα,

Digitized by Google

καὶ ἔνθεά εἰσι, μὴ πρότερον ὄντα δηλαδὴ τοιαῦτα A καὶ κατ' ἐκεῖνα, καὶ Θεοῦ λέγονται μετέχειν; Καὶ εἰ ταῦθ' οὕτως ἔχει, ταυτὸν ἄρα Θεός τε καὶ κτίσις, καὶ οὐδέν τι τὸ μέσον ποιητοῦ τε καὶ ποιήματος οὐδαμῶς, ἀλλὰ φύρδην καὶ ἀναμὶξ ταῦτα κἀκεῖνα, καὶ πάντα ὁμοῦ χρήματα. Τί δ' ὅτι καὶ προνοίας καὶ ἀγαθότητος ὁ διδάσκαλος τὰς θείας δυνάμεις ταύτας φησὶ, προϊούσας ἐκ τοῦ ὑπερουσίου, καὶ μετεχομένας ὑπὸ τῶν ὄντων; Τίς ἄρα τῶν τῆς θείας αὐλῆς τὴν πρόνοιαν καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ χρονικῶς ἠργμένην καὶ κτιστὴν εἶπέ ποτε; Τίνος δὲ καὶ αἱ ἀνωτάτω καὶ περὶ Θεὸν δυνάμεις μετέχουσαι κτιστοῦ εἰσι, καὶ σοφαὶ καὶ πάλαι καὶ ἀγαθαί εἰσι, καὶ ζῶσι θείαν ζωήν; Τί ταῦτα τῶν ἰδεῶν ἀποδέουσιν ἐκείνων, ἃς ὁ τοῦ Ἀρίστωνος Ἑλληνικῶς τε καὶ μυθικῶς ἀναπλάσας ἐξέθετο; μᾶλλον δ' ἀκριβῶς γε B σκοποῦντι καὶ χείρονα πολλῷ τῶν ἐκείνου τὰ διαθρυλλούμενα νῦν. Ἐκεῖνος μὲν γὰρ καὶ ὁ σὺν αὐτῷ τε καὶ μετ' αὐτὸν Σταγειρίτης, καὶ ὅσοι δηλαδὴ τῆς στοᾶς, εἰ καὶ κατ' ἄλλο πρὸς ἀλλήλους διαφέρονται περὶ τούτου, ἀλλ' οὐδέποτε τὸ αὐτοὸν, ἢ τὴν αὐτοζωὴν, ἢ τὸ αὐτόφως ἔξωθεν ἔχειν τὸ εἶναι καὶ ζῆν καὶ φῶς εἶναι εἰρήκασιν· ἀλλ' αὐτὰ ταῦτα καθ' ὕπαρξιν, εἰ καὶ κακῶς γε καὶ ἀθέως εἶπον εἶναι, ἅπερ καὶ λέγεται, καὶ μάλισθ' ὁ προρρηθεὶς καθηγητὴς τῶν τοιούτων· καὶ τούτῳ διαφέρειν τῶν λεγομένων ὄντων τε καὶ ζώντων καὶ φωτεινῶν τὸ αὐτοὸν, καὶ τὴν αὐτοζωὴν, καὶ τὸ αὐτόφως, τῷ μὴ ἄλλο τι πρότερον ὄντα μεθεκτῶς ἑτέρωθεν ἔχειν τοῦθ' ὅπερ λέγονται εἶναι, ἀλλ' ἐκ τούτων μᾶλλον κατὰ μετοχὴν ἔχειν τὰ ὄντα τὸ εἶναι, καὶ τὰ ζῶντα τὸ ζῆν καὶ τὰ C φωτὸς δεκτικὰ τὸ φῶς.

Ἀλλ' ἀκούσωμεν αὖθις διὰ βραχέων καὶ τῶν ἑξῆς περὶ τούτων αὐτῶν τοῦ σοφοῦ φημι διδασκάλου λόγων. Καὶ τί δεῖ, φησὶ, περὶ τούτων λέγειν, ὅπου γέ τινες τῶν θείων ἡμῶν ἱεροδιδασκάλων καὶ τῆς αὐτοαγαθότητος καὶ θεότητος ὑποστάτην φασὶ τὸν ὑπεράγαθον καὶ ὑπέρθεον, αὐτοαγαθότητα καὶ θεότητα λέγοντες εἶναι τὴν ἀγαθοποιὸν καὶ θεοποιὸν ἐκ Θεοῦ προεληλυθυῖαν δωρεάν; Καὶ μετ' ὀλίγον· Καὶ ὅσα ἄλλα κατὰ τὸν αὐτὸν εἴρηται καὶ εἰρήσεται τρόπον, δηλοῦντα προνοίας καὶ ἀγαθότητας, μετεχομένας ὑπὸ τῶν ὄντων, ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊούσας ἀφθόνῳ χύσει καὶ ὑπερβλυζούσας, ἵν' ὁ ῥιθῶς ὁ πάντων αἴτιος ἐπέκεινα ᾖ πάντων, καὶ τὸ ὑπερούσιον καὶ ὑπερφυὲς πάντῃ ὑπερέχῃ τῶν καθ' ὁποίαν D ποτὲ οὐσίαν καὶ φύσιν.

Καὶ ταῦτα μὲν ὁ μέγας οὑτοσὶ θεολόγος, ὁ τῶν πρώτων μετὰ Χριστὸν θεολόγων καὶ ἀποστόλων διδάσκαλος αὖθις.

Σὺ δὲ, φίλων ἀνδρῶν ἄριστε, πρὸς σὲ γὰρ καὶ αὖθις, ὥσπερ ἀρχόμενον, οὕτω δὴ καὶ τελευτῶντα χρὴ βλέψαι τὸν λόγον· σὺ τοιγαροῦν ἤδη πυνθάνου καὶ μάνθανε παρ' αὐτῶν ἐκείνων φημὶ τῶν ἀντιλεγόντων, τί πρὸς ταῦτά φασι, καὶ μάλιστα πρὸς τὴν οἱονεὶ συγκεφαλαίωσιν ταυτηνὶ τῶν διὰ μακρῶν εἰρημένων πολλαχοῦ τῷ μεγάλῳ. Ἰδοὺ γὰρ, εἰπὲ, καὶ τῆς αὐτοαγαθότητος καὶ θεότητος αὐτῆς τὸν ὑπεράγαθον καὶ ὑπέρθεον ἀκούομεν ὡσαύτως ὑποστάτην λεγόμενον παρὰ τούτου τοῦ θεολόγου, μᾶλλον δ' οὐ παρ' ἑαυτοῦ πρώτου λαβὼν ἔχει ταυτηνὶ τὴν θεολογίαν, ὡς αὐτός φησιν οὗτος, ἀλλὰ παρὰ τῶν τὰ ἱερὰ ταυτὶ διδαξάντων αὐτὸν, τῶν πρώτων, ὅπερ ἔφην, ἀποστόλων καὶ θεολόγων. Τί οὖν ἐροῦμεν, ἢ τί φήσομεν, εἰπὲ, τέως πρὸς τοῦτο· καὶ αὐτῆς τῆς ἑαυτοῦ θεότητος κτίστην τὸν Θεὸν νομιοῦμεν, καὶ Θεὸν πρεσβεύσομεν, ἠργμένην χρονικῶς ἔχοντα τὴν θεότητα καὶ κτιστήν; Καὶ πότερον, ἐπερώτησον αὖθις, καὶ αὐτὸς ὁ Θεὸς, ὃν φατε κτιστὴν ἔχειν τὴν θεότητα, κτιστός ἐστι σὺν αὐτῇ, ἢ αὐτὸς μὲν ἔστιν ἄκτιστος ὡς Θεὸς, τὴν δὲ θεότητα κέκτηται κτιστήν; Καὶ εἰ μὲν τὸ πρότερον εἴποιεν, αὐτόθεν τὴν ἀσέβειαν καὶ τὸ ἄθεον δείξουσι, τῇ κτίσει φανερῶς λατρεύοντες παρὰ τὸν κτίσαντα, καὶ ἕνα μὲν προσκυνοῦντες, ἀλλὰ κτιστὸν, καθάπερ εἴδωλόν τι καὶ χειρῶν ἔργον, ἢ τῶν κτιστῶν τούτων τοῦ κόσμου καὶ λυομένων στοιχείων ἕν· εἰ δὲ τὸν μὲν Θεὸν λέγοιεν ἄκτιστον εἶναι, μηδὲ γὰρ ἀνασχέσθαι ποτ' ἂν αὐτοὺς κτίσματί γε λατρεύειν, τὴν δὲ θεότητα αὐτοῦ κτιστὴν πεφυκέναι, ἀπὸ γὰρ τῆς ἐνεργείας ἑκάστην οὐσίαν χαρακτηρίζεσθαί φασιν οἱ θεολόγοι Πατέρες, τῆς μὲν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστὴν δὲ τῆς κτιστῆς, πρὸς τῷ ἀδυνάτῳ τοιγαροῦν, ὅπερ ἔφην, ἰδοὺ καὶ θεῶν ὄχλος καὶ ἡ κάκιστ' ἀπολουμένη τῆς πολυθεΐας εἴσοδος αὖθις, καὶ ὁ Ἑλληνικὸς λῆρος, ὃν αὐτοὶ συκοφαντοῦντες ἐγράψαντο πάλαι τὴν Χριστοῦ Ἐκκλησίαν.

Δύο καὶ γὰρ, ὥς φασι, δοξάζουσι καὶ προσκυνοῦσιν, οὐ καθ' ὑπόστασιν διαφέροντα. Κατὰ τοῦτον καὶ γὰρ τὸν λόγον οὐ δύο μόνον, ἀλλὰ καὶ τρία προσκυνοῦμεν οἱ εὐσεβεῖς, τὸν Πατέρα δηλονότι καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλὰ δύο προσκυνοῦσιν, ὅπερ εἴπομεν, κατ' αὐτὸ τὸ εἶναι, ἀλλήλων ἀπεξενωμένα καὶ διαφέροντα. Τοῦτο καὶ γάρ ἐστι τὸ κτιστὸν καὶ τὸ ἄκτιστον. Καὶ πρὸς τῇ πολυαρχίᾳ οὐδὲ τὴν τῆς κτίσεως λατρείαν, ὡς αὐτοί φασιν αὖθις, ἐκφεύγουσι, τὸν μὲν Θεὸν πρεσβεύοντες ἄκτιστον, κτιστὴν δὲ τὴν αὐτοῦ θεότητα. Εἰ δὲ λέγοιεν μὴ ταύτην εἶναι τοῦ Θεοῦ τὴν θεότητα, εἶναι γὰρ κἀκείνην φαμὲν ἄκτιστον, ἄλλην δὲ ταύτην εἶναι θεότητα κτίσμα τε Θεοῦ πεφυκυῖαν, καὶ πρὸς Θεοῦ χορηγουμένην τοῖς δεομένοις, πάλιν οὕτως ἐπερωτάσθωσαν· Καὶ εἰ οὐκ ἔστιν ἡ θεότης ἐκείνη, σοφώτατοι, τοῦ Θεοῦ ὡς θεότης, κατὰ τὸν ὑμέτερον λόγον, ἀλλ' ὡς κτίσμα, τίνος ἄλλου Θεοῦ ἐστιν; Ἢ καὶ Θεὸν ἕτερον ἔκτισεν ὁ πάντων Θεὸς, κἀκείνου τοῦ κτιστοῦ Θεοῦ ἐστι καὶ ἡ κτιστὴ αὕτη θεότης. Καὶ εἰ τοῦθ' οὕτως ἔχει, ἰδοὺ κατ' αὐτοὺς πάλιν οὐκ Ἄρειος καὶ Εὐνόμιος μόνον καὶ ἡ κατ' ἐκείνους ἐπανίσταται πονηρὰ συμμορία, ἀλλὰ καὶ θεῶν ἅμα καὶ θεοτήτων εἰσάγεται σμῆνος, ἀκτίστων τε καὶ κτιστῶν. Καίτοι γε εἰ κατ' αὐτὴν ταύτην, εἰπὲ, τὴν θεότητα τῷ Θεῷ ἑνοῦνται οἱ ἅγιοι, αὕτη γάρ ἐστιν ἡ θέωσις, τὸ θεοποιὸν δῶρον, ἣν δὴ καὶ αὐτοθεότητα καὶ θεαρχίαν ἀλλαχοῦ φησι καὶ ἀγαθαρχίαν ὁ αὐτὸς θεολόγος, ἧς οἱ θεούμενοι μετέχοντες, κατὰ χάριν ἑνοῦνται τῷ μόνῳ κατὰ φύσιν Θεῷ, καὶ θείας κοινωνοὶ φύσεως, καὶ θεοὶ, κατὰ τὸ εἰρημένον, ἀποτε-

Digitized by Google

λοῦνται, πῶς διὰ τοῦ ἀλλοτρίου τούτου τῆς φύσεως A τοῦ Θεοῦ, λέγω δὴ τῆς κτιστῆς θεότητος, ἡ θέωσις καὶ ἡ ἕνωσις τοῦ Θεοῦ γίνεται, ἣν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ δι' ἄφατον φιλανθρωπίαν γενόμενος ἄνθρωπος, ὑπὲρ πάντα καὶ λόγον καὶ νοῦν ἐν ἁγίῳ Πνεύματι τοῖς ἀνθρώποις ὑπερφυῶς ἐχαρίσατο;

Διὸ δήπου καὶ Κύριλλος ὁ σοφὸς θεολόγος ὑπὸ τοῦ Ἑρμείου ἐρωτηθεὶς, ὅπως ἂν ἐν ἡμῖν ἡ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ κατὰ τὸν αὐτοῦ λόγον ἐνοίκησις νοοῖτο καὶ πράττοιτο, μία τις οὖσα καὶ οὐ διάφορος, Οὐδ' ὁπωστιοῦν, φησὶν, ἔν γε τούτῳ τὸ χαλεπὸν ἢ δυσέφικτον. Πῶς γὰρ ἂν ἑτέρως ἢ διὰ τοῦ ἁγίου Πνεύματος, θείων ἡμᾶς χαρισμάτων ἀναπιμπλάντος δι' ἑαυτοῦ, καὶ τῆς ἀῤῥήτου φύσεως κοινωνοὺς ἀποφαίνοντος; Καὶ πάλιν ἐν τοῖς *Θησαυροῖς* ὁ αὐτὸς, Ἀλλ' εἴπερ ἦν, φησὶν, οὕτως ποίημα κατὰ τὴν τῶν B ἑτεροδόξων μανίαν τὸ Πνεῦμα τὸ ἅγιον, πῶς ὅλην ἔχει τοῦ Θεοῦ τὴν ἐνέργειαν; Οὐ γὰρ δή τις τοσοῦτον, οἶμαι, τοῦ σωφρονεῖν ὀρθῶς ἐκδήσεται, ὥς τολμῆσαι τοῦτο καὶ μόνον εἰπεῖν, τὴν θείαν οὐσίαν δι' ὀργάνων τινῶν ἔξωθεν εἰς τὸ εἶναι παρενεχθέντων διακονεῖσθαι πρὸς ἐνέργειαν τὴν ἐξ αὐτῆς διαβαίνουσαν φυσικῶς πρός τινα τῶν ἐπιτηδείων πρὸς τὸ λαβεῖν.

Ἄλλως τε, εἰ μὲν κτίσμα κατὰ τὸν ἡμέτερον λόγον, οὐκ ἂν εἴη θεότης· εἰ δὲ θεότης, καὶ θέωσις, καὶ θεαρχία, κατὰ τὸν ἱερὸν τῶν θεολόγων χορὸν, πῶς κτίσμα; μακρὰν γὰρ κατὰ πολὺ ταῦτα, καὶ κατὰ διάμετρον ὡς εἰπεῖν ἀλλήλοις ἀντίκειται. Ἢ οὐκ ἀκούεις, εἰπὲ, τοῦ ἐν θεολογίᾳ θαυμαστοῦ Γρη- C γορίου πρὸς τοὺς κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ πάλαι κακῶς φάσκοντας λέγοντος, Εἰ μὲν Θεὸς, οὐ κτίσμα· μεθ' ἡμῶν γὰρ τὸ κτίσμα τῶν οὐ θεῶν· εἰ κτίσμα δὲ, οὐ Θεός· ἤρξατο γὰρ χρονικῶς. Ὁ δὲ ἤρξατο, ἦν ὅτε οὐκ ἦν. Οὗ δὲ πρεσβύτερον τὸ οὐκ ἦν, τοῦτο οὐ κυρίως ὄν· τὸ δὲ μὴ κυρίως ὂν πῶς Θεός; Ἀλλ' ἐκεῖνοι Θεόν τε καὶ κτίσμα μηδέν τι διαφέρειν φασὶν ἄντικρυς, τὸν κακῶς ἀπολούμενον, μᾶλλον δὲ καὶ κάκιστ' ἀπολωλότα, φεῦ! δι' ὧν λέγουσι παρεισάγοντες αὖθις, καθάπερ ἔφην, Ἀκίνδυνον μετὰ τῶν μακρῶν ἐκείνων ληρημάτων, καὶ τῆς πολυθέου πλάνης, καὶ τῆς τῶν κτισμάτων λατρείας ἅπερ ἐκεῖνος ἑαυτὸν συνιστὰς δῆθεν τῶν εὐσεβῶν κατεψεύσατο, εἰ καὶ λαθεῖν τοπαράπαν οὐκ ἴσχυσεν. Ἆρ' οὐ γελᾷς ἢ καταγελᾷς μᾶλλον, ἵν' οἰκειότερον εἴπω, καὶ σὺ, φίλων ἀνδρῶν εὐγενέστατε, τῆς τοσαύτης ἀβελτηρίας ἢ παρανοίας, ἢ ἀναισθησίας, ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ, τῶν ἐκεῖνα φρονεῖν τε καὶ λέγειν προῃρημένων; Ἐμοὶ δὲ καὶ θαυμάζειν ἰσχυρῶς ἔπεισι, πῶς οὐ καὶ λίθοις αὐτοὺς ἢ τῶν εὐσεβῶν πληθὺς καθάπερ οἱ τοὺς περὶ Δαθὰν καὶ Ἀβειρὼν πάλαι ξένῳ πυρὶ θυμιάσαντας βάλλουσιν, ἢ καὶ κατὰ κρημνῶν που ῥίπτουσι, θεότητα καὶ Θεὸν κτιστὸν μετὰ τὴν σωτήριον τοῦ Χριστοῦ σάρκωσιν καὶ τὸ πάθος καὶ τὴν ἀνάστασιν, δι' ὧν ἡ τῶν κτισμάτων λατρεία καθάπαξ ἐκ μέσου γέγονε, τῇ Ἐκκλησίᾳ Χριστοῦ κακῶς παρεισάγειν ἐθέλοντες. Ἕως γὰρ ἂν θεότητα κτιστὴν ὅλως λέγωσιν, οὔτε τὴν πολυθεΐαν, οὔτε μὴν τὴν τοῦ κτίσματος λατρείαν ἐκφεύξονται, κἂν τὴν Σταγειρίτου καὶ Χρυσίππου φιλοσοφίαν, κἂν τὴν τῶν οὐρανίων σωμάτων παρὰ πάντα τὸν βίον ἐκμελετήσωσι φύσιν καὶ κίνησιν. Ἡμεῖς δ' ἕνα παρὰ τῶν ἁλιέων τε καὶ σκυτέων μαθητῶν τε καὶ διαδόχων διδαχθέντες Θεὸν, ἄκτιστον τρισυπόστατόν τε καὶ παντοδύναμον, μίαν τε καὶ ἄκτιστον ἔχοντα τὴν θεότητα, αὐτὸν ὡς ποιητὴν προσκυνοῦμεν πάντων ὁρατῶν τε καὶ ἀοράτων μόνον, μηδὲν ἐν ἑαυτῷ κτιστὸν φέροντα, τὴν δὲ κτίσιν πᾶσαν ὡς δούλην κάτω τιθέντα μετὰ τῶν προσκυνούντων ἡμῶν, κἂν καὶ τῇ στάσει καὶ τάξει τῶν ὑλικῶν ἡμῶν ὡς ἄϋλά τινα διαφέρωσιν.

---

# Ο ΔΕΥΤΕΡΟΣ ΛΟΓΟΣ.

Ἐπεὶ δὲ τὰς περὶ τὰς λέξεις καθ' ἡμῶν συκοφαντίας τε καὶ καινοτομίας καὶ τὰς οὐ καλὰς περὶ θεότητος καὶ τῶν αὐτῆς θεολόγων ἐξηγήσεις ἐκείνων διὰ βραχέων ἐξηλέγξαμεν καθόσον οἷόν τε, φέρε τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου τοῦ λάμψαντος ἐπ' D ὄρους Δεσπότου, κατὰ τὸν προφητικὸν καὶ ἡμεῖς ὁδηγούμενοι λόγον, καὶ πρὸς τὸ δεύτερον καὶ τελευταῖον ἔλθωμεν ἤδη τῶν ζητημάτων. Τί οὖν ἐστι τὸ περὶ τοῦ Δεσποτικοῦ τούτου φωτὸς τῆς ἀπροσίτου φημὶ καὶ φυσικῆς τῆς θεότητος δόξης, τῆς ἀϊδίου καὶ συνανάρχου ταύτης λαμπρότητος καὶ ἀνεσπέρου ἀκτῖνος, παρ' ἐκείνων, ὡς ἔφης, λεγόμενον; Εἰ μὲν οὐκ εἶδον ἐκεῖνο τὸ φῶς, φησὶ, τοῖς ὀφθαλμοῖς ἐπὶ τοῦ ὄρους οἱ τότε Χριστῷ συναναβάντες ἀπόστολοι, θεῖόν τε καὶ ἄκτιστον ἦν πάντως, καὶ διὰ τοῦτο κἀκεῖνοι, σῶμα καὶ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες, ἐκεῖνο προσβλέψαι τοπαράπαν οὐκ ἐδυνήθησαν. Πῶς γὰρ ἂν τῇ κτιστῇ φύσει τὸ ἄκτιστον φῶς χωρητὸν ὅλως γένοιτο; *Οὐ γὰρ μὴ ἴδοι ἄνθρωπος τὸ πρόσωπόν μου*, πρὸς Μωϋσῆν ὁ Θεός φησι πάλαι, *καὶ ζήσεται*. Καὶ ὁ εὐαγγελιστὴς ὕστερον αὖθις, *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*. Εἰ δὲ εἶδον ἐκεῖνο τὸ φῶς, φησὶν, αὐτόθεν εὐθὺς δῆλον ὅτι καὶ κτιστὸν, καὶ γινόμενον καὶ ἀπογινόμενον, ἠργμένον τε καὶ πεπαυμένον· τοιαῦτα γὰρ τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς πρὸς ὅρασιν ὑποπίπτοντα· ἐπεὶ καὶ τῷ ὁμοίῳ καθορᾶσθαι τὰ ὅμοια πέφυκεν.

Ἰοὺ ἰού. Καὶ τίς ποτ' ἄρ' ἐκεῖνός ἐστιν, ὁ καὶ νῦν τὰ καινὰ ταυτὶ λέγων, καὶ πρὸς τοὺς ἐπ' ὄρους ὑψηλοῦ, τῆς Ἐκκλησίας φημὶ, λαμπρᾷ τῇ φωνῇ κηρυττομένους εὐαγγελικοὺς λόγους, τοὺς εἰς πᾶσαν γῆν, ἀποστολικῶς εἰπεῖν, ἐξελθόντας, καὶ τὰ πέρατα τῆς οἰκουμένης ἀστραπῆς δίκην, ἢ μᾶλλον ἀκτίνων ἡλιακῶν φάναι, πάλαι διαδραμόντας, ἀμφιβόλως οὑτωσὶ καὶ ἀμαθῶς διακείμενος; Εἰ γὰρ ἐξ ὑπερβορέων τε καὶ τῶν πρὸς ἀνίσχοντα ἥλιον, ἢ καὶ τῶν τὰς Βρεττανικὰς νήσους, καὶ δὴ καὶ τὸν ἑσπέριον προσοικούντων ὠκεανὸν, ἄρτι πρὸς ἡμᾶς τε καὶ τὴν

Digitized by Google

καθ' ἡμᾶς οἰκουμένην ἀφῖκται, οὐδ' οὕτω μέντ' ἂν τοῦ παγκοσμίου σεισμοῦ, καὶ τῆς οἰκουμενικῆς μεταθέσεως καὶ τῆς βροντῆς ἐκείνης τῶν εὐαγγελικῶν φωνῶν ἀνήκοος ἦν. Ἐνεπλήσθη καὶ γάρ, κατὰ τὸν μέγαν εἰπεῖν Ἡσαΐαν, ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Διὸ δήπου καὶ νῦν μὲν ὁ αὐτὸς ἐντεῦθεν ἐκ προσώπου φησὶ τοῦ Θεοῦ, *Ἐπ' ὄρους ὑψηλοῦ ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών. Ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ, ὑψώσατε, μὴ φοβεῖσθε.* Νῦν δ' ἐκεῖθεν ὁ θεοπάτωρ αὖθις Δαβίδ, αὐτὸς δι' ἑαυτοῦ τὸ παγκόσμιον τουτὶ φθάσας προκαταγγέλλει λαμπρῶς κήρυγμα, *Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη*, βοῶν, *ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης.* Ἀλλὰ μὴ τῶν προσηλύτων τίς ἐστιν ἐκεῖνος, καὶ τὸν οὐδὸν ἄρτι πρώτως τῆς ἱερᾶς αὐλῆς ὑπερβεβηκὼς καὶ νῦν ἀρχόμενος εἰς μυστήρια παρακύπτειν Θεοῦ, καὶ οὔπω τῶν θείων φωνῶν ἐκείνων ἐθάς, οὐδ' ἐν ἕξει τῶν ἱερῶν γεγονώς, καὶ διὰ τοῦτο τὰς τῆς ψυχῆς αἰσθήσεις ἀγυμνάστους ἔχων ἔτι πρός γε τὴν τῶν τοιούτων ἀντίληψιν; τοῦτο γάρ πως καὶ μᾶλλον ἔοικεν. Εἰ δέ γε τούτων φαίης οὐδέτερον, λείπεται πάντως ἑκόντα κακουργεῖν ἐθέλειν ἐκεῖνον, καὶ τῷ φωτὶ τὸ σκότος τολμηρῶς ἐπεισάγειν, τῷ φωτί φημι τῷ ἀληθινῷ, κατὰ τὸν τῆς βροντῆς υἱὸν φάναι, τῷ φωτίζοντι πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· καθὰ δήπου καὶ Βαρλαὰμ ὁ ἐκ Καλαβρίας ἐκεῖνος τοὺς ἐκ τῆς μωρᾶς τῶν Ἑλλήνων σοφίας ὡρμημένους ἑαυτοῦ λόγους τοῖς θεοπνεύστοις λόγοις ἀντιστῆσαι τολμήσας, καὶ μωρὸς ὄντως καὶ ἀνόητος ὑπὸ τῆς Χριστοῦ Ἐκκλησίας ἐν παγκοσμίῳ θεάτρῳ σχεδὸν ἐξελεγχθεὶς σὺν ἐκείνοις, καὶ τὴν μὲν ἐπιστροφήν, καὶ τὴν τῶν ὀρθῶν λόγων ὁμολογίαν προσποιησάμενος τέως πρὸς ὥραν, φόβῳ τε καὶ ἀπορίᾳ τοῦ κακῶς πρὸς τὴν ἀλήθειαν ἀντιλέγειν ἔχειν, πρὸς δὲ τὸν ἴδιον ἔμετον καὶ τὴν παλαιάν τε καὶ σύντροφον κακοδοξίαν ἐπανιὼν αἰσχρῶς αὖθις.

Ἀλλὰ τούς γε τοιούτους τίς ἂν ὠφελήσειέ ποτε λόγος; ποία δ' ἂν καὶ φωνὴ καθικέσθαι δυνηθείη τῆς ψυχῆς, καὶ τῶν ὤτων ἐκείνων, πρὸς τὸν τῆς ἀληθείας λόγον ἑκοντὶ βεβυσμένων, κἀκεῖνα μονονοὺ πρὸς ἐκεῖνον λεγόντων· Ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ φωνὴν ὀργάνων σου οὐκ ἀκούσομαι; Ἀλλ' ἐγὼ σὴν χάριν, ὦ φίλος, οὐδὲ περὶ τούτων αὖθις λέγειν ὀκνήσω· οὐκ ἐγὼ δὲ μᾶλλον αὐτός, οὐδὲ γὰρ τὰ παρ' ἐμαυτοῦ καὶ νῦν ἔρχομαι λέξων, ἀλλὰ τὰς εὐαγγελικάς τε καὶ πνευματικὰς σάλπιγγας ἐκείνας αὖθις ἀνακινήσων, τὸ μέγα τε καὶ ἀξιάκουστον συνήθως ἐνηχούσας μέλος τοῖς ὦτα κεκτημένοις, ὥστε ἀκούειν κατὰ τοὺς ἐκεῖθεν ἱερούς φημι χρησμοὺς καὶ τὰς ὑποθήκας. *Ὁ ἔχων*, καὶ γάρ φησιν, *ὦτα ἀκούειν ἀκουέτω.*

Ἀλλὰ πρὶν τῶν εὐαγγελικῶν τε καὶ δεσποτικῶν ἅψασθαι καὶ ἡμᾶς περὶ τούτου λέγων, ἐκεῖνο τὸν προσδιαλεγόμενον, ἢ διδάσκοντα ταῦτα ἡδέως αὐτὸς ἂν ἐροίμην· Εἰ πᾶν, ὦ θαυμάσιε, τὸ μὴ ὁρώμενον

A ἄκτιστον κατὰ σέ, οὐδὲ ὁ ἄγγελος, ὡς ἂν αὐτὸς εἴποις, οὐδὲ ὁ δαίμων κτιστοί· ἀόρατοι γάρ· τί δὲ καὶ ὁ σὸς νοῦς καὶ ἡ ψυχή; ἆρ' ἐπειδὴ καὶ ταῦτα μὴ πέφυκας ὁρᾶν, ἄκτιστα δι' αὐτὸ τοῦτο καὶ θεῖα; Καὶ πῶς οἷόν τε; εἰ μὴ καὶ τούτων βούλοιο τῆς δημιουργίας τὸν Θεὸν ἴσως αὐτὸς ἀφελέσθαι, μᾶλλον δὲ τὰ τοῦ Θεοῦ κτίσματα τῆς τοσαύτης ἀποστερῆσαι τιμῆς· οὐδὲ γὰρ μικρὸν αὐτοῖς οὐδὲ τοῦτο ἤπου σὺ καὶ τὴν ἐν ἀρχῇ τῆς κτίσεως σύν γε τῷ οὐρανῷ ποιηθεῖσαν γῆν ἄκτιστον κατὰ πολλὴν τὴν ἐξουσίαν ἐρεῖς, ἐπειδὴ καὶ ταύτην ἀόρατον ὁ τὰ περὶ τῆς τοῦ κόσμου φιλοσοφῶν γενέσεως ἔφησεν εἶναι τὸ τηνικαῦτα, εἴτε διὰ τὸ ἐπιπολάζον αὐτῇ σὺν τῇ ἀβύσσῳ σκότος τῇ τοῦ φωτὸς ἀπουσίᾳ, εἴτε διὰ τὸ μηδέπω τὸν ὁρῶντα παρεῖναι, ἢ καὶ δι' ἄμφω ταῦτα. Ἀλλ' B οὐχ οὕτως ἔχει, σοφώτατε· οὔτε γὰρ ἄν τις ἄκτιστά ποτε τὰ Θεοῦ δηλαδὴ κτίσματα σωφρονῶν εἴποι, οὔτε πᾶν τὸ τοῖς ἀνθρωπίνοις ὀφθαλμοῖς ἀόρατον πάντως καὶ ἄκτιστον· ἀλλὰ τὸ μὲν ἄκτιστον καὶ ἀόρατον ἐξ ἀνάγκης, ἐπειδὴ καὶ θεῖον, καὶ ὑπὲρ πᾶσαν γενητὸν φύσιν ἄντικρυς· οὐ πᾶν δὲ τὸ ἀόρατον ἤδη καὶ ἄκτιστον· οὐδὲ γὰρ ἀντιστρέφει· ἐπειδὴ καὶ τῶν κτισμάτων ἀόρατα πολλὰ πρὸς τοῖς εἰρημένοις κατὰ διαφόρους αἰτίας καὶ λόγους.

Ἀλλὰ ταῦτα μὲν ὥστε καὶ τὴν δοκοῦσαν λογικὴν ταύτην ἔνστασιν καὶ τὴν σοφὴν τοῦ λόγου διαίρεσιν καὶ τὸν θεμέλιον σαθρὰ καὶ οὐκ ἀληθεύοντα δεῖξαι· ἐπὶ δὲ τὸ προκείμενον ἐπανέλθωμεν αὖθις.

Ματθαῖος μὲν οὖν ὁ τῶν ἄλλων μαθητῶν πρῶτος C ἐπὶ τὴν εὐαγγελικὴν ἐλθὼν συγγραφὴν πρὸς τὴν ἐξήγησιν ἥκων τοῦ μυστηρίου τῆς θείας μεταμορφώσεως, ἓξ πρότερον ἡμέραις τὸν αἴτιον τοῦ μυστηρίου Χριστὸν αὐτὸν ἐκεῖνον εἰσάγει περὶ ἑαυτοῦ τοῖς ἀποστόλοις οὕτω προλέγοντα· *Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστώτες, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.* Ἤκουσας; *Ἕως ἂν ἴδωσι*, φησὶ Χριστὸς ὁ ἀψευδὴς προφήτης καὶ Δεσπότης τοῦ μέλλοντος. Οὐκοῦν εἶδον· οὐδὲ γὰρ ἔνι τὴν αὐτοαλήθειαν τὴν ἐπαγγελίαν ποτὲ διαψεύσασθαι· οὔκουν οὐδὲ διέψευσται. *Καὶ μεθ' ἡμέρας*, φησίν, *ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν* D *κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.* Προσέσχες; *Ἔμπροσθεν αὐτῶν*, φησί, *μετεμορφώθη*· ἵνα τὴν δόξαν τῆς μεταμορφώσεως αὐτοῦ πάντως ἴδωσιν, οὐχ ἵνα μὴ ἴδωσι· τί γὰρ ἔδει καὶ προλέγειν καὶ τῶν ἄλλων αὐτοὺς μαθητῶν ἐκλέγεσθαι, καὶ κατ' ἰδίαν ἀναφέρειν εἰς τὸ ὄρος καὶ μεταμορφοῦσθαι ἔμπροσθεν αὐτῶν, εἴ γε τὴν τῆς μεταμορφώσεως ἑαυτοῦ δόξαν ἀποκρύπτειν αὐτῶν ἔμελλεν; Ὅθεν δῆλον, ὅτι καὶ εἶδον τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι, καὶ τοῦ φρικτοῦ μυστηρίου κεκοινωνήκασι τῆς θεότητος, δι' ὃ καὶ πάντα ἐκεῖνα γέγονεν. *Ὅθεν καὶ καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους*, φησὶν αὖθις ὁ αὐτὸς εὐαγγελιστής, *ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν*

Digitized by Google

*ἀναστῇ*, ὥστ' ἐκεῖνα καὶ σιωπᾷν αὐτοὺς καὶ λέγειν αὖθις κατὰ καιρὸν ὁ Δεσπότης ἐπέταττεν· οὐχ ἅπερ οὐκ εἶδον· πῶς γάρ; ἀλλ' *ἅπερ*, ὡς αὐτός φησιν, *ἑωράκασι*. *Μηδενὶ* γάρ, φησίν, *εἴπητε τὸ ὅραμα*.

Μάρκος δ' ὁ μετ' ἐκεῖνον εὐαγγελιστής τε καὶ μαθητὴς δεύτερος καὶ μάρτυς τῶν Χριστοῦ παθημάτων, ἀκούσωμεν οἷα θεολογεῖ περὶ τούτου τοῦ μυστηρίου· ἀξιόπιστος καὶ γὰρ καὶ αὐτὸς οὐ μόνον διὰ τὰ προλεχθέντα, ἀλλὰ καὶ διὰ τὸ Πέτρου δηλαδὴ τοῦ κορυφαίου τῶν μαθητῶν καὶ υἱὸς καὶ ὁμιλητὴς χρηματίσαι, καὶ παρ' ἐκείνου ταῦτά τε καὶ εὐαγγελικὴν κατὰ μέρος ἀκροάσασθαι πᾶσαν ἱστορίαν, οὐ παρ' ἑτέρων, ὡς αὐτός φησιν ἐκεῖνος, μεμαθηκότος, ἀλλ' αὐτόπτου τῆς μεγάλης τοῦ Θεοῦ δόξης ἐν Θαβωρίῳ γεγενημένου. Οὐ γὰρ *σεσοφισμένοις*, φησί, *μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς αὐτοῦ μεγαλειότητος*. Ἔχεις ἰδοὺ καὶ Πέτρον τὸν κορυφαῖον ἐπόπτην ἑαυτὸν μαρτυροῦντα τοῦ μυστηρίου· μᾶλλον δ' οὐκ αὐτὸν ἑαυτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἐκεῖ τότε συνόντας. Οὐ γὰρ εἶπεν *ἐπόπτης*, ἀλλ' *ἐπόπται γενηθέντες τῆς αὐτοῦ μεγαλειότητος, σὺν αὐτῷ*, φησίν, *ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ*, καὶ τοὺς συμφοιτητάς τε καὶ φίλους ἑαυτῷ κἀν τοῖς λόγοις συνάπτων, καὶ τὰ ἴσα κἀκείνοις προσμαρτυρῶν. Κἀκεῖνα μὲν ὁ θεσπέσιος Πέτρος.

Ἀκούσωμεν δὲ ἤδη καὶ τοῦ θαυμαστοῦ Μάρκου, οἷα τοῦ Πατρὸς ἐκμαθὼν τούτου καὶ διδασκάλου, τοὺς πιστοὺς περὶ αὐτῶν, φημὶ, τούτων γράφων εὐαγγελίζεται. Τὸν Χριστὸν τοιγαροῦν κατὰ τὸν ἱερὸν Ματθαῖον καὶ αὐτὸς οὗτος εἰσάγων, τὰ αὐτὰ τοῖς προλαβοῦσι περὶ τῆς αὐτοῦ θείας μεταμορφώσεως δείκνυσι τοῖς δώδεκα προαναφωνοῦντα. *Ἀμὴν* γάρ, φησίν, *λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει*· καὶ ὅτι *Μεθ' ἡμέρας ἓξ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν*.

Εἶτ' ἐκεῖθεν προϊὼν μετὰ τὴν ἐξήγησιν δηλονότι τοῦ μυστηρίου, *Καταβαινόντων δὲ αὐτῶν*, φησίν, *ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται, ἃ εἶδον, εἰ μὴ ὅταν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ*. Δι' ὧν οὐ τοῖς προῤῥηθεῖσι τῷ σοφῷ Ματθαίῳ μόνον, ὅπερ ἔφην, φαίνεται καὶ οὗτος κατὰ πάντα συνᾴδων, ἀλλὰ καὶ πλέον τι πρὸς τῷ τέλει τοῦ λόγου γενόμενος, διὰ τῆς τοῦ *εἶδον* λέξεως τὸ ζητούμενον αὖθις ἡμῖν σαφηνίζει. Ὁ γὰρ Ματθαῖος ὅραμα γράφων εἶπεν ἐκεῖ, *Καταβαινόντων* γάρ, φησίν, *ἐκ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων, Μηδενὶ εἴπητε τὸ ὅραμα*. Τοῦτ' αὐτὸ καὶ ὁ Μάρκος διηγούμενος ὁ καλὸς, *Καταβαινόντων δὲ αὐτῶν*, φησίν, *ἀπὸ τοῦ ὄρους, διεστείλατο αὐτοῖς, ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον*, αὐτὸ τοῦτο δεικνὺς καὶ τὸν φίλον Ματθαῖον διὰ τοῦ ὁράματος εἰρηκότα, καὶ σαφηνίζων ἔτι πλέον τὴν λέξιν καὶ τὴν πρόῤῥησιν ἐκείνην τοῦ Χριστοῦ, καὶ διὰ τῆς ταυτότητος ὡσανεὶ τῆς λέξεως ταυτησὶ

A δεικνὺς ἀληθῶς ἐκβᾶσαν εἰς ἔργον, καὶ πᾶσαν ἡντινοῦν περιαιρῶν ὥσπερ ἐπίτηδες πρόφασιν τῶν ἀμφιβαλλόντων. Ἀλλὰ καὶ τρίτος ἐπὶ τούτοις μάρτυς Λουκᾶς ὁ σοφὸς ἡμῖν εἰσαγέσθω, οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ, Παῦλός φησιν, ὁ μετὰ Χριστὸν καθηγητὴς τούτου, ἵν' ἐπὶ δύο ἢ τριῶν μαρτύρων σταθῇ πᾶν ῥῆμα, κατὰ τὸ εἰρημένον. Τούτῳ καὶ γὰρ ἂν ἁρμόσειε μάλιστα τῷ σεπτῷ μυστηρίῳ καὶ τοῖς ὑπὲρ αὐτοῦ λόγοις τὸ πᾶν λέγεσθαι ῥῆμα, καὶ περὶ αὐτοῦ τούτου καὶ τὸν νομοθέτην Μωσῆν οἶμαι προειπεῖν μᾶλλον ἐκεῖνο, κατὰ τὸν πολὺν τὰ θεῖα Μάξιμον φάναι.

Διὰ τοῦ μυστηρίου τῆς μεταμορφώσεως καὶ γάρ, φησὶν οὗτος, ἐκπαιδευόμεθα πᾶν εἶδος θεολογίας ἀσφαλοῦς, καὶ τοὺς τῶν μυστηρίων πνευματικοὺς B λόγους. Τί οὖν φησι καὶ ὁ προῤῥηθεὶς εὐαγγελιστής τε καὶ διδάσκαλος οὗτος; Τὸν Δεσπότην καὶ αὐτὸς εἰσαγαγὼν κατ' ἐκείνους τὰ αὐτὰ τοῖς ἀποστόλοις προειπόντα περὶ τοῦ μυστηρίου, *Λέγω γὰρ ὑμῖν*, φησίν, *ἀληθῶς, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ*. Εἶτα τῆς ἱστορίας αὐτῷ προϊούσης τῆς περὶ τοῦ παντὸς μυστηρίου, *Ὁ δὲ Πέτρος*, φησί, *καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ. Διαγρηγορήσαντες δὲ, εἶδον τὴν δόξαν αὐτοῦ*.

Ἆρα κἂν νῦν ἀκούει τῆς συμφωνίας καὶ τοῦ φθόγγου τῶν λαμπρῶν τουτωνὶ τοῦ Εὐαγγελίου κηρύκων τοῦ εἰς πᾶσαν τὴν γῆν ἐξελθόντος καὶ τῆς οἰκουμέ- C νης διαλαβόντος τὰ πέρατα, ὅστις ποτέ ἐστιν ὁ τὴν ἐπ' ἐκείνοις ἀμφιβολίαν ὑποκρινόμενος καὶ λέγων, ὅτι εἰ μὲν οὐχ ἑωράθη τοῖς ἀποστόλοις τὸ τοῦ Χριστοῦ φῶς, πάντως καὶ ἄκτιστον· εἰ δ' ἐκείνοις ἑωράθη, δῆλον ὅτι κτιστόν; Ἆρα συνῆκε τῶν ἁπλῶς οὕτω καὶ πυκνῶς παρὰ τῶν εὐαγγελιστῶν λεγομένων, μᾶλλον δ' αὐτὸν τὸν Δεσπότην καὶ διδάσκαλον εἰσαγόντων πρὸς τοὺς μαθητὰς νῦν μὲν, *Ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον*, λέγοντα, *ἐν τῇ ἑαυτοῦ καὶ τῇ τοῦ Πατρὸς βασιλείᾳ*· μία καὶ γὰρ ἀμφοῖν αὕτη καθὰ δήπου καὶ ἡ θεότης· νῦν δ' αὖθις, *Καταβαινόντων αὐτῶν ἐκ τοῦ ὄρους* τὸν αὐτὸν ὡσαύτως αὐτοῖς ἐντελλόμενον *μηδενὶ τῶν πάντων ἐξειπεῖν ἅπερ εἶδον, ἕως ἂν αὐτὸς ἐκ νεκρῶν ἀναστῇ*, καὶ ὅτι *Μετεμορφώθη ἔμπροσθεν* D *αὐτῶν*, καὶ, *Διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν αὐτοῦ*, παρὰ τῶν αὐτῶν εὐαγγελιστῶν ὡσαύτως λεγόμενον, ἢ καὶ ἔτι τῶν σαλπίγγων καὶ τῶν λαμπάδων καὶ τῶν φωνῶν καὶ τῶν ἤχων ἰσχυροτέρων ἡμῖν δεῖται ἐξ οὐρανοῦ, ἃ καὶ τὸν βαρυκάρδιον Ἰσραὴλ νομοθετούμενον ἐπὶ τοῦ Σιναίου ἐξίστη πάλαι, καὶ φρίκης τε καὶ δέους ἐδείκνυ μεστὸν, ὡς καὶ πρὸς τὸν μέγαν δημαγωγόν τε καὶ νομοθέτην λέγειν ἐκεῖνον, *Λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλήτω πρὸς ἡμᾶς ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν;* Μᾶλλον δ' ἐκείνους μὲν, καίτοι γε καὶ τοιούτους ὄντας, καὶ αἱ σκιαὶ μόναι καὶ τῶν σαλπίγγων καὶ τῶν φωνῶν τῶν πνευματικῶν τούτων οἱ τύποι οὕτω φρονῆσαί τε καὶ διατεθῆναι πρὸς τὰ ὁρώμενα τότε παρέπεισαν· οἱ δὲ, τὴν τῶν πραγμά-

Digitized by Google

τῶν ἰδόντες ἀλήθειαν, καὶ αὐτοῦ καταξιωθέντες τοῦ πάλαι προκηρυχθέντος ἀμυδρῶς παρ' ἐκείνοις Πνεύματος, οὐδ' αὐτῆς τῆς φωνῆς ἀκούουσι, μέγα τι καὶ διάτορον παρόντος καὶ περιηχοῦντος τοῦ Πνεύματος, καὶ πυκνῶς τε καὶ σφοδρῶς τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἐνηχοῦντος, ὥσπερ οἱ ἐν κατοχῇ τινι καὶ κάρῳ, ἢ καὶ ἰλιγγιῶντες καὶ ναυτιῶντες καὶ στρεφόμενοι τὸν ἐγκέφαλον. Τὸ γὰρ, *Ἕως ἴδωσι*, καθάπερ ἔφθην εἰπὼν, καὶ τὸ, *εἶδον*, πολλάκις ἀκούοντες, τῶν θείων ἐκείνων φωνῶν καὶ τῶν ἤχων ὑγιῶς αἰσθέσθαι τοπαράπαν οὐ δύνανται, ἀλλ' ἀντ' ἐκείνων ἀμφισβητοῦντες μᾶλλον τὸ, Εἰ μὲν εἶδον, καὶ τὸ, Εἰ δὲ οὐκ εἶδον, γελοίως εἰσάγουσι, καίτοι γε τῶν ἱερῶν ἐκείνων φωνῶν οἱ εὐαγγελισταί τε καὶ κήρυκες, Χριστὸς δ' αὐτὸς εἰπεῖν οἰκειότερον μᾶλλον ὁ τούτων Δεσπότης τε καὶ διδάσκαλος, οὐχ ὅτι γε μόνον εἶδον, ἀλλὰ καὶ τὸ τί εἶδον καθόσον οἷόν τε ἦν μαθεῖν ἐκείνους τε καὶ ἡμᾶς τοὺς μετ' ἐκείνους ἐδίδαξε.

Βασιλείαν καὶ γὰρ ἑαυτοῦ τε καὶ τοῦ ἰδίου Πατρὸς τὴν δόξαν τῆς ἑαυτοῦ μεταμορφώσεως, καθάπερ ἠκούσαμεν ἤδη, προέφησε. Βασιλείαν δὲ Πατρὸς καὶ Υἱοῦ, ταυτὸ δ' εἰπεῖν καὶ ἁγίου Πνεύματος, κτιστὴν εἶναι καὶ ὑπὸ χρόνον, τίς ἂν εἴποι ποτὲ, μὴ καὶ τὸν Υἱὸν αὐτὸν σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι κτίσμα λέγων Ἑλληνικῶς καὶ ἀθέως;

Ἀλλὰ καὶ ταῦθ' οὕτως εἰπών τε καὶ διδάξας σαφῶς, οὐδὲ μέχρι τούτου τὴν περὶ τοῦ μυστηρίου διδασκαλίαν ἵστησι· μᾶλλον δὲ καὶ φθάσας ἄνωθεν ἐναργέστερον ὑποδείκνυσι, τίς ἡ ἐν δυνάμει ὀφθησομένη μετὰ μικρὸν τοῖς μαθηταῖς αὐτοῦ τε καὶ τοῦ Πατρὸς βασιλεία, καὶ τί τὸ καινόν γε καὶ ἀηθὲς τοῦ ὁράματος. Προειπὼν καὶ γὰρ τὰ περὶ τοῦ ἰδίου σταυροῦ καὶ τοῦ θανάτου τε καὶ τῆς ἀναστάσεως, καὶ τοὺς μαθητὰς ἐπὶ τὰ ἴσα δι' ἑαυτοῦ προτρεψάμενος, καὶ δείξας ὡς οὐδὲν οὐδοπωστιοῦν ἄνθρωπος ὠφελεῖται, κἂν εἰ τὸν κόσμον ὅλον κερδήσῃ, ζημιωθεὶς τὴν ἰδίαν ψυχὴν, *Οὐδὲ ἔστι τι τῶν πάντων*, φησὶ, *τοπαράπαν αὐτοῖς ἰσοστάσιον*, μέμνηται ξυνημμένως τούτοις καὶ τῆς βασιλείας ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς, μεθ' ἧς ἐν τῷ μέλλοντι καθὸ Θεὸς ὑπ' ἀγγέλοις προπομποῖς τε καὶ δορυφόροις ἐλεύσεται, τὰς καθηκούσας ἀμοιβὰς, καὶ τὴν τῶν ἐπάθλων διανομὴν τοῖς διαθλοῦσι ταυτὶ ποιησόμενος. *Μέλλει καὶ γὰρ*, φησὶν, *ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.*

Ἐπεὶ δὲ λόγοις μὲν παρ' αὐτοῦ ταυτὶ πολλάκις ἦσαν ἀκηκοότες δηλαδὴ οἱ ἀπόστολοι, καὶ ὅτι τοῦ Θεοῦ ἐστιν ὁ Υἱὸς, ἴσος τε καὶ ὁμότιμος, *Πάντα μοι παρεδόθη*, καὶ γάρ φησιν, *ὑπὸ τοῦ Πατρός μου*· καὶ, *Οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ, καὶ τίς ἐστιν ὁ Πατὴρ, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι*· καὶ πάλιν· *Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα*· καὶ τὸ, *Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν*, καὶ ὅσα τοιαῦτα· καὶ περὶ βασιλείας δὲ καὶ τῶν ἐν τῷ μέλλοντι ἀμοιβῶν πλεῖστά τινα καὶ μέγιστα προειπὼν ὡσαύτως αὐτοῖς ἔφθη, *Ὑμεῖς*, καὶ γάρ φησιν,

A *οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ*, καὶ ὅτι *Λάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν, καὶ ἰσάγγελοι ἔσονται καὶ υἱοὶ Θεοῦ*, καὶ τὰ παραπλήσια τούτοις· ἐπεὶ τοίνυν λόγοις μὲν ἦσαν, ὅπερ εἶπον, ἱκανῶς ταῦτα μεμαθηκότες, πείρᾳ δὲ σχεδὸν οὐδαμῶς, εὐκαίρως ὁ Χριστὸς ἐνταῦθα μετὰ τὴν τῆς βασιλείας ἑαυτοῦ καὶ τὴν τῶν μελλουσῶν ἀμοιβῶν ἐκείνων ἐπαγγελίαν εὐθὺς ἐπιφέρει κατασκευάζων τὸν λόγον, *Ἀμὴν λέγω ὑμῖν, εἰσί τινες ὧδε ἑστῶτες, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ* B *αὐτοῦ*· ἢ, *Ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ*, κατὰ τοὺς ἄλλους εἰπεῖν εὐαγγελιστὰς, ἐπὶ τὴν πεῖραν αὐτὴν τῶν προρρηθέντων θείων καὶ ὑψηλῶν ἕλκων, καὶ τὴν θείαν τῆς ἐπαγγελθείσης αὐτοῦ βασιλείας. Διὸ καὶ τῶν μυστηρίων τῶν ὑπὲρ νοῦν τούτων θεοπρεπῶς ὑπ' αὐτοῦ μεθ' ἡμέρας ἓξ ἐνεργουμένων ἐπὶ τοῦ ὄρους, καὶ ὁ Πατὴρ ἄνωθεν βεβαιῶν τὰ τῷ Χριστῷ προρρηθέντα, καὶ δεικνὺς ὅτι καὶ Υἱός ἐστιν ὁμοούσιος αὐτῷ κατά γε τὰ αὐτοῖς παρ' αὐτοῦ λαληθέντα, καὶ ὡς αὕτη ἐστὶν ἡ προρρηθεῖσα παρ' αὐτοῦ βασιλεία ἧς αὐτοῖς ἐπηγγείλατο πρὸ βραχέος αὐτοῖς τὴν θέαν, καὶ ὅτι κοινή τε καὶ Πατρὸς αὕτη, καὶ διὰ ταῦτ' ἄρα καὶ τοῦ Πατρὸς εἴρηται καὶ τοῦ Υἱοῦ βασιλεία· C τούτοις τοιγαροῦν κἀκείνοις προσμαρτυρῶν Πνεύματι τῷ ἰδίῳ, ἐκ τῆς νεφέλης· καὶ γάρ φασι τῆς λαμπρᾶς ἐκείνης τὴν φωνὴν ἐκραγῆναι, σύμβολον τοῦ Πνεύματος οὔσης, *Οὗτός ἐστι*, φησὶν, *ὁ Υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε*· τά τε ἄλλα διακελευόμενος αὐτῷ πειθηνίους καὶ εἴκοντας ἡμᾶς ἑαυτοὺς παρέχειν, καὶ περὶ τὸ μυστήριον οἶμαι τοῦτο πρό γε τῶν ἄλλων, ὥστε μὴ τὰ τῶν ἀραχνῶν ὑφάσματα, κατὰ τὸν μέγαν εἰπεῖν Ἰωάννην, τοὺς ἀνθρωπίνους φημὶ λογισμοὺς καὶ τῆς μωρανθείσης πάλαι σοφίας τοὺς λόγους τῆς τοῦ Θεοῦ σοφίας τοῖς ὑπερφυέσι λόγοις τολμᾶν παρυφαίνειν, ὃ δὴ καὶ Βαρλαὰμ ὁ Λατῖνος, καθάπερ ἔφθην εἰπὼν, αἴσχιστα πεπονθὼς πρότερον ὤπται, ἀλλ' αὐτοῦ μόνου κατὰ τὴν ἄνωθεν ἀπόφασιν, διά τε τῶν αὐτοῦ θείων Εὐαγγε- D λίων καὶ τῶν τούτων ἐξηγητῶν τε καὶ θεολόγων ἀκούειν.

Ἤρκει μὲν οὖν καὶ ταῦτα, καὶ ἀρκούντως γε πάντως ἔχει τοῖς ἀκούειν δυναμένοις, καὶ συνιέναι τῶν εὐαγγελικῶν λόγων ἡ ἐκ περιουσίας αὕτη παντοδαπὴ δήλωσις, καὶ σαφήνεια τοῦ θείου τουτουῒ μυστηρίου. Ὅτι τε γὰρ εἶδον οἱ ἀπόστολοι τοῦτο, καὶ ὅτι θεῖον καὶ ἄκτιστον, καὶ ὅτι φυσικὴ δόξα καὶ βασιλεία Θεοῦ καὶ οἱονεί τις ἀρχὴ τῆς λαμπροτέρας τε καὶ τελεωτέρας σὺν Χριστῷ φανησομένης ἐν τῷ μέλλοντι θείας δόξης καὶ βασιλείας, ἧς αὐτῷ σύν γε τοῖς ἀποστόλοις καὶ ξύμπαντες ἁγίων ὁμοῦ καὶ δικαίων χοροὶ κοινωνήσουσι λάμποντες, κατὰ τὴν αὐτοῦ πρόρρησιν, ὡς ὁ ἥλιος, καὶ ἰσάγγελοι καὶ υἱοὶ Θεοῦ χρηματίζοντες, ὅπερ ἔφθην εἰπὼν, ἱκανῶς τε καὶ ἀξίως τοῦ σώζοντος λόγου πάντα δεδήλωται.



Digitized by Google

Ὡς ἂν δὲ καὶ τὰς δοκούσας πάσας λαβὰς καὶ τὸ περιττόν τε καὶ φιλότιμον τῆς τινων ἀδολεσχίας ἐκ περιουσίας καὶ αὖθις ἐγκόψωμεν. πρὸς δὲ καὶ τοὺς ἀγνοοῦντας πλατύτερον ὡς μάλιστα διδάξωμεν τὸ μυστήριον, ἵνα μὴ τοῖς ὑπ' ἐκείνων παραῤῥιπτουμένοις προσκόμμασι συμποδίζοιντο, τοὺς μετὰ τοὺς πρώτους εὐαγγελιστὰς καὶ ἀποστόλους Χριστοῦ μαθητὰς οὐδὲν ἧττον αὐτοῦ καὶ εὐαγγελιστὰς, τοὺς ἀρχηγοὺς, καὶ Πατέρας καὶ διδασκάλους μετὰ τοὺς πρώτους ἐκείνους Πατέρας τε καὶ διδασκάλους περὶ τῶν αὐτῶν ἐρωτήσωμεν, ὅπως μὴ δόξωμέν τισι τῶν πάντα ῥᾳδίων ἀφ' ἑαυτῶν τι παρεισάγειν τῷ λόγῳ, καὶ συνάγειν ἐκεῖνον δῆθεν, πρός γε τὸ τῆς γνώμης βουλόμενον. *Ἐπερώτησον*, καὶ γάρ φησι, *διὰ τοῦ θείου Δαβὶδ τὸ Πνεῦμα τὸ ἅγιον τὸν Πατέρα σου, καὶ ἀναγγελεῖ σοι· τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.*

Παρίτω τοιγαροῦν πρῶτος τῶν ἄλλων περὶ τούτων διδάξων ὁ μόνος ἀξιώτατος εἴπερ τις ἐξηγητὴς τῶν Εὐαγγελίων Χριστοῦ, τὸ χρυσοῦν τῆς Ἐκκλησίας φημὶ στόμα, Ἰωάννης ὁ κοινὸς τῆς οἰκουμένης διδάσκαλος. Οὗτος τοιγαροῦν τὸν εὐαγγελιστὴν Ματθαῖον ἡμῖν ἐξηγούμενος, ἀκούσωμεν οἷά φησι περὶ Χριστοῦ καὶ τῆς αὐτοῦ θείας μεταμορφώσεως. Ἐπειδὴ, φησὶ, πολλὰ περὶ κινδύνων διελέχθη καὶ θανάτου καὶ τοῦ πάθους τοῦ ἑαυτοῦ καὶ τῆς τῶν μαθητῶν σφαγῆς, καὶ τὰ αὐστηρὰ ἐπέταξεν ἐκεῖνα, καὶ τὰ μὲν ἦν ἐν τῷ παρόντι βίῳ καὶ ἐν χερσὶ, τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι καὶ προσδοκίαις, οἷον τὸ σώζειν ψυχὴν τοὺς ἀπολλύντας αὐτὴν, τὸ ἔρχεσθαι αὐτὸν ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, τὸ ἀποδιδόναι τὰ ἔπαθλα, βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει παραγίνεσθαι, ὡς ἐγχωροῦν ἦν αὐτοῖς μαθεῖν καὶ κατὰ τὸν παρόντα βίον, δείκνυσιν αὐτοῖς καὶ ἀποκαλύπτει ταύτην, ἵνα μήτε ἐπὶ τῷ οἰκείῳ θανάτῳ μήτε ἐπὶ τῷ τοῦ Δεσπότου λοιπὸν ἀλγῶσι. Κάτεχε δή μοι ταῦτα παρὰ σεαυτῷ ἀσφαλῶς καὶ μάλιστα τῶν ἄλλων ἐκεῖνα, τὸ, ὅτι βουλόμενος τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ ὅτι δεῖξαι θέλων τίς ποτέ ἐστιν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει παραγίνεσθαι ἐν τῇ δευτέρᾳ δηλονότι παρουσίᾳ αὐτοῦ, ὡς ἐγχωροῦν ἦν αὐτοῖς μαθεῖν κατὰ τὸν παρόντα βίον, ἀποκαλύπτει καὶ δείκνυσιν αὐτοῖς διὰ τῆς ἰδίας μεταμορφώσεως. Ἄκουε δή μοι καὶ πάλιν τῆς αὐτῆς χρυσῆς σάλπιγγος, μέγα τι καὶ θαυμαστὸν περὶ τῶν αὐτῶν διηχούσης, καὶ οἷον ἐξ οὐρανοῦ φθεγγομένης καὶ διδασκούσης τὰ θεῖα μυστήρια. Τὰ γὰρ τοῦ σοφοῦ Δαβὶδ ὁ σοφὸς ἐξηγούμενος, *Ἀνέβη*, φησὶν, *εἰς τὸ ὄρος ὁ Ἰησοῦς, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν.* Τί ἐστι *μετεμορφώθη*; *Παρήνοιξε*, λέγει, *ὀλίγον τῆς θεότητος, καὶ ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεὸν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος. Τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς ἡ χιών.* Ἠθέλησε δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ Εὐαγγελιστὴς, καὶ λέγει *ἔλαμψεν*. Ἔλαμψε πῶς; ἔλαμψε φαιδρῶς, εἰπέ μοι, καὶ πῶς; *Ὡς ὁ ἥλιος*. Ὡς ὁ ἥλιος λέγεις; Ναί. Διατί; Οὐκ ἔχω ἄλλο ἄστρον φαιδρὸν καὶ λευκόν. *Λευκὸς ἦν ὡς* A *χιών*. Οὐκ ἔχω ἄλλην ὕλην λευκοτέραν. Ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τοῦ ἑξῆς δείκνυται, *Καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί*. Εἰ δὲ ὡς ἥλιος ἔλαμψεν, οὐκ ἔπιπτον οἱ μαθηταί. Ἥλιον μὲν γὰρ ἔβλεπον καθ' ἡμέραν, καὶ οὐκ ἔπιπτον. Ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε καὶ ὑπὲρ τὴν χιόνα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα κατέπεσον.

Καὶ μετ' ὀλίγον· Ταῦτα εἶπον, φησὶν, ἵνα μὴ τῇ εὐτελείᾳ τῆς λέξεως ἐναπομείνῃς. Ἔδειξά σοι τὸ πτῶμα τῶν μαθητῶν. *Καὶ ἔπεσον χαμαί.* Ἐκαρώθησαν καὶ κατεχώννυντο. Ἀναστήσας ἤγειρεν αὐτοὺς, καὶ ἦσαν βεβαρημένοι. Τὴν γὰρ ὑπερβολὴν τῆς λαμπηδόνος οὐκ ἤνεγκαν, ἀλλὰ κάρος ἔλαβε τοὺς ὀφθαλμοὺς αὐτῶν.

B Οὕτω τὸ φαινόμενον φῶς ὑπὲρ ἥλιον ἦν. Ἔχεις ἐκ τοῦ κοινοῦ τούτου διδασκάλου σαφέστερον καὶ αὖθις μαθὼν, τί ἐστι τὸ *μετεμορφώθη*. Ὅτι παρήνοιξε, φησὶν, ὀλίγον τῆς θεότητος καὶ ἔδειξε τὸν ἐνοικοῦντα Θεὸν, ὅτι τε ὑπὲρ πᾶσαν αἰσθητοῦ φωτὸς φύσιν λαμπρότερον ἀπαραμίλλως ἦν ἐκεῖνο τὸ φῶς, καὶ ὅτι καὶ ὀφθαλμοῖς εἶδον αὐτὸ οἱ ἀπόστολοι, καὶ διὰ τοῦτο καὶ τῇ ὑπερβολῇ τῆς λαμπηδόνος κάρῳ ληφθέντες, ὡς ἤκουσας, ἔπεσον χαμαί. Ὅπερ ὁ μηδαμῶς ἐκείνῳ προσορῶν οὐκ ἂν πάθοι δηλονότι ποτέ.

Εἰ δ' ἐκεῖνοι λέγοιεν αὖθις, λέγουσι γὰρ ἀναισχυντοῦντες καὶ τοῦτο, ὅτι εἰ καὶ ἰδεῖν οὗτοι τοὺς ἀποστόλους τὸ φῶς ἔφησαν, ἀλλ' οὐχὶ καὶ ὀφθαλμοῖς εἶπον ἰδεῖν, ἀλλ' οὐδὲ φυσικὴν δόξαν, ὥσπερ ὑμεῖς, C ἀλλὰ δόξαν μόνον τοῦτό φασι, μάλιστα μὲν καὶ γελοῖόν πως καὶ ἀδιανόητον τοῦτο καθάπαξ ἐστὶ, κἀκείνης δήπου τοῖς παρὰ τοῦ Ἀκινδύνου καὶ τῶν περὶ αὐτὸν εἰρημένοις πολλάκις προσόμοιον, τὸ τὸν Θεὸν ἐνεργεῖν μὲν τὰ καὶ τὰ, κεκτῆσθαί γε μὴν ἐνέργειαν οὐδαμῶς· ὡς ἂν εἰ καὶ ὑπάρχειν αὐτὸν ἔλεγον ὑπάρξεως χωρὶς, καὶ λέγειν μὲν, λόγον δὲ μὴ κεκτῆσθαι. Ἀλλ' ὅμως τὸ τῶν θεολόγων τούτων ὑπερφυὲς ὁμοῦ καὶ φιλάνθρωπον οὐδὲ τοῦτον ἀπαξιώσει τὸν λόγον, καίτοι γε φαύλως οὕτω καὶ μικρῶς ἔχοντα, ἀλλὰ καὶ κατὰ λέξιν ὑποδείξουσι τὸ ζητούμενον, προφητικῶς, ὡς ἔοικεν, ἄνωθεν καὶ κατὰ μίμησιν ἀντικρὺς θείαν πρὸς τὸ σὸν συγκατιόντες μικρόψυχον ἢ φιλόνεικον, καὶ τὸ φυσικὸν ἑρμηνεύσουσι τῆς θεϊκῆς ταυτησὶ δόξης ἅμα καὶ τῆς λαμπρότητος. Οὐ μὴν D ἀλλὰ καὶ ὅτι προοίμιον τοῦτο τῆς μελλούσης αὐτοῦ βασιλείας καὶ δόξης καὶ πάλιν ἐροῦσι, καὶ τὸ πῶς εἶδον καθόσον οἷόν τε προσθήσουσιν, εἰ καὶ ἄῤῥητον ἀνθρώποις τοῦτο καὶ ἀνερμήνευτον αὖθις καθὸ πέφυκε.

Βασίλειος τοιγαροῦν ὁ τὸν νοῦν ἅμα καὶ τὴν σοφίαν ὑπερφυὴς, καὶ Πνεύματι τὰ τοιαῦτα καὶ παθὼν καὶ μαθὼν, οὕτω πώς φησι τοὺς ἱεροὺς τοῦ Δαβὶδ Ψαλμοὺς ἐξηγούμενος·

Εἶδον δὲ τὸ τοῦ Χριστοῦ κάλλος Πέτρος καὶ οἱ υἱοὶ τῆς βροντῆς ἐν τῷ ὄρει ὑπερλάμπον τὴν τοῦ ἡλίου λαμπρότητα, καὶ τὰ προοίμια τῆς ἐνδόξου αὐτοῦ παρουσίας ὀφθαλμοῖς παραλαβεῖν κατηξιώθησαν. Ἔχεις ὅπερ ἐζήτεις, μᾶλλον δ' ὥσπερ ἠπίστεις, καὶ παρὰ τοῦ μεγάλου τούτου μαθὼν αὐταῖς

Digitized by Google

φημι λέξεσιν, ὅτι καὶ ὀφθαλμοῖς εἶδον τὸ τῆς θεότητος Χριστοῦ φῶς οἱ ἀπόστολοι.

Ἄκουε δή μοι καὶ τῶν ἑξῆς παρὰ τῆς χρυσῆς γλώττης αὖθις πλατύτερον. Φησὶ καὶ γὰρ αὖθις περὶ ταύτης λογογραφῶν τῆς θείας μεταμορφώσεως· Ἐνταῦθα οὐ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας τῆς ἐνδόξου λέγει, ἀλλὰ περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως. Καὶ γὰρ ἐν τῷ ὄρει μεταμορφωθεὶς ὁ Σωτὴρ, μικρῶς πως ὡς δεσπότης ἔδειξε τοῖς ἑαυτοῦ μαθηταῖς τῆς ἀθεάτου θεϊκῆς ἑαυτοῦ βασιλείας τὴν δόξαν.

Ἀλλ' εὐθὺς ἐροῦσιν οἱ ἀπύλωτον καὶ θηρευτικὴν περιφέροντες γλῶσσαν· Καὶ εἰ ἀθέατος ἡ θεϊκὴ τοῦ Θεοῦ Λόγου δόξα, πῶς ὑπέδειξεν αὐτὴν τοῖς ἀποστόλοις; εἰ γὰρ ὁρατὴ, οὐκ ἀθέατος· εἰ δὲ ἀθέατος, οὐχ ὁρατή. Διὸ ἄκουε συνετῶς. Ἐνταῦθα ὁ δεσπότης Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπέδειξε τῆς ἀθεάτου θεϊκῆς αὐτοῦ βασιλείας τὴν δόξαν, καὶ οὐκ ἐπέδειξε· τουτέστι, μικρὸν παρήνοιξε τὴν θεότητα, καὶ οὐχὶ τελείως, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενος. Πληροφορῶν μὲν γὰρ, ἔδειξεν αὐτοῖς τῆς ἀθεάτου βασιλείας τὴν θεϊκὴν δόξαν, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἠδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες· φειδόμενος δὲ καὶ οὐχὶ φθονῶν, οὐκ ἔδειξεν αὐτοῖς τὴν πᾶσαν δόξαν, ἵνα μὴ σὺν τῇ ὁράσει καὶ τὴν ζωὴν ἀπολέσωσιν.

Ὁ δέ γε τῆς Ἐκκλησίας ὁμοῦ καὶ τῆς θεολογίας γενναῖος στρατηγός τε καὶ πρόμαχος, Ἀθανάσιος ὁ μέγας φημὶ, καθαπερεί τινι σφενδόνῃ τῷ τῆς ἀληθείας λόγῳ χρησάμενος, οὐ τρισὶ βολαῖς τε καὶ λίθοις, καθάπερ ὁ μέγας πάλαι Δαβὶδ, ἕνα τὸν ἀρχηγὸν τῶν ἀλλοφύλων κατὰ γῆς βάλλει καὶ νεκρὸν ἀπεργάζεται, ἀλλὰ τοὐναντίον μιᾷ βολῇ μᾶλλον τοὺς τρεῖς τῶν καθ' ἡμᾶς ἀλλοφύλων προστάτας, ὡς τοὺς τριστάτας πάλαι τῶν Αἰγυπτίων Μωσῆς τῷ σκότῳ καὶ τῷ βυθῷ τῆς δικαίας σιγῆς αὔθωρον αὐτοῖς λόγοις τε καὶ δόγμασι δίδωσιν. Ἀρειανοῖς καὶ γὰρ ὁ μέγας γράφων συνήθως, καὶ τὰ εἰωθότα διαλεγόμενος, Ἀπαθὴς, φησὶ, καὶ ἐν τοῖς παθήμασι τῆς σαρκὸς ὁ Χριστὸς, ὡς Θεὸς νικήσας θάνατον, ἀναστὰς τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἀνελθὼν εἰς τὸν οὐρανὸν ἐν δόξῃ φυσικῇ, καὶ οὐκ ἐν χάριτι ἐρχόμενος, ἐν τῇ ἑαυτοῦ θεότητι ἐμφανῶς ἐκλάμπων ἐκ τοῦ ἐκ Μαρίας σώματος αὐτοῦ τοῦ ἁγίου τὴν δόξαν τὴν ἀπόῤῥητον, ὡς καὶ ἐπὶ τοῦ ὄρους ἔδειξεν ἀπὸ μέρους, διδάσκων ἡμᾶς, ὅτι καὶ πρότερον καὶ νῦν ὁ αὐτός ἐστι. Καὶ μετ' ὀλίγον· Ἀναλλοίωτος ὢν ἀεὶ καὶ μεταβολὴν οὐδεμίαν ἔχων περὶ τὴν θεότητα. Καὶ πάλιν· Οὐδεὶς ἀνθρώπων δύναται Θεοῦ οὐσίαν γυμνὴν ἰδεῖν οὐδαμοῦ. Ὅθεν πρόδηλον ὅτι οὐ τὴν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλὰ τὴν δόξαν, ὡς καὶ περὶ τῶν ἀποστόλων γέγραπται, ὅτι διαγρηγορήσαντες ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ, εἶδον τὴν δόξαν αὐτοῦ.

Ἀρίθμει μοι σὺ νῦν τῶν καταβληθέντων τὰ πτώματα. Ἐκ γὰρ τῶν εἰρημένων καὶ ὁ μὴ λέγων φυσικὴν τοῦ Θεοῦ τὴν δόξαν, καὶ ὁ κτιστὴν αὐτὴν λέγων, ἅμα πεπτώκασι. Καὶ ὁ λέγων τὴν οὐσίαν εἶναι τοῦ Θεοῦ τὴν δόξαν ἐκείνην καὶ τὸ φῶς πέπτωκε· καὶ πρὸ τούτων τε καὶ σὺν τούτοις ὁ λέγων, ὅτι οὐκ

A εἶδον ἐκεῖνο τὸ θεῖον φῶς οἱ ἀπόστολοι. Διαγρηγορήσαντες γὰρ, σὺν τῷ Εὐαγγελιστῇ καὶ ὁ μέγας οὗτός φησιν, εἶδον τὴν δόξαν αὐτοῦ.

Ταῦτα καὶ Γρηγόριος ὁ τῆς θεολογίας καὶ σύμπνους ὁμοῦ καὶ ἐπώνυμος παρελθὼν διδασκέτω, καὶ δεικνύτω διὰ βραχέων τί ποτε ἄρα τὸ μυστήριον ἦν ἐκεῖνο τῆς θείας μεταμορφώσεως. Κατὰ γὰρ Ἀπολιναρίου τοῦ Σύρου πρὸς Κληδόνιον γράφων οὗτος, Εἴ τις ἀποτεθεῖσθαι νῦν, φησὶ, τὴν σάρκα λέγει καὶ γυμνὴν εἶναι τὴν θεότητα σώματος, ἀλλὰ μὴ μετὰ τοῦ προσλήμματος καὶ εἶναι καὶ ἥξειν, μὴ ἴδοι τὴν δόξαν τῆς παρουσίας. Ποῦ γὰρ τὸ σῶμα νῦν, εἰ μὴ μετὰ τοῦ προσλαβόντος; Ἀλλ' ἥξει μέν γε μετὰ τοῦ σώματος, ὡς ὁ ἐμὸς λόγος, τοιοῦτος δὲ, οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει ἢ παρεδείχθη, ὑπερ-

B νικώσης τὸ σαρκίον τῆς θεότητος. Καὶ αὖθις· Φῶς ἡ παραδειχθεῖσα θεότης ἐπὶ τοῦ ὄρους τοῖς μαθηταῖς, μικροῦ στεῤῥοτέρα καὶ ὄψεως.

Ἀκούεις καὶ τούτου τοῦ λαμπροῦ διδασκάλου, τοῖς πρὸ αὐτοῦ θεολόγοις ὁμοῦ καὶ εὐαγγελισταῖς συμφωνοῦντος; Τοιοῦτος ἥξει Χριστὸς, φησὶν, ἐπὶ τῆς μελλούσης αὐτοῦ παρουσίας, οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ Θαβωρίῳ, τὰς τῆς σαρκὸς φυσικὰς κινήσεις τε καὶ δυνάμεις ὑπερνικῶντος τοῦ φωτὸς τῆς θεότητος. Οὐκοῦν ὤφθη τοῖς ἀποστόλοις, καὶ εἶδον αὐτὸν τοῖς ἑαυτῶν ὀφθαλμοῖς, Πνεύματι θείῳ διανοιγεῖσιν, ἀλλ' οὐχ ὥς τινές φησιν, οὐκ εἶδον. Τὸ δὲ ἢ *παρεδείχθη* καὶ ἡ *παραδειχθεῖσα θεότης* προσέθηκε, πρὸς δὲ καὶ τὸ, *μικροῦ στεῤῥοτέρα καὶ*

C *ὄψεως*, ὁμοῦ τε τὴν ὑπερβολὴν τῆς θεϊκῆς ἐκείνης παραδηλῶν ἀστραπῆς καὶ λαμπρότητος, καὶ ὅτι μέρος τι καὶ ὅσον οἱ ὁρῶντες ὑπερφυῶς φέρειν ἐδύναντο, ἀλλ' οὐχὶ πᾶσαν αὐτοῖς τὴν τῆς θεότητος δόξαν ὑπέδειξε. Περὶ ὧν δήπου καὶ Ἰωάννης ὁ χρυσοῦς τὴν γλῶτταν πρὸ βραχέος, καθάπερ ἠκούσατε, ἔλεγε νῦν μὲν ὅτι πεπτώκασιν οἱ μαθηταὶ, καὶ ἐκαρώθησαν καὶ κατεχώννυντο· τὴν γὰρ ὑπερβολὴν τῆς λαμπηδόνος οὐκ ἤνεγκαν, ἐπεὶ τὸ φαινόμενον ὑπὲρ ἥλιον ἦν· νῦν δ' αὖθις, ὅτι τοῖς ἑαυτοῦ μαθηταῖς ὁ Χριστὸς τῆς ἀθεάτου βασιλείας ἐπέδειξεν ἐνταῦθα τὴν δόξαν καὶ οὐκ ἐπέδειξε, τουτέστι, μικρὸν παρήνοιξε τὴν θεότητα, καὶ οὐχὶ τελείως, οὐχ ὅση τις ἦν, ἀλλ' ὅσον ἐδύναντο φέρειν οἱ σωματικοὺς ὀφθαλμοὺς περιφέροντες, τὸ μὲν πληροφορῶν, τὸ δὲ φειδόμενο[ς].

D Ἀλλὰ καὶ Διονύσιος ὁ μετὰ τοὺς πρώτους θεολόγους καὶ ἀποστόλους καὶ μαθητὴς ἐκείνων καὶ φίλος καὶ θεολόγος καὶ ἄλλος ἀπόστολος, τὸ κοινὸν ὑποδεικνὺς τῆς ἐν τῇ μεταμορφώσει τοῦ Θεοῦ δόξης πρὸς τὴν μέλλουσαν αὐτοῦ δόξαν καὶ βασιλείαν, Τότε, φησὶν, ὅταν ἄφθαρτοι καὶ ἀθάνατοι γενώμεθα, καὶ τῆς χρυσοειδοῦς καὶ μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σὺν Κυρίῳ κατὰ τὸ λόγιον ἐσόμεθα, τῆς μὲν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις μαρμαρυγαῖς ἡμᾶς προκαταυγαζούσης, ὡς τοὺς μαθητὰς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει, τῆς δὲ νοητῆς αὐτοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καὶ ἀΰλῳ τῷ νῷ μετέχοντες, καὶ ὑπὲρ νοῦν ἑνώσεως ἐν ταῖς τῶν ὑπερφανῶν ἀκτίνων ἀγνώστοις καὶ μακαρίαις ἐπιβολαῖς, ἐν

Digitized by Google

θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων. *Ἰσάγγελοι γάρ*, ὡς ἡ τῶν λογίων ἀλήθειά φησιν, *ἐσόμεθα καὶ υἱοὶ Θεοῦ, τῆς ἀναστάσεως υἱοὶ ὄντες*. Ἵνα δὲ καί τι σαφέστερον ἔτι καὶ κατὰ νοῦν φημι, καὶ κατὰ λέξιν περὶ τοῦ θείου φωτὸς τούτου μάθοις, καὶ γνοίης, ὡς οὐ τῶν κτιστῶν τοῦτό γε καὶ τῶν κάτω, ἀλλὰ τοῦ Θεοῦ μᾶλλον κατὰ τὰ προῤῥηθέντα, καὶ φῶς ἀληθινὸν καὶ ἀπρόσιτον καὶ κοινὸν τῇ κοινῇ φύσει τῆς ὑπερφυοῦς καὶ μακαρίας Τριάδος, δι' ὃ δὴ καὶ Χριστὸς αὐτὸς μετὰ Πατρός τε καὶ Πνεύματος ὀνομάζεται ταῦτα, φῶς καὶ γὰρ ἀληθινὸν καὶ φῶς ἀπρόσιτον αὐτὸν ὡς αἴτιον καὶ πηγὴν τούτου καλοῦμεν· ἄκουσον καὶ αὖθις τοῦ θαυμαστοῦ Βασιλείου, οἷα περὶ τούτου φησί, πρὸς Εὐνόμιον δηλαδὴ τὸν ἀνόμοιον γράφων· Καὶ εἰ ἀληθινὸν φῶς, φησίν, ὁ Υἱὸς, ἦν τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ὁ δὲ Θεὸς, φησί, φῶς οἰκῶν ἀπρόσιτον· τὸ γὰρ ἀπρόσιτον πάντως καὶ ἀληθινὸν, τὸ δὲ ἀληθινὸν ἀπρόσιτον· ὁπότε καὶ πεπτώκασιν οἱ ἀπόστολοι τῇ δόξῃ τοῦ φωτὸς τοῦ Υἱοῦ ἀτενίσαι μὴ δυνηθέντες, διὰ τὸ εἶναι αὐτὸν ἀπρόσιτον φῶς, φῶς δὲ καὶ τὸ Πνεῦμα, ὃς ἔλαμψε ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου. Πῶς οὖν οὐ πιστευτέον τὴν αὐτὴν τῆς Τριάδος εἶναι φύσιν, ὁπότε ἓν τὸ φῶς ἀποδέδεικται; Εὖγε τῆς συντόμου ταυτησὶ καὶ σαφοῦς καὶ ἠκριβωμένης θεολογίας τοῦ σοφοῦ διδασκάλου. Εἰκότως ἄρ' ἔλεγεν ὁ καλὸς ἐκεῖνος ἑταῖρος καὶ σύμπνους καὶ ὁμότιμος αὐτῷ θεολόγος, φιλοσοφῶν περὶ τούτων ἔν γε τοῖς ὑπὲρ αὐτοῦ λόγοις, Ὅταν τοῖς ἀντιῤῥητικοῖς αὐτοῦ λόγοις ἐντύχω, τὸ Σοδομητικὸν ὁρῶ πῦρ, ᾧ τεφροῦνται γλῶσσαι πονηραὶ καὶ παράνομοι· ἢ τὸν Χαλάνης πύργον, κακῶς μὲν οἰκοδομούμενον, καλῶς δὲ λυόμενον, οὐ περὶ τῶν ἀντιλεγουσῶν τότε γλωσσῶν μόνων λέγων, ἀλλὰ καὶ περὶ τῶν νῦν ἄντικρυς, κατὰ τῆς τοῦ Μονογενοῦς δόξης οὐδὲν ἧττον κινουμένων καὶ τούτων, καὶ διὰ τῶν φυσικῶν πολεμούντων τῇ θείᾳ φύσει, καὶ ταύτά τε κἀκείνην κατασπᾷν ὁμοῦ πειρωμένων, καὶ κάτω τιθέναι μετὰ τῆς κτιστῆς φύσεως.

Ἀλλ' ὁ μέγας ἐκεῖνος ὄντως καὶ ἀληθινὸν ἐκεῖνό φησι καὶ ἀπρόσιτον, καὶ δόξαν φυσικὴν τοῦ Θεοῦ, ἐπειδὴ καὶ δι' αὐτοῦ, καθά φησι, τὸ τῆς Τριάδος ὁμοούσιον δείκνυται.

Τούτοις καὶ ὁ περιφανὴς τῆς Ἐκκλησίας μελῳδὸς καὶ διδάσκαλος, ὁ τῆς Κρήτης Ἀνδρέας φημὶ, κατὰ πάντα συνᾴδων, ἀκούσωμεν οἷα φιλοσοφεῖ, καὶ πῶς διερμηνεύει καθόσον οἷόν τε τὸ μέγα τοῦτο μυστήριον. Τοὺς ἐκκρίτους τῶν ἀποστόλων, φησίν, ὡς ἐγγυτέρους ἤδη τῇ πρὸς αὐτὸν οἰκειότητι συμπαραλαβὼν ὁ Χριστὸς ἐπὶ τὸ ὄρος ἀνάγει τὸ ὑψηλόν. Τί ποιήσων, ἢ τί διδάξων; Τὴν ὑπεραστράπτουσαν παραδείξων τῆς οἰκείας θεότητος δόξαν τε καὶ λαμπρότητα, εἰς ἣν μικρῷ πρότερον μυστικώτερον, καὶ νῦν ἐμφανέστερον διὰ τῆς μεταμορφώσεως αὐτοῦ μετεστοιχείωσε τὴν ἀκούσασαν φύσιν, *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*. Τοῦτο τοίνυν ἑορτάζομεν σήμερον, τὴν τῆς φύσεως θέωσιν, τὴν εἰς τὸ κρεῖττον ἀνάβασιν, τὴν ἐπὶ τὰ ὑπὲρ φύσιν τῶν κατὰ ἔκστασιν καὶ ἀλλοίωσιν.

Διὰ τοῦτό φησι, Τοὺς ἐκκρίτους τῶν ἀποστόλων ὁ Χριστὸς ἐπὶ τὸ ὄρος ἀνήγαγεν, ὥστε τὴν τῆς οἰκείας θεότητος αὐτοῖς παραδεῖξαι δόξαν τε καὶ λαμπρότητα, ἧς τὴν ἀνθρωπείαν φύσιν ἠξίωσε, μυστικῶς μὲν καὶ ἐν ἀποῤῥήτοις τοπρότερον, ὁπηνίκα δηλονότι συλληφθεὶς ἐν τῇ γαστρὶ, ὅλῳ ἑαυτῷ τὸν ἄνθρωπον ὅλον ἥνωσε, νῦν δὲ διὰ τῆς μεταμορφώσεως αὐτοῦ φανερώτερον. Διὸ καὶ τοῦτο ἑορτάζομεν, φησί, σήμερον, τὴν τῆς ἡμετέρας φύσεως θέωσιν, τὴν πρὸς τὰ ὑπὲρ φύσιν ἀλλοίωσιν αὐτῆς καὶ ἀνάβασιν.

Μάθε τοίνυν κἀκ τούτου τοῦ διδασκάλου, καὶ λόγῳ καὶ πείρᾳ διδαχθέντος ταυτὶ καὶ διδάσκοντος, ὅτι καὶ φυσικὴ δόξα καὶ λαμπρότης τοῦτο τὸ φῶς τῆς θεότητος, καὶ θέωσις τῆς ἀνθρωπείας φύσεως, καὶ πρὸς τὰ ὑπὲρ φύσιν ἀλλοίωσις· καὶ αὐτὸ τοῦτο ἑορτάζουσιν οἱ τὴν θείαν μεταμόρφωσιν ἑορτάζοντες, φημὶ δὴ τὴν τῆς φύσεως θέωσιν, ἣν ὁ καθ' ὑπόστασιν ἑνωθεὶς ταύτῃ μονογενὴς τοῦ Θεοῦ Υἱὸς ξένως καὶ ὑπὲρ φύσιν εἰργάσατο.

Ἄκουε δή μοι καὶ τῶν ἑξῆς, τοῦ θεοφόρου φημὶ τούτου, περὶ τῶν αὐτῶν θεολογοῦντος πλατύτερον. Ὅθεν κατὰ τὴν ἀψευδῆ, φησί, τῶν θεολόγων μυσταγωγίαν, ὥσπερ ἔκ τινος ἀεννάου πηγῆς κατὰ ἀπειρόδωρον χάριν, τῆς ἀκηράτου θεώσεως εἰς ἡμᾶς τὸ μέγα πρόεισι δῶρον. Τοῦτο θαυμάζουσιν ἄγγελοι. Τοῦτο δοξολογοῦσιν ἀρχάγγελοι. Τοῦτο πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητὴ διακόσμησις ἀΰλως ἑστιωμένη, τεκμήριον ἐναργέστατόν τε καὶ ἀψευδέστατον τίθεται τῆς περὶ ἡμᾶς τοῦ Λόγου φιλανθρωπίας.

Βαβαί! τοῦθ' ὅπερ θαυμάζουσιν ἄγγελοι, ὃ δοξολογοῦσιν ἀρχάγγελοι, ὅπερ ἀΰλως τρέφει πᾶσαν τὴν τῶν ὑπερκοσμίων νοητὴν διακόσμησιν, τοῦτο οἱ κάτω καὶ τῆς φθαρτῆς ὕλης καὶ τῆς γῆς καὶ κόνεως τῇ κτίσει τολμηρᾷ γλώττῃ συναριθμοῦσι καὶ μετὰ τῶν ἠργμένων καὶ πεπαυμένων, γινομένων τε καὶ ἀπιόντων εἰς γῆν ἕλκουσι, καὶ ταῦτα πρὸς τὴν αὐτῶν φύσιν κατὰ ἀπειρόδωρον χάριν εἰς θέωσιν ὥσπερ ἐξ ἀεννάου προϊὸν τῆς ὑπερφυοῦς ἐκείνης καὶ μακαρίας τοῦ Θεοῦ φύσεως, ὃ δὴ καὶ τεκμήριον, ὡς αὐτός φησιν οὗτος, ἡ τῶν ὑπερκοσμίων ἀγγέλων τίθεται φύσις ἐναργέστατόν τε καὶ ἀψευδέστατον τῆς περὶ ἡμᾶς τοῦ Λόγου φιλανθρωπίας. Καὶ τίνων οὐκ ἄξια ταῦτα σκηπτῶν καὶ πρηστήρων, εἰπέ μοι; μᾶλλον δὲ καὶ ποταμῶν πυρίνων τε καὶ γεέννης, καὶ ξυμπάντων ἁπλῶς ὁμοῦ τῶν ἡτοιμασμένων τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.

Ἀλλ' ἔτι μικρὸν, εἰ δοκεῖ, τῷ τοῦ διδασκάλου τούτῳ λόγῳ καὶ αὖθις προσκαρτερήσομεν. Ἀπόδειξις δὲ, φησί, τῶν λεγομένων αὐτὸ ἂν εἴη τὸ μακάριον πάθος ἐκεῖνο καὶ πολυύμνητον, ὅπερ ἐπὶ τοῦ ὄρους πεπόνθασιν οἱ ἀπόστολοι, ἡνίκα τὸ ἀπρόσιτον καὶ ἄχρονον φῶς τὴν οἰκείαν σάρκα μεταμορφῶσαι τῷ ὑπερβάλλοντι τῆς οἰκείας φωτοβλυσίας ὑπερουσίως ἐλάμπρυνε. Τὴν γὰρ ἀκτῖνα τῆς ἀμώμου σαρκὸς ἐκείνης φέρειν οὐ δυνηθέντες, ἣ ἐκ τῆς τοῦ Λόγου θεότητος, ᾗ τῇ σαρκὶ καθ' ὑπόστασιν ἥνωτο διὰ ταύτης ὑπὲρ φύσιν ἐπήγαζε, πίπτουσι κατὰ πρόσω-

Digitized by Google

πον, ὢ τοῦ θαύματος! κατ' ἔκστασιν τελεωτάτην A ταῦτα μελῳδικῶς ἀνυμνοῦντα. Νῦν καθεωράθη ἀποτῆς φύσεως, ὕπνῳ βαρεῖ καὶ φόβῳ κρατούμενοι, μύσαντες τὰς αἰσθήσεις, πᾶσαν νοερὰν κίνησιν καὶ ἀντίληψιν παντελῶς ἑαυτῶν ἀποπαύσαντες. Οὕτω κατὰ τὸν θεῖον ἐκεῖνον καὶ ὑπέρφωτον καὶ ἀόρατον γνόφον τῷ Θεῷ συνεγένοντο. Ἰδού σοι καὶ φυσικὴν τοῦ Θεοῦ δεικνὺς τὴν θείαν ταυτηνὶ τοῦ φωτὸς ἀκτῖνα διὰ μέσης πηγάζουσαν τῆς ἡνωμένης αὐτῷ σαρκὸς, καὶ περὶ τῆς τῶν ὑποδεξαμένων αὐτὴν ἀποστόλων ὑπερφυοῦς μετοχῆς ὁ ταῦτα καὶ παθὼν καὶ μαθὼν ὡς ἐφικτὸν διαλέγεται, οὐ μόνον ὑπὲρ ὁρατικὴν δύναμιν καὶ πᾶσαν ἁπλῶς αἴσθησιν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν νοερὰν ἀντίληψιν καὶ ἐνέργειαν ἐκεῖνα λέγων ὁραθῆναι τοῖς ἀποστόλοις. Ὃ δὴ καὶ τὸν μακάριον φάναι Δαμασκηνὸν αὐτὰ

στόλοις τὰ ἀθέατα θεότης ἐν σαρκίῳ, ἐν τῷ ὄρει Θαβὼρ ἀστράπτουσα. Ἃ δήπου καὶ Διονύσιος ὁ σοφὸς, πρός γε τὸν φίλον Τιμόθεον περὶ μυστικῆς διαλέγεσθαι μέλλων θεολογίας, φθάσας εἰρήκει· Σὺ δὲ, λέγων, ὦ φίλε Τιμόθεε, τῇ περὶ τὰ μυστικὰ θεάματα συντόνῳ διατριβῇ καὶ τὰς αἰσθήσεις ἀπόλιπε καὶ τὰς νοερὰς ἐνεργείας καὶ πάντα αἰσθητὰ καὶ νοητὰ, καὶ πάντα οὐκ ὄντα καὶ ὄντα, καὶ πρὸς τὴν ἕνωσιν ὡς ἐφικτὸν ἀγνώστως ἀνατάθητι τοῦ ὑπὲρ πᾶσαν οὐσίαν καὶ γνῶσιν. Τῇ γὰρ ἑαυτοῦ καὶ πάντων ἀσχέτῳ καὶ ἀπολύτῳ καθαρῶς ἐκστάσει πρὸς τὴν ὑπερούσιον τοῦ θείου σκότους ἀκτῖνα, πάντα ἀφελὼν καὶ ἐκ πάντων ἀπολυθεὶς, ἀναχθήσῃ.

# ΕΠΙΛΟΓΟΣ.

Ἀλλὰ καιρὸς ἂν εἴη λοιπὸν καὶ τὸν οἱονεὶ τέλος B τε καὶ σφραγῖδα, ἢ καὶ καθάπερ ἐπίλογόν τινα τῶν ἱερῶν θεολόγων εἰπεῖν, τὸν θαυμαστόν φημι Σύρον Ἰωάννην ἀγαγεῖν εἰς μέσον τῷ λόγῳ, καὶ τὰ παρ' ἐκείνου καθόσον οἷόν τε διδαχθῆναί τε καὶ μαθεῖν. Τί οὖν ὁ καθ' ἡμᾶς φιλόσοφός φησιν οὗτος, περὶ τοῦ θείου μυστηρίου τουτου γράφων τε καὶ φιλοσοφῶν; Σήμερον φωτὸς ἀπροσίτου, φησὶν, ἄβυσσος, σήμερον αἴγλης θείας χύσις ἀπεριόριστος ἐν Θαβὼρ τῷ ὄρει τοῖς ἀποστόλοις αὐγάζεται Ἰησοῦς Χριστὸς, τὸ φίλον ἐμοὶ καὶ πρᾶγμα καὶ ὄνομα. Καὶ μετ' ὀλίγον, Σήμερον, φησὶ, Μωϋσῆς τοῦ Δεσπότου τὴν οἰκονομίαν αὐγάζεται, ἣν τυπικῶς πάλαι μεμυσταγώγηται, τοῦτο γὰρ ἂν φαίην ἔγωγε δηλοῦν Θεοῦ τὰ ὀπίσθια, καὶ τρανῶς τὴν δόξαν ὁρᾷ τῆς θεότητος, σκεπασθεὶς ὑπὸ C τὴν τῆς Πέτρας ὀπὴν, ᾗ φησιν ἡ Γραφή. Πέτρα δὲ ἐστιν ὁ Χριστὸς ὁ σαρκωθεὶς Θεὸς Λόγος καὶ Κύριος, καθάπερ Παῦλος ὁ θεῖος διαῤῥήδην ἡμᾶς ἐξεπαίδευσεν, *Ἡ δὲ πέτρα*, φήσας, *ἦν ὁ Χριστὸς*, ὃς *τῆς ἑαυτοῦ σαρκὸς ὥσπερ τινὰ σμικροτάτην ὀπὴν παρανέῳξε, καὶ φωτὶ ἀπλέτῳ καὶ ἀπάσης στεῤῥοτέρῳ ὄψεως τοὺς παρόντας κατήστραψε*. Καὶ πάλιν· *Νῦν ἑωράθη τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι, σῶμα γήϊνον θείαν ἀπαυγάζον λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζον θεότητος. Ὁ γὰρ Λόγος σὰρξ, ἡ σὰρξ τε Λόγος ἐγένετο, εἰ καὶ μὴ τῆς οἰκείας ἐξεστήκει ἑκάτερον φύσεως. Ὢ θαύματος πάντα νοῦν ὑπερβαίνοντος! οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἡνωμένης αὐτῷ* D *καθ' ὑπόστασιν τοῦ Θεοῦ Λόγου ὑπερθέου θεότητος*. Καὶ μετά τινα· *Τελείους δὲ εἶναι τοὺς τὴν θείαν δόξαν εἰκὸς κατοπτεύοντας, τὴν ἁπάντων ἐπέκεινα, τὴν μόνην ὑπερτελῆ καὶ προτέλειον. Γίνεσθε* γὰρ, φησὶν, *τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι*. Καὶ πάλιν Ἰωάννην ὁ Χριστὸς εἰς τὸ ὄρος παραλαμβάνει, ὡς τῆς θεολογίας παρθένον καὶ καθαρώτατον ὄργανον, ὅπως τὴν ἄχρονον δόξαν τοῦ Υἱοῦ θεασάμενος, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*, βροντήσειεν· ὅθεν καὶ βροντῆς υἱὸς ἀνηγόρευται. Ἀκούεις καὶ τοῦ σοφοῦ διδασκάλου τούτου τὴν τῆς θείας μεταμορφώσεως δόξαν, καὶ τὸ κατ' αὐτὴν τῆς θεότητος φῶς ὥσπερ ἐπίτηδες τοὺς παρόντας παιδεύοντός τε καὶ σαφηνίζοντος; Μᾶλλον δ' οὐδὲ προφητικῆς ἄνευθεν χάριτος ἔγωγ' ἂν φαίην τῷ μεγάλῳ ταυτὶ τότε κατὰ μέρος οὑτωσὶ διευκρινεῖσθαι, καὶ θεοπρεπῶς ἐξαγγέλλεσθαι, τοῦ Πνεύματος αὐτῷ τὴν καρδίαν ἀφανῶς πρὸς τὸν λόγον ὑποκινοῦντος διὰ τοὺς νῦν ἀγνοοῦντας, καὶ δὴ καὶ τοὺς φιλονεικοῦντας πρὸς τὴν ἀλήθειαν. *Τῆς γὰρ ἑαυτοῦ σαρκὸς*, φησὶν ὁ Χριστὸς, *ὥσπερ ἐπὶ τῆς πέτρας τῷ Μωϋσῇ τυπικῶς πάλαι σμικροτάτην ὀπὴν παρανέῳξε, καὶ φωτὶ ἀπλέτῳ καὶ πάσης ὄψεως ἰσχυροτέρῳ τοὺς παρόντας ἐκεῖ κατήστραψε*· καὶ ὅτι τότε τοῖς ἀποστόλοις ἑωράθη τὰ μὴ δυνάμενα κατὰ φύσιν ὁρᾶσθαι τοῖς ἀνθρωπίνοις ὄμμασιν, ὥστε τοῖς ἀποστόλοις ἑωράθη, ἀλλ' οὐχ ὥς τινές φασιν, οὐχ ἑωράθη. Τίνα δὲ ταῦτα; Σῶμα, φησὶ, γήϊνον θείαν ἐκπέμπον λαμπρότητα, σῶμα θνητὸν δόξαν πηγάζον θεότητος. Ὥστε οὐκ οὐσία Θεοῦ ἦν ἐκεῖνο, ἀλλὰ δόξα καὶ λαμπρότης μᾶλλον ἐκείνης, ὦ μιαρὲ, καὶ ἀνοίας μεστὲ καὶ φθόνου, ὅστις ποτὲ εἶ ὁ ταῦτα τολμηρῶς λέγων, καὶ ὁρατὴν οὐσίαν Θεοῦ καθαπερεί τις ἐξεστηκὼς καὶ παραπαίων φεῦ! φανταζόμενος, ὅπερ οὐδὲ ὁ τῆς κακίας εὑρετὴς δαίμων ὅλως τετόλμηκε πώποτε. Ὢ τοῦ θαύματος! φησὶν, οὐκ ἔξωθεν ἡ δόξα τῷ σώματι προσεγένετο, ἀλλ' ἔνδοθεν ἐκ τῆς ἀῤῥήτῳ λόγῳ ἡνωμένης τοῦ Θεοῦ Λόγου ὑπερθέου θεότητος.

Ἀκουέτωσαν δὴ καὶ τούτων κατὰ τὸν εἰπόντα θεολόγον τὰ ἀχάριστα κτίσματα, τὰ τοῦ πονηροῦ πλάσματα, οἱ κατασπᾷν ἐπιχειροῦντες εἰς κτίσμα τὸ ἀπρόσιτον φῶς· ἐκεῖνο τὸ πηγάζον ἔνδοθεν ἐκ τῆς ὑπερθέου τοῦ Λόγου θεότητος, τὴν θείαν δόξαν, τὴν ἄχρονόν φησι, τὴν πάντων ἐπέκεινα, τὴν μόνην ὑπερτελῆ καὶ παντέλειον. Ὥσπερ γάρ τις εὐγενὴς στρατιώτης καὶ ἀνδρεῖος μὲν τὴν ψυχὴν, ῥωμαλέος δὲ τὸ σῶμα καὶ ἀγαθὸς τὰ πολέμια, ὁ πνευματικὸς

Digitized by Google

A οὗτος ὁπλίτης καὶ στρατηγὸς τῆς Χριστοῦ παρατάξεως, τὴν πνευματικὴν εἴτουν εὐαγγελικὴν πανοπλίαν ἐνδεδυμένος, καὶ τὸ τοῦ Λόγου ξίφος λαβὼν ἐν χεροῖν, ἀθρόος τε κατὰ μέσην εἰσπηδᾷ τῶν πολεμίων τὴν φάλαγγα, καὶ τοῦ μὲν ἐκτέμνει τὴν κεφαλὴν, τὸν δὲ βάλλει κατὰ τῆς καρδίας καιρίως, τοῦ δὲ διὰ τῶν ἐγκάτων τε καὶ τῶν σπλάγχνων ἐλαύνει τὸ ξίφος, καὶ ὕπτιον εἰς γῆν ἀνατρέπει νεκρὸν, τοὺς δὲ σὺν ἐκείνοις πάντας, καὶ ὑπ' ἐκείνους τραυματίας ὁμοῦ καὶ δραπέτας ἐργάζεται, εἷς διώκων χιλίους τῇ δυνάμει τοῦ Πνεύματος, τὸ τοῦ θαυμαστοῦ φάναι Μωσέως, ἐπειδὴ ὁ Θεὸς ἐπέδοτο αὐτοὺς, καὶ ὁ Κύριος παρέδωκεν αὐτούς.

Ἀλλ' ἡμεῖς ἀκούσωμεν καὶ αὖθις αὐτοῦ. Ἐν ὄρει τοίνυν Θαβὼρ τοὺς ἐν ὕψει τῶν ἀρετῶν διαπρέποντας ὁ Χριστὸς παραλαβὼν μεθ' ἑαυτοῦ, B ἔμπροσθεν αὐτῶν μεταμορφοῦται, ὁ ἀεὶ ὡσαύτως δεδοξασμένος καὶ λάμπων τῇ ἀστραπῇ τῆς θεότητος. Ἀνάρχως μὲν γὰρ ἐκ Πατρὸς γεννηθεὶς, τὴν φυσικὴν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, οὐχ ὕστερον τὸ εἶναι οὐδ' αὐτὴν τὴν δόξαν προσλαμβανόμενος. Ἐκ Πατρὸς μὲν γὰρ, ἀλλ' ἄναρχος καὶ ἄχρονός ἐστι, τὴν οἰκείαν τῆς δόξης κεκτημένος λαμπρότητα. Καὶ σαρκωθεὶς ὁ αὐτός ἐστιν ἐντὸς μένων τῆς οἰκείας ταυτότητος. Καὶ δοξάζεται μὲν ἡ σὰρξ ἅμα τῇ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγῇ, καὶ ἡ τῆς θεότητος δόξα δόξα καὶ τοῦ σώματος γίνεται· εἷς γάρ ἐστι τοῦτο κἀκεῖνο Χριστὸς, τῷ Πατρὶ ὁμοούσιος, καὶ ἡμῖν συμφυὴς καὶ ὁμόφυλος. Εἰ καὶ τοίνυν οὐδέποτε τὸ σῶμα τὸ ἅγιον ἀμέτοχον τῆς θείας δόξης C ὑφέστηκεν, ἀλλ' ἐξ ἄκρας ἑνώσεως τῆς καθ' ὑπόστασιν τῆς ἀοράτου θεότητος τελείως πεπλούτηκεν, ἀλλ' ἀφανὴς ἡ δόξα ὑπάρχουσα ἐν τῷ φαινομένῳ σώματι τοῖς μὴ χωροῦσι τὰ καὶ ἀγγέλοις ἀθέατα, τοῖς σαρκὸς δεσμίοις ἀόρατος ἐχρημάτιζε. Μεταμορφοῦται τοίνυν, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας. Καὶ τοῦτό ἐστι τὸ, *Μετεμορφώθη ἔμπροσθεν αὐτῶν*. Μένων γὰρ αὐτὸς ἐν ταυτότητι, παρὸ τὸ πρὶν ἐφαίνετο, ἕτερος νῦν τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος. Καὶ μετ' ὀλίγον· *Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος*. Τί φῄς, ὦ εὐαγγελιστά; Τί συγκρίνεις τὰ ὄντως ἀσύγκριτα; Τί παρατίθης D καὶ παραβάλλεις τὰ ἀληθῶς ἀπαράβλητα; Ὁ δεσπότης ὡς ὁ οἰκέτης ἔλαμψε; τὸ ἀπόρρητον καὶ ἀπρόσιτον φῶς, ὡς οὗτος ὁ ὑπὸ πάντων καθορώμενος ἐξήστραψεν ἥλιος; Ἀλλ' οὐ παραβάλλω, φαίη ἄν, οὐδὲ συγκρίνω τὸ μόνον μονογενὲς καὶ μηδενὶ εἰκαζόμενον τῆς θείας δόξης ἀπαύγασμα· ἀλλὰ σαρκὸς δεσμίοις φθεγγόμενος, τῶν σωμάτων ὅ τι κάλλιστόν ἐστι καὶ λαμπρότατον πρὸς παράδειγμα φέρω, οὐ παντελῶς ὁμοιότατον. Ἀμήχανον γὰρ ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι. Καὶ μετ' ὀλίγον· Ἔστι μὲν οὖν τὸ σῶμα τὸ ἅγιον περίγραπτον· οὐ γὰρ ἐν Θαβὼρ ἱστάμενον ἔξω τοῦ ὄρους ἐφικνεῖτο· ἡ δὲ θεότης ἀχώρητος, ἐν πᾶσιν οὖσα καὶ πάντων ἐπέκεινα. Καὶ τὸ σῶμα λάμπει ὡς ὁ ἥλιος. Τοῦ γὰρ σώματος ἡ τοῦ φωτὸς ἔκλαμψις γέγονε. Κοινὰ γὰρ πάντα τοῦ ἑνὸς σεσαρκωμένου Θεοῦ Λόγου γεγένηται, τά τε τῆς σαρκὸς καὶ τῆς ἀπεριγράπτου θεότητος. Ἕτερον δὲ ἐξ οὗ τὰ τῆς δόξης αὐχήματα, καὶ ἕτερον ἐξ οὗ κοινὰ τὰ πάθη γνωρίζεται. Ἐκνικᾷ δὲ τὸ θεῖον, καὶ μεταδίδωσι τῆς οἰκείας λαμπρότητος καὶ δόξης τῷ σώματι, καὶ ἐν πάθεσι πάθους μένον ἀμέτοχον. Καὶ μετά τινα· Ἐντεῦθεν Ἠλίας ἀντέφησεν, *Οὗτός ἐστιν, ὃν ἐν λεπτῇ αὔρᾳ τῷ Πνεύματι ἀσώματον τοπάλαι τεθέαμαι*. Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε, καθὸ πέφυκε. Καὶ ὃ δὲ ἑώρακεν, ἐν Πνεύματι τοῦτο τεθέαται. Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. Ταῦτά ἐστιν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη πώποτε. Οὕτως ἐν αἰῶνι τῷ μέλλοντι πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, Χριστὸν ὁρῶντες, τῷ φωτὶ ἀστράπτοντα τῆς θεότητος.

Εἰς πολὺ τάχα μῆκος τὰ τῶν μαρτυριῶν ἡμῖν ἐξετάσθη τῶν θεολόγων, καὶ μάλιστα τὰ τοῦ τελευταίου τούτου φημὶ διδασκάλου, μᾶλλον δὲ καὶ πρώτου, καὶ μέσου καὶ τελευταίου· ἐπεὶ καὶ τούτῳ ὁμοῦ πάντων αὐτῷ προσῆκε, καὶ μόνος ἄξιος οὗτος ταῦτα καλεῖσθαι, ὕστερος μὲν ἐπὶ τὸ λέγειν ἐλθὼν, καὶ μετ' ἐκείνους πάντας τῷ χρόνῳ, τὰ παρ' ἐκείνων γε μὴν καὶ σπουδῇ, καὶ μελέτῃ, καὶ πείρᾳ, καὶ Πνεύματος ἁγίου δυνάμει συνειλοχὼς εἰς ἑαυτὸν πάντα, καὶ παντοδαπός τις ἐξηγητὴς καὶ θεολόγος καὶ στόμα κοινὸν ὡσανεὶ γεγονὼς τῶν τῆς σεπτῆς Ἐκκλησίας θεολόγων ὁμοῦ πάντων, ὃ δὴ καὶ πρότερον ἔφην, ὡς αὐτὰ ταῦτα μαρτυρεῖ τὰ ἐκείνου, λόγοι τέ φημι, καὶ μέλη, καὶ μέτρα, καὶ ἡ φιλόσοφος καὶ θεολόγος ἐκείνη μάλιστα βίβλος, μυστήριον εὐσεβείας ἄντικρυς, καὶ θεῖος λειμὼν καὶ παράδεισος, καὶ οὐρανὸς ἐπίγειος ἡμῖν πεφυκυῖα.

Οὐδὲν οὖν ἀπεικὸς οὐδ' ἔξω τοῦ σκοποῦ καὶ τοῦ προσήκοντος λόγου πάντως, εἰ καὶ ἡμεῖς τὰ παρ' ἡμῶν αὐτῶν ὡς μάλιστα σιωπῶντες ἐνταῦθα, γυμνὰς αὐτὰς τὰς τῶν θεολόγων εἰσάγομεν ἐξηγήσεις, τὸ ἰσχυρόν τε καὶ ἀξιόπιστον κατασκευάζοντες ἐντεῦθεν τῷ λόγῳ. Καίτοι γε εἰ καὶ βουλομένοις ἡμῖν αὐτοῖς λέγειν ἐξῆν τὰ παρ' ἑαυτῶν δήπουθεν, οὐκ ἂν ἔξω τοῦ κατ' αὐτοὺς πράγματος, οὐδὲ τῆς διδασκαλίας καὶ τῶν λόγων αὐτῶν εἴπομέν ποτε πόῤῥω. Τί γὰρ ἔχομεν, ὃ μὴ παρ' ἐκείνων ἐλάβομεν; ἢ πῶς ἐροῦμεν, ἃ μὴ παρ' αὐτῶν ἐκ πρώτης, ὅ φασι, τῆς τριχὸς καὶ εἰς τήνδε τὴν ἡλικίαν μαθόντες ἔχομεν; ἐκείνων καὶ γὰρ τὰ ἡμέτερα πάντα, καὶ λόγοι, φησὶ, καὶ σοφία καὶ παίδευσις, εἴ γε καὶ σοφίας ἡμῖν ὅλως τι μέτεστι, καὶ ἁπλῶς πᾶν ὅ τί τις ἂν φῇ τῶν τοιούτων, καὶ τούτους αὐτοὺς καὶ τὰ παρ' αὐτῶν ὑπὲρ τὸν ἀέρα τουτονὶ σχεδὸν πλέομεν.

Ἀλλ' ἄμεινον ἐξ αὐτῶν ἐκείνων τῶν τε νοημάτων φημὶ, καὶ δὴ τῶν λέξεων, τούς τε παιδευομένους ἡμᾶς ἀρτίως ταῦτα μανθάνειν, καὶ τοὺς ἀντιλέγοντας αὖθις ἐπιστομίζεσθαι. Ἡμεῖς δὲ, καθαπερεί τινες ὑπηρέται καὶ σκευοφόροι, κατὰ δύναμιν τοῖς ἐκείνων λόγοις καὶ αὖθις ὑπηρετήσομεν, λέγοντες ὅπως ἂν καὶ ὅποι, καὶ ὅσον τὸ ἐν ἐκείνοις εὐθὺ

Digitized by Google

Πνεῦμα. Πνεῖ γὰρ ὅπου θέλει καὶ ἡνίκα καὶ ὅσον, A κατά γε τὸν δεσποτικὸν λόγον, ὥς οἱ αὐτοὶ καὶ τοῦτό φασιν.

Ἀλλὰ σύ μοι, φίλος, κἀκ τούτων ὅπερ ἔφην ἀκριβέστερον αὖθις μάνθανε, ὡς οὐκ ἄγνοια μᾶλλον καὶ ἀπειρία, ὅσον κακουργία τε καὶ φιλονεικία, καὶ τὸ μὴ τοῖς ἱεροῖς ὑπείκειν τούτοις Πατράσιν ἐθέλειν, τὴν ἔνστασιν ἐκείνοις καὶ τὸ πρὸς τὴν φανερὰν ταύτην ἀλήθειαν κακῶς ἀντιλέγειν ἔχειν ἐνεργάζεσθαι πέφυκε. Μᾶλλον δὲ καὶ τῆς ἀγνοίας οὐκ ἄν τις ἁμάρτοι τὴν ἀπιστίαν, καὶ τὴν ἄκαιρον ἔριν αὐτοῖς εἰπὼν πρόξενον, ὥσπερ ἐν σταθερᾷ μεσημβρίᾳ μέσον τῶν ἡλιακῶν ἀκτίνων ἑστῶσι, καὶ συκοφαντεῖν ἐκείνου τὸ φῶς πειρωμένοις, κατὰ πάσης γῆς κεχυμένον, καὶ φωτίζον εὐαγγελικῶς εἰπεῖν πάντα ἄνθρωπον. Ἆρα γὰρ οὐ διαῤῥήδην ἤκουσαν κἀνταῦθα τοῦ θεολόγου τούτου βοῶντος, ὅτιπερ ἀνάρχως κατὰ χρόνον ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς πεφυκὼς, τὴν φυσικὴν ταύτην ἀκτῖνα τῆς θεότητος ἄναρχον κέκτηται; καὶ ὅτι ἕτερον μὲν ἐν αὐτῷ τὸ ἀνθρώπινον σῶμα, ἕτερον δ' ἡ θεότης ἡ παντοδύναμος· ἀλλ' ἐπεὶ μία ἐξ ἀμφοτέρων ὑπόστασις, καὶ εἷς ὁ Χριστὸς ὁ Θεὸς καὶ ἄνθρωπος ἅμα νοούμενος, διὰ τοῦτο καὶ ἡ τῆς θεότητος δόξα δόξα καὶ τοῦ σώματος γίνεται· καὶ τὸ ἄπειρον ἐκεῖνο φῶς ἐκ τῆς θεωθείσης λάμπει σαρκὸς, ὥσπερ δι' ὑελίνων ὑμένων, ὅ φησιν ὁ μέγας Βασίλειος, τοῦ κρείττονος ἐκνικήσαντος δηλαδὴ τῆς θεότητος, καὶ τῇ σαρκὶ μεταδόντος τῆς οἰκείας δόξης τε καὶ λαμπρότητος; Κἀκείνου δὲ πῶς οὐ συνῆκαν οἱ σοφοὶ λαμπρῶς τε καὶ ἀπερικαλύπτως οὕτως ἀκούοντες, ὅτι μεταμορφοῦται Χριστὸς, οὐχ ὃ οὐκ ἦν προσλαβόμενος, οὐδὲ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος, ἀλλ' ὅπερ ἦν τοῖς μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας; καὶ ὅτι οὐ παραβάλλει, οὐδὲ συγκρίνει, φησὶν ὁ εὐαγγελιστὴς, Χριστὸν καὶ τὸ τούτου ἄναρχον φῶς καὶ ἀπρόσιτον πρός γε τὸν αἰσθητὸν τοῦτον ἥλιον· ἐπειδὴ, φησὶν, ἀμήχανον ἀπαραλείπτως ἐν τῇ κτίσει τὸ ἄκτιστον εἰκονίζεσθαι. Ἀλλ' οὗτος φιλανθρώπως καὶ τὸν τῆς μετοχῆς τρόπον συγκατασκευάζει, καθόσον οἷόν τε καὶ συμπαραδείκνυσι τοῖς ἀπταίστως ὁρῶσί τε καὶ ἀκούουσιν. Ὅπερ γὰρ, φησὶν, ἀνάρχως ἦν ὡς Θεὸς πρό τε τῆς σαρκὸς καὶ μετὰ τὴν ἐνανθρώπησιν, ἐν τῇ μεταμορφώσει τοῖς μαθηταῖς ἐξεφαίνετο, διανοίγων τούτων τὰ ὄμματα, καὶ ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας.

Ὥστε κατὰ μὲν τὴν φυσικὴν ἐνέργειαν τῆς ὁράσεως τυφλῶν οὐδὲν ἄμεινον πρὸς τὴν θέαν τοῦ ἀπροσίτου φωτὸς ἐκείνου κατὰ τοὺς ἄλλους ἀνθρώπους κἀκεῖνοι διέκειντο. Οὐ γὰρ ὀφθαλμοῖς ἀνθρωπίνοις, ἀλλ' οὐδὲ διανοίᾳ τὰ ὑπὲρ νοῦν ὑποπίπτει μυστήρια. Ταῦτα καὶ γὰρ μετὰ τοῦ Ἀποστόλου φησὶν ὁ θεολόγος οὗτος εἶναι, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ποτέ. Πνεύματι δὲ θείῳ τῶν ὀφθαλμῶν αὐτοῖς διανοιχθέντων ἢ μεταπλασθέντων, εἶδον ὑπερφυῶς τὰ τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι· καθὰ δήπου καὶ Ἡσαΐας ὁ προφήτης, ὠτίον αὐτῷ παρὰ Θεοῦ προστεθῆναι ζητῶν αὐτὰ ἐνενόησε. Πῶς γὰρ, ὅπου οὐδὲ ἄγγελοι αὐτὰ ᾔδεσαν;

Τὴν δὲ κατὰ τὸν Ἡσαΐαν θείαν πάλιν ἐξηγούμενος ὅρασιν, οὕτω φησὶ, τὸν προφήτην εἰσάγων περὶ ἑαυτοῦ λέγοντα, *Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου.* Πῶς εἶδεν, οὐκ οἶδα· ὅτι μὲν γὰρ εἶδεν, εἶπε· τὸ δὲ πῶς ἐσιώπησε. Δέχομαι τὰ εἰρημένα, οὐ πολυπραγμονῶ τὰ σεσιγημένα· κατανοῶ τὰ ἀποκαλυφθέντα, οὐ περιεργάζομαι τὰ συγκεκαλυμμένα. Διὰ τοῦτο γὰρ συγκεκάλυπται. Πέπλος χρυσοῦς ἐστιν ἡ τῶν Γραφῶν διήγησις. Ὁ στήμων χρυσός. Ἡ κρόκη χρυσός. Οὐ παρυφαίνω τῶν ἀραχνῶν τὰ ὑφάσματα. Τῶν B ἐμῶν λογισμῶν τὴν ἀσθένειαν οἶδα. Μὴ μέταιρε ὅρια αἰώνια, φησὶν, ἃ ἔθεντο οἱ πατέρες σου. Ὅρια κινεῖν οὐκ ἀσφαλές. Καὶ πῶς ἃ παρέθηκεν ἡμῖν ὁ Θεὸς μεταθήσομεν; Βούλει μαθεῖν πῶς εἶδε τὸν Θεόν; Γενοῦ καὶ αὐτὸς προφήτης. Καὶ ἐν ἑτέρῳ πάλιν οὕτω φησί· Τὸ δὲ πῶς ὁρῶσιν οἱ προφῆται ταῦτα, ἅπερ ὁρῶσιν, οὐχ ἡμέτερον εἰπεῖν. Οὐδὲ γὰρ δυνατὸν ἑρμηνευθῆναι λόγῳ τὸν τρόπον τῆς ὄψεως. Ἀλλ' ἐκεῖνος μόνος εἶδε σαφῶς ὁ τῇ πείρᾳ μαθών· εἰ γὰρ φύσεως ἔργα καὶ πάθη πολλάκις οὐδεὶς ἂν περιστήσειε λόγῳ, πολλῷ μᾶλλον τὸν τρόπον τῆς τοῦ Πνεύματος δυνάμεως. Εἰ δὲ ἀμυδραῖς εἰκόσιν ἀποχρησάμενον δεῖ κατατολμῆσαι, οὐχ ὥστε τὸ σαφὲς παραστῆσαι, ἀλλ' ὥστε αἴνιγμά τι παρασχεῖν, ἐμοὶ δοκεῖ ταυτὸ καὶ ἐπὶ τῶν προφητῶν γίνεσθαι· οἷον εἰ καθαρῶν ὑδάτων φύσις ἡλίου ἀκτῖνας δεξαμένη καταυγασθείη, οὕτω καὶ τῶν προφητῶν τὰς ψυχὰς C καθαιρομένας οἰκείᾳ ἀρετῇ πρῶτον, ὑποδέχεσθαι τὴν τοῦ Πνεύματος δωρεὰν, καὶ πρὸς τὴν λαμπηδόνα ποιουμένας ἐκείνην, οὕτω καὶ τῶν μελλόντων δέχεσθαι τὴν γνῶσιν.

Αὐτὰ δὲ ταῦτα σχεδὸν καὶ τὸ τῆς θεολογίας στόμα τὸ χωρητικώτατον δοχεῖον τοῦ Πνεύματος, ὁ μέγας φημὶ Βασίλειος, περὶ τῶν αὐτῶν φησι. Περὶ γὰρ τῆς ἐνεργείας καὶ τῆς μετοχῆς καὶ οὗτος φιλοσοφῶν τοῦ ἁγίου Πνεύματος, οὕτω πώς φησι· Καθαρθέντα δὴ οὖν ἀπὸ τοῦ αἴσχους, ὃ ἀνεμάξατο ἀπὸ τῆς κακίας, καὶ εἰς τὸ ἐκ φύσεως κάλλος ἐπανελθόντα, καὶ οἷον εἰκόνι βασιλικῇ τὴν ἀρχαίαν μορφὴν διὰ καθαρότητος ἀποδόντα, οὕτως ἔστι μόνως προσεγγίσαι τῷ Παρακλήτῳ. Ὁ δ' ὥσπερ ἥλιος κεD καθαρμένον ὄμμα παραλαβὼν δείξει σοι ἐν ἑαυτῷ τὴν εἰκόνα τοῦ ἀοράτου. Ἐν δὲ τῷ μακαρίῳ τῆς εἰκόνος θεάματι τὸ ἄῤῥητον ὄψει τοῦ ἀρχετύπου κάλλος. Διὰ τούτου ὑμνῳδιῶν ἀνάβασις, χειραγωγία τῶν ἀσθενούντων, τῶν προκοπτόντων τελείωσις. Τοῦτο τοῖς ἀπὸ πάσης κηλῖδος κεκαθαρμένοις ἐκλάμπον τῇ πρὸς αὐτὸ κοινωνίᾳ πνευματικοὺς ἀποδείκνυσι· καὶ ὥσπερ τὰ διαφανῆ καὶ λαμπρὰ τῶν σωμάτων ἀκτῖνος αὐτοῖς ἐπεισπεσούσης, αὐτά τε γίνεται περιλαμπῆ καὶ ἑτέραν αὐγὴν ἀφ' ἑαυτῶν ἀποστίλβει, οὕτως αἱ πνευματοφόροι ψυχαὶ ἐλλαμφθεῖσαι παρὰ τοῦ Πνεύματος, αὐταί τε ἀποτελοῦνται πνευματικαὶ, καὶ εἰς ἑτέρους τὴν χάριν ἐξαποστέλλουσι. Καὶ μετὰ μικρόν· Ἐντεῦθεν ἡ πρὸς Θεὸν ὁμοίωσις, τὸ ἀκρότατον τῶν ὀρεκτῶν Θεὸν γενέσθαι.

Digitized by Google

Τὰ πρὸς Κορινθίους γε μὴν αὖθις γεγραμμένα τῷ A Ἀποστόλῳ λαμπρῶς ὁ λαμπρὸς Χρυσόστομος ἐξηγούμενος, ἀκούσωμεν οἷα περὶ τῆς χάριτος καὶ τῆς μετοχῆς τοῦ θείου τούτου φωτὸς λέγει. *Ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι.* Οὐ τὴν παυομένην ἐκείνην, ἀλλὰ καὶ τὴν μένουσαν τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. Καὶ μετ' ὀλίγον, Τί δέ ἐστι, *τὴν δόξαν Κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα*, σαφέστερον μὲν τοῦτο ἐδείκνυτο, ἡνίκα τῶν σημείων τὰ χαρίσματα ἐνήργει· πλὴν οὐδὲ νῦν δύσκολον αὐτὸ κατιδεῖν τῷ πιστοὺς ὀφθαλμοὺς ἔχοντι· ὁμοῦ τε γὰρ βαπτιζόμεθα καὶ ὑπὲρ τὸν ἥλιον ψυχὴ λάμπει τῷ Πνεύματι καθαιρομένη. Καὶ οὐ μόνον ὁρῶμεν εἰς τὴν δόξαν τοῦ B Θεοῦ, ἀλλὰ καὶ ἐκεῖθεν δεχόμεθά τινα αἴγλην. Ὥσπερ γὰρ ἄργυρος καθαρὸς πρὸς τὰς ἀκτῖνας κείμενος, καὶ αὐτὸς ἀκτῖνας ἐκπέμψειεν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς λαμπηδόνος τῆς ἡλιακῆς· οὕτω καὶ ἡ ψυχὴ καθαιρομένη, καὶ ἀργύρου λαμπροτέρα γινομένη, δέχεται ἀκτῖνα ἀπὸ τῆς δόξης τοῦ Πνεύματος, καὶ ταύτην ἀντιπέμπει. Διὸ καί φησι, *Κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης τοῦ Πνεύματος εἰς δόξαν τὴν ἡμετέραν τὴν ἐγγινομένην*, καὶ τοιαύτην οἵαν εἰκὸς ἀπὸ τοῦ Κυρίου Πνεύματος. Καὶ πάλιν· Βούλει σοι δείξω τοῦτο καὶ ἀπὸ τῶν ἀποστόλων αἰσθητικώτερον; Ἐννόησον Παῦλον, οὗ τὰ ἱμάτια ἐνήργει· Πέτρον, οὗ αἱ σκιαὶ ἴσχυον. Οὐ γὰρ C ἄν, εἰ μὴ βασιλέως ἔφερον εἰκόνα, καὶ ἀπρόσιτοι ἦσαν αὐτῶν αἱ μαρμαρυγαί, τοσοῦτον τὰ ἱμάτια αὐτῶν καὶ αἱ σκιαὶ ἐνήργησαν. Βασιλέως γὰρ καὶ τὰ ἱμάτια τοῖς λῃσταῖς ἐστι φοβερά. Θέλεις ἰδεῖν καὶ διὰ τοῦ σώματος λάμπουσαν ταύτην; *Ἀτενίσαντες*, φησίν, *εἰς τὸ πρόσωπον Στεφάνου, εἶδον ὡς πρόσωπον ἀγγέλου.* Ἀλλ' οὐδὲν τοῦτο πρὸς τὴν ἔνδοθεν ἀστράπτουσαν δόξαν. Ὅπερ γὰρ Μωϋσῆς ἐπὶ τοῦ προσώπου εἶχε, τοῦτο οὗτοι ἐπὶ τῆς ψυχῆς περιέφερον· μᾶλλον δὲ καὶ πολλῷ πλέον. Τὸ μὲν γὰρ Μωϋσέως αἰσθητικώτερον ἦν· τοῦτο δὲ ἀσώματον. Καὶ καθάπερ πυραυγῆ σώματα, ἀπὸ τῶν λαμπρῶν σωμάτων ἐπὶ τὰ πλησίον ἀποῤῥέοντα, καὶ ἐκείνοις μεταδίδωσι τῆς οἰκείας αὐγῆς, οὕτω δὴ καὶ ἐπὶ τῶν πιστῶν συμβαίνει. Διὰ δὴ τοῦτο τῆς γῆς ἀπαλλάττονται D οἱ τοῦτο πάσχοντες, καὶ τὰ ἐν οὐρανοῖς ὀνειροπολοῦσιν. Οἴμοι! καλόν ἐστιν ἐνταῦθα καὶ στενάξαι πικρόν, ὅτι τοσαύτης ἀπολαύοντες εὐεργεσίας οὐδὲ τὰ λεγόμενα ἴσμεν, διὰ τὸ ταχέως ἀπολλύναι τὰ πράγματα, καὶ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι. Αὕτη γὰρ ἡ δόξα ἡ ἀπόῤῥητος καὶ φρικώδης μέχρι μὲν μιᾶς καὶ δευτέρας ἡμέρας ἐν ἡμῖν μένει, λοιπὸν δὲ αὐτὴν κατασβέννυμεν, τὸν χειμῶνα ἐπάγοντες τῶν βιωτικῶν πραγμάτων, καὶ τῇ πυκνότητι τῶν νεφῶν ἀποκρουόμενοι τὰς ἀκτῖνας. Χειμὼν γὰρ τὰ βιωτικά, καὶ χειμῶνος σκυθρωπότερα.

Ἤκουσας τῆς κοινῆς καὶ συμφώνου φιλοσοφίας τε καὶ θεολογίας ἐκ μέρους τῶν ἀποστολικῶν ἀνδρῶν τούτων, τῶν πείρᾳ τὰ θεῖα ταυτὶ καὶ ὑπερφυᾶ καὶ μαθόντων καὶ διδασκόντων; Μαθέτωσαν τοιγαροῦν οἱ καὶ νῦν ἐπὶ κακῷ τῷ σφετέρῳ φιλονεικοῦντες, εἴγε μὴ συνέχουσι καὶ οὗτοι τὰ ὦτα, κατὰ τὸν σοφὸν Γρηγόριον φάναι, καὶ ὅτι εἶδον ἐπὶ τοῦ ὄρους οἱ ἀπόστολοι ἐν Χριστῷ τὴν ὑπερφυᾶ τῆς θεότητος δόξαν αὐτοῦ. Καὶ γὰρ οὐκ ἀνθρωπείᾳ δυνάμει, οὐδὲ φυσικαῖς αἰσθήσεσιν, ἀλλὰ Πνεύματι θείῳ τὰ ὑπὲρ φύσιν εἶδον πρὸς τὴν αὐτοῦ χάριν ἀνακραθέντες, ἐπεὶ καὶ ἐν τούτῳ μόνῳ πέφυκε ταυτὶ καθορᾶσθαι. Καὶ διανοίξαντες πρὸς ταῦτα τὰ ὦτα, τὴν γλῶτταν συσχέτωσαν μᾶλλον, ὥστε διὰ μὲν ἐκείνων δέχεσθαι τὰ εἰρημένα καὶ κατανοεῖν τὰ ἀποκαλυφθέντα, καθά φησιν ὁ χρυσοῦς Ἰωάννης, τῇ δὲ τῆς γλώττης σιγῇ μὴ πολυπραγμονεῖν τὰ σεσιγημένα, μηδὲ περιεργάζεσθαι τὰ συγκεκαλυμμένα· διὰ τοῦτο γάρ, φησί, συγκεκάλυπται· μηδὲ τὴν τοῦ πῶς ἐν τοῖς ὑπὲρ ἀνθρωπείαν καὶ διάνοιαν καὶ γλῶτταν ἐρώτησιν παρεισάγειν, ἵνα μὴ τῆς πίστεως τελείως ἐκπέσωσι κατὰ τὸν χρυσοῦν διδάσκαλον αὖθις. Οὗτος καὶ γὰρ τὰ παρὰ Νικοδήμου πρὸς Χριστὸν διαπορούμενα πάλαι διεξιών, Διδάσκαλον αὐτὸν καλεῖς, φησί, καὶ ἀπὸ Θεοῦ ἐληλυθέναι λέγεις, καὶ οὐ δέχῃ τὰ λεγόμενα, ἀλλὰ τὴν πολλοὺς θορύβους ἐπεισάγουσαν λέξιν φθέγγῃ πρὸς τὸν διδάσκαλον; Τὸ γὰρ πῶς τοῦτο τῶν οὐ σφόδρα πιστευόντων ἐστὶν ἐπαπόρησις, τῶν ἀπὸ γῆς ὄντων ἔτι. Ἐπεὶ καὶ ἡ Σάῤῥα διὰ τοῦτο ἐγέλασεν, ἐπειδὴ τὸ πῶς εἶπε· καὶ ἄλλοι πολλοὶ τοῦτο ζητήσαντες, τῆς πίστεως ἐξέπεσον. Καὶ μετ' ὀλίγον· Οὕτω δὲ τὸ πῶς εἴσονται οἱ ταῦτα ζητοῦντες, καὶ πίστεως ἐκπεσοῦνται τῆς ὀρθῆς. Διὰ τοῦτο καὶ οὗτος δι' ἀπορίαν τὸν τρόπον ἐπιζητεῖ. Καὶ μετά τινα· Ὁρᾷς πῶς ὅταν τοῖς οἰκείοις λογισμοῖς ἐπιτρέπῃ τις τὰ πνευματικά, καταγέλαστα φθέγγεται, καὶ ληρεῖν δοκεῖ καὶ μεθύειν, ὅταν περιεργάζηται παρὰ τὸ τῷ Θεῷ δοκοῦν τὰ εἰρημένα, καὶ μὴ δέχηται τὴν τῆς πίστεως συγκατάθεσιν; Ἤκουσε γέννησιν, ἀλλὰ πνευματικὴν οὐκ ἐνόησεν, ἀλλ' εἰς τὴν ταπεινότητα καθεῖλκυσε τῆς σαρκὸς τὸ εἰρημένον, καὶ τὸ μέγα δόγμα οὕτω καὶ ὑψηλὸν τῆς φυσικῆς ἀκολουθίας ἐξήρτησε. Διὰ τοῦτο ληρῳδίας πλάττει λοιπὸν καὶ ἀπορίας καταγελάστους.

Ἀλλ' ὢ τῆς κακουργίας τοῦ πονηροῦ δαίμονος! πῶς πανταχόθεν τὰς παγίδας ἵστησι καὶ τὰ θήρατρα! πῶς ὡς λέων ὠρυόμενος, κατὰ τὸ εἰρημένον, πάντοθεν περιέρχεται, ζητῶν τίνα καταπίῃ! Οἱ μὲν ἀπειθοῦσι φανερῶς ἀντιλέγοντες, ᾗπερ ἔφην, τῇ ἀληθείᾳ καὶ τοῖς ἱεροῖς αὐτῆς λόγοις καὶ θεολόγοις, καὶ πολυπραγμονοῦντες μὲν τὰ σεσιγημένα, καὶ περιεργαζόμενοι τὰ συγκεκαλυμμένα, μὴ δεχόμενοι δὲ τὰ εἰρημένα, μηδὲ κατανοοῦντες τὰ ἀποκαλυφθέντα, τὰ γὰρ αὐτὰ περὶ τῶν αὐτῶν καὶ αὖθις φθέγξομαι καὶ πολλάκις· οἱ δὲ μετὰ τῶν ἐχθρῶν μέν, ὥς φασιν, οὐκ ἐθέλουσιν ἵστασθαι, οὐδὲ πολεμεῖν τοῖς ὑγιαίνουσι λόγοις, ἢ τοῖς προπολεμοῦσί τε καὶ προϊσταμένοις ἐκείνων, ἀλλὰ καὶ προπέτειαν, ὥς φασι, καὶ φλυαρίαν κατηγοροῦσι μακρὰν τῶν ἐκεῖνα πράττειν τε καὶ λέγειν προῃρημένων· συντελοῦσί γε μὴν οὐδὲ σμικρά τινα τῷ λόγῳ τῆς ἀληθείας, οὐδὲ τοῖς ἀγωνιζομένοις ὑπὲρ αὐτοῦ συναί-

Digitized by Google

ρονται καθόσον οἷόν τε. Μέγα μὲν οὖν ἦν, εἰ μὴ καὶ τὰς χεῖράς τε καὶ τὴν προθυμίαν αὐτῶν ἐκλύειν οἷς λέγειν ἔσπευδον, καὶ τοὺς μὲν καθαίρειν ἐπιχειρεῖν καινῷ τινι τρόπῳ, τὰ δὲ τῶν ἐναντίων ἐντεῦθεν συγκροτεῖν ἴσως καὶ μὴ βουλόμενοι κατὰ πᾶσαν ἀνάγκην.

Τί γάρ φασι; Σιγάσθω, φησί, ταῦτα κἀκεῖνα, καὶ μήτε κτιστὸν καὶ εἰργμένον καὶ πεπαυμένον, μήτε μὴν ἄκτιστον καὶ φυσικὴ τοῦ Θεοῦ δόξα, καὶ θεότης λεγέσθω τὸ τῆς μεταμορφώσεως τοῦ Χριστοῦ φῶς· οὕτω γὰρ ἔσται παρὰ πᾶσιν εἰρήνη, τούτων τε κἀκείνων σιωπωμένων, κἀντεῦθεν τῆς ἀφορμῆς τῶν σκανδάλων γιγνομένης ἐκ μέσου.

Εὖγε τῆς ἐπινοίας ταυτησί, καὶ τῆς σπουδῆς τῆς ὑπὲρ τῆς θαυμασίας εἰρήνης, μᾶλλον δὲ πρὸ τοῦ γυμνάσαι τὸ ζήτημα τουτοΐ, καὶ τὸν λόγον, ἐκεῖνό σε πρὸ τῶν ἄλλων ἐρέσθαι βούλομαι, ὅστις ποτὲ εἶ ὁ ταῦτά τε καὶ τὰ τούτοις προσόμοια λέγων.

Λέγε μοι τοίνυν, ὠγαθέ, πρὸς τῆς ἀληθείας αὐτῆς, ἣν πρεσβεύομεν· ἁπλῶς πᾶσαν εἰρήνην δεῖ τιμᾷν καὶ κατασκευάζειν, καὶ σπουδάζειν ὑπὲρ πάσης καὶ ἀγωνίζεσθαι, ἢ τὴν μὲν τοιάνδε ζητεῖν εἰρήνην, τῶν δὲ λοιπῶν κατολιγωρεῖν; Καὶ εἰ μὲν τὸ δεύτερον εἴποις, ὀρθῶς πάνυ τοι λέγεις ἐν τούτῳ, καὶ αὐτὸς τίθεμαι, καὶ συντίθεμαι τῷ λόγῳ προθύμως· καὶ ἔδει γε πάντως κατὰ τοῦτον τὸν λόγον μηδὲ σὲ τὴν εἰρήνην ἁπλῶς προτιμᾷν, καὶ ταῦτα περὶ Θεοῦ καὶ δογμάτων θείων ὄντος τοῦ λόγου, ἀλλὰ τὴν τοῦ Θεοῦ πάντως εἰρήνην· οὕτω καὶ γὰρ κἀκεῖνος ἐπὶ τὸν σταυρὸν ἀπιὼν πρὸς τοὺς ἑαυτοῦ μαθητὰς ἔλεγεν· *Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν·* καὶ ὅτι *Οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν·* εἰ δὲ τὸ πρότερον λέγοις, θαυμάσαιμ' ἂν ἔγωγε, εἰ καὶ ἑαυτὸν δύναται κατὰ τὸν εἰπόντα σοφὸν πείθειν οὗτος ὁ λόγος. Εἰ γὰρ ἁπλῶς εἰρήνη πᾶσα καλὸν ὅπως ἂν ἔχοι, πῶς ὁ τῆς εἰρήνης νομοθέτης Χριστὸς, ἡ αὐτοειρήνη, *Οὐκ ἦλθον βαλεῖν*, φησίν, *εἰρήνην ἐπὶ τῆς γῆς, ἀλλὰ μάχαιραν;* Πῶς δὲ λίθος προσκόμματος αὐτὸς ἐκεῖνος, καὶ πέτρα σκανδάλου τισὶν ἐν Σιὼν γίνεται, δηλονότι τοῖς ἀπειθοῦσι; Τί δὲ τῶν ἐκείνου μαθητῶν ὁ χορός; Οὐ καθαπερεί τινες στασιασταὶ καὶ λυμεῶνες, καὶ φθόροι διὰ τὸ θεῖον πανταχόθεν ἠλαύνοντο κήρυγμα, καθ' ἡμέραν ὡς εἰπεῖν ἀποθνήσκοντες; *Οἱ τὴν οἰκουμένην* καὶ γάρ, φησίν, *ἀναστατώσαντες καὶ ἐνθάδε πάρεισι.* Καίτοι γε ἐξῆν αὐτοῖς σιωπῶσι τὸν λόγον, εἴπερ ἐβούλοντο, καὶ τὰ ἴδια πράττουσιν εἰρηνικὸν ἕλκειν βίον. Ἀλλ' ἀνθεῖλκον ἐκείνους μᾶλλον οἱ τοῦ Χριστοῦ λόγοι, *Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων*, εἰπόντος· καὶ αὖθις· *Ὅστις οὐκ ἔχει*, φησί, *μάχαιραν, πωλήσῃ τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσῃ*, τοὺς ἐκδεξομένους αὐτοὺς ἀγῶνας καὶ πολέμους αἰνιττόμενος· καὶ ὡς οὐ μόνον οὐκ ἀναδύεσθαι οὐδὲ δραπετεύειν ἐκείνους δεῖ, ἀλλὰ καὶ παρασκευάζεσθαι πόῤῥωθεν καὶ προμελετᾷν τὸν ἀγῶνα, ἃ δὴ καὶ ἐπὶ τῶν ἔργων ὕστερον, καθάπερ ἴσμεν, ἐκ πολλοῦ τοῦ περιόντος ἐξέβη. Οὐ μὴν ἀλλὰ καὶ ἀνδροφόνοι καὶ λῃσταὶ, καὶ προδόται καὶ τοιχωρύχοι, μάλιστα συμφωνοῦσιν A ἀλλήλοις ἐπὶ κακῷ, καὶ εἰρηνεύουσιν, ὡς καὶ προκινδυνεύειν ἀλλήλων ἐν τῷ τοῦ καιροῦ παραστάντι. Οἷς ἄμεινον ἂν ἦν, οὐδ' ὅσον ἄν τις καὶ φῆσαι, εἰ τὴν ἐπαινουμένην διάστασιν εἵλοντο ἀντὶ τῆς κάκιστ' ἀπολλυμένης ἐκείνης εἰρήνης.

Ἀλλ' ἵνα τούτους τέως ἀφέντες, ἐπὶ τὰ οἰκειότερά πως καὶ ξυγγενῆ τοῖς προκειμένοις τὸν λόγον ἐνέγκωμεν, οὐχ οἱ τὰ Ἀρείου πάλαι πρεσβεύοντες, καὶ κατὰ τῆς δόξης ἱστάμενοι τοῦ Μονογενοῦς, μετὰ τὴν ἧτταν ἑαυτῶν καὶ τὴν τῆς εὐσεβείας λαμπρὰν ἀνακήρυξιν, τῇ τοῦ ὁμοουσίου διανοίᾳ τε καὶ φωνῇ λαμπρῶς πολεμοῦντες ταύτην μόνην ἐξελεῖν ἡμᾶς τοῦ τῆς πίστεως κακῶς ἐζήτουν συμβόλου, κἀντεῦθεν συμφωνεῖν ἐκείνους ἡμῖν κατὰ πάντα, καὶ τὸν οἰκουμενικὸν παύσασθαι πόλεμον, καὶ πᾶσαν ἐκκλη- B σίαν ἄγειν εἰρήνην; Οἱ δὲ τὴν Μακεδονίου κατὰ τῆς θεότητος τοῦ προσκυνητοῦ Πνεύματος διαδεξάμενοι λύτταν οὐ μετὰ τοὺς μακροὺς ἐκείνους κατὰ τῶν εὐσεβῶν ἀγῶνας καὶ δρόμους, τἄλλα παραιτησάμενοι τέως, τὴν Θεὸς μόνην φωνὴν ἐζήτουν ἐκ μέσου γενέσθαι, τὸ ἄγραφον ταύτης καὶ ἀηθὲς δῆθεν ἐπὶ τοῦ Πνεύματος καὶ οὗτοι προβαλλόμενοι κατὰ τοὺς προτέρους; Ἀλλ' οὐ προήκαντο τὰς φωνὰς ταύτας οἱ τότε τοῦ ὀρθοῦ λόγου προστάται, οὐδ' ὤνιον ταύτας εἵλοντο θέσθαι τῆς οὐκ ἐπαινουμένης εἰρήνης, οὐδ' αὖ....ρες ἐντεῦθεν ὡς ἔκ τινος ἀρχῆς καὶ καθαιρέτας γενέσθαι τῆς εὐσεβείας, καὶ τοσοῦτον, ὡς καὶ πολλοὺς ὕστερον καὶ μέχρι πυρὸς καὶ σφαγῆς καὶ ἀγχόνης διαγωνίσασθαι γενναίως ὑπὲρ αὐτοῦ τού- C του, τῶν κρατούντων φεῦ! κάκιστα προϊσταμένων τῆς δυσσεβείας.

Ἡράκλειος δ' ἐξαπατηθεὶς ὡς μὴ ὤφελεν ὕστερον παρὰ τῶν κακῶν προστατῶν τοῦ λόγου, καὶ μίαν ἐνέργειάν τε καὶ θέλησιν τοῦ θεανθρώπου Λόγου δοξάσας, καὶ μὴ λογισάμενος ὀρθῶς τὸ διπλοῦν ἐπ' αὐτῷ τῶν φύσεων, ἢ γὰρ ἂν τοῦτο κατιδὼν, ὥσπερ ἔδει, καὶ τὸ διπλοῦν τῆς ἐνεργείας ἀκολούθως συνεῖδεν, ἐπεὶ παρὰ τῶν ὀρθὰ φρονούντων Πατέρων ἀλλὰ δὴ καὶ τῶν ἑπομένων ἐκείνοις, σχεδὸν δ' οἱ πάντες πλὴν ὀλίγων τινῶν ἦσαν, ἀποῤῥιπτουμένην ὡς ἐναντίαν τῷ τῆς εὐσεβείας ὀρθῷ λόγῳ τὴν δόξαν εἶδεν ἐκείνην, τῆς μὲν καταγνοὺς, οὐδὲ προσέχειν ἔτι τὸ παράπαν ἠξίου· τὴν δὲ ταχεῖαν μετάθεσιν αἰσχυνόμενος αὖθις κουφότητι γνώμης, μέσην τινὰ D δῆθεν χωρεῖν ἔγνω γελοίως, μᾶλλον δὲ καὶ σφαλερῶς καὶ ἐπικινδύνως ἄγαν. Θέσπισμα γοῦν πᾶσι προστίθησι δημοσίᾳ μήτε μίαν ἐνέργειάν τε καὶ θέλησιν, μήτε δύο τολμᾷν ἐπὶ Χριστοῦ μηδένα λέγειν τῶν πάντων· ἢ τιμᾷν αὐτῷ τῶν ἐσχάτων αὐτίκα, οὐδὲν ἄντικρυς διαστέλλων ἐκεῖνος ἀναμέσον ἁγίου τε καὶ βεβήλου, ἵνα μὴ λέγω Χριστοῦ καὶ Βελίαρ, καὶ μετὰ τῆς διεστραμμένης καὶ τὴν ὀρθὴν περὶ Χριστοῦ τιθεὶς δόξαν, καὶ τὸν ὑγιαίνοντα λόγον τῇ νόσῳ τῆς αἰσχρᾶς αἱρέσεως συγκαταδικάζων.

Ὃ δὴ καὶ οἱ τὰ τοῦ Νεστορίου, φασὶ, τότε φρονοῦντες γέλωτος ἀφορμὴν καὶ χλεύης ἐποιοῦντο κατὰ τῆς Ἐκκλησίας, Οἱ Χαλκηδονῖται, λέγοντες, οὕτω γὰρ ἡμᾶς καλεῖν ἠξίουν ἐκεῖνοι τότε, διὰ τὴν θαυμαστὴν φημι σύνοδον τὴν ἐν Χαλκηδόνι, λαμπρῶς

Digitized by Google

ἀποκηρύξασαν τὰ τοῦ Νεστορίου, οἱ Χαλκηδονῖται γοῦν, ἔλεγον καὶ ἐκεῖνοι, πρώην μὲν δύο τοῦ παρ' αὐτοῖς ἑνὸς Υἱοῦ ἔλεγον ἐνεργείας, ὡς δὲ καὶ θελήματα πρὸς ταύταις διπλᾶ· εἶτα πρὸ ὀλίγου μεταβαλόντες ἀθρόοι, μίαν ἔφασκον ἐνέργειάν τε καὶ θέλησιν ἐκεῖνον κεκτῆσθαι. Νῦν δ' αἰφνίδιον ἀπολωλεκότες καὶ ἄμφω, οὔτε δύο λέγεσθαι παρ' οὕτω νοσοῦν τῶν ἐν αὐτοῖς συγχωροῦσι τοπαράπαν ἔχειν ἐκεῖνον, ἀλλ' οὐδεμίαν.

Καὶ ταῦτα μὲν ἐκεῖνοι τότε οἱ κακοὶ τῶν ἐκ διαμέτρου κακῶν δικαίως καταγελῶντες· σκοπεῖτε δὲ μὴ καὶ νῦν αὐτοὶ, καίτοι γε μὴ κατ' ἐκείνους κακοὶ πεφηνότες, ἐπὶ τὸν ἴσον γέλωτα καὶ τὴν καταδίκην τοὺς προστάτας προκαλεῖσθε τοῦ ὀρθοῦ λόγου, σιωπᾶσθαι παραινοῦντες ὡσαύτως κατὰ ταυτὸ καὶ ταῦτα κἀκεῖνα. Τίς γὰρ οὐκ οἶδε τῶν πάντων, ὡς οἱ B πλεῖστοι τῶν ἀντικειμένων τῷ καθ' ἡμᾶς εὐσεβεῖ λόγῳ οὐ δυσσεβεῖς μόνον, ἀλλὰ καὶ ἀσεβεῖς φημι, ῥᾳδίως ἂν ἡμῖν ἐσπείσαντο καὶ πρὸς ὁμόνοιαν ἦλθον, εἰ σιωπῶντας ἡμᾶς μόνον ἔσχον, οὐ τὸ πᾶν Εὐαγγέλιον, οὐδὲ τὰς δογματικὰς φωνάς φημι πάσας;

Ἔπειτα τί καὶ ποιήσομεν τοῖς ἱεροῖς ἐκείνοις μελῳδοῖς τε καὶ θεολόγοις τοῦ μυστηρίου, πόῤῥωθεν ἡμᾶς πρὸς τὴν τελετὴν καὶ τὴν λαμπρότητα καὶ τὴν κοινωνίαν τοῦ μεγάλου φωτὸς ἐκείνου λαμπρᾷ τῇ φωνῇ καλοῦσιν, οὐ τὴν διὰ λόγων φημὶ μόνον καὶ τῶν θεσπεσίων ᾠδῶν καὶ ὕμνων ἐκείνων, ἀλλὰ καὶ τὴν τούτων ὑψηλοτέραν ἔτι καὶ μείζω, τὴν δι' αὐτῶν φημι τῶν πραγμάτων; Ὁ μὲν γὰρ, ἔνθεν ἡμᾶς συγκαλούμενος πρὸς τὴν νοητὴν ἄνοδον τοῦ τῆς δε- C σποτικῆς μεταμορφώσεως ὄρους, Δεῦτε ἀναβῶμεν, φησὶν, εἰς τὸ ὄρος Κυρίου, καὶ θεασώμεθα τὴν δόξαν τῆς μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός. Φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ Πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας· ὡς ἐντεῦθεν προσγιγνομένου μάλιστα καὶ τοῦ καθαρῶς σὺν τοῖς ἀΰλοις ἀγγέλοις Θεὸν ἀκαταπαύστως ὑμνεῖν, ἔν γε τοῖς ἀπεράντοις ἐκείνοις αἰῶσιν· ὁ δὲ αὖθις ἐκεῖθεν, Δευτέ μοι πείθεσθε λαοὶ ἀναβάντες εἰς τὸ ὄρος τὸ ἅγιον, τὸ ἐπουράνιον ἀΰλως στῶμεν ἐν πόλει ζῶντος Θεοῦ, καὶ ἐποπτεύσωμεν νοῒ θεότητα ἄϋλον Πατρὸς καὶ Πνεύματος, ἐν Υἱῷ μονογενεῖ ἀπαστράπτουσαν. Καὶ πάλιν ὁ αὐτὸς πρὸς τὸν αἴτιον τοῦ D μυστηρίου Χριστὸν τὸν ἑαυτοῦ λόγον στρέφων, καὶ τὰ αὐτῷ θεοπρεπῶς ἐπὶ τῇ σφετέρᾳ μεταμορφώσει τελεσθέντα μελῳδῶν καὶ διερμηνεύων, Ἵνα σου δείξῃς ἐμφανῶς, φησὶ, τὴν ἀπόῤῥητον δευτέραν κατάβασιν, ὅπως ὁ ὕψιστος Θεὸς ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν, τοῖς ἀποστόλοις ἐν Θαβὼρ, Μωσεῖ σὺν Ἠλίᾳ τε ἀῤῥήτως ἔλαμψας. Καὶ αὖθις· Ὁ χερσὶν ἀοράτοις πλάσας κατ' εἰκόνα σου, Χριστὲ, τὸν ἄνθρωπον, ἐν τῷ πλάσματί σου τὸ ἀρχέτυπον κάλλος ὑπέδειξας, οὐχ ὡς ἐν εἰκόνι, ἀλλ' ὡς αὐτὸς ὢν κατ' οὐσίαν, ὁ Θεὸς χρηματίσας καὶ ἄνθρωπος.

Ὁ δὲ φίλος τούτῳ καὶ συνῳδὸς καὶ συνῳδὰ διὰ πάντων καὶ μελῳδῶν καὶ θεολογῶν καὶ φθεγγόμενος οὕτω πώς φησιν αὐτῷ τῷ μεταμορφωθέντι Χριστῷ, κατὰ τοὺς μακαρίους ἐκείνους θείῳ δηλαδὴ προσο- A ρῶν Πνεύματι· Ὅλον τὸν Ἀδὰμ φορέσας, Χριστὲ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας πάλαι φύσιν, καὶ ἀλλοιώσει τῆς μορφῆς σου ἐθεούργησας. Καὶ πάλιν· Ἡ ἀναλλοίωτος φύσις τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα, τοῖς ἀποστόλοις ἀποῤῥήτως ἐξέλαμψεν.

Ἀλλ' ἐνταῦθα μικρόν τε καὶ αὖθις τοὺς ἐπηρεαστὰς ἐκείνους ἐρέσθαι βούλομαι τῆς θεότητος. Εἴπατε τοιγαροῦν, ὦ βέλτιστοι, ἆρ' ἡ θεότης αὕτη, ἣν ὁ θεοφόρος Κοσμᾶς ἐνταῦθά φησι, τοῦ Χριστοῦ ἐστιν ἰδία καθὸ Θεοῦ, ἢ τίνος ἐρεῖτε; Τοῦ Χριστοῦ πάντως. Περὶ γὰρ ἐκείνου γε καὶ ὁ λόγος, οὐ περὶ ἄλλου. Τί οὖν ἡ φύσις αὕτη; Καὶ πῶς οἷόν τε; εἰ μὴ καὶ φύσεις δύο καινοτομῆσαι θεϊκὰς βούλοισθε, καθάπερ δὴ καὶ τὰ ἄλλα. Περὶ γὰρ τῶν δύο φύσεων B ὁ θεολόγος εἰπὼν οὗτος τοῦ Χριστοῦ πρότερον, Ἡ ἀναλλοίωτος καὶ γὰρ, φησὶ, φύσις ἡ θεϊκὴ δηλονότι, ἐκείνης καὶ γὰρ τὸ ἄτρεπτον μόνης, τῇ βροτείᾳ φύσει μιχθεῖσα, εἶτ' ἐπάγει, Τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς παραγυμνοῦσα. Τί οὖν, ἐπεὶ μὴ φύσις ἡ θεότης αὕτη κατὰ τοῦτον τὸν θεολόγον, διὰ τοῦτο καὶ κτίσμα; Καὶ μὴν αὕτη ἐστὶν ἡ τοῦ Χριστοῦ θεότης, καὶ ἐμφερῆ ταύτην ἀκούεις οὖσαν τῇ θεϊκῇ αὐτοῦ φύσει, καὶ τὸ φῶς αὐτῆς ἀποῤῥήτως τοῖς ἀποστόλοις ἐκλάμπον καὶ ἄχρονον καὶ ἀπρόσιτον, καὶ πατρικὸν τοῦτο τὸ φῶς τοῦ Χριστοῦ, μᾶλλον δὲ καὶ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ἅμα, καὶ τὴν ἀνθρωπείαν ὑπερφυῶς θεουργῆσαν φύσιν, κατά τε τοὺς προῤῥηθέντας θεολόγους συμφώνως ταυτὶ διὰ C πολλῶν εἰρηκότας, καὶ κατ' αὐτὸν τοῦτον αὖθις, Ἐν ἀπροσίτῳ φωτὶ, λέγοντας, ὡς σὲ κατεῖδε Πέτρος Θαβὼρ ἐν ὄρει ἐξαστράψαντα, Χριστὲ, ἀνεβόησε. Καὶ πάλιν· Ἐν τῇ ἀπροσίτῳ δόξῃ κατ' ὄρος ἐκφανθὲν ἀποῤῥήτως Θαβὼρ τὸ ἄσχετον, καὶ ἄδυτον φῶς τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν κτίσιν φαιδρύναν, τοὺς ἀνθρώπους ἐθέωσε. Καὶ αὖθις· Ἱεροπρεπῶς ἑστῶτες Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβὼρ, τῆς θείας χαρακτῆρα τρανῶς ὑποστάσεως Χριστὸν βλέποντες, ἐν πατρῴᾳ ἐξαστράψαντα δόξῃ ἀνέμελπον. Ταύτην οὖν, εἰπέ μοι, τοῦ Χριστοῦ τὴν θεότητα, τὴν πατρικὴν αὐτοῦ δόξαν τὴν ἀπρόσιτον, καὶ τὸ κατ' αὐτὴν ἀπρόσιτον φῶς, κτίσμα λέγετε εἶναι; Ἔνι δὲ καὶ θεότητα κτιστὴν ὅλως λέγειν; Καὶ ἤκουσταί ποτε τοῦτο λεχθὲν ἐξ αἰῶνος παρὰ τοῖς εὐσεβεῖν D βουλομένοις, καὶ μὴ τῇ κτίσει λατρεύουσιν, ἀλλὰ τῷ κτίστῃ καὶ Δεσπότῃ τῆς κτίσεως μᾶλλον; Καὶ τίς ἂν τῆς τόλμης ἀνάσχοιτο ταύτης; Ποία δὲ καὶ ἀκοὴ καὶ διάνοια μὴ φρίξει καὶ ἀποπηδήσει τούτων τῶν λόγων;

Ἀλλὰ περιττὸν οἶμαι τὸ πρὸς ἐκείνους πολλάκις τὰ αὐτά τε καὶ περὶ τῶν αὐτῶν λέγειν, ὥσπερ ἐπίτηδες μὴ συνιέντας τῶν λεγομένων. Πρὸς δὲ τοὺς ἀκούοντας ὑμᾶς αὖθις τρέψω τὸν λόγον.

Ταῦτα σιγᾷν ἔστιν ὅλως, εἰπέ μοι, τὰ τὴν Χριστοῦ Ἐκκλησίαν τὴν ἀπ' ἄκρων γῆς εἰς ἄκρα διήκουσαν ὑπερφυῶς πάλαι περιλαβόντα, ἃ δὴ καὶ Ῥωμαῖοι, καὶ Σκύθαι, καὶ Πέρσαι καὶ Σαυρομάται, καὶ Γότθοι, καὶ Ἰνδοὶ, καὶ Αἰθίοπες, Βρετανοί τε, Ἱσπανοὶ, καὶ Γερμανοὶ, καὶ Γαλάται, καὶ μυρίων

Digitized by Google

ἐθνῶν φῦλα, ταῖς σφετέραις αὐτῶν ᾄδουσι διαλέκτοις Χριστὸν ἀνυμνοῦντες, καὶ τὴν ἀπόῤῥητον περὶ ἡμᾶς οἰκονομίαν ἐκείνου καὶ παγκόσμιον σωτηρίαν; Διὰ τοῦτο γάρ σοι καὶ τοὺς ἁρμονικοὺς τουτουσὶ λόγους, καὶ τὰς ὑπὲρ τοῦ μυστηρίου μελῳδίας τε καὶ τοὺς ὕμνους συνεχεῖς ἐξεθέμην ἐπίτηδες τῶν σοφῶν διδασκάλων ἐκείνων, οὓς ἐκκλησία πάντων ἐθνῶν τῶν τῷ Εὐαγγελίῳ Χριστοῦ δηλαδὴ πειθαρχούντων πανδημεὶ μετὰ πλείστης ᾄδει τῆς προθυμίας, καὶ μᾶλλον τῶν ἡμετέρων συνιέντες τῶν λόγων τουτωνὶ καὶ τῶν νοημάτων, ὅσῳ καὶ ταπεινότερόν πως καὶ παχύτερον παρὰ τῶν γλωσσῶν καὶ τῶν διαλέκτων ἐκείνων λαλεῖται, τῆς Ἑλληνικῆς γραμματικῆς καὶ τῆς μούσης διαζευχθέντα, κἀντεῦθεν καὶ γυναιξὶ καὶ παισὶ, καὶ βαναύσοις καὶ προσαίταις, καὶ δούλοις γνωστὰ μᾶλλον τῶν παρ' ἡμῖν μετὰ τῶν σεπτῶν Εὐαγγελίων καὶ ταῦτα καθεστηκότα, ὡς πρότερον ἂν ἐκείνους τῆς ψυχῆς καὶ τοῦ πεφυκότος ἢ τῶν ἄνωθεν καὶ ἐκ Πατέρων ἐγνωσμένων αὐτοῖς ἱερῶν τουτωνὶ λόγων τε καὶ ὕμνων ἐκστῆναι. Ἐγὼ δὲ καὶ τὰς μεγάλας ἀποφάσεις τε καὶ προῤῥήσεις ἐκείνας ὡς μάλιστα τοῦ Χριστοῦ δέδοικα μὴ καὶ πρὸς ἡμᾶς ἄντικρυς λέγοιντο, νῦν μὲν τοὺς τῶν Ἰουδαίων γραμματεῖς τε καὶ διδασκάλους ταλανίζοντος ὑπὲρ τούτων καὶ ὑποκριτὰς ἀποκαλοῦντος· *Οὐαὶ* γάρ, φησίν, *ὑμῖν γραμματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε*· νῦν δὲ πρὸς τοὺς μαθητὰς, *Ὅστις ὁμολογήσει ἐν ἐμοὶ*, λέγοντος, *ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὃς δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου*. Εἰ γὰρ καὶ δόξαν, ὡς αὐτός φησιν, οὐ λαμβάνει παρὰ ἀνθρώπων Θεὸς δηλαδὴ πεφυκὼς, ἀλλ' *Ἔγνωκα ὑμᾶς*, πρὸς τοὺς τοιούτους αὖθις φησιν, *ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς*. Καὶ εἰ Μωσῆς ἐκεῖνος ὁ μέγας καὶ ὁ μετ' αὐτὸν εὐθὺς τὰ πρὸς Θεὸν Ἀαρὼν, καίτοι γε καὶ σημείοις ὑπερφυέσιν ὁμοῦ κολάσαντες Αἴγυπτον, τὸν Ἰσραὴλ ἐν χειρὶ κραταιᾷ τῶν Αἰγυπτίων ῥυσάμενοι, θάλασσαν ξύλῳ καὶ τύπῳ μυστηρίου μείζονος σχίσαντες, τὸν τύραννον Φαραὼ πανστρατὶ βυθίσαντες, στύλῳ πυρὸς καὶ νεφέλης ἐν ἐρήμῳ τὸν λαὸν ὁδηγήσαντες, τροφὴν ἐξ οὐρανοῦ χορηγήσαντες, ὕδωρ τὸ μὲν γλυκάναντες, τὸ δ' ἐξ ἀκροτόμου πέτρας παραδόξως ἀναβλύσαι ποιήσαντες, τί μὴ τὸ μεῖζον καὶ ὑπερφυέστατον λέγω; Θεῷ συλλαλοῦντες ἀμέσως καθάπερεί τις φίλος πρὸς φίλον, ἵνα κατ' ἐκείνους αὐτοὺς εἴποιμι· εἰ τοίνυν οἱ τοσοῦτον ἐκεῖνοι καὶ τηλικούτων ὑπερφυῶς ἠξιωμένοι παρὰ τοῦ πάντα φέροντος τῷ ῥήματι τῆς δυνάμεως, μετ' ἐκεῖνα πάντα καὶ δὴ καὶ τὴν ὑπερφυᾶ τοῦ Θεοῦ θεωρίαν, τήν τε ἄῤῥητον ἐκεῖθεν τῆς ὄψεως ἀλλοίωσίν τε καὶ δόξαν, καὶ δὴ καὶ τὸ τοῦ ἔθνους παντὸς κράτος, καὶ στρατηγίαν ὁμοῦ καὶ νομοθεσίαν ἔγγραφόν τε καὶ ἄγραφον καθαπερεί τινες τῶν καταδίκων μὴ τὴν τῆς ἐπαγγελίας ἰδεῖν γῆν, μηδὲ τὴν ὑμνουμένην πάλαι κληρονομίαν ἀπολαβεῖν σὺν τοῖς ἀπειθήσασι, φεῦ! ἐκείνοις κατεδικάζοντο. *Ἀνάβαινε* γὰρ *εἰς τὸ ὄρος*, πρὸς Μωϋσῆν ὁ Θεὸς ἔλεγε, *καὶ τελεύτα*· τὸ δ' αὐτὸ τοῦτο καὶ μικρῷ πρόσθεν πρὸς Ἀαρὼν δηλαδὴ τὸν ἀδελφὸν οὐδὲν ἧττον τὴν ἀξίαν ἢ καὶ τὸ σῶμα, ὅτι *Οὐ μὴ εἰσέλθητε*, φησὶν, *εἰς τὴν γῆν ἣν ἔδωκα τοῖς υἱοῖς Ἰσραὴλ ἐν κατασχέσει, διότι ἠπειθήσατε τῷ ῥήματί μου ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τοῦ ὕδατος ἀντιλογίας Κάδης ἐν τῇ ἐρήμῳ Σὴν, διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς Ἰσραήλ*· εἰ τοίνυν Μωσῆς ὁ νομοθέτης, ἡ τῶν προφητῶν κορυφὴ, ὁ τηλικοῦτος Θεοῦ φίλος ἅμα καὶ θεωρὸς, τοιαύτας ὑπεῖχε τὰς δίκας σὺν τἀδελφῷ μὴ δοξάσαντες τὸν Θεὸν ἐπὶ τοῦ ὕδατος ἐνώπιον τοῦ λαοῦ, τοῦτο καὶ γάρ ἐστι τὸ *οὐχ ἡγιάσατε. Μὴ γὰρ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὕδωρ;* ὁ Μωϋσῆς ὀργιζόμενος ἔφησε γογγύζοντι καὶ ἀποδυσπετοῦντι τῷ Ἰσραὴλ, τί ποτε ἄρα προσδοκᾷν δεῖ καὶ τίνων οὐχ ὑπευθύνους ἔσεσθαι τῶν κολάσεων, μᾶλλον δὲ πῶς μὴ τῆς ἀληθινῆς ἐπαγγελίας ἐκπεσεῖσθαι τῆς τῶν πραέων δηλαδὴ γῆς ἐν τῷ μέλλοντι, ἧς ἡ τῆς ἐπαγγελίας ἐκείνη πάλαι Αἴγυπτος ἦν, καὶ μετὰ τῶν ἀγνωμόνων τε καὶ θεοκτόνων Ἰουδαίων ἀποβληθήσεσθαι τοὺς παραπλησίως ἐκείνοις εἰς αὐτὴν βλασφημοῦντας ἀναίδην τὴν παρὰ παντὸς ἱεροῦ τε καὶ θεολόγου στόματος ἄνωθεν ἱεροπρεπῶς ὑμνουμένην δόξαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μετὰ τὸ φῶς τοῦ κόσμου, μετὰ τὴν λαμπρὰν ἀνατολὴν τοῦ τῆς δικαιοσύνης ἡλίου τοὺς παγκοσμίους τε μερισμοὺς καὶ φωτισμοὺς τοὺς τοῦ Πνεύματος, καὶ τὰ μεγάλα κηρύγματα καὶ τὴν παγγενῆ τῶν ἀνθρώπων σωτηρίαν τῇ σαρκὶ καὶ αὐτοὺς προσκόπτοντας κατ' ἐκείνους, καὶ ἀπειθοῦντας τῇ θεότητι χεῖρον ἐκείνων, ὅπερ οὐδὲ οἱ δαίμονες, φησὶν ἡ μεγάλη γλῶττα καὶ θεολόγος; Ὑφορῶμαι δὲ πρὸς τούτοις οὐχ ἧττον καὶ τὸν τὸ δεσποτικὸν κατορύξαντα τάλαντον, καὶ τὴν ἐκείνου φοβερὰν καταδίκην. *Ἔδει* καὶ γάρ σε, φησί, *πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ, ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ*. Ἀργύριον δ' ἔγωγε τὸ τὴν βασιλικὴν ἄντικρυς φέρον εἰκόνα, τοὺς εὐαγγελικούς τε καὶ δεσποτικοὺς φαίην ἂν λόγους, τοὺς τὴν ἄῤῥητον ἡμῖν ἐκείνου μεταμόρφωσιν ὑπογράφοντας, τοῦ τὴν ἀνθρωπείαν οὐσίαν ἐν ἑαυτῷ δεδειχότος τὸ ἀρχέτυπον κάλλος τῆς θείας εἰκόνος ἀναλαβοῦσαν, τοῦ μεταστοιχειώσαντος αὐτὴν εἰς τὴν τῆς αὐτοῦ θεότητος λαμπρότητά τε καὶ δόξαν, τὸ ἀπρόσιτον καὶ ἀναλλοίωτον καὶ ἀΐδιον καὶ ἀνέσπερον καὶ φυσικὸν ἐκείνου φῶς τὸ θεουργῆσαν τὴν ἡμῶν φύσιν κατὰ τοὺς ἱεροὺς θεολόγους, ὑπὲρ οὗ πρᾶξις πᾶσα Χριστοῦ καὶ ἅπαν μυστήριον, ὃ δὴ καὶ δόξαν αὐτὸς καὶ βασιλείαν ἑαυτοῦ τε καὶ τοῦ Πατρὸς φθάσας ἐδίδαξεν· οὐδὲ γὰρ παύσομαί ποτε ταῦτα καὶ τὰ τοιαῦτα καὶ λέγων καὶ γράφων, καὶ λαμπρόν τε καὶ διαπρύσιον ἀνακηρύττων τοῖς ἐγγύς τε καὶ τοῖς μακρὰν πᾶσιν, εἰ καὶ στόμα μοι ἓν καὶ γλῶττα κατὰ φύσιν πρόσεστι μία, τῷ βουλομένῳ μοι τῆς ψυχῆς καὶ τῇ προθυμίᾳ ταύτης πρὸς ὑπηρεσίαν οὐκ ἐξαρκοῦντα τοῦ λόγου. Σκοπῶ δὲ πρὸς τοῖς εἰρημένοις κἀκεῖνο, ὃ

Digitized by Google

δὴ καὶ πρὸ βραχέος εἰπὼν ἔφθην, ὅτι μὴ πρὸς μόνους τοὺς λόγους ἡμᾶς οἱ θεολόγοι τοῦ μυστηρίου, ἀλλὰ καὶ πρὸς αὐτά φημι τὰ πράγματα, καὶ τὴν ὑψηλοτάτην ἐκείνην θεωρίαν τε καὶ τὴν πεῖραν ἅπαντας προκαλοῦνται. Ἐπειδὴ καὶ κοινὸν τῇ ἀνθρωπείᾳ φύσει παρὰ τοῦ Χριστοῦ τὸ τῆς θεώσεως γέρας, καὶ φθόνος οὐδεὶς ἀναβάσεως κατὰ τὸν εἰπόντα. Καὶ τίς ἂν ὑπεραπολογήσαιτο λόγος τῶν μηδὲ πίστει τοὺς ὑπὲρ τούτων γε λόγους προσιεμένων, ὧν ἔδει κατὰ τὴν θείαν δηλαδὴ βουλὴν καὶ τοὺς ἱεροὺς λόγους τῶν διδασκάλων καὶ τὴν πεῖραν κεκτῆσθαι; τοῦτο καὶ γὰρ οἵ τε πρὸ βραχέος ῥηθέντες ὑπέδειξαν θεολόγοι διὰ τῶν ὕμνων τοῦ μυστηρίου, καὶ μὴν καὶ διὰ τῶν αὐτῶν λόγων ἐναργέστερον οἱ αὐτοὶ δείξουσιν αὖθις.

Παρίτω τοιγαροῦν καὶ αὖθις Ἀνδρέας ὁ μέγας, περὶ τῶν αὐτῶν ὥσπερ ἐν ἐπιλόγοις βραχέ' ἄττα διαλεξόμενος. Ὡς δ' ἔγωγε, φησὶν, οἶμαι, πρὸς τοῦτο βλέπει καὶ τῆς μεταμορφώσεως ὁ σκοπὸς, καὶ τοῦτον παρ' ἡμῶν ὑμνεῖσθαι τὸν τρόπον τὸ μυστήριον βούλεται. Βούλεται γὰρ συνιέντας ἡμᾶς τοῦ βάθους τῶν κατ' αὐτὸν πεπραγμένων καὶ εἰρημένων, τῇ γνώσει δραστικωτέραν ἐπισπάσασθαι τὴν χάριν, μιμήσει τοῦ μεταμορφωθέντος, καὶ ἐν ἡμῖν αὐτοῖς ἐνεργοῦσαν, τὸ θαυμαστὸν δὴ τοῦτο καὶ ξένον μυστήριον. Καὶ Ἰωάννης αὖθις ὁ θαυμαστὸς τῆς Ἐκκλησίας φιλόσοφος, Δεῦτε τοίνυν, φησὶ, καὶ ἡμεῖς τῶν μαθητῶν ζηλώσωμεν τὸ ὑπήκοον, καὶ καλοῦντι Χριστῷ προθύμως ἑψώμεθα, καὶ τῶν παθῶν τὸν ὄχλον ἐκτιναξώμεθα, καὶ Θεοῦ ζῶντος Υἱὸν ἀνεπαισχύντως ὁμολογήσωμεν, καὶ τῆς ἐπαγγελίας γεγονότες ἐπάξιοι, πρὸς τὸ ὄρος τῶν ἀρετῶν τὴν ἀγάπην ἀναφοιτήσωμεν, καὶ θεαταὶ τῆς δόξης καὶ ἀκουσταὶ τῶν ἀποῤῥήτων γενώμεθα. Ὄντως γὰρ μακάριοι, ὡς ὁ Κύριός φησιν, οἱ τῶν ὁρώντων ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὅτι ἀκούουσι, ἃ πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν καὶ ἀκοῦσαι, καὶ οὐκ ἔτυχον τῆς ἐφέσεως. Καὶ πάλιν ταῦτα τὰ θεῖα προστάγματα πάσῃ φυλακῇ τηρήσωμεν, ὡς ἂν καὶ ἡμεῖς τῆς θείας αὐτοῦ κατατρυφήσωμεν ὡραιότητος, τῆς αὐτοῦ γλυκυτάτης ἐμφορούμενοι γεύσεως· νῦν μὲν ὅσον ἐφικτὸν τοῖς τὸ γεῶδες τοῦτο πεφορτισμένοις σκῆνος τοῦ σώματος, ἔπειτα τρανότερόν τε καὶ καθαρώτερον, ὅταν ἐκλάμψωσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος, ὅτε τῶν ἀναγκῶν ἀπαλλαγέντες τοῦ σώματος, ὡς ἄγγελοι σὺν Κυρίῳ ἄφθαρτοι ἔσονται, ἐν τῇ μεγάλῃ καὶ ἐπιφανεῖ ἐξ οὐρανῶν ἀποκαλύψει αὐτοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Γρηγόριος δ' αὖθις, ἡ μεγάλη καὶ φιλόσοφος γλῶσσα τῆς Ἐκκλησίας, τὰ περὶ τοῦ θαυμαστοῦ Στεφάνου, καὶ τῆς ὑπὲρ φύσιν ἐκείνου θεωρίας αὐτῷ ῥηθέντα, δι' εὐχῆς καθάπερ ἐπισφραγίζων, Γένοιτο δὲ, φησὶν, ἡμᾶς μὴ θεατὰς μόνον γενέσθαι, ἀλλὰ καὶ μετόχους τῆς χάριτος, πληρωθέντας τοῦ ἁγίου Πνεύματος καὶ καθαίρεσιν τῶν ἀντιδίκων . . ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἀλλ' Ἰωάννης ἡμῖν ὁ καὶ γλῶτταν χρυσοῦς καὶ διάνοιαν αὖθις παρελθέτω τῷ λόγῳ, καὶ ἡμῖν ἐπι-
A σφραγίσων τὸν λόγον, ὡς ἂν ὁ αὐτὸς καὶ ἀρχὴ καὶ τέλος ἡμῖν εἴη τῶν διδασκάλων ἐνταῦθα τοῦτον κοσμῶν ἑκατέρωθεν. Φησὶ γοῦν, Ἐπειδὴ γὰρ ἄδηλον ἦν τοῖς ἀκούουσι τέως τὸ ῥῆμα τὸ περὶ βασιλείας, διὰ τοῦτο ἀνελθὼν ἐν τῷ ὄρει, μετεμορφώθη ἔμπροσθεν τῶν μαθητῶν αὐτοῦ, παρανοίγων αὐτοῖς τῶν μελλόντων τὴν δόξαν, καὶ ὡς ἐν αἰνίγματι καὶ ἀμυδρῶς ἐπιδεικνὺς οἷον ἔσται τὸ σῶμα τὸ ἡμέτερον. Ἀλλὰ τότε μὲν μετὰ ἱματίων ἐφάνη, ἐν δὲ τῇ ἀναστάσει οὐχ οὕτως. Οὐ γὰρ δεῖται τὸ σῶμα ἡμῶν ἱματίων, οὐδὲ στέγης, οὐδὲ ὀρόφου, οὐδὲ ἄλλου τῶν τοιούτων οὐδενός. Εἰ γὰρ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως γυμνὸς ὢν οὐκ ᾐσχύνετο, δόξῃ ἠμφιεσμένος, πολλῷ μᾶλλον τὰ σώματα τὰ ἡμέτερα, ὅσῳ καὶ ἐπὶ λῆξιν ἀμείνω βαδιεῖται, οὐδενὸς τούτων δεηθήσεται. B Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἀνιστάμενος τὰ ἱμάτια ἐπὶ τοῦ τάφου καὶ σοροῦ κεῖσθαι εἴασε, γυμνὸν ἀναστήσας τὸ σῶμα δόξης ἀφάτου καὶ μακαριότητος ἐμπεπλησμένον. Ταῦτ' οὖν εἰδότες, ἀγαπητοὶ, καὶ διὰ λόγων παιδευθέντες, καὶ δι' ὀφθαλμῶν διδαχθέντες, τοιαύτην ἐπιδειξώμεθα πολιτείαν, ἵνα ἐν νεφέλαις ἁρπαγέντες, ἀεὶ μετ' αὐτοῦ διατρίβοντες ὦμεν σωζόμενοι τῇ αὐτοῦ χάριτι, καὶ τῶν μελλόντων ἀπολαύοντες ἀγαθῶν.

Ἀλλ' ὁ μὲν περὶ τῶν θαυμαστῶν τουτωνὶ μυστηρίων λόγος, ὦ φίλε παῖ, τὸ γλυκύ μοι καὶ πρᾶγμα καὶ ὄνομα, δι' ὃν ἄρα καὶ τὸν ἀγῶνα τοῦτον προθύμως ἐνεστησάμην, ἱκανῶς σοι παρὰ τῶν ὑπηρετῶν τε καὶ διακόνων αὐτῶν εἴργασται τοῦ Λόγου, διδα-
C σκόντων, ἃ παρ' αὐτοῦ καλῶς ἐδιδάχθησαν· οὐδὲν γὰρ τῆς τοῦ Λόγου φωνῆς ἐναργέστερόν τε καὶ ὑψηλότερον· μᾶλλον δ' ἅπερ τῇ πείρᾳ καλῶς ἔγνωσαν παθόντες κατ' αὐτοὺς τούτους εἰπεῖν τὸ μακάριον ἐκεῖνο πάθος καὶ πολυύμνητον, ἔχεις καὶ γὰρ ἤδη μαθὼν παρ' αὐτῶν φημι τῶν πρώτων μαθητῶν καὶ εὐαγγελιστῶν τοῦ Λόγου, καὶ δὴ καὶ τῶν μετ' αὐτούς τε καὶ κατ' αὐτοὺς θεολόγων τούτου καὶ διδασκάλων, ὅτι βασιλεία καὶ δόξα Θεοῦ τὸ τῆς μεταμορφώσεως θεῖον μυστήριον, ὃ δὴ καὶ ὀφθαλμοῖς ἰδεῖν ἐπὶ τοῦ ὄρους ἠξιώθησαν οἱ ἀπόστολοι, καὶ ὅτι οὐχ ἁπλῶς βασιλεία καὶ δόξα, ἀλλὰ δόξα φυσικὴ καὶ θεότης καὶ προοίμιον τῆς ἐν τῷ μέλλοντι φανησομένης ἐν Χριστῷ βασιλείας καὶ δόξης, ἧς δήπου καὶ τοὺς ἁγίους καὶ θεατὰς ἅμα καὶ κοινωνοὺς καὶ μετ-
D όχους ἐργάσεται, ἄλλους ἡλίους καὶ ἴσους ἀγγέλων, καὶ υἱοὺς ἀποτελῶν Θεοῦ, κατὰ τὴν ὑπόσχεσιν. Ἔγνως, ὡς οὐδὲν τῶν κτισμάτων ἐκεῖνο, οὐδὲ τῶν φαινομένων τε καὶ δυομένων ἢ λυομένων, ἀλλὰ φῶς ἄχρονον καὶ ἀπρόσιτον, καὶ φυσικὸν τοῦ Θεοῦ. Ἔμαθες, ὅτι φυσικὸν μὲν τοῦτο, καὶ τῆς οὐσίας ἀχώριστον· οὐχ ἡ φύσις δὲ . . . . . . . . .
. . . . . . . . . . . . . . . .
. . . ἤκουσας γὰρ, ὅτι οὐκ ἀνθρωπίνοις ὀφθαλμοῖς ὁρῶσιν ἐκεῖνο τὸ φῶς οἱ ἅγιοι, τὸ μὴ μόνον ὑπὲρ αἴσθησιν πεφυκὸς, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν ἀνθρωπίνην διάνοιαν, ἀλλὰ Πνευματικὸν καὶ ὑπερφυές. Ἔγνως ἐπὶ πᾶσιν ἐκεῖνο, ὅτι τοῦτο τὸ τῆς μεταμορφώσεως μυστήριον βούλεται, ὥστε τῶν ἐν αὐτῷ πεπραγμένων καὶ εἰρημένων παρὰ Χριστοῦ,

Digitized by Google

τοῦ βάθους αἰσθανομένους ἡμᾶς, καὶ τὴν τῶν παθῶν ἀκαθαρσίαν τῆς ψυχῆς ἀποῤῥίψαντας, κἀντεῦθεν πρὸς τὸ τῆς ἀγάπης ὕψος ἀρθέντας νῦν μὲν ἀμυδρότερον καθόσον οἷόν τε θεατὰς χρηματίσαι Πνεύματι θείῳ τῆς θεοποιοῦ ταύτης χάριτος, ἐν δὲ τῷ μέλλοντι λαμπρότερόν τε καὶ ὑψηλότερον μετασχεῖν ταύτης . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . .

τὸν Υἱὸν τοῦ Θεοῦ κατ' ἀλήθειαν χρηματίσαι καὶ ἄνθρωπον, ὅπως τὸν ἄνθρωπον Θεὸν ἐργάσηται κατὰ με . . τῇ κοινωνίᾳ τοῦ θεοποιοῦ τούτου φωτὸς καὶ τῆς χάριτος.

Καὶ γὰρ ἀληθῶς ἡ τῆς ἀνθρωπείας φύσεως θέωσις, ἧς οἱ θεούμενοι καταξιοῦνται τῇ μετοχῇ τοῦ ἁγίου Πνεύματος. Τὴν μὲν γὰρ ἀπαρχὴν ἡμῶν τῇ καινῇ μίξει τῆς θείας φύσεως καὶ τῇ ἑαυτοῦ ὑποστάσει ὑπὲρ λόγον ὑποστήσας ἐθέωσε· τοὺς δὲ τῆς ὄντως υἱοθεσίας ἀξιουμένους ἐξ ἐκείνου δηλαδὴ καὶ θεωμένους τῷ Πνεύματι τῇ κοινωνίᾳ καὶ μετοχῇ θεουργεῖ τῆς αὐτοῦ θεοποιοῦ χάριτος, υἱοὺς Θεοῦ καὶ θεοὺς καὶ ὁμοίους ἑαυτῷ κατ' αὐτό φημι τοῦτο καὶ αὐτοὺς ὁ μόνος κατὰ φύσιν Θεὸς ὑπερφυῶς ἐργαζόμενος.

Καὶ διὰ τοῦτο καὶ Ἰωάννης ὁ τῆς βροντῆς γόνος, *Νῦν*, φησί, *τέκνα Θεοῦ ἐσμεν. Καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. Οἴδαμεν δὲ ὅτι, ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα*· τὴν ἐν τῷ μέλλοντι τελεωτέραν τῆς θεοποιοῦ ταύτης χάριτος μετοχὴν καὶ κοινωνίαν τῶν κατ' αὐτὸν αἰνιττόμενος, δι' ἧς ὡς ὁ ἥλιος ἐκεῖ κατὰ τὸν τοῦ Χριστοῦ λόγον λάμψουσιν αὐτῷ τῷ τῆς δικαιοσύνης ἡλίῳ Χριστῷ, τῷ τεθεωμένῳ ἐκείνου φημὶ ἐξομοιούμενοι σώματι. Ὃ δὴ καὶ ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης πρὸ βραχέος ἐν ἐπιλόγοις φανερώτερον, καθάπερ ἤκουσας, ἔφησεν. Οἱ μὲν οὖν διὰ καθαρότητα βίου, κἀντεῦθεν ἀξίους ἑαυτοὺς τῆς τοῦ θείου Πνεύματος ἐνοικήσεως καταστήσαντες, ἔχουσιν ἤδη καθάπερ ἐν ἀῤῥαβῶνος μέρει τὰς ἀρχὰς τῆς μελλούσης θεώσεως, ἀναστάντες, τὴν τῆς ψυχῆς φημι μεγάλην καὶ πρώτην ἀνάστασιν, καὶ πρὸ τῆς τῶν σωμάτων κοινῆς ἀναστάσεως· ἡμῖν δὲ οἷς ὁ τῆς ἁμαρτίας ἔτι καὶ τῶν παθῶν ζόφος ἐπισκοτεῖ, μήπω διὰ μετανοίας εἰλικρινοῦς τὸν φραγμὸν τουτονὶ διακόψασιν, ἡ πίστις μόνη τοῦ μυστηρίου, καὶ ἡ φιλία τῶν ἐκείνου κηρύκων καὶ ἡμῶν διδασκάλων, καθάπερ ἐνέχυρόν τι τῆς ἐλπιζομένης ἐκείνης μακαριότητος ὑπολέλειπται· καὶ τὴν ἄπειρον ἅμα φιλανθρωπίαν τοῦ Δεσπότου κατὰ νοῦν στρέφουσι, δι' ἣν δήπου καὶ Θεὸς ὢν ἄνθρωπος ἐχρημάτισε, καὶ προσέτι καὶ μεσίτας τε καὶ προστάτας ἐκείνους τοῦ καθ' ἡμᾶς ἱστάμενοι πράγματος, κἀντεῦθεν, ὡς οὐκ ἐκπεσούμεθα καθάπαξ τῆς πρὸς τὴν κοινὴν φύσιν κοινῆς καὶ ὑπερφυοῦς τοῦ Δεσπότου φιλοτιμίας τέως ἐλπίζοντες ἐν τῷ μέλλοντι, εἰ καὶ διὰ ῥαθυμίαν φεῦ! καὶ τῆς ἐπιβούλου σαρκὸς ταύτης ἀσθένειαν, πρὸς δὲ καὶ τῶν ἀσάρκων τε καὶ ἀσπόνδων ἐκείνων ἐχθρῶν τὴν ἐπήρειαν, ἢ οὐκ οἶδ' ὅ τι καὶ φῶ, τῆς ἐν τῷ παρόντι μεγάλης καὶ μυστικωτάτης ἐκείνης τοῦ Πνεύματος χάριτος ἀμοιρήσαιμεν· καὶ δι' αὐτὸ τοῦτο μάλιστ' ἔγωγ' ἂν αὐτὸς φαίην καὶ τὸν κοινὸν τοῦ ἀνθρωπείου γένους πολέμιον πρὸς τῷ τέλει τοῦ παρόντος αἰῶνος . . . .

. . . . . . . . . . . . . . . . . .

ὡς μὴ ὤφε . . κὴ δὲ φωνῆς ἱερᾶς ἄκουε . . ειν ῥᾳδίως μηδὲ διδάσκεσθαι περὶ τούτου τὸ σύνολον· καὶ κενωθῶμεν ὅσον τὸ κατ' αὐτοὺς τὸ μέγα τῆς μεγάλης οἰκονομίας Χριστοῦ μυστήριον, τοῖς δ' ἀγνώμοσι καὶ θεοκτόνοις φεῦ! Ἰουδαίοις, μετ' Ἀρείου τε καὶ Νεστορίου τῶν πάλαι τῆς Χριστοῦ μοίρας ἀπεῤῥωγότων κάκιστα θύραν ἀνοίγειν, καὶ ἀφορμὰς οὐ φαύλας διδόναι τῆς κατὰ τοῦ Μονογενοῦς ὕβρεως. Τοῦτο καὶ γὰρ ἡ παροῦσα τῆς φυσικῆς αὐτοῦ δόξης καὶ τῆς θεότητος ἀθέτησις ἄντικρυς. Ἀλλ' . . . . . . . . . . . . . . .

. . . . . . . . . . . . . . . . . .

θούντων τὸ . . . λόγοις καὶ αὐτὸς καθάπαξ . . . χου, καὶ μηδὲ χαίρειν αὐ . . . ς λέγε . . τὸν ἐπιστήθιον εἰπεῖν Θεολόγον, ἕως ἂν ἐπὶ τῆς αὐτῆς ἀντιλογίας δηλαδὴ μένειν ἐθέλωσιν, *Εἴ τις* καὶ γάρ, φησίν, *ἔρχεται πρὸς ὑμᾶς, καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει, μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν αὐτῷ μὴ λέγετε. Ὁ γὰρ λέγων αὐτῷ χαίρειν κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς*, καὶ οὐδὲ τοῖς ταῦτα παραινοῦσι σιγᾶν καὶ τὰς νοητὰς τοῦ τῆς δικαιοσύνης ἡλίου τῷ λόγῳ κρύπτειν ἀκτῖνας τὸν νοῦν ὅλως πρόσεχε. Ἔνδοξον γάρ τι καὶ λαμπρὸν ὄντως κατὰ τὸ εἰρημένον τὸ τὰ ὑπὲρ ἡμῶν ἀνακηρύττειν ὑπερφυᾶ ταυτὶ τοῦ Θεοῦ ἔργα, ὥσπερ αὖ καὶ τὸ μυστήρια κρύπτειν τῶν κάτω τουτωνὶ βασιλέων καλόν· ἄλλως θ' ὅτι καὶ μηχανή τις ἄλλη καὶ τοῦτο τοῦ παμμηχάνου καὶ σκολιοῦ δράκοντος, τὸν τῆς ἀπιστίας ἰὸν ἑτέρῳ καινοτέρῳ τρόπῳ τινὶ ταῖς τῶν πολλῶν ἐνιέναι καρδίαις κάκιστα σπεύδοντος. Σὺ δὲ μένων ἀποστολικῶς εἰπεῖν ἐν οἷς ἔμαθες, καὶ ἐδιδάχθης, τούτους τε κἀκείνους, ὅπερ ἔφην, ἀποποιοῦ, καὶ σεαυτὸν γυμνάζων διαπαντὸς πρὸς εὐσέβειαν κατὰ τὸν αὐτὸν Ἀπόστολον τούτοις τοῖς λόγοις, ἔτι καὶ τὸ δεσποτικὸν ἐπεργάζου τάλαντον ὡς πιστὸς καὶ φρόνιμος οὕτως δοῦλος, αὔξων αὐτὸ καθεκάστην τῇ τῶν παρὰ σοῦ διδασκομένων τε καὶ ὠφελουμένων προσθήκῃ. Οὕτω καὶ γὰρ ἕξεται σοι, βέλτιστε, μόνως ὀλίγα τινὰ διὰ τῆς καλλίστης.

Digitized by Google

ANNO DOMINI MCCCL

# GREGORIUS ACINDYNUS

## NOTITIA

(Oudin De Script. eccles., tom. III, col. 915.)

Gregorius Acindynus, monachus Græcus ac theologus, florebat eodem tempore quo Barlaamus Calaber, eamdemque cum ipso palæstram ingressus est, eamdem cum ipso fortunam sortitus. Cum enim juxta Spondanum in *Annalibus ecclesiasticis* ad annum 1337, num. XI, Gregorius quidam Palamas, genere Asiaticus, et in aula imperatoris educatus, doctrina cæteris eminentior monachis, qui et postea Thessalonicensis archiepiscopus factus est, suscepisset defendendam doctrinam seu errorem monachorum *Hesychastarum* seu *Quiescentium*, in monte Atho habitantium, qui perverse asserebant *Lumen illud quod in monte Thabor apostoli in Transfiguratione Domini viderant, fuisse lucem increatam, hoc est, essentiam divinam : eamque sese dum in oratione sua incalescerent, oculis etiam corporeis cernere et contemplari* . opinatus hoc sensus esse hæreticos Gregorius Acindynus, cum Barlaamo Calabro, adversarium se Palamæ objecit. Accusabat Acindynus Palamam monachosque, quorum hæresim ille tuebatur, Massalianismi, probeque et catholice argumentabatur : Si lumen illud corporeis oculis visum est, increatum non esse, quandoquidem quidquid oculis corporeis videri potest, creatum esse necesse est. Inde ergo graves turbæ et disputationes excitatæ sunt, sed adversariorum argumenta copiose, et quoad materias tunc controversas orthodoxe confutavit jam præfatus Gregorius Acindynus, qui una cum aliis ejusdem argumenti omnibus, simulque relatione totius hujus dissidii a Daniele quodam monacho conscripta, exstare mss. dicuntur in Bibliothecis Bavarica et Augustæ Vindelicorum in Germania, teste Jacobo Pontano in *Notis* suis ad Cantacuzeni Historiam, lib. II, cap. 40. At tandem agente Joanne Cantacuzeno imperatore, Barlaamus et Acindynus post mortem suam damnati sunt. Cantacuzenus in *Historia* lib. IV, cap. 23. Damnatus itaque est Gregorius Acindynus in concilio Palamitarum, quod refert Henricus Spondanus in *Annalibus ecclesiasticis*, ad annum 1350, num. 30. Sed immerito ac post mortem damnatus, dum non esset, qui amplius loqueretur, agente ejus adversario imperatore vel tyranno potius Joanne Cantacuzeno, hujus concilii capite ac magistro. Quæ tantum abest juxta Pontanum, ut Gregorii Acindyni memoriæ noceant, quin ipsi e contra magno orthodoxiæ et probitatis argumento sint. Opusculum Gregorii Acindyni *De essentia et operatione Dei*; ejusdem Gregorii Acindyni Epistolæ, et alia, Græce in codice 124 exstant serenissimi Bavariæ ducis. Item in Regia Galliæ Bibliotheca Codice 1379, *Refutationes Acindyni pro Palama*, ut habet Philippus Labbeus in *Nova Bibliotheca mss. librorum* Bibliothecæ Regiæ parte II, pag. 86, codice 1379. Exstat ejusdem *Gregorii Acindyni Carmen jambicum de hæresibus Palamæ*, tomo I *Græciæ Orthodoxæ* Leonis Allatii pag. 756, sub hoc titulo : Γρηγορίου τοῦ Ἀκινδύνου, etc. Incipit autem Σπουδῇ Παλαμᾶν εὐσεβὴς πᾶς φευγέτω, οὐδὲν γὰρ ἐχεῖ etc. Agunt de Gregorio Acindyno Nicephorus Gregoras *Historiæ* lib. II, cap. penultimo. Joann. Cantacuzenus ejus hostis, *Historiæ* libro II, capp. 39 et 40, et libro IV, cap. 23. Jacobus Pontanus notis suis in Cantacuzeni *Historiam*, libri II cap. 40, ubi pluribus de illo atque cum laudibus non paucis ; Henricus Spondanus in *Annalibus Ecclesiasticis* ad annum 1337, num. 11, et ad annum 1350, num. 20.

Digitized by Google

# GREGORII ACINDYNI

## LIBRI DUO

## DE ESSENTIA ET OPERATIONE DEI

Olim adversus inscitiam quorumdam Græcorum conscripti, jam vero contra Calvinianam imperitiam Conradi Vorstii et Vorstianorum Græce publicati. Editore Jacobo GRETSERO Societatis Jesu theologo.

—

### *JACOBI GRETSERI PRÆFATIO.*

Quo tempore Joannes Cantacuzenus Constantinopolitanum imperium tenebat, gravissimæ controversiæ exstiterunt de essentia et operatione Dei, quibusdam affirmantibus, essentiam et operationem aliasque proprietates Dei ita distingui, quemadmodum distinguitur lux solis a substantia solis, inter quos facile primas tenebant Philotheus primum montis Atho monachus, postea episcopus Heracleensis, et tandem patriarcha Constantinopolitanus, et Gregorius Palamas archiepiscopus Thessalonicensis, qui cum alios multos, tum ipsum quoque Cantacuzenum suam in opinionem traduxerunt. Hinc illæ laudes, quibus Cantacuzenus in Historia sua Philotheum et Palamam extollit et tanquam orthodoxiæ sinceros et invictos propugnatores decantat, Barlaamo et Gregorio Acindyno ad imum usque solum depressis, et ceu hæreticis, quadruplici synedrio damnatis, una cum omnibus sectatoribus, ex quorum numero tandem fuit etiam Nicephorus Gregoras, in quem Cantacuzenus non semel acriter insurgit, et acrius patriarcha Philotheus.

Verum de tota ista controversia si quis plura desiderat, is adeat ea, quæ ex ineditis fere scriptoribus notavimus ad caput ultimum libri secundi Historiæ Cantacuzenicæ (*a*) Ubi etiam de lumine Thaborio, quod Philotheus et Palamas increatum statuebant, disseruimus, Barlaamo et Acindyno contra nitentibus et veritati fortiter patrocinantibus.

Non dubito autem, hunc Barlaamum esse illum ipsum, cujus epistolas ad Græcos tomo quinto *Antiquæ lectionis* evulgavit D. Henricus Canisius, V. C. Ex Græcia enim in Italiam rediit et Hieracis episcopus constitutus est, ut testatur ipsemet Cantacuzenus lib. II, capite ultimo.

Cæterum tolerabilia videri possunt quæ Græci quondam somniarunt et delirarunt, præ impiis et terque quaterque exsecrandis assertionibus quas in libro suo *De attributis Dei* ex impurissimis suis faucibus Conradus Vorstius Calvinista evomuit; qui perfricta fronte et mente negat, Deum esse *immensum, infinitum, incorporeum, et ab omni compositione atque mutatione liberum*. Qui æque sacrilege addit: *Decreta Dei esse vera accidentia, distincta a Dei substantia; æternitatem Dei non esse indivisibilem ac totam simul, sed successivam. Deum non esse totum in qualibet re, in qua est*, et id genus alia non tantum theologiæ, sed et philosophiæ ipsique adeo naturali rationi penitus adversantia.

At nemone ex Lutheri et Calvini castris repertus est qui se huic teterrimæ impietati opponeret? Imo non unus. Nam ex Frisia prosilierunt Sibrandus Lubertus, Joannes Bogermannus et communi nomine ministri Leovardienses, et alii aliunde, ut Acronius, Fraxinus, Bogaert, Plancius, Becius et Festus, qui in Vorstium ejusque discipulos non minorem impetum dederunt quam Lapithæ in Centauros; tametsi neque Centauri, hoc est Vorstiani, se deseruerunt. Nam præter ipsum signiferum Vorstium arma quoque sumpsit et induit Hugo Grotius Hollandici fisci advocatus, evulgato libro cui titulum indidit: *Ordinum Hollandiæ ac Westfrisiæ Pietas*. Sed hanc *Pietatem* paulo post admodum, vel potius supra modum pie exceperunt Sibrandus et Bogermannus, ut forsitan Grotium suæ pietatis jam pœniteat, operæque tempus, quod huic Pietati impendit, in ærarii rationibus conficiendis, aut in poeta quopiam emaculando consumptum esse.

(*a*) In tomo nostro CLIII, col. 679 EDIT.

Digitized by Google

Verum cum Vorstiani oppugnatores veræ ac solidæ theologiæ et philosophiæ penitus sint rudes ac ignari, fit ut non tantum inscite et imperite rem contra Vorstium gerant, sed et sæpius errores erroribus cumulent, ut fatebitur quisquis polemicos hujus argumenti ab istis evulgatos libellos perlegerit, vel, si tantum otii non est, saltem paulo curiosius inspexerit; quibus suadeo, ut se huic Acindyno dent in disciplinam, qui de Dei essentia et operatione sane et vere eos sapere docebit; quem Græce tantum edo; utinam licuisset integre et integrum. Sed codex manuscriptus non modo mutilus, sed et mendosissimus erat. Forte alicubi exstat integrior et correctior, ex quo ea quæ nostro desunt suppleri et restitui poterunt. Quod ut fiat, opto. Num optanti exoptatus eventus sit responsurus, nescio. Bene vale, mi Lector.

---

ΤΟΥ ΤΙΜΙΩΤΑΤΟΥ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ

# ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΑΚΙΝΔΥΝΟΥ

## ΠΕΡΙ ΟΥΣΙΑΣ ΚΑΙ ΕΝΕΡΓΕΙΑΣ.

REVERENDISSIMI INTER HIEROMONACHOS

# DOMNI GREGORII ACINDYNI

LIBER

## DE ESSENTIA ET OPERATIONE.

### CAPITA PRIMI LIBRI.


1. *Prooemium primi libri. Quod variorum operationis sensuum confusio causa est cur nec ordinate nec recte de præsenti quæstione disseratur.*
2. *De divisione et ordine librorum hujus operis.*
3. *Quod in Deo non est potentia passiva.*
4. *Quod essentia Dei est esse ipsius.*
5. *Objectiones adversariorum, earumque solutiones cum nostra propositione.*
6. *Quod Deus non est materia.*
7. *Objectiones adversariorum solvuntur per propositionem demonstrando non esse in Deo materiam.*
8. *Conclusio primi libri.*


A

### ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΠΡΩΤΟΥ ΒΙΒΛΙΟΥ.


α'. *Προοίμιον τοῦ πρώτου βιβλίου. Ὅτι τὸ μὴ διελεῖν ὁσαχῶς ἡ ἐνέργεια αἰτία γέγονε τοῦ μὴ εὐτάκτως διαλεχθῆναι περὶ τοῦ προβλήματος μηδὲ ὀρθῶς.*

β'. *Περὶ τῆς διαιρέσεως, καὶ τῆς τάξεως τῶν βιβλίων τῆς πραγματείας.*

γ'. *Ὅτι οὐκ ἔστιν ἐν τῷ Θεῷ δύναμις παθητική.*

δ'. *Ὅτι ἡ οὐσία τοῦ Θεοῦ ἐστι τὸ εἶναι αὐτοῦ.*

ε'. *Λογισμοὶ ἀπὸ τοῦ ἐναντίου, καὶ λύσεις αὐτῶν μετὰ προθέσεως.*

ς'. *Ὅτι Θεὸς οὐκ ἔστιν ὕλη.*

ζ'. *Λογισμοὶ ἀπὸ τοῦ ἐναντίου, καὶ λύσεις μετὰ προθεωρίας, δεικνῦσαι μὴ ἐν αὐτῷ ὕλην.*

η'. *Ἐπίλογος τοῦ πρώτου βιβλίου.*


## LIBER PRIMUS.

Cap. I. *Quod confusio variorum operationis sensuum causa est cur nec ordinate nec recte de præsenti quæstione disseratur.*

Omnes qui de essentia et operatione Dei disseruerunt, sive hæc aliud, sive idem sit ac opus, primo prætermiserunt distinguere quotuplex sit operatio: hæc enim multipliciter consideratur. In unaquaque autem demonstratione investigatio variorum prædicati aut subjecti sensuum multum prodest ut reperiamus veritatem, et alios decipiamus, si velimus, nos vero ab aliis non decipiamur, itaque argumentando per ordinem procedamus, incipientes ubi oportet, et in debitum tendentes fi-

B

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

Κεφαλ. Α'. *Ὅτι τὸ μὴ διελεῖν ὁσαχῶς ἡ ἐνέργεια αἰτία γέγονε τοῦ μὴ εὐτάκτως διαλεχθῆναι περὶ τοῦδε τοῦ προβλήματος, μηδὲ ὀρθῶς.*

Τοὺς περὶ οὐσίας καὶ ἐνεργείας διαλεχθέντας τοῦ Θεοῦ, εἴτε ἐστὶν ἕτερον, εἴτε ταυτὸν κατὰ τὸ πρᾶγμα, τοῦτο πρῶτον ἔλαθε διορίσασθαι, ποσαχῶς ἡ ἐνέργεια. Δοκεῖ μὲν γὰρ αὕτη τῶν πολλαχῶς· τὸ δὲ ἐν ἑκάστῳ θεωρήματι ζητεῖν ποσαχῶς τὸ κατηγορούμενον, ἢ τὸ ὑποκείμενον, μεγάλην ἔχει δύναμιν πρός τε τὴν τῆς ἀληθείας εὕρεσιν, καὶ πρὸς τὸ παραλογίζεσθαι, ἄνπερ ἄρα τοῦτο προαιρώμεθα, καὶ πρὸς τὸ μὴ ῥᾳδίως ὑπ' ἄλλου τοῦτο πάσχειν, καὶ ἓν δὴ καὶ πρὸς τὸ τάξιν διδόναι τῷ ἐπιχειρή-

Digitized by Google

ματι, ἀρχομένους ὅθεν δεῖ, καὶ εἰς τὸ προσῆκον ἀπαντῶντας πέρας· ἔτι τε πρὸς τὸ σαφῆ, καὶ εὐσύνοπτα πάντα τίθεσθαι, ὡς ἂν πρὸς ὡρισμένα τῶν λόγων γινομένων.

Ταῦτα δ' ἐκεῖνοι, καθάπερ εἴρηται, μὴ συνιδόντες μηδὲ προδιορισάμενοι τὸ ποσαχῶς, οὔτε ἀπὸ τῆς οἰκείας ἀρχῆς τῷ προβλήματι εἰς τοὺς ἀγῶνας ἀφιᾶσιν (1), ἄλλοθεν ἂν αὐτοῖς παραστῇ· οὔτε κατὰ τάξιν ἐπὶ τὸ ἀναγκαῖον πέρας συγκλείουσι τοὺς λόγους· ἀλλ' ὥσπερ ἐν πλάνῃ, ἔνθα ἂν ἡ τοῦ λέγειν δύναμις ἀπαγορεύσῃ, καταλύουσι, καὶ οὐδὲ συνιᾶσιν ἀλλήλων, ὀκνῶ γὰρ λέγειν, ὅτι μηδὲ ἑαυτῶν, διὰ τὸ πρὸς μηδὲν ὑποτεθειμένον καὶ συνωμολογημένον τοὺς λόγους τείνειν. Διὸ καὶ ἄκριτός ἐστιν αὐτοῖς ὁ ἀγὼν, καὶ σκιαμαχία τὸ ὅλον.

B

Δεῖ οὖν ἡμᾶς, πάντα φυλαττομένους τὰ τοιαῦτα παροράματα, πειρᾶσθαι κατὰ δύναμιν πάντα δι' ἀκριβείας ταύτης ἐνεργείας ἀποδιδόναι σημαινόμενα, ὥστε μήτε τῆς οἰκείας τῷ προβλήματι διαπεσεῖν ἀρχῆς, καὶ προελθεῖν ἐν τάξει, καὶ μετὰ κόσμου κατὰ τὴν ἐπιχείρησιν ἐπὶ τὸ προσῆκον πέρας, μήτε ἀφέντας τι τῶν ἀναγκαίων, μήτε τοῖς παρέλκουσιν ἐνδιατρίβοντας, καὶ πάντα σαφῆ καὶ εὐκρινῆ παρέχοντας, ὥστε καὶ τὴν ἀλήθειαν εὐθήρατον γίνεσθαι τοῖς μανθάνειν βουλομένοις, καὶ τὸ ψεῦδος εὐέλεγκτον τῶν ἡμετέρων λόγων· πολλοὶ γὰρ ἀσαφείας [f. ἀσάφειαν] διὰ τὸ ἀνεξέλεγκτον προνοησάμενοι, ἔλαθον καὶ τὴν ἀλήθειαν αὐτῶν συσκιάσαντες, καὶ διὰ ταυτὸν [τοῦτο] πόνον ἄχρηστον τὸ παράπαν ἀποφήναντες. Ἔχει δὲ οὕτως. C

### Κεφάλ. Β'. *Περὶ τῆς διαιρέσεως, καὶ τῆς τάξεως τῶν βιβλίων τῆς πραγματείας.*

2. Iterum, Deus est figura indutus; alioquin homo non esset ad imaginem ejus, ut perhibetur in primo capite Geneseos dicentis ex persona Dei: « Faciamus hominem ad imaginem et similitudinem nostram. » Figura autem est qualitas circa quantitatem, cujus subjectum est materia, ut diximus. Est igitur in Deo materia.

β'. Ἔτι ὁ Θεὸς περίκειται σχῆμα. Οὐδὲ γὰρ ἂν ἦν ὁ ἄνθρωπος κατ' εἰκόνα αὐτοῦ, ὡς μαρτυρεῖται ἐν τῷ τῆς Γενέσεως πρώτῳ λεγούσης ἀπὸ προσώπου τοῦ Θεοῦ· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. » Ὁ δὲ σχῆμα ποιόν ἐστι περὶ ποσόν· οὗ οἰκεῖον ὑποκείμενον ἔφημεν τὴν ὕλην εἶναι· ἔστιν ἄρα ἐν τῷ Θεῷ ὕλη.

3. Præterea, omne quod habet partes corporeas, est corpus. Deus autem habet partes corporeas,

γ'. Ἔτι πᾶν τὸ ἔχον σωματικὰ μόριά ἐστι σῶμα. Ὁ δὲ Θεὸς ἔχει μόρια σωματικὰ, κατὰ τὰ ἀπολε-

Digitized by Google

δόμενα περὶ αὐτοῦ τῇ θείᾳ Γραφῇ. Λέγεται γὰρ ἐν A τῷ τόμῳ πρώτῳ τοῦ Ἰώβ· « Εἰ ἔχεις βραχίονα ὡς ὁ Θεός; » καὶ ἐν τοῖς Ψαλμοῖς· « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν. » Ἔστιν ἄρα σῶμα, καὶ κατὰ τὸ εἰκός ἐστιν ἐν ὕλῃ· ἐπεὶ οὐδὲν σῶμα φυσικὸν ἄνευ ὕλης. Λέγειν γὰρ αὐτὸν εἶναι σῶμα μαθηματικὸν πάντῃ ἀνόητον· τοῦτο γὰρ οὐκ ἔστι καθ' αὐτὸ ὑφεστώς, ἀλλ' ἐν τῇ διανοίᾳ μόνως.

δ'. Ἔτι τὰ τοῦ κεῖσθαι εἴδη οὐ προσήκει εἰ μὴ τοῖς σώμασιν· ὁ δὲ Θεὸς λέγεται ἐν ταῖς θείαις Γραφαῖς κεῖσθαι. Λέγεται γὰρ ἐν τῷ τοῦ Ἡσαΐου ἕκτῳ· « Εἶδον τὸν Κύριον καθήμενον. » Καὶ ἀλλαχοῦ· « Ἔστη εἰς κρίσιν Κύριος. » Ἔστιν ἄρα ὁ Θεὸς σῶμα, *καὶ τὰ λοιπά*.

B

ε'. Ἔτι οὐδὲν δύναται εἶναι πέρας σώματος, ἀφ' οὗ, ἢ εἰς ὅ, εἰ μὴ εἴη σῶμα. Ὁ δὲ Θεὸς λέγεται εἶναι πέρας σωματικόν, κατὰ τὸ ἐν τοῖς Ψαλμοῖς λεγόμενον· « Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε. » Καὶ ὡς ἀφ' οὗ, κατὰ τὸ τοῦ Ἱερεμίου ἐν τῷ ιζ'· « Οἱ ἀφιστάμενοι ἀπὸ σοῦ ἐν γῇ γραφήσονται. » Ὁ Θεὸς ἄρα σῶμα, καὶ εἶδος ἐν ὕλῃ.

### *Ἀπόκρισις.*

Ῥητέον, ὅτι ὁ Αὐγουστῖνος ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ περὶ Τριάδος πρώτου βιβλίου φησίν, ὅτι ἡ τοῖς νηπίοις ἁρμόζουσα θεία Γραφὴ οὐδέτερον τῶν ἐν τοῖς οὖσι γένος ῥήσεων ἐξέκλινε, τὸ τῶν σωματικῶν καὶ νοητῶν, ἐξ ὧν ὡς κλιμάκων ὁ ἡμέτερος νοῦς πρὸς τὰ θεῖα καὶ ὑψηλότερα ἐρειδόμενος, C ἀναβαίη. Καὶ γὰρ καὶ ῥήμασιν ἐκ τῶν σωματικῶν πραγμάτων ληφθεῖσι συνεχρήσατο περὶ Θεοῦ διαλεγομένη· ὥσπερ φησίν, « Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, » καὶ τῆς νοητῆς κτίσεως πλεῖστα μετήνεγκεν οἷς ἂν δηλώσειε τὸ μὴ οὕτως ἔχειν, ἀλλ' οὕτω λεχθῆναι ὀφείλειν, ὡς τό· « Ἐγώ εἰμι ζηλῶν, καὶ μεταμεμέλημαι. » Τὰ μέντοι λεγόμενα κυρίως ἐπὶ Θεοῦ, καὶ ἐν μηδεμιᾷ εὑρισκόμενα κτίσει, σπανίως τίθησιν ἡ Γραφή. Οὗτος μὲν οὖν μίαν ἀποδέδωκεν αἰτίαν τῆς χρήσεως τῶν τοιούτων ὀνομάτων.

Ὁ δὲ Διονύσιος πρὸς ταύτην καὶ ἑτέρας ἀποδέδωκεν. Ὅταν γὰρ λέγῃ μὴ δυνατὸν εἶναι τὸν ἡμέτερον νοῦν πρὸς τὴν ἄϋλον ἐκείνην ἀναχθῆναι τῶν D οὐρανίων ἱεραρχιῶν μίμησιν καὶ θεωρίαν, εἰ μὴ τῇ κατ' αὐτὸν χειραγωγίᾳ χρήσαιτο, ταυτὸν πως δοκεῖ λέγειν τῷ Αὐγουστίνῳ· μετὰ δὲ τοῦτο καὶ ἑτέρων ἅπτεται· οἷον τὸ πρέπον εἶναι τοῖς μυστικοῖς λόγοις τὸ δι' ἀποῤῥήτων καὶ ἱερῶν αἰνιγμάτων ἀποκρύπτεσθαι, καὶ ἄβατον τοῖς πολλοῖς τιθέναι τὴν ἱερὰν καὶ κρυφίαν ὑπερκοσμίων νόων ἀλήθειαν.

Ἔτι τρίτον ἀποδίδωσι τῆς χρήσεως τῶν τοιούτων ὀνομάτων λόγον, τὴν ὁπωσοῦν ὁμοιότητα τῶν σημαινομένων δι' αὐτῶν πραγμάτων πρὸς τὸν Θεόν. Φησὶ γὰρ εἶναι ταῦτα οἱονεὶ ἀπηχήματα τῆς ἱερᾶς εὐπρεπείας· ὅθεν καὶ δυνατὸν δι' αὐτῶν ἀνάγεσθαι πρὸς τὰς ἀΰλους ἀρχετυπίας.

secundum id quod ei attribuit Scriptura sacra; dicitur enim in quadragesimo primo Job: « Si habes brachium ut Deus [1]? » et in Psalmis: « Oculi Domini super justos, et aures ejus in preces eorum [2]. » Est igitur corpus, et consequenter est in materia, quia nullum est corpus physicum sine materia; nam dicere eum esse corpus mathematicum est omnino absurdum, hoc enim non est per se subsistens, sed in intellectu tantum.

4. Insuper, ea quæ ad situm pertinent, non conveniunt nisi corporibus. Deus autem dicitur in divinis Scripturis situm habere; dicitur enim in sexto Isaiæ: « Vidi Dominum sedentem [4], » et alibi: « Stat ad judicandum Dominus [5], » et reliqua. Ergo Deus est corpus.

5. Denique, nihil potest esse terminus corporalis a quo vel ad quem, nisi sit corpus. Deus autem dicitur esse terminus corporalis, secundum quod dicitur in Psalmis: « Accedite ad eum, et illuminamini; » et ut terminus a quo, secundum illud Jeremiæ in capite decimo septimo: « Recedentes a te, in terra scribentur. » Ergo Deus est corpus, et forma in materia.

### *Responsio.*

Dicendum est quod Augustinus in primo capite primi libri *De Trinitate* dicit: « Se infantibus accommodans divina Scriptura, nullum genus verborum ad creaturas pertinentium declinavit, sive corporalium, sive spiritualium, e quibus velut e gradibus nostra mens ad divina et altiora enitens ascendat: nam verbis e corporalibus rebus desumptis utitur de Deo loquens, sicut dicit: « In velamento alarum tuarum proteges me [6]. » Et intellectualium creaturarum plerasque designat metaphoris quibus ostendit eas non sic se habere, sed sic dici debere, ut est illud: « Ego sum zelotes [7], » et illud: « Me pœnitet. » Quæ vero proprie dicuntur de Deo et in nulla reperiuntur creatura, raro ponit Scriptura. Ille igitur doctor unam affert causam cur adhibeantur hujusmodi nomina.

Dionysius alias præter hanc subdit. Cum enim dicit non posse intellectum nostrum ad immaterialem illam evehi cœlestium hierarchiarum imitationem et contemplationem, nisi manuductione sibi congrua utatur, idem quodammodo videtur dicere quam Augustinus. Postea vero alia tangit; dicit, verbi gratia, convenire mysticos sermones abditis et sacris ænigmatibus involvi, et inviam plerisque fieri sacram et absconditam cœlestium spirituum veritatem.

Adhuc tertiam reddit rationem usurpationis hujusmodi nominum, quod nempe res per hæc significatæ aliquam habeant cum Deo similitudinem: dicit enim eas esse velut divinæ pulchritudinis repercussus, quibus proinde potest refluì ad immateriales archetypos.

[1] Job. xl, 4. [2] Psal. xxxiii, 16. [4] Isa. vi, 1. [5] Isa. iii, 13. [6] Psal. xvi, 18. [7] Exod. xxxiv, 14.

Digitized by Google

Quia igitur, licet circa idem objectum variæ versentur scientiæ, quæque tamen versatur secundum propriam suam rationem, sicut physica et mathematica versantur circa corpora, sed una in materia considerat, altera a materia abstrahit; item medicus et astrologus de sanitate judicant, sed astrologus e superioribus causis, scilicet e siderum inspectione, medicus vero e propioribus, scilicet ex vi corporis laborantis et morbi: manifestum est quod theologo idem est objectum scientiæ, quam physico et mathematico, verbi gratia, dimensiones, figuræ et propositiones, sed non secundum eamdem rationem de his judicant; sed illi quidem de earum scientia quisque propria inquirit, ut dictum est, theologus vero quæ sint ex Deo, et in Deo et ad Deum, et quomodo eum manifestent. Quia igitur, licet omne agens agat sibi simile, aliquatenus tamen alia facit univoce, et alia æquivoce, quæ autem æquivoca sunt multum differunt secundum superiorem et inferiorem rationem: manifestum est quod, quamvis theologus attribuat Deo, qui est causa efficiens omnium non univocorum, figuras, dimensiones, propositiones, et alia hujusmodi, non tamen attribuit ut sunt in seipsis, sed ut sunt in Deo et aliquam cum eo ferunt similitudinem; ita ut nomina tantum sint eadem Deo et creaturis, res vero per ea designatæ omnino differant secundum superioritatis et inferioritatis rationem: nam quæ sunt in effectibus, sunt eminenter in causis, juxta magnum Dionysium.

Ad primum ergo dicendum quod sacra Scriptura tradit nobis spiritualia et divina sub similitudinibus corporalium. Unde, cum trinam dimensionem Deo attribuit, sub similitudinem quantitatis corporeæ, quantitatem virtualem ipsius designat: utpote per profunditatem, virtutem ad cognoscendum occulta; per altitudinem, excellentiam virtutis super omnia; per longitudinem, perpetuam durationem sui esse; per latitudinem, affectum dilectionis ad omnia. Vel, ut dicit Dionysius in nono capite *De divinis nominibus*, per latitudinem Dei intelligitur supereffusio ejus ad omnia; per longitudinem, superextensa omnibus virtus; per profunditatem absconsa omnibus creaturis incomprehensibilitas.

Ad secundum dicendum quod homo dicitur esse ad imaginem Dei, non secundum corpus, sed secundum id quod excellit alia animalia. Unde ibidem postquam dictum est: « Faciamus hominem, » subditur: « Ut præsit piscibus maris [a], etc. » Excellit autem homo alia animalia quantum ad incorpoream rationem, secundum quam est imago Dei.

Ad tertium dicendum quod partes quædam corporeæ attribuuntur Deo, sed quia earum actus ha-

[a] Gen. :, 26.

A 'Επεὶ τοίνυν, εἰ καὶ περὶ τὸ αὐτὸ ὑποκείμενον διάφοροι στρέφονται ἐπιστῆμαι, ἑκάστη μέντοι κατὰ τὸν ἴδιον αὐτῆς λόγον, οἷον ἡ φυσικὴ καὶ ἡ μαθηματικὴ περὶ τὰ σώματα· ἀλλ' ἡ μὲν ἐν ὕλῃ θεωροῦσα ταῦτα, ἡ δὲ ἀποσπῶσα τῆς ὕλης· καὶ ὁ ἰατρὸς δὲ καὶ ἀστρολόγος περὶ ὑγείας κρίνει· ἀλλὰ ὁ μὲν ἀστρολόγος ἐκ τῶν ὑπερκειμένων αἰτιῶν, οἷον τῆς θέσεως τῶν ἀστέρων, ὁ δὲ ἰατρὸς ἐκ τῶν προσεχῶν, οἷον τῆς ἰσχύος τοῦ σώματος τοῦ κάμνοντος, καὶ τοῦ νοσήματος· δῆλον, ὅτι εἰ καὶ τῷ θεολόγῳ ταυτόν ἐστι τὸ ὑποκείμενον τῆς ἐπιστήμης τῷ τε φυσικῷ καὶ μαθηματικῷ, οἷον φέρε εἰπεῖν διαστήματα, καὶ σχήματα, καὶ θέσεις, ἀλλ' οὐ κατὰ τὸν αὐτὸν λόγον περὶ αὐτῶν διαιτήσουσιν, ἀλλ' ἐκεῖνοι μὲν κατὰ τὰς αὐτῶν ἐπιστήμας ἴδια ἕκαστος, ὡς εἴρηται, ὁ δὲ
B θεολόγος τί εἰσιν ἐκ Θεοῦ, καὶ ἐν Θεῷ, καὶ εἰς Θεὸν, καὶ ὅπως αὐτὸν ἐκφαίνουσιν. 'Επεὶ οὖν, εἰ καὶ πᾶν τὸ ποιοῦν ὅμοιον ἑαυτῷ ποιεῖ, ἀμηγέπη ὅμως τὰ μὲν συνωνύμως ποιεῖ, τὰ δὲ ὁμωνύμως, καὶ τὰ ὁμωνύμως γινόμενα παραπολὺ διαλλάττει κατὰ τὸν ὑπερκείμενον καὶ ὑφειμένον λόγον· δῆλον, ὅτι εἰ καὶ ὁ θεολόγος ἀποδίδωσι τῷ Θεῷ, ὅς ἐστι ποιητικὸν αἴτιον ἁπάντων οὐ συνώνυμον, σχήματα καὶ διαστήματα καὶ θέσεις, καὶ τὰ ἄλλα τοιάδε, ἀλλ' οὐχὶ ᾗ αὐτὰ ἀποδίδωσιν, ἀλλ' ᾗ εἰσιν ἐν αὐτῷ, καὶ ὁμοιότητά τινα αὐτοῦ φέρουσιν· ὥστε τὰ μὲν ὀνόματα εἶναι μόνον ταυτὰ ἐπί τε Θεοῦ, καὶ τῶν ὄντων, τὰ δὲ πράγματα, καθ' ὧν ταῦτα λέγεται, πάντῃ ἐξηλλαγμένα κατὰ τὸν τῆς ὑπεροχῆς καὶ ὑφέσεως λόγον.
C Τὰ γὰρ τῶν αἰτιατῶν περισσῶς ἔνεστι τοῖς αἰτίοις κατὰ τὸν μέγαν Διονύσιον.

Πρὸς τὸ πρῶτον οὖν ῥητέον, ὅτι ἡ θεία Γραφὴ παραδίδωσιν ἡμῖν τὰ νοητὰ καὶ θεῖα ὑπὸ ταῖς σωματικῶν ὁμοιότησιν. Ὅθεν ἐπειδὰν τριπλῆν διάστασιν ἀποδιδῷ τῷ Θεῷ ὑπὸ ταῖς ὁμοιότησι τῆς σωματικῆς ποσότητος, τὴν ποσότητα τῆς αὐτοῦ δυνάμεως ἀποδίδωσιν· οἷον διὰ μὲν τοῦ βάθους τὴν καταληπτικὴν τῶν ἀποῤῥήτων δύναμιν, διὰ δὲ τοῦ ὕψους τὴν κατὰ πάντων ὑπεροχὴν τῆς δυνάμεως, διὰ δὲ τοῦ μήκους τὴν κατὰ τὸ εἶναι διηνεκῆ παράτασιν αὐτοῦ, διὰ δὲ τοῦ πλάτους τὴν τῆς ἀγάπης διάθεσιν. Ἢ κατὰ τὸν Διονύσιον ἐν τῷ ἐννάτῳ κεφαλαίῳ τοῦ Περὶ θείων ὀνομάτων, πλάτος μὲν Θεοῦ ῥητέον τὴν ὑπερευρεῖαν τοῦ Θεοῦ ἐπὶ πάντα πρό-
D οδον, μῆκος δὲ τὴν ὑπερεκτεινομένην τὰ ὅλα δύναμιν, βάθος δὲ τὴν πᾶσι τοῖς οὖσιν ἀπερίληπτον κρυφιότητα.

Πρὸς τὸ δεύτερον ῥητέον, ὅτι ὁ ἄνθρωπος λέγεται κατ' εἰκόνα Θεοῦ οὐ κατὰ τὸ σῶμα, ἀλλὰ καθὸ ὑπερβάλλεται τὰ ἄλλα ζῶα. Ὅθεν ἐκεῖ μετὰ τὸ εἰπεῖν, « Ποιήσωμεν ἄνθρωπον, » ἐπάγει, « Ὥστε ἄρχειν τῶν ἰχθύων τῆς θαλάσσης. » Ὑπερέχει δὲ ὁ ἄνθρωπος τῶν ἄλλων ζώων ὅσον τῷ τοῦ ἀσωμάτου λόγῳ, καθ' ὃν δὴ καὶ ἔστιν εἰκὼν τοῦ Θεοῦ.

Πρὸς τὸ τρίτον ῥητέον, ὅτι μέρη τινὰ σωμάτων ἀποδίδονται τῷ Θεῷ, ἀλλὰ διὰ τὸ τὰ ἀποτελέσματα

αὐτῶν ἐοικέναι τοῖς ἀποτελέσμασι τοῦ Θεοῦ. Ἐπεὶ γὰρ ὁ Θεὸς ποιεῖ, ὅπερ ἐστὶν ἴδιον τῶν χειρῶν, καὶ ἐφορᾷ, ὃ πάλιν ἐστὶν ἰδία τῶν ὀφθαλμῶν ἐνέργεια ἐν ἡμῖν· διὰ τοῦτο χεῖρας ὀνομάζει τὸ ποιοῦν ἐν αὐτῷ, καὶ ὀφθαλμοὺς τὸ ἐφορῶν.

Πρὸς τὸ τέταρτον ῥητέον, ὅτι τὰ εἰς τὸ κεῖσθαι ἀναγόμενα οὐκ ἀποδίδονται τῷ Θεῷ, εἰ μὴ κατά τινα ὁμοιότητα, οἷον τὸ μὲν καθῆσθαι διὰ τὸ ἀκίνητον καὶ ἀμετάβλητον αὐτοῦ, καὶ τὴν δεσποτείαν, τὸ δὲ ἱστάναι διὰ τὴν ἰσχὺν τὴν περὶ τὸ καταγωνίζεσθαι πᾶν τὸ ἀνθιστάμενον.

Πρὸς τὸ πέμπτον ῥητέον, ὅτι οὐκ ἔστι πρόσοδος εἰς τὸν Θεὸν σωματικοῖς διαβήμασι, καὶ γὰρ ἔστι πανταχοῦ, ἀλλὰ ψυχῆς διαθέσει· διὸ καὶ παρὰ τοῦ Αὐγουστίνου λέγεται ἐν τῷ Περὶ τῆς ὁμολογίας τῆς πίστεως βιβλίῳ, αὐτὸν μὲν πᾶσι παρεῖναι, οὐχ αὐτῷ δὲ πάντας, ἀλλὰ τοὺς ὁμοίους αὐτῷ δι' ἀρετῆς γενομένους. Τῷ δ' αὐτῷ τρόπῳ καὶ διΐσταταί τις ἀπ' αὐτοῦ· καὶ οὕτως ἡ πρόσοδος καὶ ἀποχώρησις ὑπὸ τῇ ὁμοιότητι τῆς σωματικῆς κινήσεως δηλοῖ τὴν κατὰ νοῦν διάθεσιν.

**Κεφάλ. Η'.** *Ἐπίλογος τοῦ πρώτου βιβλίου.*

Ἐκ δὲ τούτων δῆλον τὴν οὐσίαν τοῦ Θεοῦ εἶναι τὴν ἐνέργειαν αὐτοῦ. Πᾶν γὰρ ὃ μή ἐστιν εἶδος ἐν ὕλῃ, ἐστὶν εἶδος καθ' αὑτὸ ὑφεστώς. Ὁ δὲ Θεός ἐστιν εἶδος ἄϋλον, ὡς δέδεικται· ἔστιν ἄρα εἶδος καθ' αὑτὸ ὑφεστώς. Τὸ δὲ εἶδος καὶ ἡ ἐντελέχεια ἐλέγετο εἶναι ἡ τοῦ πράγματος ἐνέργεια. Ἔστιν ἄρα ἡ οὐσία τοῦ Θεοῦ ἡ ἐνέργεια αὐτοῦ, ἐφ' ὅσον μήτε ἐστὶν ὕλη, μήτε ἐν ὕλῃ εἶδος, μήτε δύναμις ἐν αὐτῷ παθητική, ἀλλ' ἔστι μάλιστα τὸ εἶναι αὐτοῦ, ὃ λέγεται αὐτοενέργεια, παντὸς ἐνέργεια. Οὐκ ἄρα ὀρθῶς ἀπεφήναντο οἱ λέγοντες ἁπλῶς μὴ εἶναι τὸν Θεὸν τὴν ἐνέργειαν αὐτοῦ. Δέδεικται γὰρ πῇ εἶναι τὴν ἑαυτοῦ ἐνέργειαν, καθ' ὃν δὴ λόγον καὶ δοκεῖ καθ' αὑτὸ ἀδύνατον τὸ λέγειν τὴν οὐσίαν τοῦ Θεοῦ μὴ εἶναι τὴν ἐνέργειαν αὐτοῦ. Ἔστι γὰρ ἀντίφασις, καὶ ταυτὸ, ὡς ἂν εἴ τις λέγοι τὴν οὐσίαν τοῦ Θεοῦ μὴ εἶναι τὴν οὐσίαν αὐτοῦ, ἐφ' ὅσον ἡ οὐσία καὶ ἡ ἐνέργεια ἕν τι καὶ τὸ αὐτὸ δηλοῖ ἐν τοῖς καθ' αὑτὰ ὑφεστῶσιν εἴδεσιν.

A bent similitudinem cum actibus Dei; quia enim Deus agit, quod est proprium manuum, et videt, quod est proprius oculorum actus in nobis, ideo manus nominatur quod agit in Deo, et oculi quod videt.

Ad quartum dicendum quod ea quæ ad situm pertinent, non attribuuntur Deo nisi secundum quamdam similitudinem; sicut dicitur sedens propter suam immobilitatem immutabilitatemque et auctoritatem; et stans, propter suam fortitudinem ad debellandum omne quod ei adversatur.

Ad quintum dicendum quod ad Deum non acceditur passibus corporalibus, cum ubique sit, sed affectibus mentis: ideo dicit Augustinus in libro *De confessione fidei*, eum esse in omnibus, haud

B vero omnes in eo, sed eos qui fiunt ipsi per virtutem similes. Eodem modo ab illo receditur: et sic accessus et recessus sub similitudinem corporalis motus designant spiritualem affectum

**Cap. VIII.** *Conclusio primi libri.*

Ex dictis apparet essentiam Dei esse operationem ipsius. Omne enim quod non est forma in materia, est forma per se subsistens. Sed Deus est forma immaterialis, ut ostensum est; est igitur forma per se subsistens. Forma autem et perfectio rei dicta est esse operatio: est igitur essentia Dei operatio ipsius, in quantum nec est materia, nec

C forma in materia, nec est in eo potentia passiva, sed est maxime esse ipsius, quod dicitur purus actus, omnium actus. Non igitur recte asseruerunt qui dixerunt Deum non esse simpliciter suam operationem. Ostensum est enim eum esse quodammodo suam operationem, ob hanc nempe rationem quod in se impossibile videtur dicere essentiam Dei non esse operationem ipsius: adest enim contradictio in eodem, tanquam si quis dicat essentiam Dei non esse essentiam ejus, in quantum essentia et operatio unum quid et idem significant in formis per se subsistentibus.

# LIBER SECUNDUS.

## ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ Β' ΒΙΒΛΙΟΥ.

α'. Ὅτι εἰκότως προτάττονται τελειωτικαὶ τοῦ ἔχοντος ἐνέργειαι τῶν ἄλλων ἐνεργειῶν, ὅσαι εἰσὶν ἐξωτερικῶν ἀποτελεσμάτων τελειωτικαί.
β'. Ὅτι οὐκ ἔστιν ἐν τῷ Θεῷ αἴσθησις.
γ'. Ὅτι ὁ Θεός ἐστι νοῶν.
δ'. Ὅτι ὁ Θεός ἐστι θέλων.
ε'. Ὅτι ἐστὶν ἐν τῷ Θεῷ νοερὰ καὶ θελητικὴ δύναμις.
ς' Ὅτι αἱ κατὰ ταύτας ἕξεις ἀποδίδονται τῷ Θεῷ.

D

## CAPITA LIBRI SECUNDI.

Caput I. *Quod convenienter ponuntur operationes perfectivæ ipsius habentis ante alias operationes, quæ sunt perfectivæ exteriorum effectuum.*
Cap. II. *Quod non est in Deo sensus.*
Cap. III. *Quod Deus est intelligens.*
Cap. IV. *Quod Deus est volens.*
Cap. V. *Quod est in Deo intellectiva et appetitiva potentia.*
Cap. VI. *Quod habitus harum potentiarum Deo attribuuntur.*

Digitized by Google

Cap. VII. *Quod hujusmodi operationes earumque habitus et potentiæ sunt unum et idem in Deo.* A
Cap. VIII. *Objectiones adversariorum, earumque solutiones cum propositione.*
Cap. IX. *Iterum de eodem argumento.*
Cap. X. *Quod intellectualis Dei potentia est essentia ejus.*
Cap. XI. *Quod intellectualis Dei potentia est operatio ejus.*
Cap. XII. *Quod Deus nulla alia specie intelligibili intelligit, quam sua essentia.*
Cap. XIII. *Quod perfecte Deus intelligit seipsum.*
Cap. XIV. *Quod in Deo non est habitus scientiæ.*
Cap. XV. *Quod sapientia Dei est essentia ipsius.*
Cap. XVI. *Quod veritas Dei sit ejus essentia.*
Cap. XVII. *Quod Dei voluntas est ipsius essentia.*
Cap. XVIII. *Quod principale divinæ voluntatis volitum est divina essentia.* B
Cap. XIX. *Rationes ob quas hæc videntur a se invicem distincta, et earum solutiones cum propositione.*
Cap. XX. *Quomodo Deus sibi sit ut volitum in volente.*
Cap. XXI. *Quod Deus est sua vita.*
Cap. XXII. *Rationes adversariorum et solutiones.*
Cap. XXIII. *Quod Deus est sua bonitas.*
Cap. XXIV. *Quod Deus est beatus.*
Cap. XXV. *Quod Deus est sua beatitudo.*
Cap. XXVI. *Quod hæc nomina non sunt synonyma.*
Cap. XXVII. *Utrum univoce hæc nomina dicantur de Deo et de creaturis.*
Cap. XXVIII. *Quod hæc nomina non æquivoce dicantur de Deo et rebus.*
Cap. XXIX. *Quod hæc nomina analogice dicuntur de Deo et rebus.*
*Conclusio libri secundi.* C

ζ'. *Ὅτι αἱ τοιαῦται ἐνέργειαι, αἱ κατὰ ταύτας ἕξεις τε καὶ δυνάμεις εἰσὶν ἐν τῷ Θεῷ ἓν καὶ τὸ αὐτό.*
η'. *Οἱ λογισμοὶ ἀπὸ τοῦ ἐναντίου, καὶ λύσεις μετὰ προθεωρίας.*
θ'. *Ἔτι εἰς τὸ αὐτό.*
ι'. *Ὅτι ἡ νοερὰ τοῦ Θεοῦ δύναμίς ἐστιν ἡ οὐσία αὐτοῦ.*
ια'. *Ὅτι ἡ νοερὰ τοῦ Θεοῦ ἐνέργειά ἐστιν ἡ οὐσία αὐτοῦ.*
ιβ'. *Ὅτι ὁ Θεὸς οὐδενὶ ἄλλῳ νοητῷ εἴδει νοεῖ, ἢ τῇ ἑαυτοῦ οὐσίᾳ.*
ιγ'. *Ὅτι τελείως ὁ Θεὸς αὐτὸς ἑαυτὸν γινώσκει.*
ιδ'. *Ὅτι ἐν τῷ Θεῷ οὐκ ἔστιν ἕξις ἐπιστημονική.*
ιε'. *Ὅτι σοφία τοῦ Θεοῦ ἐστιν ἡ οὐσία αὐτοῦ.*
ιϛ'. *Ὅτι ἡ ἀλήθεια αὐτοῦ ἐστιν ἡ οὐσία αὐτοῦ.*
ιζ'. *Ὅτι ἡ Θεοῦ θέλησίς ἐστιν ἡ οὐσία αὐτοῦ.*
ιη'. *Ὅτι τὸ πρῶτον τῇ θείᾳ θελήσει θελητόν ἐστιν ἡ οὐσία τοῦ Θεοῦ.*
ιθ'. *Λογισμοὶ δι' ὧν ἂν δόξειε ταῦτα πρὸς ἄλληλα, καὶ λύσεις αὐτῶν μετὰ προθεωρίας.*
κ'. *Τίνα τρόπον ἐστὶν ὁ Θεὸς ἑαυτῷ ὡς θελητὸν ἐν τῷ θέλοντι.*
κα'. *Ὅτι ὁ Θεός ἐστιν ἡ αὐτοῦ ζωή.*
κβ'. *Λογισμοὶ ἐκ τοῦ ἐναντίου, καὶ λύσεις.*
κγ'. *Ὅτι ὁ Θεός ἐστιν ἡ ἀγαθότης αὐτοῦ.*
κδ'. *Ὅτι ὁ Θεός ἐστι μακάριος.*
κε'. *Ὅτι ὁ Θεός ἐστιν ἡ μακαριότης αὐτοῦ.*
κϛ'. *Ὅτι ταῦτα τὰ ὀνόματα οὐκ εἰσὶ συνώνυμα.*
κζ'. *Πότερον συνωνύμως λέγεται ταῦτα τὰ ὀνόματα τοῦ Θεοῦ; καὶ τῶν ὄντων.*
κη'. *Ὅτι ταῦτα τὰ ὀνόματα οὐχ ὁμωνύμως λέγονται ἐπὶ τοῦ Θεοῦ, καὶ τῶν ὄντων.*
κθ'. *Ὅτι ταῦτα τὰ ὀνόματα ἀναλογικῶς λέγονται ἐπί τε τοῦ Θεοῦ, καὶ ὄντων.*
*Ἐπίλογος τοῦ β' βιβλίου.*

## LIBER SECUNDUS

Cap. I. *Procemium libri secundi. Quod convenienter ponuntur operationes perfectivæ ipsius habentis ante alias operationes quæ sunt perfectivæ exteriorum effectuum.*

Illis igitur dictis de prima operatione, nunc de secunda loquendum est : nam se habet illa ad hanc sicut prima perfectio ad secundam. Cum autem operationem in duo dividentes, unam dixerimus esse perfectivam ipsius habentis, alteram vero perfectivam alicujus exterioris effectus, nunc primum disseramus de operatione perfectiva habentis, scilicet de intelligere, velle et sentire. Nam merito ante hanc posita est operatio quæ ut forma et perfectio consideratur, quia est ejus principium : nihil enim agit quatenus est potentia, sed quatenus est actus. Hanc iterum ante alias ponimus, quia aliæ sunt propter finem, ea vero ipse finis. Nam generans intendit formam generati, quæ est finis generationis; et ulterius communicationem, et similitudinem divini esse, cum specie propria, in iis quibus communia non sunt elementa ; et insuper suam cum Deo similitudinem, in quantum est causa. Et architectus agit propter formam domus, et ulterius propter sarcinarum custodiam : hoc enim in intentione est prius forma domus, in actione

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Κεφάλ. Α'. *Προοίμιον τοῦ δευτέρου βιβλίου, ὅτι εἰκότως προτάττονται αἱ τελειωτικαὶ τοῦ ἔχοντος ἐνέργειαι τῶν ἄλλων ἐνεργειῶν, ὅσαι εἰσὶν ἐξωτερικῶν ἀποτελεσμάτων τελειωτικαί.*

Τούτων τοίνυν κατὰ δύναμιν εἰρημένων περὶ τῆς πρώτης ἐνεργείας, νῦν καὶ περὶ τῆς δευτέρας ῥητέον. Ἔχει γὰρ ἐκείνη πρὸς ταύτην, ὡς πρώτη πρὸς δευτέραν τελειότητα. Ἐπεὶ δὲ ταύτην διχῇ διελόντες, τὴν μὲν ἐλέγομεν εἶναι τελειωτικὴν τοῦ ἔχοντος, τὴν δὲ ἐξωτερικοῦ τινος ἀνυστικὴν ἀποτελέσματος· D φέρε πρῶτον περὶ τῆς τελειωτικῆς τοῦ ἔχοντος ἐνεργείας διασαφήσωμεν, οἷον τοῦ νοεῖν, τοῦ βούλεσθαι, τοῦ αἰσθάνεσθαι. Πρὸ μὲν γὰρ ταύτης εἰκότως ἐτάττετο ἡ ἐνέργεια, ἡ ὡς εἶδος καὶ ἐντελέχεια λεγομένη, διὰ τὸ καὶ ἀρχὴ ταύτης εἶναι. Οὐδὲν γὰρ ἐνεργεῖ, ᾗ δύναμίς ἐστι, ἀλλ' ᾗ ἐνέργεια. Ταύτην δὲ πάλιν τῶν ἄλλων προτάττομεν. Ἐπεὶ αἱ μὲν ἄλλαι τέλους ἕνεκά εἰσιν, αὗται δὲ τέλος. Τό τε γὰρ γεννῶν σκοπεῖ τὸ εἶδος τοῦ γεννωμένου, ὃ τέλος ἐστὶ τῆς γεννήσεως, καὶ περαιτέρω τὴν μετάδοσιν τοῦ ἀγαθοῦ, καὶ τὴν ὁμοιότητα τοῦ θείου εἶναι ἐν τῇ κατὰ τὸ εἶδος ἰδιότητι, ἐν ὅσοις μὴ ἀΐδια τὰ ἄτομα, καὶ ἔτι τὴν ἑαυτοῦ πρὸς Θεὸν ὁμοιότητα, κατὰ τὸ αἴτιον εἶναι· ὅ τε οἰκοδόμος ποιεῖ τοῦ εἴδους ἕνεκα τῆς οἰκίας, καὶ τῆς τῶν σκευῶν φυλακῆς ὡς τελικωτέ-

Digitized by Google

ρου. Τοῦτο γὰρ τῷ μὲν σκοπῷ πρότερόν ἐστι τοῦ τῆς οἰκίας εἴδους, τῇ δὲ ποιήσει ὕστερον. Καὶ ἔτι περαιτέρω ποιεῖ διὰ τὸ ἑαυτοῦ ἀγαθόν. Τό τε γὰρ εἶδος τοῦ οἴκου, καὶ τὴν τῶν σκευῶν φυλακὴν ποιεῖται, διὰ τὴν τοῦ μισθοῦ ἀπόληψιν· ἥτις ἐστὶν ἴδιον ἀγαθὸν αὐτοῦ. Θεωροῦμεν δὲ, καὶ βουλόμεθα, καὶ αἰσθανόμεθα, ἕκαστον δι' αὐτὸ, καὶ οὐ δι' ἄλλο.

Ἐπεὶ οὖν πᾶν τὸ ποιοῦν ποιεῖ τέλους ἕνεκα, εἰ μηδὲν εἴη τέλος ποιητὸν, εἰς ὃ ὁρίζεται, ἡ ἐνέργειά ἐστιν αὐτὴ τέλος. Δῆλον δὲ, ὅτι τὸ τέλος ἀεὶ βέλτιον τῶν πρὸς τέλος. Τὸ γὰρ δι' ὅ τι αἱρετὸν, ἐκεῖνο μᾶλλον τοιοῦτον. Ἐπεὶ τοίνυν αἱ μὲν τελειωτικαὶ νοῦ ἔχοντος ἐνέργειαι, οἷον, τὸ νοεῖν, τὸ βούλεσθαι, τὸ αἰσθάνεσθαι, ἔχουσιν ὡς τέλος, αἱ δὲ ποιητικαί τινων ἀποτελεσμάτων ἔξωθεν ἔχουσι πρὸς τέλος, ἀνάγκη βελτίους ἐκείνους εἶναι τούτων. Διὸ καὶ περὶ ἐκείνων ῥητέον πρῶτον, καὶ διοριστέον, πότερον ταυτόν ἐστι τῆς οὐσίας τοῦ Θεοῦ ἢ ἕτερον.

### Κεφάλ. Β'. *Ὅτι οὐκ ἔστιν ἐν τῷ Θεῷ ἡ αἴσθησις.*

Καὶ περὶ μὲν τοῦ αἰσθάνεσθαι οὐδὲ πράγματα ἔχειν, ἐφ' ὅσον μὴ ἔστιν ἐν τῷ Θεῷ αἴσθησις· πρὸς μὲν γὰρ τὸ αἰσθάνεσθαι δεῖ σωματικῶν ὀργάνων· ὁ δὲ Θεὸς οὐκ ἔχει σῶμα ὀργανικόν. Δέδεικται γὰρ πάσης ὕλης καθαρεύειν. Ὁ Θεὸς ἄρα οὐκ αἰσθάνεται.

β'. Ἔτι ἡ αἴσθησις ἐκ πάθους γίνεται. Μεταβολῇ γὰρ καὶ ἀλλοιώσει τῶν αἰσθητηρίων γίνεται. Ἐν δὲ τῷ Θεῷ δέδεικται μὴ εἶναι δύναμιν παθητικήν. Οὐδ' ἄρα αἴσθησις.

γ'. Ἔτι ἡ ἐνέργεια αἰσθήσεώς ἐστι τὸ ἐνεργεῖν αἰσθητὸν, καθ' ὃ ὑποκείμενόν ἐστι τῶν αἰσθητῶν εἰδῶν. Ὁ δὲ Θεὸς οὐκ ἔστιν ὑποκείμενόν τινος εἴδους αἰσθητοῦ. Οὐκ ἄρα αἰσθάνεται.

δ'. Ἔτι τὸ αἰσθητόν ἐστι πρὸ τοῦ αἰσθητικοῦ, ὥς φησιν ὁ φιλόσοφος ἐν ταῖς Κατηγορίαις. Ὁ δὲ Θεὸς οὐκ ἔστιν αἰσθητόν. Οὐ γάρ ἐστιν αἴσθησις αὐτοῦ, φησὶν ὁ ἅγιος Διονύσιος. Πολλῷ ἄρα οὐκ αἰσθητικόν. Οὐ γάρ ἐστι πρότερον τοῦ Θεοῦ, οὔτε πράγματι, οὔτε ἐπινοίᾳ. Οὐκ ἄρα αἰσθάνεται.

ε'. Ἔτι ἡ αἴσθησις οὐκ οἶδε τὰ καθόλου, καὶ τὰ ἀΐδια, ἀλλὰ τόδε, καὶ τὸ νῦν. Ὁ δὲ Θεὸς ἐπίσταται τὰ καθόλου, καὶ τὰ ἀΐδια, καὶ ὅσα δὲ τῶν καθ' ἕκαστα καὶ νῦν ἐπίσταται καθόλου καὶ ἀΐδια ἐπίσταται, ἐφ' ὅσον ἐν ἑαυτῷ πάντα ἐπίσταται. Οὐκ ἄρα αἰσθάνεται.

ς'. Ἔτι τὸ αἰσθάνεσθαί ἐστι τὸ ἔχειν τὴν ἐκ τῶν πραγμάτων κατάληψιν. Ὁ δὲ Θεὸς οὐκ ἔχει τὴν ἐκ πραγμάτων κατάληψιν, ἀλλὰ μᾶλλον τὴν πρὸς τὰ πράγματα. Οὐκ ἄρα αἰσθάνεται. Ἀλλ' ἀρκεῖ καὶ ταῦτα.

### Κεφάλ. Γ'. *Ὅτι ὁ Θεός ἐστι νοῶν.*

Τὸ μὲν οὖν μὴ εἶναι αἴσθησιν ἐν τῷ Θεῷ ἐκ τοσούτων δῆλον· ὅτι δέ ἐστι νοῶν ὁ Θεὸς, φανερὸν ἐντεῦθεν. Ἐν γὰρ τοῖς κινοῦσι, καὶ κινουμένοις, οὐκ ἔστιν ἄπειρον προϊέναι· πρῶτον μὲν, ὅτι πάντα τὰ τοιαῦτα τὰ ἄπειρα δεῖ σώματα εἶναι· πᾶν γὰρ

A vero est posterius, et adhuc ulterius agit propter suum bonum: nam et formam domus et sarcinarum custodiam facit ad recipiendam mercedem, quæ est proprium suum bonum. Intelligimus autem, et volumus, et sentimus unumquodque propter seipsum, non propter aliud.

Quia igitur omne agens agit propter finem, si nullus est finis agendi, ad quem terminatur operatio, ipsa est finis. Manifestum autem quod finis semper est melior iis quæ sunt ad finem: nam illud propter quod aliquid est appetibile, est ipsum magis appetibile. Quia igitur operationes perfectivæ ipsius habentis, scilicet intelligere, velle et sentire, sunt ut finis, operationes vero effectivæ quorum-
B dam exteriorum effectuum sunt ut ad finem, necesse est illas esse his meliores. Itaque de illis primo dicendum est, ac discernendum utrum sint idem quam essentia Dei, an aliud.

### Cap. II. *Quod in Deo non est sensus.*

Et quidem de sentire nulla est difficultas in eo quod non sit in Deo sensus. Nam ad sentiendum opus est corporeis organis; Deus autem non habet corpus organicum, ostensum est enim eum esse ab omni materia purum; ergo Deus non sentit.

2. Iterum, sensatio e passione nascitur: fit enim mutatione et alteratione sensuum. Sed in Deo de-
C monstratum est non esse potentiam passivam; nec igitur est sensus.

3. Præterea, quod sentit in actu, fit sensibile in actu, secundum quod est subjectum formæ sensibilis; Deus autem non est subjectum alicujus formæ sensibilis; non igitur sentit.

4. Adhuc, sensibile est prius sensitivo, ut ait philosophus in *Prædicamentis*. Deus autem non est sensibilis, quia ejus non est sensus, ait sanctus Dionysius. Ergo a fortiori non est sensitivus: nihil enim est prius Deo, re vel intellectu. Non igitur sentit.

5. Insuper, sensus non cognoscit universalia et sempiterna, sed quod est hic et nunc. Deus autem cognoscit universalia et sempiterna, et quæcunque
D individualium et præsentium cognoscit, cognoscit ut universalia et sempiterna, in quantum in seipso omnia cognoscit. Ergo non sentit.

6. Demum, sentire est habere cognitionem a rebus; Deus autem non desumit cognitionem a rebus, sed potius eam rebus communicat; non igitur sentit. Verum hæc sufficiunt.

### Cap. III. *Quod Deus est intelligens.*

Non esse in Deo sensum ex dictis patet; intelligentem vero esse Deum sic demonstratur. In moventibus enim et motis non est possibile in infinitum procedere. Primo quidem, quia omnia hujusmodi infinita oportet corpora esse,

Digitized by Google

Omne enim quod movetur, est divisibile et corpus, ut probatur in sexto Physicorum. Omne autem corpus quod movet motum, simul dum movet movetur; ergo omnia ista infinita simul moventur, dum unum eorum movetur; sed unum eorum, quum sit finitum, movetur tempore finito : alia igitur omnia illa infinita moventur tempore finito. Hoc autem est impossibile, sive per continuationem, sive per contiguationem sint unum mobile. Ergo in moventibus et motis impossibile est in infinitum procedere.

A ὃ κινεῖται ἐστι διαιρετὸν, καὶ σῶμα, ὡς δείκνυται ἐν τῷ ἕκτῳ τῆς Φυσικῆς. Πᾶν δὲ σῶμα ὃ κινεῖ κινούμενον, ἅμα κατὰ τὸ κινεῖν κινεῖται. Πάντα ἄρα τὰ ἄπειρα ταῦτα ὁμοῦ κινηθήσεται, τοῦ ἑνὸς αὐτῶν κινουμένου. Ἀλλὰ τὸ ἓν αὐτῶν πεπερασμένον ὂν, κινεῖται ἐν πεπερασμένῳ χρόνῳ. Καὶ πάντα ἕτερα ἐκεῖνα τὰ ἄπειρα κινοῦνται κατὰ χρόνον πεπερασμένον. Τοῦτο δέ ἐστιν ἀδύνατον· ἢ συνεχείᾳ ἢ συναφείᾳ ὄντων ἓν κινητόν. Οὐκ ἄρα ἐν τοῖς κινοῦσι, καὶ κινουμένοις ἔστιν ἐπ' ἄπειρον προϊέναι.

Secundo, quia in moventibus et motis ordinatis, quorum scilicet unum per ordinem ab alio movetur, hoc necesse est inveniri, quod remoto primo movente vel cessante a motione, nullum aliorum movebit vel movebitur ; primum enim est omnibus causa movendi et moveri. Sed si sunt moventia et mota per ordinem in infinitum, non erit primum movens, sed omnia erunt quasi media moventia. Ergo nullum horum poterit moveri, et sic nihil movebitur in mundo : quod sensibus refellitur.

Δεύτερον δὲ, ὅτι ἐν τοῖς κινοῦσι καὶ κινουμένοις κατὰ τάξιν, ὧν τὸ ἓν κατὰ τάξιν ὑπὸ ἄλλου κινεῖται, τοῦτ' ἂν ἀναγκαῖόν ἐστιν εὑρίσκεσθαι, ὅτι ἀναιρουμένου τοῦ πρώτως κινοῦντος, ἢ παυομένης τῆς κινήσεως, οὐδὲν τῶν ἄλλων κινήσει, ἢ κινηθήσεται· τὸ γὰρ πρῶτόν ἐστιν αἰτία πᾶσι τοῦ κινεῖν, καὶ κινεῖσθαι. Ἀλλ' εἴπερ εἴη κινοῦντα καὶ κινούμενα κατὰ τάξιν ἄπειρα, οὐκ ἔσται τὸ πρῶτον κινοῦν· ἀλλὰ πάντα ἔσται ὥσπερ ἄμεσα κινοῦντα. Οὐδὲν ἄρα τούτων δυνήσεται κινεῖσθαι. Καὶ ταύτῃ οὐδὲν ἐν τῷ κόσμῳ κινήσεται, ὅπερ αἰσθήσει ἐλέγχεται.

B

Tertia ratio est, quia id quod movet instrumentaliter, non potest movere nisi sit aliquid quod principaliter moveat. Sed si in infinitum procedatur in moventibus et motis, omnia erunt quasi instrumentaliter moventia, erunt enim sicut moventia mota; nihil autem erit sicut principale movens : ergo nihil movebitur : quod confutari potest inductione multorum quæ moventur in mundo. Propter hoc oportet mobilia omnia reducere in unum primum movens seipsum. Movens autem seipsum, se movet per appetitum et apprehensionem : sola enim hæc inveniuntur seipsa movere, utpote in quibus est movere et moveri. Pars igitur in primo movente movens seipsam, oportet quod sit appetitus et apprehensio. In motu autem qui est per appetitum et apprehensionem, appetens et apprehensum est movens motum, appetibile vero et apprehensibile est movens non motum.

Τρίτος λόγος ἐστὶν, ὅτι τὸ κινοῦν ὀργανικῶς οὐ δύναται κινεῖν, εἰ μή τι εἴη τὸ ἀρχοειδῶς κινοῦν. Ἀλλ' εἰ ἐπ' ἄπειρον προΐει ἐν τοῖς κινοῦσι καὶ κινουμένοις, πάντα ἔσονται καθάπερ εἰ ὀργανικῶς κινοῦνται. Ἔσονται γὰρ πάντα οἱονεὶ κινοῦντα κινούμενα. Οὐδὲν δὲ ἀρχοειδὲς κινοῦν· οὐδὲν ἄρα κινήσεται· ὅπερ ἐστὶ τῇ ἐπαγωγῇ ἐλέγχειν πολλῶν ἐν τῷ κόσμῳ κινουμένων. Διὰ δὴ τοῦτο πάντα τὰ κινούμενα ἀναγκαῖον ἀναφέρειν εἴς τι πρῶτον κινοῦν αὐτὸ ἑαυτό. Τὸ δὲ κινοῦν ἑαυτὸ κινεῖ ἑαυτὸ ὀρέξει καὶ καταλήψει. Μόνα γὰρ τὰ τοιαῦτα εὑρίσκονται αὐτὰ ἑαυτὰ κινοῦντα, ὡς ἐν αὐτοῖς ὄντος τοῦ κινεῖν, καὶ κινεῖσθαι. Ἐν τῷ πρώτῳ τοίνυν τῷ κινοῦντί τι ἑαυτὸ τὸ κινοῦν μέρος δεῖ εἶναι ὄρεξιν καὶ κατάληψιν. Ἐν δὲ τῇ κινήσει τῇ οὔσῃ ὀρέξει καὶ καταλήψει τὸ μὲν ὀρεγόμενον, καὶ καταλαμβανόμενόν ἐστι κινοῦν κινούμενον, τὸ δὲ ὀρεκτὸν καὶ καταληπτόν ἐστι κινοῦν μὴ κινούμενον.

C

Cum igitur id quod est omnium primum movens, quod Deum dicimus, sit omnino immotum, oportet quod comparetur ad motorem qui est movens seipsum, sicut appetibile ad appetentem, non vero sicut appetibile sensuali appetitu : nam appetitus sensualis non est boni simpliciter, sed hujus particularis boni, cum et apprehensio sensualis non sit nisi boni particularis. Illud autem quod est bonum et appetibile simpliciter, est prius eo quod est bonum et appetibile hic et nunc. Oportet igitur primum movens esse appetibile ut intellectum, et ita oportet movens quod appetit ipsum, esse intelligens. Multo igitur magis et ipsum primum appetibile erit intelligens : quia appetens ipsum fit intelligens actu per hoc quod ei tanquam intelligibili unitur. Oportet igitur Deum esse intelligentem, facta suppositione quod primum motum moveat seipsum, ut philosophi voluerunt.

Ἐπεὶ τοίνυν τοῦτο πάντων ἐστὶ πρῶτον κινοῦν, ὃ Θεὸν φαμέν ἐστιν πάντῃ ἀκίνητον, δεῖ παραβάλλεσθαι πρὸς τὸ κινοῦν, ὅπερ ἐστὶ κινοῦν ἑαυτὸ, ὥσπερ ὀρεκτὸν πρὸς ὀρεγόμενον, οὐ μὴν ὥσπερ ὀρεκτὸν ὀρέξει αἰσθητικῇ· ἡ γὰρ αἰσθητικὴ ὄρεξις οὐκ ἔστι τοῦ ἀγαθοῦ ἁπλῶς, ἀλλὰ τοῦδε τοῦ μερικοῦ ἀγαθοῦ, καθόσον καὶ ἡ τῆς αἰσθήσεως κατάληψις οὐκ ἔστιν εἰ μὴ τοῦ μερικοῦ ἀγαθοῦ. Ὃ δὲ ἐστιν ἀγαθὸν, καὶ ἐφετὸν ἁπλῶς, ἔστι πρότερον τοῦ ἀγαθοῦ, καὶ ἐφετοῦ ἐνταῦθα καὶ νῦν. Δεῖ δὴ τὸ πρῶτον κινοῦν εἶναι ἐφετὸν, ὡς νοητὸν, καὶ ταύτῃ τὸ κινούμενον, ὅπερ ἐφίεται αὐτοῦ, εἶναι νοερόν. Πολλῷ ἄρα μᾶλλον αὐτὸ τὸ πρῶτον ἐφετὸν ἔσται νοερόν. Τὸ γὰρ ἐφιέμενον αὐτοῦ γίνεται ἐνεργείᾳ νοερὸν διὰ τὸ ὡς νοητῷ ἑνοῦσθαι αὐτῷ. Δεῖ τοίνυν τὸν Θεὸν εἶναι νοερὸν ὑποτεθέντος τοῦ πρώτου κινουμένου κινεῖν ἑαυτὸ κατὰ τὴν φιλοσόφων δόξαν.

D

Adhuc, idem necesse est sequi, si fiat reductio

Ἔτι δὲ ἀναγκαῖον τὸ αὐτὸ ἕπεσθαι, εἰ γένοιτο ἡ

Digitized by Google

ἀναφορὰ τῶν κινητῶν οὐκ εἴς τι πρῶτον κινοῦν ἑαυτὸ, ἀλλ' εἰς κινοῦν τι πάντη ἀκίνητον· τὸ γὰρ πρώτως κινοῦν ἐστι ἀρχὴ καθόλου πάσης κινήσεως· ἀνάγκη τοίνυν ἐπεὶ πᾶν τὸ κινοῦν κινεῖ κατά τι εἶδος, ὃ σκοπεῖ ἐν τῷ κινεῖν, τὸ εἶδος καθ' ὃ σκοπεῖ τὸ πρῶτον κινοῦν, δεῖ εἶναι καθόλου εἶδος, καὶ καθόλου ἀγαθόν. Εἶδος δὲ τῷ καθόλου τρόπῳ οὐχ εὑρίσκεται, εἰ μὴ ἐν τῷ νῷ. Δεῖ τοίνυν τὸ πρῶτον κινοῦν, ὅπερ ἐστὶν ὁ Θεὸς, εἶναι νοερόν.

β'. Ἔτι ἐν οὐδεμιᾷ τάξει τῶν κινουμένων εὑρίσκεται, ὅτι τὸ κινοῦν νοερῶς ἐστι ὄργανον τοῦ κινοῦντος ἄνευ νοῦ, ἀλλὰ μᾶλλον ἀνάπαλιν. Πάντα δὲ τὰ ἐν τῷ κόσμῳ παραβάλλονται πρὸς τὸ πρῶτον κινοῦν. Ἐπεὶ τοίνυν ἐν τῷ κόσμῳ εὑρίσκονται πολλὰ διὰ νοῦ κινοῦντα, ἀδύνατόν ἐστι τὸ πρῶτον κινοῦν κινεῖν ἄνευ νοῦ. Ἀνάγκη ἄρα τὸν Θεὸν νοεῖν.

γ'. Ἔτι ἐκ τούτου γίνεταί τι νοῶν, ὅτι ἐστὶν ἄνευ ὕλης, οὗ σημεῖόν ἐστι τὸ τὰ εἴδη γίνεσθαι νοητὰ ἐνεργείᾳ κατ' ἀφαίρεσιν τῆς ὕλης. Ὅθεν καὶ ὁ νοῦς ἐστι τῶν καθόλου, καὶ οὐ τῶν κατὰ μέρος, διὰ τὸ τὴν ὕλην εἶναι ἀτομότητος ἀρχήν. Τὰ εἴδη δὲ τὰ νοητὰ γίνεται ἓν μετὰ τοῦ νοῦ τοῦ ἐνεργεῖν νοοῦντος. Διὸ καὶ εἰ τὰ εἴδη γίνεται ἐνεργείᾳ νοητὰ, διὰ τὸ εἶναι ἄνευ ὕλης· ἀνάγκη διὰ τοῦτο εἶναί τι πρᾶγμα νοερὸν, διὰ τὸ εἶναι ἄνευ ὕλης· δέδεικται δὲ ἐν τοῖς ἄνω εἶναι τὸν Θεὸν πάντη ἄϋλον· ἔστιν ἄρα νοῶν.

δ'. Ἔτι οὐδεμία τελειότης ἄπεστι τοῦ Θεοῦ τῶν εὑρισκομένων ἐν ὁτῳοῦν γένει τῶν ὄντων· πρὸς δὲ τὰς λοιπὰς τῶν ὄντων τελειότητας κρατίστη ἐστὶ τὸ εἶναί τι νοερόν. Ἔστιν ἄρα τὸ νοεῖν ἐν τῷ Θεῷ.

ε'. Ἔτι πᾶν τὸ τεῖνον εἴς τι τέλος ὡρισμένως ἢ αὐτὸ προΐστησιν ἑαυτῷ τὸ τέλος, ἢ προτίθεται αὐτῷ παρ' ἄλλου. Ἄλλως γὰρ οὐ μᾶλλον εἰς τόδε ἢ εἰς τόδε τὸ τέλος τείνοι ἄν. Τὰ δὲ φυσικὰ τείνουσιν εἰς ὡρισμένα τέλη. Οὐ γὰρ ἀπὸ ταυτομάτου αἱ φυσικαὶ ὠφέλειαι ἕπονται. Οὕτω γὰρ οὐκ ἂν εἶεν ἀεὶ, οὐδ' ὡς ἐπὶ τὸ πλεῖστον, ἀλλ' ὡς ἐπ' ἔλαττον. Τούτων γάρ ἐστι τὸ αὐτόματον καὶ ἡ τύχη. Ἐπεὶ τοίνυν ἐκεῖνα οὐ προτιθέασιν ἑαυτοῖς τὸ τέλος, ἃ τὸν τοῦ τέλους λόγον οὐκ ἀγνοεῖ, ἀνάγκη τούτοις προτίθεσθαι τέλος ἀπ' ἄλλου, ὅπερ ἐστὶν οἱονεὶ μυσταγωγὸν εἰς τὸ τέλος. Τοῦτο δέ ἐστιν ὃ πᾶσι χορηγεῖ τὸ εἶναι, καὶ ἔστι καθ' αὐτὸ ἀναγκαῖον εἶναι, ὃ φαμεν εἶναι τὸν Θεὸν, ὡς ἐκ τῶν ἄνω εἰρημένων φαίνεται. Οὐκ ἂν δὲ δύναιτο προτιθέναι τῇ φύσει τὸ τέλος, εἰ μὴ νοοίη. Ὁ Θεὸς ἄρα νοεῖ.

ς'. Ἔτι πᾶν τὸ ἀτελὲς πρόεισιν ἀπό τινος τελείου. Τὰ γὰρ τέλεια φύσει πρότερά ἐστι τῶν ἀτελῶν, ὥσπερ ἡ ἐνέργεια τῆς δυνάμεως. Τὰ δὲ εἴδη, τὰ ἐν τοῖς ἀτόμοις ὄντα, ἔστιν ἀτελῆ διὰ τὸ μερικῶς, καὶ οὐ κατὰ τὸν λόγον τῆς ἑαυτῶν κοινότητος ἐνυπάρχειν. Δεῖ δὴ μὴ προϊέναι ἀπό τινων εἰδῶν τελείων, καὶ οὐ μερικῶν. Τοιαῦτα δὲ εἴδη οὐ δύναται εἶναι εἰ μὴ τὰ

mobilium, non in aliquod primum movens seipsum, sed in movens omnino immobile. Nam primum movens est universale principium motus : oportet igitur, quia omne movens movet per aliquam formam quam intendit in movendo, quod forma quam intendit primum movens, sit universalis forma et universale bonum. Forma autem per modum universalem non invenitur nisi in intellectu : oportet igitur primum movens, quod est Deus, esse intelligens.

2. Amplius, in nullo ordine moventium invenitur, quod movens per intellectum sit instrumentum ejus quod movet absque intellectu, sed magis e converso. Omnia autem moventia quæ sunt in mundo, comparantur ad primum movens : cum igitur in mundo inveniantur multa moventia per intellectum, impossibile et primum movens movere absque intellectu, necesse est igitur Deum esse intelligentem.

3. Item, ex hoc aliqua res est intelligens, quod est sine materia : cujus signum est quod formæ fiunt intellectæ in actu per abstractionem a materia : unde et intellectus est universalium, et non singularium, quia materia est individuationis principium. Formæ autem intellectæ in actu fiunt unum cum intellectu intelligente in actu : unde. si ex hoc sunt formæ intellectæ in actu, quod sunt sine materia, oportet rem aliquam ex hoc esse intelligentem, quod est sine materia. Ostensum est autem supra Deum esse omnino immaterialem : est igitur intelligens.

4. Præterea, Deo nulla perfectio deest, quæ in aliquo genere entium inveniatur. Inter cæteras autem rerum perfectiones potissima est quod aliquid sit intellectivum. Est igitur intelligentia in Deo.

5. Insuper, omne quod tendit determinate in aliquem finem, aut ipsum præstituit sibi finem, aut præstituitur ei finis ab alio ; alias enim non magis in hunc quam in illum finem tenderet. Naturalia autem tendunt in fines determinatos : non enim a casu naturales utilitates consequuntur, nam sic non essent semper aut plerumque, sed rarissimo : horum enim est casus et fors. Cum ergo ipsa non præstituant sibi finem, quia rationem finis non cognoscunt, oportet eis præstitui finem ab alio, quod sit velut inducens ad finem. Hoc autem est quod præbet omnibus esse, et est per seipsum necesse esse : quod dicimus esse Deum, ut ex supradictis patet. Non autem posset naturæ finem præstituere, nisi intelligeret. Deus igitur est intelligens.

6. Denique, omne quod est imperfectum, derivatur ab aliquo perfecto : nam perfecta naturaliter sunt priora imperfectis, sicut actus potentia. Sed formæ in rebus individuis exsistentes sunt imperfectæ, quia particulariter et non secundum communitatem suæ rationis insunt : oportet igitur quod deriventur ab aliquibus formis perfectis et non

particularibus. Tales autem formæ esse non possunt nisi in intellectu, cum non inveniatur aliqua forma in sua universalitate nisi in intellectu; et per consequens oportet eas esse intelligentes, si sint per se subsistentes: sic enim solum possunt esse operantes. Deum igitur, qui est primus actus per se subsistens, a quo alia omnia derivantur, oportet esse intelligentem.

Hanc autem veritatem etiam fides catholica confitetur; nam in nono capite Job dicitur de Deo: « Sapiens corde est et fortis robore [1]; » et in duodecimo: « Apud ipsum est fortitudo et sapientia [2]; » et in Psalmis: « Mirabilis facta est scientia tua ex me [3]; » et in undecimo Epistolæ ad Romanos: « O altitudo divitiarum, et sapientiæ, et scientiæ Dei [4]! » Hujus autem fidei veritas in tantum apud homines invaluit, ut ab intelligendo nomen Deo nomen impositum sit Θεός, id est, *videns*: neque enim oculis videt, quum sensum non habeat.

A νοητά. Οὐ γὰρ εὑρίσκονταί τινα εἴδη ἐν τῇ αὐτῶν καθολικότητι, εἰ μὴ ἐν τῷ νῷ. Καὶ κατὰ τὸ εἰκὸς δεῖ αὐτὰ εἶναι νοερά, εἴπερ εἰσὶ καθ' αὑτὰ ὑφεστῶτα· οὕτω γὰρ μόνως δύνανται ἐνεργεῖν. Ὁ Θεὸς ἄρα ἐστὶν ἐνέργεια πρώτη καθ' αὑτὴν ὑφεστηκυῖα, ἀφ' οὗ τὰ ἄλλα πρόεισιν. Ἀναγκαῖον ἄρα νοερὸν εἶναι. Ταύτην δὲ τὴν ἀλήθειαν καὶ ἡ καθολικὴ πίστις ὁμολογεῖ. Λέγεται γὰρ ἐν τῷ δεκάτῳ τοῦ Ἰὼβ περὶ Θεοῦ· « Σοφός ἐστι καὶ κραταιὸς τῇ δυνάμει· » καὶ ἐν τῷ..... « Παρ' αὐτῷ ἐστιν ἡ ἰσχύς, καὶ ἡ σοφία· » καὶ ἐν τοῖς Ψαλμοῖς· « Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· καὶ ἐν τῷ ια' τῆς πρὸς Ῥωμαίους· « Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! Ταύτης δὲ τῆς πίστεως ἡ ἀλήθεια παρὰ B τοσοῦτον κεκράτηκεν ἐν ἀνθρώποις, ὡς καὶ ἀπὸ τοῦ νοεῖν ὄνομα τῷ Θεῷ ἐπιθεῖναι. Οὐ γὰρ ὄψει ὁρᾷ, ἐφ' ὅσον μηδὲ αἴσθησιν ἔχει.

## Cap. IV. *Quod Deus est volens.*

1. His dictis de divino intellectu, consequenter adhuc confitendum est eum esse volentem: nam ex intelligere sequitur velle. Cum enim bonum intellectum sit objectum proprium voluntatis, oportet quod bonum intellectum, in quantum hujusmodi, sit volitum, et quidem ab intelligente, haud vero a non intelligente. Necesse est igitur quod intelligens bonum, in quantum hujusmodi, sit volens. Deus autem intelligit bonum: cum enim sit perfecte intelligens, intelligit ens simul cum ratione boni: est igitur volens.

## Κεφάλ. δ'. Ὅτι ὁ Θεός ἐστι θέλων.

α'. Τοῖς δὲ προειρημένοις περὶ τοῦ θείου νοῦ ἕπεται ἔτι θέλειν ὁμολογεῖν τὸν Θεόν. Ἐκ γὰρ τοῦ νοεῖν ἕπεται θέλειν. Τὸ γὰρ ἀγαθὸν νόημά ἐστιν ἴδιον ἀντικείμενον τῆς θελήσεως. Ἀνάγκη τοίνυν τὸ ἀγαθὸν νόημα, ἐφ' ὅσον τοιοῦτον, εἶναι θελητόν, πάντως δὲ τῷ νοοῦντι, οὐ γὰρ τῷ μὴ νοοῦντι. Ἀνάγκη ἄρα τὸ νοοῦν τὸ ἀγαθόν, ἐφ' ὅσον τοιοῦτον, εἶναι θέλον. Ὁ δὲ Θεὸς νοεῖ τὸ ἀγαθόν. Ἐφ' ὅσον γάρ ἐστι τέλειον νοοῦν, νοεῖ τὸ ὂν σὺν τῷ τοῦ ἀγαθοῦ λόγῳ. Ἔστιν C ἄρα θέλων.

2. Iterum, cuicunque inest aliqua forma, per illam formam habet habitudinem ad ea quæ sunt in rerum natura; sicut lignum album per suam albedinem est aliquibus simile et quibusdam dissimile. In intelligente autem et sentiente est forma rei intellectæ et sub sensum cadentis, cum omnis cognitio sit per aliquam similitudinem. Oportet igitur esse habitudinem intelligentis et sentientis ad ea quæ sunt intellectu et sensu, secundum quod sunt in rerum natura. Non autem hoc est per hoc quod intelligunt et sentiunt: nam per hoc magis attenderetur habitudo rerum ad intelligentem et sentientem, quia intelligere et sentire est secundum quod res sunt in intellectu et sensu secundum modum utriusque; habet vero habitudinem sentiens et intelligens ad rem quæ est extra animam per voluntatem et appetitum: unde omnia sentientia et intelligentia appetunt et volunt. Voluntas tamen proprie in intellectu est: est enim voluntas appetitus rationalis naturæ. Cum igitur Deus sit intelligens, necessario est volens.

β'. Ἔτι ὅτῳ δή ποτέ ἐστί τι εἶδος, ἔχει κατ' ἐκεῖνο τὸ εἶδος σχέσιν πρὸς τὰ ὄντα ἐν τῇ τῶν ὄντων φύσει, ὥσπερ τὸ λευκὸν ξύλον διὰ τῆς αὐτοῦ λευκότητός ἐστί τισιν ὅμοιον, καί τισιν ἀνόμοιον· τῷ δὲ νοοῦντι καὶ αἰσθανομένῳ ἔνεστι τὸ εἶδος τοῦ νοουμένου καὶ ὑπὸ αἴσθησιν πίπτοντος πράγματος, καθ' ὅσον πᾶσα κατάληψίς ἐστι διά τινος ὁμοιότητος. Δεῖ ἄρα εἶναι αἴσθησιν τοῦ νοοῦντος ἢ καὶ αἰσθανομένου πρὸς τὰ νοητὰ καὶ αἰσθητά, καθόσον εἰσὶν ἐν τῇ τῶν ὄντων φύσει. Οὐκ ἔστι δὲ τοῦτο κατανοεῖν καὶ αἰσθάνεσθαι. Κατὰ τοῦτο γὰρ θεωρεῖται σχέσις τῶν ὄντων πρὸς τὸν νοοῦντα καὶ αἰσθανόμενον. Τὸ γὰρ νοεῖν καὶ D αἰσθάνεσθαί ἐστι καθὸ τὰ ὄντα ἐστὶν ἐν τῷ νῷ καὶ ἐν τῇ αἰσθήσει, κατὰ τὸν ἑκάστου τρόπον· ἔχει δὲ σχέσιν τὸ νοοῦν καὶ τὸ αἰσθανόμενον πρὸς τὸ πρᾶγμα τὸ ὂν ἔξω τῆς ψυχῆς θελήσεως καὶ ὀρέξεως. Ὅθεν πάντα νοοῦντα καὶ τὰ αἰσθανόμενα θέλει τε καὶ ὀρέγεται. Ἰδία δὲ ἡ θέλησις ἐν τῷ νῷ ἐστιν. Ἔστι γὰρ ἡ θέλησις, ὄρεξις λογικῆς φύσεως. Ἐπεὶ τοίνυν ὁ Θεός ἐστι νοῶν, ἀνάγκη θέλει.

3. Amplius, illud quod consequitur omne ens, convenit enti, in quantum est ens; quod est autem hujusmodi, oportet maxime inveniri in primo ente. Cuilibet autem enti competit maxime appetere suam perfectionem et conservationem sui esse;

γ'. Ἔτι ἐκεῖνο, ὃ ἕπεται παντὶ ὄντι, προσήκει τῷ ὄντι, ἐφ' ὅσον ἐστὶν ὄν· ὃ δέ ἐστι τοιοῦτο, δεῖ μάλιστα εὑρίσκεσθαι ἐν τῷ πρώτῳ ὄντι. Παντὶ δὲ ὄντι προσήκει τὸ μάλιστα ἐφίεσθαι τῆς ἰδίας τελειότητος καὶ συντηρήσεως τοῦ ἰδίου εἶναι, ἑκάστῳ δὲ κατὰ τὸν

[1] Job IX, 4. [2] Job XII, 13. [3] Psal. CXXXVIII, 6. [4] Rom. XI 33.

Digitized by Google

ἑαυτοῦ τρόπον, τοῖς μὲν νοεροῖς κατὰ θέλησιν, τοῖς A δὲ ζώοις κατὰ τὴν αἰσθητικὴν ὄρεξιν, τοῖς δὲ στερουμένοις αἰσθήσεως διὰ τῆς φυσικῆς ὀρέξεως. Ἄλλως μέντοι τοῖς ἔχουσι τὴν ἰδίαν τελειότητα, καὶ ἄλλως τοῖς μὴ ἔχουσι. Τὰ γὰρ μὴ ἔχοντα τὴν ὀρεκτικὴν δύναμιν ἐπιθυμίᾳ τοῦ ἑαυτῶν εἶναι σπεύδουσι πρὸς τὸ ἀντιλαμβάνεσθαι τοῦ ἐνδέοντος αὐτοῖς. Τὰ δὲ ἔχοντα ἠρεμίζονται ἐν αὐτῷ. Τοῦτο τοίνυν ἀδύνατον μὴ ἐνεῖναι τῷ πρώτῳ ὄντι, ὅπερ ἐστὶν ὁ Θεός. Ἐπεὶ τοίνυν ἐστὶν ὁ νοῶν, δῆλον, ὅτι ἐνυπάρχει αὐτῷ θέλησις, ᾗ ἀρέσκει αὐτῷ τὸ εἶναι αὐτοῦ, καὶ ἡ ἀγαθότης αὐτοῦ.

unicuique autem secundum suum modum: intellectualibus quidem per voluntatem, animalibus per sensibilem appetitum, carentibus vero sensu per appetitum naturalem; aliter tamen iis quæ habent propriam perfectionem, et aliter iis quæ non habent; nam ea quæ non habent, per appetitivam virtutem suiesse desiderant acquirere quod ipsis deest, quæ autem habent, quietantur in ipso. Hoc igitur non potest deesse primo enti, quod est Deus; cum igitur sit intelligens, evidenter inest ei voluntas, qua placet ipsi suum esse et sua bonitas.

δ'. Ἔτι τὸ νοεῖν, ὅσον τελειότερόν ἐστι, τοσοῦτον ἡδύτερόν ἐστι τῷ νοοῦντι. Ὁ δὲ Θεὸς νοεῖ, καὶ τὸ νοεῖν αὐτοῦ ἐστι τελειότατον, ὡς ἐν τοῖς ἄνω δέδεικται. Ἔστιν ἄρα τὸ νοεῖν αὐτοῦ ἥδιστον αὐτῷ. Ἡ δὲ νοερὰ τέρψις ἐστὶ διὰ θελήσεως, ὥσπερ ἡ αἰσθητικὴ τέρψις ἐστὶ κατὰ τὴν τοῦ ἐπιθυμητικοῦ ὄρεξιν. Ἔστι τοίνυν ἐν τῷ Θεῷ θέλησις.

4. Item, intelligere quanto perfectius est, tanto delectabilius intelligenti. Sed Deus intelligit, et B ejus intelligere est perfectissimum, ut supra ostensum est: ergo ejus intelligere est ei delectabilissimum. Delectatio autem intelligibilis est per voluntatem, sicut delectatio sensibilis est per concupiscentiæ appetitum. Est igitur in Deo voluntas.

ε'. Ἔτι τὸ εἶδος τὸ διὰ τοῦ νοῦ θεωρηθὲν οὐδὲ κινεῖ, οὐδὲ αἰτία ἐστί τινος, εἰ μὴ διὰ θελήσεως μεσιτευούσης, ᾗ ἀντικείμενόν ἐστι τὸ τέλος καὶ τὸ ἀγαθὸν, ὑφ' οὗ κινεῖταί τις πρὸς τὸ ποιεῖν. Ἀλλὰ τὸ εἶδος τοῦ θείου νοῦ ἐστιν αἰτία κινήσεως, καὶ τοῦ εἶναι τοῖς ἄλλοις· ποιεῖ γὰρ διὰ νοῦ τὰ ὄντα. Ἀνάγκη τοίνυν αὐτὸν εἶναι θέλοντα.

5. Adhuc, forma per intellectum considerata non movet nec aliquid causat, nisi mediante voluntate, cujus objectum est finis et bonum quo movetur aliquis ad agendum. Sed forma intellectus divini est causa motus et esse in aliis: agit enim res per intellectum: oportet igitur eum esse volentem.

ς'. Ἔτι ἐν ταῖς κινηταῖς δυνάμεσι καὶ ἐν τοῖς νοῦν ἔχουσιν πρῶτον εὑρίσκεται θέλησις· ἡ γὰρ θέλησις πᾶσαν δύναμιν προσάγει εἰς τὴν ἑαυτῆς ἐνέργειαν. Νοοῦμεν γὰρ, ὅτι θέλομεν, καὶ φανταζόμεθα, ὅτι C θέλομεν· καὶ οὕτω περὶ τῶν ἄλλων. Καὶ τοῦτο ἔχει ἐφ' ὅσον τὸ ἀντικείμενον αὐτοῖς ἐστι τὸ τέλος. Ὁ γὰρ νοῦς οὐ κατὰ τὸν τρόπον τῆς ποιητικῆς αἰτίας καὶ τῆς κινούσης, ἀλλὰ κατὰ τὸν τῆς τελικῆς αἰτίας κινεῖ τὴν θέλησιν, προτιθεὶς αὐτῇ τὸ ἴδιον ἀντικείμενον, ὅπερ ἐστὶ τὸ ἀγαθὸν νόημα. Τῷ πρώτῳ τοίνυν ποιοῦντι προσήκει μάλιστα τὸ ἔχειν θέλησιν.

6. Præterea, in virtutibus motivis et in habentibus intellectum prior invenitur voluntas: nam voluntas omnem potentiam applicat ad suum actum; intelligimus enim quia volumus, imaginamur quia volumus, et sic de aliis. Et hoc est, quia objectum horum est finis. Intellectus enim non secundum modum causæ efficientis et moventis, sed secundum modum causæ finalis movet voluntatem, proponendo ei proprium objectum, quod est bonum intellectum. Primo igitur agenti convenit maxime habere voluntatem.

ζ'. Ἔτι τὸ τέλος καὶ τὸ πρὸς τὸ τέλος ἀεὶ εὑρίσκονται ὁμοταγῆ. Ὅθεν καὶ τὸ πρὸς τὸ τέλος τὸ ἀναλογοῦν τῷ ποιοῦντι πίπτει εἰς τὸ αὐτὸ τῷ εἴδει μετὰ τοῦ ποιοῦντος, ὡς μὲν ἐν τοῖς φυσικοῖς, ὡς δὲ κἀν τοῖς τεχνικοῖς. Τὸ γὰρ τῆς τέχνης εἶδος, δι' οὗ ὁ τεχνίτης ποιεῖ, ἔστιν εἶδος μορφῆς ἔνυλον, ὅπερ ἐστὶ τὸ τέλος τοῦ τεχνίτου. Καὶ τὸ εἶδος τοῦ γεννῶντος, D πρὸς ᾧ δρᾷ, ἔστιν ὁμόστοιχον τοῦ εἴδους τοῦ πυρὸς τοῦ γεννωμένου, ὅπερ ἐστὶ τέλος τῆς γεννήσεως. Τῷ δὲ Θεῷ οὐδὲν συντέτακται ὡς ἂν ὁμοταγὲς, εἰ μὴ αὐτὸς ἑαυτῷ· ἄλλως γὰρ εἴη ἂν πολλὰ πρῶτα. Αὐτὸς τοίνυν ἐστὶ πρῶτον ποιοῦν διὰ τέλος, ὅπερ ἐστὶν αὐτός. Αὐτὸς ἄρα οὐ μόνος ἐστὶ τέλος ἐφετὸν, ἀλλὰ καὶ ἐφιέμενος ἑαυτοῦ, ὡς τέλους, καὶ ὀρέξει νοερᾷ ὡς νοῶν. Τοῦτο δέ ἐστιν ἡ θέλησις, ὄρεξις λογικῆς φύσεως. Ἔστιν ἄρα ἐν τῷ Θεῷ θέλησις.

7. Rursus, finis et quod est ad finem, semper unius ordinis inveniuntur: unde illud ad finem quod est proportionatum agenti, incidit in idem specie cum agente, tam in naturalibus quam in artificialibus. Nam forma artis, per quam artifex agit, est species formæ, quæ est in materia, quæ est finis artificis: et forma ignis generantis, qua agit, est ejusdem speciei cum forma ignis generati, quæ est finis generationis. Deo autem nihil coordinatur quasi ejusdem ordinis, nisi ipse sibi; alias essent plura prima. Ipse est igitur principium agens propter finem, qui est ipsemet: ipse igitur non solum est finis appetibilis, sed appetens seipsum ut finem, et quidem appetitu intellectuali, utpote intelligens; hic autem appetitus naturæ rationalis est voluntas: est igitur in Deo voluntas.

η'. Ἔτι ἐλεύθερόν ἐστιν, ὃ ἐστιν αὐτὸ ἑαυτῷ αἰτία τοῦ ποιεῖν. Καὶ οὕτω τὸ ἐλεύθερον ἐπιδέχεται τὸν λόγον τοῦ δι' ἑαυτό. Ἡ θέλησις δέ ἐστι πρώτως ἐλευθέρα ἐν τῷ ποιεῖν. Ἐφ' ὅσον γὰρ ἐθέλων τι ποιεῖ τις, λέγεται ἐλευθέρως ποιεῖν οἵᾳ δήποτε ἐνεργείᾳ.

8. Necnon, liberum est quod est sibi ipsi causa agendi, et sic liberum habet rationem ejus quod est per se. Voluntas autem est primario libera in agendo: in quantum enim voluntarie agit quis, dicitur libere agere quamcunque actionem. Primo

igitur agenti convenit per voluntatem agere, cui maxime competit per se agere.

9. Insuper, universitas rerum habet finem: alias res omnes casu exsisterent, nisi diceretur primas creaturas non esse propter finem, sed ex materiali necessitate, posteriores vero eis creaturas esse propter finem; sicut Democritus contendebat cœlestia corpora casu exstitisse, inferiora vero ex causis determinatis: quod destruitur in secundo *Physicorum*, per hoc quod meliora non possunt esse minus ordinata quam deteriora. Oportet igitur agnoscere in processione creaturarum a Deo aliquem esse finem primarium. Invenitur autem agere propter finem et natura et voluntas, altero tamen et altero modo. Natura enim nesciens finem, et rationem finis, et relationem ejus quod est ad finem, non potest sibi finem proponere, nec se ad finem movere, aut ordinare, aut dirigere; hæc vero omnia competunt ei qui per voluntatem agit, quippe qui potest intelligere et finem et omnia prædicta. Unde qui per voluntatem agit, ita propter finem agit, ut proponat sibi finem, et se quodammodo ad finem moveat, ordinans ad hunc suas operationes; natura vero ad finem tendit directe et quasi mota ab aliquo intelligente et volente, sicut patet in sagitta, quæ tendit ad determinatum finem, quia dirigitur a sagittario: secundum quem modum a philosophis dictum est naturæ opus esse opus intellectus. Semper autem quod est per aliud, est posterius eo quod est per seipsum: unde necesse est quod primum ordinans ad finem ordinet per voluntatem: et sic per voluntatem Deus creaturas ad exsistentiam adduxit: habet igitur voluntatem.

